Sept. 3. **4.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ὁσίου καὶ ἱερομάρτυρος Ἀριστίωνος. Οὗτος ἐπίσκοπος γέγονεν Ἀλεξανδρείας. Διδάσκων δὲ παρρησίᾳ[1] τὸν λόγον τοῦ Θεοῦ καὶ τὴν σωτήριον ἐπιφάνειαν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν καὶ τὴν καταφρόνησιν τῶν ἀνθρωπίνων, κρατεῖται παρὰ τοῦ τῆς Ἀλεξανδρείας ἄρχοντος, καὶ παραδοθεὶς τῷ πυρὶ δι' αὐτοῦ τελειοῦται.

5. Τῇ αὐτῇ ἡμέρᾳ συνέφθασε καὶ[1] μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου, ἡγουμένου Τριγλείας.

6. Καὶ τοῦ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου τοῦ νέου ἐν τοῖς Ἀποστόλοις[1].

ΤΩ ΑΥΤΩ ΜΗΝΙ Δ'.

Sept. 4. **1.** Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος[1] Βαβύλα, πατριάρχου Ἀντιοχείας. Ὅς[2] ἦν ἐπὶ[3] χρόνοις Νουμεριανοῦ τοῦ βασιλέως, δι' οὗ καὶ τὸν μαρτυρικὸν ἆθλον διήνυσεν. Ἐπειδὴ γὰρ αὐτὸς μὲν εἰδώλοις ἔθυε, καί ποτε ὑπὸ τῶν ἰδίων θεῶν τῶν δαιμόνων ἐκβακχευθεὶς[4] ἔσφαξε πρὸς θυσίαν καὶ υἱὸν τοῦ Περσῶν βασιλέως, ὃν εἰς ἐνέχυρον ἀγάπης παρέλαβεν· οἱονεὶ δὲ ἀγασθεὶς τῷ τολμήματι ἠθέλησε καὶ πρὸς τὴν τῶν χριστιανῶν ἐκκλησίαν εἰσελθεῖν καὶ ταύτην βεβηλῶσαι, ὡς ἐδόκει ὁ βέβηλος, καὶ τὸν ἅγιον κατακερτομῆσαι, προϋποθεὶς αὐτῷ κλοιὰ κατά τε τὸν τράχηλον καὶ τοὺς πόδας καὶ εἰς τὸ μέσον προάξας καὶ εἰπών· « Μὰ τοὺς θεούς, Βαβύλα, πρέποντές σοι[5] οἱ κλοιοί. » Καὶ ἀντακούσας ὡς· « Ὑπὲρ τὸ διάδημά σου οὗτοι » εὐπρεπέστεροί μοι· » καὶ ἀπελαθεὶς ἐκ τῆς ἐκκλησίας μετ' ἐλεγμοῦ διὰ τὸν φόνον τοῦ παιδὸς ὡς ἀνδράποδον, ἀπεφήνατο τὸν ἱερομάρτυρα ἀποκεφαλισθῆναι σὺν τοῖς τρισὶν αὐτοῦ νηπίοις μαθηταῖς. Ὧν τῆς[6] ἐνστάσεως καὶ πεῖραν ἔλαβεν ὁ τύραννος καὶ τοιούτου διδασκάλου μαθητὰς τοιούτους εὑρὼν καὶ μετὰ τοὺς αἰκισμοὺς τῇ αἰωνίᾳ ζωῇ καὶ μὴ εἰδὼς ὁ ἄθλιος | διὰ σφαγῆς συμπαρέπεμψε. f. 16v. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Σαλουστίου[7] καὶ ἐν τῇ μονῇ τῇ ἐπιλεγομένῃ τῆς Χώρας[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου[1] Βαβύλα, διδασκάλου γενομένου[2] ἐν Νικομηδείᾳ[3]. Οὗτος[4] παραστὰς[5] ἐν τῇ αὐτῇ πόλει μετὰ ὀγδοήκοντα τεσσάρων αὐτοῦ μαθητῶν ψελλιζόντων ἔτι ὄντων[6] καὶ τὸν Χριστὸν κηρύξας[7], λίθοις τὰς[8] παρειὰς[9] τυφθεὶς[10] καὶ τοὺς ἀστραγάλους καταθραυσθεὶς[11] καὶ τοὺς ὤμους θλασθεὶς[12] καὶ κλοιοῖς βαρυνθείς[13], τελευταῖον[14] σὺν τοῖς τοσούτοις[15] παισὶ[16] τὴν κεφαλὴν[17] ἀποτέμνεται[18].

4. — [1] τὸν λαὸν *add.* Sa.
5. — [1] συνέφθασε καὶ *om.* Sa.
6. — [1] ἁγίοις ἀποστόλοις Sa.
1. — [1] Ἄθλησις τοῦ ὁσίου καὶ ἱερομάρτυρος Sa. — [2] οὗτος Sa. — [3] ἐν τοῖς Sa. — [4] ἐκβαχευθεὶς S. — [5] σε Sa. — [6] τῆς εὐσεβοῦς Sa. — [7] Βλουστίου Sa. — [8] νῦν δὲ τελεῖται κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] τοῦ ἁγίου μάρτυρος Ba. — [2] (διδασκ. γεν.) τοῦ Ba. — [3] καὶ τῶν σὺν αὐτῷ ΠΔ νηπίων τῶν μαθητῶν αὐτοῦ *add.* Ba. — [4] ὁ ἅγιος Βαβύλας Ba. — [5] τῷ Μαξιμιανῷ *add.* Ba. — [6] (ἐν τῇ - ὄντων) *om.* Ba. — [7] συγκηρύξας Sa. — [8] τῷ Sa, κατὰ τῶν Ba. — [9] παρειῶν Ba. — [10] τύπτεται Ba. — [11] καταθραύεται Ba. — [12] θλᾶται Ba. — [13] (καὶ κλοιοῖς βαρυνθεὶς) *om.* Sa; καὶ τὸν αὐχένα κλοιοῖς βαρύνεται Ba. — [14] καὶ τελευταῖον Ba. — [15] ΠΔ' νηπίοις τοῖς φυτηταῖς αὐτοῦ Ba. — [16] ξίφει Ba. — [17] αὐτοῦ *add.* Ba. — [18] τέμνεται Ba.

Sept. 3. καὶ Ἀλεξάνδρου ἡγεμόνος. Αὕτη χρόνων οὖσα θ' τὰς χεῖρας[11] καὶ τοὺς πόδας δεσμευθεῖσα τῷ πυρὶ ἐναπερρίφη καὶ περισωθεῖσα[12] θείᾳ δυνάμει ὕδωρ διὰ προσευχῆς ἀναβλῦσαι ἐποίησεν. Καὶ πιοῦσα[13] τὴν ψυχὴν τῷ Θεῷ παρατίθεται. — 4 : Ἀριστίωνος ἐπισκόπου Ἀλεξανδρείας. — 2 : Θεοκτίστου, συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου[14]. — 5 : Στεφάνου ὁμολογητοῦ καὶ ἡγουμένου Τριγλίας. — 6 : Κωνσταντίνου[15] τοῦ νέου ἐν τοῖς Ἀποστόλοις. — **C** : deest. — **Cb** : deest. — **M** : 1. — Ζήνων ἐν λέβητι μολίβδου παφλάζοντος βληθεὶς τ. — 3. — Χαρίτων ἐν λάκκῳ ἀσβέστου βληθεὶς τ. — 4. — Ἀρχοντίων λιμῷ τ. — 2. 5. 6. rursus 4. — **Mv** : 1. — Ζήνων. — 3. 4. 2. — Χαρίτων. — rursus 4. — **Mr** : 1.

Sept. 4. SYNAXARIA SELECTA. **Sa** : 1. add. : νῦν δὲ τελεῖται ἐν τῇ μονῇ τῶν Στουδίου, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ σῶμα κατάκειται σῶον. — 2. 3. 4. 5. 6. — **H** : 2 : Βαβύλα πατριάρχου Ἀντιοχείας καὶ τῶν σὺν αὐτῷ πδ' νηπίων... Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Ἀλουστίου πλησίον τοῦ Ἑβδόμου καὶ ἐν τῇ μονῇ τῇ λεγομένῃ τῆς Χώρας. — 4. 5., des. : Τελεῖται δὲ ἡ αὐτῶν σύναξις πλησίον τοῦ ἁγίου Ῥωμανοῦ. — 3. — **P** : 1. 2. 6 (om. Κεντυρίωνος). — 4. 5 (Πετρωνίου καὶ Χαριτίνης πλησίον τοῦ ἁγίου Ῥωμανοῦ). — 3. — **F** : 3. 4. 6. 2. 1. — **Fa** : 3. 4. 6. 2. 1. — **Fb** : 3. 4. 6. 2. 1. — **B** : 1. 6. 4. 3. — **Ba** : 1. 2. 6. 4. 3 : Μωσέως. Ὅς Ἑβραῖος μὲν ἦν τὸ γένος ἐκ φυλῆς Λευΐ· γεννᾶται δὲ ἐν Αἰγύπτῳ. Ἔκθετος δὲ κατὰ τὸ βασιλικὸν πρόσταγμα γενόμενος, βρέφος ὢν ἔτι, ἐν τῷ ποταμῷ ὑπὸ τῆς τοῦ βασιλέως ἀναλαμβάνεται θυγατρὸς καὶ υἱοποιεῖται καὶ πάσῃ σοφίᾳ Αἰγύπτου παιδεύεται. Τοῦ σαρακοστοῦ χρόνου ἐπιβάς, ἄνδρα Αἰγύπτιον διαχειρίζεται καὶ εἰς γῆν Μαδιὰμ φεύγων ἔρχεται καὶ Σεπφώραν τὴν τοῦ Ἰοθὸρ[1] θυγατέρα εἰς γυναῖκα λαμβάνει καὶ Θεὸν ἐν φλεγομένῃ βάτῳ καθορᾷ καὶ προσομιλεῖ· καὶ εἰς Αἴγυπτον αὖθις πρὸς τοῦ Θεοῦ πέμπεται καὶ θεὸς Φαραὼ γίνεται, τῷ ἀδελφῷ Ἀαρὼν ὡς προφήτῃ χρώμενος· καὶ σκότῳ κολάζει τὴν Αἴγυπτον καὶ εἰς αἷμα μεταβάλλει τὰ ὕδατα· καὶ πλῆθος βατράχων κατ' αὐτῆς ἐκπέμπει· καὶ κυνομυΐᾳ καὶ σκνιπὶ[2] ἐκτρίβει· καὶ χαλάζῃ βραζούσῃ καταφλέγει· καὶ ἀκρὶς

— [11] χήρας G. — [12] περισωθὲν G. — [13] ποιοῦσα G. — [14] Εὐθοιμίου G. — [15] κε κω G.
[1] Ἰωθὼρ Ba. — [2] σκινιπὶ Ba.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Μωσέως τοῦ νομοθέτου καὶ προφήτου. Ὅς ἐγεννήθη μὲν ἐν τῇ Αἰγύπτῳ υἱὸς[1] Ἄβραμ, ἑνὸς τῶν Ἑβραίων, καταγομένου[2] ἐκ φυλῆς Λευΐ. Ἀστεῖος δὲ καὶ εὐμορφότατος ἀναφανεὶς τῇ μητρί, οὐκ ἀπεκτάνθη κατὰ τὸ πρόσταγμα Φαραώ, ἀλλ' εἰς κιβώτιον ἐμβληθεὶς ζῶν ἐῤῥίφη ἐν τῷ ποταμῷ. Ὃν καταβᾶσα ἡ θυγάτηρ Φαραὼ λούσασθαι εὑροῦσα[3] ἔτι ζῶντα, ἀνείλετο καὶ υἱοποιήσατο καὶ ἐξεπαίδευσεν ἐν πάσῃ Αἰγυπτιακῇ σοφίᾳ. Οὗτος ἀνδρωθεὶς καὶ εἰς τεσσαρακοστὸν ἔτος φθάσας, ἄνδρα Αἰγύπτιον πατάξας διὰ τὸ ἰδεῖν τύπτοντα ὁμογενῆ αὐτοῦ Ἑβραῖον, ἔκτεινε καὶ εἰς τὴν[4] ἄμμον κατέκρυψε. Φοβηθεὶς δὲ διὰ τοῦτο, μὴ δῆλος γένηται (ἠπειλήθη γὰρ παρά τινος ὁμοεθνοῦς ὁρῶντος), φεύγει εἰς γῆν Μαδιάμ· καὶ Σεπφώραν τὴν τοῦ Ἰοθὸρ θυγατέρα εἰς γυναῖκα λαμβάνει καὶ Θεὸν ἐν φλεγομένῃ βάτῳ καθορᾷ καὶ[5] προσομιλεῖ καὶ παρ' αὐτοῦ προστάττεται αὖθις ἀπελθεῖν εἰς Αἴγυπτον καὶ ἐξαγαγεῖν τὸν
Exod. 7, 1. λαὸν τῶν Ἑβραίων ἐκ χειρὸς Φαραώ, οὗ καὶ θεὸς γίνεται. Καὶ τῷ ἀδελφῷ Ἀαρὼν ὡς προφήτῃ χρᾶται καὶ κολάζει τὴν Αἴγυπτον σκότῳ καὶ μεταβολῇ ὑδάτων εἰς αἷμα καὶ ἀποστολῇ πληθυσμοῦ βατράχων καὶ κυνομυΐᾳ καὶ σκνιπὶ[6] καὶ χαλάζῃ βραζούσῃ[7] καὶ ἀκρίδι καὶ βρούχῳ καὶ θανάτῳ πρωτοτόκων· καὶ ἐν ἀργυρίῳ καὶ χρυσίῳ τὸν Ἰσραηλίτην λαὸν
f. 17. τῆς | Αἰγύπτου ἐξάγει· καὶ τὴν θάλασσαν ῥάβδῳ πλήττει καὶ διαιρεῖ, ὥστε τὸν λαὸν διελθεῖν, καὶ ἐκ πέτρας ὕδωρ ἐξάγει· καὶ τεσσαρακοντανυχθήμερον νῆστις προσεδρεύσας καὶ[8] Θεὸν εἶδεν, ὡς ἀνθρώπῳ δυνατόν, καὶ διελέχθη στόμα κατὰ στόμα, πλάκας τε θεογράφους ἐδέξατο καὶ τὸ πρόσωπον ἐθεώθη καὶ διὰ παραπετάσματος τῷ λαῷ προσωμίλει καὶ ἕτερα πλεῖστα εἰργάσατο τέρατα Sept. 4. λόγον καὶ ἀκοὴν ὑπερβαίνοντα. Οὗτος οὖν ὁ τοιοῦτος καὶ τηλικοῦτος, ὁ τεσσαράκοντα ἔτη στρατηγήσας, ἐπεὶ διὰ τῆς τοῦ ὕδατος ἀντιλογίας τὸν Θεὸν παρώξυνεν, ἐπειπὼν πρὸς τὸν λαὸν διψῶντα καὶ καταγογγύζοντα αὐτοῦ· « Μὴ δύνα» μαι ἐκ τῆς πέτρας ταύτης ἐξαγαγεῖν ὕδωρ καὶ » ποτίσαι ὑμᾶς ; » οὐ παρεχωρήθη εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἀλλὰ κελευσθεὶς πρὸς Θεοῦ εἰς τὸ ὄρος ἀνελθεῖν Ἀβαρεὶθ[9] ἐν γῇ Μωὰβ καὶ ἀπὸ μακρόθεν κατιδεῖν τὴν Παλαιστίνην, ἐκεῖσε εἰς τὸ ὄρος τελευτᾷ. Καὶ θάπτεται ὑπὸ[10] ἀρχιστρατήγου Μιχαὴλ σκεπασθεὶς καὶ μηδενὶ ἔκτοτε ὁραθείς. Προέλαβε δὲ τὴν τοῦ Χριστοῦ παρουσίαν[11] ἔτη χίλια τετρακόσια ὀγδοήκοντα πέντε.

4. Τῇ αὐτῇ ἡμέρᾳ τῆς[1] ἁγίας μάρτυρος Ἑρμιόνης, θυγατρὸς Φιλίππου τοῦ ἀποστόλου. Αὕτη ὑπῆρχεν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως προφητεύουσα μετὰ τριῶν αὐτῆς ἀδελφῶν. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν εὐχῆς χάριν καὶ διδασκαλίας παραλαβοῦσα μίαν τῶν ἀδελφῶν αὐτῆς ὀνόματι Εὐτυχίδα, παρεγένετο εἰς Ἔφεσον προσκυνῆσαι τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον· ἀλλ' οὐχ εὗρεν αὐτόν· μετετέθη γάρ. Κατὰ συγκυρίαν δὲ καὶ Τραϊανὸς ἀπελθὼν ἐκ Ῥώμης εἰς Ἔφεσον, πρὸς τὸν κατὰ Περσῶν πόλεμον ὁρμώμενος, εὗρε τὸ ὄνομα τῆς ἁγίας μέγα ἐν τῇ Ἀσίᾳ (ἦν γάρ, ὡς ἔφημεν, προφητεύουσα) καὶ κρατήσας αὐτὴν καὶ βιασάμενος ἀρνήσασθαι τὸν Χριστόν, οὐκ ἔπεισε, καίτοι | καὶ κατὰ τοῦ f. 17v. προσώπου τύψας. Ὡς δὲ προεῖπεν αὐτῷ ὅτι· « Πέρσας νικήσεις καὶ μετὰ σὲ οὐκ ἀλλότριος κρα» τήσει τῆς βασιλείας, ἀλλ' ὁ ἐπὶ θυγατρί σου γαμ» βρός », ἀφείθη. Μετὰ δὲ ταῦτα τούτων οὕτως[2]

3. — [1] γεγονὼς *add.* Sa. — [2] καταγόμενος Sa. — [3] ἑοροῦσα Sa. — [4] τὴν *om.* Sa. — [5] καὶ τοῦ τω Sa. — [6] σκνιπὶ S, cf. Exod. 8, 16 : καὶ ἔσονται σκνῖφες. — [7] βραττούσῃ Sa. — [8] καὶ *om.* Sa. — [9] Ἀβαρεὶθ S, Sa, Ἀβαρίμ, Ἀβαρεὶμ, Deuteron. 34, 49. — [10] ὑπὸ τοῦ Sa. — [11] παρρουσίαν S.
4. — [1] μνήμη τῆς Sa. — [2] οὕτω Sa.

καὶ βροῦχος ἐπιστρατεύει· καὶ τὰ πρωτότοκα θανατοῖ· καὶ ἐν ἀργυρίῳ καὶ χρυσίῳ τὸν Ἰσραηλίτην λαὸν Sept. 4. πειρᾶται διελθεῖν καὶ ἐκ πέτρας ὕδωρ ἐξάγει καὶ μ' ἡμέρας καὶ μ' νύκτας νῆστις προσεδρεύσας Θεὸν μὲν εἶδεν ὡς ἀνθρώπῳ δυνατὸν ἦν ἰδεῖν· καὶ προσδιελέχθη στόμα κατὰ στόμα, πλάκας δὲ τὰς θείας δακτύλῳ Θεοῦ γραφείσας ἐδέξατο καὶ τὸ πρόσωπον ἐθεώθη καὶ διὰ παραπετάσματος τῷ λαῷ προσωμίλησεν καὶ ἕτερα πλεῖστα εἰργάσατο τέρατα, λόγον καὶ ἀκοὴν ὑπερβαίνοντα. Οὗτος οὖν ὁ τοιοῦτος καὶ τηλικοῦτος, ἐπεὶ διὰ τῆς τοῦ ὕδατος ἀντιλογίας τὸν Θεὸν παρώξυνεν ἐν τῷ ὄρει Ἀβαρεὶθ πρὸς Θεοῦ κελευσθεὶς ἀνελθεῖν ἐν γῇ[3] Μωὰβ καὶ τὴν γῆν τῆς ἐπαγγελίας ὀφθαλμοῖς κατιδεῖν, ἐκεῖσε τελευτᾷ ἐτῶν ὑπάρχων ρκ'. Ἔλαβε[4] δὲ τὴν παρουσίαν τοῦ Χριστοῦ ἔτη ‚αυπε'. — **Bb** : 1. 6. 4. 3. — **T** : 1. 2. — **L** : 1 : Βαβύλα καὶ τῶν σὺν αὐτῷ τριῶν ἁγίων νηπίων. — 2 : Ἄθλησις καὶ ἑτέρου ἁγίου ἱερομάρτυρος Βαβύλα ἐν Νικομηδείᾳ γενομένου διδασκάλου ἅμα τοῖς[5] σὺν αὐτῷ πδ συμφοιτηταῖς. — 6 : Θεοδώρου, Ἀμιανοῦ, Ἰουλιανοῦ καὶ Ὠκεανοῦ. — 4 : Ἑρμιόνης θυγατρὸς Φιλίππου τοῦ ἀποστόλου (= S). — 3 : Μωϋσέως τοῦ νομοθέτου καὶ θεόπτου. Μωϋσῆς ὁ προφήτης καὶ νομοθέτης γέγονεν υἱὸς Ἀβραὰμ ἑνὸς τῶν Ἑβραίων γεννηθεὶς ἐν Αἰγύπτῳ. Ἐπεὶ δὲ πρόσταγμα ἦν τοῦ Φαραὼ βασιλέως Αἰγύπτου ὥστε τὰ μὲν θήλεα τῶν βρεφῶν περιποιεῖσθαι, τὰ δὲ ἄρρενα ἀναιρεῖσθαι, ἰδοῦσα τὸν Μωϋσῆν ἡ μήτηρ αὐτοῦ ὅτι ἐστιν εὔμορφος καὶ ἐλεήσασα φονεῦσαι, ἐνέβαλεν εἰς κιβώτιον ἤτοι συρτάριον <καὶ[6]> ἔρριψεν εἰς τὸν ποταμόν. Κατέβη δὲ ἡ θυγάτηρ Φαραὼ λούσασθαι εἰς τὸν ποταμόν· καὶ ἰδοῦσα τὸ συρτάριον ἐν τῷ ποταμῷ καὶ τὸ παιδίον ἐν αὐτῷ κλαῖον, ἀνελάβετο αὐτὸ καὶ ἀνεδέξατο εἰς υἱόν· καὶ ἐδίδαξεν αὐτὸν πᾶσαν σοφίαν Αἰγυπτίων. Καὶ μετὰ ταῦτα ἐφάνη αὐτῷ ὁ Θεός· καὶ προσέταξεν ἐξαγαγεῖν τὸν λαὸν τῶν Ἑβραίων ἐξ Αἰγύπτου. Ὅθεν ἐξαγαγὼν τὸν λαὸν καὶ πολλὰ σημεῖα καὶ τέρατα ποιήσας καὶ πέτραν κρούσας καὶ ὕδωρ ἀναβλύσαι ποιήσας καὶ τεσσαράκοντα ἔτη στρατηγήσας πρὸ ἐτῶν χιλίων τετρακοσίων ὀγδοήκοντα πέντε τῆς Χριστοῦ καταβάσεως ἐτελεύτησε. Καὶ ἐτάφη ἐν ὄρει τινὶ ὑπὸ τοῦ ἀρχιστρατήγου Μιχαήλ. — **O** : 2. 6. 4. 5. 3. — **G** : 1 : Ἱερομάρτυρος Βαβύλα ἐπισκόπου Ἀντιοχείας καὶ γ' νηπίων.

— [3] τῇ Ba. — [4] *leg.* προέλαβε. — [5] τοὺς L. — [6] καὶ *om.* L.

Sept. 4. προβάντων, ὡς προειρήκει, καὶ τοῦ γαμβροῦ αὐτοῦ Ἀδριανοῦ κρατήσαντος, κατεσχέθη ὑπ' αὐτοῦ καὶ πολλαῖς τιμωρίαις καθυποβληθεῖσα, ὕστερον τοῖς δημίοις ἐξεδόθη πρὸς τὸ ἀποκαρατομηθῆναι. Οἳ καὶ ἐπίστευσαν τῷ Χριστῷ διὰ τὸ ξηρανθῆναι τὰς χεῖρας αὐτῶν καὶ πάλιν ὑγιασθῆναι[3] ὑπ' αὐτῆς. Αὐτὴ δὲ ἐν εἰρήνῃ παρέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ, ταφεῖσα ἐν Ἐφέσῳ. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι πλησίον τοῦ ἁγίου Ῥωμανοῦ.

5. Ἐν ᾧ τόπῳ συντελεῖται καὶ τῶν ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀθλησάντων μαρτύρων Πετρωνίου, Χαριτίνης καὶ Εὐτυχίδος <μνήμη[1].>

6. Καὶ[1] τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ὠκεανοῦ, Κεντυρίωνος, Θεοδώρου, Ἀμμιανοῦ καὶ Ἰουλιανοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ χωρίου λεγομένου Κανδαύλης. Συλληφθέντες δὲ καὶ τὸν Χριστὸν ὁμολογήσαντες, ἐκρεμάσθησαν καὶ ἐξέσθησαν ἄχρι τῶν ὀστῶν αὐτῶν· ἔπειτα[2] λουτρῷ ἐπὶ πολλαῖς ἡμέραις ἐκκαέντι ἐγκλεισθέντες καὶ δι' ἀγγέλου ἐκβληθέντες ἐκεῖθεν ἀβλαβεῖς (ἦν γὰρ ἐσφραγισμένον πανταχόθεν σφραγῖδι βασιλικῇ τὸ βαλανεῖον), ἔξω τῆς πόλεως ἀπήχθησαν· καὶ πάντα τὰ μέλη μαχαίραις διακοπέντες καὶ τὰ σκέλη διαθλασθέντες καὶ εἰς πῦρ ἀποπεμφθέντες, θῦμα τῷ Θεῷ εὐπρόσδεκτον προσηνέχθησαν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

Sept. 5. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ζαχαρίου, πατρὸς Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ. Οὗτος ἦν ἐξ Ἱερουσαλήμ, ἔγγονος μὲν

f. 18. Ἀβίαθαρ τοῦ ἐν[1] εὐαγγελίοις | ἀναγεγραμμένου ἀρχιερέως, υἱὸς δὲ Ἰωδαὲ ἱερέως, ὃν καὶ ἐκάλουν Βαραχίαν. Ὅντινα Βαραχίαν ἀπέκτεινεν Ἰωὰζ ὁ βασιλεὺς Ἰούδα[2] διὰ τὸ ἐλέγχειν[3] αὐτόν τε καὶ τοὺς Ἰουδαίους ἐχόμενα τοῦ θυσιαστηρίου. Ὁ δὲ Ζαχαρίας καὶ αὐτὸς ἱερεὺς ἦν ἐν Ἱερουσαλήμ. Εἰσελθὼν δέ ποτε ἐν τῷ ναῷ τοῦ θυμιᾶσαι, εἶδεν ἄγγελον Θεοῦ ἑστῶτα ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος καὶ μηνύοντα αὐτῷ[4] τὴν ἐν γήρᾳ σύλληψιν καὶ γέννησιν τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου τοῦ βαπτιστοῦ· ὃ δὴ καὶ γέγονεν. Ἐπεὶ δὲ[5] μετ' ὀλίγον παρηκολούθηκεν[6] ἡ γέννησις τοῦ Χριστοῦ καὶ τέτοκεν ἡ Θεοτόκος καὶ μεμένηκεν αὖθις παρθένος, ἐκηρύττετο δὲ παρ' αὐτοῦ παρρησίᾳ, ὅτι πάλιν παρθένος ἐστὶν ἡ Μαριάμ, καὶ ταύτην ἐν τῇ στάσει καὶ τῷ χορῷ τῶν παρθένων καθίστη, τοὺς Ἰουδαίους[7] διήγειρεν εἰς τὸν κατ' αὐτοῦ φθόνον. Καὶ ἐκ τούτου τρόπον ἐμελέτων, δι' οὗ αὐτὸν θανατώσουσιν. Ὡς δὲ Ἡρώδης ὁ βασιλεὺς τῷ τότε, ταραχθεὶς διὰ τὸν τεχθέντα βασιλέα, ἀπέστειλεν ἀποκτεῖναι τὰ ἐν Βηθλεὲμ πάντα νήπια· (ἦν δὲ καὶ Ἰωάννης νήπιον ὡσεὶ μηνῶν ἓξ καὶ ἀπεκρύφθη παρὰ τῆς μητρὸς αὐτοῦ Ἐλισάβετ ἐν σπηλαίῳ πέραν τοῦ Ἰορδάνου φόβῳ τοῦ μὴ ἀποκτανθῆναι), οἱ φθονεροὶ Ἰουδαῖοι δραξάμενοι τοῦ καιροῦ ἐδήλωσαν τῷ Ἡρώδῃ τὸν τοῦ Ζαχαρίου υἱὸν μὴ εὑρίσκεσθαι διὰ τὸ μετατεθῆναι ὑπ' αὐτοῦ. Ὃς καὶ θυμωθεὶς προσέταξεν ἀντὶ τοῦ παιδὸς τὸν πατέρα ἀναιρεθῆναι καὶ δὴ συλληφθέντα[8] παρὰ τῶν παρανόμων Ἰουδαίων καὶ ἀπαχθέντα ἔσωθεν τοῦ ναοῦ, ἔνθα καὶ τὴν παρθένον ἵστη μετὰ τὸ τεκεῖν, ἀποκτανθῆναι ἐκεῖσε καὶ τὸ αἷμα αὐτου χεθῆναι μέσον τοῦ θυσιαστηρίου. Ὃν λαβόντες οἱ ἱερεῖς ἔθαψαν μετὰ τῶν πατέρων αὐτοῦ ἐν Ἱερουσαλήμ. Ἔκτοτε οὖν ἐγένοντο τέρατα καὶ φαντασίαι ἐν τῷ ναῷ· καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν ὀπτασίαν ἀγγέλων Θεοῦ, οὔτε δοῦναι χρησμὸν ἐκ τοῦ Δαβὴρ[9] οὔτε ἐρωτῆσαι ἐν τῷ ἐφούδ, οὔτε διαδήλως ἀποκριθῆναι τῷ λαῷ ὡς τὸ πρίν.

— [3] ὑγιωθῆναι Sa.
5. — [1] μνήμη Sa. *om.* S.
6. — [1] καὶ *om.* Sa. — [2] ἔπειτα Sa, ἔπει S.
1. — [1] ἐν τοῖς Sa. — [2] ὁ βασιλεὺς Ἰωὰζ τῶν Ἰουδαίων τότε βασιλεύων Sa. — [3] διὰ τὸ ὑπ' αὐτοῦ ἐλέγχεσθαι Sa. — [4] αὐτοῦ S. — [5] δὴ Sa. — [6] παρηκολούθησεν Sa. — [7] τοῖς Ἰουδαίοις Sa. — [8] συληφθέντα S. — [9] δαβίρ, δαβεὶρ III Reg. 6, 9.

Sept. 4. Ὃς εἰσελθόντα Νουμεριανὸν τὸν βασιλέα ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ ὡς ἀνδράποδον εὐτελὲς ἀπήλασε τῆς ἐκκλησίας· « Ποῦ πορεύει, φήσας, μεμολυσμένας ἔχων τὰς χεῖρας[7] αἵματι; » τὸν γὰρ υἱὸν τοῦ βασιλέως Περσῶν, ὃν εἰς ὅμηρα εἶχε, κατέσφαξεν. Διὸ σιδήροις δεσμεῖται καὶ πομπεύεται καὶ τὴν κεφαλὴν σὺν τοῖς τρισὶ παισὶν[8] ἀφαιρεῖται. Τοῦτον καὶ ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. — 2 (= Ba). — 3 (= Ba). — 4. — **C** : deest. — **Cb** : deest. — **M** : 1. 2. — 4 : Θεότιμος καὶ Θεόδουλος οἱ ἀπὸ δημίων πιστεύσαντες π. τ. — 6 : ὁ ἅγιος μάρτυς Κεντηρίων π. τ. — 3. 4. — Τρισχιλίων ἑξακοσίων εἴκοσι ὀκτὼ μαρτύρων (Sept. 2[3]). — 5. — Θαθουὴλ καὶΒεβαίας (Sept. 5[4]). — **Mv** : 1. 2 : Θεότιμος καὶ Θεόδουλος. — 3. 4. 6. 5 (Πετρωνίου, Χαριτίνης, Ζαρβήλου, Θαθουὴλ καὶ Βεβαίας). — Τρισχιλίων ἑξακοσίων εἴκοσι ὀκτὼ μαρτύρων. — **Mr** : 1. 3.

Sept. 5. SYNAXARIA SELECTA. **Sa** : 1. mutil. — **H** : 6. 3 (Ἀβδιοῦ). — 4 (...Βεβλίας). — 1. — **P** : 1 : τοῦ ἁγίου προφήτου Ζαχαρίου πατρὸς τοῦ προδρόμου Ἰωάννου ἐν τῷ Καταβόλῳ. — 3 (Ἀβδιοῦ). — 4 : Βουθαὴλ καὶ Βαιεβᾶς τῆς ἀδελφῆς αὐτοῦ καὶ Ζαρβιλίου. — **F** : 1. 5. 4. 3. — **Fa** : 1. 5 (Ἱεραΐδος). 4 (Οὐθαήλ). — 3. — **Fb** : 1. 5. 4. 3. — **B** : 1. 3. 4. — **Ba** : 1. 3. 4. 5 : Ἡραΐδος καὶ τῶν σὺν αὐτῇ. Αὕτη πρεσβύτου τινὸς ἦν θυγάτηρ καὶ τὸν μονήρη βίον μετερχομένη. Θεασαμένη δὲ σὺν ἄλλοις καὶ γυναῖκας διὰ τὸ τοῦ Χριστοῦ ὄνομα δεδεμένας καὶ μαθοῦσα ἐν τῷ ἐρωτᾶν αὐτὰς τὴν αἰτίαν δι' ἣν δέδενται· « Κἀγὼ χριστιανή, φησίν, εἰμὶ καὶ τὰ εἴδωλα διαπτύω. » Συλλαμβάνεται οὖν καὶ αὐτίκα

— [7] χῆρας G. — [8] πεσὴν G.

2. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἱερομάρτυρος Κυρίλλου, ἐπισκόπου Γορτύνης τῆς

f. 18ᵛ. τῶν Κρητῶν νήσου. Οὗτος ἐ|ξ ἀρχῆς ὁσίως βιώσας καὶ πολλὰ ἀσκήσας, ἑξηκονταετὴς γενόμενος, ἐπίσκοπος καθίσταται ἐν Γορτύνῃ· ποιμαίνει[1] δὲ τὴν κατ' αὐτὸν ἐκκλησίαν ἔτη εἴκοσι πέντε. Κατὰ τοὺς χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ Ἀγρηϊανῷ[2] τῷ ἡγεμόνι παρέστη καὶ τὸν Χριστὸν παρρησίᾳ κηρύξας καὶ πολλὰ διδάξας καὶ τὴν πλάνην ἐλέγξας, ἐν κημῷ τὸ στόμα δεθεὶς καὶ ἐν ἁμάξῃ τεθεὶς (οὐ γὰρ ἠδύνατο βαδίζειν, πέντε καὶ ἐνενήκοντα ἐτῶν γεγονώς), καὶ πρὸς σφαγὴν ἀπαγόμενος, ἐπεὶ τὸν τόπον κατέλαβε τὸν λεγόμενον Ῥάξον, αὐτομάτως τῶν βοῶν στάντων διὰ τὸ ἐνεχθῆναι φωνὴν ἄνωθεν στῆναι κελεύουσαν, τὸν αὐχένα ὑποθεὶς τῷ ξίφει, τὴν κεφαλὴν ἀπετμήθη.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις Ἄβδα ἐπισκόπου Ἐργὸλ τῆς Περσίδος καὶ Βενιαμὶν διακόνου. Ὃς ἤθλησεν ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μικροῦ εἰς Περσίαν, Ἰσδιγέρδου βασιλεύοντος ἐν αὐτῇ. Ἐπειδὴ γὰρ πολλὰ διδάσκων οὐκ ἔπειθε τοὺς Πέρσας τῆς προσκυνήσεως τῶν εἰδώλων ἀπέχεσθαι, ζήλῳ διαπύρῳ χρησάμενος καὶ τὸν τοῦ πυρὸς ναὸν κατακαύσας, ἐν ᾧ οἱ βασιλεῖς τῶν Περσῶν ἔθυον, αὐτὸς μὲν συσχεθεὶς καὶ πολλαῖς πρότερον τιμωρίαις καθυποβληθείς, ὕστερον δὲ διὰ τεσσάρων στρατιωτῶν ῥάβδοις ῥοΐναις ἠκανθωμέναις πανταχοῦ τοῦ σώματος τυφθεὶς καὶ εἰς τὸν ἴδιον οἶκον ῥιφεὶς ὡς νεκρός, κατὰ βραχὺ τὴν ἁγίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ παρέθετο. Ἔκτοτε δὲ ἤρξατο ὁ μέγας διωγμὸς κατὰ χριστιανῶν παρὰ Πέρσαις, παραταθεὶς εἰς τριάκοντα χρόνους· ἐν οἷς πολλῶν μὲν χεῖρες ἀπετμήθησαν, πολλῶν δὲ ὦτα, ἄλλων δὲ κεφαλαὶ ἀπεδάρησαν· οἱ δὲ καλάμους ὀξεῖς ἐν τοῖς τοῦ σώματος εἰσδύντας ἐδέξαντο· εἶτα σχοινίοις εἰληθέντες καθ' ὅλου τοῦ σώματος ἀσφαλῶς, πικροτάτας ὑπέστησαν ἀλγηδόνας, τῶν καλάμων βίᾳ ἐξελκομένων· πολλοὶ δὲ δεσμευθέντες χεῖρας καὶ πόδας ἐν βαθυτάτοις ἐρρίφησαν λάκκοις· ἐν οἷς

Sept. 5. μυῶν ἀγέλαι καὶ γαλῶν ἐναπεκλείσθησαν, τῆς εἰσόδου τῶν λάκκων ἀσφαλῶς διησφαλισμένης·[1] καὶ συνέβαινε τοὺς μῦς ἀπορουμένους τροφῆς τῶν

f. 19. σαρκῶν τῶν ἀθλητῶν | ἀπογεύεσθαι καὶ δαψιλῶς ἐμφορεῖσθαι. Καὶ ἕτεροι εἰς τὰς ἕδρας καὶ τὰ παιδογόνα μόρια εἰσωθισμοὺς[2] καλάμων καὶ ῥάβδων ὑποστάντες, οὕτως τὴν ζωὴν ἀπέλιπον. Ὧν εἷς ἐστι καὶ ὁ τρισμακάριος διάκονος Βενιαμίν, κατὰ τῶν ὀνύχων εἴκοσι καλάμους ὀξεῖς ἐμπαγεὶς καὶ κατὰ τῶν φυσικῶν καὶ ἀναγκαίων μορίων τοῦ σώματος.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Θουθαὴλ καὶ Βεβαίας τῆς αὐτοῦ ἀδελφῆς. Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως ἐν Ἐδέσῃ[1] ἱερεὺς τῶν εἰδώλων· παρὰ δὲ Βαρσιμαΐου ἐπισκόπου Ἐδέσης κατηχηθεὶς καὶ τὰ εἴδωλα μυσαχθείς, ὑπὸ αὐτοῦ ἐβαπτίσθη σὺν Βεβαίᾳ τῇ αὐτοῦ ἀδελφῇ. Ἐπειδὴ καὶ τοῖς πρώην ὁμόφροσιν παρῄνει τῆς εἰδωλολατρείας ἀπέχεσθαι καὶ πολλοὺς παρέπειθε, κρατηθεὶς παρὰ τοῦ τότε τοπάρχου Ἐδέσης, πρῶτον μὲν ῥαβδίζεται, εἶτα σπαθίζεται καὶ κατὰ τῆς γαστρὸς τύπτεται καὶ ὄψιν ξέεται καὶ τῆς μιᾶς χειρὸς ἀναρτᾶται· καὶ αὖθις κρεμᾶται καὶ ξέεται καὶ ἐν διαφόροις τοῦ σώματος μέρεσι πυρὶ κατακαίεται· καὶ ἐν τεκτονικῷ κοχλίᾳ ἀποθλιβεὶς καὶ τὴν κεφαλὴν πρισθεὶς καὶ ταύτην ἐν τῷ πρίζεσθαι ἀποκοπείς, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν. Ἡ δὲ ἀδελφὴ αὐτοῦ Βεβαία μετὰ κοντοῦ πληγὴν κατὰ τοῦ τραχήλου δεξαμένη, τὸν τοῦ μαρτυρίου δρόμον διήνυσε.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἡραΐδος καὶ τῶν σὺν αὐτῇ. Αὐτὴ θυγάτηρ ἦν τινος ἱερέως, ἐτῶν δὲ οὖσα δώδεκα τὸν μονήρη βίον ἠσπάσατο. Κατά τινα δὲ πάροδον ἰδοῦσα σὺν ἀνδράσι καὶ γυναῖκας συλλαμβανομένας καὶ δεσμουμένας καὶ πλησιάσασα αὐταῖς καὶ τὴν αἰτίαν ἐπερωτήσασα, δι' ἣν δέδενται, καὶ μαθοῦσα διὰ τὸ εἶναι αὐτὰς χριστιανάς, παραυτίκα κατενώπιον τῶν συλλαμβανόντων ἐξεβόησε· « Κἀγὼ χριστιανή εἰμι[1] » καὶ τὰ εἴδωλα διαπτύω. » Διὸ καὶ συλληφθεῖσα

2. — [1] ποιμένη S. — [2] Ἀγρειανὸς *in cod. Vatic. 1669*, Act. SS., *Iul. II, 685.*
3. — [1] διασφαλισμένης S. — [2] εἰσωθησμοὺς S.
4. — [1] Ἐδέσῃ S, *et ita plerumque in mss. codd. Cf.* Dobschütz, Christusbilder, *38***.
5. — [1] χριστιανὶ εἰ μὴ S.

Sept. 5. εἰς ἐξέτασιν σὺν ταῖς λοιπαῖς γυναιξὶν Κουλκιανῷ καθίσταται. Ὅθεν μετὰ πολλὰς τὰς ἐρωτήσεις τὴν διὰ ξίφους ἀπόφασιν δέχονται καὶ τμηθεῖσαι τὰς κεφαλὰς πρὸς τὰ βραβεῖα τῆς ἄνω κλήσεως μετετάξαντο. — **Bb** : 1. 3. 4. 5. — **T** : 1. — **L** : 1. 3. — **O** : 1. 6. 3. 4 : Θουθαὴλ καὶ Ζαρβίλου καὶ Βεβλίας τῆς ἀδελφῆς αὐτοῦ. — **G** : 1 : Ζαχαρίου πατρὸς Ἰωάννου τοῦ βαπτιστοῦ. Οὗτος παρρησίᾳ κηρύττων τὴν Θεοτόκον μητέρα νόμοῦ καὶ παρθένον καὶ τῆς[1] ἀφωρισμένῆς παρθένοις ἐν τῷ ἱερῷ στάσεως μὴ ἐξιέναι[2] κελεύων ἀλλὰ καὶ τοὺς ἐπιχειροῦντάς τι περὶ αὐτῆς λέγειν ἐπεστόμιζεν. Ὅθεν ὑπὸ Ἰουδαίων ἀναιρεῖται μεταξὺ τοῦ λαοῦ καὶ τοῦ θυσιαστηρίου. — 4 : Θουθαὴλ καὶ Βεβαίας. Οὗτος ὑπῆρχεν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως ἱερεὺς τῶν εἰδώλων. Παρὰ δὲ Βαρσιμαίου ἐπισκόπου Ἐδέσης[3] κατηχηθεὶς σὺν τῇ ἀδελφῇ Βεβαίᾳ τὸ ἅγιον δέχεται βάπτισμα· διὰ τοῦτο εἰς ἐξέτασιν τῷ Λυσίᾳ ὁ Θουθαὴλ καθίσταται· καὶ πρῶτον μὲν ῥαβδίζεται, εἶτα σπαθίζεται καὶ τὴν ὄψιν ξέεται καὶ κατὰ τῆς γαστρὸς τύπτεται καὶ τῆς μιᾶς χειρὸς ἐξαρτᾶται καὶ αὖθις κρεμνᾶται καὶ ξέεται· καὶ ἐν διαφόροις τοῦ σώματος μέρεσι πυρὶ κατακαίεται καὶ ἐν τεκτονικῷ κοχλίᾳ ἀποβληθεὶς ἐν τῷ τὴν κεφαλὴν πρίζεσθαι τὴν ψυχὴν εἰς χεῖρας[4] Θεοῦ παρατίθησι, τὴν κεφαλὴν ἐκκοπείς. Συναποτέμνεται δὲ αὐτῷ καὶ Βεβαία ἡ ἀδελφὴ αὐτοῦ, τοῦτο τοῦ ἡγεμόνος προστάξαντος. — 4. — **C** : deest. — **Cb** : deest. — **M** : 1. 4 : Θαθουὴλ καὶ Βεβαία ξ. τ. — 3 : Ἀβδαῖος ῥάβδοις ἀκανθώδεσι τυφθεὶς τ. — Ῥαῒς ξ. τ. — Σάρβηλος λιθοβοληθεὶς τ. — Οὐρβανοῦ, Θεοδώρου κτλ. (sept. 6[4]). — 6. 3

[1] τοῖς G. — [2] ἐξηαΐνε G. — [3] Αἰδέσις G. — [4] χήρας G.

Sept. 5. εἰς ἐξέτασιν κατέστη Κουλκιανῷ ἐπάρχῳ Ἀλεξανδρείας· ὅθεν μετὰ πολλὰς τὰς ἐρωτήσεις τὴν διὰ ξίφους ἀπόφασιν δέχεται καὶ τελειοῦται σὺν ταῖς λοιπαῖς γυναιξί.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἀποστόλου Πέτρου ἐν τῷ Ἀθύρᾳ.

Ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

f. 19v.

| ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛ'.

Sept. 6. 1. Ἑορτὴν ἐπιτελοῦμεν τοῦ ἀρχιστρατήγου Μιχαήλ, ἀνάμνησιν ποιούμενοι τοῦ θαύματος τοῦ δι' αὐτοῦ γενομένου ἐν Κολασσαῖς τῆς Φρυγίας, ταῖς μετὰ τοῦτο ἐπικληθείσαις Χώναις. Ἐπειδὴ γὰρ τότε ἀρχὴν εἶχε τὸ κήρυγμα καὶ ὁ ἑλληνισμὸς ἀκμὴν ἐπεπλάτυστο, ἐπεδήμησεν Ἰωάννης ὁ θεολόγος καὶ εὐαγγελιστὴς καὶ εἰς Κολασσὰς εἰς τόπον οὕτω καλούμενον Χαιρέτοπα καὶ διδασκαλίαν ἐποιήσατο· καὶ ἐπιφάνειαν ὅσον οὔπω γενέσθαι τῷ τόπῳ τοῦ ἀρχιστρατήγου Μιχαὴλ προεῖπε καὶ ἀνάδοσιν ὕδατος ἰαματοβρύτου· οὗ γενομένου καὶ διὰ τῆς τοῦ ἁγίου ὕδατος μεταλήψεώς τε καὶ χρίσεως πολλῶν μὲν ἀλάλων λαλούντων, πολλῶν δὲ δαιμονώντων καὶ ἀσθενούντων ἰωμένων καὶ ναὸν ἐκεῖσε περικαλλῆ τῶν πιστευσάντων δειμαμένων, ἐν ᾧ καί τις ὀνόματι Ἄρχιππος ἠσκεῖτο ξένην τινὰ ἄσκησιν, προσμείνας πίστει καὶ πόθῳ τοῦ ἀρχιστρατήγου ἐν τῷ ναῷ ἔτη ἑβδομήκοντα κἀκεῖσε ὁσίως τελευτήσας, οἱ ἑλληνίζοντες φθόνῳ φερόμενοι, πρῶτον μὲν διὰ τῆς τοῦ Χρύσου τοῦ ποταμοῦ παρεκνομῆς ἐπειράθησαν συμμῖξαι τὸ ἅγιον ἐκεῖνο ὕδωρ καὶ ἀμβλῦναι ἐκ τούτου τὴν ἐνέργειαν τῶν ἰάσεων, ὡς ᾤοντο, κἂν ἀπέτυχον τοῦ σκοποῦ, τοῦ ποταμοῦ ἀναχαιτισθέντος καὶ ἄλλῃ τραπέντος θείᾳ νεύσει. Ἔπειτα δὲ τάφρον βαθεῖαν καὶ μεγάλην κατορύξαντες καὶ περίφραγμά τι μηχανικῶς ἐπιθέντες, Κοῦφον καὶ Λυκόκαπρον τοὺς ἐκεῖσε ποταμοὺς δι' αὐλάκων τινῶν εἰς τὴν τάφρον καταρρεῦσαι πεποιήκεσαν. Καὶ μετὰ παραδρομὴν ἡμερῶν δέκα πλησθείσης τῆς τάφρου, μέσης νυκτὸς ἐβουλήθησαν ἆραι τὸ περίφραγμα καὶ ἀφ' ὑψηλοῦ τοῦ τόπου ἐπαφεῖναι τὰ συναχθέντα ὕδατα καὶ οὕτως τῷ πλήθει καὶ τῷ ῥοίζῳ αἰφνηδὸν κατελθεῖν καὶ συγκατακλύσαι τόν τε Ἄρχιππον καὶ τὸν ναὸν καὶ τὸ ὕδωρ ἀφανῖσαι. Τούτου δὲ ἐπιβούλως γιγνομένου καὶ τοῦ Ἀρχίππου ἐν αἰσθήσει ὄντος καὶ δεήσεις ποιουμένου, μετὰ δακρύων πρὸς τὸν ἀρχιστράτηγον, ἐκεῖνος μὴ μελλήσας[1] φθάνει ὡς στύλος πυρὸς φαινόμενος καὶ τῷ Ἀρχίππῳ μὴ φοβεῖσθαι παρεγγυησάμενος, | f. 20. στὰς ἐπάνω πέτρας μεγάλης, εἰς ἣν ἤδη φθάσαι τὰ ὕδατα ἠπείγετο, καὶ ταύτην τῇ ἐν τῇ χειρὶ ῥάβδῳ πλήξας καὶ διατεμών, ἐν ταύτῃ χωνεύεσθαι τὰ ὕδατα τῶν δύο ποταμῶν προσέταξεν. Οὗ καὶ θαυμαστῶς γενομένου, Χώνας ἔκτοτε τὸν τόπον κεκλήκασι. Διὰ ταῦτα τοίνυν τὴν ἀνάμνησιν τοῦ ἀρχιστρατήγου ποιούμενοι συναγόμεθα ἐν τῷ σεπτῷ αὐτοῦ τεμένει, τῷ ἐν τῷ Ἀνάπλῳ.

2. Συνέδραμε δὲ τῇ ἡμέρᾳ ταύτῃ καὶ τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ οἴκῳ τῆς Ἄννης ἐν τῷ Δευτέρῳ[1].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ῥωμύλου, Εὐδοξίου, Ζήνωνος καὶ Μακαρίου. Τούτων τῶν ἁγίων ὁ μὲν Ῥωμύλος[1] πραιπόσιτος ἦν τὴν ἀξίαν· ὑπῆρχεν δὲ ἐπὶ Τραϊανοῦ βασιλέως, πρώην μὲν ὁμόφρων αὐτῷ καὶ συμβουλευσάμενος ἀποστεῖλαι πρὸς τοὺς ἐν Γαλλίᾳ στρατιώτας καὶ καταναγκάσαι αὐτοὺς προσκυνῆσαι τοῖς εἰδώλοις. Οὓς καὶ ἀντειπόντας τῷ προστάγματι αὐτοῦ μετὰ ζέοντος τοῦ θυμοῦ ἐξορίᾳ

1. — [1] μελήσας S.
2. — [1] εἰς τὸ Δεύτερον S.
3. — [1] Ρωμῦλος S *semper*.

Sept. 5. (iterum Ἀβδιοῦ). — **Mv** : 1. 3 (Ἀβδαῖος) — Ῥαΐς — Σάρβιλος — Οὐρβανοῦ κτλ. — 6. 3 (Ἀβδιοῦ). — **Mr** : 1.

Sept. 6. SYNAXARIA SELECTA. **Sa** : deest. — **H** : 3. 5. 1. 2. — **P** : 3. 5 : Φαύστου πρεσβυτέρου, Βίβου διακόνου[1] καὶ μονάζοντος, Διονυσίου ... Κυριακοῦ δημότου, Ἀνδραπελαγίας[2] καὶ Θέκλης ... — 1. — **F** : 1. 3 : Κυρίλλου ἐπισκόπου Γορτύνης (Sept. 5[2]). 4. 5. — **Fa** : 1. 3 : Κυρίλλου. 4. 5. — **Fb** : 1. 3 : Κυρίλλου. — 4. 5. — **B** : 1. 3. (Εὐδοξίου, Ρωμύλου tantum). — 5. — **Ba** : 1. 3 (= S). 5. — **Bb** : 1 3. 5. 4. — **T** : 1. — **L** : 1. 3. — **O** : 1. 3 : Εὐδοξίου, Ρωμύλου κτλ. Ὁ μὲν Ῥωμύλος ἐμαρτύρησεν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως καὶ ἀπετμήθη τὴν κεφαλήν· οἱ δὲ λοιποὶ ἐπὶ Διοκλητιανοῦ κινήσαντος δόγμα κατὰ τῶν χριστιανῶν. Συλληφθεὶς οὖν ὁ ἅγιος Εὐδόξιος κόμης ὢν παρὰ τοῦ ἡγεμόνος Μελιτηνῆς μετὰ πλήθους ὡσεὶ χιλίων καὶ τριάκοντα ἐτελειώθη διὰ ξίφους. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Προκοπίου ἔνδον τοῦ ἁγίου μάρτυρος Μηνᾶ. — 5. 2. — **G** : 1. 3. — **C** : deest. — **Cb** : 4 : Οὐρβανοῦ, Θεοδώρου, Βενεδήμου καὶ τῶν σὺν αὐτοῖς κατακαέντων ὑπὸ τοῦ Οὐάλεντος. Τοῦ δυσσεβοῦς Οὐάλεντος βασιλεύοντος καὶ τῆς ἀρειανικῆς δόξης ἐκθύμως προϊσταμένου, οἱ τὸ ὁμοούσιον φρονοῦντες ἀπηνῶς ἐδιώκοντο. Ὅθεν οἱ ἀρειανίζοντες[3] ἐν δεσμωτηρίῳ κατακλείονται. Ἅπερ μὴ φέροντες, ἐπὶ τῷ δεηθῆναι τοῦ βασιλέως ἤρχοντο, ἐν Νικομηδείᾳ[4] τότε διατρίβοντος[5], εἴ πως δύναιντο μερικῶς κἂν γοῦν ἀνέθῆναι τῆς βίας· ἀλλὰ τἀναντία ἀπείληφαν. Ὡς γὰρ ἐπιλεχθέντες ἄνδρες εὐλαβεῖς τοῦ ἐκκλησιαστικοῦ τυγχάνοντες τάγματος, τὸν ἀριθμὸν ὄντες ὀγδοήκοντα, ὧν ἡγοῦντο Οὐρβανός, Θεόδωρος καὶ Βενέδιμος, εἰς τὴν Νικομήδειαν[6] παρεγένοντο, καὶ ἱκεσίας ὤρεγον τῷ βασιλεῖ

[1] Βιβουδιανοῦ P. — [2] ἄνδρα, Πελαγίας P. — [3] *ita cod., legendum videtur* ὅθεν ὑπὸ τῶν ἀρειανιζόντων, *nisi quaedam exciderint.* — [4] Νικομιδίᾳ Cb. — [5] *corr., prius* διατρίβοντες Cb. — [6] Νικομίδιαν Cb.

παρέδωκεν εἰς χώραν τῆς Ἀρμενίας ἐν πόλει Μελιτηνῇ· κἀκεῖσε πικρῷ θανάτῳ ὑπέβαλεν, ὄντας τὸν ἀριθμὸν χιλιάδας ἕνδεκα. Ὧν τῇ ἀπωλείᾳ μεταμεληθεὶς ὁ Ῥωμύλος καὶ ἑαυτὸν ἐπιμεμψάμενος, θείῳ ζήλῳ κινηθεὶς ἐπίστευσε τῷ Χριστῷ καὶ τὴν εὐσέβειαν παρρησιασάμενος καὶ τὴν ἀπήνειαν τοῦ βασιλέως ἐλέγξας, μετὰ πολλὰς τὰς βασάνους τὴν κεφαλὴν ἀπετμήθη. Μετὰ δὲ Τραϊανὸν καὶ λοιποὺς βασιλεῖς, οὐκ ὀλίγων ἐτῶν ἀπελθόντων, κρατήσαντος τῆς βασιλείας Διοκλητιανοῦ καὶ δόγμα ἐκθέντος ἀναιρεῖσθαι τοὺς χριστιανούς, συνελήφθη[2] παρὰ τοῦ τῆς Μελιτηνῆς ἡγεμόνος καὶ ὁ ἐνδοξότατος Εὐδόξιος, κόμης ὢν τὴν ἀξίαν καὶ τὸ σέβας χριστιανός· ὑφ' οὗ πλείσταις καὶ διαφόροις ἐκδοθεὶς ταῖς τιμωρίαις, ὕστερον ἀπεκεφαλίσθη μετὰ Ζήνωνος τοῦ φιλτάτου καὶ Μακαρίου τοῦ μακαριωτάτου ἅμα σὺν τοῖς ὑπ' αὐτὸν στρατιώταις, τὸν ἀριθμὸν οὖσι χιλίοις ἑκατὸν τριάκοντα τέσσαρσιν. Ἡ δὲ αὐτῶν σύναξις τελεῖται ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Προκοπίου, ἔνδον τοῦ ἁγίου μάρτυρος Μηνᾶ.

f. 20v. 4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων | μαρτύρων Οὐρβανοῦ[1], Θεοδώρου, Μεδίμνου[2] καὶ τῶν σὺν αὐτοῖς ὀγδοήκοντα ἱερέων καὶ λευϊτῶν. Οὗτοι ἐπὶ τῆς βασιλείας τοῦ κακόφρονος Οὐάλεντος[3] τῆς τῶν Ἀρειανῶν αἱρέσεως προϊσταμένου, πάμπολλα δεινὰ πάσχοντες ὑπὸ τῶν αἱρετικῶν καὶ μετὰ ταῦτα τῆς ἐκκλησίας ἐξωσθέντες[4], παραγενόμενοι ἐν Νικομηδείᾳ ὡς τοῦ βασιλέως δεηθησόμενοι, χαλεπώτερα ὑπομένουσι. Προστάξει γὰρ τοῦ ἐπάρχου μετεμβληθέντες ἐν ἑτέρῳ πλοίῳ παλαιῷ καὶ εἰς τὸ μέσον τοῦ Ἀστακηνοῦ κόλπου ἀπαχθέντες, τῶν ναυτῶν εἰς ἕτερον ἀκάτιον εἰσπηδησάντων καὶ ἀποφυγόντων, πυρὶ βάλλονται καὶ τοῦ πλοίου καταναλωθέντος, αὐτοὶ δι' ὕδατος καὶ πυρὸς ὁλοκαυτοῦνται.

Sept. 6. 5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φαύστου πρεσβυτέρου, Βίβου[1] διακόνου καὶ μονάζοντος, Διονυσίου ἀναγνώστου, Κυριακοῦ ἐπακολούθου τοῦ μακαρίου Φαύστου, Ἀνδρονίκου στρατιώτου, Θεοκτίστου ναυκλήρου, Μακαρίου πολιτευομένου, Ἀνδρέου κουρικτοριανοῦ, Σαραπάμβωνος βουλευτοῦ, Κυριακοῦ δημότου, Ἀνδροπελαγίας καὶ Θεοκλῆς[2] παρθένων ἀδελφῶν καὶ Καλοδότης γυναικὸς Κύρου ἐγκυμονούσης. Οὗτοι ἐμαρτύρησαν ἐπὶ τῆς βασιλείας Δεκίου ἐν Ἀλεξανδρείᾳ πόλει τῆς Αἰγύπτου συσχεθέντες παρὰ Οὐαλεριανοῦ κουρίκτορος καὶ ἡγεμόνος καὶ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν πολλὰ δεινὰ ὑποστάντες τὰς κεφαλὰς ἀπετμήθησαν, ὄντες τὸν ἀριθμὸν δεκατρεῖς.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

Sept. 7. 1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σώζοντος. Οὗτος ὥρμητο ἐκ χώρας Λυκαόνων, πρότερον μὲν Ταράσιος καλούμενος, μετονομασθεὶς δὲ Σώζων διὰ τοῦ ἁγίου βαπτίσματος. Καὶ ποιμὴν προβάτων γενόμενος, ἀπελθών ποτε εἰς δρῦν μεγάλην, ἔνθα ἦν ὕδωρ, ἐνέβαλεν εἰς ὕδωρ[1] ἐκεῖνο μετὰ προσευ-

— [2] συνελλήφθη S.
4. — [1] Οὐρβασός, Sozomenos, H. E. *VI. 14* (Hussey, *571*). Οὐρβανός, Socrates, H. E. *VI. 16* (Hussey, *506*). — [2] Μενέδημος, Socrates, Sozomenos. — [3] τοῦ *add.* Sa. — [4] ἐξωθέντες S.
5. — [1] Ἀβίβου F, Fa. — [2] Θέκλης O.

Sept. 6. τὴν βίαν ἀναδιδάσκοντες καὶ ὅσα ὑπέμενον. Ὀργισθεὶς οὖν Οὐάλης τοσοῦτον ἐπέκρυψεν ὅσον λαθραίως Μοδέστῳ τῷ ἐπάρχῳ κελεῦσαι συλλαβεῖν καὶ θανάτῳ ζημιῶσαι τοὺς ἄνδρας. Ὁ δὲ τρόπος τοῦ θανάτου ξένος ἦν. Φοβηθεὶς γὰρ ὁ ὕπαρχος[7] μὴ στάσιν ὑπομείνῃ ὑπὸ τοῦ πλήθους ἐν τῷ φανερῷ φωνεύειν[8] αὐτούς, πλάττεται εἰς ἐξορίαν πέμπειν αὐτούς. Τῶν δὲ εὐγενῶς καταδεξαμένων, ὁ ὕπαρχος κελεύει πλοίῳ[9] ἐμβληθέντας δεδεμένους αὐτοὺς ὡς ἐπὶ τὴν ἐξορίαν δῆθεν ἀπάγεσθαι· ἐντειλάμενος τοῖς ναύταις, ἐπειδὰν κατὰ μέσου γίνωνται[10] τοῦ πελάγους, ὑφάψαι[11] τὸ πλοῖον ἵνα τῷ τρόπῳ τούτῳ[12] ἀποθανόντες μὴ ἔξωσι τοὺς κηδεύοντας. Ἀνὰ μέσον δὲ τοῦ Ἀστακίου[13] κόλπου γενόμενοι, ποιοῦσι τὸ προσταχθέν. Αὐτοὶ δὲ εἰς ἕτερον παρεπόμενον ἀκάτιον ἐμβάντες ἀπεχώρησαν τὸ πλοῖον ὑφάψαντες. Συμβὰν δὲ ἄνεμον ἀπηλιώτην πνεῖν, ἐξωθεῖται ἐπὶ πολὺ καιομένη ἡ ναῦς· ὥστε[14] τάχιον μὲν τὴν ὁρμὴν ποιεῖσθαι· διαρκέσαι δὲ ἄχρι τοῦ λιμένος Δακιδίζης[15] κἀκεῖ τελέως σὺν τοῖς ἀνδράσιν ἀναλωθῆναι καὶ οὕτω παρέδωκαν τὰ πνεύματα αὐτῶν τῷ Κυρίῳ. Τοῦτο οὐκ ἀτιμώρητον ἔλεγον γεγενῆσθαι πολλοί· λιμὸν γὰρ σφοδρὸν ἐπισυνέβη γενέσθαι. Τοιαύτην ὁ ἐχθρὸς τῆς ἀληθείας ἐπεδείξατο τὴν βάσανον. — Κυρίλλου (Sept. 5[2]). — **M** : 1. 3. : οἱ ἅγιοι χίλιοι ἑκατὸν τέσσαρες στρατιῶται ξ. τ. — 5 : Καλοδότη ξ. τ. — Μέδιμνος πλοίῳ ἐμβληθεὶς τ. — Φαῦστος ξ. τ. — Μακάριος καὶ Ἀνδρέας ξ. τ. — ὁ ἅγιος μοναχὸς Ἄβιβος ξ. τ. — Κυριακός, Διονύσιος καὶ Ἀνδρόνικος ξ. τ. — Ἀνδροπελαγία καὶ Θέκλα ξ. τ. — Θεόκτιστος ὁ ναύκληρος ξ. τ. — Σαραπάμβων ὁ βουλευτὴς ξ. τ. — Κυριακὸς ὁ δημότης ξ. τ. — 2. — **Mv** : 1. 3. — Ἑκατὸν τέσσαρες καὶ χίλιοι καὶ ἡ ἁγία Καλοδότη ξ. τ. — Μέδιμνος. — Φαῦστος. — Μακάριος, Ἀνδρέας. — Βίβος. — Κυριακός, Δι[ο]νύσιος, Ἀνδρόνικος καὶ αἱ ἅγιαι Ἀνδροπελαγία καὶ Θέκλα. — Θεόκτιστος. — Καὶ ἕτερος Κυριακὸς ὁ δημότης. — 2 (εἰς τὸ Δεύτερον ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης). — **Mr** : 1.

Sept. 7. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πέραν ἔνδον τῆς Ἐξαρτήσεως καὶ πλησίον τῆς ἁγίας Θεοδοσίας. 2. 3. 4. 5. — **H** : 1. 2 (Εὐψυχίου καὶ Σευήρου). — **P** : deest. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. 4. 5. — **B** : 1. 2. —

— [7] ὕπαρχος Cb, *ita quoque* Socrates. — [8] φωνεύων Socr. — [9] πλοίου Cb. — [10] γένωνται Socr. — [11] δὲ *add.* Cb. — [12] τὸ τρόπω τοῦτο Cb. — [13] Ἀστακίου Cb, Sozomenos; Ἀστακηνοῦ S, Socr. — [14] ἡ ἔστιν Cb. — [15] Δακίδιζος *alias* Δακιβύζος Socr., Δακιβίζης *alias* Δακιδίζης, Δακίδης Sozom.

Sept. 7. χῆς τρία βέλη καὶ τὸ τόξον αὐτοῦ. Ἔκτοτε οὖν ἐδέξατο ὁ τόπος ἰαμάτων θεῖα χαρίσματα. Ἐπεὶ δὲ ἐδίδασκεν[2] καὶ ἐβάπτιζε πολλοὺς τῶν Ἑλλήνων καὶ τὰ εἴδωλα ἐμυσάττετο τοσοῦτον, ὥστε καί ποτε εἰσελθεῖν ἐν ναῷ, ἐν ᾧ ἵστατο ἄγαλμα τῆς[3] Ἀρτέ- f. 21. μιδος ἐκ χρυσοῦ εὐρίζου | κατεσκευασμένον, καὶ τούτου τὴν χεῖρα ἀποτεμεῖν καὶ εἰς μικρὰ διακλάσαι καὶ τοῖς πένησι παρασχεῖν, πολλοὺς τιμωρουμένους ὁρῶν ἐπὶ ὑπονοίᾳ τῆς κλοπῆς τῆς χειρὸς τοῦ ἀγάλματος, ὁ ἅγιος ἑαυτὸν κατεμήνυσε· καὶ παραστὰς Μαξιμιανῷ τῷ ἡγεμόνι, αὐτίκα τύπτεται σφοδρῶς[4] καὶ ὑποδήμασι σιδηροῖς ὑποδεθεὶς ἀναγκάζεται τρέχειν· καὶ αὖθις ἐπὶ τοσοῦτον βάκλοις τύπτεται, ὥστε τὰ ὀστᾶ τοῦ σώματος αὐτοῦ καταθραυσθῆναι καὶ τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ παραθεῖναι[5].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐψυχίου. Ὃς γέννημα καὶ θρέμμα ὑπῆρχεν τῆς Καισαρέων πόλεως, υἱὸς Διονυσίου συγκλητικοῦ. Μετὰ δὲ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ, ἐν τοῖς χρόνοις Ἀδριανοῦ τοῦ Ῥωμαίων βασιλέως, βαπτισάμενος καὶ διαβληθεὶς παρά τινων[1] ὅτι χριστιανός ἐστι, παραδοθεὶς Σαπρικίῳ τῷ Καππαδοκῶν ἄρχοντι καὶ εἰς φυλακὴν ἐμβληθείς[2], παρὰ δὲ τῶν φυλάκων παραχωρηθείς, ἐξῆλθεν καὶ πωλήσας[3] πάντα τὰ ὑπάρχοντα αὐτῷ, πρῶτον μὲν τοὺς[4] κατηγόρους δώροις πολλοῖς ἀντημείψατο· ἔπειτα δὲ τὰ λοιπὰ τοῖς πένησι διανείμας καὶ εἰς τὴν φυλακὴν ὑποστρέψας καὶ μεθ' ἡμέρας τῷ ἄρχοντι παραστάς, τανύεται[5] καὶ δεινῶς ξέεται τὰς πλευρὰς καὶ αὖθις φρουρεῖται· εἶτα ἀγγέλου ἐπιστασίᾳ θάρσους ἐμπίπλαται καὶ ἀναρρώννυται· καὶ πάλιν ἀναρτᾶται καὶ ξέεται σφοδρῶς, ὥστε τὰ σπλάγχνα αὐτοῦ προὖπτον φαίνεσθαι, καὶ τὴν κεφαλὴν ἀποτέμνεται· καὶ αὐτίκα ἀντὶ αἵματος γάλα καὶ ὕδωρ ἐρρύη, ξένον τοῦτο θέαμα τοῖς πᾶσι φανέν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Στεφάνου πάπα Ῥώμης. Ὃς ἦν ἐπὶ Οὐαλλεριανοῦ καὶ Γαλλιηνοῦ[1] τῶν βασιλέων· πολλοὺς δὲ κατηχῶν καὶ βαπτίζων καὶ πρὸς τὸ μαρτύριον ὑπαλείφων, ὕστερον καὶ αὐτὸς συλλαμβάνεται ὑπὸ τοῦ ἡγεμόνος· καὶ σφόδρα αἰκισθείς, τὴν κεφαλὴν ἀφαιρεῖται.

4. Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμεν καὶ ἡ[1] μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου, τοῦ Εὐλαβοῦς ἐπικληθέντος, ὁρμωμένου[2] δὲ ἐκ τῆς τῶν Καππαδοκῶν δευτέρας ἐπαρχίας καὶ γενομένου δευτέρου ἡγουμένου τῆς εὐαγεστάτης μονῆς τοῦ Σωτῆρος, f. 21v. τῆς λεγομένης[3] | Βαθέου[4] Ῥύακος.

1. — [1] ὕδωρ *om.* Sa. — [2] καὶ ἐδίδασκε Sa. — [3] τῆς *om.* Sa. — [4] σφόδρω Sa. — [5] τελεῖται κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] τινὸς *corr.* S. τινῶν Sa. — [2] βληθεὶς Sa. — [3] ἐξελθεῖν καὶ πωλῆσαι Sa. — [4] τὰς S. — [5] ταννύεται S.
3. — [1] Γαληῖνου S. Sa.
4. — [1] συνέδραμεν καὶ ἡ *om.* Sa. — [2] ὁρμημένου Sa. — [3] τῆς λεγομένης Sa, τοῦ λεγομένου S. — [4] Βαθέος *corr.* Sa.

Sept. 7. **Ba** : 1. 2. 3. — **Bb** : 1. 2. 3. — **T** : 1. — **L** : 1. 2. — Δανιὴλ τοῦ λεγομένου τοῦ Θασίου (Sept. 12[1]). — **O** : Προεόρτια. — 1. 2. — **G** : 1. 2. — **C** : initio mutil., 2. — **Cb** : 1. 3 : Στεφάνου πάπα Ῥώμης καὶ τῶν σὺν αὐτῷ. Οὐαλλεριανοῦ καὶ Γαλλιηνοῦ βασιλευόντων καὶ διωγμοῦ ὄντος κατὰ τῶν χριστιανῶν, Στέφανος ὁ ἁγιώτατος πάπας Ῥώμης συναγαγὼν ἅπαντας τοὺς τοῦ κλήρου, εἶπεν· « Οὐκ ἔλαθεν » ὑμᾶς, ἀδελφοί, ὅτι διὰ τῶν τυράννων χειλέων ὁ διάβολος ἐλάλησε χριστιανοὺς ἀνερευνᾶσθαι. Μὴ » οὖν δειλανδρήσητε πρὸς τὰ μέλλοντα. » Βόνος δέ τις πρεσβύτερος ὡς ἀπὸ στόματος πάντων εἶπεν· « Ἡμεῖς, δέσποτα, ὑπὲρ τοῦ σώσαντος ἡμᾶς πάντα τὰ τοῦ κόσμου ἀρνούμεθα. Ἕτοιμοί ἐσμεν ὑπὲρ » αὐτοῦ τὸ αἷμα ἡμῶν ἐκχέαι. » Προσέταξε μὲν τοὺς κατηχουμένους βαπτισθῆναι· ἐν οἷς ἦν καί τις ἀνὴρ δήμαρχος τῷ ἀξιώματι, Νεμέσιος τοὔνομα, σὺν τῇ θυγατρὶ αὐτοῦ. Ἥτις ἀπὸ γενέσεως αὐτῆς ἀνεῳγμένους τοὺς ὀφθαλμοὺς οὐχ ἑώρα· ἐβαπτίσθη, καὶ εὐθέως ἡ τυφλὴ τρανῶς ἑώρα. Χειροτονεῖται μὲν ὁ Νεμέσιος διάκονος. Καὶ τοῦτο μαθόντες οἱ τύραννοι, παραστήσαντες αὐτὸν τῷ ἡγεμόνι, ἀρνήσασθαι τὸν Χριστὸν ἠνάγκαζον. Ὡς δὲ οὐκ ἔπειθον, ξίφει τὴν κεφαλὴν ἅμα τῇ θυγατρὶ ἀπέκοψαν. Ὁ δὲ πάπας λάθρα τὰ σώματα αὐτῶν λαβὼν ἐκήδευσεν. Ἐπεὶ δὲ καὶ ἄλλοις πολλοῖς ὁ ἀρχιερεὺς διὰ τοῦ βαπτίσματος τὸ μαρτύριον προεξένει, ὧν ἦσαν Συμπρόνιος[1], Ὀλύμπιος, Ἐκσουπερία καὶ Θεόδουλος[2] διὰ πυρὸς τελειωθέντες, ἐζητεῖτο καὶ αὐτὸς καὶ ὁ αὐτοῦ κλῆρος. Μετ' οὐ πολὺ δὲ δώδεκα κρατηθέντες διὰ ξίφους ἐν μιᾷ ὥρᾳ ἐτελειώθησαν· ὧν τὰ ὀνόματα Βόνος, Φαῦστος, Μαῦρος, Βάσσος, Κάστος, Προμήτιβος, Καμνιόσος, Ἰωάννης, Ἐκσουπεράντιος, Κύριλλος, Θεόδουλος, Τερτιλλιανός[3]. Μετὰ δέ τινας ἡμέρας ἐκρατήθη καὶ ὁ θεῖος Στέφανος καὶ σὺν αὐτῷ πλῆθος πρεσβυτέρων καὶ διακόνων καὶ ἀναγνωστῶν. Καὶ παρέστη τῷ τυράννῳ καὶ παραυτὰ ἀπενεχθῆναι εἰς τὸν τοῦ Ἄρεως[4] βωμὸν καὶ ἢ θῦσαι[5] ἢ ἀποθανεῖν. Ὡς δὲ πλησίον τοῦ ναοῦ οἱ ἕλκοντες αὐτὸν ἐγένοντο, εὐξαμένου τοῦ ἁγίου, διελύθη τῶν ἀνόμων ἡ μελέτη. Βροντῶν γὰρ καὶ ἀστραπῶν ἀθρόως μεγίστων συρραγέντων, τρόμος ἐξαίσιος συμπίπτει τοῖς στρατιώταις· καὶ φυγόντες ἀφῆκαν τὸν ἅγιον. Ὁ δὲ εἰς τὸ τῆς καλλινίκου Λουκίλλης κοιμητήριον ἐκκλησιάσας τοὺς πιστούς, ἐδίδασκε μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα. Ἐν ᾧ δὲ τὴν ἱερὰν θυσίαν ἐπετέλει, πλῆθος στρατιωτῶν ἐπεισελθὸν τὴν κεφαλὴν ἀποτέμνει[6] τοῦ ἁγίου, φυγόντων τῶν λοιπῶν. Καὶ χειροτονεῖται ἀντ' αὐτοῦ Ξύστος. — 2 (Ἐμψυχίου). — **M** : 1. — Μνήμη τῶν ἁγίων ἀποστόλων Εὐόδου καὶ Ὀνησιφόρου. Ὁ ἅγιος ἀπόστολος Εὔοδος, ὁ γεγονὼς ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ μετὰ Πέτρον ἐπίσκοπος, ἐν ταῖς ἐπιστολαῖς τοῦ μακαρίου ἀναφέρεται Παύλου μεγάλως ἐν τοῖς ἑβδομήκοντα ἀριστεύσας καὶ κῆρυξ διαπρύσιος γεγονὼς τοῦ Λόγου. Τὸν δὲ Ὀνησιφόρον, ὃν ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ ὁ ἀπόστολος παρεισάγει, Κολοφωνίας ἐπίσκοπον εὕρομεν γεγονότα, δεξιὸν ἐν τοῖς λόγοις καὶ ἀλκιμώτατον μέχρις αἵματος αὐτοῦ τὴν πίστιν ἐπικρατύναντα. Οὗτος ἐν τῷ χορῷ τῶν κηρύκων σὺν τῷ ἀποστόλῳ Εὐόδῳ αὐλίζεται ἐν ταῖς ἐπουρανίαις μοναῖς (Dec. 8[3]). — 3. 2. 5. — **Mv** : 1. add. : Εὐόδου καὶ Ὀνησιφόρου. — 3. 2. 5. — **Mr** : 1.

[1] Symphronius *in Passione S. Stephani*, Act. SS.. *Aug. I, 142*. — [2] Θεόδουλος, *infra* Θεόδολος, Cb. Theodolus *l. c.* — [3] *Nominum nonnullorum lectionem corruptam non correximus* : Primitivus, Calumniosus ... Tertullinus, *l. c.* — [4] Ἀέρως Cb. — [5] *supple c. c.* κελεύεται. — [6] ἀπετέμνει Cb.

5. Καὶ ἡ κοίμησις τοῦ ὁσίου Λουκᾶ, τοῦ ἐκ τῆς τῶν Λυκαόνων ἐπαρχίας, τρίτου δὲ ἡγουμένου γενομένου τῆς αὐτῆς μονῆς. Sept. 7.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

1. Τὸ γενέσιον ἑορτάζομεν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου. Ἧς ὁ πατὴρ Ἰωακεὶμ[1] ἐκαλεῖτο, ἐκ δὲ βασιλικῆς φυλῆς εἷλκε τὸ γένος. Ἀπὸ γὰρ τῆς σειρᾶς τοῦ Ναθὰν[2] τοῦ υἱοῦ Δαβὶδ κατήγετο. Ὅστις Ναθὰν ἐγέννησε τὸν Λευΐ, ὁ δὲ Λευῒ ἐγέννησε τὸν Μελχὶ καὶ τὸν Πάνθηρα, Πάνθηρ δὲ ἐγέννησε τὸν Βαμπάνθηρα[3], Βαμπάνθηρ δὲ τὸν Ἰωακείμ· ἡ δὲ μήτηρ αὐτῆς, ἥτις ἄνδρα ἔσχε τὸν Ἰωακείμ, Ἄννα ὠνομάζετο, καὶ αὐτὴ ἐκ βασιλικῆς φυλῆς ἕλκουσα τὸ γένος· γέγονε γὰρ ἐγγόνη Ματθάν[4], τοῦ εὑρισκομένου τρίτου[5] ἀπὸ τέλους Δαβὶδ καὶ Σαλομῶνος· ὅστις Ματθὰν ἔγημε γυναῖκα, Μαρίαν ὀνόματι, ἐκ τῆς Ἰούδα φυλῆς καὶ ἐγέννησε τὸν Ἰακὼβ τὸν πατέρα τοῦ τέκτονος Ἰωσὴφ καὶ θυγατέρας τρεῖς Μαρίαν, Σοβῆ[6] καὶ Ἄνναν. Καὶ ἡ μὲν Μαρία γεννᾷ Σαλώ- Sept. 8.

1. — [1] ὁ πατὴρ *perperam iterat* S. — [2] Νάθαν S. Sa, *in N. T.* Ναθάμ. — [3] *ita* S, Παμπάνθηρα Sa, Βαρπάνθηρα *legendum est. Cf.* Iohannem Damascenum, De fide Orthod., *IV*. — [4] Ματθᾶν S. Sa. — [5] τρίτου *om.* Sa. — [6] Σοβῆ S. Sa, *legendum* Σοβήν.

Sept. 8. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : deest. — **F** : 1. — **Fa** : 1. — **Fb** : 1. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **O** : 1 : Τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου. Ἑορτάζεται δὲ ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ τῷ ὄντι πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἐπιτελουμένης ἐκεῖσε τῆς παννυχίδος. — **G** : 1. — **C** : 1. — **Cb** : 1 : Τὸ γενέσιον τῆς ἁγίας Θεοτόκου. Πλάσαντος τοῦ δημιουργοῦ Θεοῦ ἡμῶν τοὺς ἀνθρώπους ἐπὶ ἔργοις ἀγαθοῖς εἰς τὸ γνωρίζειν αὐτὸν μόνον καὶ ποιεῖν τὰ θελήματα αὐτοῦ, ἐφθόνησεν ὁ διάβολος. Καὶ πρῶτον μὲν παρέπεισε τὸν πρῶτον ἄνθρωπον παραβῆναι ἀπατηθέντα διὰ τῆς αὐτοῦ γυναικὸς Εὔας. Ἔπειτα ἔπεισε καὶ τοὺς λοιποὺς ἀνθρώπους, δέδωκεν αὐτοῖς <ὁ Θεὸς> νόμον ἔγγραφον διὰ τοῦ νομοθέτου Μωσέως. Ὡς δὲ οὐδ' ἐκεῖνος ὠφέλησεν, ἠβουλήθη ἀποστεῖλαι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ καὶ λόγον τοῦ ἀναλαβεῖν ἀνθρώπου μορφὴν καὶ λυτρώσασθαι τοὺς ἀνθρώπους ἐκ τῆς χειρὸς τοῦ διαβόλου. Ὅθεν προῳκονόμησεν γεννηθῆναι τὴν μέλλουσαν γεννῆσαι τὸν υἱὸν αὐτοῦ, τὴν καθαρὰν καὶ ἄχραντον Θεοτόκον ἐξ ἁγίων γονέων Ἰωακεὶμ καὶ Ἄννης, οἷς καὶ ἐπηγγείλατο ὁ Θεὸς τουτέστιν ὑπέσχετο δοῦναι καρπὸν κοιλίας. Διὸ καὶ καλεῖται γενέσιον ὡς πρόξενον τῆς τοῦ κόσμου σωτηρίας. — **M** : 1. — Ροῦφος καὶ Ῥουφινιανὸς οἱ αὐτάδελφοι ξ. τ. — Σεβῆρος ξ. τ. — Διήγησις περὶ[1] ἀγάπης[1] πάνυ ὠφέλιμος. Ἱερεύς τις μετ' εὐλαβοῦς διακόνου ἀγάπην τῷ Θεῷ[2] φίλην εἰς ἀλλήλους[3] κτησάμενοι, διὰ δαιμονικῆς σκαιότητος εἰς ἔχθραν περιτραπέντες, ἐπὶ πολὺ ἔμειναν ἀδιάλλακτοι. Ἐπεὶ δὲ ἐπ' αὐτῷ τῷ μίσει τελευτῆσαι τὸν ἱερέα συνέβη, ὁ διάκονος ἤσχαλλεν, ὅτι μὴ ζῶντι[4] τῷ ἱερεῖ τὴν ἔχθραν διέλυσε[5]. Καί τισι τῶν εὐδιακρίτων τὸ συμβὰν κοινωσάμενος, τοῦτον πρός τινα τῆς ἐρήμου μοναστὴν γενέσθαι παρηγγυῶντο[6]. Ὁ δὲ μάλα εὐπροθύμως[7] τοὺς ἐρημικωτέρους τόπους περινοστῶν, τὸν ἰατρὸν ἐπεζήτει. Καὶ δή τινα καταλαβὼν γέροντα, τούτῳ τὴν μνησικακίαν ἀπεκάλυψεν, ἐναργῆ πληροφορίαν ζητῶν παρ' αὐτῷ τῆς ἀφέσεως. Πρὸς ὃν ὁ γέρων· « Ὁ πιστῶς αἰτῶν λαμβάνει· καὶ τῷ κρούοντι ἀνοιγήσεται· οὐκ ἐμὸς ὁ λόγος, Matth. 7, 8. » φησίν, ἀδελφέ· καί σοι, ὡς ἐπ' ἀγαθῷ σπεύδοντι, ταχεῖαν τοῦ ζητουμένου λύσιν λαβεῖν παρέξει ὁ » Κύριος. Ὅθεν οὖν[8] ἐλήλυθας, ἀνάστρεφε· καὶ ὀψίας ἐν τῷ ναῷ τῆς μεγάλης ἐκκλησίας γενόμενος, » πρὸ πάντων ὑποκεκρυμμένος τὰς Ὡραίας πύλας κατάλαβε· καὶ τὸν πρώτως[9] ἐν αὐταῖς εἰσβαλόντα κράτησον καὶ ἐξ ἡμῶν αὐτὸν προσαγόρευσον, δοὺς αὐτῷ καὶ τὸ ἐσφραγισμένον τοῦτο πιττάκιον, καὶ παρ' » αὐτῷ ἔσται[10] σοι πάντως βεβαία τῶν σφαλέντων ἡ ἐπανόρθωσις. » Τότε ὁ διάκονος, ὡς ὁ πατὴρ διετάξατο, ἀωρὶ τῶν νυκτῶν, τοῦ ναοῦ καταλαμβάνει τὸ προπύλαιον· καὶ παρευθὺ ὁ δηλωθεὶς ὑπὸ τοῦ πατρὸς ἀνὴρ ἐπανέτειλε· καὶ τοῦτον ὁ διάκονος ἀσπασάμενος, τὸ γραμματεῖον τοῦ γέροντος ἐπιδίδωσιν, ἀνακαλύψας αὐτῷ τὸ ἐπακολουθῆσαν τοῦ δράματος. Ὀξὺς δὲ ὢν ὁ[8] ἀνήρ, οἰκονομίας χάριν τὸ γενόμενον ἔκρινε, καὶ ὅλον ἑαυτὸν καταβρέχων τοῖς δάκρυσιν· « Τίς εἰμι ὁ ἐλάχιστος, ἔλεγεν, ἵνα ἐγὼ τοιούτου κατατολμήσω[11] ἐγχειρήματος; ὅμως ταῖς εὐχαῖς καταθαρρήσας τοῦ ἀποστείλαντός σε, πρὸς τὸ » προκείμενον τράπωμαι. » Καὶ δὴ ἐπ' αὐταῖς ταῖς κεκλεισμέναις πύλαις, ὡς ἵστατο, τὰς χεῖρας ὑψώσας πρὸς οὐρανὸν καὶ γόνυ κλίνας, τὴν κεφαλὴν εἰς τὸ ἔδαφος τέθεικεν, ὑποψιθυρίζων τῇ προσευχῇ. Καὶ μετὰ μικρὸν ἀναστάς, (φρίττω καὶ[8] λέγειν, κατανοῶν τὸ μυστήριον καὶ τὸ πρὸς τὸν Θεὸν τοῦ ἀνδρὸς εὐπαρρησίαστον)· ὡς γὰρ εἴρηκεν· « Ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου, Κύριε »· τὸ προπύλαιον αὐτῷ αὐτομάτως ἠνέῳκτο καὶ τούτῳ συνεισελθόντος τοῦ διακόνου, ἐπὶ τὴν αὐλὴν τοῦ νάρθηκος ἔστησαν. Αὖθίς τε πάλιν πρὸς τὰς ἐκεῖσε τοῦ ναοῦ ἐξ ἀργυροῦ πύλας γενόμενοι, ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ

[1] *om.* Mv. — [2] κυρίῳ Mv. — [3] ἀλλήλοις Mv. — [4] ζῶνα *ita* Mv. — [5] κατέλυσε Mv. — [6] παρηγγυάτο Mv. — [7] προθύμως Mv. — [8] *om.* Mv. — [9] πρῶτον Mv. — [10] ἔστω Mv. — [11] ἔλεγε τίς εἰμι ἐγὼ ὁ ἐλάχιστος ἵνα κατατολμήσω τοιούτου Mv.

SEPT. 8. μην [7] τὴν μαῖαν, ἡ δὲ Σοβὴ γεννᾷ τὴν Ἐλισάβετ, ἡ δὲ Ἄννα γεννᾷ τὴν Θεοτόκον, τὴν κατὰ τὸ ὄνομα [8] τῆς μάμμης καὶ τῆς θείας ἐπικληθεῖσαν Μαρίαν. Ὡς εἶναι τὴν Θεοτόκον θυγατέραν μὲν Ἄννης, ἐγγόνην δὲ Μαθὰν [9] καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ, τὴν δὲ Ἐλισάβετ καὶ Σαλώμην [7] ἀνεψιᾶς μὲν τῆς Ἄννης, ἐξαδέλφας δὲ <τῆς [10]> Θεοτόκου. Οὗτος οὖν ὁ Ἰωακεὶμ φιλόθεος ὢν τὸν τρόπον καὶ πλούσιος τὸν βίον, εἰ καὶ διπλᾶ τὰ δῶρα αὐτοῦ τῷ Θεῷ προσέφερεν, ἀλλὰ τὴν ἀπαιδίαν ὠνειδίζετο. Ἐν μιᾷ γὰρ τῶν ἑορτῶν [11] συνήθως προσενέγκας τὰ δῶρα αὐτοῦ, διότι οὐκ ἐποίησε παιδίον, ὠνειδίσθη παρά τινος τῶν Ἰουδαίων, εἰπόντος πρὸς αὐτὸν ὅτι· « Οὐκ ἔξεστί σοι δῶρα προσφέρειν μεθ' » ἡμῶν, διότι ὑπάρχεις ἄτεκνος »· Καὶ ἐπὶ τοῦτο δηχθεὶς [12] τὴν καρδίαν, αὐτὸς μὲν μὴ [13] ὑποστρέψας εἰς τὸν οἶκον παραυτίκα ἐν τῷ ὄρει προσφοιτᾷ εἰς ἔρημον τόπον, ἡ δὲ τούτου σύνευνος ἐν τῷ

— [7] Σαλόμην S. Sa. — [8] κάτ' ὄνομα Sa. — [9] Μαθᾶν S. Sa. — [10] τῆς Sa, *om.* S. — [11] ἡμερῶν Sa. — [12] δαχθεὶς S. — [13] μὴ *om.* Sa.

SEPT. 8. πρὸς τὸν διάκονον ἔφησεν· « Ἐνταῦθα στῆθι, καὶ περαιτέρω μὴ πρόσελθε [12]. » Ἐκεῖνος δὲ τὴν συνήθη πάλιν ἐπὶ τῇ φλιᾷ ποιήσας μετάνοιαν, τὰς ἀργυρέας πύλας κεκλεισμένας οὔσας ἀνέῳξε. Καὶ εἰσελθὼν ἐν τῷ ναῷ, ξένον θέαμα ἐδέχετο ἐν αὐτῷ. Ἐκ γὰρ τῆς ὀροφῆς τοῦ ναοῦ, λυχνία φωτεινὴ ἐπελθοῦσα πρὸς τῇ κεφαλῇ τοῦ ἀνδρός, ἐφωταγώγει τὸ ἱερόν. Ἀλλὰ καὶ τούτῳ προσευχομένῳ συνείπετο. Ὡς δὲ πρὸς αὐτὸ λοιπὸν τὸ θυσιαστήριον ἔφθασε, κἀκεῖ προσκλίνας τῇ κεφαλῇ [13], ἠρέμα ἔξω πρὸς τὸν διάκονον γίνεται, καὶ πάλιν αὐτομάτως πᾶσαι αἱ πύλαι [14] ἐκλείσθησαν. Τότε ἀγὼν [15] καὶ δειλία τὸν διάκονον ἔλαβε, μὴ τολμῶντα τῷ ἀνδρὶ πλησιάσαι τὸ σύνολον· εἶχε γάρ, ὡς ἔλεγεν, ἀπὸ τῆς εὐχῆς ὡς ἀγγέλου δεδοξασμένον τὸ πρόσωπον, ὡς λοιπὸν λογισμοῖς τὸν διάκονον βάλλεσθαι, λέγοντα· « Μὴ ἄγγελός ἐστιν ὁ » φαινόμενος, καὶ οὐκ ἄνθρωπος; » Ἀλλ' οὐδὲ τοῦτο διέλαθε τὸν φαινόμενον· φησὶ γὰρ πρὸς τὸν διάκονον· « Τί τοῖς λογισμοῖς δι' ἐμὲ πολιορκῇ καὶ ταράττῃ [16], ἄνθρωπε; πίστευσον, ὅτι κἀγὼ χοϊκός εἰμι » ἄνθρωπος καὶ ἐξ αἵματος καὶ σαρκὸς καὶ εὐαγοῦς οἴκου [17], χαρτουλάριος ἐκ τῶν ἐκεῖσε προσόδων τὰ » πρὸς τὴν [18] ζωὴν ποριζόμενος· ἀλλ' ἡ πάντα καλῶς διεξάγουσα πρόνοια δι' εὐτελῶν πολλάκις μεγάλα » εἴωθε διεξάγειν τεράστια· ὅμως, ἀδελφέ, πρὸς τὸ προκείμενον ἀπίωμεν. » Καὶ ἄμφω πρὸς τὸν φόρον εὐθυδρομήσαντες, τὸν ναὸν τὸν [18] ἐκεῖσε τῆς Θεοτόκου κατέλαβον· καὶ πρὸς τὰς κεκλεισμένας ἤδη πύλας [19] γενόμενοι τοῦ ναοῦ, διὰ προσευχῆς πάλιν κἀκείνας ἀνέῳξε. Καὶ πρὸς αὐτὸ γενόμενος τὸ θυσιαστήριον, τὴν εὐχὴν ἐπετέλει κατὰ τὸ σύνηθες· καὶ τὸν διάκονον ἔξω ἑστῶτα καταλαβὼν μετ' ἐκπλήξεως τὸ « Κύριε ἐλέησον » λέγοντα, αἱ πύλαι ἄφνω μόναι [20] πάλιν ἐκλείσθησαν. Εἶτα πάλιν τὸν ἐν Βλαχέρναις τῆς Θεοτόκου καταλαμβάνουσι [21] ναόν. Ἔλεγε δὲ ὁ διάκονος ὅτι· « Οὕτως ἡμᾶς ὑπελάμβανον τὴν πορείαν » ποιεῖσθαι ἐν τοῖς ναοῖς [22], ὡς μηδὲ πτῆσιν ὀρνέου τῇ ἡμῶν ὀξύτητι παραβάλλεσθαι. » Καὶ δὴ πρὸς τὰς πύλας τοῦ ναοῦ [23] τῆς Θεοτόκου γενόμενοι, αὐτομάτως καὶ αὗται τῷ ἀνδρὶ προσανεῴχθησαν· καὶ τὴν εὐχὴν κἀκεῖ [24] ποιησάμενος, δάκρυσι καταβρέχων τὰς παρειάς, τῆς ἁγίας Σοροῦ τὰς πύλας κατέλαβε· καὶ ἐν αὐταῖς τὸν διάκονον ἐπιστήσας, βλέπειν τρανῶς τῶν εἰσερχομένων παρηγγυᾶτο τὴν κατανόησιν. Καὶ δὴ πρὸς τὴν φλιὰν τὴν ἐξ ἔθους αὐτὸς εὐχὴν ποιησάμενος, αἱ τῶν πυλῶν ἐπάρσεις αὐτῷ τὴν εἴσοδον παρεχώρησαν· καὶ πρὸς τοῦ ναοῦ γενόμενος τὸ μεσαίτατον, τὰ γόνατα τῷ ἐδάφει ἐπερείσας [25], ἀνενδότως ἐν αὐτῷ ἐποίει τὴν δέησιν. Ὡς δὲ μετὰ ταῦτα ὅρκοις ἡμῖν ἐπιστώσατο ὁ διάκονος [26], διεβεβαίου ὅτι ὡς· « Πρὸς τὴν βαθμίδα τῆς πύλης, ἐν ᾗ ἱστάμην θαμβούμενος, ὀφθαλμοφανῶς εἶδον ὡσεὶ διάκονον ἐκ » τοῦ θυσιαστηρίου τινὰ [27] ἐξερχόμενον, καὶ ἐν τῇ χειρὶ κατέχοντα θυμιατήριον, καὶ θυμιῶντα τὸ ἱερὸν » ἁγίασμα. Μετὰ δὲ μικρᾶς τινος ὥρας διάστημα ὡς κληρικούς τινας εἶδον εἰσερχομένους, ἱερέων » στολὴν περικειμένους λευκοφανῆ· καὶ πάλιν ἱερέων ἄλλο σύστημα φωτεινόν, πορφυροῦν [28] ποδήρη » περικειμένους, εἰσέρχεσθαι· καὶ τούτους ἀμφοτέρους χορείαν ἐγείραντας, ἐπᾴδειν μέλος μάλα τερπνὸν » καὶ ἐξαίσιον, ὡς μηδὲν ἕτερον λαβεῖν [29] τὸν διάκονον δύνασθαι, εἰ μὴ μόνον τὸ ἀλληλούϊα. Καὶ μετὰ τὸ » τὴν εὐχὴν τελέσαι τὸν χαρτουλάριον ἐξελθεῖν καὶ εἰπεῖν πρὸς τὸν διάκονον· Ἀδελφέ, ἔνδον τοῦ ναοῦ » ἀκωλύτως γενόμενος, πρὸς τοὺς τὴν ἀριστερὰν χορείαν ἐπέχοντας ἱερεῖς στόχασαι, εἰ δύναιο κατα» νοῆσαι τὸν μεθ' οὗ τῇ μνησικακίᾳ ἀδιάλλακτος ἔμεινας. » Τότε εἰσελθὼν ὑπότρομος ὁ διάκονος, σπουδῇ πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον ἔξεισιν εἰρηκὼς μὴ δύνασθαι πρὸς τοὺς ἐκεῖ [30] τὸν ἐπ' ἔχθρᾳ ἰδεῖν τὸν βίον καταλύσαντα [31] ἱερέα. Εἶτα πάλιν πρὸς αὐτὸν ὁ ἀνθρωπόμορφος ἄγγελός φησιν [32]· « Εἰσελθὼν » κατάθρει [33] καὶ τὴν χορείαν τήνδε τὴν δεξιάν [34]. » Καὶ δὴ πρὸς αὐτὴν γενόμενος ὁ διάκονος, καθαρῶς ἑστῶτα ἐν αὐτῇ γνωρίσαι [35] τὸν ζητούμενον ἔφασκε. Καὶ πρὸς αὐτὸν ὁ μακάριος· « Εἰ τοῦτον ἀκριβῶς » κατενόησας, εἰπὲ πορευθείς· τάδε σοι καὶ Νικήτας ὁ χαρτουλάριος ἔξω ἑστὼς ἐλθέ, προσφωνεῖ. » Καὶ πορευθεὶς ὁ διάκονος κατὰ τὴν διαταγὴν τὸν ἱερέα ἐκ τῆς δεξιᾶς πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον συνεξάγει χορείας· ᾧ [36] πραείᾳ ἔλεξε [37] τῇ φωνῇ· « Κύριε πρεσβύτερε, διαλλάγηθι τῷ ἀδελφῷ, διὰ τὸ » ἀμφοτέρους ἐν τῇ σῇ ἀθρόᾳ μεταβολῇ ἀσυμφώνους μεῖναι τῷ σφάλματι. » Τότε γόνυ ἑκάτεροι [38] κλίναντες, ἐν ἁπλῷ φιλήματι τὴν ἔχθραν διέλυσαν. Καὶ ὁ μὲν ἱερεὺς τὸν ναὸν εἰσέδυ, καὶ τὴν αὐτοῦ χορείαν κατέλαβεν. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος ἔλαβε τὸν διάκονον, καὶ τῇ φλιᾷ τοῦ ἱεροῦ ἁγιάσματος προσπεσόντος, αἱ πύλαι τούτου θείᾳ δυνάμει ἐκλείσθησαν. Καὶ πρός τι μέρος [39] τῆς ὁδοῦ διανύσαντες,

— [12] πρόβενε Mv. — [13] τήν κεφαλήν Mv. — [14] θύραι Mv. — [15] ἀγωνία Mv. — [16] ὦ Mv. — [17] εἰμὶ *add.* Mv. — [18] *om.* Mv. — [19] πύλας ἤδη Mv. — [20] μόναι ἄμφω Mv. — [21] καταλαμβάνει Mv. — [22] ἐν τοῖς ναοῖς τήν πορείάν ποίεῖσθαι Mv. — [23] τοῦ ναοῦ *om.* Mv. — [24] κἀκεῖσε Mv. — [25] ὑπερείσας Mv. — [26] καὶ *add.* Mv. — [27] τινα ἐκ τοῦ θ. Mv. — [28] πορφύραν Mv. — [29] καταλαβεῖν Mv. — [30] ἐκεῖσε Mv. — [31] ἰδεῖν τὸν βίον καταλίσαντα ἰδεῖν Mv. — [32] *om.* Mv. — [33] κατάθεε Mv. — [34] εἴρηκεν *add.* Mv. — [35] ἐγνώρισε M. — [36] καὶ *add.* Mv. — [37] ἔλεγξε Mv. — [38] ἀμφότεροι Mv. — [39] καὶ μέρος τι Mv.

κήπῳ αὐτῆς, δάκρυσι <δὲ [14]> καὶ λιταῖς ἱκετεύοντες τὸν Θεὸν δοῦναι αὐτοῖς τέκνον, εἰσηκούσθησαν καὶ παρεσχέθη αὐτοῖς καρπὸς κοιλίας [15] ἅγιος, ἡ [16]
f. 22. ὑπεράμωμος καὶ θεοτόκος Μαρία· ἧς | σήμερον τὴν τιμίαν καὶ ὑπερκόσμιον γέννησιν ἑορτάζομεν. SEPT. 8. Τελεῖται δὲ ἡ ταύτης σύναξις ἔν τε τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τοῖς Χαλκοπρατείοις [17] καὶ ἐν τοῖς Οὐρβικίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

1. Ἡ σύναξις ἐπιτελεῖται τῶν δικαίων Ἰωακεὶμ καὶ Ἄννης, ἣν παρελάβομεν ἑορτάζειν τῇ ἐπαύριον τοῦ γενεσίου τῆς Θεοτόκου, οὐκ ἐπειδὴ κατὰ ταύτην ἔσχον τῆς ζωῆς τὴν τελείωσιν (ἡ [1] γὰρ εἰκοστὴ πέμπτη τοῦ ἰουλίου ταύτην ἡμῖν γνωρίζει [2]), ἀλλ' ἐπειδὴ πρόξενοι τῆς παγκοσμίου σωτηρίας διὰ τῆς ἐξ αὐτῶν προελθούσης ἁγίας θυγατρὸς γεγόνασι, καταλλαγῆς λαβόντες ἐνέχυρα ἐν τῇ θείᾳ γεννήσει αὐτῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἐξαέρῳ οἴκῳ τῆς Θεοτόκου πλησίον τῆς μεγάλης ἐκκλησίας ἐν τοῖς Χαλκοπρατείοις [3].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σευηριανοῦ· ὃς ἐγένετο ἐκ πόλεως Σεβαστείας, τάξεως ὑπάρχων τῶν σινατόρων. Ἐπὶ δὲ Λικινίου [1] τοῦ βασιλέως συλληφθεὶς ὑπὸ τοῦ δουκὸς Λυσίου διὰ τὸ ὁμολογεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ διὰ τὸ πρὸς τὸν τοῦ μαρτυρίου ἀγῶνα ὑπαλεῖψαι τοὺς σαράκοντα Χριστοῦ [2] μάρτυρας, κρεμάννυται καὶ τύπτεται ἰσχυρῶς μετὰ βουνεύρων καὶ ξέεται τὰς πλευρὰς καὶ εἰς φρουρὰν ῥίπτεται· SEPT. 9. καὶ αὖθις ἐξαχθεὶς καὶ κρεμασθεὶς ἐπὶ τοῦ τείχους λίθοις μεγάλοις δεσμεῖται τοὺς πόδας. Ἐπὶ πολὺ δὲ κρεμάμενος καὶ ὑπὸ τῶν πληγῶν δαπανώμενος καὶ ὑπὸ τοῦ βάρους τῶν λίθων τὰ νεῦρα διατεινόμενος καὶ πικρῶς καὶ ἀπανθρώπως βασανιζόμενος, εὐχαρίστως τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Τοῦ δὲ μαρτυρικοῦ λειψάνου αὐτοῦ πρὸς ταφὴν ἀποκομιζομένου καὶ τῶν πιστῶν προστρεχόντων πρὸς ὑπαντήν, δούλη τις τοῦ ἁγίου τὸν ἄνδρα αὐτῆς ἀποβαλομένη [3] διὰ θανάτου καὶ τοῦτον προθεῖσα καὶ ἀπολοφυρομένη, ἐπειδὴ ἤκουε προκομίζεσθαι τὸ λείψανον τοῦ κυρίου αὐτῆς, ἀναβοήσασα μετ' ὀλοφυρμοῦ καὶ εἰποῦσα πρὸς τὸν κείμενον· « Ἔγειραι [4], ἄνερ φίλτατε· δεῦρο καὶ ἡμεῖς ἀπαντή» σωμεν πρὸς | τὸν κύριον ἡμῶν », ἔσχε παραυτίκα f. 22v. ὑπακούσαντα καὶ ἀναστάντα καὶ ὑποζωσάμενον καὶ ὑπαντήσαντα μετ' αὐτῆς καὶ ἐνταφιάσαντα καὶ δεκαετῆ καιρὸν προσμείναντα τῇ σορῷ τοῦ μάρτυρος καὶ αὖθις πρὸς Κύριον ὁσίως ἐκδημήσαντα.

— [14] δέ Sa, *om.* S. — [15] αὐτοῖς καρκὸς (*corr.*) κοιλίας Sa. — [16] ἡ *om.* Sa. — [17] Χαλκοπρατίοις S. Sa.
1. — [1] εἰ S. — [2] ταύτην γνωρίζει ἡμῖν Sa. — [3] Χαλκοπρατίοις S. Sa.
2. — [1] Λικινίου Sa, Λικιννίου S. — [2] τοῦ Χριστοῦ Sa. — [4] ἀποβαλλομένη Sa. — [4] ἔγεῖραι Sa, ἔγειρε S.

SEPT. 8. ἄμφω ἔστησαν. Καὶ ὁ τοῦ Θεοῦ ἄνθρωπος οὕτως [40] ἔφη πρὸς τὸν διάκονον· « Ἀδελφέ, σώζων σώζου, » καὶ τὴν σεαυτοῦ ψυχὴν [41] περιποίησον, καὶ τῷ πρὸς τὴν ἐμὴν ὠφέλειαν [42] πατρί σε ὁδηγήσαντι [43] εἰπὲ » πορευθείς· Τῶν εὐχῶν σου ἡ καθαρότης καὶ ἡ πρὸς Θεὸν παρρησία καὶ νεκρὸν πρὸς εἰρήνην » ἐξαναστῆσαι δύναται, ἡμῶν εἰς τοῦτο μηδὲν τὸ παράπαν συμβαλλομένων [44]. » Τοῦτο εἰπὼν ἐξ ὀφθαλμῶν τοῦ διακόνου ἐγένετο. Ἐκεῖνος δὲ προσκυνήσας τὸ ἔδαφος, ἐν ᾧ τοῦ θαυμαστοῦ ἦσαν [45] οἱ πόδες ἀνδρός, τὴν πρὸς τὸν γέροντα πορείαν ἐκπεπληγμένος ἤνυε, δοξάζων καὶ εὐλογῶν τὸν Θεόν, ὅτι αὐτῷ ἡ [46] δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. — **Mv** : 1. — Ῥοῦφος καὶ Ῥουφιανός. — Σεβῆρος. — Ἀρτεμίδωρος π. τ. — Διήγησις πάνυ ὠφέλιμος. — **Mr** : 1.

SEPT. 9. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 2. 4. 3. — **P** : 1. 2 : ἄθλησις τοῦ ἁγίου μάρτυρος Σεβηριανοῦ ἐπὶ Λικινίου βασιλέως ἐν πόλει Σεβαστείᾳ, ἐν τῇ τάξει ὑπάρχων τῶν σινατόρων καὶ ἀλείπτης γενόμενος τῶν ἁγίων τεσσαράκοντα μαρτύρων ἐπὶ Λυσίου ἡγεμόνος. — 4. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2. 3. — **Bb** : 1. 2. 3. — **T** : 1. — **L** : 1. — **O** : 1. — **G** : 1. 2. 3. — **C** : 1. 2. — **Cb** : 1. 2. — **M** : 1. 3. 2. — Θεοφάνους τοῦ ὁμολογητοῦ, τοῦ πρὸ τοῦ Διοκλητιανοῦ ἀσκήσαντος. Οὗτος ἐξ Ἑλλήνων <ἦν [1]> γονέων· τῷ Χριστῷ δὲ προσελθὼν ἐκ νεαρᾶς ἡλικίας, ἔτι νήπιος ὤν, εἶδε παιδίον ὑπὸ ψύχους κινδυνεῦον, καὶ ἐνέδυσεν αὐτὸ τὰ οἰκεῖα ἱμάτια. Ἐρωτήσαντος δὲ τοῦ πατρὸς αὐτοῦ· « Ποῦ σου, τέκνον, τὰ ἱμάτια; », « Τὸν Χριστὸν ἐνέδυσα » ἔφη. Καὶ ὁ πατήρ· « Καὶ τίς ἐστιν [2] ὁ Χριστός; » εἶπεν· « ἡμεῖς γὰρ Θεὸν [3] Ἑρμῆν καὶ Ἀπόλλωνα σεβόμεθα. » Τότε τὸ παιδίον τὸν πατέρα ἀρνησάμενον ἔλαβεν [4] ἄγγελος Κυρίου καὶ ἀνήγαγεν [5] εἰς τὸ ὄρος τὸ Διαβηνὸν καὶ παρέθετο τὸ παιδίον [6] ἀνδρὶ ἀσκητῇ, χρόνους ἑβδομήκοντα πέντε τὸν μοναστὴν ὑπερχομένῳ βίον· ὅπερ ὁ γέρων λαβὼν ἐξεπαίδευσεν ἐν μοναχικῇ καταστάσει τὰ ἱερὰ γράμματα, τρεφόμενοι [7] καὶ ἄμφω ὑπὸ τοῦ θείου ἀγγέλου. Τοῦ δὲ γέροντος μετὰ παραδρομὴν χρόνων πρὸς Κύριον ἐκδημήσαντος, ὁ παῖς ἐν τῷ σπηλαίῳ εἴχετο τῆς ἀσκήσεως ἐπὶ χρόνοις πεντήκοντα καὶ [8] ὀκτώ. Εἶθ' οὕτως ὑπὸ τοῦ Θεοῦ [9] ἀγγέλου ὁδηγηθείς, ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου λέοντι ἐπικαθήμενος σταδίους ἑξήκοντα καὶ ἐκήρυσσε πανταχοῦ τὴν εἰς Χριστὸν πίστιν· ὃν καὶ κρατήσαντες οἱ βασιλεῖς Κάρος καὶ Καρῖνος καὶ Νουμεριανὸς δέδωκαν αὐτῷ κόσσους [10] ἑκατόν. Εἶθ' οὕτως διαφόρους βασάνους ἐπενεγκόντες [11] αὐτῷ, ὡς εἶδον ὅτι δι' ὧν ἐθαυματούργει πλῆθος οὐκ ὀλίγον προσήρχετο [12] τῷ Χριστῷ

— [40] οὕτω πῶς Mv. — [41] καὶ *add.* Mv. — [42] εὐτέλειαν Mv. — [43] ἀποστείλαντι Mv. — [44] καὶ *add.* Mv. — [45] ἵσταντο Mv. — [46] πρέπει Mv.
[1] Mv, *om.* M. — [2] τίς Mv. — [3] *om.* Mv. — [4] αὐτὰ *add.* Mv. — [5] αὐτὸ *add.* Mv. — [6] τὸ παιδίον *om.* Mv. — [7] ἐτρέφοντο δὲ Mv. — [8] *om.* Mv. — [9] θείου Mv. — [10] κόνσους M. — [11] ἐνεγκόντες Mv. — [12] προσέρχονται Mv.

Sept. 9.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν ἑκατὸν πεντήκοντα ἁγίων θεοφόρων πατέρων [1] τῶν ἐν Ἐφέσῳ [2] συναχθέντων καὶ καθελόντων τὸν δυσσεβῆ Νεστόριον· ἥτις ἐστὶ καὶ οἰκουμενικὴ καὶ τρίτη <σύνοδος [3]>, ἠθροίσθη δὲ ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου, πατριάρχου μὲν γεγονότος Κωνσταντινουπόλεως, τὸν Χριστὸν δὲ [4] διαιροῦντος καὶ κατατέμνοντος· ψιλὸν γὰρ ἄνθρωπον αὐτὸν εἶναι ἔλεγεν ὁ παράφρων καὶ οὐ Θεὸν σεσαρκωμένον.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Χαρίτωνος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Δευτέρῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι.

Sept. 10.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων αὐταδέλφων καὶ παρθένων [1] Μηνοδώρας, Νυμφοδώρας καὶ Μητροδώρας [2]. Αὗται ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως οἰκοῦσαι ἀπὸ μιλίων δύο τῶν ἐξερχομένων θερμῶν [3] ὑδάτων ἐν τοῖς Πυθίοις [4]· διαβληθεῖσαι δὲ Φρόντωνι [5] τῷ τῆς χώρας ἄρχοντι καὶ τούτῳ παραστᾶσαι καὶ μὴ πεισθεῖσαι τὸν Χριστὸν ἐξομόσασθαι, τιμωρίαις καθυποβάλλονται. Καὶ πρῶτα μὲν ἡ πρώτη ἀδελφὴ Μηνοδώρα ὑπὸ τεσσάρων δημίων ξανθεῖσα [6], εἶτα καὶ διὰ ῥάβδων τὰ σκέλη συντριβεῖσα καὶ ταῖς βασάνοις προσκαρτεροῦσα καὶ προσευχομένη τελειοῦται. Δευτέρα δὲ ἡ Μητροδώρα παραστᾶσα τῷ δικάζοντι καὶ κατ᾽ ὀφθαλμοὺς αὐτῆς βλέπουσα τὸ λείψανον τῆς ἀδελφῆς ἐρριμμένον [7] καὶ διεξῳδηκός, ἠναγκάζετο ἀρνήσασθαι τὸν Χριστόν, ἵνα μὴ τὰ ὅμοια τῇ ἀδελφῇ πάθῃ. Τούτων λεγομένων, συνεισελθοῦσα τρίτη καὶ ἡ Νυμφοδώρα καὶ τῶν αὐτῶν ἀκούσασα, ὡς οὐδὲ [8] αὐτὴ ἐπείθετο, ἐκδίδονται καὶ ἄμφω τοῖς δημίοις πρὸς φόνον· ἃς λαβόντες ἐκεῖνοι καὶ τοῦ βήματος ἐκβαλόντες [9], μοχλοῖς σιδηροῖς συντρίβουσι πάντα τὰ μέλη αὐτῶν· καὶ οὕτως τοῦ βίου ἐξάγονται. Θάπτονται δὲ πλησίον τῶν θερμῶν ὑδάτων, πολλὰς ἰάσεις ἕως τῆς σήμερον ἐπιτελοῦσαι.

2. Τῇ αὐτῇ ἡμέρᾳ <μνήμη [1]> τοῦ ἁγίου μάρτυρος Βαριψαββᾶ [2]. Γέγονε δὲ ἡ ἄθλησις αὐτοῦ ἐξ αἰτίας τοιαύτης. Κατὰ τὸν καιρόν, ὅτε τὸν δεσπότην ἡμῶν [3] τὸν κύριον Ἰησοῦν Χριστὸν οἱ Ἰουδαῖοι ἐσταύρωσαν, ἦν τις ὀνόματι Ἰάκωβος παρεστὼς τῷ σταυρῷ· ὅστις θεωρήσας τὸν στρατιώτην [4], τὸν τῇ λόγχῃ [5] ἐκκεντήσαντα τὴν πλευρὰν τοῦ Κυρίου, καὶ τὸ ἐκβλύζον ἐκ ταύτης αἷμα καὶ ὕδωρ, δραμὼν καὶ λαβὼν κολοκύνθην [6] καὶ ἐν αὐτῇ δεξάμενος τοὺς θεορρύτους κρουνούς, κατεῖχε κρύφα, εἶτα τελευτῶν κατέλιπε [7] τὴν κολοκύνθην [6] δύο ἐρημίταις [8] ἀνθρώποις· κατὰ δὲ γενεὰν διαδιδομένου ὡς κλήρου τοῦ ἄγγους, ἔφθασε καὶ εἰς τοῦτον τὸν

3. — [1] ἁγίων πατέρων καὶ θεοφόρων Sa. — [2] τῆς ἐν Ἐφέσω Sa. — [3] σύνοδος *add.* Sa. *om.* S. — [4] τὸν δὲ Χριστὸν Sa.

1. — [1] παρθένων καὶ αὐταδέλφων Sa. — [2] Νυμφοδόρας καὶ Μητροδόρας S, *hic et infra.* — [3] *om.* Sa. — [4] Πιθύοις S : πυθίοις Sa, *et* Stephanus Byzantius : ἔστι καὶ Βιθυνίας Θέρμα τὰ μὲν Πύθια κτλ. — [5] Φρόντονι S. — [6] καταξανθεῖσα Sa. — [7] ἐριμμένον S. — [8] καὶ τῶν αὐτῶν ἀκούσασα ὡς δὲ Sa. — [9] ἐκβαλλόντες S.

2. — [1] μνήμη *om.* S. — [2] Βαρυψαβᾶ Sa *et* Menaea, Βαριψαββᾶ S, Βαριψαβᾶ *cod. Vatic. 1589*, Βαρυψουβᾶ P. — [3] ὅτε οἱ Ἰουδαῖοι τὸν δεσπότην ἡμῶν ἐσταύρωσαν Sa. — [4] τὸν στρατιώτην Sa, τῶ στρατιωτη S. — [5] τὸν λόγχην Sa. — [6] κολοκύνθην Sa, κολοκύνθα S. — [7] καταλέλοιπεν Sa. — [8] ἐρεμίτες S.

Sept. 9.

καὶ ἐβαπτίζοντο [13] ὑπ᾽ αὐτοῦ, αἰδεσθέντες ἀπέλυσαν αὐτὸν ἐν ἀνέσει [14] διάγειν. Καὶ πάλιν ἀνελθὼν εἰς ὃ [15] ἦν πρῴην σπήλαιον, καὶ ἑτέρους ἑπτακαίδεκα χρόνους ἀσκήσεως [16] διαβιβάσας, ὡς εἶναι τοὺς ὅλους τῆς ἀσκήσεως αὐτοῦ [17] χρόνους ἑβδομήκοντα πέντε, ἀπέστη [18] πρὸς Κύριον. — 4. — Στράτων ἐν κέδροις δυσὶ δεθεὶς καὶ διαμερισθεὶς τ. — **Mv** : 1. 2. — Θεοφάνους. — 4. — Στράτων. — Ἀμμιανός, Θεόδωρος καὶ Ἰουλιανὸς π. τ. — **Mr** : 1. 2.

Sept. 10.

SYNAXARIA SELECTA. **Sa** : 1. 2, scriptum non suo loco, manu recenti, in principio libri, add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ξηρολόφου. — 3. 4. 5. — **H** : Προσκύνησις τῶν τιμίων ξύλων ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. — 2. 1. — **P** : 5 : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 2. 1. — **F** : 5. 1. 2. 3. — **Fa** : 5. 1. 2. 3 (Πλουχερίας). — 4. — **Fb** : 5. 1. 2. 3. 4. — **B** : 2. 1. — **Ba** : Εἰς τὴν προσκύνησιν τῶν τιμίων ξύλων. — 5. 2. 1. 3 (= S). — **Bb** : 2. 1. 3. — **T** : 1. — **L** : 1. 2. — **O** : 1. 2. — **G** : 1. 2. 3. 4. — **C** : 2. 1. — Διοδώρου καὶ Διδύμου (Sept. 11[3]). — Ἴας (Sept. 11[2]). — **Cb** : 2. 1. — Διοδώρου καὶ Διδύμου. Οὗτοι οἱ ἅγιοι μάρτυρες Διόδωρος καὶ Δίδυμος ὑπῆρχον ἐκ πόλεως Λαοδικείας [1] τῆς Συρίας. Χριστιανοὶ δὲ ὄντες ἐδίδασκον ἐπὶ τῷ ὀνόματι κυρίου τοῦ Θεοῦ ἡμῶν, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ πολλοὺς τῶν ἀπίστων πρὸς τὸν Θεὸν ἐπιστρέφοντας ἐβάπτισαν. Διαβληθέντες δὲ παρά τινων ἑλλήνων τῷ τῆς Λαοδικείας [1] ἄρχοντι, παρέστησαν τῷ κριτηρίῳ αὐτοῦ. Ἐρωτηθέντες δὲ καὶ παρρησίᾳ ὁμολογήσαντες τὸ ὄνομα τοῦ Χριστοῦ, ἰσχυρῶς βασανίζονται καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενοι, ἀλλὰ μᾶλλον τὴν τῶν εἰδώλων πλάνην ἐλέγξαντες, καὶ τὸν ἄρχοντα ὡς παράνομον ἐμπτύσαντες, ἐν αὐταῖς ταῖς βασάνοις πέρας τοῦ βίου ἐδέξαντο, τῷ Θεῷ εὐχαριστοῦντες μέχρι τῆς τελευταίας ἀναπνοῆς. — Ἴας ἐν Περσίδι μαρτυρησάσης. Ἡ ἁγία μάρτυς Ἴα ὑπῆρχεν ἀπὸ κάστρου λεγομένου Βιζάλης, αἰχμάλωτος [2] κρατηθεῖσα μετὰ ἐννέα χιλιάδων χριστιανῶν παρὰ τῶν Περσῶν, ἐπὶ Σαβωρίου [3] τοῦ παρανόμου. Κρατηθεῖσα δὲ ὡς χριστιανή, παρεδόθη παρὰ Σαβωρίου τοῖς ἀρχιμάγοις. Οἵτινες ἀναγκάσαντες αὐτὴν ἀρνήσασθαι τὸν

— [13] βαπτίζονται Mv. — [14] ἀσκήσει Mv. — [15] ὅπερ Mv. — [16] ἐν τῇ ἀσκήσει Mv. — [17] αὐτῷ Mv. — [18] μετέστη Mv.

[1] Λαοδικίας Cb. — [2] αἰγμάλωτος Cb. — [3] Σαβορίου Cb.

ἅγιον μοναχὸν ὄντα, ὅστις δι' αὐτοῦ πολλὰς ἰάσεις καὶ θαύματα ἐπετέλει, πορευόμενος κατὰ πᾶσαν πόλιν καὶ χώραν. Ἰδόντες δέ τινες τὸν Θεὸν μὴ φοβούμενοι καὶ νομίσαντες ὅτι, ἐὰν αὐτὸν φονεύσωσι καὶ λάβωσι τὸ τὰς ἰάσεις ἐπιτελοῦν, κερδήσουσι διὰ τοῦτο [9] χρήματα πολλά, νυκτὸς ἐπελθόντες ἀπέκτειναν αὐτόν· ἀλλ' οὐχὶ καὶ τοῦ σκοποῦ ἐπέτυχον. Θείᾳ γὰρ ἐπινεύσει ὁ θησαυρὸς οὗτος προπαρεδόθη τῷ μαθητῇ αὐτοῦ φυλαττόμενος καὶ μετὰ καιροὺς τῇ μεγαλοπόλει ταύτῃ ἀπεδόθη [10].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῆς τιμίας Πουλχερίας, ἥτις ἀδελφὴ μὲν γέγονε Θεοδοσίου [1] τοῦ μικροῦ, ὠνομάσθη δὲ γυνὴ Μαρκιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως. Μεθ' οὗ μέχρι γήρως τὴν ἑαυτῆς σωφροσύνην φυλάξασα καὶ τὴν εὐσέβειαν ἄκρως τηρήσασα καὶ πολλὰ κατορθώματα ἔν τε ναῶν κτίσεσι καὶ πτωχείων ὡς ἀληθὴς βασίλισσα ποιήσασα, παρεσκεύασεν καὶ τὴν ἐν Χαλκηδόνι [2] ἁγίαν σύνοδον γενέσθαι. Διὸ καὶ μετὰ παρρησίας ἐν εἰρήνῃ ἐκοιμήθη. Sept. 10.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ ὁμολογητοῦ Παύλου, ἐπισκόπου γενομένου Νικαίας.

5. Δεῖ δὲ γινώσκειν, ὅτι ἀπὸ ταύτης τῆς δεκάτης ἄχρι καὶ αὐτῆς τῆς ιγ' προτίθενται ἄ|νωθεν ἐν f. 23v. τῇ μεγάλῃ ἐκκλησίᾳ τὰ τίμια ξύλα· καὶ ἀνδρῶν εἰσερχομένων ἀπὸ ἕωθεν καὶ προσκυνούντων ἄχρι τῆς ὑψώσεως τοῦ καθ' ἡμέραν θυομένου ἄρτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐν τῇ λειτουργίᾳ καὶ ψαλλόντων· « Σῶσον, Κύριε, τὸν λαόν σου », ἀντὶ δὲ τρισαγίου· « Τὸν σταυρόν σου προσκυνοῦμεν, » δέσποτα » — οὕτως αἴρονται καὶ πάλιν τῇ ἐπαύριον προτίθενται ἄχρι τῆς προδηλωθείσης ὥρας· ἐν δὲ τῇ ὑστεραίᾳ τούτων καταγενομένων, συντρέχουσι καὶ αἱ γυναῖκες εἰς προσκύνησιν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

1. Μνήμη τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ζήνωνος πλουσίων γονέων θυγάτηρ, ὡραία πάνυ τὴν ὄψιν, ἀνδρὶ συζευχθεῖσα εὐγενεστάτῳ καὶ εὐλαβεῖ ὀνόματι Παφνουτίῳ. Ἐπεὶ δὲ φθόνῳ διαβόλου συνέβη αὐτῇ προσφθαρῆναι κατ' ἔρωτα σατανικὸν ἑτέρῳ ἀνδρί, μετὰ τὴν ἐκπλήρωσιν τῆς ἁμαρτίας μεταμεληθεῖσα καὶ μὴ φέρουσα [1] τὸν τοῦ οἰκείου συνει- Sept. 11. δότος ὀνειδισμόν, ἀποδυσαμένη τὰ κοσμικὰ καὶ λάθρα ὑποδῦσα τὸ ἀγγελικὸν σχῆμα, ὡς ἀνὴρ Θεόδωρος λεγομένη καὶ εὐνοῦχος νομιζομένη, ἀπῆλθεν εἰς ἀνδρῷον μοναστήριον. Ὅθεν πᾶσαν ἄσκησιν καὶ σκληραγωγίαν ἐνδειξαμένη καὶ συκοφαντηθεῖσα ὡς πεπορνευκὼς καὶ τῆς μονῆς ἀπορ-

— [9] διὰ τούτου Sa. — [10] τελεῖται κτλ. *add.* Sa. *inter* Synaxaria selecta.
3. — [1] Θεοδωσίου S. — [2] Χαλκιδόνη S.
1. — [1] μὴ ἰσχύουσα φέρειν Sa.

Χριστόν, οὐ μόνον οὐκ ἔπεισαν, ἀλλὰ καὶ κατεγελάσθησαν ὑπ' αὐτῆς. Ὅθεν εἰς φυλακὴν εἰσάγεται, Sept. 10. χρόνον ὁλόκληρον ὑπὸ λιμοῦ καταπονουμένη, εἶτα ἐξαγαγόντες αὐτὴν ἔτυψαν σφοδρῶς μετὰ ῥαβδίων ῥοΐνων ἀκαθαρίστων· καὶ πάλιν ἐνέβαλον εἰς φυλακήν. Καὶ ἐποίησεν μῆνας δεκαπέντε. Εἶτα ἐξάγεται καὶ δεσμεῖται σχοινίοις λεπτοῖς τά τε σκέλη καὶ τοὺς μηροὺς καὶ τὰς χεῖρας καὶ σφίγγεται ὑπὸ στυρακίου, ὥστε τὰ αὐτῆς ὀστᾶ τρισμὸν ποιῆσαι. Εἶτα τύπτεται λώροις ὠμοβύρσοις τὰς ψύας καὶ τὴν κοιλίαν καὶ μετὰ ταῦτα ἀπεκεφαλίσθη. — **M** : 1. — Τοῦ ἁγίου μάρτυρος Χαρίτωνος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Δευτέρῳ (Sept. 9[4]). — 2. — Πέτρος ἐπίσκοπος Νικαίας (Sept. 11[4]). — 3. — Μνήμη τῶν ἁγίων ἀποστόλων Ἀπελλοῦς, Λουκᾶ καὶ Κλήμεντος. Ἄλλος οὗτος ὁ ἀπόστολος Ἀπελλῆς καὶ ἕτερος ὁ τῆς Ἡρακλείας τῆς ἐν τῇ Θρᾴκῃ ἐπίσκοπος γεγονώς. Τούτου δὲ μέμνηται ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους, ὡς φωστὴρ τῆς Σμύρνης γέγονε· καὶ τῷ Θεῷ ὁσίως δουλεύσας πρὸς αὐτὸν ἀναλύει. Καὶ οὗτος ὁ Λουκᾶς οὐχ ὁ εὐαγγελιστής, ἀλλ' ὃν ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ μαρτυρεῖ, πρωτόθρονος τῆς ἐν Συρίᾳ Λαοδικείας γενόμενος, καὶ καλῶς ποιμάνας ἀπῆλθε πρὸς Κύριον. Κλήμης δὲ καὶ οὗτος, ὃν ἐν τοῖς πρὸς Κολοσσαεῖς ὁ ἀπόστολος διηγεῖται (καὶ γὰρ οὗτος πρῶτος πάντων ἐπίστευσεν εἰς Χριστὸν ἐξ ἐθνῶν), καὶ Σαρδικῆς ἐπίσκοπος γέγονε, καὶ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ περιφέρων, πρὸς Κύριον ἐξεδήμησεν. — **Mv** : 1. 2. 3. — Ἀπελλοῦς, Λουκᾶ καὶ Κλήμεντος. — Ἴας. — **Mr** : 1.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλη- Sept. 11. σίον τοῦ Ξηρολόφου. — 3. — **H** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 4. — Δημητρίου, Εὐανθίας καὶ Δημητριανοῦ (Sept. 13[1]). — **P** : 3. 2. 1. 4. — Δημητρίου καὶ τῆς γυναικὸς αὐτοῦ Εὐανθίας καὶ Δημητριανοῦ τοῦ υἱοῦ αὐτῶν. — **F** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 3. 4. — **Fa** : Ἡ προσκύνησις κτλ. — 1. 2. 3. 4. — **Fb** : Ἡ προσκύνησις κτλ. — 1. 2. 3. 4. — **B** : 3. 2. 1. — **Ba** : Εἰς τὴν προσκύνησιν τῶν τιμίων ξύλων. — 1. — Τοῦ ἁγίου Κορνηλίου τοῦ ἑκατοντάρχου. Ὃς ἐν τοῖς χρόνοις τῶν ἀποστόλων πρῶτος ἐξ ἐθνῶν πιστεύσας, εἶδεν ἄγγελον ἐν ὁράματι λέγον<τα> αὐτῷ ἃ δεῖ ποιῆσαι αὐτόν. Ὃς παρὰ Πέτρου καὶ Τιμοθέου τὴν προστασίαν τῆς Σκέψεως πόλεως δέχεται. Καὶ εὑρὼν αὐτὴν κατείδωλον, χάριτι Χριστοῦ πάντας ἐβάπτισε καὶ αὐτὸν τὸν ἄρχοντα Δημήτριον πανοικὶ πεπιστευκότα (Sept. 13[1]). — 4. — Μακεδονίου, Θεοδούλου καὶ Τατιανοῦ (Sept. 12[3]). — Καὶ τοῦ ὁσίου Παύλου Νικαίας (Sept. 10[4]). — 3. — **Bb** : Κορνηλίου. — 4 (τοῦ ὁσίου καὶ ὁμολογητοῦ Πέτρου ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ). — 3. 2. 1. — **T** : 1. — **L** : 1 : Ἡ ὁσία Θεοδώρα ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ζήνωνος κτλ. — Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ. — **O** : 1. 3. 2. 4. — Τοῦ ἁγίου ἱερομάρτυρος Δημητρίου καὶ τῆς γυναικὸς αὐτοῦ Εὐανθίας καὶ Δημητριανοῦ τοῦ υἱοῦ αὐτῶν (Sept. 13[1]). — **G** : 1. 2. — Κορνηλίου τοῦ ἑκατοντάρχου (Sept. 13[1]). — **C** : 1. — **Cb** : 1. — **M** : 1. — Εὐφροσύνου τοῦ μαγείρου. Οὗτος ἐξ

Sept. 11.

ριφεῖσα μετὰ τοῦ ὡς δῆθεν πορνογενοῦς αὐτῷ βρέφους καὶ ἑπτὰ ἔτη σὺν αὐτῷ διαρκέσασα ἐν ἐρημίᾳ καὶ πολλοὺς πειρασμοὺς καὶ μάστιγας ὑπομείνασα παρὰ τοῦ διαβόλου, αὖθις εἰσδέχεται εἰς τὸ μοναστήριον. Καὶ πλείονας [2] τοὺς ἀγῶνας ἐπιδειξαμένη, ὡς μὴ μόνον τοῦ ἁμαρτήματος λυτρωθῆναι, ἀλλὰ καὶ χαρίσματος ἰαμάτων [3] ἀξιωθῆναι, μετ' ὀλίγον τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται. Ἥτις μετὰ θάνατον διαγνωσθεῖσα, ὅτι γυνὴ ἦν φύσει, πολλὴν ἔκπληξιν ἐνέβαλε τοῖς ἰδοῦσί τε καὶ ἀκούσασι.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μητρὸς Ἴας τῆς ἐν Περσίδι μαρτυρησάσης. Αὕτη ὑπῆρχεν ἀπὸ κάστρου λεγομένου Βιζάδης, ἤθλησεν δὲ ἐπὶ Σαβωρίου [1] τοῦ Περσῶν βασιλέως, πρεσβυτάτην ἄγουσα [2] τὴν | ἡλικίαν. (f. 24.) Συνελήφθη γὰρ αἰχμάλωτος ὑπὸ τῶν Περσῶν μετὰ ἐννέα χιλιάδων χριστιανῶν. Παραδοθεῖσα δὲ τοῖς ἀρχιμάγοις διὰ τὸ τὸν Χριστὸν παρρησίᾳ κηρύττειν, ἐμβάλλεται εἰς φυλακήν, ὑπὸ λιμοῦ [3] κατατηκομένη ὅλον ἐνιαυτόν· ἔπειτα ἐκβληθεῖσα καὶ τυφθεῖσα μετὰ ῥάβδων ῥοΐνων πάλιν ἐμφυλακίζεται μῆνας δεκαπέντε· εἶτα ἐκβάλλεται καὶ δεσμεῖται σχοινίοις λεπτοῖς καὶ τὰ σκέλη [4] καὶ τοὺς μηροὺς καὶ τὰς κνήμας καὶ συσφίγγεται ὑπὸ στύρακος [5]. Εἶτα τύπτεται διὰ λώρων ὠμοβύρσων τάς τε ψύας [6] καὶ τὴν κοιλίαν καὶ μετὰ ταῦτα ξίφει τέμνεται τὴν κεφαλήν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Διοδώρου [1] καὶ Διδύμου. Οἵτινες ὑπῆρχον ἐκ Λαοδικείας [2] τῆς Συρίας, παρὰ δὲ τοῦ κατὰ τὸν τόπον ἄρχοντος συλληφθέντες καὶ παρρησιασάμενοι τὴν εὐσέβειαν, ἐν τῷ ἀφειδῶς μαστίζεσθαι τοῦ βίου τὸ πέρας δέχονται.

4. Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμε καὶ ἡ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Πέτρου μητροπολίτου Νικαίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Sept. 12.

1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Αὐτονόμου. Ὃς ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐπίσκοπος γενόμενος Ἰταλίας· διὰ δὲ τὸν κατὰ τῶν χριστιανῶν διωγμὸν καταλιπὼν τὴν Ἰταλίαν, τὴν

— [2] πλείνας Sa. — [3] θαυμάτων Sa.
2. — [1] Σαβωρίου Sa, Σαβορίου S. — [2] ἔχουσα Sa. — [3] λιμοῦ Sa, λοιμοῦ S. — [4] λεπτοῖς τά τε σκέλη Sa. — [5] στύλακος Sa. — [6] ψυάς S, ψοιάς Sa.
3. — [1] Διοδόρου S. — [2] Λαοδικίας S.

Sept. 11.

ἀγροίκων ἀποτεχθεὶς καὶ ἰδιώτης ὤν, μοναστῶν διακονητὴς [1] ἐχρημάτισε, παρορώμενος τὰ [2] πολλὰ καὶ
μυκτηριζόμενος, καὶ τῷ μαγειρείῳ προστετηκώς. Ἐν ᾧ δὲ ἦν οὗτος φροντιστηρίῳ, ἱερεὺς τῶν εὐαρε-
στούντων ἐξελιπάρει τὸν Κύριον, ὑποδειχθῆναι αὐτῷ αἰσθητῶς τὰ τοῖς ἀγαπῶσιν αὐτὸν ἀποκείμενα
ἀγαθά· καὶ μιᾷ τῶν νυκτῶν ἐῴκει [3] ἐν παραδείσῳ ἑστάναι, καὶ θάμβει κατενόει τὰ ὁρώμενα. Εἶδε δὲ
πρὸς τούτοις καὶ τὸν τῆς μονῆς μάγειρον [4] μέσον ἑστῶτα καὶ ἐν ἀπολαύσει ὄντα τῶν τοῦ παραδείσου [5]
ἐκείνων ἀγαθῶν, ᾧ καὶ προσεγγίσας ἠρώτα μαθεῖν, τίς ἄρα ὁ παράδεισος οὗτος καὶ [6] πῶς ἐν τούτῳ [7]
εὑρέθη. Καὶ ὅς· « Οὗτός ἐστι, φησί [8], τὸ καταγώγιον τῶν τοῦ Θεοῦ ἐκλεκτῶν, κἀγὼ διὰ τὴν πολλὴν
» τούτου ἀγαθότητα ἐνθάδε συνεχωρήθην αὐλίζεσθαι. » Καὶ ὁ ἱερεύς· « Τί δὲ ἐργάζῃ ἐν τούτῳ τῷ παρα-
» δείσῳ; » « Τὴν ἐξουσίαν ἔχων πάντων τῶν φαινομένων σοι, ἐνηδύνομαι τῇ τούτων αἰσθήσει » φησὶν
ὁ Εὐφρόσυνος. Καὶ ὁ ἱερεύς· « Δύνασαί μοι δοῦναί τι; » Καὶ ὁ Εὐφρόσυνος· « Εἰ βούλει, λήψῃ τῇ τοῦ
» Θεοῦ μου ἀγαθότητι. » Τότε ὁ ἱερεὺς δείξας τῇ χειρὶ μῆλα, ἐπεζήτει ἐξ αὐτῶν· καὶ λαβὼν ὁ Εὐφρό-
συνος δέδωκε τῷ ἱερεῖ πρὸς τὸ παλλίον, εἰρηκώς· « Ἅπερ [9] ἐζήτησας, λαβὼν κατατρύφησον. » Καὶ
παρευθὺ [10] ὡς τὸ ξύλον ἔκρουσε τῆς ἑωθινῆς ὑμνῳδίας, συσταλεὶς ὁ ἱερεὺς ὡς ὄναρ τὸ φανὲν ὑπετόπαζε·
πρὸς τὸ παλλίον δὲ ὑφαπλώσας καὶ τὰ μῆλα κατασχών, τῇ ἡδύτητι δὲ [11] τῆς ὀσφρήσεως [12] καταπλαγείς [13],
ἀκίνητος ἔμεινεν. Εὑρὼν δὲ τὸν Εὐφρόσυνον ἐν τῇ συνάξει, ὅρκοις αὐτὸν προκατελάμβανεν [14], εἰπεῖν τὴν
νύκτα ταύτην ὅπου ἄρα καὶ ἦν. Ὁ δέ· « Συγχώρησον, ἔφη, πάτερ· ἐκεῖσε ἤμην, ὅπου καὶ νῦν με εὗρες. »
Καὶ ὁ ἱερεύς· « Διὰ τοῦτό σε ὅρκοις προκατέλαβον, εἰς δήλωσιν τῶν τοῦ Θεοῦ μεγαλείων, καὶ οὐ πειθῃ [15]
» εἰπεῖν τὸ ἀληθές; » Τότε ὁ ταπεινόφρων Εὐφρόσυνος· « Ἐν αὐτῷ με τοῦ Θεοῦ τῷ παραδείσῳ, φησί,
» κατέλαβες, ἐν ᾧ ἰδεῖν ἐπεζήτεις τὰ τοῖς ἐκλεκτοῖς ἀποκείμενα· καὶ τὴν σὴν ὁσιότητα [16] πληροφορῆσαι
» θέλων ὁ Κύριος, δι' ἐμοῦ τοῦ εὐτελοῦς ἐνήργησε τὸ παράδοξον. » Καὶ ὁ ἱερεύς· « Ἆρά γε, πάτερ, καί τι
» μοι [17] ἐν τῷ παραδείσῳ αἰτήσαντι δέδωκας; » Καὶ ὁ Εὐφρόσυνος· « Τὰ εὐανθῆ μῆλα, ἃ προσφάτως ἐν
» τῇ κλίνῃ σου τέθεικας, ὅμως, πάτερ, συγχώρησον, ὅτι σκώληξ ἐγὼ καὶ οὐκ ἄνθρωπος. » Τότε ὁ ἱερεὺς
τὴν ὀπτασίαν τοῖς ἀδελφοῖς διηγησάμενος, πάντας εἰς ἀγωνίαν ἐνέβαλεν, οὐ τοσοῦτον τῷ διηγήματι,
ὅσον τῇ τῶν τερπνῶν ἐκείνων μήλων ἰδέᾳ [18], ὡς καὶ μᾶλλον ἐπεκτείνεσθαι πρὸς τὸ βέλτιον [19]. Ὁ δὲ μέγας
Εὐφρόσυνος, ὡς ἐκ ψιλοῦ τὰ λαληθέντα ἀνέμαθε, λάθρα ὑπεξελθών [20], ἐμάκρυνε φυγαδεύων, ἄγνωστος
τὸ παράπαν μέχρι τῆς δεῦρο γενόμενος. Ἐκ δὲ τῆς τῶν μήλων μεταλήψεως πολλοὶ τῶν νοσούντων ἐρρώ-
σθησαν [21]. — 3. — Δημητρίου καὶ Εὐανθίας τῆς αὐτοῦ γυναικὸς καὶ Δημητριανοῦ λιμῷ τ. (Sept. 13[1]). —
Σαραπίων, Κρονίδης καὶ Λεόντιος ἐν τῇ θαλάσσῃ τ. (Sept. 13[5]). — Σέλευκος καὶ Οὐαλέριος θηρίοις
ἐκδοθέντες τ. — **Mv** : 1. — Εὐφροσύνου. — 3 (Διοδώρου, Διομήδους καὶ Διδύμου). — 2. — **Mr** : 1.
SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλη-
(Sept. 12.) σίον τῶν ἁγίων τεσσαράκοντα. — 5. 3. 4. — **H** : Προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 5. — **P** : 1 (Αὐτο-

[1] διάκονος Mv. — [2] τὰ *om.* Mv. — [3] ἐδόκει Mv. — [4] τὸν Εὐφρόσυνον *add.* Mv. — [5] ἐν Παραδείσῳ Mv. — [6] καὶ *om.* Mv. — [7] ἐνταῦθα Mv. — [8] *om.* Mv. — [9] ὥσπερ Mv. — [10] παρευθὺς Mv. — [11] δὲ *om.* Mv. — [12] ὑσφρήσεως Mv. — [13] κατεπλαγεὶς Mv. — [14] προκαταλάμβανεν Mv. — [15] βούλει Mv. — [16] ἁγιότητα Mv. — [17] ἱερεὺς καὶ τί μοι πάτερ Mv. — [18] θέᾳ καὶ εὐωδίᾳ Mv, ἰδέει M. — [19] τὸν βέλτιον Mv. — [20] ἐπεξελθὼν Mv. — [21] εἰς δόξαν Θεοῦ. ἀμὴν *add.* Mv.

Βιθυνῶν καταλαμβάνει [1] καὶ πρόσεισι χωρίῳ τινί, ᾧ τοὔνομα μὲν Σορεοί [2], κεῖται δὲ ἐν δεξιᾷ τοῦ εἰσπλέοντος τῷ τῆς Νικομηδείας κόλπῳ· κἀκεῖσε ξενίζεται παρ' ἀνδρί τινι χριστιανῷ Κορνηλίῳ τὴν κλῆσιν. Χρόνον δὲ συχνὸν προσδιατρίψας αὐτῷ καὶ ναὸν οἰκοδομήσας ἐπὶ τῷ ὀνόματι Μιχαὴλ τοῦ τῶν ἀγγέλων ἀρχηγοῦ, χειροτονεῖ ἐν αὐτῷ τὸν Κορνήλιον διάκονον· εἶθ' οὕτως ἐπὶ τὴν Λυκαόνων καὶ Ἰσαύρων ἀπαίρει διδάξων· καὶ ἐπανελθὼν πάλιν πρὸς Κορνήλιον, τοῦτον εἰς τὸν τῶν ἱερέων [3] ἀνάγει βαθμόν. Ἐπεὶ δὲ καὶ Διοκλητιανὸν [4] πρὸς τὴν Νικομήδους ἥκοντα ἔγνω, ἐπὶ τὸ Μαντίνιον καὶ τὴν Κλαυδιούπολιν αὖθις ἀποπλέει κἀνταῦθα τὸν λόγον τῆς εὐσεβείας διασπείρας, ἐπὶ Σορεοὺς ἀναστρέφει καὶ τὸν Κορνήλιον τελειοῖ τῷ τῆς ἐπισκοπῆς ἀξιώματι, κἀκεῖθεν πάλιν τὴν Ἀσιανὴν [5] ἐπέρ|χεται χώραν. (f. 24v.) Ὕστερον δὲ πάντων πρὸς Κορνήλιον ὑποστρέψας καὶ τὴν ὑπ' αὐτὸν [6] ποίμνην ἐπισκεψάμενος, εἰς μανίαν κινήσας τοὺς Ἕλληνας διὰ τὸ πολλοὺς διδάσκειν τὴν εἰς Χριστὸν πίστιν, λίθοις καὶ ξύλοις βληθεὶς ὑπὸ τῶν εἰδωλολατρῶν ἀναιρεῖται ἔνδον τοῦ θυσιαστηρίου τοῦ ναοῦ τοῦ ἀρχιστρατήγου, τὴν θείαν μυσταγωγίαν ἐπιτελῶν.

Sept. 12.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κορνούτου [1], ἐπισκόπου γενομένου Ἰκονίου. Οὗτος τῆς αὐτῆς πόλεως ἦν καὶ γέννημα καὶ θρέμμα, πρῶτος ὑπάρχων τοῦ κατ' αὐτὴν χωρίου [2] Σουρσάλου, πολιὸς τὴν τρίχα καὶ τὴν φρόνησιν στερρός. Καταλαβόντων γάρ ποτε τῶν [3] διωκτῶν, αὐτὸς μόνος τῶν ἄλλων φυγόντων ὑπέστη τοῦ ἡγεμόνος Περινίου τὴν ἀπήνειαν· ὑφ' οὗ δεσμηθεὶς πρῶτον τοὺς πόδας διὰ σχοινίων λεπτῶν καὶ συρεὶς κατὰ τὰς ῥύμας τῆς πόλεως καὶ τῷ οἰκείῳ αἵματι πάσας ταύτας [4] φοινίξας καὶ ἰσχυρῶς βασανισθείς, ὕστερον καὶ τὴν κεφαλὴν ἀποτέμνεται [5].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μακεδονίου [1], Θεοδούλου καὶ Τατιανοῦ.

4. Καὶ μνήμη τοῦ ὁσίου Δανιὴλ τοῦ ἐν τῷ Θασίῳ.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐν Ἀλεξανδρείᾳ. Τοῦτον οἱ Ἀλεξανδρεῖς ὡς παρρησίᾳ τὸν Χριστὸν κηρύττοντα συλλαβόντες καὶ θυμῷ σατανικῷ ἐκκαυθέντες, ἐστεφάνουν ἀκάνθαις, ἔπαιον κατὰ κόρρης καὶ τῇ πόλει [1] περιῆγον δέσμιον· ῥίψαντες δὲ καὶ ἐν [2] τῷ βυθῷ τῆς θαλάσσης, ἐπεὶ ἀνασωθέντα τοῦτον εἶδον θείᾳ προνοίᾳ, κελεύσει τοῦ ἄρχοντος τῷ διὰ ξίφους θανάτῳ τελειοῦσι.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

Sept. 13.

1. Μνήμη τοῦ ἁγίου Κορνηλίου τοῦ ἑκατοντάρχου καὶ τῶν δι' αὐτοῦ τῇ πίστει προσελθόντων, Δημητρίου καὶ τῆς γυναικὸς αὐτοῦ Εὐανθίας καὶ Δημητριανοῦ τοῦ υἱοῦ αὐτῶν. Ὁ ἅγιος Κορ-

1. — [1] καταλαμβάνει χώραν Sa. — [2] Σορεοῖ S, Συρεοὶ Sa, Σορεοὶ Vita S. Autonomi, *n. 2*, Act. SS., *Sept. IV*, *p. 17*. — [3] ἱερῶν Sa. — [4] Διοκλητιανὸς Sa. — [5] Ἀσιανῶν Sa, Vita S. Autonomi, *n. 3*. — [6] αὐτῶν Sa.
2. — [1] Κορονάτου Sa, Κουρνούτου Ba. — [2] χωρίου Sa. χώραν S. — [3] τῶν *om.* Sa. — [4] ταύτας πάσας Sa. — [5] *add.* Sa : Τελεῖται κτλ. *infra inter* Synaxaria selecta.
3. — [1] Μακεδωνίου S.
5. — [1] τὴν πόλιν Sa. — [2] ἐν *om.* Sa.

(Sept. 12.) νόμου ἐπισκόπου Πρεναίστου). 2. 5. Sequitur : Σαββάτῳ πρὸ τῆς ὑψώσεως ... Κυριακῇ πρὸ τῆς ὑψώ-
σεως. — **F** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 5. 3. — Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος
Δημητρίου καὶ τῆς γυναικὸς αὐτοῦ Εὐανθείας καὶ Δημητριανοῦ τοῦ υἱοῦ αὐτῶν (Sept. 13[1]). — 4. — **Fa** :
Ἡ προσκύνησις κτλ. — 1. 2. 5. 3 (... Τατοιανοῦ). — 4. — **Fb** : Ἡ προσκύνησις κτλ. — 1. 2. 5. 3. — Δημη-
τρίου, Εὐανθίας, Δημητριανοῦ. — 4. — **B** : 1. 2. 5. — **Ba** : Εἰς τὴν προσκύνησιν τῶν τιμίων ξύλων. —
1. 2. — Ἀνδρονίκου τοῦ ἐν τῇ Ἀτρώᾳ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Νικηφόρου καὶ Σταυρακίου τῶν
βασιλέων, ἱεραρχοῦντος Ταρασίου Κωνσταντινουπόλεως, ὥρμητο δὲ ἐκ χώρας Ἀσίας κώμης λεγομένης
Ἐλαίας, Κοσμᾶ καὶ Ἄννης ὑπάρχων γέννημα. Ὃς ἐξ αὐτῆς νηδύος τῷ Θεῷ ἀνετέθη, νηστείᾳ καὶ συντόνῳ
προσευχῇ προσκαρτερῶν καὶ θαύματα πολλὰ ποιῶν, ἀβρόχοις ποτὲ τὸν Ἅλυν διαβὰς ποταμόν, πάσης
βρώσεως παχυτέρας ἀπεχόμενος, λαχάνοις καὶ ὀσπρίοις μόνοις ἀρκούμενος καὶ μικροῦ ἄρτου καὶ ὕδατος·
σιδήροις γὰρ τὸ σῶμα βαρούμενος καὶ σκληραγωγίᾳ ἑαυτὸν ἐκτήξας [1] οὕτω πρὸς ὃν ἐπόθει Κύριον ἐν
εἰρήνῃ μετετέθη (Cf. Sept. 13[4]). — **Bb** : 1. 2. — τῆς ἁγίας μάρτυρος Θεοδώρας (Cf. Sept. 11[1]). — **T** :
1. — **L** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2 (Κορονάτου). — **O** : 1. 2. 5. — **G** : 1. 2. 5. 3. — **C** :
1, mutil. — **Cb** : 1. 2 (prius Κουρουνάτου dein Κουρνάτος). — 5 : Θεοδώρου τοῦ ἐν Ἀλεξανδρείᾳ.
Τοῦτον τὸν ἁγιώτατον μάρτυρα Θεόδωρον χριστιανὸν ὄντα καὶ θεοσεβῆ, εὐλαβῆ καὶ φοβούμενον τὸν
Θεὸν καὶ παρρησίᾳ κηρύττοντα [2] τὸν Χριστὸν καὶ Θεὸν ὁμολογοῦντα τοῦ παντὸς ὁ τῶν Ἀλεξανδρέων
δῆμος εἰδωλολατρεύσαντες συναχθέντες ἐκράτησαν. Καὶ πρῶτον μὲν ἐτιμωρήσαντο ἰσχυρῶς, ἔπειτα
στέφανον ἀκάνθινον ποιήσαντες, περιέθηκαν αὐτοῦ τῇ κεφαλῇ [3] καὶ ἔτυπτον μετὰ ῥαβδίων καὶ εἰς τὴν
πόλιν περιῆγον δέσμιον χλευάζοντες καὶ γελῶντες. Μετὰ τοῦτο ῥίπτεται ἐν τῇ θαλάσσῃ· αὔρα δὲ
γαληνὴ τοῦτον ἐπὶ τῆς ξηρᾶς σῶον διέσωσεν. Εἶτα κρατηθεὶς καὶ πάλιν δεσμευθεὶς παρέστη τῷ
ἄρχοντι καὶ ἐτιμωρήθη παρ' αὐτοῦ ἰσχυρῶς· εἶτα ἀποτέμνεται τὴν ἁγίαν αὐτοῦ κεφαλὴν δοξάζων τὸν
Θεὸν καὶ εὐχαριστῶν τῷ ὀνόματι αὐτοῦ μέχρι τῆς τελευταίας πνοῆς. Ἐτάφη παρὰ πιστῶν καὶ εὐλαβῶν
ἀνδρῶν ἐν αὐτῇ τῇ πόλει τῶν Ἀλεξανδρέων. — **M** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 5. —
Ἰουλιανοῦ τοῦ ἐν Γαλατίᾳ (Sept. 13[3]). — 3. 4. — Ὁ ἅγιος Ὠκεανὸς π. τ. — **Mv** : 1. 2. 5. — Ἰουλιανοῦ. —
3. 4. — Ὠκεανός. — **Mr** : 1.
(Sept. 13.) SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμε καὶ ἡ μνήμη τοῦ ὁσίου πατρὸς
ἡμῶν καὶ ὁμολογητοῦ Πέτρου ἐπισκόπου Νικαίας (Sept. 11[4]). — 2. 3. 4. 5. 6. 7. — **H** : Προσκύνησις τῶν

[1] ἐκτίξας Ba. — [2] κηρύττων Cb. — [3] τὴν κεφαλὴν Cb.

Sept. 13. νήλιος ἐν τοῖς τῶν ἀποστόλων χρόνοις ἦν [1] καὶ βίον ἀνεπίληπτον μετερχόμενος, πρῶτος ἐξ ἐθνῶν ἐπίστευσε τῷ Χριστῷ· εἶδε [2] γὰρ ἄγγελον προτρεπόμενον αὐτῷ τὸν ἀπόστολον Πέτρον μετακαλέσασθαι καὶ παρ' αὐτοῦ ἀκοῦσαι ἃ δεῖ· ὃς καὶ μετακληθεὶς καὶ παραγενόμενος πρὸς αὐτὸν | κατήχησε καὶ ἐβάπτισε καὶ τὴν προστασίαν τῆς Σκεψέων [3] πόλεως ἐνεχείρισεν· ἐν ᾗ ὑπῆρχε Δημήτριός τις φιλόσοφος, μέγα κατὰ τῆς τῶν [4] χριστιανῶν πίστεως φρυαττόμενος. Ὧ καὶ παραστὰς Κορνήλιος καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, ἀλλὰ καὶ αὐτὰ καὶ τὸν αὐτῶν ναὸν διὰ προσευχῆς καταβαλών, τῆς πόλεως ἤδη προκατασεισθείσης ἁπάσης καὶ τῆς γυναικὸς τοῦ Δημητρίου Εὐανθίας καὶ τοῦ υἱοῦ Δημητριανοῦ ἐναπολειφθέντων ἔνδον τῶν τοῦ ναοῦ ἐρειπιώσεων [5], ἀναρτᾶται ἔνδον τῆς φυλακῆς χεῖρας ὁμοῦ καὶ πόδας δεσμηθείς· ἐπεὶ δὲ μεμαθήκει Δημήτριος, ὅτι καὶ ἡ γυνὴ καὶ ὁ υἱὸς συγκατεχώσθησαν τῇ καταστροφῇ τοῦ ναοῦ καὶ ἀνακαλοῦνται κάτωθεν τὸν Θεὸν τῶν χριστιανῶν καὶ τὸν θεράποντα αὐτοῦ Κορνήλιον, δρομαῖος παρὰ τῇ φυλακῇ ἐλθὼν καὶ καταλαβὼν τὸν ἅγιον λυθέντα ὑπὸ ἀγγέλου καὶ τούτου τοῖς ποσὶ προσπεσὼν καὶ ὑποσχεθεὶς τὸ βαπτισθῆναι πανοικί, ἐὰν ἀπολάβῃ [6] ζῶντας τήν τε γυναῖκα [7] καὶ τὸν υἱὸν διὰ προσευχῆς αὐτοῦ, εὐθὺς τούτους ἀβλαβεῖς ἐκ τῆς γῆς ἀναδοθέντας ἰδὼν προσέρχεται τῷ Κορνηλίῳ καὶ τὰς ὑποσχέσεις ἀποπληροῖ, τῷ Χριστῷ προσαχθεὶς δι' αὐτοῦ μετὰ πάντων τῶν ὑπ' αὐτόν [8].

f. 25.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μακροβίου, Γορδιανοῦ, Ἡλεῖ [1], Ζωτικοῦ, Λουκιανοῦ καὶ Οὐαλεριανοῦ. Οὗτοι ἐμαρτύρησαν ἐπὶ Λικινίου [2] τοῦ βασιλέως. Ὑπῆρχε δὲ ὁ Μακρόβιος Καππαδόκης, ὁ δὲ Γορδιανὸς ἐκ τῆς τῶν Παφλαγόνων ἐπαρχίας [3], συνεξανθοῦσαν ἔχοντες τῷ νέῳ τῆς ἡλικίας τὴν φρόνησιν καὶ ἐπικοσμούμενοι [4] τῇ κατὰ Χριστὸν εὐσεβείᾳ, τεταγμένοι δὲ ἐν ὑπηρεσίᾳ τῆς τοῦ βασιλέως τραπέζης· οὓς πολλὰ ἐκπειράσας ὁ Λικίνιος [5], ἐπείπερ οὐκ ἴσχυσε πεῖσαι τὴν εἰς Χριστὸν ἀρνήσασθαι πίστιν, ὑπερορίζει ἐν τῇ Σκυθίᾳ, συμβουλὰς ἐπὶ τοῦτο [6] παρὰ τῶν οἰκείων δεξάμενος. Ἤλπισε γὰρ τῷ χρόνῳ καὶ τῇ ταλαιπωρίᾳ μεταπεσεῖν αὐτοὺς εἰς ἀσέβειαν. Οὗτοι δὲ γενόμενοι κατὰ τὴν Τομέων πόλιν, ἐναθλοῦντας εὗρον τοὺς ἁγίους Ζωτικὸν καὶ Λουκιανὸν καὶ | Ἡλεῖ [7] διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν παρὰ Μαξίμῳ τῷ ἡγεμόνι. Ὧν ὁ μὲν Ζωτικὸς καὶ f. 25v.

1. — [1] ἦν χρόνοις Sa. — [2] εἶδε Sa, ἴδε S. — [3] Σκεψέων S, Σκέψεων Sa, Σκεψαίων Vita S. Cornelii centurionis, *n. 4,*
P.G. *CXIV, p. 1297;* Σκέψις *vocatur civitas apud* Hieroclem, Burckhardt, *p. 19, alias* Σκῆψις. *Cf.* Strabo, *etc.* — [4] τῶν
om. Sa. — [5] ἐριπόσεων S. ἐρειπώ|ων Sa. — [6] ἀπολάβοι Sa. — [7] τήν τε Sa, τῇ τε γυναικὶ S. — [8] *corr. prius* αὐτῶν Sa.
2. — [1] Ἡλεὶ Sa. — [2] Λικιννίου S. — [3] Καππαδοκῶν ἐπαρχείας S, Παφλαγόνων ἐπ. Sa, ἐκ τῆς τῶν Παφλαγόνων χώρας
cod. Paris. 1560, ὁ δὲ Γορδιανὸς ἀπὸ Παφλαγονίας B, Ba. — [4] ἐπικουσμούμενοι S, ἐπισκομούμενοι Sa. — [5] Λικίννιος
S. — [6] τούτω Sa. — [7] Ἡλεί Sa.

Sept. 13.
τιμίων ξύλων. — 2 (Ἡλεῖ, Ζωτικοῦ, Λουκιανοῦ καὶ Οὐαλεριανοῦ). — **P** : 2 (deest Ἡλεῖ). — 3. 6 : Ὀλυμ-
πιοδώρας τῆς μητρὸς αὐτοῦ [Ἰουλιανοῦ]. — **F** : 7. — Καὶ ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1 (Κορνη-
λίου tantum). — 2. 3. 6. Sequitur : Σαββάτῳ πρὸ τῆς ὑψώσεως... Κυριακῇ πρὸ τῆς ὑψώσεως... Τῇ
παραμονῇ τῆς ὑψώσεως. — **Fa** : 7. — Ἡ προσκύνησις κτλ. — 1. 2. 3. 6. — **Fb** : 7. — Ἡ προσκύ-
νησις κτλ. — 1. 2. 3. 6. — **B** : 2. 3. — **Ba** : Εἰς τὴν προσκύνησιν κτλ. — 2. 3. 7 (= S). — 5 (= S).
Sequitur Σαββάτῳ πρὸ τῆς ὑψώσεως... Κυριακῇ πρὸ τῆς ὑψώσεως. Post 3, manus recentior margini
inscripsit : Τῇ αὐτῇ ἡμέρᾳ ἤτοι τῇ ιγ' αὐτοῦ ζήτει τὸ συναξάριον τοῦ ἁγίου Κορνηλίου τῇ η' ὀκτωβρίου
μηνὸς μετὰ τοῦ ἁγίου Ἀρτεμίου καὶ ἀναγνωσθήτω σήμερον. — **Bb** : Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Ἀνδρωνίκου τοῦ ἐν τῇ Ἀτρώᾳ (cf. 4). — 2. 3. — **T** : 7. 1. — Προεόρτια τοῦ σταυροῦ. — **L** : 7. — **O** : 7.
1 (Κορνηλίου). — 2. — **G** : 2. 4. 7. 5. — **C** : deest. — **Cb** : 2. — Μακεδονίου, Θεοδούλου καὶ Τατια-
νοῦ μαρτυρήσαντος ἐν Μυροπόλει [1] Φρυγίας. Οὗτοι ὑπῆρχον ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου βασανιζό-
μενοι ὑπὸ τῶν ἑλλήνων καὶ πολλὰ δεινὰ ὑπομένοντες. <Οἱ μέντοι κατὰ τῆς ἐπαρχίας ἄρχοντες καιρὸν
οἰκείου κέρδους τὴν [2]> τοῦ βασιλέως <θρησκείαν νομίσαντες, πέρα τῶν βασιλικῶν προσταγμάτων τοὺς
χριστιανοὺς κακῶς διετίθεσαν [3]>, χρήματα μὲν [4] εἰσπράττοντες [5] πλείονα ἢ ὅσον ἐχρῆν, ἔστι δὲ ὅτε καὶ
σωματικὰς τιμωρίας ἐπάγοντες. Ταῦτα μανθάνων ὁ βασιλεὺς παρέβλεπε καὶ τοῖς χριστιανοῖς περὶ
τούτου [6] προσελθοῦσιν [7] αὐτῷ· « Ὑμέτερόν ἐστιν, ἔλεγεν αὐτοῖς, πάσχοντας κακῶς ὑπομένειν. Τοῦτο
» γὰρ τοῦ ὑμετέρου [8] Θεοῦ τὸ παράγγελμα. » Ἐν γοῦν Μυροπόλει τῆς Φρυγίας ἄρχων ἦν Ἀμάχιος· τὸ
δὲ [9] ἱερὸν προστάξας ἀνοιγῆναι, ἐκκαθαίρεσθαι τὸν ἐκ τοῦ χρόνου συναχθέντα ῥύπον ἐκέλευσε, καὶ τὰ ἐν
αὐτῷ ἀγάλματα ἐπιμελείας ἠξίου. Τούτου γινομένου, σφόδρα τοὺς χριστιανοὺς ἐλύπει. Μακεδόνιος δέ
τις καὶ Θεόδουλος καὶ Τατιανὸς λυπηθέντες καὶ ζηλώσαντες, νυκτὸς εἰς τὸν ναὸν εἰσπηδήσαντες,
συντρίβουσι τὰ ἀγάλματα. Τοῦ δὲ ἡγεμόνος ἐπὶ τῷ γεγονότι σφόδρα χαλεπήναντος καὶ πολλοὺς τῶν
κατὰ τὴν πόλιν ἀναιτίους [10] ἀναιρεῖσθαι σπουδάζοντος, ἐπιδέδωκαν ἑαυτοὺς οἱ τοῦτο πράξαντες, ἵνα μὴ
ἀντ' αὐτῶν ἕτεροι ἀποθάνωσιν. Τούτους λαβὼν ὁ ἡγεμὼν ὡς ὑπὲρ ἀδικήματος, τοῦ ὑπ' αὐτῶν γενο-
μένου, διὰ θυσίας ἀπολογεῖσθαι ἐκέλευσε. Τῶν δὲ μὴ πειθομένων, ἐσχάρας ἐπιθεὶς καὶ πῦρ ταύταις
ὑποτεθῆναι [11] κελεύσας, οὕτως ἐτιμώρει [12]. Οἱ δὲ πρὸς τὸν ἡγεμόνα ἔλεγον· « Εἰ ἐπεθύμησας ὀπτῶν, ὦ
» Ἀμάχιε, κρεῶν ἀνθρωπίνων γεύσασθαι [13], στρέψον ἡμᾶς καὶ εἰς τὰς ἑτέρας πλευράς, ἵνα μὴ εἰς τὴν

[1] ἐν Μητρῷ τῇ πόλει τῆς Φρυγίας, ἐν Μηρῷ πόλει τῆς ἐπαρχίας Φρυγίας *apud* Socratem, H. E. *III, 15,* ἐν Μίσῳ *al.*
Μύρῳ *apud* Sozomenum, H. E. *V, 11.* — [2] οἱ - τὴν *supplevi ex* Socrate, *III. 14.* — [3] *iterum supplevi ex* Socrate, *l. c.;*
locus male a librario habitus ita in codice legitur πολλὰ δεινὰ ὑπομένοντες τῷ θάρσει τοῦ βασιλέως χρήματα κτλ. —
[4] μὲν Socr., δὲ Cb. — [5] εἰσπλάττοντες Cb. — [6] τούτου Socr., τούτοις Cb. — [7] προσελθῶσιν Cb. — [8] ἡμετέρου Cb. —
[9] τὸ τῆδε Socr. — [10] ἀναιτίων Socr. — [11] ἐπιτεθῆναι Socr. — [12] ἀπόλλυσιν Socr. — [13] ἀπογεύσασθαι Cb.

Λουκιανὸς μετὰ πολλὰς βασάνους ξίφει ἐτελειώθησαν. Αὐτοὶ δὲ μετὰ τοῦ Ἡλεῖ [8] εἰς φυλακὴν ἐνεβλήθησαν καὶ μετὰ πολλὰς τιμωρίας ὁ μὲν Ἡλεῖ τὴν κεφαλὴν ἀπετμήθη, Μακρόβιος δὲ καὶ Γορδιανὸς διὰ πυρὸς τὸ τέλος ἐδέξαντο. Ὁ δὲ Οὐαλεριανὸς [9] ἐπὶ τῷ τάφῳ τῶν ἁγίων θρηνῶν ἀπέδωκε τὴν ψυχήν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ πρεσβυτέρου. Οὗτος ὑπῆρχεν ἐγγὺς Ἀγκύρας τῆς Γαλατείας [1] ἀπὸ χωρίου λεγομένου Κριντεοῦς, ἱερεὺς τὴν ἀξίαν, γηραιὸς τὸ εἶδος, πάνυ εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν. Ἐπὶ δὲ Λικινίου [2] τοῦ βασιλέως, διωγμοῦ καταλαβόντος τοὺς χριστιανοὺς [3] μεγάλου καὶ τὴν χώραν τῶν Γαλατῶν, ἔφυγε καὶ αὐτὸς εἰς ὄρος δασὺ μετὰ ἑτέρων σαράκοντα [4] δύο καὶ ἐκρύπτετο εἰς σπήλαιον. Μιᾷ δὲ τῶν ἡμερῶν ἐξελθὼν ἀντλῆσαι ὕδωρ καὶ ἀπάξαι τοῖς σὺν αὐτῷ (τοῦτο γὰρ ἐποίει ὁ καθεὶς πρὸς ἡμέραν ἐκ συνθήκης) καὶ θεαθεὶς ὑπό τινων ἑλλήνων θυσίας ἐπιτελούντων τῇ θεᾷ αὐτῶν <Ἑκάτῃ [5]> εἰς ναὸν ᾠκοδομημένον πλησίον τοῦ ὄρους καὶ τοῦ σπηλαίου, ἐκρατήθη καὶ ἀπήχθη τῷ ἄρχοντι. Ἐρωτηθεὶς δὲ καὶ περὶ [6] τῶν λοιπῶν καὶ μὴ ὁμολογήσας, ὅσοι τέ εἰσι καὶ ὅπου [7] κρύπτονται, δέχεται κατὰ τῆς κεφαλῆς κασσίδα [8] πεπυρακτωμένην, καὶ μετὰ τοῦτο ταύτην τελείως ἀποτέμνεται. Sept. 13.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἐν τῇ Ἀτρώᾳ. Ὃς ἦν ἐπὶ Νικηφόρου καὶ Σταυρακίου τῶν βασιλέων, ἱεραρχοῦντος τοῦ ἐν ἁγίοις Ταρασίου [1]. Ἐξ αὐτῆς δὲ νηδύος Θεῷ καθιερωθεὶς νηστείᾳ τε καὶ συντόνῳ προσευχῇ σχολάζων, μεγίστων θαυμάτων γέγονεν αὐτουργός· πάσης γὰρ βρώσεως παχυτέρας ἀπεχόμενος καὶ λαχάνοις βραχέσι μόνοις ἀρκούμενος, τῇ ἀτροφίᾳ σχεδὸν τοῖς ἀγγέλοις ἀφωμοιώθη· ὅθεν καὶ τὸν ποταμὸν Ἅλιν [2] ἀβρόχως διῆλθεν. Εἰς τοσοῦτον δὲ τὴν σάρκα τῇ τοῦ σιδήρου βαρύτητι κατεδάμασεν, ὡς σκιὰν μόνην αὐτὸν ὑπολαμβάνειν τοὺς θεωμένους, οὐκ ἄνθρωπον σῶμα φοροῦντα πήλινον· οὕτως δὲ Θεῷ εὐα|ρεστήσας καὶ τὴν σάρκα καθυποτάξας τῷ πνεύματι, πρὸς Κύριον μεθίσταται. f. 26.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Κρονίδου [1], Λέοντος καὶ τῶν σὺν αὐτοῖς.

6. Καὶ τῆς ἁγίας μάρτυρος Ὀλυμπιοδώρας.

7. Κατὰ ταύτην τὴν ἡμέραν ἐπιτελεῖται καὶ ἡ μνήμη τῶν ἐγκαινίων τῆς ἁγίας Ἀναστάσεως.

— [8] Ἡλεὶ Sa. — [9] Οὐαλλεριανὸς S. Sa.
3. — [1] Γαλατίας Sa. — [2] Λικιννίου S. — [3] τοὺς χριστιανοὺς Sa, τῶν χριστιανῶν S. — [4] τεσσαράκοντα Sa. — [5] Ἑκάτη
Sa, *om.* S, τῆς θεᾶς τῶν Ἑλλήνων τῆς λεγομένης Ἑκάτης B, Ba. — [6] παρὰ Sa. — [7] ὅποι Sa. — [8] κατὰ κεφαλῆς κασίδα Sa.
4. — [1] ἐκ χώρας Ἀσίας ἐκ κώμης καλουμένης Ἐλαίας Κοσμᾶ καὶ Ἄννης υἱὸς *add.* Sa. Οὗτος ὥρμιτο ἐκ χώρας Ἀσίας
κώμης λεγωμένης Ἐλαίας Κοσμᾶ καὶ Ἄννης ὑπάρχων γέννημα Fa. — [2] Ἅλιν S. Sa, Ἅλυς *scribi solet nomen fluminis. Cf.*
Pape-Benseler, *s. v.*
5. — [1] Κορνίδου Sa.

Sept. 13.
» γεῦσιν ἡμίοπτοι φανῶμέν σοι. » Καὶ ταῦτα εἰπόντες καὶ εὐχαριστήσαντες τῷ Θεῷ ἀπέδωκαν τὰς ψυχάς
(Sept. 12[3]). — 3 : Ἰουλιανοῦ τοῦ πρεσβυτέρου Ἀγκύρας. Ἐπὶ Λικινίου [14] τοῦ βασιλέως ὑπῆρχε
διωγμὸς κατὰ τῶν χριστιανῶν μέγας. Ἦν δὲ ἐγγὺς Ἀγκύρας τῆς Γαλατίας πρεσβύτερος γηραιός,
εὐλαβὴς καὶ φοβούμενος τὸν Θεὸν ὀνόματι Ἰουλιανός. Ὅστις διὰ τὸν διωγμὸν μετὰ ἑτέρων σαράκοντα
δύο μαρτύρων ἔφυγεν εἰς ὄρος δασὺ καὶ σπήλαιον κρυπτόν, καὶ κατεκρύπτοντο. Ὑπάρχοντος [15] δὲ
πλησίον τοῦ ὄρους καὶ τοῦ σπηλαίου εἰδωλι<κ>οῦ ναοῦ τῆς θεᾶς τῶν ἑλλήνων, ἥτις ἐλέγετο Ἑκάτη,
καὶ τοῦ [16] τῆς Ἀγκύρας ἄρχοντος ἀπελθόντος ἐκεῖσε τοῦ θῦσαι τῇ Ἑκάτῃ, ἀνηρευνῶντο οἱ ἅγιοι τοῦ
κρατηθῆναι. Ἐξήρχοντο δὲ καθ' ἡμέραν εἷς εἷς ἐκ τῶν ἁγίων καὶ ἐλάμβανον ὕδωρ ἐκ τῆς πλησίον
πηγῆς καὶ ἐπότιζον τοὺς λοιπούς. Ἔλαχε δὲ ἐν μιᾷ τῶν ἡμερῶν καὶ τὸν ἅγιον <Ἰουλιανὸν [17]> ἀπελθεῖν
καὶ γεμίσαι ὕδωρ. Ἰδόντες αὐτόν τινες τῶν ἑλλήνων καὶ κρατήσαντες, δήσαντες ἀπήγαγον τῷ
ἄρχοντι. Καὶ πρῶτον μὲν ἐρωτηθεὶς περὶ τῶν λοιπῶν καὶ μὴ ὁμολογήσας, περιτίθεται τὴν κεφαλὴν
αὐτοῦ κασσίδα πεπυρωμένην· ἔπειτα τιμωρηθεὶς ἰσχυρῶς ἀποκεφαλίζεται καὶ θάπτεται πλησίον τῆς
πηγῆς. — 5 : Ἱερωνίδου, Λεοντίου, Σαραπίωνος, Σελεύκου, Οὐαλεριανοῦ [18] καὶ Στράτωνος.
Οὗτοι ὑπῆρχον ἐπὶ βασιλέως Μαξιμιανοῦ ἐν Ἀλεξανδρείᾳ· ἐν ᾗ καὶ κρατηθέντες καὶ καταναγκασθέντες
παρὰ τοῦ ἡγεμόνος ἀρνήσασθαι τὸν Χριστὸν καὶ προσκυνῆσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθέντες, ἐν τῇ
θαλάσσῃ ῥιφέντες [19] τὸ τέλος ἐδέξαντο. Ἐν Γαλατίᾳ δὲ Σέλευκος καὶ Οὐαλεριανὸς [20] πολλὰς πληγὰς
ὑπομείναντες καὶ ἐν οὐδεμιᾷ αὐτῶν σκυθρωπάσαντες, μήτε τοῦ Χριστοῦ τῆς ὁμολογίας ἀποστάντες,
θηρίοις τελευταῖον παρεδόθησαν καὶ ὑπ' ἐκείνων καταβρωθέντες, πρὸς τὸν ποθούμενον Κύριον ἐξεδή-
μησαν. Ὁ δὲ τῆς Βιθυνίας [21] ἄρχων κατὰ τὸν αὐτὸν καιρὸν καὶ τὴν αὐτὴν ἡμέραν, καθ' ὃν μὲν ἐν
Ἀλεξανδρείᾳ ἡ τριὰς τῶν μαρτύρων, ἐν Γαλατίᾳ δὲ ἡ δυὰς ἐνήθλει, κατὰ τοῦ ἁγίου Στράτωνος [22]. Ὃν μὴ
δυνηθεὶς πεῖσαι ἀρνήσασθαι τὸν Χριστὸν τιμωρίαν [23] ὑπενόει ξένην τινὰ καὶ ἀπάνθρωπον. Δένδρα γὰρ
δύο πλησίον ἀλλήλων ἱστάμενα ἐκ περινοίας [24] κάμψας τινὸς καὶ τοῦ ἁγίου τὴν δεξιὰν χεῖρα σὺν τῷ
δεξιῷ ποδὶ ἑνὶ φυτῷ προσδήσας, τὴν δὲ ἑτέραν σὺν τῷ ἑτέρῳ ποδὶ καταδεσμήσας, τῷ ἑτέρῳ ἀφίησι τὰ
φυτὰ τῷ φυσικῷ κινήματι ὀρθωθῆναι. Καὶ οὕτω τοῦ ἁγίου διαμερισάμενος σῶμα, τὴν μακαρίαν αὐτοῦ
ψυχὴν προεπέμψατο ταῖς χερσὶ Χριστοῦ τοῦ Θεοῦ. — **M** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 5
(Κρονίδους, Λεοντίου, Σεραπίωνος, Στράτωνος καὶ Λεύκου). — 2. 7. 4. — **Mv** : 7. 1. 5 (Κρονίδους κτλ.
καὶ Σελεύκου). — 2. — **Mr** : 7. 1.

— [14] Λικιννίου Cb. — [15] ὑπαρχόντων Cb. ! — [16] τοὺς Cb. — [17] Ἰουλιανὸν *om.* Cb. — [18] Οὐαλλεριανοῦ Cb. — [19] ῥυφέν-
τας Cb. — [20] Οὐαλλέριος Cb. — [21] Βυθινίας Cb. — [22] *verbum excidisse patet; supple v. c.* ἐλύττα. — [23] τιμωρία Cb. —
[24] ἐκ περινίας Cb.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

Sept. 14. **1.** Ἡ τοῦ σεπτεμβρίου τεσσαρεσκαιδεκάτη τήν τε[1] εὕρεσιν καὶ ὕψωσιν τῶν τιμίων ξύλων ἑορτάζειν ἡμῖν[2] προτρέπεται ἐξ αἰτίας τοιαύτης. Κωνσταντῖνος ὁ μέγας καὶ πρῶτος ἐν χριστιανοῖς βασιλεὺς κεκίνηκέ ποτε πόλεμον, ὡς μέν τινες λέγουσι τῶν ἱστοριογράφων, ἐν τῇ Ῥώμῃ κατὰ τοῦ[3] Μαγνεντίου πρὸ τοῦ κρατῆσαι τῆς βασιλείας· ὡς δὲ ἕτεροι, ὅτι εἰς τὸν Δάνουβιν[4] ποταμὸν κατὰ τῶν Σκυθῶν. Ἰδὼν δὲ τὸν στρατὸν τῶν πολεμίων πολύν, τὸν δὲ ἴδιον κατὰ πολὺ ἐλάττονα, εἰς λύπην καὶ ἀπορίαν καταπέπτωκεν. Εἶτα ἐν τῇ νυκτὶ ἀτενίσας ἐν τῷ οὐρανῷ ὁρᾷ τὸν τίμιον σταυρὸν καὶ γραφὴν δι' ἀστέρων δηλοῦσαν· « Κωνσταντῖνε, ἐν τούτῳ » νίκα ». Ποιήσας οὖν ἔκτοτε ὁμοίωμα τοῦ θεαθέντος σταυροῦ καὶ μετὰ τοῦτο εἰς τὰς παρατάξεις προπορευόμενος, νικᾷ κατὰ κράτος τοὺς ἐχθρούς· καὶ ἐγκρατὴς πάσης τῆς οἰκουμένης γενόμενος[5] καὶ μέγας βασιλεὺς παρὰ πάντων ἀναγορευόμενος ἐν ἔτει εἰκοστῷ τῆς βασιλείας αὐτοῦ μαθὼν περὶ τῆς μητρὸς αὐτοῦ, ὅποι διάγοι[6], καὶ ταύτην μετὰ τιμῆς βασιλικῆς ἐπαναγαγὼν καὶ βασιλικῷ διαδήματι στέψας καὶ μετ' αὐτοῦ διάγειν καὶ συμβασιλεύειν παρακελευσάμενος[7], τῷ θείῳ βαπτίσματι συμφωτισθεῖσαν· καὶ τὰ μετὰ τοῦ σταυροῦ αὐτῷ προσγινόμενα τρόπαια ταύτῃ διηγησάμενος καὶ πρὸς ἔρωτα διεγείρας τῆς τιμῆς τοῦ τροπαιοφόρου σταυροῦ, ἔπεισε ταύτην μηδενὸς ἄλλου φροντίζειν ἢ τῆς τούτου ἀληθοῦς ἐπικτήσεως. Τοίνυν καὶ ἐν μιᾷ τῶν νυκτῶν καθεύδουσα[8] ὁρᾷ καθ' ὕπνους ὀπτασίαν τινὰ θείαν, κελεύουσαν αὐτῇ καταλαβεῖν τὰ Ἱεροσόλυμα καὶ τοὺς καταχωσθέντας[9] θείους τόπους εἰς φῶς ἀγαγεῖν ζήτησίν τε ποιήσασθαι τοῦ σεβασμίου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μνήματος, | χώμασι πλείστοις καὶ εἰδωλικοῦ ναοῦ f. 26v. ἀνεγέρσει παρὰ τῶν ἑλλήνων ἀποκρυβέντος καὶ τοῦ ἐνδόξου αὐτοῦ σταυροῦ καὶ ζωοποιοῦ[10], ἡ δὲ ἀφυπνισθεῖσα καὶ τὴν ὀπτασίαν τῷ αὐτῆς[11] παιδὶ καὶ βασιλεῖ διηγησαμένη, ἐξαιτεῖται τὰ κελευσθέντα ἀποπληρῶσαι· διὸ καὶ ἀποστέλλεται παρ' αὐτοῦ ἅμα στρατοπέδῳ πολλῷ εἰς Ἱεροσόλυμα κἀκεῖσε φθάσασα καὶ τοὺς Ἰουδαίους κρατήσασα καὶ κολακείαις καὶ ἀπειλαῖς καὶ αἰκίαις ὑποβαλοῦσα[12], εὗρε τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, διακριθέντα τῇ ἐνεργείᾳ τῆς ζωοποιοῦ δυνάμεως τοῦ προκομιζομένου νεκροῦ, σὺν τοῖς λοιποῖς συμβόλοις τοῦ ἀχράντου πάθους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀποκαλυφθέντος περὶ τούτων καὶ Μακαρίου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων καὶ τὸν τόπον, ἐν ᾧ ἐκρύπτοντο[13], δηλώσαντος· καὶ εὑροῦσα ἐκέλευσεν ὑψωθῆναι ἐπὶ τῆς ἁγίας ἐκκλησίας, ὡς ἂν κατίδωσι τοῦτον πάντες οἱ χριστιανοί. Ἐπὶ τούτοις δὲ χαρὰν μεγάλην δεξαμένη ἡ ἀοίδιμος βασίλισσα Ἑλένη καὶ θεσπίσασα ἐκκλησίας γενέσθαι ἐν τῷ ζωοποιῷ μνήματι καὶ ἐν τῷ ἁγίῳ Γολγοθᾷ καὶ ἐν τῇ Βηθλεὲμ ἐν τῷ σπηλαίῳ καὶ ἐν τῷ ὄρει τῶν ἐλαιῶν, καὶ ἄλλα πάμπολλα[14] ἀγαθὰ ἐν Ἱεροσολύμοις ποιήσασα, ἀναλαβομένη μέρος τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ σὺν τοῖς ἥλοις καὶ τὸ λοιπὸν ἐν γλωσσοκόμῳ ἀργυρῷ ἐμβαλοῦσα καὶ παραδοῦσα Μακαρίῳ τῷ ἐπισκόπῳ Ἱεροσολύμων, καταλαμβάνει τὸν πανεύφημον βασιλέα καὶ παῖδα αὐτῆς μετὰ τῆς μερίδος τοῦ τιμίου[15] σταυροῦ καὶ τῶν ἥλων· ἣν[16] καὶ μετὰ πολλῆς εὐφροσύνης ὑπεδέξατο ὁ βασιλεὺς καὶ τοὺς μὲν ἁγίους ἥλους ἀπολαβὼν ἐν τῇ ἰδίᾳ περικεφαλαίᾳ καὶ τῷ χαλινῷ τοῦ ἵππου αὐτοῦ ἐντίθησι, τὴν δὲ μερίδα τοῦ τιμίου σταυροῦ ἀποθέμενος ἐν χρυσῇ θήκῃ παραδίδωσι τῷ ἐπισκόπῳ τῆς πόλεως εἰς τήρησιν, ὡς ἂν ἐνιαυσιαίαις[17] μνήμαις ἑορτάζηται ἡ ἀνάδειξις καὶ ἀνύψωσις[18] τοῦ τιμίου σταυροῦ παγκοσμίως· ἧς καὶ κατ' ἔτος λαμπρῶς ἐπιτελουμένης, σκιρτᾷ καὶ γέγηθεν ἡ καθολικὴ καὶ μεγάλη ἐκκλησία, ὡς δεδοξασμένη[19] δι' αὐτοῦ, καὶ πᾶς ὁ τῶν πιστῶν λαὸς ἁγιάζεται.

f. 27. | **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πάπα. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ Μάγνου, ἡγεμόνος πόλεως[1] Λαράνδων[2] τῆς Λυκαόνων ἐπαρχίας. Ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας ποικίλος· πληγαὶ καὶ συντριβαὶ σιαγόνων, ἀναρτήσεις, σιδηρῶν ὀνύχων ξεσμοί, κρηπίδων σιδηρῶν καθηλώσεις, ὑφ' ὧν περονηθεὶς ἠναγκάζετο τυπτόμενος τρέχειν ἔμπροσθεν ἵππων· ἐπεὶ δὲ οὕτως πάσχων ἔτρεχε καὶ διῆλθεν ἀπὸ πόλεως Λαράνδων εἰς πόλιν λεγομένην Διοκαισάρειαν καὶ ἐκ ταύτης εἰς Σελεύκειαν, αἵμασι πολλοῖς τὴν γῆν βάπτων (ἃ καὶ ἀπέματτε γυνή τις εὐσεβὴς συντρέχουσα μετὰ λινοῦ ἐσθήματος), ἔστη εἰς συκῆν τινα καὶ[3] ἀγρίαν καὶ ἄκαρπον καὶ οὕτως[4] εὐξάμενος τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Λέγεται δὲ μετὰ τελευτὴν αὐτοῦ τὴν συκῆν καρποφόρον γενέσθαι[5]. Sept. 14.

3. Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμε καὶ ἡ κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου ταύτης τῆς μεγαλοπόλεως Ἰωάννου τοῦ Χρυσοστόμου· ἧς τὴν σεβάσμιον ἑορτήν, ὡς μὴ δυνατὸν συντελεῖσθαι τῇ ὑψώσει, μετέθηκαν οἱ ἅγιοι πατέρες καλῶς ποιοῦντες εἰς τὴν τρισκαιδεκάτην τοῦ νοεμβρίου μηνός, ὡς ἂν ἰδίᾳ τιμᾶται καὶ μεγαλύνηται εἰς δόξαν τοῦ δοξάσαντος αὐτὸν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς εὐσεβεστάτης βασιλίσσης Πλακίλλης, συζύγου γενομένης Θεοδοσίου[1] τοῦ μεγάλου βασιλέως· ἥτις πάντα τὸν βίον αὐτῆς ἐν εὐσεβείᾳ καὶ τῇ τῶν πτωχῶν ἐπιμελείᾳ διετέλεσε· διὸ καὶ μετ' εἰρήνης τὸ πνεῦμα αὐτῆς τῷ Θεῷ παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Νικήτα. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, γεννηθεὶς καὶ τραφεὶς ἐν τῇ χώρᾳ τῶν βαρβάρων τῶν καλουμένων Γότθων, πέραν τοῦ Ἴστρου[1] ποταμοῦ· οὐ μὴν δὲ ἐκοινώνει τοῖς βαρβάροις, ἀλλὰ τῶν εὐσεβούντων ἦν, ὡς καὶ γένει καὶ περιουσίᾳ προέχων[2]. Οὗτος συλληφθεὶς ὑπὸ Ἀθαναρίχου[3] ἄρχοντος τοῦ ἔθνους διὰ τὴν εἰς Χριστὸν πίστιν καὶ αἰκισθεὶς σφόδρα, διὰ πυρὸς τελειοῦται[4]. Sept. 15.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης. Οὗτοι ἐγένοντο ἀπὸ Μαρκια|νουπόλεως τῆς f. 27v. Μυσῶν ἐπαρχίας, κατὰ δὲ τοὺς χρόνους Μαξιμια-

1. — [1] τε *om.* Sa. — [2] ἡμᾶς Sa. — [3] τοῦ *om.* Sa. — [4] Δανοῦβιν S, Δάννουβιν Sa. — [5] ἐγένετο Sa. — [6] διάγει Sa. — [7] παρακαλεσάμενος Sa. — [8] καθεύδουσαν Sa. — [9] κατασχωσθέντας Sa. — [10] ἐνδόξου αὐτοῦ καὶ ζωοποιοῦ Sa. — [11] ταύτης Sa. — [12] ὑποβαλλοῦσα S. — [13] ἐκρύπτετο Sa. — [14] πάμπολα Sa. — [15] (μετὰ - τιμίου) *om.* Sa. — [16] (σταυροῦ - ἥλων ἦν) *om.* Sa. — [17] ἐνιαυσίαις Sa. — [18] ὕψωσις Sa. — [18] δοξασμένη S, δοξαζομένη Sa.

2. — [1] ἐκ πόλεως Sa. — [2] Λαρανδεῶν Cb. — [3] καὶ *om.* Sa. — [4] οὗτος Sa. — [5] τούτου τοῦ ἁγίου ἡ μνήμη τελεῖται μαρτίῳ ις' *add.* Sa.

4. — [1] Θεοδοσίου *corr. prius* Θεοδωσίου S.

1. — [1] Ἴστρου Sa, Ὕστρου S. — [2] περιέχων Sa. — [3] Ἀθαναρρίχου S, Ἀθαρίου Sa. — [4] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.

Sept. 14. SYNAXARIA SELECTA. **Sa** : 1. 3. 2. 4. add. : Ἰστέον δὲ ὅτι κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ κτλ. (Sept. 18[2]). — **H** : 1 (ἥτις γίνεται ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ). — 2. — Sequitur Κυριακῇ μετὰ τὴν ὕψωσιν... Συμεών. — **P** : 1. 2. Sequitur : Σαββάτῳ μετὰ τὴν ὕψωσιν. Κυριακῇ μετὰ τὴν ὕψωσιν... Κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν ἀρχιεπισκόπου Ἱεροσολύμων συγγενοῦς τοῦ Κυρίου, δευτέρου[1] ἐπισκόπου[2] μετὰ Ἰάκωβον καταστάντος[3]· ὅστις ἦν καὶ ἐξάδελφος αὐτοῦ, υἱὸς γεγονὼς[4] Κλωπᾶ[5] καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ. Ὁ γὰρ Κλωπᾶς καὶ ὁ Ἰωσὴφ ὁ χρηματίσας κατὰ σάρκα πατὴρ τοῦ Κυρίου ἀδελφοὶ νόμιμοι ὑπῆρχον (Sept. 18[1]). — **F** : 1. 2. 4. 3. Sequitur : Σαββάτῳ... Κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἱερομάρτυρος Συμεών... ἀδελφοὶ γνήσιοι ὑπῆρχον. Οὗτος κατηγορηθεὶς[6] ὑπὸ τῶν αἱρετικῶν καὶ κρατηθεὶς ὑπὸ Ἀττικοῦ τοῦ ὑπατικοῦ ὑπάρχων ἐτῶν ρκ', ἐν πολλαῖς αἰκίαις ἐξετασθεὶς καὶ τελευταῖον τῷ σταυρῷ προσπαγείς, τὸν βίον ἀπέλιπεν. — **Fa** : 1. 2. 4. 3. — **Fb** : 1. 2. 4. 3. — **B** : 1. 2. — **Ba** : 1. 2. 3 : Καὶ ἡ κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου· μετετέθη δὲ εἰς τὸν νοέμβριον μῆνα. — 4 (= S). Sequitur : Σαββάτῳ... Κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμη τοῦ ἁγίου ἱερομ. Συμεών. — **Bb** : 1. 3. 4. 2. — **T** : 1. — **L** : 1. 3. — **O** : 1 : Ἡ παγκόσμιος ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ἥτις γίνεται ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἀπὸ ἑσπέρας τῆς παννυχίδος τελουμένης· τὸν δὲ ὄρθρον ποιοῦμεν ἐν τῷ ἄμβωνι. — 2 : Τοῦ ἁγίου μάρτυρος Πάπα. Οὗτος ἤθλησεν ἐπὶ βασιλέως Μαξιμιανοῦ, προσαχθεὶς Μάγνῳ τῷ ἡγεμόνι πόλεως Λαρανίδων[7] τῆς Λυκαόνων ἐπαρχίας, ἐν ᾗ ἐγεννήθη ὁ ἅγιος. Ὁ δὲ τρόπος τῆς μαρτυρίας πληγαὶ καὶ συντριβαὶ τῶν σιαγόνων καὶ ἀναρτήσεις καὶ σιδηρῶν ὀνύχων ξεσμοὶ καὶ κρηπίδων σιδηρῶν καθηλώσεις. Ὑφ' ὧν περονούμενος καὶ τρέχειν ἔμπροσθεν ἵππων ἀναγκαζόμενος παρέδωκεν τὴν ψυχήν. — Sequitur Κυριακῇ μετὰ τὴν ὕψωσιν (= P). Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — **G** : 1. 2. 4. — Sequitur Κυριακῇ... Συμεών. — Τῶν ἁγίων πατέρων συνελθόντων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ (Sept. 18[2]). — **C** : deest. — **Cb** : 1. 2 : Πάπα. Οὗτος ὁ ἅγιος μάρτυς Πάπας ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ ἐκ πόλεως Λαρανδέων τῆς Λυκαόνων[8] χώρας. Διδάσκων δὲ τὸν λόγον τοῦ Θεοῦ καὶ ὁμολογῶν τὸν Χριστὸν Θεὸν εἶναι καὶ βασιλέα, καὶ πολλοὺς πείθων πιστεύειν εἰς αὐτόν, ἐκρατήθη παρὰ Μάγνου τοῦ ἡγεμόνος τῆς αὐτῆς πόλεως. Καὶ πρῶτον μὲν τύπτεται ἰσχυρῶς καὶ συντρίβεται τὰ ὀστᾶ τοῦ προσώπου. Εἶτα κρεμασθεὶς ξέεται ἐπὶ πολὺ καὶ μετὰ ταῦτα ὑποδέδεται ὑποδήματα σιδηρᾶ ἥλους ἔχοντα μακροὺς καὶ ὀξεῖς· καὶ ἐλαύνεται τυπτόμενος ἔμπροσθεν τῶν ἵππων ἀπὸ Λαρανδέων <ἕως[9]> τῆς πόλεως τῆς λεγομένης Νεοκαισαρείας[10] καὶ ἀπὸ ταύτης ἕως Σελευκείας[11]. Τρέχοντος δὲ αὐτοῦ, ἀπαντήσασά τις γυνὴ ἀπεσπόγγιζε μετὰ λινοῦ τὰ αἵματα αὐτοῦ· εἶτα στὰς ὑποκάτω τῆς συκῆς καὶ εὐξάμενος παρέδωκε τῷ Κυρίῳ τὴν ἁγίαν αὐτοῦ ψυχήν· καὶ ἐτάφη, καὶ ἐγένετο εὐθέως καρποφόρος ἡ συκῆ. — **M** : 1. 3. 4. — Τῶν συνελθόντων ἁγίων πατέρων (Sept. 18[2]). — 2. — Ὁ ἅγιος μάρτυς Θεοκλῆς ξ. τ. — Βαλλεριανὸς τὸ νήπιον ξ. τ. — **Mv** : 1. 3. 4. — Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν τῶν συνελθόντων κτλ. (Sept. 18[2]). — 2. — Θεοκλῆς. — Βαλεριανός. — **Mr** : 1. Sept. 14.

Sept. 15. SYNAXARIA SELECTA. **Sa** : 1, add. : Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ ἁγίου Ῥωμανοῦ καὶ ἔνδον τοῦ ἁγίου ναοῦ τοῦ ἁγίου Ῥωμανοῦ, ἔνθα καὶ τὸ σῶμα αὐτοῦ ἀπόκειται μετὰ καὶ Δανιὴλ τοῦ προφήτου. — 2. 3. 4. — **H** : Εὕρεσις τοῦ λειψάνου τοῦ πρωτομάρτυρος Στεφάνου (Sept. 16[5]). — Τῶν ἁγίων πατέρων κτλ. (Sept. 18[2]). — 2. — **P** : 1 : Τοῦ ἁγίου μάρτυρος Νικήτα ἐπὶ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου ὑπάρχοντος[1] ἐκ τῆς βαρβάρων πέραν τοῦ Οἴστρου[2] ποταμοῦ τοῦ Δανουβίου ἐκ τῶν οἰκούντων ἐκεῖσε Γότθων ἐπὶ Ἀθαναρίχου. — Ἡ εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου (Sept. 16[5]). — Καὶ μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν τῶν συνελθόντων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ς' συνόδῳ (Sept. 18[2]). — **F** : 1. 2. — Πέτρου ἐν τῇ

[1] δεύτερος P. — [2] ἐπίσκοπος P. — [3] καταστὰς P. — [4] γεγονὸς P. — [5] Κλ(ε)ωπᾶ *ed.* P. — [6] κατηγοριθεὶς F. — [7] Λαρανίδων *ita* O.

— [8] Λικαόνων Cb. — [9] ἕως *om.* Cb. — [10] Νεοκεσαρίας Cb. — [11] Σελευκίας Cb.

[1] ὑπάρχων P. — [2] *lege* Ἴστρου.

Sept. 15.

νοῦ τοῦ βασιλέως [1] διὰ τὴν εἰς Χριστὸν πίστιν κρατηθέντες παρὰ Τήριδος τοῦ τῆς Θρᾴκης στρατηγοῦ, πρῶτον μὲν τύπτονται ἰσχυρῶς μετὰ ῥάβδων, ἔπειτα ἀκρωτηριάζονται πάντα τὰ μέλη· τεθέντες δὲ ἐπὶ ἁμαξῶν καὶ ἅμα τῷ στρατηγῷ κατεπειγομένῳ ἐν Ἀδριανουπόλει ἀπαχθέντες καὶ καταναγκαζόμενοι κολακείαις τε καὶ ἀπειλαῖς θῦσαι τοῖς εἰδώλοις, μὴ πεισθέντες τὰς κεφαλὰς [2] ἀποτέμνονται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Φιλοθέου. Ὃς ὥρμητο θέματος μὲν Ὀψικίου, κώμης δὲ καλουμένης Μύρμηκος [1], ἐκ κοιλίας μητρὸς ἁγιασθεὶς καὶ τοῦ μητρικοῦ ὀνόματος κατάλληλον τὴν κλῆσιν δεξάμενος· Θεοφίλα [2] γὰρ ἐλέγετο. Οὗτος ἦν ὅλως τῷ Θεῷ ἀνάθημα, νηστείᾳ σχολάζων, προσευχαῖς προσκαρτερῶν [3], ἐν ταῖς θείαις συνάξεσιν οὐκ ἀπολιμπανόμενος, ταῖς ἀναγνώσεσι νουνεχῶς [4] προσομιλῶν, τοῖς πτωχοῖς ἐπαρκῶν, τοῖς πᾶσι τὰ πάντα γενόμενος· γάμῳ δὲ προσομιλήσας καὶ παίδων πατὴρ γενόμενος, τῆς ἱερωσύνης καταξιοῦται. Ἔκτοτε πάλιν οἱ ψαλμοὶ ἐπὶ στόματος, αἱ χεῖρες τοῦ γεηπονεῖν οὐκ ἠμέλουν. Ἡ δὲ ἐλεημοσύνη ἀμέτρητος· ὅθεν καὶ θαυμάτων μεγίστων ἠξιώθη, διὰ μόνης προσευχῆς ἐξ ἀπόρων ταμιείων τοῖς πεινῶσιν ἄρτον παρασχών [5]· ἀλλὰ καὶ ποτάμιον [6] ὕδωρ εἰς οἶνον μετέβαλλε [7] καὶ λίθον μέγιστον λόγῳ μόνῳ μετατέθηκεν [8]· καὶ μετὰ ἐνιαυτὸν τῆς κοιμήσεως αὐτοῦ μετατιθεμένου [9] ἐν ἑτέρῳ τόπῳ, αὐτὸς τὰς χεῖρας ὡσεὶ ζῶν ἐκτείνας καὶ τῶν ὤμων δραξάμενος τῶν δύο ἱερέων βουλομένων αὐτὸν μεταθεῖναι, ἀνέστη καὶ τρεῖς βάσεις βηματίσας κατετέθη ἐν ᾧ νῦν τόπῳ κείμενος βλύζει πηγὴν ἀεννάου μύρου, θαυμαστήν τινα καὶ ξένην τῆς αὐτοῦ πολιτείας παρέχων ἀπόδειξιν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πορφυρίου, τοῦ ἀπὸ μίμων γενομένου [1]. Οὗτος ἦν μῖμος καὶ γελωτοποιός· ὑπὸ δὲ Ἰουλια|νοῦ τοῦ f. 28 παραβάτου ἐν μιᾷ τῶν ἡμερῶν, τῶν γενεθλίων αὐτοῦ τελουμένων, κελευσθεὶς ἐπὶ τραπέζης διασῦραι καὶ καταπαῖξαι τὰ χριστιανῶν μυστήρια, ἐν τῷ μέλλειν αὐτὸν καταβῆναι εἰς τὸ ὕδωρ καὶ βαπτίσασθαι, ἐξεβόησεν εἰπών· « Βαπτίζεται Πορφύριος εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· » καὶ ἀναβὰς [2] καὶ ἀμφιασάμενος τὰ ἱμάτια αὐτοῦ καὶ [3] χριστιανὸν ἑαυτὸν παρρησίᾳ ἀνακηρύττων, ξίφει τὴν κεφαλὴν τέμνεται, μεγάλα θαύματα ἐργασάμενος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚʹ.

Sept. 16.

1. Ἄθλησις τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας. Αὕτη κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ τοῦ βασιλέως γέγονε καὶ Πρίσκου ἀνθυπάτου Εὐρώπης [1], ἐκ πόλεως Χαλκηδόνος, θυγάτηρ οὖσα Φιλόφρονος καὶ Θεοδωρησιανῆς [2]. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν διαβληθεῖσα καὶ παραστᾶσα

2. — [1] τοῦ βασιλέως Μαξιμιανοῦ Sa. — [2] αὐτῶν *add.* Sa.
3. — [1] Μύρμικος S. Sa. — [2] Θεοφύλα Sa. — [3] ἐγκαρτερῶν Sa. — [4] συνεχῶς Sa. — [5] παρασχεῖν Sa. — [6] ποτάμιον Sa, πόταμον S. — [7] μετέβαλε Sa. — [8] μετετέθηκεν S, μετέθηκε Sa. — [9] μετατιθεμένου Sa, μετατιθεμένω S.
4. — [1] γινομένου S. — [2] ἀναβὶς S. — [3] *om.* Sa.
1. — [1] Εὐραόπης Sa. — [2] Θεοδωροσιανῆς Sa.

Sept. 15.

Ἀτρῴᾳ (Sept. 13⁴). — Κρονίδους, Λέοντος καὶ τῶν σὺν αὐτῷ (Sept. 13⁵). — Στεφάνου (Sept. 16⁵). — 3. 4. — Μνήμη τῶν ἁγίων πατέρων (Sept. 18²). — **Fa** : 1. 2. — Πέτρου. — Κρονίδους κτλ. — Στεφάνου. — 3. 4. — Τῶν ἁγίων πατέρων. — **Fb** : 1. 2. — Πέτρου. — Κρονίδους. — Στεφάνου. — 3. 4. — Τῶν ἁγίων πατέρων. — **B** : 1. 3. 2 (= S). — Μαρτίνου πάπα Ῥώμης (Sept. 16²). — 4. — Μελιτινῆς (Sept. 16⁴). — **Ba** : 1. 2. 3. — Μαρτίνου (Sept. 16²). — 4. — **Bb** : 1. 3. 2. — Μαρτίνου (Sept. 16²). — 4. — **L** : 1. — **O** : 1. — Στεφάνου (Sept. 16⁵). — Μνήμη τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν συνελθόντων εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον, ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι τῶν πόλεων, ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου βασιλέως Κωνσταντίνου καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. Τελεῖται δὲ ἡ τούτων σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ (Sept. 18²). — 2. — **G** : 1. 3. 4. — **C** : deest. — **Cb** : 1. 3 (... Θεοφίλου). — 2. — Μαρτίνου πάπα Ῥώμης. Οὗτος ὁ ἅγιος πατὴρ ἡμῶν Μαρτῖνος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ ἐπιλεγομένου Πωγωνάτου [3], τοῦ ἐγγόνου Ἡρακλείου τοῦ βασιλέως. Ὅστις Κωνσταντῖνος ὑπῆρχεν αἱρετικὸς μονοθελήτης· ὑπῆρχε πατριάρχης Κωνσταντινουπόλεως Παῦλος ὀνόματι καὶ αὐτὸς αἱρετικὸς μονοθελήτης. Ἔμαθε δὲ ταῦτα ὁ ἅγιος Μαρτῖνος καὶ συγκαλεσάμενος τὴν ἁγίαν σύνοδον ἀναθεμάτισε τὴν τῶν μονοθελητῶν αἵρεσιν καὶ σὺν αὐτῇ τὸν Πωγωνάτον [4] καὶ Παῦλον τὸν πατριάρχην καὶ Σέργιον καὶ Πύρρον καὶ τοὺς λοιπούς. Μαθὼν δὲ ταῦτα ὁ βασιλεὺς καὶ ὀργισθείς, ἀπέστειλεν εἰς Ῥώμην καὶ ἐκράτησεν τὸν πατριάρχην Μαρτῖνον καὶ ἔφερεν εἰς Κωνσταντινούπολιν. Καὶ πρῶτον μὲν ἔτυψεν [5] αὐτὸν ἰσχυρῶς καὶ ἐδήμευσε καὶ ἀπέκλεισεν εἰς σκοτεινὴν [6] φυλακήν. Ὕστερον δὲ ἐξώρισεν αὐτὸν εἰς Χερσῶνα τὴν πόλιν, ἐν ᾗ καὶ ἐτελεύτησε, παραδοὺς τῷ Κυρίῳ τὴν ἁγίαν αὐτοῦ καὶ μακαρίαν ψυχὴν (Sept. 16²). — 4. — Στεφάνου (Sept. 16⁵). — Τῶν ἁγίων πατέρων (Sept. 18²). — **M** : 1. 3. 4. — Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. — 2 : Ὁ ἅγιος μάρτυς Μάξιμος ξ. τ. — Αἱ ἅγιαι δύο κόραι ξ. τ. — Στεφάνου (Sept. 16⁵). — **Mv** : 1. 3. 4. — Εὕρεσις τοῦ ἁγίου Ἀκακίου. — 2 : Μάξιμος. — Δύο κόραι. — Στεφάνου. — **Mr** : 1.

Sept. 16.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἔνδον τοῦ ναοῦ τῆς ἁγίας Ἀκυλίνης πλησίον τοῦ Φόρου. — 3. 4. 5. — **H** : 1. 2. 3. 4. — **P** : 2 : Τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Μαρτίνου, ἀρχιεπισκόπου τῆς τῶν Ῥωμαίων ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας,

— [3] πογονάτου Cb. — [4] πογονάτον Cb. — [5] ἔτυψαν Cb. — [6] |||κοτεινὴν Cb.

Sept. 16.

τῷ ἀνθυπάτῳ, τροχοῖς καὶ πυρὶ πρότερον προσπαλαίσασα, ἔτι δὲ μηχαναῖς ἑτέρων βασανιστηρίων, τὸ τελευταῖον ἐπὶ τοῦ σταδίου ἀφεθέντων αὐτῇ λεόντων, τοῦ σώματος αὐτῆς ἀλωβήτου ἀπὸ τῆς τούτων βλάβης φυλαχθέντος, κλήσεως ἄνωθεν αὐτῇ ἐπιγενομένης, ἐν αὐτῷ τῷ θεάτρῳ παρέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ. Τελεῖται δὲ ἡ ταύτης σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ, τῷ ὄντι ἐν τοῖς Ἀντιόχου καὶ πλησίον τῶν Λαύσου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Μαρτίνου πάπα Ῥώμης. Ὃς ἦν ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, ἐκγόνου Ἡρακλείου. Ὃν ὡς τὸν Σέργιον ἐπίσκοπον Κωνσταντινουπόλεως καὶ Κῦρον ἐπίσκοπον Ἀλεξανδρείας καὶ Θεόδωρον ἐπίσκοπον τῆς Φαρὰν [1] δημοσίοις ἀποκηρύξαντα γράμμασιν καὶ ὅρον εὐσεβείας ἐκθέμενον καὶ ἀνατρέψαντα καὶ ἀναθεματίσαντα μετὰ τῆς συνελθούσης αὐτῷ συνόδου τὴν τῶν μονοθελητῶν αἵρεσιν ὁ βασιλεύς, ὡς τῆς αὐτῶν δυσσεβοῦς αἱρέσεως ὑπάρχων, λίαν μανεὶς ἀπὸ τῆς Ῥωμαίων μεταπέμπεται, πολλὰς αὐτῷ κακώσεις | f. 28v. κατὰ τὸν πλοῦν ἐνδειξάμενος· καὶ ὥσπερ τινὶ κακούργῳ κλοιὰ περιθείς, ἐν τῷ πραιτωρίῳ καθείργνυσιν· εἶτα ὑπερόριον πέμπει ἐν Χερσῶνι [2] τῇ πόλει, ἔνθα τὸ λεῖπον τῆς ζωῆς διανύσας πρὸς Κύριον ἐκδημεῖ. Μετὰ μικρὸν δὲ καὶ ὁ παράνομος βασιλεὺς ἐν Σικελίᾳ κατελθὼν καὶ ἐν τῷ τῆς Δάφνης λουτρῷ εἰσελθών, ἀναιρεῖται παρὰ τῶν ὑπ᾽ αὐτὸν μαχαίρᾳ [3].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Σεβαστιανῆς. Αὕτη γέγονεν ἐπὶ Δομετιανοῦ τοῦ βασιλέως, ὑπάρχουσα ἐκ πόλεως Σεβαστῆς τῆς Φρυγίας· ἐδιδάχθη δὲ τὸν εὐσεβῆ λόγον ὑπὸ Παύλου τοῦ ἀποστόλου. Καὶ συνεσχέθη ἐν Μαρκιανουπόλει κηρύττουσα τὸν Χριστὸν ὑπὸ τοῦ ἡγεμόνος Σεργίου· καὶ τυφθεῖσα παρ᾽ αὐτοῦ καὶ εἰς κάμινον ἐμβληθεῖσα, τῇ τοῦ Χριστοῦ χάριτι διέμεινεν ἀβλαβής· μετὰ δὲ ταῦτα ἦλθεν εἰς Ὀδυσσόν [1]· εἶτα εἰς Ἀγχίαλον, εἶτα εἰς Ἀρκαδιούπολιν· ἐξ ἧς κατέλαβεν Ἡράκλειαν τὴν τῆς Θρᾴκης· ἔνθα κρατηθεῖσα παρὰ Πομπηϊανοῦ ἡγεμόνος, ἐκρεμάσθη κατὰ κεφαλῆς ἐπὶ ξύλου καὶ ἐξέσθη ἀκμαῖς σιδηρῶν [2] ὀνύχων, καὶ λέουσι προετέθη εἰς βοράν [3]· καὶ τῶν τοσούτων ὑπεράνω γενομένη [4] βασάνων, τὴν διὰ ξίφους ὑπέμεινεν ἐκτομήν, ἐξ ἧς καὶ λέγεται ἀντὶ αἵματος ῥυῆναι γάλα. Τὸ δὲ σῶμα αὐτῆς ἐρρίφη ἐν θαλάσσῃ καὶ ἐκδοθὲν τοῖς πιστοῖς θείᾳ προνοίᾳ ἐτάφη ἐν Ῥαιδεστῷ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος

2. — [1] Φαρᾶν Sa. — [2] Χερσώνει S. — [3] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
3. — [1] Ὀδυσσόν S. Sa, *melius forte* Ὀδησσόν. *Cf.* Pape-Benseler, *s. v.* — [2] Sa *corr.*, *prius* σιδηραῖς. — [3] βορράν S. — [4] γενομένη ὑπεράνω Sa.

Sept. 16.

ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου ἐγγόνου Ἡρακλείου· ὅστις Κωνσταντῖνος ἐν Σικελίᾳ ἐν τῷ τῆς Δάφνης λουτρῷ μαχαίρᾳ τελευτᾷ. — 1 : Τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐπὶ Διοκλητιανοῦ βασιλέως, Πρίσκου ἀνθυπάτου τῆς Εὐρώπης, ἐκ πόλεως Χαλκηδόνος. — 3 : Τῆς ἁγίας μάρτυρος Σεβαστιανῆς ἐπὶ Δομετιανοῦ βασιλέως ἐκ Σεβαστῆς Φρυγίας ὁρμωμένης [1], μαθητρίας [2] Παύλου τοῦ θεσπεσίου ἀποστόλου. — 4 : Τῆς ἁγίας μάρτυρος Μελιτήνης [3] ἐκ Μαρκιανουπόλεως [4] τῆς Θρᾴκης ἐπὶ Ἀντωνίου βασιλέως καὶ Ἀντιόχου ἡγεμόνος ταύτης πόλεως. Συναγόμεθα δὲ ἐν τῷ ἁγίῳ αὐτῆς οἴκῳ ἐν τῷ Πετρίῳ. — **F** : 1. 2. 3. 4. — **Fa** : 1. 2. 3. 4. — **Fb** : 1. 2. 3. 4. — **B** : Πίστεως, Ἐλπίδος, Ἀγάπης καὶ τῆς μητρὸς αὐτῶν Σοφίας (Sept. 17¹). — Ἀγαθοκλείας (Sept. 17²). — **Ba** : 1 : Εὐφημίας. Ἡ μεγαλομάρτυς Εὐφημία ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ ἐκ τῆς πόλεως Χαλκηδόνος. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἐκρατήθη παρὰ τοῦ ἀνθυπάτου· καὶ πρῶτον μὲν ἀναγκασθεῖσα ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθεῖσα, ἐδέθη εἰς τροχὸν καὶ ἐτιμωρήθη. Ἔπειτα ἐνεβλήθη εἰς κάμινον καὶ ἐξῆλθεν ἀβλαβής. Καὶ ἰδόντες Σωσθένης καὶ Βίκτωρ οἱ στρατιῶται τὸ ἐπ᾽ αὐτῇ θαῦμα, ἐπίστευσαν εἰς τὸν Χριστὸν καὶ παραδοθέντες θηρίοις ἐτελειώθησαν. Εἶτα βασανισθεῖσα ἡ ἁγία διαφόρως ἀπεκλείσθη εἰς φυλακὴν καὶ μετὰ τοῦτο ἐκβληθεῖσα καὶ τοὺς ὀδόντας ἐκριζωθεῖσα, παρεδόθη λέουσιν εἰς τὸ βρωθῆναι. Λυτρωθείσης δὲ ταύτης ἐκ τῶν λεόντων καὶ προσευχομένης, ἦλθε φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· « Εὐφημία, καλῶς ἠγωνίσω· τὴν πρὸς ἐμὲ πίστιν ἐτήρησας, τῆς ἀθλήσεως τὸν δρόμον ἐτέλεσας· ἐλθέ, λοιπὸν ἀπόλαβέ σου τὸν στέφανον. » Καὶ οὕτω τελειωθεῖσα ἐτάφη ὑπὸ τῶν γονέων αὐτῆς πλησίον τῆς πόλεως Χαλκηδόνος. — 3 : Σεβαστιανῆς. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Δομετιανοῦ ἐν τοῖς χρόνοις τῶν ἁγίων ἀποστόλων ἐκ τῆς χώρας Φρυγίας. Ἐδιδάχθη δὲ τὸν λόγον τοῦ Χριστοῦ ὑπὸ Παύλου τοῦ ἀποστόλου καὶ ἀπελθοῦσα εἰς Μαρκιανούπολιν τῆς Θρᾴκης, ἐκήρυττε τὸν Χριστόν. Καὶ διὰ τοῦτο κρατηθεῖσα παρὰ Σεργίου τοῦ ἄρχοντος ἐτιμωρήθη [5] καὶ ἀπεκλείσθη εἰς φυλακήν. Εἶτα ἐκβληθεῖσα τῆς φυλακῆς, ἐκήρυττε τὸν Χριστὸν πάλιν, καὶ εἶθ᾽ οὕτως παρεδόθη πυρί. Καὶ μηδὲν βλαβεῖσα ἀπελύθη [6], καὶ περιερχομένη τὰς πόλεις καὶ τὰς χώρας, ἐδίδασκεν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ καὶ πολλοὺς τῶν ἀπίστων ἐπέστρεφεν [7] ἐπ᾽ αὐτόν. Ἐλθοῦσα δὲ καὶ εἰς Ἡράκλειαν τῆς Θρᾴκης καὶ τὰ ὅμοια διδάσκουσα, ἐκρατήθη παρὰ τοῦ ἄρχοντος καὶ ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεῖσα, παρεδόθη θηρίοις. Καὶ τούτων ῥυσθεῖσα, τὴν κεφαλὴν ἀπετμήθη· καὶ ἔρρευσεν ἀντὶ αἵματος γάλα. Τὸ δὲ σῶμα αὐτῆς ἐρρίφη ἐν τῇ θαλάσσῃ καὶ κατ᾽ οἰκονομίαν Θεοῦ ἐκβληθὲν εἰς τὴν ξηρὰν ἐτάφη ἐν τῷ κάστρῳ Ῥαιδεστοῦ. — 4 : Μελιτινῆς [8]. Αὕτη [9] ὑπῆρχεν ἀπὸ [10] Μαρκιανουπόλεως τῆς Θρᾴκης ἐπὶ Ἀντωνίνου Καίσαρος [11] Ῥωμαίων. Τὸν Χριστὸν δὲ κηρύττουσα, ἐκρατήθη [12] παρὰ Ἀντιόχου τοῦ τῆς αὐτῆς πόλεως ἄρχοντος καὶ ὁμολογήσασα ἑαυτὴν χριστιανὴν ἐτύφθη [13] σφοδρῶς. Εἶτα

[1] ὁρμωμένη P. — [2] μαθήτρια P. — [3] Μελιτίνης P. — [4] Μαριανουπόλεως P. — [5] ἐτιμωρίσθη Ba. — [6] ἀπελύθει Ba. — [7] ἐπέστρεφον Ba. — [8] Μελητίνης Cb. — [9] ἡ ἁγία μάρτυς Μελετίνη Cb. — [10] ἐκ Cb. — [11] βασιλέως Cb. — [12] (τὸν Χριστὸν - ἐκρατήθη) χριστιανὴ καὶ φοβουμένη τὸν Θεὸν κρατηθεῖσα δὲ Cb. — [13] (καὶ ὁμολογήσασα - ἐτύφθη) ὡμολόγησε μετὰ παρρησίας τὸ ὄνομα τοῦ δεσπότου Χριστοῦ τοῦ Θεοῦ· διὰ τοῦτο τύπτεται Cb.

Sept. 16. Μελιτηνῆς. Αὕτη ἦν ἐκ Μαρκιανουπόλεως τῆς Θρᾴκης ἐπὶ τῆς βασιλείας Ἀντωνίνου. Συνεσχέθη δὲ παρὰ Ἀντιόχου ἡγεμόνος τῆς αὐτῆς [1] πόλεως· καὶ πολλὰ ὑποστᾶσα διὰ Χριστὸν δεινὰ καὶ πλεῖστα σημεῖα ἐνεργήσασα (τὰ γὰρ εἴδωλα διὰ προσευχῆς κατήνεγκεν εἰς τὴν γῆν καὶ τὸν Ἀπόλλωνα καὶ τὸν Ἡρακλέα ὑφὲν συνέτριψεν) καὶ πολλοὺς τῶν ἑλλήνων καὶ αὐτὴν τὴν τοῦ ἄρχοντος γυναῖκα τῷ Χριστῷ παραγαγοῦσα [2], τὴν διὰ ξίφους τιμωρίαν ὑπέστη.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῆς εὑρέσεως τοῦ [1] λειψάνου τοῦ ἁγίου <ἀποστόλου [2]> καὶ πρωτομάρτυρος Στεφάνου.

f. 29.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

Sept. 17. **1.** Ἄθλησις τῶν ἁγίων [1] Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης τῶν αὐταδέλφων καὶ τῆς μητρὸς αὐτῶν Σοφίας. Αὗται ὑπῆρχον ἐξ Ἰταλίας ἐπὶ τῆς βασιλείας Ἀδριανοῦ. Ἀχθεῖσα οὖν ἡ Πίστις ἐτῶν ὑπάρχουσα δεκαδύο καὶ ἐρωτηθεῖσα καὶ τὸν Χριστὸν ὁμολογήσασα, ῥαβδίζεται καὶ μέρη τινὰ τοῦ σώματος ἀφαιρεῖται σιδήρῳ, ἐξ ὧν ἀντὶ τοῦ αἵματος γάλα ἔρρευσεν [2], καὶ εἰς πυρὸς ἐσχάραν ἐναποτίθεται καὶ ἄφλεκτος μείνασα ξίφει τὴν κεφαλὴν τέμνεται· ἔπειτα καὶ ἡ Ἐλπὶς ἐτῶν ὑπάρχουσα δέκα νεύροις τύπτεται, εἰς πῦρ ἀπορρίπτεται, ἀναρτηθεῖσα ξέεται, εἰς λέβητα ἐμβάλλεται καὶ παραδόξως ῥυσθεῖσα, καὶ αὐτὴ τὸν διὰ ξίφους δέχεται θάνατον. Εἶτα ἡ Ἀγάπη χρόνων οὖσα ἐννέα καὶ αὐτὴ ὁμοίως [3] ἀνεσκολοπίσθη [4], καὶ μείνασα ἀβλαβὴς ἀπετμήθη τὴν κάραν [5]. Ἡ δὲ τούτων μήτηρ Σοφία μετὰ [6] τρίτην ἡμέραν, τῷ τάφῳ αὐτῶν παραμένουσα καὶ δάκρυσι καταβρέχουσα [7], τὴν ψυχὴν τῷ Θεῷ παρατίθεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀγαθοκλείας. Αὕτη οἰκέτις [1] ἦν Νικολάου τινὸς ἀπὸ χριστιανῶν καὶ Παυλίνης τῆς αὐτοῦ γυναικός. Ἥτις Παυλῖνα πολλὰς ἐποίει [2] τῇ ἁγίᾳ Ἀγαθοκλείᾳ [3] θλίψεις ἐπὶ χρόνοις ὀκτὼ αὐτὴν ἀκροτόμοις λίθοις ἐν τοῖς ὑπαυχενίοις τοῦ σώματος τόποις τύπτουσα καὶ ἀνυπόδετον γυμνοῖς τοῖς ποσὶν εἰς τραχεῖς καὶ [4] δυσβάτους τόπους ἐλαύνουσα καὶ σιδηρᾷ σφηνὶ [5] τὰς πλευρὰς συνθλῶσα αὐτῆς καὶ τὴν γλῶτταν ἐκκαίουσα καὶ λιμῷ κατάγχουσα καὶ κλοιοῖς [6] βαρύνουσα· ἐπεὶ δὲ οὐκ ἔπειθεν ἀρνήσασθαι τὸν Χριστόν, τὸ τελευταῖον ἐπενεγκοῦσα κατὰ τοῦ τραχήλου αὐτῆς πῦρ, ἀπορραγῆναι τῆς παρούσης ζωῆς κατηνάγκασε.

4. — [1] αὐτοῦ Sa. — [2] προσαγαγοῦσα Sa.
5. — [1] τοῦ τιμίου Sa. — [2] ἀποστόλου Sa, *om.* S.
1. — [1] μαρτύρων *add.* Sa. — [2] ἔρρυσε Sa. — [3] ὁμοίως *om.* Sa. — [4] ἀνεσκολλοπίσθη S, ἀνεσκολοπήσθη Sa. — [5] κεφαλὴν Sa. — [6] μετὰ τὴν Sa. — [7] βρέχουσα Sa.
2. — [1] οἰκέτης S. — [2] ἐπήνεγκε Sa. — [3] Ἀγαθοκλία S. — [4] καὶ *om.* Sa. — [5] σφίνη S. Sa. — [6] κλειοῖς S.

Sept. 16. ἠναγκάσθη εἰσελθεῖν [14] εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ θῦσαι. Καὶ εἰσελθοῦσα ηὔξατο πρὸς τὸν Θεόν [15]· καὶ ἔπεσον [16] τὰ εἴδωλα καὶ συνετρίβησαν [17]. Ἐκ τούτου [18] ἐπίστευσαν τῷ Χριστῷ [19] ἕλληνες πολλοί, ἀλλὰ καὶ αὐτὴ ἡ τοῦ ἄρχοντος γυνή. Καὶ πάλιν τυφθεῖσα [20], ἐρρίφη [21] εἰς φυλακήν· καὶ πάλιν τῆς φυλακῆς ἐξελθοῦσα ἐκρεμάσθη [22] γυμνὴ καὶ ἐξέσθη [23] τὰς πλευράς· καὶ πάλιν εἰσαχθεῖσα [24] εἰς ἕτερον [25] ναὸν εἰδωλικὸν [26] θῦσαι, ηὔξατο· καὶ πεσόντα τὰ εἴδωλα διεσκορπίσθησαν εἰς μικρά. Τότε λαβοῦσα τὴν διὰ ξίφους ἀπόφασιν, ἀπεκεφαλίσθη [27]. Τὸ δὲ λείψανον αὐτῆς ἀνελόμενος [28] ἀνὴρ εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν [29], Ἀκάκιος ὄνομα [30], καὶ [31] ἀπαγαγὼν [32] ἐν τῇ νήσῳ τῆς Λήμνου [33] κατέθετο [34]. — **Bb** : 1. 3. 4. — **T** : 1. 3. 4. — **L** : 1. — **O** : 1. — **G** : 1. 2. 3. — **C** : mutil. 3. 2. 4. — **Cb** : 1. 3. 4 (contuli cum Ba). — **M** : 1. 2. 3. 4. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1.

Sept. 17. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 4 (Χαραλάμπους, Παντολέοντος, Ἀγαθοκλείας καὶ τῆς συνοδίας αὐτῶν). — 3. 5 (Ἡρακλείδου solius). — 6. — **P** : 2. 3. 4. 5. 6. — **F** : 1. 2. 3. 4. 5 (Μοίρωνος καὶ Ἡρακλίδους). — 6. — **Fa** : 1. 2. 3. 4. 5 (Μύρονος καὶ Ἡρακλήδους). — **Fb** : 1. 2. 3. 4. 5. 6. — **B** : 3. — **Ba** : 1. 2. 3. — **Bb** : 1. 2. 3. — **T** : 1. — **L** : 1. — **O** : 1. 4 : Χαραλάμπους, Παντολέοντος, Ἀγαθοκλείας καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ αὐτῶν μαρτυρείῳ τῷ ὄντι ἐν τῷ Δευτέρῳ. Τούτων Ἀγαθοκλεία οἰκέτης ἦν κτλ. — 2. 3. 5. 6. — **G** : 1. 2. — **C** : 1. 4. 2. 3. 5 et 6 (Τῶν ἁγίων μαρτύρων Ἡρακλείδους ἐπισκόπου Ταμάσου τῆς Κύπρου καὶ τῶν ἁγίων γυναικῶν Σοφίας καὶ Εἰρήνης). — **Cb** : 1. 4. 2. 3. 5. 6 (= C). — **M** : 1. 2. — Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης (Sept. 15²). — 3. — Θεοδότης. Βασιλεύοντος ἐν τῇ πρεσβυτέρᾳ [1] Ῥώμῃ τοῦ Ἀλεξάνδρου, ἀπεστάλη Σιμπλίκιος [2] ἐν τῇ τῶν Καππαδοκῶν χώρᾳ, καὶ ἐμηνύθη αὐτῷ ἡ Θεοδότη, ἐκ τῆς Ποντικῆς οὖσα [3] χώρας, σφόδρα πλουσία. Ἥτις [4] παραστᾶσα, ὡς οὐκ ἐπείθετο ἀποστῆναι τῆς εἰς Χριστὸν πίστεως, ἀπαιωρηθεῖσα ἐπὶ πολλαῖς ταῖς ὥραις, τὰ σπλάγχνα ἐξέετο [5]· ἐδόξαζε δὲ [6] τὸν Θεὸν καὶ ὡς ἄλλου πάσχοντος ἐῴκει τοὺς ξεσμοὺς ὑποφέρειν. Εἶτα καταχθεῖσα φρουρεῖται· καὶ μεθ' ἡμέρας ὀκτὼ τῆς φυλακῆς αὐτομάτως ἀνοιγείσης, ὡς εἶδον οἱ φύλακες, ἐξέστησαν καὶ δραμόντες ἀπήγγειλαν τῷ Συμπλικίῳ. Οὐκ ἐπίστευσε δὲ αὐτοῖς, ἀλλὰ τῇ ἑξῆς ἀχθείσης τῆς ἁγίας, ὡς εἶδε ταύτην ὁ Σιμπλίκιος ὅλην ὑγιῆ καὶ μηδέν τι ἴχνος τῶν μωλώπων ἐν τῷ σώματι φέρουσαν, λέγει πρὸς αὐτήν· «Τίς εἶ»; Ἡ δὲ ἁγία· «Ἠμαύρωταί σου ἡ διάνοια, φησίν· εἰ γὰρ νήφων ἦς, ᾔδεις ἂν ὅτι ἐγώ εἰμι ἡ Θεοδότη.» Ταῦτα ἀκούσας ὁ Σιμπλίκιος, κλίβανον ἐκκαυθῆναι προστάσσει. Τούτου δὲ ἐκκαυθέντος καὶ τῆς ἁγίας ἐν τούτῳ ἀκοντισθείσης, ἡ φλὸξ ἐκχυθεῖσα [7] ὡσεὶ τὸν ἀριθμὸν ἑβδομήκοντα ἄνδρας ἐνέπρησεν· οἱ δὲ καταλειφθέντες, τὸν κλίβανον ἀναφράξαντες, ὑπεχώρησαν. Καὶ τῇ ἑξῆς ὁ ἄρχων δύο ἱερεῖς ἀποστείλας μεθ' ἑτέρων τινῶν καὶ [8] τὸν χοῦν τοῦ σώματος αὐτῆς λικμηθῆναι προσέταξεν. Ἀνοιγέντος δὲ τοῦ κλιβάνου, τὸ μὲν πῦρ ἐξελθὸν κατέκαυσε τοὺς δύο ἱερεῖς. Οἱ δὲ λοιποί, ὡς εἶδον τὴν ἁγίαν μέσον δύο <νεανίσκων [9]> λευχειμονούντων καθημένην καὶ ψάλλουσαν, ἐκπλαγέντες ὡσεὶ νεκροὶ γεγόνασιν. Ἐξῆλθε δὲ ἡ ἁγία ἀπὸ τοῦ κλιβάνου ἀβλαβής, χαίρουσά τε καὶ ψάλλουσα· ἣν καὶ λαβόντες ἀπήγαγον ἐν τῇ φυλακῇ. Ἐπεὶ δὲ ἔμελλεν ὁ Σιμπλίκιος ἐπὶ [10] τὸ Βυζάντιον ὁδεύειν, προσέταξε καὶ τὴν ἁγίαν συνακολουθεῖν αὐτῷ δέσμιον [11]. Τούτου δὲ γενομένου καὶ τοῦ Σιμπλικίου ὑποστρέψαντος καὶ ἐν Ἀγκύρᾳ προκαθεσθέντος, ἐδέησε παραστῆναι καὶ [8] τὴν ἁγίαν· πρὸς ἣν καί [8] φησιν ὁ Σιμπλίκιος· «Ἐὰν μὴ » πεισθῇς μοι, καὶ θύσῃς τοῖς θεοῖς, δείξας τῇ χειρί, ἐν ταύτῃ τῇ πεπυρακτωμένῃ σε ἐσχάρᾳ ἀπολέσω.» Ἡ δὲ πρὸς αὐτόν· «Εἰ καὶ ὁ λιβελλίσιος [12] εἰσέλθῃ [13] μετ' ἐμοῦ καὶ τοῦ πυρὸς κυριεύσῃ, θύσω κἀγὼ » τοῖς θεοῖς σου.» Καὶ ὁ Σιμπλίκιος πρὸς τὸν Δωρόθεον (τοῦτο γὰρ ἦν ἐκείνῳ [14] ὄνομα [15])· «Δωρόθεε, » κῦρ λιβελλίσιε, τὴν τῶν θεῶν ἔχων βοήθειαν, εἴσελθε.» Εἰσελθὼν οὖν σὺν τῇ ἁγίᾳ, εὐθὺς παρανάλωμα γέγονε τοῦ πυρός· ἡ δὲ ἐξῆλθεν ἀβλαβής. Ἐξαπορήσας οὖν ὁ ἄρχων, δεσμευθῆναι καὶ αὖθις τὴν ἁγίαν κελεύει καὶ πρὸς Βιθυνίαν [16] ἀπάγεσθαι· καὶ ἐπεὶ τὴν Νίκαιαν κατέλαβον, ἐκέλευσεν ὁ ἄρχων εἰσελθεῖν τὴν ἁγίαν ἐν τῷ εἰδωλείῳ καὶ προσεύξασθαι. Τῆς δὲ περιχαρῶς τοῦτο καταδεξαμένης, τὰ εἴδωλα πάντα εἰς γῆν πεσόντα συνετρίβησαν [17]. Καὶ ὡς [18] ἐξεπλάγησαν οἱ παρευρεθέντες ἰδόντες τὴν τῶν θεῶν συντριβήν, μανεὶς [19] ὁ ἄρχων ἐκέλευσε ταθεῖσαν ἐκ τεσσάρων [20] πρισθῆναι. Καὶ τούτου γενομένου, ὁ μὲν πριστὴρ ἠμβλύνετο [21], μὴ ἔχων τὸ ἐνεργόν· οἱ δὲ δήμιοι ἠτόνουν, καὶ ἡ ἁγία ἄνετος ἦν, εὐχαριστοῦσα τῷ σωτῆρι Θεῷ. Ὁ γοῦν Σιμπλίκιος ἐπὶ πᾶσι τούτοις [22] σκοτισθεὶς τὴν διάνοιαν, τὴν [23] διὰ ξίφους τελευταίαν πληγὴν τῇ μάρτυρι ἀπεφήνατο, καὶ οὕτως [24] ἀπετμήθη τὴν κεφαλήν. — Τῶν ἁγίων μαρτύρων ἑκατόν. — Εἰς τὸν ἅγιον Πηλέα καὶ Νεῖλον τοὺς ἐπισκόπους. — Εἰς τοὺς ἐν Παλαιστίνῃ ἁγίους τεσσαράκοντα ἓξ μάρτυρας (Sept. 19⁴). — 4. 5. — Εἰς τὸν Ἡλίαν καὶ Πατερμούθιον. — **Mv** : 1. 2. — Μαξίμου κτλ. — 3. — Θεοδότης. — Ἑκατὸν μαρτύρων. — Εἰς τὸν ἅγιον Πηλέα καὶ Νεῖλον. — Εἰς τοὺς ἐν Παλαιστίνῃ ἁγίους μς' μάρτυρας. — Εἰς τὸν ἅγιον Πατερμούθιον. — 4. 5. — **Mr** : 1.

— [14] (εἶτα - εἰσελθεῖν) εἶτα εἰσῆλθεν Cb. — [15] (καὶ θῦσαι - Θεὸν) καὶ προσηύξατο Cb. — [16] ἔπεσε Cb. — [17] συνετρίβη Cb. — [18] ὅθεν Cb. — [19] εἰς τὸν Χριστὸν Cb. — [20] τύπτεται ἰσχυρῶς Cb. — [21] εἶτα ῥιφεῖσα Cb. — [22] (καὶ πάλιν - ἐκρεμάσθη) καὶ μετὰ ἑπτὰ ἡμέρας κρεμνᾶται Cb. — [23] ξέεται Cb. — [24] εἰσάγεται Cb. — [25] τὸν Cb. — [26] τῶν εἰδώλων Cb. — [27] (θῦσαι - ἀπεκεφαλίσθη) τοῦ προσκυνῆσαι αὐτά· καὶ παραχρῆμα ἔπεσον τὰ εἴδωλα καὶ συνετρίβησαν καὶ οὕτως ἀπετμήθη τὴν κεφαλὴν τὸ δὲ πνεῦμα παρέδωκεν τῷ Θεῷ. Cb. — [28] λαβὼν Cb. — [29] (ἀνὴρ - Θεὸν) *om.* Cb. — [30] τῆς μακαιδῶν *ita* Cb. — [31] καὶ *om.* Cb. — [32] ἀπήγαγεν Cb — [33] Λίμνου Ba, Cb. — [34] καὶ ἔθαψεν Cb.

[1] πρεσβυτόρᾳ Mv. — [2] Συμβλίκιος (*vel* Συμβλύκιος) M, Συμπλίκιος Mv *semper*. — [3] οὖσαν M. — [4] καὶ *add.* Mv. — [5] ἐφλέγετο καὶ Mv. — [6] δὲ *om.* Mv.

— [7] ἐκχυθεῖσα ἡ φλὸξ Mv. — [8] καὶ *om.* Mv. — [9] Mv, *om.* M. — [10] εἰς Mv. — [11] δέσμον Mv. — [12] λιβελλήσιος Mv *semper*. — [13] εἰσέλῃ Mv. — [14] *om.* Mv. — [15] τῷ λιβελλησίῳ *add.* Mv. — [16] Βυθινίαν M. — [17] κατετρίβησαν Mv. — [18] ὡς *om.* Mv. — [19] οὖν *add.* Mv. — [20] ταθῆναι ... τὴν ἁγίαν καὶ ταθεῖσαν *add.* Mv. — [21] ἠβλύνετο M. — [22] ἐπὶ πᾶσι τούτοις M, ἔτι Mv. — [23] διάνοιαν τὴν *om.* Mv. — [24] οὕτω Mv.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Λουκίας καὶ τοῦ ἁγίου Γεμινιανοῦ [1] τοῦ πνευματικοῦ υἱοῦ αὐτῆς. Αὕτη γέγονεν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων <ἐν [2]> Ῥώμῃ τῇ πόλει πλούτῳ καὶ γένει οὖσα περιφανής, τῇ χηρείᾳ δὲ δουλεύσασα ἔτη τριάκοντα καὶ ἓξ καὶ προβεβηκυῖα τὴν ἡλικίαν, ὡσεὶ χρόνων ἑβδομήκοντα πέντε. Γέγονε δὲ ὁ τρόπος τῆς μαρτυρίας

f. 29v. αὐτῆς οὕτως. Παρὰ τοῦ κατὰ φύσιν παι|δὸς αὐτῆς [3] ὀνόματι Εὐτροπίου, ἐπεὶ ἐνουθέτει αὐτὸν ἀπὸ τῆς τῶν εἰδώλων πίστεως μεταστῆναι, διεβλήθη πρὸς τὸν Διοκλητιανόν· καὶ συλληφθεῖσα πρὸς αὐτὸν ἤχθη καὶ παρρησιασαμένη καὶ ἱκανῶς τῆς ματαιότητος τῶν θεῶν αὐτοῦ καταγελάσασα, τότε μὲν καθείρχθη. Ἐν δὲ τῷ δεσμωτηρίῳ σημεῖα κατεργασαμένη, προστάξει τοῦ βασιλέως ἐνεβλήθη ἐν χαλκῷ λέβητι, πεπληρωμένῳ μολίβδου καὶ πίσσης, ἀναβρασθέντων ὑπὸ τοῦ πυρός. Ἐπεὶ δὲ αὐτῆς [4] βάσανος οὐ περιεγένετο, περιήγετο δὲ διὰ τῆς πόλεως αἰκιζομένη, ἔκ τινος θεοσημείας ὁ Γεμινιανὸς [5] πιστεύσας ἠκολούθει τῇ ἁγίᾳ καὶ μετὰ βραχὺ βαπτισθεὶς υἱοθετήθη αὐτῇ. Προσαχθεὶς δὲ ἅμα τῇ ἁγίᾳ κατὰ πρόσωπον τοῦ βασιλέως, ὑπὲρ τῆς εἰς Χριστὸν ἐπαρρησιάσατο [6] πίστεως· καὶ ἐν τῷ φυλάττεσθαι αὐτοὺς καθειρχθέντας ἐπεὶ ὁ βασιλεὺς ὑποβρύχιος κατά τινα χρείαν διαβαίνων τὸν Θύμβριν [7] ποταμὸν γέγονε καὶ ἐν αὐτῷ τὸν βίον κατέστρεψε, προΐστατο δὲ τῆς ἀσεβείας ἀνὴρ δυσσεβὴς ὀνόματι Πυρροπώγων [8], τρίτου παρελθόντος μηνός, προσήχθησαν αὐτῷ οἱ ἅγιοι καὶ τὴν δυσσέβειαν [9] αὐτοῦ ἐξελέγξαντες, μετέστησαν ὑπὸ θείων ἀγγέλων εἰς Σικελίαν εἰς τὸν τόπον τὸν καλούμενον Ταυρομένιον· καὶ ἐκεῖθεν διελθόντες ἔφθασαν εἰς Μενδίλας [10] καὶ μεστὸν ὄντα πνευμάτων ἀκαθάρτων τὸν τόπον καθάραντες, κατ' ἐπιφάνειαν θείαν ἐκεῖ κατῴκησαν· καὶ πολλοὺς πρὸς θεογνωσίαν ἐπιστρέψαντες [11], ἐπεὶ φθόνῳ τοῦ διαβόλου ἐκινήθη κατὰ τῶν ἐν τῷ τόπῳ πιστῶν διωγμός, ἀνῆλθον αὐτοὶ εἰς τὸ ὄρος, ἐν ᾧ καὶ τὸ μακάριον αὐτῆς πνεῦμα ἡ ἁγία παρέδωκε. Ὁ δὲ ἅγιος Γεμινιανὸς [12] ξίφει τὴν κεφαλὴν τμηθείς, πρὸς Κύριον ἀπὸ τῆς παρούσης ἀπανέστη ζωῆς.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀθλήσεως τῶν ἁγίων μαρτύρων Χαραλάμπους [1], Παντολέοντος καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ αὐτῶν μαρτυρείῳ [2], τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

5. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἡρακλείδου [1] καὶ Μύρωνος ἐπισκόπων Ταμάσου τῆς Κύπρου.

6. Καὶ τῶν ἁγίων γυναικῶν Σοφίας καὶ Εἰρήνης.

3. — [1] Γεμινιανοῦ Sa, Γεμιανοῦ S. — [2] ἐν *add.* Sa, *om.* S. — [3] αὐτῆς παιδὸς Sa. — [4] ἡ *add.* Sa. — [5] ἡ Γεμίνιος S, ὁ Γεμίνιος Sa. — [6] ἐπαρρησιάσετο S. — [7] Θύμαριν Sa. — [8] Πυρωπώγων S. — [9] ἀσέβειαν Sa. — [10] Μυνδίλας Sa. — [11] ἐπιστρέψαντες Sa, ἐπιτρέψαντες S. — [12] Γεμίνιος S.
4. — [1] Χαραλαμπίου Fa. — [2] αὐτῶν *add.* Sa.
5. — [1] Ἡρακλείδου Sa, Ἡρακλίδου S, Ἡρακλήδους Fa.

Sept. 17.

f. 30.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗʹ.

Sept. 18.

1. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν ἐπισκόπου Ἱεροσολύμων. Ὃς ἦν υἱὸς Κλωπᾶ, γνησίου ἀδελφοῦ Ἰωσὴφ τοῦ κατὰ σάρκα λεγομένου πατρὸς τοῦ Κυρίου, ἐξάδελφος δὲ κυρίως Ἰακώβου τοῦ ἀδελφοθέου, εἰ καὶ ἀλλαχοῦ ἀδελφὸς αὐτοῦ ὀνομάζεται, ἔστιν δ' ὅτε καὶ ἀνεψιός. Οὗτος [1] κατηγορηθεὶς ὑπὸ τῶν αἱρετικῶν καὶ τῷ ὑπάτῳ Ἀττικῷ παραστὰς καὶ πολλαῖς αἰκίαις καθυποβληθεὶς καὶ τελευταῖον [2] σταυρῷ προσπαγείς, τῷ Θεῷ τὴν ψυχὴν παρέθετο, ἐτῶν ὑπάρχων ἑκατὸν εἴκοσι.

2. Ἰστέον δὲ ὅτι [1] κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι τῶν πόλεων ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ βασιλέως Κωνσταντίνου τοῦ Πωγωνάτου, υἱοῦ Κωνσταντίνου [2] τοῦ δυσσεβοῦς, δισεκγόνου [3] Ἡρακλείου, πατρὸς δὲ Ἰουστινιανοῦ τοῦ μικροῦ τοῦ τὴν ῥῖνα τμηθέντος, Γεωργίου τότε τὴν Κωνσταντινουπόλεως ἐκκλησίαν ἰθύνοντος καὶ Ἀγάθωνος τῆς Ῥώμης. Ἥτις σύνοδος συνηθροίσθη ἐν τῷ τρούλλῳ [4] τοῦ παλατίου τῷ λεγομένῳ Ὠάτῳ, ἀναθεματίσασα καὶ ἀποβαλοῦσα [5] Σέργιον καὶ Πέτρον καὶ Πύρρον καὶ Παῦλον, ἐπισκόπους γενομένους Κωνσταντινουπόλεως, Μακάριόν τε τὸν Ἀντιοχείας καὶ Κῦρον τὸν Ἀλεξανδρείας καὶ Ὀνώριον τὸν [6] Ῥώμης, Στέφανόν τε καὶ τὸν Πολυχρόνιον καὶ τοὺς σὺν αὐτοῖς μίαν θέλησιν καὶ ἐνέργειαν τῶν δύο φύσεων τοῦ Χριστοῦ [7] φρονοῦντας καὶ λέγοντας [8]· ἥτις ἐπὶ μὲν Κωνσταντίνου συνηθροίσθη· ἡ δὲ τῶν κανόνων ἔκδοσις ἐπὶ Ἰουστινιανοῦ τοῦ υἱοῦ αὐτοῦ <γεγένηται [9]>.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐμενίου ἐπισκόπου Γορτύνης τοῦ θαυματουργοῦ. Οὗτος ἐκ νεότητος ἀσκήσει καὶ πολλαῖς σκληραγωγίαις ἑαυτὸν καθυποβαλών, τὴν ἄκραν ταπείνωσιν ἐκτήσατο, ἀεὶ περιφέρων δάκρυα ἐπὶ τοῦ προσώπου αὐτοῦ καὶ μηδέποτε κατακρίνας μήτε μὴν καταδεξάμενος ἀκοῦσαί τινος κατακρίνοντος· διὸ καὶ χωρητικὸν ὄργανον [1] τοῦ ἁγίου πνεύματος καταστάς, τοὺς οἴακας τῆς Γορτυνῶν ἐκκλησίας πιστεύεται· | πολλαῖς τε θαυμάτων (f. 30v.) πηγαῖς καὶ ἐνεργείαις θεόθεν καταπλουτισθείς, δεινότατον καὶ φοβερώτατον δράκοντα κατ' αὐτοῦ ὁρμήσαντα λαμπάσι κατέφλεξεν. Ἐκεῖθεν τὴν Ῥώμην καταλαβὼν οἷά τις πυρσὸς θείαις διδαχαῖς <τοὺς ἐν αὐτῇ [2]> κατεφώτισε, σημείοις καὶ τέρασι πολλοὺς καταπλήξας· κἀκεῖθεν τὴν Θηβαΐδα καταλαβών, παραυτίκα καὶ μὴ βουλόμενος τοῦ αὐχμοῦ τὴν κατήφειαν καταστέλλει· καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἐκεῖσε πρὸς τὸν Θεὸν ἐκδημεῖ. Οἱ δὲ παῖδες τῶν Θηβαΐων τῇ πατρίδι καὶ ποίμνῃ τὸ τούτου

1. — [1] μετὰ Ἰάκωβον δεύτερος ἐπίσκοπος Ἱεροσολύμων κατέστη *add.* Sa. — [2] τελευταίω S.
2. — [1] Ἰστέον ὅτι Sa, *ad diem Sept. 14.* — [2] *ita codd.* — [3] δισσεκγόνου S. — [4] τρούλω S. — [5] ἀποβαλλοῦσα S. — [6] τὸν Sa, τῆς S. — [7] τοῦ Χριστοῦ *om.* Sa. — [8] φρονοῦντας καὶ λέγοντας Sa, φρονούντων καὶ λεγόντων S. — [9] γεγένηται *add.* Sa, *om.* S.
3. — [1] δοχεῖον Sa. — [2] τοὺς ἐν αὐτῇ *add.* Sa, *om.* S.

Sept. 18.

SYNAXARIA SELECTA. **Sa** : 1. 3. 5. 4. — **H** : 5. 3. 4. 1 : Συμεών... Τούτου τελεῖται ἡ μνήμη ἡμέρᾳ τετάρτῃ, ὡς δὲ ἡ μεγάλη ἐκκλησία ἑορτάζει, τῇ κυριακῇ μετὰ τὴν ὕψωσιν. — **P** : 5. 3. 4. — **F** : 3. 1. 5. — **Fa** : 3. 1. 5. — **Fb** : 3. 1. 5. — **B** : 1 : Συμεὼν ἐπισκόπου Ἱεροσολύμων. Συμεὼν ὁ ἱερομάρτυς [1] ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Τραϊανοῦ δεύτερος ἐπίσκοπος Ἱεροσολύμων, μετὰ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου. Ἦν δὲ ἐξάδελφος αὐτοῦ τε τοῦ Κυρίου καὶ τοῦ Ἰακώβου, υἱὸς γεγονὼς τοῦ Κλεώπα [2]. Οὗτος γὰρ καὶ Ἰωσὴφ ὁ χρηματίσας κατὰ σάρκα πατὴρ τοῦ Κυρίου μᾶλλον δὲ ὁ νομισθείς [3], ἀδελφοὶ νόμιμοι ἦσαν. Οὗτος δὲ ὁ Συμεὼν κατηγορηθεὶς παρὰ [4] τῶν Ἰουδαίων ὡς κηρύττων τὸν Χριστὸν καὶ κρατηθεὶς ὑπὸ τῶν ἀρχόντων τῶν ἑλλήνων, ἐτύφθη σφοδρῶς. Καὶ πολλαῖς βασάνοις ἐξετασθείς, ἀπεκλείσθη εἰς φυλακήν, λιμῷ καὶ κακουχίᾳ δαπανώμενος. Εἶτα τῆς φυλακῆς ἐκβληθεὶς καὶ πάλιν ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθεὶς σταυρῷ προσηλωθεὶς τὸν βίον ἀπέλιπεν, ὑπάρχων ἐτῶν ἑκατὸν εἴκοσι. Καὶ τὸ μὲν ἱερὸν σῶμα αὐτοῦ παρὰ τῶν συγγενῶν αὐτοῦ παρεδόθη τῇ γῇ· ἡ δὲ μακαρία αὐτοῦ ψυχὴ ἀνελθοῦσα εἰς οὐρανούς, μετὰ τῶν ἁγίων εὐφραίνεται αἰωνίως ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. — 3 : Εὐμενίου, ἐπισκόπου Γορτύνης, τοῦ θαυματουργοῦ. Εὐμένιος ὁ θαυματουργὸς ὑπῆρχεν ἀπὸ νέας ἡλικίας χριστιανὸς εὐλαβὴς καὶ τὸν Θεὸν φοβούμενος. Πλούσιος δὲ ὤν, διεσκόρπιζεν εἰς τοὺς πτωχοὺς πάντα τὰ ὑπάρχοντα αὐτῷ. Αὐτὸς δὲ ἦν νηστεύων καὶ προσευχόμενος πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἐκπληρῶν καὶ τὴν τοῦ μεγάλου ἀποστόλου Παύλου παραίνεσιν. Καὶ γὰρ ἔχαιρε μετὰ χαιρόντων καὶ ἔκλαιε μετὰ κλαιόντων. Ἀεὶ δὲ περιέφερεν ἐπὶ τοῦ προσώπου τὸ δάκρυον. Εἶχε δὲ καὶ τοῦτο ἔργον, τὸ μηδέποτε παραδέξασθαι διαβολὴν κατά τινος ἢ κατακρῖναι ἄνθρωπον. Ἀλλ' εἴποτε καὶ ἤκουσε κατὰ ἀνθρώπου τι πταῖσμα, ἐνόμιζεν, ὅτι αὐτὸς τοῦτο ἐποίησε. Διὰ οὖν τὰ τοιαῦτα αὐτοῦ κατορθώματα ἐκλεγεὶς παρὰ τοῦ κλήρου καὶ τοῦ λαοῦ, προεχειρίσθη ἐπίσκοπος Γορτύνης τῆς Κρητῶν νήσου. Καὶ ζήσας ἐν τῇ ἀρχιερωσύνῃ χρόνους πολλοὺς καὶ πολὺν λαὸν διδάξας τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ θαυμάτων πολλῶν χάριν λαβών, ἐκοιμήθη, θαυματουργῶν καὶ μετὰ θάνατον ἕως τοῦ νῦν. — 5 : Ἀριάδνης. Ἡ μάρτυς Ἀριάδνη ὑπῆρχεν ἐπὶ Ἀδριανοῦ καὶ Ἀντωνίνου τῶν βασιλέων· χριστιανὴ μέν, δούλη δὲ πλουσίου τινὸς πρώτου τῆς χώρας [5] Φρυγίας. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν, γενεθλίων γενομένων [6] τοῦ υἱοῦ κυρίου αὐτῆς, ἠναγκάσθη ἐν τῷ ναῷ τῶν εἰδώλων

[1] (Συμεὼν ὁ ἱερομάρτυς) οὗτος Ba. — [2] Κλοπᾶ Ba. — [3] ὁ νομισθεὶς Ba, ὀνομασθεὶς B. — [4] παρὰ B, ὑπὸ Ba. — [5] πόλεως Ba. — [6] τελουμένων Ba.

σκῆνος παραπέμπουσι (Ῥάξος [3] ὄνομα τῷ τόπῳ), ἥτις καὶ Κυρίλλου τὸ σεπτὸν κατέχει σῶμα.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Κάστορος καὶ τῆς ἁγίας Θεοδώρας. Τελεῖται δὲ ἡ αὐτῆς [1] σύναξις πλησίον τῆς Ἰουστινιανοῦ γεφύρας.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας [1] Ἀριάδνης, ἥτις ἀλλαχοῦ καὶ Μαρία λέγεται. Αὕτη ἐπὶ Ἀδριανοῦ καὶ Ἀντωνίνου τῶν βασιλέων ἤθλησεν, δούλη τινὸς χρηματίσασα Τερτύλου ὀνομαζομένου, πρώτου ὄντος τῆς Πρυμισέων πόλεως Φρυγίας Σαλουταρίας. Κατέστη δὲ ὑπὸ τοῦ κυρίου αὐτῆς εἰς μαρτύριον διὰ τὸ [2] τὸν Χριστὸν σέβεσθαι [3] καὶ μὴ θελῆσαι ἐπὶ τοῖς γενεθλίοις τοῦ παιδὸς τοῦ κυρίου αὐτῆς συνεορτάσαι ἐν τῷ ναῷ τῶν εἰδώλων καὶ συνευωχηθῆναι. Διὸ καὶ ξεσθεῖσα σφοδρῶς τότε μὲν ἀφείθη· ἐπειδὴ δὲ πάλιν ἐδιώκετο ὑπὸ τοῦ ἡγεμόνος, πέτρᾳ τινὶ πλησιάσασα ηὔξατο ῥυσθῆναι καὶ θείᾳ νεύσει ῥαγείσης τῆς πέτρας, μέσον αὐτῆς εἰσεδέχθη [4], τῶν διαρρηγμάτων αὖθις εἰς ἓν συνελθόντων. Λέγεται δὲ τοὺς ἀνελθόντας προστάξει τοῦ ἡγεμόνος τὴν πέτραν τεμεῖν [5] καὶ τὴν ἁγίαν ἐξάξαι ἐξ ἐπιφανείας ἀγγέλων ἐφίππων δόρατα κατεχόντων διαφθαρῆναι καὶ ἀπολέσθαι. (Sept. 18.)

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘʹ.

Sept. 19.

1. Μνήμη [1] τῶν ἁγίων μαρτύρων Τροφίμου, Σαββατίου καὶ Δορυμέδοντος [2]. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Πρόβου· καὶ ὁ μὲν Σαββάτιος ἐπὶ τῆς πόλεως Ἀντιοχείας τῆς Πισιδίας [3] ἠγωνίσατο, παραστὰς τῷ Βικαρίῳ· καὶ τυφθεὶς καὶ ξεσθεὶς καὶ ἐν φυλακῇ εἱρχθείς, ἐν αὐταῖς ταῖς βασάνοις παρέδωκε | (f. 31.) τὸ πνεῦμα. Ὁ δὲ Τρόφιμος κρηπῖσι σιδηραῖς ὑποδεθεὶς καὶ τοῖς ἐν αὐταῖς ἥλοις ἐμπαρείς, ἀπεστάλη Περινίῳ Διονυσίῳ ἡγεμόνι Φρυγίας Σαλουταρίας ἐν τῇ νῦν τῶν Συνάδων [4] μητροπόλει· καὶ ἐν αὐτῇ τὰς πολλὰς ἐπινοίας τοῦ τυράννου, ἃς ἐπήγαγε [5], τῇ στερρότητι κενὰς ἔδειξε· καὶ τὸν Δορυμέδοντα κοινωνὸν τῆς ἀθλήσεως προσλαβὼν καὶ μετ' αὐτοῦ αὖθις ἱκανῶς ἐναθλήσας, ἀπετμήθη τὴν κεφαλήν, τὸ αὐτὸ τέλος καὶ τοῦ ἁγίου Δορυμέδοντος λαβόντος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου Παύλου ἐν τῷ ὀρφανοτροφείῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας ὁσιομάρτυρος Σωσάννης. Αὕτη ὑπῆρχεν ἐκ Παλαιστίνης, θυγάτηρ τυγχάνουσα Ἀρτεμίου τοῦ ἱερέως τῶν εἰδώλων καὶ Μάρθας ἐκ τῶν [1] Ἰουδαίων καταγομένης. Ἥτις μετὰ τελευτὴν τῶν γονέων [2] ἐβαπτίσθη ὑπὸ Σιλβανοῦ τοῦ πρεσβυτέρου καὶ ἐδιδάχθη παρ' αὐτοῦ τὸν λόγον τοῦ Θεοῦ. Εἶτα τὸν πλοῦτον αὐτῆς δοῦσα τοῖς πτωχοῖς καὶ τὸν κόσμον καταλιποῦσα, ἀπῆλθεν ἐν μοναστηρίῳ· καὶ γέγονε μονάζουσα μετασχηματισθεῖσα ἐν ἀνδρείῳ [3] σχήματι καὶ μετακληθεῖσα Ἰωάννης· καί ποτε κατηγο-

— [3] Ῥάξος S, Ῥαξὸς Sa, Ράξας Fa.
4. — [1] ἡ αὐτῶν Sa.
5. — [1] μάρτυρος *add.* Sa. — [2] τὸ *supra lin. corr.* Sa. — [3] σεύ:σθαι S. — [4] εἰσήχθη Sa. — [5] τοῦ τεμεῖν τὴν πέτραν Sa.
1. — [1] ἄθλησις Sa. — [2] Δοριμέδοντος καὶ Σαββατίου Sa, *scribendum cum* S Δορυμέδοντος *patet ex Passionibus horum sanctorum.* — [3] Πισσιδίας S. Sa. — [4] Συνάδων S, Sa, *ita quoque Passio in* Act. SS. *Sept. VI, p. 12 sqq. Cf.* Pape-Benseler, *s. v.* Σύνναδα. — [5] ἐπήγαγεν αὐτῷ Sa.
2. — [1] τῶν Sa, τοῦ S. — [2] αὐτῆς *add.* Sa. — [3] ἀνδρώω Sa.

Sept. 18.

ἀπελθεῖν [7] μετ' αὐτῶν [8] καὶ συνεορτάσαι αὐτοῖς. Μὴ πεισθεῖσα δέ, ἐτύφθη ἀνηλεῶς καὶ ἐνεβλήθη [9] εἰς φυλακὴν καὶ ἐλιμοκτονήθη ἰσχυρῶς. Εἶτα τῆς φυλακῆς ἐκβληθεῖσα, παρεδόθη τῷ τῆς χώρας ἄρχοντι, ἐπὶ τῷ τιμωρηθῆναι. Καὶ ὑπ' ἐκείνου πάλιν ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεῖσα, ἐκρεμάσθη καὶ τὰς πλευρὰς ἐξέσθη. Ἀπολυθεῖσα δὲ τῆς φυλακῆς [10] καὶ εὑροῦσα διωρίαν, πρὸς τὸ ὄρος ἐξέδραμε φεύγουσα. Γνόντες δὲ τοῦτο οἱ στρατιῶται, κατεδίωκον αὐτὴν μετὰ ξιφῶν. Καὶ ἰδοῦσα, ὅτι καταφθάζεται [11], ηὔξατο πρὸς τὸν Θεὸν λυτρωθῆναι ἀπ' αὐτῶν. Καὶ σχισθείσης πέτρας προστάγματι Θεοῦ, εἰσῆλθεν ἐν αὐτῇ, τῆς πέτρας πάλιν ἀσφαλισθείσης καὶ κρυψάσης αὐτὴν ἔσωθεν· καὶ [12] οὕτως εὐχαριστοῦσα ἐτελειώθη. — **Ba** : 3. 1. 5. — **Bb** : 1. 3. 5. — **T** : 3. — **L** : 3. 4. 1. 5. — **O** : 3. 5. — **G** : 3. 1. — **C** : 1. 3. 5. 4. — **Cb** : 1. 3. 5. 4. — **M** : 3. — Σοφίας καὶ Εἰρήνης (Sept. 17[6]). — 5 (Ἀριάνης). — 1. 4 (Κάστορος tantum). — **Mv** : 3. — Σοφίας καὶ Εἰρήνης (Sept. 17[6]). — 5. 1. 4 (Κάστορος). — **Mr** : 2.

Sept. 19.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτῆς μνήμη ἐν τῇ γυναικείᾳ μονῇ αὐτῆς τῇ οὔσῃ πλησίον τοῦ πατρικίου Θεοδοσίου. — 3. 4. 5. 6. 7. — **H** : 1. 3. 4 (Ἀπηλέως, Νείλου κτλ.). — 7. 8. — **P** : 3 : τοῦ ἁγίου ἱερομάρτυρος Ἰανουαρίου, Βενεβέντου καὶ τῆς συνοδίας αὐτῶν, Ὄσσου διακόνου πόλεως Μεσσήνης, Πρόκλου διακόνου πόλεως Ποτέλης, Εὐτυχίου τε καὶ Ἀκουστίου διακόνου καὶ τῶν κληρικῶν αὐτοῦ Φαΐστου καὶ Δισιδερίου ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Τιμοθέου Ἀρχικαμπάνων χώρας [1]. — 1. 4 (Ἀπήλεως, Νείλου ... ἐν Καισαρείᾳ). — **F** : 1. 3. 4. — **Fa** : 1. 3. 4. — **Fb** : 1. 3. 4. — **B** : 1. 3. 4. — **Ba** : 1. 3. 4. — **Bb** : 1. 3. 4. — **T** : 1. — **L** : 1. 3. 4. 7. 8. — **O** : 1. — **G** : 1. — **C** : 1 : Τροφίμου, Δορυμέδοντος καὶ Σαββατίου. Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον ἐπὶ τῆς βασιλείας Πρόβου. Καὶ ὁ μὲν Τρόφιμος καὶ Σαββάτιος εἰσελθόντες εἰς τὸ στάδιον τοῦ θεάτρου τῆς πόλεως Ἀντιοχείας τῆς Πισιδίας καὶ ἰδόντες τοὺς ἕλληνας θύοντας τοῖς εἰδώλοις, προσηύξαντο πρὸς τὸν Θεὸν λυτρωθῆναι αὐτοὺς ἐκ τῆς πλάνης. Κρατηθεὶς δὲ ὁ Τρόφιμος παρὰ Βικαρίου τοῦ τῆς πόλεως ἄρχοντος, τύπτεται, εἶτα ξέεται καὶ ἐμβάλλεται εἰς φυλακήν. Μετὰ δὲ τὸν Τρόφιμον ἄγεται Σαββάτιος. Καὶ ὁμολογήσας τὸν Χριστὸν καὶ αὐτὸς βασανιζόμενος καὶ ξεόμενος παρέδωκε τὸ πνεῦμα. Τρόφιμος

— [7] εἰσελθεῖν Ba. — [8] μετ' αὐτῶν *om.* Ba. — [9] ἐβλήθη Ba. — [10] βασάνου Ba. — [11] Ba, κατασφάζεται B. — [12] καὶ Ba, ἕως B.
[1] *Singula paene nomina a scriptore corrupta, aliis collatis codd. lector facile corriget.*

Sept. 19. ρηθεῖσα παρὰ γυναικός τινος, ὅτι τὰ ἀνδρὸς εἰς αὐτὴν διεπράξατο, καὶ ἀνερευνηθεῖσα παρὰ παρθένων καὶ εὑρεθεῖσα φύσει γυνὴ καὶ ἐλέγξασα τὴν κατήγορον, εἶτα ἀπελθοῦσα εἰς Ἐλευθερόπολιν καὶ καταστᾶσα διακόνισσα παρὰ τοῦ ἐκεῖ[4] ἐπισκόπου, ἐκρατήθη παρὰ Ἀλεξάνδρου ἡγεμόνος· καὶ πολλὰ τιμωρηθεῖσα, εἶτα εἰς φυλακὴν ἐμβληθεῖσα, ἐτελειώθη[5].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰαννουαρίου ἐπισκόπου Βενεβενδοῦ, καὶ Σόσσου[1] καὶ Πρόκλου[2] διακόνων πόλεως Ποτιόλων, Εὐτυχίου[3] καὶ Ἀκουστίου[4] καὶ αὐτῶν διακόνων, καὶ κληρικῶν Φαύστου καὶ Δησιδερίου[5]. Οὗτος ὁ ἅγιος Ἰαννουάριος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐπίσκοπος Βενεβενδοῦ[6]· ἤχθη δὲ εἰς μαρτυρίαν Τιμοθέῳ ἄρχοντι τῆς
f. 31v. Καμπανῶν χώρας, καταλαβόντι τὴν πόλιν Ποτι|όλων καὶ εὑρόντι τὸν ἅγιον ἐν φυλακῇ προδεδεσμημένον παρ' ἑτέρου ἄρχοντος μετὰ Σόσσου, Πρόκλου[7], Εὐτυχίου καὶ Ἀκουστίου[8] τῶν διακόνων· ὑφ' οὗ καὶ εἰς κάμινον πυρὸς ἐμβληθεὶς καὶ ἐξελθὼν ἀβλαβής, εἶτα νευροκοπηθεὶς καὶ εἰς φυλακὴν αὖθις ῥιφεὶς καὶ προαχθεὶς καὶ θηρίοις ἐπιδοθεὶς μετά τε τῶν προρρηθέντων διακόνων καὶ τῶν δύο κληρικῶν, τῶν εἰς ἐπίσκεψιν αὐτοῦ ἐλθόντων, ὕστερον τὴν κεφαλὴν ἀποτέμνεται μετὰ τῆς συνοδίας αὐτοῦ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Πηλέως[1], Νείλου, Παθερμουθίου, Ἠλία καὶ τῶν σὺν αὐτοῖς ἑκατὸν πεντήκοντα. Τούτων οἱ μὲν ἑκατὸν ἀπ' Αἰγύπτου ὁρμώμενοι, διὰ τὴν εἰς Χριστὸν ἀγάπην τοὺς δεξιοὺς ἐξορυχθέντες ὀφθαλμοὺς καὶ τὰς τῶν ἀριστερῶν ποδῶν ἀγκύλας[2] ξίφει διατμηθέντες καὶ πυρὶ καταφλεγέντες, τῇ τῶν μετάλλων κακοπαθείᾳ παρεδόθησαν. Οἱ δὲ πεντήκοντα ἐκ Παλαιστίνης· οἱ[3] τὰ ὅμοια παθόντες ἐπὶ τῆς χώρας Ζωώρας, ἐν ταῖς ἐργασίαις τῶν μετάλλων[4] βληθέντες καὶ[5] ὕστερον προσαχθέντες τῷ δουκὶ καὶ μὴ πεισθέντες, τῷ πυρὶ παραδοθέντες ἐτελειώθησαν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Τιμοθέου τοῦ ἐν Γάζῃ. Ὃς ὑπῆρχεν ἐκ Παλαιστίνης.

6. Καὶ τῶν ἁγίων μαρτύρων Ἀγαπίου καὶ Θέκλας.

7. Καὶ μνήμη Ἰησοῦ τοῦ Ναυῆ, περὶ οὗ προεγράφη ἐν τῇ πρώτῃ τοῦ παρόντος μηνός.

8. Καὶ τὰ ἐγκαίνια τῆς ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Ἀμαντίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Sept. 20. **1.** Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος[1] Εὐσταθίου καὶ[2] Θεοπίστης καὶ τῶν τέκνων αὐτῶν Θεοπίστου καὶ Ἀγαπίου. Οὗτοι ἐπὶ τῆς βασιλείας Τραϊανοῦ ὑπῆρχον, Ῥωμαῖοι τῷ γένει,

— [4] ἐκεῖσε Sa. — [5] τελεῖται κτλ. *add.* Sa, *inter* Synaxaria selecta.

3. — [1] Σώσου Fa, Sossius *seu* Sosius *in Actis latinis. Cf.* G. Scherillo, Esame di un codice greco pubblicato nel tomo secondo della Bibliotheca Casinensis, *Napoli, 1876, p. 143 et passim.* — [2] Προκούλου Sa, *latine* Proculus. — [3] Eutices *latine.* — [4] Διακουτίου Sa, *latine* Acutius. — [5] Δισιδηρίου S. Sa, Δεισιδερίου C. — [6] Βενεβενδῶν Sa. — [7] Προκούλου Sa. — [8] Ἀκουτου Sa.

4. — [1] Πηλέως Sa, Πιλέως S. — [2] ἀγκύλας Sa, ἀγγύλας S. — [3] ἐκ Παλαιστίνης ὄντες Sa. — [4] μετάλων S. — [5] καὶ *om.* Sa.

1. — [1] μάρτυρος Sa. — [2] τῆς αὐτοῦ γυναικὸς *add.* Sa.

Sept. 19. δὲ ὑποδεθεὶς ὑποδήματα σιδηρᾶ, ἀπεστάλη Διονυσίῳ ἄρχοντι τῆς τῶν Συνάδων πόλεως. Ὅστις καὶ τιμωρησάμενος αὐτόν, ἔβαλεν εἰς φυλακήν. Ὁ δὲ ἅγιος Δορυμέδων ὑπῆρχε πρῶτος τῆς πόλεως. Καὶ ἰδὼν τὸν ἅγιον Τρόφιμον καὶ ἀπελθὼν πρὸς αὐτὸν ἐν τῇ φυλακῇ, ἐδιδάχθη παρ' αὐτοῦ τὸν λόγον τῆς ἀληθείας. Μαθὼν δὲ ταῦτα ὁ ἄρχων καὶ ἀμφοτέρους ἐξαγαγὼν καὶ πολλὰ κολάσας ἀπεκεφάλισεν αὐτούς. — 3 : Ἰαννουαρίου ἐπισκόπου Βενεβενδῶν καὶ τῆς συνοδίας αὐτοῦ Σώσσου καὶ Πρόκλου τῶν διακόνων πόλεως Ποτιόλων καὶ Εὐτυχίου καὶ Ἀκουστίου τῶν διακόνων καὶ τῶν κληρικῶν αὐτοῦ Φαύστου καὶ Δεισιδερίου[2]. Οὗτος ὁ ἅγιος μάρτυς Ἰαννουάριος ὑπῆρχε μετὰ τῆς συνοδίας αὐτοῦ ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Τιμοθέου ἄρχοντος τῆς Καμπανῶν χώρας, ἐπίσκοπος Βενεβενδῶν. Ὅστις ἄρχων καταλαβὼν τὴν πόλιν Ποτιόλων, εὗρεν ἐν δεσμοῖς κατεχόμενον τὸν ἅγιον Ἰαννουάριον ἐν τῇ φυλακῇ μετὰ Σώσσου καὶ Πρόκλου[3], Εὐτυχίου καὶ Ἀκουστίου τῶν διακόνων, ἤδη ἐγκλεισθεισθέντα[4] παρ' ἑτέρου τυράννου, ὅντινα ἐξαγαγὼν τῆς φυλακῆς ὁ Τιμόθεος, ἐνέβαλεν εἰς κάμινον πυρός· καὶ ἐξῆλθεν ἀβλαβής. Εἶτα νευροκοπεῖται καὶ πάλιν ἐμβάλλεται εἰς φυλακήν. Ἐλθόντες δὲ εἰς ἐπίσκεψιν αὐτοῦ ἐκ Βενεβενδῶν[5] δύο κληρικοὶ αὐτοῦ, ἐκρατήθησαν καὶ αὐτοὶ καὶ συνεδέθησαν τῷ ἁγίῳ. Εἶτα ἐκβληθέντες καὶ θηριομαχήσαντες καὶ μηδὲν ἀδικηθέντες, ἔλαβον τὴν διὰ ξίφους ἀπόφασιν. Καὶ οὕτως ἀπεκεφαλίσθησαν καὶ παρέδωκαν τῷ Κυρίῳ, ὑπὲρ οὗ καὶ ἀπέθανον, τὰς ἁγίας αὐτῶν καὶ μακαρίας ψυχάς. — 4 : Ἀπηλαίου, Νείλου, Πατερμουθίου[6], Ἠλία καὶ τῆς συνοδίας αὐτῶν. Τούτων τῶν ἁγίων μαρτύρων οἱ μὲν ἑκατὸν ὑπῆρχον ἐκ τῆς Αἰγύπτου. Οἵτινες πιστεύσαντες καὶ τὸν Χριστὸν ὁμολογοῦντες τοὺς δεξιοὺς ἐξωρύχθησαν ὀφθαλμοὺς καὶ τῶν ἀριστερῶν ποδῶν τὰς ἀγκύλας σὺν τοῖς νεύροις ξίφει διεκόπησαν. Εἶτα ἐμβληθέντες εἰς κάμινον πυρός, κατεκάησαν. Οἱ δὲ πεντήκοντα ἐγένοντο ἐκ τῆς Παλαιστίνης· οἵτινες τὰ ὅμοια παθόντες ἐπὶ τῆς χώρας τῆς λεγομένης Ζωώρας καὶ ἐν ταῖς ἐργασίαις τῶν μετάλλων βληθέντες, ὕστερον καὶ αὐτοὶ προσαχθέντες τῷ δουκὶ καὶ τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν μετὰ παρρησίας τρανῶς ἀνακηρύξαντες καὶ ὁμολογήσαντες Θεὸν ὄντα καὶ κύριον τῶν ὅλων, πυρὶ παρεδόθησαν καὶ οὕτως ἐτελειώθησαν. — **Cb** : 1. 3. 4. — **M** : 1. 2. — **Mv** : 1. 2. — **Mr** : 1.

Sept. 20. SYNAXARIA SELECTA. **Sa** : 1. 2 (in margine adscript.). 3. 4. — **H** : 1. 2. — **P** : 1 : Εὐσταθίου τοῦ στρατηλάτου καὶ τῶν υἱῶν αὐτοῦ Ἀγαπίου καὶ Θεοπίστης τῆς τούτων μητρὸς καὶ γυναικὸς αὐτοῦ

— [2] *Cf. supra apparatum ad* S. — [3] Πρώκλου C. — [4] ἤδει ἐγκλεισθεὶς C. — [5] Βενεβένδων C. — [6] Πατερμουθείου C.

ἕλληνες τῇ θρησκείᾳ. Ἐκαλεῖτο δὲ ὁ μὲν Εὐστάθιος Πλακίδας πρὸ τοῦ πιστεῦσαι, τῇ τοῦ στρατιώτου[3] ἀξίᾳ τετιμημένος, ἡ δὲ γυνὴ αὐτοῦ Τατιανή. Ἐπεὶ δὲ ἐξ ἐπιφανείας τοῦ Χριστοῦ τῇ τῶν χριστιανῶν πίστει προσῆλθον (ὡς γὰρ ὁ Παῦλος, οὕτω καὶ ὁ Εὐστάθιος οὐρανόθεν τὴν κλῆσιν ἐδέξατο, ἀγαθὸς ὢν τοῖς τρόποις καὶ τοῖς
f. 32. ἐνδεέσι τὰ πρὸς χρείαν ἐ|παρκῶν), ἐξ ἐπιβουλῆς τοῦ πονηροῦ δαίμονος παραχωρήσει Θεοῦ καὶ δοκιμῇ μυρίαι διαδέχονται τούτους συμφοραί, στέρησις τῶν ὄντων, διάζευξις ἀπ' ἀλλήλων, τῆς[4] μὲν κατὰ τὸν ἀπόπλουν τῶν νηπίων δὲ κατὰ τὸν ποταμόν, ἐν τῷ διαπερᾶν θηρίων μερισαμένων αὐτά[5]. Εὐστάθιος δὲ ἐπὶ τῆς ἀλλοτρίας τῶν φιλτάτων[6] ἔρημος προσαίτης γίνεται πεντεκαίδεκα χρόνους. Ἐπεὶ δὲ Θεοῦ προνοίᾳ παρὰ βασιλέως ζητηθεὶς καὶ εὑρεθεὶς εἰς τὴν ἀρχαίαν ἐπανῆλθεν εὐδαιμονίαν, γυναικί τε καὶ τέκνοις ἀναγνωρισθεὶς[7] καὶ τρόπαια στησάμενος μέγιστα κατὰ πολεμίων, εἰς Ῥώμην αὖθις ἀνθυποστρέφει· καὶ θυσίαν τοῖς εἰδώλοις διὰ ταῦτα προσενεγκεῖν ἀναγκασθεὶς[8] παρὰ Ἀδριανοῦ[9] καὶ μὴ πεισθείς, ταύρῳ χαλκῷ πυρωθέντι βάλλεται συνάμα γυναικὶ καὶ τοῖς τέκνοις· καὶ οὕτως ἐτελειώθη αὐτῶν ἡ μαρτυρία. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

Sept. 20. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Θαλελαίου[1] καὶ Ἀρτεμιδώρου[2]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι ἔνδον τοῦ ἁγίου Θεοδώρου ἐν τῷ Κοσμιδίῳ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις[1] τοῦ μεγίστου ἐν ὁμολογηταῖς Ἰωάννου τοῦ Αἰγυπτίου, οὗτινος τὴν παρρησίαν μὴ ἐνεγκὼν ὁ παράνομος Μαξιμιανὸς ἐκέλευσεν ἀναιρεθῆναι[2] μετὰ[3] ἑτέρων τεσσαράκοντα.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν[1] καὶ ὁμολογητῶν Ὑπατίου καὶ Ἀνδρέου. Οὗτοι χώρας μὲν ἐτύγχανον τῶν Θρᾳκησίων, ὥρμηντο δὲ τῆς ἐπαρχίας Λυδῶν[2] καὶ ἔν τινι φροντιστηρίῳ παῖδες ὄντες φοιτήσαντες, τὸν μονήρη βίον ἠσπάσαντο· καὶ Ὑπάτιος μὲν τὸ τῶν μοναχῶν σχῆμα ὑπῆλθεν, Ἀνδρέας δὲ τὸν ἀποστολικὸν κλῆρον ποθήσας ἱεροκήρυξ τῆς ἐκκλησίας κατέστη· οὐ νηστείαις δὲ μόνον καὶ ἀγρυπνίαις καὶ προσευχαῖς τῶν ἄλλων ἀδελφῶν ἐκράτουν, ἀλλὰ καὶ πάσης ταπεινοφροσύνης καὶ ἀγάπης ὑπῆρχον ἀνάπλεω[3]. Μαθὼν δὲ τὰ περὶ αὐτῶν ὁ πρόεδρος Ἐφέσου καὶ πρὸς ἑαυτὸν ἀγαγών, Ὑπάτιον μὲν ἐπίσκοπον χειροτονεῖ, Ἀνδρέαν δὲ πρεσβύτερον. Ἐπεὶ δὲ ὁ τῆς ἀσεβείας ἀρχηγὸς καὶ μισάγιος βασιλεὺς Λέων ὁ Ἴσαυρος ἀνέμαθε τὰ περὶ αὐτῶν, αὐτίκα ἐκ τῆς Λυδίας | πρὸς τὴν βασιλεύουσαν f. 32v.

— [3] στρατηλάτου Sa. — [4] τῆς Sa, ταῖς S. — [5] αὐτὰ Sa, αὐτῶν S. — [6] γενόμενος *add.* Sa. — [7] ἀναγνωρισθεὶς Sa, ἀγνωρισθεὶς S. — [8] καταναγκασθεὶς Sa. — [9] τοῦ βασιλέως Ἀδριανοῦ Sa.

2. — [1] Θαλαλαίου Sa. — [2] Ἀρτεμιδόρου S, Ἀρταιμιδώρου Sa.

3. — [1] τοῦ ἁγίου καὶ *add.* Sa. — [2] *corr.* S, *prius* ἀφαιρεθῆναι. — [3] καὶ *add.* Sa.

4. — [1] ἡμῶν *om.* Sa. — [2] Λυδῶν Sa, Λίδων S. — [3] ἀνάπλεοι Sa.

ἐπὶ Τραϊανοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει. — Τῆς ἁγίας Θεοτόκου. — 2. — **F** : 1. 4. — **Fa** : 1. 4. — Sept. 20. **Fb** : 1. 4. — **T** : 1. — **B** : Σωσάννης (Sept. 19[2]). — 1. — **Ba** : Σωσάννης. — 1 (contuli cum C). — Ἰσαακίου καὶ Μελετίου (cf. Sept. 21[5], hic vero dies mensis supra rasuram scriptus). — 4. 3 : τοῦ ἁγίου Ἰωάννου καὶ ὁμολογητοῦ τοῦ Αἰγυπτίου. Οὗτος σὺν τῷ μακαρίῳ Σιλβανῷ τῷ ἐπισκόπῳ καὶ τοῖς σὺν αὐτῷ τελειωθεὶς ἐννέα μάρτυσι, τῇ ἀρετῇ καὶ πρὸς Θεὸν ζήλῳ ὑπερέχων καὶ ἤθους καὶ βίου φιλοσόφου τυγχάνων καὶ πᾶσαν γραφὴν ἐπὶ στόματος ἔχων, τῷ Μαξιμιανῷ παραστὰς τῶν ὄψεων πρῶτον ἐστέρηται καὶ τὰς ὁράσεις ἐκκέκαυται. Καὶ πλείονι παρρησίᾳ χρώμενος ὁμολογῶν τὸν Χριστόν, καυτῆρσι τὸν πόδα ἀφανισθεὶς καὶ ἐμμένων[1] τῇ ὁμολογίᾳ Χριστοῦ ἀκλινής, κελεύσει τοῦ Μαξιμιανοῦ τὴν κάραν ἀποτέμνεται μεθ' ἑτέρων ἁγίων τὸν ἀριθμὸν τεσσαράκοντα. — Εὐσεβίου, Νεστάβου κτλ. (= S, Sept. 21[4]). — Θεοδώρου τοῦ ἐν Πέργῃ (Sept. 21[3]). — **Bb** : Σωσάννης. — 1. — **L** : 1. 2. — **O** : 1. — **G** : 1. 4. — **C** : 1 : Εὐσταθίου τοῦ στρατηλάτου καὶ Θεοπίστης τῆς αὐτοῦ γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ Ἀγαπίου καὶ Θεοπίστου. Οὗτος ὁ ἅγιος Εὐστάθιος[2] ὑπῆρχε στρατηλάτης ἐν τῇ Ῥωμαίων πόλει[3] ἐπὶ τῆς βασιλείας Τραϊανοῦ[4] καὶ ἐκαλεῖτο πρότερον μὲν αὐτὸς[5] Πλακίδας, ἡ δὲ γυνὴ αὐτοῦ Θεοπίστη[6], Τατιανή· πλούσιος ὑπάρχων σφόδρα καὶ ποιῶν ἐλεημοσύνας εἰς τοὺς πτωχοὺς ἔτι ἕλλην ὤν[7]. Κυνηγοῦντι δὲ[8] αὐτῷ μετὰ καὶ ἑτέρων στρατιωτῶν[9], ἐφάνη αὐτῷ ἔλαφος μεγάλη καὶ κατεδίωκεν αὐτήν[10]. Ἤδη δὲ μέλλων καταφθάσαι αὐτήν, βλέπει ἐπὶ τῶν κεράτων αὐτῆς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν λάμποντα ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου[11] καὶ μέσον τῶν κεράτων[12] τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ[13] Χριστοῦ. Καὶ φωνήσας ἀνθρωπίνῃ φωνῇ ὁ ἔλαφος εἶπεν[14]· «Ὦ Πλακίδα, τί με διώκεις; » ἐγώ εἰμι Ἰησοῦς[15] Χριστός. » Εἶτα[16] βαπτισθείς[17], τοσοῦτον ἐπολεμήθη παρὰ[18] τοῦ διαβόλου, ὥστε[19] πάντα[20] τὸν πλοῦτον αὐτοῦ[21] ἀπολέσαι[22] καὶ τὴν γυναῖκα αὐτοῦ αἰχμάλωτον ἰδεῖν καὶ τὰ παιδία αὐτοῦ ὑπὸ θηρίων ἁρπασθέντα[23] καὶ ἑαυτὸν[24] ἐπὶ ξένης πτωχόν· ζητηθῆναι δὲ[25] παρὰ τοῦ βασιλέως καὶ ἀπολαβεῖν[26] τὴν προτέραν ἀξίαν[27] καὶ πάλιν εὑρεῖν τὴν γυναῖκα καὶ τὰ παιδία. Μεθ' ὧν ἀναγκα-

[1] ἐν μένων Ba. — [2] ὁ ἅγιος Ε. *om.* Ba. — [3] ἐν τῇ Ῥώμῃ στρατηλάτης Ba. — [4] ἐπὶ Τραιανοῦ τοῦ βασιλέως Ba. — [5] λεγόμενος αὐτὸς μὲν Ba. — [6] Θεοπίστη *om.* Ba. — [7] (πλούσιος - ὤν) διὰ δὲ τὴν ἐλεημοσύνην αὐτοῦ ἠθέλεσεν ὁ Θεὸς σῶσαι αὐτὸν Ba. — [8] γὰρ Ba. — [9] μετὰ - στρατιωτῶν *om.* Ba. — [10] ἐφάνη ὁ Χριστὸς ἐν σχήματι ἐλάφου Ba. — [11] (ἤδη - ἡλίου) ἔχοντος ἐπὶ τῶν κεράτων σταυρὸν λάμποντα ὑπὲρ τὸν ἥλιον Ba. — [12] τῶν κεράτων *om. hic* Ba. — [13] κυρίου ἡμῶν Ἰησοῦ *om.* Ba. — [14] (καὶ - εἶπεν) καὶ ἐξῆλθεν φωνὴ ἐκ τοῦ ἐλάφου λέγουσα Ba. — [15] ὁ *add.* Ba. — [16] πιστεύσας οὖν αὐτῷ καὶ Ba. — [17] σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις *add.* Ba. — [18] ὑπὸ Ba. — [19] ὡς Ba. — [20] μὴ μόνον Ba. — [21] *om.* Ba. — [22] ἀλλὰ *add.* Ba. — [23] ἁρπαγέντα Ba. — [24] γυμνὸν *add.* Ba. — [25] (ξένης - δὲ) ξένης μισθαρνοῦντα καὶ τρεφόμενον· ὁ δὲ Θεὸς πάλιν ἐχαρίσατο αὐτῷ καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τὸν πλοῦτον· Ζητηθεὶς γὰρ Ba. — [26] (καὶ - ἀπολαβεῖν) ἀπέλαβε Ba. — [27] τὸ πρότερον ἀξίωμα Ba.

Sept. 20. αὐτοὺς μετεστείλατο· καὶ εὐθέως τῇ εἱρκτῇ ἐναπερριφῆσαν· εἶτα χερσὶ παλαμναίαις ἑλκόμενοι καὶ σπαραττόμενοι καὶ ξύλοις[4] τὰ σώματα τυπτόμενοι, ἡμιθνῆτες κατέπεσον· καὶ μεθ' ἡμέρας πάλιν ξυρῷ ἀποσύρονται τὸ δέρμα τῆς κεφαλῆς καὶ τὰς ἐπὶ τῶν σανίδων εἰκόνας πυρπολουμένας ἄνωθεν τῶν κρανίων δέχονται καὶ πίσσῃ χρισθέντες τὰς γενειάδας καὶ διὰ μέσου συρέντες τῆς πόλεως, ἐπὶ τὰ μέρη τοῦ[5] Ξηρολόφου κατασφάττονται, ῥιφθέντες βορὰ τοῖς κυσίν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Sept. 21. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἰωνᾶ. Οὗτος ἦν υἱὸς τοῦ Ἀμαθὶ ἀπὸ Γέτθ[1] ἐκ γῆς Καριαθιαρεὶμ[2] πλησίον Ἀζώτου πόλεως ἑλλήνων· καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους ἀπελθὼν ἐν Νινευῒ[3] καὶ κηρύξας καὶ ἀνακάμψας οὐκ ἔμεινεν ἐν τῇ γῇ αὐτοῦ· ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησεν ἐν τῇ Ἀσοὺρ[4] χώρᾳ τῶν ἀλλοφύλων· ἔλεγε γὰρ ὅτι· « Οὕτως ἀφέλω τὸ ὄνειδός μου, » ὅτι ἐψευσάμην προφητεύσας[5] κατὰ Νινευῒ τῆς » πόλεως τῆς μεγάλης. » Οὗτός ἐστιν <ὁ[6]> υἱὸς τῆς χήρας, ὃν ἤγειρεν Ἠλίας[7] ὁ προφήτης. Ἦν γὰρ τότε Ἠλίας ἐλέγχων τὸν Ἀχαὰβ καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν ἔφυγε· καὶ ἐλθὼν εἰς Σάραυθα[8] τῆς Σιδονίας[9], εὗρε τὴν χήραν[10] μετὰ τοῦ υἱοῦ αὐτῆς καὶ ἔμεινε παρ' αὐτοῖς (οὐ γὰρ ἠδύνατο μένειν μετὰ τῶν ἀπεριτμήτων) καὶ εὐλόγησεν αὐτὴν διὰ τὴν ξενοδοχίαν αὐτῆς· ἦν γὰρ γινώσκων αὐτὴν ἐκ πρώτης. Ἧς καὶ θανόντα τὸν υἱὸν ἤγειρεν· ᾠκονόμησε δὲ ὁ Θεὸς τὸν Ἠλίαν πεινάσαντα ξενισθῆναι ὑπὸ τῆς χήρας, ὥστε εὔξασθαι λυθῆναι τὸν αὐχμόν· ὃ καὶ γέγονεν. Ἀναστὰς δὲ μετὰ τὸν λιμὸν Ἰωνᾶς ἐπορεύετο[11] εἰς γῆν Ἰούδα· κατὰ οὖν τὴν ὁδὸν τέλος λαβούσης τῆς αὐτοῦ μητρός, ἔθαψεν αὐτὴν ἐχόμενα τῆς βαλάνου Δεβόρας[12]. Αὐτὸς δὲ κατῴκησεν ἐν γῇ Σενναὰρ[13]· ἔνθα καὶ ἀποθανὼν ἐτάφη ἐν σπηλαίῳ τοῦ Κενεζέου, κριτοῦ γενομένου μιᾶς φυλῆς ἐν ἡμέραις τῆς ἀναρχίας. Ἐν δὲ τῷ μέλλειν τελευτᾶν ἔδωκε τέρας ἐπὶ Ἱερουσαλὴμ καὶ ἐφ' ὅλην τὴν γῆν, ὅτι· "Ὅταν | ἴδωσι (φήσας) f. 33. λίθον βοῶντα οἰκτρῶς λεπτὴν φωνὴν καὶ κάνθαρον ἀπὸ ξύλου πρὸς Θεὸν φθεγγόμενον, τότε ἐγγίζειν τὴν σωτηρίαν· τότε ὄψονται τὴν Ἱερουσαλὴμ ἠδαφισμένην[14] ὅλην ἕως θεμελίων καὶ εἰς αὐτὴν πάντα τὰ ἔθνη ἥξει ἐν προσκυνήσει Κυρίου καὶ μεταθήσουσι τοὺς λίθους αὐτῆς κατὰ δυσμὰς ἡλίου, καὶ ἐκεῖ ἔστιν ἡ προσκύνησις τοῦ ἠλειμμένου διὰ τὸ[15] Ἱερουσαλὴμ βδελυχθῆναι[16] ἐν ἐρημώσει θηρίων· καὶ τότε ἥξει τὸ τέλος πάσης πνοῆς. Ἦν δὲ ὁ Ἰωνᾶς τὴν κεφαλὴν φαλακρός, σιμὸς τὴν γενειάδα καὶ λευκὸς ταῖς θριξί.

— [4] ξύλοις τυπτόμενοι Sa. — [5] τῆς Sa.

1. — [1] Ἀμαθὶ ἀπὸ Γέτθ Sa, Ἀμαθῆ ἀπογέτθ S, Ἰωνᾶ υἱοῦ Ἀμαθὶ τοῦ προφήτου τοῦ ἐκ Γεθχοφὲρ IV Reg. *14, 25;* Eusebii Onomasticon, Larsow, *p. 150 :* Γεθθαρχοφὲρ ἔνθα ἦν Ἰωνᾶς ὁ προφήτης. — [2] Καριαθιρεὶμ Sa, Καριαθμαοῦς, Καριαθμαοὺμ *in* Libellis de Vitis Prophetarum, Nestle, *p. 24, 25.* — [3] Νηνευῒ S. — [4] Ἀσοῦρ S, Ἀσοὺρ Sa, Σοὺρ Nestle, *l. c.*, Ἀσώρ ... ἄρχουσα πασῶν τῶν βασιλειῶν τῶν ἀλλοφύλων Eusebii Onomasticon, Larsow, *p. 76.* — [5] προφητεῦσαι S. — [6] ὁ *om.* S, *add.* Sa. — [7] Ἡλίας, *infra* Ἠλίας Sa. — [8] Ἀραυθᾶ Sa, Σαρεφθὰ Vit. prophet. Nestle, *p. 25,* Σαρεπτά, κώμη Σιδῶνος Eusebii Onomasticon, Larsow, *p. 326.* — [9] Σιδωνίας Sa. — [10] χήρα S. — [11] ἐπορεύσατο Sa. — [12] δεβόρας S, δεβόρας Sa, δεβόρρα *al.* δεββώρα Gen. *35, 8.* — [13] Σεναὰρ S. — [14] ἠδαφιμένην Sa. — [15] τὴν *add.* Sa. — [16] δαελυχθῆναι Sa.

Sept. 20. σθεὶς θῦσαι καὶ μὴ πεισθείς, ἐμβάλλεται εἰς χαλκοῦν βοῦν πεπυρωμένον καὶ τελειοῦται[28]. — 2. — Σωσάννης (= S, Sept. 19²). — **Cb** : 1. 2. — Σωσάννης. — **M** : 1. 4. — Τοῦ ἁγίου μάρτυρος <Μαρτίνου> πάπα Ῥώμης, Μαξίμου καὶ τῶν σὺν αὐτῷ (Sept. 16²). — 2 (Ἀρτεμιδώρου καὶ Θάλου). — Μελετίου ἐπισκόπου. — 3. — **Mv** : 1. 4. — Μαρτίνου, Μαξίμου κτλ. — 2. — Μελετίου. — 3. — **Mr** : 1.

Sept. 21. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **H** : 1, mutil. — **P** : 3 : Θεοδώρου ἐκ Πέργης τῆς Παμφυλίας ἐπὶ Ἀντωνίου βασιλέως καὶ Θεοδώρου ἡγεμόνος, ἕτερος καὶ προγενέστερος ὑπάρχων χρόνων ο' παρὰ τῶν ἁγίων Θεοδώρων τῶν ἐν Ἀμασείᾳ μαρτυρησάντων καὶ ἐν Εὐχαΐτοις καὶ ἐν παντὶ τῷ κόσμῳ τιμωμένων[1]. — Κοδράτου (Sept. 22¹). — 5. 7. — **F** : Κοδράτου (Sept. 22¹). — Θαλελαίου καὶ Ἀρτεμιδώρου ἐν τῷ Κοσμηδίῳ (Sept. 20²). — Κάστορος καὶ Θεοδώρας πλησίον τῆς Ἰουστινιανοῦ γεφύρας (Sept. 18⁴). — 3. 4. 5 (... ἐπισκόπου Σιτιεῖς). — 7. — **Fa** : Κοδράτου. — Θαλελαίου καὶ Ἀρτεμιδώρου. — Κάστορος καὶ Θεοδώρας. — 3. 4. 5. 7. — **Fb** : Κοδράτου. — Θαλελαίου καὶ Ἀρτεμιδώρου. — Κάστορος καὶ Θεοδώρας. — 3. 4. 5 (ἐπισκόπου Σιτιῆς). — 7. — **B** : 5 (Ἰσαακίου καὶ Μελετίου). — 3. — Κοδράτου. — Πρίσκου (cf. Sept. 22⁴). — **Ba** : Κοδράτου. — Πρίσκου. — **Bb** : 5 (Ἰσαακίου καὶ Μελετίου). — Ὑπατίου καὶ Ἀνδρέου (Sept. 20⁴). — Ἰωάννου τοῦ Αἰγυπτίου (Sept. 20³). — 4. 3. — Κοδράτου. — Πρίσκου. — **T** : Κοδράτου. — **L** : 3 (in lemmate vero dici Κοδράτου). — **O** : Κοδράτου. — 3. 5. 7. — **G** : Κοδράτου. — 2. — **C** : 5 : Ἀκακίου ἐπισκόπου τῆς Κύπρου καὶ Μελετίου ἐπισκόπου καὶ αὐτοῦ γεγονότος. Οὗτοι οἱ ὅσιοι καὶ ἅγιοι πατέρες ἡμῶν γεγόνασιν ἐπίσκοποι εἰς ἐκκλησίας τοῦ Χριστοῦ, εὐλαβεῖς καὶ φοβούμενοι τὸν Θεόν. Εἶχον δὲ ἀκατάπαυστον ἔργον τοῦ διδάσκειν τὸν λαὸν τὰ θεῖα λόγια τοῦ Χριστοῦ καὶ τὸ ἐλεεῖν καὶ δανείζειν ὅλην τὴν ἡμέραν οὐ μόνον τὸν ἄρτον αὐτῶν ἀλλὰ καὶ τὸν λόγον τοῦ Θεοῦ. Οὕτω δὲ πορευόμενοι καὶ λειτουργοῦντες ἀμέμπτως ἐνώπιον τοῦ Θεοῦ καὶ τὰς ἀναιμάκτους θυσίας προσευχὰς φέροντες αὐτῷ, ἐν εἰρήνῃ ἐτελειώθησαν καὶ παρέδωκαν τὰς ἁγίας αὐτῶν καὶ μακαρίας ψυχὰς τῷ Κυρίῳ. Τὰ δὲ σώματα αὐτῶν ἐτάφησαν ἐν τοῖς τόποις, ἐν οἷς ἕκαστος ἐπεσκόπησεν. — 3 : Θεοδώρου τοῦ ἐν Πέργῃ τῆς Παμφυλίας μαρτυρήσαντος. Οὗτος ὁ ἅγιος μάρτυς Θεόδωρος ἦν ἐπὶ Ἀντωνίου τοῦ βασιλέως καὶ ἡγεμόνος Θεοδότου, προγενέστερος ὑπάρχων

— [28] (καὶ πάλιν - τελειοῦται) εἶτα διαγνωσθεὶς χριστιανὸς ἐνεβλήθη εἰς χαλκοῦν βοῦν πυρακτωθέντα σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις καὶ ἐτελειώθη Ba.

[1] *lege* τὸν ἅγιον Θεόδωρον ... μαρτυρήσαντα κτλ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἰωνᾶ πρεσβυτέρου, τοῦ Σαββαΐτου. Οὗτος ὁ[1] ὅσιος πατὴρ γέγονε Θεοδώρου καὶ Θεοφάνους τῶν ὁμολογητῶν, ὧν τὰ πρόσωπα ἐπεγράφη παρὰ τῶν εἰκονομάχων. Ὅστις Ἰωνᾶς[2] ἀπελθὼν ἐν τῇ τοῦ ἁγίου Σάβα λαύρᾳ καὶ μοναχὸς γενόμενος, ἄγαν εὐλαβὴς ἀποκαταστὰς καὶ εἰς τὸ ἄκρον φθάσας τῶν ἀρετῶν, τὴν ἀγάπην, τῷ τοῦ πρεσβυτέρου ἀξιώματι τιμηθεὶς καὶ θαυματοβρύτων χαρίτων τοῦ πνεύματος ἐμφορηθείς, ἐν γήρᾳ[3] καλῷ τὸν βίον ἀπέλιπεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐκ Πέργης[1] τῆς Παμφυλίας. Οὗτος ὑπῆρχεν ἐπὶ Ἀντωνίνου βασιλέως καὶ Θεοδότου[2] ἡγεμόνος, προγενέστερος τοῦ ἁγίου Θεοδώρου, τοῦ ἐν Ἀμασείᾳ[3] καὶ Εὐχαΐτοις[4], μαρτυρήσας πρὸ ἐτῶν ἑβδομήκοντα. Ὢν δὲ τὴν ἡλικίαν εὐμήκης, τὴν ὄψιν ἀγαθός, τὴν ῥώμην γενναῖος, εἰς τήρωνας ἐστρατεύθη· πλέον δὲ τῇ τοῦ Χριστοῦ στρατείᾳ σεμνυνόμενος, διεβλήθη καὶ προσήχθη τῷ ἡγεμόνι· καὶ παρρησιασάμενος τὴν εὐσέβειαν καὶ καταχλευάσας[5] τοὺς αὐτοῦ θεοὺς καὶ τὴν ἐπ' αὐτοῖς θεολογίαν ἐλέγξας ὡς αἰσχράν, τύπτεται σφοδρῶς καὶ ἐπὶ ἐσχάρας πεπυρακτωμένης τίθεται καὶ πώλοις ἀγρίοις συνδεθεὶς σύρεται καὶ εἰς κάμινον ἀναφθεῖσαν μετὰ τῶν συνεπομένων αὐτῷ στρατιωτῶν Σωκράτους[6] καὶ Διονυσίου ἀπορρίπτεται· οἵτινες ἔνδον τῆς καμίνου λόγχαις κατεσφάγησαν, ὅτι ἀβλαβεῖς ἐν αὐτῇ ἵσταντο. Ὁ δὲ ἅγιος Θεόδωρος ἐξελθὼν τῆς | καμίνου f. 33ᵛ. σταυρῷ προσπαγεὶς καὶ διαρκέσας ἡμέρας τρεῖς, ἐν ἀγαλλιάσει τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. Ὃν θεασαμένη ἡ μήτηρ Φιλίππα θεαρέστως ἐκπεπνευκότα καὶ τὸν Χριστὸν ἀνακηρύξασα Θεὸν ἀληθινόν, τῇ διὰ ξίφους τομῇ συνετελειώθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσεβίου, Νεστάβου, Ζήνωνος τῶν αὐταδέλφων καὶ Νέστορος καὶ Βουσίρι[1]. Οὗτοι ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου κρυπτόμενοι, ὑπὸ τῶν ἑλλήνων συνελήφθησαν. Μαστιγοῦνται οὖν καὶ ἐγκλείονται καὶ μυρίαις κακώσεσιν ὑποβάλλονται, πῇ μὲν πρηνεῖς, πῇ δὲ ὕπτιοι ἑλκόμενοι καὶ τῷ ἐδάφει προσρηγνύμενοι καὶ παιόμενοι, οἱ μὲν λίθοις, οἱ δὲ ξύλοις· ἀλλὰ καὶ γυναῖκες τῶν ἱστῶν ἐξιοῦσαι κερκίσιν αὐτοὺς κατεκέντουν· καὶ μάγειροι θερμὰ[2] καχλάζοντα ἐκ τῶν λεβήτων ἁρπάζοντες, τούτοις αὐτοὺς κατέκαιον καὶ ταῖς σούβλαις διέπειρον. Ἐπεὶ δὲ αὐτοὺς διεσπάραξαν καὶ τὰς κεφαλὰς συνέτριψαν, ὡς καὶ τὸν ἐγκέφαλον χαμαὶ ῥεῖν, ἤγαγον αὐτοὺς πρὸ τοῦ ἄστεος καὶ

2. — [1] *om.* Sa. — [2] *om.* Sa. — [3] γήρει Sa.

3. — [1] Πέρσης Sa. — [2] Θεοδώτου S. — [3] Sa, Ἀμασία S. — [4] Εὐχαΐτοις Sa, Εὐχαΐτων S. — [5] καὶ διαμυκτηρίσας *add.* Sa. — [6] Σοκράτους S.

4. — [1] Βούσουρι Sa, Βούσιριν *scribit* Sozomenos, H. E. *V, 11, 4.* — [2] θερμὰ Sa, θερμῷ S.

τοῦ ἁγίου Θεοδώρου τοῦ ἐν Ἀμασίᾳ μαρτυρήσαντος ἔτη ἑβδομήκοντα. Ἐξελέγη δὲ καὶ προσεγράφη εἰς Sept. 21. τὴν τῶν τηρόνων στρατείαν διὰ τὸ νέος εἶναι καὶ τὴν ἡλικίαν μέγας καὶ τὴν ὄψιν ἀγαθός. Ὁ δὲ καταφρονήσας τῆς ἐπιγείου στρατείας λέγων ὅτι· « Ἐγὼ τῷ ἐπουρανίῳ βασιλεῖ Χριστῷ τῷ Θεῷ μου ἐστρατεύθην διὰ τοῦ ἁγίου βαπτίσματος καὶ τῷ ἐπὶ γῆς βασιλεῖ δουλεύειν οὐ θέλω. » Διὰ τοῦτο ἐκρατήθη παρὰ τοῦ ἡγεμόνος καὶ ἠναγκάσθη[1] προσκυνῆσαι τοῖς εἰδώλοις. Μὴ πεισθεὶς δὲ πολλαῖς ὑποβάλλεται τιμωρίαις καὶ εἰς κάμινον ἐμβάλλεται καὶ ὑγιὴς ἐξῆλθεν· ὅθεν ἐπίστευσαν σὺν αὐτῷ καὶ δύο στρατιῶται Σωκράτης καὶ Διονύσιος. Ἐν τῇ καμίνῳ δὲ ὄντων καὶ προσευχομένων, παρεγένετο καὶ ἡ μήτηρ αὐτοῦ Φιλίππα ἀπὸ τῆς αἰχμαλωσίας· καὶ κρατήσας αὐτὸν ὁ ἡγεμὼν ἀπεκεφάλισεν, εἶτα καὶ τοὺς στρατιώτας. Καὶ μετὰ ταῦτα ἐπὶ σταυροῦ κρεμάσας τὸν ἅγιον Θεόδωρον ἀνεῖλε. Καὶ οὕτως ἐτελειώθησαν. — Τοῦ ἁγίου ἀποστόλου καὶ ἱερομάρτυρος Κοδράτου τοῦ ἐν Μαγνησίᾳ καὶ τῆς συνοδίας αὐτοῦ. Οὗτος ὁ ἅγιος Κοδράτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Δεκίου καὶ Οὐαλερίου ἐπίσκοπος τῆς πόλεως Μαγνησίας. Ἀκούσας δὲ ὅτι Δέκιος διατρίβει ἐν τῇ πόλει Καισαρείας, παρεγένετο[2] ἀπὸ Μαγνησίας εἰς Νικομήδειαν πρὸς τὸ ἐπισκέψασθαι τοὺς ἐν ταῖς φυλακαῖς ὑπάρχοντας ἁγίους. Ἀπελθὼν δὲ καὶ ἐπισκεπτόμενος αὐτοὺς καθ' ἡμέραν καὶ παρακαλῶν προθύμως μαρτυρεῖν ὑπὲρ τοῦ Χριστοῦ, ἐκρατήθη παρὰ τοῦ τῆς Νικομηδείας ἀνθυπάτου. Καὶ παραστὰς ἐνώπιον αὐτοῦ μετὰ καὶ τῶν λοιπῶν μαρτύρων, πρῶτον ἤλεγξε τὴν τῶν εἰδώλων πλάνην. Ὅθεν τυφθεὶς ἰσχυρῶς, εἶτα ξεσθεὶς τὰς πλευρὰς ἐνεβλήθη εἰς φυλακήν. Καὶ μετὰ ὀλίγας ἡμέρας, ἀπελθόντος τοῦ ἀνθυπάτου εἰς Νίκαιαν, ἀπήχθη ὁ ἅγιος δέσμιος μετὰ τῶν λοιπῶν μαρτύρων· καὶ πάλιν τύπτεται ἰσχυρῶς καὶ πάλιν σύρεται εἰς Καισάρειαν καὶ ἐμβάλλεται εἰς κάμινον πυρός· καὶ ἀβλαβὴς ἐξελθὼν ἐκ τῆς καμίνου, ἐτελειώθη διὰ τοῦ ξίφους καὶ παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ (Sept. 22¹). — Πρίσκου. Οὗτος ὁ ἅγιος Πρίσκος χριστιανὸς ὢν καὶ παρρησίᾳ τοῦ Χριστοῦ τὴν πίστιν διδάσκων καὶ θαρσοποιῶν μὲν πάντας τοὺς χριστιανοὺς καὶ πρὸς τὸ μαρτύριον παρακαλῶν, πολλοὺς δὲ τῶν ἑλλήνων νουθετῶν πρὸς τὸν Χριστὸν ἐπέστρεφε καὶ ἐβάπτιζε. Κατηγορηθεὶς[3] παρὰ τῶν ἑλλήνων καὶ παρὰ τῶν ἱερέων τῶν εἰδώλων ὅτι τοὺς θεοὺς ὑβρίζει καὶ χλευάζει, καὶ τῶν βασιλικῶν προσταγμάτων καταφρονεῖ καὶ πάντα ἀναπείθει τοῦ μὴ προσκυνεῖν τοῖς εἰδώλοις καὶ κηρύττειν τινὰ θεὸν ἐσταυρωμένον, ἐκρατήθη παρὰ τοῦ ἡγεμόνος καὶ σφοδρῶς τιμωρηθεὶς καὶ τυφθείς, εἶτα κρεμασθεὶς καὶ τὰς πλευρὰς ὠρυχθεὶς καὶ μετὰ ξιφῶν κατακεντηθείς, τέλος τὴν κεφαλὴν ἀπετμήθη καὶ παρέδωκε τὴν μακαρίαν καὶ ἁγίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ (cf. Sept. 22⁴). — Τῶν ὁσίων πατέρων ἡμῶν Ὑπατίου καὶ Ἀνδρέου. Οὗτοι Λυδῶν χώρας ὄντες καὶ ἔν τινι φροντιστηρίῳ παῖδες ὄντες φοιτήσαντες, ὁ μὲν Ὑπάτιος τὸν μονήρη βίον ὑπέρχεται, Ἀνδρέας δὲ τῷ κλήρῳ τῶν ἀναγνωστῶν ἐγκαταλέγεται. Οὐ νηστείᾳ δὲ μόνον καὶ ἀγρυπνίᾳ καὶ εὐχῇ τῶν ἄλλων ἀδελφῶν ἐκράτουν[4], ἀλλὰ

[1] ἀναγκάσθη C. — [2] παρεγένοτο C. — [3] κατηγορήθη C. — [4] ἐκράτων C.

Sept. 21. κάμινον ἐξάψαντες τὰ σώματα αὐτῶν κατέκαυσαν καὶ τὰ περιλειφθέντα τῶν ὀστῶν ἔρριψαν αὐτόθι, καμήλων καὶ ὄνων ὀστοῖς ἀναμίξαντες. Καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαακίου ἐπισκόπου Σίτης τῆς Κύπρου. Τούτῳ ἔργον ἦν διηνεκὲς [1] ἡ εὐλάβεια καὶ τὸ φοβεῖσθαι τὸν Κύριον καὶ κατὰ τὰς ἐντολὰς αὐτοῦ πορεύεσθαι, ἔτι δὲ καὶ τὸ διανέμειν ὅλην τὴν ἡμέραν τὰ ὑπάρχοντα αὐτῷ τοῖς πένησιν. Εἰς δὲ τὸ τῆς ἀρχιερωσύνης φθάσας ἀξίωμα καὶ λαὸν περιούσιον τῷ Χριστῷ περιποιησάμενος, ἐν εἰρήνῃ καταλύει τὸν βίον.

6. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας μάρτυρος Βάσσης [1] τῆς Τυρίας.

7. Καὶ τὰ ἐγκαίνια τῆς ἐκκλησίας τοῦ ἁγίου μάρτυρος Μηνᾶ, τῆς πλησίον οὔσης τῆς Ἀκροπόλεως.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ΄.

Sept. 22. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀποστόλου Κοδράτου. Οὗτος ἀρχαῖος καὶ πολυΐστωρ

f. 34. ἀνὴρ ὑ|πάρχων, ἐν Ἀθήναις, εἶτα ἐν Μαγνησίᾳ τὸν λόγον τοῦ Κυρίου κατήγγειλε [1] καὶ πολλοὺς φωταγωγήσας [2] τοῖς δόγμασι [3], πρὸς φῶς θεογνωσίας ἐπανήγαγεν. Ὅθεν ἐξ Ἀθηνῶν τῆς αὐτοῦ ποίμνης ὑπὸ τῶν διωκτῶν ἀπελαύνεται, πρότερον λίθοις βληθεὶς καὶ πυρὶ καὶ ποιναῖς ἄλλαις· ὕστερον δὲ ἐπὶ Ἀδριανοῦ τοῦ Αἰλίου [4] τὸν στέφανον τοῦ μαρτυρίου κομίζεται [5].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Φωκᾶ τοῦ κηπουροῦ. Οὗτος ἐκ πόλεως ἐγεγόνει [1] Σινώπης, ἀρχαίας καὶ κατὰ τὸν Πόντον γνωρίμου [2]· ἐπιτήδευμα δὲ [3] αὐτῷ τοῦ βίου κήπου γεωργία καὶ ἐπιμέλεια· ἀφ' οὗ τοῖς ξένοις κοινὰ προετίθει τὰ ὄντα. Οὐ μόνον δὲ τοῦ αἰσθητοῦ κηπίου ἐπεμελεῖτο, ἀλλὰ καὶ τὴν τῆς ψυχῆς φιλοκαλίαν [4] περὶ πλείονος ἐποιεῖτο. Ὃ δὴ καὶ ἐς ἀεὶ [5] ἔργον ποιούμενος, οὐκ ἔλαθε μὲν [6] τὸν ἀπ' ἀρχῆς ἀνθρωποκτόνον, οὐκ ἔλαθε δὲ δι' αὐτοῦ καὶ τὸν τότε κρατοῦντα· ἀλλὰ καὶ οὗτος ὡς Χριστοῦ δοῦλος γνήσιος ἐμηνύθη. Καὶ δὴ ἐλθόντες οἱ τοῦτον τιμωρήσοντες δήμιοι, παρ' αὐτῷ ἀγνοουμένῳ ἐπιξενοῦνται καὶ ἀναπαύονται [7]. Πυνθανομένῳ δὲ αὐτούς, τίνες εἶεν καὶ τίνος χάριν κατέλαβον, γνωρίζουσιν αὐτῷ τὴν αἰτίαν καὶ ὅτι Φωκᾶν τὸν κηπουρὸν

5. — [1] διηνεκὶς S.
6. — [1] Βάσσης Sa, Βάσης S.
1. — [1] καταγγέλλων Sa. — [2] φωταγωγῶν Sa. — [3] τῆς εὐσεβείας *add.* Sa. — [4] Αἰλίου Sa, Ἐλίου S. — [5] τελεῖται κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
2. — [1] γέγονε Sa. — [2] καὶ γνωρίμου κατὰ Πόντον Sa. — [3] δὲ *om.* Sa. — [4] φιλοκαλλίαν S. — [5] ἐσαΐ S. — [6] μὲν Sa, δὲ S. — [7] διαναπαύονται Sa.

Sept. 21. καὶ πάσῃ ταπεινοφροσύνῃ καὶ σωφροσύνῃ καὶ ἀγάπῃ. Παρ' [5] ὧν ὁ πρόεδρος Ἐφεσίων μαθών, Ὑπάτιον μὲν ἐπίσκοπον χειροτονεῖ, Ἀνδρέαν δὲ πρεσβύτερον. Ἐπεὶ δὲ Λέων ὁ μισάγιος βασιλεὺς τὰ περὶ αὐτῶν μαθών, ὡς [6] αὐτοὺς μετεκαλέσατο, εἱρκτῇ ἐναπέθετο. Καὶ μετὰ ταῦτα προσέταξε καὶ τὸ δέρμα τῆς κεφαλῆς ἀποδαρῆναι· καὶ τὰς ἁγίας εἰκόνας παμπόλλας οὔσας κατὰ τῆς κεφαλῆς ἀναφθείσας ἐδέξαντο· καὶ πίσσῃ χρισθέντες τὰς γενειάδας διὰ μέσης τῆς πόλεως ἐσύραντο [7], τὰ πνεύματα αὐτῶν εἰς χεῖρας Θεῷ ἐπαφέντες (Sept. 20⁴). — **Cb** : 5 (Ἰσαακίου καὶ Μελετίου). — 3. — Κοδράτου. — Πρίσκου. — **M** : 1. 2. — Κοδράτου. — Εὐσεβίου τοῦ ὁμολογητοῦ (Sept. 23²). — 4 (Εὐσεβίου, Νεστάβου καὶ Ζήνωνος). — 5 (Ἰσαακίου καὶ Μελετίου). — Πρίσκου. — rursum 5 : τοῦ ἁγίου μάρτυρος Ἰσαακίου ἐπισκόπου Κύπρου. — Τῶν ἁγίων ἓξ μαρτύρων ὑπασπιστῶν ὄντων Μαξιμιανοῦ. — **Mv** : 1. 2. — Κοδράτου. — Εὐσεβίου. — 4 (Εὐσεβίου, Νεστάβου, Ζήνωνος). — 5 (Μελετίου καὶ Ἰσακίου). — Πρίσκου. — rursum 5. — Τῶν ἁγίων ἓξ μαρτύρων. — **Mr** : Κοδράτου.

Sept. 22. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ σκευοφυλακίῳ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἔνθα καὶ ἡ ἁγία αὐτοῦ κάρα ἀπόκειται. — 2. 3. 4. 5. 6. — **H** : 6. 3. 4. — Ἰωνᾶ (Sept. 21¹). — Ἰωνᾶ πρεσβυτέρου (Sept. 21²). — **P** : 3 : Φωκᾶ ἐν Σινώπῃ τῇ πόλει. Ὅτε ἡ περιστερὰ ἐκαθέσθη ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, στέφανον ἐπιθεῖσα ἐπ' αὐτὴν καὶ λέγουσα αὐτῷ· « Ποτήριόν » σοι κεκέρασται καὶ δεῖ σε αὐτὸ ἐκπιεῖν, » οὗ καὶ κατηξιώθη τυχεῖν, ἐπὶ Τραϊανοῦ βασιλέως ξίφει καὶ πυρὶ τελειωθείς. — Ἰωνᾶ (Sept. 21¹). — Ἰωνᾶ (Sept. 21²). — 4 (Πρίσκου καὶ Νικολάου). — **F** : Ἰωνᾶ. — Ἰωνᾶ. — 3. — **Fa** : Ἰωνᾶ. — Ἰωνᾶ. — 3. — **Fb** : Ἰωνᾶ. — Ἰωνᾶ. — 3. — **B** : 3. — Ἰωνᾶ (Sept. 21¹). — Ἰωνᾶ (Sept. 21²). — **Ba** : 3. Ἰωνᾶ. — Ἰωνᾶ. — **Bb** : 3. — Ἰωνᾶ. — Ἰωνᾶ. — **T** : 3. — **L** : 6. 3. 4. — Ἰωνᾶ. — Ἰωνᾶ. — **O** : Ἰωνᾶ (Sept. 21¹). — 3. — Ἰωνᾶ (Sept. 21²). — **G** (male habitus hac die vix legi potest). — **C** : 3 : Φωκᾶ τοῦ ἐν Σινώπῃ [1]. Οὗτος ὁ ἅγιος μάρτυς Φωκᾶς ὑπῆρχεν ἀπὸ Σινώπης [2] τῆς πόλεως υἱὸς Παμφίλου [3] τοῦ ναυπηγοῦ καὶ Μαρίας. Παιδίον δὲ ἔτι ὑπάρχων ἐδέξατο ἐκ τοῦ Θεοῦ θαυμάτων χαρίσματα, ὥστε δαίμονας ἀπελαύνειν, νεκροὺς ἐγείρειν, ἀσθενοῦντας ποιεῖν ὑγιεῖς, πλοῖα δὲ κινδυνεύοντα ἐν τῇ θαλάσσῃ διασώζειν. Ἀπελθὼν ἀπὸ Σινώπης [2] εἰς Ἀμασίαν τὴν πόλιν τὰ ὅμοια διεπράξατο, εἶτα εἰς Ἀμισόν· κἀκεῖ ὁμοίως μυρία θαύματα ἐπετέλεσεν. Καὶ μετὰ ταῦτα πάλιν παρεγένετο εἰς Σινώπην πρὸς ἐπίσκεψιν τῶν γονέων αὐτοῦ καὶ διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν ἐπίσκοπος προχειρίζεται Σινώπης καὶ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφων ἐβάπτιζεν. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ὑπάρχοντος αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ, ἐλθοῦσα περιστερὰ ἐκάθισεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ εἶπεν αὐτῷ·

— [5] *legendum potius* περὶ. — [6] *forte supplendum* ἑαυτόν. — [7] ἔσυραν C.
[1] Συνώπη C. — [2] Συνώπης C. — [3] Παμφύλου C.

ζητοῦσι τιμωρῆσαί τε καὶ τὴν κεφαλὴν ἀποτεμεῖν. Ὡς δέ· « Αὐτὸς ἐγώ εἰμι » ἤκουον καί· « Ἰδού, » πληρώσατε τὰ προστεταγμένα », θάμβει συνεσχέθησαν καὶ τὰς ψυχὰς ἐπλήγησαν καὶ τὴν φιλοξενίαν ᾐδέσθησαν. Ἐκεῖνος δὲ δραμὼν καὶ τὸν ἴδιον τάφον σὺν τοῖς ἐνταφίοις εὐτρεπίσας [8] ὑποστρέφει. Καὶ παρακαλέσας αὐτοὺς πρὸς τὴν τόλμαν τῆς ἀναιρέσεως, τὴν κεφαλὴν ἀποτέμνεται καὶ τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον χριστιανοὶ ἀνελόμενοι καὶ τῷ προευτρεπισθέντι τάφῳ προσάξαντες, ναὸν μεγαλοπρεπῆ ἀνεγείραντες, ἐν αὐτῷ σεβασμίως τοῦτο κατέθεντο [9].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου [1] Φωκᾶ ἱερομάρτυρος. Ὃς ἐγένετο υἱὸς Παμφίλου ναυπηγοῦ καὶ Μαρίας κατὰ τὸν Πόντον Σινώπης. Εὐθὺς δὲ

f. 34ᵛ. ἐξ ἁπαλῶν ὀνύχων | τῇ τοῦ ἁγίου Πνεύματος χάριτι θαύματα ἐπετέλει παράδοξα, δαίμονας ἀπελαύνων καὶ νεκροὺς ἐγείρων, ἄχρις Ἀμασείας [2] ἀπερχόμενος καὶ Ἀμισοῦ [3], διδάσκων τε καὶ θαυματουργῶν· ἐξ ὧν ὑποστρέψας εἰς τὴν ἰδίαν πατρίδα Σινώπην, ἐπίσκοπος ταύτης χειροτονεῖται. Παρέτεινε δὲ θαυματουργῶν μέχρις ἐσχάτης πολιᾶς καὶ ἐμυήθη τὸ συμβησόμενον αὐτῷ τοῦ μαρτυρίου τέλος, περιστερᾶς τῇ κεφαλῇ αὐτοῦ

Sept. 22. καθεσθείσης καὶ στέφανον περιθείσης καὶ ἀνθρωπίνως αὐτῷ φθεγξαμένης καὶ εἰπούσης· « Ποτήριόν » σοι κεκέρασται καὶ δεῖ σε αὐτὸ πιεῖν. » Οὗ καὶ κατηξιώθη τυχεῖν ἐπὶ Τραϊανοῦ βασιλέως, ξίφει καὶ πυρὶ τελειωθείς. Πολλὰ δὲ καὶ μετὰ τὴν αὐτοῦ πρὸς Θεὸν [4] ἐκδημίαν γεγόνασι θαύματα παρ' αὐτοῦ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι ἔνδον τοῦ σεπτοῦ ἀποστολείου τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου [5], πλησίον τῆς ἁγιωτάτης [6] μεγάλης ἐκκλησίας.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Πρίσκου, Μαρτίνου καὶ Νικολάου. Οὗτοι διαβληθέντες τοῖς ἕλλησιν, ὡς τὸν ἐσταυρωμένον Θεὸν ἀληθινὸν κηρύττοντες, ξέονται ὑπ' αὐτῶν τὰς πλευρὰς ἕως βάθους καὶ μετὰ ξιφῶν κατακεντοῦνται καὶ τέλος τὰς κεφαλὰς ἀποτέμνονται. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν Βλαχέρναις.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Δρουσίλλης [1], θυγατρὸς γεγονυίας Τραϊανοῦ τοῦ βασιλέως, καὶ τῶν σὺν αὐτῇ πέντε γυναικῶν.

6. Καὶ σύναξις τῆς ὑπεραγίας Θεοτόκου πέραν ἐν Χρυσοπόλει.

— [8] εὐτρεπίσας τάφον ἐνταφίοις Sa. — [9] ἀνεγείρουσι καὶ ἐν τούτω κατιθέασιν Sa.
3. — [1] ἁγίου *add.* Sa. — [2] Ἀμασίας Sa. — [3] Ἀμεσοῦ Sa. — [4] Κύριον Sa. — [5] τοῦ θεολόγου *add.* Sa. — [6] *om.* Sa.
5. — [1] Δρουσίλλης Sa, Δρουσίλης S.

« Φωκᾶ, δοῦλε Χριστοῦ, ποτήριόν σοι κεκέρασται· καὶ ἀπόκειταί σοι αὐτὸ πιεῖν [4]. » Ὅθεν ἀκούσας περὶ Sept. 22.
αὐτοῦ ὁ βασιλεὺς Τραϊανὸς ἀποστείλας καὶ κρατήσας αὐτὸν ἀπεκεφάλισεν αὐτὸν καὶ παρέδωκε τῷ πυρί. — 4 : Τῶν ἁγίων Μαρτίνου καὶ Νικολάου. — Ἰωνᾶ. Οὗτος ὑπῆρχεν υἱὸς τοῦ Ἀμαθῆ ἐκ πόλεως Καριαθιαρείμ. Οὗτος προσετάχθη παρὰ τοῦ Θεοῦ ἀπελθεῖν καὶ κηρῦξαι εἰς Νινευὴ τὴν πόλιν ὅτι· « τρεῖς ἡμέραι καὶ Νινευὴ [5] καταστραφήσεται. » Παρακούσας δὲ τοῦ προστάγματος, ἠβουλήθη φυγεῖν. Εἶτα ἀγριωθεῖσα ἡ θάλασσα ἠπείλει καταπιεῖν τὸ πλοῖον. Ὅθεν λαβόντες αὐτὸν οἱ ναῦται, ἔρριψαν εἰς τὴν θάλασσαν· καὶ κατέπιεν αὐτὸν τὸ κῆτος. Καὶ μετὰ τρεῖς ἡμέρας ἐξήγαγεν αὐτὸν ὑγιῆ. Εἶτα ἀπελθὼν εἰς Νινευή, ἐποίησε τὸ πρόσταγμα τοῦ Θεοῦ· καὶ ἀνακάμψας εἰς τὴν γῆν αὐτοῦ, παρέλαβε τὴν μητέρα αὐτοῦ. Καὶ ἀπελθὼν κατῴκησεν ἐν τῇ Ἀσοῦρ χώρᾳ τῶν ἀλλοφύλων· ᾐσχύνετο γὰρ εἰς τὴν ἰδίαν κατοικεῖν γῆν διὰ τὸ ψευσθῆναι τὴν προφητείαν αὐτοῦ τὴν κατὰ Νινευὴ τῆς πόλεως. Ὁ γὰρ φιλάνθρωπος Θεὸς ἰδὼν τὴν τῶν Νινευητῶν μετάνοιαν, οὐκ ἐπήγαγε τὸν θάνατον αὐτοῖς. Μετὰ δὲ τελευτὴν τῆς μητρὸς ἀπῆλθεν εἰς τὴν γῆν Σαραάρ [6]. Ἐκεῖσε δὲ πολλὰ προφητεύσας περὶ τῆς παρουσίας τοῦ Χριστοῦ καὶ περὶ Ἱερουσαλήμ, ἐτελεύτησε καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ Κενεζαίου [7] (Sept. 21¹). — Τοῦ ὁσίου Ἰωνᾶ τοῦ πρεσβυτέρου καὶ Σαβαΐτου, πατρὸς Θεοδώρου καὶ Θεοφάνους τοῦ ποιητοῦ καὶ ὁμολογητῶν. Οὗτος ὁ ὅσιος Ἰωνᾶς ὁ πρεσβύτερος ὑπῆρχε πατὴρ Θεοδώρου τοῦ ὁσιωτάτου καὶ μακαριωτάτου ὁμολογητοῦ τοῦ γραπτοῦ, οὗτινος τὸ πρόσωπον ἐπέγραψεν Λέων ὁ Καβαλλῖνος ὁ εἰκονομάχος, διὰ τὸ μὴ ἀρνήσασθαι τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἁγίαν εἰκόνα, καὶ Θεοφάνους τοῦ ποιητοῦ τῶν κανόνων καὶ ὁμολογητοῦ. Ὅστις Ἰωνᾶς ἀπελθὼν ἐν τῇ τοῦ ἁγίου Σάβα λαύρᾳ καὶ μοναχὸς γεγονὼς καὶ ἄκραν εὐλάβειαν κτησάμενος καὶ πολλὰς ἀρετὰς κατορθώσας, πάντοτε νηστεύων καὶ προσευχόμενος τὸν Θεόν, δυσωπῶν ὑπὲρ τῆς χριστιανικῆς καταστάσεως καὶ ὑπὲρ τῶν εὐσεβῶν βασιλέων ἡμῶν καὶ ὑπὲρ εἰρήνης τοῦ σύμπαντος κόσμου, ἐν γήρᾳ καλῷ τὸν βίον ἀπέλιπε, παραδοὺς τὴν ἁγίαν αὐτοῦ καὶ τρισμακαρίαν ψυχὴν Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν καὶ ταφεὶς ἐν τῇ αὐτῇ λαύρᾳ (Sept. 21²). — Εὐσεβίου, Νεστάβου καὶ Ζήνωνος καὶ τῶν σὺν αὐτοῖς. Οἵτινες ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου κρυπτόμενοι, ὑπὸ τῶν ἑλλήνων συνελήφθησαν. Μαστιγοῦνται οὖν καὶ ἐγκλείονται· καὶ μυρίαις κακώσεσιν ὑποβάλλονται πῇ μὲν πρηνεῖς, πῇ δὲ ὕπτιοι ἑλκόμενοι καὶ τῷ ἐδάφει προσρηγνύμενοι καὶ παιόμενοι, οἱ μὲν λίθοις, οἱ δὲ ξύλοις τούτοις βάλλονται. Ἐπεὶ δὲ αὐτοὺς διεσπάραξαν καὶ τὰς κεφαλὰς συνέτριψαν, ὡς καὶ τὸν ἐγκέφαλον χαμαὶ ῥεῖν, ἤγαγον αὐτοὺς πρὸ τοῦ ἄστεως καὶ κάμινον ἀνάψαντες τὰ σώματα αὐτῶν κατέκαυσαν καὶ τὰ περιλειφθέντα τῶν ὀστῶν ἔρριψαν αὐτόθι, καμήλων καὶ ὄνων ὀστοῖς ἀναμίξαντες (Sept. 21⁴). — **Cb** : 2. 4 (τοῦ ἁγίου μάρτυρος Νικολάου). — Ἰωνᾶ. — Ἰωνᾶ. — **M** : 3. 2. 5 (Δρουζίλης ... καὶ τῶν σὺν αὐτῇ πέντε κανονικῶν). — Καὶ μνήμη τοῦ ἁγίου μάρτυρος Ἰσαάκ. — 4 (καὶ τοῦ ἁγίου Μαρτίνου). — **Mv** : 3. 2. 5. — Ἰσαάκ. — 4 (Μαρτίνου). — **Mr** : 3 : ἱερομάρτυρος Φωκᾶ τοῦ θαυματουργοῦ τοῦ ἐν λουτρῷ σφοδρῶς πυρωθέντι τελειωθέντος.

— [4] ποιεῖν C. — [5] Νυνευὴ C. — [6] *ita* C, *et in cod. Marchaliano*, Nestle, *p.* 24. — [7] Κενεζέου *ibid.*

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Sept. 23. **1.** Ἡ σύλληψις τοῦ ἁγίου Ἰωάννου προφήτου προδρόμου καὶ βαπτιστοῦ τοῦ Σωτῆρος, ἣν εὐηγγελίσατο τῷ πατρὶ αὐτοῦ τῷ προφήτῃ καὶ ἱερεῖ Ζαχαρίᾳ ἔνδον τοῦ ναοῦ θυμιῶντι ὁ θεῖος ἀρχιστράτηγος εἰπών· « Εἰσηκούσθη ἡ δέησίς σου », (Luc. 1. 13.) ὡς ἐκ τούτου προμηνύεσθαι διὰ τὸ παράδοξον τοῦ τε γήρως καὶ τῆς στειρώσεως καὶ τὴν κύησιν τῆς Ἐλισάβετ [1] τὸν θεῖον καὶ παρθενικὸν τῆς παναχράντου καὶ θεοτόκου Μαρίας τόκον καὶ καθ' ὃν [2] μῆνα ἤρξατο συλλαμβάνειν· κατὰ γὰρ τὸ εὐαγγέλιον ἔνδον | (f. 35.) ὄντι εἰς τὰ ἅγια τῶν ἁγίων τῷ Ζαχαρίᾳ ἄγγελος ὤφθη καὶ εἶπε περὶ τοῦ τόκου τοῦ Ἰωάννου· κατὰ δὲ τὰς γραφάς, ὅτι καὶ ἅπαξ εἰσήρχετο εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεὺς καὶ ποτὲ ἐν τῷ μηνὶ τῷ Γορπιαίῳ τῆς σκηνοπηγίας καὶ τῆς νηστείας τῶν Ἰουδαίων· εἰ τοίνυν μετὰ τὸν Γορπιαῖον μῆνα, ὃς λέγεται σεπτέμβριος, ἀρχὴν ἔλαβε συλλαμβάνειν ἡ Ἐλισάβετ, καθὼς ἀποδέδεικται, εὔδηλον, ὅτι τὸν θεῖον καὶ παρθενικὸν τῆς παναχράντου καὶ θεοτόκου Μαρίας τόκον προμηνύει. Γίνεται δὲ ἡ τοιαύτη σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ, τῷ ὄντι ἐν τοῖς Σφωρακίου [3].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Εὐσεβίου τοῦ ὁμολογητοῦ. Ὃς κρατηθεὶς ὑπὸ τοῦ τῆς Φοινίκης ἄρχοντος ἠρωτήθη καὶ εὐθὺς ἐπὶ ξύλου ἀναρτᾶται καὶ ξέεται τὰς πλευράς, εἶτα τριχῶν ὑφάσμασιν ἅλατι μιγεῖσι τὰ τραύματα ἀναξέεται, εἶθ' οὕτως τὴν κεφαλὴν ἀποτέμνεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀνδρέου, Ἰωάννου, Πέτρου καὶ Ἀντωνίνου, τῶν ἐν Ἀφρικῇ τελειωθέντων κατὰ τοὺς χρόνους Βασιλείου μὲν [1] τὴν Ῥωμαίων βασιλείαν ἰθύνοντος, τῆς δὲ Ἀφρικῆς ἁπάσης τῶν Ἀγαρηνῶν ἐκράτει καὶ ἐτυράννει ὁ ὠμότατος Ἀβραχήν. Οὗτος πορθήσας τὰς Συρακούσας [2] (αὕτη δέ ἐστιν ἡ μητρόπολις [3] Σικελίας) ἐκεῖθεν ἠγάγετο Ἰωάννην ἅμα τοῖς παισὶν αὐτοῦ Πέτρῳ καὶ Ἀντωνίνῳ [4], παῖδας ἔτι ἀώρους [5] τυγχάνοντας· οὓς καὶ παραυτίκα ἐκέλευσεν τοῖς [6] Ἀγαρηνῶν ἐκπαιδεύεσθαι μαθήμασι. Ἐπεὶ δὲ εἰς ἄνδρας ἐτέλουν καὶ φρονήσει καὶ τῇ ἄλλῃ ἀρετῇ πολλοὺς ὑπερεῖχον, ἀγασθεὶς ἐπ' αὐτοῖς ὁ Βελίαρ, γενικὸν μὲν Ἀντωνῖνον [7], σακελλάριον δὲ τὸν Πέτρον προχειρίζεται. Οὗτοι δὲ κρυφίως μὲν ἐχριστιάνιζον, εἰς τὸ φανερὸν δὲ τὰ τῶν Σαρακηνῶν ὑπεκρίνοντο. Ἀλλ' οὐκ ἔλαθον· γνοὺς γὰρ τοῦτο ὁ Ἀβραχὴν καὶ μανείς, τοὺς πόδας αὐτῶν ξύλῳ ἀσφαλισάμενος ξύλοις ἁδροῖς αἰκίζει· τετρακοσίας τοίνυν λαβὼν κατὰ τῶν ποδῶν ὁ μακάριος Ἀντωνῖνος [8] καὶ τούτους κατακλασθεὶς [9] ηὐχαρίστει τῷ Θεῷ· εἶτα ὄνῳ ἐπιβιβάζεται καὶ κατὰ τοῦ σάγματος σχοινίοις δεδεμένος | (f. 35v.) διὰ μέσης τῆς πόλεως θεατρίζεται. Πέτρος δὲ γυμνωθεὶς ῥάβδοις τὸν τένοντα αὐτοῦ καὶ τὴν κοιλίαν αἰκίζεται καὶ τῇ εἱρκτῇ ἀποτίθεται. Ἐξαγαγὼν δὲ αὐτοὺς ἀπὸ τῆς εἱρκτῆς, τοὺς βραχίονας ἀπὸ τῶν ὤμων καὶ τὰς χεῖρας ξύλοις ἀγρίοις

1. — [1] τῆς Ἐλισάβὲτ κύησιν Sa. — [2] ὃν Sa, ἣν S. — [3] Σπαρακίου S, Σφαρρακίου Sa, Σφωρακίου S *ad d. 14 aug.* Codinus, De aedif. *Bonn., p. 82:* τὸν ἅγιον Θεόδωρον τὰ Σφωρακίου Σφωράκιος πατρίκιος ἔκτισεν. *Cf.* Haenel, Corp. leg., *p. 256.*
3. — [1] χρόνους καθ' οὓς Βασίλειος μὲν Sa. — [2] Συρακούσας Sa, Συρρακούσας S. — [3] μητροπόλει S, Sa. — [4] Ἀντωνίῳ S. — [5] ἀόρους S, ἀώρας Sa. — [6] τῶν *add.* Sa. — [7] Ἀντώνιον S. — [8] Ἀντώνιος S. — [9] καταθλασθεὶς Sa.

Sept. 23. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 6. — **H** : 1 : Τὸ νέον ἔτος καὶ ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ. — 5. 4. — **P** : 5. 4. 1 : Τὸ νέον ἔτος καὶ ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ. — **F** : 1. 2. 3. 5. 4. 6. — **Fa** : 1. 2. 3. 5. 4. 6 (Περσίας). — **Fb** : 1. 2. 3. 5. 4. 6. — **B** : 1. 5. 4. — **Ba** : 1. 5. 4. 2 (= S). 3 (= S). — **Bb** : 1. 5. 4. 2. 3. — **T** : 1. — **L** : 1 : Τὸ νέον ἔτος καὶ ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ, ὅτε συνέλαβεν τὸν προφήτην πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην. Γίνεται δὲ ἡ τοιαύτη σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ τῷ ὄντι ἐν τοῖς Παρακείου [1]. — 5. 4. — **O** : 1 : Τὸ νέον ἔτος καὶ ἡ σύλληψις κτλ. — 5. — **G** : 1. 2. 3. — **C** : 1 : Ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ ὅτε συνέλαβε τὸν προφήτην καὶ πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην. Οὗτος ὁ ἅγιος Ζαχαρίας ὁ προφήτης ὑπῆρχεν ἱερεὺς τῶν Ἰουδαίων. Εἰσελθὼν δέ ποτε εἰς τὸν ναὸν τοῦ θυμιᾶσαι, εἶδε Γαβριὴλ τὸν ἄγγελον τοῦ Θεοῦ ἱστάμενον ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος· καὶ ἐφοβήθη φόβον μέγαν καὶ ἐταράχθη σφοδρῶς. Ἰδὼν (Luc. 1, 13, 14.) δὲ αὐτὸν ὁ ἄγγελος ὅτι ἐφοβήθη, εἶπε πρὸς αὐτόν· « Μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς » σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει σοι υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην καὶ ἔσται » χαρά σοι καὶ ἀγαλλίασις καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. » Ὁ δὲ Ζαχαρίας εἰδώς, ὅτι αὐτός ἐστι γέρων καὶ ἡ γυνὴ αὐτοῦ γραῦς, ἀπεκρίθη πρὸς τὸν ἄγγελον καὶ εἶπε· « Κύριε, κατὰ τί » γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης καὶ ἡ γυνή μου προβεβηκυῖα. » Καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ (Ibid. 19.) ἄγγελος καὶ εἶπεν· « Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην εὐαγγελί» σασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἕως οὗ γεννηθῇ ὁ υἱός σου. » Καὶ ἦν μὴ λαλῶν. Συνελήφθη οὖν παραχρῆμα ὁ πρόδρομος τοῦ Χριστοῦ· καὶ ὅτε ἐγεννήθη, ἐδόξασαν τὸν Θεὸν ἡ μήτηρ αὐτοῦ καὶ ὁ πατὴρ αὐτοῦ. — 2 : Εὐσεβίου [2]. Οὗτος εὐσεβὴς ὢν καὶ φιλόθεος, κρατεῖται ὑπὸ τοῦ τῆς Φοινίκης ἄρχοντος· καὶ ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν καὶ θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεὶς ἀλλ' ἐλεγχθεὶς ὑπ' αὐτοῦ ἰσχυρῶς, κρεμᾶται ἐπὶ ξύλου καὶ κατακαίεται τὰς πλευρὰς καὶ ἁλσὶν αὐτὰς ἐν τριχίνοις ὑφάσμασιν ἀνατρίβεται. Ὡς δὲ καὶ ταύτῃ τῇ τιμωρίᾳ ὑπούργει τὸ σῶμα, ἔφησεν ὁ δικαστής· « Οὐ νικήσεις τὴν τοῦ δημίου χεῖρα οὐδὲ τὸ ξίφος ἠκονημένον. » Καὶ ταῦτα εἰπόντος αὐτοῦ καὶ ἀποφηναμένου αὐτοῦ, ξίφει τὴν κεφαλὴν ἀπετμήθη, παραδοὺς τῷ Κυρίῳ τὴν ἁγίαν αὐτοῦ ψυχήν. — 5 : Ἡραΐδος. Ἡ ἁγία παρθένος καὶ ὁσιομάρτυς τοῦ Χριστοῦ Ἡραῒς ὑπῆρχεν ἐκ τῆς

[1] *Cf. supra, lin. 29.* — [2] Εὐσεβείου C.

καταθλᾷ, ἔπειτα τοὺς μηροὺς αὐτῶν καὶ τὰ σκέλη καὶ τοὺς πόδας ὡσαύτως συνέτριψεν, ὡς ὅλον μὲν τὸ ὀστῶδες ἀπαλυνθῆναι, τὸ σαρκῶδες δὲ χυλωθὲν καὶ τῷ αἵματι συμφυραθὲν ἀπονεκρωθῆναι. Μετὰ δὲ ταῦτα ἀνθράκων πλήθη ἀθροίσας καὶ χαλκέα προσκαλεσάμενος, εἶτα εἰσφυσᾶν [10] τῇ σφοδρᾷ τῶν ἀνθράκων πυρᾷ (πλησίον γὰρ αὐτῶν ἦν) προστάξας, σιδηρᾷ λαβίδι καὶ πεπυρακτωμένῳ σιδήρῳ τῶν αἰδοίων αὐτῶν ἐκέλευσε [11] καὶ τῶν λοιπῶν τοῦ σώματος μερῶν ἀποτεμεῖν καὶ τοῖς τῶν μακαρίων στόμασιν ἐμβαλεῖν, ὅπως τὰς σάρκας αὐτῶν καταφάγωσι. Τούτων ἐν τούτοις τελειωθέντων, τὸν πατέρα αὐτῶν Ἰωάννην ἑλκύσας πρὸς ἑαυτὸν καὶ τῇ λαιᾷ χειρὶ τὸν τράχηλον ἀντανακλάσας, τὴν ἰδίαν αὐτοῦ μάχαιραν ἔπηξεν ἐν τῷ φάρυγγι· καὶ οὕτω σπαίροντα ἐπάνω τῶν ἰδίων τέκνων ἀφεικέναι [12] τὸ πνεῦμα· εἶθ' οὕτως πυρὰν πολλὴν ἀνάψας, κατέκαυσεν ἅμα τῶν ἁγίων τὰ σώματα. Τὸν δὲ μακάριον Ἀνδρέαν, γηραιὸν ὄντα πάνυ τὴν ἡλικίαν, χρόνοις πολλοῖς καθειρχθέντα καὶ λιμῷ καὶ δίψει καὶ γυμνότητι καὶ ταλαιπωρίαις τεταριχευμένον καὶ μὴ πειθόμενον τῷ κυνί, τί ποιεῖ ὁ θήρ; ἵππῳ ἐπιβὰς καὶ ἀκόντιον λαβών, κατευθὺ τὸν ἅγιον εὑρὼν κατὰ τοῦ στήθους αὐτοῦ ἐνέπηξεν αὐτό. Ἐπεὶ οὖν ὁ ἅγιος εὐχαριστήσας ἔρρηξε φωνὴν πρὸς τὸν Θεόν, αὖθις ἐκ τῶν ὄπισθεν ὁ μιαιφόνος παριὼν ἑτέρῳ τοῦτον ἔβαλε κατὰ τοῦ νώτου πελτῷ· καὶ οὕτω κατὰ τῶν σπλάγχνων αὐτοῦ τῶν δοράτων διαδυομένων, πίπτει ὁ μακάριος κατὰ τῆς γῆς, μαχαίρᾳ τὴν τιμίαν ἀφαιρεθεὶς κεφαλήν· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. (Sept. 23)

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων γυναικῶν Ξανθίππης καὶ Πολυξένης τῶν αὐταδέλφων, αἵτινες ὑπῆρχον | (f. 36.) ἐπὶ Κλαυδίου Καίσαρος, τῆς [1] Ἱσπανῶν χώρας. Ὧν ἡ [2] μὲν Ξανθίππη γυνὴ ὑπῆρχε Πρόβου ἀνδρός, τὴν ἀρχὴν ἰθύνοντος τῆς χώρας. Αὕτη ἐμαθητεύθη παρὰ τοῦ ἀποστόλου Παύλου, κατὰ τὴν χώραν ἐνδημήσαντος [3], καὶ παραίτιος γέγονε πίστεως καὶ σωτηρίας καὶ τῷ ἀνδρὶ αὐτῆς καὶ ἑτέροις πολλοῖς. Ἡ δὲ Πολυξένη πρὸ τοῦ βαπτίσματος ἡρπάγη παρά τινος ἐν διαφθορᾷ· ἀλλὰ χάριτι Θεοῦ ἄφθορος ἔμεινε, τάχα [4] πολλῶν συμπεσόντων [5] αὐτῇ δυσχερῶν. Ἤκουσε δὲ καὶ τοῦ ἀποστόλου Πέτρου παραπλέουσα καὶ πάλιν τοῦ ἀποστόλου Φιλίππου ἐν τῇ Ἑλλάδι γενομένη καὶ ἔσχατον τοῦ ἀποστόλου Ἀνδρέου, ὃς καὶ ἐβάπτισεν αὐτήν. Πολλῶν δὲ πιστευσάντων δι' αὐτῆς, παραλαβοῦσα Ὀνήσιμον τὸν ἀπόστολον, ὥρμησεν ἐπὶ τὴν πατρίδα αὐτῆς Ἱσπανίαν μετὰ τὸν πολὺν ἐκεῖνον πλοῦν καὶ τὰς ἀπείρους φυγάς, συνεπαγομένην [6] ἔχουσα καὶ τὴν Ῥεβέκκαν [7], μεθ' ἧς ἐβαπτίσθη· καὶ κατέλαβε τὴν ἑαυτῆς ἀδελφὴν Ξανθίππην· αὗται [8] τὸν ὑπόλοιπον βίον καλῶς ἀνύσασαι καὶ πολλὰς δυνάμεις ἐπιδειξάμεναι, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησαν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος

— [10] εἰσφυσσᾶν S. — [11] ἐκέλευε Sa. — [12] ἀφεῖναι Sa.
4. — [1] ἐκ τῆς Sa. — [2] ἡ Sa, οἱ S. — [3] ἐνδημήσαντος Sa, δημήσαντος S. — [4] τάχα *om.* Sa. — [5] ἐμπεσόντων Sa. — [6] συνεπομένην Sa. — [7] Ῥεβέκαν Sa. — [8] τοίνυν *add.* Sa.

Αἰγυπτίων χώρας καὶ πόλεως Ἀλεξανδρείας. Πλέοντος δὲ εἰς τὸν αἰγιαλὸν τῆς πόλεως Ἀλεξανδρείας (Sept. 23.) τοῦ ἡγεμόνος, καὶ ἔχοντος μεθ' ἑαυτοῦ πλῆθος χριστιανῶν δεσμίων, πρεσβυτέρων, διακόνων, μοναζόντων, ἁγίων γυναικῶν καὶ παρθένων, εἶδεν αὐτοὺς ἡ μακαρία Ἡραῒς ἔτι γεμίζουσα ὕδωρ καὶ τὸ ἅγιον σχῆμα περιβεβλημένη τῶν μοναζουσῶν καὶ ἠρώτησε τὰς παρθένους ὅτι διὰ τί ἐν δεσμοῖς κατέχονται; Αἱ δὲ παρθένοι εἶπον ὅτι· « Διὰ τὸ ὄνομα τοῦ Χριστοῦ τὰ δεσμὰ περικείμεθα, ὅπως ὑπὲρ αὐτοῦ μαρτυ» ρήσωμεν καὶ σωθῶμεν· » ὅθεν παρεκάλεσε τὸν κομενταρήσιον ἡ ἁγία Ἡραΐς, καὶ συνέδησε καὶ αὐτὴν μετὰ τῶν λοιπῶν ἁγίων. Καταλαβόντες οὖν τὴν Ἀντινοούπολιν καὶ πολλὰ τιμωρηθέντες παρὰ τοῦ ἡγεμόνος καὶ μὴ πεισθέντες θῦσαι τοῖς εἰδώλοις, διὰ ξίφους ἐτελειώθησαν ἅπαντες. — 4 : Ξανθίππης καὶ Πολυξένης. Αὗται ὑπῆρχον ἐπὶ τῆς βασιλείας Κλαυδίου Καίσαρος ἐκ πόλεως ὁρμώμεναι τῆς Σπανίας. Καὶ ἡ μὲν Ξανθίππη γυνὴ ἐτύγχανε Πρόβου ἀνδρὸς τὴν ἀρχὴν ἐπέχοντος [3] τῆς χώρας. Ἡ δὲ Πολυξένη πρῶτον μὲν ἤκουσε τοῦ ἀποστόλου Πέτρου καὶ πάλιν τοῦ ἀποστόλου Φιλίππου καὶ ἔσχατον τοῦ ἀποστόλου Ἀνδρέου· ὅστις καὶ ἐβάπτισεν αὐτὴν κατὰ τὴν Ἑλλάδα παραγεναμένην παρά τινος ἁρπάσαντος αὐτήν, ἀλλὰ μὴ διαφθείραντος Θεοῦ χάριτι. Ἀνακάμψασα δὲ ἐπὶ τὴν πόλιν αὐτῆς Σπανίαν μετὰ παρθένου τινὸς ὀνόματι Ῥεβέκκας, ἥτις ἦν ἐκ τῶν Ἰουδαίων, εὗρε τὴν αὐτῆς ἀδελφὴν Ξανθίππην διαλάμπουσαν ἐν ταῖς ἀρεταῖς· καὶ διδάξασαι πολλὰς τὴν τοῦ Χριστοῦ πίστιν, ἐν εἰρήνῃ ἐτελειώθησαν. — 3 : Ἀνδρέου, Ἰωάννου, Πέτρου, Ἀντωνίου τῶν ἐν Ἀφρικῇ τελειωθέντων. Κατὰ τοὺς χρόνους Βασιλείου τοῦ εὐσεβοῦς βασιλεύοντος, Ἀβράχημ [4] ὁ τῶν Ἀγαρηνῶν ἔξαρχος πορθήσας τὰς Συρακούσας Ἰωάννης [5] ἅμα τοῖς υἱέσι Πέτρῳ <καὶ [6]> Ἀντωνίῳ ἐκ Σικελίας εἰς Ἀφρικὴν εἰσάγεται· οὓς τοῖς Ἀγαρηνῶν ἐκέλευσεν ἐκπαιδεύεσθαι μαθήμασιν. Οἱ εἰς ἄνδρας αὐτῷ τελεῖν κατοφθέντες, δημοσίας τινὰς διοικεῖν φροντίδας κελεύονται· ὑποκρινόμενοι μὲν τὴν τῶν Σαρακηνῶν μιαρὰν καὶ βέβηλον θρησκείαν [7], ὅλως δὲ τῷ Θεῷ προσανέχοντες καὶ συχνὰς ἐλεημοσύνας τοῖς ἐνδεέσι παρέχοντες· ἐπεὶ δὲ οὐκ ἔλαθον φυλακῇ βάλλονται ξύλῳ τοὺς πόδας πεδοῦνται, ῥάβδοις κατὰ τῶν ποδῶν αἰκίζονται· ὅθεν τριακοσίας πληγὰς δεξάμενος Ἀντώνιος ὄνῳ τε ἐπικαθεσθεὶς πομπεύεται ἐπὶ μέσης τῆς πόλεως. Πέτρος δὲ κατὰ τῆς γαστρὸς καὶ τοῦ τένοντος ῥάβδοις αἰκίζεται καὶ τῇ εἱρκτῇ δίδοται· ἔπειτα τοὺς βραχίονας καὶ τὰς χεῖρας, τὰ σκέλη καὶ τοὺς πόδας ξύλοις θλῶνται καὶ πεπυρωμένῃ [8] πυράγρᾳ τὰ αἰδοῖα τοῦ σώματος ἀποτέμνονται, <ἃ [6]> καὶ τῷ στόματι προσάγονται. Ἐπὶ τούτοις δὲ τῶν ἁγίων τελειωθέντων, ὁ πατὴρ αὐτῶν Ἰωάννης μαχαίρᾳ πληγεὶς κατὰ τοῦ φάρυγγος, καὶ αὐτὸς ἀφῆκε τὸ πνεῦμα. Τὰ δὲ σώματα αὐτῶν

— [3] ἐπέχων C. — [4] Brachimus *in Vita S. Eliae iunioris*, Act. SS., *Aug. t. III, p. 501,* Abrami rex Sarracenorum, Lupus protospatarius *ad an. 901,* M. G., *Scr. V, p. 53.* — [5] Ἰωάννη C. — [6] *om.* C. — [7] μιαρᾷ ... θρησκείᾳ C. — [8] πεπυρωμένα C.

Sept. 23. Ἡραΐδος [1] τῆς παρθένου, τῆς τῶν Αἰγυπτίων χώρας ὁρμωμένης ἐν τόπῳ ἐπιλεγομένῳ Τάμα. Προεγράφη δὲ τὰ κατ' αὐτὴν ἐν τῇ πέμπτῃ τοῦ αὐτοῦ μηνός· ἡ αὐτὴ δέ ἐστι, κἂν εὑρίσκεται ἐν διαφόροις συναξαρίοις εἴς τε τὰς πέντε [3] καὶ εἰς τὰς εἴκοσι τρεῖς [2].

6. Τῇ αὐτῇ ἡμέρᾳ [1] μνήμη τῆς ἁγίας μάρτυρος Περσίσσης [2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Sept. 24. **1**. Ἄθλησις τῆς ἁγίας πρωτομάρτυρος ἐν γυναιξὶ καὶ ἀποστόλου Θέκλας [1]. Αὕτη γέγονεν ἐκ πόλεως Ἰκονίου [2], μητρὸς Θεοκλείας τῶν εὐγενῶν καὶ ἐνδόξων. Κατηχήθη δὲ τὸν λόγον τῆς πίστεως παρὰ Παύλου τοῦ θείου ἀποστόλου, διδάσκοντος ἐν τῷ τοῦ Ὀνησιφόρου οἴκῳ. Ἦν δέ, ὅτε προσῆλθε τῇ πίστει, ἐτῶν δεκαοκτώ, μνηστευθεῖσα Θαμυρίδι· τῷ δὲ θείῳ ἔρωτι μᾶλλον γενομένη κάτοχος, περιφρονήσασα καὶ μητρὸς καὶ μνηστῆρος, τῷ Παύλῳ ἠκολούθησε· καὶ μετ' αὐτοῦ γενομένη ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας [3] καὶ τῷ τῆς πόλεως ἡγεμόνι
f. 36v. ἐμφανισθεῖσα, | θηρίοις ἐκδίδοται· μείνασα δὲ τῆς ἐξ αὐτῶν λύμης ἀλώβητος, ὡς καὶ πρότερον τῆς καμίνου, εἰς ἣν ἀπερρίφη ἐν Ἰκονίῳ, ἐκ νεφέλης ὕδατος καὶ χαλάζης αὐτῇ ἐκχυθέντων καὶ πολλοὺς τῶν ἀπίστων διαφθειράντων, ἐπὶ πλεῖον [4] ἐπέτεινεν ἑαυτὴν τῷ τοῦ Χριστοῦ πόθῳ· ἣν γὰρ αὐτὸς ὁ Χριστὸς ἐν εἴδει Παύλου φανεὶς αὐτῇ. Ταύτης δὲ λεγούσης πρὸ τοῦ ἐπιβῆναι τοῦ πυρός· «Ὡς μικρο» ψύχῳ καὶ ἀγεννεῖ πάντως οὔσῃ ἦλθε Παῦλος » ὀφθῆναί μοι, » ὁ Χριστὸς εἰς οὐρανοὺς ἀνήει ὁρώσης αὐτῆς· καὶ ταῦτα μὲν [5] πρὸ τοῦ ἐπιβῆναι τοῦ πυρός· πρὸ δὲ τοῦ θηρίοις ἐκδοθῆναι ἐν Ἀντιοχείᾳ Φαλκωνίλλαν [6] τὴν θυγατέρα Τρυφαίνης, θανοῦσαν καὶ ἑλληνίδα οὖσαν τῇ πίστει, μετήνεγκε διὰ προσευχῆς ἐπὶ τὸν χορὸν τῶν δικαίων· ἦν γὰρ ἡ Φαλκωνίλλα τοῦτο αἰτησαμένη δι' ὀνειράτων Τρύφαιναν τὴν [7] οἰκείαν μητέρα· ὡς δὲ τῶν θηρίων, ἄρκτου τε καὶ λεαίνης καὶ λέοντος παραδόξως ἀπηλλάγη, ἰδοῦσα λάκκον μεμεστωμένον ὕδατος καὶ φώκας ἔχοντα ἐν τῷ ὕδατι, καθῆκε τῷ λάκκῳ ἑαυτὴν εἰποῦσα· « Βαπτίζομαι ἐν τῷ ὀνόματί σου, » κύριε Ἰησοῦ Χριστέ. » Τῇ ὑστέρᾳ τῇδε ἡμέρᾳ ἀμέλει [8] καὶ θηρίων ἑτέρων τῷ λάκκῳ ἐπιβληθέντων, πυρὸς καὶ ἀστραπῆς φέγγος ταῖς φώκαις ἐπιφανὲν νεκρὰς πάσας ἀναπλεῦσαι (ὡσαύτως καὶ τὰ θηρία) πεποίηκε· τὴν Θέκλαν δὲ νεφέλη πυρὸς ἐπισκιάσασα, οὐ μόνον ἄψαυστον αὐτὴν ἐποίησεν, ἀλλὰ καὶ γυμνὴν θεωρεῖσθαι οὐ παρεῖχέ τινι· ὕστερον δὲ προσδεθεῖσα καὶ ταύροις καὶ ὑπεράνω πάντων γενομένη [9] καὶ πολλοὺς πρὸς τὴν πίστιν ἐπιστρέψασα καὶ ἐν Μύροις τῆς Λυκίας γενομένη

5. — [1] Ἡραΐδος S, Ἱεραΐδος Fa. — [2] *ita* S.
6. — [1] καὶ Sa. — [2] Περσίας Fa.
1. — [1] Θέκλης Sa. — [2] Εἰκονίου Sa. — [3] Πισσιδίας Sa. — [4] πλέον Sa. — [5] μὲν *om.* Sa. — [6] Φαλκωνίλαν Sa. — [7] τε S. — [8] ἀμέλλει S. — [9] (ταύροις - γενομένη) ταύροις ἀγρίοις καὶ ἐπὶ πᾶσι τούτοις χάριτι Χριστοῦ ὑπερνικήσασα Sa.

Sept. 23. πυρὶ παρεδόθησαν. Ὁ δὲ μακάριος Ἀνδρέας ἔτεσι πλείστοις τῷ δεσμωτηρίῳ προσταλαιπωρήσας, ὥσπερ τις σκοπὸς στὰς λόγχῃ μιᾷ κατὰ τοῦ στήθους βάλλεται καὶ ἑτέρᾳ κατὰ τοῦ νώτου, καὶ πεσὼν ἐπὶ τῆς γῆς τὴν κεφαλὴν τέμνεται· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. — **Cb** : 1 : τὸ νέον ἔτος καὶ ἡ σύλληψις κτλ. — 2. 5. 4. — **M** : 1. 3. 5. 4. — **Mv** : 1. 3. 5. 4. — **Mr** : 1.

Sept. 24. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : 1. — Τῆς ἁγίας μάρτυρος Πέρσης (Sept. 23[6]). — **F** : 1. — **Fa** : 1. — **Fb** : 1. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **O** : 1, ita des. : ἐγένετο δὲ ὁ πᾶς χρόνος αὐτῇ ἔτη ἐνενήκοντα, ὡς εἶναι μετὰ τὸ προσελθεῖν αὐτὴν τῇ πίστει ἔτη δύο καὶ ἑβδομήκοντα, ἐν οἷς τὸν καλὸν ἀγῶνα ὑπὲρ τῆς εἰς Χριστὸν διήνυσεν πίστεως. Τελεῖται δὲ ἡ ταύτης σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Κριθοπωλίοις [1], τῆς κατὰ συνήθειαν <λιτῆς [2]> ἀπερχομένης ἐν τῷ Φόρῳ καὶ μετὰ τὴν ἐκεῖ συνήθη εὐχὴν ἐν τῷ πανσέπτῳ αὐτῆς διαβαινούσης ναῷ. — **G** : 1. — **C** : 1, mutil. — **Cb** : 1. — Τῆς ἁγίας μάρτυρος Πέρσης. — **M** : 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Κόπριος. Οὗτος ἐν κοπρίᾳ ἐγεννήθη, ἔξω τῆς μονῆς τοῦ μεγάλου Θεοδοσίου τοῦ κοινοβιάρχου, παρὰ γυναικὸς διωκομένης ὑπὸ τῶν Ἀγαρηνῶν μετὰ καὶ ἄλλων οὐκ ὀλίγων πλησιοχώρων προσφυγόντων τῷ ἁγίῳ ἐπὶ σωτηρίᾳ. Μετὰ γοῦν τὴν τῶν ἀθέων [3] διάβασιν, κατασιγασθέντων ὑπὸ τῆς ἐνοικούσης αὐτῷ θείας χάριτος εὑρόντες οἱ μοναχοὶ τῆς μονῆς τὸ γεννηθὲν ἐν τῇ κοπρίᾳ παιδίον, προστάξει τοῦ μεγάλου Θεοδοσίου, ἀνελάβοντο [4] τοῦτο καὶ Κόπριν ὠνόμασαν· ἐτρέφετο δὲ τὸ παιδίον γάλακτι αἰγός. Ἡ γοῦν ἀφορισθεῖσα αἲξ πρὸς τὸ θηλάζεσθαι [5] τὸ παιδίον ἐνέμετο μὲν μετὰ τῶν λοιπῶν· ὁπηνίκα δὲ τὴν ὥραν τοῦ θηλάσαι τὸ παιδίον ἐστοχάσατο [6], μόνη κατήρχετο ἐκ τοῦ ὄρους· καὶ μετὰ τὸ θηλάσαι τὸ παιδίον, πάλιν ὑπέστρεφε· καὶ τοῦτο οὕτως ἐποίει, μέχρις ἂν ὁ παῖς δραστικωτέρας ἐδράξατο τροφῆς. Οὕτως εἰς ἡλικίαν τελειοτέραν [7] φθάσας, ποθεινὸς ἦν τῷ μεγάλῳ Θεοδοσίῳ· διὸ καὶ Πνεύματος ἁγίου κατηξιώθη [8], καὶ τὸ κατ' εἰκόνα φύλαξας τὰ θηρία ὑπέτασσε [9]· ἄρκτον γὰρ εὑρών ποτε [10] ἐν τῷ κήπῳ [11] θριδακίνας ἐσθίουσαν καὶ ἐκ τοῦ ὠτὸς κρατήσας αὐτήν, ἤγαγεν ἔξω καὶ τῇ τοῦ μεγάλου εὐχῇ ταύτην ἀσφαλισάμενος· ἡ δὲ [12] οὐδέποτε ἄλλοτε ὥρμησεν ἐν τῷ κήπῳ εἰσελθεῖν. Ἀλλὰ καὶ μετὰ ὄνου εἰς τὸ ὄρος ἀνελθὼν χάριν μετακομιδῆς [13] ξύλων <ὡς [14]> ἐποιεῖτο <τὴν τούτων [15]> συλλογήν, ἄρκτος ἐλθοῦσα ἔπληξε τὸν ὄνον [16] ἐν τῷ μηρῷ. Κρατήσας οὖν τὴν ἄρκτον ὁ Κόπρις ἐπέθηκεν αὐτῇ τὰ ξύλα, λέγων· « Οὐκ ἐῶ σε· σὺ γὰρ ποιήσεις τὸ τοῦ ὄνου διακόνημα, ἄχρις ἂν ὑγιὴς γένηται. » Καὶ τῇ εὐχῇ τοῦ μεγάλου ὑπετάσσετο αὐτῷ ἡ ἄρκτος καὶ διεκόμιζε τὰ ξύλα. Οὗτος, ὅτε ἐν τῷ μαγειρείῳ ἐξυπηρέτει,

[1] κριθοπολίοις O. — [2] λιτῆς *suppleri*, *om.* O. — [3] τὴν τῶν ἀθέων Mv. τὴν ἄθεον M. — [4] ἀντελάβοντο M. — [5] θηλάζειν Mv. — [6] ἐστοχάζετο Mv. — [7] τελεωτέραν Mv. — [8] ἠξιώθη Mv. — [9] ὑπέταξε Mv. — [10] *om.* Mv. — [11] ποτε *add.* Mv. — [12] ἡ δὲ *om.* Mv. — [13] συγκομιδῆς Mv. — [14] ὡς Mv, *om.* M. — [15] τὴν τούτων Mv, *om.* M. — [16] τὸν ὄνον M, τοῦτον Mv.

πρὸς τὸν ἅγιον Παῦλον καὶ ὑπ' αὐτοῦ τὴν ἀποστολὴν λαβοῦσα, ἐν τῇ ἰδίᾳ πατρίδι παραγίνεται· καὶ ἔν τινι τῶν ὀρέων τῆς λεγομένης παλαιᾶς Σελευκείας, καλουμένῳ Καλαμεῶνι [10], ἰδιάσασα τὸν βίον κατέλιπε, πέτρας ῥαγείσης καὶ ὑποδεξαμένης αὐτήν, ὡς μηδεμίαν ὅλως ἁρμονίαν [11] φαίνεσθαι. Ὁ δὲ πᾶς χρόνος [12] αὐτῆς ἐγένετο ἔτη ἐνενήκοντα. Πολλὰ δὲ θαύματα ἰδιάζουσα πεποίηκεν ἡ πρωτό-
f. 37. μαρτυς· | εἰς τὴν πέτραν δὲ διὰ τοὺς αὐτῇ ἐπιστάντας ἀκολάστους ἄνδρας τοῦ διαφθεῖραι αὐτὴν εὐξαμένη ῥυσθῆναι εἰσῆλθε, θείας φωνῆς αὐτῇ προτρεψάσης. Οἱ δὲ βέβηλοι οὗτοι ἄνδρες τὸ μέγα τοῦτο θεασάμενοι [13] θαῦμα, τοῦ ὠμοφορίου τῆς καλλινίκου ἐπιλαβόμενοι διεσπάσαντό τι μέρος κατὰ θείαν οἰκονομίαν, εἰς πίστιν μὲν τοῦ γενομένου, εἰς εὐλογίαν δὲ καὶ παραμύθιον τῶν εἰς ὕστερον φιλοχρίστων. Τελεῖται δὲ ἡ αὐτῆς [14] σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Κριθοπωλίοις [15]. Sept. 24.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Σαβινιανοῦ [1], Παύλου καὶ Τάττης [2] γνησίων ἀδελφῶν ἐκ πόλεως Δαμασκοῦ. Sept. 25.

2. Καὶ τοῦ ὁσίου Θεοφίλου ἀρχιεπισκόπου Ἐφέσου τοῦ ὁμολογητοῦ.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας καὶ ἀειμνήστου Εὐφροσύνης. Αὕτη γέγονε θυγάτηρ Παφνουτίου τοῦ Αἰγυπτίου, ἀνδρὸς σφόδρα πλουσίου. Ἥτις μόνη αὐτῷ καταλειφθεῖσα, τῆς μητρὸς τὸν βίον ἀπολιπούσης, πρὸς ὥραν ἐλθοῦσα τοῦ γάμου, λάθρα τοῦ πατρὸς κειραμένη τὴν κόμην καὶ ἀνδρὸς σχῆμα ἀναλαβοῦσα, πρός τι μοναστήριον ἔρχεται, Σμάραγδος λεγομένη καὶ τὸν εὐνοῦχον ὑποκρινομένη [1]· πᾶσαν δὲ ἄσκησιν διελθοῦσα καὶ ὑπὸ πάντων διαβοωμένη ἐθαυμαστώθη. Μετὰ δὲ τριάκοντα ὀκτὼ [2] ἐτῶν περίοδον ἀρρωστίᾳ περιπεσοῦσα, πολλῶν ἐρχομένων εἰς ἐπίσκεψιν [3], συνῆλθεν ὡς εἷς τῶν πολλῶν καὶ ὁ ταύτης πατήρ [4]. Ἡ δὲ τοῦτον ἰδοῦσα ἔφη· « Μὴ λυποῦ, πάτερ, μηδὲ ζήτει » τὸ τέκνον σου· ἐγὼ γάρ εἰμι. » Καὶ παραυτίκα τὴν ψυχὴν τῷ Θεῷ παρέθετο. Αὐτὸς δὲ ἀθυμίᾳ τὴν ψυχὴν [5] παραλυθείς, ἐφ' οἷς εἶδε, μόλις ποτὲ εἰς ἑαυτὸν ἐλθὼν τό· « Κύριε ἐλέησον » ἀνέκραξε καὶ τὸ κελλίον τῆς θυγατρὸς παραλαβὼν καὶ πάντα τὸν λοιπὸν [6] χρόνον ἐν αὐτῷ διανύσας, πρὸς Κύριον [7] ἐξεδήμησε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου καὶ ὁσιομάρτυρος Παφνουτίου. Ὅς [1] ἦν ἐπὶ Διοκλητια-

— [10] Καλαμιῶνι Sa, *et* Acta Pauli et Theclae *in cod. G*, Lipsius, *p. 271*. — [11] ἁρμογὴν Sa. — [12] τῆς ζωῆς *add.* Sa. — [13] θεασάμενη Sa. — [14] ταύτης Sa. — [15] κριθοπωλείοις Sa.
1. — [1] Σαβιανοῦ Sa. — [2] Τάτης Sa.
3. — [1] (καὶ - ὑποκρινομένη) *om.* Sa. — [2] λ' καὶ η' Sa. — [3] ταύτης *add.* Sa. — [4] ὁ πατὴρ αὐτῆς Sa. — [5] (τῷ Θεῷ - ψυχὴν) *om.* Sa. — [6] ἐπίλοιπον Sa. — [7] Θεὸν Sa.
4. — [1] *Hoc loco membrana lacera* S.

τοῦ χαλκοῦ σκεύους παφλάζοντος [17] καὶ τοῦ ὀσπρίου ἐκχεομένου, μὴ [18] εὑρὼν τὸ κατὰ συνήθειαν ξύλον, χαλάσας γυμνὴν τὴν χεῖρα εἰς τὸν παφλάζοντα [19] λέβητα [20], κατέπαυσε τὸν βρασμὸν αὐτοῦ, ἀβλαβὴς διαμείνας. Οὗτος ἐννενηκονταετὴς γεγονὼς ἔλαμπε μέσον τῶν ἁγίων [21] πατέρων ἐκείνων ὥσπερ τις ἥλιος, τῇ ἱερωσύνῃ [22] κοσμούμενος καὶ παντοίαις ἰδέαις ἀρετῶν· καὶ ἐν ἀποκρύφῳ ἀεὶ ἑστὼς τόπῳ, παρέτεινε τὰς πρὸς Κύριον εὐχάς, ὡς καὶ τὸν μέγαν Θεοδόσιον μετὰ τὴν πρὸς Κύριον αὐτοῦ ἐκδημίαν φαίνεσθαι συνερχόμενον αὐτῷ καὶ συμψάλλοντα, καὶ τὸ τελευταῖον εἰπεῖν πρὸς αὐτόν· « Ἰδού, ἀδελφὲ » Κόπρι, ὁ καιρὸς τῆς ἀναλύσεώς σου ἐπέστη, καὶ ἐλθὲ πρὸς ἡμᾶς ἐν τῷ ἑτοιμασθέντι σοι τῆς ἀναπαύ» σεως τόπῳ. » Ὡς οὖν [23] ἤκουσεν ὁ θαυμάσιος, μετ' ὀλίγας ἡμέρας μικρὸν μαλακισθεὶς καὶ τοὺς ἁγίους πατέρας ἀσπασάμενος, ἀπῆλθεν ἐν εἰρήνῃ πρὸς Κύριον. — **Mv** : 1. — Κόπριος. — **Mr** : 1. — Κόπρις. Sept. 24.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 4. — Ἴας (Sept. 11[2]). — 1. — **P** : Ἴας. — 4. 1. 3. 2. — Καὶ Ῥωμανοῦ μάρτυρος. — **F** : 5. 4. 1. — Καὶ τῶν ἁγίων μαρτύρων Πρίσκου καὶ Νικολάου ἐν Βλαχέρναις (Sept. 22[4]). — Καὶ Ῥωμανοῦ μάρτυρος. — 2. 3. — **Fa** : 5. 4. 1. — Πρίσκου καὶ Νικολάου. — Καὶ Ῥωμανοῦ. — 2. 3. — **Fb** : 5. 4. 1. — Πρίσκου καὶ Νικολάου. — Καὶ Ῥωμανοῦ. — 2. 3. — **B** : 5 : Ἡ ἀνάμνησις τῶν φόβων τοῦ μεγάλου σεισμοῦ, καὶ τῆς τοῦ παιδὸς ἐν ἀέρι ἁρπαγῆς [1]. Ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου [2] Θεοδοσίου σεισμὸς ἐγένετο, οἷος οὐδέποτε γέγονεν. Ἐξ οὗ καὶ πᾶς ὁ λαὸς σὺν τῷ βασιλεῖ καὶ τῷ πατριάρχῃ ἀφέντες τὴν πόλιν, ἐξῆλθον ἐν τῷ Κάμπῳ πλησίον τοῦ Ἑβδόμου καὶ ἔμενον ἐκεῖ, διότι ἀκατάπαυστος ἦν ὁ σεισμός. Λιτανευόντων δὲ ἀπὸ τοῦ Ἑβδόμου εἰς τὸν Κάμπον πρὸς τὸ τριβουνάλιον, καὶ προστιθεμένου εἰς τό· «Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, » τοῦ « Ὁ » σταυρωθεὶς δι' ἡμᾶς, » ὅπερ ἦν τῆς τῶν θεοπασχιτῶν αἱρέσεως βλασφημούντων ὅτι καὶ ἡ θεότης ἔπαθεν ἐν τῷ σταυρῷ, ἐξαίφνης παιδίον ἐκ μέσου τοῦ πλήθους ἁρπαγὲν εἰς τὸν ἀέρα ἀνεφέρετο. Πάντων δὲ μετὰ φόβου κραζόντων τὸ « Κύριε ἐλέησον », κατέβη τὸ παιδίον ὡς ὑπὸ νεφέλης ἡσύχως καὶ παρεκελεύσατο τῷ λαῷ σιωπῆσαι· καὶ εἶπεν, ὅτι οἱ τῶν ἀγγέλων χοροὶ χωρὶς τῆς προσθήκης τοῦ « Ὁ σταυρωθεὶς δι' ἡμᾶς » ψάλλουσι τὸν τρισάγιον ὕμνον. Τοῦτο δὲ εἰπόντος τοῦ παιδίου καὶ παραχρῆμα τελευτήσαντος, ἐπαύσατο σὺν τῇ αἱρέσει καὶ ὁ σεισμός. Καὶ ἐθαύμασαν ἅπαντες, δοξάζοντες τὸν Θεόν. — 4 : Παφνουτίου. Ἡ τοῦ δυσσεβοῦς βασιλέως Διοκλητιανοῦ ὠμότης πολλοὺς τῶν χριστιανῶν ἀπέδειξε μάρτυρας οὐ μόνον ἐκ τῶν λαϊκῶν, ἀλλὰ καὶ ἐκ τῶν μοναχῶν· ὧν εἷς ἦν καὶ ὁ ὅσιος Παφνούτιος. Οὗτος γὰρ ἐξ Αἰγύπτου καταγόμενος, καταλιπὼν τὸν κόσμον, τὸν πλεῖστον τῆς ζωῆς αὐτοῦ χρόνον διέτριβεν ἐν ἐρήμοις. Διὰ δὲ τὸ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφειν πρὸς τὸν Sept. 25.

— [17] καχλάζοντος Mv. — [18] εὐχερῶς *add.* Mv. — [19] παμφλάζοντα M. — [20] (εἰς - λέβητα) *om.* Mv. — [21] *om.* Mv. — [22] ἱεροσύνης Mv. — [23] δὲ Mv.
[1] (καὶ - ἁρπαγῆς) *om.* Ba. — [2] μικροῦ Ba.

Sept. 25. νοῦ τοῦ βασιλέως, τὸ γένος Αἰγύπτιος πόλεως Γεντυρίας[2], τὸν πλεῖστον χρόνον διάγων ἐν ἐρήμοις[3]· ζητούμενος δὲ παρὰ τοῦ ἡγεμόνος Ἀριανοῦ[4] διὰ τὸ[3] πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφειν πρὸς τὸν Θεόν, ἐξ ἐπιφανείας ἀγγέλου κατῆλθε. Πρὸς f. 37v. ὃν | παρρησιασάμενος, δεσμεῖται σιδήροις καὶ ἐπὶ ξύλου ἀναρτᾶται[5] καὶ ξέεται ἐπὶ τοσοῦτον, ὥστε τὰ ἐντὸς αὐτοῦ προῦπτον φανῆναι καὶ ἐκχυθῆναι· παραδόξως οὖν αὖθις ὑπὸ θείου ἀγγέλου ὑγιασθείς[6], ὡς ταῦτα προσαρμόσαντος τῷ σώματι, ὅθεν ἐξῆλθον, καὶ ἐμφανισθεὶς τῷ ἡγεμόνι, πολλοῖς αἴτιος πίστεως καὶ μαρτυρίου γέγονε. Διὸ πάλιν τροχῷ δεσμεῖται καὶ τῇ φορᾷ τοῦ τροχοῦ κατατμηθεὶς τὰ μέλη, χάριτι Χριστοῦ ὑγιὴς ἀποκατέστη[7]. Διὸ καὶ πρὸς τὸν βασιλέα Διοκλητιανὸν παραπεμφθεὶς καὶ σταυρῷ προσηλωθεὶς ἐπὶ δένδρου φοίνικος, τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν μετὰ φιλανθρωπίας Θεοῦ γενομένων φόβων καὶ πρὸ τῆς ἀναστάσεως δειξάντων ἡμῖν τὴν ἡμέραν τῆς ἀναστάσεως, τοῦ μεγάλου σεισμοῦ καὶ τῆς τοῦ παιδὸς ἐν τῷ ἀέρι ἁρπαγῆς. Τοῦ γὰρ λαοῦ παντὸς σὺν τῷ βασιλεῖ Θεοδοσίῳ καὶ Πρόκλῳ πατριάρχῃ σὺν παντὶ τῷ τῆς ἐκκλησίας πληρώματι καὶ πάσῃ τῇ πολιτείᾳ ἔξω τῆς πόλεως ἐν τῷ κάμπῳ τοῦ Ἑβδόμου διὰ τὸν φόβον τῶν σεισμῶν λιτανευόντων, ἤδη τῆς τῶν θεοπασχιτῶν αἱρέσεως ἐξ ἐπηρείας τοῦ[1] διαβόλου ἀρχὴν[2] λαμβανούσης, καὶ τῷ τρισαγίῳ ὕμνῳ τὸ « ὁ σταυρωθεὶς Θεός » βλασφημούντων καὶ τὸ πάθος τῇ ἀπαθεῖ[3] φύσει προσαπτόντων, ἐξαίφνης παιδίον ἀπὸ μέσου τοῦ πλήθους ἁρπαγὲν εἰς τὸν ἀέρα ἐφέρετο. Πάντων δὲ ἐν ἐκπλήξει καὶ φόβῳ κραζόντων ἐπὶ πολλὰς ὥρας τὸ « Κύριε ἐλέησον, » αὖθις κατηνέχθη τὸ παιδίον ὡς[4] ὑπὸ νεφέλης καθιέμενον[5] καὶ φωνῇ μεγάλῃ παρεκελεύσατο, ὅτι οἱ τῶν ἀγγέλων χοροὶ ἄνευ τῆς προσθήκης τοῦ· « Ὁ σταυρωθεὶς » τὸν τρισάγιον ὕμνον ἀναπέμπουσι τῷ Θεῷ· « Ἅγιος ὁ » Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον » ἡμᾶς »· καὶ εὐθὺς ταῖς τοιαύταις φωναῖς ἀπέδωκε τὴν ψυχὴν τῷ Θεῷ καὶ ὁ τοῦ σεισμοῦ κλόνος ἐπαύσατο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛʹ.

Sept. 26. **1.** Μνήμην ἐπιτελοῦμεν τῆς μεταστάσεως τοῦ ἁγίου Ἰωάννου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ[1]. Οὗτος[2] ἦν υἱὸς Ζεβεδαίου[3] καὶ Σαλώμης, ἥτις[4] ἦν[4] θυγάτηρ Ἰωσὴφ τοῦ μνήστορος. Ὁ γὰρ Ἰωσὴφ τέσσαρας υἱοὺς[4] ἔσχε, Ἰάκωβον, Συμεὼν[5] καὶ[6] Ἰούδαν καὶ Ἰωσῆν, καὶ θυγατέρας τρεῖς· τὴν

— [2] Κεντυρίας Sa. — [3] *casu deest in* S, *supplevi ex* Sa. — [4] Ἀρειανοῦ Sa. — [5] ἀναρτηθεὶς Sa. — [6] ὑγιωθεὶς Sa. — [7] ἀπεκατέστη Sa.

5. — [1] τοῦ *om.* Sa. — [2] ἀρχὴν Sa, ἀρχεῖν S. — [3] τοῦ Θεοῦ *add.* Sa. — [4] ὡς *om.* Sa. — [5] καθϊέμενον *corr., prius* καθημένος S.

1. — [1] τοῦ θεολόγου *add.* Sa. — [2] ὃς Sa. — [3] Ζεβαιδαίου Sa. — [4] *propter membranam laceram om.* S, *supplevi ex* Sa. — [5] Συμεῶνα Sa. — [6] καὶ *om.* Sa.

Sept. 25. Χριστόν, ἐζητεῖτο[3] φονευθῆναι παρὰ τοῦ ἄρχοντος. Καὶ πολλῶν κρατουμένων δι' αὐτόν, ὑπὸ θείου ἀγγέλου κελευσθείς, ἀπελθὼν παρέστη τῷ ἄρχοντι καὶ τὸν Χριστὸν ὁμολογήσας, δεσμεῖται σιδήροις. Καὶ ἐπὶ ξύλου κρεμασθεὶς ἐξέσθη, ἕως τὰ ἔντερα αὐτοῦ ἔπεσον ἐπὶ τὴν γῆν. Ἀλλὰ πάλιν γέγονεν ὑγιής, ἀγγέλου ταῦτα προσαρμόσαντος τῷ σώματι· ἐκ τούτου πολλοὶ ἐπίστευσαν τῷ Χριστῷ. Καὶ ἰδὼν ὁ ἄρχων πέμπει αὐτὸν σὺν τοῖς πιστεύσασι πρὸς τὸν βασιλέα Διοκλητιανόν. Καὶ παρ' ἐκείνου ἐπὶ φοίνικος σταυρωθεὶς ἐτελειώθη. Κατ' αὐτὴν δὲ τὴν ἡμέραν ἀπεκεφαλίσθησαν πεντακόσιοι μζʹ μάρτυρες. — 3 : Εὐφροσύνης, τῆς μετονομασθείσης Σμαράγδου. Πολλαί εἰσι τῆς σωτηρίας ὁδοί. Καὶ γὰρ ἡ ὁσία Εὐφροσύνη, θυγάτηρ οὖσα πλουσίου τινὸς καὶ πρὸς γάμον μέλλουσα ἐκδοθῆναι, γνοῦσα τοῦτο καὶ τοῦ Χριστοῦ νύμφη θέλουσα εἶναι, προσέδραμεν ἑνὶ τῶν ἁγίων γερόντων, καὶ παρ' ἐκείνου ἐγένετο μοναχή. Εἶτα φοβηθεῖσα, ἵνα μὴ γνωρισθῇ ὑπὸ τοῦ πατρὸς αὐτῆς, ἐνδυσαμένη ἀνδρεῖα ἱμάτια καὶ μετασχηματισθεῖσα εἰς ἄνδρα καὶ μετονομάσασα[4] ἑαυτὴν Σμάραγδον, ἀπῆλθεν εἰς ἀνδρεῖον μοναστήριον, εἰς ὃ καὶ πρότερον κατὰ συνήθειαν ἀπήρχετο ὁ πατὴρ αὐτῆς. Καὶ μετὰ τοῦτο πάλιν ἀπερχόμενος καὶ τῷ ἡγουμένῳ διηγούμενος τὴν φυγὴν τῆς θυγατέρος, ἔβλεπε πολλάκις καὶ αὐτὴν παρισταμένην τῷ ἡγουμένῳ ἐν σχήματι ἀνδρὸς καὶ λυπουμένην δῆθεν διὰ τὴν θυγατέρα αὐτοῦ· ἀλλ' οὐκ ἐγνώριζεν[5] αὐτήν. Διανύσασα δὲ ἐν τῷ μοναστηρίῳ ἔτη δέκα καὶ ὀκτώ, ἠσθένησε· καὶ προσκαλεσαμένη τὸν πατέρα αὐτῆς, εἶπεν· « Ἐγώ εἰμι[6] θυγάτηρ σου· καὶ μὴ » λυποῦ. » Καὶ τοῦτο εἰποῦσα, ἐκοιμήθη. — **Ba** : 5. 4. 3. — **Bb** : 5. 4. 3. — **T** : 3, cod. mutil. — **L** : 4. — Ἴας (Sept. 11²). — 1. 2. 5. — **O** : 1. 2. 3. 5 : ἡ ἀνάμνησις ἐπιτελεῖται τῶν μετὰ φιλανθρωπίας γενομένων φόβων καὶ πρὸ τῆς ἀναστάσεως τὴν ἀνάστασιν δειξάντων· ἐν ᾗ ὁ λαὸς συνέρχεται ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. Καὶ μετὰ τῆς λιτῆς ἀπέρχονται ἐν τῷ Φόρῳ, καὶ τὰς συνήθεις ἐκεῖ ποιήσαντες προσευχάς, παραγίνονται ἐν τῷ Κάμπῳ· καὶ μετὰ τὰς ἐκεῖσε πάλιν ἐξ ἔθους[7] τελουμένας εὐχάς, ἐπανέρχονται ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου, τὴν λειτουργίαν ἐκεῖσε ἐπιτελοῦντες. — **G** : 5. 4. 3. — **C** : inc. mutil. 3. 1. 2. — **Cb** : 5. 4. 3. 1. 2. — **M** : 3. — Εἰς τὸν ὅσιον πατέρα Παφνούτιον. — 4 : Τοῦ ἁγίου μάρτυρος Παφνουτίου. — 5. 1 : Παύλου καὶ Τάττης καὶ τῶν παίδων αὐτῆς. — **Mv** : 3. — Εἰς τὸν ὅσιον Παφνούτιον. — 4. 5. 1. — **Mr** : 3.

Sept. 26. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — **P** : 1. — **F** : 1. — **Fa** : 1. — **Fb** : deest. — **B** : 1 ; Ἡ μετάστασις τοῦ ἁγίου ἀποστόλου Ἰωάννου τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ[1]. Ὁ μέγας ἀπόστολος

— [3] ἐξητεῖτο B. — [4] μετονομάσασαν Ba. — [5] ἐγνώριζον Ba. — [6] ἡ *add.* Ba. — [7] ἐξέθους O.

[1] καὶ εὐαγγελιστοῦ *om.* Ba.

f. 38. Ἐσθὴρ καὶ | τὴν Μάρθαν καὶ τὴν Σαλώμην, ἥτις ἦν γυνὴ Ζεβεδαίου, μήτηρ δὲ Ἰωάννου· ἐντεῦθεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θεῖος ἦν Ἰωάννου ὡς ἀδελφὸς Σαλώμης τῆς θυγατρὸς Ἰωσήφ· οὗτός ἐστιν Ἰωάννης ὁ ἐπὶ τῷ στήθει τοῦ Χριστοῦ ἀναπεσὼν διὰ τὸ σφόδρα καὶ φιλεῖν αὐτὸν καὶ φιλεῖσθαι ὑπ' αὐτοῦ. Μετὰ τὴν ἀνάληψιν οὖν τοῦ Κυρίου καὶ τὴν κοίμησιν τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου, ἐν Ἀσίᾳ τὸν Χριστὸν κηρύξας καὶ ἐν Πάτμῳ τῇ νήσῳ ὑπὸ Δομετιανοῦ ἐξορισθείς, ἔνθα καὶ τὸ πάνσεπτον αὐτοῦ καὶ θεῖον εὐαγγέλιον μετὰ καὶ τῆς ἀποκαλύψεως ἔγραψεν, ἐπί τινα τῶν οὐ πόρρω πόλεων μετὰ τὴν ἀπὸ τῆς Πάτμου κάθοδον παραγίνεται, Δομετιανοῦ τελευτήσαντος καὶ Νερούα βασιλεύσαντος· ἐν ᾗ[7] τὸν νεανίσκον ἐκεῖνον, ὃν δὴ τῷ τῆς πόλεως ἐπισκόπῳ παρέθετο, ἀποδράσαντα ἐξ αὐτοῦ καὶ λῄσταρχον γενόμενον ἀνεκαλέσατο πρὸς μετάνοιαν αὖθις· ἐν αὐτῇ δὴ[8] καί τινα ἕτερον βάρει χρεῶν βαρούμενον οὐκ ὀλίγων καὶ διὰ τοῦτο δὶς μὲν φάρμακον δηλητήριον πεπωκότα, παρά τινος Ἑβραίου τοῦτο λαβόντα, Sept. 26. μηδὲν δὲ πεπονθότα δεινόν, τὸ τοῦ θείου σταυροῦ σημεῖον ἐπιβάλλοντα τῷ φαρμάκῳ, τοῦ θανάτου ἐρρύσατο· προσέτι δὲ καὶ τὸν Ἑβραῖον ἐκπλαγέντα τῷ πράγματι, ἐπείπερ κατεῖδεν ὁ θεῖος ἀπόστολος βαπτισθῆναι ζητοῦντα, ὡδήγησε πρὸς Χριστόν· καὶ λύει μὲν τῷ ἐνδεεῖ ἐκείνῳ ἀνδρὶ τὰ τῆς ἀπορίας, χόρτον πολὺν ἀμείψας εἰς χρυσὸν καθαρώτατον καὶ αὐτῷ ἐπιδούς, τὸν δὲ Ἑβραῖον βαπτίσας καὶ υἱὸν φωτὸς ἀναδείξας, ἦλθεν ἐν Ἐφέσῳ καὶ πολλὰ πλήθη προσαγαγὼν τῷ Χριστῷ καὶ θαύματα ἄπειρα ἐργασάμενος, ἃ διεξοδικώτερον ἡ κατ' αὐτὸν[9] δήλη τοῖς πᾶσιν ἱστορία διέξεισιν, ἐν εἰρήνῃ ἐτελειώθη, ὑπὸ τῶν ἰδίων μαθητῶν τῇ γῇ παραδοθείς· μετ' ὀλίγον δὲ ψηλαφηθεὶς οὐχ εὑρέθη· μετετέθη γάρ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ, τῷ ὄντι πλησίον τῆς μεγάλης ἐκκλησίας.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν πέντε παρθένων καὶ μοναζουσῶν, αἵτινες ὑπὸ Παύλου τοῦ ἰδίου πατρὸς τῷ ξίφει ἀνῃρέθησαν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖʹ.

Sept. 27. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Καλλιστράτου | καὶ τῶν σὺν αὐτῷ μαρτύρων[1]. Ὁ ἅγιος f. 38v. Καλλίστρατος ὑπῆρχε ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν Ῥώμῃ· κατασχεθεὶς δὲ πρῶτος τῶν ἄλλων παρὰ Περσεντίνου τοῦ στρατηλάτου, τύπτεται ἀφειδῶς, καὶ πλήθους ὀστράκου λεπτοῦ ὑποστρωθέντος, σύρεται ἄνωθεν· καὶ χώνης αὐτοῦ τῷ στόματι[2] τεθείσης, λεκάνη ὕδατος πλήρης τῷ[2] στόματι τοῦ ἁγίου ἐγχέεται, ὡς ἀσκοῦ δίκην πληρωθῆναι αὐτόν· εἶτα σάκκῳ ἐμβάλλεται καὶ κατὰ τοῦ βυθοῦ ῥίπτεται τῆς θαλάσσης· τοῦ σάκκου δὲ θείᾳ προνοίᾳ διαρρηχθέντος[3], δύο δελφῖνες τὸν ἅγιον τοῖς νώτοις ὑπολαβόντες μετεωρίζουσι καὶ τῇ γῇ ἀποτίθενται· τούτου δὲ γενομένου, σαράκοντα ἐννέα μάρτυρας προσηγάγετο[4] εἰς τὴν τοῦ Χριστοῦ πίστιν, πᾶσαν αὐτοῖς[5] τὴν περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν ἐκθέμενος. Οἳ καὶ ῥοπάλοις τυφθέντες ἐγκλείονται καὶ πάλιν τυφθέντες εἰς τὴν πλησίον ἀπορρίπτονται κολυμβήθραν, Ὠκεανὸν καλουμένην. Εὐξαμένου δὲ τοῦ ἁγίου βαπτισθῆναι

— [7] ᾧ Sa. — [8] δὲ Sa. — [9] αὐτοῦ Sa.

1. — [1] μʹ καὶ θʹ μαρτύρων Sa. — [2] τῷ στόματι αὐτοῦ Sa. — [3] διαρρηχθέντα[illegible] Sa. — [4] προσήγαγεν Sa. — [5] αὐτὸν Sa.

Sept. 26. καὶ εὐαγγελιστὴς Ἰωάννης[2] μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου καὶ τὴν κοίμησιν τῆς Θεοτόκου, ἦλθεν εἰς Ἔφεσον[3] εὐαγγελιζόμενος τὸν Χριστόν· καὶ διαβληθεὶς Δομετιανῷ τῷ Ῥωμαίων βασιλεῖ[4], ἐξωρίσθη[5] εἰς Πάτμον τὴν νῆσον, ἔνθα[6] καὶ τὸ ἅγιον ἔγραψεν εὐαγγέλιον[7]. Μετὰ δὲ[8] τελευτὴν Δομετιανοῦ[9] ἀνακληθεὶς πάλιν ἦλθεν[10] εἰς Ἔφεσον. Καὶ μετὰ τὸ πολλοὺς διδάξαι καὶ διὰ τοῦ[11] βαπτίσματος[12] προσαγαγεῖν τῷ Χριστῷ, προέγνω τὴν μετάστασιν αὐτοῦ. Καὶ[13] κυριακῆς ἡμέρας[14] ἐλθούσης[15], διδάξας[16] τοὺς ἀδελφοὺς[17] τὰ μεγαλεῖα τοῦ Θεοῦ· καὶ παραγγείλας[18] αὐτοῖς φυλάττειν πάντα τὰ διδαχθέντα ὑπ'[19] αὐτοῦ, προσέταξε[20] τῷ μαθητῇ αὐτοῦ[21] παραλαβεῖν ἄνδρας κατέχοντας τὰς[22] πρὸς ὄρυγμα χρείας καὶ ἀκολουθεῖν[23]. Καὶ ἐλθὼν ἐπὶ τὸν τόπον, ἐπέτρεψεν ὀρύξαι ὄρυγμα[24] βαθὺ[25] σταυροειδές[26]. Καὶ προσευξάμενος καὶ εἰπών· « Εἰρήνη ὑμῖν, ἀδελφοί », ἀνεκλίθη[27] ἐν τῷ ὀρύγματι. Τότε καλύψαντες αὐτὸν οἱ μαθηταὶ ἀνεχώρησαν. Καὶ μετὰ τοῦτο ἐλθόντες ἰδεῖν αὐτόν, οὐχ εὗρον[28]. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **O** : 1. — **G** : 1. — **C** : 1. — **Cb** : 1 (contuli cum B). — **M** : 1. 2. — τῆς ἁγίας μάρτυρος Ἀριάδνης καὶ τῆς ἁγίας μάρτυρος χήρας γυναικός, ἥτις μαχαίρᾳ ἐτελειώθη. — Τοῦ δικαίου Γεδεῶνος ὅτε τὴν ἐν τῷ πόκῳ δρόσον προεῖδεν. — **Mv** : 1. — **Mr** : 1.

Sept. 27. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῇ μονῇ τῆς ἁγίας Ἐπιχάρεως τῇ οὔσῃ πλησίον τοῦ Χριστοῦ τῆς Χαλκῆς, ἔνθα ἡ ἁγία αὐτοῦ κεφαλὴ ἀπόκειται. — 2. 3. 4. — **H** : 2. 1. — **P** : 1 : Καλλιστράτου καὶ τῆς συνοδίας αὐτοῦ τὸν ἀριθμὸν μθʹ στρατιωτῶν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ. — 2. — **F** : 2 (Ἐπιχάρεως tantum). — 1. 3 (... Νεκταριανοῦ). —

— [2] οὗτος ὁ μακάριος Ἰ. ὁ ἀπόστολος καὶ εὐαγγελιστὴς Cb. — [3] ἐν Ἐφέσῳ Cb. — [4] (εὐαγγελιζόμενος - βασιλεῖ) διδάσκων εἶτα Cb. — [5] ἐξορίσθη παρὰ Δομετιανοῦ τοῦ βασιλέως Cb. — [6] ἐν ᾗ Cb. — [7] εὐαγγέλιον ἔγραψεν Cb. — [8] καὶ μετὰ τὴν Cb. — [9] Νέρου βασιλεύσαντος *add.* Cb. — [10] ἦλθε πάλιν Cb. — [11] ἁγίου *add.* Ba. — [12] διδάξαι καὶ βαπτίσαι καὶ Cb. — [13] (προέγνω - καὶ) *om.* Cb. — [14] *om.* Cb. — [15] οὔσης Cb. — [16] ἐδίδαξαι Cb. — [17] πάντα *add.* Cb. — [18] παρήγγειλεν Cb. — [19] παρ' Cb. — [20] εἶτα εἶπε Cb. — [21] Βήρῳ *add.* Cb. — [22] τὰς *om.* Ba. — [23] κατέχοντας σκαφέας καὶ κοφίνους Cb. — [24] ὠρύξαι ὤρυγμα Cb. — [25] βαθύτατον Ba, Cb. — [26] *om.* Cb. — [27] ἀνεκλίνθην Ba. — [28] (τότε - εὗρον) καὶ ἐπεσκ:πάσθη τὴν πλάκαν. Ἐλθῶντες δὲ οἱ μαθηταὶ εἶπων τοῖς ἐν τῇ πόλει ὅτι ὁ διδάσκαλος ἡμῶν κεκοίμηται. Καὶ ἀπελθόντες τινὲς καὶ ἀνοίξαντες τὸν τάφον τὰ μὲν σανδάλια εὗρον, τὸ δὲ λείψανον οὐδαμῶς· μετεθῆκε γὰρ αὐτὸ ὁ Κύριος τρόπῳ ᾧ αὐτὸς ἐπίσταται.

Sept. 27. τοὺς τεσσαράκοντα ἐννέα ἐπὶ τῆς κολυμβήθρας, λύονται αὐτῶν τὰ δεσμά [6], ἃ περιέκειντο, καὶ φαιδραῖς ταῖς στολαῖς καὶ ταῖς ὄψεσιν εὐθὺς ἀνέρχονται ἀπὸ τοῦ ὕδατος. Ὡράθη δὲ καὶ ὁ ἅγιος Καλλίστρατος στέφανον ἐπὶ τῆς κεφαλῆς φορῶν εὐπρεπέστατον καὶ φωνὴ αὐτῷ [7] ἐξηκούσθη οὐρανόθεν λέγουσα· « Θάρσει, Καλλίστρατε, σὺν τῷ » ποιμνίῳ σου » καὶ « Δεῦτε ἤδη ταῖς αἰωνίαις [8] » σκηναῖς ἐπαναπαυσόμενοι [9] », ἅμα δὲ τῇ φωνῇ καὶ μέγα ὁ Θεὸς ἔσεισεν, ὥστε τὸ πλησίον ἄγαλμα καταπεσεῖν καὶ εἰς κόνιν διαλυθῆναι [10]. Τούτων οὕτω γενομένων, προσῆλθον τῷ Χριστῷ καὶ ἕτεροι τῶν στρατιωτῶν τριάκοντα καὶ πέντε πρὸς <τοῖς ἑκατὸν [11]> τὸν ἀριθμόν. Ὁ δὲ ἅγιος Καλλίστρατος καὶ οἱ σὺν αὐτῷ σαράκοντα ἐννέα ἐν τῇ φυλακῇ ἀπαχθέντες, ἐν αὐτῇ τὸ τοῦ μαρτυρίου τέλος ἐδέξαντο, ξίφεσι μεληδὸν κατακοπέντες [12].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἐπιχάρεως [1], Γαϊανῆς καὶ τῆς συνοδίας αὐτῶν [2]. Αὕτη ὑπῆρχεν [3] ἐπὶ Διοκλητιανοῦ [4] ἐν τῇ Ῥωμαίων πόλει καὶ [5] διαβληθεῖσα τύπτεται καὶ ξέεται [6] σφοδρῶς ὑπὸ Καισαρίου [7] ὑπάρχου. Ἥτις διὰ μόνης προσευχῆς κατὰ τὸν [8] τόπον, ἐν ᾧ ἵστατο ἀθλοῦσα [9], ὕδωρ ἐκ πέτρας | (f. 39.) ἐξήνεγκε καὶ πολλοὺς ἐκ τούτου προσήνεγκε τῷ Χριστῷ καὶ τῷ μαρτυρίῳ τῷ δι' αὐτόν· διὸ καὶ σφαίραις μολιβδίναις τυφθεῖσα, τὴν διὰ πυρὸς καὶ ξίφους [10] ὑπέστη τελευτήν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Γαϊτανῷ [11].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων [1] πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Νεκταρίου Κωνσταντινουπόλεως καὶ Φλαβιανοῦ Ἀντιοχείας.

4. Ἧ συνέδραμε καὶ ἡ τοῦ ὁσίου πατρὸς ἡμῶν μνήμη [1] Ἰγνατίου τοῦ γενομένου τετάρτου ἡγουμένου τῆς μονῆς τοῦ Σωτῆρος [2] τοῦ λεγομένου Βαθυρύακος [3]. Ὃς [4] ὑπῆρχεν ἐκ τῆς δευτέρας [5] τῶν Καππαδοκῶν ἐπαρχίας ἐπὶ βασιλέων Νικηφόρου [6] καὶ Ἰωάννου· ἐκ νηπίας δὲ ἡλικίας [7] ὑπὸ τῶν αὐτοῦ γονέων ἀνατεθεὶς [8] τῷ Θεῷ ὡς ἄλλος τις νέος Σαμουήλ, καὶ ὑπὸ τοῦ θείου Βασιλείου, τοῦ συστησαμένου τὴν μονήν, πᾶσαν τὴν μοναχικὴν ἀκρίβειαν παιδευθεὶς [9] καὶ διὰ πάντων [10] τῶν ἐκκλησιαστικῶν βαθμῶν διελθὼν χειροτονεῖται πρεσβύτερος. Τῶν δὲ πατέρων τῆς μονῆς ἐν Χριστῷ τελειωθέντων προχειρίζεται ἡγούμενος. Ὃς [11] τῇ τοῦ ἁγίου Πνεύματος κραταιούμενος χάριτι ηὔξησε καὶ ἐπλήθυνε τὴν μονὴν εἰς δύναμιν ἔν τε εἰσόδοις καὶ λοιποῖς αὐτῆς [12] βελτιώμασι· ᾠκοδόμησέ [13] τε [14] καὶ θείους ναοὺς τοῦ τε [15] Ταξιάρχου καὶ τοῦ θεόπτου Ἠλιοῦ, καὶ ἔν τινι προαστείῳ ἱερὸν σηκὸν [16] τῶν ἁγίων ἀποστόλων. Πεποίηκε δὲ καὶ ταῖς κανονικαῖς θριγκίον [17] ἀσφαλὲς πάνυ καὶ εὐπρεπέστατον· καὶ ἐν ταῖς ἡμέραις τῆς ἀποστασίας γενναίως κατηγωνίσατο τοὺς τότε ἄρχοντας [18], οὓς ὁ ἄνομος ἀντάρτης προεχειρίσατο, ὁ ἀθεώτατος Σκληρός [19], ὁ πᾶσαν τὴν οἰκουμένην διαταράξας, διατηρῶν τὴν αὐτῷ ἐκ τοῦ Θεοῦ ἐμπιστευθεῖσαν ποίμνην ἀσινῆ καὶ ἀτάραχον. Τοῦ δὲ ἀντάρτου ἐκποδὼν γενομένου, ἐπιθυμίαν θεάρεστον εἰσδέχεται τοῦ εἰσελθεῖν ἐν Κωνσταντινουπόλει καὶ κατασκευάσαι ἱερὰ κειμήλια τῇ ἁγίᾳ ἐκκλησίᾳ. Ὃς εἰσελθὼν [20] καὶ τὰ δόξαντα αὐτῷ εἰς ἔργον τῇ τοῦ Θεοῦ χάριτι προαγαγὼν [21], κατεσκεύασεν ἱερὰ σκεύη καὶ σίγνον τοῦ κυρίου ἡμῶν

— [6] ἐν αὐτῇ *add.* Sa. — [7] αὐτοῦ Sa. — [8] οὐρανίαις Sa. — [9] ἀναπαυσόμενοι Sa. — [10] διαληθῆναι S. — [11] στρατιωτῶν λε΄ πρὸς τοῖς ρ΄ Sa, λε΄ πρὸ τὸν ἀριθμὸν S. — [12] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.

2. — [1] ἀλλὰ καὶ ἡ μνήμη τῆς ἁγίας Ἐ. Sa. — [2] (Γαιανῆς - αὐτῶν) *om.* Fa. — [3] καὶ αὐτὴ Sa. — [4] βασιλέως *add.* Fa. — [5] καὶ *om.* Sa. — [6] καίεται Sa. — [7] Κεσαρίου Fa. — [8] τὸν *supra lin. corr.* Sa. — [9] (ἐν - ἀθλοῦσα) *om.* Fa. — [10] διὰ ξίφους καὶ πυρὸς Sa. — [11] τελεῖται κτλ. *om.* Fa.

3. — [1] ἁγίων Sa.

4. — [1] *om.* Sa. — [2] Χριστοῦ *add.* Sa. — [3] Βαθυρίακος S, Βαθέως ῥίακος Fa. — [4] οὗτος Fa. — [5] δευτέρης Sa. — [6] Νικιφώρου Fa. — [7] ὥστις ἐκ νιπίας ἡλικίας Fa. — [8] ἀνατίθεται Fa. — [9] πεδευθεὶς τὴν μοναχικὴν πᾶσαν ἀκρίβιαν Fa. — [10] πασῶν Fa. — [11] ὥστης Fa. — [12] αὐτοῖς S, αὐτοῦ Sa. — [13] (δύναμιν - ᾠκοδόμησε) δυναμὴν ἐν ται εἰσόδοις καὶ ἐξόδοις ᾠκοδόμισεν Fa. — [14] ται S, Fa. — [15] ται Fa. — [16] ἔν τινι πρὸς ἱερὸν σικὸν Fa. — [17] θριγγίον Sa. — [18] ἀντηγωνήσατο τοῖς τώται ἄρχουσιν Fa. — [19] σκλιρὸς Fa. — [20] ὡς εἰσηλθὸν Fa. — [21] προσαγαγὼν Sa.

Sept. 27. Τῶν ἁγίων μαρτύρων Ῥιψιμίας καὶ Ἀριάδνης [1]. — 4. — **Fa** : 2 : Ἐπιχάρεως (contuli cum S). — 1 : Καλλιστράτου καὶ τῶν σὺν αὐτῷ μθ΄ μαρτύρων, οἵτινες ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν Ῥώμῃ. Κατασχεθέντες γὰρ πάντες, κατεσχέθη καὶ Καλλίστρατος παρὰ Περσεντίνου τοῦ στρατηλάτου· πολλαῖς τιμωρίαις ὑποστὰς καὶ ἐν τῷ βυθῷ ἀπορριφεὶς σάκκῳ [2] κατησφαλισμένος, παραδόξως ῥυσθεὶς προσηγάγετο τοὺς τεσσαράκοντα ἐννέα μάρτυρας [3] εἰς τὴν τοῦ Χριστοῦ πίστιν, πᾶσαν αὐτοῖς τὴν περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν ἐκθέμενος· μεθ' ὧν καὶ τὸ τέλος τοῦ μαρτυρίου ἐδέξατο ξίφει μετ' αὐτῶν ἀποτμηθείς. — Τῶν ἁγίων μαρτύρων Ῥιψιμίας καὶ Ἀριάδνης. — 3 : Τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Νεκταρίου καὶ Φλαβιανοῦ. — 4 : Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰγνατίου (contuli cum S). — **Fb** : deest. — **B** : 2. 1. — **Ba** : 2. 1. — **Bb** : 2. 1. — **T** : 1. — **L** : 2. 1. — **O** : 1. — **G** : 2. — **C** : 2. 1. — **Cb** : 2. 1 : Καλλιστράτου καὶ τῆς συνοδίας αὐτοῦ. Καὶ οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν τῇ πόλει Ῥώμῃ. Κρατηθεὶς δὲ ὁ ἅγιος Καλλίστρατος παρὰ Περσεντίνου τοῦ στρατηλάτου καὶ τὸν Χριστὸν ὁμολογήσας Θεὸν εἶναι ἀληθινόν, τύπτεται ἰσχυρῶς· εἶτα τίθεται ἐπὶ κεκομμένῳ ὀστράκῳ καὶ σύρεται ἐπάνω αὐτοῦ. Καὶ μετὰ ταῦτα ἐμβάλλεται εἰς σάκκον καὶ ῥίπτεται εἰς τὴν θάλασσαν καὶ ἐξῆλθεν ἀβλαβής, σχισθέντος [4] τοῦ σάκκου. Ἰδόντες δὲ οἱ τεσσαράκοντα ἐννέα στρατιῶται τὸ γενόμενον, ἐπίστευσαν καὶ αὐτοὶ εἰς τὸν Χριστόν. Οὓς καὶ τύψας ὁ Περσεντῖνος ἐνέβαλε μετὰ τοῦ ἁγίου Καλλιστράτου εἰς τὴν φυλακὴν καὶ ἐδιδάσκοντο παρ' αὐτοῦ περὶ κρίσεως καὶ περὶ ἀναστάσεως καὶ περὶ ψυχικῆς σωτηρίας. Εἶτα ἐκβληθεὶς ὁ ἅγιος μετὰ τῶν μθ΄ στρατιωτῶν καὶ προσευξάμενος, ἔρριψε πάντα τὰ εἴδωλα. Καὶ ἐπίστευσαν ἕτεροι στρατιῶται ἑκατὸν τριάκοντα πέντε·

[1] Ἀρεάδνης F. — [2] σάκκα Fa. — [3] τοῖς τεσσαράκοντα ἐνέα μάρτυσιν Fa. — [4] σχεσθέντος Cb.

Ἰησοῦ Χριστοῦ καὶ σεπτὰς εἰκόνας καὶ περιηργυρωμένον εὐαγγέλιον καὶ ἄλλα τινὰ κατακοσμοῦντα πᾶσαν τὴν ἐκκλησίαν. Καὶ ταῦτα ποιήσας προέπεμψε μετὰ τῶν συνόντων [22] αὐτῷ ἀδελφῶν | (f. 39v.) ἐν τῇ μονῇ, κἀκεῖνος ὑπελείφθη διά τινας χρείας ἐν τῇ πόλει. Χρονίζοντι δὲ ἐκεῖσε [23] συνέβη αὐτῷ δυσεντερικῇ νόσῳ περιπεσεῖν [24]· ὅστις μετὰ τοῦ συνόντος αὐτῷ [25] ἀδελφοῦ τῷ σεπτεμβρίῳ μηνὶ τῆς πόλεως ἀπάρας διήνυε [26] τὴν ἐπὶ τὴν αὐτοῦ μονὴν [27] ἄγουσαν ὁδόν. Φθάσας δὲ τὸ Ἀμόριον [28], τέλει τοῦ βίου ἐχρήσατο τῇ εἰκοστῇ ἑβδόμῃ τοῦ αὐτοῦ μηνὸς [29] καὶ προθάπτεται ἔν τινι σεβασμίῳ οἴκῳ τῆς [30] πόλεως. Ἐνιαυσιαίου δὲ χρόνου παρῳχηκότος, οἱ [31] τῆς μονῆς πατέρες, μὴ ἀμνημονήσαντες τῶν πάλαι αὐτοῦ ἀγώνων καὶ ἱδρώτων, ἠβουλήθησαν ἀνακομίσαι αὐτοῦ τὸ λείψανον. Οἳ καὶ παραγενόμενοι ἐν ᾧ κατέκειτο τόπῳ καὶ τὴν τούτου θήκην ἀνοίξαντες, εὗρον τὸ τίμιον αὐτοῦ σῶμα σῶον καὶ ἀκέραιον, θείαν εὐωδίαν πνέον· ὅπερ [32] μετὰ χαρᾶς ἀνελόμενοι ἀνεκόμισαν ἐν τῇ αὐτοῦ [33] μονῇ· καὶ ἰδόντες πάντες οὕτως ἀδιάλυτον καὶ ἀσινές [34], αἶνον ἔδωκαν τῷ Θεῷ, τῷ πρὸ τῆς κοινῆς ἀναστάσεως ἀφθαρσίᾳ τιμήσαντι τοὺς ἑαυτοῦ θεράποντας, καὶ κατέθηκαν αὐτὸ [35] ἐν τῷ νάρθηκι τῆς αὐτόθι [36] ἁγιωτάτης ἐκκλησίας τῷ εὐωνύμῳ μέρει, ἥτις ἐστὶν ἐπ' ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. (Sept. 27.)

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ΄.

Sept. 28. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θεοφόρου Χαρίτωνος, καθηγητοῦ [1] τῆς ἐρήμου καὶ ὁμολογητοῦ. Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ [2] τοῦ βασιλέως ἐκ πόλεως Ἰκονίου τῆς Λυκαόνων [3] ἐπαρχίας· προσαχθεὶς δὲ τῷ ὑπατικῷ καὶ δυνάμει λόγων ἐλέγξας αὐτὸν καὶ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσας, τανυσθεὶς [4] ἐκ τεσσάρων τύπτεται καὶ πυρὶ φλέγεται. Μετὰ δὲ τὴν καταστροφὴν Αὐρηλιανοῦ ἀπολυθεὶς τῆς φρουρᾶς καὶ ἐπὶ τὴν Ἠλιοῦ καὶ Ἰωάννου ἔρημον ἐπειγόμενος, ζηλωτὴς ὢν τῆς πολιτείας αὐτῶν, περιπίπτει λῃσταῖς καὶ δεσμευθεὶς παρ' αὐτῶν καὶ τεθεὶς ἐν φρουρᾷ λυτροῦται καὶ αὖθις τῆς χειρὸς [5] αὐτῶν, παραδοξοποιΐας τινὸς γενομένης. Εἰς γὰρ τὸ κεράμιον, ἐν ᾧ τὸν οἶνον εἶχον οἱ λῃσταί, ἔχις προσερπύσασα τὸν ἰὸν ἐξέχεεν· οὗ ἐμφορηθέντες οἱ λῃσταὶ [6] πάντες ἐξέψυξαν. Ὁ οὖν ἅγιος Χαρίτων αὐτό τε τὸ σπήλαιον εἰς ἐκκλησίαν κατέστησεν (ἔνθα νῦν ἐστι λαῦρα ἡ οὕτω | (f. 40.) Φαρὰν λεγομένη [7]), καὶ ἐν ἑτέροις τόποις λαύρας δειμάμενος καὶ ἐν αὐταῖς πλήθη μοναχῶν συναγαγὼν καὶ πολλοῖς αἴτιος [8] ἀκριβοῦς γενόμενος πολιτείας καὶ παντοίων νόσων φανεὶς ἰατὴρ καὶ ἐξ ἀκροτόμου πέτρας ὕδωρ διαυγὲς ἐξενεγκών, ἐν βαθεῖ γήρᾳ τὸν βίον ἀπέλιπε.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Καλυτηνῶν [1] Ἀλφειοῦ, <Ἀλεξάνδρου [2]>,

— [22] προέπεμψεν αὐτὰ μετῶν συνῶντων Fa. — [23] (ὑπελείφθη - ἐκεῖσε) ὑπελήφθει διά τινας χρίας ἐν τῇ πόλει χρονίζοντος δὲ αὐτοῦ ἐν Κωνσταντινουπόλει Fa. — [24] δυσεντεριακῇ νώσω περιπεσὶν Fa. — [25] αὐτοῦ Sa. — [26] διήνυσε Sa. — [27] μονὴν αὐτοῦ Fa. — [28] Ἀμμόριον Sa. — [29] σεπτεμβρίου μηνὸς Fa. — [30] αὐτῆς *add.* Sa, Fa. — [31] ἡ S. — [32] εὑρὼν τῶ σῶμα αὐτοῦ θείαν εὐωδίαν πνέων καὶ ὢν σῶον καὶ ἀκέραιον ὅνπερ Fa. — [33] αὐτῇ Sa. — [34] ἀσυνὴ Sa. — [35] αὐτὸν S. — [36] τῆς *add.* Fa.

1. — [1] καθηγουμένου Sa. — [2] Αὐριλιανοῦ Sa. — [3] Λυκαονίων Sa. — [4] τανυθεὶς Sa. — [5] τῶν χειρῶν Sa. — [6] (ἔχις - οἱ λῃσταὶ) *om.* Sa. — [7] λεγομένη Φαρὰν Sa. — [8] πολλῆς αἴτιος S, πολλῆς αἰτὴν Sa.

2. — [1] Καλυτινῶν S. — [2] Ἀλεξάνδρου Sa, *om.* S.

Sept. 27. εἶτα λαβόντες τὴν διὰ ξίφους ἀπόφασιν, ἅπαντες ἀπεκεφαλίσθησαν, καὶ μετ' αὐτῶν ὁ ἅγιος Μαρῖνος ἀνὴρ μέγας καὶ σοφός. — **M** : 2. 1 (Καλλιστράτου καὶ ἑκατὸν ἑβδομήκοντα ἐννέα μαρτύρων). — Εἰς τοὺς ἁγίους τεσσαράκοντα ἐννέα μάρτυρας. — 4. — Τῶν ἁγίων ἀποστόλων Μάρκου, Ἀριστάρχου καὶ Ζήνωνος. — Τῶν ἁγίων μαρτύρων Φιλήμονος ἐπισκόπου καὶ Φουρτουνιανοῦ καὶ τῆς ἁγίας μάρτυρος Γαϊανῆς. — Τῶν ἁγίων μαρτύρων πεντεκαίδεκα, οἳ ἐν πλοίῳ ἐμβληθέντες [5] καὶ τῷ πλοίῳ τρυπηθέντι ἐν τῇ θαλάσσῃ ἐναπεπνίγησαν. — **Mv** : 2. 1. — Εἰς τοὺς ἁγίους τεσσαράκοντα ἐννέα μάρτυρας. — 4. — Μάρκου, Ἀριστάρχου καὶ Ζήνωνος. — Φιλήμονος καὶ Φουρτουνιανοῦ καὶ Γαϊανῆς. — Τῶν ἁγίων δεκαπέντε μαρτύρων. — **Mr** : 1.

Sept. 28. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 2. 3 (Εὐσταθίου Ῥωμαίου καὶ τῆς συνοδίας αὐτοῦ). — **P** : 2. 1. 3. — **F** : 1. 2. 3 : Καλλινίκου καὶ Εὐσταθείου Ῥωμαίων καὶ τῆς συνοδίας αὐτῶν ἐν τῷ Προμούντων. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2 : Τῶν Καλυτηνῶν Ἀλεξάνδρου, Ζωσίμου, Νίκωνος, Νέωνος, Ἡλιοδώρου καὶ Μάρκου. Οἳ ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν πόλει Ἀντιοχείας, Μάγνου ἡγεμονεύοντος. Ὁ δὲ Μάρκος ἦν ποιμαίνων τὰ πρόβατα, λευκὴν ἔχων τὴν κεφαλὴν καὶ βαθεῖαν <κόμην [1]> μέχρι πτέρνης αὐτοῦ. Ἐπεὶ δὲ διεγνώσθη ὡς εἴη χριστιανός, παραχρῆμα κρεμασθεὶς ἐξέσθη καὶ παρεπέμφθη ἐν Κλαυδιουπόλει. Προσκληθέντων δὲ τῶν χαλκοτύπων ἕνεκεν τῶν Μάρκου δεσμῶν, προσήχθησαν τρεῖς ἀδελφοὶ Ἀδελφιός [2], Ἀλέξανδρος καὶ Ζώσιμος, τὴν Κάλυτον οἰκοῦντες κώμην, βάναυσοι [3] τὴν τέχνην [4] καὶ τῆς τοῦ σιδήρου ἐργασίας ἐπιστήμονες. Ἀρξαμένων δὲ πονεῖν, κατέρρει ὁ σίδηρος ὡς ὕδωρ καὶ αἱ χεῖρες αὐτῶν ἐνάρκων· οἱ δὲ τὸ συμβὰν θαυμάζοντες θείας ἐπακούουσι φωνῆς προτρεπούσης συναθλῆσαι αὐτοὺς τῷ Μάρκῳ. Καὶ ἐπεὶ χριστιανοὺς ἑαυτοὺς ὡμολόγησαν, στρέβλαις εὐθὺς ὑποβάλλονται καὶ διὰ χοάνης [5] περιτεθείσης αὐτῶν τῷ στόματι μόλυβδον λυθέντα πυρὶ δέχονται. Καὶ πέτρᾳ προσηλωθέντες πυρὶ καταφλέγονται καὶ τοῦ βίου τὸ τέλος λαμβάνουσιν. Ὁ δὲ Μάρκος ὑποδεθεὶς κρηπῖδας σιδηρᾶς καὶ μαστιχθεὶς ἱκανῶς

— [5] *correxi*, ὧν ... ἐμβληθέντων M.

[1] *om.* Ba. — [2] ἀδελφὸς Ba. *corr. recens* ἀδελφειός. — [3] βασάναυσοι Ba. — [4] *corr. recens.* εὐχὴν Ba. — [5] χωριάνης Ba.

Sept. 28. Ζωσίμου, Νίκωνος, Νέωνος, Ἡλιοδώρου καὶ Μάρκου. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν πόλει Ἀντιοχείᾳ τῆς Πισιδίας [3], Μάγνου ἡγεμονεύοντος. Ὁ δὲ Μάρκος ἦν ποιμαίνων πρόβατα, λευκὴν ἔχων τὴν κόμην τῆς κεφαλῆς καὶ βαθεῖαν μέχρι τῆς πτέρνης αὐτῆς. Ἐπεὶ δὲ διεγνώσθη ὡς εἴη χριστιανός, προδοθεὶς παρὰ τῶν ἐν τῷ ὄρει ἀνιόντων [4], παραχρῆμα [5] κρεμασθεὶς ξέεται [6] καὶ παραπέμπεται ἐν Κλαυδιουπόλει· προσκληθέντων δὲ χαλκοτύπων κατασκευῆς ἕνεκεν τῶν Μάρκου δεσμῶν, προσήχθησαν τρεῖς ἀδελφοὶ Ἀλφειός, Ἀλέξανδρος καὶ Ζώσιμος τὴν Κάλυτον οἰκοῦντες κώμην, βάναυσοι τὴν τέχνην καὶ τῆς [7] σιδήρου ἐργασίας ἐπιστήμονες· ἀρξαμένων δὲ τύπτειν, κατέρρει ὁ σίδηρος ὡς ὕδωρ καὶ αἱ χεῖρες αὐτῶν ἐνάρκων. Οἱ δὲ τὸ συμβὰν θαυμάσαντες καὶ φωνῆς θείας ἐπακούσαντες προτρεπούσης συναθλῆσαι αὐτοὺς τῷ Μάρκῳ, οὐκ ἐμέλλησαν [8], ἀλλ' εὐθέως τὸ ὄνομα τοῦ Χριστοῦ ἐπικαλεσάμενοι καὶ τὸν σίδηρον ἀπορρίψαντες συνελήφθησαν καὶ στρέβλαις [9] ὑπεβλήθησαν καὶ διὰ χώνης περιτεθείσης αὐτῶν τῷ στόματι μόλιβδον ἐδέξαντο ζέοντα· καὶ ἐν πέτρᾳ προσηλώθησαν καὶ τῷ πυρὶ ὑπεβλήθησαν καὶ τοῦ βίου ἐξῆλθον [10]. Ὁ δὲ Μάρκος ὑποδεθεὶς κρηπῖδας σιδηρᾶς καὶ μαστιχθεὶς ἱκανῶς καὶ ὀβελίσκοις καταπαρεὶς καὶ τὴν γλῶσσαν τμηθεὶς καὶ ἐν πέτρᾳ καθηλωθείς, τὴν κεφαλὴν ἀπετμήθη. Νίκων δὲ καὶ Νέων καὶ Ἡλιόδωρος μετὰ νηπίων καὶ παρθένων ἐν τῷ λεγομένῳ Φιλομηλίῳ [11] ὑπὸ τοῦ ξίφους ἐτελειώθησαν. Τὸ δὲ τέλος τῶν τριῶν ἀδελφῶν γέγονεν ἐν Καλύτῳ μηνὶ σεπτεμβρίῳ κη', τοῦ δὲ Μάρκου ἐν Κλαυδιουπόλει εἰκοστῇ πρώτῃ τοῦ αὐτοῦ [12], τῶν δὲ [13] λοιπῶν ἐν τῷ Φιλομηλίῳ [11] ἰουλίου δεκάτῃ τρίτῃ [14]. Τελεῖται | (f. 40v.) δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πλησίον τοῦ ἁγίου μάρτυρος Κυπριανοῦ ἐν τοῖς Σολομῶνος.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσταθίου Ῥωμαίου [1], Καλλινίκου καὶ τῆς συνοδίας αὐτῶν· ἡ δὲ [2] σύναξις αὐτῶν ἐν τοῖς Προμότου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

Sept. 29. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχωρητοῦ τῆς λαύρας τοῦ Σουκᾶ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου [1] τοῦ μικροῦ [2] ἐκ πόλεως Κορίνθου [3], πατρὸς Ἰωάννου πρεσβυτέρου τῆς τῶν Κορινθίων ἐκκλησίας καὶ μητρὸς Εὐδοξίας, ἀνεψιὸς Πέτρου τοῦ πρὸς μητρὸς [4] μὲν θείου, ἐπισκόπου δὲ τῆς τῶν προειρημένων ἐκκλησίας, ἀναγνώστης τὴν τάξιν· ὀκτωκαιδέκατον δὲ ἔτος τῆς ἡλικίας ἀνύων εἰς τὰ Ἱεροσόλυμα παραγίνεται καὶ τὸ τῶν μοναχῶν λαμβάνει σχῆμα παρὰ τοῦ μεγάλου Εὐθυμίου· πολλὴν δὲ ἐπιδειξάμενος ἄσκησιν καὶ διὰ σκληροτάτης ἀγωγῆς τὸν βίον διενεγ-

— [3] Πισσιδίας Sa. — [4] καὶ λέοντα καὶ ἄρκτον ἑωρακότα παρὰ τοὺς πόδας αὐτοῦ κειμένους *add.* Sa. — [5] παραυτίκα Sa. — [6] ξέεται κρεμασθεὶς Sa. — [7] τοῖς S, τῆς τοῦ Sa. — [8] ἐμέλησαν S, ἠμέλησαν Sa. — [9] στρέβλας Sa. — [10] (καὶ τῷ - ἐξῆλθον) *om.* Sa. — [11] Φιλομιλίῳ S, Sa. — [12] μηνὸς *add.* Sa. — [13] δὲ *om.* Sa. — [14] δεκατρεῖς S, ιγ' Sa.

3. — [1] *forte legendum* Ῥωμύλου. *Cf.* Synaxaria selecta C. — [2] τελεῖται δὲ ἡ Sa.

1. — [1] Θεοδωσίου S. — [2] μεγάλου S, μικροῦ Sa, Θεοδοσίου τοῦ νέου Cyrillus Scythopolit. *in Vita S. Cyriaci,* Act. SS., *Sept. t. VIII, p. 147.* — [3] Κορύνθου S. — [4] πατρὸς Sa, γέγονεν δὲ ἀνεψιὸς ἐκ μητρὸς Πέτρου Cyrillus Scythopolitanus, *loc. cit.*

Sept. 28. καὶ ὀβελίσκοις καταπαρεὶς καὶ τὴν γλῶσσαν τμηθεὶς καὶ ἐν πέτρᾳ καθηλωθεὶς τὴν κεφαλὴν ἀπετμήθη. Νίκων δὲ καὶ Νέων καὶ Ἡλιόδωρος μετὰ νηπίων καὶ παρθένων ἐν τῷ Φιλομιλίῳ ὑπὸ τοῦ ξίφους ἐτελειώθησαν. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 2. 1. — **O** : 1. — **G** : 1. — **C** : 1. 2. 3 : Εὐσταθίου, Ῥωμύλου καὶ τῆς συνοδίας αὐτῶν. — **Cb** : 1. 2. 3. — **M** : 1. — Βαροὺχ τοῦ προφήτου. Ἡ τῶν προφητῶν ἀκριβὴς διόπτρα, ἡ τοῦ Ἱερεμίου πνοὴ καὶ ἀνάπαυλα, ἐφεπόμενος ἦν τῷ Ἱερεμίᾳ διδασκάλῳ, ὅτε ὡς αἰχμάλωτος οὗτος εἰς Βαβυλῶνα ἤγετο, θρηνῶν τὴν ἀνάλωσιν τῆς Ἱερουσαλήμ, ἑβδομήκοντα χρόνους ἐπεκτεινομένης τῆς αἰχμαλωσίας. Οὗτος ὁ Βαροὺχ τῷ διδασκάλῳ συνὼν ὡς αἰχμάλωτος, σπηλαίῳ ἑαυτὸν ἐγκαθείρξας τὸν ἐπιξενισμὸν ἐθρήνει Ἱερεμίου, ἀπρονόητον ἑαυτὸν συντηρῶν μέχρις ἀναστροφῆς τοῦ λαοῦ. Ὅτε δὲ ὁ λαὸς πρὸς Ἱερουσαλὴμ ἐπανῆκε, Βαροὺχ ἐξελθὼν τοῦ σπηλαίου πάλιν τὰ ὑπὸ τοῦ Ἱερεμίου ἐν ἐκστάσει καθωραθέντα, ὅτε καὶ τοῖς λίθοις ἐβάλλετο σὺν τῷ Ἀβιμέλεχ, ἀκούει καὶ ὡς ἐν δυσὶ σώμασι μία ψυχὴ ἐν ἀμφοτέροις ἐγνωρίζετο τοῖς προφήταις ἐπεὶ καὶ εἰς ἕνα ταξίαρχον τὸ θεῖον Πνεῦμα ἀμφοτέρους ἐπέγραφε. Τρανοτέρως γὰρ καὶ ὁ Βαροὺχ τὰ περὶ τῆς Χριστοῦ οἰκονομίας ἀνεκελάδησε λέγων· « Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν » καὶ τὰ ἑξῆς. Εὕροι δ' ἄν τις καὶ πλείονα τῶν φιλοπόνως τὰς προφητικὰς βίβλους ἐπανακρινόντων τὸν προφήτην Βαρούχ, τὰ περὶ τοῦ Χριστοῦ καὶ τῆς Ἱερουσαλὴμ προαγγέλλοντα. Τὸν γοῦν Ἱερεμίαν ἐπιμελῶς κηδεύσας μετὰ τὴν πρὸς Κύριον τούτου μετάστασιν, μετ' οὐ πολὺ καὶ αὐτὸς πρὸς Κύριον ἐξεδήμησεν. — 2 (τῶν ἁγίων μαρτύρων καὶ αὐταδέλφων Ἀλεξάνδρου, Ἀλφειοῦ καὶ Ζωσίμου καὶ τοῦ ἁγίου μάρτυρος Νίκωνος, Νέωνος, Ἡλιοδώρου καὶ τῶν λοιπῶν παρθένων...). — 3 : Καλλινίκου καὶ Εὐσταθίου τοῦ Ῥωμαίου. — Τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου καὶ τῶν σὺν αὐτῷ τριάκοντα μαρτύρων. — **Mv** : 1. — Βαρούχ. — 2. 3 (... Εὐσταθίου τοῦ Ῥωμαίου). — Ἀλεξάνδρου κτλ. — **Mr** : 1.

Sept. 29. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 4. 5. 3. — **P** : 1. 4. 3. — **F** : 1. 2. 5. 3. — **Fa** : 1. 2. 5. 3. — **Fb** : 1. 2. 5. 3. — **B** : 1. — **Ba** : 1. 2. — **Bb** : 1. 2 (= S). — **T** : deest. — **L** : 1. 4. 5. — **O** : 1. — **G** : 1. — **C** : 1. 2. 4. 5. 3. — **Cb** : 1. 2 : Δάδα καὶ Γοβδελλαᾶ καὶ Κασδόας. Οὗτος ὁ ἅγιος μάρτυς Δάδας ὑπῆρχε συγγενὴς Σαβωρίου βασιλέως Περσῶν, ὁ δὲ Γοβδελλαᾶ υἱὸς γνήσιος αὐτοῦ. Καὶ διὰ τὸ γενέσθαι αὐτοὺς χριστιανοὺς καὶ προσελθεῖν τῷ Χριστῷ οὐ μόνον ἠρνήθησαν παρὰ τοῦ Σαβω-

κὼν καὶ τοὺς τὰ Ὠριγένους φρονοῦντας ἐλέγξας, πολλὰ [5] θαύματα τῇ συνεργείᾳ τοῦ Χριστοῦ ἐκτελέσας, ἐν βαθυτάτῳ γήρᾳ τὸν βίον ἀμείβει. Ἦν δὲ πρᾶος, εὐπρόσιτος καὶ ἐκ θείας ἀποκαλύψεως περὶ τῶν μελλόντων προλέγων, μέγεθος ἔχων σώματος μετὰ καί τινος εὐπρεπείας καὶ χάριτος, σῶα πάντα τὰ τοῦ σώματος μέρη φυλάττων, μὴ μετασχόντα τῆς ἀπὸ τοῦ χρόνου φθορᾶς, ἐπί τινας χρόνους καθηγησάμενος τῆς λαύρας τοῦ ἁγίου Χαρίτωνος.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Δάδα καὶ Γοβδελαᾶ καὶ Κασδόας [1]. Ὧν ὁ μὲν συγγενής, ὁ δὲ υἱὸς γνήσιος ἦν [2] βασιλέως Περσῶν. Οὗτοι μὴ θελήσαντες προσκυνῆσαι τῷ παρ' αὐτῶν σεβομένῳ πυρί, ἀλλὰ τῇ τοῦ Χριστοῦ πίστει ἐπερειδόμενοι, πρῶτον μὲν ὁ Δάδας ξίφει τὸ σῶμα μεληδὸν κατεκόπη καὶ οὕτως παρέδωκε τὸ πνεῦμα. Ὁ δὲ Γοβδελαᾶς, ὁ καὶ υἱὸς τοῦ βασιλέως, ῥάβδοις ῥοΐναις ὑπὸ τοῦ ἄρχοντος Γαργάμου [3] (Sept. 29.) τύπτεται καὶ εἰς τὰς ἀκοὰς αὐτοῦ σίδηρον πεπυρακτωμένον εἰσδέχεται καὶ κατὰ τῶν πλευρῶν <ὀβελίσκους· μετὰ ταῦτα τῶν πλευρῶν [4]> ἀποσπᾶται καὶ ἐπὶ σταυροῦ ἀναρτᾶται ξεόμενος· εἶτα τὴν κεφαλὴν ἀποδαρεὶς καὶ ἥλοις τὰς χεῖρας προσηλω|(f. 41.)θεὶς καὶ ὅλον τὸ σῶμα καλάμοις περιπαρείς, οὕτως τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται. Ὡσαύτως καὶ Κασδόα ἡ τούτου ἀδελφὴ τῇ πίστει προστεθεῖσα καὶ ῥάβδοις ῥοΐναις τυφθεῖσα, ἐν αὐταῖς ταῖς βασάνοις τὸ πνεῦμα παρέδωκεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας ὁσιομάρτυρος Ἀναστασίας τῆς ἀσκητρίας καὶ Πετρωνίας μάρτυρος.

4. Καὶ τῶν ἁγίων πεντήκοντα μαρτύρων τῶν ἐκ Παλαιστίνης.

5. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Τρύφωνος καὶ Τροφίμου καὶ Δορυμέδοντος, ὧν ἡ σύναξις τελεῖται πλησίον τῆς ἁγίας Ἄννης ἐν τῷ Δευτέρῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

Sept. 30. **1.** Ἄθλησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου γενομένου τῆς μεγάλης Ἀρμενίας, καὶ Γαϊανῆς καὶ Ῥιψιμίας καὶ τῶν σὺν αὐταῖς. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως υἱὸς Ἀνάκ, συγγενοῦς Κουσαρῶ [1] βασιλέως Ἀρμενίας, ἀδελφοῦ Ἀρταβάνου βασιλέως Πάρθων· ἤθλησε δὲ ἐπὶ Τηριδάτου, καταστάντος εἰς βασιλέα τῆς τῶν Ἀρμενίων ἀρχῆς παρὰ Διοκλητιανοῦ βασιλέως Ῥωμαίων· συνὼν γὰρ τῷ Τηριδάτῃ [2], ἐπεὶ [3] τοῖς εἰδώλοις οὐκ ἔνειμε σέβας, ἀλλὰ τὰ τῶν χριστιανῶν ὡμολόγει καὶ Θεὸν εἶναι τὸν Χριστὸν ἐκήρυττε τοὺς τῆς οἰκονομίας αὐτοῦ λόγους διεξιών, πρῶτον μὲν ὑπὸ Τηριδάτου εἰς τοὐπίσω τὰς χεῖρας δεσμεῖται καὶ βάρει ἅλατος βαρύνεται τὰ μετάφρενα καὶ ἀναρτᾶται ἐφ' ὑψηλοῦ ἐπὶ ἡμέρας ἑπτά, θυλάκῳ τὴν κεφαλὴν ἐμβληθείς, ὃς ἦν μεστὸς καμινιαίας αἰθάλης· καὶ κατενεχθεὶς ἐπεὶ [4] τῆς ἐνστάσεως οὐχ ὑφεῖτο, αὖθις ἐξ ἑνὸς ποδὸς ἀναρτᾶται, ὑποκαπνιζομένης αὐτῷ κόπρου δυσώδους, καὶ ῥάβδοις σκληραῖς ἐφ' ἱκανὸν τύπτε-

— [5] καὶ πολλὰ Sa.

2. — [1] Κασδοάς, Κασδόας S, Sa, Κασδίας *Passio SS. Dada, etc., in* Act. SS., *Sept. t. VIII, p. 128.* — [2] Σαβωρίου *add.* Sa. — [3] Γαργάμου S, Sa, Γαργάλου *Passio, l. c., p. 129 sqq.* — [4] (ὀβελίσκους - πλευρῶν) Sa, *om.* S.

1. — [1] Κουσαρῶ Sa, Κουσάρω *scribit* P. de Lagarde, Agathangelus, *in* Abhandlungen der k. Gesellschaft der Wissenschaften zu Göttingen, *t. XXXV (1888), p. 9 et deinceps.* — [2] Τηριδάτι S. — [3] Sa, ἐπὶ S. — [4] ἐπὶ S.

Sept. 29. ρίου καὶ ἐμισήθησαν καὶ τῶν ἀξιωμάτων αὐτῶν ἀφηρέθησαν, ἀλλὰ καὶ τιμωρίαις πολλαῖς ὑπεβλήθησαν, σὺν τῇ ἁγίᾳ Κασδόᾳ κρεμασθέντες καὶ ξεσθέντες καὶ μετὰ πυρὸς τὰς πλευρὰς ὑποκαέντες· καὶ μετὰ ταῦτα εἰς φυλακὴν ἐνεβλήθησαν ποιήσαντες χρόνους πολλούς. Εἶτα ἐκβληθέντες καὶ καταναγκασθέντες προσκυνῆσαι τῷ ἡλίῳ καὶ τῷ πυρὶ καὶ μὴ πεισθέντες, ἀλλὰ μετὰ παρρησίας ἐλέγξαντες [1] τὴν τῶν Περσῶν πλάνην, τὸν δὲ Χριστὸν κηρύξαντες Θεὸν μόνον ἀληθινὸν καὶ βασιλέα τοῦ παντὸς καὶ τῆς κτίσεως ποιητήν, ξίφει κατακοπέντες ἐτελεύτησαν. — 4. — iterum καὶ τῆς ἁγίας Γοβδέλλας. — 5. — **M** : 1. — Μνήμη τῶν ἁγίων μαρτύρων τῶν ἐν τῷ [2] Βυζαντίῳ. Βασιλεύοντος Οὐάλεντος ἐν τῷ Βυζαντίῳ τοῦ Ἀριανοῦ [3] ὡς παρατραπέντος τῆς εὐθείας ὁδοῦ, σκάφος εὐσεβῶν καὶ ὀρθοδόξων πρεσβυτέρων ἐμπλήσαντες οἱ τῆς ἀνοσίου αὐτοῦ συμμορίας ἀφῆκαν ἀνερμάτιστον εἰς τὸ τῆς θαλάσσης πέλαγος. Εἶτά τινας τῶν ὁμογνωμόνων εἰς πορθμεῖον ἕτερον ἐμβιβάσαντες, πῦρ ἐπαφεῖναι [4] τῇ σκάφῃ τῶν ἱερέων ἐκέλευσαν. Τούτου δὲ γενομένου, πυρὶ καὶ ὕδατι μαχόμενοι οἱ ἅγιοι τῷ βυθῷ παρεπέμφθησαν. — 4 (τῶν ἁγίων ρν' μαρτύρων). — 5. 3 (Πετρωνίας tantum). — Εἰς τὸν ἅγιον μάρτυρα Γουδελίαν. — Κασδίου καὶ Κασδίας. — 2. — **Mv** : 1. — μαρτύρων τῶν ἐν Βυζαντίῳ. — 4 (ρν' μαρτύρων). — 5. 3 (Πετρωνίας tantum). — Γουδελίας. — Κασδόου καὶ Κασδόας. — 2. — **Mr** : 1.

Sept. 30. SYNAXARIA SELECTA. **Sa** : 1. add. : νῦν δὲ τελεῖται ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ τοῦ ἁγίου Ἀβερκίου τῷ ὄντι ἐν τῷ πατριαρχείῳ, ἔνθα καὶ ἡ ἁγία κάρα αὐτοῦ ἀπόκειται. — 2. — **H** : 1 (Γρηγορίου solius). — 2 (om. Στρατονίκου, Γλυκερίου, Θεοφίλου). — **P** : 1 : Γρηγορίου ἀρχιεπισκόπου τῆς μεγάλης Ἀρμενίας καὶ Γαϊανῆς καὶ Ῥιψιμίας καὶ τῶν σὺν αὐταῖς, ἐπὶ Διοκλητιανοῦ βασιλέως κρατοῦντος τῆς Ῥωμαίων ἀρχῆς καὶ βασιλεύοντος τῶν Παρθῶν Ἀρταβάνου τοῦ υἱοῦ Ἀσοῦρ, ἀδελφοῦ ὑπάρχοντος Κουσαρῶ βασιλέως Ἀρμενίας. Δολοφονεῖται καὶ ἀποκτείνεται ὁ αὐτὸς Ἀρτάβανος, ἀδελφὸς Κουσαρῶ βασιλέως Ἀρμενίας, παρὰ Ἀρτασὴρ υἱοῦ Σασᾶν βασιλέως Περσῶν, σατράπου πρότερον ὑπάρχοντος τοῦ Ἀρτασὴρ τῆς τῶν Παρθῶν ἐπαρχίας, βουλῇ δὲ καὶ συνέσει τῶν ἐν Περσίδι στρατοπε-

[1] ἐλλέγξαντες Cb. — [2] τῷ *om.* Mv. — [3] Ἀρειανοῦ Mv. — [4] ἐπαφθῆναι Mv.

Sept. 30. ται· καὶ ἐπὶ ἑτέρας ἑπτὰ ἡμέρας μένει τῇ ἀναρτήσει καὶ αὖθις κατενεχθεὶς κνημῖσι [5] σιδηραῖς τὰ γόνατα ἐξαρθροῦται, παχείας σφηνὸς αὐτοῖς ἐμπαγείσης· καὶ ἐπὶ δυσὶν ἡμέραις μετεωρίζεται καὶ πάλιν κατενεχθεὶς μόλιβδον λελυμένην διὰ τῆς ἕδρας ἐπιχέεται τοῖς ἐγκάτοις· εἶτα μηνυθείς, ὅτι αὐτὸς εἴη Ἀνὰκ τοῦ Πάρθου υἱός, τοῦ τὸν πατέρα Τηριδάτου [6] δολοφονήσαντος, δεσμεῖται χεῖρας καὶ πόδας καὶ τὸν αὐχένα καὶ ἐν Ἀραρὰτ τῇ πατρίδι ἐν βαράθρῳ τινὶ μεστῷ ὄντι ἑρπετῶν ἰοβόλων ῥίπτεται· ἔνθα κατέμεινεν ἔτη δεκαπέντε ἑρπετοῖς f. 41r. καὶ θηρίοις | συνών, παρὰ χήρας τινὸς [7] τρεφόμενος λαθραίως αὐτῷ ἄρτον ἐπιρριπτούσης. Τῆς δὲ Ῥιψιμίας καὶ Γαϊανῆς μοναζουσῶν καὶ παρθένων οὐσῶν καὶ τῆς μὲν [8] Γαϊανῆς πρεσβυτέρας οὔσης καὶ πρὸς εὐσέβειαν ἀφηγουμένης, τῆς δὲ Ῥιψιμίας νεωτέρας καὶ γένους ἐπισήμου καὶ κάλλει διαπρεπούσης [9], ἔκ τινων συμβάντων τὰ περὶ αὐτῆς ὁ Τηριδάτης πυθόμενος ἤρα ταύτης σφοδρῶς καὶ συλλαβόμενος αὐτὴν καὶ πειθοῖ καὶ βίᾳ πρὸς τὴν ἀθέμιτον ἐκκαλούμενος μῖξιν, τῆς τοῦ Χριστοῦ ἰσχύος συνεργούσης αὐτῇ, οὐ περιεγένετο ταύτης· καὶ δὶς προσβαλὼν ἀπεκρούσθη, τῆς φυσικῆς ῥώμης καὶ δυνάμεως ἐκλυθείς [10]. Ἀλλ᾿ ἐκεῖνος μὲν ἀποτυχὼν τοῦ σκοποῦ ὡσεὶ νεκρὸς ἔκειτο· ταύτην δὲ οἱ τοῦ βασιλέως ὑπασπισταὶ ἐκφυγοῦσαν ἐπιδιώξαντες καὶ καταλαβόντες, πρῶτον μὲν διέρρηξαν αὐτῆς τὰ ἱμάτια, ἔπειτα δὲ εἰς τοὐπίσω τὰς χεῖρας προσδήσαντες τὴν γλῶτταν ἀπέτεμον καὶ πυρὸς ἐσχάραις [11] ἅπαν τὸ σῶμα κατέκαυσαν [12], προσηλώσαντες κατὰ τῶν ἐγκάτων αὐτῆς λίθους ὀξεῖς καὶ διατεμόντες τὰ σπλάγχνα αὐτῆς καὶ πρὸς τούτοις τοὺς ὀφθαλμοὺς ἐξορύξαντες· καὶ κατὰ βραχὺ τοῖς ξίφεσι διελόντες αὐτὴν τῷ θανάτῳ παρέπεμψαν [13]. Συνανῃρέθησαν δὲ αὐτῇ [14] τμηθέντες τὰς κεφαλὰς ἄνδρες χριστιανοὶ ἑβδομήκοντα καὶ γυναῖκες δύο καὶ τριάκοντα. Ἡ δὲ ἁγία Γαϊανὴ σὺν ταῖς λοιπαῖς διεπάρη [15] τὸν αὐχένα καὶ ἐφυσήθη ὥσπερ ἀσκὸς καὶ τὴν δορὰν τῆς σαρκὸς μέχρι [16] καὶ τῶν μασθῶν ἀφῃρέθη καὶ λίθοις συνετρίβη καὶ οὕτως ἐτμήθη τὴν κεφαλήν, τὰ αὐτὰ καὶ τῶν λοιπῶν γυναικῶν πεπονθυιῶν. Ὁ οὖν βασιλεὺς ἡττηθεὶς ἅμα τῆς τε [17] ὥρας καὶ ἀνδρίας τῆς ἁγίας Ῥιψιμίας καὶ εἰς ἐσχάτην ἀθυμίαν πεσών, ἐλήφθη δαίμονι πονηρῷ καὶ τῶν φρενῶν ἐκστὰς ἐλυμαίνετο τὰς σάρκας αὐτοῦ διεσθίων καὶ τὴν μορφὴν ἐπὶ τὸ θηριῶδες ἤλλαξε καὶ μετὰ τῶν συῶν τὴν δίαιταν εἶχεν ἐν ἑλώδεσι τόποις καὶ ὑδρηλοῖς, πολλῶν [18] αὐτῷ συμμανέντων, οἳ ἦσαν ὑπασπισταὶ τούτου καὶ τῆς χώρας ἄρχοντες, τὴν κτηνώδη ἀλλαξάμενοι | δίαιταν [19] καὶ κατάστασιν. f. 42. Ἀνάγεται οὖν ὁ ἅγιος Γρηγόριος τῷ πεντεκαιδεκάτῳ ἔτει [20] ἐκ τοῦ λάκκου, ἐν ᾧ καθεῖρκτο· τοῦτο γὰρ ὄναρ ἐπεφάνη Κουσαροδούκτᾳ [21] τῇ τοῦ βασιλέως ἀδελφῇ, μὴ ἂν ἄλλως γενέσθαι τῷ Τηριδάτῃ [22] τὴν ἴασιν, ἢ δι᾿ ἐντεύξεως τοῦ μεγάλου Γρηγορίου· καὶ προσάγεται ἔκφρων καὶ μεμηνὼς ὁ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἐν σχήματι θηρίων καὶ

— [5] κνημέσι Sa. — [6] Τηριδάτην S. — [7] παρὰ γυναικός τινὸς χήρας Sa. — [8] καὶ *add.* Sa. — [9] διαπρεπούσης Sa, διαπρεποῦς S. — [10] αὐτοῦ ἐκλυθείσης Sa. — [11] ἐσχάρας S. — [12] κατέκαμψαν Sa. — [13] παρέδωκαν Sa. — [14] αὐτὴν Sa. — [15] διεσπάρη S, Sa. — [16] μέχρι *supra lin.* S. — [17] τῆς τῆς Sa. — [18] καὶ ἄλλων *add.* Sa. — [19] τε *add.* Sa. — [20] τοῦ *add.* Sa. — [21] Κονσαροδούκτα Sa, Καισαροδούκτα S. *Cf.* P. de Lagarde, *l. c., p. 145.* — [22] Τηριδάτι S.

Sept. 30. δάρχων, ἑλομένων ἐπ᾿ αὐτοὺς βασιλεύσειν αὐτόν. — 2 : Μαρδόνου, Μιγδονίου, Δωροθέου καὶ Ἤνδου καὶ Στρατονίκου καὶ τῶν σὺν αὐτοῖς ἁγίων γυναικῶν καὶ Γλυκερίου πρεσβυτέρου καὶ Θεοφίλου διακόνου ἐν τῷ οἴκῳ τῶν ἁγίων μʹ μαρτύρων. — **F** : 1. 2 : Μαρδονίου, Μιγδονίου, Δωροθέου καὶ Ἰνδοῦ καὶ Στρατονίκου καὶ Γλυκερίου πρεσβυτέρου καὶ Θεοφίλου διακόνου καὶ τῶν σὺν αὐτοῖς ἁγίων γυναικῶν ἐν τῷ οἴκῳ τῶν ἁγίων μʹ, πλησίον τοῦ Χαλκοτετραπύλου. — **Fa** : 1. 2. — **Fb** : 1. 2. — **B** : 1. — **Ba** : 1 : Γρηγορίου ἐπισκόπου τῆς μεγάλης Ἀρμενίας. Οὗτος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ βασιλέως, Πάρθος τὸ γένος, υἱὸς Ἀνὰκ συγγενοῦς Κουσαρῶ βασιλέως Ἀρμενίας, ἀδελφοῦ Ἀρταβάνου βασιλέως Ἀρμενίαςκ αἱ πρῶτον μὲν εἰς τοὐπίσω τὰς χεῖρας δεσμεῖται καὶ βάρει ἅλατος βαρύνεται τὰ μετάφρενα καὶ ἀναρτᾶται τῆς μιᾶς χειρὸς ἡμέρας ἑπτά, πρὸς τοῖς ποσὶ λίθῳ ἐξαρτηθεὶς καὶ θυλάκῳ μεστῷ καμινιαίας αἰθάλης τὴν κεφαλὴν βάλλεται. Καὶ αὖθις τοῦ ἑνὸς ποδὸς ἀναρτᾶται καὶ ὑποκαπνίζεται χυμῷ δυσώδει [1] καὶ ῥάβδοις σκληραῖς ἐφ᾿ ἱκανὸν τύπτεται καὶ ἐπὶ ἑτέρας ἑπτὰ ἡμέρας μένει τῇ ἀναρτήσει. Καὶ αὖθις κατενεχθεὶς μόλυβδον λελυμένον ἐν τοῖς ἐγκάτοις διὰ τῆς ἕδρας δέχεται. Μετὰ ταῦτα μαθόντος Τηριδάτου ὅτι υἱός ἐστιν Ἀνὰκ τοῦ δολοφονήσαντος τὸν πατέρα αὐτοῦ, δεσμεῖται πόδας καὶ χεῖρας καὶ τὸν αὐχένα καὶ ἐν Ἀραρὰτ τῇ πατρίδι ἐν βαράθρῳ βαθυτάτῳ [2] μεστῷ ὄντι ἑρπετῶν ἰοβόλων ἐναπορρίπτεται, ἔνθα διήρκεσεν ἔτη ιεʹ παρὰ γυναικὸς χήρας τρεφόμενος λάθρα ἐπιρριπτούσης αὐτῷ ὀπτὸν ἄρτον. Μετὰ ταῦτα ἀνάγεται ἐκ τοῦ λάκκου προνοίᾳ Θεοῦ. Ὃς ῥυσθεὶς πολλῶν ὀδυνῶν καὶ κακώσεων, δεξάμενος τὸ τῆς ἱερωσύνης ἀξίωμα πάντας κατήχησεν καὶ βαπτίσας καὶ αὐτὸν τὸν βασιλέα καὶ πολλὰ ἐργασάμενος παράδοξα ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν. — Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας μάρτυρος Ῥιψιμίας [3] καὶ τῆς συνοδίας αὐτῆς. Ἡ μάρτυς Ῥιψιμία σὺν τῇ Γαϊανῇ ὑπῆρχον γένους ἐπιδόξου καὶ μεγάλου, τῷ κάλλει διαπρεπεῖς καὶ τῇ πρὸς Θεὸν εὐσεβείᾳ ἀφωρισμέναι ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Διὰ γοῦν τὸ μὴ θελῆσαι τὴν Ῥιψιμίαν [4] γήμασθαι τῷ βασιλεῖ, φυγὰς ᾤχετο ἐπὶ τὰ ὄρη Ἀρμενίας. Καὶ δὴ μαθὼν τὰ περὶ αὐτὴν Τηριδάτης ἐπελάβετο αὐτῆς καὶ τοῦ σκοποῦ ἀποτυχών, ἔπεσε νεκρός. Αὐτὴ δὲ παρὰ τῶν αὐτοῦ συμμυστῶν ὀπίσω τὰς χεῖρας δεθεῖσα, τὴν γλῶτταν ἀποτέμνεται καὶ τὸ σῶμα κατακαίεται καὶ κατὰ τῶν ἐγκάτων λίθοις ὀξέσιν ἐμπείρεται καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται· καὶ κατὰ βραχὺ τοῖς ξίφεσι κατακοπεῖσα, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται· Συνανῃρέθησαν δὲ αὐτῇ ἄνδρες χριστιανοὶ τὸν ἀριθμὸν ἑβδομήκοντα καὶ γυναῖκες τριάκοντα καὶ δύο·

[1] *ita corr. rec., prius* δυσόδους Ba. — [2] *corr. recens., prius* βαθωτάτω Ba. — [3] Ῥιψημίας Ba. — [4] Ῥιψίμην Ba.

δι᾿ ἐντεύξεως αὐτοῦ ὑγιεῖς καθίστανται καὶ πρὸς τὴν πίστιν ἐνάγονται καὶ πᾶσα ὑπ᾿ αὐτὸν [23] βασιλεία τῆς τῶν εἰδώλων πλάνης ἀφίσταται καὶ τῷ Θεῷ προσάγεται· καὶ πάντες τὸ λουτρὸν [24] καὶ τὴν σφραγῖδα τοῦ ἁγίου βαπτίσματος δέχονται καὶ χειροτονεῖται πάσης τῆς χώρας ἐπίσκοπος ὁ μέγας Γρηγόριος καὶ ἐπὶ πολλοὺς χρόνους τῇ ἡσυχίᾳ ἅμα καὶ τῇ προστασίᾳ τῆς ἐκκλησίας καταβιοὺς καὶ τὸν ἴδιον υἱὸν Ἀρωστάκην [25] ἔτι περιὼν ἀρχιεπίσκοπον χειροτονήσας ἐν βαθυτάτῳ γήρᾳ πρὸς Sept. 30. Κύριον ἐξεδήμησε [26]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Θεοδώρου, τῷ ὄντι πλησίον τοῦ χαλκοῦ τετραπύλου [27].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μαρδονίου, Μυγδονίου, Γοργονίου, Δωροθέου, Ἴνδου, Στρατονίκου, Γλυκερίου πρεσβυτέρου, Θεοφίλου διακόνου καὶ τῶν σὺν αὐτοῖς ἁγίων γυναικῶν.

— [23] αὐτοῦ Sa. — [24] τῷ λουτρῷ S. — [25] Ἀροστάκην Sa; *Cf.* P. de Lagarde, *l. c., p. 137.* — [26] ἐξεδήσε Sa. — [27] *Vid. quae add.* Sa *inter* Synaxaria selecta.

Γαϊανὴ [5] δὲ ἡ γενναία σὺν ταῖς λοιπαῖς ἁγίαις γυναιξὶ διεπάρη τὸν αὐχένα καὶ ἐφυσήθη ὡς ἀσκός, καὶ Sept. 30. τὴν δορὰν τῆς σαρκὸς μέχρι τῶν μαστῶν ἀφαιρεθεῖσα, λίθοις συνετρίβη· εἶθ᾿ οὕτως τὴν κεφαλὴν ἀπετμήθη. — **Bb** : 1. — **T** : 1 (Γρηγορίου solius). — **L** : 1. 2. — **O** : 1. — **G** : 1. — **C** : 1. — **Cb** : 1. — **M** : 1. — τῶν ἁγίων ἑβδομήκοντα τῶν συναιρεθέντων τῇ ἁγίᾳ Ῥιψίμῃ. — Μνήμη τῶν ὁσίων δύο γυναικῶν. — 2 (Στρατονίκου, Μαρδονίου). — Τῶν ἁγίων χιλίων μαρτύρων ξ. τ. — **Mv** : 1. — Τῶν ἁγίων ἑβδομήκοντα. — Δύο γυναικῶν. — 2 (Στρατονίκου ... ὁ ἅγιος μάρτυς Μαρδόνιος ἄνθρακας ἐπὶ τοῦ ὀμφαλοῦ δεξάμενος τ. — Χίλιοι μάρτυρες. — **Mr** : 1.

— [5] Γαινὴ Ba.

ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ

ἡμέρας ἔχει λα', ἡ ἡμέρα ἔχει ὥρας ια' καὶ ἡ νὺξ ὥρας δεκατρεῖς· ἐν ᾧ καὶ γίνεται ἀπαρχὴ τοῦ ἡλιακοῦ κύκλου.

ΕΙΣ ΤΗΝ Α'.

Oct. 1. **1.** Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ἀνανίου ἑνὸς τῶν ἑβδομήκοντα[1]. Ὅς προεχειροτονήθη παρὰ τῶν κορυφαίων ἀποστόλων ἐπίσκοπος πόλεως Δαμασκοῦ καὶ Παύλῳ[2] τὸ ὁρᾶν ἀποδίδωσι τυφλῷ γεγονότι ἐκ τῆς γενομένης αὐτῷ θεοφανείας καὶ καταρτίζει αὐτὸν πρὸς τὴν πίστιν καὶ βαπτίζει. Τελῶν οὖν πολλὰς ἰάσεις ἐν Δαμασκῷ καὶ ἐν Ἐλευθεροπόλει[3] ὑπὸ Λουκιανοῦ ἡγεμόνος συσχεθεὶς ὡς τὸν Χριστὸν κηρύττων, τύπτεται βουνεύροις καὶ τὰς πλευρὰς σιδηροῖς ὄνυξι ξέεται καὶ λαμπάσι πυρὸς καταφλέγεται· καὶ ἐξωσθεὶς τῆς πόλεως παρὰ τοῦ δήμου λιθοβολεῖται. Καὶ οὕτως τῷ Κυρίῳ τὸ πνεῦμα εὐχόμενος παρατίθησι[4].

f. 42v. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ῥωμανοῦ | τοῦ μελῳδοῦ καὶ ποιητοῦ[1] τῶν κοντακίων· ὃς ὥρμητο ἐκ Συρίας τῆς Ἐμεσηνῶν πόλεως, διάκονος γενόμενος τῆς ἐν Βηρυτῷ ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τῆς λεγομένης Ἀναστάσεως. Καταλαβὼν δὲ τὴν Κωνσταντινούπολιν ἐν τοῖς χρόνοις Ἀναστασίου τοῦ βασιλέως, κατέμενεν ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου τῷ ἐν τοῖς Κύρου, ἐν ᾧ καὶ τὸ χάρισμα τῆς συντάξεως τῶν κοντακίων ἔλαβεν, ἐπιφανείσης αὐτῷ τῆς ἁγίας Θεοτόκου κατ' ὄναρ κατὰ τὴν ἑσπέραν τῆς Χριστοῦ γεννήσεως καὶ τόμον χάρτου ἐπιδούσης καὶ κελευσάσης αὐτὸν[2] καταφαγεῖν· οὗ μετὰ[3] τὴν κατάποσιν εὐθέως ἔξυπνος[4] γενόμενος, ἀναβὰς ἐν τῷ ἄμβωνι, ἤρξατο ἐκφωνεῖν καὶ λίαν ἐμμελῶς ψάλλειν[5]· « Ἡ » παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει ». Ἔκτοτε οὖν ὑπηγόρευσεν εἰς τὰς δεσποτικὰς ἑορτὰς καὶ εἰς μνήμας διαφόρων ἁγίων κοντάκια τὸν ἀριθμὸν περὶ τὰ χίλια, ὧν τὰ πολλὰ ἐν τοῖς Κύρου ἰδιοχείρως ὑπ' αὐτοῦ ἐκτεθέντα ἀπόκεινται. Ἐτελειώθη δὲ ἐν εἰρήνῃ καὶ ἐτάφη ἐν τῇ αὐτῇ ἐκκλησίᾳ, ἔνθα καὶ τελεῖται ἡ αὐτοῦ σύναξις[6].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Δομνίνου. Οὗτος ὑπῆρχεν ἀπὸ Θεσσαλονίκης, χριστιανὸς ἐκ μητρικῶν σπαργάνων, εὐλαβείᾳ καὶ

1. — [1] μαθητῶν τοῦ Χριστοῦ *add.* Sa. — [2] τῷ ἀποστόλῳ *add.* Sa. — [3] Ἐλευθερουπόλει S. — [4] τελεῖται κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] ποιητοῦ καὶ μελῳδοῦ Sa. — [2] αὐτῷ Sa. — [3] μεθ' οὗ Sa. — [4] ἐξύπνου *corr.* Sa, *prius* ἔξυπνος *ut videtur.* — [5] ἐκφωνῇ καὶ ψάλλειν Sa. — [6] σύναξις αὐτοῦ Sa.

Oct. 1. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ πέραν ἐν τῇ αὐτοῦ μονῇ πλησίον τοῦ ἁγίου Ζωτικοῦ. — 2. 3. 4. 5. — **H** : 1. 3. 2. 4. 5. — **P** : 1. 2 : Ῥωμανοῦ τοῦ μελῳδοῦ τῶν κοντακίων. Ὥρμητο δὲ ἐκ Συρίας τῆς Ἐμεσηνῶν[1] πόλεως, διάκονος γενόμενος τῆς ἐν Βηρυτῷ ἁγίας Θεοῦ ἐκκλησίας τῆς λεγομένης Ἀναστάσεως. Καταλαβὼν δὲ Κωνσταντινούπολιν ἐν τοῖς χρόνοις Ἀναστασίου βασιλέως, κατέμενεν ἐν τῷ ναῷ τῆς παναγίας Θεοτόκου ἐν τοῖς Κύρου, ἐν ᾧ καὶ τὸ χάρισμα ἔλαβεν τῶν κοντακίων παρὰ τῆς παναγίας Θεοτόκου, ὡς εἶναι τὸν ἀριθμὸν τῶν ποιηθέντων κοντακίων παρὰ αὐτοῦ περὶ τὰ χίλια. — 3. — **F** : 1. 2. 3. 5. — **Fa** : 1 : Ἀνανίου ἐπισκόπου πόλεως Δαμασκοῦ. Ὅς καὶ Παῦλον ἐβάπτισεν δι'[2] ἀποκαλύψεως, προκατασταθεὶς ὑπὸ τῶν κορυφαίων ἐπίσκοπος[3]. Τελῶν οὖν πολλὰς ἰάσεις ἐν Δαμασκῷ καὶ ἐν Ἐλευθεροπόλει[4], ὑπὸ Λουκιανοῦ ἡγεμόνος τύπτεται βουνεύροις καὶ τὰς πλευρὰς ξέεται καὶ λαμπάσι καταφλέγεται καὶ ἐξωσθεὶς τῆς πόλεως λιθοβολεῖται. — 2 : Ῥωμανοῦ τοῦ ποιητοῦ καὶ μελῳδοῦ τῶν κοντακίων[5]. Ὥρμητο δὲ ἐκ Συρίας τῆς Ἐμεσηνῶν πόλεως, διάκονος γενόμενος τῆς ἐν Βηρυτῷ[6] ἐκκλησίας· καταλαβὼν δὲ τὴν Κωνσταντινούπολιν[7] ἐν τοῖς χρόνοις Ἀναστασίου τοῦ βασιλέως[8], κατέμεινεν ἐν τοῖς Κύρου, ἐν ᾧ καὶ τὸ χάρισμα παρὰ τῆς Θεοτόκου ἔλαβεν, τόμον χάρτου ἐπιδούσης αὐτῷ· ὅθεν καὶ ὑπηγόρευσε κοντάκια τὸν ἀριθμὸν περὶ τὰ χίλια, καὶ τελειωθεὶς ἐν εἰρήνῃ θάπτεται[9] ἐν τῇ αὐτῇ ἐκκλησίᾳ. — 3 : Τοῦ ἁγίου Δωμνήνου. — 5 : Μιχαὴλ ἡγουμένου μονῆς Ζώβης καὶ τῶν σὺν αὐτῷ λς' ἁγίων μοναχῶν, ὑπαρχόντων ὑπὸ τὴν ἐνορίαν Σεβαστουπόλεως, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης· συλληφθέντων ὑπὸ τῶν Ἀγαρηνῶν καὶ μὴ πεισθέντων αὐτοῖς, τὸν ἀγῶνα τοῦ μαρτυρίου διήνυσαν τμηθέντες τὰς κεφαλάς. — **Fb** : 1. 2. 3. 5. — **B** : 1. 5. 2. 3. — **Ba** : 1. 2. 5. 3. — **Bb** : 1. 5. 2. 3. — **T** : 1. 2. — **O** : 1. 2. — **G** : 1. 2. — **C** : 1. 4. 5. 2. — Δομνίνου τοῦ ἐν Περσίδι. — 4 (ἑτέρου ἁγίου Δομνίνου). — **Cb** : 1. 4. 5. 2. — Δομνίνου τοῦ ἐν Περσίδι. Οὗτος ὁ ἅγιος ὑπῆρχεν ἐκ[10] Θετταλίας πόλεως, προσήχθη δὲ εἰς Νικομήδειαν, ἐπὶ τὸ τὸν Χριστὸν ἀρνήσασθαι.

[1] Ἐμισηνῶν P. — [2] διά Fa. — [3] ||||||||||| Fa, ἐπίσκοπος *in marg.* — [4] Ἐλευθερωπόλεως Fa. — [5] κονδακίων *hic et infra* Fa. — [6] Βυρίτω Fa. — [7] Κωνσταντινοῦ πόλει Fa. — [8] καὶ *add.* Fa. — [9] ἐν εἰρίνῃ *iterat* Fa. — [10] ἐπὶ Cb.

φόβῳ Θεοῦ συζῶν καὶ τὸν Χριστὸν καταγγέλλων τοῖς ἐν τῇ πόλει. Εἰς ἣν Μαξιμιανὸς ὁ βασιλεὺς κτίζων ἀνάκτορα καὶ τοῦτον παραστησάμενος[1] καὶ εἰπὼν μετ' ὀργῆς· « Διὰ τί ἐμοῦ τῇ πόλει προκαθε» ζομένου σὺ τολμᾷς ὁμολογεῖν θεὸν ἕτερον καὶ οὐ » θύεις τοῖς θεοῖς εἰ βούλει ζῆσαι; » καὶ μὴ πείθων κατέξανε τὸ σῶμα αὐτοῦ. Ὡς δὲ ἑώρα τὸν θυμὸν αὐτοῦ γελώμενον ὑπὸ τοῦ ἁγίου, ἐκέλευσε πρὸ τῆς πόλεως ἀπενεχθῆναι αὐτὸν καὶ συντριβῆναι τὰ σκέλη καὶ τοὺς πόδας παντελῶς ἀποκοπῆναι[2]. Ἔκτοτε οὖν ὁ μάρτυς ἐπὶ[3] ἑπτὰ ἡμέρας διακαρτερήσας[4] καὶ τροφῆς τῆς οἱασοῦν μὴ μεταλαβών, τὴν μακαρίαν αὐτοῦ[5] ψυχὴν παρέδωκε τῷ Θεῷ[6]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ οἴκῳ[7] τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ[8], τῷ ὄντι πέραν ἐν τῷ Λιθοστρώτῳ[9].

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἀβραμίου τοῦ ἀσκητοῦ.

Oct. 1. f. 43. **5.** Καὶ μνήμη[1] τοῦ ἁγίου μάρτυρος Μιχαὴλ | ἡγουμένου μονῆς λεγομένης Ζώβης[2] καὶ τῶν σὺν αὐτῷ τριάκοντα ἓξ ἁγίων μοναχῶν. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης προκαθεζόμενοι ἐν μοναστηρίῳ λεγομένῳ Ζώβη[3] πλησίον Σεβαστουπόλεως. Εἰς ἣν ἐκστρατεύσας Ἀλὴμ ὁ ἀμηρᾶς τῶν Ἀγαρηνῶν ἐκράτησε μετὰ τῶν ἄλλων καὶ τούτους τοὺς ἁγίους. Ἀναγκάσας δὲ ἀρνήσασθαι τὴν τῶν χριστιανῶν πίστιν καὶ εὑρὼν ἀντιστάντας αὐτῷ καὶ ἐμπτύσαντας καὶ ἐνυβρίσαντας, τὴν κατ' αὐτῶν ἀπόφασιν ἐξέδοτο. Ἐν μέσῳ τοίνυν[4] τῶν ὑπ' αὐτῷ μοναχῶν Μιχαὴλ ὁ ὁσιώτατος ἡγούμενος στὰς καὶ πολλὰ παρακαλέσας τοῦ μὴ τὴν σφαγὴν φοβηθέντας ἀρνήσασθαι[5] τὸν Χριστόν, πάντας παρέθηξε προθύμως τῷ ξίφει τὰς κεφαλὰς ὑποσχεῖν· ἔσχατον δὲ καὶ αὐτὸς ἐκτμηθεὶς τῇ κεφαλῇ πάντων συνήφθη Θεῷ[6].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Oct. 2. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος[1] Κυπριανοῦ καὶ Ἰουστίνης. Οὗτος ἦν ἐπὶ Δεκίου τοῦ βασιλέως γένει περιφανὴς καὶ πλούτῳ κομῶν καὶ εἰς ἄκρον[2] τῆς[3] ἐν λόγοις φιλοσοφίας καὶ τῆς μαγικῆς ἐλάσας ἐπιτηδεύσεως· πρὸς δὲ τὴν εἰς Χριστὸν πίστιν καὶ τὴν διὰ τοῦ[4] μαρτυρίου τελείωσιν ἦλθεν ἐξ αἰτίας τοιαύτης[5]. Ἦν τις παρθένος τοὔνομα Ἰοῦστα[6], ἐν Ἀντιοχείᾳ τῇ[7] πρὸς

3. — [1] καταμηνυθεὶς καὶ προσάξας τῷ βήματι αὐτοῦ Sa. — [2] ἀποκοπῆναι παντελῶς τοὺς πόδας Sa. — [3] *om.* Sa. — [4] διαρκέσας ζῶν Sa. — [5] *om.* Sa. — [6] κυρίῳ Sa. — [7] οἴκῳ Sa, αὐτοῦ οἴκῳ S. — [8] *om.* Sa. — [9] Λιθοτρώτῳ Sa.
5. — [1] συνέδραμε δὲ καὶ ἡ Sa. — [2] Ζόβης Sa. — [3] Ζόβη Sa. — [4] οὖν Sa. — [5] (μὴ - ἀρνήσασθαι) μὴ φοβηθῆναι τὴν σφαγὴν κἂν τούτου ἀρνήσασθαι Sa. — [6] (πάντας - Θεῷ) καὶ τῇ διδασκαλίᾳ αὐτοῦ πάντας στηρίξας καὶ ὑπαλείψας κλίναντας τὰς κεφαλὰς ἀποτμηθῆναι ἔσχατος δὲ καὶ αὐτὸς ὁ πανόσιος ἀπετμήθη τὴν κάραν Sa.
1. — [1] μάρτυρος Sa. — [2] ἄκραν παίδευσιν Sa. — [3] τοῖς S. — [4] *om.* Sa. — [5] τοιαῦτα Sa. — [6] Ἰουστίνα Sa. — [7] τῆς S.

Oct. 1. Μὴ πεισθεὶς δὲ ἀρνήσασθαι αὐτόν, ἀλλὰ μᾶλλον ὁμολογήσας αὐτὸν μετὰ παρρησίας Θεὸν αὐτὸν εἶναι καὶ κύριον τοῦ παντός, τύπτεται σφοδρῶς κατὰ τοῦ προσώπου καὶ παντὸς τοῦ σώματος· εἶτα παραπέμπεται δέσμιος πρὸς τὰ τῆς ἀνατολῆς μέρη τῷ τῆς Μεσοποταμίας ἡγεμόνι, ὠμῷ ὑπάρχοντι καὶ ἀπεῖνῃ καὶ σκληρῷ. Ἐφόδου δὲ γενομένης Περσικῆς, ἐκρατήθη αἰχμάλωτος καὶ ἀπῆλθεν εἰς Περσίδα· καὶ πολλοὺς τῶν Περσῶν διδάσκων τὴν πίστιν τοῦ Χριστοῦ, ἐγνώσθη καὶ κρατηθεὶς καὶ τιμωρηθεὶς ἐν αὐταῖς ταῖς βασάνοις ἀπέδωκε τῷ Κυρίῳ τὴν ψυχὴν αὐτοῦ. — 3 : ἑτέρου ἁγίου Δομνίνου. Οὗτος ὑπῆρχεν ἀπὸ Θεσσαλονίκης· ἦν δὲ εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν. Οὕτω σεμνῶς βιοῦντος, ἔφθασεν ἡ ἀκοὴ αὐτοῦ μέχρι τῶν ἀκοῶν[11] τοῦ τυράννου Μαξιμιανοῦ τοῦ τηνικαῦτα τῇ Θεσσαλονίκῃ παρόντος καὶ βασίλεια κτίζοντος· εὐθὺς δὲ μετ' ὀργῆς ὥσπερ τινὰ ὕβριν ἀπὸ τοῦ μάρτυρος ὑφιστάμενος[12] ὅτι χριστιανὸς ὢν ἐμφανῶς ζῆν ἀπεθάρρησε, φησί· « Τί μοι τῶν διαταγμάτων <τὸ ὄφελος[13]> ὅτι πρὸς τὰς » ὄψεις ἡμῶν οἱ χριστιανοὶ παρρησιάζονται; ἀγέσθω συρόμενος καὶ κατὰ τῶν νώτων ὠθούμενος. » Τούτου δὲ μετὰ πολλοῦ τοῦ τάχους γενομένου, ὁ βασιλεὺς δεύτερα πάντα ποιησάμενος, τῆς κατὰ τοῦ μάρτυρος ὀργῆς ὅλος ἦν τοῦ διασπάσαι αὐτόν, καίτοι ἔχων ἀσχολίαν περισπούδαστον· προεθυμεῖτο γὰρ κτίσαι βασιλείους αὐλάς· τοσαύτη γάρ τις ὀργὴ αὐτὸν ἐξέμηνε καὶ ὠμότης ἐξέκαυσε, ὡς μηδὲ κατὰ τὸν βασίλειον ἀναμεῖναι οἶκον τὴν Δομνίνου παράστασιν μηδὲ εἰς τὸ ἐξ ἔθους φροντιστήριον τοῦ[14] κρίνεσθαι μέλλοντος ποιήσασθαι τὴν ἀκρόασιν· ἀλλ' ἔξω πρὸ τῶν πυλῶν στῆναι προσέταττε τὸν ἅγιον· καὶ ὃς ἐκ τῆς συνήθους τῶν ἀδελφῶν συντυχίας ἁρπασθεὶς παρέστη τῷ Μαξιμιανῷ καὶ προσετάττετο[15] θύειν εἰδώλοις. Τοῦ δὲ μὴ πειθομένου, ὀργὴ καὶ κραυγὴ περιεῖχε τὸν τύραννον. Καὶ παρεκελεύσατο τοῖς δημίοις καταξαίνειν τὸ σῶμα. Ὡς δὲ ἑώρα τὸν θυμὸν αὐτοῦ γελώμενον ὑπὸ τοῦ ἁγίου, προσέταξε πρὸ τῆς πόλεως ἀπενεχθέντα συντριβῆναι αὐτοῦ τὰ σκέλη. Καὶ οὕτως ἀφαιρεθεὶς ὁ θαυμάσιος τῶν ποδῶν ἑπτὰ ἡμέρας διεκαρτέρησε ζῶν, τροφῆς μὴ μετασχών, ὡς πολλοὺς νομίζεσθαι θείᾳ δυνάμει ζῆν· καὶ οὕτως τελειωθεὶς ἀνεπαύσατο ἐν Κυρίῳ. — **Cc** : mutil. 2. — Δομνίνου. — 4. — **M** : 1. 5. — τῶν ἁγίων ὁσιομαρτύρων ἓξ μοναχῶν ξ. τ. — 2. 3. — **Mv** : 1. 5. — Οἱ ἅγιοι ἓξ ὁσιομάρτυρες ξ. τ. — 2. 3. — **Mb** : 1. 2. 3. — **Mr** : 1. 2.

Oct. 2. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — **P** : 1. — Τοῦ ἁγίου Δομετίου (Oct. 4[3]). — **F** : 1. 2. — **Fa** : 1. 2. — **Fb** : 1. 2. — **B** : 1 : Κυπριανοῦ καὶ Ἰουστίνης. Κυπριανὸς ὁ σοφὸς ἱεράρχης ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Δεκίου, ἀπὸ Ἀντιοχείας τῆς Συρίας. Ἦν δὲ φιλόσοφος καὶ μάγος τέλειος, ἀλλ' ὕστερον γέγονε χριστιανὸς ἀπὸ ὑποθέσεως τοιαύτης. Παρθένος τις ὑπῆρχεν ἐν αὐτῇ τῇ πόλει, Ἰουστίνη ὄνομα, βαπτισθεῖσα παρὰ Ὀπτάτου τοῦ ἐπισκόπου. Ἀνὴρ δέ τις ἕλλην, Ἀγλαΐδας[1] καλού-

— [11] ἀκουῶν Cb. — [12] ὅτι χριστιανὸς ὢν ὑφιστάμενος Cb. — [13] *om.* Cb. *suppl. ex* Cc. — [14] οὗ Cb. — [15] προσέταττε Cb.
[1] Ba. ἴδας B.

Oct. 2. Δάφνην, πατρὸς Αἰδεσίου ἱερέως τῶν εἰδώλων καὶ Κληδονίας [8] μητρός. Ἀκούσασα δὲ περὶ τοῦ Χριστοῦ διεξιόντος Πραϋλίου [9] τινὸς διακόνου, ἐπίστευσεν εἰς αὐτὸν καὶ τὴν μητέρα πρὸς θεογνωσίαν μετέστρεψε καὶ αὕτη [10] τὸν ἄνδρα· καὶ πάντες προσέρχονται τῷ ἐπισκόπῳ Ὀπτάτῳ καὶ παρ' αὐτοῦ τὸ βάπτισμα δέχονται. Ὁ γὰρ Χριστὸς αὐτοῖς ἐπεφάνη νυκτὸς προτρεπόμενος ἐπὶ τοῦτο. Ἀγλαΐδας δέ τις ἕλλην σχολαστικὸς ἐρῶν τῆς παρθένου καὶ πειρῶν [11] καὶ μὴ τυγχάνων, προσέδραμε τῷ Κυπριανῷ προσδοκήσας διὰ τῆς μαγικῆς αὐτοῦ τέχνης καταγοητεῦσαι τὴν Ἰουστίναν καὶ καταπειθῆ ἐσχηκέναι [12] πρὸς ἐνέργειαν, ὧν ἐσπούδαζεν, ὑποσχόμενος αὐτῷ παρασχεῖν [13] δύο τάλαντα χρυσίου καὶ ἀργυρίου. Ὁ δὲ πᾶσαν κινήσας κατὰ τῆς παρθένου ἐπίνοιαν, τέλος διὰ πνευμάτων πονηρῶν, οἷς σύνηθες τὰ τοιαῦτα ὑπηρετεῖν, συλῆσαι καὶ κατασπάσαι τὴν παρθένον ἐπήλπισεν. Ὡς δὲ ἄπρακτος ἀπεπέμφθη [14] ὁ πρῶτος καὶ ὁ δεύτερος καὶ ὁ τρίτος ἀποσταλείς, γνοὺς ὅτι τῇ τοῦ Χριστοῦ χάριτι καὶ τῷ σημείῳ | (f. 43v.) τοῦ σταυροῦ ἡττῶνται, καὶ καταγνοὺς τῆς τῶν δαιμόνων ἀπάτης, προσέδραμεν Ἀνθίμῳ τῷ ἐπισκόπῳ καὶ παρ' αὐτοῦ τὸ βάπτισμα ἐδέξατο [15] θριαμβεύσας πᾶσαν τὴν τῶν δαιμόνων πλάνην καὶ τὰ μαγικὰ βιβλία πυρὶ παραδούς· οὗτος πρῶτον μὲν ὑπέδυ τὸ τῶν κληρικῶν σχῆμα καὶ διὰ πάσης ἰδέας τῶν [16] βαθμῶν προελθὼν ἀρχιερεὺς προχειρίζεται καὶ [17] τὴν ἁγίαν παρθένον κεχειροτόνηκε διάκονον, ὀνομάσας αὐτὴν Ἰουστίναν, Ἰοῦσταν τὸ πρότερον καλουμένην. Μεθ' ἧς συλληφθεὶς διὰ τὸ πολλοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπιστρέφειν, ἄγεται πρὸς τὸν κόμητα τῆς ἀνατολῆς εἰς Δαμασκὸν καὶ ἀναρτηθεὶς ξέεται καὶ Ἰουστίνα τύπτεται καὶ εἰς τήγανον σιδηροῦν ἀμφότεροι [18] ἐμβάλλονται· εἶτα ἀναπέμπονται ἐπὶ Νικομήδειαν [19] τῷ βασιλεῖ. Οὗ προστάξαντος, ἀπηνέχθησαν εἰς τὸν ποταμὸν τὸν καλούμενον Γάλλον καὶ τὰς κεφαλὰς [20] ἀπετμήθησαν [21]· Ὁ δὲ μέγας Γρηγόριος ὁ θεολόγος οὐχ ἕτερον ἀλλ' αὐτὸν ἐραστὴν τῆς παρθένου φησίν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ αὐτῶν μαρτυρείῳ τῷ ὄντι πέραν ἐν τοῖς Σολομῶνος.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Θεοφίλου τοῦ νέου ὁμολογητοῦ. Ὃς ὑπῆρχε Τιβεριουπόλεως γέννημα καὶ θρέμμα, χριστιανῶν γονέων υἱὸς καὶ ἐξ αὐτῶν τῶν [1] σπαργάνων ἔχων βίον καθαρόν τε [2] καὶ ἀνεπίληπτον. Οὗτος μοναχὸς γεγονὼς πολλοῖς ἐγένετο διδάσκαλος καὶ ἀλείπτης πρὸς τὴν εὐσέβειαν. Περὶ τοῦτον ἀναμαθὼν ὁ βασιλεὺς Λέων ὁ Ἴσαυρος [3] ὅτι προσκυνητὴς τῶν θείων [4] εἰκόνων ἐστί, μετακαλεσάμενος [5] πρὸς ἑαυτὸν καὶ συμβουλευσάμενος [6] δῆθεν ἀποστῆναι τῆς προσκυνήσεως τῶν σεπτῶν εἰκόνων, οὐ μόνον οὐκ ἔσχε καταπειθῆ ἀλλὰ καὶ ἐλέγχοντα αὐτὸν καὶ ὑβρίζοντα ἰσχυρῶς, ἄθεον αὐτὸν ἀποκαλοῦντα καὶ παράνομον καὶ τοῦ ἀντιχρίστου πρόδρομον καὶ ἀρνητὴν τῆς τῶν χριστιανῶν πίστεως. Ὅθεν εἰς [7] ὀργὴν [8] κινηθεὶς ὁ βασιλεὺς πρῶτον μὲν τύπτει σφοδρῶς [9] καὶ εἰς φυλακὴν αὐτὸν [10] ἐμβάλλει, καὶ λιμοκτονεῖ ἱκανῶς [11]· ἔπειτα δὲ καὶ οὕτως <μὴ [12]> πείθων εἰς ἐξορίαν ἐκπέμπει. Διὰ βασιλικῶν δὲ γραμμάτων κἀκεῖσε συμβουλεύων καὶ ἀπειλῶν [13] καὶ μηδ' ὅλως πείσας [14], ἀποστείλας Καλύβιόν [15] τινα | (f. 44.) τοὔνομα, τύπτει τοῦτον βουνεύροις [16]· εἶτα [17] τὴν ὄψιν καὶ τοὺς πόδας διαπερονήσας σιδήροις ἐλαύνει καὶ ἀφανίσας αὐτοῦ τὸ σῶμα ἀπορρίπτει. Ἐπεὶ δὲ καὶ θανεῖν ἔμελλεν ὁ μακάριος, ἀφείθη· Χριστοῦ δὲ χάριτι αὖθις ὑγιασθείς [18], τὸν ὑπόλοιπόν [19] τε χρόνον θεαρέστως βιώσας καὶ θαυμάτων ἀπείρων γενόμενος αὐτουργός, τοῦ βίου ἐνδόξως [20] μεθίσταται.

— [8] Κληδωνίας Sa. — [9] τοῦ *add.* Sa. — [10] ἡ μήτηρ ὁμοίως Sa. — [11] καὶ πειρῶν *om.* Sa. — [12] (καταπειθῆ - ἐσχηκέναι) καθέλξαι Sa. — [13] παρέξειν αὐτῷ Sa. — [14] καὶ ἡττημένος *add.* Sa. — [15] δέχεται Sa. — [16] ἐκκλησιαστικῶν *add.* Sa. — [17] Ἰουστίναν *add.* Sa. — [18] *om.* Sa. — [19] Νηκομήδειαν Sa. — [20] ἐκεῖσε *add.* Sa. — [21] ἐτμήθησαν Sa.

2. — [1] *om.* Sa. — [2] καθαρόν τε Sa, τε καθαρὸν S. — [3] περὶ τούτου ὁ βασιλεὺς Ἴσαυρος ἀναμαθὼν Sa. — [4] ἁγίων Sa. — [5] μεταπεμψάμενος Sa. — [6] συμβουλεύσας Sa. — [7] θυμὸν *add.* Sa. — [8] καὶ ὀργὴν Sa. — [9] τὸν ὅσιον *add.* Sa. — [10] αὐτὸν *om.* Sa. — [11] ἰσχυρῶς Sa. — [12] μὴ Sa, *om.* S. — [13] (συμβουλεύων καὶ ἀπειλῶν) βιαζόμενος ἀρνήσασθαι τὴν προσκύνησιν Sa. — [14] εὑρίσκων καταπειθῆ Sa. — [15] καὶ λύβιον Sa. — [16] τὰς πλευρὰς Sa. — [17] καὶ *add.* Sa. — [18] ὑγιωθεὶς Sa. — [19] ὑπόλειπον S. — [20] *om.* Sa.

Oct. 2. μενος, ἐπεθύμησεν αὐτῆς· καὶ μὴ τυχὼν τῆς ἐπιθυμίας, προσέδραμε τῷ Κυπριανῷ, παρακαλῶν αὐτὸν διὰ μαγείας πεῖσαι τὴν Ἰουστίναν, ὑπακοῦσαι αὐτῷ [2]. Ἀποστείλας δὲ ὁ Κυπριανὸς ἐκ τρίτου δαίμονας τῆς πορνείας πρὸς τὴν παρθένον, καὶ μὴ πείσας αὐτὴν προσευχομένην τῷ Θεῷ διαπαντός, ἐδαιμονίσθη αὐτός, τοῦ ἐσχάτου δαίμονος στραφέντος καὶ εἰσελθόντος εἰς αὐτόν. Καὶ συνιδὼν ὅτι οὐδὲν ὠφελεῖ ἡ μαγικὴ τέχνη, ἔκαυσε [3] τὰ βιβλία αὐτοῦ καὶ ἐβαπτίσθη. Καὶ τοσοῦτον ἐγένετο [4] ἐνάρετος, ὡς καὶ ἐπίσκοπος γενέσθαι καὶ πολλοὺς διδάξαι τὴν τοῦ Χριστοῦ πίστιν. Ὕστερον δὲ κρατηθεὶς μετὰ τῆς [5] Ἰουστίνης παρὰ τοῦ τῆς Δαμασκοῦ ἄρχοντος, ὑπὲρ Χριστοῦ ἀπεκεφαλίσθη. — 2 : Θεοφίλου τοῦ ὁμολογητοῦ. Ὁ ὅσιος πατὴρ ἡμῶν καὶ ὁμολογητὴς τοῦ Χριστοῦ Θεόφιλος ἦν μοναχὸς εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν, ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου. Ὃν ἰδὼν σπουδάζοντα καταστρέψαι τὰς ἁγίας εἰκόνας καὶ πάντας πρὸς τὴν εἰκονομάχων αἵρεσιν ἐπιστρέψαι, ζήλῳ θείῳ [6] κινηθεὶς ἐστάθη ἐνώπιον αὐτοῦ. Καὶ μετὰ παρρησίας ἤλεγξεν αὐτόν, παράνομον αὐτὸν [7] εἰπὼν καὶ τοῦ ἀντιχρίστου πρόδρομον καὶ ἀρνητὴν τῆς ὀρθοδόξου πίστεως. Εἰς θυμὸν οὖν καὶ ὀργὴν κινήσας αὐτόν, πρῶτον μὲν [8] ἐτύφθη σφοδρῶς, καὶ εἰς φυλακὴν ἐνεβλήθη, καὶ ὑπὸ λιμοῦ τὸ σῶμα κατεδαπανήθη. Εἶτα τῆς φυλακῆς ἐκβληθεὶς καὶ πάλιν ἀναγκασθεὶς ἀρνήσασθαι τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν καὶ τὸ σέβας καὶ μὴ πεισθείς, εἰς ἐξορίαν ἀποστέλλεται. Καὶ ἐκεῖ πολλοὺς πειρασμοὺς ὑπομείνας, καὶ μυρία δεινὰ παθὼν καὶ ἐπὶ πᾶσι τὸν Θεὸν δοξάζων καὶ τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ εὐχαριστῶν, πρὸς Χριστὸν χαίρων ἐξεδήμησεν. — **Ba** : 1. 2. — **Bb** : 1. 2. — **T** : 1. — **O** : 1. — **G** : 1. — **C** : 1. 2. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — **M** : 1. 2. — **Mv** : 1. 2. — **Mb** : 1. 2. — **Mr** : 1.

— [2] αὐτοῦ Ba. — [3] ὁ Κυπριανὸς *add.* Ba. — [4] γέγονεν Ba. — [5] *om.* Ba. — [6] θείῳ ζήλῳ Ba. — [7] *om.* Ba. — [8] οὖν *add.* Ba.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

Oct. 3. **1.** Ἄθλησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἐπισκόπου γενομένου Ἀθηνῶν Διονυσίου τοῦ Ἀρεοπαγίτου [1]. Ὃς ἐτύγχανεν εἷς [2] τῶν ἐν Ἀθήναις ἐνδόξων πλούτῳ καὶ σοφίᾳ περίβλεπτος. Νόμος δὲ ἦν ἐν αὐτοῖς ἐννέα κριτὰς προκαθέζεσθαι παρὰ [3] τὸν Ἄρειον πάγον, διαφέροντας τῶν λοιπῶν [4], τὰς φονικὰς κρίνοντας κρίσεις [5]· ὧν εἷς ὑπῆρχε καὶ Διονύσιος [6]. Τοῦ δὲ θείου Παύλου τοῦ ἀποστόλου κηρύξαντος ἐν Ἀθήναις, ἄκρος τὴν σύνεσιν ὢν [7] ἐπέγνω τὴν ἀλήθειαν καὶ ἐπίστευσεν εἰς Χριστόν· καὶ χειροτονεῖται παρ' αὐτοῦ ἐπίσκοπος Ἀθηνῶν καὶ τὰ ἀπόρρητα μυεῖται παρὰ τοῦ σοφοῦ Ἱεροθέου. Διὸ καὶ μόνος ἐν γράμμασιν ἐκτίθεται [8] τῶν ἐπουρανίων [9] ταγμάτων τοὺς διακόσμους καὶ πάσης ἱεραρχίας καὶ ἐκκλησιαστικῆς διατάξεως ἐφερμηνεύει [10] τοὺς τύπους. Οὗτος ὁλοκαυτοῦται ἐν πυρὶ συλληφθεὶς ὑφ' ἑλλήνων [11], συγκατακαέντων αὐτῷ καὶ τῶν ἑτέρων αὐτοῦ συγγραμμάτων, ἅ φασί τινες ἐν μόνῃ τῇ τῶν Ῥωμαίων ἀποκεῖσθαι βιβλιοθήκῃ [12]· εὑρίσκονται δὲ παρ' ἡμῖν βιβλία αὐτοῦ δέκα. Καταλαβὼν δὲ τὰ ἑσπέρια [13], ἐπὶ τῆς βασιλείας Δομετιανοῦ, καὶ πολλὰ θαύματα ἐπιδειξάμενος, μετὰ τὸ ἀποτμηθῆναι τὴν κεφαλὴν χερσὶν ἰδίαις ὑποδεξάμενος, μέχρι δύο μιλίων ἐβάδισε [14]· καὶ οὐ πρότερον ἀπέθετο [15] αὐτήν, ἕως συνήντησε πιστῇ γυναικὶ ὀνόματι Κατούλᾳ· καὶ ταύτης ταῖς χερσὶ τὸν ἱερὸν θησαυρὸν ἤτοι τὴν κάραν ἐπίστευσε. Σὺν αὐτῷ δὲ Ῥουστικός τε καὶ Ἐλευθέριος τὰς κεφαλὰς ἀπετμήθησαν [16]. Ἦν δὲ [17] κατὰ τὸν σωματικὸν τύπον, τὸ μέγεθος μέσος, ἰσχνός, λευκός, ὕπωχρος, τὴν ῥῖνα ὑπόσιμος [18], τὰς ὀφρῦς ἀνεσπακώς [19], κοῖλος τοὺς ὀφθαλμούς, ἐπὶ συννοίας ἀεί, ὦτα μεγάλα ἔχων, πολιός, κομήτης, μετρίως βαθυνόμενος τὴν ὑπήνην, ἀραιὸς τὴν ἔκφυσιν τοῦ γενείου, ἠρέμα προγάστωρ, μακροδά|(f. 44v.)κτυλος ταῖς χερσίν. Ἡ δὲ σύναξις αὐτοῦ τελεῖται [20] ἐν τῇ ἁγιωτάτῃ [21] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας. Οὗτος ἦν [1] ἐπὶ τῶν χρόνων Οὐαλλεριανοῦ καὶ Γαλλιηνοῦ [2] τῶν βασιλέων. Προσαχθεὶς δὲ [3] Αἰμιλιανῷ τῷ ἡγεμόνι γράμματα δεξαμένῳ βασιλικὰ διωγμὸν κατεξαίρετον [4] ποιεῖσθαι τῶν ἐπισκόπων, ὡς τὴν εὐσέβειαν τοὺς λαοὺς διδασκόντων, ὑπερορίᾳ καταδικάζεται· καὶ πάσης συνόδου καὶ συναγωγῆς καὶ ὁμιλίας πρὸς τοὺς συνήθεις [5] κωλύεται. Εἶτ' αὖθις κατα-

1. — [1] πατρὸς ἡμῶν Δ. τοῦ Ἀ. ἐπισκόπου Ἀθηνῶν καὶ μάρτυρος Sa. — [2] (ὃς - εἷς) οὗτος εἷς ἦν τῶν Sa. — [3] εἰς Sa. — [4] τοὺς *add.* Sa. — [5] κρίσεις κρίνοντας Sa. — [6] ὧν εἷς καὶ ὁ μακάριος Δ. ἦν Sa. — [7] (τὴν - ὢν) ὢν τὴν σύνεσιν Sa. — [8] (ἐν - ἐκτίθεται) ἐκτίθεται ἐν γράμμασιν Sa. — [9] καὶ ἀγγελικῶν *add.* Sa. — [10] ἑρμηνεύει Sa. — [11] ἐν πυρὶ ὑπὸ τῶν ἑλλήνων Sa. — [12] βιβλιοθήκῃ ἀποκεῖσθαι Sa. — [13] μέρη *add.* Sa. — [14] (μετὰ - ἐβάδισε) μέχρι δύο μιλίων ἐβάδισε τὴν κεφαλὴν μετὰ τὸ ἀποτμηθῆναι χερσὶν ἰδίαις ὑποδεξάμενος Sa. — [15] ἔθηκεν Sa. — [16] (ὀνόματι - ἀπετμήθησαν) καὶ ἀπέδωκεν αὐτὴν εἶτα ἀπεκεφαλίσθησαν καὶ οἱ σὺν αὐτῷ Ῥουστικὸς καὶ Ἐλευθέριος Sa. — [17] ὁ μέγας οὗτος Διονύσιος *add.* Sa. — [18] ὑπόσιμος τὴν ῥῖνα Sa. — [19] ἀνεσπασμένος Sa. — [20] τελεῖται δὲ ἡ σύναξις αὐτοῦ Sa. — [21] *om.* Sa.

2. — [1] (οὗτος ἦν) ὑπάρχοντος Sa. — [2] Γαληΐνου S. — [3] οὗτος προσαχθεὶς Sa. — [4] (βασιλικὰ - κατεξαίρετον) παρὰ τῶν βασιλέων καὶ ἐξαίρετον διωγμὸν Sa. — [5] (ὡς - συνήθους) ὡς διδασκόντων τὸν λαὸν τὴν εὐσέβειαν τῷ οἰηθῆναι ὅτι εἰ παραστήσουσιν αὐτοὺς πάντα ὑποχειρίους ποιήσοντα ὑπερορίᾳ καταδικάζονται· καὶ πάσης συνόδου καὶ συναγωγῆς καὶ ὁμιλίας πρὸς τοὺς συνήθεις Sa.

Oct. 3. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ σύναξις αὐτοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. — 2. — **H** : 1 (... Δεῖ εἰδέναι ὅτι τὴν μνήμην τοῦ ἁγίου Διονυσίου ἡ μεγάλη ἐκκλησία τῇ πλησιαζούσῃ κυριακῇ ἑορτάζει). — **P** : 1. — **F** : 1. 2. — **Fa** : 1. 2. — **Fb** : 1. 2. — **B** : 1. — **Ba** : 1. 2 : Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας καὶ τῶν σὺν αὐτῷ Πέτρου, Παύλου, Φαύστου καὶ Γαΐου. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Οὐαλλεριανοῦ καὶ Γαλλιηνοῦ [1]. Ὧν ὁ μὲν ἅγιος Διονύσιος ὑπερορίᾳ καταδικάζεται πρότερον· εἶτα δημεύεται καὶ λιθάζεται καὶ πλείονα ὧν ὑπέμεινεν πρώην ἐπὶ Δεκίου κατὰ τὴν Λιβύην παθὼν ἐν αὐχμηρῷ τόπῳ σὺν Φαύστῳ καὶ Γαΐῳ καὶ Πέτρῳ καὶ Παύλῳ ἐπὶ δώδεκα χρόνους ἐγκαρτερήσας καὶ θαύματα ἐργασάμενοι ἐν καλῇ ὁμολογίᾳ τὸν βίον ἀπολιμπάνουσιν. — **Bb** : 1. — **T** : 3. — **O** : 1. — **G** : 1. — **C** : 1. 2. — **Cb** : 1. 2 : Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ τῆς συνοδίας αὐτοῦ Γαΐνου, Φαύστου, Εὐσεβίου καὶ τῶν λοιπῶν. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ Γαλλιηνοῦ [2] τὸν διωγμὸν κινησάντων καὶ κατὰ πάντων <μὲν [3]> τῶν χριστιανῶν, κατεξαίρετον δὲ κατὰ τῶν ἐπισκόπων, οὓς ἐδόκει ὑπὸ τὴν χεῖρα ποιῆσαι τὴν ἑαυτοῦ. Αἰμιλιανὸς δέ τις Ἀλεξανδρείας ἡγεμὼν κρατήσας αὐτόν, βίῳ καὶ λόγῳ κεκοσμημένον ὄντα διδασκαλικόν τε πάνυ καὶ τῆς ὀρθῆς ἀντεχόμενον πίστεως, σὺν Φαύστῳ διακόνῳ καὶ λοιποῖς, καὶ πολλὰ καταναγκάσας [4] θῦσαι τοῖς εἰδώλοις καὶ βασάνων ἀπαλλαγῆναι καὶ μὴ πείσας, εἰς ἐξορίαν παραπέμπει, πάσης αὐτοὺς κωλύσας συνόδου καὶ συναγωγῆς καὶ ὁμιλίας πρὸς τοὺς συνήθεις· ἀπαχθεὶς δὲ ἐν τῇ Κεφρῇ [5] καὶ διδάσκων τὸν λόγον τοῦ Θεοῦ, ἐλιθάζετο παρὰ τοῦ δήμου. Καὶ μαθὼν ταῦτα Αἰμιλιανός, ἐκέλευσεν ἀποικισθῆναι αὐτὸν εἰς τραχύτερον χωρίον, λῃστῶν καὶ μιαιφόνων πεπληρωμένον ἀνδρῶν· ἐν ᾧ πολλοὺς ὑπέστη πειρασμούς. Ὁ γοῦν [6] μακάριος Διονύσιος διαφόροις ὁμολογίαις καὶ κινδύνοις καὶ ἐξορίαις ἐγκαρτερήσας καὶ μέχρι δωδεκάτου ἔτους τῆς Γαλλιηνοῦ [2] βασιλείας, ἐτελεύτησεν ἐν τῇ τοῦ Χριστοῦ ὁμολογίᾳ. Φαῦστος δὲ ὁ τοῦ Χριστοῦ διάκονος, διήρκεσε μέχρι τοῦ κατὰ Μαξιμιανὸν διωγμοῦ καὶ γηραιὸς [7] κομιδῇ γενόμενος, ἐν ταῖς θλίψεσι μαρτυρικῶς τὴν κεφαλὴν ἀποτέμνεται. Τῶν δὲ λοιπῶν οἱ μὲν ταῖς βασάνοις ἐναπέθανον· οἱ δὲ τὸν Θεὸν ἀνακηρύττοντες ἐτελεύτησαν. — **Cc** : 1. 2. — **M** : 1. — Ῥουστικοῦ καὶ Ἐλευθερίου. — Εἰς τὸν ἅγιον Θεόκτιστον. — Τῶν ἁγίων ἱερομαρτύρων Διονυσίου καὶ τῶν σὺν αὐτῷ η' μαρτύρων. — Τοῦ ἁγίου μάρτυρος Θεαγένους. — Τοῦ ἁγίου μάρτυρος Θεοτέκνου. — Τοῦ ἁγίου μάρτυρος Ἀδαύκτου

[1] Γαληΐνου Ba. — [2] Γαλληΐνου Cb. — [3] *om.* Cb. — [4] καταναγκασθεὶς Cb. — [5] Κεφροι Cb. — [6] οὖν Cb. — [7] γηρεῶς Cb.

Oct. 3. μηνυθεὶς ὡς διδάσκων, δημεύεται καὶ λιθάζεται, μηδὲ τὸν ἐπὶ Δεκίου χρόνον ἄνετον διαγαγών, ἀλλ'[6] ἐπὶ Λιβύῃ κατακλεισθεὶς ἐν αὐχμηρῷ τόπῳ, σὺν Φαύστῳ καὶ Γαΐῳ[7], Πέτρῳ καὶ Παύλῳ[7], Εὐσεβίῳ τε[8] καὶ Χαιρήμονι[9] τοῖς διακόνοις, οἵτινες[10] πολλοῖς δεινοῖς ἐπὶ δώδεκα χρόνοις ἐγκαρτερήσαντες, ἐν καλῇ ὁμολογίᾳ ἐτελειώθησαν[11].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Oct. 4. **1.** Μνήμη τοῦ ἐν ἁγίοις[1] πατρὸς ἡμῶν Ἱεροθέου. Οὗτος τῶν ἐν τῷ Ἀρείῳ πάγῳ βουλευτῶν ἐννέα εἷς ὢν καὶ κατηχηθεὶς παρὰ τοῦ ἀποστόλου Παύλου[2] τὸν λόγον τῆς εὐσεβείας, χειροτονεῖται ἐπίσκοπος[3] Ἀθηνῶν[4]. Αὐτὸς οὗτος ὑπάρχει ὁ τὸν μέγαν Διονύσιον τὰ ἱερώτατα κατηχήσας[5] τῶν ἀπορρήτων· αὐτὸς καὶ ἐπὶ τῇ κηδείᾳ τῆς[6] Θεοτόκου ἦν ἐξάρχων, ἐπὶ τῇ χορείᾳ καὶ συνελεύσει τῶν ἁγίων ἀποστόλων, ὅλος ἐκδημῶν, ὅλος ἐξιστάμενος καὶ παρὰ πάντων ὧν ἠκούετο καὶ ἑωρᾶτο θεόληπτος καὶ θεῖος ὑμνολόγος φαινόμενος. Εἰς[7] τοσοῦτον δὲ[7] ἔφθασε σοφίας καὶ γνώσεως τοῦ Θεοῦ, ὡς καὶ τὸν ἅγιον Διονύσιον μετὰ τὸ πιστεῦσαι εἰς Χριστὸν διὰ τοῦ ἁγίου Παύλου, τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος ἀναδιδάξαι τὰ περὶ τὰς οὐρανίους[8] δυνάμεις καὶ τὰς ἀγγελικὰς τάξεις καὶ πάντα τὸν νοητὸν κόσμον. Συνεγράψατο δὲ καὶ ἰδίας βίβλους οὐκ ὀλίγας, περὶ μυστηρίων μεγάλων διαγορεύσας[9]· ζήσας δὲ τὸν χρόνον τῆς ἑαυτοῦ ζωῆς, ἐν εὐλαβείᾳ καὶ ἀρετῇ ἐκοιμήθη.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἑορτὴ τελεῖται τῆς ὑπεραγίας Θεοτόκου πέραν ἐν τοῖς Ὀνειράταις.

3. Καὶ τοῦ ἁγίου μάρτυρος Δομετίου τοῦ Πέρσου. Ὁ ἅγιος Δομέτιος ὑπῆρχεν ἐπὶ Κωνσταντίνου[1] τοῦ μεγάλου ἐκ τῆς[2] Περσῶν χώρας. Διδαχθεὶς δὲ ὑπὸ χριστιανοῦ τινος | τὴν εὐσέβειαν (f. 45.) καὶ βαπτισθείς, ἀφεὶς καὶ γονεῖς[3] καὶ πλοῦτον καὶ συγγενεῖς, γέγονεν ἐν μοναστηρίῳ πλησίον Νισίβεως[4]· εἶτα καταλιπὼν τὴν Νίσιβιν[5] ἀπῆλθεν εἰς ἕτερον μοναστήριον τῶν ἁγίων Σεργίου καὶ Βάκχου πλησίον Θεοδοσιουπόλεως καὶ γέγονε μοναχός. Ἐν ᾧ καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ χειροτονεῖται διάκονος. Καὶ λειτουργοῦντος τοῦ ἀρχιμανδρίτου, κρατῶν τὸ ῥιπίδιον πλησίον τῆς ἁγίας τραπέζης ὁρᾷ τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς πετόμενον ἐπὶ τὰ ἅγια δῶρα καὶ ἐπικαθήμενον αὐτοῖς· τοσοῦτον εἶχε καθαρὰν τὴν ψυχήν. Εἶτα βουληθέντος τοῦ ἀρχιμανδρίτου χειροτονῆσαι αὐτὸν πρεσβύτερον, ἔφυγε καὶ ἀπῆλθεν ἐν σπηλαίῳ τινί, ἔνθα πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφων ἐβάπτιζεν. Ὅπερ μαθὼν Ἰουλιανὸς ὁ παραβάτης ἀποστείλας στρατιώτας ἐλιθοβόλησεν αὐτὸν μετὰ δύο μαθητῶν αὐτοῦ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις πέραν ἐν Ἰουστινιαναῖς.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις[1] τοῦ ἁγίου μάρτυρος Ἀδαύκτου[2] καὶ τῆς θυγατρὸς αὐτοῦ Καλλισθένης. Οὗτος ὑπῆρχεν ἐξ Ἐφέσου τῆς Ἀσίας. Ὃς καὶ δοὺξ δουκῶν[3] γεγονὼς καὶ ὕπαρχος Μαξιμίνου, ἐν πλούτῳ καὶ συνέσει πολλῶν ὑπερέχων, διὰ τὸ μὴ θελῆσαι αὐτὸν πρὸς γάμον ἐκδοῦναι τὴν αὐτοῦ θυγατέραν[4] τῷ βασιλεῖ ὡς ἀλλοτρίῳ τῆς πίστεως, τὴν οὐσίαν δημεύεται. Καὶ εἰς Μελιτηνὴν[5] ἐξορισθεὶς τὴν κεφαλὴν ἀφαιρεῖται. Ἡ δὲ Καλλισθένη τὴν κεφαλὴν κειραμένη καὶ ἀνδρικὸν σχῆμα περιβαλλομένη, ἐν Νικομηδείᾳ ἐκρύπτετο. Μετὰ δὲ χρόνους ὀκτὼ πρός τινα γυναῖκα ἦλθεν ἐπὶ τὴν Θρᾴκην. Ἧς ἡ θυγάτηρ τοὺς ὀφθαλμοὺς ἐλελώβητο· ἣν καὶ ἰασαμένη, χάριν τῆς ἰάσεως πρὸς κοινωνίαν[6] γάμου ἁρμόσαι ταύτην[7], ἄνδρα πάντως οἰόμενοι, τῇ ἰδίᾳ ἠβουλήθησαν θυγατρί. Ἡ δὲ ἀναγκασθεῖσα λέγει τὰ κατ' αὐτήν· καὶ ἐκπλαγέντες ὥσπερ εἰκὸς ἐδόξασαν τὸν Θεόν. Τοῦ δὲ Μαξιμίνου ἀναιρεθέντος, κρατεῖ τῆς βασιλείας Λικίνιος[8]. Τούτου τῇ γυναικὶ πιστῇ οὔσῃ καὶ ἀδελφῇ τοῦ μεγάλου Κωνσταντίνου ἐμφανίζεται Καλλισθένη, (f. 45v.) καὶ ἐκτίθεται πάντα τὰ συμ|βάντα αὐτῇ. Ἡ δὲ προσλαμβάνει ταύτην καὶ εἰς μητέρα καθιστᾷ τοῦ ἑαυτῆς υἱοῦ. Καὶ οὕτως ἡ μακαρία Καλλισθένη πᾶσαν τὴν πατρικὴν οὐσίαν, ἣν ἀφείλετο Μαξιμῖνος, ἀπολαμβάνει· καὶ τὸ ἅγιον λείψανον τοῦ πατρὸς αὐτῆς ἀπὸ Μεσοποταμίας εἰς τὴν Ἀσίαν κομίζει. Καὶ μαρτυρεῖον ἐν ὀνόματι αὐτοῦ δειμαμένη καθιεροῖ καὶ τὸ λειπόμενον τοῦ ἑαυτῆς βίου ἀποστολικῶς διανύσασα πρὸς Κύριον ἐξεδήμησε.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Καπετωλέων[1]. Οὗτος ἦν γέννημα καὶ θρέμμα τῆς αὐτῆς πόλεως, σοφὸς ἄγαν καὶ συνέσει πολλῶν[2] διαφέρων. Γάμῳ δὲ προσομιλήσας καὶ παῖδας τρεῖς ἀποτεκὼν τὸν μονήρη βίον ὑπῆλθε, καὶ πρεσβύτερος τιμηθεὶς λίαν[3] παρὰ τοῦ τὸν θρόνον <ἰθύνοντος[4]> Βόστρας ὡς διδάσκαλος[5] χριστιανῶν διαβάλλεται τῷ τῶν Ἀγαρηνῶν[6] ἐθνάρχῃ. Καὶ ἐν τῇ τῶν Δαμασκηνῶν ἀχθεὶς[7] διὰ τὴν τοῦ Χριστοῦ ἀγάπην πρῶτον μὲν τὴν γλῶτταν τμηθεὶς τρανότερον καὶ ὀξύτερον ἐξεβόησεν· εἶθ' οὕτως τὴν δεξιὰν χεῖρα ἀφαιρεῖται καὶ τοὺς πόδας· εἶτα τοὺς ὀφθαλμοὺς ἐξορύττεται καὶ σταυρῷ προσπήγνυται καὶ αὖθις τὴν κεφαλὴν ἀποτέμνεται. Καὶ πυρὶ τὰ ὀστᾶ πυρποληθεὶς τῷ ποταμῷ ἀπερρίφη.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων[1] γυναικῶν Βερνίκης καὶ Προσδόκης καὶ τῆς μητρὸς αὐτῶν Δομνίνης[2]. Αὗται αἱ γυναῖκες θείῳ ζήλῳ τρωθεῖσαι[3] καὶ τὸν Χριστὸν ἀγαπήσασαι, καταλιποῦσαι οἰκίαν[4] καὶ συγγενεῖς πρὸς τὴν ἀλλοτρίαν μετετάξαντο, ἓν μόνον ζητοῦσαι τὸ ἄσπιλοι διαφυλαχθῆναι[5]· καὶ λοιπὸν φεύγουσαι κατέλαβον τὴν Ἔδεσαν[6]. Ἐκεῖ τοίνυν διατριβουσῶν, ἐξαίφνης ἐφίσταται[7] ὁ πατὴρ στρατιώτας ἔχων πρὸς τὴν σύλληψιν τῆς θήρας. Ὡς δὲ συνελήφθησαν, κατέλαβον τὴν Ἱεράπολιν. Ποταμὸς δὲ παραρρεῖ τὴν ὁδὸν ἐκείνην καθ' ἣν ἐπανῄεσαν· καὶ λαθοῦσαι τοὺς στρατιώτας ἀριστοποιουμένους καὶ μεθύοντας καὶ εὐχῇ χρησάμεναι συντόμως εἰσῆλθον εἰς τὸν ποταμὸν καὶ ἀφῆκαν ἑαυτὰς διὰ τῶν ῥευμάτων. Καὶ οὕτως ἐτελειώθησαν διὰ τῆς τοῦ ὕδατος πνιγμονῆς.

7. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ, Λέοντος καὶ Ἰσιδώρου ἐν Ποταμοῖς.

— [6] (μὴ - ἀλλ') λιθάζεται πλείονα παθὼν ὧν ὑπέμεινε πρώην ἐπὶ Δεκίου Sa. — [7] καὶ *add.* Sa. — [8] *om.* Sa. — [9] Χειρήμονι S, *corr.* Χαιρήμονι. — [10] γὰρ *add.* Sa. — [11] (ἐπὶ - ἐτελειώθησαν) ἐγκαρτερήσαντες ἐπὶ δώδεκα χρόνοις ἐτελειώθησαν ἐν καλῇ ὁμολογίᾳ Sa.

1. — [1] τοῦ ὁσίου Sa. — [2] (οὗτος - Παύλου) ὃς τῶν ἐν τῷ Ἀρείῳ Πάγῳ θ βουλευτῶν εἷς ἦν οὗτος προκατηχηθεὶς παρὰ Παύλου Sa. — [3] ἐπίσκοπος χειροτονεῖται Sa. — [4] καὶ *add.* Sa. — [5] κατηχήσας τὰ ἱερώτατα Sa. — [6] ὑπεραγίας *add.* Sa. — [7] *om.* Sa. — [8] οὐρανίας Sa. — [9] διαγορευούσας Sa.

3. — [1] βασιλέως *add.* Sa. — [2] τῶν *add.* Sa. — [3] καὶ ἀφεὶς γονεῖς Sa. — [4] Νησίβεως S. — [5] Νήσιβιν *sic* S. — [6] ἐλιθοβόλησαν Sa.

4. — [1] καὶ ἄθλησις Sa. — [2] Αὐδάκτου Sa. — [3] *om.* Sa. — [4] θυγατέρα Sa. — [5] Μηλιτηνὴν Sa. — [6] Sa, ταύτῃ S. — [7] οἱ τῆς παιδὸς γονῆς *add.* Sa. — [8] Λικίννιος S.

5. — [1] Καπετολέων S, Καπιτωλέων Sa. — [2] πολλῇ Sa. — [3] *om.* Sa. — [4] ἰθύνοντος Sa, *om.* S. — [5] τῶν *add.* Sa. — [6] Σαρακηνῶν Sa. — [7] χώραν *add.* Sa.

6. — [1] καὶ ὁσίων *add.* Sa. — [2] Δομνήνης Sa. — [3] πυρποληθεῖσαι Sa. — [4] οἰκίας Sa. — [5] διαφυλαχθῆναι ἄσπιλοι Sa. — [6] Ἔδεσσαν Sa. — [7] ὑφίσταται Sa.

Oct. 3. (Oct. 4[4]). — Τοῦ ὁσίου Ἰωάννου τοῦ Χοζεβίτου ἐπισκόπου Καισαρείας (cf. Oct. 28[11]). — **Mv** : 1. — Ῥουστικοῦ καὶ Ἐλευθερίου. — Θεοκτίστου. — Διονυσίου καὶ τῶν σὺν αὐτῷ ὀκτὼ μαρτύρων. — Θεαγένους. — Θεοτέκνου. — Ἀδαύκτου. — Ἰωάννου τοῦ Χοζεβίτου. — **Mb** : 1. — Ῥουστικοῦ καὶ Ἐλευθερίου. — Θεοκτίστου. — 2. — Θεαγένους. — Θεοτέκνου. — Ἰωάννου τοῦ Χωζεβίτου. — **Mv** : 1.

Oct. 4. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — (3 in cod. ad diem 8 nov.). 4. 5. 6. 7. 9. — **H** : 2. 3. 4. 5. 7. 8. — Δομετίου iterum. — 9. — **P** : 4. 5. 7. 8. 9. — **F** : 1. 5. 6. 4 (... Δαύκτου καὶ Κ.). — 7. 8. 9. 10. — **Fa** : 1. 5. 6. 4 (Δάκτου καὶ Καλιστένης). — 7 (Νεοφύτου, Γαϊανοῦ καὶ Δομετίου). — 9. 10. — **Fb** : 1. 5. 6. 4. 7. 8. 9. 10. — **B** : 4. 5. — Παύλου τοῦ ἁπλοῦ (Oct. 5[6]). — Διονυσίου πατριάρχου Ἀλεξανδρείας (Oct. 3[2]). — Γαΐου, Φαύστου, Εὐσεβίου καὶ Χαιρήμονος (cf. Oct. 3[2]). — 1. 3. 10. — **Ba** : 1 (= S). 5 (= S). 6 (= S). 4 (= S). 10 : Ἀμοῦν τοῦ Αἰγυπτίου. Οὗτος γυναῖκα γήμας καὶ ιη' χρόνους αὐτῇ συνοικήσας, οὐδ' ὅλως αὐτῇ ὡς γυναικὶ κατεχρήσατο, ἀλλ' ἐν τῷ βαλσαμῶνι σχολάζων τὴν σωματικὴν χρείαν ἑαυτῷ τε καὶ τῇ γυναικὶ παρεῖχεν. Ἀναχωρήσας δὲ ἐκεῖθεν προσφοιτᾷ[1] τῷ μεγάλῳ Ἀντωνίῳ καὶ λίαν θαυμασθεὶς παρ' αὐτοῦ, πολλοῖς ἐγένετο πρόξενος ὠφελείας· ὅθεν ἄκραν ἄσκησιν ἐπιδειξάμενος καὶ ἄπειρα θαύματα ἐργασάμενος, τοῦ βίου μετέστη. — Μαμέλχθας (Oct. 5[2]). — **Bb** : 4. 5. 1. 3. 10. — **T** : 1. — **O** : 1. 4. 5. 1. 7. 8. 9. — **G** : 1. 5. 3. — **C** : 6. 4. 1. 3. 10. 5. — Παύλου τοῦ ἁπλοῦ (Oct. 5[6]). — 7. 8. 9. — **Cb** : 4. 1. 3. 10. 5. — Παύλου τοῦ ἁπλοῦ. — 7. 8. 9 (Θεοτέκνου tantum). — **Cc** : 6 : Βερνίκης καὶ Προσδόκης καὶ τῆς μητρὸς ἡμῶν Δομνήνης. Αὗται θείῳ ζήλῳ τρωθεῖσαι καὶ καταλιποῦσαι οἰκίας καὶ συγγενεῖς, πρὸς τὴν ἀλλοτρίαν μετετάξαντο. Καὶ δὴ τὴν Ἔδεσαν[2] καταλαβοῦσαι, ἐφίσταται ὁ πατὴρ καὶ ἀνὴρ στρατιωτῶν ἐπαγόμενοι πλῆθος· καὶ ταύτας κατέσχον. Συλληφθεῖσαι οὖν κατέλαβον τὴν Ἱεράπολιν· ποταμῷ δέ τινι παραρρέοντι παραβαλόντες χάριν ἀναπαύσεως καὶ ἀριστοποιουμένων τῶν στρατιωτῶν, αὗται λαθοῦσαι καὶ εὐχαῖς χρησάμεναι συντόνοις εἰσῆλθον εἰς τὸν ποταμὸν καὶ ἑαυτὰς διὰ τῶν ῥευμάτων ὠθήσασαι, τὸ τέλος εὕραντο. — 4 : Ἀδάκτου καὶ τῆς θυγατρὸς αὐτοῦ Καλλισθένης. Ὁ ἅγιος μάρτυς Ἀδάκτος ὑπῆρχεν ἀπὸ Ἐφέσου τῆς πόλεως, δοὺξ δουκῶν γεγονὼς καὶ ἔπαρχος ἐπὶ Μαξιμίνου τοῦ βασιλέως· οὗτος ἔχων θυγατέρα ὡραίαν ὀνόματι Καλλισθένην, μαθὼν οὖν περὶ αὐτῆς ὁ Μαξιμῖνος, ἀπέστειλε λαβεῖν αὐτὴν εἰς γυναῖκα. Γνοὺς δὲ ὁ πατὴρ αὐτῆς καὶ μὴ καταδεξάμενος τοῦτο γενέσθαι, κρύφα ἀποστέλλει αὐτὴν ἐπὶ τὴν ἀνατολήν. Ταραχθεὶς δὲ ὁ βασιλεὺς καὶ μαθὼν χριστιανὸν εἶναι τὸν ἅγιον Ἀδάκτον, ἐξώρισεν εἰς Μεσοποταμίαν. Δημεύσας δὲ τὴν οὐσίαν αὐτοῦ[3], γράφει τῷ ἐκεῖσε δουκὶ Ἀλεξάνδρῳ ἀναγκάσαι αὐτὸν θῦσαι τοῖς εἰδώλοις. Καὶ καταναγκάσας αὐτὸν ὁ Ἀλέξανδρος καὶ μὴ πείσας, ἀπεκεφάλισεν αὐτόν· καὶ θάπτεται παρὰ τῆς γυναικὸς καὶ τῆς θυγατρός. Ἡ δὲ Καλλισθένη φορήσασα ἀνδρεῖα ἱμάτια καὶ κειραμένη ἀνδρικῶς, μετήρχετο τὴν ἰατρικὴν τέχνην, λαθεῖν βουλομένη τὸν Μαξιμῖνον. Καὶ τούτου ἀναιρεθέντος, κρατεῖ τῆς βασιλείας Λικίνιος· τῇ δὲ τούτου γυναικὶ ἀδελφῇ οὔσῃ τοῦ μεγάλου Κωνσταντίνου, ὡς πιστῇ ἐμφανίζεται ἡ Καλλισθένη, καὶ διηγεῖται τὰ κατ' αὐτήν, καὶ ἀπολαμβάνει πᾶσαν τὴν οὐσίαν αὐτοῦ. Καὶ λαβοῦσα στρατιώτας, ἀπέρχεται καὶ μετακομίζει τὸ λείψανον τοῦ πατρὸς εἰς Ἔφεσον, καὶ θάπτει. Εἶτα τελειωθεῖσα καὶ αὐτὴ μετὰ τῆς μητρὸς θάπτονται ἐκεῖσε. — 1. 3. 10 : Ἀμοῦν τοῦ Αἰγυπτίου. Ὁ ὅσιος πατὴρ ἡμῶν Ἀμοῦν ὁ θεοφόρος ἐν ἀσκηταῖς μέγας ἐγένετο· ὑπῆρχε δὲ ἀπὸ τῆς Αἰγύπτου, φιλομόναχος ὢν ἀπὸ νεότητος. Κατὰ δὲ τοὺς καιροὺς Μαξιμιανοῦ τοῦ βασιλέως λαβὼν γυναῖκα βίᾳ τοῦ πατρός, ἔπεισε κἀκείνην παρθενεύειν. Καὶ καταλιπὼν ἅπαντα καὶ αὐτήν, ἀπελθὼν ἐν τῷ τῆς Νητρίας ὄρει εἰς τὴν σύνεγγυς τῆς Αἰγύπτου ἔρημον ἡσύχασεν, ἓν μόνον ἱμάτιον φορῶν νυκτὸς καὶ ἡμέρας. Παρέτεινε δὲ ἡ ζωὴ αὐτοῦ μέχρι τῶν ἀγώνων τοῦ μεγάλου καὶ ἀοιδίμου καὶ πρώτου χριστιανῶν βασιλεύσαντος. Ἐξ οὗ καὶ τῆς μακαρίας ψυχῆς τοῦ Ἀμοῦν τοῦ σώματος ἐξελθούσης καὶ πρὸς οὐρανὸν ἀναφερομένης, καθεζόμενος ὁ ἅγιος Ἀντώνιος καὶ διδάσκων τινὰς ἀδελφοὺς ψυχωφελῆ ῥήματα καὶ ἰδὼν τὴν ἁγίαν ψυχὴν τοῦ θεοφόρου Ἀμοῦν, ἐξαίφνης ἀναστὰς καὶ βλέπων πρὸς οὐρανὸν ἐδόξαζε τὸν Θεόν· ἔβλεπε γὰρ αὐτὴν ὀψικευομένην ὑπὸ ἀγγέλων. Τῶν δὲ παρόντων θαυμαζόντων ἐξαίφνης τὴν τοῦ πατρὸς ἔγερσιν, διηγήσατο αὐτοῖς τὸ

[1] προ||||||φοιτᾷ Ba. — [2] Ἔδεσσαν Cc. — [3] καὶ *add.* Cc.

Oct. 4. **8.** Καὶ τῶν ἁγίων Νεοφύτου καὶ Γαΐου καὶ Γαϊανοῦ.

f. 46. **9.** Καὶ τοῦ ἁγίου ἱερομάρτυρος Θεοτέκνου | καὶ Διογένους.

10. Καὶ μνήμη τοῦ ὁσιωτάτου Ἀμοῦν [1]. Οὗτος Αἰγύπτιος ὢν τὸ γένος καὶ ὀρφανὸς ἐκ τῶν γονέων, παρὰ τοῦ ἰδίου θείου ἀναγκασθεὶς γυναικὶ συνεζεύχθη. Καὶ συνοικήσας αὐτῇ χρόνους δεκαοκτὼ αὐτὸς ἦν σχολάζων ἐν τῷ βαλσαμῶνι, μετὰ πολλοῦ μόχθου καὶ πόνου ἐκεῖθεν παρέχων ἑαυτῷ τε καὶ τῇ συμβίῳ τὴν σωματικὴν χρείαν· μηδ' ὅλως προσσχὼν [2] αὐτῇ ὡς γυναικὶ ἀλλ' ὡς ἀδελφῇ. Φιλομόναχος δὲ ὢν ἀπὸ νεότητος, κατὰ τοὺς καιροὺς Μαξιμιανοῦ τοῦ βασιλέως ἀνεχώρησεν εἰς τὴν ἔρημον. Καὶ ἀπελθὼν καταμόνας ἡσύχαζεν, ἓν μόνον φορῶν ἱμάτιον νυκτὸς καὶ ἡμέρας καὶ τρεφόμενος ἐκ τῶν φυομένων βοτανῶν· προσφοιτήσας δὲ Ἀντωνίῳ τῷ μεγάλῳ καὶ λίαν θαυμασθεὶς παρ' αὐτοῦ, πολλοῖς ἐγένετο πρόξενος ὠφελείας καὶ μάλιστα διὰ τὰ γινόμενα ὑπ' αὐτοῦ ἄπειρα θαύματα τὸ τοῦ Κυρίου μεγαλύνας ὄνομα, τοῦ βίου μεθίσταται.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

Oct. 5. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Χαριτίνης· Ἥτις ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως τῷ Θεῷ ἀνατεθειμένη, οἰκέτις γενομένη Κλαυδιανοῦ τινος πολιτευομένου. Ἣ καὶ πολλοὺς ἐπὶ τὴν τοῦ Χριστοῦ πίστιν χειραγωγήσασα, διαβάλλεται Δομετιανῷ κόμητι· περὶ ἧς ἀκούσας αὐτὸς γράφει τῷ κυρίῳ αὐτῆς ἀποστεῖλαι αὐτὴν [1] εἰς ἐξέτασιν ὡς χριστιανὴν ὑπάρχουσαν. Ὁ δὲ κύριος αὐτῆς λυπηθεὶς σάκκον ἐνδυσάμενος ἐθρήνει αὐτήν. Ἡ δὲ παρεμυθεῖτο αὐτὸν λέγουσα· « Μὴ λυποῦ, κύριέ μου, τὰ » γὰρ λείψανά μου ὑπὲρ τῶν ἐμῶν καὶ τῶν σῶν » παραπτωμάτων δίδωμι. » Ὁ δὲ εἶπε· « Μέμνησό » μου ἐπὶ τῆς οὐρανίου [2] βασιλείας, θύγατερ. » Παραυτίκα οὖν ἀνάρπαστος γίνεται· καὶ πικρῶς τυφθεῖσα [3] τῷ τῆς θαλάσσης βυθῷ ἐναπορρίπτεται, δεσμευθεῖσα χεῖρας καὶ πόδας καὶ λίθον

10. — [1] Ἀμμοῦν S, Sa. — [2] προσχὼν S.
1. — [1] πρὸς αὐτὸν *add.* Sa. — [2] ἐπουρανίου Sa. — [3] *hoc loco in* Sa *leguntur quae infra invenies* κλοιὸν σιδηροῦν - τὰς πλευρὰς κατακαίεται, *dein* χεῖρας δὲ καὶ πόδας δεσμευθεῖσα καὶ λίθον μυλίτην κτλ.

Oct. 4. θέαμα εἰπὼν ὅτι ἡ ἁγία ψυχὴ τοῦ Ἀμοῦν [4] εἰς οὐρανὸν ἀνέρχεται. Παρῆσαν δέ τινες τῶν ἐξ Αἰγύπτου ἀδελφῶν καὶ ἀκριβώσαντες τὴν ὥραν καὶ τὴν ἡμέραν ἀπῆλθον εἰς Αἴγυπτον, ὁδὸν ἡμερῶν δέκα διανύσαντες, καὶ εὗρον οὕτως, ὅτι κατ' αὐτὴν τὴν ὥραν, ὅτε ὁ πατὴρ διηγήσατο αὐτοὺς τὸ ὅραμα, ἐκοιμήθη ὁ ἀνήρ. — 5. — Παύλου τοῦ ἁπλοῦ. — 7. 8. 9. — **M** : 1. 5. 6. 4. 10. — **Mv** : 1. 5. 6 (Βερίνης καὶ Προδόκης). — 4. 10. — Τῶν ἁγίων μαρτύρων Φαύστου, Γαΐου, Εὐσεβίου καὶ Χαιρήμονος τῶν διακόνων (cf. Oct. 3[2]). — **Mb** : 1. 5. 6 (... Βερνίννης καὶ Προσδόκης). — 4. 10. — **Mr** : 1.

Oct. 5. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 2. 3. 4. 5. 1 (Χαριτίνης καὶ Μαλφετὰς ἐν Περσίδι). — **P** : 2 : Μαμέλχθ[α] ἐκ Περσίδος, ἱέρεια ὑπάρχουσα τοῦ ναοῦ τῆς Ἀρτέμιδος· ἥντινα οἱ ἕλληνες μετὰ πλείστας βασάνους λιθοβολοῦσιν ἔτι τὰ ἐμφώτια τοῦ ἁγίου βαπτίσματος περιβεβλημένην. — 3. 4. 1 : Χαριτίνης καὶ Μαλφέθας ἐν Περσίδι. — **F** : 2. 1. 3. 4. 5. 6. — **Fa** : 2. 1. 3. 4. 5. 6. — **Fb** : 2. 1. 3 et 4 : τοῦ ἁγίου μάρτυρος Σαβίνου ἐπισκόπου Ἱεράηδος. — 5. 6. — **B** : 2. 1. — **Ba** : 1. — Πέτρου ἐπισκόπου Καπετωλέων (Oct. 4[5]). — 6. — Διονυσίου πατριάρχου Ἀλεξανδρείας (Oct. 3[2]). — Τῶν ἁγίων μαρτύρων καὶ διακόνων Γαΐου καὶ τῶν σὺν αὐτοῖς (cf. Oct. 3[2]). — **Bb** : 2. — Πέτρου ἐπισκόπου Καπετολέων. — Παύλου τοῦ ἁπλοῦ. — Διονυσίου. — Γαΐου κτλ. — 1. — **T** : 1. — **O** : 2. 3. 5. 1 : Χαριτίνης καὶ Μαμέλχθας ἐν Περσίδι. — **G** : 2. 1 mutil. — **C** : 2. 3. 4. 5. 1 : καὶ τῶν ἁγίων γυναικῶν Μαλφετοῦς καὶ Χαριτίνης. — **Cb** : 2 : Μαμέλχθης. Ἡ ἁγία μάρτυς Μαμέλχθα ἦν ἐκ Περσίδος, ἱέρεια ὑπάρχουσα τοῦ ναοῦ τῆς Ἀρτέμιδος· εἶχε δὲ καὶ ἀδελφὴν χριστιανήν. Κατενεχθεῖσα δὲ Μαμέλχθα εἰς ὕπνον εἶδεν ἄγγελον Θεοῦ δεικνύοντα αὐτῇ τὰ μυστήρια τῶν χριστιανῶν· ἅτινα ἀναστᾶσα ἔμφοβος διηγεῖται τῇ ἀδελφῇ. Κἀκείνη δὲ ἄγει αὐτὴν πρὸς τὸν ἐπίσκοπον· καὶ μαθὼν τὰ τῆς ὀπτασίας ἔφη αὐτῇ ὅτι· « Ὀφείλεις χριστιανὴ γενέσθαι. » Ἥντινα εὐθέως ἐβάπτισε. Καὶ ἐδέξατο αὐτὴν ἡ ἰδία ἀδελφή· ὅθεν οἱ ἕλληνες μανέντες καθυπέβαλλον αὐτὴν καὶ ἀπέκτειναν ἐν λίθοις ἔτι τὰ ἐμφώτια τοῦ ἁγίου βαπτίσματος περιβεβλημένην [1] καὶ ἔρριψαν αὐτὴν εἰς λάκκον βαθύτατον. Ἣν οἱ χριστιανοὶ ἐκ τοῦ λάκκου μόλις ἀνήγαγον. Προσελθὼν δὲ τῷ βασιλεῖ τῶν Περσῶν ὁ ἐπίσκοπος καὶ αἰτήσας ἔλαβεν ἐξουσίαν τοῦ καταλῦσαι τὸν ναὸν τῆς Ἀρτέμιδος καὶ οἰκοδομῆσαι ἐκκλησίαν τῇ ἁγίᾳ μάρτυρι, ἐν ᾧ καὶ τὸ τίμιον αὐτῆς ἐναπέθετο λείψανον. — 3. 4. 5. 1 : Μαλφέθας καὶ Χαριτίνης. — **Cc** : 2. 3. 4. 5. 1 : Μαλφεθοῦς καὶ Χ. — **M** : 2. 1. — Ὀπτασία Κοσμᾶ μοναχοῦ φοβερὰ καὶ ὠφέλιμος. Ἐν ἔτει τρισκαιδεκάτῳ [2] τῆς βασιλείας Ῥωμανοῦ τὰ Ῥωμαίων εὐσεβῶς διιθύνοντος [3], ἦν τις ἀνὴρ ἐν ταύτῃ τῇ βασιλευούσῃ εἷς ὢν τῶν ἐκ τοῦ βασιλικοῦ κοιτῶνος τοῦ μικρῷ πρόσθεν τὴν βασιλείαν διέποντος Ἀλεξάνδρου, καὶ πρὸς θεραπείαν οἰκειοτέρων. Οὗτος τὸν μονήρη βίον ἐπανελόμενος, γέγονε ποιμὴν τῶν ἐν τῇ πρὸς Σάγγαριν [4] ποταμὸν μονῇ μοναζόντων μοναχῶν. Μετὰ δέ τινα χρόνων περίοδον συνέβη τούτῳ ἀρρωστίᾳ δεινῇ περιπεσόντι ἐπὶ συχνὸν χρόνον ἐν ταύτῃ διαρκέσαι. Ἐν δὲ τῷ συμπληροῦσθαι πενταμηνιαῖον ἤδη καιρόν, περὶ τρίτην ὥραν τῆς ἡμέρας μικρὸν ἀνανήψας καὶ εἰς ἑαυτὸν γενόμενος, ἠρέμα πως τοῦ κλινιδίου ἀναστὰς ἐκάθισεν, ἔνθεν κἀκεῖθεν ὑπὸ [5] τῶν συνήθων αὐτῷ στηριζόμενος. Καὶ ἐν τῷ

— [4] Ἄμμουν *hic* Cc.
[1] περιβεβλημένη Cb. — [2] τρίτῳ καὶ δεκάτῳ Mv. — [3] σκῆπτρα *add.* Mv. — [4] Σάγαριν M. — [5] ἀπὸ Mv.

μυλίτην τῷ τραχήλῳ προσδεθεῖσα. Ταύτης δὲ προσευξαμένης, τὰ δεσμὰ διαλύονται καὶ μόνος ὁ λίθος τῷ βυθῷ καταδύεται. Ἡ δέ, ὢ τοῦ θαύματος, τοῖς τῆς θαλάττης νώτοις ἐφίσταται καὶ πρὸς τὸν αἰγιαλὸν ἐπορεύθη. Παραυτίκα [4] οὖν κλοιὸν σιδηροῦν περιαυχένιον δέχεται καὶ ξυρῷ τὴν κεφαλὴν κειραμένη αὐθωρὸν κομᾷ καὶ ἀνθρακιὰν τῇ κεφαλῇ δέχεται· εἶτα καὶ ὄξος ταύτῃ καταχέεται. Δι' εὐχῆς

f. 46v. δὲ τῶν ὀδυνῶν ἡ μάρτυς | ἀνίεται, καὶ σούβλαις σιδηραῖς πεπυρακτωμέναις τοὺς μαστοὺς καὶ τὰς πλευρὰς περιπείρεται καὶ λαμπάσι πυρὸς τὰς πλευρὰς κατακαίεται [4]· πάλιν δὲ γυμνωθεῖσα δεσμεῖται ἐπὶ τροχοῦ ἀνθράκων κάτωθεν ὑποκαιομένων· θείου δὲ ἀγγέλου ἐπιστασίᾳ ἐσβέσθησαν καὶ οἱ ἄνθρακες καὶ αἱ τῶν δημίων χεῖρες παρειμέναι γεγόνασιν, ὡς μηδ' ὁπωσοῦν τὸν τροχὸν δύνασθαι ἑλίττειν. Μετὰ ταῦτα τοὺς τῶν χειρῶν καὶ τῶν ποδῶν ὄνυχας ἀνασπᾶται ῥιζόθεν· ὡσαύτως καὶ τοὺς ὀδόντας. Τούτων δὲ γινομένων [5], ἡ ἁγία ὡς ἄλλου διέκειτο πάσχοντος [6], ἐφ' ὕβρει δὲ τοῦ ἑαυτῆς σώματος ἀπαγομένη, πρινὴ τὸν τόπον καταλαβεῖν, τὸ πνεῦμα εὐξαμένη ἀφίησι τῷ Θεῷ. Ἐπεὶ δὲ [7] καὶ ὁ νεκρὸς τῆς μάρτυρος ἐντὸς σάκκου ψάμμου μεστοῦ βληθεὶς τῷ τῆς θαλάσσης ἐναπερρίφη [8] βυθῷ, τρεῖς ἡμέρας καὶ νύκτας ἐν αὐτῷ διαμείνας σῶος καὶ ἀβλαβὴς τῇ χέρσῳ παρὰ τῆς θαλάσσης ἐναπετέθη. Καί τις ἀνήρ, ᾧ Κλαύδιος ὄνομα, ἐπιεικὴς τὸν τρόπον καὶ μέτριος, ὃς καὶ παρὰ τοῦ φιλοχρίστου κυρίου αὐτῆς [9] Κλαυδιανοῦ τὴν μάρτυρα ἐκ πρώτης τριχὸς ἀνεθρέψατο, Oct. 5.

— [4] (παραυτίκα - κατακαίεται) *hic. om.* Sa. — [5] γιναμένων Sa. — [6] πάσχοντος διέκειτο Sa. — [7] *om.* Sa. — [8] ἀπερρίφη Sa. — [9] αὐτῆς Κυρίῳ Sa.

καθῆσθαι, ἔξω γέγονεν ἑαυτοῦ ἀπὸ [6] τρίτης ὥρας ἕως ἐννάτης, τοὺς ὀφθαλμοὺς ἔχων ἀτενίζοντας πρὸς τὸν ὄροφον τοῦ οἰκήματος, τὸ δὲ [7] στόμα ὑποψιθύριζον ἄναρθρα καὶ πάντῃ ἀκατανόητα. Ἐν τῷ μέσῳ οὖν τῶν εἰρημένων ὡρῶν εἰς ἑαυτὸν μικρὸν ἐπανελθὼν ἀπῄτει τοὺς αὐτῷ συνόντας ἄρτου ξηροῦ κλάσματα δύο· « Δότε μοι τὰς δύο τοῦ ἄρτου μερίδας, λέγων, ἃς παρὰ τοῦ τιμίου γέροντος » ἔλαβον »· καὶ λέγων ὑπετίθει τῷ κόλπῳ τὰς χεῖρας ψηλαφῶν τὰ ζητούμενα. Τινὲς δὲ τῶν παρόντων φάντασμα καὶ μὴ ὀπτασίαν εἶναι [8] τὸ πρᾶγμα ἡγούμενοι, ἠντιβόλουν ἐξειπεῖν αὐτοῖς τὸ μέγα τοῦτο μυστήριον, « Εἰπέ, λέγοντες [8], πάτερ, καὶ μὴ βασκήνῃς ἡμῖν τῆς ὠφελείας, ποῦ τὰς τοσαύτας ὥρας » ἦς, εἰς [8] ποίαν δὲ θεωρίαν τὸν νοῦν ἀνεβίβαζες, καὶ τὰ χείλη ὑποκινῶν τίνι συνελάλεις; » Ὁ δέ· « Σφόδρα κοπτομένων ἡμῶν [9], παύσασθε, ἔφη, τέκνα· καὶ τοῦ Κυρίου διδόντος, ἂν εἰς ἐμαυτὸν [10] » συνέλθω, τὴν αἴτησιν ὑμῶν ἐκπληρώσω ». Ἕωθεν οὖν πάσης τῆς ἀδελφότητος πρὸς αὐτὸν συνδραμούσης, οὕτως τῆς διηγήσεως ἄρχεται· « Τὸ μὲν οὖν πάντα κατὰ μέρος ἀνατυπῶσαι τῷ νοΐ, πατέρες καὶ ἀδελφοί, καὶ λεπτομερῶς διηγήσασθαι κρεῖττον ἢ κατὰ νοῦν καὶ γλῶσσαν ἀνθρωπίνην· πλὴν ὅσα φέρω διὰ μνήμης οἷός τε ὡς [8] εἰμι διηγήσασθαι, ταῦτα ὑμῖν διηγήσομαι [11]. Ὡς ἐκαθήμην τῷ κλινιδίῳ ὑπὸ τῶν δύο ἀδελφῶν στηριζόμενος, ἔδοξα θεωρεῖν, ὡς ἀπὸ τοῦ πρὸς ἀριστερὸν μέρους [13], πλῆθος ἀνθρωπαρίων ἀνεικάστων, μεμελανωμένων τὰ πρόσωπα· οὐκ ἐπίσης δὲ πᾶσιν ἡ μελανία προσῆν, ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον· καὶ οἱ μὲν διεστραμμένας εἶχον τὰς ὄψεις, οἱ δὲ τοὺς ὀφθαλμοὺς πελιδνούς, ἄλλοι καθημαγμένους [12] φόνιον καὶ θηριῶδες βλέποντας. Καὶ τοῦ μὲν πελιδνὰ τὰ χείλη καὶ πολλὴν τὴν ὄγκωσιν φέροντα, τοῦ δὲ τὸ ἕν· καὶ τοῦ μὲν τὸ ἄνω, τοῦ δὲ τὸ κάτω. Τὰ τοιαῦτα τοίνυν ἀνθρωπάρια πλησίον τῆς κλίνης γενόμενα [14], σπουδὴν εἶχον λαβεῖν με ἀφ' ὑμῶν· καὶ τὰ μὲν πρῶτα, κύκλωθεν παρόντας ὑμᾶς [15] ὁρῶν, ἐδόκουν μὴ σφόδρα δεδοικέναι μηδὲ πρὸς τὴν ὁρμὴν δειλιᾶν· οὐκ οἶδα δὲ πῶς, μονωθεὶς ἀφ' ὑμῶν, ὑπ' ἐκείνων ἐκυριεύθην. Καὶ δὴ λαβόντες με θρασέως, οἱ μὲν ἐπὶ τὸ πρόσω δέσμιον εἷλκον, οἱ δὲ ὤθουν ὄπισθεν· καὶ οἱ μὲν ἄλλος ἀλλαχόθεν με συνεπόδιζον, οἱ δὲ σφοδρῶς ὑπεπίεζον. Καὶ τέλος ἀπαγαγόντες με πρός τινα παμμεγέθη κρημνόν, οὗ τὸ μὲν [8] πλάτος ἦν οὐ πλεῖον [16] λίθου βολῆς [17], τὸ δὲ βάθος ἕως ταρτάρου, πρὸς τοῦτον βιαίως κατέσυρον. Ἐπὶ δὲ [8] τῷ ἑνὶ [18] κρημνοῦ μέρει ὑπῆρχεν ὁδὸς στενὴ λίαν, ὡς μηδὲ ὅλον [19] ἴχνος ποδὸς δύνασθαι ταύτην χωρεῖν. Κατὰ ταύτην δὲ τὴν στενὴν καὶ λεπτοτάτην ὁδὸν βιαίως ὑπ' ἐκείνων εἱλκόμην, πρὸς τὸ δεξιὸν πλευρὸν μᾶλλον πλαγιάζων, μήπως ἀποσπασθεὶς εἰς τὸ ἀχανὲς κατενεχθῶ καὶ ἀδιέκβατον [20] βάραθρον· κατὰ δὲ τὸ χάος ἐκεῖνο ποταμὸς ἐῴκει διέρχεσθαι μεγάλως βρύχων τῷ ῥεύματι [21]. Μετὰ πολλοῦ τοίνυν τρόμου τὴν στενωτάτην [22] ὁδὸν παρελθόντες, ὡς ἐπὶ [23] τὸ ἑῷον δῆθεν μέρος βαδίζοντες, πρὸς τὸ τέλος εἴτ' οὖν ἀρχὴν τοῦ φοβεροῦ τούτου κρημνοῦ καὶ τοῦ κατ' αὐτὸν ποταμοῦ, πύλην μεγάλην ἐφεύρομεν [24], πρὸς ἣν ἐκάθητο μέγας γιγαντιαῖος ἀνήρ, μέλας μὲν τὸ εἶδος φοβερὸς δὲ τὴν πρόσοψιν· οὗ [25] ὀφθαλμοὶ μὲν διάστροφοι, λίαν παμμεγέθεις καὶ ὕφαιμοι, καὶ φλόγα πυρὸς πολλὴν ἐναπέπεμπον· μυκτὴρ δὲ καπνὸν ἀπηρεύγετο, γλῶσσα δὲ πῆχυν ἕνα τοῦ στόματος ἔξω ἀπεκρέματο. Καὶ δεξιὰ μὲν χεὶρ εἰς ἅπαν ἀπέψυκτο [26]· θατέρα δὲ δίκην ἐξώγκωτο κίονος καὶ αὐτὴ γυμνὴ καὶ λίαν τεταμένη, μεθ' ἧς τῶν ὑπευθύνων δρασσόμενος εἰς ἐκεῖνο τὸ χάος ἀπέρριπτεν· οἱ δὲ ἐν τούτῳ καταδικαζόμενοι, τὸ « Οὐαί » καὶ τὸ « Οἴμοι » πάντες ἀνέκραζον. Πλησιάσαντες τοίνυν τῷ ζοφερῷ [27] τούτῳ καὶ ἀγρίῳ ἀνδρί, σφοδρῶς οὗτος εὐθὺς βοήσας πρὸς τοὺς ἀπάγοντάς [28] με· « Οὗτος φίλος μού ἐστιν », ἅμα τὴν χεῖρα ἐξέτεινε κρατῆσαί με προθυμούμενος. Ἐγὼ δὲ φόβῳ σπασθεὶς ἐτρόμαξα καὶ πρὸς ἐμαυτὸν συνεστάλην· καὶ παραχρῆμα, ὥσπερ ἐξ ἀποστολῆς τινός, ἐφάνησαν ἄνδρες δύο [29] πεπολιωμένοι καὶ ἱεροπρεπεῖς, οὓς Ἀνδρέαν εἶναι καὶ Ἰωάννην τοὺς ἱεροὺς ἀποστόλους ἐνόμιζον, ὅσον ἀπὸ τῆς τῶν Oct. 5.

— [6] ὑπὸ Mv. — [7] καὶ τὸ Mv. — [8] *om.* Mv. — [9] αὐτῶν Mv. — [10] ἑαυτὸν M, Mv. — [11] διηγήσομαι ὑμῖν Mv. — [12] καθηγμένους M. — [13] γέγονε *add.* M. — [14] ἐγένοντο καὶ Mv. — [15] ὑμᾶς παρόντας Mv. — [16] πλείω Mv. — [17] βολὴ M. — [18] δὲ τοῦ *add.* Mv. — [19] ὅλως Mv. — [20] ἀνεκδιήγητον Mv. — [21] βρύθων τοῖς ῥεύμασι Mv. — [22] ἐκείνην *add.* Mv. — [23] τὴν Mv. — [24] μικρὸν ἀνεψγμένην *add.* Mv. — [25] οἱ *add.* Mv. — [26] ἐπέψυκτο M. — [27] φοβερῷ Mv. — [28] ἀπαγαγόντες Mv. — [29] δύο ἄνδρες Mv.

Oct. 5. πιστῶς ἀνελόμενος λαμπρῶς τε μυρίσας καὶ περιστείλας λαμπρότερον, ἔν τινι τόπῳ κατέθετο τάφον αὐτῇ σχεδιάσας, οὐχ ὡς ἐκείνῃ πρέπον ἀλλ' ὡς ὁ καιρὸς ἐδίδου καὶ τῶν τότε κρατούντων ὁ φόβος ἤπειγε, πέμπτην[10] τῷ τηνικαῦτα τοῦ ὀκτωβρίου[11] μηνὸς ἄγοντος.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Μαμέλχθας. Ἥτις ἦν ἐκ Περσίδος ἱέρεια χρηματίσασα τοῦ ναοῦ τῆς Ἀρτέμιδος· ἧς ἡ ἀδελφὴ ὑπῆρχε χριστιανή. Ἔδοξεν οὖν ὄναρ ἄγγελον αὐτῇ παραστάντα ὑποδεικνύειν τε τὰ τῶν χριστιανῶν μυστήρια καὶ παρορμᾶν πρὸς αὐτά. Καὶ δὴ ἀναστᾶσα διηγήσατο τῇ ἀδελφῇ τὰ ὀφθέντα. Ἡ δὲ πρὸς τὸν ἐπίσκοπον αὐτὴν ἤγαγεν· ὃς χειραγωγήσας αὐτὴν πρὸς τὴν πίστιν ἐβάπτισε. Ταύτην δὲ οἱ εἰδωλολάτραι ἐν λίθοις κατέλευσαν ἔτι τὰ σύμβολα τοῦ βαπτίσματος περιβεβλημένην. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ[1] τῷ ὄντι πέραν | ἐν τῷ Κέρατι. f. 47.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἐπισκόπου Σαβίνου τοῦ μικροῦ.

4. Καὶ Ἱεραΐδος ἐκ πόλεως Μεμφέως[1].

5. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδότου ἀρχιεπισκόπου γενομένου Ἐφεσίων.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἡ κοίμησις τοῦ ἁγίου Παύλου τοῦ ἁπλοῦ. Οὗτος ἄγροικος καὶ γεωργὸς γενόμενος συνεζεύχθη γυναικὶ ὡραίᾳ τὴν μορφὴν κακοτρόπῳ δὲ τὴν γνώμην. Εἰσελθὼν οὖν ἐν μιᾷ

— [10] Sa, πέμπτου S. — [11] ὀκτωμβρίου Sa.
2. — [1] ἐν τῷ μαρτυρείῳ αὐτῆς Sa.
4. — [1] Μέμφεως Sa.

Oct. 5. ἁγίων εἰκόνων θεωρίας ἀναλογιζόμενος. Τούτους ἰδὼν ἐκεῖνος ὁ δυσειδέστατος, εὐθέως[30] συσταλεὶς ὑπεκρύβη. Καὶ δὴ λαβόντες με γνησίως οἱ δύο οὗτοι γηραιοὶ καὶ διελθόντες τὰς μικρῷ[31] πρόσθεν εἰρημένας πύλας καὶ τὴν ἔνδον τῶν πυλῶν πόλιν περάσαντες, ἐξήλθομεν εἴς τινα πεδιάσιμον τόπον, ἐν ᾧ κάλλιστα χωρία καὶ ὡραῖα ἐτύγχανον· ἅπερ ἀμειψάμενοι περὶ[32] τὸ τέλος τῆς πεδιάδος κοιλάδα χλοερὰν[33] καὶ πάντερπνον εὕρομεν, ἧς τὴν ὡραιότητα τοῦ κάλλους καὶ τὴν ἐνοῦσαν χάριν ἑρμηνεῦσαι καὶ παραστῆσαι λόγῳ λίαν ἀδύνατον. Κατὰ δὴ τὸ μέσον αὐτῆς γηραιός τις ἐκάθητο χαρίεις καὶ τίμιος, περὶ αὐτὸν ἔχων παιδίων πληθύν, παραπλησίαν τῇ ἄμμῳ τῆς θαλάσσης. Τότε τοίνυν ἐγὼ τὸν φόβον ἀποβαλλόμενος, ἠρέμα πως τοὺς ἀπάγοντάς με ἠρώτησα τίς ἂν εἴη ὁ γηραιὸς καὶ τίς ὁ περὶ αὐτὸν ἀναρίθμητος ὅμιλος. Οἱ δὲ « Οὗτός ἐστιν, εἶπον, ὁ Ἀβραὰμ[34] » ὃν ἀκούεις κόλπον τοῦ Ἀβραάμ. » Καὶ ἅμα προτραπεὶς παρ' αὐτῶν, προσεκύνησα μετ' αἰδοῦς καὶ ἠσπασάμην ὃν ἔλεγον Ἀβραὰμ εἶναι καὶ αὖθις τῆς ἐπὶ τὰ πρόσω πορείας εἰχόμεθα. Καὶ πληρουμένης τῆς κοιλάδος, διεδέχετο μέγιστος ἐλαιών, οὗ τὰ δένδρα πλεῖονα τῶν ἄστρων ὡς ὑπολαμβάνω ἦσαν[35] τοῦ οὐρανοῦ καὶ καθ' ἕκαστον δένδρον, οἷον σκηνὴ ἦν, καὶ κλίνη καθ' ἑκάστην σκηνὴν καὶ ἐφ' ἑκάστην κλίνην ἄνθρωπος, ἐν οἷς ἀνεγνώρισα πολλοὺς μὲν τῶν ἀναστρεφομένων εἰς τὰ βασίλεια, πολλοὺς δὲ τῶν κατὰ τὴν πόλιν, τινὰς δὲ καὶ τῶν οἰκούντων ἐν τοῖς ἀγροῖς καί τινας πρὸς τούτοις τῶν ἐκ τῆς[36] καθ' ἡμᾶς μονῆς. Οὗτοι δὲ πάντες, οὓς ἀνεγνώριζον, προτετελευτηκότες ἦσαν. Ἐν ὅσῳ δὲ διελογιζόμην πυθέσθαι, τίς ὁ τηλικοῦτος καὶ θαυμαστὸς ἐλαιών, φθάνουσιν οἱ γηραιοὶ τὴν ἐρώτησιν· « Τί διαλο- » γίζῃ, λέγοντες, τίς ὁ μέγας οὗτος καὶ περικαλλὴς ἐλαιὼν καὶ τίνα πάντα τὰ ἐν αὐτῷ; αὐτά[37] ἐστιν, ἅπερ (Io. 14, 2.) » ἀκούεις· Πολλαὶ μοναὶ παρὰ σοί, Σῶτερ, πεφύκασι, κατ' ἀξίαν πᾶσι μεριζόμεναι, κατὰ τὸ μέτρον τῆς » ἀρετῆς. » Μετ'[38] ἐκεῖνον οὖν[39] τὸν ἐλαιῶνα πόλις ἦν, ἧς τὸ κάλλος καὶ τὴν περὶ τὸ τεῖχος ἁρμονίαν καὶ σύνθεσιν ἀμήχανον ἐξειπεῖν· δώδεκα μὲν στοῖχοι περὶ τὸ τεῖχος ὅλον ἦσαν ὥσπερ τινὲς ζῶναι κύκλωθεν περιειλούμεναι, αἳ οὐχὶ μίαν χροιὰν προεβάλλοντο, ἀλλὰ καὶ πολλὰς καὶ ποικίλας· πᾶσαι μὲν γὰρ ζῶναι[40] ἐκ τῶν τιμίων δώδεκα λίθων ἐτύγχανον· ἑκάστη δὲ τούτων ἐξ ἑνὸς ἡρμοστο λίθου[41], ἑκάστη δὲ[42] τούτων κύκλον ἴδιον ἀπαρτίζουσα. Τί δὲ δεῖ λέγειν εὐθύτητα, πλακὸς καὶ ἰσότητα καὶ τὴν ἐπὶ πᾶσιν[43] εὐαρμοστίαν καὶ σύμπηξιν; ἐπὶ δὲ τῷ τείχει πύλαι χρυσῷ καὶ ἀργύρῳ[44] κατεποικίλλοντο· τῶν δὲ πυλῶν ἔνδον δάπεδον ἠνοίγετο χρύσεον· καὶ τοῦτο οἰκίαι χρυσαῖ διεδέχοντο[45], χρυσαῖ καθέδραι <καὶ[46]> χρύσεοι[47] ἄβακες. Ἡ δὲ πόλις πᾶσα πλήρης φωτὸς ἀνεκλαλήτου, πλήρης εὐωδίας, πλήρης χάριτος[48]. Τὴν δὲ πόλιν πᾶσαν περιερχόμενοι, οὐκ ἄνθρωπον[49] οὐ κτῆνος, οὐκ ὄρνεον, οὐκ ἄλλο τι τῶν περὶ γῆν καὶ ἀέρα ὅλως κατίδομεν. Πρὸς δὲ τὸ ἄκρον ταύτης τῆς πόλεως θαυμαστὰ βασίλεια ᾠκοδόμηντο· εἰς δὲ τὴν τῶν βασιλείων εἴσοδον θάλαμος, οὗ τὸ περίμετρον ὡσεὶ λίθου βολή· ἀπ'[50] ἄκρων δὲ τοῦ θαλάμου μέχρι τῶν ἑτέρων ἄκρων τετάνυστο τράπεζα ἐκ μαρμάρου πᾶσα[51] ῥωμαϊκῆς καὶ τοσοῦτον τῆς γῆς ἀπέχουσα ὅσον ἐπερείδεσθαι ἄνθρωπον· πλήρης δὲ ἦν πᾶσα τῶν ἀνακεκλιμένων[52]· ἀκραιφνεστάτου δὲ φωτὸς καὶ εὐωδίας[53] καὶ χάριτος ἅπας ὁ οἶκος ἐπεπλήρωτο. Πρὸς δὲ τῷ τέλει τοῦ θαλάμου μικρὸς κοχλίας ἐτύγχανε· τὸ δὲ τοῦ κοχλίου τέλος[54] τερπνὸν ἡλιακὸν διεδέχετο, πρὸς αὐτὴν ἐπινεῦον τὴν τράπεζαν· ἐξ οὗ φωτοειδεῖς εὐνοῦχοι δύο προκύψαντες, τὴν ὄψιν ἀστραπῇ παραπλήσιοι καὶ πάσης ἀγλαΐας ὑπερπλεοι, λέγουσιν ἐκείνοις τοῖς γηραιοῖς τοῖς κρατοῦσί με· « Κατακλιθήτω δὴ καὶ οὗτος ἐπὶ τὴν τράπεζαν· » καὶ ἅμα τῷ λόγῳ τὸν τόπον ἐπιδεικνύουσιν, ἐφ' ὃν οἱ γηραιοί με φέροντες ἀνακλίνουσιν· αὐτοὶ δὲ ἐφ' ἓν τοῦ θαλάμου μέρος ἀπελθόντες[39] ἐκάθισαν. Οἱ τοίνυν εὐνοῦχοι, ὡς πρὸς τὴν[55] ἔνδον τῆς ἐπὶ τὸν ἡλιακὸν δῆθεν οἰκίας εἰσέδυσαν· καὶ ἐπὶ πολλὰς

— [30] εὐθὺς Mv. — [31] μικρὰς Mv. — [32] ἃ παραλειψάμενοι παρὰ Mv. — [33] τε *add.* Mv. — [34] καὶ *add.* Mv. — [35] ἦσαν ὡς ὑπολαμβάνω Mv. — [36] ἐν τοῖς M. — [37] ταῦτα Mv. — [38] καὶ μετ' Mv. — [39] *om.* Mv. — [40] (κύκλωθεν - ζῶναι) *om.* Mv. — [41] καὶ *add.* Mv. — [42] δὲ *om.* Mv. — [43] ἐν ἅπασιν Mv. — [44] κεκραμμένῳ *add.* Mv. — [45] καὶ *add.* Mv. — [46] *om.* M. — [47] χρύσα οἱ M. — [48] χαρᾶς Mv. — [49] ἄνθρωπος M. — [50] ἐπ' Mv. — [51] πάσης Mv. — [52] ἀνακειμένων Mv. — [53] πλήρης *add.* Mv. — [54] τέλος τοῦ κοχλίου Mv. — [55] τὸν M.

Oct. 5. εἰς τὸν οἶκον ἐξ ἀγροῦ, εὗρε μοιχευομένην. Καὶ γελάσας εἶπε πρὸς τὸν μοιχόν· « Ἀληθῶς οὐ μέλει » μοι, μὰ τὸν Ἰησοῦν· ἐγὼ οὐκέτι ἐπαίρω αὐτήν. » Ὕπαγε, ἔχεις αὐτὴν καὶ τὰ παιδία ἀνάτρεφε. Καὶ » ἐγὼ ὑπάγω, γίνομαι μοναχός. » Καὶ ἀπέρχεται πρὸς τὸν μακάριον Ἀντώνιον καὶ κρούει τὴν θύραν. Ὁ δὲ ἰδὼν αὐτὸν οὕτω γέροντα, λέγει· « Τί θέλεις; » Καὶ εἶπε· « Θέλω μοναχὸς γενέσθαι. » Καὶ ὁ ἅγιος· « Ἑξήκοντα ἐτῶν γέρων πειρασμοὺς » οὐ δύναται ὑπομεῖναι. » Καὶ λέγει· « Εἴ τι μοι » εἴπῃς ποιῶ. » Καὶ ἀποπειράσας ὁ Ἀντώνιος καὶ εὑρὼν ὅτι πάντα ὑπομένει, ἀπέκειρεν αὐτόν. Καὶ κτίσας κατ' ἰδίαν κελλίον ἔμενεν ἐκεῖ. Ἐπὶ τοσοῦτον δὲ ἔφθασεν ἀρετῆς, ὡς καὶ χαρίσματα δέξασθαι θαυμάτων κατὰ νοσημάτων καὶ δαιμόνων. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν προσήχθη τῷ Ἀντωνίῳ νεανίσκος ἔχων δαίμονα[2] ἀρχικόν. Καὶ παραχωρήσαντος αὐτῷ τοῦ Ἀντωνίου, εὐξάμενος ἐξέβαλεν αὐτόν. Οὕτω δὲ θεαρέστως καὶ εὐσεβῶς τὸν βίον αὐτοῦ διανύσας ἐν εἰρήνῃ ἐκοιμήθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ς'.

Oct. 6. 1. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ τοῦ καὶ[1] Διδύμου. Οὗτος Πάρθοις καὶ Μήδοις καὶ Πέρσαις καὶ Ἴνδοις τὸν λόγον τοῦ Θεοῦ κηρύξας καὶ πολλὰ πλήθη τοῖς ἀπείροις θαύμασι τῇ εἰς Χριστὸν πίστει προσαγαγών, ὑπὸ Μισδαίου βασιλέως[2] Ἰνδῶν ἀναιρεῖται διὰ τὸ πιστεῦσαι καὶ βαπτισθῆναι ὑπ' αὐτοῦ Ἰουζάνην τὸν υἱὸν αὐτοῦ καὶ τὴν μητέρα Τερτίαν καὶ Μυγδονίαν καὶ Νάρκαν[3]. Διὸ καὶ παραδίδοται πέντε στρατιώταις, οἳ ἐπὶ τὸ ὄρος ἀναγαγόντες αὐτόν, λόγχαις κατέτρωσαν καὶ τὸ μακάριον αὐτῷ ἐπήνεγκαν τέλος. Νησιφὼρ δὲ καὶ Ἰουζάνης ἔμειναν ἐπὶ τοῦ ὄρους· οἷς καὶ ἐμφανισθεὶς ὁ ἀπόστολος θαρρεῖν ἐκέλευσεν. Ἦν γὰρ τὸν μὲν Νησιφὼρ χειροτονήσας πρεσβύτερον,

6 — [1] μὲν *add.* Sa. — [2] δαίμονα ἔχων Sa.
1. — [1] *om.* Sa. — [2] περσῶν καὶ *add.* S, *sed obducta linea del.* — [3] S. Sa; Ναρκία *et plerumque* Μαρκία *in* Act. Thomae, Bonnet, *pp. 68, 83 etc.*

Oct. 5. τὰς ὥρας ἐχρόνιζον[56]. Ἐν δὲ τῷ τούτους χρονίζειν, οὐ παρέργως ἐγὼ θεωρῶν τὰ κατ' ἐκείνην τὴν τράπεζαν, πολλοὺς συνήθεις ἐκ τῶν ἀνακειμένων ἐγνώριζον, ἔκ τε τοῦ κοσμικοῦ καταλόγου τυγχάνοντας, πρὸς οἷς καί τινας τῶν ἐκ[39] τῆς καθ' ἡμᾶς μονῆς, τινὰς δὲ καὶ τῶν ἀναστρεφομένων εἰς τὰ βασίλεια. Μετὰ πολλὰς οὖν τὰς ὥρας, πάλιν οἱ εὐνοῦχοι προκύψαντες καὶ τοὺς γηραιοὺς ἐκείνους φωνήσαντες· « Ὑποστρέψατε τοῦτον, λέγουσιν, ὅτι μεγάλως πενθοῦσιν αὐτὸν τὰ κατὰ Θεὸν αὐτοῦ » γεννήματα. Καὶ ὁ βασιλεὺς παρακληθεὶς βούλεται αὐτὸν κατὰ τὸν μονήρη βίον εἶναι· καὶ τοῦτον δι' » ἄλλης ὁδοῦ ἀπαγαγόντες, λάβετε ἀντ' αὐτοῦ τὸν μοναχὸν Ἀθανάσιον τὸν τοῦ Τραϊανοῦ. » Καὶ παρευθὺ οἱ γηραιοὶ λαβόντες με, τοῦ τε θαλάμου συντόμως καὶ τῆς πόλεως[57] δι' ἄλλης ὁδοῦ ὑπεξήλθομεν. Καθ' ὁδὸν δὲ λίμναις ἑπτὰ προσεβάλομεν[58] μεσταῖς τιμωριῶν καὶ κολάσεων· ἡ μὲν σκότους πλήρης ἦν, ἡ δὲ[59] πυρός, ἡ μὲν[60] δυσώδους ὁμίχλης, ἡ δὲ σκώληκος, ἡ δὲ ἄλλης κολάσεως εἴδους καὶ τιμωρίας ἀνάπλεως· κοινῇ δὲ πᾶσαι πλήθους ἀναριθμήτου ἐπεπλήρωντο, ἐλεεινῶς ὀδυρομένων καὶ γοερῶς πάντων ὀλολυζόντων. Ταύτας δὴ τὰς λίμνας παραμειψάμενοι καί τινα τόπον μικρόν[61], πάλιν τὸν γηραιὸν κατελάβομεν, ὃν ἔλεγον εἶναι τὸν Ἀβραάμ· καὶ τούτῳ συνταξάμενος πάλιν αὐτὸν ἠσπασάμην. Ὁ δέ μοι χρυσοῦν ποτήριον δίδωσιν, οἴνου πεπληρωμένον γλυκυτέρου τοῦ μέλιτος καὶ ἄρτου ξηροῦ κλάσματα τρία· ὧν τὸ μὲν ἓν ἐν τῷ οἴνῳ βάψας, ὡς ἐδόκουν, ἔφαγον, καὶ τὸν ὅλον οἶνον ἐξέπιον, τὰ δὲ ἕτερα δύο τῷ ἐμαυτοῦ κόλπῳ ὑπέθηκα, ἅπερ χθὲς ὑμᾶς ἐπεζήτουν. Εἶτα μετὰ μικρὸν κατὰ τὸν τόπον ἐκεῖνον πάλιν ἀπήλθομεν, ἔνθα ὁ γιγαντιαῖος ἐκεῖνος καὶ δυσειδέστατος καὶ νυκτὶ παραπλήσιος τὴν ὄψιν ἐτύγχανεν. Ὁ δέ με ἰδὼν ἔβρυχεν ἐπ' ἐμὲ τοὺς ὀδόντας δεινῶς καὶ μετ' ὀργῆς καὶ πικρίας ἔλεγεν· « Ἀπάρτι ἐξέφυγές με· πλὴν οὐδὲ τοῦ λοιποῦ παύσομαι πάντα κατὰ σοῦ συσκευά- » ζων καὶ τοῦ κατὰ σὲ μοναστηρίου. » Τὰ μὲν δὴ τούτου μέχρι[62], ἀδελφοί, γινώσκων ἀπήγγειλα· τὸ δὲ ὅπως εἰς ἐμαυτὸν ἐγενόμην, παντελῶς ἀγνοῶ. Ταύτης τῆς ὄψεως οὕτως ἐχούσης, αὐτίκα ἐστάλη[63] τις πρὸς τὸ τοῦ Τραϊανοῦ μοναστήριον καὶ καταλαμβάνει τὸν μοναχὸν Ἀθανάσιον τοῦ σώματος ἐκδημήσαντα καὶ ἐπὶ κλίνης ἀπὸ[64] τοῦ κελλίου ἐκκομιζόμενον. Πυθόμενος δὲ πότε τετελεύτηκεν, ἠκηκόει τὴν χθὲς ἡμέραν[65] περὶ ὥραν ἐννάτην, καθ' ἣν καὶ τὴν ὀπτασίαν ἰδών, εἰς ἑαυτὸν ἐγένετο. Οὐκ εἰς μακρὰν δὲ καὶ ἄμφω τὰ μοναστήρια εἰς ἓν γεγόνασι, διὰ τὸ ἀγχίθυρα ταῦτα[39] κεῖσθαι καὶ μέχρι τοῦ νῦν ὑφ' ἑνὸς καθηγητοῦ κυβερνώμενα. Ἐπὶ τριάκοντα οὖν χρόνοις, παρὰ τοῦ τὴν ὀπτασίαν ταύτην ἰδόντος καὶ ἐξαρκέσαντος ἐκείνου τῇ ζωῇ καὶ τῇ κατὰ[66] Θεὸν πολιτείᾳ, ἀμφοτέρων τῶν μονῶν διευθετουμένων, οὐ μικρά τις ἡ ἐπίδοσις ἐν ταύταις γέγονεν, ἐπί τε τῇ τῶν μοναχῶν θεαρέστῳ πολιτείᾳ καὶ τοῖς ὁθενδήποτε πρὸς τὴν τούτων διοίκησιν καὶ διατροφὴν εἰσοδιαζομένοις, εἰς δόξαν τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν. Ἀμήν. — **Mv** : 1. 2. — Ὀπτασία Κοσμᾶ μοναχοῦ. — **Mb** : 2. 1. — Ὀπτασία Κοσμᾶ. — **Mr** : 1.

Oct. 6. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — **P** : 1. — **F** : 1. 2. — **Fa** : 1. 2. — **Fb** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1. 2. — **Bb** : 1. 2. — **T** : 1. — **O** : 1 : Θωμᾶ. Οὗτος ἐν Ἰνδίᾳ διδάσκων τὸν λόγον τοῦ Θεοῦ, ἐνεβλήθη εἰς φυλακὴν ὑπὸ Μισδαίου[1] τοῦ βασιλέως. Ἰουζάνης δὲ ὁ τοῦ βασιλέως υἱὸς καὶ Τερτία ἡ τούτου μήτηρ καὶ Μυγδωνία[2] καὶ Νάρκα εἰσῆλθον πρὸς τὸν ἀπόστολον καὶ κατηχηθέντες παρ'

— [56] (καὶ ἐπὶ - ἐχρόνιζον) *om.* Mv. — [57] κ. τ. π. συντόμως Mv. — [58] παρελάβομεν Mv. — [59] ἡ μὲν ... οἱ δὲ M, οἱ μὲν ... ἡ δὲ Mv. — [60] δὲ Mv. — [61] μετὰ μικρὸν κατὰ τὸν τ. Mv. — [62] μέχρι τούτου Mv. — [63] ἀπεστάλη Mv. — [64] ἐκ Mv. — [65] τῇ χθὲς ἡμέρᾳ Mv. — [66] πρὸς Mv.
[1] Μισδέου O. — [2] Μυγλωνία O.

Oct. 6. f. 47v. τὸν δὲ Ἰουζάνην | διάκονον. Τοῦ δὲ υἱοῦ τοῦ βασιλέως μετὰ ταῦτα πικρᾷ νόσῳ κατεργασθέντος, ἐζήτει ὁ βασιλεὺς λείψανον τοῦ ἁγίου ἐπενεγκεῖν τῷ υἱῷ αὐτοῦ ἤδη ἀπογνωσθέντι πάντῃ καὶ τῷ θανάτῳ ἐγγίζοντι. Ὡς δὲ ἀφανὲς τὸ ἀποστολικὸν γέγονε σῶμα, χοῦν ἐκ τοῦ τάφου αὐτοῦ ἀχθῆναι προσέταξεν. Ὡς δὲ τῷ θνήσκοντι ὁ χοῦς προσήγγισεν, εὐθὺς ὁ θνήσκων[4] γέγονεν ὑγιής. Ὁ δὲ βασιλεὺς καὶ οὕτως[5] μὴ πιστεύσας τὸν σωματικὸν καὶ τὸν ψυχικὸν ἀπέθανε θάνατον. Τελεῖται δὲ ἡ τοῦ ἀποστόλου σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ ἀποστολείῳ τῷ ὄντι ἐν τοῖς Ἀμαντίου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικήτα πατρικίου καὶ ὁμολογητοῦ. Ὃς ὑπῆρχεν ἐπὶ τῆς εὐσεβεστάτης Εἰρήνης, τιμώμενος καὶ φιλούμενος ὑπ' αὐτῆς ὡς συγγενής, γονέων δὲ[1] Γρηγορίου καὶ Ἄννης τῆς Παφλαγόνων χώρας ὡρμημένων. Οὗτος εὐνοῦχος ὢν τῇ θέσει, τῇ φρονήσει καὶ συνέσει[2] πολλῶν ὑπερεῖχεν[3]. Αὐτὸς καὶ ἐν τῇ κατὰ Νίκαιαν δευτέρᾳ συνόδῳ παρὰ τῆς βασιλίδος πέμπεται ἀντιπρόσωπος καὶ ἐν τῇ Σικελίᾳ δὲ ὁμοίως διὰ τὰ ἐκεῖσε δυσκατόρθωτα. Ἐπέστρεψε δὲ ἐκεῖθεν καὶ τὸν μονήρη βίον ὑπῆλθε, πολλὰς θλίψεις καὶ διωγμοὺς ὑποστὰς ὑπὲρ τῶν ἁγίων εἰκόνων, τὰ πρῶτα μὲν ὑπὸ[4] τοῦ ἀσεβεστάτου Λέοντος τοῦ Ἀρμενίου, ἔπειτα δὲ καὶ παρὰ Μιχαὴλ καὶ Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ. Ἐν τούτοις πληρώσας τὸν ἑβδομηκοστὸν πέμπτον χρόνον τῆς ζωῆς αὐτοῦ πρὸς Κύριον ἐξεδήμησε, πολλὰ σημεῖα καὶ τέρατα ἐργασάμενος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

Oct. 7. **1.** Ἄθλησις τῶν ἁγίων[1] μαρτύρων Σεργίου καὶ Βάκχου. Οἵτινες ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως. Καὶ ὁ μὲν ἅγιος Σέργιος πριμικήριος[2] ἦν τῆς σχολῆς τῶν γεντηλίων, ὁ δὲ ἅγιος Βάκχος σεκουνδικήριος τῆς αὐτῆς σχολῆς. Ἀρχῆθεν δὲ τὰ χριστιανῶν μυηθέντες καὶ τὰς θεοπνεύστους γραφὰς ἐκμαθόντες καλῶς, διαβληθέντες τῷ βασιλεῖ, προετράπησαν ἅμα αὐτῷ θυσίας[3] προσενεγκεῖν τοῖς εἰδώλοις. Τοῦτο δὲ μὴ καταδεξάμενοι ἀφῃρέθησαν τάς τε ζώνας καὶ τὰ μανιάκια τὰ ἐπὶ τοῖς f. 48. τραχήλοις | αὐτῶν κείμενα, ἅπερ σύμβολα νομίζονται τῆς ἀρχῆς, καὶ περιεστάλησαν θηλυπρεπέσιν ἐνδύμασι καὶ διὰ μέσης τῆς πόλεως ἐφ' ὕβρει δῆθεν σίδηρα περικείμενοι ἤχθησαν καὶ παρεπέμφθησαν πρὸς Ἀντίοχον τὸν δοῦκα τῆς Αὐγουστοπόλεως Εὐφρατησίων[4] ἐπαρχίας ἐν τοῖς λιμιτοῖς πλησίον τῶν Σαρακηνῶν, γράψαντος πρὸς αὐτὸν τοῦ βασιλέως ποιήσασθαι τὴν ἐξέτασιν αὐτῶν. Ἤδη δὲ πλησιάζοντες ἐξ ἐπιφανείας ἀγγέλων θείας τινὸς ἰσχύος καὶ θάρσους ἐπλήσθησαν. Ἀχθέντες δὲ ἐπὶ τοῦ δουκός, πρῶτος ὁ Βάκχος ἠγωνίσατο τυφθεὶς νεύροις ὠμοῖς ἐπὶ τοσοῦτον, ὡς ταῖς βασάνοις αὐταῖς ἐναποθανεῖν καὶ τὸν στέφανον τοῦ μαρτυρίου κομίσασθαι. Ὁ δὲ Σέργιος παρ' αὐτοῦ τοῦ δουκὸς διαφόρως ἐξετασθεὶς καὶ κρηπῖσι καθηλωθεὶς σιδηραῖς καὶ τρέχειν ἀναγκασθεὶς μακροτάτας[5] ὁδούς, καὶ αὖθις ταῖς αὐταῖς κρηπῖσι προσηλωθεὶς τὴν διὰ ξίφους δέχεται τελευτήν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ναῷ αὐτῶν τῷ ὄντι ἐν ταῖς Σοφίαις.

— [4] ὁ θνήσκων *om.* Sa. — [5] οὕτω Sa.
2. — [1] γέγονε *add.* Sa. — [2] συνέσει καὶ φρονήσει Sa. — [3] ὑπῆρχεν Sa. — [4] παρὰ Sa.
1. — [1] τοῦ Χριστοῦ *add.* Sa. — [2] πριμμικήριος S. — [3] θυσίαν Sa. — [4] Ἐφρατησίων S, Αὐγουστοευφρατησίων *in Passione ed.* Anal. Boll., *XIV, p. 377, n. 2.* — [5] μακροτέρας Sa.

Oct. 6. αὐτοῦ, τοῦ θείου βαπτίσματος ἠξιώθησαν. Ὁ οὖν βασιλεὺς διὰ τὴν μετάθεσιν τῆς πίστεως τῶν συγγενῶν αὐτοῦ ὀργισθεὶς πέντε στρατιώταις παραδέδωκεν τὸν ἀπόστολον ἐντειλάμενος αὐτὸν ἀνελεῖν. Οἱ δὲ ἐπί τινος ὄρους ἀναγαγόντες αὐτόν, λόγχαις κατέτρωσαν, τῶν πληγῶν ἀψαμένων αὐτοῦ τῶν καιρίων· ὑφ' ὧν τὸν στέφανον τῆς μαρτυρίας ἐδέξατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ ἀποστολείῳ τῷ ὄντι ἐν τοῖς Ἀμαντίου τῆς λιτῆς ἀπὸ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἀπερχομένης ἐν τῷ Φόρῳ καὶ μετὰ τὰς συνήθεις ἐκεῖσε τελέσαι εὐχὰς παραγινομένη ἐν τῇ εἰρημένῃ συνάξει. — **G** : deest. — **C** : 1. — Πολυχρονίου (Oct. 7[3]). — 2. — **Cb** : 1. 2. — **Cc** : 1. — Πολυχρονίου. — 2. — **M** : 1. 2. — Τῆς ἁγίας μάρτυρος Ἐρωτηΐδος. — **Mv** : 1. 2. — Ἐρωτηΐδος. — **Mb** : 1. 2. — Ἐρωτηΐδος. — **Mr** : 1.

Oct. 7. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. 2. — **P** : 1. 2 : μνήμη τοῦ σεισμοῦ ἐν τῷ νέῳ Παλατίῳ. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. — **B** : 1. — Πελαγίας ἐκ τῆς πόλεως Τάρσου (Oct. 8[2]). — **Ba** : 1. 3 : Πολυχρονίου. Οὗτος ἐπαρχίας μὲν ἔφυ τῆς Γανφάνητος[1] λεγομένης πατρὸς τὴν γεωργίαν μετερχομένου· παρ' οὗ καὶ γράμματα ἐκπαιδεύεται καὶ τοῖς βουσὶν ἐπακολουθεῖν τάττεται. Ὅθεν καὶ μήκοθεν ὄντος τοῦ ὕδατος εὐχῇ μόνῃ ὕδωρ ἐξάγει· ἔπειτα τοῖς ἀμπελουργοῖς ἑαυτὸν καταμίξας, πρὸς τὴν βασιλεύουσαν ἔρχεται· μεθ' ὧν τὰς ἀμπέλους ἐργαζόμενος, διὰ δὲ δύο ἢ τριῶν ἡμερῶν τροφῆς μικρᾶς μετελάμβανε καὶ ὕδατος. Ὁ δὲ τῶν ἀμπελώνων κύριος αἰδεσθεὶς αὐτοῦ τὴν ἀρετὴν καὶ χρήμασι τοῦτον ἐφοδιάσας, ἀπέστειλεν ἀπελθεῖν, εὐλογίας ἕνεκα τὴν δίκελλαν αὐτοῦ κατασχών, δι' ἧς καὶ θαύματα ἐτελέσθησαν. Οἴκοι δὲ γενόμενος καὶ ἐκκλησίαν δειμάμενος τὸ τοῦ πρεσβυτερίου ἀξίωμα δέχεται, ἐν ᾗ Θεῷ τὰς ἀναιμάκτους θυσίας προσφέρων ἀναιρεῖται ὑπὸ τῶν αἱρετικῶν μετὰ τελευτὴν τοῦ μεγάλου Κωνσταντίνου. — **Bb** : 1. 3. — **T** : 1. — **O** : 1. — **G** : 1 mutil. 2. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. 2. — Ἰουλιανοῦ πρεσβυτέρου καὶ Καισαρείου[2] διακόνου. Κλαυδίου βασιλεύοντος ἐν Ῥώμῃ καὶ τὴν ἰδίαν μητέρα ἀποκτείναντος διὰ τὴν εἰς Χριστὸν πίστιν, οὐκ ἐφείσατο ἔκτοτε τῶν χριστιανῶν. Τότε ὁ μακάριος Καισάρειος ἀπὸ τῆς Ἄφρων χώρας ἐλθὼν ἐν πόλει

[1] Ba. Γαμφανίτου Mv. — [2] Καισάριος *Passio in* Act. SS., *Nov. t. I, p. 107*, Καισαρίου Mv, *et deinceps.*

2. Καὶ[1] μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ μεγάλου σεισμοῦ.

3. Τῇ αὐτῇ ἡμέρᾳ[1] ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πολυχρονίου. Ὃς ἐπαρχίας μὲν ἔφυ τῆς Γαμφανήτιδος λεγομένης· ὁ δὲ τούτου πατὴρ Βαρδάνιος γεωργὸς ὢν τὸν παῖδα γράμμασιν ἐκπαιδεύων, ἐκέλευσε τοῦτον τοῖς βουσὶν[2] ἐπακολουθεῖν, καὶ διὰ τὸ εἶναι μήκοθεν τὸ ὕδωρ, τῇ εὐχῇ τοῦ παιδὸς πηγὴ ἀνεδόθη. Πολλὴ γὰρ ἦν ἐν τῷ νέῳ ἡ σύνεσις καὶ ἡ ἐγκράτεια· καὶ ἐπεὶ εἰς μέτρον ἔφθασεν ἡλικίας τοῖς ἐργατικοῖς[3] ἀμπελουργοῖς ἑαυτὸν ἑνώσας, πρὸς τὴν βασιλεύουσαν ἔρχεται· καὶ ἐργαζόμενος καὶ αὐτὸς τὰς ἀμπέλους μετὰ τῶν λοιπῶν διὰ δύο ἢ καὶ τριῶν ἡμερῶν τροφῆς μετελάμβανε καὶ ὕδατος. Ὁ δὲ τούτου ἐργοδότης θαυμάσας τὸν τοῦ Θεοῦ ἐργάτην καὶ αἰδεσθεὶς αὐτοῦ (Oct. 7.) τὴν ἀρετήν, ἐφοδιάσας αὐτὸν χρυσίου ποσότητι ἐξαπέστειλεν εἰπών· « Ἄπελθε εἰς τὰ ἴδια ὑπὲρ » ἐμοῦ εὐχόμενος », | (f. 48v.) κρατήσας τὴν δίκελλαν αὐτοῦ πίστεως χάριν, ἥτις πολλὰ θαυμάσια ἐτέλεσεν. Αὐτὸς δὲ μετὰ τοῦ ἐν χερσὶ χρυσίου ἐκκλησίαν κατασκευάσας, ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ εὑρεθεὶς ἀναγνώστης ὤν, δέχεται τὸ τ.ῦ διακόνου καὶ πρεσβυτέρου ἀξίωμα. Ἐπεὶ δὲ ὁ μέγας Κωνσταντῖνος τὸν βίον μετήμειψε, παραυτίκα ἡ τοῦ Ἀρείου αἵρεσις ἤρξατο ἐκταράσσειν τοὺς πολλούς· ὅθεν οἱ κακόδοξοι φθόνῳ τηκόμενοι καὶ εὑρόντες τὸν ἅγιον τῷ θυσιαστηρίῳ παριστάμενον, ἄφνω εἰσπηδήσαντες τοῖς ξίφεσιν αὐτὸν κατέκοψαν[4]· καὶ τῷ μυστικῷ καὶ θείῳ αἵματι τὸ τοῦ μάρτυρος αἷμα συμμίξαντες, θυσίαν ἀκουσίως τῷ Θεῷ παρέπεμψαν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

1. Μνήμη τῆς ὁσίας Πελαγίας τῆς ἀπὸ ἑταιρίδων. Αὕτη ὑπῆρχεν ἐκ πόλεως Ἀντιοχείας ταῖς ὀρχήστραις[1] καὶ θεατροσκοπίαις σχολάζουσα καὶ παλλακευομένη τῇ πόλει. Διὸ καὶ πολλὴν ἐκ τῆς πονηρᾶς αὐτῆς ἐργασίας συνεστήσατο ὕπαρξιν καὶ πλοῦτον πολὺν συνήγαγε. Κατηχηθεῖσα δὲ τὸν λόγον τῆς πίστεως παρά τινος ἐπισκόπου Νόννου[2] καὶ[3] τὸ πρὸς σωτηρίαν εἴληφε βάπτισμα (Oct. 8.) θερμῶς δὲ τῇ μετανοίᾳ προσελθοῦσα, μετὰ τὸ διανεῖμαι τὸν πλοῦτον τοῖς ἐνδεέσι τρίχινα περιεβάλετο καὶ εἰς ἄνδρα μετασχηματισθεῖσα καταλαμβάνει τὸ τῶν ἐλαιῶν ὄρος· ἐν ᾧ θεαρέστως βιώσασα πρὸς Κύριον ἐξεδήμησε.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Πελαγίας

2. — [1] τῇ αὐτῇ ἡμέρᾳ Sa.
3. — [1] (τ. α. ἡ.) καὶ Sa. — [2] παισὶν S, Sa. — [3] ἐργάταις Sa. — [4] κατέκοψε Sa.
1. — [1] ὀρχίστροις S. — [2] *corr.* S, Νόνου Sa. *et prius* S. — [3] *om.* Sa.

Oct. 7. Ῥώμης[3] λεγομένῃ Τερακηνῇ[4], ὡς εἶδε τὰς μυσαρὰς θυσίας καὶ[5] κατέπτυσε συμπατήσας[6] ταύτας, κρατηθεὶς ἐν τρισὶν ἡμέραις ἄσιτος τῇ φυλακῇ παρεδόθη τῷ ἀνθυπάτῳ· δεσμευθεὶς δὲ τὰς χεῖρας ὄπισθεν, εἵλκετο παρὰ τῶν στρατιωτῶν ἔμπροσθεν τοῦ ὀχήματος τοῦ ἄρχοντος μέχρι τοῦ ναοῦ τοῦ Ἀπόλλωνος. Καὶ ὡς ἤδη πρὸς τὸν ναὸν ἀφίκοντο, τοῦ ἁγίου προσευξαμένου, πέπτωκεν εὐθέως ἐκ θεμελίων ὁ ναός, συμπεριλαβὼν ἔνδον τόν τε ἀρχιερέα καὶ ἄλλους πολλούς. Ὅπερ ἰδὼν Λεόντιος ὁ ὑπατικὸς προσέπεσε τῷ ἁγίῳ· καὶ πιστεύσας εἰς τὸν Χριστόν, ἐβαπτίσθη αὐτὸς[7] ἐνώπιον πάντων· καὶ ἐλθὼν ὁ πρεσβύτερος Ἰουλιανὸς μετέδωκεν αὐτῷ τῶν ἀχράντων μυστηρίων. Καὶ τοῦ ὑπατικοῦ εὐθέως εἰς χεῖρας Θεοῦ τὴν ψυχὴν[8] ἀναθεμένου ἐξ αἰτήσεως διὰ τῆς τοῦ ἁγίου προσευχῆς, θεασάμενος Λοξώριος ὁ ἄρχων τὸ γεγονὸς ἐκράτησεν Ἰουλιανὸν τὸν πρεσβύτερον καὶ Καισάρειον τὸν διάκονον καὶ προσέταξε βληθῆναι αὐτοὺς εἰς σάκκους καὶ ῥιφῆναι ἐν τῇ θαλάσσῃ. Οἱ δὲ ἅγιοι εἶπον πρὸς αὐτόν· « Ἡμεῖς μέν, Λοξώριε, ῥιπτόμεθα ἐν τῇ θαλάσσῃ, σὺ δὲ ὑπὸ δεινοῦ ὄφεως τυφθεὶς[9] κακῷ θανάτῳ τὴν » ψυχὴν ἀπορρήξεις· » ὃ καὶ γέγονε. Μετὰ γὰρ δύο ἡμέρας περιπλακεὶς αὐτῷ ἐν τῷ αἰγιαλῷ τῆς θαλάσσης περιπατοῦντι δεινότατος ὄφις καὶ πάντα τὰ τούτου μέλη τύψας, ἄπνουν καὶ νεκρὸν σχεδὸν[10] εἰργάσατο· ἐξογκωσθεὶς γὰρ ἔκειτο τοῖς δρῶσι θέαμα μέγα. Τὰ δὲ σώματα τῶν ἁγίων ἐξελθόντα ἀπὸ τῆς θαλάσσης, ὑπὸ Κυρίου κυβερνώμενα, Εὐσέβιός τις πρεσβύτερος καὶ Φῆλιξ[11], δι' ὀπτασίας ἀποσταλέντες, ὑπεδέξαντο ταῦτα καὶ διήρχοντο ὅπου ὁ δύστηνος ἔκειτο· οὓς καὶ θεασάμενος ἐταλάνιζεν ἑαυτόν. Ἀλλ' ὁ υἱὸς τοῦ βαπτισθέντος Λεοντίου τοῦ ὑπατικοῦ, μετὰ τὸ κατατεθῆναι τὰ λείψανα τῶν ἁγίων[12] πλησίον τῆς πόλεως, ἀπέτεμε καὶ τὰς τούτων κεφαλὰς ῥίψας αὐτοὺς ἐν τῷ ποταμῷ. Κούαρτος δὲ πρεσβύτερος ἐκ τοῦ κάστρου Καπούης, ὑπὸ θείου ἀγγέλου ὁδηγηθεὶς ἀπελθὼν ἔλαβε καὶ τὰ τούτων ἅγια λείψανα, Εὐσεβίου φημὶ καὶ Φήλικος, καὶ κατέθετο ταῦτα ἐν ἐπισήμῳ τόπῳ, εἰς δόξαν Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος. — 3. — **Mv** : 1. — Ἰουλιανοῦ καὶ Καισαρείου. — 3. — **Mb** : 1. 2. — Ἰουλιανοῦ καὶ Καισαρείου. — 3. — **Mr** : 1.

Oct. 8. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 8. — **H** : 2. 3. 4. 5. — **P** : 2 : Πελαγίας τῆς ἐν Ταρσῷ τῆς Κιλικίας ἐπὶ Διοκλητιανοῦ βασιλέως. — 3 : ἑτέρας Πελαγίας ἐν Ἀντιοχείᾳ ἐπὶ Νουμεριανοῦ βασιλέως, ἥντινα καὶ ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. — 4. 5. 8 : τῶν ἁγίων μαρτύρων γυναικῶν Ἄννης καὶ Ἐλισάβετ (cf. Oct. 9[4]). — **F** : 1. 4. 5. 8 : Ἄννης καὶ Ἐλισάβετ. — **Fa** : 1. 4. 5. 8. — **Fb** : 1. 4. 5. 8. — **B** : 3. 1. — **Ba** : 1 (= S). 4. 5 (= S). — **Bb** : 3. 1. 5. — **T** : 1. — **O** : 1 : Πελαγίας τῆς ἀπὸ ἑταιρίδων. Αὐτὴ ἦν ἐκ πόλεως Ἀντιοχείας οὐκ ἐπαινούμενον οὐδὲ σώφρονα ζηλώσασα βίον, ἀλλὰ ταῖς

— [3] ἐν κώμῃ Mv. — [4] Ταρακηνῇ Mv, Τερρακίνα *Passio, l. c., p. 106.* — [5] *om.* Mv. — [6] δὲ *add.* Mv. — [7] Mv, ἐβάπτισεν αὐτὸν Mv. — [8] τὴν ψυχὴν εἰς χεῖρας Θεοῦ Mv. — [9] δηχθεὶς Mv. — [10] σχεδὸν νεκρὸν Mv. — [11] Φίληξ M, Mv *et deinceps.* — [12] τῶν ἁγίων λείψανα Mv.

Oct. 8. τῆς ἀπὸ Ταρσοῦ. Αὕτη ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Ταρσοῦ τῆς Κιλικίας. Ἀκούσασα δὲ περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ τὸν ἐπίσκοπον ὄναρ ἰδοῦσα (Λῖνος δὲ ἦν οὗτος ὁ μέγας) βαπτίζοντα καὶ ἐπιστρέφοντα πολλοὺς τῶν ἑλλήνων, ἐπόθει τοῦτον καὶ κατ' ὄψιν ἰδεῖν. Ἀπολυθεῖσα οὖν παρὰ τῆς μητρὸς ἀπελθεῖν πρὸς τὴν τροφὸν αὐτῆς, πρὸς τὸν ἐπίσκοπον παρεγένετο. Ὁ δὲ ἐκ θείας ἐπιπνοίας προσεδέξατό τε αὐτὴν καὶ κατήχησε καὶ ἐβάπτισεν. Οὗ τοῖς ποσὶ προθεῖσα ἣν ἐνεδέδυτο πολύτιμον στολήν, μετὰ τῶν ἐνδυμάτων τοῦ βαπτίσματος πρὸς τὴν τρο|φὸν ἐπανήει. f. 49. Μὴ προσδεχθεῖσα δὲ παρ' αὐτῆς ἀλλ' ἀποπεμφθεῖσα ὡς πενιχρὰ περιβεβλημένη καὶ τὴν θρησκείαν ἀλλάξασα, μετὰ ταῦτα ἀπῆλθε πρὸς τὴν μητέρα. Ἡ δὲ ἰδοῦσα τὴν στολὴν αὐτῆς ταπεινὴν καὶ γνοῦσα τὰ τελεσθέντα, δραμοῦσα μετ' ὀδυρμῶν πάντα τῷ υἱῷ τοῦ βασιλέως ἀπήγγειλεν, ὃς αὐτὴν ἀγαγέσθαι εἰς γυναῖκα ἐζήτει. Ὁ δὲ γενόμενος ὅλος τοῦ πάθους διὰ τὸν ἔρωτα ἑαυτὸν ἀνεῖλεν. Ὡς δὲ ἡ αἰτία τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ τῷ Διοκλητιανῷ ἐδηλώθη, παραυτίκα μετ' ὀργῆς μεταστειλάμενος τὴν παρθένον καὶ μεταθεῖναι ἀπὸ τῆς εἰς Χριστὸν πίστεως μὴ δυνηθείς, ταῦρον χαλκοῦν ἐκπυρώσας τὴν ἁγίαν εἰς τοῦτον ἐνέβαλεν· ἐν ᾧ ἅμα[1] τὸ τέλος καὶ τὸν στέφανον τῆς ὁμολογίας ἐδέξατο. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς πέραν, πλησίον τοῦ ἁγίου ἱερομάρτυρος Κόνωνος.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρας Πελαγίας παρθένου τῆς ἐν Ἀντιοχείᾳ. Αὕτη ἦν ἐπὶ Νουμεριανοῦ βασιλέως ἐξ Ἀντιοχείας τῆς Συρίας, γένους ἐνδόξου, περιουσίαν πολλὴν κεκτημένη, παρθένος καταβιοῦσα· διαβληθεῖσα[1] δὲ πρὸς τὸν ἄρχοντα ὡς εἴη χριστιανὴ καὶ ἀποστείλαντος[2] αὐτοῦ ταύτην ἀγαγεῖν, αἰσθομένη καὶ περὶ τῆς παρθενίας δείσασα, μή τι πάθῃ ἀνάξιον εἰς τὸ σῶμα παρὰ τῶν ἀπαξόντων στρατιωτῶν ὑβρισθεῖσα, ἐδεήθη τοῦ Θεοῦ μὴ παραδοθῆναι τοῖς στρατιώταις ἀλλὰ πρὸ τοῦ συλληφθῆναι πρὸς αὐτὸν ἀπελθεῖν ἁγνὴ καὶ καθαρά. Οὕτως οὖν εὐξαμένη καὶ κοσμίως ἑαυτὴν περιστείλασα, ἀπέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ. Ὁ δὲ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ταύτην τιμήσας, λέγει ὅτι κατὰ τοῦ κρημνοῦ ἔβαλεν ἑαυτὴν ἀπὸ τῆς θυρίδος, ἑλομένη μᾶλλον ἀδόξως ἀποθανεῖν ἢ συληθῆναι τὴν παρθενίαν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Ταησίας τῆς ποτε πόρνης. Αὕτη ἐκ παιδὸς παρὰ τῆς ἰδίας[1] μητρὸς ἐργαστήριον κατέστη τοῦ διαβόλου. Παρὰ δὲ Παφνουτίου τοῦ Σιδωνίου ἀγρευθεῖσα καὶ τελείαν πληροφορίαν λαβοῦσα ὅτι ἐστὶ μετάνοια, πάντα τὰ προσόντα αὐτῇ πυρὶ | κατέκαυσεν ὑπάρχοντα λιτρῶν τετρακοσίων. f. 49v. Καὶ ἐγκλείσασα ἑαυτὴν ἔν τινι κελλίῳ, δακρύουσα καὶ στενάζουσα ἐκ βάθους καρδίας ἔλεγεν· « Ὁ πλάσας με ἐλέησόν » με. » Ἐν τούτοις διετέλεσεν ἔτη τρία. Ἐκεῖθέν τε ἐξελθοῦσα κελεύσει τοῦ ἀββᾶ μετὰ δεκαπέντε ἡμέρας ἐτελειώθη.

2. — [1] τε *add.* Sa.
3. — [1] διαβληθείσης S. — [2] ἀποστείλαντες Sa.
4. — [1] οἰκείας Sa.

Oct. 8. ὀρχήστραις καὶ ταῖς θεατροσκοπίαις[1] σχολάζουσα καὶ παρευδοκιμοῦσα καὶ δημοσίᾳ παλλακευομένη τῇ πόλει καὶ πολὺν πλοῦτον συναγαγοῦσα ἐκ τῆς ἀνοσίου ταύτης καὶ μυσαρᾶς ἐργασίας. Ἐπεὶ δέ ποτε Νόννου τοῦ ἐπισκόπου διήκουσεν τῆς διδασκαλίας, τὸ συνειδὸς ἀνέπτυξεν ἑαυτῆς· καὶ προσελθοῦσα αὐτῷ καὶ καταναγκάσασα τὸ ἅγιον δέχεται βάπτισμα· ἔνθα τοῦ διαβόλου ἐκκαλουμένου ἐπὶ ταῖς προτέραις ἡδυπαθείαις αὐτὴν καὶ τοῦ πλούτου ἀναμιμνήσκοντος, ἐπιτιμήσασα αὐτῷ φυγάδα αὐτὸν καὶ δραπέτην κατέστησεν. Ἀποδυσαμένη δὲ μεθ' ἡμέρας ὀκτώ, καθὼς ἔθος, τὰς ἐμφωτίους ἐσθῆτας καὶ περιστείλασα ἑαυτὴν τριχίνοις ὑφάσμασιν καὶ εἰς ἄνδρα σχηματισθεῖσα, τὸ ὄρος κατέλαβε τῶν ἐλαιῶν καὶ ἐν αὐτῷ μικρὸν οἰκίσκον πηξαμένη συνέκλεισεν ἑαυτὴν καὶ τὸ λειπόμενον τῆς ζωῆς ἐν ἁγνείᾳ καὶ καρτερίᾳ καὶ ἀποχῇ πάντων τῶν κατ' αἴσθησιν ἡδονῶν διανύσασα, ἀνεπαύσατο ἐν Κυρίῳ. — **G** : 1. 5. — **C** : 2. 3. 1. 5. 4. — **Cb** : 2. 3. 1. 4. 5. 8. — **Cc** : 2 : Πελαγίας. Ἡ ἁγία μάρτυς Πελαγία ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Ταρσοῦ τῆς Κιλικίας. Λίνου[2] δὲ τοῦ ἐπισκόπου πολλοὺς τῶν ἑλλήνων βαπτίσαντος, ἡ ἁγία Πελαγία ὁρᾷ κατ' ὄναρ τὸν χαρακτῆρα τοῦ ἐπισκόπου παρακαλοῦντα αὐτὴν πρὸς τὸ βάπτισμα· καὶ αἰτήσασα τὴν μητέρα ὡς δῆθεν πρὸς τὴν τροφὸν ἀπελθεῖν, ἀπῆλθε πρὸς τὸν ἐπίσκοπον καὶ ἐβαπτίσθη· καὶ μετὰ τὸ βαπτισθῆναι, παρέθετο τῷ ἐπισκόπῳ τὴν πολυτίμητον αὐτῆς στολὴν τοῦ δοῦναι τοῖς πτωχοῖς καὶ ἐλθοῦσα πρὸς τὴν τροφὸν μετὰ τῶν ἐνδυμάτων τοῦ βαπτίσματος, οὐκ ἐδέχθη. Εἶτα ἀπῆλθε πρὸς τὴν μητέρα· ἥτις ἰδοῦσα τὴν ταπεινὴν στολὴν ὠδύρετο καὶ ἀνήγγειλε τῷ υἱῷ τοῦ Διοκλητιανοῦ τῷ θέλοντι αὐτὴν εἰς γυναῖκα, ὅτι γέγονε χριστιανή. Ὁ δὲ λυπηθεὶς ξίφει ἑαυτὸν ἀνεῖλεν. Ὁ δὲ πατὴρ αὐτοῦ Διοκλητιανὸς κρατήσας αὐτὴν ἐνέβαλε χαλκῷ βοΐ πυρωθέντι καὶ ἀνεῖλεν αὐτήν. — 3 : ἑτέρας Πελαγίας. Ἡ ἁγία αὕτη Πελαγία ἦν ἐπὶ Νουμεριανοῦ τοῦ βασιλέως ἀπὸ Ἀντιοχείας τῆς Συρίας, γένους ἐνδόξου. Καὶ μαθὼν ὁ ἡγεμὼν τῆς πόλεως ὅτι χριστιανή ἐστιν, ἀπέστειλε στρατιώτας τοῦ κρατῆσαι αὐτήν. Οἱ δὲ πορευθέντες περιεκύκλωσαν τὸν οἶκον αὐτῆς, βουλόμενοι τοῦ ἁρπάσαι αὐτήν. Μαθοῦσα δὲ τοῦτο ἡ ἁγία, παρεκάλεσε μικρὸν περιμεῖναι ἕως ἂν ἐνδυσαμένη κατέλθῃ. Τῶν δὲ πεισθέντων ἐπὶ τῇ ὑποσχέσει ἐκείνῃ, σταθεῖσα κατὰ ἀνατολὰς ἐν τῷ τόπῳ ἐν ᾧ εἰώθει προσεύχεσθαι, ἀνατείνασα τὰς χεῖρας καὶ τοὺς ὀφθαλμοὺς ἄρασα εἰς τὸν οὐρανόν, προσηύξατο πρὸς τὸν Θεὸν ἐπὶ πολὺ τοῦ μὴ παραδοθῆναι τοῖς στρατιώταις, ἀλλὰ πρὸ τοῦ κρατηθῆναι πρὸς αὐτὸν ἀνελθεῖν καθαρά. Καὶ ταῦτα εἰποῦσα καὶ σεμνῶς περιστείλασα ἑαυτήν, ἀπέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ. Μαθὼν δὲ ταῦτα ὁ ἡγεμών, ἐθαύμασε. — 1 : Πελαγίας τῆς ἀπὸ ἑταιρίδων. Ὁ ἁγιώτατος πατριάρχης Ἀντιοχείας τῆς

[1] θεατροκοπίαις O. — [2] κλίνου Cc.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀρτέμωνος. Ὃς ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως πρεσβύτερος τῆς κατὰ Λαοδίκειαν ἐκκλησίας, γηραιὸς ἤδη καὶ ἐπανθοῦσαν ἔχων τὴν πολιάν. Εἰσελθὼν δὲ μετὰ Σισιννίου τοῦ ἐπισκόπου ἐν τῷ τῶν εἰδώλων ναῷ, τὸ τοῦ Ἀπόλλωνος κατέστρεψεν ἄγαλμα· ὁμοίως καὶ τὸ τοῦ Ἀσκληπιοῦ συνέτριψε ξόανον καὶ τοὺς ἐν αὐτῷ δράκοντας ἠφάνισε. Φασὶ γὰρ αὐτοὺς εἴκοσι πήχεις ἔχειν τὸ πλάτος καὶ τὸ μῆκος ὀγδοήκοντα· διὰ τοῦτο τὰς σάρκας αὐτοῦ σιδήροις κατατέμνεται καὶ ἐν ἐσχάρᾳ πυρακτωθείσῃ ὀπτᾶται. Ταύτης δὲ ἀπαθὴς διανίσταται· καὶ ταῦτα ἐπῆγον τῷ ἁγίῳ οἱ ἀλιτήριοι, καίπερ δορκάδος ἑπομένης αὐτῷ καὶ φωνῇ ἀνθρωπίνῃ ἐλεγχούσης τὴν τῶν παρανόμων ὠμότητα. Ὁ δὲ ἅγιος, ἐν ᾧ ἦν ἱστάμενος τόπῳ ἐξαίφνης πηγῆς ἀναδοθείσης, τοὺς παρατυχόντας βαπτίσας αὐτίκα ἀνεπαύσατο ἐν Κυρίῳ. Oct. 8.

6. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Νικοδήμου.

7. Καὶ τῆς ἁγίας Πετρωνίας τῆς θυγατρὸς τοῦ ἁγίου Πέτρου τοῦ ἀποστόλου.

8. Καὶ ἄθλησις ἑτέρων γυναικῶν τινων ἁγίων.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

1. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου· ὃς ἦν ἀδελφὸς Ματθαίου τοῦ τελώνου καὶ εὐαγγελιστοῦ. Οὗτος ὁ ἀπόστολος ἐξελθὼν εἰς τὸ κήρυγμα πάντα τὰ τῶν εἰδώλων τεμένη ζήλῳ θείῳ πυρποληθεὶς κατέστρεψε, νόσους ἀπελάσας[1] καὶ δαίμονας ἐξ ἀνθρώπων δραπετεύσας καὶ ἄλλα μυρία ἐργασάμενος θαύματα· διὸ καὶ ἡ πληθὺς τῶν ἐθνῶν σπέρμα θεῖον αὐτὸν ὠνόμασε[2]. Διαδραμὼν οὖν τὴν σύμπασαν ὡς ἐραστὴς τοῦ Χριστοῦ, οὗ καὶ τὸ πάθος καὶ τὸν θάνατον ἐζήλωσεν καὶ τοὺς ἀπαιδεύτους δήμους τῶν Ἰουδαίων κατελέγχων, ὑπ' αὐτῶν ἐπιβουλευθεὶς καὶ κρατηθεὶς σταυρῷ προσπήγνυται, καὶ αὐτίκα τῷ[3] Θεῷ τὸ πνεῦμα παρατίθεται. Oct. 9.

f. 50. | **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰουβεντίνου καὶ Μαξίμου[1]. Οὗτοι ἦσαν ἐπὶ τοῦ δυσσεβοῦς Ἰουλιανοῦ τοῦ παραβάτου ἀσπιδιφόροι τῷ βασιλεῖ διὰ τὴν τάξιν πεζοὶ παρεπόμενοι. Οὓς ἡδέως ἑώρα, διά τε τὸ ἀεὶ πλησιάζειν αὐτῷ καὶ διὰ τὴν τοῦ σώματος ἀκμὴν καὶ χάριν, ἦσαν γὰρ καὶ[2] ἡλικίᾳ καὶ μεγέθει σώματος διαπρέποντες. Τοῦ οὖν ἀποστάτου διὰ πάσης μεθοδείας τοῖς χριστιανοῖς πολεμοῦντος καὶ τοῖς μὲν φανερῶς[3] ἐπιχειροῦντος, τοὺς δὲ ἀφανῶς μιαίνειν σπουδάζοντος (καὶ γὰρ καὶ πηγὰς καὶ τὸν ἀέρα καὶ τὰ κατὰ τὴν ἀγορὰν ὤνια τῷ ἐκ τῶν θυσιῶν μιάσματι ἐπέρραινεν[4]), ἐπεὶ πρὸς ταῦτα Ἰουβεντῖνος καὶ Μάξιμος δυσχεραίνοντες ἔν τινι συμποσίῳ θερμότερον διατεθέντες πρὸς τὸν Θεὸν ὠλοφύροντο· « Παρέδωκας ἡμᾶς, λέγοντες, βασιλεῖ παρανόμῳ » καὶ ἀποστάτῃ », κατεμηνύθησαν παρά τινος τῶν συνεσθιόντων αὐτοῖς· καὶ παρὰ τοῦ βασιλέως ἀνακριθέντες καὶ τὸν Χριστὸν ὁμολογήσαντες καὶ τοὺς τοῦ μακαρίτου Κωνσταντίνου νόμους οἷς ἐτράφησαν[5] ὑπερεπαινέσαντες[6], καὶ τὰ ὑπ' αὐτοῦ παρανομούμενα διασύραντες καὶ καταστενάξαντες τῶν ὑπ' αὐτοῦ ἀπολομένων ψυχῶν, πολλῶν βασάνων[7] πεῖραν λαβόντες, ὕστερον τὰς κεφαλὰς ξίφει ἐτμήθησαν. Τούτους καὶ ὁ μακάριος Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησε.

1. — [1] ἀποδιώκειν Sa. — [2] ὠνόμασεν αὐτὸν Sa. — [3] *om.* Sa.
2. — [1] Ἰουβεντίνου καὶ Μαξίμου S, Sa, B, Theodoretus, H. E., *III, 15, in lemmate, alias* Ἰοβεντῖνος (Ἰωβεντῖνος), Μαξιμῖνος Gaisford, *pp. 269, 272* ; Ἰουβεντῖνος, Μαξιμῖνος, Chrysostomus, Montfaucon, *t. II, p. 578.* — [2] *om.* Sa. — [3] φοβερῶς Sa. — [4] ὑπέρραιρεν Sa. — [5] ἐνετράφησαν Sa. — [6] αὐτὸν δὲ ὡς σίελον καὶ βδέλυγμα βδελυξάμενοι *add.* Sa. — [7] βασάννων S.

Oct. 8. Συρίας μετεκαλέσατο τοὺς ἑαυτοῦ ἐπισκόπους διά τινα χρείαν ἐκκλησιαστικήν· ἐν οἷς ἦν καὶ Νόννος ὁ ἁγιώτατος ἐπίσκοπος. Καθημένων οὖν αὐτῶν καὶ διδασκομένων παρὰ τοῦ ἁγίου Νόννου, ἰδοὺ γυνή τις πόρνη διήρχετο ὀνόματι Πελαγία μετὰ τοῦ ὀψικίου αὐτῆς καὶ μετὰ φαντασίας πολλῆς καὶ δόξης, κοσμουμένη χρυσῷ καὶ λίθοις καὶ μαργαρίταις, ὥστε καὶ τὸν ἀέρα πληροῦσθαι ἐκ τῆς ὀσμῆς τοῦ μόσχου. Καὶ οἱ μὲν ἄλλοι ἐπίσκοποι ἰδόντες ἀπέστρεφον τὰς ὄψεις αὐτῶν. Ὁ δὲ Νόννος ὁρῶν αὐτὴν τοῖς τῆς διανοίας ὀφθαλμοῖς ὅτι μέλλει γενέσθαι σκεῦος ἐκλογῆς, προσεῖχεν αὐτῇ ὥστε καὶ μετὰ τὸ παρελθεῖν στραφῆναι καὶ τηρεῖν αὐτήν· εἶτα θεὶς τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τὰ γόνατα ἔκλαυσε καὶ εἶπε τοῖς ἐπισκόποις ὅτι ταύτην ὁ Θεὸς μέλλει προσλαβέσθαι. Μετὰ τοῦτο προετράπη ὁ Νόννος διδάξαι τὸν λαὸν ἐν τῇ ἐκκλησίᾳ. Συνῆν δὲ τοῖς ἀκροαταῖς καὶ ἡ Πελαγία· καὶ ἀκούσασα κατενύγη καὶ ἀπελθοῦσα ἐβαπτίσθη καὶ τὴν οὐσίαν αὐτῆς διέδωκε τοῖς πτωχοῖς. Εἶτα φορήσασα σχῆμα ἀνδρεῖον, ἀπῆλθεν εἰς τὰ Ἱεροσόλυμα καὶ ἐμόνασε καὶ πολλῶν θαυμάτων καταξιωθεῖσα, οὕτως καταλύει τὸν βίον. — 5. 4. — Καὶ Ἀρτέμονος. — **M** : 1. 3. 2. 4. 5. — **Mv** : 1. 3. 2. 4. 5. — **Mb** : 1. 3. 2. 4. 5. — **Mr** : 1.

Oct. 9. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 8. 9. 10. 11. 12. — **H** : 4. 2. 10. 5. 6. 3. — **P** : 2. 3. 10. 5. 6. 12. — **F** : 1. 5. 2. 3. 12. — **Fa** : 1. 5. 2. 3. 12. — **Fb** : 1. 5. 2. 3. 12. — **B** : 2. 3. 10. 1. — **Ba** : 1 (= S). 2. 3. 10. — Διοδώρου καὶ Διδύμου. Οὗτοι οἱ ἅγιοι, ἀκμαζούσης τῆς ἐν Λαοδικείᾳ[1] λατρείας τῶν εἰδώλων, τῇ τοῦ Χριστοῦ πίστει ἐστηριγμένοι ἀπερίτρεπτοι διέμειναν, ἀγόμενοι καὶ περιαγόμενοι, δεσμωτήρια οἰκοῦντες καὶ πικραῖς τιμωρίαις ὑποβαλλόμενοι, ἐπὶ ξύλου ἀναρτώμενοι[2] καὶ τὰς πλευρὰς ξεόμενοι σιδηροῖς ὄνυξι· τὸ δὲ τελευταῖον τῷ πυρὶ ἐναπορριφέντες σὺν εὐχαριστίᾳ πολλῇ τὰς θεολόγους αὐτῶν ψυχὰς τῷ Θεῷ παρέδωκαν (Sept. 11[3]). — 12 : Πέτρου τοῦ θαυματουργοῦ. Οὗτος ὁ ἅγιος ὑπῆρχεν ἐκ τῆς Γαλατικῆς ἐπαρχίας, κώμης λεγομένης Γήνα ὑπὸ τὴν μητρόπολιν

[1] Λαοδικία Ba. — [2] ἀναρτούμενοι Ba.

Oct. 9. **3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ὁσίας Πουπλίας τῆς διακόνου ἐν Ἀντιοχείᾳ. Καὶ αὕτη ἡ μακαρία Πουπλία ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἦν [1], τὸ πρότερον μὲν γάμου μικρὸν κοινωνήσασα καὶ καρπὸν ἄξιον τῷ Θεῷ προσενέγκασα τὸν πρεσβύτερον Ἰωάννην. Ὃς πολλάκις τῆς ἐκκλησίας προέστη, ἀεὶ δὲ τὴν ἡγεμονίαν δι' ἄκραν ταπείνωσιν ἔφευγε. Ῥίζης δὲ ἀγαθῆς ἡ μακαρία Πουπλία καθεστηκυῖα, ἐν τοῖς χρόνοις Ἰουλιανοῦ, χοροῦ τινος παρθένων ἐξῆρχεν ἀνακειμένων Θεῷ. Ἐπιδημοῦντα οὖν τὸν βασιλέα καὶ δεισιδαιμονίαν πολλὴν περὶ τὰ εἴδωλα κεκτημένον <ἰδοῦσα [2]> καὶ πάντας βουλόμενον τοῖς δαίμοσι σέβας προσάγειν καὶ πρὸς τοὺς ἀντιλέγοντας δυσχεραίνοντα καὶ χαλεπῶς αὐτοὺς αἰκιζόμενον, ἡ μακαρία παριόντα [3]
f. 50ʳ. αὐτὸν οὐκ ἔπτηξεν [4], ἀλλὰ γεγωνότερον | τὰς συνήθεις ὑμνῳδίας μετὰ τῶν παρθένων ἔψαλλε καὶ τοὺς ψαλμοὺς ἐκείνους ἐπῇδεν, οἳ τῶν εἰδώλων τὴν ἀσθένειαν κωμῳδοῦσι καὶ μετὰ τοῦ Δαυῒδ ἔλεγε·
Ps. 134, 15, 18. « Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, » ἔργα χειρῶν ἀνθρώπων. » Καὶ προσετίθει· « Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ » πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. » Τούτων ὡς ἅπαξ καὶ δὶς ὁ Ἰουλιανὸς διερχόμενος ἤκουσε καὶ παραινέσας ὅλως ἀποστῆναι [5] τῆς θεοσεβείας ἢ ἐν τῷ γε παριέναι αὐτὸν μὴ κατεπᾴδειν τοιαῦτα, ὡς οὐκ ἔπειθε, χαλεπήνας τοῦ τοιούτου χοροῦ τὴν ἐξάρχουσαν ἀχθῆναι προσέταξεν. Ἀχθείσης δὲ τῆς μακαρίας Πουπλίας, πλήρης ὢν μανίας, ἐκέλευσε κατὰ τῶν παρειῶν ταύτην τύπτεσθαι, μὴ αἰδεσθεὶς τὴν ἐπανθοῦσαν αὐτῇ πολιὰν καὶ τὴν τοῦ προσώπου σεμνότητα. Τυφθεῖσα δὲ ἐπὶ τοσοῦτον ὥστε τὰς παρειὰς αὐτῆς φοινιχθῆναι τῷ αἵματι καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσασα καὶ τῇ προαιρέσει μάρτυς γενομένη, ἀφείθη μὲν τῷ τέως τοῦ θανάτου αὐτῇ ταμιευομένου ἐν τῷ ὑποστρέφειν τὸν παραβάτην [6]. Αὕτη δὲ μετὰ τὸ ἀφεθῆναι, τῆς συνήθους ψαλμῳδίας ἐχομένη, ἢ τὰ τῶν εἰδώλων διέσυρε, καὶ ἐνιαυτὸν ἕνα διαρκέσασα, ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπεν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων [1] Ἄννης καὶ Ἐλισάβετ καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν [2] σύναξις ἐν τῷ ἐξαέρῳ οἴκῳ τῆς παναχράντου [3] δεσποίνης ἡμῶν Θεοτόκου τῷ ὄντι ἐν τοῖς Κύρου.

5. Καὶ μνήμη Ἀβραὰμ [1] πατριάρχου καὶ Λὼτ τοῦ ἀνεψιοῦ αὐτοῦ.

6. Ἰάσωνός τε ἐπισκόπου Δαμασκοῦ.

7. Καὶ τῶν ἁγίων Φλορεντίου [1] καὶ Διοκλητιανοῦ.

8. Καὶ ἄθλησις Στρατονίκου [1] καὶ Σελευκίας τῆς τούτου συζύγου· οἳ τὸ γένος εἷλκον [2] ἐξ Ἀντιοχείας.

9. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Νικομήδους.

10. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Δωροθέου ἀρχιεπισκόπου πόλεως Τύρου. Οὗτος ὁ ἀοίδιμος ἀνὴρ πᾶσαν γραφικὴν ἐπιστάμενος ἱστορίαν, ἐπίσκοπος γέγονε Τύρου. Καὶ ἦν μὲν φυγὼν διὰ τὸν διωγμόν· μετὰ δὲ τελευτὴν Διοκλητιανοῦ καὶ Λικινίου [1] καταλαβὼν πάλιν τὴν Τύρον, διεκυβέρνα τὴν τοῦ Θεοῦ ἐκκλησίαν μέχρις Ἰουλιανοῦ τοῦ | παραβάτου. Καὶ ἐπειδὴ οὐ φανερῶς ἀλλὰ κρυπτῶς τὸ πρότερον διὰ τῶν ἀρχόντων αὐτοῦ ἐφόνευσεν ὁ Ἰουλιανὸς τοὺς χριστιανούς, ἀκούσας ὁ ἅγιος Δωρόθεος ἀνεχώρησεν ἐκ τῆς Τύρου καὶ κατέλαβε [2] τὴν Θρᾴκην. Ἀλλ' οὐδὲ ἐκεῖ τὸν ἐκ τῶν εἰδωλολατρῶν θάνατον διέφυγε. Κρατηθεὶς γὰρ παρὰ τῶν τοῦ παραβάτου ἀρχόντων καὶ πολλὰς τιμωρίας ὑπομείνας καίτοι γέρων ὢν καὶ ἑκατὸν ἑπτὰ ἐτῶν, ἐν αὐταῖς ταῖς βασάνοις διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ἀπέθανε, πολλὰ καὶ ψυχωφελῆ συγγράμματα πρότερον συνθεὶς καὶ καταλιπών. f. 51.

11. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Γαυδεντίου τοῦ ἐκ Μακεδονίας τῆς Φιλίπ-

3. — [1] (ἐν - ἦν) αὕτη ἡ μακαρία ἐν Ἀντιοχείᾳ τῇ πόλει ἦν ἐπὶ τοῦ παραβάτου Ἰουλιανοῦ Sa. — [2] ἰδοῦσα Sa, *om.* S. — [3] παρόντα Sa. — [4] ἔστιξεν Sa. — [5] ἀποστῇ Sa. — [6] βασιλέα Sa.
4. — [1] τῆς ἁγίας μάρτυρος Sa. — [2] τούτων Sa. — [3] παναγίας ἀχράντου Sa.
5. — [1] τοῦ *add.* Sa.
7. — [1] Φλωρεντίου Sa.
8. — [1] Στρατωνίσκου Sa. — [2] εἶχον Sa.
10. — [1] Λικιννίου S, Sa. — [2] ἐκατέλαβε Sa.

Oct. 9. Γάγγραν, Θεοφίλου καὶ Εὐδοκίας υἱός, Λέων τῷ ἁγίῳ βαπτίσματι ὀνομασθείς. Διὰ δὲ τὸ ὡραῖος εἶναι καὶ περικαλλὴς καὶ εὐμεγέθης, κόμης ζώννυται τῷ κε' αὐτοῦ χρόνῳ ὑπὸ τοῦ θεομισοῦς βασιλέως Θεοφίλου ἐκλεγεὶς καὶ καταταγεὶς εἰς τὸ τῶν ἐξσκουβιτόρων [3] τάγμα καὶ ἰδὼν τὰ τοῦ βίου ἄστατα καὶ ἀνωφελῆ, τὴν μονὴν τοῦ Δαφνεῶνος καταλαβών, τὴν κόμην ἐκείρατο καὶ Πέτρος ὀνομασθεὶς ἐν τῷ Ὀλύμπῳ γεγονὼς πολλοῖς ἀγῶσιν <ἑαυτὸν [4]> ἐξέδωκε, δι' ἑβδομάδος καὶ δύο καὶ τριῶν νηστεύων. Ἐκεῖθεν πρὸς τοὺς ἁγίους τόπους ὥρμησεν, ἐκεῖθεν ἐπὶ Κύπρον, εἶτα εἰς Λαοδίκειαν [5], εἰς Ἀττάλειαν [6] καὶ πάλιν εἰς τὸ Ὀλύμπιον ὄρος. Ὅντινα Βασίλειος ὁ εὐσεβέστατος πολλὰ καθικετεύσας ἐπανελθεῖν ἐν ᾧ τόπῳ σήμερον λέγεται ἡ μονὴ τοῦ ἁγίου Φωκᾶ ἐν τῷ Στενῷ, κλήρῳ δωρεᾶς αὐτὴν αὐτῷ παρασχών, ἀδελφοὺς πρὸς τοὺς ρν' ἐν ταύτῃ ἀθροίσας καὶ πρὸς βαθὺ γῆρας ἐληλακὼς ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο σημείοις τε καὶ τέρασιν μέγιστος ἀναφανείς. — Μνήμη τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ τὸ δεύτερον συνελθόντων ἐπὶ τῶν εὐσεβῶν καὶ φιλοχρίστων ἡμῶν βασιλέων Κωνσταντίνου καὶ Εἰρήνης κατὰ τῶν δυσσεβῶς καὶ ἀμαθῶς καὶ ἀπερισκέπτως τὴν ἐκκλησίαν τοῦ Θεοῦ εἰδωλολατρεῖν εἰπόντων καὶ τὰς ἁγίας εἰκόνας διαβαλλόντων [7] ἀναθεματίσθησαν. Δεῖ εἰδέναι ὅτι ἐν κυριακῇ τελεῖται ἡ μνήμη (Oct. 11⁵). — In marg.: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀνδρωνίκου καὶ τῆς ὁσίας μητρὸς ἡμῶν Ἀθανασίας τῆς συζύγου [8] αὐτοῦ, οἵτινες πᾶσαν ἄσκησιν διελθόντες ἐν γήρᾳ

— [3] ἐξουβιτώρων Ba. — [4] *om.* Ba. — [5] Λαοδίκιαν Ba. — [6] Ἀττάλιαν Ba. — [7] *aliquid excidisse videtur.* — [8] συνζύγου Ba.

που. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Νέρωνος, διὰ δὲ τὸ κήρυγμα πολλὰς βασάνους ὑπομείνας τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι.

12. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου. Οὗτος ὁ μακάριος ἦν ἐπὶ τῆς βασιλείας Θεοφίλου ὁρμώμενος ἐκ τῆς [1] Γαλατῶν ἐπαρχίας, γέννημα Θεοφίλου καὶ Εὐδοκίας, κάλλει [2] καὶ μεγέθει καὶ ῥώμῃ σώματος σεμνυνόμενος. Ὃς διὰ τό γε τοῦτο [3] κόμης ὑπὸ τοῦ βασιλέως ζώννυται· διαπρέψας δὲ ἐν τῇ στρατείᾳ χρόνον οὐχὶ συχνόν, πάντων καταφρονήσας, τὸν μονήρη βίον μετέρχεται, τὴν κόμην ἔν τινι μοναστηρίῳ Δαφνεῶνα προσαγορευομένῳ κειράμενος, καὶ Πέτρος ἀντὶ Λέοντος [4] ὀνομασθείς [5], ἔπειτα ἐν τῷ Ὀλύμπῳ γέγονεν. Εἶτα τοὺς ἁγίους τόπους κατείληφεν, εἶθ' οὕτως τὴν Λαοδίκειαν καὶ τὴν Ἀττάλειαν· πάντα δὲ πόνον τὸν ἀπὸ τῆς ὁδοιπορίας καὶ τῶν Ἰσμαηλιτῶν τὸν ἀπαίδευτον θυμὸν γενναίως ὑπενεγκών, αὖθις κατὰ τὸν Ὄλυμπον γίνεται. Ἐπεὶ δὲ τὸ τῆς πολιτείας αὐτοῦ καὶ ἀρετῆς ὕψος [6] βασιλεῦσι κατάδηλον γέγονε, πείθει αὐτὸν Βασίλειος ὁ βασιλεὺς ἐν τῇ μονῇ τοῦ ἁγίου Φωκᾶ παραγενέσθαι· ἐν ᾗ πολλὰ κατὰ Θεὸν ἀγωνισάμενος, ἐν εἰρήνῃ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο. Oct. 9.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Oct. 10. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐλαμπίου καὶ Εὐλαμπίας τῶν αὐταδέλφων. Οὗτοι ἐγένοντο ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Νικομηδείᾳ [1] τῇ πόλει ἐπὶ ἡγεμόνος Μαξίμου ἐν ὄρει [2] κρυπτόμενοι μετὰ πλήθους πολλῶν χριστιανῶν. Ὁ οὖν ἅγιος Εὐλάμπιος ἀπεστάλη παρὰ τῶν σὺν αὐτῷ πρὸς
f. 51ᵛ. τὴν πόλιν | Νικομήδειαν ὠνήσασθαι ἄρτους. Ὁ δὲ ἀπελθὼν καὶ ἰδὼν γράμματα προτεθειμένα τῶν βασιλικῶν διατάξεων καὶ ταῦτα ἀναγινώσκων, συνελήφθη καὶ παρὰ τοῦ βασιλέως ἐρωτηθεὶς ποίας δόξης ἐστίν, ὡμολόγησεν ἑαυτὸν εἶναι χριστιανόν. Ὅθεν ξέεται καὶ δι' εὐχῆς τὸ εἴδωλον τοῦ Ἄρεως [3] πεσεῖν καὶ συντριβῆναι ποιήσας εἰς τὴν ὁμοίαν παρρησίαν τὴν ἀδελφὴν ἐπεσπάσατο Εὐλαμπίαν· διὸ δεσμεῖται μετ' [4] αὐτῆς [5] καὶ ἐν τῷ ἐκκαέντι λέβητι ἅμα αὐτῇ βάλλεται. Καὶ τότε μὲν τοῦ πυρὸς διασώζονται, μεταποιηθέντος τοῦ βράσματος εἰς κρυστάλλου [6] ψυχρότητα, ὥστε [7] ἰδόντας ἄνδρας πλείους ἢ διακοσίους πιστεῦσαι τῷ Χριστῷ, οἳ καὶ τὰς κεφαλὰς ἀπετμήθησαν. Ὕστερον δὲ κρεμασθεῖσα ἡ ἁγία Εὐλαμπία ἐκ τριχῶν, ἐξέσθη· καὶ ὁ ἅγιος Εὐλάμπιος πάλοις ἐκταθεὶς ἐτύφθη· καὶ αὖθις εἰς κάμινον πυρὸς ἐμβληθέντες, ἐπεὶ τῆς καμίνου μεταποιηθείσης

12. — [1] τῶν *add.* Sa. — [2] τε *add.* Sa. — [3] ὃς δὲ αὐτὸ τε τοῦτο Sa. — [4] Λέοντα Sa. — [5] μετονομασθεὶς Sa. — [6] καὶ *add.* Sa.
1. — [1] Νικομηδίᾳ Sa. — [2] τινι *add.* Sa. — [3] Ἄρεος Sa. — [4] μετὰ Sa. — [5] ταύτης Sa. — [6] *corr.* S, κρυστάλου Sa. — [7] ὡς τοὺς Sa.

Oct. 9. καλῷ πρὸς Κύριον ἐξεδήμησαν (Mart. 2⁴). — **Bb** : 2. 3. 10. 1. — Διοδώρου καὶ Διδύμου. — 12. — Πατέρων τῶν ἐν Νικαίᾳ. — **T** : 1. — **O** : 1. 4. 2. — **G** : 1. 12. — **C** : 4. 2. 3. 10. — Διοδώρου καὶ Διδύμου. — 1. 5. 6. — **Cb** : 4. 2. 3. 10. — Διοδώρου καὶ Διδύμου. — 1. — **Cc** : 4. 2. 12. 3. 10. — Διοδώρου καὶ Διδύμου. — 1. 5. 6. — **M** : 1. 3. 12. 10. 5. — **Mv** : 1. — Ἀνδρονίκου καὶ Ἀθανασίας (Mart. 2⁴). — 3. 12. 10. 5. — **Mb** : 1. 3. 12. 10. 5. — **Mr** : 1. — Ἀνδρονίκου καὶ Ἀθανασίας.

Oct. 10. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. — Ἀκεψιμᾶ. — 2. — **P** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **Fb** : 1. 2. — **B** : 1. 2. 3. — **Ba** : 1. 2. — **Bb** : 1. 2. 3. — **T** : 1. — **O** : 1. 2 : τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ καὶ μνήμη τοῦ ὁσίου Βασιανοῦ· ἡ δὲ τούτων σύναξις τελεῖται ἐν τῷ εὐκτηρίῳ αὐτοῦ πλησίον τῆς ἁγίας Ἄννης. — **G** : 1. — **C** : 1. 2 : Ἀκεψιμᾶ καὶ μνήμη τοῦ ὁσίου Βασιανοῦ. — 3. — Φιλίππου τοῦ διακόνου (Oct. 11¹). — **Cb** : 1. 2 (Ἀκεψιμᾶ καὶ Βασιανοῦ). — 3. — **Cc** : 1. 2 (Ἀκεψιμᾶ καὶ Βασιανοῦ). — 3. — Φιλίππου. — **M** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν συναιρεθέντων τῷ ἁγίῳ Εὐλαμπίῳ. — 2. — Θεοφίλου τοῦ ὁμολογητοῦ. Οὗτος ὁ μακάριος πατὴρ ἡμῶν Θεόφιλος πρὸ τριῶν σταδίων Τιβεριουπόλεως γεννηθεὶς παρὰ εὐσεβῶν καὶ χριστιανῶν γονέων [1], τριετὴς ὢν τῷ ἁγίῳ βαπτίσματι ἀνεγεννήθη [2]· καὶ [3] λαβόντες αὐτὸν οἱ γονεῖς, ἀνέδραμον πρὸς τὸ Σελέντιον ὄρος· καὶ εὑρόντες τὸν ἅγιον [4] πατέρα ἡμῶν Στέφανον καὶ τὴν ἐκείνου εὐλογίαν δεξάμενοι, οἴκαδε ἀνεχώρουν. Ἔκτοτε οὖν σχολάζων ἦν ὁ παῖς τοῖς ἱεροῖς γράμμασιν. Εἰς τὸν [3] τρισκαιδέκατον δὲ φθάσας χρόνον, πρὸς τὸν ὅσιον [5] ἀνέδραμε Στέφανον. Ὃν καὶ ἰδών· « Τίνος χάριν, φησίν [3], ὦ τέκνον [6], πρὸς ἡμᾶς ἐλήλυθας; » Ὁ δὲ παῖς ἀπεκρίνατο· « Κέκληκάς με, πάτερ, καὶ ἀφεὶς τοὺς γονεῖς ἦλθον πρὸς σέ. » « Πότε, τέκνον, ὁ » ὅσιος ἔφη, καὶ τί σοι εἴρηκα; » Καὶ ὁ παῖς [7]· « Ἐν τῷ ἀγριδίῳ περιπολοῦντός μου [3] εἴρηκας· Τέκνον » Θεόφιλε, ἀπεμάκρυνας τὸν Κύριον τὸν [8] λέγοντα· Ἆρον τὸν σταυρόν σου, καὶ ἀκολούθει μοι. Ἐπὶ » τούτῳ πληγεὶς τὴν καρδίαν, ἠκολούθουν σοι μέχρι τοῦ πυλῶνος καὶ εὑρὼν αὐτὸν κεκλεισμένον, » ἐξῆλθες ἀπὸ τῶν ὀφθαλμῶν μου καὶ εὑρέθην μόνος· καὶ δοκεῖ μοι, πάτερ ἅγιε, ὡς τὸ πρόσωπόν σοι [8] » τῆς ὁμιλίας δίδωσί μοι ἐννοεῖν, οὐκ ἧς σὺ αὐτὸς [9] ὁ καλέσας με. Ἀλλὰ μὴ ἀποστρέψῃς τὸν δοῦλόν » σου ζητοῦντα τὴν σωτηρίαν. » Ὁ δὲ ὅσιος τῷ Θεῷ εὐχαριστήσας προσελάβετο τὸν παῖδα, ἀνάγων καὶ ἐκπαιδεύων τὴν τοῦ μονήρους βίου ἀκολουθίαν καὶ ἄσκησιν. Τριῶν οὖν ἤδη ἐνιαυτῶν παραδραμόντων [10], προσκαλεσάμενος ὁ ὅσιος τὸν τῆς λαύρας ἡγούμενον, παρέδωκε τὸν παῖδα. Καὶ ὃς λαβὼν τοῦτον ἀπέκειρεν ἐν τῇ ὑπ' αὐτὸν λαύρᾳ. Οἱ δὲ γονεῖς αὐτοῦ οὐκ ἠμέλουν ἀνερευνῶντες καὶ σπεύδοντες εἰς τὴν τοῦ κρυπτομένου ἀνεύρεσιν. Ὀψέ ποτε δὲ [11] μετὰ παραδρομὴν χρόνων τινῶν μαθόντες [12]

[1] εὐσεβῶν γονέων καὶ χριστιανῶν Mv. — [2] ἀναγεννηθεὶς M, Mv. — [3] *om.* Mv. — [4] ὅσιον Mv. — [5] ὁσιώτατον Mv. — [6] ἔφη *add.* Mv. — [7] καὶ ὁ παῖς *om.* Mv. — [8] μοι M. — [9] αὐτός συ Mv. — [10] παρῳχηκότων Mv. — [11] δὲ *hic om.* Mv. — [12] τὰ περὶ τοῦ παιδὸς μαθόντες Mv.

Oct. 10. εἰς δρόσον, ἔμειναν ἀβλαβεῖς, τὴν διὰ ξίφους ἀπόφασιν ἔλαβον. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι ἐν τοῖς Ἀδδᾶ[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιανοῦ. Ὃς ἐγένετο ἐπὶ Μαρκιανοῦ τοῦ εὐσεβεστάτου[1]· ὥρμητο δὲ ἐκ τῶν τῆς ἀνατολῆς μερῶν. Ἐξ ἁπαλῶν ὀνύχων καὶ[2] ἕως γήρως τῇ τῶν καλῶν ἐργασίᾳ ἐνδιατρίψας[3] καὶ πολλοὺς τόπους διαμείψας καὶ πλείστοις ὠφέλεια καὶ σωτηριώδης ὁδὸς γεγονὼς καὶ τὴν βασιλίδα τῶν πόλεων καταλαβών, μοναστήριον ἐν ταύτῃ ἐδείματο, Σευῆρόν[4] τινα ἔχων συνεφαπτόμενον αὐτῷ εἰς τὸ ἔργον καὶ Ἰωάννην ὑπατικόν. Ἐν ταύτῃ τῇ μονῇ καὶ ἡ τιμία Ματρώνα[5] ἀνδρεῖον[6] σχῆμα περιβαλομένη[7] εἰσελθεῖν ἐθάρσησε[8], καὶ μετὰ πολλῶν ἡμερῶν παραδρομὴν τῷ μακαρίῳ ἐγνώσθη. Τούτου τὴν ἔνθεον πολιτείαν οὐ μόνον ἄρχοντες κατεπλάγησαν ἀλλὰ καὶ βασιλεῖς ὑπερεθαύμαζον ἐρχόμενοι πρὸς αὐτὸν καὶ ὠφελείας τυγχάνοντες· ἐπληθύνθη δὲ καὶ ὁ ἀριθμὸς τῶν μαθητῶν αὐτοῦ μέχρι τῶν τριακοσίων. Αὐτὸς οὖν εἰς βαθὺ γῆρας ἐλάσας καὶ πλήρης ἡμερῶν γεγονὼς ἐν εἰρήνῃ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο μυρία θαύματα κατερ|γα- f. 52. σάμενος ζῶν τε καὶ μετὰ θάνατον. Οἷς ἐκπληττόμενος ὁ βασιλεὺς ναὸν ἐπ' ὀνόματι αὐτοῦ ἀνήγειρε πλησίον τῆς ἁγίας Ἄννης ἐν τῷ Δευτέρῳ, ἔνθα καὶ ἡ σύναξις αὐτοῦ ἐπιτελεῖται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰακώβου. Οὗτος γέγονεν ἀναχωρητὴς οἰκήσας ἔν τινι σπηλαίῳ δεκαπέντε ἔτη πλησίον Σαμαρείας τῆς πόλεως· ἐπὶ τοσοῦτον δὲ διέλαμψεν ἀρετῇ καὶ ἀσκήσει προκόψας ὡς καὶ κατὰ δαιμόνων ἐξουσίαν λαβεῖν τοῦ ἐκβαλεῖν[1] αὐτούς· διὸ πολλοὶ προσέτρεχον αὐτῷ. Ὁρῶν δὲ ὁ διάβολος ἐφθόνει[2] αὐτῷ, καὶ συγχωρήσαντος τοῦ Θεοῦ, περιέπεσε καὶ αὐτὸς πτώματί τινι. Εἰσελθὼν γὰρ[3] ὁ διάβολος εἰς θυγατέρα πλουσίου τινὸς ἀνδρός, παρεσκεύασεν αὐτὴν ἐπικαλεῖσθαι τὸν ἅγιον, ὥστε ἀναγκασθῆναι τοὺς γονεῖς τῆς κόρης καὶ ἐρευνῆσαι καὶ εὑρεῖν αὐτόν. Καὶ προσπεσὼν ὁ πατὴρ αὐτῆς παρεκάλεσεν ἐκβαλεῖν ἐξ αὐτῆς τὸ δαιμόνιον[4]· καὶ εὐξάμενος ἐξήλασε τὸν δαίμονα. Φοβηθέντες δὲ[5] μήπως ἐπιστρέψας[6] πάλιν εἰσέλθῃ[7] εἰς αὐτήν[8], ἀφῆκαν ἐκεῖ τὴν κόρην, μέχρις οὗ τελείως ὑγιάνῃ. Αὐτῶν δὲ ὑποχωρησάντων, ἤρξατο ὁ ἀσκητὴς πολεμεῖσθαι· καὶ ἡττηθεὶς συνῆλθε πρὸς συνουσίαν τῇ κόρῃ· καὶ προσθεὶς ἔτι ἐφόνευσεν αὐτὴν καὶ τῆς κέλλης ἐξελθὼν ἐπορεύετο. Εἶτα μεταγνοὺς εἰσῆλθεν εἰς τάφον καὶ τοσοῦτον διὰ μετανοίας ἑαυτὸν καθῆρε[9] τοῦ μύσους, ὥστε ἀβροχίας γενομένης καὶ αὐχμοῦ δεινοτάτου τῇ πρὸς Θεὸν αὐτοῦ προσευχῇ[10] τοῖς παραγενομένοις λαοῖς πρὸς αὐτὸν[11] λύσιν τοῦ αὐχμοῦ παρασχεῖν. Καὶ οὕτως ἐν πληροφορίᾳ τελείᾳ πρὸς τὸν[12] Θεὸν μεταβέβηκεν ὢν ἐτῶν[13] ἑβδομήκοντα πέντε.

— [8] Ἄδδα Sa.

2. — [1] βασιλέως *add.* Sa. — [2] καὶ *om.* Sa. — [3] διατρίψας Sa. — [4] Σεβῆρον Sa. — [5] Ματριῶνα S, Sa. — [6] ἀνδρῶν Sa. — [7] περιβαλλομένη Sa. — [8] ἐθάρρησε Sa.

3. — [1] ἐκβάλλειν Sa. — [2] ἐφθόνησεν Sa. — [3] δὲ Sa. — [4] τὸ δαιμόνιον ἐξ αὐτῆς Sa. — [5] οἱ τῆς παιδὸς πατέρες Sa. — [6] ὑποστρέψας Sa. — [7] εἰσέλθοι Sa. — [8] ὁ δαίμων *add.* Sa. — [9] ἐκάθηρε Sa. — [10] προσευχῇ αὐτοῦ Sa. — [11] τοῖς πρὸς αὐτὸν παραγενομένοις λαοῖς Sa, τοὺς ... λαοὺς S. — [12] *om.* Sa. — [13] ἐτῶν ὢν Sa.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Oct. 11. **1.** Μνήμη τοῦ ἁγίου ἀποστόλου Φιλίππου τοῦ ἐν ταῖς πράξεσιν ἐμφερομένου, ὃν καὶ εὐαγγελιστὴς ὁ θεῖος[1] Λουκᾶς ἀπεμνημόνευσεν. Οὗτος Καισαρεὺς ὢν[2] ἐκ Παλαιστίνης καὶ γάμῳ προσομιλήσας, τέσσαρας θυγατέρας προφητευούσας ἐκέκτητο. Αὐτὸς δὲ ὑπὸ τῶν ἀποστόλων ἐπὶ ταῖς διακονίαις[3] καταστὰς ἅμα Στεφάνῳ καὶ τοῖς λοιποῖς τὴν Σαμάρειαν ἐμαθήτευσε· καὶ Σίμωνα[4] τὸν μάγον ὑποκριθέντα ἐβάπτισεν· καὶ ὑπὸ ἀγγέλου ἁρπαγεὶς καὶ τὸν | Αἰθίοπα καταλαβὼν εὐνοῦχον καὶ βαπτίσας f. 52v. καὶ ὑπὸ ἀγγέλου εἰς Ἄζωτον ἀπενεχθεὶς κἀκεῖσε[5] κηρύξας καὶ ἄλλας πόλεις περιελθὼν Τράλλην[6] τὴν ἐν τῇ Ἀσίᾳ κατέλαβεν· ἐν ᾗ θαύματα ἐργασάμενος πάμπολλα[7] καὶ ἐκκλησίαν[8] δειμάμενος πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας Ζηναΐδος καὶ Φιλωνίλλης[1] τῆς ἀδελφῆς αὐτῆς. Αὗται ὑπῆρχον ἐκ Ταρσοῦ τῆς Κιλικίας ἀπὸ χωρίου Δημητριάδος, συγγενεῖς τοῦ ἁγίου ἀποστόλου Παύλου. Καὶ ἡ μὲν ἁγία Ζηναῒς τὴν ἰατρικὴν ἐν τῷ δοκεῖν μετερχομένη τέχνην, τῇ ἀληθείᾳ ἀποστολικὸν ἔργον ἐπλήρου. Καταλιποῦσα γὰρ τὰ ὑπάρχοντα αὐτῇ πάντα καὶ τὴν ἀδελφὴν καὶ ἀπελθοῦσα ἐν ὄρει τινὶ καὶ εἰς σπήλαιον εἰσιοῦσα, ἡσύχασε καὶ τοὺς προσιόντας ἐν καιρῷ πρὸς αὐτὴν ἐδίδασκε τὸν λόγον τῆς ἀληθείας, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν θεραπεύουσα. Πρὸς ἣν τρεῖς ἄνδρες συνήθως ἐρχόμενοι, Πάπας καὶ Πατερᾶς καὶ Φιλόκυρος, καὶ τὰ θεῖα μυούμενοι καὶ ἐπιβουλευθέντες συλληφθῆναι ὑπὸ τῶν ἑλλήνων, οὐ συνεσχέθησαν, προσευξαμένης τῆς ἁγίας καὶ ῥυσαμένης αὐτούς· ἥτις ὕστερον τοῦ σπηλαίου διά τινα χρείαν ἐξελθοῦσα καὶ ὑπὸ ἀκάνθης τὸν πόδα περιπαρεῖσα καὶ καθίσασα ἐκβαλεῖν αὐτήν, παρέδωκε τὸ πνεῦμα. Ἡ δὲ ἀδελφὴ αὐτῆς Φιλωνίλλα[2] κατέμενεν ἐν τῷ οἴκῳ αὐτῆς καὶ κατὰ μηδὲν ἀπολειφθεῖσα τῆς ἀδελφῆς αὐτῆς εἰς ἀρετήν, ἀλλὰ πάντοτε προσκαρτεροῦσα τῇ προσευχῇ, ἐδέξατο θαυμάτων χαρίσματα, καὶ τῷ Θεῷ εὐαρεστήσασα ἐν εἰρήνῃ ἐτελειώθη[3].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ὁμολογητῶν καὶ αὐταδέλφων Θεοφάνους τοῦ ποιητοῦ καὶ Θεοδώρου τῶν γραπτῶν. Οὗτοι γονέων ὑπάρχοντες εὐσεβῶν, τὴν Παλαιστίνην οἰκούντων καὶ φιλοξενίας ἐπιμελουμένων, τῇ τῶν γονέων σπουδῇ πᾶσαν σοφίαν ἐξεπαιδεύθησαν, τήν τε ἱερὰν καὶ τὴν τῶν ἑλλήνων. Ἐπεὶ δὲ μεγάλως εὐδοκίμησαν ἐπὶ τῇ γνώσει, τὸν μονήρη βίον ὑπῆλθον ἐν τῇ τοῦ μεγάλου Σάβα μονῇ· εἶθ' οὕτως χειροτονοῦνται πρεσβύτεροι. Θεοφίλου δὲ τοῦ | δυσσεβοῦς κατὰ f. 53.

1. — [1] (ὃν - θεῖος) οὗπερ ὁ εὐαγγελιστὴς καὶ θεῖος Sa. — [2] ἦν Sa. — [3] χρείαις διακονεῖν Sa. — [4] Σίμονα S. — [5] κἀκεῖ Sa. — [6] Τράλην S, Sa. — [7] πάμπολα Sa. — [8] ἐκκλησίας Sa.

2. — [1] Φιλονίλης Sa. — [2] Φιλονίλλα S, Φιλονίλα Sa. — [3] τελεῖται κτλ. *add.* Sa *inter* Synaxaria selecta.

Oct. 10. τὰ περὶ τοῦ παιδός, προσῆλθον τῷ ἡγουμένῳ περιπαθῶς ἐξαιτούμενοι ἐμφανισθῆναι αὐτοῖς τὸν υἱόν. Ὁ δὲ πρῶτον μὲν οὐ μικρῶς ἐπὶ τούτῳ δυσχεράνας, οὐδ' ὅλως κατένευεν. Ὡς δὲ τὴν συνέχουσαν αὐτοὺς ἀθυμίαν ἑώρα καὶ τὸ τῆς θλίψεως ὑπερβολικὸν καὶ ἀφόρητον, καὶ μὴ θέλων ὑπέδειξεν αὐτοῖς τὸν υἱόν· ὃν οἱ τεκόντες, ὡς εἶδον οὕτως ἔχοντα, εἰς θρῆνον χαρᾷ σύμμικτον τραπέντες, ἐνηγκαλίζοντο καὶ κατησπάζοντο, τί μὴ λέγοντες καὶ τί μὴ πράττοντες τῶν ἱκανῶν καὶ αὐτῶν σχεδὸν τῶν ἀψύχων καθάπτεσθαι. Τέως ἐπί τισιν ἡμέραις συνηδόμενοι τῷ υἱῷ καὶ τῆς ἐνούσης αὐτῷ χάριτος ἀκριβῶς αἰσθόμενοι, ὅρκοις ἐμπεδοῦν ἤρξαντο τὸν ἡγούμενον, μεθ' ἑαυτῶν ἔχειν καὶ τὸν παῖδα, οἴκαδε ὑποστρέφοντες, ἐφ' ᾧ ἔκπαλαι ποθοῦντας μοναστήριον ἀνεγεῖραι[13] ἐξ οἰκείων ἀναλωμάτων, νῦν καιροῦ καλοῦντος δέον ἀπαρτισθῆναι. Ἀνανεύοντος οὖν πρὸς τοῦτο τοῦ ἡγουμένου καὶ τοῖς ἀδελφοῖς τὸ πᾶν προσαναθεμένου, νηστείᾳ τριημέρῳ καὶ παννύχῳ ἀγρυπνίᾳ ἐκ Θεοῦ τὴν περὶ τούτου λύσιν λήψεσθαι κοινῶς ἐψηφίσαντο. Καὶ τούτου γενομένου, ὡς θαυμάσια[14] τὰ ἔργα σου, Κύριε, — φωνὴ ἔναρθρος ἐν τῷ ναῷ ἠκούσθη ἄνωθεν, τὸν ζητούμενον ἀπολυθῆναι παρακελεύουσα. Ὃν καὶ παραλαβόντες οἱ γονεῖς μετὰ καὶ ἀδελφῶν τινων τῆς μονῆς ὑπέστρεψαν οἴκαδε χαίροντες. Καὶ τῆς μονῆς τάχει πολλῷ κατασκευασθείσης, ἣν ὁ ἅγιος Θεόφιλος ἐν αὐτῇ ἀσκητικῶς διάγων χρόνοις ἱκανοῖς. Ἐπεὶ δὲ ὁ κοινὸς πάντων ἐχθρὸς οὐδέποτε ἠρεμεῖ, τὸν δυσώνυμον θῆρα ὑπεισελθὼν[15] Λέοντα βασιλέα τὸν εἰκονομάχον παραστῆναί οἱ ἀνέπεισε τὸν ἅγιον· καὶ ὁμολογήσαντα τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν βουνεύροις τύπτεσθαι προσέταξεν, εἶθ' οὕτως[16] τὰς χεῖρας ὄπισθεν δεσμευθῆναι καὶ τὴν ἐπὶ Νίκαιαν ἄγεσθαι τρίβον· τὸν δὲ στυλίτην Λογγῖνον ὕπτιον ἐπὶ γῆς ἁπλωθῆναι ἐπιθεῖναί τε τῇ τούτου κεφαλῇ τὰς εὑρεθείσας αὐτῷ ἱερὰς εἰκόνας καὶ καταφλέξαι[17]. Οἱ δὲ ἅγιοι ἤδη τὴν Νίκαιαν καταλαβόντες, παρέστησαν[18] τῷ δικαστηρίῳ. Καὶ τοῦ μὲν[19] Θεοφίλου τὸ πεπαρρησιασμένον καὶ ἐλεγκτικὸν μὴ φέρων[20], σταυροειδῶς ἐπὶ δυσὶ στύλοις διαταθῆναι τοῦτον ἐκέλευσε καὶ βουνεύροις ξηροῖς τὰς τούτου σάρκας καταξαίνεσθαι ἔμπροσθέν τε καὶ ὄπισθεν. Ὅτε δὲ κρουνηδὸν τὸ αἷμα κατερχόμενον εἶδε καὶ τὴν γῆν φοινισσομένην, ἐγερθεὶς τοῦ θρόνου αὐτοῦ, δι' ἑαυτοῦ ἐπὶ πολλὰς τὰς ὥρας τὰς ὄψεις τοῦ ἁγίου ἔτυπτε. Μετὰ δὲ τὸ παύσασθαι τύπτειν αὐτόν, σιδηροῖς ὑποδήμασι πεπυρακτωμένοις προσέταξεν ὑποδεθῆναι καὶ τρέχειν ἔμπροσθεν αὐτοῦ. Τότε ὁ ἄρχων ὑπατικὸς αἰδεσθεὶς τῇ τοῦ ἁγίου ἀρετῇ[21]· « Ἆρά γε, Θεόφιλε, φησί[22], σὺ μόνος καὶ οἱ κατὰ σὲ μωραίνετε μαινόμενοι[23] εἰς τὸ προσκυνεῖν τὰς » εἰκόνας, ἢ ὁ βασιλεὺς καὶ ἡμεῖς οἱ δοκοῦντες κρατεῖν; » Ὁ ἅγιος εἶπεν· « Εἰ θέλεις, ἐκ τῶν γραφῶν » γυμνάσωμεν τὸ ζητούμενον· οἶδα γάρ, ὅτι ἀκριβῶς ἐπίστασαι τὰς γραφάς. Καὶ ἐὰν εὐλόγως πείσῃς » με, ἀποβάλλομαι[24] προσκυνεῖν τὰς εἰκόνας· εἰ δὲ πεισθῇς, ἆρά γε[23] προσκυνήσεις αὐτάς; » Ὁ ἄρχων εἶπεν· « Ἀναμφιβόλως. » Τότε ὁ ἅγιος περιχαρὴς γενόμενος, ἤρξατο διαλέγεσθαι περὶ τιμῆς καὶ σχέσεως τῶν σεβασμίων[23] καὶ[23] ἁγίων εἰκόνων. Καὶ πεισθεὶς ὁ ἄρχων, φησὶ πρὸς[22] αὐτόν· « Ἐγὼ » μέν, τίμιε γέρον[25], σπουδάσαι ἔχω, πεῖσαι τὸν βασιλέα συνεισελθεῖν[26] τῇ διαγνώσει ταύτῃ, εἰ ἄρα » δυνηθῶ· σὺ δὲ τὸ ἀφέσιμον παρ' ἐμοῦ λαβών, ὑπόστρεφε εἰς τὸ κελλίον σου. » Ὁ δὲ ἅγιος περίλυπος γενόμενος, ὡς μὴ πληρώσας τὸν τοῦ μαρτυρίου δρόμον, ὅμως ἔχων τὰ στίγματα ἔχαιρε. Καὶ ὑποστρέψας εἰς τὸ μοναστήριον, χαρὰν οὐ μικρὰν καὶ ἀγαλλίασιν ἐνέβαλε τοῖς τε[27] ἀδελφοῖς καὶ φίλοις καὶ συγγενέσι καὶ πᾶσι τοῖς πλησιοχώροις. Ὀλίγου δὲ χρόνου διελθόντος ἐκ τῆς ἀθλητικῆς αὐτοῦ ἐπανόδου πρὸς τὴν μονήν, ὁ ἀοίδιμος γνοὺς τὴν ἀπὸ τῶν γηΐνων πρὸς τὰ οὐράνια αὐτοῦ μετάστασιν[28] καὶ καλῶς τὰ περὶ τῆς μονῆς διαθέμενος καὶ πάντας κατηχήσας καὶ εὐλογήσας, πρὸς ὃν ἐπόθει Κύριον ἐξεδήμησεν· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. — **Mv** : 1. — Τῶν ἁγίων διακοσίων μαρτύρων τῶν συναιρεθέντων κτλ. — 2. — Θεοφίλου. — **Mb** : 1. — Τῶν ἁγίων διακοσίων κτλ. — 2. — Θεοφυλάκτου τοῦ ὁμολογητοῦ (deinceps Θεοφίλου). — **Mr** : 1.

Oct. 11. SYNAXARIA SELECTA. **Sa** : 1. 2, add. : Τελεῖται δὲ ἡ αὐτῆς μνήμη μέσον τῶν τε ἁγίων ὁμολογητῶν καὶ τῶν ἁγίων ἀναργύρων ἐν τοῖς Βασιλίσκου. — 3. 4. — **H** : 5. 4 (om. Ἀκακίου... add. σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ). — **P** : 2. — Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου τοῦ Σαβαΐτου καὶ γραπτοῦ καὶ ἀρχιεπισκόπου γενομένου πόλεως Νικαίας (cf. Oct. 28[8]). — 5. 4 (om. Ἀκακίου). — **F** : 1. 2. 3. 4 (om. Ἀρσακίου). — 5. — **Fa** : 1. 2. 3. 4 (om. Ἀρσακίου). — 5. — **Fb** : 1. 2. 3. 4 (om. Ἀρσακίου). — 5. — **B** : 2. 1. — **Ba** : 1. 2 : Ζηναΐδος καὶ Φιλονίλλας τῶν αὐταδέλφων. Αἵτινες ἐκ Ταρσοῦ τῆς Κιλικίας ὑπῆρχον· λέγεται δὲ συγγενεῖς αὐτὰς εἶναι Παύλου τοῦ ἀποστόλου καὶ τῆς ἰατρικῆς ἐπιστήμης μετέχειν καὶ τῇ ταύτης προφάσει πολλοὺς πρὸς τὴν εἰς Χριστὸν χειραγωγεῖν πίστιν καὶ ἔν τινι σπηλαίῳ εἰσελθούσας τὸν βίον διανύειν· ἐν ᾧ νηστείαις καὶ ἀγρυπνίαις σχολάζουσαι καὶ θαύματα ἐκτελοῦσαι παράδοξα καὶ τῇ τῆς φύσεως ἀκολουθίᾳ δουλεύσασαι τῆς προσκαίρου ζωῆς ἀπερράγησαν. — 5. — **Bb** : 2. 1. — **T** : 1. 3. — **O** : 1. 5. 4 : μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ

— [13] στῆσαι καὶ ἀνεγεῖραι μοναστήριον Mv. — [14] θαυμαστὰ Mv. — [15] ὑπελθὼν Mv. — [16] καὶ *add.* Mv. — [17] καταφλεχθῆναι Mv. — [18] ὁ δὲ ἅγιος ... καταλαβὼν παρέστη Mv. — [19] καὶ τότε μὲν τοῦ Mv. — [20] ὁ δυσσεβὴς *add.* Mv. — [21] τὴν ... ἀρετὴν Mv. — [22] φησὶ Θεόφιλε Mv. — [23] *om.* Mv. — [24] ἀποβαλοῦμαι Mv. — [25] τίμιε γέρον ἐγὼ Mv. — [26] συνελθεῖν Mv. — [27] *om.* Mv. — [28] μετάβασιν Mv.

Oct. 11. τῶν ἁγίων εἰκόνων λυττήσαντος καὶ κωλύοντος ταύτας προσκυνεῖν [1], ἀποστέλλονται οὗτοι οἱ πάνσοφοι καὶ τίμιοι ἀδελφοὶ παρὰ Ἠλία τοῦ τηνικαῦτα πατριαρχοῦντος τῆς ἁγίας πόλεως πρὸς τὸν μισόχριστον βασιλέα μετὰ λιβέλλου. Οὗ καὶ κατὰ πρόσωπον στάντες καὶ θεομάχον αὐτὸν ὡς τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν ἀθετοῦντα ἐλέγξαντες, ἐγκλείονται ἀμφότεροι τῇ εἱρκτῇ ἐπὶ χρόνον πολύν [2]. Εἶτα ἐφ' ἑαυτὸν ἐκ τοῦ δεσμωτηρίου καλέσας ὁ ἀνόσιος, καὶ τύψας αὐτοὺς σφοδρῶς καὶ ταῖς ὄψεσιν αὐτῶν σιδήρῳ ἐγκολάψας [3] στίχους ἰάμβους κατηγορίας περιέχοντας τῶν ἁγίων τούτων, πάλιν Θεόδωρον μὲν ἐγκλείει τῇ φρουρᾷ, Θεοφάνην δὲ εἰς Θεσσαλονίκην ὑπερορίζει [4]· ὃς μετὰ τὴν καταστροφὴν [5] τοῦ δυσσεβοῦς Θεοφίλου ἀνακληθεὶς ὑπὸ Μιχαὴλ καὶ Θεοδώρας τῶν εὐσεβῶν βασιλευσάντων, προβάλλεται μητροπολίτης τῆς κατὰ Νίκαιαν ἐκκλησίας· καὶ οὕτως θεοφιλῶς τὴν ἐκκλησίαν καὶ τὸ ποίμνιον κυβερνήσας, τῆς παρούσης ζωῆς ὑπεξίσταται.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Νεκταρίου, Ἀρσακίου, Ἀκακίου, Ἀττικοῦ καὶ Σισιννίου.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον κατὰ τῶν δυσσεβῶς καὶ ἀμαθῶς καὶ ἀπερισκέπτως τὴν ἐκκλησίαν τοῦ Θεοῦ εἰδωλολατρεῖν εἰπόντων καὶ τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας διαβαλόντων [1]. Αὕτη ἡ ἁγία ἑβδόμη καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Νικαίᾳ τὸ δεύτερον ἐπὶ Κωνσταντίνου βασιλέως καὶ Εἰρήνης τῆς αὐτοῦ μητρὸς καὶ ἐπὶ Ἀδριανοῦ πάπα Ῥώμης, Ταρασίου [2] Κωνσταντινουπόλεως, Πολιτιανοῦ Ἀλεξανδρείας <Θεοδωρήτου Ἀντιοχείας [3]> καὶ Ἠλία Ἱεροσολύμων. Ὑπῆρχον δὲ οἱ συνελθόντες ἅγιοι πατέρες τὸν ἀριθμὸν τριακόσιοι ἑξήκοντα πέντε [4]· συνῆλθον δὲ κατὰ τῶν εἰκονομάχων καὶ ἀναθεμάτισαν ἐγγράφως πᾶσαν αἵρεσιν καὶ τοὺς τῶν αἱρέσεων ἐξάρχους, εἶτα καὶ τοὺς εἰκονομάχους ἅπαντας, ἐγγράφως ἐκθέμενοι καὶ τυπώσαντες ὅτι ὁ τὰς ἁγίας εἰκόνας μὴ προσκυνῶν ἀλλότριός ἐστιν τῆς τῶν ὀρθοδόξων [5] πίστεως καὶ ὅτι ἡ [6] τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει καὶ ὅτι ὁ προσκυνῶν τὴν εἰκόνα καὶ | τιμῶν προσκυνεῖ ἐν αὐτῇ [7] τὴν τοῦ ἐγγραφομένου ὑπόστασιν. Καὶ οὕτω διαταξάμενοι καὶ τὴν ὀρθόδοξον πίστιν κρατύναντες, ἕκαστος εἰς τὴν αὐτοῦ [8] ἐπισκοπὴν ἀπελύθη. f. 53v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Oct. 12. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, συσχεθέντες ἐν Πομπηϊουπόλει ἐν Ταρσῷ τῆς Κιλικίας. Διαφόροις δὲ βασάνοις κατὰ διαφόρους ἐξετάσεις δοκιμασθέντες καὶ πάσας στερρῶς ὑπομείναντες, ὧν οὐκ ἄν τις μίαν ἐνέγκοι [1] ἀλλὰ θᾶττον ἀπορραγήσεται τῆς ζωῆς, εἰ μὴ τῇ τοῦ Χριστοῦ πίστει κατωχυρωμένος [2] καὶ τῷ ζήλῳ τῷ πρὸς αὐτὸν ἐπιρρώσας καὶ οἷον ἑαυτὸν παραθήξας, τὴν διὰ μαχαίρας δέχονται τελευτήν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τοῖς Ναρσοῦ καὶ ἐν τῇ Πηγῇ.

3. — [1] προσκυνεῖσθαι Sa. — [2] πολὺν χρόνον Sa. — [3] ἐγκολλάψας Sa. — [4] περιορίζει Sa. — [5] τῆς ζωῆς *add.* Sa.
5. — [1] διαβαλλόντων Sa. — [2] Ταρασσίου S. — [3] Sa, *om.* S. — [4] τξζ' (τ *supra lin. corr.*) Sa. — [5] χριστιανῶν Sa. — [6] εἰ S. — [7] αὐτῷ S. — [8] ἑαυτοῦ Sa.
1. — [1] Sa, ἐνέγκει S. — [2] Sa, εἰκωχειρομένος S, *forte legendum* ἢ κατωχυρωμένος.

Oct. 11. ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Νεκταρίου, Ἀρσακίου, Ἀττικοῦ καὶ Σισινίου. Ἡ τοιαύτη σύναξις τελεῖται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. — **G** : 1. 5. 4 (om. Ἀρσακίου). — 3. — **C** : 2. 3 (Θεοφάνους). — 1. 5. 4 (om. Ἀκακίου). — **Ca** : .2 3 (Θεοφάνους). — 1. 5. 4 (om. Ἀκακίου). — **Cc** : 2. 3. 1. 5. 4 (om. Ἀκακίου). — **M** : 1. 2. 3. 5. 4 (Νεκταρίου |||||||||||| καὶ Σισινίου). — **Mv** : 1. 2. 3. 4 (Νεκταρίου, Ἀρσακίου καὶ Σισινίου). — Sequitur : Κυριακῇ μετὰ τὴν ἑνδεκάτην τοῦ παρόντος μηνὸς μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων πατέρων τῆς ἑβδόμης καὶ ἁγίας καὶ οἰκουμενικῆς συνόδου (Oct. 11[5]). — **Mb** : 1. 2. 3. 5. 4 (om. Ἀκακίου). — **Mr** : 1. — Sequitur : Κατὰ τὴν ἑνδεκάτην τοῦ παρόντος μηνός, εἰ τύχοι ἐν κυριακῇ ἢ τῇ πρώτῃ μετ' αὐτὴν ἐρχομένῃ ψάλλεται ἡ ἀκολουθία τῶν ἁγίων πατέρων τῶν εἰς τὴν οἰκουμενικὴν Ζ' σύνοδον κτλ.

Oct. 12. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. 2. 3. 4. — **P** : 1. 2. 3. 4 : Διοδώρου καὶ Ἀνδρομάχου. — **F** : 1 : Ταράχου, Πρόβου καὶ Ἀνδρονίκου. Οὗτοι ὑπῆρχον ἐν ὑπατείᾳ [1] Διοκλητιανοῦ καὶ Φλαβιανοῦ ἡγεμόνος. Ὧν [2] ὁ μὲν Τάραχος προβεβηκὼς τῇ ἡλικίᾳ ἦν, Ῥωμαῖος τῷ γένει, στρατιώτης ὑπάρχων τάξεως <ἐν [3]> Κλαυδιουπόλει τῆς Ἰσαυρίας [4]. Ὁ δὲ Πρόβος ἐκ Σίδης τῆς Παμφυλίας, Ἀνδρόνικος δὲ εὐγενὴς τῷ γένει [5] πόλεως Ἐφεσίων τῆς Ἰωνίας. Καὶ ὁ μὲν Τάραχος θλάττεται [6] λίθοις τὰς σιαγόνας καὶ τὸν αὐχένα καὶ τὸ στόμα καὶ [7] τὰς χεῖρας πυρὶ καταφλέγεται· εἶτα [8] ἀναρτᾶται ἐπὶ τοῦ [8] ξύλου, καὶ καπνῷ βαθεῖ [9] καὶ [8] δυσώδει [8] ὑποκαπνίζεται· εἶθ' [8] οὕτως [8] ὄξος δριμὺ ἅλατι καὶ σίνηπι φυραθὲν ἐπὶ τῶν ῥινῶν δέχεται καὶ [8] ὀβελίσκοις πεπυρακτωμένοις ὑποκαίεται τοὺς μασθοὺς [10] καὶ [8] ξυρῷ τὰ ὦτα ἐκκόπτεται [11] καὶ [8] τὸ δέρμα τῆς κεφαλῆς ἀποσύρεται· εἶτα [8] θηρίοις ἐκδοθεὶς [12] καὶ [13] μαχαίραις μεληδὸν κατακοπεὶς τελειοῦται μέσον τοῦ θεάτρου, τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος [14]. Πρόβος δὲ ὁ γενναῖος νεύροις ὠμοῖς τύπτεται κατὰ τῶν ὤμων καὶ τῆς γαστρὸς καὶ [15] σιδήροις πεπυ-

[1] ἐπὶ Ὑπατίου Ba. — [2] καὶ Ba. — [3] *supplevi, om.* F. — [4] (προβεβηκὼς - Ἰσαυρίας) Ῥωμαῖος ἦν καὶ προβεβηκὼς τὴν ἡλικίαν στρατιώτης τὴν τύχην Ba. — [5] (Ἀ. - γένει) ὁ δὲ Ἀνδρόνικος Ba. — [6] θλᾶται Ba. — [7] καὶ τὸ στόμα καὶ *om.* Ba. — [8] *om.* Ba. — [9] πνηγηρῷ Ba. — [10] ὑποκαίεται τοὺς μαστοὺς Ba. — [11] ἐκτέμνεται Ba. — [12] ἐκδίδοται Ba. — [13] τελευταῖον *add.* Ba. — [14] (κατακοπεὶς - παραθέμενος) κατατμηθεὶς τὴν ψυχὴν τῷ Θεῷ παρατίθεται Ba. — [15] (κατὰ - γαστρὸς καὶ) *om.* Ba.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Ἀναστασίας τῆς παρθένου. Ἥτις ἦν ἐπὶ Δεκίου τοῦ βασιλέως καὶ τοῦ συγκαθέδρου αὐτοῦ Βαλλεριανοῦ καὶ ἡγεμόνος Πρόβου, Ῥωμαία τὸ γένος, νέαν πάνυ τὴν ἡλικίαν ἄγουσα, ἔν τινι μοναστηρίῳ μεθ' ἑτέρων τεσσάρων παρθένων γυναικῶν συνδιάγουσα· ἀφηγεῖτο δὲ τούτων ἡ οὕτω καλουμένη Σοφία· κατεῖπον δέ τινες αὐτῆς πρὸς τὸν Πρόβον ὅτι φανερῶς ἐξυβρίζει εἰς τοὺς θεοὺς καὶ τὰ τῶν χριστιανῶν αὐξηθήσεσθαι καὶ τὰ τῶν εἰδώλων παύσασθαι προθεσπίζει· ὅθεν παρέστη τῷ ἡγεμόνι καὶ παρρησίᾳ τὸν Χριστὸν ὡμολόγησε· μὴ πεισθεῖσα δὲ μήτε δωρεαῖς ἃς ὑπισχνεῖτο δώσειν [1] ὁ ἡγεμὼν μήτε ἀπειλαῖς ἀλλὰ θαρσαλεώτερον προσενεχθεῖσα αὐτῷ καὶ καταφρονητικῶς διατεθεῖσα, ῥαπίζεται τὸ πρόσωπον καὶ γυμνὴ διατεθεῖσα ἐπ' [2] ἀνθράκων καταφλέγεται, ἐπιρραινομένου [3] ἄνωθεν θείου καὶ πίσσης καὶ ἐλαίου, ἑτέρων μαστιζόντων αὐτήν· εἶτα ἐπὶ ξύλου κρεμᾶται μαγγάνοις πιεζομένη καὶ πάλιν ἐν ὀγκίνοις ὀξέσιν ἐμπείρεται· καὶ κρεμασθεῖσα καθ' ὅλου τοῦ σώματος ξέεται καὶ τοὺς μαστοὺς ἐκτέμνεται καὶ τοὺς ὄνυχας τῶν χειρῶν καὶ τῶν ποδῶν ἐκριζοῦται καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἐκτέμνεται [4] καὶ τὴν γλῶτταν ἀφαιρεῖται ξίφει καὶ τοὺς ὀδόντας ἀποσπᾶται καὶ τὴν κεφαλὴν ἀποτέμνεται. Oct. 12.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας καὶ καλλινίκου Δομνίνης. | Αὕτη ἠγωνίσατο ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως παραστᾶσα Λυσίᾳ τῷ ἡγεμόνι ἐν τῇ Ἀναζαρβέων [1] μητροπόλει. Τύπτεται οὖν πρῶτον [2] νεύροις ὠμοῖς καὶ σιδήροις πυρωθεῖσι τοὺς πόδας καταφλέγεται· εἶθ' οὕτως συνθλᾶται ῥάβδοις καὶ ἐξαρθροῦται τὰς ἁρμονίας καὶ τῇ εἱρκτῇ ἐναπορριφεῖσα τὴν ψυχὴν τῷ Θεῷ παρατίθησι. f. 54.

4. Καὶ τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Διοδώρου καὶ Ἀνδρομέδας [1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Κάρπου καὶ [1] Παπύλου, Ἀγαθοδώρου καὶ Ἀγαθονίκης. Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου [2] βασιλέως ἰατροὶ τὴν τέχνην. Καὶ ὁ μὲν ἅγιος Κάρπος ἐπίσκοπος τῆς Περγαμηνῶν [3] ἐκκλησίας μετὰ τὴν ἄφιξιν Ἰωάννου τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ καθίσταται. Ὁ δὲ Πάπυλος διάκονος ὑπὸ τοῦ Κάρπου χειροτονεῖται. Κρατηθέντες οὖν παρὰ Οὐαλεριανοῦ [4] ἀνθυπάτου Oct. 13.

2. — [1] δῶσιν S. — [2] ἐπὶ Sa. — [3] ἐπιρενομένου Sa. — [4] (καὶ τοὺς ὄνυχας - ἐκτέμνεται) *corr. in marg.* S.
3. — [1] Ἀναβαρζέων S, Sa. — [2] ἐν πρώτοις Sa. — [3] ἀπορριφεῖσα Sa.
4. — [1] *al.* Ἀνδρομάχου, *cf.* Synaxaria selecta.
1. — [1] *om.* Sa. — [2] τοῦ *add.* Sa. — [3] Περγαμινῶν S. — [4] Οὐαλλεριανοῦ S.

Oct. 12. ρακτωμένοις [16] κατακαίεται τοὺς πόδας. Εἶτα ἀναρτηθεὶς ὀβελίσκοις πυρωθεῖσι σιδηροῖς τὸν νῶτον καὶ τὰς πλευρὰς [17] ὑποκαίεται· ἑτέραις δὲ [8] πάλιν [8] σούβλαις πεπυρακτωμέναις [8] τὰς κνήμας κατακαίεται [18] καὶ [8] τοὺς ὀφθαλμοὺς ἐξορυχθεὶς [19] καὶ μαχαίραις [20] κατακοπεὶς τὸ μακάριον τέλος ἀπηνέγκατο. Ἀνδρόνικος δὲ ὁ θεῖος ἐπὶ ξύλου [21] ἀναρτᾶται καὶ [8] σιδηροῖς ὀξέσι τὰς κνήμας χαράττεται καὶ τὰς πλευρὰς κατακεντᾶται [22], ἅλατι τὰς ὠτειλὰς [23] ἀνατριβόμενος [24], εἶτα [8] τὴν γλῶτταν ἐκκοπεὶς [8] καὶ τὰ χείλη [25] καὶ σχεδὸν ὅλον τὸ σῶμα μαχαίραις κατακοπείς, ὁμοίως καὶ αὐτὸς τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι [26]. — 3. 4 : Δ. καὶ Ἀνδρομάχου. — **Fa** : 1. 3. 4 (... Ἀνδρομάχου). — **Fb** : 1. 3. 4 (... Ἀνδρομάχου). — **B** : Ἡ ἀνάμνησις τῆς ἁγίας ἑβδόμης συνόδου (Oct. 11[5]). — 1 : Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου. Οἱ τρεῖς πολύαθλοι μάρτυρες Πρόβος, Τάραχος καὶ Ἀνδρόνικος ὑπῆρχον μὲν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Χριστιανοὶ δὲ ὄντες καὶ τὸν Χριστὸν ὁμολογοῦντες, ἐκρατήθησαν παρὰ τοῦ τῆς Κιλικίας ἄρχοντος. Καὶ πρῶτος μὲν συντριβεὶς τὸ πρόσωπον ὁ Τάραχος, ἀπεκλείσθη εἰς φυλακήν. Δεύτερος δὲ τυφθεὶς ὁ Πρόβος καὶ σιδηροδεθεὶς παρεδόθη καὶ αὐτὸς τῇ φυλακῇ. Καὶ τρίτος ὁ ἅγιος Ἀνδρόνικος τυφθεὶς καὶ τοὺς μηροὺς [27] ξίφει χαραχθεὶς καὶ τὰς πλευρὰς ξεσθεὶς καὶ μετὰ τοῦ ἅλατος ἀνατριβεὶς ἐνεβλήθη μετὰ τῶν λοιπῶν εἰς τὴν αὐτὴν φυλακήν. Εἶτα ἀπὸ Κιλικίας δεθέντες ἤχθησαν εἰς Μοψουεστίαν. Καὶ μὴ πεισθέντες ἀρνήσασθαι τὸν Χριστόν, πάλιν ἐβασανίσθησαν, ὁ μὲν Τάραχος τὸ στόμα συνθλασθεὶς καὶ τὴν κεφαλὴν ξυρισθείς, ὁ δὲ Ἀνδρόνικος τὴν γαστέρα ῥάβδοις τυφθείς, ὁ δὲ Πρόβος μετὰ σουβλίων πεπυρωμένων τὰς μασχάλας καὶ τὰ ψύα κατακαείς. Καὶ πλείονας τούτων βασάνους ὑπομείναντες, ὕστερον ἀπεκεφαλίσθησαν. — 2. 3. — **Ba** : 1 (contuli cum F). 3. 2. — Θεοφάνους καὶ Θεοδώρου τῶν αὐταδέλφων (= S, Oct. 11[3]). — **Bb** : Τῆς ἁγίας Ζ' συνόδου. — 1. 2. 3. — Θεοφάνους καὶ Θεοδώρου. — **T** : 1 (= F). — **O** : 1. — **G** : 1 (= F). — **C** : 1. 2. 3. — **Cb** : 1. 2. 3 (Δομνίκας). — **Cc** : 1. 2. 3. — **M** : 1. 3. 2. — **Mv** : 1. 3. 2. — **Mb** : 1. 3. 2. — **Mr** : 1.

Oct. 13. SYNAXARIA SELECTA. **Sa** : 1, add. : καὶ πλησίον τῆς μονῆς τῆς Περιβλέπτου. — **H** : 1. 3 (Φλωρεντίου καὶ Ἀγαθοδώρου). — **P** : 1. 3 : Τοῦ ἁγίου Μαρτυρόχου [1], Φλωρεντίου πόλεως Θεσσαλονίκης. — **F** : 1 : Κάρπου καὶ Παπύλου, Ἀγαθοδώρου καὶ Ἀγαθονίκης. Οὗτοι οἱ ἅγιοι τοῦ Χριστοῦ μάρτυρες ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως καὶ Οὐαλεριανοῦ [2] ἀνθυπάτου τῆς Ἀσίας, ἰατροὶ τὴν τέχνην. Ὧν ὁ μὲν ἅγιος Κάρπος υἱὸς ἦν λιθοτόμου ἱερέως τῶν εἰδώλων, χωρίου λεγομένου Γόρδας· Πιστεύσας [3] δὲ εἰς Χριστὸν καὶ βαπτισθεὶς κατέστη ἐπίσκοπος τῆς Περγαμηνῶν ἐκκλησίας μετὰ τὴν ἄφιξιν Ἰωάννου τοῦ εὐαγγελιστοῦ, εἰς βαθὺ γῆρας ἐληλακώς. Ὁ δὲ ἅγιος Πάπυλος ἦν σεκουνδαρίου

— [16] πεπυρωμένοις Ba. — [17] (εἶτα - πλευρὰς) ἀναρτᾶται τὸν νῶτον καὶ τὰς πλευρὰς ὀβελίσκοις πυρωθεὶς Ba. — [18] διατέμνεται Ba. — [19] ἐξορύττεται Ba. — [20] τελευταῖον Ba. — [21] (ἐπὶ ξ.) ξύλῳ Ba. — [22] κατακαΐτηται F. — [23] Ba, ὠτινάς F. — [24] ἀνατριβεῖς Ba. — [25] ἐκτέμνεται *add.* Ba. — [26] παρατίθεται Ba. — [27] μικροὺς B.
. [1] *ita* P, *lege* μάρτυρος. — [2] Οὐαλλεριανοῦ F, Ba. — [3] πιστεύσασα F.

Oct. 13. ἄρχοντος τῆς Ἀσίας καὶ ὁμολογήσαντες τὸν Χριστόν, προσεδέθησαν ἵπποις καὶ περιεπάτουν ἔμπροσθεν τοῦ ἄρχοντος συρόμενοι πρὸς τὰς Σάρδεις κἀκεῖ κρεμασθέντες ἐπὶ ξύλων ἐξέοντο[5]. Ὁ δὲ Ἀγαθόδωρος δοῦλος ὢν τοῦ ἁγίου Παπύλου καὶ ἀκολουθῶν αὐτῷ, διὰ ῥάβδων ὑπερβολικῶς τυφθεὶς ἐτελειώθη. Κρεμάμενος δὲ ὁ ἅγιος Κάρπος ὑπεμειδίασε καὶ ἐρωτηθεὶς παρὰ τοῦ ἄρχοντος· « Τίνος χάριν ἐγέλασας, ὦ Κάρπε; » εἶπεν· « Ὅτι » εἶδον τὴν δόξαν τοῦ Θεοῦ καὶ ἐχάρην. » Εἶτα καταβιβασθέντες ἀπὸ τῶν ξύλων, ἐνεβλήθησαν εἰς τὸ πῦρ. Παροῦσα δὲ ἡ ἀδελφὴ τοῦ[6] Παπύλου Ἀγαθονίκη καὶ ἰδοῦσα τὸν ἀδελφὸν πρὸς τὸ πῦρ ἀνδρισάμενον καὶ[7] τὴν γυναικείαν ἀσθένειαν μετὰ τῶν ἱματίων ἀπορρίψασα, ἐφήπλωσε καὶ αὐτὴ ἑαυτὴν ἐπὶ τοῦ πυρός· καὶ ἀμφότεροι παρέδωκαν τὰ πνεύματα αὐτῶν τῷ Κυρίῳ. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι πλησίον Ἑλενιανῶν[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Διοσκόρου. Οὗτος ἤθλησεν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, γένος μὲν[1] ἕλκων τῆς Κυνοπολιτῶν[2] καὶ τῆς δοκούσης κατὰ τὰς πόλεις τῶν βουλευτῶν ἀξίας ἐπειλημμένος[3], ἡγησάμενος δὲ τὰ τοῦ βίου πάντα ὡς σκύβαλα[4], ἵνα Χριστὸν μόνον κερδήσῃ, | παρρησιάζεται καὶ παραστὰς Κουλ- f. 54v κιανῷ τῷ ἄρχοντι καὶ τοῦτον καταβροντήσας μᾶλλον δὲ καταγελάσας καὶ εἰς οὐδὲν θέμενος τὰς θωπείας καὶ ἀπειλὰς αὐτοῦ, ἐπειδὴ καὶ πῦρ αὐτῷ προσῆγε καὶ τὰ ἐκ πυρὸς στρεβλωτήρια καὶ τὰ λοιπὰ τῶν βασάνων εἴδη περιενόει καὶ πάντα ὑπῆρχον εἰς οὐδὲν καὶ ἀνενέργητα, ξίφει τὴν τιμίαν αὐτοῦ κάραν ἐκτέμνει.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Φλωρεντίου. Οὗτος ὑπῆρχεν ἐκ τῆς πόλεως Θεσσαλονίκης[1], χριστιανὸς δὲ[2] ὢν καὶ ζηλωτὴς τοῦ καλοῦ ὕβριζε καὶ διέβαλλεν ἐπὶ πάντων τοὺς θεοὺς τῶν ἑλλήνων[3]. Οὕτω δὲ

— [5] ξέονται Sa. — [6] ἁγίου *add.* Sa. — [7] *om.* Sa. — [8] καὶ πλησίον κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] τὸ μὲν γένος Sa. — [2] Νικοπολιτῶν Ba. — [3] ἐπειλημμένας Sa. — [4] κύβαλα Sa.
3. — [1] Θεσσαλωνίκης Sa. — [2] *om.* Sa. — [3] τοὺς τῶν ἑλλήνων θεοὺς Sa.

Oct. 13. τινὸς ἀπὸ Θυατείρων· ὃν κατηχήσας ὁ ἅγιος Κάρπος καὶ βαπτίσας, ἐχειροτόνησε διάκονον. Οὗτοι μὴ εἴξαντες ταῖς τοῦ βασιλέως παραινέσεσι, τὰς ἱερὰς στολὰς[4] ἀποδύονται καὶ δεσμευθέντες σύρονται διὰ μέσης τῆς πόλεως καὶ προσδεθέντες ἵπποις σύρονται ἐπὶ μιλίοις τριάκοντα καὶ τρισί, μέχρις οὗ τὰς Σάρδεις[5] κατέλαβον· κἀκεῖ τῇ φρουρᾷ ἐναπορρίπτονται ἅμα Ἀγαθοδώρῳ οἰκέτῃ ὑπάρχοντι Παπύλου, θείου ἀγγέλου αὐτοὺς ἐνισχύσαντος καὶ παραθαρρύναντος. Καὶ ἔωθεν ὁ μὲν Ἀγαθόδωρος ῥάβδοις τύπτεται σφοδρῶς, ὡς καὶ τὴν οἰκονομίαν τῶν σπλάγχνων αὐτοῦ φανῆναι πᾶσαν, καὶ ἐν αὐταῖς ταῖς βασάνοις τὸ πνεῦμα ἐπαφῆκε. Κάρπος δὲ καὶ Πάπυλος αὖθις ἵπποις προσδεθέντες συνδραμεῖν ἠναγκάσθησαν ἐπὶ μιλίοις τεσσαράκοντα ἕως τόπου λεγομένου Σάρας. Ὑπὸ δὲ θείου ἀγγέλου ἐνδυναμωθέντες, πάλιν ἠλάσθησαν μέχρι Περγάμου βαρούμενοι τοῖς κλοιοῖς. Ἐκεῖσέ τε πάλιν ἀχθέντες ῥάβδοις κατεξάνθησαν καὶ τῇ φρουρᾷ ἀπερρίφθησαν· ὅτε καὶ τοῦ ἀνθυπάτου σύνεδρος Κουλκιανὸς τὸν πηρωθέντα ὀφθαλμὸν ὑγιασθεὶς ἐπίστευσεν. Ὁ δὲ Πάπυλος πάλιν δεσμεῖται πάλοις τέσσαρσι καὶ εἰς ὕψος αἴρεται καὶ λίθοις βάλλεται, ἀβλαβὴς διαμείνας. Καὶ μετὰ ταῦτα ἀχθέντες οἱ μάρτυρες ἅμα ὕπτιοι ἐπὶ τῶν τριβόλων σύρονται, ἄνωθεν τυπτόμενοι καὶ θηρίοις βορᾷ[6] ῥιπτόμενοι. Ὅτε καὶ λέων ἀνθρωπίνῃ φωνῇ φθεγγόμενος[7] καὶ ὠρυόμενος διεκώλυε τοὺς διώκτας τῆς τοιαύτης ὠμότητος. Οἱ δὲ βύσαντες τὰ ὦτα, κρηπῖσιν αὐτοὺς σιδηραῖς καθηλώσαντες καὶ ξύλοις προσδήσαντες ἐν τῇ τῆς ἀσβέστου καμίνῳ ἐναπέρριψαν· ἔνθα καὶ ἡ τοῦ ἁγίου Παπύλου ἀδελφὴ Ἀγαθονίκη εὐξαμένη συνεισῆλθεν αὐτοῖς. Ἐπεὶ δὲ τὸ πῦρ καταρραγέντος ὑετοῦ ἐσβέσθη, αὐτοὶ ἄφλεκτοι καὶ ἀβλαβεῖς διαμείναντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. — 2. — **Fa** : 1. 2. — **Fb** : 1. 2. — **B** : 1. 3. — **Ba** : 1 : Κάρπου καὶ Παπύλου καὶ τῶν σὺν αὐτοῖς. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως καὶ Οὐαλεριανοῦ[8] ἀνθυπάτου Ἀσίας, ἰατροὶ τὴν τέχνην. Ὧν ὁ μὲν ἅγιος Κάρπος πιστεύσας εἰς Χριστὸν καὶ βαπτισθεὶς ἐπίσκοπος τῆς Περγαμηνῶν ἐκκλησίας μετὰ τὴν ἄφιξιν Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου καθίσταται. Ὁ δὲ ἅγιος Πάπυλος παρὰ Κάρπου τὸ ἅγιον βάπτισμα λαβὼν διάκονος κεχειροτόνηται. Ὅθεν διωγμοῦ κατὰ χριστιανῶν πνεύσαντος, συλλαμβάνονται καὶ δεσμευθέντες διὰ μέσης τῆς πόλεως σύρονται καὶ ἵπποις προσδεθέντες ἐπὶ τρισὶ καὶ λʹ μιλίοις σύρονται αὖθις καὶ τῇ φρουρᾷ ἀπορριφέντες σὺν Ἀγαθοδώρῳ τοῦ ἁγίου Παπύλου οἰκέτῃ ὑπὸ θείου ἀγγέλου παραθαρρύνονται. Καὶ ἔωθεν ὁ μὲν Ἀγαθόδωρος ῥάβδοις σφοδρῶς τύπτεται ἐπὶ τοσοῦτον, ἕως τὸ πνεῦμα Θεῷ ἐπαφίησιν. Κάρπος δὲ καὶ Πάπυλος αὖθις ἵπποις προσδεθέντες, συνδραμεῖν ἠναγκάσθησαν ἐπὶ μιλίοις μʹ. Ὑπὸ δὲ θείου ἀγγέλου ἐνδυναμωθέντες, ἠλάθησαν μέχρι Περγάμου βαρούμενοι κλοιοῖς, ἐκεῖσέ τε ῥάβδοις καταξανθέντες φρουρᾷ ἀπορρίπτονται. Ὅτε καὶ ὁ τοῦ ἀνθυπάτου σύνεδρος Κουλκιανὸς[9] τὸν πηρωθέντα ὀφθαλμὸν ὑγιασθεὶς ἐπίστευσεν. Καὶ ὁ Πάπυλος πάλιν πάλοις τέσσαρσι δεσμευθεὶς καὶ εἰς ὕψος ἀρθεὶς λίθοις βάλλεται. Καὶ μετὰ ταῦτα ὕπτιοι ἐπὶ τῶν τριβόλων ἄμφω σύρονται καὶ ἄνωθεν ῥάβδοις τυπτόμενοι θηρίοις εἰς βορὰν βάλλονται, ἑνὸς τῶν θηρίων ἀνθρωπίνως φθεγξαμένου. Ἔπειτα κρηπῖσιν αὐτοὺς σιδηραῖς καθηλώσαντες καὶ ξύλοις προσδήσαντες ἐν τῇ τοῦ ἀσβέστου καμίνῳ ἐναπέρριψαν, ἐν ᾗ Ἀγαθονίκη ἡ τοῦ ἁγίου Παπύλου ἀδελφὴ εὐξαμένη συνεισῆλθεν αὐτοῖς. Ἐπεὶ δὲ τὸ πῦρ καταρραγέντος ὑετοῦ ἐσβέσθη, αὐτοὶ ἄφλεκτοι καὶ ἀβλαβεῖς διαμείναντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. — 3. — **Bb** : 1. 2. — Σιλβανοῦ (Oct. 14[2]). — **T** : 1 (= F). — **O** : 1. — **G** : 1 (= F). — **C** : 1. 3 (Φλωρεντίου ἐπισκόπου Θεσσαλονίκης καὶ τοῦ ἁγίου μάρτυρος Ἀγαθοδώρου). — **Cb** : 1. 3 (Φ. καὶ Ἀγαθοδώρου). — **Cc** : 1. 3 (Φ. κ. Ἀ.). — **M** : 1. 2. —

— [4] τολὰς F. — [5] Σάρδης F. — [6] βορρᾷ F. — [7] φθεγόμενος F. — [8] Οὐαλλεριανοῦ Ba. — [9] Σκουλικιανὸς Ba.

ποιῶν ἐκρατήθη παρὰ τοῦ τῆς χώρας ἡγεμόνος, καὶ ἐρωτηθεὶς καὶ τὸν Χριστὸν ὁμολογήσας τύπτεται σφοδρῶς· εἶτα κρεμᾶται ἐπὶ ξύλου καὶ ξέεται· καὶ πυρᾶς ἀναφθείσης μεγάλης, ἐμβάλλεται εἰς αὐτήν· καὶ ἐν αὐτῇ εὐχαριστῶν τῷ Θεῷ τελειοῦται. Oct. 13.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔʹ.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ναζαρίου, Γερβασίου, Πρωτασίου καὶ Κελσίου. Οὗτοι οἱ ἅγιοι μάρτυρες[1] ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως ἐν τῇ Ῥώμῃ, μετὰ τὴν τελείωσιν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου. Καὶ ὁ μὲν ἅγιος Ναζάριος πατρὸς ἦν εὐγενοῦς καὶ πλουσίου, ᾧ ὄνομα Ἀφρικανός, καὶ Περπετούας μητρός, ἀμφοτέρων Ῥωμαίων, χειραγωγηθέντων πρὸς τὴν εἰς Χριστὸν πίστιν παρὰ τοῦ μεγάλου ἀποστόλου Πέτρου. Βαπτίζεται δὲ ὁ ἅγιος Ναζάριος ὑπὸ Λίνου ἐπισκόπου Ῥώμης διαδόχου γενομένου τοῦ ἁγίου Πέτρου. Ἐν δὲ τῷ εἰκοστῷ χρόνῳ τῆς ἡλικίας αὐτοῦ, ἀπῄει διὰ τῶν πόλεων Ἰταλίας[2] κηρύσσων τὸν Χριστόν· καὶ πολλοὺς εἰς τὴν πίστιν ἐνάγων καὶ παρασκευάζων βαπτίζει. Διὰ δὲ χρόνων δέκα κατήντησεν εἰς πόλιν λεγομένην Πλακεντίαν, ἔνθα κατέλαβε τὸν ἅγιον Πρωτάσιον καὶ Γερβάσιον βεβλημένους ἐν τῇ φυλακῇ ὑπὸ Ἀνουλίνου τοῦ ἄρχοντος διὰ τὴν εἰς Χριστὸν πίστιν. Τύπτεται οὖν παρὰ τοῦ αὐτοῦ[3] ἄρχοντος καὶ τῆς πόλεως ἐκδιώκεται. Καταλαβὼν δὲ πόλιν τινὰ τῶν Γαλλιῶν λεγομένην Κείμελιν, προσλαμβάνει τὸν ἅγιον Κέλσιον ἔτι τριετῆ ὄντα παῖδα, παρὰ τῆς μητρὸς αὐτῷ προσαχθέντα, καὶ παρὰ Δεινοβάου τοῦ ἄρχοντος ἐν φρουρᾷ τίθεται. Εἶτα ἐκεῖθεν ἀπολυθεὶς ἔρχεται Oct. 14. μετὰ τοῦ Κελ|σίου εἰς τὰς πόλεις τοῦ Τιβερέως[4] f. 55. εὐαγγελιζόμενος τὸν Χριστόν. Καὶ αὖθις ὑπὸ τοῦ Νέρωνος συλλαμβάνεται καὶ δεσμεῖται καὶ θηρίοις ἐκδίδοται, καὶ πάλιν τὴν Μεδιολάνων καταλαβὼν εὑρίσκει ἔτι περιόντας ἐν τῇ φυλακῇ τοὺς ἁγίους Γερβάσιον καὶ Πρωτάσιον. Καὶ παραπέμπεται ἐν Ῥώμῃ παρὰ Ἀνουλίνου, ἔνθα σωτηρίας γίνεται αἴτιος τῷ πατρὸς αὐτοῦ πατρί[5], καὶ εἰς Μεδιόλανα ὑποστρέψας τέμνεται τὴν κεφαλὴν ἅμα τοῖς ἁγίοις Γερβασίῳ, Πρωτασίῳ καὶ Κελσίῳ, ὄντι καθ' ὃν ἐμαρτύρησεν χρόνον ὡσεὶ ἐτῶν ἐννέα καὶ μηνῶν ἑπτά[6].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σιλβανοῦ. Ὃς ὥρμητο μὲν τῆς Γαζαίων, ἀνὴρ πρᾶος καὶ τὴν πίστιν ἀκέραιος, πρεσβύτερος τῆς κατὰ Γάζαν ἐκκλησίας. Οὗτος ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ παραστὰς ἐπὶ τοῦ[1] Καισαρέων δήμου, μαστίζεται πικρῶς καὶ τὰς πλευρὰς καταξέεται· εἶτα ἐπὶ τῶν ἐν Ζωόροις τοῦ χαλκοῦ μετάλλων καταδικασθείς, ἐπισκοπικῆς λειτουργίας παρὰ τῶν πιστῶν ἀξιοῦται. Μετὰ δέ τινα χρόνον διὰ τὸ βαθὺ γῆρας καὶ τὴν ἀσθένειαν — ἦν γὰρ παντελῶς τεταριχευμένος — ξίφει τὴν κεφαλὴν ἀπετμήθη[2] καὶ οὕτως τὸ τέλος τοῦ μαρτυρίου ἐδέξατο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕʹ.

1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Λουκιανοῦ πρεσβυτέρου Ἀντιοχείας. Οὗτος ἦν ἐξ Ἀντιοχείας τῆς μεγάλης, εὐσεβῶν γονέων[1], ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Μετὰ δὲ τὴν τῶν γονέων αὐτοῦ τελευτήν, πάντα τὰ αὐτοῦ διαδοὺς πτωχοῖς, Oct. 15. προσήδρευε τῇ ἐκκλησίᾳ, μόνῃ τῇ ἀναγνώσει τῶν θείων λογίων καὶ τῇ μελέτῃ τῶν γραφῶν ἀπασχολῶν ἑαυτόν. Τῇ δὲ τούτων ἀσκήσει πολλοὺς Ἰου-

1. — [1] (οἱ - μάρτυρες) *om.* Sa. — [2] Ἰτταλίας S. — [3] *om.* Sa. — [4] Τιβέριος S, Τιβερίου Sa, Τιβερέως *in Passione SS. Nazarii, etc.*, Savio, *p. 36.* — [5] τῷ πρὸς πατρὸς αὐτῷ πατρὶ S, Sa. — [6] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
2. — [1] τῶν *add.* Sa. — [2] ἀφαιρεῖται Sa.
1. — [1] υἱὸς *add.* Sa.

Oct. 13. Νικήτα πατρικίου (Oct. 6[2]). — Βενιαμὶν διακόνου (Sept. 5[3], Mart. 31[3]). — **Mv** : 1. 3. 2. — Νικήτα. — Βενιαμίν. — Τοῦ ἁγίου μάρτυρος Ἀντιγόνου διὰ πυρὸς τελειωθέντος. — **Mb** : 1. 3. 2 (Διοσκορίδους, sed in versiculo Διόσκορος). — Νικήτα. — **Mr** : 1.

Oct. 14. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτῶν μνήμη ἐν τῇ μονῇ τῆς Κρονίκης τῇ οὔσῃ πλησίον τοῦ ἁγίου Θεοδώρου ἐν τῷ Σκαφειδίῳ. — 2. — **H** : 1. — **P** : 1. — **F** : 1. 2. — **Fa** : 1. 2 : Σιλβανοῦ παθόντος ὀγδόῳ ἔτει τοῦ καθ' ἡμᾶς διωγμοῦ, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. Οὗτος ὥρμητο μὲν ἀπὸ τῆς Γαζαίων χώρας, ἀνὴρ πρᾶος, τὴν γνώμην εἰλικρινέστατος, τῇ πίστει ἀκέραιος, πρεσβύτερος τῆς κατὰ Γάζαν ἐκκλησίας, γηραλέος τὴν ἡλικίαν. Οὗτος παραστὰς ἐπὶ τοῦ Καισαρέων δήμου, μαστίζεται καὶ τὰς πλευρὰς καταξέεται· εἶτα ἐπὶ τῶν ἐν Ζωόροις τοῦ χαλκοῦ μετάλλου καταδικασθείς, ἐπισκοπικῆς λειτουργίας παρὰ τῶν πιστῶν ἀξιοῦται· μετὰ δέ τινα χρόνον, διὰ τὸ βαθὺ γῆρας καὶ τὴν ἀσθένειαν — ἦν γὰρ τεταριχευμένος — ξίφει τὴν κεφαλὴν ἀπετμήθη· καὶ οὕτως τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. — **Fb** : 1. 2. — **B** : 1. — **Ba** : 1. — Διοσκόρου (= S, Oct. 13[2]). — 2 (= S). — **Bb** : 1. — **T** : 1. — **O** : 1. — **G** : 1, mutil. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. 2. — Πέτρου τοῦ καὶ Αὐσελάμου (Oct. 15[2]). — **Mv** : 1. — Κοσμᾶ τοῦ ποιητοῦ (Ian. 15[4]). — 2. — Πέτρος. — **Mb** : 1. 2. — Πέτρου. — Βενιαμὶν διακόνου (Sept. 5[3]). — **Mr** : 1. — Κοσμᾶ τοῦ ποιητοῦ.

Oct. 15. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. 3. — **P** : 1 : Λουκιανοῦ πρεσβυτέρου ἐξ Ἀντιοχείας τῆς μεγάλης ἐπὶ Διοκλητιανοῦ ... κατέλιπεν εἰς τὴν Νικομηδείων ἐκκλησίαν βίβλους τρισὶν σελιδίοις γεγραμμένας παλαιάν τε καὶ νέαν διαθήκην· ὅστις αἱμοκτονεῖται ὑπὸ τοῦ βασιλέως καὶ τελευτᾷ. — 3 : Σαβίνου ἐπισκόπου ἐν τῷ ἁγίῳ Μωκίῳ. — **F** : 1. 2. — **Fa** : 1, mutil. — **Fb** : 1. 2. —

Oct. 15. δαίους καὶ ἕλληνας ἐπεστόμιζε, καὶ πολλοῖς γέγονε τῆς εἰς Χριστὸν διδάσκαλος πίστεως. Ὧν οἱ μὲν ἱεραρχικῆς τιμῆς ἠξιώθησαν, οἱ δὲ τῷ τοῦ μαρτυρίου στεφάνῳ κατεκοσμήθησαν, ὑπὸ τοῦ ἁγίου Λουκιανοῦ ὑπαλειφόμενοι πρὸς ἀμφότερα. Καταλιπὼν δὲ τὴν οἰκείαν καὶ τὴν Νικομήδους καταλαβών, ἔνθα ὁ Διοκλητιανὸς τοὺς μὴ πειθομένους αὐτῷ[2] ἀλλὰ τὸν Χριστὸν ὁμολογοῦντας παν-
f. 55v. τοίως ἐτιμώρει καὶ ἐλωβᾶτο, ἐπεὶ πολλοὺς εὗρε | καταρρωδήσαντας[3] καὶ δειλίᾳ τὴν εὐσέβειαν προεμένους, ἐπιρρώσας τοῦ μαρτυρίου ἀντέχεσθαι ἔπεισεν, οἳ καὶ στεφανῖται ταῖς αὐτοῦ παραινέσεσιν ἀπεδείχθησαν. Τοσοῦτον δὲ γέγονεν ὑπὲρ ἄνθρωπον ἐκ τῆς εἰς ἄκρον ἀρετῆς καὶ ἀσκήσεως, ὥστε τὴν πόλιν περιερχόμενος[4] οἷς μὲν ἤθελε θεωρητὸς ἦν, τοῖς δὲ λοιποῖς ἀθεώρητος. Περὶ τούτου μαθὼν ὁ Διοκλητιανὸς καὶ αἰσχυνθεὶς εἰς πρόσωπον ὀφθῆναι αὐτῷ, μήποτε πρὸς αὐτοῦ ἐλεγχθείη διὰ τὸ κρατεῖν αὐτὸν ἐν τοῖς λόγοις, ὑπὸ παραπετάσματι διηλέγχθη αὐτῷ· καὶ γνοὺς τὸ τῆς γνώμης αὐτοῦ ἀμετάθετον, μακρὸν αὐτῷ καταδικάζει λιμόν. Ἐπὶ πολλὰς οὖν ἡμέρας ἀπόσιτος γεγονὼς καὶ τροφῆς μὴ μεταλαβὼν ἀπεκαρτέρησεν ἐν αὐτῇ τῇ φρουρᾷ, καταλιπὼν τῇ Νικομηδέων ἐκκλησίᾳ[5] βίβλον γεγραμμένην σελίσι τρισσαῖς, πᾶσαν τὴν παλαιὰν καὶ νέαν διαθήκην περιέχουσαν· ἤσκητο γὰρ ὁ ἅγιος καὶ εἰς κάλλος γράφειν καὶ σοφῶς ἐξελληνίζειν καὶ ἐφερμηνεύειν τὰ θεῖα. Καὶ γὰρ ἀπὸ τοῦ ἑβραϊκοῦ τῆς παλαιᾶς γραφῆς πάσης εἰς τὸ ἑλληνικὸν ἑρμηνεῖαι ἑπτά εἰσι. Καὶ πρώτη μέν ἐστιν ἡ τῶν ἑβδομήκοντα ἑρμηνευτῶν· οἳ ἑβραῖοι ὄντες ἐξελέγησαν ἀπὸ ἑκάστης φυλῆς ἓξ καὶ ἡρμήνευσαν τὴν θείαν γραφὴν ἐπὶ βασιλέως Πτολεμαίου[6] τοῦ Φιλαδέλφου. Δευτέρα ἐστὶν ἡ τοῦ Ἀκύλα. Οὗτος ἀπὸ Σινώπης τοῦ Πόντου ὑπάρχων καὶ ἕλλην ὢν ἐβαπτίσθη ἐν Ἱεροσολύμοις. Μετῄει δὲ τὴν ἀστρονομίαν· πολλὰ δὲ παρὰ τῶν χριστιανῶν νουθετούμενος ἀποστῆναι ταύτης καὶ μὴ συνιών, ἐπείπερ αὐτῷ παρὰ τούτων ἐκλείσθησαν[7] αἱ πύλαι τῆς ἐκκλησίας, μανεὶς ὁ ἄθλιος[8] καὶ διὰ τοῦτο τὸν χριστιανισμὸν ἀθετήσας καὶ τοῖς Ἰουδαίοις προσδραμών, ἡρμήνευσε καὶ αὐτὸς τὴν θείαν γραφὴν διεστραμμένῳ λογισμῷ ἐπὶ Ἀδριανοῦ βασιλέως τοῦ λεπρωθέντος. Τρίτη ἑρμηνεία ἐστὶν ἡ τοῦ Συμμάχου. Οὗτος Σαμαρείτης ὢν καὶ μὴ τιμηθεὶς ὑπὸ τοῦ ἰδίου λαοῦ ὡς φύλαρχος[9], Ἰουδαίοις προστρέχει, καὶ ἐκ δευτέρου περιτέμνεται | καὶ πρὸς f. 56. διαστροφὴν τῶν Σαμαρειτῶν ἑρμηνεύει καὶ αὐτὸς τὴν θείαν γραφὴν ἐπὶ Σευήρου τοῦ βασιλέως. Τετάρτη ἐστὶν ἡ τοῦ Θεοδοτίωνος τοῦ Ἐφεσίου. Οὗτος τῆς αἱρέσεως Μαρκίωνος τοῦ Ποντικοῦ ὢν μηνιῶν τοῖς τῆς αἱρέσεως αὐτοῦ ἡρμήνευσε καὶ αὐτὸς ἐπὶ Κομμόδου[10] τοῦ βασιλέως· πρὸς διαστροφὴν τῆς αὐτοῦ αἱρέσεως. Ἡ πέμπτη ἑρμηνεία ἐν πίθοις εὑρέθη κεκρυμμένη ἐπὶ Καρακάλου τοῦ βασιλέως ἐν Ἱεριχῷ. Ἡ ἕκτη ἑρμηνεία καὶ αὐτὴ[11] ἐν πίθοις εὑρέθη κεκρυμμένη[12] ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίου παιδὸς ἐν Νικοπόλει τῆς προσαρκτίου[13]. Ἡ ἑβδόμη ἑρμηνεία ἐστὶν τοῦ ἁγίου Λουκιανοῦ τοῦ μεγάλου ἀσκητοῦ καὶ μάρτυρος, ὅστις καὶ αὐτὸς ταῖς προγεγραμμέναις ἐκδόσεσι καὶ τοῖς ἑβραϊκοῖς ἐντυχὼν καὶ ἐποπτεύσας μετὰ ἀκριβείας τὰ λείποντα ἢ καὶ περιττὰ τῆς ἀληθείας ῥήματα καὶ διορθωσάμενος ἐν τοῖς οἰκείοις τῶν

— [2] αὐτὸν S. — [3] κατορρωδήσαντας Sa. — [4] διερχόμενος Sa. — [5] τὴν Νικομηδέων ἐκκλησίαν Sa. — [6] Πτωλεμαίου S. — [7] αἱ κλείσθησαν S. — [8] ἄθεος Sa. — [9] φίλαρχος Sa. — [10] Κομώδου S, Sa. — [11] καὶ αὐτὴ *om.* Sa. — [12] κεκριμένη καὶ αὐτὴ S. — [13] πρὸς ἀρκτίους S, (παιδὸς - Ἀρκτίους) *om.* Sa.

Oct. 15. **B** : 1. 3. — **Ba** : inc. mutil. 3. — 2 : Πέτρου τοῦ Ἀβεσσαλώμ. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἀνὴρ ἀνδρεῖος καὶ ἀκμάζων τὴν ψυχήν, νέος καὶ ῥωμαλέος τῷ σώματι, ὁρμώμενος ἀπὸ κώμης Ἀνέας ὁρίου Ἐλευθεροπόλεως· πλεῖστα ἀνδρισάμενος ἐν τοῖς ὑπὲρ εὐσεβείας ἄθλοις καὶ πάντων καταφρονήσας τῶν ἐπιγείων θῦμα εὐπρόσδεκτον τῷ Θεῷ ἐγένετο τὸν διὰ πυρὸς τελέσας ἀγῶνα. — **Bb** : 1. 3. 2 : τῶν ἁγίων μαρτύρων Πέτρου καὶ Ἀβεσάλαμος. — **T** : 1. — **O** : 1. — **G** : deest. — **C** : 1. 3. — **Cb** : 1. 3. — **Cc** : 1. 3. — **M** : 1. — Ἄθλησις μοναχοῦ τινος καὶ μάρτυρος καὶ διήγησις ὠφέλιμος[1]. Μοναχός τις ἦν ἐν τῇ[2] Σκήτει, ὑπείκων πατρὶ ἐπὶ χρόνους τινάς. Οὗτος φθόνῳ τοῦ[3] δαίμονος τῆς ὑπακοῆς ἐκπεσὼν ἐξῆλθε, χωρὶς αἰτίας τινὸς ἐπιβλαβοῦς, ἀπὸ τῶν χειρῶν τοῦ γέροντος, καταφρονήσας καὶ τοῦ ἐπιτιμίου, ἐπιτιμηθεὶς διὰ τὴν τῆς ὑπακοῆς ἀθέτησιν. Κατελθὼν δὲ ἐν Ἀλεξανδρείᾳ τῇ πόλει, ἐκρατήθη παρὰ τοῦ ἐκεῖσε ἄρχοντος, ἀποδυθεὶς καὶ τὸ μοναχικὸν σχῆμα, ὡς κατεπείγοντος αὐτὸν θῦσαι τοῖς εἰδώλοις. Ὡς δὲ οὐδ' ὅλως εἶχε τοῦτον καταπειθῆ, βουνεύροις μὲν πρῶτον ἔτυψεν ἀφειδῶς· εἶθ' οὕτως τὴν κεφαλὴν αὐτοῦ ξίφει ἀποτμηθῆναι ἀπεφήνατο[4]. Ὃν καὶ λαβόντες οἱ παριστάμενοι, ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ, τὸ σῶμα αὐτοῦ[5] ἔξω τῆς πόλεως ῥίψαντες τοῖς κυσί. Τοῦτον φιλόχριστοί τινες, νυκτὸς καταλαβούσης, ἀνελάβοντο καὶ μύροις[6] καὶ ὀθονίοις εἱλήσαντες, ἔθεντο ἐν γλωσσοκόμῳ καὶ ἀπέθεντο ὡς μάρτυρα ἐν τῷ τοῦ ναοῦ θυσιαστηρίῳ. Ἐπιτελουμένης οὖν τῆς θείας μυσταγωγίας καὶ τοῦ ἱεροκήρυκος ἀναβοῶντος τὸ « Ὅσοι κατηχούμενοι » προέλθετε, οἱ κατηχούμενοι προέλθετε· » πάντων ὁρώντων αὐτομάτως τὸ γλωσσόκομον ἐξήρχετο ἄνευ ἀνθρωπίνης χειρός· καὶ ἔμενεν ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας ἄχρι τῆς ἀπολύσεως· καὶ πάλιν αὐτομάτως εἰσερχόμενον ἵστατο, ἐν ᾧ καὶ[2] ετυπώθη[7] τόπῳ ἵστασθαι. Τοῦτο γινόμενον ἐξέπληττε τοὺς ὁρῶντας. Τοῦτο[8] ἀναμαθών καί τις τῶν μεγάλων[9], ἐδεήθη τοῦ Θεοῦ περὶ τούτου, καὶ ταχεῖαν τὴν λύσιν ἐδέξατο. Ἄγγελος γὰρ ἐπιστάς φησι πρὸς αὐτόν· « Τί ἔκθαμβος γέγονας ἐπὶ τῷ γενομένῳ[10]; οὐκ » ἔλαβον οἱ ἀπόστολοι τοῦ Χριστοῦ, ὡς οἶσθα, ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν καὶ ἐξ αὐτῶν πάλιν οἱ » καθεξῆς μαθηταὶ τούτων; Οὗτος οὖν ὁ τὸ αἷμα αὐτοῦ ὑπὲρ Χριστοῦ ἐκχέας ἀδελφὸς καὶ ἐν τῷ

[1] ὠφέλιμος διήγησις Mv. — [2] *om.* Mv. — [3] μισοκάλου *add.* Mv. — [4] προσέταξεν Mv. — [5] τούτου M. — [6] μυρίοις M. — [7] προετοπώθη Mv. — [8] ὅπερ Mv. — [9] εὐδιακρίτων Mv. — [10] γεγενημένῳ Mv.

γραφῶν τόποις ἐξέδοτο τοῖς χριστιανοῖς ἀδελφοῖς· ἥτις μετὰ τὴν ἄθλησιν καὶ μαρτυρίαν αὐτοῦ καὶ μετὰ τὸν διωγμὸν τὸν γενόμενον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων[14] εὑρέθη ἐν Νικομηδείᾳ ἤγουν[15] τὸ ἰδιόχειρον αὐτοῦ τῆς ἐκδοχῆς βιβλίον ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως παρὰ Ἰουδαίοις ἐν τοίχῳ πυργίσκου περικεχρισμένῳ κονιάματι εἰς διαφύλαξιν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ[16] τῷ ὄντι ἔνδον τοῦ ἁγίου μάρτυρος Μωκίου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Πέτρου τοῦ καὶ Ἀβεσαλὼμ[1], ἀθλήσαντος ἐν ἕκτῳ[2] ἔτει τοῦ καθ' ἡμᾶς διωγμοῦ ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. Οὗτος ὑπῆρχεν ἀνὴρ ἀνδρεῖος, ἀκμάζων τὴν ψυχήν, νέος δὲ καὶ ῥωμαλέος τῷ σώματι, ὁρμώμενος ἀπὸ κώμης Ἀναίας[3] ὁρίου Ἐλευθεροπό-
Oct. 15. λεως· πλεῖστα ἀνδρισάμενος ἐν τοῖς ὑπὲρ εὐσεβείας ἄθλοις καὶ πάντων καταφρονήσας τῶν ἐπιγείων, θῦμα εὐπρόσδεκτον ἐγένετο τῷ Θεῷ, τὸν διὰ πυρὸς τελέσας ἀγῶνα.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Σαβίνου τοῦ ἐπισκόπου. Ὁ μακάριος Σαβῖνος διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν γέγονε πρότερον ἐπίσκοπος· εἶτα τοὺς θορύβους ἀπολιπὼν | διὰ τὸ τῆς f. 56v. ἡσυχίας καλόν, καὶ μακρύνας φυγαδεύων ἐν ταῖς ἐρήμοις, τοσοῦτον ἠγωνίσατο πρὸς ἀρετὴν ὡς καὶ χαρισμάτων ἀξιωθῆναι πολλῶν, καὶ[1] νόσους ἀπελαύνειν, λεπροὺς καθαρίζειν[2], δαίμονας διώκειν, ἔτι δὲ καὶ προλέγειν τὰ μέλλοντα· καὶ πολλοὺς διὰ τῆς διδασκαλίας ὠφελήσας[3], ἐν εἰρήνῃ ἐτελειώθη, τὸ μὲν πνεῦμα[4] παραδοὺς τῷ Κυρίῳ, τὸ δὲ σῶμα[5] τῇ συγγενεῖ γῇ, ἔτι καὶ νῦν ἰάματα τοῖς πιστοῖς παρέχων

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ιϛ'.

Oct. 16. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Λογγίνου τοῦ ἑκατοντάρχου. Ὃς ἦν ἐπὶ Τιβερίου Καίσαρος ἐκ τῆς χώρας τῶν Καππαδοκῶν. Οὗτος σὺν τῷ Πιλάτῳ[1] ἐν τῇ Ἰουδαίᾳ διάγων, ἑκατοντάρχης ὑπάρχων καὶ προσταχθεὶς παρ' αὐτοῦ ὑπηρετῆσαι τῷ πάθει τοῦ Χριστοῦ καὶ φυλάξαι τὸν τάφον μετὰ τῆς κουστωδίας, ἥτις ἐστὶ τάγμα στρατιωτικόν, ἰδὼν τὰ ἐπὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ γενόμενα θαύματα, τὸν σεισμόν, τοῦ ἡλίου τὸν σκοτασμόν, τοὺς ἀνοιγέντας τάφους, τοὺς ἐγερθέντας νεκρούς, τὰς σχισθείσας πέτρας, ἀνεβόησεν· « Ἀληθῶς
Matth. 27, 54. » Θεοῦ υἱὸς ἦν οὗτος. » Ὡς δὲ καὶ τὸν τάφον φυλάττων σὺν τοῖς[2] ὑπ' αὐτὸν στρατιώταις[3], τὴν ἀνάστασιν τοῦ Κυρίου ἐπληροφορήθη, ἀποσεισάμενος τὰ διδόμενα αὐτῷ ἀργύρια παρὰ τῶν Ἰουδαίων ἐπὶ διαβολῇ τῆς τοῦ[4] Χριστοῦ ἀναστάσεως, καταλιπὼν τὴν ὑποκειμένην αὐτῷ στρατείαν καὶ τὴν οἰκείαν χώραν καταλαβὼν[5] μεθ' ἑτέρων δύο στρατιωτῶν, οἳ καὶ ὕστερον σὺν αὐτῷ ἐμαρτύρησαν[6], ἀποστολικῶς τὸν Χριστὸν Θεὸν ἀνεκήρυττεν. Ὃ μαθόντες οἱ Ἰουδαῖοι καὶ τὸν Πιλάτον χρημάτων δόσει καὶ ἑτέρων πλειόνων ὑποσχέσει ὑποσύραντες, πείθουσι γράψαι κατ' αὐτοῦ πρὸς Τιβέριον ὅτι[7] Λογγῖνος καταλιπὼν τὴν οἰκείαν στρατείαν

— [14] βασιλέων Sa. — [15] ἤτοι Sa. — [16] ἐν τῷ μαρτυρείῳ αὐτοῦ Sa.

2. — [1] Αὐσελάμου *infra ad d. 11 ianuarii, n. 3*, Ἀψέλαμος *dicitur apud* Eusebium, Mart. Palaest., *X*. — [2] Sa, ἑξακισχιλιοστῷ S. *Cf.* B. Violet, Die Palästinischen Märtyrer, *p. 71*. — [3] Ἀνέας Sa.

3. — [1] *om.* Sa. — [2] καθαιρεῖν Sa. — [3] (καὶ - ὠφελήσας) πολλοὺς δὲ ὠφελήσας διὰ τὰς διδασκαλείας αὐτοῦ Sa. — [4] αὐτοῦ *add.* Sa. — [5] τίμιον αὐτοῦ λείψανον Sa. — [6] παρέχων τοῖς πιστοῖς Sa.

1. — [1] ὢν *add.* Sa. — [2] μετὰ τῶν Sa. — [3] στρατιωτῶν Sa. — [4] τοῦ *supra lin.* Sa. — [5] (καταλιπὼν - καταλαβὼν) *om.* Sa. — [6] καταλιπὼν αὐτίκα τὴν ἐπικειμένην αὐτῷ στρατείαν καὶ τὴν οἰκείαν χώραν καταλαβὼν *add.* Sa. — [7] ὡς ὁ Sa.

Oct. 15. » θυσιαστηρίῳ μὴ συγχωρούμενος κεῖσθαι, τῆς προσφορᾶς τελουμένης, ὑπὸ τοῦ[2] ἀγγέλου διώκεται » ἄχρι τοῦ νάρθηκος. Τοῦ δεῖνα[11] γὰρ τοῦ συνασκητοῦ σου τῆς ὑπακοῆς ἐκτμηθεὶς[12] ὡς μαθητὴς αὐτοῦ » γεγονὼς καὶ εὐλόγως δεσμευθεὶς ὑπ' αὐτοῦ, ἐκεῖθεν ἀπανίσταται δεδεμένος· καὶ ὡς μὲν μάρτυς τὸν » στέφανον ἔλαβεν· ὡς δὲ τὸν δεσμὸν ἔχων οὐ συγχωρεῖται ἔνδον κεῖσθαι, τῆς προσφορᾶς τελουμένης, » εἰ μὴ ὁ δήσας λύσει αὐτόν. » Ταῦτα μεμαθηκὼς ὁ θεῖος πρεσβύτης, λαβὼν τὴν ῥάβδον ἀπῆλθε πρὸς τὸν ἀσκητήν· καὶ ἐξυφάνας αὐτῷ τὸ πᾶν τῆς ἱστορίας, συγκατῆλθε μετ' αὐτοῦ εἰς[13] Ἀλεξάνδρειαν· καὶ τὸν ναόν, ἐν ᾧ τὸ λείψανον ἐναπέκειτο τοῦ νεομάρτυρος[14], καταλαβόντες καὶ τὴν θήκην παρανοίξαντες τοῦ μάρτυρος, τὴν συγχώρησιν ὁμοῦ ἐποιήσαντο· καὶ τοῦτον κατασπασάμενοι, ἔστησαν εἰς δοξολογίαν· καὶ τῆς θείας μυσταγωγίας τελεσθείσης, μεμένηκεν ὁ μάρτυς ἀσάλευτος ἐν τῷ θυσιαστηρίῳ[15] ἔκτοτε καὶ μέχρι τοῦ νῦν. — Σαρβήλου καὶ Βεβαΐας τῆς ἀδελφῆς αὐτοῦ (Ian. 29[4]). — **Mv** : 1. 2. — Βάρσου ἐπισκόπου Ἐδέσης. — Ἄθλησις μοναχοῦ τινος καὶ μάρτυρος. — Σαρβίλου καὶ Βεβαΐας. — **Mb** : 1. — Ἄθλησις μοναχοῦ τινος. — Σαρβίλου καὶ Βεβίας. — **Mr** : 1.

Oct. 16. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 1. 2 (Δομνίνου καὶ τῆς συνοδίας αὐτοῦ ...). — 5. — Θεοφάνους. — 6. — **P** : 1. 5. 6. — Θεοφάνους. — **F** : 1. — Ita des. : Χρόνοις δὲ πολλοῖς ὕστερον, γυνή τις ἐκ Καππαδοκίας τὴν ἐνέργειαν ἀποβαλοῦσα τῶν ὀφθαλμῶν καὶ τὴν ὀπτικὴν ἀπολέσασα δύναμιν, τὰ Ἱεροσόλυμα κατέλαβεν μεθ' υἱοῦ μονογενοῦς, ὡς ἐν τοῖς ἁγίοις τόποις εὑρεῖν δυνησομένη τῆς πηρώσεως ἴασιν. Προστεθείσης δὲ αὐτῇ καὶ τῆς ἀποβιώσεως τοῦ παιδός, διπλῆν ἐτραγῴδει τὴν συμφοράν. Ὄναρ δὲ ταύτῃ ἐπιφανεὶς ὁ ἅγιος Λογγῖνος καὶ ὅστις εἴη γνωρίσας αὐτῇ καὶ ἔνθα κέχωσται ἡ αὐτοῦ κεφαλὴ μηνύσας καὶ προτρεψάμενος αὐτῇ ἀνορύξασαν ταύτην λαβεῖν καὶ οὕτως τυχεῖν τῆς ἰάσεως καὶ τὸν υἱὸν αὐτῆς ἐν δόξῃ ὄντα θεάσασθαι, ἐπεὶ πρόθυμος ἐγένετο ἡ γυνὴ πρὸς ταῦτα[1], καὶ τὴν κόπρον εὑροῦσα καὶ ταῖς χερσὶ διασκάψασα τὴν κεφαλὴν ἀνείλετο. Ἐξ ἀβλεψίας δὲ τὴν ὀπτικὴν ἐνέργειαν ἔλαβε καὶ τὸν υἱὸν ἔδοξεν[2] ὄναρ ἰδεῖν συνόντα τῷ ἁγίῳ καὶ τῆς παρ' αὐτῷ τιμῆς

— [11] δεῖνος Mv. — [12] ἐκπεσὼν Mv. — [13] τὴν *add.* Mv. — [14] μάρτυρος Mv. — [15] κείμενος *add.* Mv.

[1] αὐτὰ F. — [2] ἔδηξεν F.

Oct. 16. ἐν τῇ πατρίδι διάγει, Χριστόν τινα καταγγέλλων βασιλέα τοῖς ἔθνεσι. Τοῦ δὲ Καίσαρος προστάξαντος, ἀνῃρέθη Λογγῖνος[8] καὶ οἱ σὺν αὐτῷ δύο στρατιῶται. Ἤχθη δὲ αὐτοῦ ἡ κεφαλὴ εἰς Ἱερουσαλὴμ τοῦ πληροφορίαν λαβεῖν τοὺς Ἰουδαίους τῆς αὐτοῦ ἀναιρέσεως καὶ ἐφ᾿ ᾧ τὸν Πιλάτον τὰ συμφωνηθέντα λαβεῖν· ἥτις καὶ ἐκρύβη ἐν κόπρῳ τινί. Χρόνοις δὲ ὕστερον γυνή τις ἀπὸ Καππαδοκῶν τυφλή, ἀπελθοῦσα εἰς Ἱεροσόλυμα ἐπιτυχίας f. 57. ἕνεκεν[9] θεραπείας τινὸς | ἐξ ἐπιφανείας θείας εὗρε τὴν ἱερὰν κεφαλὴν καὶ εὐθὺς ἀνέβλεψε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις <ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τῆς Ἰουστινιανοῦ γεφύρας καὶ ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Γεωργίου ἐν τῷ Κυπαρισσίῳ[10].>

2. <Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Λεοντίου, Δομετίου, Τερεντίου καὶ τῶν σὺν αὐτοῖς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις[1]> πλησίον τοῦ Δευτέρου.

3. Τῇ αὐτῇ ἡμέρᾳ[1] σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ ἐπονομαζομένῳ Παραδεισσίῳ.

4. Ἔτι δὲ καὶ τοῦ ἀρχαγγέλου Γαβριήλ.

5. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Μαλοῦ.

6. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντιγόνου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ΄.

Oct. 17. **1.** Μνήμη τοῦ ἁγίου προφήτου Ὠσηέ, ὃς ἑρμηνεύεται σωζόμενος ἢ φύλαξ ἢ σκιάζων. Οὗτος ἦν υἱὸς Βεηρῆ[1] ἐκ Βελεμὼθ[2] φυλῆς Ἰσάχαρ· εὐλαβὴς δὲ ὢν καὶ τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς σεβόμενος καὶ τοὺς τῶν ἐθνῶν θεοὺς μισῶν καὶ ἀποστρεφόμενος καὶ τῶν ὁμοφύλων Ἰουδαίων τὰ σφάλματα καὶ τὰς ἁμαρτίας ἐλέγχων καὶ διορθούμενος ἐδέξατο χαρίσματα προφητείας[3] καὶ πολλὰ προφητεύσας κατά τε τοῦ Ἰσραὴλ καὶ τῶν ἐθνῶν ἔδωκε τέρας ἥξειν τὸν Κύριον ἐπὶ τῆς[4] γῆς ἀνθρώποις συναναστρεφόμενον· καὶ ὅτε δύνει ὁ ἥλιος ἐν Σιλὼμ[5] καὶ μερισθῇ ἡ δρῦς ἡ[4] ἐν Σιλὼμ[5] εἰς δώδεκα μέρη, γενηθήσονται[6] δώδεκα δρύες[7] ἤτοι οἱ δώδεκα ἀπόστολοι καὶ διδάξουσι πάντα τὰ ἔθνη πιστεύειν εἰς[8] τὸν Χριστόν, καὶ δι᾿ αὐτοῦ σωθήσεται πᾶσα ἡ γῆ. Ταῦτα προφητεύσας ἀπέθανε καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐν εἰρήνῃ. Ἦν δὲ λευκὸς τὴν τρίχα, οὐκ εἰς βάθος ἀλλὰ στρογγύλον ἔχων τὸ γένειον· ἐμφερὴς τῷ Ἰωακεὶμ ἢ μᾶλλον τῷ Ἰωσήφ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ καὶ τῶν σὺν αὐτοῖς ἑτέρων τριῶν ἀδελφῶν Ἀνθίμου, Λέοντος καὶ Εὐπρεπίου. Ἰστέον ὅτι τρεῖς εἰσι συζυγίαι[1]

— [8] αὐτός Sa. — [9] χάριν τινός Sa. — [10] (ἐν τῷ μαρτυρείῳ - Κυπαρησσίῳ) Sa, *om.* S, *in quo haec leguntur* : πλησίον τοῦ Δευτέρου, *cf. infra n. 2.*
2. — [1] (τῇ αὐτῇ - σύναξις) Sa, *om.* S, *martyrum nominibus addendum videtur* Δομνίνου, *cf.* Synaxaria selecta *ad hanc et sequentem diem.*
3. — [1] (τῇ αὐτῇ ἡμέρᾳ) καὶ Sa.
1. — [1] Βεηρῖ Sa, Βεηρεὶ Os. *1, 1.* — [2] Βελιμὼθ Sa. — [3] προφητείας χάρισμα Sa. — [4] *om.* Sa. — [5] Σηλὼμ Sa. — [6] γενήσονται Sa. — [7] τουτέστιν ὅτε σταυροῦσι τὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν οἱ Ἰουδαῖοι καὶ θανὼν δύνῃ διαμερισθήσονται δώδεκα φῦλαι τοῦ Ἰσραὴλ εἰς πάντα τὰ ἔθνη καὶ γενήσονται ιβ΄ δρύες *add.* Sa. — [8] εἰς *supra lin.* Sa.
2. — [1] τῶν *add.* Sa.

Oct. 16. ἀπολαύοντα. Ἐν μιᾷ οὖν σορῷ τό τε λείψανον τοῦ παιδὸς καὶ τοῦ ἁγίου τὴν κεφαλὴν κατατίθησιν, τοῦτο γὰρ παρ᾿ αὐτοῦ προσετέτακτο· τὴν Καππαδοκίαν κατέλαβεν, παθοῦσά τι τῷ Σαοὺλ παραπλήσιον, ὃς τὰς πατρικὰς ὄνους ζητῶν βασίλειαν εὕρατο[3]. Καὶ αὐτὴ τῶν ὀφθαλμῶν ἀποβαλέσθαι τὴν πήρωσιν ζητοῦσα, καὶ τούτου τετύχηκεν καὶ θερμὸν προστάτην καὶ ἀντιλήπτορα τὸν ἅγιον εὕρατο ἔκτοτε. — **Fa** : deest. — **Fb** : 1. — **B** : 1. — **Ba** : 1 (= F). — **Bb** : 1. — Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ὁσίου καὶ δικαίου Λαζάρου (Oct. 17[3]). — **T** : 1. — **O** : 1 (= F) : add. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τῆς Ἰουστινιανοῦ γεφύρας καὶ ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Γεωργίου ἐν τῷ Κυπαρισσίῳ[4]. — **G** : inc. mutil. 1. — **C** : 1. 2 : Δομνίνου καὶ τῆς συνοδίας αὐτοῦ. — 5. — Θεοφάνους. — **Cb** : 1. 2 (Δομνίνου). — 5. — Θεοφάνους. — 6. — **Cc** : 1. 2 (Δομνίνου). — 5. — Θεοφάνους. — 6. — **M** : 1. — Μνήμη τῶν συναιρεθέντων δύο στρατιωτῶν τῷ ἁγίῳ Λογγίνῳ. — 2 (Λεοντίου, Δομετίου, Τερεντίου καὶ Δομνίνου). — **Mv** : 1. — τῶν ἁγίων δύο μαρτύρων τῶν συναναιρεθέντων τῷ ἁγίῳ. — 2 (Λεοντίου ... καὶ Δομνίνου). — 5. — **Mb** : 1. — τῶν β΄ στρατιωτῶν. — 2 (... καὶ Δομνίνου). — **Mr** : 1.

Oct. 17. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : Χρυσάνθου καὶ Δαρίας (Mart. 19[2]). — 1. — Καλλινίκου. — **P** : τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Δαρίας ἐπὶ Νουμεριανοῦ βασιλέως, υἱὸς συγκλητικοῦ ὀνόματι Πολεμίου ἐκ πόλεως Ἀλεξανδρείας. — 1. — Λεοντίου, Δομετίου, Δομνίνου καὶ τῆς συνοδίας αὐτῶν πλησίον τοῦ Δευτέρου (Oct. 16[2]). — Τοῦ ἁγίου μάρτυρος Καλλινίκου. — **F** : 1. — Μαλοῦ (Oct. 16[5]). — Καὶ τῶν ἁγίων μαρτύρων Λεοντίου, Δομετίου, Τερεντίου, Δομνήνου καὶ τῆς συνοδίας αὐτῶν πλησίον τοῦ Δευτέρου (Oct. 16[2]). — Καὶ τοῦ ἁγίου μάρτυρος Καλλινίκου. — 2 : Κοσμᾶ καὶ Δαμιανοῦ καὶ τῶν σὺν αὐτοῖς τριῶν ἑτέρων[1] ἀδελφῶν. Οὗτοι τῆς Ἀράβων ὁρμώμενοι γῆς καὶ τῆς ἰατρικῆς ἐπιστήμης ἐν πείρᾳ ὄντες, διήρχοντο κατὰ πᾶσαν πόλιν καὶ χώραν, ἀμισθὶ τὰς ἰατρείας τοῖς δεομένοις παρέχοντες καὶ προφάσει τῆς τέχνης τὴν τοῦ Χριστοῦ καταγγέλλοντες πίστιν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. Συσχεθέντες οὖν ἐν Κιλικίᾳ, παρέστησαν Λυσίᾳ τῷ ἡγεμόνι ἐν Αἰγαῖς[2] τῇ πόλει· καὶ τυφθέντες ἀνηλεῶς καὶ ἀπανθρώπως, τῷ τῆς θαλάσσης βυθῷ ἀπορρίπτονται.

— [3] παθοῦσα - εὕρατο *om.* O, Ba. — [4] Κυπαρισίῳ O.
[1] αὐτοῖς *add.* F. — [2] Ἐγαῖς F.

ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, ἀμφοτέρων τοῖς αὐτοῖς ὀνόμασι καλουμένων[2] καὶ τὴν ἰατρικὴν[3] μετερχομένων καὶ τὴν προσηγορίαν τῆς ἀναργυρίας ἐχόντων. Οἱ μὲν γὰρ ὑπῆρχον υἱοὶ Θεοδότης γυναικὸς εὐλαβοῦς καὶ πιστῆς ἐκ χώρας τῆς Ἀσίας· ἐκοιμήθησαν δὲ ἐν εἰρήνῃ[4] καὶ κατετέθησαν ἐν τόπῳ καλουμένῳ Φερεμᾶν· ὧν καὶ τελεῖται ἡ μνήμη μηνὶ νοεμβρίῳ α΄. Οἱ δὲ ἐν τῇ Ῥώμῃ διῆγον· ἤχθησαν δὲ εἰς τὸ[5] μαρτύριον ἐπὶ τοῦ βασιλέως Καρίνου, καὶ πολλὰ παθόντες, θαυματουργήσαντες αὐτόν τε τὸν βασιλέα[6] καὶ τοὺς ὑπ᾿ αὐτὸν προσήγαγον[7] τῇ πίστει. Διὸ καὶ[8] μετὰ f. 57v τιμῆς πρὸς | τὰ ἴδια ἐξεπέμφθησαν· ὕστερον δὲ ὑπὸ τοῦ ἐπιστατοῦντος αὐτῶν καὶ τῆς κατ᾿ αὐτοὺς τέχνης φθονηθέντες καὶ εἴς τι ὄρος ἀναχθέντες ὡς δῆθεν βοτάνας[9] συλλέξοντες λίθοις ἀναιροῦνται. Ὧν καὶ τελεῖται ἡ μνήμη μηνὶ ἰουλίῳ α΄. Οἱ[10] δέ, ὧν καὶ ἡ παροῦσα μνήμη, ὑπῆρχον ἐκ τῆς[11] Ἀραβίας, ὄντες ἀδελφοὶ κατὰ σάρκα, τὴν ἰατρικὴν μετερχόμενοι τέχνην καὶ πολλοὺς θεραπεύοντες· ἐπὶ Διοκλητιανοῦ δὲ[12] καὶ Μαξιμιανοῦ συλληφθέντες ἐν τῇ Λυκίᾳ, παρέστησαν τῷ Λυσίᾳ[13] ἡγεμονεύοντι τῆς ἐν Αἰγαῖς πόλεως, καὶ παρρησίᾳ ὁμολογήσαντες τὸν Χριστὸν δεσμοῦνται χεῖρας καὶ πόδας καὶ εἰς τὴν θάλασσαν βάλλονται· ἀφ᾿ ἧς ἀγγέλου ἐπιφανέντος διασώζονται. Εἶτα ἐξαφθείσης πυρᾶς εἰς μέσον ὠθοῦνται καὶ παραδόξως ῥαγείσης τῆς γῆς ὑπεισέρχονται· καὶ τῆς πυρᾶς ἀπομαρανθείσης αὖθις ἀνέρχονται, τῶν συμπεσόντων μερῶν ἐν τῷ εἰσελθεῖν αὐτοὺς τῆς γῆς αὖθις διαιρεθέντων. Καὶ σταυρωθέντες βάλλονται λίθοις, τῶν πεμπομένων λίθων εἰς[14] τοὺς βάλλοντας ἀντιστρεφομένων, ταὐτὸ τοῦτο καὶ ἐν τῷ τοξεύεσθαι πασχόντων τῶν τοξευόντων, ὡς πολλοὺς ἐξ αὐτῶν ἀναιρεθῆναι καὶ ῥύακας αἵματος ἐκχυθῆναι. Ἀπορηθέντος[15] οὖν ἐπὶ τούτοις τοῦ ἡγεμόνος, τὴν τελευταίαν διὰ ξίφους δέχονται μαρτυρίαν[16], σὺν τοῖς ἀκολουθοῦσιν αὐτοῖς τρισὶν ἀδελφοῖς Ἀνθίμῳ, Λεοντίῳ[17] καὶ Εὐπρεπίῳ. Oct. 17.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀνακομιδῆς τοῦ λειψάνου τοῦ ἁγίου καὶ δικαίου Λαζάρου, ἣν ἐποιήσατο Λέων ὁ πιστὸς ἐν βασιλεῦσι. Ζήλῳ γὰρ θείῳ κινηθεὶς οὗτος, ὥσπερ ἔκ τινος ἐπιπνοίας πρῶτα μὲν ναὸν δομησάμενος κάλλιστον, μετὰ δὲ ταῦτα ἀποστείλας ἐν τῇ τῶν Κυπρίων νήσῳ, εὗρε τὸ ἅγιον ἐκεῖνο[1] λείψανον ἐν τῇ Κιττιαίων πόλει κείμενον ὑπὸ γῆν ἐν μαρμαρίνῳ[2] λάρνακι, χιλιοστοῦ τάχα παρῳχηκότος χρόνου, ἐν ᾗ ἐγκεκόλαπτο γράμματα ἑτερόγλωσσα· « Λάζαρος ὁ τετραήμερος » καὶ φίλος Χριστοῦ. » Παραυτὰ οὖν ἀράμενοι τὸν τίμιον θησαυρὸν καὶ ἀργυρᾷ σορῷ ἐνθέμενοι, ἀνεκόμισαν ἐν Κωνσταντινουπόλει· καὶ προσκυνήσαντες καὶ τὰ εἰκότα τελέσαντες κατέθεντο σεβασμίως | ἐν τῷ παρὰ τοῦ βασιλέως οἰκοδομηθέντι[3] ναῷ. f. 58. Ἔζησε δὲ μετὰ τὸ ἐκ νεκρῶν αὖθις ἀναβιῶσαι ἔτη δεκαοκτώ, προχειρισθεὶς ἐπίσκοπος ἐν τῇ εἰρη-

— [2] καλούμενοι S, ὀνομαζομένων Sa. — [3] τέχνην *add.* Sa. — [4] οἵτινες ἐν εἰρήνῃ ἐκοιμήθησαν Sa. — [5] (δὲ - τὸ) μὲν πρὸς Sa. — [6] Καρῖνον *add.* Sa. — [7] προσαγαγόντες Sa. — [8] διὸ καὶ *om.* Sa. — [9] βοτάναις S. — [10] ἡ Sa. — [11] χώρας Sa. — [12] δὲ *supra lin.* Sa. — [13] *om.* Sa. — [14] πρὸς Sa. — [15] ἀπορρηθέντος S. — [16] μαρτυρίσαντες S. — [17] Λέοντι Sa.
3. — [1] *om.* Sa. — [2] μαρμαρίνῃ Sa. — [3] αὐτῷ *add.* Sa.

Oct. 17. Περισωθέντες δὲ θείᾳ ῥοπῇ καὶ ἐπὶ τῆς ξηρᾶς εὑρεθέντες, αὖθις ἐν τῇ πυρᾷ τῆς καμίνου ἀκοντίζονται καὶ ἀβλαβεῖς διαφυλαχθέντες σταυρῷ ἀναρτῶνται καὶ τὰς κεφαλὰς ἀποτέμνονται οἱ μακάριοι οὗτοι πεντάδελφοι. — **Fa** : deest. — **Fb** : 1. — Μαλοῦ. — Λεοντίου κτλ. — Καλλινίκου. — **B** : Χρυσάνθου καὶ Δαρείας. — 1. 2. — **Ba** : 1. 3 (= S). — Χρυσάνθου καὶ Δαρείας (= S, Mart. 19[2]). — 2 (= F). — **Bb** : Χρυσάνθου καὶ Δαρείας. — 1. — 2 : Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐξ Ἀραβίας. — **T** : 1. — **O** : Χρυσάνθου καὶ Δαρείας. — **G** : 3. 1. 2. — **C** : Ἀβδᾶ ἐπισκόπου, Βενιαμὶν διακόνου, Ὁρμίσδου, Σουΐνου καὶ λοιπῶν ἐν Περσίδι μαρτυρησάντων (cf. Mart. 31[3], Sept. 5[3]). — Χρυσάνθου καὶ Δαρείας. — 1. 3. 2. — Καλλινίκου. — **Cb** : Ἀβδᾶ κτλ. — Χρυσάνθου καὶ Δαρείας. — 1. 2. — Καλλινίκου. — **Cc** : Ἀβδᾶ ἐπισκόπου, Βενιαμὶν διακόνου, Ὁρμίσδου, Σουΐνου καὶ λοιπῶν ἐν Περσίδι μαρτυρησάντων[2]. Ἐπὶ Θεοδοσίου τοῦ μικροῦ Ἰσδεγέρδης ὁ τῶν Περσῶν τύραννος διαφόρους ἐπενόει τιμωρίας τοῖς χριστιανοῖς, καὶ μετ᾿ αὐτὸν ὁ υἱὸς Γοροράνης. Τὰς δὲ τῶν τιμωριῶν ἰδέας οὐ ῥᾳδίως φράσαι· τῶν μὲν γὰρ τὰς χεῖρας ἀπέδειραν, τῶν δὲ τὰ ψύα, τῶν δὲ τὰς κεφαλάς· ἐνίους δὲ καλάμοις ἡμιτόμοις κάμψαντες καὶ τὰς τομὰς τῷ σώματι προσαρμόσαντες, εἶτα δεσμὰ στεγανὰ ἀπὸ τῆς κεφαλῆς μέχρι τῶν ποδῶν περιθέντες, βίᾳ ἕκαστον τῶν καλάμων ἐξεῖλκον· εἶτα τὸ πελάζον τοῦ δέρματος παρασύραντες, πικρὰς ὀδύνας ἐργάσονται· λάκκους δὲ ὀρύξαντες καὶ τούτους ἀκριβῶς καταχρίσαντες, μυῶν μεγάλων ἀγέλας ἐν αὐτοῖς καθεῖρξαν καὶ τῶν χριστιανῶν χεῖρας καὶ πόδας δεσμήσαντες, ἵνα μὴ τοὺς μύας ἀποδιώκωσιν[3], ἐν τῷ λάκκῳ ἀπέκλειον. Ὁ μέντοι Ἰσδεγέρδης Ἀβδᾶν τὸν ἐπίσκοπον κρατήσας πυρεῖον καταλύσαντα, — πυρεῖα δὲ λέγονται οἱ ναοὶ τοῦ πυρός, — τὸ πυρεῖον οἰκοδομῆσαι προσέταττε· καὶ μὴ πεισθέντα τῷ ξίφει ἀνεῖλε. Γοροράνης δὲ ὁ υἱὸς αὐτοῦ Ὁρμίσδην τινὰ υἱὸν ὑπάρχου προσέταξεν ἀρνήσασθαι τὸν Χριστόν· καὶ μὴ πεισθέντα ἐγύμνωσε τοῦ πλούτου καὶ τῶν ἀξιωμάτων καὶ γυμνὸν ἕλκειν τῆς στρατιᾶς τὰς καμήλους ἐκέλευσε, διαζώματι μόνῳ χρώμενον· καὶ οὕτως ἐν τῇ τοιαύτῃ ἐτελειώθη ὁμολογίᾳ. Σουΐνην δὲ χιλίων οἰκετῶν δεσπότην, ἀντειπόντα αὐτῷ καὶ ἀρνηθῆναι τὸν ποιητὴν οὐκ ἀνασχομένου, ἐρωτήσας ὅστις εἴη τῶν οἰκετῶν ὁ κάκιστος, ἐκείνῳ τῶν ἄλλων τὴν δεσποτείαν παρέδωκε· καὶ τὸν δεσπότην ἐκείνῳ δουλεύειν προσέταξε καὶ τὴν τοῦ δεσπότου ὁμόζυγα συνέζευξε τῷ δούλῳ βουλόμενος μεταπείσειν αὐτόν. Ὁ δὲ μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν ἀντικαταστὰς οὕτως ἐτελειώθη. Βενιαμὶν δέ τινα διάκονον διδάσκοντα τὸν λαὸν τὴν τοῦ Χριστοῦ πίστιν, χαλεπήνας[4], εἴκοσι καλάμους ὀξύνας τοῖς τῶν χειρῶν καὶ τῶν ποδῶν ἐνέπειρεν ὄνυξιν· καὶ ἕτερον κάλαμον ὀξύνας, τῷ παιδογόνῳ μορίῳ

— [2] *in margine scripsit manus rec.* μαρτ. λα΄ Cc. — [3] ἀποδιώκουσιν Cc. — [4] χαλεπίναις Cc.

Oct. 17. μένη Κιττιαίων πόλει [4] παρὰ Πέτρου τοῦ ἀποστόλου καὶ πρώτου τῶν τοῦ Χριστοῦ μαθητῶν· ὃς καὶ λίμνην ἐπ' ἀμφιβόλῳ κειμένην δυσί τισιν ἀδελφοῖς καὶ τούτοις ὑπόθεσιν οὐ μικρᾶς στάσεως γινομένην, διὰ προσευχῆς ἐξήρανε καὶ εἰς ἅλατος φύσιν αὐτὴν ἐπήξατο. Μετὰ δὲ τὴν ἀνακομιδὴν τοῦ λειψάνου αὐτοῦ, δαίμονας ἀπελαύνει, ὀχλουμένους ἰᾶται τῇ τῆς θήκης προσψαύσει, γυναικὸς αἱμόρροιαν ἀναχαιτίζει, χεῖρα παρειμένην κρατύνει τὸ ἐκ τοῦ αὐτοῦ καὶ μόνον λυχνιδίου ἐπιχριόμενον ἔλαιον, ὀφθαλμοὺς νοσοῦντας τὸ πρὶν στολίζει κάλλος καὶ ἄλλα πλείω εἰσέτι διατελῶν οὐκ ἀνίησιν, εἰς δόξαν τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, τοῦ [5] κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν [6].

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Πάπα.

5. Καὶ τοῦ ἁγίου ἱερομάρτυρος Ῥηγίνου ἐπισκόπου Σκοπέλων, ὃς ἤθλησεν ἐπὶ Διοκλητιανοῦ [1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Oct. 18. **1.** Μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ. Οὗτος ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς μεγάλης, ἰατρὸς τὴν τέχνην καὶ ἄκρος τὴν ζωγραφικὴν ἐπιστήμην. Ἀκούων δὲ περὶ τῆς [1] ἐν Ἱεροσολύμοις διατριβῆς τοῦ Χριστοῦ καὶ περὶ τῶν αὐτοῦ παραδόξων θαυμάτων, καταλιπὼν τὴν Ἀντιόχειαν ἐνεδήμησε τοῖς ἐν Ἱεροσολύμοις, καὶ γνήσιος μαθητὴς τοῦ Χριστοῦ ἐχρημάτισε. Μετὰ δὲ τὴν τοῦ Κυρίου ἀνάληψιν συνέκδημος καταστὰς τοῦ Παύλου, συνεγράψατο τὸ κατ' αὐτὸν εὐαγγέλιον· ἔπειτα καὶ τὰς πράξεις τῶν ἀποστόλων. Ἐν ταῖς Θήβαις δὲ ταῖς ἑπταπύλαις [2] τῆς [1] Βοιωτίας [3] ἀρχιερεὺς ὑπὸ τοῦ ἁγίου προχειρισθεὶς Πνεύματος, καὶ περὶ τὰ ὀγδοήκοντα ἐφθακὼς ἔτη, ἐν εἰρήνῃ τελειοῦται [4].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Μαρίνου τοῦ γέροντος. Ὃς ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ [1] τὸ πρῶτον καὶ Ἀριστοβούλου [2]. Παραστὰς δὲ τῷ τῆς

— [4] Κιττιαία τῇ πόλει Sa. — [5] καὶ Sa. — [6] (ᾧ - ἀμήν) *om.* Sa.
5. — [1] τοῦ βασιλέως *add.* Sa.
1. — [1] τοῖς Sa. — [2] ἑπταπύλοις Sa. — [3] Βιωτίας S, Sa. — [4] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
2. — [1] τοῦ βασιλέως *add.* Sa. — [2] Ἀριστοβόλου Sa.

Oct. 17. ἐνέβαλε· καὶ τοῦτον συνεχῶς ἐξαίρων τε καὶ ἐνείρων, ἀρρήτους τινὰς ἀλγηδόνας ἐνεποίει· εἶτα ῥάβδον
παχεῖαν, κλάδων ὄζους πάντοθεν ἔχουσαν, εἰσωσθῆναι [5] διὰ τῆς ἕδρας ἐκέλευσε· καὶ οὕτως ἀπήλλαξεν
αὐτοὺς τῆς παρούσης ζωῆς. — Χρυσάνθου καὶ Δαρείας. — 1. 3. 2. — Καλλινίκου. — **M** : 1. 3. 2. —
Χρύσανθος καὶ Δαρεία. — Τοῦ ἁγίου μάρτυρος Κλαυδίου τοῦ τριβούνου τοῦ τιμωρήσαντος τοὺς
ἁγίους Χρύσανθον καὶ Δαρείαν (Mart. 19[2]). — Τῆς ἁγίας μάρτυρος Ἱλαρίας τῆς αὐτοῦ γυναικός
(Mart. 19[2]). — Τῶν ἁγίων μαρτύρων Μαύρου καὶ Ἰάσωνος (Mart. 19[2]). — **Mv** : 1. — Ἀνδρέου τοῦ ἐν
τῇ Κρίσει (Oct. 19[7]). — 3. 2. — Χρυσάνθου καὶ Δ. — Κλαυδίου. — Ἱλαρίας. — Μαύρου καὶ Ἰάσωνος. —
Mb : 1. 3. 2. — Χρυσάνθου καὶ Δ. — Κλαυδίου. — Ἱλαρίας. — Μαύρου καὶ Ἰάσωνος. — **Mr** : 1. —
Ἀνδρέου.

Oct. 18. SYNAXARIA SELECTA. **Sa** : 1, add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ναῷ τῶν μεγάλων ἁγίων
ἀποστόλων, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ λείψανον ἀπόκειται. — 2. — **H** : 1. — **P** : 1 : Τοῦ ἁγίου ἀποστόλου
καὶ εὐαγγελιστοῦ Λουκᾶ· Ἀντιοχεὺς τὸ γένει οὗτος ἦν, ἰατρὸς τέχνῃ ἐπὶ Τραϊανοῦ βασιλέως. — **F** : 1 :
Λουκᾶ. Ὃς ὑπῆρχεν Ἀντιοχεὺς τὸ γένος, ἰατρὸς τὴν τέχνην καὶ ἄκρος τὴν ζωγραφικὴν ἐπιστάμενος
ἐπιστήμην. Οὗτος ἐνδημῶν Θήβαις ταῖς ἑπταπύλαις καὶ ἐντυχὼν τῷ Παύλῳ καὶ πιστεύσας τῷ Χριστῷ,
ἀπώσατο τὴν πατρῴαν πλάνην καὶ τῇ περὶ τὰ [1] σώματα θεραπείᾳ τὴν [2] τῶν ψυχῶν προσελάβετο.
Συνεγράψατο δὲ τὸ κατ' αὐτὸν [3] εὐαγγέλιον ὑπαγορεύσαντος αὐτῷ τοῦ μακαρίου Παύλου, ἔτι δὲ καὶ
τὰς πράξεις τῶν ἀποστόλων. Μετὰ δὲ τὸ ὑπαναχωρῆσαι αὐτὸν ἀπὸ τῆς Ῥωμαίων πόλεως καὶ τὸν
Παῦλον ἐγκαταλιπεῖν, πᾶσαν τὴν Ἑλλάδα διδάξας, ἐν Θήβαις τῆς Βοιωτίας, ὥς φασιν, ὀγδοήκοντα
γενόμενος ἐτῶν καὶ ὑπὸ τῶν διωκτῶν συσχεθεὶς διὰ τὴν διδαχὴν αὐτοῦ κατακρίνεται σταυρῷ· ὅθεν καὶ
ἐπὶ ἐλαίας προσπαγεὶς σταυροειδῶς ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. Ἐν ᾧ δὲ τόπῳ κατετέθη
τὸ σῶμα αὐτοῦ, δοξάζων ὁ Θεὸς τὸν ἴδιον ἐργάτην καὶ θεράποντα κολλύρια [4] ἔβρεξεν ἐπάνω τοῦ
μνήματος αὐτοῦ, σύμβολον τῆς αὐτοῦ ἐπιστήμης· ὅθεν καὶ γνωριμώτερος γέγονε τοῖς πᾶσιν ὁ τάφος
αὐτοῦ. Ὁ δὲ Κωνστάντιος, ὁ καὶ υἱὸς τοῦ μεγάλου ἐν βασιλεῦσι Κώνσταντος, μετακομίζει ἐκ Θηβῶν τὸ
λείψανον αὐτοῦ διὰ Ἀρτεμίου τοῦ δουκὸς Αἰγύπτου καὶ μάρτυρος καὶ κατατίθησιν αὐτὸ ἐν τῷ μεγίστῳ
ναῷ τῶν ἁγίων ἀποστόλων ἐν Κωνσταντινουπόλει. Φασὶ δὲ αὐτὸν πρῶτον τὴν εἰκόνα Χριστοῦ τοῦ
Θεοῦ καὶ τῆς αὐτὸν τεκούσης καὶ τῶν κορυφαίων ἀποστόλων διὰ ζωγραφικῆς τέχνης ζωγραφῆσαι,
κἀκεῖθεν εἰς πᾶσαν τὴν οἰκουμένην ἐξενεχθῆναι τὸ τοιοῦτον εὐσεβὲς καὶ πάντιμον ἔργον. — 2. — **Fa** :
deest. — **Fb** : 1. 2. — **B** : 1. — **Ba** : 1 (= F). 2 (= S). — **Bb** : 1. 2. — **T** : 1. — **O** : 1. — **G** : 1. —
C : 1. 2. — **Cb** : 1. 2. — **Cc** : 1. 2 : Μαρίνου τοῦ γέροντος [5]. Οὗτος ἦν ἐκ Ταρσοῦ τῆς Κιλικίας ἐπὶ
Διοκλητιανοῦ. Κρατηθεὶς δὲ προσήχθη τῷ Λυσίᾳ ὑπὸ Εὐδοξίου καὶ Εὐσεβίου τῶν ὀρδηναρίων. Ὃν
ἰδὼν ἔφη· « Ὦ μιαραὶ κεφαλαί, τοὺς πλουσίους δῶρα λαβόντες καὶ ἀφέντες τὸν πένητα κρατήσαντες
» ἠγάγετε; » Ἀλλ' εἶπε <ὁ Λυσίας [6]> · « Γέρων, τίς καλῇ; » Ὁ δὲ ἔφη· « Χριστιανός. » Λυσίας εἶπεν·
« Εἰπὲ τοὔνομα. » Ὁ δὲ ἔφη· « Μαρῖνος. » Ὁ δὲ ἔφη· « Θῦσον τοῖς θεοῖς καὶ ἀπαλλάγηθι βασάνων. »

— [5] ἰσωθῆναί Cc.
[1] *corr.* F. — [2] τῇ F. — [3] αὐτῶν F. — [4] κουλλούρια F. — [5] *in marg. manu rec.* : ζήτει δεκεμβρίῳ ιζ' καὶ αὐγούστου η'. —
[6] *om.* Cc.

Κιλικίας ἡγεμόνι, ῥάβδοις τύπτεται [3] σφοδρῶς καὶ σιδήροις πεδηθεὶς [4] τοὺς πόδας τῇ φρουρᾷ ἐναποτίθεται, καὶ πάλιν ἕωθεν παραστὰς ξύλῳ ἀναρτᾶται ἐξ ἄκρων ποδῶν. Καὶ τυφθεὶς ἀνηλεῶς | καὶ καθαιρεθεὶς ἀπὸ τοῦ ξύλου, τὴν διὰ ξίφους ὑπομένει τιμωρίαν, τῷ Θεῷ τὸ πνεῦμα ἀπενεγκάμενος. Oct. 18. f. 58v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

1. Μνήμη τοῦ ἁγίου προφήτου Ἰωήλ, ὃς ἑρμηνεύεται ἀγάπη Κυρίου ἢ ἀρχὴ ἢ ἀγάπη Θεοῦ ἢ ἀπαρχὴ Θεοῦ. Οὗτος ἦν ἐκ σπέρματος Ῥουβίμ, ἀγροῦ Μεθομόρων [1]· καὶ προφητεύσας περὶ λιμοῦ καὶ ἐκλείψεως θυσιῶν καὶ πάθους προφήτου δικαίου, ὃν καὶ ἐκ παρθένου μέλλειν τεχθήσεσθαι <ἔφησε καὶ [2]> δι' αὐτοῦ [3] ἀνακαινίζεσθαι εἰς σωτηρίαν πᾶσαν τὴν κτίσιν, ἔτι δὲ [4] καὶ περὶ τοῦ ἁγίου Πνεύματος, ὃ ἔλαβον οἱ ἀπόστολοι ἐν τῇ
Act. 2, 17. μεγάλῃ ἑορτῇ τῆς πεντηκοστῆς, εἰπὼν ὅτι· « Τάδε
» λέγει Κύριος· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις
» ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου » καὶ ἑξῆς, ἐν εἰρήνῃ ἐκοιμήθη καὶ ἐν τῇ ἰδίᾳ γῇ ἐτάφη.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Οὐάρου καὶ τῶν σὺν αὐτῷ. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ βασιλέως στρατευόμενος ἐν Αἰγύπτῳ, γένους ἐπισήμου καὶ εὐσεβοῦς. Ἐγκλεισθέντων δέ τινων ἁγίων ἑπτὰ τὸν ἀριθμὸν ἐπὶ χρόνον πολύν [1], ἐπεμελεῖτο αὐτῶν ὁ ἅγιος Οὔαρος καθ' ἑκάστην. Ἑνὸς δὲ τῶν ἑπτὰ ἀναπαυσαμένου, ἐνέταξεν ἑαυτὸν ἀντ' ἐκείνου ὁ ἅγιος καὶ πρὸς τὸν ἡγεμόνα μετὰ τῶν λοιπῶν ἀχθεὶς τύπτεται ῥοπάλοις καὶ ἐπὶ πολὺ ξέεται τὰς πλευρὰς καὶ ἐν αὐταῖς ταῖς βασάνοις ἐπὶ πέντε ὥραις παραταθείσαις τὴν ψυχὴν ἀποδίδωσι.

Oct. 19. **3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Σαδὼθ καὶ τῶν σὺν αὐτῷ ἑκατὸν εἴκοσι τελειωθέντων ἐν Περσίδι ἐπὶ Σαβορίου [1] βασιλέως. Οὗτος ἐπίσκοπος ὢν τύπτεται ἀφειδῶς πολλαῖς ῥάβδοις [2] καὶ ἀπὸ τοῦ δέρματος αὐτοῦ ἀφαιρεῖται λῶρος δακτύλου τὸ πλάτος· καὶ αὖθις βουνεύροις τύπτεται καὶ ἐπ' ἀκανθῶν καὶ σκολόπων σύρεται καὶ τοὺς δακτύλους καθ' ἁρμονίαν [3] τέμνεται· καὶ θλίβεται καὶ κατασφίγγεται ἐμβληθεὶς εἰς κοχλίαν· εἶτα ὀβελίσκοις πεπυρωμένοις τὸ σῶμα κεντεῖται [4] καὶ κρεμᾶται κατὰ κεφαλῆς καὶ τὴν γλῶτταν τέμνεται. Διὸ καὶ χιλίοις διακοσίοις ἑβδομήκοντα ἀνδράσι ψυχικῆς σωτηρίας πρόξενος γίνεται· εἶτα τὴν κεφαλὴν ἀποτέμνεται σὺν ἑτέροις ἑκατὸν εἴκοσι. Ἱστόρειται δὲ τὸν μακάριον [5] Σαδὼθ πρὸ
f. 59. τοῦ κατασχεθῆναι αὐτὸν ἰδεῖν κα|τ' ὄναρ τὸν πρὸ αὐτοῦ ἐπίσκοπον ἱερομάρτυρα Συμεὼν ἱστάμενον ἐπὶ κλίμακος καὶ πρὸς τὴν ἄνοδον [6] αὐτὸν ἐκκαλούμενον, δηλοῦντα πάντως τὴν διὰ τοῦ [7] μαρτυρίου ἀνάβασιν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μνάσωνος ἐπισκόπου Κύπρου.

5. Καὶ Μοδέστου ἐπισκόπου Ἱεροσολύμων.

6. Καὶ τὰ [1] ἐγκαίνια τοῦ ἁγίου [2] Τρύφωνος τοῦ ὄντος ἔνδον τοῦ ἀποστολείου τοῦ ἁγίου ἀπο-

— [3] τύπτεται ῥάβδοις Sa. — [4] ὑποδεθεὶς Sa.
1. — [1] Μεθομόρρων Sa. — [2] ἔφησε καὶ Sa, *om.* S. — [3] καὶ *add.* S. — [4] *supra lin.* Sa.
2. — [1] πολὺν χρόνον Sa.
3. — [1] Σαβωρίου Sa. — [2] καὶ τέμνεται ἀπὸ τοῦ μετόπου μέχρι τῶν ὀνύχων *add.* F. — [3] κατὰ ἁρμονίας Sa. — [4] κεντᾶται Sa. — [5] τῷ μακαρίῳ Sa. — [6] καὶ *add.* Sa. — [7] *om.* Sa.
6. — [1] *om.* Sa. — [2] μάρτυρος *add.* Sa.

Oct. 18. Ὁ δὲ μὴ πεισθεὶς ἀλλ' ὁμολογήσας τὸν Χριστόν, γυμνοῦται τῶν ῥακίων καὶ τύπτεται. Εἶτα κρεμᾶται καὶ ξέεται καὶ τὰς πλευρὰς καταφλέγεται καὶ τέλος ἔξω τῆς πόλεως ἀποκεφαλίζεται· καὶ τὸ λείψανον αὐτοῦ παρὰ φιλοχρίστων ἀνδρῶν Ἀνθία [7] καὶ Σαπρικίου ἐτέθη ἐν Ἀναζαρβουπόλει [8]. — **M** : 1. 2. — Ἰουλιανοῦ (Ian. 17[2]). — **Mv** : 1. 2. — Ἰουλιανοῦ. — **Mb** : 1. 2. — Ἰουλιανοῦ. — **Mr** : 1.

Oct. 19. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τοῦ Κανστρισίου πλησίον τοῦ ἁγίου Μάμαντος. — **H** : 3. 4. 5. — Ἀμφιλοχίου (Nov. 23[2]). — 1. — **P** : 3. — Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ἐν τοῖς χρόνοις Οὐαλεντινιανοῦ τοῦ μεγάλου καὶ Οὐάλεντος τῶν βασιλέων, παρατείνας μέχρι Θεοδοσίου τοῦ μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ. — 1. 2. 4. 5. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. — **B** : 3. — Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου. Οὗτος προχειρίζεται ἐπίσκοπος Ἰκονίου ὑφ' ἁγίων ἀγγέλων [1], οὐκ ἀνθρωπίνης χειρός. Συναγωνιστὴς δὲ γενόμενος τῶν ἁγίων πατέρων Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου καὶ Γρηγορίου τοῦ Νύσσης, κατὰ τῶν αἱρετικῶν παρετάξατο [2] Ἀρείου [3], Εὐνομίου καὶ τῶν ὁμοίων. Παρετάθη δὲ ἡ ζωὴ αὐτοῦ μέχρι Θεοδοσίου τοῦ μεγάλου. Ὃν καὶ ἠξίωσε κωλῦσαι τῶν Ἀρειανῶν τὰς ἐν ταῖς πόλεσι συνάξεις. Βαρὺ δὲ νομίσαντος τοῦτο τοῦ βασιλέως διὰ τὴν ταραχήν, τότε μὲν ἡσύχασεν [4], ὕστερον δὲ κατά τινα χρείαν εἰσελθὼν πρὸς τὸν βασιλέα καὶ τὸν υἱὸν αὐτοῦ Ἀρκάδιον ἰδὼν τῷ πατρὶ συγκαθήμενον, τὸν μὲν Θεοδόσιον προσεκύνησε, τὸν δὲ υἱὸν παρῆλθε. Τοῦ δὲ βασιλέως εἰπόντος· « Ἵνα τί τὸν υἱόν μου παρέ» δραμες; » ἔφη· « Γνῶθι, βασιλεῦ, ὅτι ὥσπερ σὺ ἠγανάκτησας τοῦ υἱοῦ παραβλεπομένου, οὕτω καὶ ὁ Θεὸς καὶ Πατήρ, τοῦ Υἱοῦ καὶ Λόγου ὑβριζομένου. » Ὅθεν πεισθεὶς ὁ βασιλεὺς ἐποίησε τὸ τοῦ ἁγίου θέλημα. Οὕτω δὲ ζήσας εὐσεβῶς, πρὸς Κύριον ἐξεδήμησεν. — 1. — **Ba** : 1. 2 (= S). 3 (= S). — Ἀμφιλοχίου. — **Bb** : 3. — Ἀμφιλοχίου, mutil. — **T** : 1. 2. — **O** : 1. — **G** : 1. 2. — **C** : 3. — Ἀμφιλοχίου. — 1. 4 : τοῦ ἁγίου Μνάσωνος ἐπισκόπου Ἱεροσολύμων. — **Cb** : 3 : Σαδὼθ ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ ἁγίων μαρτύρων ρκ' [5] τῶν ἐν Περσίδι. Οὗτος ὁ ἅγιος Σαδὼθ ὑπῆρχεν ἐπὶ Σαβωρίου τοῦ βασιλέως τῶν Περσῶν· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν τῷ βασιλεῖ προσήχθη καὶ αὐτῷ μὴ πεισθεὶς τύπτεται ἀνηλεῶς

— [7] Ξανθία *in Passione*, Act. SS., *Aug. t. II, p. 348.* — [8] Ἀζαρβουπόλει Cc.
[1] ἐφ' ἁγ. ἀγγ. B, ὑπὸ ἀγγέλων ἁγίων Ba. — [2] παρετάξαντο Ba. — [3] καὶ *add.* B. — [4] ἡσύχαζεν Ba. — [5] *correxi*, ρκε' Cb.

Oct. 19. στόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου πλησίον τῆς μεγάλης ἐκκλησίας.

7. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ὁσιομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ [1] Κρίσει. Ὃς ἦν τῆς τῶν Κρητῶν νήσου, ἐκ παιδὸς πᾶσαν ἀρετὴν ἐξασκήσας καὶ τὸν μονήρη βίον μετερχόμενος. Ἐν δὲ τοῖς τῶν εἰκονομάχων χρόνοις καταλαβὼν τὴν Κωνσταντινούπολιν καὶ πέραν ἐν τοῖς τοῦ μεγαλομάρτυρος [2] Μάμαντος παλατίοις εὑρὼν τὸν βασιλέα Κωνσταντῖνον τὸν Κοπρώνυμον ἐξέτασιν ποιούμενον ὀρθοδόξων ἀσκητῶν καὶ μέγα στενάξας φησὶ πρὸς αὐτόν· «Ἆρα χριστιανὸς εἶ, βασιλεῦ;» Καὶ ἅμα τῷ λόγῳ ἀνάρπαστος γίνεται καὶ βουνεύροις τύπτεται· καὶ λίθοις τὸ στόμα θραύεται· καὶ φρουρᾷ δυσωδεστάτῃ ἐγκλείεται· καὶ αὖθις παρὰ τοῦ ὑπάρχου τῆς πόλεως τύπτεται βουνεύροις καὶ σχοινίοις [3] δεθεὶς εἰς τὴν λεωφόρον σύρεται. Κατὰ δὲ τὴν τοῦ Βοὸς ἀγορὰν ἀξίνῃ μακελλικῇ τὸν δεξιὸν πόδα κοπεὶς τῷ Θεῷ τὴν ψυχὴν παρατίθεται· τὸ δὲ τίμιον αὐτοῦ λείψανον εἰς τὸν τῶν κακούργων ἀπορρίπτεται τόπον, ᾧ Κρίσις τὸ ὄνομα [4].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ΄.

Oct. 20. f. 59v. **1.** Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου, δοὺξ καὶ αὐγουστάλιος γεγονὼς Ἀλεξανδρείας καὶ πατρίκιος διαπρέψας ἀπὸ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως. Ἀκούσας δὲ Ἰουλιανὸν ἐν Ἀντιοχείᾳ τοὺς χριστιανοὺς τιμωρούμενον, παρεγένετο πρὸς αὐτὸν αὐτόκλητος τὴν παρανομίαν αὐτοῦ διελέγχων· τύπτεται οὖν παρ' αὐτοῦ βουνεύροις καὶ τριβόλοις ὀξέσι κατὰ τοῦ νώτου ξέεται· καὶ ὀγκίνοις τὰς πλευρὰς καὶ τὰ βλέφαρα διαπείρεται· καὶ ὑπὸ λιθοξόων πέτρας διαιρεθείσης, μέσον ἐμβάλλεται καὶ τῆς πέτρας ἑκατέρωθεν τῶν μερῶν ἐπ' αὐτὸν συμ|πεσόντων ἀποληφθεὶς ἔνδοθεν τὴν ἀφόρητον τιμωρίαν ὑφίσταται, ἐκπεσόντων [1] αὐτοῦ τῶν ὀφθαλμῶν καὶ τῶν ἐγκάτων ἐκ τῆς κατὰ φύσιν ἱδρύσεως κάτω συνελαθέντων. Εἶτα τὴν διὰ ξίφους δέχεται τελευτήν, πολλῶν θαυμάτων ἐπιδείξεις καὶ ἐνεργείας καθ' ἑκάστην ποιῶν. Ἀνεκομίσθη δὲ τὸ τίμιον αὐτοῦ λείψανον παρά τινος διακόνου τοὔνομα Ἀρίστης, καὶ κατετέθη εἰς τὸν [2] ναὸν τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου [3] ἐν τῇ Ὀξείᾳ, ἐν ᾧ καὶ ἡ σύναξις αὐτοῦ ἐπιτελεῖται.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων Τερτίου ἐπισκόπου Ἰκονίου, Μάρκου ἐπισκόπου Ἀπολλωνιάδος [1], ἀνεψιοῦ Βαρνάβα καὶ Ἰησοῦ τοῦ λεγομένου Ἰούστου ἐπισκόπου Ἐλευθεροπόλεως.

3. Καὶ Ἀρτεμίου [1] τοῦ ἐν Λύστροις ἐπισκοπήσαντος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ΄.

Oct. 21. f. 60. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν [1] Ἱλαρίωνος, πρεσβυτέρου γενομένου καὶ ἀναχωρητοῦ τῆς ἐρήμου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου ἐν τῇ Γαζαίων πόλει, γεννηθεὶς ἐν Παλαιστίνῃ ἐν κώμῃ Θαβαθᾷ [2] ἐξ ἀπίστων γεννητόρων· ἔρωτι δὲ τῆς παιδεύσεως παρεγένετο ἐν Ἀλεξανδρείᾳ· καὶ τῇ τοῦ Θεοῦ χάριτι ἀμφοτέρων ἔλαβε τὴν γνῶσιν, τήν τε τοῦ Χριστοῦ καὶ τὴν τῶν γραμμάτων· καὶ τῷ θείῳ βαπτίσματι κατηρτίσθη. Περὶ [3] τῆς πολιτείας δὲ [4] ἀκούσας τοῦ μεγάλου Ἀντωνίου, ζηλωτὴς αὐτοῦ γέγονε, καὶ διέμεινε παρ' αὐτῷ ἐπί τινα χρόνον τὴν ἀσκητικὴν διαγωγὴν καταμανθάνων αὐτοῦ. Καὶ ὑποστρέψας ἐν τῇ πατρίδι μετὰ τὴν τῶν γεννητόρων αὐτοῦ [4] τελευτὴν τὰ προσόντα πάντα διένειμε τοῖς πτωχοῖς, καὶ καταλαμβάνει τὴν ἔρημον ἐσθήματι τρυχίνῳ καὶ μηλωτῇ σκεπόμενος· καὶ τὴν ἄκραν ἄσκησιν καὶ ἐγκράτειαν μετελθών, διὰ καθαρότητα βίου προλέγειν τὰ μέλλοντα χάριν ἔλαβε· πολλῶν τε καὶ μεγάλων θαυμάτων αὐτουργὸς γέγονε· πολλὰς δὲ διήμειψε χώρας, τὴν ἐξ ἀνθρώπων ὄχλησιν φεύγων καὶ τὴν κενοδοξίαν· καὶ γὰρ πανταχόθεν συνέτρεχον πρὸς αὐτόν, διὰ τὰ παρ' αὐτοῦ τελούμενα θαύματα. Ἐβίωσε δὲ ἔτη ὀγδοήκοντα, τελέσας ἐν τῇ τῆς ἀ|σκήσεως ἀγωγῇ χρόνους ἑβδομήκοντα, καὶ πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἐπισκόπου γενομένου Κωνσταντίας τῆς Κύπρου καὶ θαυματουργοῦ Ἐπιφανίου, πλησίον τοῦ ἁγίου μάρτυρος Φιλήμονος ἐν τῷ Στρατηγίῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Δασίου, Ζωτικοῦ καὶ Γαΐου. Οὗτοι ἐν Νικομηδείᾳ διάγοντες, δημοτελοῦς τοῖς εἰδώλοις ἑορτῆς γενομένης [1] παρρησιασάμενοι τὰ ἐπὶ τοῖς βωμοῖς κείμενα κατέστρεψαν. Ὡς ἀσεβήσαντας οὖν εἰς τοὺς θεοὺς κατέσχον καὶ τῷ δικαστῇ προσήγαγον. Ὁ δὲ πᾶσαν πεῖραν βασάνων αὐτοῖς προσαγαγὼν καὶ εἰς τὸ ξύλον ἀναρτήσας καὶ πληγαῖς τὰς πλευρὰς αὐτῶν διαρρήξας καὶ τριχίνοις ὑφάσμασι καταξάνας καὶ λίθους βαρεῖς τοῖς τραχήλοις αὐτῶν περιθεὶς κατηκόντισε τῷ βυθῷ, ἔνθα καὶ τὸ τέλος τῆς μαρτυρίας ἐδέξαντο.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ φωτὸς τοῦ ἐν τῷ οὐρανῷ φανέντος.

4. Καὶ μνήμη τοῦ ὁσίου Ἰακώβου τοῦ γενομένου οἰκονόμου τῆς μονῆς τοῦ σωτῆρος Χριστοῦ [1] τοῦ Βαθέος Ῥύακος· ὃς ὥρμητο ἐκ τῆς δευτέρας τῶν Καππαδοκῶν ἐπαρχίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ΄.

Oct. 22. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἰσαποστόλου πατρὸς ἡμῶν Ἀβερκίου ἐπισκόπου Ἱεραπόλεως Φρυγίας Σαλουταρίας. Οὗτος γέγονεν ἐπὶ τῆς βασιλείας Μάρκου Ἀντωνίνου θαυμάτων πολλῶν καὶ ἰάσεων δημιουργός [1]. Καὶ γὰρ δαίμονας ἐξ ἀνθρώπων ἀπήλασε πλείστους, καὶ πρὸς τὴν Ῥώμην πόλιν [2] κατὰ πρόσταξιν τοῦ βασιλέως Ἀντωνίνου διὰ τὸ τὴν θυγατέρα αὐτοῦ ἰάσασθαι, ἀνακαλουμένου τοῦτον τοῦ δαίμονος, παραγενόμενος, ἀσύγχυτον φυλαχθῆναι τὴν κρᾶσιν τῶν διαφόρων εἰδῶν τοῦ τε οἴνου, ἐλαίου [3] καὶ ὄξους, ἐν ἑνὶ ἀσκῷ ἐμβληθέντων [4] κατὰ τὴν ὁδὸν παρεσκεύασεν, ἐκείνης τῆς

7. — [1] ταῖς S. — [2] μεγάλου Sa. — [3] σχινίοις S. — [4] τελεῖται κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
1. — [1] (ἀποληφθεὶς - ἐκπεσόντων) *om.* Sa. — [2] *bis scriptum in* Sa. — [3] ἁγίου Ἰωάννου καὶ βαπτιστοῦ Sa.
2. — [1] Ἀπολωνιάδος S.
3. — [1] Ἀρτεμᾶ Sa.
1. — [1] καὶ θαυματουργοῦ Sa. — [2] Βαμαθᾶ Sa. — [3] δὲ *add.* Sa. — [4] *om.* Sa.
2. — [1] τελουμένης Sa.
4. — [1] *om.* Sa.
1. — [1] αὐτουργός Sa. — [2] πόλιν Ῥώμην Sa. — [3] *om.* Sa. — [4] βληθέντων Sa.

Oct. 19. μετὰ ῥαβδίων χλωρῶν καὶ τέμνεται καὶ χαράσσεται ἀπὸ τοῦ μετώπου μέχρι τῶν ποδῶν καὶ ἀφαιρεῖται ἀπὸ τοῦ δέρματος αὐτοῦ λῶρος δακτυλίου τὸ πλάτος· καὶ αὖθις τύπτεται βουνεύροις καὶ ἀκανθῶν ἐπάνω καὶ ξύλων καὶ λίθων σύρεται· εἶτα τοὺς δακτύλους καὶ τὰς ἁρμονίας τέμνεται καὶ θλίβεται καὶ κατασφίγγεται ἐμβληθεὶς εἰς κοχλίαν στυρακίου. Εἶτα ὀβελίσκοις πεπυρωμένοις τὸ ὑπολειφθὲν σῶμα κεντᾶται καὶ κρεμᾶται κατὰ κεφαλῆς καὶ τὴν γλῶτταν τέμνεται· ὅθεν ἰδόντες τὴν καρτερίαν αὐτοῦ χίλιοι διακόσιοι ἑβδομήκοντα ἄνδρες καὶ νοήσαντες, ὅτι, ἐὰν μὴ ἔχει μεγάλας ἐλπίδας καὶ προσδοκίας, οὐκ ἂν τοιαῦτα ὑπέμεινεν, ἐπίστευσαν εἰς τὸν Χριστόν. Εἶτα τὴν κεφαλὴν ἀποτέμνεται σὺν ἄλλοις ἑκατὸν εἴκοσι. — Ἀμφιλοχίου. — 1. 4. — **Cc** : 3 (Σαδὼκ prius Σαδώθ). — Ἀμφιλοχίου. — 1. — **M** : 1. 3. 7. — **Mv** : 1. 2. 3. — **Mb** : 1. 3. 7. — **Mr** : 1. 2.

Oct. 20. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : Κορνηλίου (Sept. 13¹). — 1. — Ἄθλησις νεοφανῶν μαρτύρων Ἀνδρέου, Στεφάνου, Παύλου, Πέτρου καὶ τῆς συνοδίας αὐτῶν (cf. Oct. 19⁷). — **P** : Κορνηλίου τοῦ ἑκατοντάρχου ἐκ Καισαρείας τῆς Παλαιστίνης Ἰταλικῆς τοῖς χρόνοις τῶν ἁγίων ἀποστόλων, πρῶτος ἐξ ἐθνῶν πιστεύσας τῷ Χριστῷ. — 1. — Τῶν ἁγίων νεοφανῶν μαρτύρων Ἀνδρέου, Στεφάνου, Παύλου, Πέτρου καὶ τῆς συνοδίας αὐτῶν. — **F** : 1. — Ἀνδρέου (Oct. 19⁷). — **Fa** : 1. — Ἀνδρέου. — **Fb** : 1. — Ἀνδρέου. — **B** : Κορνηλίου τοῦ ἑκατοντάρχου. — 1. — **Ba** : 1. — Κορνηλίου. — Ἀνδρέου (= S). — **T** : 1. — **O** : 1. — Τῶν ἁγίων νεοφανῶν μαρτύρων Ἀνδρέου, Στεφάνου, Παύλου, Πέτρου καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν. — **G** : 1. — Ἀνδρέου. — **C** : Κορνηλίου τοῦ ἑκατοντάρχου. — 1. — Στεφάνου, Παύλου, Πέτρου καὶ Ἀνδρέου τῶν ἐπὶ Κοπρωνύμου. — **Cb** : Κορνηλίου. — 1. — Τῶν ἁγίων νεοφανῶν μαρτύρων Στεφάνου, Παύλου, Πέτρου καὶ Ἀνδρέου [1] τοῦ ἐπὶ Κοπρωνύμου μαρτυρήσαντος. Οὗτος ἦν ἐπὶ Κωνσταντίνου τοῦ Καβαλλίνου ἐν ἀσκήσει διάγων ἐν τῇ νήσῳ Κρήτῃ [2]. Ἀκούων δὲ τοῦ τυράννου τιμωροῦντος [3] τοὺς ὀρθοδόξους, ἀνέπλευσε πρὸς Κωνσταντινούπολιν ἐλέγξαι αὐτὸν καὶ εὑρὼν αὐτὸν πέραν ἐν τῷ τοῦ ἁγίου Μάμαντος παλατίῳ τιμωροῦντα τοὺς μὴ ἀρνουμένους τὰς ἁγίας εἰκόνας, ἔγγιστα γενόμενος ἔφη· «Ἆρα » χριστιανὸς εἶ, βασιλεῦ [4]; » Ὁ δὲ μετ' ὀργῆς πρὸς αὐτὸν στραφεὶς ἐκέλευσε πρὸς αὐτὸν ἄγεσθαι. Οἱ δὲ τῶν τριχῶν σύροντες, ἄλλοι τὸν χιτῶνα ῥηγνύντες καὶ ἐκ τῶν ὄπισθεν τύπτοντες, ἔσυρον [5] τὸν ἅγιον. Καί φησι πρὸς αὐτόν· «Οὕτως ἐδιδάχθης ἀτιμάζειν βασιλέα;» Ὁ δέ· «Οὐδεὶς ἁμαρτάνει βασιλέα » ἐλέγχων [6] παρανομοῦντα.» Ὁ δέ· «Ἡμεῖς μᾶλλον τοὺς παρανομοῦντας κολάζομεν τοὺς ὡς θεοῖς » προσερχομένους καὶ λατρεύοντας ταῖς εἰκόσιν.» Ὁ δέ· «Ἀγνοεῖς, βασιλεῦ, τί μὲν τὸ σχετικῶς » προσκυνεῖν, τί δὲ τὸ λατρευτικῶς;» Ὁ δὲ τείνεσθαι εἰς μάστιγας τοῦτον ἐκέλευσε, βουνεύροις κατὰ νώτου καὶ τοῦ στήθους φραγγελῶν· εἶτα λίθοις τὸ σῶμα προσέταξε τύπτεσθαι· καὶ οὕτως ἐν βορβορώδει φυλακῇ ἀποκλείεται. Τῇ δὲ ἐπαύριον ἐκβαλὼν οὐκ ἔπεισεν ἀρνήσασθαι τὰς ἁγίας εἰκόνας· τύψας πάλιν κατὰ κεφαλῆς, σύρεσθαι τοῦτον, τῶν ποδῶν τοὺς σχοίνους ἐξάψαντας [7], ἐν τῇ Κωνσταντινούπολει θεατρίζεσθαι προστάττει. Οἱ δὲ τάχιστα περαιωθέντες καὶ τὸν ἅγιον σύροντες, ἔβαπτον τὴν γῆν τοῖς αἵμασιν. Ὡς δὲ εἰς τὴν τοῦ Βοὸς ἀγορὰν πεφθάκασιν, ἰδὼν αὐτὸν ἁλιεύς τις ἄρτι τοὺς ἰχθύας ἀποφορτισάμενος, ἠρώτα τὴν αἰτίαν τῆς βασάνου καὶ μαθὼν ἀξίνην μακελλικὴν ὁ ἄθλιος ἁρπάσας, χαριζόμενος τοῖς τοῦ διαβόλου ὑπηρέταις, δρομαῖος ἔρχεται καὶ τὸν δεξιὸν πόδα τοῦ ἁγίου ἔκοψε· καὶ παραυτὰ τὴν μακαρίαν αὐτοῦ καὶ ἁγίαν ψυχὴν παρέθετο τῷ Κυρίῳ. Οἱ οὖν σύροντες νεκρὸν ἰδόντες ὥς τι θνησιμαῖον ἐν κοπρώδει χωρίῳ ἀπέρριψαν. Νυκτὸς δὲ καταλαβούσης, τινὲς τῶν ὀρθοδόξων ἄραντες ἔθαψαν ἐν τόπῳ λεγομένῳ τῆς Κρίσεως. — **Cc** : Κορνηλίου. — 1. — Τῶν ἁγίων νεοφανῶν μαρτύρων. — **M** : 1. — **Mv** : 1. — **Mb** : 1. — **Mr** : 1.

Oct. 21. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 2. 1. — **P** : 2. 1. — **F** : 1. 2. 4. — **Fa** : 1. 2. 4. — **Fb** : 1. 2. — **B** : 2. 1. — **Ba** : 1. 2 (= S). — **T** : 1. — **O** : 1. — **G** : 1. — **C** : 2. 1. — **Cb** ; 2. 1. — **Cc** : 2. 1. — **M** : 1. — Τῶν νεοφανῶν πατέρων ἡμῶν Ἀνδρέου, Στεφάνου, Παύλου, Πέτρου καὶ τῶν σὺν αὐτοῖς (cf. Oct. 19⁷). — **Mv** : 1 2. — Ἀνδρέου κτλ. — Τῆς ἁγίας μάρτυρος Θεοδότης καὶ Σωκράτους πρεσβυτέρου (Oct. 23²). — **Mb** : 1. 2. — Ἀνδρέου κτλ. — **Mr** : 1.

Oct. 22. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. 3. — **P** : 1. 3 : τοῦ ἁγίου μάρτυρος Ἡρακλείου καὶ ἱερομάρτυρος Ἀλεξάνδρου ἐπισκόπου. — **F** : 1. — **Fa** : 1. — **Fb** : 1. — **B** : 1. 3 (om. Ἐλισάβετ). —

[1] Ἀνδρονίκου Cb. — [2] Κρίτη Cb. — [3] τιμοροῦντα Cb. — [4] βασιλεῦς Cb. — [5] εὗρον Cb. — [6] ἐλλέχων Cb. — [7] ἐξάψαντες Cb.

Oct. 22. ποιότητος ἐξερχομένης ἣν ἐπεζήτει· καὶ λίθος παμμεγέθης[5] τῇ κελεύσει αὐτοῦ παρὰ τοῦ δαίμονος ἐκ τῆς Ῥώμης εἰς τὴν Φρυγίαν μετεκομίσθη, ὃς ἀντὶ στήλης τῷ τάφῳ αὐτοῦ μέχρι τοῦ νῦν καταπέπηκται· καὶ διὰ προσευχῆς θερμὰ ὕδατα ἀπὸ τῶν τῆς γῆς λαγόνων ἐξήνεγκε. Βιώσας δὲ ἐν ὁσιότητι τὸ λειπόμενον | (f. 60v.) τῆς ζωῆς πρὸς Κύριον ἐξεδήμησε.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ, Μαξιμιλιανοῦ, Ἰαμβλίχου, Μαρτιανοῦ, Διονυσίου, Ἰωάννου, Κωνσταντίνου, καὶ Ἀντωνίνου. Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου[1] βασιλέως· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν διαβληθέντες προσήχθησαν τῷ βασιλεῖ· καὶ καιρὸν λαβόντες βουλεύσασθαι, πάντα τὰ αὐτοῖς ὑπάρχοντα πτωχοῖς διανείμαντες καὶ ἐν τῷ ὄρει ἀνελθόντες, ὑπέδυσαν εἰς ἓν τῶν σπηλαίων καὶ εὐξάμενοι τοῦ δεσμοῦ λυθῆναι τοῦ σώματος καὶ μὴ παραδοθῆναι τῷ βασιλεῖ, ἀπέθεντο τὰς ψυχάς. Τῆς εἰσόδου οὖν τοῦ σπηλαίου προστάξει τοῦ βασιλέως ἀναφραγείσης καὶ τριακοσίων ἑβδομήκοντα δύο ἐτῶν διελθόντων, ἐπεὶ δόγμα ἐκινήθη παρὰ τῶν κακοδόξων ἐπὶ τοῦ βασιλέως Θεοδοσίου[2] τοῦ μικροῦ, τὴν ἀνάστασιν διαβαλλόντων, τῆς τοιαύτης ζητήσεως ἐν φροντίδι οὔσης τῷ βασιλεῖ, ὡς ἐξ ὕπνου ἀνίστανται οἱ ἅγιοι οὗτοι ἑπτὰ παῖδες, κατὰ θείαν οἰκονομίαν τῆς εἰσόδου τοῦ σπηλαίου διανοιχθείσης παρὰ τῶν ἐγγιζόντων τῷ τόπῳ. Γνωσθέντες οὖν παραδόξως διὰ τὴν ἄγνοιαν — καὶ γὰρ ᾤοντο χθὲς εἶναι καὶ πρὸ βραχέος τὸν Δέκιον καὶ ἔτι τὰ τῆς ἀσεβείας κρατεῖν — τῆς μελλούσης ἀναστάσεως ἐγίνοντο κήρυκες, καὶ τάφον αὖθις ἔσχον αὐτὸ τὸ σπήλαιον καθὼς καὶ πρότερον[3].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀλεξάνδρου ἐπισκόπου καὶ τοῦ ἁγίου μάρτυρος Ἡρακλείου καὶ τῶν ἁγίων γυναικῶν καὶ μαρτύρων Ἄννης, Ἐλισάβετ, Θεοδότης καὶ Γλυκερίας. Οὗτος ὁ ἅγιος μάρτυς Ἀλέξανδρος ἐπίσκοπος ὢν καὶ πολλοὺς διδάσκων τὸν λόγον τῆς ἀληθείας, κρατηθεὶς παρὰ τοῦ ἡγεμόνος καὶ μὴ πεισθεὶς θῦσαι τοῖς θεοῖς, πολλὰ τιμωρηθεὶς καὶ ξεσθεὶς καὶ πάντα γενναίως ὑπομείνας, ἐπισπᾶται πρὸς τὴν τοῦ Χριστοῦ[1] πίστιν Ἡράκλειον στρατιώτην ὄντα· ὃς καὶ αὐτὸς πολλὰ τιμωρηθεὶς ἀπετμήθη τὴν κεφαλήν. Ὁ δὲ ἅγιος Ἀλέξανδρος ἐκ τῶν πληγῶν ὑγιὴς γεγονὼς τῇ τοῦ Κυρίου ἐπισκέψει καὶ θαυματουργήσας ἔτι ἐπισπᾶται πρὸς τὴν πίστιν γυναῖκάς τινας[2] τέσσαρας Ἄνναν, Ἐλισάβετ, Θεοδότην καὶ Γλυκερίαν. Αἵτινες παραυτίκα ἀντιστᾶσαι | (f. 61.) τῷ ἡγεμόνι καὶ τὴν τῶν εἰδώλων πλάνην ἐλέγξασαι, τὰς κεφαλὰς ἀπετμήθησαν· ὕστερον δὲ πάντων καὶ ὁ ἅγιος Ἀλέξανδρος τῷ ξίφει κρουσθεὶς ἐτελειώθη. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν πλησίον τοῦ ἁγίου Γεωργίου ἐν τῷ Κυπαρισσίῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Oct. 23. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀποστόλου Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. Οὗτος ὁ ἅγιος Ἰάκωβος ἦν υἱὸς Ἰωσήφ, ἀδελφὸς δὲ τοῦ Κυρίου διὰ τὴν τοῦ Ἰωσὴφ πρὸς τὴν ἁγίαν Θεοτόκον μνηστείαν· ἐκαλεῖτο δὲ τὸ πρότερον Ἰοβλίας, ὃ ἑρμηνεύεται περιοχὴ παθῶν, Ἰάκωβος δὲ πτερνιστής. Ἐχειροτονήθη δὲ ὑπὸ τοῦ Κυρίου ἐπίσκοπος Ἱεροσολύμων καὶ πρῶτος τὴν θείαν λειτουργίαν ἐγγράφως ἐξέθετο, παρὰ τοῦ Χριστοῦ αὐτὴν διδαχθείς· ἣν ὕστερον συντομωτέραν ἐποίησεν ὁ μέγας Βασίλειος, καὶ μετ' αὐτὸν ὁ Χρυσόστομος διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Καὶ διὰ τὴν ἄγαν αὐτοῦ ἐγκράτειαν καὶ παρὰ τοῖς Ἰουδαίοις αἰδέσιμος ἦν καὶ τὸν δίκαιον ἔσχε προσηγορίαν. Περὶ δὲ τοῦ λέγεσθαι τὸν μακάριον Ἰάκωβον ἀδελφόθεον καὶ δίκαιον, φέρεταί τι τοιοῦτον ἐκ παραδόσεως. Τοῦ μνηστῆρος Ἰωσὴφ μερίζοντος τὴν γῆν αὐτοῦ τοῖς υἱοῖς αὐτοῦ τοῖς ἐκ τῆς προτέρας γυναικὸς καὶ βουλομένου μερίδα ποιήσασθαι καὶ τῷ τῆς ἁγίας παρθένου υἱῷ καὶ Θεῷ, οἱ μὲν

— [5] λίθον παμμεγέθη S.
2. — [1] τοῦ *add.* Sa. — [2] Θεοδωσίου S. — [3] προτοῦ S.
3. — [1] τὴν εἰς Χριστὸν Sa. — [2] *om.* Sa.

Oct. 22. **Ba** : 1. 2 (= S). 3. — **T** : 1. 2. — **O** : 1. — **G** : 1. 2. — **C** : 1. 3. — **Cb** : 1. 3. — **Cc** : 1. 3. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mb** : 1. 2. 3. — **Mr** : 1.

Oct. 23. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. add. : Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ συστησαμένου τὴν ἐν τῷ Χαρσιανῷ σεβασμιωτάτην μονήν (cf. Oct. 24²). — **H** : 1. 2. — Τῶν ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ (Oct. 22²). — 3 (... τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ πέραν ἐν τῷ Σατύρου). — **P** : 2 : Τῆς ἁγίας μάρτυρος εὐγενεστάτης Θεοδότης καὶ Σωκράτους πρεσβυτέρου ἐπὶ Ἀλεξάνδρου βασιλέως, ὑπαρχούσης[1] τῆς Ποντικῆς χώρας, ἐν ἀσκητηρίῳ ἑαυτὴν προσηλωσάσης[2] ἐπὶ Σιμπλικίῳ ἄρχοντι. Τὸ δὲ τίμιον αὐτῆς λείψανον κεῖται ἐν τῇ Νικαέων πόλει. — 3. 1 : ἐγκαίνια ἐπιτελοῦμεν τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου κατὰ σάρκα. Συνέφθασεν δὲ καὶ τοῦ ἁγίου Ζαχαρίου τοῦ ἱερέως καὶ Συμεὼν τοῦ δικαίου. Συναγόμεθα δὲ ἐν τῷ ἁγίῳ αὐτοῦ ἀποστολείῳ τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς παναγίας Θεοτόκου πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. — **F** : 1. — Τῶν ἁγίων ζ' παίδων τῶν ἐν Ἐφέσῳ (Oct. 22²). — 2. 3. — **Fa** : 1. — τῶν ζ' παίδων. — 2. 3. — **Fb** : 1. — τῶν ζ' παίδων. — **B** : 1. 2. — Ἀνάμνησις τῆς φανερώσεως τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ. — 3. — **Ba** : 1. 2. 3 : Ἰγνατίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ἔγγονος Νικηφόρου τοῦ βασιλέως χρηματίσας ζώννυται παρ' αὐτοῦ ἱκανάτος·

[1] ὑπάρχουσα P. — [2] προσηλώσασα P.

ἄλλοι οὐ κατεδέξαντο. Ὁ δὲ Ἰάκωβος παραλαβὼν αὐτὸν εἰς τὴν αὐτοῦ μερίδα συγκληρονόμον, οὐ μόνον ἐκλήθη ἀδελφόθεος ἀλλὰ καὶ δίκαιος. Τοῦτον οὖν τὸν ἀδελφόθεον καὶ δίκαιον ὁρῶντες οἱ γραμματεῖς καὶ οἱ[1] Φαρισαῖοι πολλοὺς τῶν Ἰουδαίων καὶ τοὺς[2] ἐξ ἐθνῶν πείθοντα καὶ πληροφοροῦντα περὶ τοῦ Ἰησοῦ, ὅτι αὐτὸς Θεός ἐστιν ἀληθινὸς καὶ αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐν δεξιᾷ[3] τῆς δυνάμεως τοῦ πατρὸς αὐτοῦ, ἐρχόμενος μετὰ ταῦτα ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, μανέντες διὰ τὴν τοῦ νόμου καταφρόνησιν καὶ ἀναγαγόντες αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ ἐπερωτήσαντες παρρησίᾳ, εἰ ὁ Ἰησοῦς Θεός ἐστιν, καὶ ἀκούσαντες αὐτοῦ μεγάλῃ φωνῇ κρά | (f. 61v.) ζοντος ὅτι Θεὸς ἀληθινός ἐστιν, μέγα τι ἀναβοήσαντες· « Ὢ, » ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη » εὐθὺς καταβάλλουσιν αὐτὸν καὶ λίθοις βάλλουσιν καὶ ξύλῳ κναφέως κατὰ κεφαλῆς αὐτὸν κρούσαντες τῷ θανάτῳ παρέπεμψαν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ αὐτοῦ ναῷ τῷ ὄντι ἔνδοθεν τοῦ ναοῦ τῆς[4] ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας εὐγενεστάτης Θεοδότης καὶ Σωκράτους πρεσβυτέρου. Αὕτη ἦν ἐπὶ Ἀλεξάνδρου τοῦ βασιλέως ὑπάρχουσα τῆς Ποντικῆς χώρας, ματρώνα[1] γένους ἐντίμου, ἐν ἀσκητηρίῳ ἑαυτὴν τῷ Θεῷ προσαναθεῖσα· κατεσχέθη δὲ παρὰ Σιμπλικίου[2] τοῦ ἄρχοντος Καππαδοκίας καὶ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν δὶς κρεμασθεῖσα[3], ξέεται καὶ εἰς κλίβανον ἐκπυρωθέντα ἐμβάλλεται. Τῇ τοῦ Χριστοῦ δὲ χάριτι ῥυσθεῖσα ἄγεται παρὰ τοῦ ἄρχοντος ἐπὶ τὸ Βυζάντιον[4], εἶτα ἐν Ἀγκύρᾳ· ἔνθα ὁ πρεσβύτερος Σωκράτης τῶν ἀπίστων θυόντων καταβαλὼν τὸν βωμὸν ἐτμήθη τὴν κεφαλήν. Ἡ δὲ ἁγία βληθεῖσα ἐν τηγάνῳ[5] καὶ ἀβλαβὴς διαμείνασα, τὸ τέλος τοῦ μαρτυρίου διὰ ξίφους ἐδέξατο. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ Ξυλοκέρκῳ.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰγνατίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ὃς πατρίδα μὲν ἔσχε τὴν βασιλίδα τῶν πόλεων, γεννήτορας[1] δὲ Μιχαὴλ καὶ Προκοπίαν τοὺς εὐσεβεστάτους βασιλεῖς. Οὗτος ἀπὸ τοῦ ἁγίου βαπτίσματος Νικήτας προσκληθεὶς καὶ δεκαετὴς γεγονὼς παρὰ Νικηφόρου βασιλέως καὶ πάππου αὐτοῦ δομέστικος τῶν ἱκανάτων προχειρίζεται· δι' αὐτὸν δὲ τὸ τοιοῦτον τάγμα ἀρχὴν ἔλαβε μηδέποτε ὄν. Τοῦ δὲ Νικηφόρου τὸν βίον καταλύσαντος, κρατεῖ τῆς βασιλείας Μιχαὴλ ὁ πατὴρ αὐτοῦ ἔτη δύο καὶ ἐξίσταται τῆς βασιλείας, ἀπάρας τῆς πόλεως πανοικὶ ἑκουσίως· καὶ πρὸς τὰς Πριγκιπίους[2] νήσους προσχωρήσας τὸν μονήρη ὑπῆλθε βίον[3] ἅμα γυναικὶ καὶ τέκνοις, Λέοντος

1. — [1] *om.* Sa. — [2] τῶν Sa. — [3] ἐκ δεξιῶν Sa. — [4] (ναῷ - ναοῦ τῆς) ναῷ τῆς Sa.
2. — [1] ματρώνης S. — [2] Συμπλικίω S. — [3] διακρεμασθεῖσα Sa. — [4] εἰς Βυζάντιον Sa. — [5] τυγάνω S, τῇ γάνω Sa.
3. — [1] γεννητόρων Sa. — [2] τοὺς Πριγκιπείας S. — [3] βίον ὑπεισῆλθεν Sa.

καὶ κρατήσας Μιχαὴλ ὁ πατὴρ αὐτοῦ τῆς βασιλείας ἔτη δύο καὶ ταύτης ἐκστὰς τὸν μονήρη βίον ὑπέρχονται πανοικί, Λέοντος τοῦ εἰκονομάχου τῆς βασιλείας δραξαμένου. Οὗτος Νικήταν τὸν ἱκανάτον τὸν ἐν τῷ ἀγγελικῷ σχήματι Ἰγνάτιον μετονομασθέντα, ιδ' χρόνων ἄγοντα τὴν ἡλικίαν, τῇ εὐνουχίᾳ κατεδίκασεν. Κρατήσας δὲ Θεοῦ παραχωρήσει ἑπτά που ἥμισυ ἔτη, ἀναιρεῖται ὑπὸ Μιχαὴλ τοῦ Τραυλοῦ· καὶ κρατεῖ αὐτοῦ Μιχαὴλ καὶ Θεόφιλος ὁ υἱὸς αὐτοῦ καὶ Μιχαὴλ ὁ ἔγγονος σὺν μητρὶ Θεοδώρᾳ[3] ἔτη η' καὶ μ'. Ἐπεὶ δὲ περιέστη ἡ ἀρχὴ εἰς τὴν εὐσεβεστάτην Θεοδώραν[3] καὶ καθαιρεῖται Ἰωάννης ὁ ἀνόσιος καὶ χειροτονεῖται Μεθόδιος ὁ μέγας καὶ αὐτὸς κρατήσας ἔτη τέσσαρα τοῦ βίου μετέστη, χειροτονεῖται ἀντ' αὐτοῦ ὁ θεῖος Ἰγνάτιος, πολὺς τὴν ἀρετὴν ὢν καὶ τὴν σύνεσιν δόκιμος· καὶ κρατήσας τῆς ἐκκλησίας τοὺς οἴακας χρόνους ἕνδεκα ἥμισυ, ἀπελαύνεται τοῦ θρόνου ἐπὶ χρόνους ἐννέα· εἶτα πάλιν ἀνακληθεὶς τῇ αὐτῇ ἡμέρᾳ ἐν ᾗ καὶ κατῆλθεν καὶ κρατήσας χρόνους δέκα, πάλιν τῇ αὐτῇ ἡμέρᾳ ἀνεπαύσατο ἐν εἰρήνῃ καὶ κατετέθη ἐν τῇ τοῦ Σατύρου μονῇ. Ὁ δὲ ἅπας χρόνος τῆς ζωῆς αὐτοῦ ἐστιν ἔτη ἑβδομήκοντα καὶ ἐννέα. — **T** : 1. — **O** : 1. — μνήμη τοῦ ἁγίου Ζαχαρίου τοῦ ἱερέως καὶ Συμεὼν τοῦ δικαίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ναῷ τῷ ὄντι ἔνδον τοῦ σεβασμίου ναοῦ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις. — **G** : 1. 3. — **C** : 1. 2. — Ἡ φανέρωσις τῶν ἁγίων ζ' παίδων. — 3. — **Cb** : 1. 2. — Τῶν ἁγίων ζ' παίδων τῶν ἐν Ἐφέσῳ, Μαξιμίνου[4], Ἰαμβλίχου, Μαρτινιανοῦ, Διονυσίου, Ἰωάννου, Κωνσταντίνου καὶ Ἀντωνίου[5]. Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως ἐν Ἐφέσῳ τῇ πόλει. Καὶ καιρὸν αἰτησάμενοι τοῦ περὶ αὐτῶν σκέψασθαι καὶ βουλεύσασθαι, πωλήσαντες πάντα τὰ ὑπάρχοντα αὐτοῖς, ἐπεμερίσαντο τοῖς πτωχοῖς καὶ ἐν τῷ ὄρει ἀνελθόντες, εἰσῆλθον ἓν τῶν σπηλαίων καὶ εὐξάμενοι ἐν εἰρήνῃ ἀποθανεῖν καὶ μὴ παραδοθῆναι τῷ βασιλεῖ, ἀπέδωκαν τὰς ψυχάς. Τῆς εἰσόδου δὲ προστάξει τοῦ βασιλέως ἀναφραγείσης καὶ τριακοσίων ὀγδοήκοντα[6] δύο ἐτῶν διελθόντων, ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ, ἐπεὶ δόγμα ἐκινήθη παρὰ τῶν διαβαλλόντων τὴν ἀνάστασιν, ἔσχε φροντίδα περὶ ταύτης ὁ βασιλεύς. Θέλων δὲ ὁ Θεὸς πληροφορῆσαι πάντας, ὅτι ἐκ παντὸς ἀνάστασις ἔστιν, ἐποίησεν οἰκονομίαν ὥστε ἀνοιγῆναι τὴν θύραν τοῦ σπηλαίου καὶ ἀναστῆναι ζῶντας τοὺς ἑπτὰ παῖδας. Ἐξ ὧν εἷς ὀνόματι Ἰάμβλιχος[7] λαβὼν νόμισμα ἐκ τῶν ἐπὶ Δεκίου καὶ κατελθὼν ἐν τῇ πόλει ἀγοράσαι ἄρτους, ὡς ἤδη χθὲς[8] κοιμηθεὶς καὶ σήμερον ἀναστάς, ὑπωπτεύθη ἐξ αὐτῶν. Καὶ ἀχθεὶς πρὸς τὸν ἐπίσκοπον, ἀνεδίδαξε πᾶσαν τὴν ἀλήθειαν. Ἐγένοντο οὖν κήρυκες τῆς ἀναστάσεως καὶ πάλιν θανέντες ἐτέθησαν εἰς τὸ αὐτὸ σπήλαιον. — 3 : Ἰγνατίου πατριάρχου Κωνσταντινουπόλεως. Οὗτος ὁ ἅγιος πατὴρ ἡμῶν Ἰγνάτιος γέγονεν υἱὸς Μιχαὴλ βασιλέως καὶ Προκοπίας τῆς βασιλίσσης, ἀδελφὸς δὲ Θεοφίλου τοῦ

— [3] Θεοδότη Ba. — [4] Μαξιμιανοῦ C *et alii*. — [5] Ἀντωνίνου C *et al.* — [6] ἑβδομήκοντα S *et al.* — [7] Ἄμβλυχος Cb. — [8] σήμερον Cb.

Oct. 23. τοῦ εἰκονομάχου τῆς βασιλείας[4] δραξαμένου. Οὗτος Νικήταν[5] τὸν ἱκανάτον τὸν ἐν τῷ ἀγγελικῷ σχήματι Ἰγνάτιον μετονομασθέντα, δεκατεσσάρων χρόνων ἄγοντα τὴν ἡλικίαν[6], τῇ εὐνουχίᾳ κατεδί- f. 62. κασεν. Κρατήσας δὲ | Θεοῦ παραχωρήσει ἑπτά πού ἥμισυ ἔτη, ἀναιρεῖται ὑπὸ Μιχαὴλ τοῦ Τραυλοῦ. Καὶ κρατεῖ ὁ αὐτὸς Μιχαὴλ καὶ Θεόφιλος ὁ υἱὸς αὐτοῦ καὶ Μιχαὴλ ὁ ἔγγονος σὺν μητρὶ Θεοδώρᾳ τὰ πάντα ἔτη σαράκοντα ὀκτώ. Ἐπεὶ δὲ περιέστη ἡ ἀρχὴ εἰς τὴν εὐσεβεστάτην Θεοδώραν καὶ καθαιρεῖται Ἰαννὴς[7] ὁ ἀνόσιος ἱεράρχης καὶ χειροτονεῖται Μεθόδιος ὁ μέγας, ὁ πολλοὺς κινδύνους ὑπὲρ τῶν ἁγίων εἰκόνων ὑποστάς, καὶ κρατήσας ἔτη τέσσαρα τοῦ βίου μετέστη[8], χειροτονεῖται ἀντ᾽ αὐτοῦ ὁ θεῖος Ἰγνάτιος, καὶ αὐτὸς πολὺς φανεὶς ἐν ἀρεταῖς καὶ δόκιμος ἐν συνέσει· ἰθύνας[9] καὶ αὐτὸς τοὺς τῆς ἐκκλησίας οἴακας χρόνους ἕνδεκα ἥμισυ, καὶ ἀπελαθεὶς χρόνους ἐννέα, εἶτα πάλιν ἀνακληθεὶς τῇ αὐτῇ ἡμέρᾳ ἐν ᾗ κατῆλθε, καὶ κρατήσας ἑτέρους χρόνους δέκα, ἀνεπαύσατο ἐν εἰρήνῃ. Καὶ κατετέθη ἐν τῇ τοῦ Σατύρου[10] μονῇ, ἐν ᾗ καὶ ἀπεκάρη, ἔνθα καὶ ἡ σύναξις αὐτοῦ ἐπιτελεῖται. Ὁ δὲ ἅπας[11] χρόνος τῆς ζωῆς αὐτοῦ ἔτη οθ′.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ′.

Oct. 24. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρέθα καὶ τῶν σὺν αὐτῷ χιλίων διακοσίων πεντήκοντα. Ὁ ἅγιος μάρτυς Ἀρέθας ὑπῆρχε πρῶτος τῆς πόλεως Νεγρᾶς καλουμένης, ἐν Αἰθιοπίᾳ κειμένης[1], ἐπὶ τῆς βασιλείας Ἰουστίνου, τῆς Αἰθιοπίας μὲν βασιλεύοντος, Ἐλεσβαὰν τοῦ χριστιανικωτάτου, τῶν δὲ Ὁμηριτῶν βασιλεύοντος Δουναὰν Ἑβραίου. Οἱ δὲ Ὁμηρῖται οὗτοι οἱ καὶ Σαβαῖοι καλούμενοι ἐκ τῆς Χεττούρας τῷ Ἀβραὰμ γεγόνασι. Τοῦ οὖν Ἐλεσβαὰν βασιλέως Αἰθιοπίας καταδυναστεύσαντος τὸν Ὁμηρίτην καὶ φρουρὰν τῇ πόλει αὐτοῦ καταστήσαντος, ἐπαναστὰς ὁ Δουναὰν τούς τε φρουροὺς ἀνεῖλε καὶ πρὸς τὴν Νεγρὰν πόλιν ἐστράτευσεν οὖσαν ὑποτελῆ Ἐλεσβαὰν τῷ τῶν Αἰθιόπων βασιλεῖ· ἣν καὶ παρεστήσατο οὐ μηχανήμασιν ἀλλ᾽ ἐπιορκίαις· μετὰ δὲ τὸ ταύτην λαβεῖν, πρῶτον μὲν ἀνορύξας τὸν τάφον τοῦ ἁγιωτάτου ἐπισκόπου Παύλου, πυρὶ παρέδωκε τὰ ὀστᾶ αὐτοῦ καὶ τὴν τέφραν ἐλίκμησεν. Ἔπειτα[2] δὲ ἱερεῖς καὶ λευΐτας καὶ μονάζοντας καὶ μοναζούσας ἐν καμίνῳ πυρὸς ἀπορρίψας, θανάτῳ παρέδωκε ψυχὰς τὸν ἀριθμὸν τετρακοσίας εἴκοσι[3] ἑπτά· τῶν δὲ λαϊκῶν | γυναι- f. 62v. κῶν ἀπέτεμεν ὑφὲν τὰς κεφαλὰς τὸν ἀριθμὸν τελούσας ἑκατὸν εἴκοσι[3] ἑπτά. Καί τινα εὐγενεστάτην καὶ τιμίαν γυναῖκα ἐνώπιον αὐτοῦ παραστησάμενος καὶ τὴν κεφαλὴν τῆς θυγατρὸς αὐτῆς[4]

— [4] τῶν σκηπτρῶν Sa. — [5] Νικήτα S. — [6] τὴν ἡλικίαν *om.* Sa. — [7] Ἰαννὶς S. — [8] μετέστη τοῦ βίου Sa. — [9] δὲ *add.* Sa. — [10] Σατήρου Sa. — [11] πᾶς Sa.

1. — [1] ἐν Αἰθιοπίᾳ κειμένης *om.* Sa. — [2] ἐπεὶ Sa. — [3] καὶ *add.* Sa. — [4] αὐτοῦ Sa.

Oct. 23. βασιλέως. Εὐνοῦχος δὲ γεγονώς, εἶτα μοναχὸς γέγονε καὶ ἡγούμενος τῆς μονῆς τοῦ ἀρχαγγέλου τοῦ ἐπιλεγομένου Ἀνατέλλοντος. Εἶτα προεχειρίσθη καὶ πατριάρχης, καὶ ἐκράτησεν ἔτη ἕνδεκα καὶ μῆνας πέντε. Καὶ μετὰ ταῦτα ἐξεβλήθη ὑπὸ Μιχαὴλ βασιλέως ἀντ᾽ αὐτοῦ πατριάρχην ποιήσαντος Φώτιον πρωτοσπαθάριον καὶ πρωτασηκρήτα[9], γενόμενον μοναχόν· εἶτα ἐξεβλήθη καὶ αὐτὸς ὑπὸ Βασιλείου βασιλέως καὶ ἀντεκατέστη Ἰγνάτιος πάλιν· καὶ ἔμεινεν πατριάρχης ἔτη ἕνδεκα καὶ πάλιν ἐξεβλήθη καὶ ἐγένετο πατριάρχης Στέφανος ὁ ἐν ἁγίοις. Ὁ δὲ ἅγιος Ἰγνάτιος, ἀπελθὼν ἐν τῷ Σατύρου μοναστηρίῳ[10], ἐν εἰρήνῃ ἐκοιμήθη. — **Cc** : 1. 2. — Τῶν Ζ′ παίδων. — 3. — **M** : 1. 3. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Νικηφόρου τοῦ τὴν ἐν τῷ Χαρσιανῷ συστησαμένου μονήν. — Μακαρίου τοῦ Ῥωμαίου. Τρεῖς τινες ἡγιασμένοι γέροντες Σέργιος καὶ Ὑγῖνος καὶ Θεόφιλος, ἐκ τῆς μονῆς τοῦ ἁγίου Ἀσκληπιοῦ τοῦ ἐν τῇ Μεσοποταμίᾳ τῆς Συρίας... — Des. : καὶ προσκυνήσαντες ἅπαντας τοὺς ἁγίους τόπους, ὑπέστρεψαν εἰς τὴν μονὴν αὐτῶν, ἐκδιηγούμενοι πρὸς τοῖς ἄλλοις οἷς ἔπαθον καὶ εἶδον καὶ τὰ κατὰ τὸν ἅγιον Μακάριον. — **Mv** : 1. 3. — Μακαρίου. — **Mb** : 1. 3. — Νικηφόρου. — Μακαρίου. — **Mr** : 1.

Oct. 24. SYNAXARIA SELECTA. **Sa** : 1. add. : καὶ ἐν τῇ βασιλικῇ μονῇ τῆς ἁγίας Εὐφημίας πλησίον τῆς Πλάτης ἔνθα ἡ ἁγία αὐτοῦ κάρα ἀπόκειται. — 3. — **H** : 1. 3. 4. — Πρόκλου (cf. Nov. 20). — **P** : 1 : Ἀρέθα καὶ τῆς συνοδίας αὐτοῦ τετρακισχιλίων σνγ′. Οὗτος ὑπῆρχεν πρῶτος τῆς πόλεως Νεγρᾶς ἐν Αἰθιοπίᾳ κειμένης ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ φιλοχρίστου, Φήλικος[1] ἐπισκοποῦντος τῆς Ῥωμαίων ἐκκλησίας, τῆς Ἱερουσαλὴμ Ἰωάννου, Ἀντιοχείας Εὐφρατίου, βασιλεύοντος Ἐλεσβαὰν ἐν Αὐξούμῃ τῇ πόλει τῆς Αἰθιοπίας, τῶν Ὁμηριτῶν δὲ Δουναὰν[2] Ἑβραῖος παρανομώτατος. — 3 (Μάρκου, Σωτηρίχου, Οὐαλεντιανοῦ). — **F** : 1 : Ἀρέθα καὶ τῶν σὺν αὐτῷ χιλίων διακοσίων πεντήκοντα τριῶν. Οὗτοι ἤθλησαν ἐν Νεγρᾷ πόλει τῶν Ὁμηριτῶν, βασιλεύοντος Ῥωμαίων μὲν Ἰουστίνου, Αἰθιόπων δὲ Ἐλεσβαὰν[3] τοῦ χριστιανικωτάτου, τῶν δὲ Ὁμηριτῶν Δουναὰν[4] τοῦ Ἑβραίου, ὃς δόλῳ καὶ ὅρκῳ ἐγκρατὴς γενόμενος Νεγρᾶς τῆς πόλεως πρῶτον μὲν ἀνορύξας τὸν τάφον Παύλου τοῦ ἁγιωτάτου ἐπισκόπου πυρὶ παρέδωκεν τὰ ὀστᾶ αὐτοῦ καὶ τὴν τέφραν ἐλίκμησεν. Τοὺς δὲ ἱερεῖς καὶ λευΐτας ὡσαύτως[5] καὶ μοναζούσας ἐν τῇ καμίνῳ τοῦ πυρὸς ἀπορρίψας, θανάτῳ παρέδωκεν ψυχὰς τὸν ἀριθμὸν υκζ′[6], τῶν δὲ λαϊκῶν γυναικῶν ἀπέτεμεν ὑφὲν τὰς κεφαλὰς τὸν ἀριθμὸν τελούσας ρκζ′ καί τινα εὐγενεστάτην καὶ τιμίαν γυναῖκα ἐνώπιον αὐτοῦ παραστήσας καὶ τὴν κεφαλὴν τῆς θυγατρὸς αὐτῆς ἔμπροσθεν αὐτῆς ἀποτεμὼν ἐκέλευσεν τοῦ αἵματος ἀπογεύσασθαι· καὶ γευσαμένην τῆς ζωῆς ἀπεστέρησεν. Ἔσχατον δὲ πάντων ἀχθεὶς ὁ μέγας Ἀρέθας καὶ ὑπὸ δύο στηριζόμενος, ἀπετμήθη καὶ αὐτὸς

— [9] προτασικρίτα Cb. — [10] Σατήρου μοναστήριον Cb.

[1] Φίληκος P. — [2] Δουναὰς P. — [3] Ἐλεσβαᾶ F. — [4] Δουνᾶ F. — [5] ὡς αὐτὸς F. — [6] νκζ′ F.

ἔμπροσθεν αὐτῆς ἀποτεμών, ἐκέλευσε τοῦ[5] αἵματος ἀπογεύσασθαι καὶ οὕτως καὶ αὐτὴν τῷ θανάτῳ διὰ τοῦ ξίφους παρέπεμψεν. Ἔσχατον δὲ πάντων τὸν μέγαν Ἀρέθαν μεθ᾽ ἑτέρων τμ′ ἀπέτεμεν· οὗτος γὰρ εἰς ἔσχατον γήρως ἐλθὼν καὶ κατάκοπος τῷ σώματι γεγονὼς καὶ μηκέτι χρήσασθαι δυνάμενος τοῖς ποσίν, ἀλλ᾽ ἐν αὐτῷ τῷ μέλλειν τέμνεσθαι στηριζόμενος ὑφ᾽ ἑτέρων, οὕτως τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδύσατο[6]. Τοὺς δὲ λοιποὺς εἰς παῖδας καὶ παιδίσκας τοῖς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ἄρχουσιν καὶ μεγιστᾶσιν ἐχαρίσατο. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Πρωτασίου[7].

Oct. 24. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικηφόρου[1] τοῦ συστησαμένου τὴν[2] ἐν τῷ Χαρσιανῷ σεβασμιωτάτην μονήν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μάρκου, Σωτηρίχου καὶ Οὐαλεντίνης. Οἵτινες ὑπῆρχον ἐν τῇ Ἀσίᾳ· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ὑπὸ τῶν ἀπίστων κατασχεθέντες καὶ ἐπιμήκεσι λίθοις τὰ σώματα διαπαρέντες καὶ ἀπηνῶς ἑλκόμενοι καὶ συρόμενοι ἐπὶ γῆς, τὰς ψυχὰς αὐτῶν παρέθεντο τῷ Θεῷ ἐν εἰρήνῃ[1]. Μετετέθησαν δὲ τὰ τίμια αὐτῶν λείψανα ἀπὸ τῆς Ἀσίας ἐπὶ Θάσον[2] τὴν νῆσον, ἔνθα νῦν ἀπόκεινται.

4. Καὶ μνήμη τῆς ἁγίας Γλυκερίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ′.

Oct. 25. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Μαρκιανοῦ καὶ Μαρτυρίου τῶν ἀναγνωστῶν καὶ νοταρίων. Οὗτοι φοιτηταὶ ὑπῆρχον καὶ ὑπογραφεῖς Παύλου τοῦ ὁμολογητοῦ, πατριάρχου Κωνσταντινουπόλεως γεγονότος[1] μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου, ἐπὶ τῆς βασιλείας Κωνσταντίου[2] τοῦ ἀρειανοῦ. Ἐπεὶ οὖν ὁ ἐν ἁγίοις Παῦλος παρ᾽ αὐτοῦ τοῦ βασιλέως διὰ τὸ μὴ καταδέχεσθαι τὴν τῶν ἀρειανῶν κοινωνίαν, ἀλλὰ τούτους ἀποκηρύττειν ὑπερόριος ἐν Ἀρμενίᾳ γέγονεν, ἔνθα καὶ τὸ μακάριον τέλος ἐδέξατο ἀποπνιγεὶς παρὰ τῶν ἀρειανῶν διὰ τὴν ὀρθόδοξον ὁμολογίαν ὑπὸ Φιλί|ππου τοῦ ἐπάρχου[3], f. 63. ἀρειανοῦ καὶ αὐτοῦ ὄντος καὶ τοὺς ὀρθοδόξους διώκοντος, διὰ ταύτην τὴν αἰτίαν καὶ οὗτοι οἱ μάρτυρες ἀνῃρέθησαν μαχαίρᾳ· καὶ ἐτάφησαν ἐν τῇ Μελανδησίᾳ πόρτῃ ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει ἐν τῷ Δευτέρῳ. Ὧν καὶ τὸν βίον[4] καὶ τὸν ναὸν μετὰ ταῦτα ὁ ἅγιος[5] Ἰωάννης ὁ Χρυσόστομος ἐκ βάθρων ἀνήγειρεν, ἔνθα καὶ τελεῖται ἡ αὐτῶν σύναξις.

— [5] ταύτης *add.* Sa. — [6] (οὗτος - ἀνεδύσατο) *om.* Sa. — [7] καὶ ἐν τῇ κτλ. *add.* Sa. *inter* Synaxaria selecta.

2. — [1] Ἰωάννης *in* Sa *ad diem praecedentem.* — [2] τοῦ S.

3. — [1] ἐν εἰρήνῃ *om.* Sa. — [2] Θάσσον Sa.

1. — [1] γεγονότες S. — [2] Κωνσταντίου Sa. Κωνσταντίνου S. — [3] ὑπάρχου Sa. — [4] *ita* S. *in quo forte quaedam exciderunt ;* καὶ τὸν βίον *om.* Sa. — [5] ἐν ἁγίοις Sa.

Oct. 24. τὴν κεφαλὴν μεθ᾽ ἑτέρων τμ′. Τοὺς δὲ λοιποὺς παῖδας καὶ παιδίσκας τῆς πόλεως ἐκείνης δούλους ἐχαρίσατο τοῖς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ἄρχουσι καὶ μεγιστᾶσιν[7]. — 3. — **Fa** : 1. 3. — **Fb** : 1. 3. — **B** : 1. — Πρόκλου. — **Ba** : 1 (= F). — Πρόκλου. — 3 (= S). — **T** : 1. — **O** : 1. — **G** : 1. — **C** : 1. — Πρόκλου. — 3. 4. — **Cb** : 1. — Πρόκλου. — 3. 4. — **Cc** : 1. — Πρόκλου. — 3. 4. — **M** : 1. — Ἡ ἁγία μήτηρ καιομένη, ἰδὸν τὸ βρέφος ἐπιρρῖψαν[8] ἑαυτὸ τ. — Σεβαστιανῆς (Sept. 16[3]). — Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως μαθητοῦ τοῦ ἁγιωτάτου Ἰωάννου τοῦ Χρυσοστόμου. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Πρόκλος εὐλαβὴς ὢν καὶ ἐνάρετος ἐχειροτονήθη παρὰ τοῦ ἁγίου Σισινίου πατριάρχου Κωνσταντινουπόλεως ἐπίσκοπος Κυζίκου· ἀπελθὼν δὲ καὶ μὴ δεχθεὶς παρὰ τῶν ἐκεῖσε[9] κληρικῶν ὑπέστρεψεν ἐν Κωνσταντινουπόλει, τὸν μεταξὺ σχολάζων χρόνον. Τελευτήσαντος δὲ Μαξιμιανοῦ τοῦ πατριάρχου, ἔτι τοῦ λειψάνου αὐτοῦ κειμένου ἐν τῷ ἱερατείῳ τῆς μεγάλης ἐκκλησίας, προχειρίζεται πατριάρχης Κωνσταντινουπόλεως καὶ ἐνθρονίζεται[10] κατ᾽ αὐτὴν τὴν μεγάλην πέμπτην τοῦ σωτηρίου πάθους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[11] καὶ καλῶς πολιτευσάμενος καὶ ἐπισκοπήσας ἔτη δώδεκα καὶ μῆνας τρεῖς ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν. — **Mv** : 1. — Μνήμη μιᾶς γυναικὸς καὶ τοῦ βρέφους αὐτῆς. — Σεβαστιανῆς. — Πρόκλου. — **Mb** : 1. — Ἡ ἁγία μήτηρ κτλ. — Σεβαστιανῆς. — Πρόκλου. — **Mr** : 1.

Oct. 25. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. — Νέστορος τοῦ ἐν Θεσσαλονίκῃ (Oct. 27[1]). — 2. 3. — **P** : 1. — Νέστορος ἐν Θεσσαλονίκῃ ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων. — Τοῦ ἁγίου μάρτυρος Οὐάρου (Oct. 19[2]). — 2 (Οὐα<λε>ρίου καὶ Χρυσαφίου). — 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. — **B** : 1. — Οὐάρου (Oct. 19[2]). — **Ba** : 1. — **T** : 1. — **O** : 1. — **G** : 1. — Νέστορος (Oct. 27[1]). — **C** : 1. — Οὐάρου. — 2. 3. — Νέστορος, sed in margine fol. 38 : τοῦ ἁγίου Νέστορος ἔασον αὐτὸ εἰς τὰς κζ′ τοῦ μηνός. — **Cb** : 1. — Οὐάρου. — 2. 3. — **Cc** : 1. — Οὐάρου. — 2. 3. — Νέστορος. — **M** : 1. — Μνήμη τοῦ ἁγίου μάρτυρος Ἀναστασίου. Οὗτος αὐτόκλητος πρὸς τοὺς τυράννους ἀπελθὼν καὶ τὸν Χριστὸν Θεὸν ἀληθινὸν καὶ τοῦ παντὸς ποιητὴν κηρύξας πεπαρρησιασμένως, ἐξέπληξεν ἅπαντας καὶ τὸ ἀμετάθετον αὐτοῦ ἰδόντες, ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀπέτεμον καὶ τῇ θαλάσσῃ ἐναπέρριψαν. Γυνὴ δὲ εὐλαβὴς ἐκ τοῦ βυθοῦ ἀναλαβοῦσα τὸ ἅγιον αὐτοῦ λείψανον, μύροις καὶ ὀθονίοις εἱλήσασα, ἐν ᾧ κατεσκεύασεν εὐκτηρίῳ οἴκῳ ἐναπέθετο· οὗ τῇ καταθέσει πολλαὶ ἰάσεις γεγόνασι καὶ μέχρι τοῦ νῦν γίνονται εἰς δόξαν τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν. — Οὐαλλερίνου. — Σαβῖνος π. τ. — 2 (Οὐαλλερίνου καὶ Χρυσάφου ξ. τ.). — 3. — **Mv** : 1. — Ἀναστασίου. — Οὐαλλερίνου. — Σαβίνου. — 2 (Οὐαλλερίου καὶ Χρυσάφου). — 3. — **Mb** : 1. — Ἀναστασίου. — Τοῦ ἁγίου

— [7] μεγιστάσει F. — [8] ἐπίροιψαν M. — [9] ὄντων *add.* Mb. — [10] ἐνθρονιάζεται Mb. — [11] τοῦ πάθους τοῦ σωτῆρος Χριστοῦ Mb.

Oct. 25. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη[1] τῶν ἁγίων μαρτύρων Οὐαλερίου[2] καὶ Χρυσαφίου.

3. Καὶ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Ταβηθᾶ τῆς ἐν Ἰόππῃ ἥτις καὶ Δορκᾶς ἐκλήθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛʹ.

Oct. 26. **1.** Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου. Οὗτος ὁ πανένδοξος μάρτυς τοῦ Χριστοῦ Δημήτριος ἦν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἐκ τῆς Θεσσαλονικέων ὁρμώμενος πόλεως, εὐσεβὴς ὢν ἄνωθεν καὶ τῆς εἰς Χριστὸν διδάσκαλος πίστεως. Ἐπιδημήσαντος δὲ τοῦ Μαξιμιανοῦ τῇ Θεσσαλονίκῃ, κατεσχέθη ὁ ἅγιος. Ἦν γὰρ ἐπ᾽ εὐσεβείᾳ διαβόητος· σεμνυνομένου δὲ τοῦ βασιλέως ἐπί τινι ἀνδρὶ ὀνόματι Λυαίῳ καὶ προτρεπομένου εἰ δύναιτό τις τῶν τῆς χώρας ἐξελθεῖν καὶ διαγωνίσασθαι πρὸς αὐτὸν καὶ μονομαχῆσαι· ἦν γὰρ ὁ Λυαῖος μεγέθει σώματος καὶ ῥώμῃ τοὺς κατ᾽ αὐτὸν ὑπερβάλλων. Ἐπεὶ δὲ[1] νεανίας τις τοὔνομα Νέστωρ ταῖς τοῦ ἁγίου Δημητρίου ὑποθήκαις καὶ ἀοράτοις διὰ προσευχῶν βοηθείαις — καὶ γὰρ αὐτῷ καὶ νίκην καὶ τὴν ὑπὲρ Χριστοῦ προεθέσπισεν ἄθλησιν, — θαρρήσας ἀντέστη τῷ Λυαίῳ καὶ τὴν ἀλαζονείαν αὐτοῦ κατέβαλεν ἀποκτείνας αὐτόν, ὅ τε[2] βασιλεὺς αἰσχύνης ἐπλήσθη καὶ τὸν μὲν Νέστορα εὐθέως ἀνεῖλε, τῇ δυνάμει τοῦ Χριστοῦ φήσαντα[3] περιγενέσθαι τοῦ Λυαίου. Μεθ᾽ ἡμέραν δὲ ὡς τῷ Νέστορι τῆς νίκης συναίτιον τὸν ἅγιον Δημήτριον[4] αὐτοῦ που ἔνθα καθεῖρκτο παρὰ τὸ θέατρον διακοντισθῆναι ἐκέλευσε τὴν πλευράν. Ἐπὶ τὸ βάθος οὖν τοῦ σιδήρου συνελαθέντος καὶ θανατηφόρου τῆς πληγῆς γενομένης, τὴν ψυχὴν ἀφῆκεν ὁ ἅγιος. Πολλῶν δὲ θαυμάτων καὶ ἰάσεων μετὰ τὴν τελευτὴν ὁ ἅγιος Δημήτριος καὶ παραδόξων δυνάμεων γέγονε ποιητής, ἃ κατὰ λεπτὸν ἡ περὶ αὐτοῦ βίβλος δηλοῖ. Τέως δὲ κἀντεῦθεν[5] ὀλίγων τινῶν ἐπιμνησθησό-
f. 63v. μεθα πρὸς ὠφέλειαν ψυχῶν[6] καὶ | θυμηδίαν τῶν ἐντυγχανόντων.

Ἰουστινιανὸς ὁ ἀοίδιμος βασιλεὺς τὸν ἐπ᾽ ὀνόματι τῆς τοῦ[7] Θεοῦ Σοφίας κτίσας ναὸν καὶ μέλλων καθιερῶσαι αὐτὸν καὶ ἁγίων μαρτύρων συνάγων λείψανα, ἠβουλήθη καὶ ἐκ τῶν τοῦ μάρτυρος Δημητρίου ἀναγαγεῖν[8]· καὶ δὴ στείλας ἐν Θεσσαλονίκῃ τοὺς εἰς τοῦτο ὑπηρετήσοντας, ἤλπιζε τοῦ ποθουμένου τυχεῖν. Ἐκεῖνοι δὲ ἀπιόντες καὶ ἐργαλείοις τισὶ τὸν τάφον τοῦ ἁγίου ἀνοίγειν πειρώμενοι, πυρὶ ἀθρόον φωτοβολοῦντι καὶ φλογὶ ἐκεῖθεν ἐξαλλομένῃ[9] τὰ πρόσωπα βάλλονται· φωνή τε ἐκ τοῦ πυρὸς τὸ ἐξαίσιον[10] γέγονε· « Παύσασθε » περαιτέρω πειράζοντες. » Τούτοις οὖν καταπλαγέντες καὶ μηκέτι τολμῶντες ἐπιχειρεῖν, χοῦν μόνον ἐκεῖθεν ἀνελόμενοι εἰς ἁγιασμὸν καὶ τοῦτον πιστεύσαντες ἱκανὸν[7] ἔσεσθαι, ἐπανῆλθον πρὸς τὸν βασιλέα τὸ τελεσθὲν διηγούμενοι· λαβὼν δὲ ὁ βασιλεὺς τὸν ἀποκομισθέντα χοῦν, τὸ μὲν ἥμισυ καθιέρωσε, τὸν δὲ λοιπὸν αὐτὸς εἶχεν εἰς ἁγιασμόν.

Τὶς ἐπίσκοπος τῆς τῶν Ἀφρικανῶν[11] αἰχμάλωτός ποτε γεγονὼς καὶ σιδηροπέδῃ[12] κατεσχημένος, ἀναμνησθεὶς ἐν τοῖς πειρασμοῖς τοῦ μεγαλομάρτυρος καὶ τοῦτον ἐκ βάθους καρδίας ἐπικαλεσάμενος, παραυτίκα λύεται τῶν δεσμῶν καὶ τῶν αἰχμαλωτευσάντων τὰς χεῖρας διεκφυγὼν παραυτίκα ἐν τῇ Θεσσαλονικέων[13] ὑπὸ τοῦ μάρτυρος ὁδηγούμενος εὑρίσκεται· ἐπαναζεύξας δὲ παρὰ[14] τὰ οἰκεῖα μετὰ τὴν πρὸς τὸν μάρτυρα εὐχαριστίαν, ἀνεγείρει ναὸν ἐπ᾽ ὀνόματι τοῦ διασώσαντος· καὶ τοῦτον ἐν πᾶσιν ἀπαρτίσας τινῶν μαρμάρων ἐνδεὴς[15] γέγονε πρὸς κατασκευὴν κιβωρίου καὶ ἄμβωνος. Λύπῃ δ᾽ ἐπὶ τούτοις καὶ ἀπορίᾳ συνεχόμενος, ὁρᾷ κατ᾽ ὄναρ τὸν ἅγιον[16] λέγοντα αὐτῷ· « Τί λυπῇ; κάτελθε εἰς τὸ νῦν προσορμισθὲν » πλοῖον καὶ εὑρήσεις τὰ σοι ζητούμενα. » Ἔξυπνος οὖν γεγονὼς καὶ κατιὼν παραυτίκα[17] καὶ τῷ ναυκλήρῳ τοῦ πλοίου συντυχών, ἀνανεύοντα τοῦτον εἶχε περὶ τοῦ πράγματος καὶ ἀρνούμενον. Ἐπαναστρέψας δὲ πλείονι[18] τῇ λύπῃ βαλλόμενος
f. 64. καὶ ἀφυπνώσας πάλιν ὁρᾷ τὸν | ἅγιον ἐν τῇ πρώρᾳ λέγοντα τοῦ πλοίου κεῖσθαι τὰ ἐπιζητούμενα, καταλέξαντα[19] καὶ τὸν ἀριθμὸν τούτων καὶ τὰ εἴδη καὶ ὅτι ἐπ᾽ ὀνόματι τοῦ ἀδελφοῦ καὶ συμμάρτυρος ταῦτα ὠνήθησαν καὶ ὡς αὐτῷ παρ᾽ ἐκείνου ταῦτα ἀπεχαρίσθησαν, ἐπεὶ κατὰ τὴν βασιλίδα τὰ χρειώδη τῷ ἐκείνου ναῷ εὑρέθησαν. Τούτων οὕτω κατ᾽ ὄναρ λεχθέντων, ὁ ἐπίσκοπος ἀναστὰς καὶ μετὰ δρόμου ταῦτα διασαφήσας τῷ ναυκλήρῳ πείθει καὶ λαμβάνει· καὶ τὰ λειπόμενα ἀποπερατώσας εὐχαριστῶν οὐκ ἐπαύετο[20] τῷ ἁγίῳ.

Φθόνῳ ποτὲ δαιμόνων ἐν τῷ Θεσσαλονίκης[21] ναῷ τοῦ ἁγίου πῦρ εἰσπηδῆσαν ἐδράξατο καὶ τοῦ κιβωρίου καὶ τὸν ἐν αὐτῷ ἐμπεπαρμένον ἄργυρον διαλύειν ἤρξατο. Ὁ οὖν ἱεροφύλαξ δείσας μήποτε τῷ κοινῷ λαῷ ἀφαιρεθείη, τοιοῦτόν τι ἐξ ἀγνοίας τοῦ ἀποτελεσθέντος[22] μηχανᾶται· ὡς δῆθεν τὸν

2. — [1] ἄθλησις Sa. — [2] Οὐαλλερίου S.
1. — [1] *om.* Sa. — [2] τότε Sa. — [3] Sa, φήσαντος S. — [4] ἔμαθεν *add.* Sa. — [5] κἀνταῦθα Sa. — [6] ψυχῆς Sa. — [7] *om.* Sa. — [8] συναγαγεῖν Sa. — [9] ἐξαλλόμενοι S. — [10] *supple v. c.* λέγουσα. — [11] χώρας *add.* Sa. — [12] σιδηροπέδαις Sa. — [13] διεκφυγὼν ἐν Θεσσαλονίκῃ Sa. — [14] πρὸς Sa. — [15] ἐνδεὲς S. — [16] τὸν ἅγιον κατ᾽ ὄναρ Sa. — [17] εὐθέως Sa. — [18] πλεῖον Sa. — [19] τὰ δὲ τὰ λέξαντα *corr.* Sa, *prius* καταλέξαντα. — [20] ἐπάβετω S. — [21] Θεσσαλωνίκῃ S. — [22] θαυματουργησομένου Sa.

Oct. 25. μάρτυρος Οὐαλλερίνου καὶ τοῦ ἁγίου μάρτυρος Σαβίνου π. τ. — 2 : Οὐαλλερίνου καὶ Χρυσάφου διὰ ξίφους τ. — 3 : Ταβηθᾶς τῆς ἐν Αἰγύπτῳ. — **Mr** : 1.

Oct. 26. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. 2. 3. — **P** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **Fb** : 1. 2. — **B** : 1. — Μάρκου, Σωτηρίχου καὶ Οὐαλεντίνης (Oct. 24[3]). — Νέστορος (Oct. 27[7]). — 2. — **Ba** : 1. — Νέστορος. — 2. — **T** : 1. — **O** : 1. 2. — **G** : 1. — **C** : 1. 3. 2. — **Cb** : 1. 3. — Νέστορος. — 2. — **Cc** : 1. 3. — Νέστορος. — 2. — **M** : 1. — Ἐκ τῆς μεταφράσεως θαῦμα. — Μνήμη τῆς ἀπὸ Θεσσαλονίκης διὰ προστάξεως βασιλικῆς γενομένης εἰσελεύσεως τοῦ περιωνύμου καὶ ἀηττήτου Δημητρίου τοῦ

ἄργυρον σῶον διαφυλαχθῆναι πειρώμενος, φωνῇ μεγάλῃ ἀνακράζει· « Ἄνδρες ἀδελφοί, κατὰ ταύτην » τὴν ὥραν πολέμιοι τὰ τείχη τῆς πόλεως ἡμῶν » ἀνορύττουσιν. » Ἅπαν οὖν τὸ πλῆθος πιστεῦσαν — ἦν γὰρ ἄξιος τοῦ πιστεύεσθαι ὁ φωνήσας — δραμὸν καὶ ἐξιὸν εὑρίσκει τὸ τῶν Σκλαβίνων ἔθνος διὰ τειχομαχιῶν ἐπιχειροῦν καταβάλλειν τὰ τείχη. Καὶ — ὢ τοῦ θαύματος· ἐπιπνοίᾳ γὰρ τοῦ ἁγίου καὶ προμηθείᾳ τοῦ τε διαφυλαχθῆναι τὴν πόλιν καὶ τὸν ἄργυρον ἡ φωνὴ ἐκείνη παρὰ τοῦ ἱεροφύλακος γέγονε — τὸ μὲν πολέμιον[23] ἔθνος παραυτίκα διώκουσι καὶ κατασφάττουσι, τὸ δὲ πῦρ, ἐκείνων ἤδη διωκόντων, κατασβεσθὲν τὸν ἄργυρον σῶον κατέλιπε, μόνου ἐκείνου ἀναλωθέντος ὃν κατέφαγε τὸ πῦρ. Γέγονε δὲ ὕστερον τὸ θαῦμα τοῦτο δῆλον διὰ τῆς ἀνακηρύξεως τοῦ ἱεροφύλακος, εἰπόντος μὴ εἰδέναι εἰ ἔθνος προσκάθηται τῇ πόλει, ἀλλὰ φῆσαι τοῦτο διὰ τὴν ἀποτροπὴν τοῦ λαοῦ, ὅπως διαφυλαχθείη ὁ ἄργυρος[24].

Θεοδόσιος δέ, ὁ τηνικάδε τῆς ἐκκλησίας ταύτης ἐπίσκοπος, διαπορούμενος πόθεν ἄρα εὐπορήσας ἀργύρου τὸ κιβώριον πάλιν εἰς τὸ ἀρχαῖον κάλλος ἀποκαταστήσει, καὶ μὴ ἔχων[25] ὃ διαπράξεται, εἰς νοῦν ἔθετο τὸν ἐν τῷ βήματι ἀρχιερατικὸν
f. 64v. θρόνον ἀργυροῦν ὄντα καθελεῖν. | Τούτου δὲ καθ᾽ ἑαυτὸν ἤδη τὸ λογισθὲν πληρῶσαι κυρώσαντος, ὁ ἅγιος κατ᾽ ὄναρ ἐπιφαίνεταί τινι τῶν εὐλαβῶν πρεσβυτέρων, λέγων εἰπεῖν τῷ ἐπισκόπῳ φείσασθαι τοῦ ἱεραρχικοῦ[26] θρόνου. Ὁ δὲ ἐξαναστὰς καὶ εἰπὼν ἔδοξεν αὐτῷ ὡς ὀνειραζόμενος· καὶ πάλιν τοῦ ἐπισκόπου τοῦτον καθελεῖν ἀναμφιβόλως ὁρμῶντος, ὁ ἅγιος δὶς τῷ αὐτῷ πρεσβυτέρῳ ἐπιφανεὶς φάσκει εἰπεῖν τῷ ἐπισκόπῳ ὑπενδοῦναι μικρὸν τῆς ὁρμῆς καὶ ὡς· « Πλέον σοῦ φροντίζω[27] » περὶ τοῦ οἴκου μου. » Ἐπεὶ δὲ τούτων ἀκούσας ὁ ἐπίσκοπος ἐπεσχέθη τοῦ ἐγχειρήματος, μετὰ παραδρομὴν ὀλίγων τινῶν ἡμερῶν ἀρκούντως[28] λαμβάνει ὧν ἐν εὐπορίᾳ οὐκ ἦν. Φοιτήσας γάρ[29] τις παρὰ τὸν ναὸν τοῦ ἁγίου ἐπιδίδωσιν αὐτῷ ἀργύρου ὁλκὴν λιτρῶν[30] ἑβδομήκοντα πέντε, εἰπών· « Ἔστωσαν ταῦτα εἰς τὴν τοῦ κιβωρίου » τοῦ ἁγίου ἀποκατάστασιν[31]. » Φθάνει δὲ τούτου τὴν δόσιν καὶ ἕτερος καὶ ἐπιδίδωσιν ἀργύρου λίτρας μʹ, φήσας καὶ αὐτὸς τὰ ὅμοια. Λαβὼν οὖν καὶ αὐτὰς ὁ ἐπίσκοπος καὶ ὑπερευχαριστήσας, τοῦ ἔργου ἀπήρξατο καὶ ἀρξάμενος ἐτελείωσεν.

Oct. 26. Ἄλλοτέ ποτε προσμονάριός τις τοὔνομα Ὀνησίφορος τῇ σορῷ τοῦ ἁγίου προσεδρεύων ἦν, ἀποκλέπτων ἐκ τῶν ἐν αὐτῇ προσαγομένων ἐλαίου καὶ κηρῶν καὶ λαμπάδων. Ὄναρ δὲ αὐτῷ ἐπιστὰς ὁ ἅγιος ἡμέρως ἐλέγχει λέγων· « Οὐκ ἀρέσκει μοι » τὸ πραττόμενον παρὰ σοῦ[32]· καὶ ἑαυτὸν γὰρ » ζημιοῖς καὶ τοὺς προσάγοντας· ἐπὶ πολὺ γὰρ » τῶν λαμπάδων ἁπτουσῶν, ἐπὶ πλεῖον καὶ τὸ » θεῖον ἱλεοῦται τῷ προσενέγκαντι. » Ἔκτοτε οὖν ὁ Ὀνησίφορος μικρὸν ἀναχαιτισθεὶς τοῦ κλεπτικοῦ ἐγχειρήματος, πάλιν τούτου κατήρξατο. Ὡς γάρ τίς ποτε τῶν εὐσεβῶν νυκτὸς βαθείας κηροὺς μεγάλους καὶ διαφανεῖς προσέφερε τῷ ναῷ καὶ τούτους ὁ Ὀνησίφορος ἑώρακε καὶ ἀρεστοὶ[33] ἦσαν τοῖς ὀφθαλμοῖς αὐτοῦ, ἅμα τῷ ἐξιέναι τὸν προσενεγκόντα, τὴν χεῖρα ὑφαπλώσας ἀνελέσθαι τούτους, φωνὴν ἐμβριθῆ ἀπὸ τῆς σοροῦ ἀναπέμψας ὁ ἅγιος ἔφη· « Πάλιν τὰ αὐτά, Ὀνησί» φορε, » ταύτῃ βληθεὶς ἐκεῖνος κατηνέχθη ἐπὶ τὸ ἔδαφος καὶ ὥς τις ἄπνους ἔκειτο, ἕως τις τῶν τοῦ κλήρου καὶ συνήθων παρελθὼν ἀνέστησε τοῦ
f. 65. πτώματος· αὐτὸς δὲ μόλις ἑαυτοῦ γε|νόμενος ἐξωμολογεῖτο ἐπὶ πάντων τῆς ἰδίας ἀφροσύνης τὸ τόλμημα καὶ τοὺς ἐλεγμοὺς καὶ τὰς ἀπειλὰς τοῦ ἁγίου.

Καὶ[34] ταῦτα μὲν ἐκ τῶν τοῦ ἁγίου θαυμάτων μικρά. Τὸ γὰρ πάντα πειραθῆναι διεξελθεῖν ὅμοιόν ἐστιν τῷ τὴν ἄμμον ἀναμετρῆσαι ἐπιχειρεῖν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς μετὰ φιλανθρωπίας[1] ἐπενεχθείσης ἡμῖν φοβερᾶς καὶ ἀπορρήτου ἀπειλῆς τοῦ σεισμοῦ διὰ τὰς πολλὰς ἡμῶν ἁμαρτίας ἐν τῷ ͵ϛσμθʹ[2] ἔτει, ἐν ᾧ κύκλος ἦν τοῦ ἡλίου εʹ, σελήνης δὲ ιϛʹ, ἰνδικτίωνος δὲ θʹ[3], ἐπὶ τῆς βασιλείας τοῦ παρανόμου καὶ εἰκονομάχου Λέοντος τοῦ Ἰσαύρου.

Ἰστέον ὅτι καὶ ἐν ταῖς ἡμέραις Βασιλείου καὶ Κωνσταντίνου ἐν τῷ ἑξακισχιλιοστῷ τετρακοσιοστῷ ἐνενηκοστῷ ὀγδόῳ ἔτει διὰ τὰς πολλὰς ἡμῶν ἁμαρτίας γέγονε σεισμὸς ἐν ταύτῃ τῇ ἡμέρᾳ ὥρᾳ τρίτῃ τῆς νυκτός, ὅτε καὶ ὁ περιβόητος οἶκος τῆς μεγάλης τοῦ Θεοῦ ἐκκλησίας συνέπεσε καὶ πολλὰ ἕτερα οἰκήματα κατέπεσον καὶ τείχη.

3. Καὶ[1] ἄθλησις τῶν ἁγίων μαρτύρων Βασιλείου, Ἀρτεμιδώρου καὶ Γλύκωνος.

— [23] πολεμιτὸν S. — [24] (προμηθείᾳ - ἄργυρος) *haec ita leguntur in* Sa : προμηθείᾳ τοῦτο ᾠκονομήθη· γέγονε δὲ ὕστερον τὸ θαῦμα τοῦτο δῆλον διὰ τῆς ἀνακηρύξεως τοῦ ἱεροφύλακος εἰπόντος μὴ εἰδέναι εἰ ἔθνος προσκάθηται τῇ πόλει, ἀλλὰ φῆσαι τοῦτο διὰ τὴν ἀποτροπὴν τοῦ λαοῦ ὅπως διαφυλαχθείη ὁ ἄργυρος· ἀθροισθέντος (*cod.* ἀθροισθέντες) οὖν τοῦ λαοῦ, ἥ τε πόλις διεφυλάχθη καὶ τὸ πολέμιον ἔθνος διώκουσί τε καὶ κατασφάττουσι καὶ τὸ πῦρ ἐκείνων ἤδη διωκόντων κατασβεσθὲν τὸν ἄργυρον σῶον κατελιπε, μόνου ἐκείνου ἀναλωθέντος ὃν κατέφαγε τὸ πῦρ. — [25] ἔχοντος S, Sa. — [26] ἀρχιερατικοῦ Sa. — [27] φροντίζων S. — [28] ἀρκοῦντι Sa. — [29] γοῦν Sa. — [30] λίτρας Sa. — [31] κατάστασιν Sa. — [32] παρά σου πραττόμενον Sa. — [33] ἀρεστὴ S. — [34] *om.* Sa.
2. — [1] φιλανθρωπίαν *corr.* Sa. — [2] *ita* S, ἑξακισχιλιοστῷ διακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ ἔτει Sa. — [3] ἰνδικτιῶνος ἐννάτης Sa.
3. — [1] τῇ αὐτῇ ἡμέρᾳ Sa.

Oct. 26. πρότερον ἐπικειμένου τῇ μυροβλύτῳ σορῷ καὶ σκέποντος ταύτην. Καὶ τί τῶν ἐπεράστων καλῶν ἔσται τις τῇ μνήμῃ παραδιδούς... — Des. δοξάζοντες τὸν ἀληθινὸν Θεὸν ἡμῶν σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, ὃν σὺ ἐκήρυξας καὶ ἐμεγάλυνας, τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. — 2. — **Mv** : 1 (add. miracula ἐκ τοῦ Μεταφραστοῦ). — 3 (Ἀρτεμίδωρος καὶ Βασίλειος). — Ἡ ἁγία μάρτυς Λεπτίνα κατὰ γῆς συρομένη τ. — Γλύκων ξ. τ. (cf. 3). — 2. — **Mb** : 1. 2. — **Mr** : 1. 2.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ΄.

Oct. 27. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Νέστορος[1]. Οὗτος κομιδῇ νέος ὢν καὶ ὡραῖος, ἄρτι τὸν ἴουλον ἐπανθοῦντα φέρων καὶ γνωστὸς ὑπάρχων τῷ πανενδόξῳ[2] μάρτυρι Δημητρίῳ διὰ τὰ ὑπ᾽ αὐτοῦ γινόμενα θαύματα, δραμὼν ἐν ᾧ ἐφυλάττετο τόπῳ καὶ πεσὼν πρὸς τοὺς πόδας αὐτοῦ ἔφη· « Δοῦλε » τοῦ Θεοῦ Δημήτριε, βούλομαι τῷ Λυαίῳ μονο» μαχῆσαι· ἀλλ᾽ εὖξαι ὑπὲρ ἐμοῦ τὸν Χριστὸν » ὀνομάσας. » Ὁ δὲ ἅγιος, ποιήσας τὴν τοῦ Χριστοῦ σφραγῖδα εἰς[3] αὐτόν, εἶπε· « Καὶ τὸν Λυαῖον » νικήσεις καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις. » Εἰσελθὼν οὖν ἐν τῷ μαγγάνῳ ἐν ᾧ ἐμονομάχουν[4], θεωροῦντος Μαξιμιανοῦ, καὶ εἰπών· « Ὁ Θεὸς » Δημητρίου βοήθει μοι, » εἶτα συμπλακεὶς τῷ παλαμναίῳ ἐκείνῳ Λυαίῳ καὶ καιρίαν αὐτὸν βαλὼν κατὰ τῆς καρδίας, ἀνήρηκε καὶ τῷ βασιλεῖ ψυχικὴν περιεποιήσατο σύγχυσιν. Καὶ αὐτίκα κελεύσει τοῦ τυράννου τὴν κεφαλὴν ἀπετμήθη, ἅμα δὲ τῷ αἰσθητῷ καὶ τὸν νοητὸν | πολέμιον κατειργάσατο. f. 65v.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων γυναικῶν Καπετωλίνης καὶ Ἐρωτηΐδος τῆς οἰκέτιδος αὐτῆς. Αὗται ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Ζηλικινθίου ἄρχοντος Καππαδοκίας. Καὶ ἡ μὲν Καπετωλίνα εὐγενὴς ὑπάρχουσα καὶ πλουσία πάντα τὰ προσόντα αὐτῇ πτωχοῖς διανείμασα καὶ τοὺς οἰκέτας ἐλευθερίᾳ τιμήσασα, παρρησιάζεται πρὸς τὸν ἄρχοντα καὶ τῇ εἱρκτῇ ἐγκλεισθεῖσα ἕωθεν τὴν διὰ ξίφους τιμωρίαν ὑπέστη. Ἡ δὲ Ἐρωτηΐς, ἡ καὶ δούλη τῆς ἁγίας, ἐπεὶ λίθοις τὸν ἄρχοντα ἔβαλε[1], ῥάβδοις τύπτεται σφοδρῶς[2], εἶτα βουνεύροις· ἔπειτα εἰς κάμινον[3] πυρὸς ἐναπορρίπτεται. Ὡς δὲ χάριτι Θεοῦ διέμεινεν ἀβλαβής, ξίφει τὴν κεφαλὴν ἐκκόπτεται καὶ οὕτως τὸ πνεῦμα

1. — [1] *corr., prius* Νέστωρος S. — [2] πανενδοξοτάτῳ Sa. — [3] ἐπ Sa. — [4] Sa, ἐμονομάχει S.
2. — [1] ἔβαλλεν Sa. — [2] τύπτεται σφοδρῶς ῥάβδοις Sa. — [3] (εἰς κάμινον) καμίνῳ Sa.

τῷ Θεῷ παρατίθησι. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι πέραν πλησίον τοῦ ἁγίου μάρτυρος Φωκᾶ.

Oct. 27. **3.** Καὶ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν καὶ θαυματουργοῦ Φευρωνίας ἥτις ἐγένετο θυγάτηρ Ἡρακλείου τοῦ βασιλέως.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ΄.

Oct. 28. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Τερεντίου καὶ Νεονίλλης καὶ τῶν τέκνων αὐτῶν Νιτᾶ[1], Σαρβήλου[2], Θεοδούλου, Ἱέρακος, Βήλη, Φωτᾶ καὶ Εὐνείκης.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Δομνίνου τοῦ ἐν Θεσσαλονίκῃ. Οὗτος ἐκ πρώτης ἡλικίας πᾶσαν τὴν τοῦ βίου ἀποσεισάμενος ματαιότητα, τὴν κατὰ Χριστὸν ᾑρετίσατο ζωήν. Διατρίβων δὲ ἐν Θεσσαλονίκῃ, προσήχθη τῷ βασιλεῖ Μαξιμιανῷ προερχομένῳ διὰ τῆς πόλεως· ὃν ὁ τύραννος ἐν διαφόροις μάστιξιν αἰκισάμενος, ἐκέλευσεν ἐν ὑψηλῷ τόπῳ κατ᾽ ἀνατολὰς συντριβῆναι τὰ σκέλη· καὶ τούτου γενομένου τὴν ψυχὴν ἀφῆκεν ὁ ἅγιος.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Τερεντίου, Ἀφρικανοῦ, Μαξίμου καὶ Πομπηΐου καὶ ἑτέρων τριάκοντα ἕξ. Οὗτοι[1] ἐπὶ Δεκίου[2] βασιλέως καὶ Φουρτουνάτου ἡγεμόνος ἐν Ἀφρικῇ καὶ γεννηθέντες καὶ ἀγωνισάμενοι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν[3], νευροῖς ὠμοῖς τύπτονται, εἶτα ῥάβδοις, εἶτα πυρωθεῖσιν ὀβελίσκοις τὰ νῶτα καίονται καὶ ἐπιχεομένου ὄξους σὺν ἅλμῃ τριχίνοις ὑφάσμασιν ἀνατρίβονται καὶ οὕτω καρατομοῦνται. f. 66. Οἱ δὲ τούτων ἑ|ταῖροι ἐρωτηθέντες καὶ μὴ εἴξαντες, δεσμῷ ὑποβάλλονται καὶ σιδήρων πυρωθέντων καὶ ὑπὸ[4] γῆν τεθέντων σύρονται διὰ τούτων γυμνοί· εἶτα ξέονται καὶ εἰς βόθρον ἀπορρίπτονται ὄφεων καὶ σκορπίων μεστόν· καὶ ἀβλαβεῖς διαμείναντες τὴν διὰ ξίφους δέχονται τιμωρίαν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων[1] Φιρμιλιανοῦ ἐπισκόπου Καισαρείας καὶ Μελχίωνος σοφιστοῦ καὶ πρεσβυτέρου Ἀντιοχείας, τῶν καθελόντων Παῦλον τὸν Σαμοσατέα.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Διομήδους ἐν Λευκοπόλει[1].

6. Καὶ μνήμη τῶν ἐν τῷ Χάσματι ἀνατολικῶν ἁγίων πατέρων.

7. Καὶ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Ἄννης τῆς νέας, θυγατρὸς γεγονυίας Ἰωάννου διαιταρίου τοῦ ναοῦ τῶν Βλαχερνῶν.

8. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ Σαβαΐτου ἀνεψιοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ.

9. Καὶ[1] ἐγκαίνια τοῦ ἁγίου Ῥωμανοῦ.

10. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κυριακοῦ τοῦ φανερώσαντος τὸν τίμιον σταυρὸν ἐπὶ τῆς ἁγίας Ἑλένης. Οὗτος, μετὰ τὸ φανερῶσαι τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ

1. — [1] Νιττᾶ Sa. — [2] Σαρβίλου Sa.
3. — [1] ἤθλησαν *add.* Sa. — [2] τοῦ *add.* Sa. — [3] καὶ πρῶτα Sa. — [4] κατὰ Sa.
4. — [1] καὶ ὁσίων πατέρων ἡμων *add.* Sa.
5. — [1] Λευκουπόλει S.
8. — [1] τοῦ *add.* Sa.
9. — [1] τὰ *add.* Sa.

Oct. 27. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 2. — **P** : 2. — **F** : 1. 2. — Τοῦ ἁγίου Ἀρτεμιδώρου (cf. Oct. 26[3]). — **Fa** : 1. 2. — Ἀρτεμιδώρου. — **Fb** : 1. 2. — Ἀρτεμιδώρου. — **B** : 2. — **Ba** : 2. — **T** : 1. — **O** : 1. 2. — **G** : 2. — **C** : 2. — In margine fol. 39v : Ζήτει τὸ συναξάριον τοῦ ἁγίου Νέστορος ὄπισθεν φύλλα β. — **Cb** : 2. — **Cc** : 2. — **M** : 1. 2. — Κυριακοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. — Πρόκλη σύζυγος Πιλάτου ἐν εἰρήνῃ τ. — Διήγησις περὶ τῶν Ἰβήρων ὅπως ἦλθον εἰς θεογνωσίαν. Ἐν ταῖς ἡμέραις τοῦ ἐν ἁγίοις μεγάλου βασιλέως Κωνσταντίνου[1], γυνή τις ἀπαχθεῖσα εἰς τοὺς Ἴβηρας, ἄκρως τὴν ἀσκητικὴν ἀγωγὴν παιδόθεν ἐκπαιδευθεῖσα καὶ αἰχμάλωτος γενομένη, τῶν αὐτῶν εἴχετο ἀγώνων[2]. Καὶ ἐπεὶ τῆς ἰατρικῆς ἐπιστήμης οἱ Ἴβηρες πάμπαν σπανίζοντες πρὸς ἀλλήλους φοιτᾶν εἰώθασιν, ὡς ἀπὸ πείρας ἐπιζητοῦντες ἐπὶ τοῖς συμβαίνουσι νοσήμασι τὸν τρόπον τῆς ὑγείας, ἀφίκετό τις πρὸς τὸ ἀξιέπαινον γύναιον, παιδίον νόσου δεινῇ μάστιγι πιεζόμενον ἐπιφερομένη, τὸ πρακτέον τάχα ζητοῦσα μαθεῖν. Ἡ οὖν αἰχμάλωτος τοῦτο λαβοῦσα καὶ ἀνακλίνασα, προσηύξατο λυθῆναι τοῦ παιδαρίου τὴν νόσον. Ἤκουσεν ὁ τὰ κρυπτὰ τῶν καρδιῶν εἰδὼς καὶ παρέσχε μὴ μελλήσας τὴν ὑγείαν. Ἐντεῦθεν ἡ θαυμασία γυνὴ πολυθρύλλητος γέγονεν, ὡς καὶ εἰς ὦτα τῆς τοῦ βασιλέως ὁμοζύγου[3] διελθεῖν τὸ γενόμενον· ἥτις καὶ παραυτίκα ταύτην μεταπεμψαμένη (κατείχετο γὰρ καὶ αὐτὴ χαλεπῷ πάθει), ἡ[4] μετριοφρονοῦσα γυνὴ ἀναξίαν ἑαυτὴν κρίνασα πρὸς τὴν βασιλίδα ἀφικέσθαι, καταπειθὴς οὐκ ἦν. Ἀλλ᾽ ἡ βασίλισσα τὸ τῆς βασιλείας ἐπηρμένον εἰς οὐδὲν λογισαμένη, πρὸς τὴν δορυάλωτον ἔδραμεν. Ἡ δὲ καὶ ταύτην τὴν βασίλισσαν πρὸς τὴν πανευτελῆ ταύτης κοίτην[5] κατακλίνασα, ἐν ᾗ καὶ τὸ παιδάριον, φάρμακον τοῦ πάθους ἀλεξίκακον τὴν προσευχὴν προσενήνοχεν. Ἡ δὲ βασίλισσα τοῦ πάθους ἀπαλλαγεῖσα, χρυσὸν καὶ ἄργυρον καὶ χιτῶνας καὶ ἕτερα οὐκ ὀλίγα ἐδίδου, ὅσα τῆς βασιλικῆς φιλοτιμίας, ἀμειβομένη τὴν οὕτω ταχέως καὶ κεχαρισμένως[6] τὸ πάθος διώξασαν. Ἀλλ᾽ ἡ θεία ἐκείνη γυνὴ τούτων μὴ χρείαν κεκτῆσθαι ἔλεγε, μισθὸν μέγαν δὲ[7] ἡγεῖσθαι τὴν τῆς εὐσεβείας ἐπίγνωσιν· καὶ τῷ ἀπαλλάξαντι τοῦ πάθους καὶ σεσωκότι Θεῷ παρηγγυᾶτο ναὸν ἀνεγεῖραι. Τούτων ἐκείνη ἀκούσασα, κατέλαβε τὰ βασίλεια· καὶ τὸν μὲν βασιλέα ἐξέπληξε τῷ παραδόξῳ τῆς ἰάσεως· διηγεῖτο δὲ καὶ τὸν τρόπον τῆς ἰάσεως[8] καὶ διεβεβαίου τὸν τῆς αἰχμαλώτου Θεὸν τοῦτον εἶναι κυρίως καὶ ἀληθῶς Θεόν· καὶ ναὸν δὲ[9] δείμασθαι προσῆκον διὰ τάχους ἐστὶ καὶ τὸ ὅλον ἔθνος εἰς τὴν τούτου θεραπείαν μεταθεῖναι. Ὁ δὲ τὸ μὲν θαῦμα ἐξεπλήττετο καὶ εὐφήμει[10], ναὸν δὲ δείμασθαι οὐκ ἤθελεν. Ὀλίγου δὲ διελθόντος χρόνου, εἰς θήραν ἐξελθών, οἱ μὲν σὺν αὐτῷ θηρεύοντες ἀκωλύτως ἐθήρευον· οὗτος δὲ μόνος ὁ βασιλεὺς ὑπολειφθεὶς τοῖς τῆς ἀορασίας κατεσχέθη δεσμοῖς καὶ[9] ἐν ἀπορίᾳ[11] γενόμενος[12] εἰς νοῦν τὴν ἀπείθειαν λαβὼν καὶ[9] τὸν τῆς αἰχμαλώτου Θεὸν ἐπικαλεσάμενος εἰς ἐπικουρίαν, ἀπηλλάγη τοῦ ζόφου[13] καὶ τὴν ἀξιάγαστον δορυάλωτον καταλαβὼν ὑποδεῖξαί οἱ τὸ σχῆμα τῆς οἰκοδομῆς ἠντιβόλει· καὶ ἡ μὲν διέγραφεν, οἱ δὲ τοῦ βασιλέως ᾠκοδόμουν. Ἐπειδὴ[14] δὲ καὶ πέρας ὁ ναὸς εἴληφε καὶ ὁ ὄροφος ἐπετέθη καὶ μόνον ἐδεῖτο τῶν ἱερέων, εὗρε καὶ τούτου πόρον ἡ θαυμασία ἐκείνη[15] γυνή. Ἔπεισε γὰρ[16] τὸν τοῦ ἔθνους Ἰβήρων ἡγούμενον πρὸς τὸν τῶν Ῥωμαίων πρεσβεύσασθαι βασιλέα καὶ αἰτήσασθαι σταλῆναι διδάσκαλον εὐσεβείας. Καὶ[15] ὁ μὲν οὖν δεξάμενος τὴν εἰσήγησιν, τοὺς πρεσβευσομένους ἐξέπεμψεν. Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος τῆς αἰτήσεως[17] τὴν αἰτίαν μαθὼν τοὺς πρεσβευτὰς φιλοφρόνως δεξάμενος, τῷ Θεῷ ηὐχαρίστησεν· ἄνδρα δὲ πίστει καὶ συνέσει καὶ βίῳ κοσμούμενον καὶ τῆς ἀρχιερωσύνης ἠξιωμένον κήρυκα τῷ ἔθνει τῆς θεογνωσίας ἐξέπεμψε, μετὰ δώρων ὅτι μάλιστα πλείστων· ὃς καὶ ἀπελθὼν θαύμασι καὶ διδασκαλίαις πάντας[18] πρὸς τὴν ἀκραιφνῆ ταύτην καὶ ἀμώμητον πίστιν[19] τῶν χριστιανῶν[20] ἑλκύσας καὶ βαπτίσας καὶ ἱεροὺς οἴκους[21] διαφόρους ἐγείρας καὶ ἱερεῖς χρίσας καὶ πᾶσαν τὴν τῶν Ἰβήρων χώραν εἰς θεογνωσίαν μετενεγκὼν ἀπῆλθε πρὸς Κύριον. Οὗτος ὁ τρόπος τῆς τῶν Ἰβήρων πρὸς Θεὸν ἐπιγνώσεως. — **Mv** : 1. 2. — Κυριακοῦ. — Πρόκλης. — Διήγησις περὶ τῶν Ἰβήρων. — **Mb** : 1. — Κυριακοῦ. — Διήγησις. — **Mr** : 1.

Oct. 28. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 8. 9. 10. 11. — **H** : 2. 11. 8. 5. 9. 4 (... Μελαχίονος). — 1. — **P** : Νέστορος (Oct. 27[1]). — 11. 8. 5. 9 : καὶ τοῦ ἁγίου Ῥωμανοῦ. — 4. — Ἐγκαίνια τοῦ ἁγίου Ζαχαρίου ἐν τῷ Παραδεισίῳ. — **F** : 3. 4. 2. 5. 1. 11. — **Fa** : 3. 4. 2. 5. 1. 11. — **Fb** : 3. 4. 2. 5. 1. 11. — **B** : 10. 11. — **Ba** : 10. 11. 3 : Τερεντίου, Ἀφρικανοῦ, Μαξίμου καὶ Πομπηίου σὺν ἑτέροις λς΄. Οὗτοι ἤθλησαν ἐπὶ Δεκίου βασιλέως καὶ Φουρτουνάτου[1] ἡγεμόνος, ἐν Ἀφρικῇ καὶ γεννηθέντες καὶ ἀγωνισάμενοι· νεύροις ὠμοῖς τύπτονται ῥάβδοις τε ὁμοίως, εἶτα πυρωθεῖσιν ὀβελίσκοις τὰ νῶτα καίονται· καὶ ἐπιχεομένου ὄξους[2] σὺν ἅλμῃ τριχίνοις ὑφάσμασιν ἀνατρίβονται καὶ οὕτως καρατομοῦνται. Οἱ δὲ λοιποὶ τούτων ἐρωτηθέντες καὶ μὴ εἴξαντες, τῷ δεσμῷ ὑποβάλλονται καὶ σιδήρων πυρωθέντων καὶ ὑπὸ γῆν τεθέντων, σύρονται γυμνοί· εἶτα ξέονται καὶ εἰς βόθρον ἀπορρίπτονται ὄφεων καὶ σκορπίων μεστὸν καὶ ἀβλαβεῖς διαμείναντες τὴν διὰ ξίφους δέχονται τιμωρίαν. — Ἑρμηνιγγίλδου[3]. Οὗτος ὁ μακάριος πατέρα μὲν εἶχε Λιουβίγιλδον[4] ῥῆγα τῶν Οὐσιγότθων[5] ἀρειανὸν τυγχάνοντα σὺν παντὶ τῷ τῶν Γότθων ἔθνει· μυηθεὶς τὴν ὀρθόδοξον πίστιν ὑπὸ Λεάνδρου[6] τοῦ τῶν ὀρθοδόξων ἐπισκόπου. Ὁ μέντοι πατὴρ αὐτοῦ ἐχαλέπαινε, πείθειν αὐτὸν βουλόμενος εἰς τὴν ἑαυτοῦ πλάνην ἐλθεῖν· ὡς δὲ οὐκ ἠνέσχετο ἀκούειν αὐτοῦ, στερίσκει μὲν τοῦτον τῆς βασιλικῆς διαδοχῆς, χεῖρας καὶ πόδας αὐτοῦ δεσμήσας, εἱρκτῇ ζοφώδει ἐγκατακλείει. Ὡς δὲ τοῦ πάσχα ἐφέστηκεν ἡ ἑορτὴ καὶ τοῦ πατρὸς αὐτοῦ διὰ ἱερέως κακοδόξου τῶν δῆθεν μυστηρίων μεταδοῦναι αὐτῷ ἀναγκάζοντος καὶ τοῦ ἁγίου μὴ βουλομένου, ὁ θηριότροπος πατὴρ αὐτοῦ ἀναιρεθῆναι αὐτὸν ἐν τῇ εἱρκτῇ προστάττει. Ὁ δὲ στεφοδότης Χριστὸς μελῳδίαις ἀγγέλων καὶ λαμπάδων φωτοχυσίαις τὸ σῶμα τοῦ μάρτυρος

[1] ἐν ταῖς ἡμέραις K. τοῦ ἐν ἁγίοις βασιλέως τοῦ μεγάλου Mv. — [2] πόνων Mv. — [3] συζύγου Mv. — [4] δὲ *add.* Mv. — [5] κλίνην Mv. — [6] κεχρισμένως Mv. — [7] δὲ μέγαν Mv. — [8] τῆς ἰάσεως *om.* Mv. — [9] *om.* Mv. — [10] καὶ εὐφήμει *om.* Mv. — [11] οὖν *add.* Mv. — [12] καὶ *add.* Mv. — [13] τῆς νόσου Mv. — [14] ἐπεὶ Mv. — [15] *om.* Mv. — [16] τε Mv. — [17] τῆς αἰτήσεως *om.* Mv. — [18] *om.* Mv. — [19] (ταύτην - πίστιν) *om.* Mv. — [20] πίστιν πάντας *add.* Mv. — [21] ναοὺς Mv.

[1] Φουρτουνατιανοῦ S, *ad diem 10 aprilis, n. 1.* — [2] ὄξει Ba. — [3] Ἑρμινιγγίλδου Ba. — [4] Λιουβίηλδον Ba. — [5] τὸν Ὀσίγοτθον Ba. — [6] Ἀλεάνδρου *hic* Ba.

Oct. 28. πιστεῦσαι καὶ βαπτισθῆναι, γέγονεν ἐπίσκοπος Ἱεροσολύμων μετὰ Μακάριον· καὶ παρέτεινεν ἡ ζωὴ αὐτοῦ μέχρι τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου, ὅστις κατὰ τῶν Περσῶν πορευόμενος ἀπῆλθεν καὶ εἰς Ἱερουσαλὴμ καὶ μαθὼν περὶ τοῦ ἁγίου καὶ ἀποστείλας καὶ κρατήσας αὐτὸν παρέστησεν τῷ ἰδίῳ κριτηρίῳ· καὶ ἀναγκάσας αὐτὸν θῦσαι τοῖς εἰδώλοις ἠλέγχθη [1] ὑπ' αὐτοῦ. Ὅθεν ἐκέλευσεν κοπῆναι τὴν δεξιὰν αὐτοῦ χεῖρα εἰπών· « Ὅτι σὺ πολλὰς ἐπιστολὰς γράψας μετὰ τῆς » χειρὸς ταύτης, πολλοὺς ἀπέστρεψας [2] ἀπὸ τῶν » θεῶν· » εἶτα ἐξέχεε μόλιβδον ἐν τῷ στόματι αὐτοῦ, καὶ μετὰ ταῦτα ἐτέθη ἐπὶ κραββάτου χαλκοῦ πυρωθέντος. Ἐλθοῦσα δὲ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ, ἐκρατήθη καὶ αὐτὴ καὶ κρεμασθεῖσα ἐκ τῶν τριχῶν καὶ ξεομένη ἀπέθανεν. Εἶτα ἐμβληθεὶς καὶ αὐτὸς εἰς λέβητα, ἐπλήγη μετὰ τοῦ κονταρίου καὶ ἐτελειώθη.

11. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Ἰωάννου τοῦ Χοζεβίτου. Ὃς ὥρμητο ἐκ Θηβῶν παῖς γεγονὼς | γονέων μεγάλων καὶ περιφανῶν. Ἀπεβάλλετο (f. 66v.) δὲ τὴν ἐν Χαλκηδόνι σύνοδον καὶ τῆς καθολικῆς ἐκκλησίας ἀφίστα ἑαυτόν. Παραγενόμενος δὲ εἰς τοὺς σεβασμίους τόπους ὥστε τὸν τίμιον σταυρὸν προσκυνῆσαι καὶ κωλυόμενος τοῦ προσκυνῆσαι αὐτόν [1] — πάντως [2] γὰρ ἐκρατεῖτο, — φωνῆς ἔδοξεν ἐπακοῦσαι, ὅτι οἱ τῇ καθολικῇ ἐκκλησίᾳ μὴ κοινωνοῦντες ἀνάξιοι τῆς τοῦ σταυροῦ προσκυνήσεως τυγχάνουσιν. Τοῦτο δὲ ἦν ἐν ὁράματι· καὶ διυπνισθεὶς προσῆλθεν τῇ ἐκκλησίᾳ καὶ [3] ἐξελθὼν ἔμεινεν ἐν τόπῳ λεγομένῳ Χοζεβᾷ [4], ἐν ᾧ ὑπερβάλλουσαν ἄσκησιν καὶ ἀρετῆς ἀνάβασιν ἐκτήσατο, πολλὰ κατεργασάμενος θαύματα καὶ πολλῶν μοναχῶν γενόμενος καθηγούμενος. Διὸ καὶ ἐν αὐτῷ τῷ τόπῳ τῆς ἐρήμου ὁ μακάριος ἐκοιμήθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

Oct. 29. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀναστασίας. Αὕτη ὑπῆρχεν ἐπὶ Δεκίου καὶ Βαλλεριανοῦ καὶ Πρόβου [1] ἡγεμόνος, Ῥωμαία τῷ γένει, νέαν ἄγουσα τὴν ἡλικίαν καὶ ἔν τινι μοναστηρίῳ διατρίβουσα. Παρρησίᾳ δὲ τὸν Χριστὸν ὁμολογήσασα ῥαπίζεται τὸ πρόσωπον· καὶ ἐπ' ἀνθράκων πυρὸς ἁπλωθεῖσα, ῥάβδοις μαστίζεται καὶ ἐπὶ ξύλου κρεμασθεῖσα καθ' ὅλου τοῦ σώματος ξέεται καὶ τοὺς

10. — [1] ἠλέχθη Sa. — [2] Sa, ἀποστρέψας S.
11. — [1] τοῦ προσεγγίσαι αὐτῷ Sa. — [2] ἀοράτως Sa. — [3] εὐθέως εἰς τὴν ἔρημον *add.* Sa. — [4] Χόζεβα Sa. *al.* Χοζιβᾶ. *Cf. Vita S. Georgii*, Anal. Boll., *t. VII, p. 98*.
1. — [1] Προβάτου Sa, Πρόβου S, *et Passio in* Act. SS., *Oct. t. XII, p. 521.*

Oct. 28. ἐτίμησε, τὸν δὲ σφαγέα κατέπληττε καὶ συνετάραττεν. Ὅστις νόσῳ ληφθεὶς Λέανδρον τὸν ἐπίσκοπον μετακαλεσάμενος καὶ τὸν νεώτερον παῖδα Ῥεκχάρεδον [7], ἀναγορεύσας βασιλέα, τῷ ἐπισκόπῳ ἐγχειρίζει, ἀξιῶν τοῖς ἴσοις τελέσαι τὸν παῖδα, οἷς καὶ τὸν μάρτυρα Ἑρμηνίγγιλδον προετελέσατο, ὀρθόδοξος τελευτήσας. Ὁ δέ γε Ῥεκχάρεδος [7] ὁ καὶ ἀδελφὸς τοῦ ἁγίου ὀρθοδοξίᾳ στοιχειωθεὶς καὶ τὸ ὑπήκοον συνορθοδοξεῖν ἐπεσπάσατο, τοῦ Θεοῦ διὰ τοῦ μάρτυρος καὶ τὸν πατέρα καὶ ἀδελφὸν σὺν παντὶ τῷ ἔθνει τῇ ὀρθοδοξίᾳ ἑλκύσαντος. — **T** : 1 (= Ba). — **O** : 1. 2. — **G** : 1. — **C** : 10. 8 (... ἀνεψιοῦ Ἰωάννου τοῦ Μανσούρ). — 5. 4 (... καὶ Μελαχίωνος). — 1. — **Cb** : 10. 11. 8 (... τοῦ Μοσοῦρ). — 5 (Διομήδους [8] Σελευκοπόλεως). — 4. 1. — **Cc** : 10. 11. 8 (... Μανσοῦρ). — 5. 4. 1. — **M** : 3. 1. 4. 11. — Τῆς ἁγίας Φευρωνίας θυγατρὸς Ἡρακλείου βασιλέως (Oct. 27[3]). — 8. 10. — Ἡ ἁγία Ἄννα ἡ μήτηρ τοῦ ἁγίου Κυριακοῦ λαμπάσι φλεχθεῖσα τ. — **Mv** : 3. 1. 4. 11. — Ἡ μήτηρ τοῦ ἁγίου Κυριακοῦ. — Κοσμᾶ καὶ Δαμιανοῦ καὶ τῶν σὺν αὐτοῖς ἑτέρων τριῶν ἀδελφῶν αὐτῶν (Oct. 17[2]). — **Mb** : 3. 1. 4. 11. — Φευρωνίας. — 8. 10. 7. — **Mr** : 1. 8. 3.

Oct. 29. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτῆς μνήμη ἐν τῇ μονῇ τῆς ἁγίας Ἀναστασίας. — 2. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τοῦ ἁγίου Χριστοφόρου τῇ οὔσῃ πλησίον τοῦ ἁγίου μάρτυρος Νικήτα καὶ ἐν τῷ ναῷ τοῦ Σωτῆρος τῷ ἐπιλεγομένῳ Καθρυτίῳ, πλησίον τῶν ἁγίων μ'. — 3. 4. 5. 6. — **H** : 3. 4. 6. 2. — **P** : 4. 3 : Τὰ ἐγκαίνια τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου καὶ Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ καὶ τῶν ἁγίων μαρτύρων Στεφάνου, Βαρνάβα, Ἰωσήφ, Τροφίμου, Δορυμέδοντος, Κοσμᾶ καὶ Δαμιανοῦ, Σάββα, Βάσσης, Ἀβραμίου καὶ τῆς συνοδίας αὐτῶν ἐν τῷ Ὀρφανοτροφείῳ. — Μνήμη τοῦ ἁγίου ἀποστόλου Κλεώπα. — 5. 6. — **F** : 1 : Ἀναστασίας. Ἥτις ὑπῆρχεν ἐπὶ Δεκίου καὶ Βαλλεριανοῦ καὶ Πρόβου ἡγεμόνος, Ῥωμαία τῷ γένει, νέαν ἄγουσα τὴν ἡλικίαν καὶ ἔν τινι μοναστηρίῳ διάγουσα. Αὕτη παρρησίᾳ τὸν Χριστὸν κηρύξασα καὶ τὰ εἴδωλα διαπτύσασα, ῥαπίζεται τῷ προσώπῳ· καὶ γυμνωθεῖσα ἐπ' ἀνθράκων καταφλέγεται ἐπιρραινομένη ἄνωθεν θεῖον καὶ πίσσαν καὶ ἔλαιον, ἑτέρων μαστιζόντων αὐτήν· εἶτα ἐπὶ ξύλου κρεμνᾶται μαγγάνοις πιεζομένη καὶ πάλιν ἐν ὀγκίνοις ὀξέσι καταπείρεται καὶ κρεμασθεῖσα καθ' ὅλου τοῦ σώματος ξέεται· εἶτα τοὺς μασθοὺς ἐκτέμνεται καὶ τοὺς ὄνυχας τῶν χειρῶν καὶ τῶν ποδῶν ἐκριζοῦται καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἀκρωτηριάζεται καὶ τὴν γλῶσσαν ἀφαιρεῖται· ἔπειτα τοὺς ὀδόντας ἀποσπᾶται καὶ τὴν κεφαλὴν ἀποτέμνεται. — 4. 3 : Τῶν ἁγίων μαρτύρων Στεφάνου, Βαρνάβα, Ἰωσήφ, Τροφήμου... Δαμιανοῦ καὶ Σάβα καὶ Βάσης. — Καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου Κλεόπα. — 6. — Καὶ τὰ ἐγκαίνια τοῦ ὀρφανοτροφείου. — 2. — **Fa** : 1. 4. 3 : Στεφάνου... Ἰωσήφ, Τροφήμου... Δαμιανοῦ. — Κλεόπα. — 6. — Ἐγκαίνια κτλ. — 2. — **Fb** : 1. 4. 3 (= Fa). — Κλεόπα. — 6. — Ἐγκαίνια κτλ. — 2. — **B** : 2. — Κλαυδίου, Ἀστερίου καὶ τῶν σὺν αὐτῷ (Oct. 30[3]). — **Ba** : 1. 2. — Κλαυδίου, Ἀστερίου. — In margine

— [7] Ῥεκχάδερον Ba. — [8] Διομίδους Cb.

μαστοὺς ἐκτέμνεται καὶ τοὺς ὄνυχας ἐκριζοῦται· καὶ τελευταῖον τὴν κεφαλὴν ἀποτέμνεται [2].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀβραμίου. Οὗτος ἐκ γονέων ἦν χριστιανῶν, ἐζεύχθη δὲ ἀβουλήτως γυναικί [1]. Διὰ δὲ τὸν πρὸς Κύριον πόθον καταλιπὼν αὐτὴν καὶ ἀναχωρήσας, καθεῖρξεν ἑαυτὸν εἰς σμικρότατον [2] οἴκημα [3]· μετὰ δὲ χρόνους δέκα χειροτονεῖται πρεσβύτερος. Τελευτήσαντος δὲ τοῦ κατὰ σάρκα αὐτοῦ ἀδελφοῦ καὶ καταλείψαντος παιδίον θῆλυ (Oct. 29.) ὡσεὶ χρόνων ἑπτά, τοῦτο ὁ ἅγιος ἀναλαβόμενος πλησίον τοῦ κελλίου αὐτοῦ εἰς ἕτερον κελλίον ἐνέκλεισεν [4]. Ἐν τῷ εἰκοστῷ δὲ χρόνῳ τῆς ἡλικίας αὐτῆς, συνέβη φθόνῳ τοῦ δαίμονος περιπεσεῖν αὐτὴν πτώματι καὶ ἐν πανδοχείῳ μετὰ τῶν ἑταιριζομένων γενέσθαι γυναικῶν. Στρατιώτου δὲ σχῆμα ὁ ἅγιος [5] ὑποδὺς καὶ ἐπιβὰς ἵππῳ, τοῦ πτώματος αὐτὴν [6] ἐξήρπασε [7] καὶ πρὸς τὸν ἴδιον κατέστησε

— [2] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
2. — [1] *om.* Sa. — [2] μικρότατον Sa. — [3] καὶ *add.* Sa. — [4] ἐνῴκησεν Sa. — [5] στρατιωτῶν δὲ ὁ ἅγιος σχῆμα Sa. — [6] ταύτην Sa. — [7] ἀνήρπασε Sa.

Oct. 29. fol. 91v, manu recenti : Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Διομήδους μαθητοῦ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Τριφυλλίου ἐπισκόπου [Λευ]κωσίας. — **T** : 1. 2. — **O** : 2. — **G** : 1. — **C** : 2. 3. 4. 5. — **Cb** : 2. 3. 4. 5. 6. — **Cc** : 2. 3. 4. 5. — **M** : 1. 2 (Ἀ. καὶ Μαρίας). — Κύριλλος ξ. τ. — 4 : ὁ ἅγιος μάρτυς Σάβας ὁ στρατηλάτης λόγχαις τὸ δεξιὸν καὶ ἀριστερὸν μέρος τρωθεὶς τ. — Ἄννης τῆς μετονομασθείσης Εὐφημιανοῦ [1]. Αὕτη ἡ ὁσία μήτηρ ἡμῶν Ἄννα γεννᾶται ἐν τῷ Βυζαντίῳ παρὰ εὐλαβοῦς τινος διακόνου τοῦ ναοῦ τῶν Βλαχερνῶν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου. Ἀπορφανισθεῖσα δὲ τῶν γεννητόρων, ἔσπευδεν ἡ μάμμη αὐτῆς [2] ἀνδρὶ εὐλαβεστάτῳ συζεῦξαι αὐτήν· ὃ καὶ πεποίηκε. Καὶ ἐλθὼν ἐκ τοῦ Ὀλύμπου ὁ πρὸς πατρὸς θεῖος αὐτῆς, ἀνὴρ ἀσκητικώτατος καὶ διορατικώτατος ὁ καὶ ὑπὸ τοῦ εἰκονομάχου Λέοντος τὴν γλῶσσαν ἐκκοπείς, λαλῶν δὲ καὶ μετὰ τὸ ἐκκοπῆναι ταύτην [3] ἀνεμποδίστως, ὡς εἶδε ταύτην ἀνδρὶ συζευχθεῖσαν· « Ἵνα τί τὴν πρὸς θείους ἀγῶνας καὶ πόνους ἀφορῶσαν ἀνδρὶ » συνεζεύξατε; » ἔφη [4] καὶ ἐπευξάμενος αὐτῇ ἀνεχώρησε. Χρόνων δέ τινων παρερρυηκότων καὶ τοῦ δυσσεβοῦς ἐκείνου βασιλέως ἐς [5] ᾅδου ταμεῖα καταχθέντος, Εἰρήνη καὶ Κωνσταντῖνος οἱ ὀρθόδοξοι καὶ πιστότατοι βασιλεῖς τὸν ἅγιον ἐκεῖνον ἄνδρα μεταστειλάμενοι, ὡς [6] οἷα πάθοι ἀναδιδαχθέντες παρὰ τοῦ πρὸ αὐτῶν βασιλεύσαντος, τὴν εὐλογίαν ἐκ τούτου ἐλάμβανον καὶ τὰς εὐχὰς ἐκομίζοντο. Οὗτος δὲ πάλιν τὰ συνοίσοντα [7] πρὸς εὐαρέστησιν Θεοῦ ὑποθείς, τὴν πρὸς τὰ ἴδια ἐβάδιζεν. Τότε πάλιν ἰδὼν τὴν μακαρίαν ταύτην· « Ἀνδρίζου καὶ ἴσχυε, τέκνον, φησί· πολλαὶ γὰρ αἱ θλίψεις τῶν δικαίων. Γινώσκουσα » δὲ ἔσο, μὴ πρότερον γεννηθῆναι τὸ ἐν τῇ κοιλίᾳ σου παιδίον, πρὶν ἢ τὸν ἄνδρα σου τῷ τάφῳ » καλύψεις· » ὃ καὶ γέγονε· μετὰ γὰρ ἕκτον μῆνα τῆς συλλήψεως τέθνηκεν ὁ ταύτης ἀνήρ. Ἡ δὲ πολλὰ θρηνήσασα καὶ τῇ λύπῃ ἑαυτὴν κατατήξασα, τὸ μὲν παιδίον ἀπογαλακτίσασα δέδωκεν εἰς χεῖρας τοῦ ἑτέρου θείου αὐτῆς· αὐτὴ [8] δὲ πρὸς τοὺς ἀγῶνας ἀπεδύσατο, ὁποίους δὲ καὶ ἡλίκους, ἴσασιν οἱ μεμυημένοι καὶ ἄκρως τὸν ἀσκητικὸν δρόμον ἐλάσαντες [9]. Ἐν τούτοις οὖν αὐτῆς οὔσης, παραγίνεται ἐκ τοῦ Ὀλύμπου ὁ διορατικώτατος ἐκεῖνος ἀνήρ. Ἡ [10] δὲ παρὰ τοὺς πόδας αὐτοῦ πεσοῦσα καὶ τὴν εὐλογίαν αἰτησαμένη· « Ἐνδυναμοῦ ἐν Κυρίῳ, τέκνον, » ἤκουε, καί· « Ποῦ τὸ παιδίον; » ὁ θαυμάσιος ἐκεῖνός φησιν. Ἡ δέ· « Τὸ μὲν ἓν τῷ αὐταδέλφῳ [11] σου καὶ μετὰ Θεὸν εὐεργέτῃ μου [12] ἀνεθέμην· τὸ δὲ » ἕτερον παρ' ἐμοί ἐστι. » Καὶ ταῦτα εἰποῦσα καὶ ἕτερά τε [13] συγχύσεως καὶ καρδίας ὀδυνωμένης οὐ μικρῶς ῥήματα καὶ ἀμφοτέρους τοὺς παῖδας τῷ τιμίῳ ἐκείνῳ παραστήσασα γέροντι· « Εὖξαι, ὦ πάτερ » τίμιε, ὑπὲρ τῶν τέκνων » δακρυρροοῦσα ἠντιβόλει. Ὁ δέ· « Οὐ χρείαν ἔχουσι ταῦτα εὐχῆς. » Ἡ δὲ βαρέως τοῦτο τοῖς ὠσὶ δεξαμένη καὶ ἐκ βάθους στενάξασα· « Οἴμοι τῇ ἁμαρτωλῷ, ἔφη· τί ἄρα καὶ » πάλιν τὸ παρ' ἡμῖν; » Καὶ ὁ γέρων· « Οὐκ εἶπόν σοι, τέκνον, πολλαὶ αἱ θλίψεις τῶν δικαίων; εἰ μὴ » ἡμεῖς ὑπομείνωμεν, οὐκ ἄν ποτε δικαιωθῶμεν· οὕτω γάρ ἐστι πρέπον καὶ ἀρέσκον Θεῷ. » Ἡ δέ· « Μή, κύριέ μου, ἔδοξε τῷ δεσπότῃ ἡ τῶν ἀνηλίκων μου παίδων πρὸς τὰ ἐκεῖθεν μετάστασις; » Καὶ ὁ θαυμάσιος· « Καλῶς εἶπας [14], τέκνον· ἐν τάχει γὰρ λήψεται [15] ὁ δεσπότης ταῦτα ἀπὸ [16] σοῦ. » Καὶ τῷ Θεῷ αὕτη ὡς εἰκὸς εὐχαριστήσασα καὶ τοῖς ποσὶ τοῦ τιμίου γέροντος προσπεσοῦσα καὶ τὴν εὐχὴν κομισαμένη, τὴν τῶν προσόντων αὐτῇ διανομὴν ποιεῖν [17] ἀμφοτέραις ταῖς [18] χερσὶν ἤρξατο. Καὶ μετ' οὐ πολὺ τῶν παίδων τελευτησάντων, δάκρυα ἐπὶ τούτοις ἐκχέασα καὶ τὰ περιλειφθέντα χερσὶ πενήτων ἀποθεμένη, περιῄει τὰς ἐκκλησίας [19] προσευχομένη [20] καὶ φωταγωγοῦσα [21] καὶ τὸν συντακτήριον ἀσπαζομένη. Τέλος μοναχόν τινα ἐκ τοῦ Ὀλύμπου εὑροῦσα καὶ δι' αὐτοῦ ἀποκειραμένη, ἐν τῷ κρυπτῷ μὲν [22] ὑπεδύσατο στολὴν ἀνδρῴαν [23], ἔξωθεν δὲ γυναικείαν· καὶ λαθοῦσα εὑρέθη ἐν τοῖς Ὀλύμπου [24] μέρεσι τὴν γυναικείαν στολὴν ἀπορρίψασα. Προσρυεῖσα δέ τινι τῶν κοινοβίων καὶ εἰσελθοῦσα τῷ πυλωρῷ προσωμίλει, τοῦτο τῶν ἄλλων προτιμότερον ἔχειν λέγουσα εἰς ὄψιν τοῦ προεστῶτος ἐλθεῖν. Ὁ γοῦν πυλωρὸς προσελθόντα τινα [25] τῷ προεστῶτι κατὰ τὸ σύνηθες μηνύσας καὶ τοῦτον μετακληθέντα παραστησάμενος, ἐξῄει. Τῆς τιμιωτάτης δὲ γυναικὸς παρὰ [26] τοὺς πόδας τοῦ προεστῶτος κειμένης καὶ τὴν συνήθη εὐλογίαν ἐξαιτουμένης, ὁ θεῖος οὗτος ἀνὴρ τὴν εὐλογίαν δοὺς καὶ ἀναστήσας λέγει [23]· « Τίς ἡ πρὸς ἡμᾶς σου ἄφιξις καὶ τί σου τὸ ὄνομα; » Ἡ δέ· « Τὸ μὲν αἴτιον τῆς πρὸς τὴν » ἁγίαν ταύτην μονὴν ἀφίξεως τὸ προσόν μοι, πάτερ ἅγιε, πλῆθος τῶν ἐπταισμένων· ὅπως ἡσυχάσας

[1] Εὐφημιανὸς M, Mv. — [2] *om.* Mv. — [3] τρανῶς καὶ *add.* Mv. — [4] ἔφη ἀνδρὶ συνεζεύξατε Mv. — [5] εἰς Mv. — [6] καὶ Mv. — [7] συντείνοντα Mv. — [8] ἡ Mv. — [9] τελέσαντες Mv. — [10] αὐτὴ Mv. — [11] ἀδελφῷ Mv. — [12] εὐεργέτῃ μου μετὰ Θεὸν Mv. — [13] ἕτερ' ἄττα Mv. — [14] ὦ *add.* Mv. — [15] ταῦτα *add.* Mv. — [16] ὑπὸ Mv. — [17] *om.* Mv. — [18] *om.* Mv. — [19] τὰς ἐκκλησίας περιῄει Mv. — [20] προσερχομένη M. — [21] φωταγωγοῦσα καὶ προσευχομένη Mv. — [22] ἀνδρικὴν *add.* Mv. — [23] *om.* Mv. — [24] ἐν τοῖς Ὀλύμπου εὑρέθη Mv. — [25] προσελθόντι τινὶ M, προσελθὼν Mv. — [26] πρὸς Mv.

Oct. 29. f. 67. τόπον. Ἥτις τοσαύτην ἐπιστροφὴν ἐπεδεί|ξατο, ὡς μετ᾽ ὀλίγον χρόνον μεγάλα θαύματα καὶ σημεῖα ποιεῖν[8].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων καὶ μαρτύρων Πέτρου καὶ Παύλου, Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ, Στεφάνου τοῦ πρωτομάρτυρος, Βαρνάβα τοῦ ἀποστόλου, Ἰωσὴφ τοῦ πατριάρχου καὶ Κλεώπα[1], Τροφίμου, Δορυμέδοντος[2], Κοσμᾶ, Δαμιανοῦ, Βάσσης καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου[3] Παύλου ἐν τῷ Ὀρφανοτροφείῳ, ἅμα δὲ καὶ τὰ ἐγκαίνια τοῦ αὐτοῦ ναοῦ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Σάβα τοῦ στρατιώτου.

— [8] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
3. — [1] Κλεόπα Sa. — [2] Δοριμέδοντος Sa. — [3] *om.* Sa.

Oct. 29. » τὸν τῆς ζωῆς μου περιλειφθέντα χρόνον, εἰ καὶ ἀνάξιος, εὕροιμι τὸ θεῖον ἵλεων ἐν τῇ ἡμέρᾳ τῆς » κρίσεως· τοὔνομα δὲ Εὐφημιανός.» Ὁ δὲ γέρων πρὸς αὐτήν· «Εἰ τοιοῦτον λογισμόν, ὦ τέκνον[27], » ἔσχες ἐν τῇ καρδίᾳ σου καὶ τὴν σωτηρίαν ποθεῖς, φεῦγε τὴν παρρησίαν· εὐάλωτος γὰρ ἡ τῶν » εὐνούχων φύσις τοῖς ἐμπαθέσι λογισμοῖς.» Ταῦτα εἰπὼν καὶ τὴν συνήθη εὐχὴν ἐκτελέσας, συνηρίθμησε ταύτην τῇ ἀδελφότητι. Ἐπὶ τοσοῦτον δὲ προέκοπτε καὶ ἐπεδίδου τοῖς ἔμπροσθεν ἐν πάσῃ ἀρετῇ καὶ ταπεινώσει, ὡς καὶ ὑπογραμμὸς καὶ τύπος γενέσθαι πᾶσι[28] τοῖς ἐν[28] τῇ μονῇ ἀσκουμένοις μοναχοῖς. Ὁ δὲ διάκονος τῶν ἐν τῇ οἰκίᾳ αὐτῆς, εἰς αὐτὸ τοῦτο προκριθεὶς παρὰ τῆς ἁγίας, οἰκονομήσας πάντα, ὡς ὑπέθετο δηλονότι τούτῳ[29], ἐξῆλθε πρὸς ἀναζήτησιν τῆς κυρίας αὐτοῦ καὶ ἐντυχὼν τῷ μοναχῷ τῷ ἀποκείραντι ταύτην ἐπυνθάνετο, εἰ ἄρα σύνοιδε, ποῦ ἐστιν ἡ τὰ γήϊνα λιποῦσα καὶ τὰ οὐράνια ἐπιζητοῦσα. Ὁ δὲ πρὸς αὐτόν· «Ὅτι δῆλα τὰ[28] περὶ αὐτῆς μοι ἐγένοντο[30], ὦ τέκνον, οὐκ » ἀρνήσομαι. Ποῦ δὲ ἄρα ἐστὶ νῦν[31], ἀγνοῶ. Ἀλλὰ δεῦρο μικρὸν ἅμα πορευθῶμεν εἰς τόδε τὸ μονα- » στήριον.» Καὶ φθάσαντες ἔμαθον διὰ τοῦ πυλωροῦ, εἴσω τῶν ἀρκύων ἔχειν τὸ[32] ζητούμενον· καὶ ἠξίουν διαμηνυθῆναι ταύτην. Τῆς δὲ ἐξελθούσης, ὁ μοναχὸς τὸν διάκονον ὑποδείξας· «Ἰδού, φησίν, ὁ » πιστότατός σου οἰκονόμος, πολλὰ παθὼν εἰς ἀναζήτησίν σου, πάρεστι· καὶ εἰ βούλει, πορευθῶμεν » εἰς τὴν ἡμετέραν λαύραν.» Τούτων ἀκούσασα ἡ ἁγία καὶ τῷ προεστῶτι τῆς μονῆς προσελθοῦσα καὶ τὴν εὐλογίαν ἐξ ἐκείνου καὶ τῶν λοιπῶν ἀδελφῶν λαβοῦσα, ἐκεῖθεν ἐξῄει[33] καὶ ἀπῆλθεν ἅμα τῷ διακόνῳ, συνόντος καὶ τοῦ μοναχοῦ. εἰς τὴν λαύραν. Ἐν ταύτῃ δὲ ἐφ᾽ ἱκανὸν διατρίψασα, θαυμάτων ἀπείρων αὐτουργὸς ἀνεδείχθη. Ἀμέλει τῆς τῶν θαυμάτων φήμης διαδοθείσης, πολύ τι πλῆθος ἀποταξαμένων προσερρύη τῇ μονῇ. Ἀλλὰ τὸ τοῦ τόπου ἐστενωμένον καὶ βίαιον διεκώλυε τὴν τῶν προσερχομένων ἐπίδοσιν. Ὅθεν ὁ τῆς μονῆς προεστὼς θεόθεν ἐμπνευσθεὶς τῷ τηνικαῦτα πατριάρχῃ Κωνσταντινουπόλεως τῷ ἁγίῳ Ταρασίῳ δηλοποιήσας περί τε[34] τῶν θαυμασίων ἔργων τοῦ μοναχοῦ Εὐφημιανοῦ ὅπως τε, διακωδωνηθέντων τῶν θαυμάτων, οὐκ ὀλίγων ἀνδρῶν πλῆθος[35] ἀποταξαμένων προσερρύη τῇ μονῇ καὶ μὴ χωρεῖσθαι τοὺς προσερχομένους διὰ τὸ πάντῃ ἐστενωμένον τοῦ τόπου καὶ σμικρότατον διεσάφησεν· εὗρε τὸν ἁγιώτατον[34] πατριάρχην συνευδοκοῦντα τῷ ἰδίῳ θελήματι. Καὶ λαβὼν διὰ δωρεᾶς αὐτοῦ τόπον ἐρείπιον, τὸν νῦν ἡ μονὴ τῶν Ἀβραμιτῶν λεγόμενον, δι᾽ ὀλίγου χρόνου ἐξ αὐτῶν τῶν κρηπίδων φροντιστήριον ἀποκαταστήσας, εἰς πολλῶν ψυχῶν σωτηρίαν, ἐν αὐτῷ τὴν ἁγίαν τὸν λειπόμενον αὐτῇ δρόμον[36] ἀσκητικὸν διανύσαι παρεσκεύασε. Καὶ τούτου γενομένου καὶ τῆς ἀγγελικῆς ἐκείνης διαγωγῆς περιβοήτου τοῖς πᾶσι γενομένης καὶ κατὰ μικρὸν διαγνωσθέντος τοῦ κρυπτομένου, εἰς ὅσον ἄρα ποσὸν οἱ καθ᾽ ἑκάστην προσερχόμενοι περιΐσταντο, οὐ δυνατὸν διαγράψαι. Ἐπεὶ δὲ[34] καὶ πειρασμός τις ἐπισυνέβη τῇ ἁγίᾳ ἀπό τινος τὸ σχῆμα μὲν[37] μοναχοῦ, ἔργοις δὲ καὶ πράγμασι τὰ πρῶτα φέροντος τῶν προσῳκειωμένων τῷ χαιρεκάκῳ δαίμονι· τούτου μὲν ἔργον αὐτὸ τοῦτο ἀπαραίτητον[38] κεκτημένου[39], τραχείας[40] ὕβρεις καὶ αἰσχράς, ὡς κατ᾽ εὐνούχου, τῆς ὁσίας ἐκχέοντος καὶ κατηγοροῦντος ἀναφανδόν, κἀκείνης δὲ ἀντ᾽ οὐδενὸς ταῦτα λογιζομένης καὶ εὐεργεσίας ἡγεῖσθαι μᾶλλον τὰ κατ᾽ αὐτῆς λεγόμενα διαβεβαιούσης, γυνή τις θεοφιλής, τῶν αἰσχρῶν <καὶ[41]> μυσαρῶν ῥημάτων τοῦ ὄντως βεβήλου καὶ φονέως μετὰ ταῦτα ἀποδειχθέντος, ἀκούσασα· «Πρόσεχε, φησίν, ἀδελφέ, μή ποτε οὐκ ἔστιν ὡς » λέγεις εὐνοῦχος, οὐδὲ ἐμπαθὴς ὡς ὑπολαμβάνεις, ἀλλὰ γυνὴ καὶ ἀπαθής· καὶ σὺ μὲν ἔχεις εἰς κέρδος » τὴν γέενναν τοῦ πυρός, διασύρων τὴν ἀπαθῆ, τοὺς δὲ ἀκούσαντας[42] μολύνεις. Πρὸ χρόνων γὰρ » τινων, γυνή τις πάντα τὰ προσόντα αὐτῇ[43] διανείμασα, γέγονεν ἀφανὴς καὶ μή ποτε, ὃν λέγεις » εὐνοῦχον, ἐκείνη ἐστὶ καὶ αὐτὸς εἰς βάραθρον ἀπωλείας τὴν ψυχήν σου κατάγεις.» Ὁ γοῦν μυσαρὸς ἐκεῖνος καὶ δόλιος προσθεὶς καὶ τοῦτο τῇ ἰδίᾳ πονηρίᾳ, διετράνωσε τὸν λόγον εἰς πολλοὺς τὰς λοιδορίας ἀφείς. Ἔσπευδε δὲ κατακρημνίσαι τὴν ἁγίαν εἰς τόπον κατωφερῆ, ὅπως κουφισθέντων ὧν ἠμφίεστο, γεγυμνωμένην ἴδῃ καὶ σχῇ τὸ βέβαιον. Οὐκ εἰς μακρὰν δὲ τοῦτο ποιήσας, εἶδε μὲν οὐδέν, γέγονε δὲ ἡμίξηρος ἐκ θείας δυνάμεως· κἀκεῖθεν ἀπαναστὰς πρὸς τὰ ἴδια ᾤχετο. Ἐκεῖσε τοίνυν κατασχεθεὶς ὡς κατάδικος ἐγκλήματι φόνου, τῷ ξύλῳ τῆς κεφαλῆς αὐτοῦ[44] ὡς ἐν ἀγχόνῃ ὑποπιεσθείσης, τῷ ἐγχωρίως οὕτω λεγομένῳ[45] φούρκῃ, τὴν ὀλέθριον καὶ μιαρὰν ἀπέρρηξε ψυχήν. Ἡ δὲ ἁγία ὡς ἐκ τούτου διαφημισθεῖσα καὶ τὰ σκάνδαλα φεύγουσα, δύο καὶ μόνους ἔχουσα μοναχοὺς μεθ᾽ ἑαυτῆς, ἀνέδραμε πρὸς τὰ μέρη τοῦ Στενοῦ· καὶ εὑροῦσα ἐκκλησίαν ὕδωρ καὶ κηπίον ἔχουσαν, κατῴκησεν ἐν

— [27] τέκνον λογισμόν Mv. — [28] πάσῃ *add.* Mv. — [29] τῷ τοιούτῳ Mv. — [30] ἐγένετο Mv. — [31] νῦν ἄρα ἐστὶ Mv. — [32] τὸν Mv. — [33] ἐξῄει ἐκεῖθεν Mv. — [34] *om.* Mv. — [35] πλῆθος *add.* Mv, *om.* M. — [36] χρόνον Mv. — [37] μὲν σχῆμα Mv. — [38] ἀπεραίτητον M. — [39] κεκτιμένη Mv. — [40] ταχείας Mv. — [41] *om.* M. — [42] ἀκούοντας Mv. — [43] αὐτῇ πάντα Mv. — [44] αὐτοῦ κεφαλῆς Mv. — [45] λεγομένη M.

5. Καὶ τοῦ ὁσίου Παύλου τοῦ Θηβαίου τοῦ πρώτου μοναχοῦ.

6. Καὶ τῶν ἁγίων μαρτύρων Μήνη καὶ Μηναίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Ἑβδόμῳ. Oct. 29.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

1. Μνήμη τῶν ἁγίων ἀποστόλων Στάχυος, Ἀμπλία, Οὐρβανοῦ καὶ τῶν λοιπῶν. Ὁ ἅγιος ἀπόστολος Στάχυς ἐπίσκοπος προχειρίζεται Βυζαντίου παρὰ Ἀνδρέου[1] τοῦ ἁγιωτάτου ἀποστόλου, κτίσαντος ἐκκλησίαν πέραν ἐν Ἀργυροπόλει[2], ἐν ᾗ καὶ συνηθροίζοντο[3] χριστιανοὶ τὸν ἀριθμὸν δισχίλιοι· καὶ διδάσκων αὐτοὺς ἐκράτησεν ἐπὶ ἔτη ιϛ' καὶ ἐκοιμήθη ἐν εἰρήνῃ. Ὁ δὲ Ἀμπλίας ἐπίσκοπος τῆς Ὀδυσσουπόλεως ἐγένετο, χώρας Μακεδονίας[4], ἀναιρεθεὶς ὑπὸ ἑλλήνων. Ὁ δὲ Οὐρβανὸς ἐπίσκοπος Μακεδονίας[4] ἐγένετο, φονευθεὶς καὶ αὐτὸς ὑπό τε Ἰουδαίων καὶ ἑλλήνων μετὰ καὶ ἑτέρων πολλῶν· καὶ οὕτως[5] ἐν ἡμέρᾳ μιᾷ, οὕτω[6] συμβάντος, διαφόρως βασανισθέντες διαφόροις τόποις καὶ ἔθνεσι καὶ πόλεσι, παρέδωκαν τὰς ἁγίας καὶ μακαρίας αὐτῶν ψυχὰς τῷ Κυρίῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ζηνοβίου καὶ Ζηνοβίας τῆς ἀδελφῆς αὐτοῦ. Ὁ ἅγιος μάρτυς Ζηνόβιος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, εὐσεβῶν γεννητόρων υἱὸς Ζηνοδότου[1] καὶ Θέκλης. Προκόψας δὲ εἰς ἡλικίαν καὶ εἰς τὴν κατὰ Θεὸν γνῶσιν καὶ εὐσέβειαν, ἐπίσκοπος χειροτονεῖται τῆς Αἰγαίων πόλεως, ἐν ᾗ καὶ γεγέννηται[2]· πλείστας δὲ ἰάσεις ἐπετέλει ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, ὡς καὶ τὰ παρὰ τῶν ἰατρῶν ἀπαγορευόμενα[3] πάθη θεραπεύειν. Οὗτος συνελήφθη καὶ παρέστη τῷ ἡγεμόνι Λυσίᾳ· καὶ πυθομένη τοῦτο ἡ αὐτοῦ ἀδελφὴ ἐπέδωκεν ἑ|κουσίως ἑαυτήν. f. 67v. Τύπτονται οὖν καὶ ἐπὶ κλίνης σιδηρᾶς πεπυρακτωμένης ἐφαπλοῦνται καὶ εἰς λέβητα πίσσης ἐμβάλλονται. Ῥυσθέντες δὲ τῇ τοῦ Χριστοῦ χάριτι τῶν τοιούτων βασάνων, τὴν διὰ ξίφους δέχονται τελευτήν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις πέραν ἐν Ἰουστινιαναῖς. Oct. 30.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Κλαυδίου, Ἀστερίου, Νέωνος καὶ Νεονίλλης. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Λυσίου ἡγεμόνος τῆς Κιλίκων[1] ἐπαρχίας, νέοι τὴν ἡλικίαν, ἀδελφοὶ κατὰ σάρκα ὄντες, τὸ γένος Ἴσαυροι ἐκ πόλεως Λαράνδων[2]. Διεβλήθησαν δὲ παρὰ τῆς ἰδίας μητρυιᾶς ὡς χριστιανοί, μὴ θελούσης αὐτοῖς[3] τὴν ἐπιβάλλουσαν ἐπιδοῦναι[4] κληρονομίαν· ὅθεν παρὰ τοῦ Λυσίου ἐξετασθέντες καὶ τὸν Χριστὸν ὁμολογήσαντες καὶ βασάνους σφοδρὰς[5] ὑποστάντες, ἔξω τοῦ τείχους ἀνεσκολοπίσθησαν· καὶ οὕτω τὸ τέλος ἐδέξαντο.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυριακοῦ ἀρχιεπισκόπου γενομένου Κωνσταντινουπόλεως.

5. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰουλιανοῦ, Κρονίωνος[1], Μακαρίου, Ἀλεξάνδρου καὶ λοιπῶν δεκατριῶν ἁγίων[2]. Οὗτοι ἤθλησαν ἐπὶ βασιλέως Δεκίου ἐν Ἀλεξανδρείᾳ. Πρῶτος δὲ Ἀλέξανδρος ἀχθεὶς καὶ μὴ δυνάμενος στῆναι ὀρθὸς διὰ τὸ εἶναι αὐτὸν ποδαλγόν[3], σὺν Κρονίωνι οἰκείῳ αὐτοῦ διὰ μέσης τῆς πόλεως θεατρισθέντες καὶ καμήλοις ὀχούμενοι[4] καὶ μετεώρως μαστιχθέντες, τέλος ἀσβέστῳ ζώσῃ κατ᾽ αὐτῶν ἐκχυθείσῃ κατεκάησαν καὶ τὰ πνεύματα ἀπέδωκαν. Τῶν δὲ λοιπῶν οἱ μὲν ξεσθέντες διαφόρως, οἱ δὲ καυθέντες, οἱ δὲ ξίφεσιν ὑποβληθέντες καὶ τὴν πίστιν αὐτῶν μὴ προδόντες, ἅπαντες τὸν διὰ μαρτυρίου[5] στέφανον ἀπηνέγκαντο.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ εὐσεβοῦς[1] Λέοντος[2] τοῦ φιλοσόφου.

1. — [1] Ἀνδραίου S. — [2] Ἀργυρουπόλει S. — [3] συναθροίζονται Sa. — [4] Μακεδωνίας S. — [5] οὗτος Sa. — [6] οὕτως Sa.
2. — [1] Ζηνόδου Sa, Ζηνόδοτος *in Passione*, Act. SS., *Oct. t. XIII, p. 259.* — [2] γεγένηται S. — [3] ἀπηγορευόμενα Sa.
3. — [1] Κιλικίων Sa. — [2] S, Sa, *al.* Λαρανδῶν Act. SS., *l. c., p. 259, n. 2,* Λαρανδέων *ap.* Diodorum Siculum, *XVIII, 22,* DINDORF, *II, p. 231.* — [3] *corr., prius* αὐτῆς S, *om.* Sa. — [4] αὐτοῖς δοῦναι Sa. — [5] Sa, σφοδροὺς S.
5. — [1] Κρονίονος S. — [2] *om.* Sa. — [3] εἶναι ποδαλγός Sa. — [4] ὀχοῦντες Sa. — [5] πυρὸς Sa.
6. — [1] τοῦ εὐσεβοῦς *om.* Sa. — [2] Λέοντος S, Sa, *alias* Λεοντίου. *Cf.* Synaxaria selecta *ad d. Oct. 31.*

αὐτῇ μετὰ καὶ[46] δύο μοναχῶν, τοῦ τε Εὐσταθίου καὶ τοῦ Νεοφύτου. Κἀκεῖθεν πάλιν ἀπάρασα μετὰ παραδρομὴν χρόνων τινῶν, προσκληθεῖσα ἐν τῷ Βυζαντίῳ παρά τινων μοναχῶν ἐπὶ τὰ μέρη τοῦ Σίγματος, ἐκεῖσε τὸ λειπόμενον ταύτῃ τῆς ζωῆς ἔτος διαβιβάσασα ὁσίως καὶ[47] θεαρέστως ἰάσεις τε καὶ θαύματα οὐκ ὀλίγα τοῖς προσιοῦσι χαρισαμένη, πρὸς Κύριον ἐξεδήμησεν (Oct. 28[7]). — **Mv** : 1. 2 (Ἀ. καὶ Μαρίας). — Κυρίλλου. — 4 : Σάβας... ἔνθεν κἀκεῖθεν κεντηθεὶς τ. — Ἄννης. — Τῆς ἁγίας μάρτυρος Μελιτινῆς (Sept. 16[4]). — **Mb** : 1. 2. — Κύριλλος. — 4. — Ἄννης. — **Mr** : 1. 2. Oct. 29.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **H** : 2. 3 (... Νέωνος καὶ Θεονείλης). — 4. — **P** : 2. — Μαρκιανοῦ ἐπισκόπου Συρακούσης τῆς Σικελίας (Oct. 31[1]). — 3. 4. 7. — **F** : Μαρκιανοῦ. — 3 : τῶν ἁγίων μαρτύρων Κλαυδιανοῦ, Ἀστερίου, Νέωνος, Νεονίλης καὶ Εὐτροπείνης ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Λυσία ἡγεμόνος. — 4. 5. — Τοῦ ἁγίου μάρτυρος Ἡρακλείου[1]. — 6. — **Fa** : Μαρκιανοῦ. — 3 (... Εὐτροπίου). — 4. 5. — Ἡρακλείου. — 6. — **Fb** : Μαρκιανοῦ. — 3. 4. 5. — Ἡρακλείου. — 6. — **B** : Ἐπιμάχου (Oct. 31[2]). — 7. — **Ba** : 2. — Μαρκιανοῦ. — **T** : 2. — **O** : 1. 2. 3. 4. — **G** : deest. — **C** : 2. 3 (... Νέωνος καὶ Θεονίλλας). — 4. 7. — In margine fol. 40 : Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἱερομάρτυρος Μαρκιανοῦ ἐπισκόπου Συρακούσης. — **Cb** : 2. 3. 4. 7. — **Cc** : 2. 3. 4. 7. — **M** : 2. — Μαρκιανοῦ. — Oct. 30.

— [46] τῶν Mv. — [47] ὁσίως καὶ *om.* Mv.
[1] Ἡρακλήου F, Fa, Fb.

Oct. 30. **7.** Καὶ ἄθλησις τῆς ἁγίας μάρτυρος Εὐτροπίας. Αὕτη ἦν ἀπὸ Ἀλεξανδρείας τῆς Αἰγύπτου. Ἐπεὶ δὲ πλῆθος μαρτύρων ἐν τῇ φυλακῇ τῆς αὐτῆς πόλεως ἀποκέκλειστο, ἐλεοῦσα αὐτούς, ποτὲ μὲν ἀπήρχετο καὶ ἐπεσκέπτετο, ποτὲ δὲ ἀπέστελλεν αὐτοῖς τὰ πρὸς τὴν χρείαν. Οὕτω δὲ ποιοῦσα διεβλήθη τῷ ἡγεμόνι Ἀπελλιανῷ. Ὁ δὲ κρατήσας αὐτὴν ἐνέκλεισεν εἰς φυλακήν· | f. 68. εἶτα ἐκβαλὼν [1] παρέστησε τῷ βήματι αὐτοῦ· καὶ ὁμολογήσασαν [2] τὸν Χριστὸν ἐκρέμασε καὶ λαμπάσι κατέκαιεν. Ἥτις καιομένη· « Μεγάλη ἡ ψυχρότης τοῦ ὕδατος » τούτου, ὅπερ μοι ἐπιχέεται » ἐβόα. Τὰς γὰρ φλόγας ὡς ὕδωρ ἐλογίζετο καὶ διεβεβαιοῦτο ὁρᾶν ἄνδρα φοβερὸν ὅμοιον υἱῷ Θεοῦ. Τοιαῦτα λέγουσα καὶ εὐχαριστοῦσα, ἐν αὐτῇ τῇ βασάνῳ παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ.

8. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἑρμηνιγγίλδου [1] ῥηγὸς [2] τῶν Οὐισιγότθων [3], ἀρειανοῦ σὺν παντὶ τῷ ἔθνει τυγχάνοντος. Οὗτος μυηθεὶς τὴν ὀρθόδοξον πίστιν ὑπὸ Λεάνδρου τοῦ τῶν ὀρθοδόξων ἐπισκόπου καὶ τοῦ πατρὸς αὐτοῦ διὰ τὴν μεταβολὴν χαλεπήναντος· ὃς καὶ ποικίλως αὐτὸν μετήρχετο δωρεαῖς καὶ δεξιώσεσιν ὕβρεσί τε καὶ ἀπειλαῖς καὶ κολακείαις καὶ θωπείαις, ἀκλινὴς [4] καὶ ἀκαταγώνιστος ὁ παῖς ἦν· ὅθεν στερεῖται μὲν τῆς βασιλικῆς διαδοχῆς, χεῖρας δὲ καὶ πόδας δεσμευθεὶς εἱρκτῇ ζοφώδει ἐγκλείεται. Ἐφειστήκει οὖν ἡ τοῦ πάσχα ἑορτὴ καὶ τὸν αὐτοῦ [5] ἱερέα ὁ πατὴρ ἀποστείλας πείθειν ἐπεχείρει μετακαλέσασθαι καὶ μεταδοῦναι τῶν μυστηρίων. Ὁ δὲ οὐ μόνον οὐκ ἐπείσθη, ἀλλὰ καὶ βδελυξάμενος ἀπέπεμψε. Μανθάνει ταῦτα ὁ καὶ θηρίων ὠμότερος Λιουβίγιλδος [6], καὶ ἀναιρεθῆναι αὐτὸν πεπεδημένον προστάττει ἐν τῇ εἱρκτῇ. Οὗ γενομένου, ᾠδαὶ καὶ μελῳδίαι ἀσωμάτων δυνάμεων καὶ λαμπάδων φωτοχυσίαι περὶ τὸ σῶμα τοῦ μακαρίου Ἑρμηνιγγίλδου παρὰ [7] Χριστοῦ τοῦ Θεοῦ καταπέμπονται· καὶ τὸ ξένον τοῦ θαύματος [8] τοὺς μὲν πιστοὺς εἰς εὐχαριστίαν ἐκίνει, τὸν δὲ σφαγέα κατέπληττε καὶ συνετάραττε καὶ μετανοεῖν ἐπὶ τῷ μιάσματι ἐβιάζετο. Οὐ πολὺς χρόνος καὶ νόσος ἐπελθοῦσα τῶν ἀνθρωπίνων ἀπήλαυνε, καὶ καλεῖ Λέανδρον τὸν τῆς ἐκκλησίας ἐπίσκοπον καὶ τὸν νεώτερον παῖδα Ῥεκχάρεδον [9] ἀναγορεύσας βασιλέα, ἀξιοῖ τοῖς ἴσοις τελέσαι τὸν παῖδα, οἷς καὶ τὸν μάρτυρα Ἑρμηνίγγιλδον προετελέσατο. Καὶ ὁ μὲν ταῦτα εἰπὼν θνήσκει, Ῥεκχάρεδος δὲ τῆς ὀρθοδοξίας τὰ σπέρματα δεξάμενος, συνορθοδοξεῖν καὶ τὸ ὑπήκοον ἔπεισε. Καὶ σκόπει μοι Θεοῦ πρόνοιαν· Ἑρμηνίγγιλδον συγχωρεῖ ὑπὲρ τῆς εὐσεβείας σφαγῆναι καὶ | f. 68v. ἅπαν τὸ γένος [10] τῇ ὀρθοδόξῳ πίστει προστίθεται [11].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑ΄.

Oct. 31. **1.** Μνήμη τοῦ ἁγίου [1] Μαρκιανοῦ ἐπισκόπου Συρακούσης [2]. Οὗτος μαθητὴς ἐγένετο Πέτρου τοῦ ἀποστόλου, ἐκ τῶν τῆς ἀνατολῆς μερῶν ἕλκων τὸ γένος. Μετὰ δὲ τὴν τοῦ Κυρίου ἀνάληψιν, ὑπὸ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων ἐκλεγείς, χειροτονεῖται ἐπίσκοπος καὶ ἀποστέλλεται πρὸς τὰ ἑσπέρια μέρη τῆς Ἰταλίας [3] ἐν Συρακούσαις. Εὑρὼν δὲ πάντας τῷ ζόφῳ τῆς ἀγνοίας κεκρατη-

7. — [1] ἐκβαλλὼν S. — [2] ὁμολογήσασα S.
8. — [1] Ἑρμηνιγγίλδος Sa. — [2] ῥιγός S. — [3] Sa, Ἰουσιγότθων S. — [4] ἀκλινὲς S. — [5] αὐτὸν S. — [6] Λιουβίλγιδος S, Λιγβίλγιδος Sa. — [7] *corr., prius* παρὰ τοῦ Sa. — [8] θεάματος Sa. — [9] Ῥεκχάδερον S, Sa, *et infra*. — [10] ἔθνος Sa. — [11] προτίθεται S.
1. — [1] ἱερομάρτυρος *add.* Sa. — [2] Συρρακούσης S. — [3] Ἰτταλίας Sa.

Oct. 30. 5. 7. — Τοῦ ἁγίου ἀποστόλου Κλεώπα (cf. Oct. 29, F). — Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ πατριάρχου Κωνσταντινουπόλεως. — 3. — Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο΄, Τερτίου, Μάρκου, Ἰούστου καὶ Ἀρτεμᾶ. — Ὁ ἅγιος ἀπόστολος Ἀριστόβουλος ἐν εἰρήνῃ τ. — **Mv** : 2. — Τῆς ἁγίας μάρτυρος Μελιτινῆς. — Μαρκιανοῦ. — 5. 7. — Κλεώπα. — Ἰωσήφ. — 3. — Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο΄, Τερεντίου κτλ. — Ἀριστόβουλος. — **Mb** : 2. — Μελιτινῆς. — Μαρκιανοῦ. — 5. 7. — Κλεώπα. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ πατριάρχου Κωνσταντινουπόλεως. — 3. — Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο΄, Τερτίου, Μάρκου, Ἰούστου καὶ Ἀρτεμᾶ. — Ὁ ἅγιος ἀπόστολος Ἀριστόβουλος ἐν εἰρήνῃ τ. — **Mr** : 2.

Oct. 31. SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων πλησίον τῆς μονῆς τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου. — 3. 4. — **H** : 1. 2. — Ἡρακλείου. — Λεοντίου φιλοσόφου (cf. Oct. 30⁶). — 4. — **P** : 2. — Λεοντίου φιλοσόφου. — 4. — **F** : Ζηνοβίου καὶ Ζηνοβίας (Oct. 30²). — 2. 3. — **Fa** : Ζηνοβίου καὶ Ζ. — 2. 3. — **Fb** : Ζηνοβίου καὶ Ζ. — 2. 3. — **B** : Ζηνοβίου καὶ Ζ. — Στάχυος, Ἀμπλία κτλ. (Oct. 30¹). — **Ba** : 2. — Εὐτροπίας (Oct. 30⁷). — Ἰουλιανοῦ, Κρονίωνος, Μακαρίου, Ἐπιμάχου, Ἀλεξάνδρου (Oct. 30⁵). — Στάχυος. — 3. — **T** : Στάχυος (Oct. 30¹). — **O** : Ζηνοβίου καὶ Ζηνοβίας· τὸ συναξάριον προεγράφη εἰς τὴν λ΄ τοῦ παρόντος μηνός (Oct. 30²). — 2. — Ἡρακλείου. — Λέοντος (Oct. 30⁶). — 4. — **G** : mutil. 2. — Ἰουλιανοῦ, Κρονίωνος κτλ. (Oct. 30⁵). — **C** : 2. — Στάχυος κτλ. (Oct. 30¹). — Ἡρακλείου. — Λεοντίου (cf. Oct. 30⁶). — **Cb** : 2. — Ἀμπλία κτλ. (Oct. 30¹). — Ἡρακλείου. — Λέοντος. — **Cc** : 2. — Στάχυος. — Ἡρακλείου. — Λεοντίου (Oct. 30⁶). — **M** : 2. — Στάχυος, Ἀμπλία, Οὐρβανοῦ καὶ Ναρκίσσου (Oct. 30¹). — Διήγησις Θεοδωρήτου [1] ἐπισκόπου περὶ βίου καὶ ἀθλήσεως ὁμολογητοῦ τινος ἀνωνύμου. Ἐν ταῖς ἡμέραις Ἰουλιανοῦ [2] τοῦ ἀποστάτου

[1] Θεοδωρίτου M. — [2] τοῦ ἀποστάτου Ἰουλιανοῦ Mv.

μένους [4], πολλοῖς ἀγῶσι καὶ ἱδρῶσι προσταλαιπωρήσας καὶ τοὺς τῶν εἰδώλων ναοὺς εὐχαῖς καταστρεψάμενος καὶ ἐκκλησίας δειμάμενος, πάντας πρὸς τὴν ἀλήθειαν ἐπανήγαγεν, υἱοὺς φωτὸς διὰ τοῦ ἁγίου βαπτίσματος ἀναδείξας καὶ σημείοις καὶ τέρασι πολλοὺς καταπλήξας. Ὅθεν φθόνῳ βαλλόμενοι οἱ τῶν Ἰουδαίων παῖδες καὶ τὴν παρουσίαν [5] μὴ ἐνεγκόντες τοῦ διδασκάλου, κτείνουσιν αὐτὸν βιαίῳ θανάτῳ· καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ μαρτυρία.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου. Ὃς ἦν λίαν ὡραῖος τὴν ὄψιν, ἐν ἀγρῷ τὴν οἴκησιν ἔχων, ἐκ πόλεως τοῦ Πηλουσίου. Ἤχθη δὲ πρὸς τὸν ἡγεμόνα Ἀπελλιανὸν ἐν Ἀλεξανδρείᾳ πλήθη [1] ἁγίων τιμωρούμενον, μᾶλλον δὲ αὐτὸς [2] Oct. 31. ἑαυτὸν ἐμφανίζει· ὥρμησε γάρ, θύοντος τοῦ ἡγεμόνος καὶ τῶν [3] μετ' αὐτοῦ τὸν βωμὸν καταστρέψαι. Συσχεθεὶς οὖν ὡμολόγησε τὸν Χριστὸν καὶ ἀναρτηθεὶς ἐπὶ ξύλου γυμνὸς ξέεται ἐπὶ πολύ· εἶτα τὴν κεφαλὴν ἀποτέμνεται, τοὺς τῶν ἑλλήνων θεοὺς λοιδορῶν [4].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου τοῦ Ῥωμαίου. Ὃς μετὰ Γορδιανοῦ τινος εὐσεβοῦς ἀνδρὸς διεβλήθη τῷ ἄρχοντι ὡς χριστιανός. Καὶ ἐρωτηθεὶς αὐτὸς ὁ Ἐπίμαχος καὶ ὁ Γορδιανός, εἰ [1] τὸν Χριστὸν ἐξόμνυνται, ἀπεκρίναντο· « Θεὸν τὸν ἐκ μὴ ὄντος [2] τὰ ὄντα συστη» σάμενον οὐδεὶς τῶν εὐφρονούντων ἀρνεῖται. » Καὶ ὁ ἄρχων· « Οἱ θεοί, ὦ ἀνόσιοι, οὔκ εἰσι τοῦδε [3]

— [4] κεκρατημένου Sa. — [5] παρρησίαν Sa, παρρουσίαν S.
2. — [1] πλήθει S, πλῆθος Sa. — [2] αὐτοῖς Sa. — [3] τὸν S. — [4] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
3. — [1] *corr.* Sa, *prius* εἰς. — [2] ὄντων Sa. — [3] *om.* Sa.

Oct. 31. νέος τις ἱερέως υἱὸς ἐν δυσσεβείᾳ τραφεὶς εἰς τὸν τῶν εὐσεβῶν μετέστη χορὸν τρόπῳ τοιῷδε. Γυνή τις ἐπίσημος ἐν εὐλαβείᾳ καὶ τοῦ τῆς διακονίας ἠξιωμένη χαρίσματος, συνήθης ἦν τῆς τούτου μητρός [3]. Αὕτη τοῦτον μετὰ τῆς μητρὸς ἀφικνούμενον, ἔτι μειράκιον ὄντα [4] ἠσπάζετό τε καὶ ἠρέθιζε πρὸς εὐσέβειαν. Τῆς οὖν μητρὸς τελευτησάσης, ἀφικνεῖτο πρὸς αὐτὴν ὁ νέος καὶ τῆς συνήθους διδασκαλίας ἀπήλαυε [5]. Παγιωθεὶς οὖν ἤδη ταῖς διδασκαλίαις τῆς θεοφιλοῦς γυναικός, ἐπυνθάνετο· « Πῶς ἂν » δυνηθῶ τὴν τοῦ πατρὸς δεισιδαιμονίαν φυγεῖν καὶ τῆς παρὰ σοῦ κηρυττομένης ἀληθείας μετα» λαχεῖν [6]; » Ἡ δέ· « Χρή σε πατέρα φυγεῖν, ὦ τέκνον, φησί, καὶ προτιμήσασθαι τὸν αὐτοῦ [7] τε » κἀκείνου δημιουργὸν καὶ πόλιν ἑτέραν καταλαβεῖν, ἐν ᾗ δυνατὸν διαδρᾶναι τοῦ δυσσεβοῦς βασιλέως » τὰς χεῖρας· » ἐπηγγείλατο δὲ καὶ δι' ἑαυτῆς προβῆναι τὴν περὶ τούτου πρόνοιαν. Καὶ ὁ παῖς ὡς ἤκουσε, φησί· « Καὶ τὴν ἐμαυτοῦ παραδώσω ψυχήν. » Ὀλίγων δὲ διελθουσῶν ἡμερῶν [8], Ἰουλιανὸς μὲν εἰς τὴν Δάφνην δημοθοινίας ἐπιτελῶν [9] ἀνῆλθε· συνανῆλθε δὲ καὶ ὁ τοῦ παιδὸς πατὴρ ἱερεὺς ὤν· καὶ γὰρ συνέπεσθαι εἰωθὼς ἦν τῷ βασιλεῖ. Τῷ δὲ πατρὶ συνῆν καὶ οὗτος καὶ ὁ τούτου ἀδελφός· νεωκόροι γὰρ ἦσαν καὶ τὰ βασιλικὰ ἐδέσματα περιρραντίζοντες. Τῇ οὖν πρώτῃ ἡμέρᾳ παραστὰς ὁ παῖς τῇ τοῦ βασιλέως στιβάδι καὶ τὰ ὄψα κατὰ τὸ ἔθος διαρράνας καὶ τοῦ μύσους ἐμπλήσας, δρόμῳ χρησάμενος τὴν Ἀντιόχειαν πόλιν κατέλαβε καὶ πρὸς τὴν θαυμασίαν ἐκείνην γυναῖκα ἀφικόμενος· « Ἐγὼ μὲν ἦλθον, » ἔφη, μὴ ψευσάμενος τὴν ὑπόσχεσιν· σὺ δὲ σωτηρίας ἑκατέρας ἐπιμελήθητι καὶ τὴν ἐπαγγελίαν » ἐκπλήρωσον. » Παραυτίκα [10] ἀναστᾶσα πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον Μελέτιον τὸν παῖδα ἀπήγαγεν [11]. Ὁ δὲ τέως αὐτὸν ἄνω διάγειν ἐν τῷ καταγωγίῳ προσέταξεν. Ὁ δὲ πατὴρ τὸν παῖδα ἐπιζητῶν, τήν τε Δάφνην περιενόστει καὶ [12] περιῄει [13] εἰς τὴν πόλιν ἀφικόμενος τὰς ἀγυιὰς [14] καὶ τὰς [15] στενωπούς, πάντοθεν περιάγων τὸν ὀφθαλμὸν τοῦτον ἀνιχνεύσασθαι. Ὡς οὖν παρεγένετο, ἔνθα τὸ καταγώγιον εἶχεν ὁ θεῖος Μελέτιος, ἀναβλέψας εἶδεν ἐκεῖνον ἄνωθεν προκύπτοντα [16] καὶ δραμὼν εἵλκυσέ τε καὶ κατήγαγε καὶ εἰς τὴν οἰκίαν ἀπαγαγών, πρῶτον μὲν μάστιξιν αὐτὸν καταξάνας καὶ ὀβελίσκους πυρακτώσας ταῖς χερσὶ καὶ τοῖς ποσὶ καὶ τοῖς νώτοις ἐπέθηκεν. Ἔπειτα καθείρξας ἐν τῷ θαλάμῳ καὶ κλεῖθρα ἔξωθεν περιθείς, εἰς τὴν Δάφνην ἀνῆλθε [17]. Ταῦτα ἐγὼ τοῦ ἀνδρός, πρεσβύτου [18] ἤδη γεγονότος, διηγουμένου ἀκήκοα [19]. Προσέθηκε [20] δὲ καὶ ταῦτα, ὡς ἔνθους γενόμενος καὶ θείας χάριτος ἐμπλησθείς, συνέτριψε μὲν ἅπαντα [21] τὰ τοῦ πατρὸς εἴδωλα, ἐκωμῴδει δὲ αὐτῶν [22] τὴν ἀσθένειαν. Ὕστερον δὲ εἰς νοῦν λαβὼν ὅπερ ἔδρασε, τῆς τοῦ πατρὸς παρουσίας φειδοῖ, τὸν Δεσπότην ἱκέτευεν ἐπινεῦσαι καὶ συντρῖψαι τὰ κλεῖθρα καὶ τὰς θύρας ἀναπετάσαι· « Σοῦ γάρ, Κύριε, δὴ [23] ἕνεκα ταῦτα πέπονθά τε [23] καὶ » δέδρακα », ἔλεγε. « Ταῦτά μου, ἔφη, λέγοντος, ἐξέπεσον μὲν τὰ κλεῖθρα, ἀνεῴχθησαν δὲ αἱ θύραι [24]· » ἐγὼ δὲ πάλιν εὐθὺς πρὸς τὴν γυναῖκα ἔδραμον. Ἡ δὲ σχῆμα γυναικὸς περιθεῖσά <μοι [25]> καὶ σὺν » αὐτῇ γε εἰς τὴν καμάραν καθίσασα, τῷ θείῳ με πάλιν Μελετίῳ προσήγαγεν. Ὁ δὲ τῷ τῶν Ἱεροσολύμων » με [23] παρέδωκε ἐπισκόπῳ [26], Κύριλλος δὲ τηνικαῦτα ἦν· καὶ οὕτω νυκτὸς εἰς τὴν Παλαιστίνην ὡρμή» σαμεν. » Μετὰ δὲ τὴν τοῦ Ἰουλιανοῦ τελευτὴν καὶ τὸν πατέρα οὗτος πρὸς [27] τὴν εὐσέβειαν ὡδήγησε καὶ τοῦτο γὰρ ἡμᾶς μετὰ τῶν ἄλλων ἐδίδαξε [28], πρεσβύτης γενόμενος καὶ τὰ στίγματα ἐν τῷ σώματι περιφέρων· καὶ πολλοὺς πρὸς [29] τὴν ἀλήθειαν [30] ὁδηγήσας, μετῆλθε καὶ αὐτὸς πρὸς τὰς αἰωνίους μονάς. — Τοῦ ἁγίου μάρτυρος Στεφάνου καὶ Βαρνάβα, Τροφίμου, Δορυμέδοντος, Κοσμᾶ, Δαμιανοῦ, Σάβα, Βάσσης [31], Ἀβραὰμ καὶ τῆς συνοδίας αὐτῶν (Oct. 29³,²). — Ὁ ἅγιος μάρτυς Παῖς λίθῳ τὴν κεφαλὴν

— [3] τῇ ... μητρὶ Mv. — [4] *om.* Mv. — [5] ἀπέλαβε Mv. — [6] μετασχεῖν Mv. — [7] σαυτοῦ Mv. — [8] ἡμερῶν διελθουσῶν Mv. — [9] ἐπιτελέσων Mv. — [10] καὶ παυραυτίκα Mv. — [11] ἀνήγαγεν Mv. — [12] περιενόστει καὶ *om.* Mv. — [13] καὶ *add.* Mv. — [14] τε *add.* Mv. — [15] τοὺς Mv. — [16] προσκύπτοντα Mv. — [17] ἀνῆλθεν εἰς τὴν Δάφνην Mv. — [18] πρεσβυτέρου Mv. — [19] ἀκήκοα διηγουμένου Mv. — [20] προσετίθη Mv. — [21] πάντα Mv. — [22] αὐτοῦ Mv. — [23] *om.* Mv. — [24] αἱ θύραι δὲ ἀνεῴχθησαν Mv. — [25] *om.* M. — [26] πατριάρχῃ Mv. — [27] εἰς Mv. — [28] ὡς *add.* Mv. — [29] πολλοὺς πρὸς *om.* Mv. — [30] εὐσέβειαν Mv. — [31] Βάσης M.

Oct. 31. » τοῦ παντὸς δημιουργοί; » « Τοὐναντίον μὲν οὖν » οἱ ἅγιοι εἶπον « λοιμοὶ [4] καὶ φθορεῖς καὶ ἀλιτήριοι » δαίμονές εἰσι. » Τούτοις ὁ ἄρχων ἐξαπορηθεὶς τὸν διὰ ξίφους [5] καταψηφίζεται θάνατον. Καὶ τμηθέντες οἱ γενναῖοι τὰς κεφαλὰς πρὸς τὰ βραβεῖα διέβησαν τὰ οὐράνια.

4. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τῶν εὐκτηρίων τοῦ πατριαρχείου.

— [4] λοιμὴ S. — [5] τῶν διὰ ξίφους αὐτῶν Sa.

Oct. 31. βληθεὶς τ. — Αἱ ἅγιαι δώδεκα κόραι ἐν μέσῳ στοᾶς κρεμασθεῖσαι τ. — Σέλευκος καὶ Στρατονίκη οἱ σύζυγοι ξ. τ. καὶ μύρον ἀεννάως βλύζουσιν. — **Mv** : Στάχυος... καὶ Ναρκίσσου [32]. — 2. — Ἰακώβου ἐπισκόπου Μυγδονίας, ἑνὸς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. — Διήγησις Θεοδωρήτου. — **Mb** : 2. — Στάχυος ... καὶ Ναρκίσσου [32]. — Διήγησις. — Στεφάνου κτλ. (Oct. 29[3], [2]). — Παῖς. — Δώδεκα κόραι. — Σέλευκος καὶ Στρατονίκη. — **Mr** : Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Στάχυος, Ἀπελλοῦ, Ἀμπλία, Οὐρβανοῦ, Ναρκίσσου καὶ Ἀριστοβούλου (Oct. 30[1]). — 2.

— [32] Ναρκίσου Mv, Mb.

ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ

f. 69

ἡμέρας ἔχει λ', ἡ ἡμέρα ἔχει ὥρας ι' καὶ ἡ νὺξ ὥρας ιδ'.

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ [1].

Nov. 1

1. Μνήμη τῶν ἁγίων θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. Οὗτοι εἷλκον τὸ γένος ἐκ τῆς Ἀσίας, πατρὸς μὲν ὑπάρχοντος ἕλληνος, μητρὸς δὲ χριστιανῆς Θεοδότης προσαγορευομένης, ἢ [2] πᾶσαν ἰδέαν τελείας ἀρετῆς αὐτοὺς ἐξεπαίδευσε· πάσης δὲ ἐπιστήμης ἐν πείρᾳ γενόμενοι, ταῖς λοιπαῖς χαίρειν εἰπόντες, τὴν ἰατρείαν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἠσπάσαντο, θεραπεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ [3] οὐκ ἀνθρώποις μόνον ἐπικουροῦντες ἀλλὰ καὶ κτήνεσι. Διὸ οὐδὲ παρά τινός τι λαμβάνειν ἠνείχοντο πώποτε· οὕτω δὲ καλῶς τὸν ἑαυτῶν βίον διανύσαντες [4] καὶ εὐσεβῶς ἐν εἰρήνῃ τελειωθέντες, κατετέθησαν ἐν τόπῳ καλουμένῳ Φερεμᾶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Δαρείου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων γυναικῶν Κυριαίνης καὶ Ἰουλιανῆς. Αὗται ἤθλησαν ἐπὶ Μαξιμιανοῦ βασιλέως. Ὑπῆρχον οὖν ἡ μὲν Κυρίαινα ἐκ Ταρσοῦ τῆς Κιλίκων ἐπαρχίας [1], ἡ δὲ Ἰουλιανὴ ἐκ πόλεως Ῥωσῶν. Συλληφθεῖσαι δὲ ὑπὸ Μαρκιανοῦ ἡγεμόνος καὶ ἀναγκασθεῖσαι θῦσαι τοῖς εἰδώλοις, οὐκ ἠρνήσαντο τὸν Χριστόν· ὅθεν ἡ Κυρίαινα ξυρᾶται τὴν κεφαλὴν σὺν ταῖς [2] ὀφρύσι, καὶ χάρτην ὕβρεων γέμοντα περιτίθεται τῷ μετώπῳ· ὄνῳ τε ἐπιβιβασθεῖσα μετὰ ναρθήκων ὑπὸ παίδων τῶν ἐν διδασκαλείοις τύπτεται καὶ ὑπὸ μίμων καὶ ἀτάκτων στρατιωτῶν τὴν πόλιν Ταρσὸν τετράκις γυμνὴ περιάγεται· εὐξαμένη δὲ μὴ ὁρᾶσθαι γυμνή, ὑπὸ θείας χάριτος ἐσκεπάσθη· καὶ ἀπαχθεῖσα ἐν τῇ πόλει Ῥωσῶν, μετὰ τῆς ἁγίας Ἰουλιανῆς τῷ πυρὶ παραδίδονται· καὶ οὕτως ἐτελειώθη [3] αὐτῶν ἡ μαρτυρία.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἱερομαρτύρων Ἰωάννου ἐπισκόπου καὶ Ἰακώβου πρε-

1. — [1] *om.* Sa. — [2] ἥτις Sa. — [3] *om.* Sa. — [4] ἀνύσαντες Sa.
2. — [1] Κιλικίας Sa. — [2] τοῖς S, Sa. — [3] πληροῦται Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 2 (Κυριαίνης). — 3. 4. 5. — **P** : 1. 2. 3 : Ἰωάννου ἐπισκόπου καὶ <Ἰακώβου> πρεσβυτέρου τοῦ ἐπικαλουμένου Ζηλωτοῦ τὸ ἐπίκλην, υἱὸς Μαρίας, ἐπὶ Σαβωρίου βασιλέως ἐν Περσίδι. — 4 (... Σάββα, Σαβίνου κτλ.). — 5. — **Da** : 1. 2. 3. 4. — **F** : 1. 2. 3. 4. 5 : Δομνίκας καὶ Δόμνας καὶ Κυριακοῦ μάρτυρος. — **Fa** : 1 (= S). 2 : Κυριαίνης καὶ Ἰουλιανῆς. Αἵτινες ἤθλησαν ἐπὶ Μαξιμιανοῦ βασιλέως. Ὑπῆρχον οὖν ἡ μὲν Κυρίαινα [1] ἐκ Ταρσοῦ τῆς Κιλίκων ἐπαρχίας, ἡ δὲ Ἰουλιανὴ ἐκ πόλεως Ῥωσῶν [2]. Συλληφθεῖσαι [3] δὲ ὑπὸ Μαρκιανοῦ [4] ἡγεμόνος καὶ ἀναγκασθεῖσαι [5] οὐκ ἠρνήσαντο [6] τὸν Χριστόν. Ὅθεν ἡ Κυρίαινα ξυρᾶται τὴν κεφαλὴν σὺν ταῖς ὀφρύσι καὶ γυμνὴ ὑπὸ ἀτάκτων στρατιωτῶν τὴν πόλιν Ταρσὸν τετράκις περιάγεται· ἀπαχθεῖσά τε ἐν τῇ πόλει Ῥωσῶν μετὰ τῆς ἁγίας Ἰουλιανῆς τῷ πυρὶ παραδίδοται· καὶ οὕτως πληροῦται αὐτῶν ἡ μαρτυρία. — 3 : Ἰακώβου πρεσβυτέρου καὶ Ἰωάννου ἐπισκόπου. — 4 : Καισαρίου, Δασίου, Σαβινιανοῦ, Ἀγρίππα, Ἀδριανοῦ καὶ Θωμᾶ τοῦ νηπίου, τῶν ἐν Δαμασκῷ διαφόροις βασάνοις περιπεσόντων κἀκεῖσε τελειωθέντων. — 5 : Δομνίνας [7] καὶ Δόμνας καὶ Κυριακοῦ μαρτύρων. — **B** : 1. 2. 3. — **Ba** : 1 (= S). 2 (= Fa). 3. — **T** : 1. — **L** : 1. 2. 3. 5. — **O** : 1. 2. 3. 4. — **C** : 1. 2. 3. 4 (... Σάβα, Σαβιανοῦ). — **Cb** : 1. 2. 3. — **Cc** : 1. 2. 3. 4 (... Σαβιανοῦ). — **Cd** : 1 : Κοσμᾶ καὶ Δαμιανοῦ τῶν υἱῶν Θεοδότης. Οὗτοι οἱ ἅγιοι ἀνάργυροι Κοσμᾶς καὶ Δαμιανὸς ὑπῆρχον υἱοὶ γυναικὸς ὀνόματι Θεοδότης, διδαχθέντες παρὰ μὲν αὐτῆς τὰ ἱερὰ γράμματα, παρὰ δὲ τοῦ ἁγίου Πνεύματος τὴν ἰατρικὴν ἐπιστήμην. Οἵτινες ἰάτρευον οὐ μόνον τοὺς ἀνθρώπους ἀλλὰ καὶ τὰ κτήνη· θεραπεύοντες δὲ οὐδὲν παρά τινος ἐλάμβανον. Ἐθεράπευσαν δὲ καὶ γυναῖκά τινα ὀνόματι Παλλαδίαν, ἥτις ὑγιάνασα καὶ κρύφα προσδραμοῦσα τῷ ἁγίῳ Δαμιανῷ, προσφέρει ᾠὰ τρία καὶ ὁρκίζει κατὰ τοῦ ὀνόματος τοῦ Θεοῦ λαβεῖν αὐτά. Ἀκούσας δὲ ὁ ἅγιος Κοσμᾶς περὶ αὐτῶν, παρήγγειλε μὴ τεθῆναι τὸ λείψανον Δαμιανοῦ μετ' αὐτοῦ ἐν τῇ τελευτῇ. Ἐκοιμήθη δὲ πρῶτον ὁ ἅγιος Δαμιανός· ἐπιζήσας δὲ ὁ ἅγιος Κοσμᾶς καὶ πολλὰ θαύματα ποιήσας, ἐκοιμήθη καὶ αὐτός. Καὶ προκειμένου τοῦ λειψάνου καὶ τοῦ λαοῦ ἀθυμοῦντος καὶ διαλογιζομένου, ποῦ ἄρα θάψουσιν αὐτόν, ἐξαίφνης δραμοῦσα κάμηλος, ἥτις κεκλασμένη ὑπῆρχε καὶ ἰάθη παρ' αὐτῶν, ἐβόησεν ἀνθρωπίνῃ φωνῇ τοῦ τεθῆναι τὸ λείψανον αὐτοῦ ἅμα τῷ ἁγίῳ Δαμιανῷ, λέγουσα ὅτι ὁ

Nov. 1.

[1] Κυρίενα Fa. — [2] Ῥοσῶν *et deinceps* Fa. — [3] συλληφθὴς Fa. — [4] Μαριανοῦ Fa. — [5] ἀναγκασθεὶς Fa. — [6] ἀρνήσατω Fa. — [7] Δομνήνας Fa.

Nov. 1. σβυτέρου τοῦ λεγομένου Ζηλωτοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέως Περσῶν, διδάσκοντες τὸν λόγον τῆς πίστεως καὶ ἀλεῖπται γενόμενοι πολλῶν πρὸς τὴν εὐσέβειαν. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐθεάσατο καθ' ὕπνους ὁ ἐπίσκοπος Ἰωάννης ἄνδρα τινὰ κατέχοντα σπάθην, ἧς ἐν τῷ ἄκρῳ ἀπῃώρητο στέφανος· ὅστις ἀνὴρ δραμὼν ἐπέθηκεν ἐν τῇ κεφαλῇ f. 69v. αὐτοῦ τὸ κατεχόμενον εἰπών· | « Λάβε, ὦ ἐπίσκοπε, » στέφανον οὗ ἐπεθύμησας. » Καὶ μετ' ὀλίγας ἡμέρας κρατηθεὶς σὺν τῷ πρεσβυτέρῳ Ἰακώβῳ παρὰ Σαβωρίου καὶ ποικίλαις θλίψεσι[1] καὶ βασάνοις προσομιλήσαντες, ὕστερον ὑπὸ ξίφους ἐτελειώθησαν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Καισαρείου[1], Δασίου, Σάβα, Σαβινιανοῦ, Ἀγρίππα, Ἀδριανοῦ καὶ Θωμᾶ τοῦ νηπίου καὶ τῆς συνοδίας αὐτῶν, τῶν ἐν Δαμασκῷ διαφόροις βασάνοις δοκιμασθέντων κἀκεῖσε τελειωθέντων. Ὧν ἡ σύναξις τελεῖται ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Θεοδώρου τῷ ὄντι πλησίον τοῦ[2] Τετραπύλου.

5. Καὶ ἄθλησις τῶν ἁγίων[1] γυναικῶν Δόμνας καὶ Δομνίνας καὶ Κυριακῆς.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Nov. 2. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀνεμποδίστου, Ἀφθονίου καὶ Ἐλπιδιφόρου[1]. Τούτων ὁ μὲν Ἀκίνδυνος, Πηγάσιος καὶ Ἀνεμπόδιστος ὑπάρχοντες ἐν Περσίδι, βασιλεύοντος μὲν τῆς Περσῶν[2] Σαβωρίου, τῆς Ῥωμαίων δὲ[3] Κωνσταντίνου τοῦ μεγάλου, ἐν ἰδιάζοντι καθεζόμενοι τόπῳ, ἐδίδασκον τὸν λόγον τοῦ Θεοῦ· ὅθεν ὑπὸ Σαβωρίου κρατηθέντες, τύπτονται σφοδρῶς καὶ τὸν βασιλέα βλασφημοῦντα τὸν Χριστὸν ἄλαλον ποιοῦσι διὰ προσευχῆς καὶ πάλιν θεραπεύουσι· εἶτα τίθενται ἐπὶ κραββάτου πεπυρακτωμένου· ἔπειτα ἐμβάλλονται εἰς λέβητας καχλάζοντος μολίβδου πλήρεις· καὶ ἀπαθεῖς ἐξελθόντες ἐπισπῶνται πρὸς τὴν τοῦ Χριστοῦ πίστιν τὸν Ἀφθόνιον στρατιώτην ὄντα· ὃς καὶ παραυτίκα ἔξω τειχῶν τὴν κεφαλὴν ἀποτέμνεται. Εἶτα ἐμβάλλονται[4] εἰς θυλάκους βοείους καὶ ῥίπτονται εἰς[5] θάλασσαν· ἀνασωθέντες δὲ ζῶντες

3. — [1] Sa, θλίψοις S.
4. — [1] Καισαρίου Sa. — [2] χαλκοῦ *add.* H.
5. — [1] μαρτύρων *add.* Sa.
1. — [1] Ἐλπιδηφόρου Sa. *et deinceps.* — [2] χώρας *add.* Sa. — [3] πόλεως *add.* Sa. — [4] βάλλονται Sa. — [5] τὴν *add.* Sa.

Nov. 1. Θεὸς ἀπεκάλυψε τῷ ἁγίῳ Κοσμᾷ, ὅτι οὐ μισθοφορίας ἕνεκεν ἐδέξατο τὰ ᾠά, ἀλλ' ἵνα μὴ παρακούσῃ τοῦ ὅρκου. Ἐτάφησαν οὖν ἐν τῷ τόπῳ Φερεμᾶν, πολλὰς ἰάσεις ἐπιτελοῦντες. — 2 : Κυριαίνης. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Ταρσοῦ τῆς Κιλικίας. Ἥτις ὑπὸ τοῦ ἐκεῖσε ἡγεμόνος κρατηθεῖσα, τὸν Χριστὸν ἀρνήσασθαι καὶ εἰδώλοις προσκυνῆσαι οὐκ ἐπείσθη· διὸ ξυρίζεται τὴν κεφαλὴν σὺν ταῖς ὀφρύσι[8] καὶ πιττάκιον ὑβρεόγραφον μετὰ μήλων ἑπτὰ προσδεσμοῦσιν αὐτῆς τῷ μετώπῳ ὄνῳ τε ἐπικαθίσαντες καὶ νάρθηκι[9] ὑπὸ σχολιτῶν παιδίων τύπτοντες, οὕτως ὑπὸ μίμων[10] καὶ ἀτάκτων στρατιωτῶν τὴν Ταρσὸν πόλιν γυμνὴν περιῆγον τετράκις. Εὐξαμένης δὲ αὐτῆς, ὥστε μὴ ὁρᾶσθαι γυμνήν, ὑπὸ θείας χάριτος ἐσκεπάσθη τὸ σῶμα· καὶ οὐχ ὡρᾶτο γυμνὴ τοῖς εἰδωλολάτραις· ὅθεν ἀπαχθεῖσα ἐν τῇ πόλει Ῥωσῷ[11], μετὰ γυναικὸς χριστιανῆς, Ἰουλιανῆς λεγομένης ἐκ τῆς πόλεως Ῥωσοῦ πυρὶ παραδίδοται. — 3 : Ἰωάννου ἐπισκόπου καὶ Ἰακώβου πρεσβυτέρου τοῦ ἐπικαλουμένου Ζηλωτοῦ, ὅστις ἐλέγετο υἱὸς Μαρίας. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέως ἐν Περσίδι, διδάσκοντες τὸν λόγον τῆς πίστεως καὶ πολλοὺς ἐπιστρέφοντες ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν Κύριον. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐθεάσατο ὁ ἐπίσκοπος Ἰωάννης κατ' ὄναρ ἄνδρα τινὰ δήμιον κατέχοντα σπάθην, ἥτις ἐν τῷ ἄκρῳ εἶχε στεφάνιον. Ὅστις δήμιος δραμὼν ἐπὶ τὸν ἐπίσκοπον, ἐπέθηκεν ἐν τῇ κεφαλῇ αὐτοῦ εἰπών· « Λάβε, ὦ ἐπίσκοπε, στεφάνιον ὃ ἐπεθύμησας. » Καὶ μετ' ὀλίγας ἡμέρας κρατηθεὶς μετὰ Ἰακώβου τοῦ πρεσβυτέρου καὶ πολλὰ τιμωρηθέντες πρότερον καὶ διαφόροις βασάνοις προσομιλήσαντες, ὕστερον διὰ ξίφους ἐτελειώθησαν, εὐχαριστοῦντες Κυρίῳ τῷ Θεῷ ἡμῶν μέχρι θανάτου, ὅτι ὑπὲρ αὐτοῦ παθεῖν ἠξιώθησαν· καὶ ἐτάφησαν ἐντίμως ὑπὸ πιστῶν καὶ εὐλαβῶν ἀνδρῶν. — **M** : 1. 2. 4. 3. — Ἑρμηνιγγίλδου[12] (Oct. 30[8]). — Κυπριανὸς καὶ Ἰουλιανὴ πυρὶ τ. (cf. 2). — 5. — **Mv** : 1. 2. 4. 3. — Ἑρμηνιγγίλδου[12]. — **Mr** : 1.

Nov. 2. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. 2. — **P** : 1. 2 (... Ὠκαιαροῦ ... Καρτερίου, Νικοπολίτου, Σταυρακίου, Τοβήλ). — **Da** : 1 : Ἀκινδύνου, Πηγασίου, Ἀνεμποδίστου, Ἀφθονίου καὶ Ἐλπιδιφόρου. Οὗτοι οἱ ἅγιοι τῆς Περσῶν γῆς ὄντες καὶ τὰ πρῶτα παρὰ Σαβωρίου[1] βασιλέως Περσῶν φέροντες, τὴν εὐσέβειαν ἄκρως ἐκέκτηντο. Συλληφθέντες οὖν τύπτονται κρεμασθέντες καὶ τὰς πλευρὰς πυρὶ καταφλέγονται. Ἐπεὶ δὲ βλασφημεῖν ὁ βασιλεὺς εἰς Χριστὸν ἐπεχείρησεν, ἀφωνίᾳ τοῦτον οἱ ἅγιοι καταδικάζουσιν καὶ αὖθις λύουσιν[2]· ἔπειτα[3] ἐπὶ κραββάτων σιδηρῶν πεπυρωμένων τίθενται καὶ ὄμβρου καταρραγέντος, ἡ φλὸξ σβέννυται· καὶ τοῦ Διὸς τὸ ἄγαλμα εὐχῇ καταβάλλουσιν. Διὰ τοῦτο ὑποχαλῶνται λέβησι μεστοῖς μολύβδου καχλάζοντος· καὶ ἀβλαβεῖς διαμείναντες[4], Ἀφθόνιον πρὸς τὴν εἰς Χριστὸν[5] πίστιν ἐπισπῶνται, ὃς παραχρῆμα καὶ τὴν κεφαλὴν ἀφῃρέθη· καὶ ἐν μοσχείοις[6] θυλάκοις βληθέντες καὶ τῇ θαλάσσῃ ῥιφέντες, ἀνασώζονται· καὶ τὸν Ἐλπιδιφόρον πρῶτον ὄντα τῆς συγκλήτου πρὸς τὴν εἰς Χριστὸν ἐκκαλοῦνται πίστιν μεθ' ἑτέρων ἑπτακισχιλίων. Οἵτινες τὰς κεφαλὰς ἀπετμήθησαν. Οἱ δὲ περὶ Ἀκίνδυνον, Πηγάσιον καὶ Ἀνεμπόδιστον εἰς βόθρον ἀπορρίπτονται μεστὸν θηρίων·

— [8] ταῖς φρύες Cd. — [9] νάρθακι Cd. — [10] μίνων Cd. — [11] Ροσῷ *et deinceps* Cd. — [12] Ἑρμενιγγίλδου M, Mv.
[1] Σαβώρη Ba. — [2] Ba, λύονται Da. — [3] καὶ Ba. — [4] ἀνέπαφοι μείναντες Ba. — [5] τὴν τοῦ Χριστοῦ Ba. — [6] βοείοις Ba.

ἐπὶ τὴν ξηράν, πρὸς τὴν πίστιν ἐφέλκονται τὸν Ἐλπιδιφόρον ὄντα πρῶτον τῆς συγκλήτου· ᾧ συμπροσῆλθε καὶ πλῆθος ἀνδρῶν πολὺ ὡσεὶ πεντακισχιλίων· οἳ[6] ὑετοῦ διὰ τῆς τῶν ἁγίων εὐχῆς γενομένου τὸ βάπτισμα ἔλαβον· καὶ πάντες τὰς κεφαλὰς ἀπετμήθησαν σὺν τῷ Ἐλπιδιφόρῳ. Ὁ δὲ ἅγιος Ἀκίνδυνος, Πηγάσιος καὶ Ἀνεμπόδιστος εἰς βόθρον ἀπορρίπτονται μεστὸν ὄντα θηρίων παντοδαπῶν· ἀβλαβεῖς οὖν ἐκεῖθεν ἐξελθόντες καὶ τὴν f. 70. μητέρα τοῦ βασιλέως | πρὸς τὴν πίστιν ἑλκύσαντες, ἔσχατον εἰς κάμινον ἐμβληθέντες πυρὸς σὺν τῇ μητρὶ τοῦ βασιλέως καὶ ἑτέροις εἴκοσι καὶ ὀκτὼ στρατιώταις, τὸ μακάριον δι' αὐτῆς εὕραντο τέλος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Δευτέρῳ. Nov. 2.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀττικοῦ, Εὐδοξίου, Ἀγαπίου, Μαρίνου, Ὠκεανοῦ, Εὐστρατίου, Καρτερίου, Νικοπολιτιανοῦ, Στύρακος, Τωβία καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι ὑπῆρχον στρατιῶται ἐν Σεβαστείᾳ ἐπὶ Λικινίου[1] βασιλέως· ἐξετασθέντες δὲ[2] ὑπὸ Αὐξάνοντος ἄρχοντος τῆς αὐτῆς πόλεως καὶ Μαρκέλλου δουκὸς καὶ Μάρκου τοῦ Ἀγρικολάου καὶ ἀνυπερβλήτοις βασάνοις ὑποβληθέντες, πυρὶ παραδίδονται· ἐν ᾧ καὶ τὰς ψυχὰς αὐτῶν τῷ Θεῷ παρέθεντο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ ἐπισκόπου, Ἰωσὴφ πρεσβυτέρου καὶ Ἀειθαλᾶ διακόνου. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου τοῦ βασιλέως ἐν Περσίδι, Ῥωμαίων δὲ βασιλεύοντος Κωνσταντίνου τοῦ μεγάλου. Ἦν οὖν ὁ ἅγιος Ἀκεψιμᾶς ἐπίσκοπος Ἀνιθᾶ, λευκὸς τὴν τρίχα, πρεσβύτης ἤδη γεγονὼς ἐτῶν ὀγδοήκοντα, συνεστὼς[1] ἔτι ἔχων τὸ σῶμα, εὐμήκης καὶ ὄρθιος, περιουσίαν κεκτημένος πολλήν· συσχεθεὶς δὲ μετὰ τῶν σὺν αὐτῷ καὶ παραστὰς Ἀδαρχόσχαρ τῷ ἀρχιμάγῳ καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ Ἄρει[2], μᾶλλον δὲ εἰς αὐτοὺς ἐξυβρίσας, τύπτεται ἰσχυρῶς καὶ δεσμεῖται· εἶτα ἄγεται ὁ ἅγιος Ἰωσὴφ ἐκ πόλεως Nov. 3. ὢν[3] Βηθλαβουθᾶ καὶ αὐτὸς ἤδη γηραιός· καὶ ἀντιστὰς τῷ ἀρχιμάγῳ, τείνεται καὶ μαστίζεται, ὡς διαιρεθῆναι τὰς σάρκας αὐτοῦ μέχρι τῶν ὀστέων· καὶ δεσμεῖται[4] μετὰ τοῦ ἁγίου Ἀκεψιμᾶ· εἶτα ὁ ἅγιος Ἀειθαλᾶς ὁμολογήσας τὸν Χριστόν, δεσμεῖται τὰς χεῖρας ὑπὸ τὰ γόνατα καὶ κάτω ξύλῳ τεθεὶς καὶ μαστιζόμενος ἐξαρθροῦται πάσας τὰς ἁρμονίας τοῦ σώματος καὶ εἰς τὴν φυλακὴν μετὰ τῶν λοιπῶν παραπέμπεται. Μετὰ ταῦτα ὁ μὲν Ἀκεψιμᾶς ὑπὸ τριάκοντα στρατιωτῶν τυπτόμενος παρέδωκε τὴν ψυχήν. Ὁ δὲ ἅγιος Ἰωσὴφ κατὰ

— [6] οἵτινες Sa.
2. — [1] Λικιννίου S. — [2] *om.* Sa.
1. — [1] συνιστὼς Sa. — [2] Ἄρεει Sa. — [3] *om.* Sa. — [4] συνδεσμεῖται Sa.

καὶ ἀβλαβεῖς διαμείναντες, τὴν μητέρα τοῦ βασιλέως πρὸς τὴν πίστιν καθείλκυσαν. Ὅθεν καμίνῳ πυρὸς ἐμβληθέντες τέλος εὕραντο τῆς ἀθλήσεως. — 2 (Εὐδοξίου, Ἀγαπίου, Μαρίνου, Ὠκεανοῦ, Εὐστρατίου, Καρτερίου). — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1 (contuli cum Da). — 2 (= S). — Καισαρείου κτλ. (Nov. 1[4], om. Σάβα). — **T** : 1. — **L** : 1. 2. — **O** : 1. 2. — **C** : 1. 2. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — **Cd** : 1. 2 : Ἀττικοῦ, Εὐδοξίου, Ἀγαπίου, Μαρίνου, Ὠκεανοῦ, Εὐστρατίου, Καρτερίου, Νικοπολιτιανοῦ, Στυρακίου, Τωβία καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι οἱ ἅγιοι στρατιῶται ὑπῆρχον ἐν τῇ πόλει Σεβαστείᾳ ἐπὶ Λικινίου τοῦ βασιλέως. Οἵτινες συνεβούλευον πάσῃ τῇ στρατιᾷ ἐμμένειν τῇ πίστει τοῦ Χριστοῦ· διὸ βασανίζονται ὑπὸ Μαρκέλλου τοῦ δουκὸς καὶ Αὐξάνοντος[7] τοῦ τῆς πόλεως Σεβαστείας ἄρχοντος· εἶτα ἐμβάλλονται εἰς φυλακήν. Ἐκβληθέντες δὲ τύπτονται κατὰ τοῦ νώτου καὶ τῆς κοιλίας βουνεύροις ὠμοῖς· εἶτα ἐκριζοῦνται τοὺς ὀδόντας. Τιμωρουμένων δὲ τῶν ἁγίων, ἔλεγεν ὁ δοὺξ πρὸς τὸν ἅγιον Καρτέριον ὅτι· « Σὺ μόνος ἀπέστησας τὸν λαὸν τῆς τοῦ βασιλέως ὑποταγῆς. » Ὁ δὲ ἔλεγεν ὅτι « Οὐ συνεβούλευσα τῷ λαῷ ἐπαναστῆναι τῷ βασιλεῖ, ἀλλὰ προσελθεῖν τῷ ἀθανάτῳ βασιλεῖ » Χριστῷ. » Μετ' αὐτοὺς ἄγεται Στυράκιος καὶ ὁμολογεῖ τὸν Χριστόν· καὶ αὖθις Τωβίας ὁ Νικοπολίτης καὶ κατακρίνονται πάντες ξύλοις συντριβῆναι. Καὶ ταύτης τῆς βασάνου γενομένης, ἔλαβον τὴν διὰ τοῦ πυρὸς ἀπόφασιν· καὶ οὕτως ἐτελειώθησαν. — **M** : 1. — Οἱ ἅγιοι μάρτυρες οἱ ἀπὸ τῆς συγκλήτου βουλῆς ξ. τ. — Μαρκιανοῦ τοῦ ἐν τῇ Κύρῳ (Ian. 18[2]). — **Mv** : 1. — Οἱ ἀπὸ τῆς συγκλήτου κτλ. — Εὐδοξίου, Ἀγαπίου καὶ λοιπῶν ἁγίων ὀκτώ. — Μαρκιανοῦ. — **Mr** : 1. Nov. 2.

Nov. 3. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — Ἰωαννικίου... Τελεῖται δὲ ἡ αὐτοῦ[1] σύναξις ἐν τῇ μονῇ τῶν Καλλιστράτου (Nov. 4[2]). — **P** : 1. — Ἰωαννικίου. — **Da** : 1 : Ἀκεψιμᾶ ἐπισκόπου, Ἰωσὴφ πρεσβυτέρου καὶ Ἀειθαλᾶ διακόνου. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέως Περσῶν· καὶ συσχεθέντες παρίστανται εἰς ἐξέτασιν Ἀδρασχαγὰρ[2] τῷ ἀρχιμάγῳ· καὶ εὐθέως τύπτεται ὁ ἅγιος Ἀκεψιμᾶς ῥάβδοις ῥοΐναις· ὁ δὲ ἅγιος Ἰωσὴφ τείνεται καὶ μαστίζεται, ὡς διαιρεθῆναι τὰς σάρκας αὐτοῦ μέχρι τῶν ὀστῶν· καὶ φρουρεῖται δεδεμένος. Ὁ δὲ ἅγιος Ἀειθαλᾶς δεσμευθεὶς χεῖρας καὶ πόδας ὑπὸ τὰ γόνατα, ἐξαρθροῦται τὰς ἁρμονίας μαστιζόμενος καὶ τῇ εἱρκτῇ ἐγκλείεται· μετὰ ταῦτα ὁ μὲν ἅγιος Ἀκεψιμᾶς ὑπὸ τριάκοντα στρατιωτῶν τυφθεὶς παρέδωκε τὴν ψυχήν. Ὁ δὲ Ἰωσὴφ κατὰ κεφαλῆς κρεμασθεὶς καὶ ἱκανῶς ξανθεὶς κατελεύσθη. Ὁ δὲ ἅγιος Ἀειθαλᾶς ὑπὸ μ'[3] στρατιωτῶν <ταθεὶς καὶ[4]> τυφθεὶς κρεμᾶται καὶ αὐτός, κάτω μὲν ἔχων τὴν κεφαλὴν ἄνω δὲ τοὺς πόδας· καὶ οὕτως τὸ πνεῦμα παρέδωκεν. — 2 (= S). — **F** : 1. — Ἰωαννικίου. — **Fa** : 1. 2. — Ἰωαννικίου. — **B** : 1. — Ἰωαννικίου. — **Ba** : 1

— [7] αὐξάνονται Cd.
[1] αὐτῶν H. — [2] Ἀδαρχοσχὰρ Ba, S. — [3] τεσσάρων Sa. — [4] ταθεὶς καὶ *add.* Ba. *om.* Da.

Nov. 3. f. 70v. κεφαλῆς κρεμασθεὶς καὶ ἱκανῶς ξανθεὶς κατελεύσθη ὑπὸ τῶν λίθων χωσθείς. | Ὁ δὲ ἅγιος Ἀειθαλᾶς ταθεὶς ὑπὸ τεσσάρων [5] στρατιωτῶν καὶ τυφθεὶς κρεμᾶται καὶ αὐτός, κάτω μὲν ἔχων τὴν κεφαλὴν ἄνω δὲ τοὺς πόδας· καὶ οὕτως καὶ αὐτὸς τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου προφήτου Ἐλισσαίου τῷ ὄντι ἐν τοῖς Ἀντιόχου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου [1] Ἀκεψιμᾶ, ὃς ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου. Οὗτος ἐν οἰκίσκῳ καθείρξας ἑαυτὸν ἑξήκοντα διετέλεσεν ἔτη μήτε ὁρώμενος μήτε φθεγγόμενος, ἀλλ' εἰς ἑαυτὸν νεύων καὶ τὸν Θεὸν φανταζόμενος πᾶσαν ἐκεῖθεν ψυχαγωγίαν ἐδέχετο. Τὸ δὲ ὄρυγμα οὐ δι' ὅλου ἦν κατ' εὐθὺ κατορωρυγμένον, ἀλλ' ἐγκάρσιον ἑλικοειδῶς κατεσκευασμένον· τροφὴ δὲ αὐτῷ ἐκομίζετο φακὸς διάβροχος ὕδατι· ἅπαξ δὲ τῆς ἑβδομάδος νύκτωρ ἐξιὼν τὸ ἀρκοῦν ὕδωρ ἀπὸ τῆς ἐγγιζούσης ἀνιμᾶτο πηγῆς παρὰ μηδενὸς βλεπόμενος. Οὕτω θεαρέστως ὁ μακάριος πολιτευόμενος καὶ πολλῶν θαυμάτων γενόμενος αὐτουργὸς καὶ τὴν τοῦ πρεσβυτερίου ἀξίαν βίᾳ καταδεξάμενος, ἐν εἰρήνῃ βαθείᾳ [2] τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Nov. 4. **1.** Μνήμη τῶν ἁγίων ἱερομαρτύρων Νικάνδρου ἐπισκόπου τῆς Μυρέων πόλεως καὶ Ἑρμαίου πρεσβυτέρου χειροτονηθέντος παρὰ Τίτου ἀποστόλου καὶ ἐπισκόπου Κρήτης [1]. Οὗτοι πολλοὺς τῶν εἰδώλων ἀποσπῶντες καὶ τῷ Χριστῷ προσάγοντες διεβλήθησαν τῷ τῆς πόλεως ἄρχοντι [2] Λιβανίῳ. Ὁ δὲ τοῖς ἁμιλλητηρίοις αὐτοῦ προσδήσας τούτους ἵπποις [3] καὶ ἐλαύνων ἐτιμώρει. Συρέντες οὖν οἱ ἅγιοι ἐπὶ πολύ, τραυματίαι ἐγένοντο, τῶν σαρκῶν αὐτῶν κατακοπεισῶν ἐπὶ τοσοῦτον, ὥστε καὶ τὴν γῆν πᾶσαν φοινιχθῆναι τῷ αἵματι. Εἶτα πάλιν ἐκέλευσεν ἀναρτηθέντας σπαθίζεσθαι καὶ εἰς κάμινον πυρὸς ἀπορριφῆναι· ἀβλαβεῖς δὲ διαμείναντας θείᾳ ῥοπῇ, ἐκέλευσεν ὁ μάταιος κατὰ τῶν καρδιῶν αὐτῶν καὶ τῆς κεφαλῆς καὶ τῶν σπλάγχνων ἥλους ἐμπαγῆναι καὶ ἔτι πνέοντας ἐν τάφῳ ἀσφαλισθῆναι· καὶ οὕτω τῇ σκληρᾷ καὶ ἀνυποίστῳ βίᾳ παρέδωκαν τῷ Θεῷ τὰς ἁγίας αὐτῶν ψυχάς.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς f. 71. ἡμῶν Ἰωαννικίου τοῦ | θαυματουργοῦ. Οὗτος ὁ μακάριος γεννᾶται τὸ τέταρτον ἔτος τῆς τοῦ Κοπρωνύμου Λέοντος [1] τυραννίδος, χώρας μὲν φὺς τῆς [2] Βιθυνῶν κώμης τῶν Μαρυκάτων, πλησίον Ἀπολλωνιάδος κειμένης λίμνης, πατρὸς μὲν Μυριτζίκη [3], μητρὸς δὲ Ἀναστασοῦς· καὶ εἰς μέτρον ἡλικίας πεφθακώς, τῷ μγ' [4] ἔτει τῆς αὐτοῦ ἡλικίας κατὰ Βουλγάρων ἐστράτευσεν· οὓς κατακόψας καὶ τοὺς ὁμοφύλους διασώσας [5] ἐπ' ὄψεσι τοῦ βασιλέως καὶ ἀπωσάμενος τὴν ἐκ τῆς νίκης ταμιευομένην αὐτῷ παρὰ τοῦ κρατοῦντος δόξαν τε καὶ τιμήν, καταλαμβάνει τὸ ὄρος, ἐν ᾧ θείας φωνῆς αὐτήκοος γεγονὼς τὰ τῶν ὀρέων ὑψηλότερα φθάνει. Ἐν οἷς δύο μοναχοὺς [6] περιτυγχάνει οὐχ ὁραθέντας παρά τινος πώποτε τρίχινά τε περιβεβλημένους καὶ βοτάναις ἀγρίαις [7] τρεφομένους [8], οἳ καὶ περὶ πάντων αὐτῷ προήγγειλαν, ἐπιδεδωκότες περιβόλαιον ἐξ ὧν εἶχον εὐχῆς χάριν. Ἐκεῖθέν τε ἀπολυθεὶς τὸ τοῦ Τριχάλικος ὄρος καταλαμβάνει, εἶτα τὴν τῶν Αὐγάρων μονήν, εἶτα τῆς Κουνδουρίας τὰ ὄρη· καὶ μαθὼν τριάκοντα μόνους ψαλμούς, ἔψαλλε μετά τινος σμικροτάτου τροπαρίου οὕτω συντεθειμένου· « Ἡ ἐλπίς μου ὁ Θεός, » καταφυγή μου ὁ Χριστός, σκέπη μου τὸ Πνεῦμα

— [5] τεσσάρων Sa, μ' S, Ba.
2. — [1] πατρὸς ἡμῶν *add.* Sa. — [2] *om.* Sa.
1. — [1] Κρίτης Sa. — [2] κόμητι Sa. — [3] ἵππους S.
2. — [1] *om.* Sa. — [2] τῶν *add.* Sa. — [3] Μυριτζήκη Sa. — [4] μ' καὶ γ' Sa. — [5] περισώσας Sa. — [6] μοναχοὺς β' Sa. — [7] βοτάνας ἀγρίας S. — [8] τρεφόμενος Sa.

Nov. 3. (contuli cum Da). — 2 (= S). — **T** : 1. — **L** : 1. — Ἰωαννικίου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τῶν Καλλιστράτου. — **O** : 1. — **C** : 1. — Ἰωαννικίου. — 2. — **Cb** : 1. — Ἰωαννικίου. — 2. — **Cc** : 1. — Ἰωαννικίου. — 2. — **Cd** : 1. — Ἰωαννικίου. — 2. — **M** : 1. 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἐπισκόπου Ἀγκύρας. — Καὶ τῶν ἁγίων μαρτύρων Σεβήρου, Ἀνδρωνᾶ, Θεοδότου καὶ Θεοδότης ξ. τ. (Nov. 4[6]). — Ὁ ὅσιος πατὴρ ἡμῶν Ἠλίας ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι ἐννέα μάρτυρες ξ. τ. — Οἱ ἅγιοι κη' μάρτυρες π. τ. — **Mv** : 1. 2. — Θεοδώρου. — Σεβήρου κτλ. — Οἱ ἅγιοι ἐννέα μάρτυρες. — Οἱ ἅγιοι κη' μάρτυρες. — Ἑορτάζομεν τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου ἐν Λύδδῃ [5] ἤτοι τὴν κατάθεσιν τοῦ ἁγίου σώματος αὐτοῦ. — Ἀχεμενίδου τοῦ ὁμολογητοῦ τοῦ Πέρσου. — **Mr** : 1 (Ἀκεψιμᾶ, Ἰωσὴν καὶ Ἀειθαλᾶ). — Ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου κτλ. — 2.

Nov. 4. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 3. 1. 5 (Θεοδώρου). — 6 (Δασίου, Σευήρου, Ἀνδριωνᾶ, Θεοδότου καὶ Θεοδότης). — **P** : 3. 1. 5 (Θεοδώρου). — 6 (Δασίου, Σεβήρου, Ἀνδρωνᾶ καὶ Θεοδότου καὶ Θεοδότης μάρτυρος). — **Da** : 2. 1. 3. — **F** : 1. 3. — **Fa** : 1. 3. — **B** : 3. 4. — **Ba** : 2 (= S). 1 (= S). 3 (= S). 4 (= S). — **T** : 1. 2. — **L** : 3. 1. 5 (Θεοδώρου). — 6 (add. Θεοδότης). — **O** : 2. 1. 3. — **C** : 3. 4. 5 (Θεοδώρου). — 1. — **Cb** : 3. 4. 5 (Θεοδώρου). — 6 (Δασίου, Σεβίρου ...). — 1. — **Cc** : 3. 4. 5 (Θεοδώρου). — 1. — **Cd** : 3. 4. 5 (Θεοδώρου). — 1 : Νικάνδρου ἐπισκόπου Μύρων καὶ Ἑρμαίου πρεσβυτέρου. Τίτος ὁ τοῦ μεγάλου ἀποστόλου φοιτητής, ἐπίσκοπος Κρήτης παρὰ τοῦ ἀποστόλου ἐγένετο, ὅστις τὸν Νίκανδρον ἐπίσκοπον Μύρων ἐποίησε καὶ τὸν Ἑρμαῖον πρεσβύτερον. Οἵτινες

— [5] Λυδδίᾳ Mv.

» τὸ ἅγιον. » Οὗτος ὁ μακάριος πολλοὺς τόπους καὶ πόνους διαμειψάμενος καὶ μέγιστα ἐργασάμενος τεράστια καὶ περὶ τῶν μελλόντων προειπὼν καὶ πρὸς τὴν Ἀντιδίου μονὴν ἐλθὼν πλήρης τε ἡμερῶν γενόμενος, μετὰ τρίτην ἡμέραν τῆς τοῦ ἁγίου Μεθοδίου ἐν Κωνσταντινουπόλει πατριαρχείας, ἣν προεῖπεν αὐτῷ [9], ἀνεπαύσατο ἐν Κυρίῳ, ἐτῶν ὑπάρχων ἐνενήκοντα τεσσάρων. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τῶν Καλλιστράτου.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Πορφυρίου τοῦ ἐκ μίμων. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ [1] ἐκ τῆς Ἐφεσίων πόλεως ὁρμώμενος καὶ ἐκ μικρᾶς ἡλικίας μίμοις καὶ θεάτροις ἐντραφείς. Ὃς διὰ τὴν αὐτὴν [2] αἰτίαν τῷ κόμητι Ἀλεξάνδρῳ ἐφεπόμενος ἤχθη εἰς Καισάρειαν. Οὗτος τὰ [3] τῶν χριστιανῶν ποτε ὑποκριθείς, ὑφ' ἑτέρου μίμου, τὸν ἐπίσκοπον σχηματισαμένου f. 71v. βαπτίζεται, | καταπαίζοντος δῆθεν καὶ ἐπιχλευάζοντος τὰ ἡμέτερα. Οὗ γενομένου καὶ στολὴν λευκὴν ἀληθῶς ὑποδύντος, ἀγγέλων ἁγίων αὐτοῦ προπορευομένων μετὰ λαμπάδων καὶ ψαλλόντων· « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, » αὐτὸς μὲν τέλειον τὸν χριστιανισμὸν ὑπεδέξατο καὶ κατὰ ἀνατολὰς προσηύχετο καὶ τῷ μετώπῳ καὶ παντὶ τῷ σώματι τὸν σταυρὸν διέγραφε, τοῦτο διδαχθεὶς παρὰ τῶν ἀγγέλων. Πολλοὶ δὲ προσῆλθον τῇ τοῦ Χριστοῦ πίστει τοῦτον ἰδόντες οὕτω λαμπρῶς ἔχοντα· οἳ καὶ διὰ νεφέλης ἐβαπτίσθησαν καὶ τῇ καθολικῇ ἐκκλησίᾳ προσῆλθον· εἶτα τοῦ κόμητος τὸν ἅγιον προσκαλεσαμένου, ἐπεὶ μὴ τὰ τῶν Nov. 4. χριστιανῶν ἐξωμόσατο, ξίφει αὐτοῦ τὴν κεφαλὴν ἀποτέμνει· καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ μαρτυρία.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο', Πατρόβα, Ἑρμᾶ, Λίνου, Γαΐου καὶ Φιλολόγου. Οὗτοι ὑπῆρχον ἐκ τῶν ἑβδομήκοντα μαθητῶν καὶ ἀποστόλων. Καὶ ὁ μὲν Πατρόβας, οὗ καὶ ὁ μέγας Παῦλος ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς μέμνηται, ἐπίσκοπος Ποτιόλων ἐγένετο, πολλοὺς βαπτίσας καὶ προσαγαγὼν τῷ Χριστῷ. Ὁ δὲ Rom. 16, 14. Ἑρμᾶς, οὗ καὶ αὐτοῦ ὁ μέγας αὐτὸς [1] ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐπίσκοπος Φιλιππουπόλεως ἐγένετο. Ὁ δὲ Λῖνος μετὰ Πέτρον τὸν ἁγιώτατον ἀπόστολον τῆς μεγάλης Ῥώμης ἐπίσκοπος ἐχρημάτισεν. Ὁ δὲ Γάϊος, οὗ Rom. 16, 23. καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, μετὰ τὸν ἅγιον Τιμόθεον ἐπίσκοπος Ἐφέσου ἐγένετο. Ὁ δὲ Φιλόλογος, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστο- Rom. 16, 15. λος μέμνηται, ἐπίσκοπος Σινώπης ἐγένετο ὑπὸ Ἀνδρέου τοῦ πρωτοκλήτου τῶν ἀποστόλων. Καὶ ἐπισκοπήσαντες ἐν ταῖς δηλωθείσαις πόλεσι καὶ πλείστους πειρασμοὺς καὶ θλίψεις διὰ τὸν τῆς εὐσεβείας λόγον ὑπομείναντες καὶ πολλοὺς προσαγαγόντες τῷ Χριστῷ, ἐτελειώθησαν.

5. Καὶ [1] ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδότου ὁμολογητοῦ, ἐπισκόπου Ἀγκύρας.

6. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Δασίου, Σευηριανοῦ, Ἀνδρονᾶ καὶ Θεοδότου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Γαλακτίωνος καὶ Ἐπιστήμης. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Σεκούνδου ἡγεμόνος. Nov. 5. Καὶ ὁ μὲν Γαλακτίων υἱὸς ἦν Κλειτοφῶντος [1] καὶ f. 72. Λευκίππης, ἀμφοτέρων ἑλλήνων. Μετα|μαθόντες [2] δὲ τὴν εὐσέβειαν παρά τινος μοναχοῦ Ὀνουφρίου

— [9] αὐτὸς Sa.
3. — [1] Αὐριλιανοῦ S. — [2] αὐτοῦ Sa. — [3] τῇ Sa.
4. — [1] καὶ αὐτοῦ ὁ αὐτὸς μέγας Sa.
5. — [1] τῇ αὐτῇ ἡμέρᾳ Sa.
1. — [1] Κλειτοφῶντου Sa. — [2] μαθόντων Sa.

Nov. 4. πολλοὺς διδάσκοντες τῶν ἑλλήνων, διαβάλλονται Λιβανίῳ κόμητι τῆς πόλεως. Ὁ δὲ θέαν ἐπιτελῶν τοῖς δαίμοσιν, ἀγαγὼν αὐτοὺς καὶ μὴ πείσας ἀρνήσασθαι τὸν Χριστόν, τοῖς ἁμιλλητηρίοις ἵπποις προσδήσας, οὕτως ἐτιμωρεῖτο. Συρέντες οὖν οἱ ἅγιοι δι' ὅλου τοῦ σταδίου ἔτι τοῖς ζῶσι κατηριθμοῦντο· γόητας δὲ αὐτοὺς ἀποκαλέσας, ἐκέλευσεν αὐτοὺς ἀναρτηθῆναι καὶ σπαθίζεσθαι καὶ λαμπάδας [1] πυρὸς προσάγεσθαι αὐτοῖς. Παρείθησαν δὲ αἱ χεῖρες τῶν δημίων. Τότε λέγει· « Γινώσκετε· εἰ μὴ θύσετε, ἀποθνή- » σκετε. » Οἱ δὲ εἶπον· « Οὕτως αἱρούμεθα. » Ὁ δέ· « Καὶ οὐ θέλετε ζῆν; » Οἱ δέ· « Εἰ ἐᾷς ἡμᾶς μεθ' » ὧν ἐγνώκαμεν καὶ πιστεύομεν, βουλόμεθα· εἰ δὲ μή, ἀναίρει. » Τότε κελεύει αὐτοὺς ἐμβληθῆναι εἰς κάμινον· καὶ διαφυλαχθέντας προστάσσει κατὰ κεφαλῆς καὶ καρδίας ἥλους πηχθῆναι καὶ ἔτι ἐμπνέοντας ἐν τύμβῳ ἀσφαλισθῆναι. Καὶ οὕτως ἐν τῇ τοιαύτῃ τιμωρίᾳ ἐτελειώθησαν. — **M** : 2. 1. 3. — Διήγησις εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμίου περὶ τῆς Ἱερουσαλὴμ καὶ εἰς τὴν ἅλωσιν ταύτης καὶ περὶ τῆς ἐκστάσεως Ἀβιμέλεχ. Ἱερεμίας οὗτος ὁ μέγας προφήτης ἐξ Ἀναθὼθ τυγχάνων τῆς κώμης, περὶ Ἱερουσαλὴμ καὶ Βαβυλῶνος πολλὰ προηγόρευσεν ... Des. ἡ δὲ παρουσία τοῦ Χριστοῦ ἔσται τὸ σημεῖον, ὅταν ἔθνη πάντα προσκυνήσωσι ξύλον, δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεόν, ᾧ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. — **Mv** : 2. 1. 3. — Διήγησις εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμίου. — **Mr** : 2. 1.

Nov. 5. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 2. 4. 5. — **P** : 1. 2. 4. 5. 3 (... ἐν τῷ Σπαρακίῳ). — **Da** : 1 (= F). 2. — **F** : 1 : Γαλακτίωνος καὶ Ἐπιστήμης. Οὗτοι ὑπῆρχον ἐπὶ Σεκούνδου ἡγεμόνος. Τούτων ὁ Γαλακτίων [1] υἱὸς ἦν Κλητοφῶντος καὶ Γλευκίππης [2] ἀμφοτέρων ἑλλήνων. Στείρας οὖν οὔσης τῆς Γλευκίππης, διά τινος μοναχοῦ Ὀνουφρίου λεγομένου ἀγρευθεὶς εἰς τὴν πίστιν, ἐβαπτίσθη σὺν

[1] λαμπάσι Cd.
[1] Γαλακτίον F. — [2] Γλευκίπης F.

Nov. 5. λεγομένου καὶ τὸ πρὸς σωτηρίαν αὐτοί τε καὶ ὁ υἱὸς αὐτῶν Γαλακτίων δέχονται βάπτισμα. Ἡ δὲ Ἐπιστήμη καὶ αὐτὴ ὁμοίως ἕλληνας τοὺς γεννησαμένους ἔχουσα, ἐπεὶ τῷ Γαλακτίωνι εἰς γάμον ἐπεδόθη, παραυτίκα βαπτίζεται· καὶ διατηρήσαντες ἀμφότεροι τὴν παρθενίαν ἄτρωτον, τὸν μοναδικὸν βίον ὑπέρχονται. Πᾶσαν δὲ σκληραγωγίαν καὶ κακουχίαν διενεγκόντες συνελήφθησαν παρὰ τοῦ ἄρχοντος Οὔρσου· καὶ ἐρωτηθέντες τύπτονται σφοδρῶς καὶ καλάμους[3] ὀξυνθέντας[4] τοῖς ὄνυξιν[5] ἐμπείρονται καὶ μαχαίρᾳ χεῖρας καὶ πόδας ἀκρωτηριασθέντες τελευταῖον καὶ αὐτὰς τὰς κεφαλὰς ἀποτέμνονται.

2. Καὶ [1] ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Δομνίνου καὶ τῶν σὺν αὐτῷ. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ τυράννου καὶ Οὐρβανοῦ τοῦ [2] Παλαιστίνης ἄρχοντος. Ὁ δὲ ἅγιος Δομνῖνος πολλὰ μὲν καὶ πρὸ τῆς τοῦ μαρτυρίου τελειώσεως ἐν τοῖς τοῦ χαλκοῦ μετάλλοις ἐνήθλησε, πλεῖστα δὲ καὶ πρὸς αὐτὸ τὸ τέλος[3], ὅτε καὶ τῇ τοῦ πυρὸς κολάσει κατακρίνεται. Θεότιμον δὲ μετὰ τοῦτον καὶ Τιμόθεον καὶ Φιλόθεον, τὴν ἀκμὴν τοῦ σώματος φέροντας καὶ ὡραίους καὶ καλοὺς τῇ ὄψει ὑπάρχοντας, ἐπὶ πυγμῇ μονομαχίας καταδικάζει ὁ τύραννος· Δωρόθεον δὲ σεμνόν τινα καὶ ἱερὸν πρεσβύτερον θηρίοις πρὸς βορὰν παραδίδωσι, Καρτέριον δὲ καὶ Εὐψύχιον, τελείων ἀνδρῶν φέροντας ἡλικίαν, ἀποτμηθέντας τὰ αἰδοῖα ἐπὶ τὸ τῶν εὐνούχων μεταφέρει γένος· τὸν δὲ Σιλβανὸν τοῖς κατὰ Φανὼν[4] μετάλλοις ἐγκρίνει καὶ παρθένους[5] τρεῖς ἀκολάστοις πορνοτρόφοις ἐκδίδωσι καὶ ἄλλας δεσμοῖς καθείργνυσιν. Ὁ δὲ τοῦ Θεοῦ μάρτυς Πάμφιλος καὶ πάσῃ σοφίᾳ καὶ ἀρετῇ ἄκρος, σφοδρότατα[6] αἰκίζεται τὰς πλευρὰς ἅπαξ καὶ δὶς καὶ τῇ εἱρκτῇ ἐναπορρίπτεται σὺν ἑτέροις ὁμολογηταῖς,

— [3] καλάμοις S. — [4] ὀξέσι Sa. — [5] τοὺς ὄνυχας Sa.

2. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] τῆς *add.* Sa. — [3] αὐτῷ τῷ τέλει Sa. — [4] καταφανὼν S, καταφανῶ Sa. — [5] παρθένοις γὰρ Sa. — [6] σοφώτατα Sa.

Nov. 5. αὐτῇ καὶ ὁ ταύτης ἀνήρ· οἵτινες τῇ εὐχῇ καὶ τῇ δεήσει τοῦ μοναχοῦ ἀπέτεκον τὸν Γαλακτίωνα καὶ
πᾶσαν πεῖραν γραμμάτων αὐτὸν ἐξεπαίδευσαν καὶ τελευταῖον γυναικὶ συζευγνύουσι λεγομένῃ Ἐπι-
στήμῃ, ἥτις διὰ τοῦ ταύτης ἀνδρὸς προσῆλθεν τῇ ἀληθινῇ πίστει. Καὶ αὐτοὶ τὴν παρθενίαν διετήρησαν
καὶ τὰ αὐτῶν ἅπαντα τοῖς δεομένοις σκορπίσαντες [3] τὸν μοναδικὸν ὑπεισῆλθον βίον, τῇ ἄγαν νηστείᾳ
καὶ σκληραγωγίᾳ ἑαυτοὺς ἐκδεδωκότες. Διωγμοῦ δὲ πνεύσαντος κατὰ τῶν χριστιανῶν, συνελήφθησαν
παρὰ τοῦ ἄρχοντος Οὔρσου καὶ ἐρωτηθέντες καὶ ἀντιπεσόντες, αὐτίκα ἀποδυθέντες τύπτονται σφοδρῶς
καὶ καλάμους ὀξυνθέντας τοῖς ὄνυξιν ἐμπείρονται· καὶ μετὰ ταῦτα τέμνονται μαχαίρᾳ χεῖρας καὶ πόδας.
Τὸ δὲ τελευταῖον καὶ τὰς κεφαλὰς καρατομοῦνται, καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. Ἦν δὲ τότε
τριακοστὸν ἔτος ἄγων ὁ γενναῖος Γαλακτίων, ἡ δὲ Ἐπιστήμη ἓξ καὶ δέκατον. — Θεοδώρου τοῦ ὁμολο-
γητοῦ ἐπισκόπου Ἀγκύρων (cf. Nov. 4[5]). — Δασίου, Σευήρου, Ἀνδρονᾶ, Θεοδότου καὶ Θεοδότης
(Nov. 4[6]). — 4. 5. 2. — **Fa** : 1. — Δασίου κτλ. — 4. 5. 2. — **B** : 1. 2. — **Ba** : 1. 2. — **T** : 1. — **L** : 1.
4. 5. 3 (... ἐν τοῖς Παρακίου). — **O** : 1. 2. — **C** : 1. — Τοῦ ἁγίου μάρτυρος Δομνίνου τοῦ ἐν
Καισαρείᾳ τῆς Παλαιστίνης. — 4 : Ἀγαθαγγέλου. — 5 : Κάστωρος τοῦ ἐπισκόπου. — 2 :
Δομνίνου καὶ τῶν σὺν αὐτῷ Τιμοθέου, Θεοτίμου, Δωροθέου, Καρτερίου καὶ Σιλβανοῦ.
Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· διδάσκοντες δὲ τὸν λόγον τοῦ Θεοῦ καὶ πολλοὺς
ἐπιστρέφοντες ἐπὶ τὸν Κύριον, διεβλήθησαν τῷ βασιλεῖ Μαξιμίνῳ καὶ κρατηθέντες ἐτιμωρήθησαν
ἰσχυρῶς· εἶτα κατεδικάσθησαν ταλαιπωρεῖσθαι ἐν τοῖς τοῦ χαλκοῦ μετάλλοις καὶ μετὰ χρόνον
πολὺν ἐκβληθέντες καὶ καταναγκασθέντες θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθέντες ἐκρεμάσθησαν καὶ
ἐξέσθησαν ἀνηλεῶς. Ὁρῶν δὲ τὴν καρτερίαν αὐτῶν Πάμφιλός τις ἀνὴρ πανάριστος καὶ λογισάμενος
ὅτι εἰ μὴ εἶχον οὗτοι μεγάλας ἐλπίδας, τοιαύτας τιμωρίας οὐχ ὑπέμενον, ἐπίστευσε τῷ Χριστῷ σὺν
γυναιξὶ παρθένοις τρισί· καὶ οὕτως μετὰ τῶν λοιπῶν ἁγίων διὰ ξίφους ἐτελειώθησαν. — **Cb** : 1. —
Δομνίνου τοῦ ἐν Καισαρείᾳ. — 4. 5 (Κάτωνος). — 2. — **Cc** : 1. — Δομνίνου τοῦ ἐν Καισαρείᾳ. — 4. 5.
2. — **Cd** : 1. — Δομνίνου τοῦ ἐν Καισαρείᾳ. — 4. 5. 2. — **M** : 1. — Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο'
Πατρώβα, Ἑρμῆ, Λίνου, Γαΐου καὶ Φιλολόγου (Nov. 4[4]). — 2. — Θεότιμος, Θεόφιλος καὶ Τιμόθεος
πυγμαῖς βαλλόμενοι τ. — Θεόδωρος ὁ πρεσβύτερος θηρίοις ἐκδοθεὶς τ. — Εὔψυχος καὶ Καρτέριος τὰ
αἰδοῖα ἀποτμηθέντες τ. — Σιλβανὸς εἰς μέταλλα βληθεὶς τ. — Πάμφιλος ξεσθεὶς καὶ φυλακισθεὶς τ. —
Γρηγορίου ἀρχιεπισκόπου Ἀλεξανδρείας [4]. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος ἐκ νεαρᾶς
ἡλικίας τὸν Χριστὸν ἀγαπήσας, κατεκόσμησεν ἑαυτὸν πάσαις ταῖς κατὰ Θεὸν ἀρεταῖς· ὅθεν καὶ [5] μετὰ
τὴν τελευτὴν τοῦ ἁγιωτάτου πάπα Ἀλεξανδρείας ἐκ θείας προνοίας χειροτονεῖται παρά τε [5] τῶν συνε-
ληλυθότων ἐπισκόπων καὶ τοῦ φιλοχρίστου λαοῦ ἀρχιεπίσκοπος Ἀλεξανδρείας καὶ γέγονε διδάσκαλος
τῆς ὀρθοδοξίας ἀκριβής, πρᾷος, ταπεινός, ἐλεήμων, ὀρφανῶν πατήρ, χηρῶν ὑπερασπιστής, ὁδηγὸς
τῶν πεπλανημένων, ἰατρὸς τῶν νοσούντων [6], παράκλησις τῶν θλιβομένων [7]. Καὶ ἦν ἰδεῖν πάντας
χαίροντας καὶ εὐφραινομένους. Ἀλλ' ὁ σκανδαλουργὸς διάβολος ὑποβαλὼν τῷ τότε βασιλεύοντι Λέοντι
τῷ [8] εἰκονομάχῳ, πείθει τὸν ἅγιον ἀπὸ Ἀλεξανδρείας μεταστείλασθαι δέσμιον ἐν Κωνσταντινουπόλει.
Καὶ τούτου γενομένου, παραστὰς ἤλεγξεν αὐτὸν ἐνώπιον πάσης τῆς συγκλήτου, αἱρετικὸν καὶ ἄθεον καὶ
ἀσεβῆ τοῦτον ἀποκαλέσας. Ὁ δὲ μὴ φέρων τὰς ὕβρεις, βουνεύροις κατέξανε τὰς σάρκας αὐτοῦ καὶ
καθεῖρξε λιμαγχονήσας. Ὁ δὲ ἅγιος εὐχαρίστως πάντα ὑποφέρων [9], ἔλεγε πρὸς τοὺς παρόντας· « Ὑπὲρ
» τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ μου ἁγίας εἰκόνος ἑτοίμως ἔχω μεληδὸν κατατμηθῆναι. » Ταῦτα μεμα-

— [3] κορπήσαντες F. — [4] τοῦ ὁμολογητοῦ *add.* Mv. — [5] *om.* Mv. — [6] τῶν νοσούντων ἰατρὸς Mv. — [7] τῶν θλιβομένων παράκλησις Mv. — [8] τῷ τότε Λέοντι ὑποβαλὼν Mv. — [9] φέρων Mv.

ἔνθα τὸ τέλος αὐτῶν ἐπληρώθη καὶ ἡ μαρτυρία.

3. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ ἁγίου [1] Θεοδώρου ἐν τοῖς Σπαρακίου [2].

4. Καὶ μνήμη τοῦ ἁγίου Ἀγαθαγγέλου. Nov. 5.

5. Καὶ [1] ἱερομάρτυρος Κάστορος τοῦ ἐπισκόπου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου | (f. 72v.) Κωνσταντινουπόλεως Παύλου τοῦ ὁμολογητοῦ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἐκ τῆς Θεσσαλονικέων ὥρμητο πόλεως, ὑπογραφεὺς γενόμενος Ἀλεξάνδρου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως. Τοῦτον οἱ ὀρθόδοξοι μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου προχειρίζονται ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, τοῦ Κωνσταντίου [1] ἐν Ἀντιοχείᾳ διάγοντος. Καταλαβὼν δὲ ὁ Κωνστάντιος ἐξ Ἀντιοχείας τὴν Κωνσταντινούπολιν, ἐκβάλλει τοῦτον τοῦ θρόνου. Ὁ δὲ πρὸς τὴν Ῥώμην ἀφίκετο μετὰ Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας, καὶ αὐτοῦ τοῦ ἰδίου θρόνου ἀπελαθέντος· γράμμασι δὲ τοῖς παρὰ Ἰουλίου πάπα Ῥώμης ὀχυρωθέντες, τὰς οἰκείας ἐκκλησίας ἀπολαμβάνουσι καὶ αὖθις παρὰ τοῦ βασιλέως ἐκβάλλονται, σπουδῇ τῶν Ἀρειανῶν συμφρονοῦντος αὐτοῖς. Καταλαμβάνουσι δὲ πάλιν τὴν Ῥώμην καὶ τοὺς ἰδίους αὖθις θρόνους ἀπολαμβάνουσι διὰ γραμμάτων Κώνσταντος τοῦ ἀδελφοῦ Κωνσταντίου καὶ Ἰουλίου πάπα καὶ πάλιν ἐκ τῶν ἰδίων θρόνων ἐλαύνονται. Προσκειμένου [2] δὲ τοῦ Κώνσταντος καὶ πρὸς τὸν ἀδελφὸν γράψαντος τοῦ ἀποστεῖλαι τοὺς κατὰ Ἀθανασίου καὶ Παύλου ἐπισκόπους διελέγξοντας αὐτούς, εἰ δὲ μή, τὴν εἰρήνην λύσειν καὶ ἐλθεῖν ἐν Κωνσταντινουπόλει ἀράμενον ὅπλα, δείσας ὁ Κωνστάντιος ἀποκαθιστᾷ τούτους [3] ταῖς οἰκείαις ἐκκλησίαις. Μετὰ δὲ τὸ ἀναιρεθῆναι τὸν Κώνσταντα ἐν τῇ Ῥώμῃ πάλιν [4] ἐκδιώκονται τῶν ἐκκλησιῶν· καὶ ὑπερορίζεται ὁ ἅγιος Παῦλος ἐν Κουκουσῷ τῆς Ἀρμενίας καὶ καθείργνυται ἔν τινι δωματίῳ, ἐν ᾧ ὁ τοῦ ἔθνους ἡγούμενος τῇ τῶν Ἀρειανῶν συμβουλῇ τοῦτον ἀπέπνιξεν. Τελεῖται δὲ ἡ τούτου σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ. Nov. 6.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς μετὰ φιλανθρωπίας κατενεχθείσης κόνεως ἐπὶ Λέοντος τοῦ μεγάλου, ὀκτωκαιδεκάτῳ ἔτει τῆς αὐτοκρατορίας αὐτοῦ, ἕκτῃ [1] νοεμβρίου μηνός. Περὶ γὰρ τὰς μεσημβρινὰς ὥρας ἅπας ὁ οὐρανὸς συννεφὴς γεγονὼς τὴν συνήθη τῶν ὀμβροφόρων νεφελῶν μελανίαν εἰς πυρώδη θέαν μεταβαλών, ἐδόκει τὰ πάντα | (f. 73.) καταφλέγειν. Εἰς τοσοῦτον γὰρ ἐξέπληξεν ἅπαντας, ὥστε καὶ ἐκ μόνης τῆς ὄψεως δοκεῖν ὡς, εἰ καὶ βροχὴ κατενεχθείη ἐκ τῶν τοιούτων νεφῶν, πάντως πῦρ ἔσται καὶ φλὸξ κατακαίουσα ὡς πάλαι τὰ Σόδομα. Διὰ τὴν ἀναμφίβολον [2] οὖν ταύτην προσδοκίαν πάντων τοῖς ἱεροῖς [3] μετ' οἰμωγῶν καὶ ἱκετείας προσπεφευγότων [4], ὁ φιλάνθρωπος Κύριος ὁ ὑπερβαίνων ἁμαρτίας καὶ συγχωρῶν ἀδικίας [5] καὶ μὴ θέλων [6] ἁμαρτωλῶν θάνατον, κερασάμενος τῇ τιμωρίᾳ τὴν ἀγαθότητα, ἐκέλευσεν ὕειν τοῖς νέφεσιν ὑετὸν ἀσυνήθη καὶ ξένον καὶ φόβον ἐμποιοῦντα τοῖς ἁμαρτήσασιν [7]· ἀπὸ γὰρ τῶν ἑσπερινῶν ὡρῶν ἀρξάμενος παρετάθη μέχρι μεσονυκτίου· τὸ δὲ κατερχόμενον κόνις ἦν μέλαινα καὶ σφοδρότατα ζέουσα παραπλησία τῇ καμιναίᾳ αἰθάλῃ καὶ πλείστη [8], ὡς εὑρεθῆναι ὑπεράνω τῆς γῆς καὶ τῶν κεράμων ἐπιτεθεῖσα ἀνδρείας [9] σπιθαμῆς πλεῖον [10]· κατέκαυσε δὲ καὶ κατέφλεξε τὰ ἐκ τῆς γῆς ἀνιόντα, βοτάνας τε καὶ φυτά· ἐγένετο δὲ δυσέκπλυτος πάνυ, τήν τε τοῦ Θεοῦ ἀγανάκτησιν ὑπεμφαίνουσα καὶ τὴν ἁμαρτίαν εἰκονίζουσα· πολλῶν γὰρ καὶ [11] ῥαγδαίων ὄμβρων ἐπὶ πολλαῖς ἡμέραις κατενηνεγμένων, μόλις ποτὲ ὑπέστη ἐκπλυθῆναι, δηλοῦντος τοῦ πράγματος ὡς, τῆς ἁμαρτίας ἐν

3. — [1] μεγαλομάρτυρος *add.* Sa. — [2] *Cf. ad diem 23 sept., n. 1.*

5. — [1] τοῦ ἁγίου *add.* Sa.

1. — [1] βασιλέως *add.* Sa. — [2] προκειμένου Sa. — [3] τούτοις S. — [4] *om.* Sa.

2. — [1] Sa, πέμπτη S. — [2] ἀναμφίβαλον Sa. — [3] τῶν ἐκκλησιῶν ναοῖς *add.* Sa. — [4] προσφευγόντων Sa. — [5] καὶ συγχωρῶν ἀδικίας *om.* Sa. — [6] τῶν *add.* Sa. — [7] ἁμαρτάνουσιν Sa. — [8] πλείστο Sa. — [9] ἀνδρώας Sa. — [10] πλέον Sa. — [11] *om.* Sa.

Nov. 5. θηκὼς ὁ ἀλιτήριος ἐκεῖνος βασιλεὺς ἐξορισθῆναι τοῦτον [10] προσέταξεν. Ἀπελθὼν δὲ ὁ μακάριος ἐν τῇ ἐξορίᾳ καὶ ἐπὶ χρόνοις τρισὶν ἐκεῖσε διαρκέσας, εἰς χεῖρας Θεοῦ τὴν ψυχὴν παρέθετο. — 4. — **Mv** : 1. — Ἑρμοῦ, Λινοῦ κτλ. — 2. — Τιμόθεος κτλ. — Δωρόθεος θηρίοις ἐκδοθεὶς τ. — Εὔψυχος καὶ Καρτέριος. — Σιλβανός. — Πάμφιλος. — Γρηγορίου. — 4. — **Mr** : 1.

Nov. 6. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 2. add. : ἡ δὲ σύναξις αὐτὴ γίνεται ἐν τῷ ἀποστολείῳ τῶν ἁγίων Πέτρου καὶ Παύλου τῷ ὄντι ἐν τῷ Τρικόγχῳ. — **P** : 1. 2 : Συνέφθασε δὲ καὶ ἡ μνήμη τῆς μετὰ φιλανθρωπίας κατενεχθείσης κονίας. Συναγόμεθα δὲ ἐν τῷ ἀποστολείῳ τῶν ἁγίων Πέτρου καὶ Παύλου τῷ ὄντι ἐν τῷ Τρικόγχῳ. Ἕωθεν μέντοι συντρέχομεν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ οὕτως λιτανεύοντες ἀπερχόμεθα ἐν τῇ εἰρημένῃ συνάξει. — **Da** : 1. 2. 3. 4. — **F** : 1. 2. 3. — In margine ad n. 3 : Τὰ λεγόμενα Φωτάρια. Et manu recenti : Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Διμιτριανοῦ τοῦ θαυματουργοῦ ἐπισκόπου Κυθερίας. — **Fa** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2. — **T** : 1. — **L** : 1. 2 (σύναξις ... ἐν τῷ Τρικόγχῳ). — **O** : 1. 2. 3. — **C** : 1. 2. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — **Cd** : 1. 2 : Ἀνάμνησις τῆς πεσούσης κόνεως ἤτοι στακτῆς. Ἐπὶ Λέοντος τοῦ μεγάλου βασιλέως τοῦ τῆς Βηρίνης [1] ἀνδρὸς τοῦ ἐπιλεγομένου Βέσσου, περὶ τὰ τελευταῖα τῆς αὐτοῦ βασιλείας, περὶ τὰς μεσημβρινὰς ὥρας, ἅπας ὁ οὐρανὸς γέγονε συννεφὴς καὶ τὴν συνήθη τῶν ὀμβροφόρων νεφελῶν μελανίαν εἰς

— [10] τοῦτον ἐξορισθῆναι Mv.

[1] Βηρήνης Cd.

Nov. 6. ἡμῖν καθάπερ πυρίνης καὶ μελαίνης κόνεως ἐπικειμένης καὶ τὰ τῆς ἀρετῆς ἀναστήματα κατεσθιούσης ὡς πῦρ πολλῶν ἡμῖν δεῖ τῶν δακρύων σφοδροῦ τοῦ θρήνου κάτωθεν ἐξ αὐτῆς[12] ἀβύσσου τῆς καρδίας ἐν στεναγμοῖς καὶ πικρίᾳ ψυχῆς ἐπιβρεχομένων, ἵνα τὴν τῆς καμινιαίας φλογώδη αἰθάλην ἐκπλύναντες τὴν καλὴν γῆν τοῦ νοὸς πιανθεῖσαν καρποφορεῖν τὰ θεῖα παρασκευάσωμεν καὶ τὴν ἐν τῇ γεέννῃ τιμωρίαν ἐκφύγωμεν, καταφλέγουσαν τῶν ἐμπιπτόντων σὺν τοῖς σώμασι καὶ τὰς ψυχάς, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ. Ὃς ὥρμητο ἐκ πόλεως Ταυρομενίου τῆς Σικελῶν ἐπαρχίας. Οὗτος ὁ μακάριος, νέαν ἄγων τὴν ἡλικίαν ὡσεὶ χρόνων δεκαοκτώ, νουνεχῶς ἐσχόλαζεν ἐν τοῖς οἴκοις τοῦ Θεοῦ πορευόμενος καὶ τῶν θείων λογίων ἀκροατὴς καὶ ποιητὴς γινόμενος. | f. 73v. Ὡς δὲ οἱ τοῦδε γονεῖς ἐβουλεύοντο τοῦτον γυναικὶ συζεῦξαι, αὐτὸς νύκτωρ ἀναστὰς εἰς ἄβατον τόπον ἀναχωρήσας, μετὰ τῶν θηρίων ᾤκει, ἡμέρας μ′ διατελέσας ἄσιτος· ὅθεν θείας καὶ ἀγγελικῆς ἠξιώθη ἐπισκέψεως. Καὶ μετὰ ταῦτα καταλαμβάνει μονήν τινα καὶ περιβάλλεται τὸ ἀγγελικὸν σχῆμα, σκληροτέρᾳ ἀγωγῇ[1] ἑαυτὸν ὑποβαλλόμενος. Διὰ τριῶν γὰρ ἢ τεσσάρων ἡμερῶν γευόμενος ἄρτου καὶ ὕδατος καὶ μηδ᾽ ὅλως σωματικῶς ἀναπαυόμενος διετέλεσε μῆνας ιη′· ἐκεῖθεν ἀπάρας ἔρχεται μετά τινος μοναχοῦ ἐν τῷ τῆς Αἴτνης ὄρει, ἐκ τῶν εὑρισκομένων ἐκεῖσε[2] βοτανῶν τρεφόμενος καὶ τὰς παννύχους[3] στάσεις τῆς νυκτὸς συνάπτων ταῖς τῆς ἡμέρας καὶ τὰς τῆς ἡμέρας ταῖς[4] τῆς νυκτός· διὰ δὲ τὴν τῆς φύσεως ἀνάγκην ἐκάθευδεν ὀλίγον κατακλινόμενος, μονοχίτων ὑπάρχων καὶ ἀπέδιλος. Ὅρος δὲ ἦν αὐτῷ καὶ κανὼν ἠκριβωμένος μὴ ἐξιέναι τῆς κέλλης, μέχρις ἂν τὸ ὅλον ἐπισυνάψῃ ψαλτήριον· εἶθ᾽ οὕτως τὸν κανόνα τῆς τρίτης ὥρας ἐξετέλει, τὸ δὲ ὑπόλοιπον τῆς ἡμέρας τοῦ ἔργου ἥπτετο, μέχρις ἂν ὁ τῆς ἕκτης καιρὸς ἐπιστῇ, καὶ πάλιν ἀποθέμενος[5] τὸ ἔργον ηὔχετο ἐφ᾽ ἱκανόν· καὶ οὕτως τὸν κανόνα τῆς ἕκτης ἀποτελῶν, τοῦ μικροῦ σιτηρεσίου ἐφρόντιζε καὶ τῆς λοιπῆς[6] ἀκολουθίας· καὶ οὐδέποτε ἦν ἐν ἀργίᾳ διατελῶν, ἀλλὰ ποτὲ μὲν εἰργάζετο, ποτὲ δὲ ἔψαλλε, ποτὲ δὲ προσηύχετο. Ἐν τούτοις ὤν, χάριτος ἠξιώθη θεόθεν μεγίστης σοφίας καὶ γνώσεως καὶ μυστηρίων ἀποκαλύψεως καὶ διαλύσεως λόγων δυσνοήτων· διὸ καί τινες ἔλεγον· « Πόθεν οὗτος » οἶδε γράμματα μὴ μεμαθηκώς; » Τὸ δὲ τῆς ταπεινοφροσύνης αὐτοῦ ἄπλαστον καὶ τὸ τῆς ἀγάπης γνήσιον καὶ τὸ τῆς διακρίσεως μέγεθος καὶ[7] συμπαθὲς τίς λόγος διαγράψειε; Μετὰ ταῦτα τόπον τινὰ δι᾽ ἀποκαλύψεως καταλαμβάνει καὶ δώδεκα μοναχοὺς ἀθροίσας, τούτων ἐπεμελεῖτο. Διὰ ταύτην τὴν αἰτίαν καὶ εἰς τὸ Βυζάντιον ἀφικνεῖται καὶ περιελθὼν τὰ τῶν μοναζόντων οἰκίδια καὶ τοῖς πατράσι κοινωσάμενος, ὑποστρέψας κατῆλθε μέχρι Κορίνθου[8], καὶ ἔν τινι | f. 74. κώμῃ ἐνοικήσας[9] οὐ πλεῖον μῆνας ἑπτά, ἐν εἰρήνῃ ἐκοιμήθη, πολλῶν καὶ ἀπείρων θαυμάτων ἐκεῖσε τελεσθέντων καὶ πηγῆς ἀειρρύτου βλυσάσης μύρου θείου εἶδος[10]. Ἔστι δὲ ὁ ἅπας χρόνος τῆς ζωῆς αὐτοῦ ἔτη τεσσαράκοντα <τέσσαρα[11]>.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ Κορινθίου[1] τοῦ διὰ Χριστὸν σαλοῦ[2] καὶ σημειοφόρου γεγονότος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ′.

Nov. 7. **1.** Ἄθλησις τοῦ ἁγίου[1] Ἱέρωνος τοῦ ἐν Μελιτινῇ καὶ τῶν σὺν αὐτῷ λγ′, οἳ ἤθλησαν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων. Οὗτος ὁ Ἱέρων ἀνδρεῖος ἦν κατὰ τὸ σῶμα καὶ εὐσεβὴς κατὰ τὴν[2] ψυχήν, γεωργὸς τὸ ἐπιτήδευμα. Τοῦτον ἔν τινι τόπῳ κατέλαβον ἐργαζόμενον οἱ τῶν εἰδώλων θεραπευταὶ καὶ βουλόμενοι ἑλεῖν λῃστρικῶς οὐκ ἠδυνήθησαν. Ἑκὼν δὲ παραγενόμενος πρὸς τὸν ἄρχοντα καὶ παρ᾽ αὐτοῦ ἐρωτηθείς, ἐξ αὐτοῦ ἀγκῶνος τὴν δεξιὰν χεῖρα κόπτεται. Οἱ δὲ λοιποὶ

— [12] τῆς *add.* Sa.

3. — [1] διαγωγῇ Sa. — [2] ἐκεῖθεν Sa. — [3] πανύχους S. — [4] *om.* Sa. — [5] ἀποτιθέμενος Sa. — [6] λυπῆς S. — [7] τὸ *add.* Sa. — [8] Κορύνθου S. — [9] οἰκήσας Sa. — [10] εἴδους S, Sa. — [11] Sa, Da, Fa, *om.* S.

4. — [1] Κορυνθίου S. — [2] τοῦ Sa.

1. — [1] μάρτυρος *add.* Sa. — [2] *om.* Sa.

Nov. 6. πυρώδη θέαν μεταβαλών, ἐδόκει πάντα καταφλέγειν· εἰς τοσοῦτο γὰρ ἐξέπληξεν ἅπαντας, ὥστε καὶ ἐκ μόνης τῆς ὄψεως δοκεῖν πάντας, ὡς, εἰ καὶ βροχὴ κατενεχθῇ ἐκ τῶν τοιούτων νεφῶν, πάντως πῦρ ἔσται καὶ φλὸξ κατακαίουσα ὡς πάλαι τὰ Σόδομα. Διὰ τὴν ἀμφιβολίαν γοῦν ταύτην καὶ προσδοκίαν πάντων τῶν ἱερέων μετ᾽ οἰμωγῶν καὶ ἱκεσίας προσφευγόντων, ὁ φιλάνθρωπος Κύριος ὁ ὑπερβαίνων ἁμαρτίας καὶ συγχωρῶν ἀδικίας καὶ μὴ θέλων ἁμαρτωλῶν θάνατον, κερασάμενος τῇ τιμωρίᾳ τὴν ἀγαθότητα, ἐκέλευσεν ὕειν τοῖς νέφεσιν ὑετὸν ἀσυνήθη καὶ ξένον καὶ φόβον ἐμποιοῦντα τοῖς ἁμαρτάνουσιν. Ἀπὸ γὰρ τῶν ἑσπερίων ὡρῶν ἀρξάμενον παρετάθη μέχρι μεσονυκτίου· τὸ δὲ κατερχόμενον κόνις ἦν μέλαινα καὶ σφοδροτάτη ζέουσα παραπλησία τῇ καμινιαίᾳ αἰθάλῃ καὶ πλείστη, ὡς εὑρεθῆναι ὑπεράνω τῆς γῆς καὶ τῶν κεράμων ἐπιτεθεῖσα ἀνδρείας σπιθαμῆς πλεῖον· ἥτις κατέκαυσε πάντα τὰ φυτά· ἐγένετο δὲ καὶ δυσέκπλυτος καὶ πολλῶν ὄμβρων γενομένων οὐκ ἐπλύσθη ὡς τῆς ἁμαρτίας δηλούσης τὸ ἀσυνέκνιπτον καὶ δυσέκπλυτον καὶ ἀντὶ τῶν ὄμβρων δεῖται δακρύων. — In margine, fol. 43, manu multo recentiore: καὶ τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἱερομάρτυρος Λεονάρδου. — **M** : 1. 2. 3. 4. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1.

Nov. 7. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 3. 2. 1 (ἄθλησις με′ μαρτύρων ... τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις). — 4. — **P** : 3. 4: 1. — **Da** : 1. 3. 4. —

ἐπὶ γῆς ῥιφέντες βουνεύροις καταξαίνονται· τῇ δὲ ἕωθεν πάλιν ἐφ᾽ ἱκανὰς ὥρας ῥαβδισθέντες καὶ ἀφανισθέντες τὰ σώματα, ἔξω τῆς πόλεως Μελιτινῆς τὰς κεφαλὰς ἀπετμήθησαν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Ἀθηνοδώρου, ἀδελφοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου[1] Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων[1] Ἀντωνίου καὶ τῶν γεννητόρων αὐτοῦ Μελασίππου καὶ Κασσίνης. Οὗτοι ἤθλησαν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου ἐν Ἀγκύρᾳ τῇ πόλει, τῇ πίστει[2] ὄντες χριστιανοί. Καὶ ὁ μὲν Ἀντώνιος ἐβλήθη εἰς φυλακήν, Μελάσιππος δὲ καὶ Κασσίνη κρεμασθέντες ἐξέσθησαν καὶ πυρὶ κατεφλέχθησαν[3]· εἶτα τέμνεται τοὺς μαστοὺς ἡ Κασσίνη. Ὁ δὲ Μελάσιππος ἀφαιρεῖται τοὺς πόδας ἀπὸ τῶν γονάτων· ὁ δὲ Ἀντώνιος νέος ὤν, ἐπεὶ μὴ κολακείαις ἐπείσθη, τρισκαιδεκάτου γὰρ ἔτους ἐτύγχανεν, ἀναρτηθεὶς ξέεται διὰ τὸ ἐμπτῦσαι εἰς τὸ πρόσωπον[4] Ἰουλιανοῦ καὶ Μελάσιππον μακαρίσαι καὶ Κασσίνην τοὺς αὐτοῦ γεννήτορας[5], ἔτι ἐπὶ τῶν βασανι | f. 74v. στηρίων ξύλων κρεμαμένους καὶ τὰς μακαρίας αὐτῶν ψυχὰς ἀποδόντας Κυρίῳ· καὶ τοὺς ἀστραγάλους διαπερονᾶται καὶ βάρει λίθων τοὺς πόδας ἀλγύνεται[6] καὶ ἐπὶ θρόνου σιδηροῦ πυρωθέντος ἐφιδρύεται καὶ τὴν κεφαλὴν ξυρᾶται καὶ τὴν πόλιν περιάγεται ἔχων λίθον ἐπικρεμάμενον αὐτοῦ τῷ τραχήλῳ· καὶ αὖθις κρεμᾶται καὶ ξέεται καὶ παραπέμπεται Ἀγριππίνῳ δουκὶ καὶ παρ᾽ αὐτοῦ εἰς κλίβανον πυρὸς ἐμβάλλεται καὶ θηρίοις βορὰ προτίθεται· ἐξ ὧν καὶ[7] διατηρηθεὶς ἀβλαβής, σαράκοντα παῖδας ἐπεσπάσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν, οἳ καὶ τὰς κεφαλὰς ἀπετμήθησαν. Ἔπειτα ἐπὶ κραββάτῳ πεπυρωμένῳ[8] ἁπλοῦται καὶ ῥάβδοις ἄνωθεν τύπτεται καὶ τὰς χεῖρας τέμνεται καὶ εἰς κάμινον ἐμβληθεὶς καὶ ἀβλαβὴς[9] φυλαχθεὶς καὶ πολλοὺς τῷ θαύματι πρὸς τὴν πίστιν ἐφελκυσάμενος, ἀπετμήθη τὴν κεφαλήν.

Nov. 7. **4.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Αὔκτου καὶ Ταυρίωνος καὶ Θεσσαλονίκης. Οὗτοι ἤθλησαν ἐν Ἀμφιπόλει τῆς Μακεδονίας· καὶ ἡ μὲν Θεσσαλονίκη πολλὰς βασάνους ὑπομείνασα, τὰ πεπυρωμένα βέλη τοῦ ἐχθροῦ δίκην ἀχύρων[1] ποσὶ συνέτριψε. Αὕτη θυγάτηρ ἦν Κλέωνός τινος ἱερέως τοῦ Διονύσου, ἀνδρὸς περιφανοῦς τὸν βίον καὶ πλούτῳ κομῶντος. Ἀλλὰ ταῦτα τὴν παῖδα οὐκ ἐχαύνωσαν οὐδὲ τῆς τῶν χριστιανῶν πίστεως ἀπέστησαν. Πολλὰ γὰρ αὐτὴν λιπαρήσας ὁ ταύτης πατὴρ Κλέων οὐδὲν ἤνυσε. Διὰ τοῦτο ὠμοῖς δέρμασι τύπτεται ἐπὶ γυμνοῦ[2] καὶ τὰς πλευρὰς καταθλᾶται· καὶ ἀλλοτριωθεῖσα[3] τῶν προσόντων αὐτῇ πάντων, ὑπερόριος γίνεται παρὰ[4] τοῦ ἰδίου πατρός. Αὔκτος δὲ καὶ Ταυρίων οἱ θεοσεβέστατοι πολλὰ κατειπόντες τοῦ βαρβάρου ἐκείνου, διαβάλλονται πρὸς Θορύβιον ὑπατικὸν ὡς χριστιανοὶ καὶ αὐτίκα ἀποδυθέντες τὸν χιτῶνα ῥαβδίζονται σφοδρῶς, ὥστε τὸ ἔδαφος ἅπαν φοινιχθῆναι τῷ αἵματι· εἶτα λίθοις βάλλονται ἐπὶ τοσοῦτον, ὡς νιφάδας χειμερίους νομίζεσθαι μᾶλλον ἤπερ λίθων βολάς· μετὰ ταῦτα ἐν καμίνῳ ἐμβάλλονται σφοδρῶς ἐκκεκαυμένῃ[5]. Ὡς δὲ ἔμειναν ἀβλαβεῖς, τοῦ ὑετοῦ ταύτην ἀποσβέσαντος, τυφλω-

2. — [1] ἀποστόλου *add.* Sa.

3. — [1] μαρτύρων *add.* Sa. — [2] τὴν πίστιν Sa. — [3] κατεφλέγησαν Sa. — [4] τοῦ *add.* Sa. — [5] γονεῖς Sa. — [6] Sa, ἀλγείνεται S. — [7] *om.* Sa. — [8] κραββάτου πεπυρωμένου Sa. — [9] ὑγιὴς Sa.

4. — [1] τοῖς *add.* Sa. — [2] τοῦ σώματος ὑπὸ τεσσάρων *add.* Sa. — [3] ἀλλα τριωθεῖσα Sa. — [4] ὑπὸ Sa. — [5] ἐκκεκαυμένῳ *corr.* Sa.

Nov. 7. **F** : 1 (καὶ τῶν σὺν αὐτῷ ἁγίων λβ′). — Παύλου τοῦ Κορινθίου (Nov. 6[4]). — 3. 4. — **Fa** : 1. — Παύλου τοῦ Κορινθίου. — 3. 4. — **B** : 3. 1. 4. — **Ba** : 3. 1. 4. — **T** : 1. — **L** : 3. 2. 1 : Τῶν ἁγίων τριάκοντα τριῶν μαρτύρων τῶν ἐν Μελετινῇ μαρτυρησάντων Νίκανδρον[1], Ἡσύχιον, Ἀθανάσιον, Μάμαντα, Βαράχιον, Καλλίνικον, Θεογένην, Νίκωνα, Λογγῖνον, Θεόδωρον, Οὐαλέριον, Ξανθεῖαν, Θεόδωτον, Καλλίμαχον καὶ Εὐγένιον, Θεόδουλον καὶ Ὀστρύχιον, Ἱέρωνα, Ἐπιφάνιον, Μαξιμιανὸν καὶ Δουκίτιον, Κλαυδιανὸν καὶ Θεόφιλον, Γιγάντιον καὶ Δωρόθεον καὶ Διόδοτον, Καστρίκιον καὶ Ἀνίκητον, Θεμελίω καὶ Εὐτύχιον. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου τῷ ὄντι ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις. — **O** : 1. 3. 4. — **C** : 3. 1. 4. — **Cb** : 3. 1. 2. 4. — **Cc** : 3. 1. 4. — **Cd** : 3. 1 : Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ λγ′ μαρτύρων τῶν ἐν Μελιτινῇ[2] μαρτυρησάντων. Οὗτοι οἱ ἅγιοι μάρτυρες Ἱέρων, Νίκανδρος, Ἡσύχιος, Βάραχος, Μαξιμιανός, Καλλίνικος, Ξαντικός, Ἀθανάσιος, Θεόδωρος, Δουκίτιος, Εὐγένιος, Θεόφιλος, Οὐαλέριος, Θεόδοτος[3], Καλλίμαχος, Ἱλάριος, Γιγάντιος, Λογγῖνος, Θεμέλιος, Εὐτύχιος, Διόδοτος, Καστρίκιος, Θεαγένης, Μάμας, Νίκων, Θεόδουλος, Βοστρύκιος, Οὐίκτωρ[4], Δωρόθεος, Κλαυδιανός, Ἐπιφάνιος, Ἀνίκητος καὶ ἕτερος Ἱέρων. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν παρανόμων καὶ ἀσεβεστάτων βασιλέων ἐν Μελιτινῇ[2] πόλει τῆς Ἀρμενίας. Διωγμοῦ δὲ καθολικοῦ γενομένου κατὰ τῶν χριστιανῶν καὶ πανταχοῦ ἀναιρουμένων τῶν εἰς τὸν Χριστὸν πιστευόντων, ἐκρατήθησαν καὶ αὐτοὶ παρὰ τοῦ τῆς Μελιτινῆς ἡγεμονεύοντος, καὶ πολλὰ τιμωρηθέντες καὶ διαφόροις βασάνοις προσομιλήσαντες οὐ μόνον οὐκ ἐπείσθησαν ἀρνήσασθαι τὸν Χριστὸν ἀλλὰ καὶ τὴν πλάνην τῶν εἰδώλων ἤλεγξαν ἀνδρειότατα· καὶ τὸν ἡγεμόνα καθύβρισαν ὡς ἄθεον καὶ ἀσεβῆ παράνομόν τε καὶ ἄδικον· ὅθεν κινηθεὶς ὁ ἡγεμὼν εἰς θυμόν, ξίφει τὰς τιμίας αὐτῶν ἀπέτεμε κεφαλάς. — 4. — **M** : 1. 3. — Ἀντώνιος μετὰ πολλὰς τιμωρίας ξ. τ. — 4. 2. — Τοῦ ἁγίου

[1] *lege* Νικάνδρου, Ἡσυχίου κτλ. — [2] Μελετινῇ Cd. — [3] Θεοδώτος Cd. — [4] Οὐήκτωρ Cd.

Nov. 7. f. 75. θεὶς ὁ τύραννος τὰς φρένας | τοξεύεσθαι αὐτοὺς ἐκέλευσε συχνότερον· καὶ ὡς διέμειναν[6] ἄτρωτοι, ἐν τῇ παρακειμένῃ ἐκεῖσε λίμνῃ ἐναπορρίπτονται, ἀλλὰ[7] πάλιν θείᾳ ῥοπῇ ἐπὶ τὴν ξηρὰν ἀνεσώθησαν. Ὁ δὲ τύραννος ἀπορίᾳ κατασχεθεὶς ξίφει τὰς κεφαλὰς αὐτῶν ἀπέτεμεν[8].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η΄.

Nov. 8. **1.** Ἡ σύναξις τῶν ἀσωμάτων. Βουληθεὶς ὁ πανάγαθος καὶ φιλάνθρωπος Θεὸς τοῦτον τὸν κόσμον δημιουργῆσαι, πρῶτον ἐνενόησε τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους καὶ τὸ ἐννόημα γέγονεν ἔργον. Ἐνέταξε δὲ ἑκάστῃ τάξει ταξιάρχην καὶ ἀρχιστράτηγον· εἷς δὲ τῶν ταξιαρχῶν Σαμαὴλ[1] καλούμενος, ὁ καὶ διάβολος, ὑπερηφανευσάμενος καὶ ἑαυτὸν νομίσας θεόν, ἐξέπεσε τῆς ἀξίας αὐτοῦ καὶ ἐρρίφη ἐκ τῶν οὐρανῶν μετὰ τοῦ ὑπ' αὐτὸν[2] τάγματος. Ὑπάρχων δὲ ἑτέρας ἀγγελικῆς τάξεως ἀρχιστράτηγος ὁ ἀρχάγγελος Μιχαὴλ καὶ ἰδὼν τὸν ἀποστάτην πεσόντα, συνήγαγε τοὺς τῶν ἀγγέλων χοροὺς καὶ εἰπών· « Πρόσσχωμεν, » ὕμνησε μετὰ φωνῆς τὸν[3] τῶν ὅλων Θεὸν ὡσανεὶ λέγων ὅτι· « Πρόσσχωμεν ἡμεῖς οἱ κτιστοὶ γεγονότες καὶ τῷ » Θεῷ παριστάμενοι· τί πεπόνθασιν οἱ μεθ' ἡμῶν » μέχρι τοῦ νῦν φῶς ὑπάρχοντες καὶ νῦν γενόμε» νοι σκότος; » Ἡ τοιαύτη οὖν συγκρότησις ὠνομάσθη σύναξις τῶν ἀσωμάτων, τοῦτ' ἔστιν προσοχὴ καὶ ὁμόνοια καὶ ἕνωσις. Ἡ[4] σύναξις αὐτῶν τελεῖται ἐν τοῖς Ἄδδα καὶ ἐν τῇ Ὀξείᾳ καὶ ἐν τῷ Σινάτορος, πλησίον Ἀρκαδιανῶν καὶ ἔνδον τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ, τοῦ πλησίον τοῦ Φόρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια[1] τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου ἐν τοῖς Βεάτου[2] πλησίον τῶν Ἀνθεμίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ΄.

Nov. 9. **1.** Μνήμη τῆς ὁσίας <μητρὸς[1]> ἡμῶν Ματρώνης. Αὕτη ἦν ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ Βηρίνης[2] τῆς αὐτοῦ γαμετῆς· ὑπῆρχε δὲ ἐκ Πέργης τῆς Παμφυλίας. Συναφθεῖσα δὲ ἀνδρὶ ὀνόματι Δομετίῳ καὶ μήτηρ μιᾶς παιδὸς γενομένη, ἀνέρχεται ἐν Κωνσταντινουπόλει μετὰ τοῦ οἰκείου ἀνδρὸς δεκαπέντε οὖσα ἐτῶν· καὶ γενομένη συνήθης παρθένῳ τινὶ ὀνόματι Εὐγενίᾳ καὶ τὴν | αὐτῆς ζηλώ- f. 75v.

— [6] διέμενον Sa. — [7] καὶ *add.* Sa. — [8] ἀπέτεμον Sa.
1. — [1] Σαταναὴλ Sa. — [2] Sa, αὐτοῦ S. — [3] τοῦ S. — [4] δὲ *add.* Sa.
2. — [1] τοῦ ναοῦ *add.* Sa. — [2] Sa, Βεατίου S.
1. — [1] *supra lin. corr.* Sa, *om.* S. — [2] |||:ηρίνης Sa.

Nov. 7. Γρηγορίου ἀδελφοῦ τοῦ θαυματουργοῦ (cf. 2). — Ἀλεξάνδρου τοῦ Θεσσαλονικέως διὰ ξ. τ. — **Mv** : 1 (τῶν ἁγίων τριάκοντα τριῶν μαρτύρων τῶν ἐν Μελιτινῇ, Ἱέρακος κτλ.). — 3. — Ἀντώνιος. — 4. 2. — Ἀλέξανδρος. — **Mr** : 1. — Λαζάρου τοῦ ἐν τῷ Γαλησίῳ ὄρει (Nov. 17²).

Nov. 8. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Μνήμη τοῦ ἁγίου μάρτυρος Δομετίου. — 2. — **H** : 1 (ἑορτὴ ... καὶ ἐν τῇ νέᾳ βασιλικῇ ἐκκλησίᾳ). — 2. — Ματρώνης (Nov. 9¹). — **P** : 1. — Τῶν ὁσίων Ματρώνης καὶ Μαρώνης ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ Βερήκας ἐκ Πέργης τῆς Παμφύλων ἐπαρχίας (cf. Nov. 9¹). — **Da** : 1 (= Fa). — **F** : 1. — Ματρώνης. — **Fa** : 1 : Μιχαὴλ ὁ διαπρεπέστατος ταξίαρχος τῶν ἀσωμάτων δυνάμεων ἔν τε τῇ παλαιᾷ διαθήκῃ ἔν τε τῇ νέᾳ χάριτι πολλὰς αὐτοῦ τὰς εὐεργεσίας τῷ ἀνθρωπίνῳ γένει παρέδειξέ τε καὶ παραδείκνυσι. Ἐπεὶ γὰρ ὁ τῆς ἡμῶν σωτηρίας ἀντίπαλος τραχηλιάσας κατὰ τοῦ κτίσαντος καί· « Τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν » νεανιευσάμενος εἰπεῖν « θήσομαι » καὶ « τῷ » ὑψίστῳ ὅμοιος ἔσομαι » καυχησάμενος, τοῦ ἀρχαγγελικοῦ, ὥς φησιν ὁ Κύριος, ἐξέπεσεν ἀξιώματος (ἐθεώρουν γάρ, φησίν, τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα[1]), τὰ παραπλήσια δὲ τούτῳ καὶ τὸ ὑπ' αὐτὸν τάγμα ἀλαζονευσάμενον πέπονθεν, οὗτος ὁ παναοίδιμος τὴν πρὸς τὸν Δεσπότην εὐγνωμοσύνην ὡς πιστότατος οἰκέτης διαφυλάξας καὶ περὶ τὸ γένος ἡμῶν πολλὴν τὴν κηδεμονίαν ἐπιδεικνύμενος, τῶν ἀρχαγγελικῶν καὶ νοερῶν τάξεων πρωτεύειν ἐτάχθη παρὰ τοῦ Παντοκράτορος· ὅθεν καὶ τὰς σωτηριώδεις <αὐτοῦ[2]> εὐεργεσίας πρὸς ἅπαντας πλεονάζων καὶ ἐξαπλῶν πολλοῖς ὀπτανόμενος καταφαίνεται. Ὤφθη γὰρ τῷ Ἀβραὰμ καὶ τῷ Λὼτ κατὰ τὴν καταστροφὴν τῶν Σοδόμων· ἐφάνη τῷ Ἰακὼβ τὸν ἀδελφὸν[3] φεύγοντι· προεπορεύετο τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ τῆς Αἰγυπτίων ἐλευθερουμένων κακώσεως· ἐφάνη τῷ Βαρλαὰμ τὸν Ἰσραὴλ ἀπιόντι καταράσασθαι· πρὸς δὲ τὸν Ἰησοῦν τὸν[4] Ναυῆ[5] ἔφη πυθόμενον[6]· « Ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα ». Καὶ πολλὰ ἕτερά ἐστιν ἐν τῇ θεοπνεύστῳ γραφῇ ἱστορούμενα[7] περὶ αὐτοῦ. Διὰ τοῦτο καὶ ἡμεῖς προστάτην αὐτὸν καὶ φύλακα τῆς ζωῆς ἡμῶν προβαλλόμενοι τὴν πάνσεπτον αὐτοῦ πανήγυριν τανῦν ἑορτάζομεν, ἐξαιτούμενοι ταῖς πρεσβείαις αὐτοῦ καὶ ἐν τῷ νῦν αἰῶνι τῶν δυσχερῶν εὑρεῖν ἀπολύτρωσιν καὶ ἐν τῷ μέλλοντι τῆς ἐπουρανίου χάριτος καταξιωθῆναι. — Ματρώνης. — **B** : 1. — Ματρώνης. — **Ba** : 1. — Ματρώνης. — **T** : 1. — **L** : 1 (des. : σύναξις ... ἐν τῇ νέᾳ βασιλικῇ ἐκκλησίᾳ). — **O** : 1. — **C** : 1. — **Cb** : 1. — Ματρώνης. — **Cc** : 1. — Ματρώνης. — **Cd** : 1. — Ματρώνης. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

Nov. 9. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῇ μονῇ αὐτῆς τῇ οὔσῃ πλησίον τῆς μονῆς τοῦ Μανουήλ. — 2. 3. 4. 5. 6. 7. 8. 9. 10. add. : Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῇ μονῇ αὐτῆς τῇ οὔσῃ πλησίον τῆς μονῆς τοῦ Παναγίου. — 11. 12. — **H** : 6. 7. 10. 8. 2. 4. 11. — **P** : 11. 10. 8. 2. et 7 : Ὀνησιφόρου καὶ Πορφυρίου, Χριστοφόρου, Μαύρας καὶ Τιμοθέου· καὶ τὰ ἐγκαίνια τῶν Προτασίου καὶ ἁγίων μαρτύρων Ἀρτέμωνος καὶ Ναρσῆ. — **Da** : 1. 9. 10. 11. — Ὀρέστου (Nov. 10²

[1] πεσῶται Fa. — [2] *om.* Fa. — [3] τῷ ἀδελφῷ Fa. — [4] τοῦ Fa. — [5] Ναῒ Fa. — [6] πυθόμενος Fa. — [7] ὑστερούμενα Fa.

σασα πολιτείαν, οὐκ ἀφίστατο τῶν ἐκκλησιῶν τοῦ Θεοῦ. Ἔχουσα δὲ τὸν[3] πρὸς Θεὸν αὐτῆς ἔρωτα[4] θερμότερον, παραδίδωσι τὴν θυγατέρα αὐτῆς γνωρίμῳ τινὶ γυναικὶ ὀνόματι Σωσάννῃ· καὶ ἀκούσασα· « Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνη-
Matth. 16, 24. » σάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ » καὶ ἀκολουθείτω μοι· » ἐνεδύσατο στολὴν ἀνδρικὴν καὶ ἀπῆλθεν εἰς τὸ τοῦ ὁσίου Βασιανοῦ μοναστήριον ὡς ἐν σχήματι εὐνούχου καὶ συνέβαλλε[5] τοῖς μοναχοῖς. Ὁ δὲ[6] Βασιανὸς γνοὺς τῷ πνεύματι γυναῖκα αὐτὴν εἶναι καὶ παρὰ τοῦ ἀνδρὸς ἐπιζητουμένην, πέμπει αὐτὴν εἰς Ἱεροσόλυμα, εἶτα εἰς Βηρυτόν· καὶ αὖθις ἐλθοῦσαν[7] εἰς Κωνσταντινούπολιν παραδέχεται καὶ προτρέπει μένειν ἐν ἰδιαζούσῃ μονῇ, ἥτις κατ' ἐπώνυμον αὐτῆς μέχρι τοῦ νῦν λέγεται· βιώσασα δὲ περὶ τὰ ἑκατὸν ἔτη σχεδόν, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησε[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου, Χριστοφόρου καὶ Μαύρας, Τιμοθέου καὶ Ἀρτέμονος καὶ Ναρσῆ.

3. Καὶ τοῦ ὁσίου Θεοστηρίκτου μοναχοῦ τοῦ ἐν Συμβόλοις.

4. Καὶ μνήμη τοῦ μεγάλου Θεοδοσίου τοῦ βασιλέως ἐν τοῖς Ἁγίοις Ἀποστόλοις.

5. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νόννου, ὃς κατήχησε τὴν ὁσίαν Πελαγίαν.

6. Καὶ ἀνάμνησις τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ Παραδεισίῳ πλησίον τοῦ ἁγίου μάρτυρος Μωκίου.

Nov. 9. **7.** Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τῶν Προτασίου.

8. Καὶ μνήμη τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου.

9. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας. Ἥτις ἦν[1] πόλεως Μιθύμνης[2], τὸν βίον μοναχή. Ἐκ γὰρ νηπίας τῆς[3] ἡλικίας δεδομένη ἦν εἰς παρθενῶνα[4]· εἰς δὲ[3] τὴν πλησίον ἐλθοῦσα κώμην ἀσπασομένη[5] τὴν ἰδίαν ἀδελφήν, ἐν τῇ νυκτὶ[6] ἐπιδραμόντες Κρῆτες, ὧν ἡγεῖτο ὁ Νίσιρις[7], ἐκεῖ[8] πάντας ἐκείνους κἀκείνην συνέλαβον· καὶ προσορμήσαντες ἕωθεν τῇ νήσῳ ταύτῃ καὶ προσαγαγόντες τοὺς αἰχμαλώτους, τὰ τιμήματα διετίθεντο. Ἡ δὲ Θεοκτίστη λαθοῦσα λάθρα πρὸς τὴν | ὕλην χωρήσασα ἀνεύρετος ἦν. Ἔκτοτε οὖν ἐκεῖσε μείνασα καὶ λιμῷ καὶ κρύει καὶ καύσωνι πολλῷ προσπαλαίσασα, θερμίοις καὶ λαχάνοις ἀγρίοις τρεφομένη καὶ ὑπ' οὐδενὸς[9] βλεπομένη διήρκεσεν ἐπὶ τριάκοντα πέντε[10] ἔτη, Θεῷ μόνῳ καὶ τῇ πανάγνῳ Θεοτόκῳ προσανέχουσα. Ἐν τούτῳ δὲ τῷ καιρῷ κυνηγός τις θηρεύσας θήραν καὶ ἐν τῷ τῆς Θεοτόκου ναῷ εἰσελθὼν περιτυγχάνει τὴν ἁγίαν[11]· ἥτις τὸν ἐπιδοθέντα αὐτῇ παρὰ τοῦ κυνηγοῦ χιτῶνα ἐπενδυθεῖσα καὶ εἰς ὄψιν αὐτῷ καὶ ὁμιλίαν γενομένη ἅπαντά τε τὰ ἀνωτέρω ῥηθέντα εἰποῦσα καὶ τοῦ θείου σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μερίδα κομίσαι αὐτῇ ἀξιώσασα, ἀπηλλάττοντο ἀλλήλων ἑκάτεροι. Ὡς δὲ πάλιν ὁ ἀνὴρ ἐπανῆκε φέρων τὰ θεῖα μυστήρια καὶ αὕτη ἐπευξαμένη μετέλαβεν, εὐχαριστίαν τῷ f. 76.

— [3] τὸ Sa. — [4] ἔρωτι Sa. — [5] συνέψαλλε Sa. — [6] ὅσιος *add.* Sa. — [7] Sa, ἐλθοῦσα S. — [8] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
9. — [1] ἐκ *add.* Sa. — [2] Μηθύμνης Sa. — [3] *om.* Sa. — [4] ιη' δὲ γενομένη ἔτος ἐξέδραμεν *add.* Sa. — [5] ἀσπασαμένη S. — [6] αὐτῇ δὲ νυκτὶ Sa. — [7] Νίσηρος S, Νήσιρις Sa, Νίσιρις *Vita S. Theoctistae, ap.* THEOPHILUM IOANNU, Μνημεῖα ἁγιολογικά, *pp. 7, 11 et deinceps.* — [8] Sa, ἐκεῖνος S. — [9] ὑπὸ μηδένος Sa. — [10] λ' καὶ γ' Sa, πέντε καὶ τριάκοντα *Vita, l. c., p. 12.* — [11] τῇ ἁγίᾳ Sa.

Nov. 9. = F). — **Db** : mutil. 9. 10. 11. — **F** : 2 (Ὀνησιφόρου καὶ Πορφυρίου). — 10. 2 (Χριστοφόρου καὶ Τιμοθέου καὶ Μαύρας καὶ Ἀρτέμωνος καὶ Ναρσεῖ). — 3 (Θεοστερίκτου πρεσβυτέρου καὶ μοναχοῦ ἐν Συμβόλοις τοῦ Ὀλύμπου). — 11. 9. — **Fa** : 2 (Ὀνησιφόρου καὶ Μαρτυρίου καὶ Πορφυρίου). — 10. 2 (Χριστοφόρου καὶ Τιμοθέου καὶ Μαύρας καὶ Ἀρτέμονος καὶ Ναρσῆ). — 3. 11. 9. — **B** : 11. 12. — Ὀρέστου. — **Ba** : 11. 12. — Ὀρέστου. — 9 : Θεοκτίστης τῆς Λεσβίας. Ταύτης ὑπῆρχεν ἡ πατρὶς Λέσβος, πόλις Μίθυμνα, ἔχουσα τὸ πολίτευμα μοναδικόν. Αὕτη ἐπὶ νηπίᾳ τῇ ἡλικίᾳ παρὰ τῶν συγγενῶν ἐδόθη εἰς παρθενῶνα· περιεβάλετο οὖν τὸ μοναχικὸν σχῆμα. Δεκαοκτὼ δὲ γενομένη ἐτῶν εἰς τὴν πλησιάζουσαν ἐξέδραμε κώμην, ἀσπασομένη τὴν ἰδίαν ἀδελφήν· Κρῆτες ἐπιδραμόντες τῇ νυκτί, ὧν ἡγεῖτο ὁ Νήσιρις ἐκεῖνος, πάντας ἐκείνους κἀκείνην συνέλαβον[1]· ἕωθεν οὖν προσορμήσαντες[2] τῇ νήσῳ ταύτῃ καὶ προσαγαγόντες τοὺς αἰχμαλώτους τὰ τιμήματα διετίθεντο. Ἡ δὲ Θεοκτίστη λάθρα πρὸς τὴν ὕλην χωρήσασα ἀνεύρετος ἦν· αὕτη οὖν ἔκτοτε ἐκεῖσε μείνασα καὶ λιμῷ καὶ παγετῷ καὶ καύσωνι προσπαλαίσασα, θερμίοις καὶ λαχάνοις ἀγρίοις τρεφομένη καὶ ὑπὸ μηδενὸς ὁρωμένη διήρκεσεν ἐπὶ ἔτη λε΄ Θεῷ μόνῳ προσομιλοῦσα καὶ τῇ πανάγνῳ Θεοτόκῳ. Τοῦ δὲ λε΄ χρόνου τελεσθέντος, κατά τινα οἰκονομίαν κυνηγός τις θηρεύσας[3] θήραν εἶτα χωρίσας ἑαυτὸν τῶν ἑταίρων[4] αὐτοῦ καὶ ἀνιχνεύων εἰσῆλθεν ἔν τινι τῆς Θεοτόκου ναῷ ἱστορίας χάριν (ἔρημος γὰρ ἦν ὁ τόπος) καὶ εὐξάμενος καὶ μικρὸν ἀνανεύσας εἶδε κατὰ τὸ δεξιὸν τῆς ἁγίας τραπέζης μέρος ὥσπερ κρόκην ὑπ'[5] ἀνέμου ῥιπιζομένην ἢ ὡς ἱστὸν ἀράχνης· ὡς δὲ προβὰς διαγνῶναι τὸ γινόμενον ἠβουλήθη, ἤκουσε φωνῆς λεγούσης· « Στῆθι, ἄνθρωπε, καὶ μὴ πλησιάσῃς· αἰσχύνομαι γὰρ γυνὴ οὖσα θεαθῆναί σοι. » Αὐτὸς δὲ καταπλαγεὶς καὶ τρόμῳ ληφθεὶς ἐβούλετο φυγεῖν· ἀνωρθοῦντο γὰρ αὐτοῦ τῆς κεφαλῆς αἱ τρίχες· μόλις δὲ εἰς ἑαυτὸν γενόμενος, ἠρώτα, τίς καὶ πόθεν εἴη. Ἡ δέ· « Ῥῖψον, ἔφη, τὸ χιτώνιον, δέομαί σου· καὶ » καλυψαμένη λέγειν οὐκ ὀκνήσω. » Ὁ δὲ ποιήσας, ἡ δὲ τοῦτο περιεβάλετο, τῷ σταυρῷ τειχίσασα ἐφάνη τῷ κυνηγέτῃ, τὸ μὲν εἶδος γυνὴ τὸ δὲ φαινόμενον ὑπὲρ ἄνθρωπον, ἡ θρὶξ λευκή, πρόσωπον μέλαν, δέρματι μόνῳ συνέχουσα τὴν τῶν ὀστῶν ἁρμονίαν, τὸ δὲ ὅλον ἦν σκιά. Αὕτη ἐξειποῦσα τὰ ἀνωτέρω λεχθέντα, προσέθηκε καὶ ταῦτα, ἐξειποῦσα τῷ κυνηγέτῃ καὶ ἀξιοῦσα κομίσαι μερίδα τοῦ

[1] συνέλαβεν Ba. — [2] προσορμήσαντι Ba. — [3] ὑπερεύσας Ba. — [4] ἑτέρων Ba. — [5] ὑπὲρ Ba.

Nov. 9. Θεῷ ἀναπέμψασα, αὐτὸς ἀπελθὼν καὶ θηρεύσας καὶ ταχὺ πάλιν πρὸς τὸ ποθούμενον ἐπανελθών, εὗρεν αὐτὴν κειμένην νεκράν. Καὶ ὡς ἦν αὐτῷ δυνατὸν ὀρύξας τὴν γῆν καὶ πολλὰ δεηθεὶς κατέθηκε τὴν μακαρίαν ἐκείνην καὶ ἀξιέπαινον γυναῖκα.

10. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Εὐστολίας. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαυρικίου, γονέων εὐσεβῶν καὶ τὴν Ῥώμην οἰκούντων, ἐφ᾽ ἁπαλῇ [1] δὲ τῇ ἡλικίᾳ σεμνείῳ γυναικῶν ἑαυτὴν ἐκδοῦσα, νηστείαις καὶ ἀγρυπνίαις ἐσχόλαζε. Θείῳ δὲ πυρπολουμένη ἔρωτι καταλιποῦσα τὴν Ῥώμην, τὴν Κωνσταντινούπολιν καταλαμβάνει· καὶ περιελθοῦσα τοὺς σεβασμίους οἴκους καὶ τὸν πόθον ἀφοσιωσαμένη, Σωπάτραν τὴν τοῦ Μαυρικίου θυγατέρα πρὸς τὸν ἐν Βλαχέρναις τῆς Θεοτόκου ναὸν ἀπιοῦσαν ὁρᾷ· καὶ ἐπεὶ ἀρετὴ κρυβῆναι οὐ δύναται, ἱκέτευεν ἡ Σωπάτρα τὴν μακαρίαν Εὐστολίαν ἔχειν αὐτὴν μητέρα πνευματικὴν καὶ σώματος καὶ ψυχῆς φύλακα· καὶ δὴ καταλιποῦσα τὴν βασιλείαν, τὸν μονήρη βίον ὑπέδυ καὶ πρὸς ἀγῶνας καὶ πόνους ἐχώρησεν. Αἰτησαμένη δὲ τὸν πατέρα καὶ βασιλέα τόπον τινὰ ἐπιτήδειον καὶ δειμαμένη οἶκον εὐκτήριον καὶ οἰκήματα,
f 76ʳ. κατασκηνοῖ ἐκεῖσε ἅμα τῇ ἀοιδίμῳ Εὐστολίᾳ· | πολλαὶ δὲ πρὸς αὐτὰς φοιτῶσαι παρθένοι εὐσεβεῖς σὺν αὐταῖς τὸν σκληρὸν καὶ ἐπίπονον βίον μετήρχοντο. Ἡ δὲ μακαρία Εὐστολία πλείστοις ἔτεσιν ἀγωνισαμένη καὶ πολλοῖς αἰτία σωτηρίας γενομένη, μετ᾽ εἰρήνης πρὸς Κύριον ἐξεδήμησε, διάδοχον καταλιποῦσα τὴν μακαρίαν Σωπάτραν τὴν βασίλισσαν· ἥτις τὰ ὅμοια τῇ πνευματικῇ μητρὶ ἐπαγωνισαμένη καὶ εἰς ἄκραν ἀρετὴν [2] φθάσασα πρὸς Κύριον ἐξεδήμησεν [3].

11. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου τοῦ ἐν Θεσσαλονίκῃ. Οὗτος ὁ ἅγιος ἦν ἐπὶ Μαξιμιανοῦ [1] βασιλέως ἐκ τῆς Θεσσαλονικέων ὁρμώμενος. Παραστὰς οὖν τῷ αὐτοῦ βήματι, τῷ τοῦ Χριστοῦ πόθῳ πυρωθεὶς ἐφήλατο [2] καὶ λὰξ τὴν τράπεζαν πατάξας, ἔνθα αἱ σπονδαὶ τῶν εἰδώλων ἔκειντο, ταύτας ἀνέτρεψε καὶ ἐξέχεεν. Ὅθεν ὁ βασιλεὺς ἐπὶ τούτῳ ἐκκαυθεὶς τῇ ὀργῇ, τὴν διὰ ξίφους αὐτὸν προστάττει ὑπομεῖναι τελευτήν· καὶ οὕτως ἀποτμηθείς, τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Θεῷ ἐπαφίησι.

12. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντωνίνου. Οὗτος ἦν ἐκ τῆς δευτέρας τῶν Σύρων ἐπαρχίας, λιθοτόμος τὴν τέχνην, ἐκ κώμης Ἀριβαζοῦ. Παραγενόμενος δὲ εἰς τόπον τὸν οὕτω λεγόμενον Καπρουάγνιδον, καὶ ἐν αὐτῷ τοὺς εἰδωλολάτρας καταλαβὼν ἑορτὴν τοῖς εἰδώλοις τελοῦντας, τὰ ἐν τῷ ναῷ συνέτριψεν εἴδωλα. Εἶτα κρατηθεὶς καὶ τυφθεὶς ἰσχυρῶς, ἀπῆλθεν εἰς Ἀπάμειαν [1] τῆς Συρίας· καὶ δεηθεὶς τοῦ ὁσιωτάτου ἐπισκόπου λαβεῖν ἐξουσίαν τοῦ κτίσαι ναὸν ἐπ᾽ ὀνόματι τῆς ἁγίας Τριάδος, ἤρξατο κτίζειν· ὃ μαθόντες οἱ ἐκ τῆς αὐτῆς αὐτῷ χώρας ὄντες νυκτὸς ἐπιθέντες [2] ξίφεσι μεληδὸν αὐτὸν κατέκοψαν· καὶ οὕτως τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

10. — [1] *corr., prius* ἁπλῇ Sa. — [2] ἄκρον ἀρετῆς Sa. — [3] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
11. — [1] τοῦ *add.* Sa. — [2] ἐφήλλατο Sa.
12. — [1] Ἀπάμιαν S. — [2] ἐπιθέμενοι αὐτῷ τοῖς Sa.

Nov. 9. τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ. Ὡς δὲ πάλιν ὁ ἀνὴρ ἐπανῆκε φέρων τὰ θεῖα μυστήρια, αὕτη ἐπευξαμένη μετέλαβεν, εὐχαριστίαν τῷ Θεῷ ἀναπέμψασα. Αὐτὸς δὲ ἀπελθὼν καὶ θηρεύσας καὶ ταχὺ πάλιν πρὸς τὸ ποθούμενον ἀνελθών, εὗρεν αὐτὴν κειμένην νεκράν. Καὶ ὡς ἦν δυνατὸν ὀρύξας τὴν γῆν καὶ πολλὰ δεηθεὶς κατέθηκε τὴν μακαρίαν ἐκείνην καὶ ἀξιέπαινον γυναῖκα. — 10: Εὐστολίας. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαυρικίου, γέννημα καὶ θρέμμα τῆς Ῥωμαίων πόλεως τυγχάνουσα καὶ γονέων εὐσεβῶν καὶ πιστῶν καὶ ἐν αὐταρκίᾳ βιούντων. Ἥτις ἐξ ἁπαλῶν ὀνύχων νηστείαις καὶ εὐχαῖς σχολάζουσα καὶ ἑαυτὴν τῷ Θεῷ προσέχουσα, πάντα καταλιποῦσα ἑνὶ [6] σεμνείῳ ἐξέδωκε γυναικῶν παρθενίᾳ διαλαμπουσῶν καὶ συναρίθμιος αὐταῖς γενομένη ἐπὶ πλεῖον ἐπηύξησε τοὺς θείους καρπούς· αὕτη θείῳ ἔρωτι πυρπολουμένη καὶ μὴ στέγουσα, καταλιποῦσα τὴν Ῥωμαίων, τὴν Κωνσταντινούπολιν καταλαμβάνει. Καὶ περιερχομένη τοὺς θείους καὶ σεβασμίους οἴκους καὶ μάλιστα τὸν ἐν Βλαχέρναις, ὃν κατησπάζετο πόθῳ πολλῷ, μιᾷ τῶν ἡμερῶν τὴν πρὸς τοῦτον τὸν θεῖον νεὼν ἐξανύουσα ὁδὸν παρασκευῆς ὀψὲ ἐν συντυχίᾳ γίνεται νεάνιδός τινος τοὔνομα Σωπάτρας, ἥτις ἦν θυγάτηρ Μαυρικίου τοῦ βασιλέως. Αὕτη περιπλακεῖσα τῇ Εὐστολίᾳ καὶ κατασπαζομένη, ἱκέτευεν ἔχειν αὐτὴν μητέρα πνευματικὴν καὶ σώματος καὶ ψυχῆς φύλακα. Καὶ καταλαβοῦσα τὰ βασίλεια τὸν μονήρη βίον ἐπέβη καὶ πρὸς ἀγῶνας καὶ πόνους ἐχώρησε καὶ τῆς μακαρίας Εὐστολίας ἦν ἀχώριστος. Αἰτησαμένη δὲ τόπον τινὰ [7] ἐπιτήδειον παρὰ τοῦ ταύτης πατρὸς καὶ βασιλέως καὶ περιποιησαμένη οἴκημά τι, ἐν αὐτῷ κατασκηνοῖ ἅμα τῇ ἀοιδίμῳ Εὐστολίᾳ. Πολλαὶ γὰρ πρὸς αὐτὰς φοιτήσασαι παρθένοι εὐσεβεῖς σὺν αὐταῖς τὸν σκληρὸν καὶ ἐπίπονον βίον μετήρχοντο. Ἡ δὲ μακαρία Εὐστολία πλείστοις ἔτεσιν ἀγωνισαμένη καὶ πολλοῖς αἴτιος σωτηρίας γενομένη [8] μετ᾽ εἰρήνης πρὸς Κύριον ἐξεδήμησεν, τὴν τῶν ἰαμάτων χάριν παρὰ Θεοῦ λαβοῦσα καὶ πᾶσι τοῖς χρῄζουσι παρεχομένη, διάδοχον καταλιποῦσα τὴν μακαρίαν Σωπάτραν τὴν βασίλισσαν· ἥτις τὰ ὅμοια τῇ πνευματικῇ μητρὶ ἀγωνισαμένη καὶ εἰς ἄκραν ἀρετῆς φθάσασα πρὸς Κύριον ἐξεδήμησεν. — **T**: 1. — **L**: 1. 6. 7. 10. 8. 2 (... Μαύρου ...). — 3. 11. — **O**: 1. 9. 10. — **C**: 1 (diem mensis 9 manus recens scripsit). — 10. (it.). — 8. 2 (om. Μαύρας, Τιμοθέου). — 3. 4. 11. — **Cb**: 10. 8. 2. 3. 4. 11. — **Cc**: 10. 8. 2. 3. 4. 11. — **Cd**: 10. 8. 2. 3. 4. 11. — **M**: 1. 9. 10. 12. 2 (Χριστοφόρος καὶ Μαῦρα). — Ὁ ὅσιος Ἰωάννης ὁ διὰ τὸ βραχὺ τῆς ἡλικίας μετονομασθεὶς Κολοβὸς ἐν εἰρήνῃ τ. — Ὁ ὅσιος Ἑλλάδιος [9] ἐν εἰρήνῃ τ. — **Mv**: 2 (Ὀνησιφόρου καὶ Πορφυρίου). — 1. 9. 10. — 2 (Χριστοφόρος καὶ Μαῦρα). — Ἰωάννης. — Ἑλλάδιος [9]. — **Mr**: 2 (Ὀνησιφόρου καὶ Πορφυρίου). — 1. 9.

— [6] ἐν Ba. — [7] ἐπί τινα *add.* Ba. — [8] γινομένη Ba. — [9] Ἑλάδιος M, Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι΄.

1. Ἄθλησις τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Ὀλυμπᾶ, Ῥοδίωνος, Σωσιπάτρου, Τερτίου [1], Ἐράστου καὶ Κουάρτου. Τούτων τῶν ἁγίων ἀποστόλων [2] ὁ μὲν Ὀλυμπᾶς καὶ Ῥοδίων ἀκολουθοῦντες τῷ ἁγίῳ ἀποστόλῳ Πέτρῳ ἀμφότεροι ἐν Ῥώμῃ τῇ πόλει [3] ὑπὸ Νέρω-
Rom. 16, 21. νος τὰς κεφαλὰς ἀπετμήθησαν. Ὁ δὲ Σωσίπατρος,
f. 77. οὗτινος ἐν τῇ πρὸς | Ῥωμαίους ἐπιστολῇ ὁ ἅγιος ἀπόστολος μέμνηται Παῦλος, ἐπίσκοπος Ἰκονίου
Rom. 16, 22. γενόμενος, ἐν εἰρήνῃ ἐτελειώθη. Ὁ δὲ Τέρτιος, ὁ καὶ τὴν πρὸς Ῥωμαίους γράψας ἐπιστολὴν ὑπὸ τοῦ ἁγίου Παύλου ἐκδοθεῖσαν, μετὰ Σωσίπατρον δεύτερος ἐπίσκοπος Ἰκονίου γενόμενος, πρὸς [4] Κύριον ἐξεδήμησε. Ὁ δὲ Ἔραστος, οὗ καὶ αὐτοῦ
Rom. 16, 24. ἐν τῇ αὐτῇ ἐπιστολῇ μέμνηται ὁ ἅγιος Παῦλος, οἰκονόμος τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας γεγονὼς καὶ μετὰ ταῦτα ἐπίσκοπος Πανεάδος, ἐν εἰρήνῃ
Rom. 16, 24. ἐτελειώθη. Ὁ δὲ Κούαρτος ἐπίσκοπος τῆς πόλεως Βηρυτοῦ γενόμενος καὶ πολλὰ παθὼν ὑπὲρ τῆς
Nov. 10. εὐσεβείας καὶ πλείστους τῶν ἑλλήνων ἐπιστρέψας ἐπὶ τὸν Κύριον, τέλει [5] τοῦ βίου ἐχρήσατο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρέστου τοῦ ἐν τῇ Βάτῳ. Οὗτος ὑπῆρχεν ἐκ τῆς πόλεως Τυάνων [1], ἤθλησεν δὲ ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξίμου ἄρχοντος Καππαδοκίας. Διὰ γοῦν τὴν εἰς Χριστὸν πίστιν παραστὰς τῷ ἄρχοντι, ῥάβδοις τύπτεται κατὰ τοῦ νώτου καὶ τῆς γαστρὸς καὶ ὀβελίσκοις πεπυρωμένοις τὰ νῶτα διακαίεται καὶ ἅλμῃ σὺν ὄξει τὰς πληγὰς ἀνατρίβεται καὶ ἐν τῷ ναῷ ἀχθεὶς εὐχῇ μόνῃ καταβάλλει τὰ εἴδωλα· καὶ ἑπταημέρῳ [2] λιμῷ παραδίδοται καὶ ἥλοις τοὺς πόδας καὶ τὰς πλευρὰς διαπείρεται καὶ ἵππῳ ἀγρίῳ προσδεθεὶς ἐλαύνεται μίλια κδ΄ κατὰ πετρῶν καὶ δυσβάτων τόπων· καὶ καταφθαρεὶς τὰ μέλη καὶ τὰ ὀστᾶ συντριβεὶς τὸ πνεῦμα τῷ Κυρίῳ ἀπέδωκε· τὸ δὲ περίλοιπον [3] αὐτοῦ σῶμα τῷ ποταμῷ ἐναπερρίφη [4].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς

1. — [1] *om. in lemmate* Sa. — [2] τῶν ἁγίων ἀποστόλων *om.* Sa. — [3] τῇ πόλει *om.* Sa. — [4] *corr. in marg.* Sa. — [5] Sa, τέλος S.
2. — [1] χώρας Καππαδοκίας *add.* Sa. — [2] ἑπτὰ ἡμέρας Sa. — [3] περίλειπον S, λοιπὸν Sa. — [4] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.

SYNAXARIA SELECTA. **Sa**: 1. 2. add.: Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Λεομακελλίου. — 3. 4. 5. 6. — **H**: Ἀντωνίου (Nov. 9[12]). — **P**: Ἀντωνίου. — 6 (om. Ὀρέστου). — Μνήμη Θεοδοσίου τοῦ μεγάλου βασιλέως (Nov. 9[4]). — 2. — **Da**: Ἀντωνίου. — 3. — Θεοδώρου ἡγουμένου μονῆς τῶν Στουδίου (Nov. 11[2] = Ba). — **Db**: 2. — Ἀντωνίου. — 3. — Μηνᾶ (Nov. 11[1]). — Βίκτωρος. — Στεφανίδος. — Βικεντίου (Nov. 11[1]). — **F**: 1. 2: Ὀρέστου τοῦ ἐν τῇ Βάτῳ. Ὃς ἤθλησεν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξίμου ἄρχοντος Καππαδοκίας. Οὗτος ὁ ἅγιος Καππαδόκης ὢν τὸ γένος, τὴν πίστιν χριστιανός, τὴν ἐπιστήμην ἰατρός, παραστὰς Μαξίμῳ τῷ ἄρχοντι ῥάβδοις τύπτεται σφοδρῶς κατὰ τοῦ νώτου καὶ τῆς γαστρός, εἶτα ὀβελίσκοις πεπυρακτωμένοις τὸν νῶτον κατακαίεται καὶ ἅλμῃ σὺν ὄξει δριμυτάτῳ τὰς πληγὰς ἀνατρίβεται· ἔπειτα βίᾳ ἀχθεὶς ἐν τῷ ναῷ ὡς προσκυνήσων, διὰ μόνης προσευχῆς καταβάλλει τὰ εἴδωλα. Διὸ καὶ λιμῷ παραδίδοται ἡμέρας ἑπτά· μετὰ ταῦτα ἑλκυσθεὶς ἥλοις τοὺς πόδας καὶ τὰς πλευρὰς διαπερονᾶται καὶ ἵππῳ ἀγρίῳ προσδεθεὶς ἐλαύνεται μίλια κδ΄ κατὰ πετρῶν καὶ δυσβάτων τόπων· καὶ καταφθαρεὶς τὰ μέλη καὶ τὰ ὀστᾶ καταθραυσθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρέδωκεν. Τὸ δὲ περίλοιπον αὐτοῦ σῶμα τῷ ποταμῷ ἐναπερρίφη. — 6 (om. Ὀρέστου). — Θεοδοσίου. — Ἀντωνίου. — 3. — **Fa**: 1. 2. 6 (Ἥραιος καὶ Καλλιοπή). — Θεοδοσίου. — Ἀντωνίου. — 3. — **B**: 1. — **Ba**: 1. — Μαρτίνου ἐπισκόπου Φραγγίας (Nov. 12[3]). — **T**: 1 2. — **L**: Ἀντωνίνου. — 6. — Θεοδώρου ὁμολογητοῦ τῶν Στουδίων (Nov. 11[2]). — **O**: Τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου (Nov. 12[2]). — **C**: Ἀντωνίνου. — 6. 2. 1. 5 (Τιμοθέου καὶ Μαύρας (cf. Nov. 9[2]). — **Cb**: 3. — Ἀντωνίνου. — 6. 2. 1. — **Cc**: Ἀντωνίνου. — 6. 2. 1. 5 (T. κ. M.). — **Cd**: Ἀντωνίνου. Οὗτος ὁ ἅγιος μάρτυς Ἀντωνῖνος ὑπῆρχεν ἐκ τῆς τῶν Σύρων χώρας, λιθοτόμος τὴν τέχνην· ἰδὼν δὲ τοὺς ἕλληνας ἀπερχομένους εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ θύοντας [1] τοῖς ξοάνοις, παρῄνεσεν αὐτοῖς ἀποστῆναι αὐτῶν. Ὡς δὲ οὐκ εἰσηκούσθη, λυπηθεὶς ἀνεχώρησεν εἰς ἔρημον τόπον καὶ εὑρίσκει δοῦλον τοῦ Θεοῦ ἀναχωρητὴν ὀνόματι Θεότιμον, μεθ᾽ οὗ συνδιατρίψας ἔτη δύο καὶ λαβὼν τὰς εὐχὰς αὐτοῦ, κατῆλθε πάλιν πρὸς τὸν πεπλανημένον λαὸν τοῦ χωρίου αὐτοῦ· καὶ εὑρὼν τοὺς ἕλληνας ἑορτὴν ἐπιτελοῦντας τοῖς δαίμοσι, συνέτριψε πάντα τὰ εἴδωλα· εἶτα κρατηθεὶς καὶ τυφθεὶς ἰσχυρῶς, ἀπῆλθεν εἰς Ἀπάμειαν τῆς Συρίας· καὶ δεηθεὶς τοῦ ὁσιωτάτου μητροπολίτου λαβεῖν ἐξουσίαν τοῦ κτίσαι ναὸν τῆς ἁγίας Τριάδος ἤρξατο κτίζειν. Καὶ τοῦτο μαθόντες οἱ συγχωρῖται αὐτοῦ, νυκτὸς ἐπιθέντες τοῖς ξίφεσι μεληδὸν κατέκοψαν· καὶ οὕτως παρέδωκε τὸ πνεῦμα. — 6. 2. 1. 5: Τιμοθέου καὶ Μαύρας. Οὗτος ὑπῆρχεν ἀπὸ κώμης Παναπέων, ἀναγνώστης τὴν τάξιν, διδάσκων δὲ τὴν εὐσέβειαν καὶ τὸν Χριστὸν κηρύττων Θεόν, κρατηθεὶς προσήχθη Ἀριανῷ τῷ τῆς Θηβαΐδος ἄρχοντι, γάμῳ [2] προσομιλήσας· καὶ ἀναγκασθεὶς θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεὶς σίδηρα πεπυρωμένα εἰς τὰ ὦτα δέχεται καὶ ἐκ τῆς σφοδροτάτης ἀτμίδος καὶ τοῦ καπνοῦ αἱ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ἐκπεπηδήκασιν. Καὶ τότε δεσμεῖται τοὺς ἀστραγάλους καὶ τὰς χεῖρας ὀπίσω καὶ δέχεται χαμὸν κατὰ τοῦ στόματος καὶ κρεμᾶται ἐπὶ κεφαλῆς. Ὡς δὲ ηὐχαρίστει, κελεύει ὁ ἡγεμὼν ἐναχθῆναι τὴν γυναῖκα αὐτοῦ Μαύραν καὶ λέγει αὐτῇ· « Εἰ μὴ βούλει παθεῖν τὰ ὅμοια, προσελθοῦσα πεῖσον τὸν ἄνδρα σου ἵνα μὴ κακῶς

[1] θύοντα Cb. — [2] *supple v. c.* ἄρτι.

Nov. 10. ἡμῶν Μαρτίνου ἐπισκόπου Ταρακίνης[1]. Οὗτος ὑπῆρχεν ἀπὸ Σαβαρίας[2] τῆς Παννονίας[3], ἐπίσημος τὸ γένος καὶ παρὰ τοῖς Ἰλλυριοῖς μέγας γνωριζόμενος, ἀποστολικοῦ ἐμπρέπων ἀξιώματος· ἐπιβουλευθεὶς δὲ παρὰ τῶν τὰ Ἀρείου φρονούντων καὶ πολλάκις δημοσίᾳ τυφθεὶς ἀπηλάθη· καὶ εἰς Μεδιόλανα ἀνελθὼν τὰ αὐτὰ πέπονθεν ὑπὸ Αὐξεντίου ἐπισκόπου, Ἀρειανοῦ καὶ αὐτοῦ ὑπάρχοντος· ὅθεν ἀναγκασθεὶς Γαλλαρίαν[4] τὴν νῆσον καταλαμβάνει, ἔρημον οὖσαν καὶ ἀοίκητον, τῷ Τυρρηνικῷ[5] πελάγει ἐγγίζουσαν, ῥίζαις μόναις[6] βοτανῶν ἀρκούμενος· ὅθεν ὕστερον καὶ ἐπισκοπεῖν[7] ἐπετράπη τὴν ἐν Ταρακίναις ἐκκλησίαν. Ἐπὶ τοσοῦτον δὲ τῇ φιλοπτωχείᾳ ἐξήστραψεν, ὥστε πρώην μὲν πάντα πένησι διαδιδόναι[8], μετὰ δὲ ταῦτα, εἰ τύχοι[9] | (f. 77v.) αὐτῷ ἑνὶ περιβολαίῳ σκέπεσθαι καὶ ῥιγῶντα ἕτερον θεάσασθαι, τοῦτο ἀπὸ τῶν γονάτων διακόπτειν καὶ τῷ δεομένῳ ἐπιδιδόναι. Ἀλλὰ καὶ νεκρὸν ἰδὼν[10] ἐκκομιζόμενόν ποτε, ἐπεὶ συκοφάντης τις θάπτεσθαι αὐτὸν οὐ συνεχώρει λέγων χρεωστεῖσθαι παρ' αὐτοῦ τριακοσίους χρυσίνους, ἐκεῖνον μὲν ἀνέστησεν, τοῦτον δὲ ψεύστην ἐλεγχθέντα ἀποθανεῖν ἀντ' αὐτοῦ ἐκέλευσεν. Οὕτως οὖν θεαρέστως καὶ ἐπὶ τοιούτοις θαύμασι βιώσας, ἐν εἰρήνῃ ἐκοιμήθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραῒμ τοῦ ὁμολογητοῦ, ἐπισκόπου Οὐνίας.

5. Καὶ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν[1] Μαύρας.

6. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Νηρέως, Καλλιοπίου καὶ Ὀρέστου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Nov. 11. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου. Τούτων ὁ μὲν ἅγιος μεγαλομάρτυς Μηνᾶς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ τῆς Αἰγύπτου[1] χώρας, στρατιώτης ὢν τοῦ νουμέρου τῶν λεγομένων Ῥουτιλιακῶν[2] ὑπὸ Ἀργυρίσκον ἡγεμόνα, ἐν Κοτυαείῳ πόλει[3] Φρυγίας. Γνωσθεὶς δὲ χριστιανὸς εἶναι, τύπτεται σφοδρῶς καὶ ξέεται καὶ μετὰ ταῦτα πυρὶ καταφλέγεται καὶ σύρεται ἐπάνω τριβόλων ὀξέων· εἶτα τὴν διὰ ξίφους δέχεται τελευτήν. Ὁ δὲ ἅγιος Βίκτωρ ὑπῆρχεν ἐπὶ Ἀντωνίνου βασιλέως καὶ Σεβαστιανοῦ δουκὸς ἐν Ἰταλίᾳ· κρατηθεὶς δὲ καὶ ἀναγκασθεὶς

3. — [1] S, Sa, *et ceteri omnes*. — [2] Σαμαρείας S, Sa. — [3] Πανονίας S. — [4] S, Sa, Gallinaria insula, *Vita S. Martini, 6*. — [5] τυραννικῷ Sa. — [6] μόνες S, μόνον Sa. — [7] ἐπισκοπὴν S. — [8] διαδοῦναι Sa. — [9] εἰ τύχη S, Sa. — [10] εἶδον S.
5. — [1] ἡμῶν μητρός Sa.
1. — [1] τῆς τῶν Αἰγυπτίων Sa. — [2] Ῥουτηλιακῶν S. — [3] τῆς *add.* Sa.

Nov. 10. » ἀποθάνῃ. » Ταῦτα εἰπὼν παρέπεισεν αὐτὴν καὶ ἀπῆλθεν. Ὡς δὲ ἤρξατο ἡ Μαύρα λέγειν τῷ ἁγίῳ τοὺς λόγους τοῦ τυράννου, διεπρίετο ὁ Τιμόθεος καὶ βδελυξάμενος αὐτὴν εἶπεν· « Ὄντως ἐκ τοῦ οἴκου » ἐξερχομένη τὸν διάβολον μετὰ σοῦ παρέλαβες· οὐκ αἰσθάνῃ ἡ ἀθλία, τί μοι συμβουλεύῃ· ἀνθ' ὧν ἔδει » καὶ σὲ ὑπὲρ Χριστοῦ ἀποθανεῖν, ἵνα σὺν ἐμοὶ ζήσῃς; » Ἡ δὲ ἀνανήψασα, τρέχει καὶ λέγει τῷ τυράννῳ· « Πρόσθες κἀμέ, τύραννε, τῷ ἀνδρί μου, κἀγὼ χριστιανή εἰμι καὶ σὺν αὐτῷ πιστεύω τῷ » Χριστῷ. » Κελεύει οὖν τὰς τρίχας τῆς κεφαλῆς ἐκτῖλαι καὶ τοὺς δακτύλους τῶν χειρῶν ἐκκοπῆναι καὶ εἰς λέβητα κοχλάζοντα ἐμβληθῆναι. Ὡς δὲ ἑώρα αὐτὴν μὴ καιομένην, νομίσας μὴ καλῶς ὑποκαῆναι τὸν λέβητα, προσελθὼν λέγει· « Ῥᾶνόν μοι ἐξ αὐτοῦ κατὰ χειρῶν. » Ἡ δὲ ἐπέχεε καὶ εὐθέως ἀπεδάρη τὸ δέρμα. Ὀργισθεὶς δὲ προστάττει ἀνθράκων πληρωθῆναι τὸ στόμα. Ἀπορῶν δὲ ἐπὶ τῇ ὑπομονῇ τῶν ἁγίων, ἐκέλευσεν αὐτοὺς σταυρωθῆναι ἀπέναντι ἀλλήλων· καὶ διεκαρτέρησαν ἐπὶ τὸν σταυρὸν ζῶντες μέχρις ἡμερῶν ἐννέα. Οὐ γὰρ ἄλλο τι ἐποίησεν αὐτοῖς πρὸς τὸ τάχιον ἀποθανεῖν, ἀλλ' ἢ μόνον προσέδησεν· ἕως οὖν ἠδύναντο λαλεῖν, ἀλλήλους παρεθάρρυνον. Τότε δὴ λέγεται τὴν Μαύραν ἐξειπεῖν τῷ Τιμοθέῳ πειρασθεῖσαν· « Εὖξαι ὑπὲρ ἐμοῦ, κύριέ μου, ὅτι ὁ διάβολος λογισμοῖς ἐκθλίβει με. » Ὁ δὲ σὺν δάκρυσιν εὐξάμενος, ἠλευθέρωσεν αὐτὴν τοῦ λογισμοῦ. Ἡνίκα δὲ ἐκλείποντες οὐκ ἠδύναντο λαλεῖν, κατὰ διάνοιαν προσηύχοντο, παρεστώτων καὶ τῆς μητρὸς τῆς Μαύρας καὶ τοῦ πατρὸς Τιμοθέου πρεσβυτέρου ὄντος καὶ κλαίοντος· καὶ οὕτως ἐτελειώθησαν. — **M** : 2. — Ὀνησιφόρου καὶ Πορφυρίου (Nov. 9²). — Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀοιδίμου Λαζάρου. — Θεοστερίκτου (Nov. 9³). — Νόννου (Nov. 9³). — 1 (om. Τερτίου). — 3. — Τοῦ ἁγίου ἱερομάρτυρος Μίλου (Nov. 13²). — **Mv** : 2. — Θεοστερίκτου. — Νόνου. — 1 (om. Τερτίου). — 3. — Μίλου. — Καλλιοπίου, Νίρου καὶ Ὠρίονος. — **Mr** : 1. 2.

Nov. 11. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας (Nov. 12¹). — 2. — **P** : 1. — Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας. — 2. — **Da** : 1 (= F). — **Db** : 2. — **F** : 1 : Μηνᾶ. Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, χώρας Αἰγυπτίων[1] ὁρμώμενος. Ἐστρατεύετο δὲ ἐν τοῖς νουμέροις τοῖς λεγομένοις Ῥουτιλιακοῖς[2] ὑπὸ Ἀργυρίσκῳ ἡγεμόνι ἐν τῷ Κοτυαείῳ Φρυγίας Σαλουταρίας[3]. Μὴ ἀνεχόμενος δὲ καθορᾶν τὴν τῶν εἰδώλων πλάνην παρρησιαζομένην, εἰς τὸ ὄρος ἀνῆλθεν νηστείαις αὐτὸν καθαίρων καὶ προσευχαῖς. Ἱκανῶς δὲ στομώσας ἑαυτὸν καὶ τῷ θείῳ πόθῳ τὴν ψυχὴν ἀναφλέξας, κατελθὼν ἐκ τοῦ ὄρους καὶ στὰς ἐν μέσῳ τῶν εἰδωλολατρῶν, τὸν Χριστὸν ἀνεκήρυττεν· ὅθεν αἰκισθεὶς καὶ τριχίνοις ὑφάσμασι τὰς σάρκας καταξανθεὶς καὶ καυτῆρσι προσομιλήσας πυρὸς καὶ τριβόλοις, ἐν τῷ ἀφειδῶς κατὰ γῆς ἕλκεσθαι ἅπαν τὸ σῶμα διαλωβηθείς, τὴν διὰ ξίφους ἐδέξατο τελευτήν. — Βίκτωρος. Οὗτος ἤθλησεν ἐπὶ Ἀντωνίνου[4] βασιλέως Ῥωμαίων καὶ Σεβαστιανοῦ δουκὸς ἐν τῇ Ἰταλίᾳ. Ἀναγκασθεὶς γὰρ τὸν Χριστὸν ἀρνήσασθαι καὶ μὴ πεισθείς, πρῶτον

[1] Ἐγυπτίων F. — [2] Ῥουταλιακοῖς F. — [3] ἀλουταρίας F. — [4] Ἀντωνίου F.

ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθεὶς ἐξαρθροῦται τοὺς δακτύλους καὶ βάλλεται εἰς κάμινον· εἶτα ποτίζεται δηλητήριον φάρμακον παρὰ μάγου καὶ μηδὲν ἀδικηθεὶς ποιεῖ τὸν μάγον χριστιανόν· ὀρυχθεὶς δὲ τοὺς ὀφθαλμοὺς τὴν κεφαλὴν ἀποτέμνεται. Ἡ δὲ ἁγία Στεφανὶς ὁρῶσα ταῦτα καὶ μακαρίσασα τὸν ἅγιον ἐκρατήθη· καὶ δεθεῖσα δυσὶ φοίνιξιν ἐπικλιθεῖσιν ἀλλήλοις, εἶτα ἀπολυθεῖσι, διεμερίσθη εἰς δύο. Ὁ δὲ ἅγιος Βικέντιος κατ' αὐτὴν τὴν ἡμέραν κρατηθεὶς ὡς χριστιανὸς ἐν Αὐγουστίᾳ τῇ πόλει παρὰ τοῦ τῆς αὐτῆς πόλεως ἄρχοντος, τὴν κεφαλὴν ἀπετμήθη. Τελεῖται δὲ ἡ σύναξις τοῦ ἁγίου μάρτυρος Μηνᾶ[5] ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τῆς Ἀκροπόλεως· ἡ δὲ τοῦ ἁγίου μάρτυρος Βίκτωρος καὶ Βικεντίου ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Γαϊτανῷ. (Nov. 11.)

| (f. 78.) **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἡγουμένου[1] τῶν Στουδίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Καβαλλίνου[2] ἐν Κωνσταντινουπόλει γεννηθείς[3], πᾶσαν δὲ γνῶσιν τῶν μαθημάτων ἐκμαθών, ἐπὶ τῆς βασιλείας Εἰρήνης τῆς εὐσεβεστάτης, εἰκοσιδύο ἐτῶν ὑπάρχων, ἀπελθὼν ἐν τῇ Σακουδίωνος μονῇ ὑπὸ τοῦ θείου αὐτοῦ Πλάτω-

— [4] *supra lin. corr.* Sa. — [5] ἡ τοῦ ἁγίου μάρτυρος Μηνᾶ σύναξις Sa.
2. — [1] μονῆς *add.* Sa. — [2] Καβαλίνου S, Sa. — [3] καὶ τραφεὶς *add.* Sa.

θλάττεται τοὺς δακτύλους, ἕως οὗ ἐξαρθρωθέντες τῆς δορᾶς[5] ἐξεπήδησαν· εἶτα εἰς κάμινον ἐμβάλλεται ἐκκαυθεῖσαν[6] καὶ διαρκέσας ἐν αὐτῇ ἡμέρας γ', ἐξῆλθεν ἀβλαβής· καὶ μετὰ ταῦτα[7] δηλητήρια φάρμακα πιεῖν ἀναγκάζεται, ἃ καὶ σφραγίσας ἀπέδειξεν ἀνενέργητα, ὡς ἐν τούτῳ καταπλαγέντα τὸν ταῦτα κατασκευάσαντα προσελθεῖν τῷ Χριστῷ· μετὰ ταῦτα ἐκσπᾶται τὰ νεῦρα καὶ ἐκπυρωθέντι ἐλαίῳ ἐπιχέεται. Καὶ ἀναρτηθεὶς λαμπάσι καταφλέγεται καὶ κονίαν μετ' ὄξους ἀναγκάζεται δέξασθαι τῷ στόματι καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται, κατὰ κεφαλῆς κρεμᾶται ἐπὶ ἡμέραις τρισί· εἶτα τὴν δορὰν ἀφαιρεῖται καὶ τότε τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρατίθεται. — Στεφανίδος. Αὕτη στρατευομένου τινὸς ὑπάρχουσα γαμετὴ καὶ τὸν Χριστὸν ἄνωθεν σεβομένη, ἀποβαλοῦσα δὲ τὸν ἄνδρα ἑξκαιδεκαετὴς καὶ ἐν μονώσει καὶ χηρείᾳ διάγουσα, ἐν τῷ βλέπειν τὸν ἅγιον Βίκτωρα τὰ ὑπὲρ ἄνθρωπον πάσχοντα ἐμακάριζεν αὐτόν, τοῖς νοεροῖς ὀφθαλμοῖς δύο στεφάνους ὁρῶσα φερομένους ἐξ οὐρανοῦ, ὧν ὁ μείζων ἡτοίμαστο τῷ μακαρίῳ Βίκτωρι[8]. Προσαχθεῖσα δὲ τῷ ἡγεμόνι καὶ τὸν Χριστὸν Θεὸν καὶ ποιητὴν πάντων ὁμολογήσασα, ἐκταθεῖσα τὰς χεῖρας δύο φοίνιξι βίᾳ καμφθεῖσι προσεδέθη· ὧν ἀφεθέντων καὶ πρὸς τὴν ἰδίαν ἀποκλινάντων ὁρμήν, αὐτὴ διαιρεῖται καὶ εἰς δύο μερίζεται τμήματα, καὶ οὕτως τὴν ψυχὴν Θεῷ ἀποδίδωσιν. — Βικεντίου διακόνου καὶ Οὐαλλερίου ἐπισκόπου. Οὗτοι ἐν Αὐγουστίᾳ πόλει τῆς Ἱσπανίας ὑπάρχοντες, ἤχθησαν παρὰ τὸ βῆμα Δατιανοῦ τοῦ ἄρχοντος· ὃς παραυτίκα καὶ σὺν πολλῇ τῇ ὕβρει ἐκέλευσεν αὐτοὺς[9] εἰς πόλιν Βαλεντίαν[10] σιδηρωθέντας ἀπαχθῆναι καὶ ζοφώδει καὶ δυσωδεστάτῃ φρουρᾷ καθειρχθῆναι. Μετὰ δέ τινας ἡμέρας ἐξαγαγὼν τὸν Βικέντιον, κελεύει ξέεσθαι· καὶ εὐθὺς ἀναρτηθεὶς ἐπὶ τοσοῦτον ξέεται, ὥστε τὴν τῶν σπλάγχνων διάπλασιν φανῆναι· εἶτα σταυρῷ καταπήγνυται κἀκεῖ προσηλωθεὶς ἀκινητί, κατὰ μέλος αἰκίζεται· εἶτα ἐκεῖθεν ἀποσπασθείς, στρεβλοῦται καὶ μαστίζεται καὶ τὰς πλευρὰς κατακαίεται. Ἔξαρθρος δὲ γενόμενος, ῥάβδους σιδηρᾶς πυρωθείσας καὶ φλογιζούσας δέχεται ἐπὶ τοῦ στήθους, ἕως οὗ διετάκη σχεδὸν ἅπαν αὐτοῦ τὸ σῶμα. Μετὰ ταῦτα ἀπορρίπτεται ἐν εἱρκτῇ, ὅτε θείας καὶ ἀγγελικῆς ὄψεως καταξιωθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. — 2 : Θεοδώρου ἡγουμένου τῶν Στουδίων. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Θεόδωρος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τοῦ ἀσεβεστάτου Κωνσταντίνου τοῦ Κοπρωνύμου, γονέων εὐσεβῶν Φωτινοῦ καὶ Θεοκτίστης. Οὗτος ἐκ παιδὸς ταῖς τῶν γραμμάτων ἐνασχοληθεὶς[11] προσάγεται τέχναις· καὶ προβὰς τῇ ἡλικίᾳ διαμείβει γραμματικήν, φιλοσοφίαν καὶ ῥητορικὴν καὶ ἁπλῶς εἰπεῖν πᾶν κάλλος φράσεως ἀπηνθήσατο. Ἐπεὶ οὖν ἐκ μέσου ἐγένοντο οἱ ἀσεβέστατοι Λέων[12] τε καὶ Κωνσταντῖνος, ἐξήγειρεν ὁ Θεὸς κέρας σωτηρίας τῇ ἐκκλησίᾳ τὴν φερώνυμον καὶ ἀείμνηστον Εἰρήνην, λόγῳ καὶ ἔργῳ καταυγάσασαν τὰ πέρατα, καὶ μάλιστα τότε τοῦ θεολήπτου Ταρασίου καὶ ἱεράρχου καλῶς ἰθύναντος τοὺς τῆς ἐκκλησίας οἴακας, ὅτε καὶ ὁ μακάριος Θεόδωρος τὸ τῆς ἱερωσύνης ἀξίωμα παρὰ τοῦ μεγάλου ἀρχιερέως δέχεται, περισσῶς ἐκτήκων ἑαυτοῦ νηστείᾳ τὴν σάρκα καὶ τῇ μελέτῃ τῶν θείων γραφῶν. Τῷ δὲ τριακοστῷ πέμπτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας, τοῦ ὁσίου Πλάτωνος πρὸς τὴν ἡγουμενείαν δυσχεραίνοντος, Θεόδωρος ταύτην ὑποδέχεται, καὶ αὖθις ὁ τῶν χριστιανῶν ἀντίπαλος διάβολος ἀναρριπίζει φλόγα κατὰ τῆς ἐκκλησίας. Καὶ γὰρ ὁ τῆς Εἰρήνης υἱὸς Κωνσταντῖνος ὁ ἀπαίδευτος καὶ μωρός, ἀθετήσας τὴν πρώην γαμετὴν καὶ βίᾳ ἀποκείρας, ἑτέραν ἠγάγετο· διὸ <ὁ[13]> τε πατριάρχης καὶ ὁ μέγας οὗτος ἀπωθοῦνται αὐτὸν ὡς μοιχόν. Ὁ δὲ ἀποστείλας εἰς τὴν μονήν, μάστιξι σφοδροτάταις αἰκισάμενος[14] τὸν ἀθλητὴν μεθ' ἑτέρων τριῶν ἀδελφῶν ἐν τῇ Θεσσαλονικέων ἐξορίζει. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ὁ μοιχὸς οὗτος ἐπανάστασιν ὑποστὰς[15] παρὰ τῶν ἰδίων στρατιωτῶν, ἀμφοτέρων τῶν ὀφθαλμῶν στερεῖται καὶ τῆς βασιλείας ἐκρίπτεται. Ἡ δὲ τούτου μήτηρ τῆς βασιλείας ἐγκρατὴς γεναμένη, τὸν ἐν ἐξορίᾳ ἀνακαλεῖται Θεόδωρον, καὶ ἐπανελθὼν ἑνοῦται τῷ πατριάρχῃ Ταρασίῳ, τοῦ Ἰωσὴφ τῆς ἀρχῆς ἀπελαθέντος. Τοῦ δὲ Νικηφόρου τῆς βασιλείας δραξαμένου, πάλιν ἐξορίᾳ παραπέμπεται Θεόδωρος ὡς μὴ δεχόμενος τὸν ἀπωσθέντα Ἰωσὴφ τῆς πατριαρχείας μετὰ τελευτὴν Ταρασίου· εἶτα τοῦ Νικηφόρου πτῶμα χαλεπὸν πεπτωκότος ἐν Βουλγαρίᾳ, διαδέχεται Μιχαὴλ τὴν βασιλείαν. Ὃς πάντας τοὺς[16] ἐν ἐξορίᾳ ἀνεκαλέσατο καὶ τὸν μέγαν Θεόδωρον. Ἡσυχίαν οὖν τῶν πραγμάτων ἐχόντων, Λέων[12], τῆς ἐκ τῶν Ἀρμενίων φυλῆς (Nov. 11.)

— [5] δωρρᾶς F. — [6] ἐγκαυθῆσαν F. — [7] ταυτι F. — [8] Βίκτωρει F. — [9] αὐ αὐτοὺς F. — [10] Βαλλεντίαν F. — [11] ἐνασχολίσθαι F. — [12] Λέον F. — [13] *om.* F. — [14] αἰκίσα F. — [15] ὑπὸ τὰς F. — [16] πάντα τοῦ F.

Nov. 11. νος γέγονε μοναχὸς καὶ παρὰ Ταρασίου πατριάρχου χειροτονεῖται πρεσβύτερος· εἶτα[4] τριακονταετὴς ὢν γίνεται καθηγούμενος τῆς ὑπ᾽ αὐτὸν μονῆς· ἐξωρίσθη δὲ εἰς Θεσσαλονίκην διὰ τὸ μὴ συνθέσθαι τῇ μοιχείᾳ τοῦ βασιλέως· ἀλλ᾽ ἀνεκλήθη πάλιν παρὰ τῆς βασιλίσσης Εἰρήνης καὶ διὰ τὴν τῶν Σαρακηνῶν ἔφοδον τὴν βασιλεύουσαν καταλαμβάνει· καὶ πάλιν ἐξορίζεται παρὰ Νικηφόρου βασιλέως, τοῦ σφαγέντος ἐν Βουλγαρίᾳ, ἐπὶ τῇ ὁμοίᾳ ὑποθέσει· εἶτα ἐξορίζεται διὰ τὰς ἁγίας εἰκόνας ἐπὶ Λέοντος τοῦ εἰκονομάχου καὶ ὑπὲρ εὐσεβείας πολλὰ τιμωρηθεὶς[5] καὶ ἀγωνισάμενος καὶ ὕμνους εἰς Θεὸν συγγραψάμενος, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν. Ἦν δὲ τὴν μὲν ἡλικίαν μακρός, κατάξηρος[6] καὶ ὠχρὸς τὴν ὄψιν, μιξοπόλιος[7] τὴν τρίχα καὶ ἐπιφάλακρος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Nov. 12. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ ἐλεήμονος, πατριάρχου Ἀλεξανδρείας. Οὗτος Κύπριος ἦν τὸ γένος, υἱὸς Ἐπιφανίου τοῦ τότε τῆς νήσου ἄρχοντος· γυναικὶ δὲ προσομιλήσας κατὰ βούλησιν τοῦ πατρὸς καὶ τέκνων πατὴρ γεγονώς, ἐπεὶ τὸν βίον ἀπέλιπον ἥ τε γυνὴ καὶ τὰ τέκνα αὐτοῦ, πᾶσαν τὴν ἔφεσιν αὐτοῦ πρὸς ἐπίδοσιν ἀρετῆς καὶ Θεοῦ ἀρέσκειαν ἔτρεψε· καὶ διὰ λαμπρότητα βίου ὑπὸ Ἡρακλείου τοῦ βασιλέως, αἰτησαμένου τοῦ δήμου τῶν Ἀλεξανδρέων αὐτόν, πατριάρχης Ἀλεξανδρείας καθίσταται, κανονικῶς τὴν χειροτονίαν δεξάμενος. Διαπρέψας δὲ ἐν τῇ ἀρχιερωσύνῃ ἔτη πολλὰ καὶ μυρία ποιήσας θαύματα καὶ τοῖς δεομένοις ἀφθόνως χορηγήσας[1] τὰ πρὸς τὴν χρείαν καὶ διὰ τὴν πολλὴν ἐλεημοσύνην[2] τὴν τοῦ ἐλεήμονος ἐπίκλησιν λαχὼν[3] καὶ πᾶσιν αἰδέσιμος καταστάς, ὡς ἡ περὶ αὐτὸν βίβλος κατὰ πλάτος δηλοῖ, καὶ πολλοὺς τῶν ἀπίστων ἐπὶ τὸν

— [4] Sa, εἶ S. — [5] πολλὰ τιμοριθεὶς ὑπὲρ εὐσεβείας Sa. — [6] δὲ *add.* Sa. — [7] μιξαιπόλιος S.
1. — [1] χορηγῶν Sa. — [2] διὰ ||||||||||| ἐλεημοσύνην Sa. — [3] λαβὼν Sa.

Nov. 11. ἀπορραγείς, στρατηγὸς τῶν ἀνατολικῶν γίνεται· ἔπειτα βασιλεὺς ἀναγορεύεται. Οὗτος τῆς τοῦ Κοπρωνύμου μανίας διάδοχον ἑαυτὸν ἀποδεικνύς, (ἀνάθεμά σοι), ἔλεγεν μὴ δεῖν προσκυνεῖν εἰκόνα Χριστοῦ ἢ τῆς Θεοτόκου ἤ τινος τῶν ἄλλων ἁγίων. Διὰ ταύτην τὴν αἰτίαν ἐξορίζεται πάλιν ὁ μέγας Θεόδωρος ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ· ἐκεῖθέν τε παραπέμπεται ἐν τῷ τῶν Ἀνατολικῶν θέματι χωρίῳ Βόνιτα προσαγορευομένῳ· ἐν ᾧ ὁ ἀθλητὴς παρὰ τοῦ βασιλικοῦ Ἀναστασίου πικρῶς ᾐκίσθη, ἑκατὸν μάστιγας ἐπὶ τῶν ὤμων δεξάμενος. Μετὰ δὲ τοῦτον ὁ τῆς ἀνατολῆς στρατοπεδάρχης σφοδροτάταις μάστιξι τοῦτον καθυπέβαλε, πλείω τῶν ἑκατὸν μαστίγων· καὶ μήπω τῆς τῶν τραυμάτων συνουλώσεως εὖ διατεθείσης[17], μετοικίζονται ἐκεῖθεν οἱ ὁμολογηταὶ πρὸς τὴν Σμυρναίων μητρόπολιν καὶ τῇ εἱρκτῇ ἐναπορρίπτονται καὶ τῷ βασανιστηρίῳ ξύλῳ ἐμβάλλονται. Τοῦ δὲ παρανόμου βασιλέως ἐν τῷ τοῦ παλατίου εὐκτηρίῳ ἀποσφαγέντος, Μιχαὴλ τὰ σκῆπτρα διαδέχεται. Ὃς τοὺς ἐν ἐξορίᾳ ὑπάρχοντας καὶ φρουραῖς συνεχομένους κελεύει τῶν δεσμῶν ἀφεθῆναι· ὅθεν καὶ οἱ ὁμολογηταὶ ἀνεκλήθησαν καὶ μικρὸν ἀνεθέντες τοῖς φίλοις συνῆσαν. Ὁ δὲ μακάριος Θεόδωρος ἀνακωχὴν τῶν πόνων λαβὼν μετὰ χρηστῆς ἐλπίδος ἀνεπαύσατο, τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος. Οὗτος ὁ ἅγιος μακρὸς ἦν τῇ ἡλικίᾳ, κατάξηρος καὶ ὠχρὸς τὴν ὄψιν, μιξοπόλιος τὴν τρίχα καὶ ἐπιφάλακρος. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1. 2 (= M). — Βικεντίου καὶ Οὐαλερίου (= F). — **T** : 1. 2. — **L** : 1. — **O** : 1. — **C** : 1, dein deest unum folium inter 50 et 51. — Δρακωνᾶ mutil. — Μαρτίνου ἐπισκόπου Φραγγίας (Nov. 12³, sed dies mensis 11 manu recent.). — **Ca** : 1. 2. — Δρακωνᾶ. Οὗτος ὁ ἅγιος μάρτυς Δρακωνᾶς ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Δεκίου ἡγεμόνος ἐκ πόλεως Νικαίας, ἀπὸ χωρίου Ἀραύρακα λεγομένου, πλουσίων γονέων ὑπάρχων. Ὅστις τὸν Θεὸν ἐκ βρέφους ἀγαπῶν καὶ ἐν ἀρετῇ βιῶν, ὁρῶν δὲ καὶ τὸν διωγμὸν αὐξανόμενον καὶ τοὺς χριστιανοὺς καθ᾽ ἑκάστην ὑπὲρ Χριστοῦ θνήσκοντας, πάντα τὰ ὑπάρχοντα διαδοὺς πένησι καὶ σῶμα μόνον ἐν ἀνδρείᾳ ψυχῇ περιφέρων, αὐτόκλητος ἦλθε πρὸς τὸ μαρτύριον καὶ ταῖς βασάνοις προθύμως ἑαυτὸν ἐπέδωκεν, ἐνώπιον Δεκίου τὸν Χριστὸν ὁμολογήσας Θεὸν καὶ τοὺς ἑλληνικοὺς καθυβρίσας θεούς. Ὅθεν πρῶτον μὲν συντρίβεται τὸ στόμα καὶ λίθοις τὰς παρειὰς συνθλάττεται καὶ ὅλον τὸ σῶμα βάκλοις συντρίβεται· καὶ προσευξάμενος ἐρρύσθη ὑπὸ ἀγγέλου καὶ γέγονεν ὑγιής, ἀναιρεθέντων ἑλλήνων τῶν τυπτόντων αὐτόν. Ἰδόντες δὲ οἱ παρόντες τὸ γεγονὸς θαῦμα, ἐπίστευσαν τῷ Χριστῷ ὡσεὶ τρισχίλιοι· εἶτα παρέστη τῷ Διοκλητιανῷ καὶ ὑπ᾽ αὐτοῦ ἰσχυρῶς βασανίζεται· εἶτα πάλιν βασανίζεται παρὰ Δεκίου· καὶ βασανιζομένου καὶ προσευξαμένου, πῦρ ἧκεν ἐκ τῶν οὐρανῶν καὶ κατέκαυσε τοὺς ὑπηρέτας. Ὁ δὲ ἅγιος ὤφθη ὑγιής· καὶ ἰδόντες οἱ ἕλληνες ἐπίστευσαν ὡσεὶ πεντακισχίλιοι ἐπὶ τὸν Κύριον· εἶτα ἥλοις προσπαγεὶς τὴν κεφαλήν, ἐν εἱρκτῇ κατακλείεται· εἶτα ἐκβληθεὶς τῆς εἱρκτῆς διὰ ξίφους τελειοῦται. — **Cb** : 1. 2. — Δρακωνᾶ. — **Cc** : 1. 2. — Δρακωνᾶ. — **Cd** : 1. – Δρακωνᾶ. — 2. — **M** : 1. 2. — **Mv** : 1. 2. — **Mr** : 1.

Nov. 12. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 3. 4. 5. 6. 7. 2. — **P** : 3. 5. 6 : Λεοντίου. — 7 : τῶν ἁγίων μαρτύρων Ἀρσακίου καὶ Βίκτωρος. — 2. 4 : τὰ ἐγκαίνια τοῦ εὐκτηρίου τοῦ ἀββᾶ Κύρου ἐν τῷ Σπαρακίῳ[1]. — **Da** : 1 (= F). 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1 : Ἰωάννου τοῦ ἐλεήμονος. Ὃς ἦν Κύπριος τὸ γένος, υἱὸς Ἐπιφανίου τοῦ τῆς χώρας ἄρχοντος. Οὗτος γυναικὶ προσομιλήσας κατὰ βούλησιν τοῦ πατρὸς καὶ τέκνων πατὴρ γεγονώς, ἐπεὶ τὸν βίον ἥ τε γυνὴ αὐτοῦ καὶ τὰ τέκνα ἀπέλιπον, πᾶσαν τὴν ἔφεσιν αὐτοῦ πρὸς ἐπίδοσιν ἀρετῆς καὶ Θεοῦ ἀρέσκειαν ἔτρεψε· καὶ διὰ λαμπρότητα βίου

— [17] συμβουλώσεως εὐδιατεθήσις F.
[1] *ita* P, *al.* Σφωρακίου. *Cf.* S *supra ad d. sept. 23, n. 1.*

Κύριον[4] ἐπιστρέψας, ἐν γήρᾳ βαθεῖ τὸν βίον ἀφεὶς πρὸς αὐτὸν[5] ἀνέδραμε χαίρων.

f. 78v. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς | ἡμῶν Νείλου τοῦ ἀσκητοῦ. Οὗτος πολὺς ὢν ἐν τοῖς λόγοις ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, ἔπαρχος Κωνσταντινουπόλεως ἐγνωρίζετο· σεμνῇ δὲ γυναικὶ συζευχθεὶς καὶ δύο τέκνα, ἄρρεν τε καὶ θῆλυ, ἀποτεκὼν τὴν αὐτοῦ πέπεικε[1] σύζυγον τὴν Κωνσταντινούπολιν καταλιπεῖν καὶ τοῖς τῆς Αἰγύπτου μοναστηρίοις κατασκηνῶσαι, μερίσασθαί τε τὰ τέκνα, καὶ τὸν μὲν παραλαβεῖν τὸν υἱὸν Θεόδουλον, τὴν δὲ τὴν ἑαυτῆς θυγατέρα· καὶ οὕτω ποιήσαντες διέστησαν ἀπ᾽ ἀλλήλων. Ἐπεὶ οὖν ὁ μακάριος Νεῖλος τὸ ὄρος μετὰ τοῦ υἱοῦ κατειληφὼς συνῆν τοῖς πατράσι, βάρβαροί τινες ἐξαίφνης ἐπελθόντες ὡς θῆρες τὸν υἱὸν Θεόδουλον ἔλαβον σὺν ἄλλοις πλείστοις αἰχμαλώτοις· ὃν ὡς αἰχμάλωτον θρηνεῖ πλεῖον[2] τοῦ καθήκοντος, καθὼς ἐν τῷ[3] παρ᾽ αὐτοῦ συντεθέντι[4] συγγράμματι ἐμφέρεται. Τῆς θείας οὖν καταξιωθεὶς ἱερωσύνης καὶ λόγους ἀσκητικοὺς πλήρεις σοφίας καὶ ὠφελείας ἐκθεὶς[5] καὶ πολλοὺς τῷ θείῳ ἔρωτι τοῦ Χριστοῦ δι᾽ αὐτῶν προσοικειώσας, ἐν εἰρήνῃ τελειοῦται. Κεῖται δέ, ὥς φασιν, αὐτὸς καὶ ὁ υἱὸς αὐτοῦ μεθ᾽ ἑτέρων ἀσκητῶν ἐν τῷ σεβασμίῳ ναῷ τοῦ ἁγίου ἀποστόλου Παύλου ἐν τῷ Ὀρφανοτροφείῳ ὑποκάτωθεν τοῦ ἁγίου θυσιαστηρίου, ὑπὸ Ἰουστίνου τοῦ φιλοχρίστου βασιλέως κατατεθέντων.

3. Καὶ[1] μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτίνου ἐπισκόπου Φραγγίας τοῦ θαυματουργοῦ. Ὃς ἦν ἐπὶ Τραϊανοῦ[2] τοῦ βασιλέως ἐν Ῥώμῃ, κόμης τὴν ἀξίαν· στρατηλάτης δὲ παρὰ τοῦ βασιλέως καταστάς, πρὸς τὸν κατὰ τῶν[3] βαρβάρων ἐκπέμπεται πόλεμον καὶ τὴν πληθὺν τῶν ἐναντίων ἰδών, ἔδεισεν[4] ὥσπερ εἰκός. Κατ᾽ ὄναρ δὲ ἐκ θείας ἐπιφανείας θάρσος λαβὼν καὶ τῆς κατὰ τῶν ἐχθρῶν νίκης ἐπαγγελίαν, συμμίξας αὐτοῖς καὶ συμβαλὼν πάντας ἐτροπώσατο· καὶ μεγάλης παρὰ τοῦ βασιλέως διὰ τοῦτο[5] τυχὼν δεξιώσεως, αὐτὸς μᾶλλον τῷ τῶν οὐρανῶν βασιλεῖ εὐχαριστῶν διετέλει, ὡς τὴν ἀνέλπιστον νίκην παρασχομένῳ αὐτῷ δι᾽ εὐποιίαν μικράν. Πρὸ γὰρ τῆς συμβολῆς τοῦ πολέμου προσελθόντα αὐτῷ τινα προσαίτην καὶ τὴν ἀπορίαν ἀποκλαιόμενον συμπαθήσας, μέρος τῆς χλανίδος αὐτοῦ ἀπορρήξας ἐπέδωκεν· ὅθεν ἔδοξε τὸν Κύριον ἐν τοῖς ὕπνοις αὐτοῦ παραστάντα ἰδεῖν[8] λέγοντα[6] πρὸς αὐτόν· « Ἐπεὶ πεινῶντά με ἔθρεψας καὶ γυμνητεύοντα ἐνέδυσας, » ἔσομαι μετὰ σοῦ καὶ ἐνισχύσω σε καὶ τὴν κατ᾽ » ἐχθρῶν παρέξω σοι | νίκην. » Ἀνθ᾽ ὧν εὐχαριστῶν τῷ Θεῷ, ἐπὶ τὸν μονήρη βίον μετέθηκεν ἑαυτὸν καὶ ἐπὶ χρόνοις ἑπτὰ τῇ ἀσκήσει ἐγγυμνασάμενος καὶ ταῖς θείαις[7] ἐμμελετήσας γραφαῖς, ἐπίσκοπος χειροτονεῖται Κωνσταντίνης τῆς πόλεως τῆς κατὰ τὴν[8] Γαλλίαν[8] διακειμένης. Οὗτος τῇ τοῦ Χριστοῦ χάριτι μεγάλα κατεργασάμενος[9] θαύματα, νεκροὺς ἀναστήσας καὶ δι᾽ εὐχῆς δράκοντα θανατώσας καὶ περιστερὰν ζῶσαν εἰς χρυσὸν μεταβαλών, ὡς ἂν τοῦ δεομένου βοηθήσῃ τῇ χρείᾳ καὶ πάλιν εἰς ὃ ἦν καταστήσας αὐτὴν καὶ ἕτερα πλείω[10] πεποιηκώς, ἐν εἰρήνῃ τὸν βίον μετήμειψε. (Nov. 12.) (f. 79)

4. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ εὐκτηρίου τοῦ ἁγίου ἀββᾶ Κύρου.

5. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως γενομένου Φλαβιανοῦ.

6. Καὶ Λέοντος.

7. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρσακίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

1. Μνήμη ἤτοι ὑπερορία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Τελεῖται δὲ ἀντὶ τῆς κοιμήσεως[1] αὐτοῦ διὰ τὸ ταύτην τῇ ὑψώσει τοῦ τιμίου σταυροῦ συμβαίνειν. Ὑπῆρχεν δὲ οὗτος ἐκ πόλεως Ἀντιοχείας τῆς Συρίας, πατρὸς Σεκούνδου Nov. 13.

— [4] πρὸς Κύριον Sa. — [5] οὐρανὸν Sa.
2. — [1] Sa, πέποικε S. — [2] πλέον Sa. — [3] ἐν τῷ *supra lin.* S. — [4] Sa, συνετέθη S. — [5] ἐπιστολάς τε καὶ κεφάλαια πλεῖστα συνθεὶς *add.* Sa.
3. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] Τραϊνοῦ Sa. — [3] *om.* Sa. — [4] εἴδεισεν S. — [5] τούτου S, Sa. — [6] εἰπεῖν Sa. — [7] θείαι S. — [8] Γαλίαν S. — [9] κατειργάσατο Sa. — [10] πλεῖστα Sa.
1. — [1] Sa, τῇ κοιμήσει S.

Nov. 12. ἀρχιεπίσκοπος Ἀλεξανδρείας καθίστατο, τοῦ τῶν Ἀλεξανδρέων δήμου τοῦτο Ἡρακλείῳ[2] βασιλεῖ αἰτησαμένου· ὃς ἐπὶ τὴν λυχνίαν εὐαγγελικῶς τεθείς, δίκην πυρσοῦ ἐπὶ τὴν οἰκουμένην ἐξέλαμψε, πρῶτος τὴν ἐν τῷ τρισαγίῳ ὕμνῳ προσθήκην κωλύσας, παρεντιθέντων γνώμῃ κακούργων τινῶν τό· « ἅγιος ἀθάνατος » ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς. » Διαπρέψας δὲ ἐν τῇ ἀρχιερωσύνῃ ἔτη πολλὰ καὶ πλεῖστα πεποιηκὼς θαύματα καὶ τοῖς δεομένοις ἀφθόνως χορηγήσας τὰ πρὸς[3] τὴν χρείαν καὶ τὴν τοῦ ἐλεήμονος ἐπίκλησιν ἐντεῦθεν λαβὼν καὶ πᾶσιν αἰδέσιμος καταστάς, ὡς ἡ περὶ αὐτὸν βίβλος δηλοῖ, πρὸς Κύριον ἐξεδήμησεν. — 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 3. 1. — **Ba** : 1. 2. — **T** : 1. — **L** : 1. 3. 4. 5. 6. 2. — **O** : 1. 2. 3. — **C** : 1. — **Ca** : 1. 2. 3. — **Cb** : 1. — **Cc** : 3. 1. — **Cd** : 3. 1. — **M** : 1. 2. 3 : (Μαρτίνου ἐπισκόπου Φρυγίας). — τοῦ ἁγίου προφήτου Ἀχιᾶ. — 6 : Ἀρσακίου καὶ Βίκτωρος. — 5. — **Mv** : 1. 2. 3 (ἐπισκόπου Φραγγίας). — Ἀχιᾶ. — Μαρτίνου ἐπισκόπου Ταρακίνης (Nov. 10³). — Ἀντωνίου καὶ τῶν σὺν αὐτῷ (Nov. 13³). — **Mr** : 1. 2.

Nov. 13. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 2 (Μήλη, Ἐβόρι, Πάπα καὶ Σεβόϊ). — 3. — **P** : 1 (κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου...). — 2 (Μίλη ἐπισκόπου Ἐβόρη, Παπᾶ καὶ Σεβόη διακόνου). — 3 (... Γερμανοῦ, Βαναθᾶς). — **Da** : 1 (= F). 2 (= Cd). 3 (... Μανοθῶ). — **Db** : 1. 2. 3. — **F** : 1 :

— [2] Ἡρακλίῳ F. — [3] πρὸ F.

Nov. 13. στρατηλάτου καὶ μητρὸς Ἀνθούσης εὐσεβοῦς[2] καὶ πιστῆς. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πολὺν περὶ τοὺς λόγους ἐκτήσατο ἔρωτα καὶ μετῆλθεν ἐν τάχει πᾶσαν γραφὴν ἑλλήνων τε καὶ χριστιανῶν· καὶ δι᾽ ἀρετὴν παρὰ μὲν Μελετίου[3] πατριάρχου Ἀντιοχείας γίνεται κληρικός, παρὰ δὲ Φλαβιανοῦ[4] διάκονος καὶ πρεσβύτερος. Πᾶσαν δὲ τὴν ἁγίαν ἑρμηνεύσας γραφήν, ἐπεὶ Νεκτάριος ὁ τῆς Κωνσταντινουπόλεως πατριάρχης τὸν βίον ἀπέλιπε, ψήφῳ τῶν ἐπισκόπων καὶ τῇ τοῦ βασιλέως Ἀρκαδίου προστάξει ἐκ τῆς Ἀντιοχέων μεταπεμφθείς, ἀρχιέρευς τῆς βασιλίδος πόλεως ἀποκαθίσταται. Τὴν πλεονεξίαν δὲ ἐλέγχων[5] προσέκρουσε τῇ βασιλίδι[6] Εὐδοξίᾳ· καὶ ὑπ᾽ ἐκείνης ἀδίκως ἐξορισθεὶς ἐν Κουκουσῷ τῆς Ἀρμενίας ἐκεῖ, τελειοῦται. Ἦν δὲ τὴν ἰδέαν τοῦ σώματος βραχὺς πάνυ τὴν ἡλικίαν, μεγάλην κεφαλὴν τοῖς ὤμοις αἰωρῶν, ἰσχνὸς ἐς τὸ ἀκριβέστατον, ἐπίρριν, εὐρὺς[7] τοὺς μυκτῆρας, ὠχρότητα[8] μετὰ λευκοῦ, κοίλους τοὺς κόγχους τῶν ὀφθαλμῶν ἔχων καὶ βολβοῖς τούτων κεχρημένος μεγάλοις, ἐφ᾽ οἷς καὶ συνέβαινε χαριέστερον f. 79v. ταῖς ὄψεσιν ἀποστίλβειν, | εἰ καὶ τῷ λοιπῷ χαρακτῆρι τὸν ἀχθόμενον παρεδήλου· ψιλὸς καὶ μέγας τὸ μέτωπον καὶ πολλαῖς ταῖς στολίσι κεχαραγμένος, ὦτα περικείμενος μεγάλα καὶ τὸ γένειον μικρὸν καὶ ἀραιότατον ὑπὸ πολιαῖς ταῖς θριξὶν ἐξανθῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μίλη ἐν Τελεπόλει καὶ τῶν μαθητῶν αὐτοῦ Εὐβόρη, Πάπα καὶ Σενοεὶ διακόνου. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος· ὁ δὲ ἅγιος Μίλης στρατιώτης τὸ πρῶτον ὢν διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν προεχειρίσθη ἐπίσκοπος ἐν Τελεπόλει, ἔνθα ὁ προφήτης Δανιὴλ τὰς ὀπτασίας ἐθεάσατο, χειροτονηθεὶς παρὰ Βηθλαπὰτ[1] τοῦ ἐπισκόπου Γεδδιπόλεως[2]· διωχθεὶς δὲ ἐκεῖθεν ὑπὸ τῶν ἀπίστων ἦλθεν εἰς Ἱεροσόλυμα καὶ εἰς Ἀλεξάνδρειαν πρὸς τὸν μακάριον Ἀντώνιον τὸν καθηγητὴν τῆς ἐρήμου, κἀκεῖθεν[3] ὑπέστρεψεν ἐν Περσίδι· ἐν δὲ Μιλιγέρδᾳ[4] τῇ πόλει γενόμενος παρὰ Μισθοφάρη τοῦ βασιλίσκου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ἀναιρεῖται, παισάντων αὐτὸν[5] μαχαίραις κατὰ τοῦ[6] στήθους καὶ τῆς καρδίας, οὓς καὶ κατηράσατο ὑπὸ ἀλλήλων ἀναιρεθῆναι· καὶ εὐθὺς μεθ᾽ ἡμέρας συμπεσόντες ἀλλήλοις ὑπ᾽ ἀλλήλων ἐθανατώθησαν· κατελεύσθησαν δὲ καὶ οἱ μαθηταὶ αὐτοῦ. Ἰάσεις δὲ[7] πολλὰς ὁ ἅγιος ἐν τῷ ζῆν εἰργάσατο· καὶ γὰρ δράκοντα ἐθανάτωσε καὶ τὸν ἀρχιεπίσκοπον Κτησιφῶντος ὑπερηφανευσάμενον καὶ τὸ θεῖον εὐαγγέλιον μυκτηρίσαντα κεραυνόβλητον καὶ ἡμίξηρον διὰ προσευχῆς ἐποίησεν καὶ ποταμὸν ἀβρόχως διέβη καὶ ἕτερα πλεῖστα μνήμης ἄξια καὶ λόγου δύναμιν ὑπερβαίνοντα ἔπραξεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀντωνίνου, Νικηφόρου, Ζεβινᾶ[1], Γερμανοῦ καὶ Μαναθᾶς. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ· ὁ μὲν Ἀντωνῖνος τὴν ἡλικίαν προβεβηκώς, ὁ δὲ Νικηφόρος καὶ Ζεβινᾶς καὶ Γερμανὸς νέοι καὶ ἔτι ἀκμάζοντες. Κατασχεθέντες δὲ ὑπὸ Μάζου τινὸς τὰς κεφαλὰς ἐν Καισαρείᾳ ἀπετμήθησαν. Ἡ δὲ παρθένος Μαναθᾶ ἐν Σκυθοπόλει πᾶσαν <τὴν πόλιν[2]> θριαμβευθεῖσα γυμνὴ πυρὶ παρεδόθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυντιανοῦ ἐπισκόπου Σελευκίας, ἑνὸς τῶν τιη′ ἁγίων[1] πατέρων.

— [2] εὐσεβὴς S. — [3] Μελετίου μὲν Sa. — [4] παρὰ Φλαβιανοῦ δὲ τοῦ μετ᾽ αὐτὸν πατριάρχου χειροτονεῖται (Ἀντιοχείας · πατριάρχου *in margine adscripta*) Sa. — [5] διελέγχων Sa. — [6] βασιλίσσῃ Sa. — [7] εὐρὺν Sa. — [8] ὠχρότατος Sa.
2. — [1] ΒηθλαπατὸνS. — [2] *hic latet nomen episcopi qui* Γαδδιάβης *vocatur apud* Sozomenum, H. E., *II, 13, et locus corruptus ita restituendus* χειροτονηθεὶς παρὰ Γαδδιάβου τοῦ Βηθλαπὰτ πόλεως ἐπισκόπου. *Cf. Acta S. Milis syriaca, ap.* Assemani, *t. I, p. 70.* — [3] ἐκεῖθεν Sa. — [4] Μηλιγέρδα Sa. — [5] αὐτῶν S. — [6] *om.* Sa. — [7] δὲ *supra lin.* Sa.
3. — [1] Ζεβηνᾶ S. — [2] Sa, *om.* S.
4. — [1] θεοφόρων *add.* Sa.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ′.

Nov. 14. **1.** Μνήμη τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Φιλίππου, ἑνὸς τῶν δώδεκα. Οὗτος ἦν ἀπὸ Βηθσαϊδᾶ τῆς πόλεως, συμπολίτης Ἀνδρέου καὶ Πέτρου. Πολὺς δὲ ὢν ταῖς βίβλοις τῶν προφητῶν | f. 80. προσκείμενος[1], παρθένος διὰ βίου παντὸς ἐγνωρίζετο. Τοῦτον εὑρὼν ὁ Χριστὸς μετὰ τὸ βάπτισμα ἐν τῇ Γαλιλαίᾳ, προετρέπετο ἀκολουθεῖν. Ὁ δὲ μετὰ τοῦτο συντυχὼν τῷ Ναθαναὴλ ἔφη· Io. 1, 45. « Εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ » Ναζαρέτ. » Καὶ πολλὰ ἔστιν ἕτερα περὶ αὐτοῦ τὸν βουλόμενον ζητεῖν ἐκ τῆς θεοπνεύστου γραφῆς ἀναδιδάσκεσθαι. Οὗτος μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου[2] τὴν Ἀσιάτιδα γῆν κληρωθεὶς ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως παρεγένετο καὶ εἰς Ὀφιορύμην, ἥτις ἐστὶν[3] νῦν Ἱεράπολις, μετὰ Μαριάμνης τῆς ἀδελφῆς αὐτοῦ καὶ Βαρθολομαίου τοῦ ἀποστόλου, διδάσκων τὸν λόγον τοῦ Χριστοῦ καὶ πείθων τοὺς ἀπίστους ἀποστῆναι ἀπὸ τῆς πλάνης τῶν εἰδώλων· εἶχον γὰρ ὡς θεὸν τὴν ἔχιδναν. Πολλοὶ δὲ ἐπίστευσαν, ἐν οἷς ἦν καὶ Νικάνωρα γυνὴ τοῦ ἀνθυπάτου τοῦ καὶ τιμωρήσαντος αὐτούς. Διαφόροις δὲ τιμωρίαις καθυποβληθείς, ὕστερον τοὺς ἀστραγάλους τρυπηθεὶς καὶ τὰς πτέρνας διατρηθεὶς ἀναρτᾶται κατὰ κεφαλῆς ἐπὶ ξύλου, ἅμα Βαρθολομαίῳ τῷ ἀποστόλῳ, τὰ αὐτὰ καὶ αὐτῷ πάσχοντι[4]. Κρεμαμένου δὲ τοῦ Φιλίππου καὶ προσευχομένου, ἐξαίφνης ἠνοίχθη ἡ γῆ καὶ κατέπιε τοὺς ἐν Ἱεραπόλει ἀθέους καὶ τὸν ἀνθύπατον καὶ τὴν ἔχιδναν καὶ τοὺς ἱερεῖς αὐτῆς· εἶτα διὰ Χριστοῦ ἀνήχθησαν πλὴν τοῦ ἀνθυπάτου καὶ τῆς ἐχίδνης καὶ λύουσι μὲν τὸν Βαρθολομαῖον. Ὁ Φίλιππος δὲ τούτους ἐπέσχε τῆς πρὸς αὐτὸν ἐγχειρήσεως καὶ ἐν αὐτῷ τῷ ξύλῳ ἐτελειώθη. Εἶθ᾽ οὕτως Βαρθολομαῖος καὶ Μαριάμνη τὸ τοῦ ἀποστόλου συστείλαντες[5] λείψανον αὐτοὶ ἐν Λυκαονίᾳ ἐξέδραμον. Τελεῖται δὲ ἡ αὐτοῦ[6] σύναξις ἐν τῷ

1. — [1] προκείμενος Sa. — [2] ἡμῶν *add.* Sa. — [3] ἡ *add.* Sa. — [4] πεπονθότι Sa. — [5] τὸ *add.* Sa. — [6] αὐτῶν S.

Nov. 13. Ἰωάννου τοῦ Χρυσοστόμου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ὃς ἐγένετο ἐκ πόλεως Ἀντιοχείας τῆς Συρίας, πατρὸς μὲν Σεκούνδου στρατηλάτου, μητρὸς δὲ Ἀνθούσης εὐσεβοῦς καὶ πιστῆς. Εὐθὺς οὖν ἐν τῇ ἀρχῇ τοῦ βίου πολὺν περὶ τοὺς λόγους ἐκτήσατο ἔρωτα. Τῇ οὖν περὶ τούτους σπουδῇ καὶ τῆς φύσεως ὀξύτητι πᾶσαν ἑλληνικὴν σοφίαν μετῆλθε, φοιτήσας παρὰ Λιβάνιον καὶ Ἀνδραγάθιον τοὺς ἐν Ἀντιοχείᾳ σοφιστάς, εἶτα τοὺς ἐν Ἀθήναις. Μελετήσας δὲ καλῶς καὶ τὴν θείαν γραφὴν <καὶ[1]> εἰς τὸ ἄκρον τῆς περὶ αὐτὴν ἐλάσας γνώσεως καὶ ἁγνείᾳ καὶ καθαρότητι τὸν βίον κοσμήσας, εἰς τὸ τοῦ κληρικοῦ κείρεται σχῆμα παρὰ τοῦ ἐν ἁγίοις Μελετίου πατριάρχου Ἀντιοχείας· εἶτα παρὰ τοῦ μετ᾽ αὐτὸν χειροτονεῖται πρεσβύτερος καὶ πολλοὺς συντάξας λόγους κρείττονας ἀριθμοῦ περὶ μετανοίας καὶ τῆς ἐν ἤθεσι καταστάσεως καὶ πᾶσαν τὴν θεόπνευστον ἑρμηνεύσας γραφήν, ἐπεὶ Νεκτάριος[2] ὁ τῆς Κωνσταντινουπόλεως πρόεδρος τὸν βίον ἀπέλιπεν, ψήφῳ τῶν ἐπισκόπων καὶ τῇ τοῦ βασιλέως προστάξει Ἀρκαδίου[3] ἐκ τῆς Ἀντιοχέων μεταπεμφθεὶς ἀρχιερεὺς τῆς βασιλίδος καθίσταται πόλεως[4], κανονικῶς τὴν χειροτονίαν δεξάμενος· ἐπέτεινε δὲ πλέον τὴν ἐν ταῖς ἑρμηνείαις τῆς γραφῆς σπουδήν, τὴν <τε[5]> ἐν ταῖς διαλέξεσι διδασκαλίαν, δι᾽ ἧς πολλοὺς πρὸς θεογνωσίαν ἤγαγεν καὶ πολλοὺς πρὸς μετάνοιαν ἐξ ἀνειμένου βίου καὶ ἀκρατοῦς, τῇ συνεχεῖ διδασκαλίᾳ τὰ τῶν ἀνθρωπίνων ψυχῶν πάθη οἷον ἀναμοχλεύων καὶ ἀπελαύνων. Τοσοῦτον δ᾽ ἑαυτὸν ἐπέδωκε τῇ ἀσκήσει καὶ ἐγκρατείᾳ, ὡς βραχέος μόνου μεταλαμβάνειν τοῦ ἐκ κριθῆς χυλοῦ καὶ ὕπνου μικροῦ, καὶ τοῦτο οὐκ ἐπὶ κλίνης ἀλλ᾽ ἱστάμενος καὶ σχοινίοις τισὶ διαβασταζόμενος, εἰ δέ που ὀκλάσειε, καθεζόμενος. Τῷ δὲ περιόντι τῆς πρὸς τοὺς δεομένους φιλανθρωπίας[6] καὶ ἑτέροις πολλοῖς εἰς τοῦτο καθίστατο τύπος· ὅθεν καὶ ἐν λόγοις ἐδίδασκε προσφυῶς πρὸς τὴν τοιαύτην ἀρετὴν διακεῖσθαι καὶ τῆς πλεονεξίας ἀπέχεσθαι. Διάτοι τοῦτο καὶ Εὐδοξίᾳ τῇ βασιλίσσῃ πρὸς ἔχθραν κατέστη. Ἡ μὲν γὰρ ἥρπασεν ἀμπελῶνα χήρας τινὸς καὶ ἡ χήρα ἐπεβοᾶτο ἐπιζητοῦσα τὸ ἑαυτῆς. Καὶ ὁ ἅγιος παρῄνει τὸ ἀλλότριον μὴ κατέχειν καὶ μὴ πειθομένην τὴν βασιλίδα διήλεγχεν· ἡ δὲ ἀκρατῶς εἴχετο τοῦ ἀμπελῶνος καὶ ὁ ἅγιος τῷ κατὰ τὴν Ἰεζάβελ παραδείγματι στηλιτεύει αὐτήν· ἡ δὲ ἀποθηριοῦται καὶ τοῦ θρόνου ἀπελαύνει αὐτόν, τὸ μὲν πρῶτον δι᾽ ἑαυτῆς, τὸ δὲ δεύτερον δι᾽ ἐπισκόπων, οἳ ταῖς δυναστείαις μᾶλλον ἢ τῇ εὐσεβείᾳ ἐπολιτεύοντο. Ἐπεὶ δὲ μικρὰ ἔδοξε τὰ κατηγορηθέντα, τῇ ἐκκλησίᾳ ἀποκαθίσταται, οὐ τοῦ θυμοῦ λήξαντος οὐδὲ ἐφ᾽ οἷς ἐξήμαρτον οἱ κατὰ τὸν ἅγιον κινηθέντες λαβόντες μετάνοιαν, ἀλλ᾽ ὅπως ἐκ διαβολῆς καὶ συκοφαντείας μείζονος αἰτιασάμενοι, εὐλόγως αὐτὸν δόξωσιν ἀποκινῆσαι τοῦ θρόνου. Ὃ δὴ καὶ πεποιηκότες, οὐκ εἰς μακρὰν ἐδέξαντο τῆς τοιαύτης πράξεως τὰ ἐπίχειρα. Ὁ μὲν γὰρ ἅγιος ἐν Κουκουσῷ τῆς Ἀρμενίας τελευταῖον παραπεμφθεὶς καὶ θλίψεσι προσομιλήσας πολλαῖς, τὴν τιμίαν αὐτοῦ ψυχὴν παρέθετο τῷ Θεῷ. Οἱ δέ, ὡς ἡ κατ᾽ αὐτῶν[7] ἱστορία δηλοῖ, εὐθὺς μετὰ τὴν ἐκείνου ἀπὸ τοῦ θρόνου κάθοδον νόσοις ἐξετασθέντες δειναῖς, ἀπέρρηξαν τὰς ψυχάς, τῆς Εὐδοξίας πρώτης τοῦτο παθούσης ὡς καὶ πρώτης ἀνομησάσης καὶ τῆς τῶν ἐπισκόπων ψευδομένης[8] γενομένης ὁδηγοῦ πρὸς ἀπώλειαν. Φασὶ δὲ ὅτι μετὰ τὴν αὐτῆς τελευτὴν πρὸς ἔλεγχον τῆς εἰς τὸν Χρυσόστομον ἀδικίας ἡ λάρναξ, ἔνθα κατετέθη, ἐκινεῖτο ἐπὶ χρόνους δύο καὶ τριάκοντα· ἐν δὲ τῷ ἀνακομισθῆναι τὸ τοῦ Χρυσοστόμου τίμιον λείψανον καὶ ἀποτεθῆναι, ἔνθα νῦν ἐστι, καὶ αὐτὸ τοῦτο τρέμειν ἐπαύσατο[9]. — 2. — **Fa** : 1. 2 (... Ἐβόρη ...). — **B** : 1. 2. 3. — **Ba** : 1 (= F). 2 (Μελέτη ἐπισκόπου ἐν Τελεπόλεως καὶ τῶν μαθητῶν αὐτοῦ Ἐβόρι, Πάπα καὶ Σενόϊ διακόνου. = Cd). 3. — **T** : 1. — **L** : 1. — **O** : 1 (= F). 2. 3 (... Γερμανοῦ καὶ Μανοθῶ). — **Q** : 1. 2. 3. — **C** : 1. 2. 3 (... καὶ Μαναθούς). — **Cb** : 1. 2. 3. — **Cc** : 1. 2. 3. — **Cd** : 1. 2 : Μίλη ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ μαθητῶν Ἐβόρη[10], Πάπα καὶ Σεβόρη διακόνου. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος. Ὁ δὲ ἅγιος Μίλης στρατηγὸς τὸ πρότερον ἦν, προεχειρίσθη δὲ ἐπίσκοπος διὰ πολλὴν ἀρετὴν ἐν Τελεπόλει, ἔνθα ὁ προφήτης Δανιὴλ τὰς ὀπτασίας ἐθεάσατο, χειροτονήσαντος αὐτὸν Βηθλαπὰτ[12] τοῦ ἐπισκόπου Γεδδηγουπόλεως[13]· διωχθεὶς δὲ ὑπὸ τῶν ἀπίστων, ἐκεῖθεν ἦλθεν εἰς Ἱεροσόλυμα καὶ εἰς Ἀλεξάνδρειαν πρὸς τὸν μακάριον Ἀντώνιον τὸν καθηγητὴν τῆς ἐρήμου κἀκεῖθεν ὑπέστρεψεν ἐν Περσίδι. Ἐν δὲ Μιλιγέρδᾳ τῇ πόλει γενάμενος παρὰ Μισθοφάρη[14] τοῦ βασιλίσκου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ κατὰ καρδίας πληγείς, τελειοῦται μαχαίρᾳ, διὰ τὸ μὴ θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί. Ἔτι δὲ ἐμπνέων ἔφη πρὸς τὸν βασιλίσκον καὶ τὸν ἀδελφὸν αὐτοῦ Νηρσᾶν ὅτι· « Τὴν αὔριον κατὰ τήνδε τὴν ὥραν ὑπ᾽ ἀλλήλων ἀναιρεθήσεσθε », ὅπερ καὶ γέγονεν. Οἱ δὲ μαθηταὶ αὐτοῦ, ξύλοις τυπτόμενοι, οὕτως ἐτελειώθησαν· ἰάσεις δὲ πολλὰς ἐν τῷ ζῆν ὁ ἅγιος κατεργασάμενος, οὕτως ἐτελειώθη. Καὶ γὰρ δράκοντα ἐθανάτωσε καὶ τὸν ἀρχιεπίσκοπον Κτησιφῶντος ὑπερηφανευσάμενον καὶ τὸ εὐαγγέλιον μυκτηρισάμενον κεραυνόβλητον καὶ ἡμίξηρον διὰ προσευχῆς πεποίηκε· καὶ ποταμὸν ἀβρόχως διέβη καὶ ἄλλα πλεῖστα μνήμης καὶ λόγου δύναμιν ὑπερβαίνοντα. — 3. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

Nov. 14. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 2. 3. 4. — **P** : 1. 2. 4. 3. — **Da** : 1. 2. 5. — **Db** : 1. 2. 5. — **F** : 1. — Ἀντωνίνου, Νικηφόρου κτλ. (Nov. 13[3]). — 2. 4. 3. 5. — **Fa** : 1. — Ἀντωνίνου κτλ. — 2. 4. 5. — **B** : 1. — **Ba** : 1 (= S). 2. 5 (= S). — **T** : 1. — **L** : 1, des. : Τελεῖται ... ἐν τοῖς Βελτιάδου. Ἰστέον ὅτι καὶ ἕτερος Φίλιππός ἐστιν ὁ εἷς τῶν ἑπτὰ διακόνων. — **O** : 1. 2. — **Q** : 1. 2. 5. — **C** : 1. 5. 2. 3. 4. — **Cb** : 1. 2. — **Cc** : 1. 5. 2. 3. 4. — **Cd** : 1. 2 : Ὑπατίου τοῦ θαυματουργοῦ ἐπισκόπου

[1] *om.* F. — [2] Ναικτάριος F. — [3] Ἀρκάδιον F. — [4] πόλιν F. — [5] *om.* F. — [6] φιλανθρωπία F. — [7] κατὰ ταυτῶν F. — [8] τὸν ἐπισκόπων ψευδομένοις F. — [9] (καὶ - ἐπαύσατο) *in marg. manu rec.* F. — [10] Ἐβόρι Cd. — [11] Σεβόρι Cd. — [12] Βιθλαπὰτ Cd. — [13] *Cf. notam 2, ad* S, *nov. 13* [2]. — [14] Μισθοφάρι Cd.

Nov. 14. σεπτῷ[7] ἀποστολείῳ τῷ ὄντι ἐν τοῖς Μιλτιάδου[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ὑπατίου ἐπισκόπου Γαγγρῶν τῆς Παφλαγόνων ἐπαρχίας. Οὗτος εἷς ἦν τῶν τιη' ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων· ἤνθησεν δὲ ἐκ Κιλικίας[1] καὶ ἐν Γαλάταις ἤθλησεν. Διὰ δὲ τὴν ἔνθεον αὐτοῦ καὶ ἐνάρετον πολιτείαν μεγάλα εἰργάσατο θαύματα, πολλὰ πλήθη τῶν ἑλλήνων προσαγαγὼν τῷ Χριστῷ. Οἶκον δὲ κατασκευάσας τοὺς ξένους ὑπεδέχετο· ἀλλὰ καὶ ἀσπάλακας τὴν χώραν δῃοῦντας λόγῳ ἠ|φάνισε· (f. 80v.) καὶ νύκτωρ διερχόμενος ὑπὸ λαμπάδων φωτὸς κατελάμπετο, καὶ ἁλμυρὸν καὶ πικρὸν ὕδωρ εἰς γλυκὺ μετεποίησε. Ἐπὶ Κωνσταντίου δὲ τοῦ υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως θηρίον[2] ποθὲν δράκων μέγας τῷ θησαυρῷ τῶν <βασιλικῶν[3]> χρημάτων ἐπεισῆλθεν καὶ τοσαύτην ἐποίει κατάπληξιν, ὡς μηδένα[4] κατατολμᾶν ἐκεῖσε προσελθεῖν· εἰ δέ τις καὶ προσῆλθεν, εὐθέως ἐθανατοῦτο, καὶ ἦν ἐν ἀπορίᾳ ὁ βασιλεύς. Ἀκούσας δὲ περὶ τοῦ ἁγίου, διαπρεσβεύεται πρὸς αὐτόν· καὶ ἐλθὼν ὁ ἅγιος καὶ πρὸς τὸ ταμεῖον πλησιάσας μόνος, ἀνοίγει ῥάβδῳ τὴν θύραν ἄνωθεν ἐχούσῃ σταυρὸν καὶ ταύτῃ τυπτήσας τὸν δράκοντα, ἐξήγαγε σύρων αὐτὸν ὥσπερ κῆτος[5] τῇ ῥάβδῳ περιειλούμενον· καὶ πυρκαιὰν κελεύσας γενέσθαι μεγάλην ἐν τῷ[6] φόρῳ, ἐκεῖ τοῦτον ἀκοντίσας κατέκαυσεν. Ὁ δὲ βασιλεὺς ἐκπλαγεὶς πρὸς τὸ μὴ τοιοῦτον παθεῖν ἄλλοτε τὸ αὐτοῦ ταμιεῖον, τὴν τοῦ ἁγίου εἰκόνα τῇ εἰσόδῳ αὐτοῦ ἀνεστήλωσεν. Οὗτος φθονούμενος παρὰ τῶν ἀθέων Ναυατιανῶν[7], τῶν καθ' ἑκάστην αὐτῷ ἐπιτρεχόντων, ὑπ' αὐτῶν ἀναιρεῖται· ἐνεδρευσάντων γὰρ αὐτῷ ἐν στενῷ καὶ ἐπὶ κρημνῷ τόπῳ, ἡνίκα παρελθεῖν ἔδει τὸν Ἀβραμιαῖον ἐκεῖνον γέροντα[8], ἄνδρες ὁμοῦ καὶ γυναῖκες λίθοις αὐτὸν ἔβαλον[9]. Ἡμιθανοῦς δὲ αὐτοῦ πεσόντος, γυνή τις ἐναγὴς καὶ ἀκάθαρτος, ὅλην τῆς αἱρέσεως πιοῦσα τὴν κύλικα, λίθον μέγαν λαβοῦσα τῷ κροτάφῳ[10] ἐπιφέρει καὶ τὸ λειπόμενον τῆς ζωῆς ἀφαιρεῖται· καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ μαρτυρία[11].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θωμᾶ πατριάρχου.

4. Καὶ μνήμη Ἰουστινιανοῦ καὶ Θεοδώρας τῶν εὐσεβῶν βασιλέων. Τελεῖται δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ[1].

5. Καὶ μνήμη[1] τοῦ ὁσίου πατρὸς ἡμῶν Φαντίνου τοῦ νέου θαυματουργοῦ. Ὃς[2] εἷλκε τὸ γένος ἐκ[3] χώρας τῶν Καλαβρῶν τῶν πλησίον ὑπαρχόντων Σικελίας, Γεωργίου καὶ Βρυαίνης[4] γέννημα. Οὗτος ἐξ αὐτῶν τῶν σπαργάνων τῷ Θεῷ ἀφιεροῦται παρὰ τῶν φύντων[5] καὶ ὄγδοον ἄγων χρόνον τῷ τῶν μοναζόντων συναριθμεῖται συστήματι· καὶ πᾶσαν ἀρετῆς ἰδέαν διελθὼν ἐργάτης τέλειος τῷ Θεῷ ἀναδείκνυται καὶ ἀγγέλοις ἁμι|λληθείς, (f. 81.) θείων καὶ μεγάλων ἀποκαλύψεων καταξιοῦται, ἐπὶ εἴκοσιν ὅλας ἡμέρας μετέωρος γενόμενος τὸν νοῦν καὶ μηδενὸς αἰσθανόμενος τῶν ἀνθρωπίνων[6]· ὅθεν ἐρημίαις τε καὶ ὄρεσιν ἐμφιλοχωρῶν, ἄτροφος ἐπὶ[7] πολὺ καὶ ἄποτος καὶ γυμνὸς ἐπὶ τεσσάροις χρόνοις διετέλεσεν. Ὅσαις δὲ ἐφόδοις αἰχμαλωσίας καὶ λεηλασίας[8] τοῦ ἀλιτηρίου τῶν Ἄφρων ἔθνους ἐπέπεσεν, οὐκ ἔστιν εἰπεῖν· ἑξήκοντα χρόνοις ὑπὸ τοῖς αὐτῶν κακοῖς πιεζόμενος συνήλγει τοῖς κινδυνεύουσι. Μετὰ ταῦτα δὲ ἀπάρας τῆς ἐνεγκαμένης[9] καὶ συμπαραλαβὼν Βιτάλιον[10] καὶ Νικηφόρον, τῆς Πελοποννήσου[11] ἐπιβαίνει καὶ τῇ Κορίνθῳ προσφοιτᾷ, χρόνον συχνὸν πολλοῖς τῶν ἐκεῖσε γενόμενος πρόξενος σωτηρίας. Αὐτόθεν τὰς Ἀθήνας καταλαμβάνει τὸ ἱερὸν καὶ ἅγιον τέμενος τῆς Θεοτόκου προσκυνήσων καὶ τοῦ τιμίου Ἀνδρέου τὸ λείψανον ἀσπασόμενος· ἐκεῖθεν εἰς Λάρισσαν καταντᾷ, καὶ ἱκανὸν χρόνον τῷ τοῦ ἁγίου Ἀχιλλίου[12] προσεδρεύσας τάφῳ, τὸν συνήθη τῆς διδασκαλίας σπόρον ταῖς τῶν ἀνθρώπων ψυχαῖς κατασπείρας, ἐν Θεσσαλονίκῃ ἔρχεται, ἐπαπολαῦσαι γλιχόμενος τοῦ ναοῦ τοῦ μεγαλομάρτυρος Δημητρίου[13] καὶ τὴν πολυάνθρωπον ἐκείνην πόλιν τῆς αὐτοῦ πολιτείας καὶ ἀρετῆς μέτοχον ἀναδεῖξαι. Οὗτος ὁ πολὺς ἐν ἀρεταῖς καὶ μέγιστος ἐν θαυματουργίαις Φαντῖνος ὀκτὼ διαρκέσας ἐν Θεσσαλονίκῃ χρόνους καὶ πανταχοῦ γῆς καὶ θαλάττης τὰς αὐγὰς τοῦ ἐνθέου αὐτοῦ βίου μέχρι καὶ τῆς βασιλευούσης ἀκοντίσας[14], ἐν γήρᾳ καλῷ καὶ πλήρης ἡμερῶν καταλύει τὸν βίον.

— [7] αὐτοῦ *add.* Sa. — [8] Μιλτιάδος S, Μελτιάδου Sa. *Cf. Febr. 11* [1].
2. — [1] ἐκκ..ϊλικίας S, ἐκ κ||||λικίας Sa. — [2] Sa, θυρὶ S. — [3] Sa, *om.* S. — [4] μὴ ἰδένα Sa. — [5] Sa, Mv, κῆτε S. — [6] τῇ S. — [7] Ναβατιανῶν Sa. — [8] ἄφνω *add.* Sa. — [9] ἔβαλλον Sa. — [10] αὐτοῦ Sa. — [11] τὸ μαρτύριον S.
4. — [1] τελεῖται κτλ. *om.* Sa.
5. — [1] *om.* Sa. τοῦ ὁσίου Φαντίνου *in marg. adscriptum in* S. — [2] οὗτος Sa. — [3] τῆς *add.* Sa. — [4] Βρυένης S, Βρυένης Sa. — [5] φυσάντων Sa. — [6] Sa, ἀνθρώπων S. — [7] ἐπὶ δ' χρόνοις Sa. — [8] λεκλασίας S. — [9] τοῖς ἐνεγκαμένοις S. — [10] Βητάλιον Sa. — [11] Πελοπονήσου Sa. — [12] Ἀχιλίου S. — [13] *ita* Sa, τὸ τοῦ μεγαλομάρτυρος Δημητρίου ναοῦ S. — [14] ἐξακοντίσας Sa.

Nov. 14. Γαγγρῶν τῆς Παφλαγόνων ἐπαρχίας. Οὗτος ὑπῆρχεν εἷς ἐκ τῶν τριακοσίων δέκα ὀκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ Ἀρείου τοῦ ματαιόφρονος, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου· κατειργάσατο δὲ θαύματα πολλά, ἐξ ὧν ἓν ὑπάρχει καὶ τοῦτο. Μετεκλήθη γὰρ παρὰ τοῦ βασιλέως Κωνσταντίνου τοῦ μεγάλου, ἐν τῷ ταμείῳ τῶν βασιλικῶν χρημάτων δράκοντος[1] ποθὲν εἰσερπύσαντος καὶ τὴν τοῦ ταμιείου εἴσοδον μὴ συγχωροῦντός τινι. Ὅστις αὐτὸν δι' εὐχῆς ἐθανάτωσε, προστάξας ἐν τῷ φόρῳ γενέσθαι πυρὰν καὶ ἀπὸ τοῦ ταμιείου τὸν δράκοντα ἀγαγὼν δακόντα τὸ ἄκρον τοῦ ῥαβδίου αὐτοῦ καὶ ἀκολουθοῦντα καὶ ἐμβαλὼν ἐν αὐτῇ κατέκαυσε[2], ὥστε θαυμάσαι πάντας. Διὸ ἐν τῇ εἰσόδῳ τοῦ ταμιείου ὁ βασιλεὺς τὴν εἰκόνα αὐτοῦ ἐζωγράφησεν. Ἐν δὲ τῇ ἰδίᾳ ἐκκλησίᾳ ὑποστρέψας παρὰ τῶν αἱρετικῶν Ναυατιανῶν[3] ἐνεδρευσάντων αὐτὸν διερχόμενον, ἐλιθοβολήθη· καὶ γυνή τις ἐξ αὐτῶν ἐπιτυχοῦσα τῷ ἁγίῳ κατὰ κεφαλῆς μετὰ λίθου τῆς ἐνθάδε ζωῆς ἀπήλλαξε, προεξένησε δὲ τῆς αἰωνίου ζωῆς. — 3. 4. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

[1] δράκων Cd. — [2] καὶ κατακαῦσαι Cd. — [3] Ναυτιανῶν Cd.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

1. Ἄθλησις τῶν ἁγίων[1] ὁμολογητῶν Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου μαρτυρησάντων ἐν Ἐδέσῃ[2] τῇ πόλει. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως[3] καὶ Ἀντωνίνου δουκός· ᾧτινι καὶ διαβληθέντες ὡς τοὺς ἐν τῇ φυλακῇ χριστιανοὺς θεραπεύοντες παρέστησαν, Γουρίας μὲν ὁρμώμενος ἀπὸ Σαρκιγειτνᾶς κώμης, Σαμωνᾶς δὲ ἀπὸ Γάναδος, τρόφιμοι[4] ἄμφω[5] Ἐδέσης καὶ[6] ἐν τάξει ἱερέων ὑπάρχοντες. Μὴ πεισθέντες οὖν θῦσαι τοῖς εἰδώλοις κρεμῶνται ἕκαστος ἀπὸ τῆς μιᾶς χειρὸς ἐπὶ πέντε ὥρας· εἶτα κατενεχθέντες καὶ ἐπιμένοντες τῇ ὁμολογίᾳ πάλιν κρε|μῶνται (f. 81v.) ἀπὸ τῶν ποδῶν· εἶτα ἐν λάκκῳ σκοτεινῷ ἀμφότεροι βάλλονται καὶ μετὰ τοῦτο τὰς κεφαλὰς ἀποτέμνονται. Ὁ δὲ ἅγιος Ἄβιβος διάκονος ὢν ἐμαρτύρησεν ἐπὶ Λικινίου[7] διαβληθείς, ὅτι κατὰ τὰς κώμας περιερχόμενος ὑπαναγινώσκει τοῖς πιστοῖς τὰς ἱερὰς βίβλους ἐπιστηρίζων αὐτούς· ὅθεν προστάξει τοῦ βασιλέως εἰς κάμινον ἐμβληθεὶς[8] τὸν τοῦ μαρτυρίου δρόμον ἐτελείωσε[9]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι πλησίον τοῦ Φόρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ σφαγὴ[1] τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου. Ἰάκωβος ὁ ἀπόστολος ὑπῆρχε μὲν[2] ἐκ τῶν δώδεκα ἀποστόλων, ἦν δὲ ἀδελφὸς τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου· υἱὸς Ζεβεδαίου, τοῦ ἀπὸ τῆς[2] Γαλιλαίας. Μετὰ δὲ τὴν ἀνάληψιν τοῦ Κυρίου καὶ τὴν κοίμησιν τῆς ἁγίας[3] Θεοτόκου, ὁ μὲν Ἰωάννης κατέλαβε τὴν Ἔφεσον διδάσκων ἐν αὐτῇ. Οὗτος δὲ ὑπολειφθεὶς εἰς τὰ Ἱεροσόλυμα καὶ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ διελθὼν εὐαγγελιζόμενος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐκρατήθη παρὰ Ἡρώδου τοῦ τετράρχου ἐν Καισαρείᾳ τῆς Παλαιστίνης καὶ ὑπ' αὐτοῦ σφαγεὶς ἐν μαχαίρᾳ ἐτελειώθη. Nov. 15.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Δημητρίου. Οὗτος ὥρμητο ἀπὸ χώρας Δαβουδέως[1] ἀπεχούσης ἀπὸ Ἀμαπασοῦς μίλια κδ'[2]· κρατηθεὶς δὲ ἐπὶ Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων καὶ Πουπλίου ἄρχοντος καὶ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν πολλαῖς τιμωρίαις βασάνων[3] προσομιλήσας, τελευταῖον ξίφει τὴν κεφαλὴν ἀπετμήθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ[1] μαρτύρων Ἐλπιδίου, Εὐστοχίου, Μαρκέλλου καὶ τῶν σὺν αὐτοῖς ἀθλησάντων ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου. Οὗτος ὁ μακάριος Ἐλπίδιος εἷς τῆς συγκλήτου ὑπῆρχεν καὶ πρῶτος τελῶν τὰς παρὰ τοῦ βασιλέως τιμὰς καὶ τὰ μυστικὰ πιστευόμενος πράγματα καὶ νόμους γράφων. Παραστὰς δὲ τῷ παρανόμῳ Ἰουλιανῷ ὡς τοῦ Χριστοῦ θεράπων, τρίχινον ἱμάτιον περιβάλλεται σιδηροῦς τριβόλους ἐμπεπαρμένους ἔχων· καὶ πίσσαν καχλάζουσαν ἐπαλείφεσθαι ἄνωθεν ὁ μιαρώτατος προσέταττεν, ὅπως, φησίν, οἱ σιδηροῖ τρίβολοι ἑδραιω|θῶσι (f. 82.) καὶ ἀμετάθετοι μένοιεν· εἶτα τύπτεται κατὰ πᾶν μέρος[2] τοῦ ἱματίου ὕπερθεν πρὸς τὸ διαδῦναι μέχρι τῶν ἐντοσθίων αὐτοῦ τὰς τῶν τριβόλων ἀκίδας καὶ δριμείας ὀδύνας παρέχειν[3]· μετὰ ταῦτα ἐν λάκκῳ βληθεὶς βαθυτάτῳ[4], καταχέεται καχλάζον θερμόν[5], ἕως πάντα τὰ ὀστᾶ αὐτοῦ γυμνὰ πᾶσιν ἐδείκνυτο. Καὶ αὖθις ἄσφαλτον καὶ θεῖον καὶ στέαρ καὶ πίσσαν ἐν λέβητι βληθεῖσαν[6] καὶ σφοδρῶς ἐκκαυθεῖσαν[7], ἑνός τε κράματος ἐξ ἑκατέρων γενομένου πολλοῦ, τοῖς ἤδη κατακαυθεῖσι μέλεσι διά τινων σιδηρολά-

1. — [1] καὶ ἐνδόξων τοῦ Χριστοῦ *add.* Sa. — [2] Ἐδέσσῃ Sa. — [3] *om.* Sa. — [4] καὶ ὁ Ἄβιβος Sa. — [5] ἀπὸ Sa. — [6] *om.* Sa. — [7] Λικιννίου Sa. — [8] βληθεὶς Sa. — [9] ἐτέλεσε Sa.
2. — [1] (ἡ σφαγὴ) μνήμη Sa. — [2] *om.* Sa. — [3] ὑπεραγίας Sa.
3. — [1] Δαβούδιος S, Δ|||αβουδέως Sa. — [2] (ἀπεχούσης - κδ') *om.* Sa. — [3] βασάνῳ Sa.
4. — [1] τοῦ Χριστοῦ *om.* Sa. — [2] παντὸς μέρους Sa. — [3] τῷ μάρτυρι *add.* Sa. — [4] κατωτάτω Sa. — [5] Sa, καχλάζων θερμῷ S. — [6] βληθέντα Sa. — [7] ἐκκαυθέντα Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 3. — Ἄζη καὶ τοῦ ὁσίου Βαρούχ. — 2. — **P** : 1. 3. 2. — Βαρούχ. — **Da** : 1 (= Ba). 3. 4. — **Db** : 1, mutil. — **F** : 1. 3. 4. — **Fa** : 1. 3. 4. — **B** : 1. 3. 2. — **Ba** : 1 : Γουρία, Σαμωνᾶ[1] καὶ Ἀβίβου. Οὗτοι οἱ ἅγιοι μάρτυρες Σαμωνᾶς καὶ Γουρίας ἤθλησαν ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Ἀντωνίνου[2] δουκός· διεβλήθησαν δὲ ὡς ἀναπείθοντες τοὺς ἀνθρώπους μὴ θύειν εἰδώλοις· καὶ εὐθὺς ἀναρτῶνται ἀπὸ τῆς μιᾶς χειρὸς ἑκάτερος, τῶν ποδῶν αὐτῶν κάτωθεν βαρουμένων· καὶ ἔμειναν ἀπὸ ὥρας τρίτης ἕως ὥρας ε' κρεμάμενοι· εἶτα κατενεχθέντες ἐν σκοτεινῷ τόπῳ τῆς φυλακῆς ἐναπορρίπτονται, τῷ ξύλῳ τοὺς πόδας περισφιγχθέντες· καὶ ἔμειναν ἐκεῖ λιμῷ καὶ δίψει καὶ δεσμοῖς πιεζόμενοι τετραμηνιαῖον χρόνον. Μετὰ ταῦτα ὁ μὲν ἅγιος Σαμωνᾶς ἀναρτᾶται τοῦ ἑνὸς ποδὸς καὶ ἐξαρθρωθεὶς τὸ γόνυ, κατὰ κεφαλῆς ἀπὸ ὥρας δευτέρης ἕως ὥρας ε' κρεμνᾶται. Τὸν δὲ ἅγιον Γουρίαν ἐαθέντα ὡς ἡμιθανῆ τὰ νῦν, τῇ ἑξῆς σὺν τῷ μακαρίῳ Σαμωνᾷ τὴν διὰ ξίφους οἱ διῶκται τιμωρίαν ἐπιφέρουσιν. Ἄβιβος δὲ ὁ ἅγιος, διάκονος ὢν τὴν τάξιν ἐπὶ Λικινίου[3] τοῦ βασιλέως διαβληθείς, κρεμασθεὶς τύπτεται καὶ ἀφεθεὶς πάλιν ἐρωτᾶται, καὶ μηδ' ὅλως εἴξας τῷ θελήματι τοῦ τυράννου, τῷ πυρὶ παραδίδοται, ἱμάντα ἔχων ἐπὶ τοῦ στόματος τρόπον φονέως· καὶ οὕτως ἐτέλεσεν αὐτὴν τὴν μαρτυρίαν. Λέγεται δὲ τοὺς ἁγίους τούσδε θαῦμα πεποιηκέναι τῶν πώποτε μνημονευομένων θαυμασιώτερον. Γυναῖκα γὰρ τῶν Ἐδεσηνῶν[4] Γότθος τις ἀποπλανήσας ἦν, ἐκ τῆς τῶν ἁγίων σοροῦ παρὰ τῆς μητρὸς εἰληφὼς καὶ τῇ ἑαυτοῦ γῇ οὐχ' ὡς εἴληφεν, νομίμως γὰρ αὐτὴν ἔγημεν, ἀλλ' ὡς δούλην ἀπαγαγών· παρὰ τῶν τῇ γυναικὶ τοῦ Γότθου (ἑτέραν γὰρ ἦν ἔχων ἐν τῇ γῇ αὐτοῦ) προσηκόντων ἐν μνήματι ζώσης βληθείσης, ἄρτι τῆς τοῦ Γότθου γυναικὸς ὑπὸ τῆς ἰδίας πάγης ἁλούσης καὶ θανούσης, κἀκεῖσε κατέ- Nov. 15.

[1] Σαμονᾶ; *deinde* Σαμωνᾶ Ba. — [2] Ἀντωνίου Ba. — [3] Λικιννίου Ba. — [4] Αἰδεσηνῶν Ba.

Nov. 15. βων σκευῶν εἰς κόρον ἐπαντλεῖται. Εἶτα πάλιν μιγέντων σινήπεως καὶ ἅλατος ὄξους τε καὶ χολῆς καὶ θείου ἀπείρου καὶ ἀσφάλτου καὶ γενομένων ἓν κρᾶμα, κελεύεται τοῦτο πιεῖν ἐν ποτηρίῳ καὶ ἔπιε· καὶ μετὰ ταῦτα ἐνεχθέντων ἵππων ἀγρίων καὶ ταύρων, ὁμοίων δεσμευθῆναι[8] τὰς τρίχας τῆς κεφαλῆς[9] πρὸς τὰ κέρατα ταύρου ἑνός, συνδεθῆναί[10] τε[11] σχοινίῳ ἑνὶ τὸν τράχηλον αὐτοῦ τε καὶ τοῦ ταύρου καὶ σιδηρᾶν ἅλυσιν ἐπὶ τὸν πόδα Ἐλπιδίου καὶ ἐκ τοῦ ὄπισθεν ποδὸς τοῦ ἵππου. Ὡσαύτως Εὐστόχιόν τε καὶ Μάρκελλον ὁμοιοτρόπῳ σχήματι προσδήσαντες ἕκαστον πρὸς ἕκαστον ἵππον καὶ ταῦρον καὶ ὀξυτάτοις βέλεσι τιτρώσκοντες τὰ ζῷα ἀπήλαυνον πρὸς τὸ διασπάσαι[12] τῶν μαρτύρων τὰ μέλη βίᾳ συνελαυνόμενα. Τὰ δὲ ἦν πάγια ἑστῶτα καὶ ἀμετακίνητα. Ἐξέστη ταῦτα ἰδὼν ὁ Ἰουλιανός· ἔπειτα ῥοπάλοις καὶ βάκλοις ἀγρίοις συντρίβονται πάντα τὰ μέλη καὶ ἐν πυρὶ ῥίπτονται· οἵτινες τὰς ψυχὰς αὐτῶν ἀφῆκαν εἰς χεῖρας Θεοῦ μηνὶ σεπτεμβρίῳ κς'. Οἳ καὶ κατετέθησαν ἔν τινι τάφῳ ἐν τῷ Καρμηλίῳ ὄρει. Παραυτίκα δὲ σεισμοῦ καὶ κλόνου μεγίστου γεγονότος, ὥστε τὸ ὄρος ὅλον σαλεύεσθαι, κατελθὼν ὁ Κύριος μετὰ δυνάμεως καὶ δόξης πολλῆς ἠσπάσατο τοὺς μάρτυρας καὶ Μάρκελλον μὲν καὶ Εὐστόχιον μετέθηκεν ἐν ᾧ εὐδόκησε τόπῳ, τὸν δὲ μέγαν Ἐλπίδιον αὖθις ἀνακτησάμενος καὶ παραθαρρύνας πρὸς τὸν ἀγῶνα παρέπεμψεν· ὃν ἰδὼν Ἰουλιανὸς ἐπάγη[13] καὶ θυμῷ ὑπερζέσας ἐκέλευσε[14]. Καὶ ἀπλοῦται ὁ μέγας ἐκ τεσσάρων ἐπ' ἐδάφους καὶ ἀνενδότως μαστίζεται, ὀξάλμη[15] τε παμπληθεῖ[16] καταντλᾶται καὶ τριχίνοις ῥάκεσι τοὺς μώλωπας ἀνα|τρίβεται· καὶ καθίζουσιν αὐτὸν ἐπὶ σποδοῦ ζεούσης ἀνθρακιᾶς καὶ πυρὸς ἄνθρακας ἐπὶ τὴν κεφαλὴν ἐπιτιθέασι· καὶ ἦν πάντων ἀνώτερος. Εἶτα ἐπὶ τοῦ βασανιστηρίου ξύλου ἀναρτᾶται καὶ ξέεται εὐτόνως τοῖς σιδηροῖς ὄνυξι μέχρις αὐτῶν τῶν ὀστῶν, ὥστε φαίνεσθαι γυμνά· ἔπειτα πάλιν κελεύει ὁ αἱμοβόρος θυρεὸν σιδηροῦν ἔχοντα κατὰ τὸ μέσον ὀπὴν τεθῆναι ἐπὶ τὸν ὦμον αὐτοῦ ἐπιτεθῆναί τε ἐπ' αὐτὸν[17] καμίνου δίκην ὕλην πυρὸς πολυτελῆ διὰ νάφθης καὶ πίσσης στυπείου τε καὶ κληματίδος καὶ ταύτην ἐξαίφνης ἐξάψαι πυρί, ὅπως τῆς φλογὸς εἰς ὕψος αἰρομένης διαφθαρῇ καὶ τακήσεται πᾶν τὸ πρόσωπον αὐτοῦ καὶ τὰ αἰσθητήρια, κορακί τε σιδηρῷ κατὰ τῆς κεφαλῆς[18] αὐτοῦ τύπτειν προσέταξε, μέχρις ἂν φασὶ[19] τοῦ ἐγκεφάλου τὸ ὑγρὸν διὰ τῶν ῥινῶν ἐκκενωθῇ· ἀλλὰ καὶ ταύτην τὴν βάσανον[20] χάριτι Θεοῦ γενναίως ἐνεγκὼν καὶ ὑπεράνω αὐτῆς[21] γενόμενος, πολλοὺς πρὸς τὸν Χριστὸν ἐπεσπάσατο. Αὐτὸς δὲ ἐπὶ πλεῖον χαριτωθεὶς καὶ εὐξάμενος, πάντα τὰ σεβάσματα τῶν παρανόμων ὑφ' ἓν συνέτριψε καὶ κατηδάφισεν ἐκεῖνον αὐτὸν[22] καταισχύνας καὶ στηλιτεύσας ὡς ἀποστάτην[23]· ὃς λίαν μανεὶς καὶ[24] κάμινον ἐκκαύσας, ἐνέβαλε τὸν ἅγιον ἐν αὐτῇ ὑμνοῦντα καὶ εὐλογοῦντα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μέγιστα σημεῖα καὶ θαύματα[25] ποιοῦντα· καὶ οὕτως ἐτελειώθη. f. 82v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚ'.

Nov. 16. **1.** Μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου, τοῦ καὶ Λευῒ καλουμένου καὶ ἀδελφοῦ Ἰακώβου τοῦ Ἀλφαίου. Οὗτος ἦν ὁ τελώνης ὁ ποιήσας δοχὴν μεγάλην τῷ Ἰησοῦ, καθώς φησι τὸ εὐαγγέλιον. Οὗτος τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν δεξάμενος καὶ τὸ θεῖον

— [8] *correxi*, ὁμοίως δεσμεῖται S, ὁμοίων δεσμεῖται Sa. — [9] Ἐλπίδιος *add.* Sa. — [10] συνδησάντων Sa. — [11] *om.* Sa. — [12] διασπᾶν Sa. — [13] ὁ Ἰουλιανὸς ἀπεπάγη Sa. — [14] *nonnulla excidisse patet: supple v. c.* τὸν ἅγιον αὖθις τιμωρηθῆναι. — [15] ἅλμη Sa. — [16] σὺν ὄξει *add.* Sa. — [17] αὐτῷ Sa. — [18] κορυφῆς Sa. — [19] φησὶ Sa. — [20] βασάννον S. — [21] ταύτην Sa. — [22] (ἐκεῖνον αὐτόν) αὐτὸν ἐκεῖνον τὸν βασιλέα Ἰουλιανὸν Sa. — [23] καὶ ἐχθρὸν τοῦ Θεοῦ *add.* Sa. — [24] *om.* Sa. — [25] θαυμάσια Sa.

Nov. 15. θετο· οἱ ἅγιοι τοῦ Χριστοῦ ὁμολογηταὶ ἐπιστάντες αὐτῇ ἐν τῷ μνήματι καὶ χαρᾶς πληρώσαντες, ὥσπερ ποτὲ τὸν Ἀμβακοὺμ ὁ ἄγγελος ἐξ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα βαστάσας ἀπήνεγκεν, οὕτω καὶ οὗτοι ταύτην τοῦ μνήματος καὶ τῆς δυσωδίας ἐκείνης ἐλευθερώσαντες, ἀπὸ τῆς τῶν Γότθων εἰς Ἔδεσαν ἤγαγον καὶ τῷ σεπτῷ αὐτῶν ναῷ παρεστήσαντο. Ἐνδημήσαντι δὲ αὖθις τῷ Γότθῳ κατὰ τὴν Ἔδεσαν, φωράσαντες αὐτὸν οἱ ἅγιοι τοῦ τολμήματος, δικαίᾳ κρίσει τὸν ἄθλιον καθυπέβαλον. — 3. 4. — **T** : 1. — **L** : 1. 3. — Τοῦ ἁγίου μάρτυρος Ἀζῆ καὶ τοῦ ὁσίου Βαρούχ. — 2. — **O** : 1 (= Ba). 3. 4. — **Q** : 1. 3. 4. — **C** : 1. 3. — Τοῦ ὁσίου Βαρούχ. — 2. — **Cb** : 1. — Βαρούχ. — 2. — **Cc** : 1. 3. — Βαρούχ. — 2. — **Cd** : 1. 3. 2. — **M** : 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Κυντιανοῦ[5] ἐπισκόπου Σελευκείας. — Μνήμη τῶν εὐσεβῶν βασιλέων Ἰουστίνου καὶ Θεοδώρας (Nov. 14[4]). — Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως τοῦ νέου (Nov. 14[3]). — 4. — **Mv** : 1. — Κυντιανοῦ[6] ἐπισκόπου Σελευκίας. — Ἰουστίνου καὶ Θεοδώρας. — Θωμᾶ. — Ὑπατίου ἐπισκόπου Γαγγρῶν (Nov. 14[2]). — 3. — **Mr** : 1.

Nov. 16. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — Βαρλαάμ (Nov. 19[2]). — **P** : 1. — Τῶν ἁγίων μαρτύρων Εὐψυχίου, Νεάρχου, Καρτερίου καὶ τῆς συνοδίας αὐτῶν. — **Da** : 1. — Βαρλαάμ. — **Db** : mutil., Βαρλαάμ. — **F** : 1. — Βαρλαάμ. Οὗτος εἷλκε τὸ γένος ἐξ Ἀντιοχείας τῆς μεγάλης, πρεσβύτης τὴν ἡλικίαν, ὃν καὶ ὁ τίμιος Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. Διὰ τὴν εἰς Χριστὸν οὖν ὁμολογίαν, τῷ ἄρχοντι προσαχθεὶς ἐκ τοῦ δεσμωτηρίου, τύπτεται[1] βουνεύροις καὶ τοὺς ὄνυχας ἀποριζοῦται· εἶτα τῷ βωμῷ προσαχθεὶς ἁπλοῦται τὴν χεῖρα καὶ πῦρ ἐπ' αὐτῆς καὶ λιβανωτὸν δέχεται, δεδογμένον τοῦτο τῷ ἄρχοντι, ὡς, εἰ τοὺς ἄνθρακας μετὰ τοῦ λιβανωτοῦ τῷ βωμῷ[2] ἐπιρρίψειε, νομίζεσθαι αὐτὸν τοῖς εἰδώλοις θυσίαν προσενεγκεῖν. Ὁ δὲ ἀνένδοτος εἱστήκει καὶ ἄτρεπτος, εὐτονωτέρας αὐτοῦ χαλκοῦ καὶ

— [5] Κεντιανοῦ M. — [6] Κυντιριανοῦ Mv.
[1] τύπτε F. — [2] βονιῶ F.

εὐαγγέλιον τῇ ἑβραΐδι διαλέκτῳ συντάξας, τοῖς πρὸς ἀνατολὴν[1] Ἰουδαίοις εὐαγγελισάμενος καὶ ἐν τῇ Παρθυαίων[2] γῇ τὸν θεῖον λόγον κατέσπειρε· παρ' οἷς καὶ πολλὰ ἐργασάμενος θαύματα καὶ πολλὰς ὑπὸ τῶν ἀπίστων ὑπομείνας θλίψεις, τὴν ἀποκληρωθεῖσαν αὐτῷ Ἱεράπολιν τῆς Συρίας τῷ τοῦ Εὐφράτου[3] μέρει διακειμένην[4] καταλαμβάνει. Καὶ ἐπειδὴ πρὸς ἀληθείας ἐπίγνωσιν ἐπανήγαγε καὶ τοὺς ἐν αὐτῇ καὶ τῆς ἑαυτοῦ κλήσεως ἀξίαν τὴν | ἐργασίαν ἀπέδωκε[5] τῷ ποιήσαντι[6], πλήρης ἡμερῶν γενόμενος τῶν τοῦ πνεύματος καὶ τὸν ἀποστολικὸν πληρώσας δρόμον, ἐν εἰρήνῃ πρὸς τὸν τῆς εἰρήνης ἀναλύει Θεόν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, τῷ συγκειμένῳ[7] τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ[8]. Nov. 16. f. 83.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θαυματουργοῦ ἐπισκόπου Νεοκαισαρείας. Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως, υἱὸς ὑπάρχων ἕλληνος[1]. Αὐτὸς δὲ γεγονὼς χριστιανὸς καὶ τὸ τῆς πίστεως μυστήριον διδαχθεὶς δι' ὀπτασίας παρὰ τῆς ὑπεραγίας Θεοτόκου καὶ τοῦ θεολόγου Ἰωάννου[2], ἔλαβε καὶ τὸ τῶν θαυματουργιῶν χάρισμα καὶ ἐκλήθη θαυματουργὸς ποιῶν θαύματα πολλά[3], ἐξ ὧν εἰσι καὶ ταῦτα. Εἰς γὰρ Ἀλεξάνδρειαν ἀπελθὼν[4] καὶ κατηγορηθεὶς ὑπὸ πόρνης, ἐπιπέμπει αὐτῇ δαίμονα[5] καὶ πάλιν ἰᾶται. Εἶτα μὴ παρὼν ἐν Ἀμασείᾳ ὅμως διὰ τὴν αὐτοῦ ἀρετὴν χειροτονεῖται ἐπίσκοπος ὑπὸ Φαιδίμου τοῦ Ἀμασείας· λίθον τε μέγαν[6] ποιήσας περιπατῆσαι, Nov. 17.

1. — [1] ἀνατολάς τε Sa. — [2] παρθυέων S, παρθ|||||ῶν Sa. — [3] Εὐφράτη S. — [4] διακειμένη Sa. — [5] ἀποδέδωκε Sa. — [6] καλέσαντι αὐτὸν Sa. — [7] Sa, τοῦ συγκειμένου S. — [8] ταῖς αὐτοῦ πρεσβειαῖς *add.* Sa.
1. — [1] ἑλλήνων Sa. — [2] τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου Sa. — [3] πολλὰ θαύματα Sa. — [4] μαθημάτων χάριν *add.* Sa. — [5] Sa, δημοσίᾳ S. — [6] μέγα S.

Nov. 16. σιδήρου φανείσης τῆς δεξιᾶς, ἕως οὗ τὴν ὑποκειμένην σάρκα τῆς χειρὸς τὸ πῦρ δαπανῆσαν καὶ καταφαγὸν εἰς τὴν γῆν ἐξέπεσεν· τῶν νευρῶν οὖν διασπασθέντων καὶ τῆς χειρὸς διατρηθείσης, αὐτὸς εὐχόμενος τὸ πνεῦμα τῷ Θεῷ παρέδωκεν. — **Fa** : 1. — Βαρλαάμ. — **B** : 1. — Βαρλαάμ. — **Ba** : 1. — Βαρλαάμ. — **T** : 1. — **L** : 1. — Βαρλαάμ. — **O** : 1. — Βαρλαάμ. — **Q** : 1. — Βαρλαάμ. — Μνήμη τοῦ ὀρθοδόξου βασιλέως Ἰουστινιανοῦ. Οὗτος ἄριστος ἐν πολέμοις φανεὶς καὶ ζηλωτὴς ὢν τῆς ὀρθοδόξου πίστεως, σύνοδον ἐν Κωνσταντινουπόλει πεποίηκεν καὶ τοὺς αἱρετικοὺς τελείως ἠφάνισεν. Οὗτος ἐποίησε τὰς νεαρὰς διατάξεις, ἐκφωνήσας καὶ τύπον περί τε ἐπισκόπων καὶ ξενοδόχων καὶ οἰκονόμων ὀρφανοτρόφων, ὥστε μὴ κληρονομεῖν πλὴν ἃ πρὸ τοῦ γενέσθαι ἐκέκτηντο. Οὗτος κτίζει τὴν μεγάλην ἐκκλησίαν πολλοῖς ἀναλώμασι καὶ χρήμασιν ἐκκενώσας ἐν αὐτῇ καὶ πολὺν ἄργυρον καὶ χρυσὸν καὶ πολλοῖς ἀναθήμασιν ἱεροῖς καὶ πέπλοις χρυσοϋφέσιν[3] ἀναθεὶς ἐν αὐτῇ. Οὗτος ἐν πάσῃ Αἰγύπτῳ καὶ Παλαιστίνῃ καὶ Συρίᾳ πάσῃ ἐκκλησίας ἐδείματο ἀριθμὸν ὑπερβαινούσας[4]. Οὗτος ὁ ἀοίδιμος βασιλεὺς τὸ ἐν τῷ ἁγίῳ ὄρει Σινᾷ φρούριον μεγαλοπρεπὲς ᾠκοδόμησεν καὶ τοὺς ἐν αὐτῷ θείους ναοὺς ἐντίμως οἰκοδομήσας ἐδόξασε· καὶ τὴν πανθαύμαστον ἐκκλησίαν τοῦ αὐτοῦ ἁγίου ὄρους τῆς ἁγίας κορυφῆς αὐτὸς ἐδείματο· καὶ χρημάτων εἰσόδους δαψιλῶς τοῖς ἐν τῷ Σινᾷ μοναστηρίοις καὶ πάσῃ τῇ Αἰγύπτῳ καὶ Παλαιστίνῃ διακειμένοις σεμνείοις καὶ παρθενῶσιν ἀφθόνως ἐχορήγησε. Οὗτος καὶ τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς[5] παρέδωκε τῇ ἐκκλησίᾳ ἑορτάζειν. Ἐπὶ τοῦ αὐτοῦ Εὐλαλίου τινὸς ἀπὸ πλουσίων πένητος τελευτήσαντος καὶ γράψαντος τὸν βασιλέα κληρονόμον ἐν διαθήκαις καὶ παρακελευσαμένου ὥστε τὰς ἑπτὰ θυγατέρας ἀπόρους καταλειφθείσας καὶ μικρὰς ἀναθρέψαι αὐτὰς καὶ ἐκπροικῆσαι τὸν βασιλέα καὶ πάντα αὐτοῦ τὰ χρέη δοῦναι τοῖς δανεισταῖς καὶ τὰ γράμματα[6] αὐτοῦ ἀναρρύσασθαι, οὗτος τὴν διαθήκην ἐπὶ χεῖρας δεξάμενος ὁ βασιλεὺς αὐτίκα τὰς θυγατέρας τοῦ διαθεμένου ἐν τοῖς βασιλείοις ἀναγαγὼν καὶ βασιλικῶς αὐτὰς ἀναθρέψας καὶ ἐκπροικήσας βασιλικῶς καὶ τοῖς δανεισταῖς τὰ χρήματα ἐπὶ τὸ διπλάσιον δοὺς καὶ πάντα βασιλικῶς ἐκπληρώσας καὶ καταπλήξας ἐν τούτῳ πάντα ἀκούσαντα ἄνθρωπον, καὶ ἕτερα δὲ πλεῖστα διαπραξάμενος ἔργα μνήμης καὶ θαύματος ἄξια, καταλύει τὸν βίον (Nov. 14[4]). — **C** : 1. — Ἐλπιδίου κτλ. (Nov. 15[4]). — Βαρλαάμ. In margine ἄφες αὐτό. — **Cb** : 1. — Βαρλαάμ. — **Cc** : 1. — Ἐλπιδίου. — Βαρλαάμ. — **M** : 1. — **Mv** : 1. — Βαρλαάμ. — **Mr** : 1.

Nov. 17. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. — **P** : 1. — **Da** : 1 (= Ba). 2 (= Ba). — **Db** : 1. 2. — **F** : 1 : Γρηγορίου τοῦ θαυματουργοῦ ἐπισκόπου Νεοκαισαρείας. Οὗτος ὑπῆρχεν ἐπὶ Αὐρηλιανοῦ[1] τοῦ βασιλέως ἐξ ἑλλήνων γεννηθείς· τῇ δὲ τῶν κρειττόνων μερίδι εὐθὺς ἐξ ἀρχῆς προσθεὶς ἑαυτόν, τὴν ἀληθῆ καὶ κατὰ Χριστὸν πίστιν ἐπέγνω· καὶ προϊούσης τῆς ἡλικίας <τὸ>[2] τῆς εὐσεβείας αὐτῷ συνηυξάνετο· μεγέθει δὲ καὶ πλήθει θαυμάτων ἃ κατειργάσατο τὸ ἐπώνυμον ἔσχεν ὃ λέγεται. Ἔτι γὰρ ἐν τῇ σχολῇ συνήθως φοιτῶν ἐν Ἀλεξανδρείᾳ καὶ παιδείας μεταλαμβάνων τῆς κατὰ φιλοσοφίαν, ἑταιρικὸν γύναιον ἐξ οἰκήματος ἐπὶ διαβολῇ αὐτοῦ προσελθὸν καὶ δαίμονι διὰ τὴν συκοφαντίαν ληφθὲν καὶ εἰς γῆν σπαραττόμενον ἰάσατο διὰ προσευχῆς· καὶ τὴν Θεοτόκον ἅμα Ἰωάννῃ τῷ θεολόγῳ εἶδεν μυοῦντας αὐτὸν τὸ τῆς Τριάδος μυστήριον, καὶ μετὰ τὸ[3] ἐπίσκοπος χειροτονηθῆναι παρὰ Φαιδίμου[4] τοῦ τῆς Ἀμασείας προέδρου, ἐν τῷ ἀπιέναι πρὸς τὴν λαχοῦσαν ἐκκλησίαν καὶ μετὰ[5] τὸ ἀπελθεῖν, ἀκοῆς ἀνώτερα καὶ μείζονα πίστεως πεποιηκέναι λέγεται. Λίθον γὰρ βουνῷ παραπλήσιον διὰ προσευχῆς ἐκίνησε καὶ πρὸς ἕτερον μετήγαγε μέρος· ἔνθα καὶ τὸν νεωκόρον, ὅθεν διὰ προστάγματος τοῦ ἁγίου τὰ δαιμόνια

— [3] *casus ineptos non correxi.* — [4] ὑπερβαίνοντας Q. — [5] ὑποπαντῆς Q. — [6] γράμμα Q.
[1] Αὐριλλιανοῦ F. — [2] *suppleri, om.* F. — [3] τοῦτο *in marg. corr.* F. — [4] Φαιδήμου F. — [5] με F.

Nov. 17. ἐβάπτισε τὸν προσμονάριον τῶν εἰδώλων· καὶ ἀδελφῶν δύο διὰ λίμνην ὑπομαχομένων, ἐξήρανεν αὐτὴν καὶ τὴν ῥάβδον[7] πήξας ἔστησε ποταμόν[8], ἥτις καὶ ἐγένετο εἰς δένδρον μέγα. Καὶ ἄλλα μυρία ποιήσας ἐν τῷ μέλλειν ἐκδημεῖν, εὐχαρίστει[9] τῷ Θεῷ, ὅτι ἐν τῇ αὐτοῦ πόλει τοσούτους ἀπίστους κατέλιπεν· ὅσους εὗρε χριστιανούς· καὶ οὕτως ἐτελειώθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ[10] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ ὁμολογητοῦ Λαζάρου τοῦ ζωγράφου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τῶν εἰκονομάχων· ἔρωτι δὲ τῆς θείας τοῦ Χριστοῦ ἀγάπης τρωθείς, ἡρετίσατο ἐκ παιδόθεν ὑπελθεῖν τὸν μονήρη βίον, χαίρειν εἰπὼν πάσῃ ματαιότητι, ἀκτημοσύνην μετερχόμενος καὶ ἐλεημοσύνης ἐπιμελούμενος πρὸς τῇ σκληραγωγίᾳ καὶ ἐγκρατείᾳ καὶ ἀγρυπνίᾳ. Ἐν τούτοις τοῖς μεγίστοις πλεονεκτήμασι διαλάμπων, τοῦ τῆς ἱερωσύνης τετύχηκεν ἀξιώματος. Πλεῖστα δὲ κολαστήρια καθυπέμεινεν οὐ μόνον παρὰ τῶν τὰ[1] Νεστορίου καὶ Εὐτυχοῦς καὶ Διοσκόρου φρονούντων, ὁμολογῶν τὸν Χριστὸν τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον, ἀσυγχύτως, ἀτρέπτως, ἀναλ-

— [7] αὐτοῦ *add.* Sa. — [8] ποταμοῦ ῥύμην ἀτάκτως φερομένην Sa. — [9] ηὐχαρίστη Sa. — [10] ἁγιωτάτῃ *add.* Sa.
2. — [1] τοῦ Sa.

Nov. 17. ἐξῆλθεν καὶ πάλιν εἰσῆλθεν, ἐφειλκύσατο πρὸς τὴν πίστιν· καὶ λίμνην θαλάσσῃ κυμαίνουσαν ἴσα, μίαν νύκτα διακαρτερήσας[6] ἐν προσευχῇ, ἄνικμον καὶ χέρσον ἀπέδειξε, τῶν δύο ἀδελφῶν τῶν ἀντιποιουμένων τῆς λίμνης τὸν κατ' ἀλλήλων συναποξηράνας θυμόν, πολεμικῶς καὶ ἀδιαλλάκτως ἐχόντων. Ἔτι δὲ καὶ τοῦ ποταμοῦ τὴν ἐπὶ τὰ πρόσω φορὰν ἐπέσχε, τῶν προσοίκων αὐτοῦ δεηθέντων, κατὰ τῆς διαβρόχου γῆς καὶ ὀμβρώδους[7] ἐρείσας τὴν βακτηρίαν καὶ προσθεὶς τῷ θαύματι[8] θαῦμα· τότε γὰρ ῥεῖθρον ὁρᾶται ἀναχαιτιζόμενον ὥσπερ δεδοικὸς προσψαῦσαι τῇ ῥάβδῳ· καὶ ἡ ῥάβδος οὖσα, ἤδη ξηρὰ καὶ τῆς φυσικῆς ὑγρότητος ἄμοιρος, εἰς εὐθαλὲς ἐγένετο δένδρον· καὶ οὐδὲ ὁ χρόνος λύμη τῷ θαύματι[8] γέγονεν· ἀλλὰ καὶ νῦν, ὥς φασι, τοῦ ποταμοῦ τὴν εἰς τὸ ἔμπροσθεν φεύγοντος πρόοδον καὶ τοῦ δένδρου τοσούτοις ἐξαρκοῦντος ἔτεσι, ἡ ἐν Θεῷ δύναμις τοῦ μεγάλου Γρηγορίου κηρύττεται. Καὶ πρὸς τούτοις ὁ ὑποκριθεὶς Ἑβραῖος τὸν νεκρὸν ἐν ὑπτίῳ καὶ ἐκτεταμένῳ σχήματι αὐτὸ τοῦτο[9] διὰ τῆς αὐτοῦ προσευχῆς κατὰ ἀλήθειαν γέγονεν ὅπερ ἐσχηματίζετο. Ἐνομίσθη δέ ποτε καὶ ἐν τῷ ὄρει ἑστὼς καὶ προσευχόμενος τοῖς διώκουσι δένδρον· καὶ λοιμὸν τοῖς ἀπίστοις ἐπήγαγε καὶ προσελθοῦσι τῇ πίστει τοῦ θανάτου ἀπήλλαξεν. Ἐν δὲ τῷ μέλλειν πρὸς Κύριον ἐκδημεῖν, εὐχαριστηρίους ἀφῆκε φωνάς, ὅτι τὴν πολυάνθρωπον πόλιν καὶ τοσοῦτον τῇ ἀπιστίᾳ πλήθουσαν ἐπὶ τῆς ἐναντίας τάξεως καταλέλοιπεν· ὅσους γὰρ εὗρε τοὺς παραδεξαμένους τὴν πίστιν, τοσούτους τοὺς παραμεμενηκότας τῇ ἀπιστίᾳ καταλέλοιπεν. — 2. — **Fa** : 1. 2. — **B** : 1. — **Ba** : 1 (= F). — 2 (Λαζάρου τοῦ ζωγράφου. Οὗτος νηπιόθεν τὸν μονήρη βίον ὑπέρχεται καὶ τὴν ζωγραφικὴν...). — **T** : 1. — **L** : 1. — **O** : 1. 2. — **Q** : 1. 2. — Τοῦ ἁγίου Ζαχαρίου τοῦ Ἐσαΐς (cf. Sept. 5[5]). — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. 2. — Τοῦ ἁγίου Ζαχαρίου τοῦ σκυτοτόμου καὶ Ἰωάννου διήγησις πάνυ[10] ὠφέλιμος. Ἀνήρ τις τῶν κατὰ κόσμον περιφανῶν, ὄνομα αὐτῷ Ἰωάννης, πάντων καταφρονήσας καὶ τὸν λιτὸν μετερχόμενος βίον, ἔργῳ τὴν τῶν ἀγαθῶν πρὸς ἑαυτὸν ἐπεσπᾶτο[11] μετουσίαν, ἐπαγρυπνῶν ἐν ταῖς προσευχαῖς καὶ νήφων τοῖς ἐπίπροσθεν αὐτοῦ[12] κατορθώμασιν. Ὡς δὲ μετὰ τῶν ἄλλων καὶ τὸ ἐν ταῖς αὐλαῖς Κυρίου παννυχεύειν ἀπαραίτητον ἦν αὐτῷ, μιᾷ τῶν νυκτῶν ἀφίκετο πρὸς τὸν ἐπ' ὀνόματι τῆς τοῦ Θεοῦ Λόγου ἁγίας[10] Σοφίας ναόν, τὸν ἐν τῷ Βυζαντίῳ. Καὶ τὰς πύλας ἤδη κεκλεισμένας εὑρὼν ἐν τῷ πλησίον σκάμνῳ κεκμηκὼς ἀνεπαύσατο, ὑποψιθυρίζων καὶ[10] τὴν ἐκ τύπου αὐτοῦ ἀκολουθίαν. Καὶ ὡς ἐν τούτοις ἦν, λαμπηδόνα φωτὸς ἔξωθεν περιερχομένην ὁρᾷ. Ἐπιστήσας δὲ τὸν ὀφθαλμὸν ἄνδρα τινὰ σεμνὸν ἑπόμενον τῷ φωτὶ κατενόει. Καὶ περιχαρὴς ὥσπερ ἐπὶ τῷ θεάματι γεγονώς, συνέστειλε μᾶλλον ἑαυτὸν γνῶναι θέλων τοῦ εἰσερχομένου[13] τὸ ἀποτέλεσμα. Ὡς δὲ λοιπὸν ἐκεῖνος ἤδη, τοῦ φωτὸς πορευομένου, πρὸς τὰς κεκλεισμένας πύλας ἀφίκετο, ἐπ' αὐτῇ τῇ φλιᾷ προσκλιθεὶς καὶ ἱκανῶς προσευξάμενος, ὑψοῦ τὰς χεῖρας μετεωρήσας, τὸ χριστοφόρον σημεῖον τὰς πύλας[14] διαχαράττει καὶ παραυτίκα σὺν τῷ φωτὶ ἀκώλυτως εἰσῆλθε. Καὶ πάλιν ἐπ' αὐτῷ τῷ ἐδάφει καταβαλὼν ἑαυτόν, ἐν ᾧ ἄνωθεν ἡ τῆς Θεομήτορος εἰκὼν ἐκτετύπωται, καὶ ἀναστάς, ὁμοιοτρόπως καὶ ταύτας τὰς πύλας ἠνέῳξε. Καὶ ἀνελθὼν ἐν τῷ νάρθηκι πρὸς τὰς ἀργυρέας πύλας, ἱκανῶς ὡς ἔδοξε τῷ ὁρῶντι, προσηύξατο. Καὶ πάλιν ὁρᾷ τὸν αὐτὸν διὰ τῆς σφραγῖδος καὶ ταύτας τὰς ὡραίας ὑπανοίξαντα πύλας καὶ φωτοειδῆ ὅλον ἐν τῷ σεπτῷ ναῷ εἰσερχόμενον καὶ κατὰ τὸ μεσαίτατον τοῦ ναοῦ ὑψοῦ τὰς χεῖρας διάραντα καὶ τὸν Θεὸν ἐξευμενιζόμενον[15]. Ὅτε δὲ τὰς εὐχὰς τῷ Θεῷ καλῶς[10] ἀπέδοτο, πάλιν νοστήσας τὸ ἔσχατον τοῦ ναοῦ καταλαμβάνει προαύλιον, τῶν πυλῶν πάλιν ὑπὸ[16] θείας ἐνεργείας αὖθις[10] ἀποκλεισθεισῶν. Ἵστατο οὖν ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ ἀποσκοπῶν, ὡς ἔλεγεν, ὅποι τὴν πορείαν ἔχοιεν[17] ὁ τοῦ ναοῦ ἐξελθών. Ὡς δὲ λοιπὸν τὴν κατ' εὐθεῖαν ὁδὸν ἐβάδιζε, τούτῳ[18] μὴ ὀκλάσας ὁ Ἀβραμιαῖος ἐκεῖνος ἀνὴρ ἐπηκολούθει καταμαθεῖν βουλόμενος, ποῦ ἄρα ὁ τοῦ Θεοῦ ἱερὸς ἀποκρύπτεται μαργαρίτης. Ὡς δὲ τῆς ὁδοῦ μικρὸν ὑπεκκλίνας ὁ φαινόμενος πρὸς τὸ κάταντες τοῦ μάρτυρος Ἰουλιανοῦ τῶν βαθμίδων ἐγένετο, πρός τι σμικρότατον τῶν ἐκεῖσε οἴκημα ἐπιστὰς καὶ τὸ τῆς ἔνδον οὔσης γυναικὸς ὄνομα Μαρίας[19] καὶ σιγηρᾷ τῇ φωνῇ καλέσας καὶ τῇ χειρὶ κρούσας εἰσῆλθε, τό τε περιαστράπτον τὸν ἄνδρα φῶς[20] κατὰ τὴν ὁδὸν ὑπεξιὸν ἀνεχώρει καὶ ἐν ἀμφο-

— [6] θαλάσσης κυμένουσα ἴασα μια νυκτα διακατερίσας F, *corr. supra lin.* ἰάσατο μίαν νύκτα διακαρτερίσας. — [7] ὀμφόδους F. — [8] θαυτί F. — [9] τούτου F. — [10] *om.* Mv. — [11] ἐπεσπάσατο Mv. — [12] αὐτῷ Mv. — [13] ἐρχομένου Mv. — [14] ταῖς πυλαῖς Mv. — [15] ἐξευνιζόμενον Mv. — [16] τῆς *add.* Mv. — [17] ἔχει Mv. — [18] *om.* Mv. — [19] Μαρία M, Mv. — [20] φῶς τὸν ἄνδρα Mv.

λοιώτως, ἀλλὰ καὶ παρὰ τῶν βδελυκτῶν καὶ ἀνο-

f. 83v. σίων εἰκονοκαυστῶν πολλαῖς κα|τῃκίσθη πληγαῖς καὶ βασάνοις, διά τε τὸ σέβεσθαι καὶ προσκυνεῖν τὰ τῶν ἁγίων σεβάσμια ἐκτυπώματα διά τε τὸ εὐφυῶς ζωγραφεῖν ταῦτα οἰκειοχείρως τοῖς πίναξιν καὶ οἷα βέλεσι τοὺς ἀλιτηρίους κατατοξεύειν. Οὗτος τὴν ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην ὁδὸν στέλλεται ἀποστολικὴν ἐγκεχειρισμένος διακονίαν, τῶν πατρικῶν φημι καὶ[2] ἀποστολικῶν δογμάτων καὶ παραδόσεων ἕνεκεν· καὶ αὖθις ἐντεῦθεν μεγαλοπρεπῶς ὑποστρέφει· πάλιν δὲ εἰς τὴν αὐτὴν πορείαν πεμφθεὶς τῶν αὐτῶν ἕνεκεν[3] ὑποθέσεων[4], περὶ τὰ μέσα που τῆς ὁδοῦ τὴν τιμίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ παρέθετο. Τὸ μέντοι ἱερώτατον αὐτοῦ σῶμα τοῖς ποθοῦσιν ἀνακομισθὲν ἐν τῇ βασιλίδι τῶν πόλεων κατετέθη πέραν τοῦ ἄστεος, ἐν τῇ μονῇ τῶν Εὐάνδρου. Nov. 17.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δερμοκαΐτου[1], τοῦ ἐν τῷ Ὀλύμπῳ ἀγωνισαμένου[2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Nov. 18.

1. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Πλάτωνος. Οὗτος ἦν ἐξ Ἀγκύρας τῆς πόλεως, χώρας τῶν Γαλατῶν, ἀδελφὸς τοῦ ἁγίου μάρτυρος Ἀντιόχου, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ[1]. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν προσήχθη Ἀγριππίνῳ τῷ ἡγεμόνι, νέος ὢν τὴν ἡλικίαν[2], τύπτεται ὑπὸ δώδεκα στρατιωτῶν[3], εἶτα ἁπλοῦται ἐπὶ κραββάτου χαλκοῦ πυρωθέντος πάνυ, ῥαβδιζόμενος ἄνωθεν· τοῦ δὲ σώματος αὐτοῦ μετὰ τὴν τιμωρίαν θαλεροῦ[4] καὶ ἥδιστόν τι ἀποστίλβοντος γενομένου[5], πολλοὶ ἐπίστευσαν εἰς τὸν Χριστόν· εἶθ' οὕτως σφαίραις πεπυρωμέναις τὰς μασχάλας καὶ τὰς πλευρὰς καταφλέγεται, ὥστε καπνὸν τῶν τε ῥινῶν καὶ τοῦ στόματος ἀναδίδοσθαι. Εὐξαμένου δὲ τοῦ ἁγίου καὶ οὐρανίων δυνάμεων εἰπουσῶν τὸ ἀμήν, πολλοὶ τῶν περὶ τὸν ἡγεμόνα τοῦτο ἤκου-

— [2] (ἀποστολικὴν - φημι καὶ) *om.* Sa. — [3] *om.* Sa. — [4] χάριν *add.* Sa.
3. — [1] Δερμοκαΐτη Sa. — [2] ταῖς αὐτοῦ πρεσβειαῖς ὁ ... *add.* Sa.
1. — [1] (ἀδελφὸς - Διοκλητιανοῦ) ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ ἀδελφὸς τοῦ ἁγίου μάρτυρος Ἀντιόχου Sa. — [2] καὶ *add.* Sa. — [3] στρατιωτῶν δώδεκα Sa. — [4] γενομένου *add.* Sa. — [5] *om.* Sa.

Nov. 17. τέροις ἐκείνοις ἡ οὖσα νὺξ ἐγνωρίζετο. Ἀλλὰ τὸ γύναιον ἐπιδραμὸν μετὰ τῆς φωταγωγοῦ λυχνίας ἀνάψαν τῷ εἰσελθόντι ἀνδρὶ προσήνεγκεν. Ὁ δὲ μήτε[21] τῇ κλίνῃ προσκλιθεὶς μήτ' ἄλλως πως τὸ σῶμα διαναπαύσας, πρὸς ἐργασίαν ἐτράπη· σκυτοτόμος γὰρ ἦν καὶ δερμάτων διαρραφεύς. Τότε ὁ ἐπακολουθῶν αὐτῷ ἀξιομνημόνευτος Ἰωάννης, ἀνερυθριάστως τῇ κέλλῃ προσέβαλε καὶ τῇ γῇ προσκλιθείς, δάκρυσι[22] τοῦ ἀοιδίμου[23] τοὺς πόδας κατέβρεχε· « Μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ, λέγων, ὅστις εἶ[24] καὶ τίς » ἡ ὑψηλὴ ἐργασία <ἡ εἰς[25]> τὸν Θεὸν δι' οὗ τὰς ἐξαισίους δυνάμεις, ἃς εἶδον, πεποίηκας. » Καὶ ὁ ταπεινόφρων ἐκεῖνος· « Συγχώρησον, γέρων, διὰ τὸν Κύριον· ἁμαρτωλός εἰμι ἄνθρωπος, μηδὲν ἀγαθὸν » ἐργασίας ἐπιφερόμενος· τίς γάρ εἰμι ὁ ἰδιώτης ἐγώ, ἢ πόθεν μεμάθηκα τυποῦσθαί τισι[26] κανονίζειν, » ἐπιδεὴς ὢν καὶ οἰκτρᾶς[27] ἐπιστήμης[28] προσήλυτος[29]; Πεπλάνησαι, ἄνερ, πεπλάνησαι, φάντασμα » μᾶλλον ἰδὼν καὶ οὐκ ἀλήθειαν. » Τότε ὁ γέρων τοῖς δάκρυσι προσέθηκε δάκρυα, μὴ ἐνδοὺς ὁρκίζων εἰς τὸν Θεὸν εἰπεῖν τῶν ἀρετῶν[30] αὐτοῦ τὸ περίδοξον· « Εἰ μὴ γὰρ ἔργον τοῦτο τῆς προνοίας[31], τοῦ » γνωσθῆναι τὰ κατὰ σέ[32], οὐκ ἂν ἐγὼ ὁ ἐλάχιστος θεωρὸς τοιούτων μυστηρίων ἠξιώθην γενέσθαι. » Τότε ὑπὸ τῶν ὅρκων ὥσπερ στενούμενος ὁ ἀνὴρ ἀναστὰς ὅθεν ἐκάθητο καὶ μετάνοιαν πρῶτον τῷ γέροντι ποιησάμενος, οὕτως ἤρξατο λέγων· « Οὐδὲν ἕτερον ἐπὶ γῆς κατόρθωμα, μὰ[33] τὴν ἀλήθειαν, » κέκτημαι, ἀδελφέ μου, συγχώρησον, εἰ μὴ τὸ ταῖς ἁμαρτίαις μου συμφύρεσθαι καὶ τῆς σαρκὸς τὴν » εὐπάθειαν περὶ πολλοῦ ποιεῖσθαι. Ἐκ δὲ[34] τοῦ Θεοῦ μου τῆς ἀγαθότητος, ὀψέ ποτε τῆς γεέννης » τὸν φόβον ἐλλογισάμενος[35], ταύτην ἣν ὁρᾷς ἀδελφὴν γυναῖκά ποτε προσαγόμενος, τὸ καθαρὸν τέως » τῆς σαρκὸς οὐκ ἐμόλυνα, ἀλλ' ἐξίσου τῇ ἁγνείᾳ στοιχήσαντες, ὡς στειρευούσῃ ταύτῃ τὸ δρᾶμα τοῖς » γνωρίμοις ἐναπεκρύψαμεν καὶ μέχρι τῆς δεῦρο διὰ τὸν πόθον τοῦ πλάσαντος τῆς ῥυπαρᾶς μίξεως » καθαρεύομεν. Προσθήσω δέ σοι καὶ ἕτερον διὰ τὴν τοῦ ὅρκου ἀσφάλειαν. Ὁ ἐμὸς ἅπας βίος οὐδὲν » πλέον, μὰ τὴν ἀλήθειαν, εἰ μὴ τριμήσιον ἕν· καὶ τοῦτο μεταχειριζόμενος δέρμασι κοπιῶ ἐργαζόμενος » καὶ τὴν ἐκ τούτου πρόσοδον ἰσοτάλαντον τίθημι τὸ πρῶτον καὶ τιμιώτερον τῷ Χριστῷ· τῇ δὲ χρείᾳ τῇ » ἡμετέρᾳ[36] τὸ δεύτερον. Καὶ οὕτως ἀεὶ συντηρούμενος, τὸν κριτὴν καθ' ἑκάστην καὶ τῶν φορολόγων » πνευμάτων τὰς ἐφόδους φαντάζομαι. » Καὶ συμπεράνας ὧδε τὸν λόγον, ἀλλήλους κατασπασάμενοι καὶ πρὸς γῆν κατανεύσαντες, ἐν εἰρήνῃ τῆς κέλλης ὁ ἱερὸς ὑπανεχώρει ἀνήρ. Καὶ ὁ μὲν ἀπελθὼν ἐν ᾧ τὴν ξενίαν ἐκέκτητο, τῷ Θεῷ ηὐχαρίστει ἐν οἷς τεθέατο[37] μεγαλείοις. Ὁ δὲ θαυμάσιος ἐκεῖνος σκυτεὺς[38] καὶ ἀληθῶς ἀφιλόκομπος, τῆς ἀνθρωπίνης δόξης φεύγων τὸ δέλεαρ, μετανάστης τῆς κέλλης ἐγένετο, ἄγνωστος πᾶσι τὸ παράπαν γενόμενος. — Ὁ ὅσιος Λογγῖνος ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος Γεννάδιος πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. (Nov. 20[2]). — Ὁ ἅγιος Μάξιμος πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. (Nov. 20[2]). — Ὁ ὅσιος Ἰουστῖνος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Ζαχαρίου. — Ἰωάννου διήγησις ὠφέλιμος. — **Mr** : 1.

Nov. 18. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 2. 4. — **P** : 1. 2. 4 : Τῶν ἁγίων μαρτύρων Ζαχαρίου καὶ Ἀλφαίου καὶ Ζα(κ)χαίου. — **Da** : 1. 2. 4. 3. — **Db** : 1. 2. 4. 3. — **F** : 1. 2. 4. 3. — **Fa** : 1. 3. 4.

— [21] μηδὲ Mv. — [22] *om.* Mv. — [23] τοῦ ἀοιδίμου δάκρυσι Mv. — [24] εἴης M. — [25] ἡ εἰς *add.* Mv. — [26] καὶ *add.* Mv. — [27] εἰκτρᾶς Mv. — [28] ἐργασίας Mv. — [29] ἐπειλημμένις Mv. — [30] ἀγαθῶν Mv. — [31] ἦν *add.* Mv. — [32] ἔλεγεν *add.* Mv. — [33] *om.* Mv. — [34] ἐκ δὲ τῆς Mv. — [35] λογισάμενος Mv. — [36] τῇ δε ἡμετέρᾳ χρείᾳ Mv. — [37] τεθέαται Mv. — [38] σκυτεὺς Mv.

Nov. 18. σαν· καὶ εὐθὺς ὁ τόπος, ἐν ᾧ συνεκροτεῖτο τῷ Ἀγριππίνῳ τὸ [6] βῆμα, κλονεῖται καὶ τῆς φρικτῆς ἐπισκοπῆς τοῦ δεσπότου Χριστοῦ πρὸς τὸν ἅγιον μηνυτὴς γίνεται· εἶτα ἀπὸ τοῦ νώτου ἐν σχήματι λώρων τὴν δορὰν ἀφαιρεῖται καὶ τὰς σάρκας ξέεται καὶ τὰς παρειὰς καὶ μηροὺς καὶ γόνατα καὶ κνήμας καὶ ἀστραγάλους· καὶ τότε τὴν διὰ ξίφους δέχεται τελευτήν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι ἐν τοῖς Δομνίνου [7] ἐμβόλοις.

f. 84. | **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ῥωμανοῦ καὶ τοῦ σὺν αὐτῷ νηπίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ βασιλέως· διὰ δὲ τὸν ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ζῆλον, εἰσελθεῖν βουλόμενον τὸν ὕπαρχον Ἀσκληπιάδην εἰς τὸν τῶν εἰδώλων ναόν, κατέσχε διελέγχων, « Οὔκ εἰσι, λέγων, τὰ εἴδωλα » θεοί, » καὶ ὅτι « ὑπερέχουσιν οἱ χριστιανοὶ τῶν » ἐν ἀσεβείᾳ ζώντων. » Τύπτεται οὖν παρ᾽ αὐτοῦ εἰς τὸ στόμα καὶ ἀναρτηθεὶς ξέεται τὰς παρειάς. Ἠνέχθη δὲ καὶ παιδίον, τοῦ ἁγίου τοῦτο αἰτησαμένου, εἰς ἔλεγχον τοῦ ὑπάρχου· καὶ ἐρωτηθέν, ποῖον δεῖ σέβειν Θεόν, τὸν τῶν χριστιανῶν εἶπεν· καὶ τυπτηθὲν τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ ἅγιος Ῥωμανὸς τὴν γλῶτταν ἐκτέμνεται καὶ μετὰ τὴν τομὴν φθέγγεται παραδόξως, εὐχαριστῶν τῷ Θεῷ. Ἐμφανισθέντος οὖν τοῦ κατὰ τὸν ἅγιον παραδόξου θαύματος Μαξιμιανῷ τῷ βασιλεῖ, προστάξει αὐτοῦ ἐν τῇ εἱρκτῇ ὁ ἀδάμας διὰ πνιγμονῆς τῆς προσκαίρου ζωῆς ἀπολύεται· καὶ τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι ἐν τοῖς Ἐλεβίχου.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου [1] Ῥωμανοῦ. Ὃς ἐκ Παλαιστίνης ἕλκων τὸ γένος καὶ τῆς ἐν Καισαρείᾳ παροικίας διάκονος ὢν καὶ ἐφορκιστής, ἤθλησεν ἐν Ἀντιοχείᾳ ἐπὶ Διοκλητιανοῦ. Οὗτος τοὺς ὑπὸ τοῦ δέους ἐπὶ τὴν εἰδωλικὴν [2] πλάνην κατασυρομένους λόγοις ἐπιπληκτικοῖς ἀνείργει [3], τοῦ θείου πάντας ὑπομιμνήσκων φόβου. Διὸ καὶ αὐτόκλητος τῷ δικαστῇ παρέστη τὴν ἄθεον πλάνην διελέγχων μεγάλῃ τῇ φωνῇ· ὅτε καὶ ἀναρπασθέντα ἐκέλευσεν ὁ δικαστὴς τῷ πυρὶ διαφθαρῆναι. Ὁ δὲ βασιλεὺς [4] Διοκλητιανὸς τοῦτο γνούς, τοῦ μὲν πυρὸς ἀπήγαγε, τὴν δὲ τῆς αὐτοῦ γλώττης ἐκκοπὴν προστάσσει γενέσθαι· ἀλλ᾽ ὁ μάρτυς καὶ τὴν γλῶτταν ἀφαιρεθεὶς γεγωνότερον ἐλάλει καὶ παρρησίᾳ τὸν λόγον ἐκήρυττεν. Ἐπὶ πολὺ δὲ ταῦτα πράττων ἐν τῇ εἱρκτῇ ἐμβάλλεται καὶ ἐν πέντε κεντήμασι τοὺς πόδας παραταθείς, νεύματι τῶν κρατούντων ἐν αὐτοῖς τοῖς δεσμοῖς βρόχῳ περιβληθεὶς ἀπυπνίγεται.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ζακχαίου διακόνου τῆς ἐν Γαδδάροις ἐκκλησίας. Οὗτος διά τε τὸ βραχὺ τῆς ἡλικίας | καὶ διὰ τὴν κατὰ πάντα f. 84v. τὸν βίον ὁμοίωσιν ἐκείνῳ τῷ ἐν εὐαγγελίοις Ζακχαίῳ [1] οὕτως ὀνομάζεται· ἤχθη οὖν ἐπὶ τοῦ βήματος σιδηροῦν καὶ βαρὺν κλοιὸν φέρων ἐπὶ τοῦ τραχήλου. Καὶ ἐρωτηθεὶς καὶ ἀμετάθετος μείνας τῆς εἰς Χριστὸν πίστεως, δειναῖς καὶ ἀπανθρώποις ὑποβάλλεται κολάσεσι· καὶ χαλεπὰς ὑπομείνας αἰκίας, δεσμοῖς ἀναλαμβάνεται καὶ ὑπὸ τέσσαρα κεντήματα τοῦ ξύλου ἐμβάλλεται νυχθήμερον ἐν τοῦτο [2] πιεζόμενος καὶ κατατεινόμενος. Μετὰ δὲ τούτων προσήχθη τῷ βήματι καὶ ὁ θαυμάσιος Ἀλφειὸς πλήρης ὑπάρχων Πνεύματος θείου· ὃς μάστιξιν ἅπαν τὸ σῶμα καταξαίνεται καὶ τὰς πλευρὰς κατακαίεται καὶ τέλος τῷ συναγωνιστῇ τὰ ὅμοια πεισόμενος [3] τῇ εἱρκτῇ ἐγκλείεται, τῷ κολαστηρίῳ καὶ αὐτὸς [4] ξύλῳ [5] νυχθήμερον τανυσθείς· καὶ τῇ ἕωθεν τὴν διὰ ξίφους δέχονται τιμωρίαν ἀμφότεροι.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ΄.

Nov. 19. **1.** Μνήμη τοῦ ἁγίου προφήτου Ἀβδιοῦ. Οὗτος δοῦλος Κυρίου ἑρμηνεύεται ἢ ἐξομολογούμενος. Ἦν δὲ ἐκ γῆς Συχὲμ ἀγροῦ Βηθαχαράμ. Μαθητεύσας δὲ Ἠλίᾳ τῷ μεγάλῳ προφήτῃ καὶ πολλὰ δι᾽ αὐτὸν ὑπομείνας περισώζεται. Οὗτός ἐστιν ὁ τρίτος πεντηκόνταρχος οὗ ἐφείσατο Ἠλίας καὶ κατέβη πρὸς Ὀχοζίαν. Μετὰ ταῦτα ἀπολιπὼν τὴν λειτουργίαν τοῦ βασιλέως προεφήτευε· καὶ ἀποθανὼν ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βαρλαάμ. Οὗτος ὑπῆρχεν ἐξ Ἀντιοχείας ἤδη πρεσβύτης τὴν ἡλικίαν. Διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν τῷ ἄρχοντι προσαχθεὶς τύπτεται πρῶτον βουνεύροις καὶ τοὺς ὄνυχας ἀνασπᾶται. Εἶτα τῷ

— [6] δικαστικὸν *add.* Sa. — [7] Δομνήνου Sa.
3. — [1] ἁγίου μάρτυρος *add.* Sa. — [2] τῶν εἰδώλων Sa. — [3] ἀνεῖργε Sa. — [4] *om.* Sa.
4. — [1] (ἐκείνῳ - Ζακχαίῳ) *om.* Sa. — [2] τούτων S, Sa. — [3] πεισσόμενος S. — [4] *om.* Sa. — [5] ξύλων Sa.

Nov. 18. 2. — **B** : 1. 2. — **Ba** : 1. 2. 4. 3. — **T** : 1. — **L** : 1. — Ἀβδιοῦ (Nov. 19[1]). — **O** : 1. 2. 4. 3. — **Q** : 2. 4. 3. — **C** : 1. 2. 4. — **Cb** : 1. 2. — **Cc** : 1. 2. 4. — **M** : 1. 2. — Ἐρωτηθὲν τὸ ἅγιον νήπιον παρὰ τοῦ ἐπάρχου ποῖον σέβει Θεὸν καὶ εἰπὸν τὸν Χριστὸν ἑ. τ. — 3. 4 (Ζακχαίου καὶ Ἀλφαίου). — **Mv** : 1. 2. — Τὸ ἅγιον νήπιον κτλ. — 3. 4. — **Mr** : 1. 2.

Nov. 19. SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ πλησίον τοῦ Δευτέρου, ἥτις ἐπιλέγεται τοῦ Παναρέτου. — 3. 4. 5. 6. — **H** : 3. 5. 6. — **P** : 3 (Ἀζίου). — 5. — Δασίου (Nov. 20[4]), Παγχαρίου, Ἄζη (iterum). — **Da** : 1. 3. 4 (Ἀγαπυτοῦ). — **Db** : 1. 3. 4. — **F**: 1. 3. 4. — **Fa** : 1. 3. 4. — **B** : 1. — **Ba**: 1. 3. 4. (f. 125v, manu recent. : Τοῦ ἁγίου μάρτυρος Βαρλαὰμ ζήτει εἰς ις΄ τοῦ αὐτοῦ μηνός). — **T** : 1. — **L** : 1 (Τὸ συναξάριον Ἀβδιοῦ ζήτει ὄπισθεν). — **O**: 1. 3. 4. — **Q** : 1. 3. 4. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Σίμωνος. Οὗτος ἦν ἐκ τῆς Καλαβρῶν χώρας ἔκ τινος μονῆς ἁγίας καὶ θαυμαστῆς· ἐξ ἧς μονῆς μοναχοὶ ἐν διακονίᾳ σταλέντες καὶ παρὰ τὴν θάλασσαν γεγονότες, Ἀγαρηνοὶ διερχόμενοι ἔλαβον αὐτοὺς αἰχμαλώτους ἐν Ἀφρικῇ. Ὁ δὲ τοῦ κοινοβίου πατὴρ βουλόμενος

βωμῷ προσαχθεὶς ἁπλοῦται τὴν χεῖρα καὶ πῦρ ἐπ᾽ αὐτῇ καὶ λιβανωτὸν δέχεται, δεδογμένον τοῦτο τῷ ἄρχοντι, ὡς, εἰ τοὺς ἄνθρακας μετὰ τοῦ λιβανωτοῦ τῷ βωμῷ ἐπιρρίψειε, νομίζεσθαι αὐτὸν τοῖς εἰδώλοις θυσίαν προσενεγκεῖν. Ὁ δὲ ἀνένδοτος εἱστήκει καὶ ἄτρεπτος, εὐτονωτέρας αὐτῷ [1] χαλκοῦ καὶ σιδήρου φανείσης τῆς δεξιᾶς, ἕως οὗ τὸ πῦρ τὴν ἐπικειμένην σάρκα τῆς χειρὸς δαπανῆσαν καὶ καταφαγὸν εἰς τὴν γῆν ἐξέπεσε, καταστραφέντος αὐτοῦ [2].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου καὶ θαυματουργοῦ Ἄζη. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ὁρμώμενος ἐκ τῆς χώρας | τῶν Ἰσαύρων, f. 85. στρατιώτης τὴν τάξιν. Καταλιπὼν οὖν τὴν στρατείαν ἐμάκρυνεν ἐν [1] ἐρήμῳ σχολάζων νηστείαις καὶ εὐχαῖς, ἔνθα πολλὰς ἰάσεις καὶ θαυμάτων ἐνεργείας ἐτέλεσεν. Ὑπό τινων δὲ κυνηγῶν μηνυθείς, παρέστη τῷ Διοκλητιανῷ καὶ τὴν εἰς Χριστὸν πίστιν ὁμολογήσας, παρεδόθη Ἀκυλίνῳ τῷ ἐπάρχῳ μετὰ τῶν ρν΄ στρατιωτῶν τῶν ἐπὶ τῇ συλλήψει αὐτοῦ ἀποσταλέντων, πεπιστευκότων ἤδη καὶ αὐτῶν τῷ Χριστῷ, θαυματουργήσαντος τοῦ μάρτυρος ἐν τῷ ἐπανιέναι αὐτοὺς καὶ διὰ προσευχῆς ὕδωρ ἐξαγαγόντος καὶ διψῶντας τούτους ποτίσαντος. Τοῦ δὲ ἐπάρχου [2] κατὰ τὸν τόπον γενομένου Nov. 19. καὶ τὸν ἅγιον Ἄζην εἰς τὴν τῶν λοιπῶν ἔκπληξιν [3] πολλαῖς νιφάσιν ὑποβαλόντος πληγῶν καὶ ἐκ τῶν τριχῶν ἀναρτήσαντος [4] καὶ σιδηροῖς ὄνυξι ξέσαντος [5] καὶ ἐμβαλόντος [6] εἰς κάμινον πυρός, ἐπεὶ ἡ φλὸξ ἀπεσβέσθη καὶ ὁ ἅγιος ἔμεινεν ἀβλαβής, ἥ τε γυνὴ καὶ ἡ θυγάτηρ τοῦ ἐπάρχου [7] προσῆλθε τῇ πίστει. Τότε ὁ [8] ἔπαρχος [9] ἀποτμηθῆναι πρότερον τὰς κεφαλὰς τῶν ρν΄ στρατιωτῶν προστάξας, μεθ᾽ ὧν καὶ τῆς ἑαυτοῦ γυναικὸς καὶ τῆς θυγατρός, ὕστερον τὸν ἅγιον τύψας σφοδρῶς καὶ αὐτὸν διὰ ξίφους τελειωθῆναι ἐκέλευσε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀγαπίου. Οὗτος ἦν ἐν Καισαρείᾳ [1] τῆς Παλαιστίνης, Μαξιμίνου Αὐγούστου αὐτόθι τότε ἐνδιατρίβοντος καὶ Οὐρβανοῦ [2] δουκός, ἀνὴρ σωφροσύνῃ καὶ ἐπιεικείᾳ βίου διαπρέπων. Οὗτος θηρίοις βορὰ παρεβάλλετο [3] ἀγόμενος καὶ περιαγόμενος καὶ μέσον πομπεύων τοῦ σταδίου, διαβολῆς οὐδὲν ἔχων σημεῖον ἢ μόνον [4] ὅτι χριστιανὸς ὑπάρχει. Ὁ δὲ Μαξιμῖνος ὁρῶν ἄρκων καὶ παρδάλεων βορὰν τὸν ἅγιον γενησόμενον, ἔχαιρε καὶ ἐσκίρτα, τοῦ μάρτυρος ἐπιβοωμένου καὶ λέγοντος τῷ λαῷ·

2. — [1] Sa, αὐτοῦ S. — [2] τελεῖται δὲ *add.* Sa *inter* Synaxaria selecta.
3. — [1] τῇ *add.* Sa. — [2] ὑπάρχου Sa. — [3] καὶ καταπτόησιν Sa. — [4] ἀναρτήσαντα S. — [5] ξέσαντα S. — [6] ἐμβαλλόντος S. — [7] ὑπάρχου S, Sa. — [8] *supra lin.* Sa. — [9] ὕπαρχος S, Sa.
4. — [1] ἐκ καισαρείας Sa. — [2] *corr.*, *prius* Οὐργανοῦ S. — [3] περιεβάλετο S, Sa, *correxi ex* Eusebii Mart. Palaest. *VI, 5.* — [4] *om.* Sa.

Nov. 19. τοὺς μοναχοὺς ἐκ τῆς αἰχμαλωσίας ἀνακαλέσασθαι, στέλλει τὸν ὅσιον Σίμωνα πρὸς ἀνάρρυσιν τῶν μοναχῶν. Ὁ δὲ ἀπελθὼν ἐν τῇ πόλει, ἐν ᾗ οἱ ἀδελφοὶ κατείχοντο, περιτυγχάνει ἑνὶ τῶν μοναχῶν καὶ περιπτυξάμενος αὐτὸν μετὰ δακρύων ἠρώτα· « Ποῦ εἶ, ἀδελφέ μου; » Ὁ δέ· « Ἄνθρωπος ἐχθρὸς τοῦ » Θεοῦ ἠγόρασέ με, πάτερ, καὶ καθ᾽ ἑκάστην βιάζει με τοῦ μαγαρίσαι. Ἀλλ᾽ ἐλπίζω εἰς τὸν Θεὸν καὶ εἰς » τὰς ἁγίας εὐχάς σου, τοῦτο οὐ μὴ ποιήσω. » Ὡς οὖν ταῦτα ὡμίλει, ἰδοὺ καὶ ὁ Σαρακηνὸς [1] ἐρχόμενος, καὶ ὡς εἶδεν αὐτὸν τῷ μοναχῷ ὁμιλοῦντα, ὑβρίσας τὸν ὅσιον, ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ῥαπίσαι αὐτόν, καὶ εὐθέως ἔμεινεν ἡ χεὶρ αὐτοῦ ξηρὰ καὶ ἀνενέργητος. Ἐλθόντος οὖν καὶ ἑτέρου βαρβάρου καὶ βουλομένου τὸ αὐτὸ ποιῆσαι, παρελύθη καὶ ἡ αὐτοῦ δεξιά. Ἰδόντες οὖν καὶ οἱ λοιποὶ Ἀγαρηνοὶ τὸ γεγονὸς σημεῖον, ἁρπασθέντα [2] τὸν ἅγιον ἀπήγαγον πρὸς τὸν ἄρχοντα αὐτῶν, ὃν καλοῦσι τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν ἀμεριμνῆ [3], λέγοντες· « Ὁ μοναχὸς οὗτος μάγος ἐστὶν καὶ διὰ τῆς μαγικῆς αὐτοῦ τέχνης καὶ » τοὺς βουλομένους αὐτὸν ῥαπίσαι ἀπεξήρανεν αὐτῶν τὰς δεξιάς. » Ταῦτα ἀκούσαντες οἱ τῷ ἄρχοντι συγκαθεζόμενοι γέροντες, οἱ καὶ μονομάρτυρες λεγόμενοι, ἀπεκρίθησαν· « Ἐάν ἐστι μάγος, τὰς ξηραν» θείσας χεῖρας οὐ δύναται ἰάσασθαι· εἰ δὲ ποιήσει εὐχὴν κατενώπιον ἡμῶν καὶ ἰαθῶσιν, ὅτι δοῦλός » ἐστι τοῦ Θεοῦ, πληρούμεθα. » Ταῦτα εἰπόντες προετρέψαντο τὸν μοναχὸν ποιῆσαι εὐχήν. Ὁ δὲ εὐξάμενος καὶ τῷ σημείῳ τοῦ σταυροῦ σφραγίσας αὐτῶν τὰς δεξιὰς ἀπεκατέστησεν ὑγιεῖς. Ὡς οὖν εἶδον οἱ βάρβαροι τὸ γεγονὸς σημεῖον, ἐξέστησαν λέγοντες· « Ἐπ᾽ ἀληθείας δοῦλος τοῦ Θεοῦ ἐστιν ὁ μοναχὸς » οὗτος. » Τότε προσκαλεσάμενος αὐτὸν ὁ ἄρχων ἔφη· « Τί ζητῶν εἰς τὸν τόπον τοῦτον ἐλήλυθας, ὦ » καλόγηρε; » Ὁ δὲ ἔφη· « Τρεῖς μοναχοὺς ἐκ τοῦ ἐμοῦ μοναστηρίου σὺν νεανίσκῳ ἑνὶ ἠχμαλωτίσθη» σαν καὶ ἦλθον εἰς ἀναζήτησιν αὐτῶν, εἴγε καὶ παρέξετέ μοι αὐτούς. » Ὁ δὲ ἔφη· « Ἐπεί, καλόγηρε, » ἐπληροφορήθημεν ὅτι δοῦλος τοῦ Θεοῦ ὑπάρχεις, οὐ μόνον αὐτούς σοι παρέξομεν, ἀλλὰ καὶ ὅσους » ἂν τῶν χριστιανῶν βούλῃ, λάβε καὶ ἄπελθε ἐν εἰρήνῃ. » Ὁ δὲ λαβὼν ὅσους ἂν τῶν χριστιανῶν εὗρεν, ἐξαρτύσας δὲ καὶ πλοῖα ὁ ἀμηρᾶς [4], δέδωκεν αὐτῷ, παρασχὼν αὐτῷ καὶ Σαρακηνοὺς εἰς τὸ διασῶσαι αὐτοὺς ἐν τῇ θαλάσσῃ, δοὺς αὐτοῖς καὶ ἀναλώματα καὶ χρυσίον οὐκ ὀλίγον παρασχὼν τῷ ὁσίῳ, ἐπισκήψας τοῖς ἐν τοῖς πλοίοις Ἀγαρηνοῖς ὁ ἄρχων τοῦ σημειοῦν καὶ προσέχειν τὴν πολιτείαν τοῦ μοναχοῦ· « Ἵνα, φησίν, ὑποστρέψαντες ἀναγγείλητε ἡμῖν ὅσα ἂν ἴδητε εἰς τὸν ἅγιον. » Ἐξορμήσαντες οὖν ἀπὸ Ἀφρικῆς, ὡς κατέπλεον, ἐξίσταντο οἱ βάρβαροι ὁρῶντες τὸν ὅσιον νηστεύοντα καὶ καθ᾽ ἑκάστην προσευχόμενον. Ὡς δὲ εἰς νῆσόν τινα προσώρμισαν παντελῶς ἄνυδρον, ἐναντίων ἀνέμων πνευσάντων, προσέμειναν ἐν αὐτῇ ἡμέρας πολλάς. Πληρωθέντος δὲ τοῦ ὕδατος οὗπερ εἶχον ἐν ἀγγείοις [5] αὐτῶν, ἔμειναν τρεῖς ἡμέρας τῇ δίψει φλεγόμενοι. Ἰδὼν δὲ ὁ ἅγιος πάντας κινδυνεύοντας ἐκ τῆς δίψης, εἶπεν αὐτοῖς· « Γεμίσαντες πάντα τὰ κεράμια ἀπὸ τῆς θαλάσσης, ἀγάγετε πρός με. » Τῶν δὲ ταῦτα γεμισάντων καὶ ἀγαγόντων πρὸς αὐτόν, αὐτὸς κλίνας τὰ γόνατα προσηύξατο καὶ σφραγίσας τὰ κεράμια τὰ πεπλησμένα ἐκ τῆς θαλάσσης, εὐθὺς ἐγλυκάνθησαν. Πιόντες οὖν οἵ τε αἰχμάλωτοι καὶ οἱ

[1] Σαρκηνός Q. — [2] ἁρπασθέντες Q. — [3] *forte legendum* ἀμηρᾶν. — [4] ἀμοιρᾶς Q. — [5] ἰσαγγείοις Q.

Nov. 19. « Οὐ φαύλης ἕνεκεν αἰτίας ἐπὶ τόνδε πάρειμι τὸν » ἀγῶνα ἀλλ' ἵνα[5] πᾶσιν ὑμῖν[6] τὸν ἕνα Θεὸν καὶ » μόνον οὐρανοῦ καὶ γῆς δημιουργὸν εἰδέναι καὶ » σέβειν μαρτύρωμαι. » Ὁ δὲ τύραννος ὀργῆς καὶ θυμοῦ πλησθεὶς τοὺς θῆρας ἀφεθῆναι κατ' αὐτοῦ προστάττει· αὐτὸς δὲ μηδὲν μελλήσας, ὑπαντιάζει ἄρκῳ δεινῷ καὶ φοβερῷ θηρίῳ, ὑφ' οὗ δὴ καὶ σπαραχθείς, ἔτι ἔμπνους ὢν αὖθις εἰς τὸ δεσμωτή- f. 85v. ριον ἀναλαμβάνεται. Μίαν τε διαβιώσας[7] ἡμέραν, | τῇ ὑστεραίᾳ λίθων αὐτῷ προσαρτηθέντων θαλάττῃ καταποντοῦται τὸ σῶμα, τὴν δὲ ψυχὴν δι' ἀέρος ἀφίησιν ἐφ' ἣν ἔσπευδεν οὐρανῶν βασιλείαν, ἀγγέλων ἅμα καὶ μαρτύρων χοροῖς συναγελασθησομένην καὶ συγχορεύσουσαν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀνθίμου, Θαλελαίου[1], Χριστοφόρου, Εὐφημίας καὶ τῶν τέκνων αὐτῆς.

6. Καὶ μνήμη τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, Στεφάνου καὶ Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τοῖς Διακονίσσης, ὄντων καὶ τῶν ἐγκαινίων τοῦ τοιούτου ναοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Nov. 20. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τῶν εἰκονομάχων. Οὗτος ἔφυ μὲν ἐν μιᾷ τῶν ἐν τῇ Δεκαπολιτῶν πρὸς τῇ Ἰσαυρίᾳ πόλεων[1], ᾗ ὄνομα Εἰρηνούπολις, γεννητόρων δὲ Σεργίου καὶ Μαρίας. Ὀκταετὴς δὲ γενόμενος, πρὸς τὴν μάθησιν τῶν ἱερῶν γραμμάτων ἐκδίδοται καὶ τούτων πλήρης γεγονὼς ταῖς ἐκκλησίαις ἐσχόλαζε. Τῆς ἥβης δὲ αὐτῷ ἐπανθούσης, πρὸς γάμον ἐκδοθῆναι ὑπὸ τῶν γονέων παρεσκευάζετο. Ὁ δὲ λάθρα φυγὼν καὶ μάλιστα διὰ τὴν ἐπικρατοῦσαν τότε τῶν εἰκονομάχων αἵρεσιν, περιήρχετο τόπον ἐκ τόπου τοὺς ἁγίους ἄνδρας κατασπαζόμενος, τὴν ὠφέλειαν παρ' ἑαυτῷ θησαυρίζων. Τῇ ἐγκρατείᾳ δὲ καὶ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλών, πολλαῖς κακώσεσι καὶ μάλιστα[2] δαιμονικαῖς[3] ἐπάλαισεν· ὅθεν καὶ μέγας θαυματουργὸς ἀνεφάνη. Οὗτος καὶ τὴν Ἀσίαν κατέλαβε καὶ πρὸς τὸ Βυζάντιον ἐπεδήμησεν, ἐπιθυμίαν ἔχων ἐπιτυχεῖν τῆς ὁμολογίας. Ἐκεῖθεν πρὸς τὴν Ῥώμην ἀπέπλει, καὶ πᾶσαν τὴν ἑσπέραν περινοστησάμενος καὶ θαύμασι καὶ τέρασι πολλοὺς ἐκπλήξας, πάλιν πρὸς τὸ Βυζ...ιον ἔρχεται· εἶτα πρὸς τὸ Ὀλύμπιον[4] ὄρος μετέστη, ὅπου καὶ ὑδεριάσας καὶ πάνυ ἐκτακεὶς ἀπὸ μόνης[5] φωνῆς τοῖς εἰδόσιν ἐγνωρίζετο. Καὶ[6] πάλιν οὖν ἀπὸ τοῦ ὄρους κατελθὼν καὶ τὴν Θεσσαλονίκην καταλαβὼν ἐκεῖθέν τε τῷ Βυζαντίῳ[7] προσορμήσας καὶ Συμεὼν τὸν ὁμολογητὴν καὶ θεοφόρον, θεῖον αὐτοῦ ὄντα, ὑπὲρ τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων εὑρὼν ἐγκεκλεισμένον καὶ πολλὰ καθικετεύσας καὶ προσκυνήσας, ἐν εἰρήνῃ ἐκοιμήθη, πολλὰ καὶ διάφορα | νοσήματα ἐξ ἀνθρώπων ἀπελάσας. f. 86.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Πρόκλου, Μαξιμιανοῦ[1], Ἀνατολίου καὶ Γενναδίου.

— [5] *om.* Sa. — [6] ἡμῖν Sa. — [7] διαβιβάσας Sa.
5. — [1] Θαλαλαίου Sa.
1. — [1] πόλει S, Sa. — [2] μάστιξι Sa. — [3] δαιμονικῶς Sa. — [4] Ὀλυμπεῖον S. — [5] τῆς *add.* Sa. — [6] *om.* Sa. — [7] Βυζαντιο Sa.
2. — [1] Μαξιμιανοῦ Sa, H, Μαξίμου S.

Nov. 19. Σαρακηνοί, ἐδόξασαν τὸν Χριστόν. Τοῦτο τὸ σημεῖον ὁ ὅσιος οὐχ ἅπαξ μόνον ποιήσας, ἀλλὰ καὶ δὶς καὶ τρὶς διὰ τὸ αὐτοὺς ἐκεῖσε ἡμέρας πολλὰς ποιῆσαι διὰ τὴν τῶν ἀνέμων ἐναντιότητα καὶ ἄλλων δὲ θαυμάτων καὶ σημείων αὐτουργὸς γενόμενος, ἐν εἰρήνῃ ἐτελειώθη. — **C** : 3. 5. 6. 4 : Ἀγαπίου τοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης. Βασιλεύοντος Μαξιμιανοῦ καὶ τῶν γενεθλίων αὐτοῦ τελουμένων ἐν τῇ πόλει, ἑορτὴν ἐπετέλει τοῖς θεαταῖς. Ἀχθεὶς οὖν ὁ Ἀγάπιος ἐπ' οὐδεμιᾷ ἑτέρᾳ αἰτίᾳ ἢ ὅτι χριστιανὸς εἴη, ηὐτρεπίζετο εἰς βορὰν θηρίοις καὶ σὺν αὐτῷ οἰκέτης τις ἐπὶ δεσπότου φόνῳ. Καὶ ὅρα τὸ διάφορον· αὐτὸς μὲν ἀπελύετο ὡς πάλαι Βαραββᾶς ὁ τὸν δεσπότην φονεύσας, ὁ δὲ ὑπὲρ Χριστοῦ μαρτυρῶν θανάτῳ παρεδίδετο. Ἀχθεὶς οὖν εἰς τὸ μέσον, ἄρκου αὐτῷ ἀπολυθείσης ἀγρίας, διεσπαράχθη καὶ ἔτι μικρὸν ἐμπνέων εἰς τὸ δεσμωτήριον ἀνελήφθη. Μίαν δὲ ἐνταῦθα βιώσας ἡμέραν, τῇ ὑστεραίᾳ λίθων αὐτῷ προσαναρτηθέντων θαλάττῃ καταποντοῦται τὸ σῶμα, τὴν ψυχὴν ἀφεὶς εἰς χεῖρας Θεοῦ Ζῶντος, καὶ οὕτως ἐτελειώθη. — 1. — **Cb** : 3. 5. 1. 4. — **Cc** : 3. 5. 6. 4. 1. — **M** : 1. 2. 3. — Οἱ ἅγιοι ἑκατὸν στρατιῶται καὶ πεντήκοντα μετὰ τοῦ ἁγίου Ἄζη ξ. τ. — Οἱ ἅγιοι ιβ' στρατιῶται ξ. τ. — 4. — Τοῦ ἁγίου μάρτυρος Ἡλιοδώρου τοῦ ἐν Μαγιδῷ τῆς Παμφυλίας. Ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ τοῦ ἐν Ῥώμῃ, ἡγεμονεύοντος Ἀετίου ἐν Μαγιδῷ τῇ πόλει, ὁ μακάριος οὗτος Ἡλιόδωρος ἐν τῇ αὐτῇ πόλει ὢν καὶ τὸν Χριστὸν μετὰ παρρησίας ἀνακηρύττων διαβάλλεται τῷ ἄρχοντι... Des. καὶ νεύσας ὁ ἅγιος τῇ χειρὶ αὐτοῦ τοὺς ἕλκοντας αὐτὸν ἔστη εἰς προσευχήν· καὶ πληρώσας τὴν εὐχὴν ἀπετμήθη τὴν κεφαλήν. — **Mv** : 1. 2. 3. — Οἱ ἅγιοι ρν' στρατιῶται ξ. τ. — Οἱ ἅγιοι δέκα στρατιῶται ξ. τ. — 4. — Ἡλιοδώρου. — 5. — **Mr** : 1. 2.

Nov. 20. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. add. : Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ μονῇ αὐτῶν τῇ οὔσῃ πλησίον τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐν τῷ Σκοτεινῷ Πηγαδίῳ. — 7. 8. 9. — **H** : 4. 5. 1. 2 (ἡ μεγάλη ἐκκλησία ἀεὶ ἐν ἡμέρᾳ κυριακῇ ἑορτάζει καὶ γίνεται ἡ ἀκολουθία οὕτως ...). — 3. — **P** : 4. 1. 5. 2. — **Da** : 1. 4 (= Ba). 5. 6. — **Db** : 1. 4. 5. 6. — **F** : 2 : Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως μαθητοῦ τοῦ μακαρίου Ἰωάννου τοῦ Χρυσοστόμου. — 1. 4. 5. 2 (Μαξίμου, Ἀλεξάνδρου, Ἀνατολίου καὶ Γενναδίου). — 6. — **Fa** : 2 (Πρόκλου). — 1. 4. 5 (Ἡρσᾶ ...). — 2 (Μαξίμου κτλ.). — 6. — **B** : 4. 5. 7. 8. 1. — **Ba** : 1. 4 : Ἄθλησις τοῦ ἁγίου μάρτυρος

3. Καὶ τοῦ ἁγίου Θωμᾶ ἐν τοῖς Κύρου, πλησίον τοῦ ἁγίου μάρτυρος Μωκίου.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Δασίου τοῦ ἐν Δοροστόλῳ[1]. Ἰστέον, ὅτι ἐν ταύτῃ τῇ πόλει τοιοῦτον ἔθος ἦν τοῖς ἕλλησι· τῷ Κρόνῳ ἐπετέλουν ἑορτὴν ἐτησίως, πρὸ τριάκοντα δὲ ἡμερῶν τῆς τοιαύτης μυσαρᾶς ἑορτῆς ἐπελέγοντο ἕνα τινὰ τῶν στρατιωτῶν νέον καὶ εὐειδῆ, καὶ εὐτρέπιζον πρὸς[2] θυσίαν, ἐνδύοντες αὐτὸν ἱμάτια βασιλικὰ καὶ προτρεπόμενοι ἀποπληροῦν πᾶσαν ἐπιθυμίαν αὐτοῦ, ὡς μετὰ τριάκοντα ἡμέρας μέλλοντα ἐπισφάττεσθαι τῷ βωμῷ τοῦ Κρόνου. Ἐλθόντος δὲ τοῦ κλήρου καὶ ἐπὶ Δάσιον τὸν στρατιώτην καὶ τῶν συστρατιωτῶν περιστάντων αὐτῷ[3] καὶ πρὸς τὰ ὅμοια ἐκβιαζομένων, ἐκεῖνος ἀγαθῷ λογισμῷ χρησάμενος ἐσκόπησε τὸ συμφέρον, εἰπὼν ὅτι· « Ἐπεὶ μέλλω θανεῖν[4], κρεῖττόν μοί ἐστιν ὡς χρι- » στιανῷ[5] ὑπὲρ τοῦ Χριστοῦ μου ἀποθανεῖν· » ὅθεν παραστὰς τῷ τοῦ ἄρχοντος βήματι, Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τοῦτο μαθόντων καὶ προσταξάντων, καὶ πολλὰ τιμωρηθεὶς τελευταῖον τὴν διὰ ξίφους ἐδέξατο τελευτήν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Νηρσᾶ[1] ἐπισκόπου καὶ Ἰωσὴφ μαθητοῦ αὐτοῦ καὶ ἑτέρων σὺν αὐτῷ τελειωθέντων ἐν Περσίδι. Ὧν ὁ μὲν ἐπίσκοπος Νηρσᾶς ἦν ἐτῶν π', ὁ δὲ Ἰωσὴφ καὶ αὐτὸς τῇ τοιαύτῃ ἀξίᾳ τετιμημένος, ἦν ἐτῶν πε'· μεθ' ὧν[2] καὶ ἕτεροι πλεῖστοι ἐπίσκοποί τε καὶ ἱερεῖς καὶ τῶν ἐκ τοῦ[3] ἰδιωτικοῦ τάγματος καὶ παρθένοι, γυναῖκες, ἀσκήτριαι διαφόρως ἐδοκιμάσθησαν· καὶ ἐν διαφόροις κολάσεσιν ἠτάσθησαν καὶ τὸν τῆς μαρτυρίας ἀπηνέγκαντο στέφανον.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων αὐταδέλφων μαρτύρων[1] Εὐσταθίου, Θεσπεσίου καὶ Ἀνατολίου. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, πατρίδα μὲν ἔχοντες τὴν[2] Γαλατῶν[3], πόλιν δὲ Γάγγραν, Φιλοθέου καὶ Εὐσεβείας ὄντες τέκνα. Ὧν ὁ μὲν πατὴρ ἐκ τῆς Γαλατῶν ὥρμητο, ἡ δὲ μήτηρ ἐκ Νικομηδείας, ἀμφότεροι ἕλληνες τὴν θρησκείαν τὸ δὲ ἐπιτήδευμα βεστι|οπρᾶται. Τεχθέντων δὲ τῶν παίδων καὶ καλῶς ἀνατρεφομένων, ὁ μὲν Εὐστάθιος γράμμασιν ἐσχόλασεν, ὁ δὲ Θεσπέσιος καὶ Ἀνατόλιος τὸ τοῦ πατρὸς μετήρχοντο ἐπιτήδευμα. Λαβὼν οὖν ὁ Φιλόθεος τὸν υἱὸν αὐτοῦ Ἀνατόλιον καὶ πραγματευσάμενος ἐν τῇ ἀνατολῇ, εἶτα πρὸς τὰ οἰκεῖα ὑποστρέφων, συνήντησεν κατὰ τὴν ὁδὸν Λουκιανῷ πρεσβύτῃ καὶ διδασκάλῳ, ἀπὸ τῆς Ἀντιοχέων πρὸς τὴν Νικομήδειαν ὁρμῶντι. Ἐν συντυχίᾳ δὲ τούτου γεγονώς, ἐπίστευσεν αὐτὸς καὶ ὁ τούτου υἱὸς εἰς τὸν Χριστὸν καὶ αὐτίκα ἐλούθησαν ἐν τῷ Σαγγαρίῳ[4] ποταμῷ. Ἔπειτα καταλαβόντες τὴν Νικομήδειαν καὶ ἐν ὁμιλίᾳ γενόμενοι τοῦ μακαρίου Ἀνθίμου τοῦ ἐπισκόπου, πάντες ὑπ' αὐτοῦ ἐβαπτίσθησαν· ὅθεν ὁ μὲν Φιλόθεος πρεσβύτερος μετ' ὀλίγον ἐχειροτονήθη καὶ ὁ τούτου υἱὸς Εὐστάθιος διάκονος, ἀνθρωπίνης καὶ θείας γνώσεως ὑπάρχοντες ἔμπλεῳ[5]. Οὐ μετὰ πολὺ δέ, τῶν γονέων τὸν βίον ἀπολιπόντων, διεβλήθησαν τῷ Μαξιμιανῷ. Διὸ καὶ τύπτονται βάκλοις ἀνηλεῶς καὶ τῇ φρουρᾷ καὶ τῷ ξύλῳ ἐμβάλλονται, βρώσεως ἢ πόσεως οὐδ' ὅλως μετέχοντες· ἀγγέλου δὲ θείου ἐπιστασίᾳ καὶ τῶν δεσμῶν ἀνείθησαν καὶ βρώσεως μετέσχον· τῇ δὲ ἕωθεν θηρίοις διαφόροις ἐπάλαισαν, αὐτοὶ διαμείναντες ἄτρωτοι· ὅθεν καὶ ἐκδότους αὐτοὺς λαβὼν Ἀντωνῖνος ὁ κόμης καὶ τὴν Νίκαιαν καταλαβών, ποικίλαις ὑπέβαλε κολάσεσιν. Ἀναρτῶνται γὰρ ἐπὶ ξύλου καὶ σιδηροῖς ὄνυξι ξέονται, ὡς τὴν γῆν τῷ αἵματι φοινιχθῆναι, καὶ τῇ εἱρκτῇ ἐναπορρίπτονται· ἀλλὰ καὶ πάλιν θείᾳ καὶ ἀγγελικῇ ἐπιφανείᾳ καὶ ὁ πόνος τῶν πληγῶν αὐτῶν ἠφανίσθη καὶ τὰ σώματα ὑγιῆ ἀποκατέστη. Ταῦτα ἰδὼν ὁ αἱμοβόρος ἐκεῖνος τὴν διὰ ξίφους αὐτοὺς κελεύει ὑποστῆναι τιμωρίαν. Εὐχόμενοι δὲ ἐν τῷ τῆς τελειώσεως τόπῳ οἱ ἅγιοι, αἰφνιδίως τὰς ψυχὰς αὐτῶν ἐν εἰρήνῃ τῷ Θεῷ[6] ἀπέδωκαν, ὅθεν οἱ δήμιοι διὰ τὸν τύραννον νεκρὰ τὰ σώματα τοῖς ξίφεσιν ἀπέτεμον[7]. Nov. 20. f. 86v.

4. — [1] Sa, Ῥοδοστόλῳ S. — [2] εἰς Sa. — [3] αὐτῶν S, αὐτὸν Sa. — [4] ἀποθανεῖν Sa. — [5] χριστιανὸν Sa.
5. — [1] μαρτύρων Νιρσᾶ Sa. — [2] (Νηρσᾶς ἦν - ἐτῶν πε') Νιρσᾶς ἦν ἐτῶν πε' Sa. — [3] ἐκ τοῦ *om.* Sa.
6. — [1] μαρτύρων καὶ αὐταδέλφων Sa. — [2] τῶν *add.* Sa. — [3] χώραν *add.* Sa. — [4] Σαγαρίῳ S, Sa. — [5] ἔμπλεοι Sa. — [6] Κυρίῳ Sa. — [7] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.

Δασίου. Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ βασιλέως ἐν πόλει Δοροστόλῳ, πλησιάζοντι τῷ Ἴστρῳ ποταμῷ. Ἐτησίου δὲ ἑορτῆς ἐν τῇ πόλει τελουμένης τῷ Κρόνῳ καὶ ἀνθρώπου τοῦ κληρωθέντος ἐπὶ τῇ τοῦ δαίμονος τιμῇ σφαττομένου καὶ θυομένου, ὑπὲρ τοῦ Χριστοῦ μᾶλλον εἵλετο ὁ ἅγιος μάρτυς τοῦτο παθεῖν. Ὅθεν παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσας καὶ προσαχθεὶς τῷ βασιλεῖ Μαξιμιανῷ ἐτμήθη ὑπὸ τοῦ ξίφους τὴν κεφαλὴν καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ μαρτυρία. — 5. 6. 7. 8. — In margine fol. 127v manu rec. add. : τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου· ζήτει ὀκτωβρίου τῇ κδ'. — **T** : 1. — **L** : 1. — **O** : 1. 4. 5. 6. — **Q** : 1. 4. 5. 7. 8. 6. — **C** : 6. 4. 5. 7 (Ἰωάννου καὶ Σαβωρίου καὶ Ἰσακίου ἐπισκόπων καὶ Ἀγαπίου καὶ Ἰσακίου τῶν πρεσβυτέρων). — 8. 1. mutil. — **Ca** : 6. 4. 5. 7. 8. 1. 2 (Μαξιμιανοῦ κτλ.). — **Cb** : 4. 7 (Ἰωάννου, Σαβωρίου καὶ Ἰσακίου τῶν ἐπισκόπων καὶ Παπάου καὶ Ἰσακίου τῶν ἐπισκόπων). — 8. 1. — **Cc** : 6. 4. 5 : Νηρσᾶ ἐπισκόπου καὶ Ἰωσὴφ μαθητοῦ αὐτοῦ. Τούτων τῶν ἁγίων ὁ μὲν Νηρσᾶς ὑπῆρχεν ἐτῶν ὀγδοήκοντα, ὁ δὲ Ἰωσὴφ ἐτῶν ὀγδοήκοντα πέντε, ἀμφότεροι ἐπίσκοποι ὄντες· πολλοὺς δὲ ἐπιστρέφοντες ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν Κύριον, ἐκρατήθησαν παρὰ τῶν ἀθέων Περσῶν. Καὶ παραστάντες τῷ βασιλεῖ, ἔφησαν ὅτι· « Εἰ δύνασαι, βασιλεῦ, μετὰ τὸ » θανατῶσαι ἡμᾶς ἑπτάκις ἀναστῆσαι ἡμᾶς, οὐκ ἂν χωρήσῃς ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ· » καὶ ταῦτα εἰπόντες, ἀπεκεφαλίσθησαν. — 7 : Ἰωάννου καὶ Σαβωρίου καὶ Ἰσαακίου τῶν ἐπισκόπων καὶ Ἀγαπίου καὶ Ἰσαακίου τῶν πρεσβυτέρων. Καὶ οὗτοι οἱ ἅγιοι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν κρατηθέντες παρὰ τοῦ βασιλέως Περσῶν καὶ πολλὰ τιμωρηθέντες καὶ μὴ ἀρνησάμενοι τὸν Χριστὸν ἀλλ'

Nov. 20.

7. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰωάννου, Σαβωρίου, Ἰσαακίου <καὶ [1]> Παπίου. Οὗτοι οἱ ἅγιοι ἐν Περσίδι ἐτύγχανον, πρεσβύτεροι χρηματίζοντες πόλεως Βηθσαλωχόν [2]. | Ἐπεὶ δὲ τὸν λαὸν ἐδίδασκον τὴν πλάνην τῶν Περσῶν καταλῦσαι σπουδάζοντες, διεβλήθησαν τῷ βασιλεῖ. Ὁ δὲ μετὰ θυμοῦ μεγάλου καὶ ὀργῆς πέμψας στρατιώτας, ἐκράτησεν αὐτούς. Οἵτινες δέσμιοι παραστάντες τῷ βήματι αὐτοῦ καὶ διαφόρως μαστιχθέντες καὶ καταξανθέντες, ἐπεὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Θεὸν ἀληθινὸν ἀνωμολόγουν καὶ τῆς τῶν Περσῶν πλάνης καταλύτην, προστάξει τοῦ τυράννου τῆς πόλεως ἔξω σὺν τῷ ἁγίῳ Ὀνὰμ τῷ ἀσκητῇ ἐλιθοβολήθησαν.

f. 87.

8. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Βοηθαζὰτ τοῦ εὐνούχου καὶ Σασάνους καὶ τῶν σὺν αὐτοῖς ἁγίων ἀνδρῶν καὶ γυναικῶν. Ὁμοίως καὶ οὗτοι ἐν τῇ δυσσεβεστάτῃ καὶ κατειδώλῳ [1] χώρᾳ τῶν παρανόμων Περσῶν ἐτύγχανον. Καὶ ὁ μὲν Βοηθαζὰτ χριστιανὸς ἐκ βρέφους ὤν, κρατηθεὶς καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί, προστάξει τοῦ Περσῶν βασιλέως ἅμα τοῖς ἁγίοις Σασάνῃ καὶ τοῖς λοιποῖς μετὰ πολλὰς βασάνους καὶ τιμωρίας ἀνῃρέθη· μεθ' ὧν καὶ γυναῖκες ἅγιαι ἀσκήτριαι Θέκλα, Ἄννα καὶ ἕτεραι πολλαὶ πλεῖστα ὑπὲρ Χριστοῦ παθοῦσαι ἀπεκεφαλίσθησαν· ὁμοίως καὶ τρεῖς παρθένοι μαχαίραις κατεκόπησαν. Ἔνθα δὲ ἔρρευσε [2] τὸ αἷμα αὐτῶν, συκῆ ἀναβλαστήσασα ἰαμάτων χάριν παρεῖχε τοῖς πιστοῖς, θεραπεύουσα πᾶσαν νόσον καὶ πᾶν πάθος· ἥτις ὕστερον ἐξεκόπη ὑπὸ τῶν ἀθέων μανιχαίων, φθονησάντων τῇ τῶν θείων θαυμάτων ἐνεργείᾳ.

9. Καὶ [1] ἄθλησις τοῦ ἁγίου Θεοκτίστου πατρικίου, τῇ θέσει εὐνούχου· ὃς ἦν ἐπὶ Θεοδώρας τῆς Αὐγούστης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Nov. 21.

1. Ἡ σύναξις τῆς παναγίας [1] δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὅτε ἀφιερώθη καὶ ἀνετέθη ἐν τῷ ναῷ, οὖσα τριετής, παρὰ Ἰωακεὶμ καὶ Ἄννης τῶν γεννητόρων αὐτῆς. Ἡ ἐν τῷ ναῷ τῆς θεομήτορος εἴσοδος ἑορτὴν τοῖς εὐσεβέσιν εἰργάσατο θαυμαστὴν καὶ παγκόσμιον, ἐκ ταύτης τῆς ὑποθέσεως λαβοῦσαν τὴν ἀφορμήν. Μετὰ τὸν παράδοξον τόκον τῶν ἁγίων Ἰωακεὶμ καὶ Ἄννης, πληρωθέντος διετοῦς χρόνου ἀπὸ τῆς σεπτῆς γεννήσεως τῆς αὐτῶν θυγατρὸς τῆς ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, εἶπεν Ἰωακεὶμ τῇ γυναικὶ αὐτοῦ Ἄννῃ· « Ἀπαγάγωμεν αὐ|τὴν ἐν τῷ ναῷ Κυρίου καθὼς » ὑπεσχόμεθα. » Καὶ εἶπεν Ἄννα· « Μείνωμεν τὸ » τρίτον ἔτος, μήποτε ζητήσῃ πατέρα ἢ μητέρα καὶ » οὐ κατευθυνθήσεται ἐνώπιον Κυρίου. » Καὶ μετὰ τὰ [2] τρία ἔτη, εἶπεν Ἰωακείμ· « Καλέσωμεν τὰς » θυγατέρας τῶν Ἑβραίων τὰς ἀμιάντους καὶ » λαβέτωσαν ἀνὰ λαμπάδα καὶ ἔστωσαν αἱ λαμπά» δες καιόμεναι, μήποτε στραφῇ ἡ παῖς εἰς τὰ » ὀπίσω καὶ αἰχμαλωτισθῇ ἡ διάνοια αὐτῆς ἐν ναῷ » Κυρίου. » Καὶ ἐποίησαν οὕτως. Καὶ ἐδέξατο αὐτὴν Ζαχαρίας καὶ εἶπεν αὐτῇ· « Μεγαλύναι » Κύριος τὸ ὄνομά σου· » καὶ ἐκάθισεν αὐτὴν ἐπὶ τοῦ βαθμοῦ τοῦ θυσιαστηρίου. Καὶ ἦν τρεφομένη ὑπὸ [3] ἀγγέλου, ἕως ἐγένετο ἐτῶν δώδεκα· καὶ φθάσαντος τοῦ καιροῦ τῆς μνηστείας, παρέλαβεν αὐτὴν Ἰωσὴφ ἀπὸ τῶν ἀρχιερέων ἐκ ναοῦ Κυρίου. Τελεῖται δὲ [2] ἡ τοιαύτη σύναξις ἐν τῷ πανσέπτῳ αὐτῆς ναῷ ἐν τοῖς Χαλκοπρατείοις.

f. 87v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Nov. 22.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Κικιλίας, Βαλλεριανοῦ καὶ Τιβουρτίου [1]. Οὗτοι ἤθλησαν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Καὶ ἡ μὲν Κικιλία ὑπῆρχεν ἐκ [2] Ῥώμης, προγόνους ἔχουσα λαμπρούς. Μνηστευθεῖσα δὲ τῷ Βαλλεριανῷ, τοῦτον ἐπὶ τὴν εἰς Χριστὸν πίστιν μετηγάγετο καὶ ἐν ἁγνείᾳ διάγειν ἔπεισεν, ὁ δὲ Βαλλεριανὸς τὸν Τιβούρτιον ἀδελφὸν αὐτοῦ γνήσιον ὑπάρχοντα. Εἰς τοσαύτην δὲ ἀρετὴν ἀνήχθη ὁ Τιβούρτιος, ὡς καὶ ἀγγέλοις καθ' ἑκάστην προσομιλεῖν. Οὗτοι οὖν τὰ λείψανα τῶν ἐναθλούντων ὑπὲρ Χριστοῦ μαρτύρων θάπτοντες, διαβάλλονται Τουσκίῳ Ἀλματίῳ [3] ἐπάρχῳ τῆς πόλεως· καὶ ἀχθέντες ἐνώπιον αὐτοῦ καὶ τὸν Χριστὸν ὁμολογήσαντες ἐκδίδονται τῷ καπικλαρίῳ [4] Μαξίμῳ ἀποτμηθησόμενοι τὰς κεφαλάς. Ὃς μετὰ τὴν τῶν ἁγίων ἐκτομὴν θεασάμενος λαμπροὺς ἀγγέλους προπομπεύοντας καὶ δορυφοροῦντας εἰς οὐρανοὺς <τὰς ψυχὰς τῶν μαρτύρων, ἐπίστευσε καὶ αὐτὸς ἐπὶ τὸν Κύριον [5]>· ὃς καὶ αὐτὸς ὑπὸ τοῦ ἐπάρχου <τυφθῆναι κελευσθεὶς [6]> ἐν τῷ αἰκίζεσθαι τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν. Ἡ δὲ ἁγία Κικιλία [7] ἐν τῷ βαλανείῳ τοῦ οἴκου αὐτῆς προστάξει τοῦ ἐπάρχου [8] ἐμβληθεῖσα ἐκκαέντι σφοδρῶς [9] καὶ μὴ συγχωρουμένη τὴν ἔξοδον καὶ [10] ἐπὶ τρισὶν ἡμέραις ἐν αὐτῷ παραμείνασα καὶ μηδὲν βλαβεῖσα, ἀποστείλαντος τοῦ ἐπάρχου, τέμνεται τὴν κεφαλήν [11].

f. 88.

| **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Προκοπίου τοῦ Παλαιστινοῦ [1]. Οὗτος πρῶτος μαρτύρων τῶν κατὰ Παλαιστίνην [2] ἀπεφάνθη, ἐπεὶ καὶ πρὸ τοῦ μαρτυρίου [3] συντόνῳ φιλοσοφίᾳ τὴν ἑαυτοῦ ζωὴν ἀναθεὶς ἐκ παιδὸς ἁγνείᾳ βίου καὶ διαίτῃ καρτερικωτάτῃ [4] προσεῖχεν· ἄρτος μὲν γὰρ αὐτῷ ἡ τροφὴ καὶ τὸ [5] ποτὸν ὕδωρ [6]· μόνοις δὲ τούτοις ἐχρῆτο διὰ δύο ἢ καὶ τριῶν ἡμερῶν, πολλάκις δὲ καὶ ὅλην τὴν ἑβδομάδα ἄσιτος διετέλει [7]. Οὗτος τὸ γένος ἀπὸ τῆς Αἰλίας πόλεως εἷλκε, τὰς διατριβὰς δὲ ἐπὶ τὴν Σκυθοπολιτῶν ἐποιεῖτο· ἔνθα ταῖς τῆς ἐκκλησίας χρείαις [8] τρεῖς παρείχετο ὑπηρεσίας, μίαν τὴν τῆς ἀναγνώσεως, δευτέραν τὴν ἑρμηνείαν τῆς τῶν Σύρων φωνῆς, τρίτην, εἰ καὶ πεπονημένος [9], τὴν κατὰ τῶν δαιμόνων ἔλασιν. Ὡς δὲ τὰ κατ' αὐτὸν ἐγνώσθη καὶ ἤχθη εἰς Καισάρειαν καὶ ἠναγκάσθη [10] παρὰ τοῦ ἄρχοντος Φλαβιανοῦ [11] θύειν τοῖς δαίμοσιν, ἔπειτα καὶ τέτρασι [12] βασιλεῦσιν οὖσι τὸν ἀριθμὸν πειθαρχεῖν, ὁ μάρτυς εὖ μάλα διαπαίξας τὸν λόγον εἶπεν· « Οὐκ ἀγαθὸν » πολυκοιρανίη [13]· εἷς κοίρανος [14], εἷς βασιλεύς [15], » εἷς Θεὸς ὁ δημιουργὸς καὶ ποιητὴς τῶν » ὅλων [16]. » Καὶ παραυτίκα ἀπάγεται [17] καὶ τὴν κεφαλὴν ἀποτμηθεὶς [18] συντόμως εὕρατο τὴν ὁδὸν τῆς οὐρανίου πορείας.

Nov. 22. — Il. B. 204.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μάρκου καὶ Στεφάνου. Οὗτοι ἦσαν [1] ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως [2] καὶ Μάγνου ἡγεμόνος ἐκ [3] πόλεως Ἀντιοχείας τῆς Πισιδίας [4]. Κατασχεθέντες [5] δὲ καὶ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσαντες καὶ πλείστας ὑπομείναντες [6] βασάνους καὶ μὴ πεισθέντες, συνεδέθησαν ἑτέρῳ Μάρκῳ τῷ μετὰ τῶν Καλυτηνῶν [7] προαθλήσαντι καὶ σὺν αὐτῷ τὰς κεφαλὰς ἀπετμήθησαν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μενίγνου τοῦ ἐπὶ Δεκίου ἀθλήσαντος. Οὗτος ὥρμητο ἀπὸ Ἑλλησπόντου ἐκ πόλεως Παρίου. Καὶ

7. — [1] Sa, *om.* S. — [2] Βηθσαλὼχ Sa.
8. — [1] κατειδάλω Sa. — [2] ἔρρυσε Sa.
9. — [1] τῇ αὐτῇ ἡμέρα Sa.
1. — [1] ὑπεραγίας Sa. — [2] *om.* Sa. — [3] τοῦ *add.* Sa.
1. — [1] Τιβορτίου Sa. — [2] τῆς *add.* Sa.
— [3] τοὺς κίω Ἀλματίω S, τοῦ σκίω Ἀλματίω Sa. Τούρκιος ὁ καὶ Ἀλμάτιος *in Passione graeca*, Laderchi, *t. I, p. 244*; Turcius Almachius, *in Passione latina, ibid., p. 20.* — [4] S, Sa, *Passio, p. 250*; corniculario, *ibid., p. 28, et apud* Mombritium, *t. I, f. 191v*; *al.* cubiculario. — [5] *add.* Sa, *om.* S. — [6] *om.* S, Sa. — [7] Κιλικία S. — [8] ὑπάρχου S, Sa. — [9] (ὃς καὶ - σφοδρῶς) ἡ δὲ ἁγία Κικιλία ἐν βαλανείω βληθεῖσα σφοδρῶς ἐκκαέντι Sa. — [10] *om.* Sa. — [11] (ἐν αὐτῷ - κεφαλήν) παραμείνασα ἐν αὐτῷ τὴν διὰ ξίφους δέχεται τελευτὴν τοῦ ἐπάρχου οὕτως ἀποφηναμένου Sa.
2. — [1] Παλαιστηνοῦ Sa. — [2] πρῶτος τῶν κατὰ Παλαιστήνην Sa. — [3] (ἐπεὶ - μαρτυρίου) μαρτύρων Sa. — [4] καρτερικωτάτην Sa. — [5] *om.* Sa. — [6] ἦν *add.* Sa. — [7] διέμεινεν Sa. — [8] χρείοις Sa. — [9] πενονημένως S, πεπονημένο¦¦ς Sa. — [10] ἠναγκάζετο Sa. — [11] ἐν πρώτοις μὲν *add.* Sa. — [12] τέτταρσι Sa. — [13] πολυκυρανίη S. — [14] κύρανος S. — [15] καὶ *add.* Sa. — [16] τῶν ὅλων καὶ ποιητὴς Sa. — [17] τὴν ἐπὶ θάνατον ψῆφον *add.* Sa. — [18] ὁ μακάριος *add.* Sa.
3. — [1] ὑπῆρχον Sa. — [2] τοῦ βασιλέως *om.* Sa. — [3] *om.* Sa. — [4] Πισσιδίας Sa. — [5] καταχεθέντες Sa. — [6] ὑποστάντες Sa. — [7] Sa, Καλαντηνῶν S.

Nov. 20. ἐλέγξαντες τὴν τῶν Περσῶν πλάνην καὶ ματαιότητα, προστάξει τοῦ τυράννου ἐλιθοβολήθησαν, καὶ οὕτως ἐτελειώθησαν σὺν τῷ ἁγίῳ Ὠνὰμ τῷ ἀσκητῇ. — 8 : Βοηθαζὰτ εὐνούχου καὶ Σασάνης καὶ τῶν σὺν αὐτῷ ἀνδρῶν τε καὶ γυναικῶν. Οὗτος ὁ ἅγιος Βοηθαζὰτ χριστιανὸς ὢν καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί, προστάξει τοῦ Περσῶν βασιλέως ἅμα τοῖς ἁγίοις Σασάνῃ, Νοηλμάρῃ, Ζαρουαντίνῃ ἀνῃρέθησαν· μεθ' ὧν καὶ γυναῖκες ἅγιαι ἀσκήτριαι Βαουθᾶ, Θέκλα, Δινάχ, Τέντους, Μάμα, Μαλοχία καὶ Ἄννα ἀπεκεφαλίσθησαν καὶ Νάνα καὶ Ἄστη καὶ Μαλὰχ ἀειπάρθενοι μαχαίραις κατεκόπησαν. Ὅπου δὲ ἔρρευσε τὸ αἷμα αὐτῶν, συκῆ ἀνελθοῦσα ἰαμάτων χάριν παρεῖχε τοῖς πιστοῖς. — 1. 2 (Πρόκλου, Μαξιμιανοῦ ...). — **M** : 1. 4. 6. 9. 2 : καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Πρόκλου. — **Mv** : 1. 2 (Πρόκλου). — 4. 5. 6. 9. — **Mr** : 1. 2 (Πρόκλου).

Nov. 21. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : 1. — **Da** : 1. — **Db** : 1. — **F** : 1. — **Fa** : 1. — **B** : 1. — **Ba** : 1. — **T** : 1. — **L** : 1. des. ἐν τοῖς Χαλκοπρατείοις τῆς λιτῆς μετὰ τοῦ πατριάρχου ἀπὸ τῆς μεγάλης ἐκκλησίας ἐκεῖσε παραγενομένης. — **O** : 1. — **Q** : 1. — **C** : deest. — **Ca** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

Nov. 22. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 3. 2. — **P** : 3. — **Da** : 1 (= Ba). 2 (= Ba). 3. 4. — Αἰκατερίνας (Nov. 24²). — **Db** : 1. 2. 3. 4. — **F** : Ἀμφιλοχίου (Nov. 23²). — 1. 2. 3. — **Fa** : Ἀμφιλοχίου. — 1. 2. 3. — **B** : 3. — **Ba** : 1 : Κικιλίας καὶ Βαλλεριανοῦ [1] καὶ Τιβουρτίου. Οὗτοι ἤθλησαν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Καὶ ἡ μὲν Κικιλία ὑπῆρχεν ἐκ τῆς Ῥώμης, προγόνους ἔχουσα λαμπρούς. Μνηστευθεῖσα δὲ [2] τῷ Βαλλεριανῷ, τοῦτον ἐπὶ τὴν εἰς Χριστὸν πίστιν ἠγάγετο καὶ ἐν ἁγνείᾳ διάγειν ἔπεισεν, ὁ δὲ Βαλλεριανὸς τὸν Τιβούρτιον, ἀδελφὸν αὐτοῦ γνήσιον ὑπάρχοντα. Εἰς τοσαύτην δὲ ἀρετὴν ἀνήχθη ὁ Τιβούρτιος, ὡς καὶ ἀγγέλοις καθεκάστην προσομιλεῖν. Οὗτοι οὖν τὰ λείψανα τῶν ἐναθλούντων ὑπὲρ Χριστοῦ μαρτύρων θάπτοντες, διαβάλλονται Τουσκίῳ Ἀλματίῳ [3] ἐπάρχῳ τῆς πόλεως· καὶ ἀχθέντες καὶ τὸν Χριστὸν ὁμολογήσαντες, ἐκδίδονται τῷ καπικλαρίῳ [4] Μαξίμῳ, ἀποτμηθησόμενοι τὰς κεφαλάς. Ὃς μετὰ τὴν τῶν ἁγίων ἐκτομὴν θεασάμενος λαμπροὺς ἀγγέλους προπομπεύοντας καὶ δορυφοροῦντας τὰς ψυχὰς τῶν μαρτύρων, ἐπίστευσεν καὶ αὐτὸς ἐπὶ τὸν Κύριον. Ἡ δὲ ἁγία Κικιλία ἐν βαλανείῳ βληθεῖσα σφοδρῶς ἐκκαέντι καὶ μὴ συγχωρουμένη τὴν ἔξοδον ἐπὶ τρισί τε ἡμέραις παραμείνασα ἐν αὐτῷ βαλανείῳ, τὴν διὰ ξίφους δέχεται τελευτήν. — 2 : Προκοπίου τοῦ Παλαιστινοῦ. Οὗτος συντόνῳ φιλοσοφίᾳ τὴν ἑαυτοῦ ζωὴν ἀναθείς, πᾶν εἶδος ἀρετῆς τῷ ἐπιπόνῳ τοῦ βίου ἐκτήσατο. Καὶ τὸ μὲν γένος ἀπὸ τῆς Αἰλίας πόλεως εἷλκε, τὰς διατριβὰς δὲ ἐπὶ τὴν Σκυθοπολιτῶν ἐποιεῖτο, τρεῖς ὑπηρεσίας τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ παρέχων, τὴν τῆς ἀναγνώσεως, τὴν ἑρμηνείαν τῆς τῶν Σύρων φωνῆς καὶ τὴν κατὰ τῶν δαιμόνων ἔλασιν. Ὡς δὲ τὰ κατ' αὐτὸν ἐγνώσθη καὶ ἤχθη εἰς Καισάρειαν, ἐπειδὴ ὁ ἄρχων θῦσαι τοῖς θεοῖς <παρῄνει [5]> τὸν ἅγιον, <τέσσαρσι βασιλεῦσι [6]> πειθαρχήσαντα, ὁ μάρτυς εὖ μάλα διαπαίξας τὸν λόγον εἶπεν· « Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς γάρ, εἷς Θεὸς ὁ ποιητὴς » καὶ δημιουργὸς τῶν ὅλων. » Ταῦτα ἀκούσας ὁ ἄρχων καὶ θυμοῦ πλησθείς, τὸν διὰ ξίφους αὐτοῦ καταψηφίζεται θάνατον. Καὶ οὕτως εὕρατο σύντομον τὴν ὁδὸν τὴν εἰς τὸν οὐρανὸν ἄγουσαν. — 3. 4. — **T** : Φιλήμονος (Nov. 23¹). — **L** : 1. — **O** : 1. 2. 3. 4. — Αἰκατερίνας (Nov. 24²). — **Q** : 1. 2. 3. 4. — **C** : deest. — **Ca** : 3. — **Cb** : 3. — Ἀρχίππου μαθητοῦ τοῦ ἁγίου Παύλου ἀποστόλου καὶ Φιλήμονος στρα-

[1] Βαλεριανοῦ, *infra* Βαλλεριανοῦ Ba. — [2] καὶ *add.* Ba. — [3] *cf. supra ad* S, *not. 3.* — [4] *ibid., not. 4.* — [5] *in marg. add. manu rec.* — [6] *suppleri*, Da : τέσσαρσι βασιλεῖς.

Nov. 22. ἀκούσας στρατιωτῶν τινων βοώντων ἐν τῇ ἀγορᾷ ὅτι· «Ὁ Ναζωραῖος Ἰησοῦς νυκτὸς ἐλθὼν ἔκλεψε » τοὺς δεσμίους ἡμῶν, » ὑπερζέσας τῷ πνεύματι πολλὴν φροντίδα ἐτίθετο ἐπιτυχεῖν τοῦ μαρτυρίου. 88v. Ἐν γὰρ αὐτῇ τῇ τοῦ ἁγίου πόλει, πολλῶν | μαρτύρων ὑπὸ τῶν τυράννων κατακλεισθέντων ἐν [1] φυλακαῖς, ἐσφραγισμένων τῶν θυρῶν οὐσῶν, οἱ ἅγιοι παρὰ θείου ἀγγέλου τῶν δεσμῶν ἀπελύθησαν· ὅθεν, ἀνευρέτων αὐτῶν ὄντων, μεγάλως οἱ διῶκται διεταράχθησαν. Ἐπειδὴ δὲ ὁ Μένιγνος καὶ θείας φωνῆς καλούσης αὐτὸν καὶ πρὸς τὸν ἀγῶνα διεγειρούσης ἤκουσεν, οὐκ ἀνεβάλλετο ἀλλὰ τὰ ἱμάτια ἀποδοὺς τοῖς δεσπόταις, κναφεὺς γὰρ ἦν, καὶ τὰ προτεθέντα [2] παρὰ τῶν τυράννων γράμματα διαρρήξας, τύπτεται ὑπὸ τῶν δημίων ἀφειδῶς καὶ ἐπὶ γῆς ῥιφεὶς λὰξ ἐντείνεται καὶ κρεμασθεὶς ἐπὶ ξύλου ξέεται καὶ τοὺς δακτύλους τῶν χειρῶν καὶ τῶν ποδῶν τέμνεται· καὶ τοῖς τυράννοις ἀχθεὶς καὶ πολλὰ διαλεχθεὶς αὐτοῖς καὶ θύειν ἀπαρνησάμενος, τὴν ἐπὶ θάνατον κατακρίνεται καὶ τῷ ξίφει παρὰ τοῦ δημίου κρουσθεὶς τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο [3].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓʹ.

Nov. 23. **1.** Μνήμη τῶν ἁγίων ἀποστόλων Φιλήμονος, Ἀρχίππου καὶ Ἀπφίας. Οὗτοι ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως, μαθηταὶ γεγονότες τοῦ ἁγίου Παύλου. Ἐμαρτύρησαν δὲ ἐν Κολασσαῖς ἤτοι ἐν Χώναις πόλει τῆς Φρυγίας, ἥτις ἐστὶν πλησίον Λαοδικείας. Ἑορτῆς γὰρ ἀγομένης τῇ μυσαρᾷ Ἀρτέμιδι [1] ἐν τῷ αὐτῆς ναῷ τῷ ἐν Χώναις παρὰ τῶν πεπλανημένων ἑλλήνων, οὗτοι οἱ ἅγιοι τὴν δοξολογίαν ἀνέπεμπον τῷ Θεῷ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μετὰ τῶν χριστιανῶν. Εἶτα ἐπιθέμενοι οἱ εἰδωλολάτραι τοῖς ἁγίοις, τῶν μὲν λοιπῶν φυγόντων, μόνων δὲ Ἀρχίππου καὶ Φιλήμονος [2] καὶ Ἀπφίας ὑπομεινάντων, κρατήσαντες αὐτοὺς ἤγαγον πρὸς Ἀνδροκλέα τὸν σιτοφύλακα Ἐφέσου. Τύπτεται οὖν παρ' αὐτοῦ [3] ὁ Ἄρχιππος· καὶ μὴ πεισθεὶς θῦσαι τῷ εἰδώλῳ, τῷ παρ' ἐκείνων καλουμένῳ Μηνᾷ, εἰς βόθρον ἐμβάλλεται καὶ χώννυται μέχρι τοῦ ὀμφαλοῦ· καὶ ὑπὸ παίδων σχολιτῶν γραφίοις κατακεντηθεὶς ὅλον τὸ σῶμα πρότερον, ὕστερον ἐλιθοβολήθη. Εἶτα καὶ ὁ ἅγιος Φιλήμων μετὰ ξύλων τυφθεὶς ἀνηλεῶς τελειοῦται· ὁμοίως καὶ ἡ ἁγία Ἀπφία.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου. Οὗτος ἐκ νεαρᾶς τῆς ἡλικίας πάντα βαθμὸν ἐκκλησιαστικὸν παραλλάξας καὶ ἀσκήσει καὶ θείᾳ γνώσει διαλάμψας, ψήφῳ τοῦ Θεοῦ προχειρίζεται | ἐπίσκοπος τῆς Ἰκονιέων πόλεως ἐν τοῖς χρόνοις Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος τῶν βασιλέων, παρατείνας τὴν ζωὴν μέχρι Θεοδοσίου [1] τοῦ μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ, διδάσκαλος τῆς ὀρθοδόξου πίστεως γεγονὼς καὶ κατὰ τῆς Ἀρείου λύμης στερρῶς ἀντιταττόμενος [2], διωγμούς τε πολλοὺς καὶ θλίψεις ὑπομείνας παρὰ τῶν ἀσεβῶν, συναγωνιστὴς γεγο- f. 89

4. — [1] *om.* Sa. — [2] Sa, προτιθέντα S. — [3] ταῖς αὐτοῦ πρεσβείαις *add.* Sa.
1. — [1] Ἀρτέμηδι S. — [2] Ἄρχιππος καὶ Φιλήμων S. — [3] παρ' αὐτοῦ *om.* Sa.
2. — [1] *corr., prius* Θεοδωσίου S. — [2] ἀντιταξάμενος Sa.

Nov. 22. τιώτου (Nov. 23[1]). — **Cc** : 3. — **M** : 1. — Ὁ ἅγιος Μάξιμος ὁ καπικλάριος αἰκισθεὶς τ. — 3 (Μάρκου, Στεφάνου καὶ Μάρκου). — 2. 4. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀββᾶ. — Ὁ ἅγιος Χριστοφόρος καὶ Εὐφημία μαχαίρᾳ τ. — Τῶν ἁγίων μαρτύρων Θαλελαίου καὶ Ἀνθίμου. — Ὁ ὅσιος Κάλλιστος ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος Θαδδαῖος. — **Mv** : 1. — Φιλήμονος, Ἀρχίππου καὶ Ἀπφίας (Nov. 23[1]). — 3 (Μάρκου, Στεφάνου καὶ ἑτέρου Μάρκου). — 2. 4. — Ἀββᾶ. — Χριστοφόρος καὶ Εὐφημία. — Θαλλελαῖος καὶ Ἄνθιμος. — Κάλλιστος. — Θαδδαῖος. — Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀγαπίωνος, Συσινίου ἱερομάρτυρος καὶ Ἀγαπίου. — **Mr** : Φιλήμονος, Ἀρχίππου, Ἀπφίας καὶ Ὀνησίμου (cf. Nov. 23[1]). — 1.

Nov. 23. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 3. — Μενίγνου (Nov. 22[4]). — Προκοπίου τοῦ ἐν Περσίδι (cf. Nov. 22[2]). — 4. 5. — **P** : 1. 3. — Μενίγνου. — Προκοπίου τοῦ ἐν Περσίδι. — 4. 5. — **Da** : 3 : Τοῦ ἁγίου ἱερομάρτυρος Σισιννίου. — 1. — **Db** : 2. 3. — **F** : 1. 3. — Μενίγνου. — **Fa** : 1. 3. — Μενίγνου [1] τοῦ κναφέως. Ὃς ἤθλησεν ἐπὶ Δεκίου τὸ πρῶτον, ὥρμητο δὲ ἀπὸ Κολωνίας τοῦ Ἑλλησπόντου [2] ἐκ πόλεως Παρείου. Ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας ἐστὶν οὗτος. Ἐν τῇ αὐτοῦ πόλει πολλῶν ἁγίων ὑπὸ τῶν τυράννων ἐγκεκλεισμένων καὶ ταῖς πύλαις σφραγίδων ἐπικειμένων, ὄρθρου βαθέος οἱ ὑπηρέται ἀφίκοντο τοὺς ἁγίους ἀναληψόμενοι καὶ τὰς μὲν σφραγῖδας τῆς φυλακῆς σῶας καὶ ἀπαρασαλεύτους εὗρον, ἔνδον δὲ εἰσελθόντες οὐδένα εὗρον, ἀλλ' ἱκανῶς δυσφημήσαντες καὶ τοὺς χιτῶνας διαρρήξαντες ἐβόων ἐν ταῖς ἀγοραῖς· «Ὁ Ναζωραῖος Ἰησοῦς νυκτὸς ἐλθὼν ἔκλεψεν τοὺς » δεσμίους ἡμῶν. » Ἐκ δὲ τῆς τοιαύτης αἰτίας ἔρωτα λαβὼν τοῦ μαρτυρίου ὁ ἅγιος Μένιγνος καὶ ὑπερζέσας τῷ πνεύματι, πολλὴν φροντίδα ἐτίθετο τοῦ τυχεῖν. Ὡς δὲ τὸ τηνικαῦτα ἐν τῷ παραθαλασσίῳ τόπῳ φελώνην ἐργαζόμενος διετέλει — ἦν γὰρ κναφεὺς ὡς προείρηται — ἤκουσε καὶ ἅπαξ καὶ δὶς φωνῆς τοιᾶσδε· «Μένιγνε, φησίν, ἐλθὲ πρός με καὶ δώσω σοι χάριν ἐνώπιόν μου. » Καὶ ἅμα τῷ λόγῳ τὰ ἱμάτια ἀποδοὺς τοῖς δεσπόταις, τοῦ τυράννου τὸ τηνικαῦτα ἐνδημήσαντος καὶ τὰ διατάγματα ἐκτεθηκότος τὰ παρακελευόμενα θύειν καὶ ἀρνεῖσθαι τὸν Χριστόν, κρούσας τὰς χεῖρας αὐτὸς πρόσεισι ζέων τῷ πνεύματι, καὶ διαρρήξας τοὺς χάρτας καὶ ῥίψας χαμαὶ κατεπάτησεν. Εὐθέως δὲ αὐτὸν ἀφειδῶς οἱ δήμιοι ἔτυπτον καὶ ἐπὶ γῆς ῥίψαντες, λὰξ κατ' αὐτοῦ ἐνείλοντο· ἔτι δὲ ἐπὶ τοσοῦτον ἔξεσαν κρεμασθέντα, ἕως ἡ κεκρυμμένη τῶν σπλάγχνων οἰκονομία διὰ τῶν πλευρῶν ἐφανερώθη· εἶτα μαχαίρᾳ τοὺς δακτύλους τῶν χειρῶν αὐτοῦ ἔκοψαν, ἐξ ὧν ἀντὶ αἵματος γάλα ἔρρευσεν· καὶ δὶς καὶ τρὶς καὶ πολλάκις

[1] Μενήγνου Fa. — [2] Κολονίας τοῦ Ἑλισπόντου Fa.

νὼς τῶν μακαρίων πατέρων Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τοῦ θεολόγου καὶ Γρηγορίου τοῦ Νύσσης κατὰ τῆς Εὐνομίου τοῦ δυσσεβοῦς βλασφημίας. Οὗτος καὶ τῶν ἐν τῇ δευτέρῃ [3] συνόδῳ πατέρων εἷς ὑπάρχων, πλεῖστα διηγωνίσατο κατὰ Μακεδονίου τοῦ πνευματομάχου καὶ τῶν φοιτητῶν Ἀρείου. Μετὰ δὲ τὸ κρατῆσαι τῆς βασιλείας Θεοδόσιον τὸν μέγαν καὶ τὸν νέον Οὐαλεντινιανὸν καταστρέψαι καὶ νικήσαντα ἐπανελθεῖν [4], ἠντιβόλει ὁ μέγας Ἀμφιλόχιος τὸν μέγαν [5] Θεοδόσιον ἀπώσασθαι τοὺς ἀρειανούς. Ἐπεὶ οὖν ὁ βασιλεὺς παρῃτεῖτο, ἐξεῦρε μηχανὴν ὁ θαυμάσιος καὶ παρελθὼν εἰς τὰ βασίλεια, τὸν μὲν βασιλέα Θεοδόσιον ἠσπάσατο, τὸν δὲ υἱὸν αὐτοῦ Ἀρκάδιον κατέλιπεν οὕτως. Ὁ δὲ βασιλεὺς δυσχεράνας, οἰκείαν ἐκάλει παροινίαν τὴν τοῦ παιδὸς ἀτιμίαν. Ὁ δὲ σοφώτατος ἐκκαλύπτει τὸ δρᾶμα καί φησιν· « Ὁρᾷς, ὦ βασιλεῦ, πῶς οὐ φέρεις τὴν τοῦ παι- Nov. 23. » δὸς ἀτιμίαν ἀλλὰ χαλεπαίνεις; πίστευσον οὖν » ὅτι καὶ τοὺς εἰς τὸν τοῦ Θεοῦ υἱὸν βλασφημή» σαντας ὁμοίως καὶ ὁ Θεὸς ἀποστρέφεται καὶ » μισεῖ. » Τότε συνεὶς ὁ βασιλεὺς τὸ γεγονός, νόμους ἔγραψε τοὺς τῶν αἱρετικῶν συλλόγους κωλύοντας. Οὗτος ὁ ἀοίδιμος ἀνὴρ ἐπὶ πλείστους χρόνους ποιμάνας τὸ [6] τοῦ Χριστοῦ [7] ποίμνιον καὶ λόγους ὀρθοδοξίας συντάξας καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἐν εἰρήνῃ ἀνεπαύσατο.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σισιννίου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Ἀλεξάνδρου ἡγεμόνος, ἐκ πόλεως Κυζίκου ὁρμώμενος. Οὗτος τὸν ἐγκάρδιον ἰὸν τῆς λοιμώδους αἱρέσεως ἐρευξάμενον Ἄρειον συνόδου μέσον θεοπρεποῦς [1], σοφῶς [2] καὶ ὑπερφυῶς ἀπηγχόνισεν, ὁμοούσιον ἀποφηνάμενος τῷ

— [3] δευτέρα Sa. — [4] ἐν τῇ πόλει *add.* Sa. — [5] μέγα S. — [6] *om.* Sa. — [7] τὸ *add.* Sa.
3. — [1] θεοπρεπῶς Sa. — [2] τε *add.* Sa.

ξεσθεὶς τῷ δεσμωτηρίῳ ἐμβάλλεται. Ἐκεῖθεν δὲ ἐξελθὼν καὶ πολλὰ διαλεχθεὶς τῷ τυράννῳ καὶ ἀπαρνη- Nov. 23. σάμενος θύειν, τὴν ἐπὶ θάνατον κατακρίνεται. Φήσας δὲ πρὸς τοὺς παρόντας· « Τοῖς ὁμοπίστοις μου καὶ » ὁμοψύχοις τὴν ἐμὴν γυναῖκα παρατίθημί μοι· » — καὶ γὰρ κἀκείνη ὀλοφυρομένη ἐπηκολούθει τῷ μάρτυρι — τῷ ξίφει παρὰ τοῦ δημίου κρουσθεὶς τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο. Τῷ δὲ παρισταμένῳ ὄχλῳ οἷον τρυγὼν τοῦ τιμίου αὐτοῦ σώματος ἐξελθοῦσα ἡ ψυχὴ αὐτοῦ ἐφάνη καὶ πρὸς οὐρανὸν ἀνέπτη· ἐφ' ᾧ γεγονότι πολλοὶ τῷ Κυρίῳ ἐπίστευσαν. — **B** : 1. — **Ba** : 2. 3. — Γρηγορίου ἐπισκόπου Ἀκραγαντίνων (= Db, Nov. 24). — **T** : 2. — **L** : 2. — **O** : Κλήμεντος (Nov. 25[1]). — **Q** : 2. 3. — **C** : deest. — **Ca** : 1 (Ἀρχίππου μαθητοῦ Παύλου τοῦ ἀποστόλου καὶ Φιλήμονος τοῦ στρατιώτου). — 3. — Καὶ Μενίγνου (Nov. 22[4]) καὶ τοῦ ἁγίου μάρτυρος Προκοπίου τοῦ ἐν Περσίδι μαρτυρήσαντος (cf. Nov. 22[2]). — 4. — **Cb** : Κικιλίας (Nov. 22[1]). — **Cc** : 1 (om. Ἀπφία). — 3 — Μενίγνου. — Προκοπίου τοῦ ἐν Περσίδι. — 4. — **M** : 2. 3. — Ὁ ἅγιος Ἰσχυρίων ἐπίσκοπος ἐν εἰρήνῃ τ. — 5 (Ἑλένου ἐπισκόπου Ταρασίου). — Διήγησις ὀπτασίας Ἰωάννου τινὸς νεωτέρου [3] πάνυ ὠφέλιμος. Ἐγένετό τις ἀνὴρ ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ βασιλέως, ὃς καὶ γνωστὸς ἦν αὐτῷ τῷ βασιλεῖ [4] διά τινος ἐπιστήμης γνωριζόμενος. Οὗτος ἀσέμνως τὸν ἑαυτοῦ μετερχόμενος βίον [5], τὴν γέενναν οὔποτε ἀνετυπώσατο. Ὁ δὲ πρὸς τὸ συμφέρον πάντα καλῶς οἰκονομῶν Κύριος δι' ὀπτασίας τούτῳ τὴν διόρθωσιν πραγματεύεται. Ἔδοξε γάρ ποτε τὸν ἄνδρα βλέπειν καθ' ὕπαρ, τῆς οἰκείας ἐπιστήμης εἶδος τῷ βασιλεῖ προσαγαγεῖν [6], ὡς μετὰ ταῦτα προσομιλεῖν ἀλλήλοις καὶ συναγάλλεσθαι. Εἶθ' οὕτως ἔδοξεν ἀπογυμνῶσαι τὸν βασιλέα μάχαιραν καὶ τὴν κόμην συναγαγεῖν τοῦ ἀνδρὸς εἰς ἕνα ἐπίδεσμον καὶ πειρᾶσθαι τέμνειν ταύτην ἀνηλεῶς· τοῦ ἀνδρὸς τὸν αὐχένα συχνῶς ἐπικλίνοντος. καὶ τὸ δοκεῖν πρὸς τὸν βασιλέα ἐπιγελῶντος, ἐμβριθῶς τὸν βασιλέα πρὸς ἐκεῖνον φθέγξασθαι· «Ὅτε σου τὰς τρίχας ἡ μάχαιρα καταφάγεται, τότε σου καὶ τοῦ » αἵματος τοῦ τραχήλου [7] ἐμπλησθήσεται. » Προσεπιτούτοις τῇ καταφορᾷ τῆς μαχαίρας καὶ αὐτὸς ὁ τράχηλος ἔδοξεν ἀποτμηθῆναι καὶ πλησίον τοῦ θώρακος τῆς μαχαίρας ἐλθούσης, ὁ ἀνὴρ ὁ [3] ἀγωνιῶν, βοήθειαν δήπουθεν [8] προσεκαλεῖτο. Ἐκ δὲ τοῦ δέους καὶ τοῦ φρικώδους ἐκείνου ἀγῶνος ἀνανήψας [3] πρὸς ἑαυτὸν ὅλως ἔκθαμβος ἐγεγόνει· καὶ τῷ σταυρῷ ἑαυτὸν σημειωσάμενος· «Εὐχαριστῶ σοι, » ὄνειρε, ἔλεγεν, ὅτι μοι τὸν φοβερὸν τοῦτον ἀγῶνα εἰς φάντασμα ἀπετέλεσας. » Καὶ πάλιν, ὡς οἶμαι, ὁ αὐτὸς μεμένηκεν ἀδιόρθωτος. Καὶ μετά τινα χρόνον ὁ αὐτὸς περιοδευθεὶς νόσῳ, ἐκ Θεοῦ τὴν βοήθειαν ἐπεκαλεῖτο. Τότε πάλιν οὐκ ἐν ὀνείροις ἀλλ' ἐν ἐκστάσει ἤδη γενόμενος, ὁρᾷ ἑαυτὸν ἐπί τινος σεκρετικῆς ἑστῶτα καθέδρας ἢ μᾶλλον δικαστικῆς καταστάσεως, καὶ ταύτης προκαθεζόμενον ἔβλεπε προσεδόκει [9] τινὰ φοβερώτατον [10] βασιλέα στολὴν ἠμφιεσμένον βασιλικὴν ἅμα καὶ ἀρχιερατικήν. Ἐξ ἑκατέρων δὲ [11] τούτου μερῶν καθῆσθαι ἔνθεν κἀκεῖθεν ἱεροπρεπεῖς τινας κατενόει· ἑστάναι δὲ ἑαυτὸν κάτωθεν ὑπελάμβανεν ἤδη τῆς φαινομένης ἐκείνης τραπέζης [12]· πρὸς δὲ τὰ τούτου δεξιὰ [13] εὐειδεῖς ἑστῶτάς τινας [14] εὐνούχους ὑπετόπαζεν· ἐξ εὐωνύμων δέ τινα ταπεινότερον ἄλλον καὶ προσηνέστερον ἔβλεπε· βόθρον δέ τινα σκοτεινὸν ὄπισθεν αὐτοῦ [9] καὶ φοβερὸν κατενόει, ὀδύνην μεγάλην τῷ βλέποντι παρεχόμενον. Καὶ οὕτως ἑαυτὸν ἑστάναι σὺν τρόμῳ ὑπετόπαζε καί φησι πρὸς αὐτὸν ὁ προκαθήμενος βασιλεύς· «Ἆρά γε οἶδας, ὅστις ἐγώ, ὦ νεανία; » Κἀκεῖνος· «Γινώσκω, δέσποτα, ὅτι σὺ εἶ ὁ δι' ἡμᾶς » σαρκωθεὶς [15] ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὡς αἱ καθ' ἡμᾶς γραφαὶ περιέχουσι. » Καὶ πάλιν πρὸς αὐτὸν ὁ βάσιλεύς [16]· «Καὶ εἰ ἀπὸ τῶν γραφῶν, ὡς σὺ φής, ἐμὲ διέγνως, οὐδὲ τοὺς συγκαθέδρους ἀγνοεῖς· καὶ » πῶς ἐπελάθου τῆς ἀπειλῆς, ἧς σοι πάλαι Κωνσταντῖνος ὁ βασιλεὺς ἠπειλήσατο [17]; ἀγνοεῖς τὸ λεγό-

— [3] *om.* Mv. — [4] τ. β. *om.* Mv. — [5] βίον μετερχόμενος Mv. — [6] προσαγεῖν τῷ βασιλεῖ Mv. — [7] τοῦ τραχήλου τοῦ αἵματος Mv. — [8] ὅθεν δήποτε Mv. — [9] *om.* Mv. — [10] φερώτατον Mv. — [11] τῶν *add.* Mv. — [12] τραπέζης ἐκείνης Mv. — [13] πρὸς τὰ δεξιὰ δὲ Mv. — [14] τινας ἑστῶτας Mv. — [15] σαρκωθεὶς δι' ἡμᾶς Mv. — [16] βασιλεὺς πρὸς αὐτὸν Mv. — [17] ἢ *add.* Mv.

Nov. 23. Πατρὶ τὸν Υἱόν. Οὗτος πρὸς τὸν ἡγεμόνα Ἀλέξανδρον ὡς χριστιανὸς διαβληθείς, ἀκαθέκτοις ἵπποις f. 89v. χαλινῶν δίχα προσεδέθη· καὶ παν|ταχοῦ ἀπηνῶς εἵλκετο τούτων ἐλαυνομένων. Οὕτω γὰρ προσετάγη τοῖς δημίοις παρὰ τοῦ τυράννου, ὡς ἂν τὰς τῶν μελῶν[3] ἁρμονίας ὁ ἅγιος τῇ σφοδρότητι τῆς ἀνυποίστου ἱππασίας διαρραγῇ· ἀλλὰ θείᾳ χάριτι ἀπήμαντος ἐκ τῆς τούτων βλάβης διεφυλάχθη. Ἔπειτα γυμνῷ τῷ σώματι τοῦτον ἀφειδῶς τύπτεσθαι παρεκελεύετο[4] ὁ ἀλιτήριος καὶ διὰ τῶν μυκτήρων αὐλίσκῳ τινὶ δριμὺ καὶ πυρὸς θερμότερον ὄξος τῷ ἐγκεφάλῳ αὐτοῦ ἐγχεῖσθαι καὶ τῇ εἱρκτῇ ἐναπορρίπτεσθαι· πολλὰς δὲ καὶ ἑτέρας βασάνους[5] καθυπομείνας καὶ θαύματα μέγιστα ἐκτελέσας, εἶτα ζήσας ἐπιεικῶς καὶ τῷ Θεῷ[6] λατρεύσας θεοφιλῶς, ἐν βαθεῖ[7] γήρᾳ καὶ πίονι πρὸς Κύριον ἐξεδήμησε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας[1] Μυρόπης[2]. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης τῇ οὔσῃ πρὸς θάλασσαν.

5. Καὶ μνήμη τοῦ ἁγίου Ἑλένου ἐπισκόπου Ταρσοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Nov. 24. **1.** Μνήμη τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου τῆς[1] Ἀκραγαντίνων πόλεως ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου. Χαρίτων τις καὶ Θεοδότη ἡ σύμβιος αὐτοῦ φιλόξενοι ἄνθρωποι ὑπῆρχον ἐν τῇ πόλει Ἀκραγαντίνων· ἐξ ὧν ἐγεννήθη Γρηγόριος οὗτος· ὃν ἐκ τοῦ ἁγίου βαπτίσματος δεξάμενος ὁ ἐπίσκοπος Ποταμίων λεγόμενος ἀνέθρεψεν, εἶτα καὶ κληρικὸν πεποίηκεν. Δεκαοκτὼ δὲ ἐτῶν[2] γενόμενος, ἀπῆλθε προσκυνήσων τοὺς ἁγίους τόπους καὶ γίνεται διάκονος ὑπὸ Μακαρίου

— [3] μελλῶν S. — [4] παρακελεύετο Sa. — [5] βασάννους S. — [6] θειῶ S. — [7] βαθθ S, βαθυτάτω Sa.
4. — [1] μάρτυρος *add.* Sa. — [2] Μερόπης Sa.
1. — [1] τῶν *add.* Sa. — [2] ὀκτωκαίδεκα ἐτῶν Sa.

Nov. 23. » μενον; » — « Οὐκ ἀγνοῶ, φησί, τὸ εἰς ἐμέ[18], δέσποτα, ἀλλ' εἰσέτι καὶ τοῦ φόβου τὰ λείψανα ἐν τῇ » ψυχῇ περιφέρω. » Καὶ ὁ βασιλεύς· « Καὶ εἰ τοῦ φόβου τὰ λείψανα ἐν τῇ ψυχῇ σου[19] περιφέρεις, πῶς » ἐπιμένεις τοῖς ὀλεθρίοις; τοιγαροῦν[20] μάθε διὰ τῆς πείρας, ὅτιπερ καὶ πρώην ἐγὼ καὶ οὐχὶ Κωνσταν» τῖνος τὴν φοβερὰν ἐκείνην τῆς βασάνου πεῖραν[21] ἐπήγαγε[22]. » Καὶ τοῦτο εἰπών, ἔδοξε νεύσει μόνῃ τοῖς παρεστῶσι κελεῦσαι, ἀκοντίσαι τὸν ἄνδρα εἰς τὸν ὄπισθεν αὐτοῦ ἐπιφαινόμενον βόθυνον. Ὡς οὖν ἤδη ἀπηνῶς ἤρξαντο οἱ εὐνοῦχοι τοῦτον ὠθεῖν πρὸς τὸν βόθυνον[23], ὁ δὲ γοερῶς τὴν τῆς Θεοτόκου ἀνεκαλεῖτο[24] βοήθειαν, ἔδοξε[25] κἀκείνην μέσον εὑρεθῆναι, καὶ φωνῆς ἀκοῦσαι λεγούσης· « Ἄφετε » τοῦτον ἀπελθεῖν διὰ τὴν τῆς ἐμῆς[19] μητρὸς δέησιν. » Καὶ ὡς ὁ τῆς ὀπτασίας λόγος τὸ πέρας εἴληφε, σύντρομος ὁ ἀνὴρ γεγονὼς καὶ πρὸς ἑαυτὸν ἐπανελθὼν τὸ φανὲν παράδοξόν τινι τῶν εὐλαβῶν μοναχῶν διηγήσατο. Καὶ ὁ μοναχὸς πρὸς αὐτόν· « Δὸς δόξαν τῷ Θεῷ, ὅτι τοιαύτης κατηξιώθης διδα» σκαλίας[26]· καὶ διεγέρθητι, ἀδελφέ, μὴ καὶ σὺ πάθῃς τὰ παραπλήσια οὗ[27] μέλλω σοι διηγήσασθαι. » Κατὰ γὰρ τὴν σὴν ὀπτασίαν, τοιοῦτόν τις ἐθεάσατο, ἄνδρα τινὰ τῶν ἐν τοῖς πρώτοις[28] σεκρέτοις » πρωτεύοντα, Γεώργιον τοὔνομα, βιαίως ἀπαγόμενον δέσμιον ἔν τινι φοβερῷ χάσματι καὶ ἀπορρί» πτεσθαι μέλλοντα. Ἐν ᾧ τις εὐπαρρησιάστως[29] τοὺς ἀπάγοντας ἐπικατασχὼν τοῦτον ἀνεθῆναι » προσῄτει μέχρις ἡμερῶν εἴκοσι παρεγγυώμενος αὐτοῖς τὴν τούτου διόρθωσιν. » Ὡς δὲ λοιπὸν ὁ ἀνὴρ τῇ βοηθείᾳ τοῦ ἐγγυωμένου ἐγένετο ἄνετος, ὁ ταῦτα βλέπων ἐπανανήψας[30] καὶ συνεὶς τὸ βλεπόμενον, ἀπαγγεῖλαι[31] τὸ ὅραμα πρὸς αὐτὸν τὸν Γεώργιον ἔσπευσεν· ἦν γὰρ καὶ γνωστὸς αὐτῷ· ὁ δὲ τούτων ἀκούσας καὶ ἀντ' οὐδενὸς λογισάμενος, ἔμεινεν ὁ αὐτός. Καὶ τῶν εἴκοσιν ἡμερῶν διελθουσῶν, ἀνάρπαστος γέγονεν ὁ Γεώργιος καὶ ἀπῆλθε τὴν ὀφειλὴν πάντως ἀποδώσων, ὡς ὑπέσχετο. Καὶ ταῦτα κατὰ προσθήκην τοῦ μοναχοῦ συνείραντος, ὁ ἀνὴρ ἀκούσας ἐν νῷ δὲ λαβὼν καὶ ἃ[32] ἐθεάσατο, τὰ ἑαυτοῦ ἀνερυθριάστως δημοσιεύσας καὶ τὸν βίον πρὸς κρείττονα ἐναλλαγὴν[33] μεταρυθμίσας, διήρκεσεν ἐπὶ πολὺ θεαρέστως βιώσας· καὶ μεταστὰς ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς. — **Mv** : 2. — Γρηγορίου ἐπισκόπου τῆς Ἀκραγαντίνων ἐκκλησίας (Nov. 24[1]). — 3. — Ἰσχυρίων. — 5. — Διήγησις ὀπτασίας Ἰωάννου τινὸς πάνυ ὠφέλιμος. — **Mr** : 2. — Γρηγορίου ἐπισκόπου τῆς Ἀκραγαντίνων ἐκκλησίας.

Nov. 24. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ τῆς ἁγίας μάρτυρος Χριστίνης, πλησίον τοῦ μεγάλου Παλατίου. — 2. 3. 4. 5. 6. 7. 8. — **H** : Κικιλίας καὶ τῶν σὺν αὐτῇ (Nov. 22[1]). — 6. 7 et 1 (Μακαρίου, Γρηγορίου καὶ Ἑρμογένους). — 8. — **P** : Κικιλίας καὶ τῶν σὺν αὐτῇ. — 1. 6 : Τοῦ ἁγίου Φιλουμένου. — **Da** : 1 : Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Ἀκραγαντίνου. Αὕτη δὲ ἡ ἡμέρα οὐκ ἔχει συναξάριν ἐν τῷ Ἀθηβολίῳ. — **Db** : 1 : Γρηγορίου ἐπισκόπου τῆς Ἀκραγαντίνων πόλεως. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, ὁρμώμενος τῆς Σικελῶν ἐπαρχίας, Χαρίτωνος καὶ Θεοδότης γέννημα εὐσεβῶς ζώντων ἐν αὐταρκείᾳ. Οἳ ὀκταετῆ τὸν Γρηγόριον ὑπάρχοντα δεδωκότες ἐκπαιδεύεσθαι τὰ ἱερὰ γράμματα, κληρικὸς ὑπὸ Ποταμίωνος[1] τοῦ ἐπισκόπου σφραγίζεται, πάντας ἐν τῷ ψάλλειν εὐφραίνων τῇ τῆς φωνῆς ἡδύτητι· καί ποτε ὑπνοῦντι αὐτῷ ἔμπροσθεν τῆς κλίνης Δαμιανοῦ τοῦ ἀρχιδιακόνου, κέκληκεν αὐτὸν ἄγγελος Θεοῦ ἐκ τρίτου καθὰ

— [18] τὸ εἰς ἐμὲ *om.* Mv. — [19] *om.* Mv. — [20] ὅμως Mv. — [21] πεῖραν τῆς βασάνου Mv. — [22] ἐπήγαγον Mv. — [23] (ὡς οὖν - βόθυνον) *om.* Mv. — [24] ἐπεκαλεῖτο Mv. — [25] δὲ *add.* Mv. — [26] διδασκαλίας κατηξιώθης Mv. — [27] ἃ Mv. — [28] τοῦ σεκρέτου Mv. — [29] Mv, εὐπαρρησιάσθων M. — [30] ἀνανήψας Mv. — [31] ἀναγγεῖλαι Mv. — [32] (ἐν - ἃ) καὶ ἐν νῷ βαλὼν ὧν Mv. — [33] μεταβολὴν Mv.
[1] Ποταμίονος Db.

ἐπισκόπου Ἱεροσολύμων. Εἶτα ὑπέστρεψεν εἰς τὸ Βυζάντιον, εἶτα εἰς Ῥώμην· ἐν ᾗ καὶ προχειρίζεται ἐπίσκοπος Ἀκραγαντίνων. Ὅθεν φθονήσαντες αὐτῷ Σαβῖνος καὶ Κρισκεντῖνος[3] μυρίους πειρασμοὺς ὑπήγαγον· καὶ θαυματουργήσας διαφόρως[4] Θεοῦ χάριτι κατῄσχυνεν αὐτοὺς ἐνσημανθέντας[5] τὰ πρόσωπα γνόφῳ καὶ μέλανι· καὶ οὕτω παραλαβὼν τὴν ἐκκλησίαν καὶ μείζονα τῶν προτέρων ἐπιτελῶν[6] σημεῖα καὶ τέρατα, ἐν βαθυτάτῳ[7] γήρᾳ τὸν βίον ἀπέλιπεν[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος[1] Αἰκατερίνης. Αὕτη ὑπῆρχεν ἐν Ἀλεξανδρείᾳ τῇ πόλει, βασιλίσκου τινὸς θυγάτηρ ὀνόματι Κώστου[2], μέγεθος ἅμα καὶ κάλλος[3] σώματος ἔχουσα, εἰς ἄκρον ἐκμαθοῦσα πᾶσαν ἑλληνικὴν καὶ ῥωμαϊκὴν Nov. 24. παίδευσιν· καὶ τοῖς κατὰ τὴν ἰατρικὴν φιλο|πονή- f. 90. σασα συγγράμμασι[4] καὶ φωνὰς ἑτερογλώσσους πολλῶν ἐθνῶν ἐκμαθοῦσα, διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν ἐπὶ τοῦ βασιλέως Μαξεντίου πολλῶν βασάνων[5] πεῖραν λαβοῦσα, τὴν κεφαλὴν ἀποτέμνεται καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδέχεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου τοῦ ἐν Κορίνθῳ[1].

4. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ ἐν τῇ Χρυσῇ Πέτρᾳ. Ὃς ὥρμητο ἐκ τῶν τῆς ἀνατολῆς μερῶν· καὶ ἐλθὼν κατέπαυσεν ἐν τῇ λεγομένῃ Χρυσῇ Πέτρᾳ.

— [3] *corr.* Sa, *prius* Ῥισκεντῖνος, *et add.* μοχθηροί τινες ἄνδρες. — [4] τῇ τοῦ *add.* Sa. — [5] ἐνσημαθέντας Sa. — [6] ἐπιτελέσας Sa. — [7] βαθεῖ Sa. — [8] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] μεγαλομάρτυρος καὶ καλλιπαρθένου τοῦ Χριστοῦ Sa. — [2] Κόστου Sa, *al.* Κώνστου *infra*, Fa. — [3] *om.* Sa. — [4] παίδευσιν *add.* Sa. — [5] βασάννων S.
3. — [1] τοῦ Κορινθίου Sa.

καὶ τὸν Σαμουήλ. Ὁ δὲ ἀκολουθῶν τῷ καλέσαντι, καταλαμβάνει τὴν Καρτάγενναν καὶ εὑρὼν Μάρκον Nov. 24. τινὰ μοναχόν, φθάνει σὺν αὐτῷ τοὺς ἁγίους τόπους· καὶ πάντα ἅγιον τόπον σχετικῶς προσκυνήσας κατὰ τὴν ἔρημον ἐξέρχεται, ἔνθα γέροντά τινα σημειοφόρον εὑρὼν προσμείνας τε ἐν αὐτῷ τέσσαρας χρόνους, παιδεύεται παρ' αὐτοῦ πᾶσαν σοφίαν. Ἔπειτα εἰς Ἀντιόχειαν ἔρχεται κἀκεῖθεν εἰς Κωνσταντινούπολιν· ἐν ᾗ Γεωργίῳ τῷ τηνικαῦτα πατριαρχοῦντι ἐμφανισθεὶς Σέργιόν τε καὶ Κῦρον καὶ Παῦλον καὶ τοῖς λοιποῖς αἱρετικοῖς συμπλακεὶς καὶ ἀνὰ κράτος τούτους τρεψάμενος τῷ βασιλεῖ γνώριμος καθίσταται. Μετὰ ταῦτα τὴν Ῥώμην καταλαμβάνει καὶ τῆς οἰκείας πατρίδος οἴακας ἐγχειρίζεται· μεγάλως δὲ διαλάμψας ἐν τῇ ἐκκλησίᾳ καὶ θαύματα μέγιστα ἐπιτελέσας, παρὰ Σαβίνου καὶ Κρισκεντίου μοιχείας ἐγκλήματι περιάπτεται καὶ κατάκλειστος ἐν φυλακῇ ἐπὶ δυσὶ χρόνοις γίνεται παρὰ τοῦ τὸν ἀποστολικὸν θρόνον ἰθύνοντος· καὶ αὖθις ἐξάγεται προστάξει βασιλικῇ μετὰ τῶν αὐτοῦ κατηγόρων δικασθησόμενος. Ὅτε καὶ τὰ παραδοξότατα ἐκεῖνα σημεῖα τῶν τε ξύλων καὶ τῶν ἀνθράκων ἐπετελέσθη, τοῦ Θεοῦ τὸν ἴδιον θεράποντα ὑπερδοξάζοντος[2] καὶ γνόφῳ μέλανι τῶν ἀνοσίων ἐκείνων καὶ ἀνιέρων τὰ πρόσωπα κατεκαλύφθη. Ἥ τε ὑπ' αὐτῷ φενακισθεῖσα κόρη ὀλεθρίῳ δαίμονι αὐτάρκως παιδευθεῖσα παρὰ τοῦ ἁγίου, ἔμπροσθεν παντὸς τοῦ λαοῦ ἰάθη καὶ ὁ ἅγιος αὖθις εἰς τὴν ἰδίαν πατρίδα μεγαλοπρεπῶς ἐπανῆλθε, μείζονα τῶν προτέρων ἐπιτελῶν σημεῖα καὶ τεράστια. Οὗτος πλεῖστα ἐπιβιώσας θεαρέστως ἔτη, πρὸς Κύριον ἐξεδήμησεν. — 2. — **F** : 1. 2. — **Fa** : 1. 2 : Αἰκατερίνας. Αὕτη ὑπῆρχεν τῆς μεγαλωνύμου πόλεως Ἀλεξανδρείας γέννημα, θυγάτηρ βασιλίσκου τινὸς ὀνόματι Κώνστου, πάνυ οὖσα ὡραία καὶ τῷ κάλλει ἀμώμητος[3] καὶ ὑπερμεγέθης τῇ ἡλικίᾳ καὶ τῷ σώματι ἀστεία. Ἦν δὲ ἐτῶν ὀκτωκαίδεκα. Αὕτη πᾶσαν παιδείαν ἑλληνικήν τε καὶ ῥωμαϊκὴν ἄκρως ἐγγυμνασθεῖσα, φημὶ δὴ Ὁμήρου τε καὶ Βιργιλίου[4] τοῦ Ῥωμαίων μεγίστου ποιητοῦ, Ἀσκληπιοῦ τε καὶ Γαληνοῦ[5] καὶ Ἱπποκράτους τῶν ἰατρῶν, Ἀριστοτέλους καὶ Πλάτωνος, Φιλιστίωνός τε καὶ Εὐσεβίου τοῦ φιλοσόφου, Ἰαννὴ καὶ Ἰαμβρὴ τῶν μάγων, Διονυσίου καὶ Σιβύλλης[6] καὶ ὅση ῥητορικὴ ἐφευρέθη τῷ κόσμῳ· οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶσαν λέξιν τῶν ἑβδομήκοντα δύο γλωσσῶν τὴν διάλεκτον μεμαθηκυῖα εἰς ἔκπληξιν ἔφερεν οὐ μόνον τοὺς ὁρῶντας αὐτὴν ἀλλά γε καὶ τοὺς ἀκούοντας τὴν φήμην τῆς σοφίας καὶ παιδείας αὐτῆς· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ἐπὶ τοῦ βασιλέως Μαξεντίου πολλῶν βασάνων πεῖραν λαβοῦσα, τὴν κεφαλὴν ἀποτέμνεται καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδέχεται. — **B** : Κικιλίας. — Σισιννίου (Nov. 23[3]). — 1. — **Ba** : 2. — In margine fol. 135 : τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μερκουρίου. — **T** : 1. — **L** : 1. — **O** : Πέτρου Ἀλεξανδρείας (Nov. 25[2]). — **Q** : 1. 2. — **C** : deest. — **Ca** : Κικιλίας mutil. — **Cb** : Σισιννίου (Nov. 23[3]). — 1. — **Cc** : Κικιλίας. — Σισιννίου. — 6 : τῶν ἁγίων μαρτύρων Εὐγενίου, Χριστοφόρου. — 7 : καὶ τοῦ ἁγίου Μακαρίου. — 1. — In margine superiore, fol. 68 : Ζήτει τὸ συναξάριον τοῦ ἁγίου Ἀμφιλοχίου ὀκτωβρίῳ ιθ'. — **M** : 1. — Μάλχος ἐν εἰρήνῃ τ. — Καρίων ἐν εἰρήνῃ τ. — 7 (Ἑρμογένης solus). — 6 (Φιλούμενος, Χριστοφόρος ... Ὁ ἅγιος Εὐγένιος ἐν ὀπῇ τοίχου βληθεὶς τῆς εἰσόδου πηλῷ ἀναφραγείσης τ.) — 8. 3. 4. 5. — Τοῦ ὁσίου Μάρκου τοῦ Τριγλινοῦ. — Τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐν Ἀντιοχείᾳ. Οὗτος ἦν ἐν Ἀντιοχείᾳ[7] κρατηθεὶς ἐπὶ τῆς βασιλείας[8] Ἰουλιανοῦ τοῦ ἀποστάτου, παρὰ Σαλλουστίου[9] τοῦ ἐπάρχου ἁρπαγεὶς ἀπὸ τῆς ἀγορᾶς, διὰ τὸ ἀκοῦσαι τὸν Ἰουλιανόν, καθ' ὃν καιρὸν ἡ μετάθεσις τῶν ἐν τῇ Δάφνῃ ἀποκειμένων λειψάνων τῶν ἁγίων μαρτύρων Βαβύλα τε καὶ τῶν σὺν αὐτῷ κατὰ πρόσταξιν τοῦ ἀσεβοῦς Ἰουλιανοῦ ἐγεγόνει, ᾀδομένων δαϋιτικῶν ὕμνων παρὰ τῶν ἐκφορούντων χριστιανῶν τὰ τίμια λείψανα, ἐπιφθεγγομένων καθ' ἕνα στίχον τό· « Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς »· ὧν εἷς ἦν καὶ ὁ μάρτυς Θεόδωρος. Ὃς Ps. 96, 7. καὶ ἐπὶ ξύλου κρεμασθείς, βουνεύροις τὰ νῶτα κατεξάνθη, καὶ ὄνυξι τὰς πλευρὰς διωρύχθη, καὶ σιδη-

— [2] ὑπερδοξάσαντα Db. — [3] θυμώμητος Fa. — [4] Βιργηλίου Fa. — [5] Γαλινοῦ Fa. — [6] Συβίλης Fa. — [7] (ἦν ἐν Ἀντιοχείᾳ) ὁ ἅγιος Mv. — [8] τῆς βασιλείας *om.* Mv. — [9] Σαλλουστίνου Mv.

Nov. 24. 5. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Χρυσογόνου.

6. Καὶ τῶν ἁγίων μαρτύρων Εὐγενίου, Χριστοφόρου καὶ Φιλουμένου.

7. Καὶ τῶν ἁγίων[1] Μακαρίου καὶ Ἑρμογένους ἐπισκόπων[2] Ἀκραγαντίνων.

8. Καὶ μνήμη τῶν ἁγίων μαρτύρων Προκοπίου καὶ Χριστοφόρου[1] πλησίον τῆς Χελώνης[2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

Nov. 25. 1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος πάπα Ῥώμης, μαθητοῦ χρηματίσαντος Πέτρου τοῦ ἀποστόλου. Οὗτος ὑπῆρχε Ῥωμαῖος τὸ γένος, ἐκ βασιλικοῦ καταγόμενος γένους, Φαύστου καὶ Ματθιδίας υἱός, πᾶσαν παιδείαν τῆς Ἑλληνικῆς γνώσεως μετελθών. Τῷ κορυφαίῳ δέ ποτε τῶν ἀποστόλων Πέτρῳ περιτυχών, τὴν κατὰ Χριστὸν ἀλήθειαν ἐκπαιδεύεται καὶ κῆρυξ τοῦ εὐαγγελίου καθίσταται καὶ τῶν ἀποστολικῶν διατάξεων γίνεται συγγραφεὺς καὶ ποιμὴν ἀναδείκνυται τῆς ἐν Ῥώμῃ τῶν πιστῶν ἐκκλησίας. Ὑπὸ δὲ Τραϊανοῦ βασιλέως διὰ τὸ τὸν Χριστὸν ὁμολογεῖν[1] καὶ κηρύττειν συσχεθεὶς καὶ μὴ πεισθεὶς τοῖς προστάγμασιν αὐτοῦ, ἐν ἐρήμῳ πόλει παρακειμένῃ τῇ Χερσῶνι ἐξορίζεται. Ἐκεῖθεν δὲ πάλιν δεθεὶς πρὸς τὸν αὐχένα αὐτοῦ[2] σιδηρᾶν ἄγκυραν ῥίπτεται ἐν τῷ βυθῷ[3] καὶ ἔκτοτε ὑποχωροῦντος τοῦ βυθοῦ μίλια τρία καὶ ὑποδεχομένου τοὺς ἐκεῖσε φοιτῶντας λαούς, ἐπὶ ἡμέρας ἑπτὰ εὐφροσύνη μεγάλη τοῖς ἠπικόσιν ἐπὶ Κύριον γίνεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀρχιεπισκόπου Πέτρου Ἀλεξανδρείας[1]. Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ βασιλέως διδάσκαλος τοῖς πιστοῖς εὐσεβὴς[2] καὶ τῶν <θείων[3]> δογμάτων ὑφηγητής. Ὃς ἐν τῷ μέλλειν τὴν κεφαλὴν τέμνεσθαι, διὰ τὸ προστάξαι τοῦτο τὸν βασιλέα,

7. — [1] πατέρων ἡμῶν *add.* Sa. — [2] πόλεως *add.* Sa.
8. — [1] Χρηστοφόρου S. — [2] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεός *add.* Sa.
1. — [1] παρρησίᾳ *add.* Sa. — [2] *supra lin.* Sa. — [3] τῆς θαλάσσης *add.* Sa.
2. — [1] Ἀλεξανδρείας Πέτρου Sa. — [2] εὐσεβείας Sa. — [3] *add.* Sa, *om.* S.

Nov. 24. ροῖς δεσμοῖς ἐναποληφθείς, τῇ εἱρκτῇ παρεδόθη. Τῇ ἕωθεν δὲ ἀναδιδαχθεὶς ὁ Ἰουλιανὸς[10] διὰ[11] τοῦ ἐπάρχου τὴν τοῦ νέου καρτερίαν καὶ ὅτι τῶν πασχόντων[12] διὰ[13] Χριστὸν τὸ ἀνένδοτον[14] μέχρι τέλους εἰς ἧτταν μὲν τῶν διωκτῶν λογίζεσθαι, εἰς εὔκλειαν δὲ καὶ χαρὰν τοῖς διωκομένοις, πεισθεὶς ὁ θεομισὴς ἐκέλευσε τὸν Θεόδωρον[15] τῆς εἱρκτῆς ἀφεθῆναι. Οὗτος ὁ γενναῖος τῆς ἀληθείας[16] ἀγωνιστής, ἐρομένων τινῶν, εἴπερ ᾔσθετο ὀδύνης[17] τὰς πικρὰς ἐκείνας ὑπομείνας βασάνους, τὴν μὲν ἀρχὴν ἔφη ὀλίγης ὀδύνης αἰσθέσθαι· εἶτα ἐπιφανῆναι αὐτῷ τινα, ὀθόνην <φέροντα[18]> ἁπαλήν τε καὶ ψυχράν, τοῦ προσώπου συνεχῶς[14] ἐκματτόμενον τὸν ἱδρῶτα καὶ παρεγγυώμενον θαρρεῖν. Διάτοι τοῦτο καί, τῶν δημίων παυσαμένων, οὐχ ἡσθῆναι, ἀλλ' ἀνιαθῆναι[19] ἔφη· συναποστῆναι γὰρ ἔλεγε καὶ τὸν τὴν ψυχαγωγίαν αὐτῷ ἐμποιοῦντα. Τοιαῦτα δεδρακὼς ὁ παράνομος Ἰουλιανὸς αὐτὸς μὲν πικρῷ καὶ ἐπονειδίστῳ θανάτῳ τὸν βίον ὑπεξῆλθεν ἐν τῇ χώρᾳ τῶν Περσῶν, ὁ δὲ ἅγιος Θεόδωρος εἰς αἰῶνας[20] ἐν Κυρίῳ ἀγάλλεται[21]. — **Mv** : Κλήμεντος (Nov. 25[1]). — Πέτρου (Nov. 25[2]). — Μάλχος. — Καρίων. — 7 (Ἑρμογένης). — 6. 8. 3. 4. — Θεοδώρου. — **Mr** : Κλήμεντος. — Πέτρου.

Nov. 25. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1 et 2 (τὴν δὲ τούτων μνήμην ἡ μεγάλη ἐκκλησία τελεῖται ἐν ἡμέρᾳ κυριακῇ). — Μερκουρίου (Nov. 26[2]). — Αἰκατερίνης (Nov. 24[2]). — **P** : 1 : Κλήμεντος ἐπισκόπου Ῥώμης τοῦ μεγάλου. Οὗτος ἦν μαθητὴς καὶ διάδοχος τῶν ἀποστόλων. — 2 : Τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας, ἐπὶ Μαξιμιανοῦ βασιλέως· περὶ οὗ μαθὼν ὁ βασιλεὺς ἀπέστειλε πέντε τριβούνους εἰς τὸ λαβεῖν τὴν κεφαλὴν αὐτοῦ. — Μερκουρίου. Οὗτος ἦν ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ τῶν βασιλέων ὁρμώμενος ἐκ γῆς ἀνατολῶν καὶ στρατευόμενος ἐν τῷ ἀριθμῷ τῶν Μαρτισίων. Ἦν δὲ ἐτῶν κε', εὐῆλιξ, ὡραῖος, τῷ εἴδει ῥοδινός, τῇ ὁράσει ξανθόκομος, διεβλήθη τῷ Δεκίῳ. — Αἰκατερίνης (= Fa, Nov. 24[2]). — **Da** : 1. 2. — Μερκουρίου. — **Db** : 1. 2. — **F** : 1. 2. — Μερκουρίου (Nov. 26[2]). — **Fa** : 1. 2. — Μερκουρίου. — **B** : 1. — Μερκουρίου. — Αἰκατερίνης. — **Ba** : 1. des. : Καί ποτε τῆς θαλάσσης ὑποχωρησάσης καὶ τοῦ λαοῦ εἰσεληλυθότος καὶ τὴν θείαν δοξολογίαν ἐπιτετελεκότος κατὰ τὸ σύνηθες καὶ αὖθις ἐξεληλυθότος, ἔτυχε παῖδα ἐκεῖσε καταλειφθῆναι σμικρότατον κατὰ λήθην τῶν γονέων αὐτοῦ καὶ καλυφθῆναι ὑπὸ τῶν κυμάτων. Εἰς τὸν μετέπειτα δὲ ἐνιαυτὸν πάλιν τοῦ κύματος ἀνακεχωρηκότος, προσελθόντες εὗρον τὸ παιδίον ὑγιὲς τῇ τοῦ ἁγίου λάρνακι παρακαθεζόμενον· ὅπερ διερωτῶντες ἔμαθον, παρὰ τοῦ κειμένου ἐκεῖσε ἁγίου διατρέφεσθαί τε καὶ ἐκ τῆς τῶν ἐναλίων βλάβης διαφυλάττεσθαι. Καὶ τοῦτο ἀναλαβόμενοι καὶ τῷ ἁγίῳ τὰ εἰκότα εὐχαριστήσαντες οἴκαδε ἀνεχώρησαν. — 2. — Μερκουρίου. — **T** : 1. — Αἰκατερίνης. — **L** : 1. 2. — Μερκουρίου. — Αἰκατερίνης. — Τῇ αὐτῇ ἡμέρᾳ τὴν γέννησιν ἑορτάζομεν τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Κλήμεντος ἐπισκόπου Βουλγαρίας τοῦ ἐν τῇ Ἀχρίδι. Ζήτει ἀκολουθίαν αὐτοῦ κατὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν τοῦ Ἰουλίου μηνός· ἐκεῖσε γὰρ ἑορτάζομεν τὴν κοίμησιν αὐτοῦ. — **O** : Μερκουρίου. — **Q** : 1. 2. — Μερκουρίου. — **C** : deest. — **Ca** : deest. — **Cb** : 1. 2. — Μερκουρίου. — Αἰκατερίνης. — **Cc** : 1. 2. — Μερκουρίου. — Αἰκατερίνης. — **M** : Αἰκατερίνας. — Οἱ ἅγιοι πεντήκοντα ῥήτορες π. τ. — Βασίλισσα τοῦ βασιλέως Μαξεντίου γαμετὴ π. τ. — Πορφύριος στρατηλάτης σὺν τοῖς διακοσίοις στρατιώ-

— [10] ὁ Ἰουλιανὸς ἀναδιδαχθεὶς Mv. — [11] παρὰ Mv. — [12] χριστιανῶν *add.* Mv. — [13] τὸν *add.* Mv. — [14] *om.* Mv. — [15] ἅγιον Mv. — [16] τοῦ κυρίου Mv. — [17] ἀλγηδόνος Mv. — [18] *om.* M, Mv. — [19] ἀναρωσθῆναι Mv. — [20] εἰς αἰῶνας *om.* Mv. — [21] ἀναπαυσάμενος *add.* Mv.

Nov. 25. μαθόντα τὰ κατ' αὐτὸν προσκειμένου τοῦ Ἀρείου καὶ συγχώρησιν ἐξαιτοῦντος καὶ τοῦ λαοῦ παντὸς f. 90v. δυσωποῦντος, οὐκ ἔνειμεν αὐτῷ συγγνώμην | ἀλλ' ἀπεπέμψατο ἐπαρασάμενος αὐτὸν[4] εἶναι κεχωρισμένον καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι τῆς δόξης τοῦ Χριστοῦ. Ἔφη γὰρ τὸν Κύριον ὄναρ ἰδεῖν ἐν σχήματι παιδίου[5] νεογενοῦς ὑπὲρ τὸν ἥλιον ἀστράπτοντα, περικείμενον χιτῶνα διερρηγμένον ἀπὸ κεφαλῆς ἄχρι ποδῶν· παρ' οὗ μαθεῖν, ὅτι Ἄρειος ὁ διαρρήξας αὐτόν, ἐν συμβόλῳ δηλοῦντος τὴν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα διαίρεσιν εἶναι τὰ τῆς ἀσεβείας τοῦ Ἀρείου καὶ βλασφημίας δόγματα. Οὗτος οὖν ὁ ἐν ἁγίοις[6] ἐτελειώθη, κατὰ τὴν τοῦ βασιλέως κέλευσιν τὴν[7] κάραν ἀποτμηθεὶς καὶ τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛ'.

Nov. 26. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀλυπίου τοῦ κιονίτου. Οὗτος ἦν ἐπὶ Ἡρακλείου τοῦ βασιλέως ἐξ Ἀδριανουπόλεως τῆς[1] Παφλαγόνων χώρας· καὶ πρὸ τῶν ὠδίνων διὰ δή[2] τινων δεξιῶν συμβόλων ὃ ἔμελλεν ἔσεσθαι προγνωσθεὶς καὶ μετὰ τὴν γέννησιν τοὺς τότε καὶ νῦν θεάματι καὶ ἀκοῇ καταπλήξας τῇ καρτερίᾳ· καὶ γὰρ ἔδοξεν ἡ μήτηρ τοῦτον ἐγκυμονοῦσα ἀμνὸν ὡραῖον ἐν τοῖς κέρασιν ἀνημμένας ἔχοντα λαμπάδας προσφέρεσθαι, ὅπερ ἦν σύμβολον[3] τῆς ὕστερον[4] λαμπρότητος καὶ ἀρετῆς τοῦ ἀνδρός. Τοσοῦτον γὰρ διὰ παντοίας ἀσκήσεως ἠγωνίσατο, ὡς καὶ θαύματα κατεργάσασθαι καὶ τῇ καρτερίᾳ πάντας ὑπερβαλέσθαι[5]. Ἐπὶ γὰρ κίονος αἴθριος ἔστη ἐπὶ χρόνους τρισὶ καὶ πεντήκοντα ὥσπερ τις χαλκὸς ἢ λίθος ἀδάμας πρὸς τὰς ἐναντίας μεταβολὰς τῶν ὡρῶν μὴ καμπτόμενος· τῆς δὲ φυσικῆς ἰσχύος τῷ χρόνῳ καμούσης καὶ τοῦ τόνου παραλυθέντος καὶ τῆς ὑπερειστικῆς θραυσθείσης δυνάμεως, ἐπεὶ καὶ τραύμασιν αὐτὸν ὁ πονηρὸς κατὰ τὸν Ἰὼβ ἔτρωσεν, ἐν αὐτῷ τῷ κίονι ἐφ' ἑνὸς κατακλιθεὶς πλευροῦ ἔμεινεν ἔτη ιγ', μὴ μετακλιθεὶς πρὸς θάτερον μέρος, ἕως οὗ τὴν τιμίαν[6] αὐτοῦ ψυχὴν παρέθετο τῷ Θεῷ. Ὁ δὲ ἅπας[7] τῆς ζωῆς αὐτοῦ χρόνος ἔτη ἑκατὸν εἴκοσι[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μερκουρίου. Οὗτος ἦν ἐπὶ Δεκίου καὶ Βαλλεριανοῦ τῶν βασιλέων, ἐκ[1] γῆς ἀνατολῶν[2] κατειλεγμένος τῇ στρατείᾳ τῶν Μαρτησίων, υἱὸς Γορδιανοῦ τινος Σκύθου. Ἀριστεύσας δέ ποτε κατὰ τῶν βαρβάρων, προσφθέντος αὐτῷ ἀγγέλου καὶ θάρσος ἐνθέντος, εἰς τὴν τοῦ στρατηλάτου παρὰ τοῦ βασιλέως τάξιν προήχθη· διὰ δὲ τὴν | εἰς Χριστὸν ὁμολογίαν παραστὰς τῷ Δεκίῳ, χριστιανὸν ἑαυτὸν ἀνεκήρυξεν· ὅθεν ταθεὶς ἐπὶ τέτρασι[3] πάλοις, μαχαίραις τὸ σῶμα κατατέμνεται, κάτωθεν αὐτῷ[4] f. 91.

— [4] καὶ εἰπὼν *add.* Sa. — [5] παιδὸς Sa. — [6] ὁ ἅγιος Sa. — [7] τιμίαν αὐτοῦ *add.* Sa.
1. — [1] τῶν *add.* Sa. — [2] *om.* Sa. — [3] σύμβολον ἦν Sa. — [4] ἐσύστερον Sa. — [5] ὑπερβάλλεσθαι Sa. — [6] μακαρίαν Sa. — [7] πᾶς Sa. — [8] *ita* S, ρη' Sa, Cd, τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] τῶν *add.* Sa. — [2] τῆς ἀνατολῆς μερῶν ὁρμώμενος Sa. — [3] τέτταρσι Sa. — [4] αὐτοῦ Sa.

Nov. 25. ταις ξ. τ. — 1. 2. — Πέτρου τοῦ ἡσυχαστοῦ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Πέτρος ἐν τῷ Πόντῳ γεννηθεὶς παρὰ εὐσεβῶν γονέων, ἑπταετίαν πληρώσας σὺν αὐτοῖς, τὸ λοιπὸν τῆς ζωῆς αὐτοῦ ἐν φιλοσοφίᾳ κατεδαπάνησεν. Ἐν Γαλατίᾳ μὲν[1] πρῶτον ἤθλησεν· εἶθ' οὕτως ἱστορίας ἕνεκα τὴν Παλαιστίνην κατέλαβεν· ἐκεῖθεν[2] πανταχοῦ προσευξάμενος εἰς Ἀντιόχειαν κατήχθη[3] καὶ καθείρξας ἑαυτὸν ἐν κελλίῳ τινί[4], προσεῖχεν ἑαυτῷ ἀεὶ τῷ Θεῷ[5] διαλεγόμενος, μηδὲν ἄλλο ἐσθίων πλὴν ἄρτου σταθμοῦ τινος ὀλίγου διὰ δύο ἡμερῶν[6] καὶ ὀλιγοστοῦ ὕδατος. Οὗτος κατὰ δαιμόνων ἔλαβεν ἐξουσίαν· καὶ γάρ τινα Δανιὴλ τοὔνομα[7] τοῦ δαίμονος ἐλευθερώσας, τοῦτον[8] κατηχήσας ὁμόζηλον καὶ ἀσκητὴν[9] πεποίηκε. Καὶ ὀφθαλμοὺς πεπηρωμένους ὑγίωσε καὶ νοσήματα διάφορα ἐθεράπευσε καὶ πολλὰ τὰ τούτου κατορθώματα ᾄδονται[10], τὰ μὲν ὡς γραφέντα, τὰ δὲ καὶ ἐξ ἀκοῆς ᾀδόμενα[11]. Οὗτος μέγας καὶ ὑψηλὸς γενόμενος ἐν πάσῃ[10] τῇ Ἀντιοχέων πόλει καὶ τῇ ταύτης περιχώρῳ, καὶ ἐνενήκοντα ἐννέα χρόνους διαρκέσας ἐν τῷ θνητῷ σαρκίῳ τούτῳ, ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς[12]. — Οἱ ἑξακόσιοι ἑβδομήκοντα μάρτυρες ξ. τ. — **Mv** : Αἰκατερίνας. — Οἱ ἅγιοι ἑκατὸν πεντήκοντα ῥήτορες οἱ διὰ τῆς ἁγίας Αἰκατερίνας καταβληθέντες καὶ πιστεύσαντες π. τ. — Βασίλισσα. — Πορφύριος. — Μερκουρίου. — Πέτρου. — Οἱ ἅγιοι ἑξακόσιοι ἑβδομήκοντα. — **Mr** : 1. 2.

Nov. 26. SYNAXARIA SELECTA. **Sa** : 2. 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ πλησίον τοῦ Ἱπποδρομίου. — 3. 4. 5. — **H** : Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐξ Ἀραβίας καὶ τῶν σὺν αὐτοῖς Ἀνθίμου, Λεοντίου καὶ Εὐπρεπίου (Oct. 17[2]). — Ἀκακίου (Nov. 27[3]). — 4. 5. — **P** : Κοσμᾶ καὶ Δαμιανοῦ κτλ. — 1. — Τοῦ ὁσίου Ἀκακίου τῆς ὑπακοῆς, τοῦ ἐμφερομένου ἐν τῇ κλίμακι (Nov. 27[3]). — 4. — **Da** : 1. 3. — **Db** : 2. 1. 3. — **F** : 1. — Ἀκακίου. — **Fa** : 1. — Ἀκακίου. — **B** : 1. — **Ba** : 1 (= S). 3 (= S). — **Bb** : mutil. 3. — **T** : 1. 2. — **L** : 1. — Κοσμᾶ καὶ Δαμιανοῦ κτλ. — **O** : 1. 3. — **Q** : 1. 3. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Χαιρέμονος[1] τοῦ ἐρημίτου. Οὗτος ὁ ἀοίδιμος ἐξ αὐτῆς νηδύος ἁγιωσύνης περικείμενος σωφροσύνην τε ἀσπασάμενος, ἁγνείαν εἰσοικισάμενος, τὴν ἔρημον καταλαβὼν ἀκμάζων ἔτι τῷ σώματι καὶ πάσης ἀνθρώπων ἐπιμιξίας ἀπερρογὼς καὶ τὴν ἔρημον ὡς πόλιν οἰκήσας, θηρίοις συνδιαιτώμενος, ἀτροφίαν ἀσκήσας καὶ ἶσα πτηνοῖς τὸ τῆς τροφῆς κεκτημένος αὐτόματον, ὅλον

[1] γὰρ *add.* Mv. — [2] τε *add.* Mv. — [3] κατήχθη εἰς Ἀντιοχείαν Mv. — [4] καὶ κελλίῳ τινι καθείρξας ἑαυτὸν Mv. — [5] τῷ Θεῷ ἀεὶ Mv. — [6] δι' ἡμερῶν δύο Mv. — [7] τοὔνομα Δανιὴλ Mv. — [8] τε *add.* Mv. — [9] συνασκητὴν Mv. — [10] *om.* Mv. — [11] ᾄδονται Mv. — [12] (ἀπῆλθε - μονάς) πρὸς Κύριον ἐξεδήμησεν Mv.
[1] *littera evanida nec lectio admodum certa.*

Nov. 26. ὑποκαιομένου πυρὸς καὶ ἀποσβεννυμένου τοῖς ὀχετοῖς τῶν αἱμάτων. Εἶτα αἰκίζεται καὶ κατὰ κεφαλῆς κρεμᾶται, λίθου βαρέος ἐξαφθέντος αὐτοῦ· καὶ μετὰ τοῦτο φραγελλοῦται τετραφραγέλλῳ χαλκῷ καὶ ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἀχθεὶς τὴν κεφαλὴν ἀποτέμνεται. Ἦν δὲ ὅτε τοὺς ἀγῶνας διήθλησεν ἐτῶν κε', μέγεθος ἔχων σώματος, τὴν ὄψιν διαπρεπής, τὴν κόμην ξανθός, συνεπιπρέποντος αὐτῷ τοῦ κατὰ τὰς παρειὰς ἐρυθήματος.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Στυλιανοῦ τοῦ Παφλαγόνος. Οὗτος ἐκ μήτρας ἁγιασθεὶς καὶ τῷ Θεῷ καθιερωθείς, γέγονε τοῦ ἁγίου Πνεύματος οἰκητήριον. Τὸν γὰρ προσόντα αὐτῷ πλοῦτον σκορπίσας τοῖς πένησιν καὶ τὸν μοναστὴν ὑποδὺς βίον καὶ τοῖς τῶν ἀσκητῶν χοροῖς συναριθμηθείς, πάντας ὑπερέβαλλεν[1] ἀσκήσει[2] ἐπιπόνῳ καὶ σκληραγωγίᾳ· εἶθ' οὕτως τὴν ἔρημον κατέλαβε καὶ σπήλαιον ὑποδὺς ὑπὸ θείου ἀγγέλου τροφὴν ἐδέξατο καὶ τὰ σκιρτήματα τῆς σαρκὸς καταμαράνας τῶν ἰαμάτων τὴν χάριν παρὰ Χριστοῦ ἐδέξατο, ποικίλων καὶ ἀνιάτων παθῶν ἰατρὸς γενόμενος μέγιστος[3], στειρευούσας καὶ ἀτεκνούσας γυναῖκας εὐτεκνούσας ἀποδεικνύων. Ἡνίκα γὰρ ὁ φθοροποιὸς θάνατος τὰ βρέφη πολλάκις διαλυμαίνεται καὶ ἀτεκνούσας τὰς κυούσας ἀποτελεῖ, τὸ τοῦ ἁγίου ὄνομα αἱ μητέρες ἐπικαλούμεναι καὶ τὸ τίμιον αὐτοῦ χρωματουργοῦνται καὶ θεῖον εἰκόνισμα, πρὸς τεκνογονίαν αὖθις ταῖς αὐτοῦ πρεσβείαις μετασκευάζονται[4]· καὶ εὐτεκνοῦσαι αἱ πρὶν ἀπαιδίᾳ τρυχόμεναι ἀποδείκνυνται[5]. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἐν τῇ τῶν Παφλαγόνων χώρᾳ, ἐξ ἧς καὶ αὐτὸς ὁρμᾶται[6], κατάκειται, ἰάσεις πολλὰς καὶ θαυματουργίας ἀποτελοῦν.

4. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἀποστόλου Σίλα ἐπισκόπου Κορίνθου, μαθητοῦ τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου[1].

5. Καὶ τὰ ἐγκαίνια[1] τοῦ ἁγίου Γεωργίου ἐν τῷ Κυπαρισσίῳ[2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

Nov. 27. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰακώβου τοῦ Πέρσου. Ὁ ἅγιος μάρτυς Ἰάκωβος χριστιανὸς ὤν, διὰ τὸ τῶν Περσῶν βασιλέα Ἰσδιγέρδην[1] περὶ πολλοῦ τὴν αὐτοῦ ποιήσασθαι φιλίαν | f. 91v. ἀπέστη τῆς τῶν χριστιανῶν πίστεως. Ἐπεὶ δὲ ἡ μήτηρ αὐτοῦ καὶ ἡ γαμετὴ διὰ γραφῶν[2] αὐτῶν αὖθις πρὸς[3] τὴν εἰς Χριστὸν πίστιν τοῦτον ἀνεκαλέσαντο, δι' αὐτό γε τοῦτο καθίσταται τῷ βασιλεῖ εἰς ἐξέτασιν· καὶ δὴ τοῦ βασιλέως χαλεπήναντος, τὸν πικρότατον ὑπέστη θάνατον, κατὰ μίαν ἑκάστην τοῦ σώματος ἁρμονίαν τμηθεὶς τῶν τε χειρῶν καὶ ποδῶν καὶ βραχιόνων, ὡς περιλειφθῆναι μόνην αὐτῷ[4] μετὰ τῆς κοιλίας τὴν κεφαλήν. Εἶθ' οὕτως καὶ ταύτην ἀφῃρέθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ <αὐτοῦ[5],> τῷ ὄντι ἐν τοῖς Δαλμάτου καὶ ἐν τοῖς Ῥουστικίου[6].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Παραμόνου καὶ τῶν σὺν αὐτῷ το'. Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως καὶ Ἀκυλίνου ἄρχοντος τῆς ἑῴας. Τοῦ οὖν Ἀκυλίνου εἰς τὰ ἐν τῇ Βισαλτίᾳ[1] ἀναδιδόμενα θερμὰ ὕδατα ἀπιόντος θεραπείας σωματικῆς ἕνεκεν, εἵποντο οἱ συνειλεγμένοι ἀθληταί, οὕτω κελεύσαντος. Γενομένου δὲ εἰς τὸ τῆς Ἴσιδος τέμενος καὶ τὰς μυσαρὰς θυσίας τελοῦντος[2] καὶ τοὺς ἁγίους θύειν καὶ προσκυνεῖν τοῖς εἰδώλοις προστάττοντος[3] κἀκείνους ἀπαναινομένους τοῦτο ποιῆσαι, ὁ ἅγιος Παράμονος θεασάμενος, φωνῇ μεγάλῃ ἐβόησε· « Μεγίστην ἀσέβειαν » ὁρῶ, φησίν, ὅτι ὁ μιαρὸς οὗτος τοσούτους » δικαίους καὶ ταῦτα ξένους ἀλόγων κατασφάττει » τρόπον. » Ὁ δὲ ἀκούσας καὶ ὑπὸ μανίας ἀναφλεγεὶς εὐθέως τοῦτον ἀναιρεῖσθαι προστάττει. Ὅπερ οὐκ εἰδὼς ὁ μακάριος, ἐν αὐτῷ τῷ τόπῳ βαδίζων διετέλει. Κατασχόντες δὲ[4] αὐτὸν οἱ ἀπεσταλμένοι καὶ οἱ μὲν λόγχαις βάλλοντες, οἱ δὲ καλάμους ὀξεῖς διά τε τῆς γλώττης καὶ τῶν λοιπῶν μελῶν τοῦ ἁγίου διελαύνοντες, ἐπ' ὄψεσι τοῦ δικάζοντος ἐν τῷ εἰρημένῳ τόπῳ ἐτελείωσαν καὶ πρὸς τὰς οὐρανίους σκηνὰς διεβίβασαν. Κατετέθη[5] δὲ τὸ τίμιον αὐτοῦ λείψανον ἐν αὐτῷ τῷ χωρίῳ[6] παρὰ τὰς θήκας τῶν τριακοσίων ἑβδομήκοντα.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀκακίου τοῦ ἐν τῇ Κλίμακι μνημονευομένου. Οὗτος ὑπῆρχεν ἔν τινι τῆς Ἀσίας μονῇ[1]· νέαν δὲ ἔτι[2] τὴν ἡλικίαν ἄγων τὸν ἀσκητικὸν βίον μετήρχετο. Εἶχε δὲ ἐπιστατοῦντα αὐτῷ γέροντα Nov. 27. ῥᾴθυμον καὶ ἠμελημένον καὶ οὐ μόνον ὕβρεσι καὶ ἀτιμίαις αὐτὸν | f. 92. διηνεκῶς καθυπέβαλλεν, ἀλλὰ καὶ πληγαῖς ἐβασάνιζε· ποτὲ μὲν γὰρ τὸν ὀφθαλμὸν εἶχε μεμελανωμένον, ποτὲ δὲ τὸν τράχηλον, ποτὲ δὲ τὴν κεφαλὴν πεπληγμένην. Ποιήσας δὲ μετ' ἐκείνου τοῦ γέροντος χρόνους ἐννέα καὶ θανὼν ἐπορεύθη πρὸς Κύριον. Ταφέντος δὲ αὐτοῦ ἐν τῷ τῶν πατέρων κοιμητηρίῳ, ἀφίκετο ὁ τούτου ἐπιστάτης πρός τινα γέροντα μέγαν καὶ λέγει αὐτῷ· «Πάτερ, ὁ ἀδελφὸς Ἀκάκιος ἀπέθανε.» Ὁ δέ· «Οὔ» φησιν. Καὶ μὴ συνιεὶς ἐκεῖνος τὸ λεχθέν, λέγει πρὸς αὐτόν· «Ἔρχου καὶ ἴδε.» Ἦλθον οὖν ἀμφότεροι εἰς τὸ κοιμητήριον καὶ ὡς πρὸς ζῶντα ὁ τίμιος γέρων ἔφησε[3] πρὸς τὸν τελευτήσαντα· « Ἀδελφὲ » Ἀκάκιε, ἀπέθανες ; » Ὁ δὲ εὐθέως ἀνταπεκρίθη· « Πῶς, πάτερ, ἄνθρωπον ὑπακοῆς ἐργάτην ἀπο- » θανεῖν δυνατόν ; » Τότε ὁ πρὶν αὐτοῦ ἐπιστάτης ἔμφοβος γενόμενος ἐπὶ τῷ θαύματι, ἐπὶ πρόσωπον σὺν δάκρυσιν ἔπεσε· καὶ πλησίον τοῦ μνήματος ἐκείνου κελλίον ποιήσας, ἐκεῖσε σωφρόνως τὸ λοιπὸν τοῦ βίου διήνυσε.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

Nov. 28. **1.** Ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ νέου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἀναστασίου, τοῦ καὶ Ἀρτεμίου, πατριαρχοῦντος Γερμανοῦ τοῦ ἐν ἁγίοις, τῆς βασιλίδος τῶν πόλεων γέννημά τε καὶ θρέμμα, υἱὸς Ἰωάννου καὶ Ἄννης τῶν εὐσεβῶν. Ὑποδύεται οὖν τὸν μονήρη βίον καὶ πάσας τὰς σωματικὰς ὁρμὰς χαλινώσας νηστείᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ, ἐπεὶ ὁ θεσπέσιος Ἰωάννης ὁ τούτου καθηγούμενος ἀνεπαύσατο, αὐτὸς τὴν ἐπιστασίαν ἀναδέχεται ἐν τῷ περιωνύμῳ βουνῷ τοῦ ἁγίου Αὐξεντίου[1] διανύων τὸν ἀσκητικὸν δίαυλον[2]. Κωνσταντῖνος δὲ ὁ Κοπρώνυμος[3] μετὰ τελευτὴν τοῦ πατρὸς Λέοντος[4] τὴν βασιλείαν διαδεξάμενος καὶ τῇ κακίᾳ φιλονεικῶν ἀποκρύψαι καὶ[5] τὸν πατέρα, τὸν κατὰ τῶν ἁγίων καὶ σεβασμίων[6] εἰκόνων ἀναρριπίζει πόλεμον καὶ τοὺς εὐσεβοῦντας μοναχοὺς βασάνοις μυρίαις[7] καὶ ἐξορίαις καθυποβάλλει· μεθ' ὧν καὶ τὸν μακάριον Στέφανον μὴ πειθόμενον αὐτῷ μετὰ πολλὰς[8] αἰκίας τῷ πραιτωρίῳ ἐγκλείει· ἐν ᾧ καὶ ἕτεροι τῶν μοναχῶν λογάδες ἐφρουροῦντο, οἱ καὶ[5] περὶ Πέτρον καὶ Ἀνδρέαν σαράκοντα[9] καὶ ἐκ[10] διαφόρων τόπων ἄλλοι τὸν ἀριθμὸν τριακόσιοι, οἱ μὲν τὰς ῥῖνας, οἱ δὲ τὰ ὦτα καὶ τὰ ὄμματα ἀφῃρη-

3. — [1] ὑπερέβαλεν Sa. — [2] καὶ *add.* Sa. — [3] γενόμενος μέγιστος ἰατρός Sa. — [4] μετεσχευάζοντο Sa. — [5] ἀποδείκνυντο Sa. — [6] ὡρμᾶτο Sa.
4. — [1] τοῦ ἁγίου ἀποστόλου Παύλου Sa.
5. — [1] τοῦ ναοῦ *add.* Sa. — [2] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς ἐλέησον *add.* Sa.
1. — [1] Εἰσδιγέρδην S. — [2] γραφῆς Sa. — [3] εἰς Sa. — [4] αὐτοῦ Sa. — [5] Sa, *om.* S. — [6] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς ἐλέησον *add.* Sa.
2. — [1] Sa, Βιλσατία S. — [2] ἐπιτελοῦντος Sa. — [3] προτάσσοντος Sa. — [4] *om.* Sa. — [5] κατέθεντο Sa. — [6] χώρῳ Sa.
3. — [1] μοναστηρίῳ Sa. — [2] *om.* Sa. — [3] ἔφη Sa.
1. — [1] ἐν τῷ ὄρει τῆς Ὀξείας *add.* S *in margine.* — [2] ἐν στενωτάτῳ κελλίῳ *add.* S *supra lin.* — [3] ὁ καὶ Καβαλῖνος *add.* S *supra lin.* — [4] τοῦ Ἰσαύρου *add.* S *supra lin.* μετὰ τὴν τοῦ πατρὸς Λέοντος τελευτὴν Sa. — [5] *om.* Sa. — [6] καὶ σεβασμίων *om.* Sa. — [7] *in margine add.* S : ἐν ἄλλοις οὕτως φησίν· ὁ μὲν ὅσιος Πέτρος ἐν τῷ Ὀλύμπῳ ὄρει τὴν δίαιταν εἶχεν· ὁ δὲ Ἀνδρέας ἐν τῇ βασιλίδι πόλει πλησίον τῶν Βλαχερνῶν ἔν τινι κελλίῳ καθείρκτῳ. — [8] μυρίας Sa. — [9] τεσσαράκοντα Sa. — [10] ἐν Sa.

Nov. 26. ἄτροφον, ὅλον ἄσκευον, ὅλον ἄσαρκον, ὅλον ἄϋλον καθορώμενον, μελέτην διηνεκῆ τὸν τοῦ Θεοῦ νόμον ποιούμενος ἡλίῳ τε καὶ καύσωνι τὸ ἑαυτοῦ σῶμα ἀποτηγανίσας, ψύχει τε πάλιν καὶ παγετῷ ἑαυτὸν ἐκτήξας, σκιᾷ παρεοικὼς[2] τοῖς ὁρῶσιν ἐμφανισθείς, καὶ πνεῦμα τοῦτον νομίσαντες εἶναι οἱ θεαταὶ διὰ τὸ πήχεις ἑπτὰ ἀπὸ τῆς γῆς ἐν τῷ ἀέρι κρεμάμενον φαίνεσθαι ἐν τῷ εὔχεσθαι· καὶ πῦρ πάλιν [φαίνε]ται[3] ἐν τῷ τοὺς ἀγγέλους πρὸς αὐτὸν ἐπιστῆναι καὶ πρὸς μετάστασιν προσκαλουμένους[4]· ὅτε καὶ τὴν ἁγίαν αὐτοῦ ψυχὴν ταῖς χερσὶ τῶν ἀγγέλων παρέθετο, τὸ σῶμα καταλείψας ἐπὶ τῆς γῆς. — **C** : deest. — **Ca** : deest. — **Cb** : hoc in codice posita est dies 26 inter 27 et 28. — Εἰρηνάρχου (Nov. 28[3]). — **Cc** : 3. — Ἀκακίου. — 1. 4. — **M** : 1. 2. 3. — Ἀκακίου. — Ἰακώβου τοῦ ἀναχωρητοῦ (Febr. 21[0]). — **Mv** : 1. 3. — Ἀκακίου. — Ἰακώβου. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Νίκωνος τοῦ μετανοεῖτε. — 4 : Σίλου ἐπισκόπου Κορίνθου τῆς Περσίδος. — 5. — **Mr** : 1. — Νίκωνος.

Nov. 27. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : 1 : Ἰακώβου τοῦ Πέρσου ἐν τοῖς χρόνοις Ὀνωρίου καὶ Θεοδοσίου, βασιλέων Ῥωμαίων· ἦν οἰκῶν ἐν Βηθλαβᾶ τῇ πόλει ἐν χώρᾳ τῶν Περσῶν. — **Da** : 1. 3. — **Db** : 1. 3. — **F** : 1. — Στυλιανοῦ (Nov. 26[3]). — **Fa** : 1. — Στυλιανοῦ. — **B** : 1. — **Ba** : 1 (= S). 3 (= S). — **Bb** : 1. 3. — Βισσαρίωνος (Nov. 29[2]). — **T** : 1. — **L** : 1. — **O** : 1. 3. — **Q** : 1. 3. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Μωϋσέως[1]. Οὗτος ὁ ἀοίδιμος ὥρμητο μὲν ἀπὸ τῆς Φάραν· ἐκ μικρᾶς δὲ ἡλικίας μονάσας διήρκεσεν ἐν τῷ μονήρει βίῳ ἔτη ὀγδοήκοντα καὶ πέντε, μένων ἔν τινι σπηλαίῳ ἐν τῷ ὄρει οὐ μακρὰν τοῦ συνακτηρίου, δεύτερος ὡς ἀληθῶς Ἠλίας· πάντα γὰρ ὅσα ᾐτήσατο τὸν Κύριον ἐχορήγει αὐτῷ· καὶ πλείστας ἰάσεις ἐπετέλει δι' αὐτοῦ ὁ Θεός, δωρησάμενος αὐτῷ κατὰ[2] πνευμάτων ἀκαθάρτων ἐξουσίαν, ὥστε πάντας τοὺς προσερχομένους θεραπεύειν ἀπὸ τῶν πονηρῶν πνευμάτων. Οὗτος ἀφ' οὗ πρὸς τὴν ἡσυχίαν <ἦλθεν, οὐκ ἐγεύσατο> τινῶν ἐδωδίμων πλὴν ὀλίγων φοινίκων, καὶ τούτων διὰ τριῶν ἡμερῶν ἢ καὶ διὰ πέντε, καὶ ποτὸν αὐτῷ τὸ ὕδωρ, τὰ δὲ ἐνδύματα αὐτοῦ ἀπὸ σιβίνου. Ἐκοιμᾶτο δὲ μετὰ τὰς νυκτερινὰς συνάξεις καὶ μόνον, τὰς δὲ λοιπὰς ὥρας ἀγρυπνῶν διετέλει· καὶ ἐν μὲν τῇ ἁγίᾳ τεσσαρακοστῇ οὐκ ἤνοιγε τὴν θύραν τοῦ κελλίου αὐτοῦ ἕως τῆς ἁγίας πέμπτης, μηδὲν ἔχων μεθ' ἑαυτοῦ τροφῆς χάριν εἰ μὴ μόνον τὸν ἀριθμὸν εἴκοσι φοίνικας καὶ ξεστίον ὕδατος· ἅτινα πολλάκις ἐφυλάττοντο, ἕως οὗ ἠνοίγη ἡ θύρα, ὡς ὁ διακονῶν αὐτῷ ἔκφορα ταῦτα μετὰ τὸν αὐτοῦ θάνατον πεποίηκε. Ἐν μιᾷ οὖν τεσσαρακοστῆς προσῆλθεν αὐτῷ τις ὑπὸ πνεύματος ἀκαθάρτου πληγείς. Ἦν δὲ τέχνη τοῦ πονηροῦ τοῦ καταργῆσαι αὐτὸν τῆς προθέσεως αὐτοῦ· ὡς ἤγγισεν ἀπὸ μιλίου ἑνὸς τῷ τοῦ ἁγίου κελλίῳ, ῥῆξαν αὐτὸν τὸ ἀκάθαρτον πνεῦμα ἔκραξε λέγων· « Ὢ βία, οὐδὲ πρὸς ὀλίγην » ὥραν ἴσχυσα ἐμποδίσαι τὸν κακόγηρον ἀπὸ τοῦ κανόνος αὐτοῦ. » Καὶ τοῦτο εἰπὼν ἐξῆλθεν ἀπὸ τοῦ ἀνθρώπου, καὶ ἰάθη παραχρῆμα. Καὶ ὁ ἅγιος οὐδενὶ ἐθεάθη. Οὕτως οὖν ὁ ἀοίδιμος βιώσας καὶ πλείω τούτων διαπραξάμενος ἀξιομνημόνευτα ἔργα, ἐν εἰρήνῃ ἐτελειώθη. — **C** : deest. — **Ca** : deest. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. — Ῥωμανοῦ τοῦ θαυματουργοῦ (Febr. 9[3]). — Πινούφιος ἐν εἰρήνῃ τ. — Ναθαναὴλ ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Ῥωμανοῦ. — Πινούφιος. — Ναθαναήλ. — **Mr** : 1.

Nov. 28. SYNAXARIA SELECTA. **Sa** : 1. 3. 4. 5. 6. — **H** : 3 (Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου εἰς τὰ Κώνστα). — 4. 5. 6 (Θεοδοσίου). — **P** : 3. 1 : Στεφάνου, Πέτρου καὶ Ἀνδρέου ἐπὶ τῆς βασιλείας Κωνσταντίνου υἱοῦ Λέοντος τοῦ Ἰσαύρου, ἄνδρες διαλάμποντες ἐν τῇ ὀρθοδόξῳ

— [2] παρεοικτ! Q. — [3] *supplevi.* — [4] προσκαλουμένας Q.
[1] *littera evanida nec lectio admodum certa.* — [2] μετὰ Q.

Nov. 28. f. 92v.

μένοι καὶ χεῖρας καὶ γενειάδας. | Ἐπεὶ οὖν καὶ ἐπὶ τοῦτον ἡ καταδικάζουσα ψῆφος ἔφθασε, πληρωθέντος ἑνδεκαμηνιαίου χρόνου, ἐκβάλλεται τῆς φυλακῆς καὶ εἰς γῆν ῥιφεὶς καὶ τοὺς πόδας δεσμευθείς, ἐπὶ τὴν δημοσίαν σύρεται, λίθοις βαλλόμενος καὶ ξύλοις τυπτόμενος. Ὃς συρόμενος ὑπό τινος Φιλομματίου κόμητος, ἀρέσαι τῷ βασιλεῖ σπουδάζοντος[11], ξύλῳ μεγίστῳ κρούσας αὐτὸν κατὰ τοῦ[12] μήνιγγος εὐθέως ἀνεῖλεν ὡς, ῥαγείσης αὐτῷ τῆς κεφαλῆς ἔξω χεθῆναι τὸν μυελόν — ἐτελεύτησεν[13]. Οἱ δὲ λοιποὶ τῶν δημίων ἔσυρον ἐπὶ τῆς λεωφόρου νεκρὸν τὸ σῶμα καὶ ἐν τοῖς Πελαγίου ἀπέρριψαν· ὁ δὲ Πέτρος ταῖς ἐπενεχθείσαις αὐτῷ πολλαῖς παρὰ τοῦ τυράννου πληγαῖς ἐγκαρτερήσας, πρὸς Κύριον ἐξεδήμησεν. Ὁ δὲ Ἀνδρέας πλείστας καὶ αὐτὸς ὑποστὰς τιμωρίας ἐν τῷ ἀφειδῶς κατὰ τῆς πόλεως σύρεσθαι προστάξει τοῦ τυράννου, τὸ πνεῦμα παρέδωκε[14]. Τελεῖται δὲ ἡ αὐτῶν[15] σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου[16] εἰς τὰ Κύνστα.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τῶν σὺν τῷ ἁγίῳ Στεφάνῳ τῷ νέῳ ὑπὲρ τῶν ἁγίων εἰκόνων μαρτυρησάντων. Πολλοὶ τῶν στρατιωτῶν τῶν τότε ὀρθοδόξων ὄντων ἀποταξάμενοι, τῷ βίῳ γεγόνασι μοναχοί, ὑπὸ τοῦ ἁγίου Στεφάνου πρὸς τοῦτο χειραγωγηθέντες· οὓς ἐπεὶ ἀνέλοι τὸν Στέφανον ὁ παράνομος τιμωρησάμενος βασιλεὺς τοῦ βίου ἐξήνεγκε· καὶ γὰρ ἕνα αὐτῶν Βασίλειον καλούμενον ἐκτυφλώσας, εἶτα προσκύνησιν τῶν ἁγίων εἰκόνων λαλοῦντα ἀκούσας, λακτίσας ἐξήνεγκε τὰ ἔντερα αὐτοῦ· καὶ οὕτως ἐξορισθῆναι προστάξας μετ' ὀδύνης τῶν παρόντων ἀπαχθῆναι πεποίηκεν. Ἄλλον ἔγκλειστον ἐν τῷ Σωσθενείῳ τυγχάνοντα ῥινότμητον ποιήσας, ἐν Χερσῶνι ἐξώρισεν. Ὁ δέ, μέλλων φονευθῆναι, ἔφυγεν εἰς Χαζαρίαν, ἐν ᾗ καὶ ἐπίσκοπος γεγονώς, μετὰ παραδρομὴν χρόνων ἱκανῶν ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν. Ἕτερος Στέφανος καλούμενος εἰς Σουγδίαν ἐξορισθεὶς καὶ πολλοὺς ὠφελήσας διὰ τῆς τῶν τρόπων χρηστότητος καὶ τῆς τῶν λόγων λαμπρότητος, τέλει τοῦ βίου ἐχρήσατο. Ὁμοίως καὶ Γρηγόριοι δύο σὺν πολλοῖς ἄλλοις ἐξορισθέντες τὴν ἄνω Ἱερουσαλὴμ τῶν πρωτοτόκων εἰς κατοικίαν παρὰ Χριστοῦ ἐκομίσαντο. Ἀλλὰ καὶ Ἰωάννης ὁ ἀπὸ λεγαταρίων εἰς Δαφνουσίαν ἐξορισθεὶς καὶ τῇ τοῦ βασιλέως κελεύσει δερόμενος κατὰ καιρὸν συχνῶς, τὸν βίον ἀπέλιπεν.

f. 93.

| **3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εἰρηνάρχου. Οὗτος[1] ἦν ἐκ πόλεως Σεβαστείας, νέος τῇ ἡλικίᾳ[2], τὴν τάξιν δήμιος[3] ταῖς κατὰ τῶν ἁγίων βασάνοις καθυπουργῶν. Ἐξεταζομένων οὖν γυναικῶν τινων[4] χριστιανῶν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, ἡγεμονεύοντος Μαξίμου ἐν τῇ πόλει τῆς Σεβαστείας[5], φωτίζεται τὴν ψυχὴν ὑπὸ τῆς χάριτος τοῦ Χριστοῦ· οἷς ἑώρα τὰς γυναῖκας παρὰ τὴν φύσιν ἀνδριζομένας[6] καὶ καταισχυνούσας τὸν τύραννον ἐπὶ τοῖς παρ' αὐτῶν ἐνεργουμένοις θαύμασιν[7]· ὅθεν παρρησίᾳ ὁμολογήσας τὸν Χριστὸν καὶ ἑαυτὸν ἀνακηρύξας χριστιανόν[8], πρῶτον μὲν ἐν λίμνῃ τινὶ τοῦ ἡγεμόνος προστάξαντος βάλλεται, ἔπειτα εἰς κάμινον· καὶ ἐκ τούτων παραδόξως διασωθεὶς[9] τὴν κεφαλὴν ἀποτέμνεται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι ἐν τῷ Ῥάβδῳ.

4. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια[1] τοῦ ἁγίου προφήτου Ἐλισσαίου.

5. Καὶ μνήμη τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ[1] γενομένων βασιλέων Κωνσταντίνου[2], Μαρκιανοῦ καὶ τῶν τέκνων αὐτῶν. Τελεῖται[3] ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

6. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου ἐπισκόπου γενομένου Θεοδοσιουπόλεως Ἀρμενίας, ἐπὶ τῆς βασιλείας Μαυρικίου[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

Nov. 29.

1. Ἄθλησις[1] τοῦ ἁγίου μάρτυρος Φιλουμένου. Οὗτος ὑπῆρχεν ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἐκ Λυκαονίας ὁρμώμενος καὶ τὸν σῖτον πραγματευόμενος καὶ κομίζων τῇ[2] τῶν Γαλατῶν χώρᾳ. Φήλικι[3] οὖν τῷ ἡγεμόνι Ἀγκύρας διαβληθεὶς καὶ χριστιανὸς εἶναι ὁμολογήσας, ἤλουται πρῶτον σιδήροις

— [11] (ὃς συρόμενος - σπουδάζοντος) *om.* Sa. — [12] τῆς Sa. — [13] (ὃς ῥαγείσης - ἐτελεύτησεν) S, *om.* Sa. — [14] (ὁ δὲ Πέτρος - παρέδωκε) *om.* Sa. — [15] αὐτοῦ Sa. — [16] μαρτυρείῳ αὐτοῦ τῷ ὄντι Sa.

3. — [1] ὃς Sa. — [2] τὴν ἡλικίαν Sa. — [3] δήμιος τὴν τάξιν τὸ πρότερον ὢν καὶ Sa. — [4] τινῶν γυναικῶν Sa. — [5] τῇ Σεβαστηνῶν Sa. — [6] ἀνδριζομένας παρὰ τὴν φύσιν Sa. — [7] ταῖς ... ἐνεργουμέναις θαυματουργίαις Sa. — [8] (καὶ ἑαυτὸν - χριστιανὸν) *om.* Sa. — [9] (προστάξαντος - διασωθείς) προστάξει ἐμβάλλεται εἶτα ἐπί τινα ἀναφθεῖσαν πυρκαιὰν ἐκ τούτων δὲ παραδόξως σωθεὶς Sa.

4. — [1] τοῦ ναοῦ *add.* Sa.

5. — [1] τῇ λήξει Sa. — [2] Κωνσταντίου Sa. — [3] *om.* Sa.

6. — [1] ταῖς αὐτῶν πρεσβείαις *add.* Sa.

1. — [1] τῇ αὐτῇ ἡμέρα ἄθλησις Sa. — [2] ἐν τῇ Sa. — [3] Φίλικη S.

Nov. 28. πίστει καὶ τῇ μοναχικῇ πολιτείᾳ. — **Da** : 3. 2 (des. ἀπέρριψαν). — **Db** : 3. 1. — **F** : 3. 1. — **Fa** : 3. 1. — **B** : 1. 2. 3. — **Ba** : 3 (= S). 1 (= S). — **Bb** : 1. 2. 3. — **T** : 3. 1. — **L** : 3. 1. — **O** : 1. 3. — **Q** : 3. 1. 2. — **C** : deest. — **Ca** : mutil. 1. 2. 3. 6. — **Cb** : 1. 2. — **Cc** : 1. 3. 6. — **M** : 1 (Στεφάνου). — Ἀνδρέας. — Πέτρος. — Ἡ ὁσία Ἄννα τυπτομένη πρὸς τὸ κατειπεῖν τοῦ ἁγίου Στεφάνου τ. — 2. 3. — **Mv** : 1 (Στεφάνου). — Ἀνδρέας. — Πέτρος. — 2. 3. — **Mr** : 1. 3.

Nov. 29. SYNAXARIA SELECTA. **Sa** : Παραμόνου (Nov. 27²). — Ἀκακίου (Nov. 27³). — 1. 2. 3. 4. 5. — **H** : 1. — Τοῦ ὁσίου Ἰωάννου ἐκ πόλεως Δαμασκοῦ. — 4. 5. — Παραμόνου. — **P** : 1. — Παραμόνου τοῦ ἐν τῷ γέρῳ (Nov. 27²). — 4. 5. — **Da** : Παραμόνου[1]. — 1. — **Db** : Παραμόνου[1]. — 1. 2 (Βισαρίων). — **F** : Παραμόνου[2]. — 1. 3. — Θεοδώρου (Nov. 28⁶). — Σίλα (Nov. 26⁴). — 4. — **Fa** : Παραμόνου. —

[1] Παρανόμου Da, Db. — [2] Παρανόμου Fa, Ba.

χεῖρας καὶ πόδας καὶ αἰκίζεται· εἶτα ἀναρτηθεὶς σπαθίζεται καὶ καταχθεὶς εἰς κλίβανον ἐκκαέντα ἐμβάλλεται. Ἐκ τούτων δὲ τῇ τοῦ Χριστοῦ δυνάμει ἀβλαβὴς διαφυλαχθεὶς ἤλουται αὖθις τὴν κεφαλὴν καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ἐπὶ τριάκοντα σταδίοις ἐλαύνεται, ἕως λειποψυχήσας τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βησαρίωνος τοῦ θαυματουργοῦ.

Nov. 29.

3. Καὶ Νικολάου ἀρχιεπισκόπου Θεσσαλονίκης.

4. Καὶ ἄθλησις τῶν ἁγίων ἱερομαρτύρων Ἰωάννου τοῦ ἐν Περσίδι καὶ Οὐρβανοῦ ἐπισκόπου Μακεδονίας καὶ | Διονυσίου ἐπισκόπου Κορίνθου. f. 93v.

5. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῶν ἁγίων Σεργίου καὶ Βάκχου πλησίον τῆς Ἀετίου κινστέρνης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

Nov. 30.

1. Ἄθλησις[1] τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἀνδρέου ἀδελφοῦ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων. Οὗτος ἐκήρυξεν εἰς πᾶσαν τὴν παραλίαν Βιθυνίας[2] τε καὶ Πόντου, Θρᾴκης καὶ Σκυθίας, ἔπειτα ἐπορεύθη ἐν Σεβαστουπόλει τῇ μεγάλῃ, ὅπου παρεμβάλλει Ψάρος καὶ Φασὶς ὁ ποταμός[3], οὗ ἐσώτερον οἱ Αἰθίοπες οἰκοῦσιν. Ἐσταυρώθη δὲ ὑπὸ Αἰγεάτου[4] ἀνθυπάτου καὶ ἐνετέθη[5] ἐν Πάτραις τῆς Ἀχαΐας. Μετετέθη δὲ ὕστερον ἐν Κωνσταντινουπόλει καὶ κατετέθη μετὰ Λουκᾶ τοῦ εὐαγγελιστοῦ καὶ Τιμοθέου[6] ἐν τοῖς ἁγίοις Ἀποστόλοις, ἔνθα καὶ τελεῖται ἡ αὐτοῦ σύναξις[7].

1. — [1] μνήμη Sa. — [2] Βυθινίας Sa. — [3] οἱ ποταμοὶ Sa. — [4] Αἰγαιάτου S, Sa, — [5] ἐντέθη S, ἐτέθη Sa. — [6] τοῦ ἀποστόλου *add.* Sa. — [7] σύναξις αὐτοῦ· ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεὸς Sa.

Nov. 29. 2. — Θεοδώρου. — Σίλα. — 4. — **B** : Ἰωάννου τοῦ Δαμασκηνοῦ (Dec. 4). — 1. — **Ba** : Παραμόνου. — 1. 2. — **Bb** : Ἰωάννου τοῦ Δαμασκηνοῦ. — 1. — **T** : Παραμόνου. — **L** : Ἰωάννου τοῦ Δαμασκηνοῦ. — 1. — **O** : Παραμόνου. — 1. — **Q** : Παραμόνου. — 1. — Μάρκου. Οὗτος ὁ μακάριος τῷ τῆς θείας ἀγάπης ἔρωτι κατασχεθεὶς καταλιμπάνει γυναῖκα καὶ τέκνα καὶ συγγενεῖς καὶ τὴν στενὴν ὁδὸν ἑλόμενος καὶ ὑπελθὼν τὸν ζυγὸν Χριστοῦ τὸν ἐλαφρόν, διήρχετο πόλεις καὶ κώμας καὶ χώρας καὶ αὐτὴν τὴν ἔρημον πᾶσαν, ὑστερούμενος, θλιβόμενος καὶ παντὶ τρόπῳ πραγματευόμενος τὸ μὴ γνωσθῆναι παρά τινος τὸν ἐνάρετον βίον αὐτοῦ, μέχρις ἂν μετὰ πολλῶν χρόνων παρολκήν, γνωρισθείσης αὐτῷ τῆς ἀναλύσεως ἄνωθεν καὶ τὴν μεγίστην τῶν πόλεων τῆς Αἰγύπτου καταλαβών, ὑπό <τινα> τῶν ἐκεῖσε τιμίων σηκῶν καταλύει· καὶ ἐπὶ τρισὶν ἡμέραις ἀνεπαύσατο ἐν Κυρίῳ. Ἐπεὶ δὲ ἄπνους ὁ ὅσιος ἔκειτο καὶ οἱ ἐνταφιάζοντες ὡς εἰς ξένον καὶ ἄγνωστον παρῆσαν καὶ τὸν περικείμενον αὐτοῦ τῷ σώματι σίδηρον πολὺν ὄντα καὶ ἄπειρον εἶδον, ὡς ἅπαν τὸ σῶμα αὐτοῦ προσηλωμένον ὑπάρχειν, τὸ « Κύριε ἐλέησον » ἐβόων καὶ « ὢ πόσους κρυπτοὺς δούλους ὁ Θεὸς ἔχει » ἐπὶ πολλαῖς ταῖς ὥραις ἀνέκραζον· ὅθεν ἐκ ξύλων ἀσήπτων κατασκευάσαντες θήκην, ἐν αὐτῇ μετὰ τῶν σιδήρων τὸ τίμιον αὐτοῦ λείψανον ἀπέθεντο. — **C** : deest. — **Ca** : Ἰωάννου ἐκ πόλεως Δαμασκοῦ. — 1. — Παραμόνου (Nov. 27²). — 4 (om. Διονυσίου). — Καὶ τοῦ ἁγίου μάρτυρος Παραμόνου. — **Cb** : 1. — **Cc** : Ἰωάννου ἐκ πόλεως Δαμασκοῦ. — 1. — Παραμόνου. — 4. — Καὶ τοῦ ἁγίου μάρτυρος Παραμόνου. — **M** : Παραμόνου. — 1. 3 : Νικολάου ἀρχιεπισκόπου Θεσσαλονίκης καὶ τῶν ἁγίων ἓξ μαρτύρων. — 4 (Οὐρβανός, Διονύσιος). — 2. — Παγκόσμιος ἐν εἰρήνῃ τ. — Πιτηροῦν ἐν εἰρήνῃ τ. — Οὐαλλερῖνος ξ. τ. — Φαῖδρος ῥητίνης ζεούσης καταχεθείσης αὐτῷ τ. — **Mv** : Παραμόνου. — 1. 3. 4. 2. — Παγκόσμιος. — Πυτηροῦν. — Οὐαλλεριανός. — Φαῖδρος. — **Mr** : Παραμόνου. — 1.

Nov. 30. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : 1. — **Da** : 1 : Ἀνδρέου τοῦ πρωτοκλήτου. Οὗτος ὑπῆρχεν ἐκ πόλεως Βηθσαϊδά[1], υἱὸς Ἰωνᾶ, ὁ ἀδελφὸς δὲ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων. Καὶ πρότερον μὲν τῷ προφήτῃ προδρόμῳ καὶ βαπτιστῇ Ἰωάννῃ μαθητεύεται, ἔπειτα τό· « Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ » παρὰ τοῦ διδασκάλου ἀκούσας δακτυλοδεικνύντος τὸν Ἰησοῦν, (Io. 1, 36.) καταλιπὼν αὐτὸν ἠκολούθησε τῷ Χριστῷ καὶ Πέτρον τὸ « εὑρήκαμεν Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ » (Io. 1, 46.) εἰπὼν ἐπεσπάσατο πρὸς τὸν τοῦ Χριστοῦ ἔρωτα· καὶ ἕτερα ἔστιν εὑρεῖν ἐν τῇ γραφῇ κείμενα περὶ αὐτοῦ. Οὗτος ἐπεὶ τῷ Κυρίῳ ἠκολούθησεν μετὰ τὴν ἀνάληψιν αὐτοῦ, ἄλλῳ μὲν ἀποστόλῳ ἄλλη τις ἐκληρώθη χώρα. Τῷ πρωτοκλήτῳ δὲ Ἀνδρέᾳ ἥ τε Βιθυνῶν καὶ ὁ Εὔξεινος[2] Πόντος καὶ τῆς Προποντίδος τὰ μέρη σὺν Χαλκηδόνι[3] καὶ Βυζαντίῳ καὶ Μακεδονία καὶ Θρᾴκη καὶ τὰ ἕως τοῦ Ἴστρου φθάνοντα, Θεσσαλία τε καὶ Ἑλλὰς καὶ τὰ μέχρις Ἀχαΐας, ἀλλὰ καὶ ἡ Ἀμινσὸς καὶ ἡ Τραπεζοῦς καὶ Ἡράκλεια καὶ Ἄμαστρις. Ταῦτα δὲ οὐχ ὥσπερ ὁ λόγος διέρχεται οὕτω κἀκεῖνος διῆλθεν, ἀλλ' ἐν ἑκάστῃ πολλὰ τὰ ἀντιπίπτοντα ὑποστὰς πολλαῖς τε πραγμάτων δυσχερείαις ὡμιληκώς, εἰ καὶ ῥοπῇ Χριστοῦ καὶ βοηθείᾳ πάντων ἐκράτει. Ἐξ ὧν μιᾶς πόλεως ἐπιμνησθεὶς τὰ λοιπὰ τοῖς εἰδόσιν ἐάσω. Οὗτος τῇ Σινωπέων ἐπιδημήσας καὶ τὸν λόγον καταγγείλας, πολλαῖς θλίψεσι καθυποβάλλεται. Κατὰ γῆς γὰρ αὐτὸν ἐρρίπτουν καὶ χειρῶν καὶ ποδῶν λαβόμενοι εἷλκον καὶ τοῖς ὀδοῦσιν ἐσπάραττον καὶ ξύλοις ἔπαιον καὶ λίθοις ἔβαλλον καὶ μακρὰν τῆς πόλεως ἀπερρίπτουν, ὅτε καὶ τὸν δάκτυλον ὀδοῦσιν ἔκοψαν. Ἀλλ' αὐτὸς παρὰ τοῦ σωτῆρος καὶ διδασκάλου ἄρτιος καὶ ὑγιὴς ἀπὸ τῶν πληγῶν ἐφάνη, ἐκεῖθέν τε ἀναστὰς ἤμειψε πλείστας πόλεις[4], τήν τε Νεοκαισάρειαν, τὰ Σαμόσατα, Ἀλανούς, Ἀβασγούς, Ζηκχούς, Βοσπορηνούς, Χερσωνίτας· εἶτα διαπλεύσας πρὸς τὸ Βυζάντιον καὶ τὸν Στάχυν ἐπίσκοπον χειροτονήσας καὶ τὰς λοιπὰς χώρας διελθὼν πρὸς τὴν περιφανῆ Πελοπόννησον ἔρχεται· καὶ ξενισθεὶς

[1] Βησθαϊδὰ Da. — [2] Εὔξινος Da. — [3] Χαλκιδῶνι Da. — [4] πόλλεις Da.

Nov. 30. παρὰ Σωσίῳ χαλεπῶς ἀσθενοῦντι, ἰάσατο αὐτὸν καὶ παραυτίκα πᾶσα ἡ πόλις σχεδὸν ἐκείνη προσῆλθε τῷ Χριστῷ, ὅτε καὶ ἡ τοῦ ἀνθυπάτου γυνὴ Μαξιμίλλα τῶν χαλεπῶν τῆς νόσου λυθεῖσα δεσμῶν καὶ ταχείας τυχοῦσα θεραπείας, ἐπίστευσε· καὶ Στρατοκλῆς ὁ σοφώτατος, ὁ τοῦ ἀνθυπάτου Αἰγεάτου αὐτάδελφος καὶ ἕτεροι πολλοὶ νόσους ἔχοντες ποικίλας καὶ διαφόρους, ὑγιάσθησαν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ ἀποστόλου. Διὰ ταῦτα μανίᾳ περιπεσὼν ὁ Αἰγεάτης καὶ σταυρῷ προσηλώσας τὸν ἀπόστολον, αὐτὸς ἀπό τινος μετεώρου κρημνοῦ ἑαυτὸν εἰς γῆν καταβεβληκὼς συνετρίβη. Τοῦ δὲ ἀποστόλου τὸ λείψανον μετὰ πολὺν χρόνον μετετέθη ἐν Κωνσταντινουπόλει καὶ κατετέθη μετὰ Λουκᾶ καὶ Τιμοθέου ἐν τῷ τῶν ἁγίων Ἀποστόλων περιβλέπτῳ τεμένει. — **Db** : 1. — **F** : 1. — **Fa** : 1. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1 (= Da). — Sequitur : Τοῦ αὐτοῦ ὅμοιον μεταφρά<σεως> (= S). — **O** : 1. — **Q** : 1. — **C** : deest. — **Ca** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. — Φρουμεντίου, ἀρχιεπισκόπου [5] Ἰνδίας. Ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, Τύριός τις φιλόσοφος ἀπῆλθεν ἱστορήσων τὴν ἐσχάτην Ἰνδίαν, λαβὼν δύο νεανίσκους ἀδελφούς. Ἐν δὲ τῷ ὑποστρέφειν αὐτὸν σὺν αὐτοῖς, προσορμήσαντες λιμένι τινὶ διὰ χρείαν ὕδατος, περιέπεσον βαρβάροις [6]. Καὶ τοὺς μὲν τῶν ἐν τῷ πλοίῳ οἱ βάρβαροι πρὸς θάλασσαν κατηκόντισαν, οὓς δὲ κατέσφαξαν, ἐξ ὧν καὶ ὁ Τύριος· φόνου παρανάλωμα γεγονώς, καὶ τοὺς περιλειφθέντας, μεθ᾽ ὧν καὶ οἱ δύο [7] νεανίσκοι, δεσμήσαντες προσήγαγον τῷ βασιλεῖ τῆς Ἰνδίας. Τούτων ὁ μὲν Αἰδέσιος, ὁ δὲ Φρουμέντιος ὠνομάζοντο. Ὁ γοῦν βασιλεὺς τοὺς νεανίσκους εὐφυῶς ἰδὼν [8] ἔχοντας, πρὸς ὃν κατὰ νοῦν εἶχε σκοπὸν τῶν βασιλείων ἐπιμελητὰς καὶ οἰκονόμους προυβάλετο. Εἶθ᾽ ὕστερον τοῦ υἱοῦ τοῦ βασιλέως μετὰ τελευτὴν τοῦ πατρὸς τῆς βασιλείας ἐπιλαβομένου, πλείονος προσέτι [9] καὶ τῆς τιμῆς ἀπολαύοντες, θαρροῦντος [10] καὶ τοὺς [11] ἐκεῖσε τῶν ἐμπόρων ἀφικνουμένων κατὰ τὸ τῶν Ῥωμαίων ἔθος συναθροίζεσθαι καὶ θείας ἐπιτελεῖν λειτουργίας παρεκελεύοντο. Χρόνων δέ τινων διελθόντων, προσίασι τῷ βασιλεῖ [12] καὶ τῆς εὐνοίας ἀπαιτοῦντες μισθὸν τὴν πρὸς τὴν ἐνεγκαμένην ἐξελιπάρουν ἐπάνοδον. Τούτου δὲ τυχόντες, εἰς τὴν Ῥωμαίων ἀφίκοντο γῆν. Καὶ ὁ μὲν Αἰδέσιος τὴν [13] Τύρον κατέλαβε, τοὺς γεννήτορας καὶ τὰ οἰκεῖα ἐπιζητῶν. Φρουμέντιος δὲ τὴν περὶ τὰ θεῖα σπουδὴν τῆς τῶν γεννητόρων προτετίμηκε θέας. Καὶ τὴν Ἀλεξάνδρου καταλαβὼν πόλιν, τῷ τῆς ἐκκλησίας δεδήλωκε προέδρῳ, ὡς Ἰνδοὶ λίαν ποθοῦσι τὸ τῆς εὐσεβείας δέξασθαι φῶς. Πρὸς ὃν καὶ [14] ὁ μακάριος Ἀθανάσιος [15]· « Καὶ τίς σου ἡμῖν, ἔφη, κρείττων [16] τῆς » ἀγνοίας τὴν ἀχλὺν ἀποσκευάσαι τοῦ ἔθνους, καὶ τοῦ θείου κηρύγματος ἀντεπεισάξαι τὴν αἴγλην ; » Ταῦτα [17] εἰπὼν καὶ τῆς ἀρχιερατικῆς αὐτῷ μεταδοὺς χάριτος εἰς τὴν τοῦ ἔθνους ἐξέπεμψε γεωργίαν. Ὁ δὲ καὶ τὴν πατρίδα καταλιπὼν καὶ τοὺς γονεῖς ἀφείς, καὶ τοῦ μεγίστου πελάγους ὑπὲρ τῆς εὐσεβείας καταφρονήσας, κατέλαβε τὸ ἀγεώργητον ἔθνος. Ἐγεώργησε δὲ προθύμως, σύνεργον ἔχων τὴν [18] θεόσδοτον χάριν. Ἀποστολικαῖς γὰρ κεχρημένος διδασκαλίαις καὶ θαυματουργίαις, οὐ μόνον [19] δαιμονῶντας ἐθεράπευσε καὶ πᾶν ὁτιοῦν νόσημα ἀλλὰ καὶ τοῖς ἀντιλέγουσι καὶ μὴ ταχέως τὰ παρ᾽ αὐτοῦ λεγόμενα δεχομένοις, ᾧ μὲν δαίμονα [20] ἐδίδου κατὰ τὸν ἀπόστολον τὸν λέγοντα [21]· « Παράδοτε αὐτὸν τῷ
I. Cor. 5, 5. » Σατανᾷ πρὸς [22] ὄλεθρον τῆς σαρκὸς ἵνα τὸ πνεῦμα σωθῇ· » ὃν δὲ ξηρὸν ἐποίησεν [23]· ἄλλου δὲ τῶν [14] ὀφθαλμῶν [14] τὸ φῶς εἰς ἀβλεψίαν μετέβαλεν. Οἱ δὲ εὐθέως προσπίπτοντες καὶ τῆς ἰάσεως ἀπολαύοντες [24] ἐπίστευον τῷ Χριστῷ. Αἱ καθ᾽ ἑκάστην δὲ γινόμεναι παρ᾽ αὐτοῦ [25] τερατουργίαι [26] μαρτυροῦσι περὶ αὐτοῦ καὶ περὶ τῆς εἰς Χριστὸν πίστεως, ὡς παμπληθεὶ πρὸς θεογνωσίαν ἅπαν τὸ πλῆθος [27] συνήλαυνον [28]. Διὸ καὶ ἐν ὀλίγῳ χρόνῳ μόνος σὺν Θεῷ πᾶσαν τὴν τῶν Ἰνδῶν χώραν βαπτίσας [29], καὶ ναοὺς διαφόρους ἐγείρας καὶ ἱερεῖς ἐξ αὐτῶν χειροτονήσας [30] καὶ εἰδωλεῖα καταστρέψας καὶ τὰ ξόανα [31] συντρίψας, ἅπαν τὸ ἔθνος εἰς θεογνωσίαν μετέβαλεν. Ἐθαύμαζον δὲ ἅπαντες καὶ αὐτὸς ὁ βασιλεὺς λέγοντες· « Χρόνους οὐκ ὀλίγους [32] σὺν ἡμῖν [33] διαβιβάσας [34], οὐδέν τι ἐκ τῶν παρὰ σοῦ θαυμασίων γενο» μένων [14] ποτὲ ἐποίησας· καὶ νῦν πόθεν σοι, παμφίλτατε, ἡ τοιαύτη χάρις ἐδόθη, δι᾽ ὀλίγου καὶ ταῦτα » καιροῦ ; » Ὁ δὲ μακάριος [35]· « Οὐκ ἐμόν, ἀπεκρίνατο, τὸ δῶρον, τιμιώτατοι τοῦ Χριστοῦ φίλοι, ἀλλὰ » τῆς ἱερωσύνης καὶ αὐτοῦ τοῦ Χριστοῦ. Ἰδὼν γὰρ τὴν ἀγαθὴν ὑμῶν γνώμην, ἐάσας διὰ τοῦτο » πατρίδα καὶ πᾶσαν [14] συγγένειαν κατὰ τὴν τοῦ Κυρίου φωνήν, κατέλαβον τὴν Ἀλεξάνδρειαν· καὶ τὸν » ἀρχηγὸν τῆς ἐκκλησίας τὸν μέγαν Ἀθανάσιον τὰ περὶ ὑμῶν ἀναδιδάξας καὶ χρίσματι ἁγίῳ χρισθεὶς » παρ᾽ αὐτοῦ, καὶ ἀποστολικῷ χαρίσματι λαμπρυνθεὶς τῇ πρὸς Θεὸν αὐτοῦ ἐντεύξει, ἀπεστάλην πρὸς » ὑμᾶς [36]. Ὑμῶν δὲ πιστῶς ἐμὲ δεξαμένων, ἡ τῆς ἱερωσύνης χάρις, μᾶλλον δὲ ἡ [14] τοῦ Θεοῦ, ἐνεργεῖ ὡς » ὁρᾶτε δι᾽ ἐμοῦ. » Οὗτος ἐπὶ χρόνοις οὐκ ὀλίγοις συζήσας [37] θεαρέστως [38] αὐτοῖς καὶ τὰς τοῦ Θεοῦ ἐντολὰς ἐκδιδάξας [39] καὶ πρὸς τὴν τούτων [40] ἐργασίαν παραδόξως μεταρυθμίσας, κατὰ τὸ δυνατὸν ἑκάστῳ, ἀφεὶς τὰ κατ᾽ αὐτὸν πρὸς Κύριον ἐξεδήμησεν. Οὗ τὸ τίμιον λείψανον παντοδαπὰς τοῖς προσιοῦσι τὰς ἰάσεις [41] παρέχει, εἰς δόξαν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Ἀμήν. — **Mv** : 1 (Μνήμη ... Ἀνδρέου). — Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Ἀνδρέαν. — Φρουμεντίου. — **Mr** : 1.

— [5] ἐπισκόπου Mv. — [6] βαρβάροις π. Mv. — [7] *om.* Mv. — [8] ἰδ. εὐφ. Mv. — [9] ἔτι Mv. — [10] ἀπολαβόντες θ. M, ἀπολαβόντων θαρροῦντες Mv. — [11] τῶν Mv. — [12] τῷ βασιλεῖ π. Mv. — [13] ταῖς Mv. — [14] *om.* Mv. — [15] οὗτος γὰρ ἦν ὁ τὴν ἐκκλησίαν τότε τῆς Ἀλεξάνδρου καὶ τὸν θρόνον κοσμῶν *add.* Mv, ἔφη *add.* M. — [16] κρείττων ἔφη Mv. — [17] καὶ ταῦτα Mv. — [18] ἔχων σύνεργον καὶ Mv. — [19] τοὺς *add.* Mv. — [20] δαίμονι Mv. — [21] τὸν λέγοντα ἀπόστολον Mv. — [22] εἰς Mv. — [23] ἐποίει Mv. — [24] ἀπολαβόντες M, Mv. — [25] παρ᾽ αὐτοῦ *om.* Mv. — [26] θαυματουργίαι Mv. — [27] ἅπαν τὸ πλῆθος πρὸς θεογνωσίαν Mv. — [28] διήλαυνον Mv. — [29] βαπτίσας χώραν Mv. — [30] καὶ ... χειροτονήσας καὶ ναοὺς .., ἐγείρας Mv. — [31] πάντα *add.* Mv. — [32] οὐκ ὀλίγους χ. Mv. — [33] ὢν *add.* Mv. — [34] διεβιβάσας M. — [35] ὁ δὲ μακάριος *om.* Mv. — [36] πρὸς ὑμᾶς ἀπεστάλην Mv. — [37] ζήσας Mv. — [38] ἐν *add.* Mv. — [39] διδάξας Mv. — [40] τοῦ Θεοῦ Mv. — [41] τὰς ἰάσεις τοῖς προσιοῦσι Mv.

ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ

ἡμέρας ἔχει λα′, ἡ ἡμέρα ἔχει ὥρας θ′ καὶ ἡ νὺξ ὥρας ιε′.

ΠΡΩΤΗ.

1. Μνήμη τοῦ ἁγίου προφήτου Ναούμ [1], ὃς λέγεται παράκλησις ἐγὼ πᾶσιν ἢ φρόνημα ἢ ὑπόληψις. Οὗτος ἦν ἀπὸ Ἐλκεσεὶμ [2] πέραν εἰς [3] Βαθαρεὶμ [4] ἐκ φυλῆς Συμεών· ὃς καὶ μετὰ τὸν Ἰωνᾶν τῇ Νινευῒ [5] τέρας ἔδωκεν, ὅτι ὑπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ὑπογαίου ἀπολεῖται· ὃ καὶ γέγονεν. Ἡ γὰρ περὶ αὐτὴν λίμνη κατέκλυσεν αὐτὴν ἐν συσσεισμῷ καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθὸν τὸ ὑψηλότερον αὐτῆς μέρος ἐνέπρησεν. Ἀπέθανεν δὲ ἐν εἰρήνῃ καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ. Ἦν δὲ στρογγύλον καὶ σιμὸν ἔχων τὸ γένειον, ἰσχνὸς τὰς παρειάς, οὖλος τὴν τρίχα, μικρὸν ὑποφάλακρος, ἐπιμήκης τὴν κεφαλήν, ὡσεὶ χρόνων με′ [6].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀνανίου. Ὃς ἦν ἐκ πόλεως Ἀρβὴλ [1] τῆς Περσίδος, τῷ σχήματι λαϊκός· χριστιανὸς δὲ [2] ὢν καὶ συσχεθεὶς ὑπὸ τοῦ ἄρχοντος, ὡμολόγησε τὸν Χριστόν· καὶ μετὰ πολλὰς βασάνους κείμενος ὡσεὶ νεκρός, ἀνοίξας τοὺς ὀφθαλμοὺς εἶπε· « Ποιήσατε » εὐχὰς πρὸς τὸν Θεόν· ὁρῶ γὰρ κλίμακα φθάνου» σαν εἰς τὸν οὐρανὸν καὶ πυροειδεῖς ἄνδρας » λέγοντάς μοι· Ἐλθὲ μεθ᾽ ἡμῶν καὶ εἰσαγάγωμέν » σε εἰς πόλιν πλήρη φωτὸς καὶ εὐφροσύνης. » Καὶ οὕτως [3] παρέδωκε τὸ πνεῦμα.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Φιλαρέτου τοῦ ἐλεήμονος. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας
f. 94. Εἰρήνης καὶ Κωνσταντίνου | τοῦ ταύτης υἱοῦ, πόλεως [1] Γάγγρας, χωρίου Ἀμνίας [2] λεγομένου, υἱὸς εὐγενῶν γονέων Γεωργίου καὶ Ἄννης ἀπὸ Πόντου καὶ Γαλατικῆς χώρας ὁρμωμένων, γεηπόνων ὄντων καὶ πολλὴν καὶ αὐτάρκη τὴν ὕπαρξιν Dec. 1.
ἐχόντων. Ὁ δὲ τίμιος [3] Φιλάρετος τῇ γεωργίᾳ προσκείμενος [4] οὐδὲ τῶν ἄλλων ἀρετῶν ἠμέλει, κατεξαίρετον δὲ τῆς ἐλεημοσύνης καὶ τῆς φιλοξενίας ἐπεμελεῖτο. Ἐπὶ τοσοῦτον γὰρ ἐσκόρπισε τὰ ὑπάρχοντα αὐτοῦ, ὥστε καὶ εἰς παντελῆ πτωχείαν ἀνελάσαι καὶ ὑστερεῖσθαι καὶ τῆς ἀναγκαίας τροφῆς τὴν οἰκίαν αὐτοῦ. Τοῦ δὲ βασιλέως Κωνσταντίνου τὴν αὐτοῦ ἐγγόνην ἁρμοσαμένου [5] Μαρίαν, πολλὰ προσεγένετο αὐτῇ χρήματά τε καὶ κτήματα. Καὶ αὐτὸς δὲ τῇ τοῦ ὑπάτου ἐτιμήθη ἀξίᾳ· ὅμως ὁ μακάριος οὗτος καὶ πάλιν τὰ προσόντα αὐτῷ τοῖς πτωχοῖς παρεῖχε, στενάζων καθ᾽ ἑκάστην καὶ τῆς μελλούσης κρίσεως τὴν ἀνάμνησιν ποιούμενος. Ἐπεὶ δὲ ὁ καιρὸς τῆς ἐξόδου αὐτοῦ ἐγνώσθη [6] αὐτῷ, προσκαλεσάμενος τοὺς παρόντας αὐτῷ συγγενεῖς, τὰ μέλλοντα συμβαίνειν αὐτοῖς πάντα προεῖπεν. Εἶτα κατηχήσας παρεκάλει λέγων· « Τεκνία, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε, τοὺς » νοσοῦντας ἐπισκέπτεσθε καὶ τοὺς ἐν φυλακῇ, » χηρῶν προΐστασθε καὶ ὀρφανῶν, τοὺς νεκροὺς » ἐνταφιάζετε [7], τῆς ἐκκλησίας μὴ ἀπολιμπάνεσθε [8] » τῶν ἀλλοτρίων μὴ ἐπιθυμεῖτε, μὴ κακολογήσητέ » τινα μηδὲ ἐπιχαρῆτε ἐχθρῷ θλιβομένῳ, ὅμως ὡς » κἀμὲ εἴδετε [9] ποιοῦντα καὶ ὑμεῖς ποιεῖτε· μνείαν » ποιεῖσθε τῶν ἁγίων καὶ τῶν ἀποιχομένων καὶ » ἐμοῦ αὐτοῦ, ἵνα ὁ Θεὸς ὑμᾶς διαφυλάξῃ. » Ταῦτα εἰπὼν ἐν εἰρήνῃ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο. Τὸ δὲ σῶμα αὐτοῦ ἔθετο ἐν τῇ μονῇ τῆς Κρίσεως.

1. — [1] τοῦ Ἐλκεσαίου *add.* Sa. — [2] Sa, Ἐλκεσειμὸν S. — [3] εἰ Sa. — [4] S, Sa, *al.* πέραν τοῦ Ἰσβηγαβαρίν, πέραν τοῦ Ἰορδάνου εἰς Βηγαβάρ, Nestle, Vit. prophet., *pp. 26, 27* ; Βηθγαβρη *in codice Syro hexaplari, cf.* Nestle, Zeitschrift des d. Palaestina-Vereins, *t. I, p. 224*. — [5] Νινευεὶ Sa. — [6] μ′ καὶ ε′ Sa.
2. — [1] Sa, Ἀρβηλὸν S. — [2] *om.* Sa. — [3] οὕτω Sa.
3. — [1] ἐκ πόλεως Sa. — [2] Ἀμνείας Sa. — [3] οὗτος *add.* Sa. — [4] προκείμενος S. — [5] ὁρμασαμένου S, Sa. — [6] διεγνώσθη Sa. — [7] ἐπιλανθάνεσθαι ... ἐπισκέπτεσθαι ... προΐστασθαι ... ἐνταφιάζεται S. — [8] Sa, ἐπιλανθάνεσθε S. — [9] ἴδεται S.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **Sb** : deest. — **H** : 1. 2. 4. 5. 6. 7. — **P** : 2. 1. 4 Dec. 1.
(Ὀνησίμου καὶ Σολομῶνος). — 5. 6. — **Da** : 1. 2 (= Ba). 3 (= Ba). — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2 : Ἀνανία. Οὗτος ἦν ἐκ Περσίδος κτλ. (= Cc, sub nomine Μηνᾶ). — 3 : Φιλαρέτου τοῦ ἐλεήμονος. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς τῶν Παφλαγόνων χώρας ὁρμώμενος... Des. ὡς ἐμὲ εἴδετε ποιοῦντα οὕτως καὶ ὑμεῖς ποιεῖτε. Ταῦτα εἰπὼν καὶ ἐπευξάμενος ἐν εἰρήνῃ ἀνεπαύσατο. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. 2. — **C** : deest. — **Ca** : 1. — Τοῦ ἁγίου μάρτυρος Μηνᾶ. — 4. — **Cb** : 1. 2. — **Cc** : 1. — Μηνᾶ. Οὗτος ἦν ἐκ πόλεως Ἀρβὴλ τῆς Περσίδος· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν καὶ ὁμολογίαν συσχεθεὶς καὶ πολλὰς ὑποστὰς βασάνους, ἐν τῷ μέλλειν ἐξ αὐτοῦ παρατίθεσθαι τὸ πνεῦμα, εἶπεν ὁρᾶν κλίμακα [1] φθάνουσαν εἰς τὸν

[1] κλίμακαν Cc.

Dec. 1. **4.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Ἐφέσου Ὀνησιφόρου καὶ Σολομῶντος[1].

5. Καὶ τὰ ἐγκαίνια[1] τοῦ ἁγίου[2] Τρύφωνος.

6. Καὶ τοῦ ἁγίου Χριστοφόρου πλησίον τῆς ἁγίας Εἰρήνης τῆς ἀρχαίας καὶ νέας.

7. Καὶ μνήμη τοῦ ἁγίου Θεοδώρου ἐν τοῖς Σφωρακίου[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β΄.

Dec. 2. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου[1] προφήτου Ἀμβακούμ, ὃς ἑρμηνεύεται δεδικαιωμένος ἢ πατὴρ ἐγείρων. Οὗτος ἦν ἐκ φυλῆς Συμεὼν[2] ἀγροῦ Βεθησουχαρεί[3]. Οὗτος εἶδε πρὸ τῆς | (f. 94v.) αἰχμαλωσίας τὴν ἐρήμωσιν τοῦ ναοῦ καὶ[4] Ἱερουσαλὴμ καὶ ἐπένθησε σφόδρα. Καὶ ὅτε ἦλθε Ναβουχοδονόσορ εἰς Ἱερουσαλήμ, ἔφυγεν εἰς Ὀστρακίνην καὶ ἦν πάροικος εἰς γῆν Ἰσμαήλ. Ὡς δὲ ὑπέστρεψαν οἱ Χαλδαῖοι καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ κατέβησαν εἰς Αἴγυπτον, ἦν παροικῶν τὴν γῆν αὐτοῦ καὶ ἐλειτούργει θερισταῖς τοῦ ἀγροῦ αὐτοῦ. Καὶ ὡς ἔλαβε τὸ ἔδεσμα, προεῖπε τοῖς ἰδίοις[5] λέξας· «Πορεύομαι εἰς γῆν μακρὰν καὶ ταχέως » ἐπανελεύσομαι· ἐὰν δὲ βραδύνω, ἀπενέγκατε τὸ » ἄριστον τοῖς θερισταῖς.» Ταῦτα εἰπὼν ὑπὸ ἀγγέλου ἀπήχθη εἰς Βαβυλῶνα μίλια διακόσια ἑξήκοντα πέντε. Καὶ δοὺς[6] τὸ ἄριστον τῷ Δανιὴλ ἐν τῷ λάκκῳ, ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι· καὶ οὐδενὶ εἶπε τὸ γενόμενον. Συνῆκε δὲ ὅτι τάχιον ὑποστρέψει ὁ λαὸς ἀπὸ Βαβυλῶνος[7], καὶ πρὸ δύο ἐτῶν τῆς ὑποστροφῆς ἀποθνήσκει καὶ θάπτεται ἐν ἀγρῷ ἰδίῳ. Ἔδωκε δὲ τέρας τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅτι προφήτης ἀναστήσεται καὶ ὄψονται ἐν αὐτῷ φῶς καὶ οὕτως ἴδωσι τὴν δόξαν τοῦ μονογενοῦς· οἱ δὲ μὴ ὑπακούσαντες αὐτοῦ ἔσονται ἐν σκότει. Καὶ περὶ τῆς[8] συντελείας τοῦ ναοῦ εἶπεν, ὅτι ὑπὸ ἔθνους δυτικοῦ ἁλώσεται· «Τότε τὸ ἅπλωμα, » φησίν, τοῦ δαβὴρ εἰς μικρὰ ῥήγματα ῥαγήσεται, » ἐξελθόντος ἐκ τοῦ ναοῦ τοῦ ἁγίου Πνεύματος, » καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων[9] ἀφαιρεθή» σονται. Καὶ οὐδεὶς[10] γνώσεται ποῦ εἶεν· ταῦτα » δὲ ὑπὸ ἀγγέλου ἀπενεχθήσονται ἐν τῇ ἐρήμῳ, » ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου· καὶ » ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλει Κύριος, καὶ » φωτιεῖ τοὺς διωκομένους ὑπὸ τοῦ ὄφεως καὶ » ἀποκαταστήσει αὐτοὺς ὡς ἐξ ἀρχῆς.» Ταῦτα εἰπὼν ἐν εἰρήνῃ ἀνεπαύσατο καὶ ἐτάφη ἐν ἀγρῷ ἰδίῳ μόνος. Ἦν δὲ στρογγύλον ἔχων τὸ γένειον,

4. — [1] S, Sa, *al.* Σολομῶνος Cc, Cd.
5. — [1] τοῦ ναοῦ *add.* Sa. — [2] μάρτυρος Sa.
7. — [1] *ita corr., prius* Φωρακίου, *et add.* ταῖς <αὐ>τῶν πρεσβείαις ὁ Θεὸς Sa, Σπαρακίου S. *Cf. Sept. 23*[1].
1. — [1] καὶ ἐνδόξου *om.* Sa. — [2] Ἐφραῒμ Sa, Συμεὼν S *et ceteri*, Nestle, *pp. 26, 27.* — [3] Βαιθζαχαρία *I Mach. 6, 32.* — [4] τῆς *add.* Sa. — [5] Sa, Ἰουδαῖοι S. — [6] δὼς S. — [7] Βαβυλῶνα S. — [8] *om.* Sa. — [9] στύλων Sa. — [10] οὐδὲν S.

Dec. 1. οὐρανὸν καὶ πυροειδεῖς ἄνδρας προσκαλουμένους εἰς πόλιν φωτὸς πλήρη[2] καὶ εὐφροσύνης· καὶ οὕτως ἐτελειώθη. — 4. — **Cd** : 1. — Μηνᾶ. — 4. — **M** : 1. 2. 3. — **Mv** : 1. 3. 2. — **Mb** : 1. 2. 4 (Σολομῶντος Ἐφέσου). — 3. — **Mr** : 1.

Dec. 2. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ τοῦ ἁγίου Ῥωμανοῦ, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ σῶμα ἀπόκειται μετὰ τοῦ προφήτου Δανιήλ. — 2. 3. 4. — **Sb** : deest. — **H** : 1. — Ἀβίβου. — 2. — **P** : Ἀβίβου ἐπὶ Λικιννίου τοῦ βασιλέως· διάκονος τάξει· ἐκέλευσε πυρὶ παραδοθῆναι· καὶ τούτου συσχεθέντος ἐν Θελσὲν τῇ κώμῃ ἐποίησαν τὸ κελευσθὲν καὶ περιβαλόντες ὀθόνην καὶ ἔλαιον μεμυρισμένον ἀλείψαντες ἔθηκαν μετὰ Γουρία καὶ Σαμωνᾶ ἐν τόπῳ λεγομένῳ Βηθελακήκλα σαββάτῳ, δευτέρᾳ Δεκεμβρίου μηνός (Nov. 15[1]). — 1. 2. 3. — **Da** : 1. 2 (des. : ταῦτα δὲ διηγήσατο ἡμῖν ὁ μέγας ἐρημίτης Παφνούτιος ὁ καὶ αὐτόπτης αὐτῶν γενόμενος καὶ γραφεὺς τοῦ βίου αὐτῶν). — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. 3. — **B** : Φιλαρέτου (Dec. 1[3]). — 1. — Ἀβίβου. — **Ba** : 2 (= Da). — **Bb** : Φιλαρέτου. — 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : mutil. 1. — Ἀββίβου. — **Ca** : Φιλαρέτου. — 2. 1. — Ἀββίβου. — **Cb** : Φιλαρέτου. — Ἀμβίβου. — **Cc** : Φιλαρέτου. — 2. 1. — Ἀββίβου. Rursus 2 : Ἰωάννου, Ἀνδρέου, Ἡρακλάμωνος, Θεοφίλου. — 3. — **Cd** : Φιλαρέτου. — 1. — Ἀββίβου. Οὗτος ἦν ἐπὶ Λικινίου τοῦ βασιλέως, διάκονος ὑπάρχων τῇ τάξει· διὰ δὲ τὸ τὸν Χριστὸν ὁμολογεῖν συλληφθεὶς ἐν Θηλσεῖ τῇ κώμῃ, εἰς πῦρ ἐνεβλήθη καὶ ἐν αὐτῷ τὸ τέλος ἐδέξατο· ὃν οἱ χριστιανοὶ ἀράμενοι καὶ μύροις ἀλείψαντες κατέθηκαν μετὰ Γουρία καὶ Σαμονᾶ ἐν τόπῳ λεγομένῳ Βηθελακικλᾶ (Nov. 15[1]). — **M** : 1. 2. Μυρώπης[1] mutil. — **Mv** : 1. 2. — Μυρώπης[1]. — **Mb** : 1. 2. — Μυρώπης. Ἡ ἁγία αὕτη Μυρώπη ἐγεννήθη ἐν τῇ Ἐφεσίων πόλει. Τοῦ[2] πατρὸς αὐτῆς τελευτήσαντος, ἀνήχθη παρὰ τῆς μητρός[3]· ἀναγεννηθεῖσα δὲ[4] διὰ[5] τοῦ ἁγίου βαπτίσματος, ἦν σχολάζουσα ἡ παῖς εἰς τὸ μνῆμα τῆς ἁγίας Ἑρμιόνης[6], μιᾶς τῶν θυγατέρων Φιλίππου τοῦ ἀποστόλου,[7] μύρον ἐκ τοῦ τάφου αὐτῆς ὑποδεχομένη καὶ πᾶσιν ἀφθόνως χορηγοῦσα, ἐκεῖθεν γὰρ καὶ[4] τοῦ ὀνόματος τούτου τετύχηκε. Δεκίου δὲ τότε βασιλεύοντος[8] καὶ διωγμὸν κατὰ τῶν χριστιανῶν κινήσαντος, ἡ μήτηρ λαβοῦσα τὴν παῖδα[9], τὴν τῆς Χίου νῆσον κατέλαβε[10], γονικὴν κληρονομίαν, ὡς ἐξ αὐτῆς γενομένη[11], ἔχουσα· καὶ[12] ὑπῆρχον[13] ἄμφω ἐν τῇ οἰκίᾳ προσμένουσαι καὶ τῷ Θεῷ καθ' ἑαυτὰς προσευχόμεναι. Καταλαβόντος δὲ[14] ἄρχοντός ποτέ[12] τινος ἐν τῇ αὐτῇ[12] νήσῳ τῆς Χίου, ἐκρατήθη ὁ μακάριος Ἰσίδωρος[15] ὡς χριστιανός, ἀπὸ τοῦ αὐτοῦ στρατιωτικοῦ ὢν τάγματος[16], ἀνὴρ εὐλαβὴς καὶ θαυμάσιος, ὃν καὶ ἐπειρᾶτο ὁ ἄρχων ἀποστῆσαι τῆς εἰς Χριστὸν

— [2] πλήρης Cc.
[1] Μυρόπης M, Mv. — [2] δὲ *add.* Mv. — [3] καὶ *add.* Mv. — [4] *om.* Mv. — [5] παρὰ Mv. — [6] Ἑρμειόνης Mv. — [7] τοῦ ἁγίου ἀποστόλου Φ. Mv. — [8] τοῦ δὲ βασιλέως Δ. τότε κρατοῦντον Mv. — [9] τὴν παῖδα λαβοῦσα Mv. — [10] καὶ *add.* Mv. — [11] γενομένην Mv. — [12] *om.* Mv. — [13] καὶ *add.* Mb. — [14] καταλαβόντες δὲ Mb, ποτὲ δὲ καταλαβόντος Mv. — [15] Ἰσήδωρος Mb, ὡς χριστιανὸς ὁ μακάριος Ἰ. Mv. — [16] τάγματος ὢν Mv.

μικρόν τι προφαίνων τῆς κόμης καὶ οὐκ ἐν χρῷ κουρίας, οὔλην τὴν τρίχωσιν τοῦ μετώπου ἔχων, ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος[11] λευκαῖς κατεσπαρμένος θριξί[12].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν[1] μοναχῶν καὶ ἐρημιτῶν Ἰωάννου, Ἡρακλάμωνος[2], Ἀνδρέου καὶ Θεοφίλου. Οὗτοι ὥρμηντο ἐκ πόλεως λεγομένης Ὀξυρύγχου, χριστιανῶν γονέων ὑπάρχοντες τέκνα καὶ ἐν αὐταρκείᾳ βιούντων. Καὶ ὑπ' αὐτῶν ἀναγόμενοι καὶ παιδευόμενοι, εἰς τὴν διατριβὴν τῶν ἱερῶν | (f. 95.) γραμμάτων ἐκπέμπονται κἀκεῖσε τὰ πεζὰ τῶν γραμμάτων διεξελθόντες καὶ συχνὸν χρόνον τῇ ἀναγνώσει προσσχόντες καὶ ἐν κατανύξει γενόμενοι Θεοῦ προνοίᾳ, μιᾷ γνώμῃ καὶ βουλῇ συνδεθέντες καὶ διάπυρον <τὸν πρὸς Θεὸν[3]> ἔρωτα σχόντες, κατὰ τὴν ἐνδοτέραν ἔρημον γίνονται ὑπὸ Θεοῦ ὁδηγούμενοι, ᾧ καὶ τὰς ἑαυτῶν ψυχὰς ἀνέθεντο. Εὑρόντες δὲ ἐκεῖσε ἐκ παραδόξου ἄνδρα ἅγιον καὶ εἰς βαθὺ γῆρας ἐληλακότα[4], ἔμειναν παρ' αὐτῷ χρόνον διδασκόμενοι καὶ ἐναγόμενοι πρὸς τελειότητα. Ἐκείνου δὲ τὸν βίον ἀπολιπόντος καὶ ταφῇ παραδοθέντος, ἔμειναν[5] οὗτοι ἐν τῷ τόπῳ σκληραγωγίᾳ καὶ νηστείᾳ ἑαυτοὺς ὑποβάλλοντες καὶ μηδ' ὅλως ἄρτου γευόμενοι· βρῶσις δὲ αὐτοῖς ὑπῆρχεν ὀπῶραι καὶ ὕδατος τὸ ἀρκοῦν· καὶ τοῦτο ἐποίουν διὰ τῆς ἑβδομάδος. Ὁ δὲ τόπος ἐκεῖνος διαφόρων ὀπωρῶν ἦν μεστός· οὗτοι δὲ καθ' ἑκάστην ἐχωρίζοντο ἐν διαφόροις ὄρεσι καὶ σπηλαίοις ἀσκοῦντες καὶ προσευχόμενοι καὶ καταμόνας τῷ Θεῷ συγγινόμενοι· σαββάτῳ δὲ καὶ κυριακῇ εἰς ἓν συνερχόμενοι καὶ τὴν προσήκουσαν εὐχαριστίαν ἀποτελοῦντες[6], παρὰ θείου ἀγγέλου τῆς ἁγίας κοινωνίας ἐν μεθέξει ἐγίνοντο, ὑμνοῦντες καὶ εὐχαριστοῦντες τῷ Θεῷ καὶ πολλῆς τῆς εὐωδίας αἰσθόμενοι καὶ χαρᾶς ἀνεκφράστου. Ταῦτα ἐδιηγήσατο[7] ὁ μέγας ἐρημίτης Παφνούτιος, ὁ καὶ αὐτόπτης καὶ θεωρὸς τῶν τοιούτων γενόμενος, λέγων μέχρι τῆς αὐτοῦ ἐν τῇ ἐρήμῳ ἐνδημίας ἓξ χρόνους τούτους διηνυκέναι. Ὃς καὶ γράψας ταῦτα τῇ Αἰγυπτίων[8] κατέθετο ἐκκλησίᾳ εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων καὶ δόξαν Θεοῦ.

Dec. 2. **3.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Μωσῆ[1] τοῦ ὁμολογητοῦ.

4. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου Παντελεήμονος[1].

— [11] μετώπου Sa. — [12] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] *om.* Sa. — [2] Ἡρακλάμβωνος Sa. — [3] Sa, *om.* S. — [4] ἐληλαλακότα Sa. — [5] προσεκαρτέρησαν Sa. — [6] τελοῦντες — [7] διηγήσατο Sa. — [8] Αἰγυπτίῳ Sa.
3. — [1] Μωσεῖ Sa.
4. — [1] ταῖς αὐτῶν πρεσβείαις *add.* Sa.

Dec. 2. πίστεως. Ὡς[17] οὐκ ἐπείθετο, μετὰ πολλὰς τὰς βασάνους τὸν διὰ ξίφους κατεδικάσθη θάνατον. Ἀπορριφέντος δὲ τοῦ ἁγίου[18] ἐν φάραγγί τινι[19] εἰς βορὰν ὀρνέων, καὶ φυλάκων παρακαθημένων τῷ λειψάνῳ[20] κατὰ τὴν τοῦ ἄρχοντος πρόσταξιν, ἡ ἁγία[21] Μυρώπη, θείῳ ζήλῳ τρωθεῖσα, νυκτὸς μετὰ τῶν θεραπαινίδων αὐτῆς ἀπελθοῦσα[22], τὸ ἅγιον ἀνελάβετο λείψανον, καὶ ἐντίμως μυρίσασα ἐν ἐπισήμῳ τόπῳ ἀπέθετο. Μαθὼν δὲ ὁ ἄρχων τὴν τοῦ λειψάνου κλοπήν, τοὺς φύλακας σιδήροις δεσμήσας[23], προσέταξεν ἀνὰ πᾶσαν τὴν νῆσον περιπολοῦντας ἐρευνᾶν, ἐπειπὼν <ὡς[24]> εἰ μὴ εὕροιεν τὸ κλαπὲν ἐντὸς τῆς δοθείσης αὐτῶν[25] προθεσμίας, κεφαλικῶς αὐτοὺς τιμωρηθῆναι. Τότε ἡ ἁγία βλέπουσα καθ' ἑκάστην τοὺς στρατιώτας[26] οὐ φορητῇ προσπαλαίοντας τιμωρίᾳ[27] ὑπό τινων[28] ἐπικειμένων αὐτοῖς σιδήρων <καὶ[29]> τῆς ἐκ τούτων κακοπαθείας καὶ τῆς ἐπακολουθούσης κεφαλικῆς τιμωρίας, ἔπαθε τὴν ψυχὴν τοιάδε[30] πρὸς ἑαυτὴν ὑποψιθυρίζουσα· «Ἐὰν οὗτοι διὰ τὴν ἐμὴν κλοπὴν πάθωσιν, » ἀνάγκη πάντως σπιλωθῆναί μου τὴν ψυχήν· καὶ οὐαί μοι ἐν τῷ κρίνεσθαι.» Καὶ παρευθὺ λέγει τοῖς στρατιώταις· «Ὦ φίλοι, ὃ ἀπωλέσατε λείψανον ἐγὼ ἀνελαβόμην, ὑμῶν κοιμωμένων.» Οἱ γοῦν στρατιῶται λαβόντες ταύτην[31], παρέστησαν τῷ ἄρχοντι λέγοντες· «Αὕτη ἐστί, κύριε, ἡ τὸν βιοθανῆ » γέροντα κλέψασα.» Ὁ δὲ ἄρχων πρὸς τὴν ἁγίαν· «Ἀληθῆ εἰσι τὰ περὶ σοῦ λεγόμενα;» Καὶ ἡ ἁγία· «Ἀληθῆ.» Ὁ ἄρχων εἶπεν· «Καὶ πῶς ἐποίησας τοῦτο[32], ἐπικατάρατον γύναιον[33];» Ἡ μάρτυς εἶπε· «Καταπτύουσα καὶ καταφρονοῦσα[34] τῆς σῆς ταλαιπωρίας καὶ ἀθεότητος.» Ταῦτα οὐ μικρῶς ἐξέμηναν τὸν σοβαρὸν ἐκεῖνον ἄρχοντα· καὶ εὐθέως προσέταξε ῥοπάλοις αὐτὴν[35] ἀφειδῶς τύπτεσθαι κατὰ παντὸς μέλους[36], εἶθ' οὕτως ἕλκεσθαι[27] ἀνὰ πᾶσαν τὴν πόλιν ἀπὸ τῶν πλοκάμων τῆς κεφαλῆς αὐτῆς[37], καὶ τύπτεσθαι κατὰ παντὸς μέλους[38]. Καὶ τούτου γενομένου, ἡμιθανῆ ἐν τῇ φυλακῇ τὴν μάρτυρα[39] ἀπορρίψαντες, διὰ τῶν φυλάκων κατησφαλίσαντο. Περὶ δὲ τὸ μεσονύκτιον, εὐχομένης τῆς ἁγίας, φῶς μέγα περιέλαμψεν ἅπαν τὸ οἴκημα, καὶ χορὸς ἀγγέλων ἐπέστη, καὶ μέσον τούτων ὁ ἅγιος Ἰσίδωρος. Αἰνούντων δὲ[27] τὸν τρισάγιον ὕμνον[29], ὁ ἅγιος τῇ μάρτυρι ἀτενίσας Μυρώπῃ· «Εἰρήνη σοι, ἔφη, » ἤγγικε γὰρ ἡ δέησίς σου πρὸς τὸν Θεόν· καὶ ἰδοὺ νῦν ἔρχου μεθ' ἡμῶν, καὶ λήψῃ τὸν ἡτοιμασμένον » σοι στέφανον.» Καὶ ἅμα τῷ λόγῳ παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ, καὶ γέγονε τὸ οἴκημα πλῆρες ἀφάτου εὐωδίας, ὡς καὶ τοὺς φύλακας καταπλαγῆναι καὶ ἐξεστηκότας σχεδὸν γενέσθαι. Ταῦτα οὕτως ἡμῖν διηγήσατο[40] καὶ πάντα ἰδὼν[41] καὶ ἀκούσας· καὶ διὰ τοῦτο προσελθὼν καὶ βαπτισθεὶς καὶ τὸ τῆς μαρτυρίας στέφος ἀναδησάμενος[42]. Τὸ δὲ τῆς ἁγίας λείψανον χριστιανοὶ λαβόντες τῇ τοῦ Χριστοῦ[43] προστάξει, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο. — Θεοδούλου (Dec. 3[5]). — Θεοδούλου (Dec. 3[6]). — Θεοδώρου (Dec. 3[4]). — Τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἐν Αἰγύπτῳ Ἰωάννου, Ἀνδρέου, Θεοφίλου. — 3. — **Mr** : 1.

— [17] ὡς δ' Mv. — [18] τοῦ δὲ ἁγίου ἀπορριφέντος Mv. — [19] τινι φάραγγι Mv. — [20] τῶν λειψάνων Mb. — [21] ὁσία Mv. — [22] προσελθοῦσα Mv. — [23] καταδεσμήσας Mv. — [24] Mv, *om.* Mb. — [25] Mv, αὐτῷ Mb. — [26] ταλαιπωρία *add.* Mv. — [27] *om.* Mv. — [28] τε τῶν Mv. — [29] Mv, *om.* Mb. — [30] τοιαῦτα Mv. — [31] ταύτην συλλαβόντες Mv. — [32] καὶ πῶς ἐτόλμησας Mv. — [33] τοιαῦτα καταπρᾶξαι *add.* Mv. — [34] καταφρονοῦσα καὶ καταπτύουσα Mv. — [35] αὐτὴν ῥοπάλοις Mv. — [36] κατὰ παντὸς μέλους *add.* Mv. — [37] περιάγεσθαι Mv. — [38] τοῦ σώματος Mv. — [39] τὴν μάρτυρα ἐν τῇ φυλακῇ Mv. — [40] ὁ ἐπαγρυπνῶν τότε *om.* Mv. — [41] εἰδὼς Mv. — [42] Mv, ἀναδυσάμενος Mb. — [43] ἄρχοντος Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

Dec. 3. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου [1] προφήτου Σοφονίου [2]. Οὗτος ἑρμηνεύεται σκοπιὰ Κυρίου ἢ συνιεὶς κρυπτά. Ὅς [3] ἦν υἱὸς Χουσὶ [4] ἐκ φυλῆς Συμεών, ἀγροῦ Σαβάραθρα [5]· καὶ προεφήτευσε περὶ τῆς πόλεως Ἱερουσαλὴμ καὶ περὶ τοῦ τέλους Ἰσραὴλ καὶ ἀντεισαγωγῆς καὶ σωτηρίας τῶν ἐθνῶν καὶ αἰσχύνης τῶν ἀσεβῶν καὶ δόξης τῶν δικαίων καὶ τοῦ κριτοῦ πάσης πνοῆς· καὶ θανὼν ἐν εἰρήνῃ ἐτάφη ἐν τῷ ἀγρῷ αὐτοῦ. Ἦν δὲ ὅμοιος Ἰωάννῃ τῷ θεολόγῳ, μικρὸν τὸν πώγωνα στρογγυλίζων.

f. 95v. **2.** | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἴνδη καὶ Δόμνας, Σελεύκου, Ἀγαπίου, Μάμαντος, Γλυκερίου, καὶ τῆς συνοδίας αὐτῶν.

3. Καὶ τῶν ἁγίων σαράκοντα ἐν Σοφιαναῖς, ἤτοι ἐν τοῖς Δαρείου.

4. Καὶ [1] ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδώρου ἐπισκόπου Ἀλεξανδρείας. Τοῦτον τὸν ἅγιον οἱ Ἀλεξανδρεῖς ἐστεφάνουν ἀκάνθαις, ἔτυπτον κατὰ κόρρης, ἐπεκερτόμουν, ἐχλεύαζον, ἐγέλων· ὕστερον δὲ ῥίπτουσιν αὐτὸν ἐν τῇ θαλάσσῃ πρὸ ἑπτὰ σημείων τῆς [2] Φάρου· ἐξελθὼν δὲ ἐκεῖθεν σῶος καὶ ἀχθεὶς τῷ ἄρχοντι τέμνεται τὴν κεφαλὴν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ δικαίου Θεοδούλου. Ὃς ἐγένετο ἐν Κύπρῳ, ἐκ πρώτης ἡλικίας τῷ κόσμῳ ἀποταξάμενος καὶ δι' ἄκραν ἄσκησιν καὶ ταπείνωσιν προβλέπειν ἑκάστου τῶν προσιόντων τὰς διαθέσεις ἀξιωθείς· σχηματισάμενος δὲ μωρίαν, πολλοὺς διήλεγχε καὶ πρὸς μετάνοιαν ἐπέστρεφεν. Οὕτω τὸν βίον καλῶς ἀμείψας, ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη ἑτέρου ὁσίου πατρὸς ἡμῶν Θεοδούλου. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ εὐσεβεστάτου καὶ μεγάλου βασιλέως, πατρίκιος, ἀνὴρ πάσῃ ἀρετῇ καὶ συνέσει κεκοσμημένος, οὕτινος τὸ πρᾷον καὶ τὸν ἔνθεον ζῆλον καὶ τὸ καθαρὸν τοῦ βίου καὶ ἀνεπίληπτον βλέπων ὁ βασιλεὺς εἰς τὴν τῆς ἐπαρχότητος [1] ἀρχὴν προεστήσατο αὐτόν [2]. Ἐπεὶ οὖν ἐσκόπει καὶ μάλιστα παρὰ τῶν δυναστευόντων γινομένας ἁρπαγὰς καὶ πλεονεξίας καὶ πᾶσαν ἐπιβοσκομένην κακίαν, ἐν τοῖς τοιούτοις, μὴ στέγων ὁρᾶν αὐτούς, ἀπεβάλλετο τὴν ἀρχήν, πολλὰ καὶ τοῦ βασιλέως αὐτὸν ἱκετεύσαντος [3] καὶ τῆς γυναικὸς μὴ ἀνεχομένης· οὔπω γὰρ διῆλθον χρόνοι δύο ἀφ' ἧς ἡμέρας συνεζεύχθησαν. Ἐπεὶ οὖν ἡ γυνὴ αὐτοῦ συντόμως μετέστη τοῦ βίου, αὐτὸς λαβὼν πᾶσαν τὴν περιουσίαν αὐτῆς, ὑπάρχουσαν λιτρῶν πεντακοσίων πεντήκοντα [4], χήραις καὶ ὀρφανοῖς διέδωκε καὶ μοναστηρίοις καὶ γηροκομείοις καὶ ξενῶσι τὰ πλεῖστα παρέσχετο· ὡσαύτως καὶ τὴν ἰδίαν ὕπαρξιν καλῶς διέθηκεν ἄπειρον οὖσαν, καὶ τῆς βασιλίδος ἀπάρας [5] τὴν Ἔδεσαν [6] καταλαβὼν καὶ ἐπί τινος κίονος ἀναβάς, ἔτος ἄγων τῆς ἡλικίας σαρακοστὸν [7] δεύτερον, τὸν μονα|στὴν ὑπῆλθε βίον, τῇ σκληραγωγίᾳ καὶ τῇ τοῦ ἀσκητικοῦ βίου τραχύτητι κατατρύχων τὸ σῶμα. (f. 96.) Τριάκοντα δὲ χρόνους ἐν τῷ κίονι πληρώσας καὶ θείων χαρισμάτων καταξιωθείς, οὐκέτι μετελάμβανε τροφῆς παχυτέρας, ἀλλ' ἢ μόνον κατὰ κυριακὴν τοῦ τιμίου σώματος τοῦ Κυρίου καὶ αἵματος καὶ μικρόν τι τῆς ἁγίας ἀναφορᾶς. Καὶ οὕτως διετέλεσεν ὁ ἀδάμας ἑπτά που μῆνας ἐπὶ σαράκοντα [8] ἔτεσι [9]. Μετὰ ταῦτα ὠχλήθη, ὡς ἔλεγεν, ὑπὸ λογισμῶν καὶ παρεκάλει τὸν Θεόν· « Δέσποτα φιλάνθρωπε, » φάσκων [10], « εἴγε τῷ ἁγίῳ καὶ ἐνδόξῳ σου ὀνό» ματι [11] εὐηρέστησα, ἐμφάνισόν μοι τῷ δούλῳ » σου, τίνι τῶν ἐν τῷ βίῳ κακοπαθησάντων διὰ » τὸ σὸν ὄνομα παρεξητάσθην. » Καὶ θεία φωνὴ πρὸς αὐτόν· « Ἴσχυε καὶ ἀνδρίζου, λέγουσα, ἠγα» πημένε Θεόδουλε· ἶσος γὰρ εἶ ἐν τῇ βασιλείᾳ μου » μετὰ Κορνηλίου τοῦ μίμου τοῦ λεγομένου Παν» δούρου, τοῦ ἀπὸ Δαμασκοῦ τῆς πόλεως. » Ταῦτα ἀκούσας ὁ γέρων, ἐξέστη ἀθυμίᾳ παραλυθεὶς καὶ κατελθὼν τοῦ κίονος τὸν Κορνήλιον κατέλαβε· καὶ τοῖς ποσὶν αὐτοῦ κυλινδούμενος ἐζήτει μαθεῖν τὴν αὐτοῦ πολιτείαν [12]. Ὁ δὲ ἀναγκαζόμενος ἐξεῖπεν· « Ἐγώ, φησίν, πάτερ, ἐκ νηπίου μίμοις καὶ » ἀγύρταις συναναστραφεὶς [13] πάντα τὸν χρόνον » ἐκεῖθεν ἔσχον τὰ τῆς ζωῆς μου ἐφόδια· καὶ ὀψέ » ποτε εἰς ἔννοιαν ἐλθὼν τῶν πολλῶν μου κακῶν » καὶ τῆς μελλούσης κρίσεως, πάντων τῶν κακῶν » ἀπεσχόμην καὶ τοῦ καθαροῦ βίου κατὰ τὸ δυνα» τὸν ἐπιμελοῦμαι, τῆς ἐλεημοσύνης φροντίζων. » Ὡς δὲ ἐνέκειτο καὶ πάλιν ὁ γέρων παρακαλῶν αὐτὸν καὶ ἐνορκῶν εἰπεῖν καὶ τὰ ἑξῆς· « Ἄκουσόν » μου, δέσποτα καὶ κύριε, ἔφη· γυνή τις περιφανὴς

1. — [1] καὶ ἐνδόξου *om.* Sa. — [2] Σοφωνίου S. — [3] οὗτος Sa. — [4] Χουσὴ S. — [5] S, Sa, *al.* Σαβαραθά, Σαραβαθά, Nestle, *pp. 26, 27.*
4. — [1] τῇ αὐτῇ ἡμέρᾳ Sa. — [2] τοῦ Sa.
6. — [1] ἐπαρχήτητος S. — [2] αὐτὸν προεστήσατο Sa. — [3] ἱκετεύσαντος αὐτὸν Sa. — [4] φ' λιτρῶν καὶ πεντήκοντα Sa. — [5] καὶ *add.* Sa. — [6] Ἔδεσσαν Sa. — [7] τεσσαρακοστὸν Sa. — [8] *immo* μβ' *in margine adscripsit D. Papebrochius.* — [9] ἔτη Sa. — [10] λέγων Sa. — [11] ὀνόματί σου Sa. — [12] πολιτείαν αὐτοῦ Sa. — [13] συνανατραφεὶς Sa.

Dec. 3. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **Sb** : deest. — **H** : 4. 1. 5. — Κοσμᾶ καὶ Δαμιανοῦ. — 2. 3. — **P** : 4. 5. 1. 2 (om. Γλυκερίου). — 3. — Γλυκερίου. — **Da** : 1. 5. 6 (= Ba). — **Db** : 1. 6. — **F** : 1. 4. 5. 2 et 3 : Ἴνδη ... καὶ Γλυκερίου καὶ τῆς συνοδίας αὐτῶν ἐν Σοφιαναῖς. — 6. — **Fa** : 1. 4. 5. 2 et 3 : Ἴνδη ... καὶ Γλυκερίου καὶ τῆς συνοδίας αὐτῶν τεσσαράκοντα ἐν Σοφιαναῖς. — 6. — **B** : 4. 1. 5. — **Ba** : 1. 5 (= S). 6 : Θεοδούλου. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, πατρίκιος καὶ ἔπαρχος πραιτωρίων... Des. : καὶ μικρὸν ἐπιβιώσας χρόνον, μετὰ χρηστῆς ἐλπίδος πρὸς Κύριον ἐξεδήμησεν. — **Bb** : 4. — Τοῦ ὁσίου Θεοδούλου. — **T** : 1. — **L** : 1. — **Q** : 1. 5. — **C** : 6. 1. 5. — Μνήμη τῶν ἁγίων καὶ θαυματουργῶν Κοσμᾶ καὶ Δαμιανοῦ. — 2. — **Cb** : 1. 4. 5. — **Cc** : 6. 1. 5. — Κοσμᾶ καὶ Δαμιανοῦ. —

» καὶ δόξῃ κοσμουμένη καὶ κάλλει περιαστραπτο» μένη ἀνδρί τινι πρὸς γάμον ἐξεδόθη· ὃς ἀκολά» στου καὶ δαπανηρᾶς τυχὼν προαιρέσεως, οὐ » μόνον τῆς γυναικὸς τὴν περιουσίαν κατηνάλωσε » καὶ τὴν ἰδίαν, ἀλλὰ καὶ ἕτερα προσδανεισάμενος » κατέφαγε· διὸ καὶ τῇ εἱρκτῇ ἐνεκλείσθη πολὺν » χρόνον, ἀπαραμύθητον τῇ γυναικὶ τὴν συμφορὰν » ἐπενεγκών. Ἥτις βλέπουσα τὸν ἐλεεινὸν ἐκεῖνον » λιμαγχονούμενον, καὶ αὐτὴν τὴν ψυχὴν ἀπελέ» γετο· ὅμως ἤρξατο προσαιτεῖν, ὡς ἐπὶ τρυτάνης » σαλεύουσα τὴν ψυχήν. Καὶ φοβουμένη τὸν τῆς » πορνείας ὄλισθον διὰ τὸ εἶναι εὐ|πρόσωπος, (f. 96v.) » ταύτῃ περιτυχὼν ἐγὼ διηπόρουν πρὸς τὸ ξένον » τοῦ θαύματος [14] ὅτι τὰς μὲν χεῖρας ἥπλου πρὸς » τὸ λαβεῖν, τὸ δὲ πρόσωπον εἶχεν ὀπισθοφανῶς. » Μαθὼν δὲ τὴν αἰτίαν, ἤλγησα τὴν ψυχὴν καὶ » δακρύων εἶπον· Πόσον τὸ χρέος, γύναι; ἡ [15] δέ· » τετρακόσια νομίσματα, δέσποτα. Ἐγὼ δὲ ἀκριβο» λογήσας ἑαυτόν, εὗρον παρ' ἐμαυτῷ νομίσματα » διακόσια τριάκοντα καὶ μὴ ἀρκοῦντα πρὸς τὸ » ποσόν· διαπωλήσας τοίνυν [16] κινητά τινα εἴδη » καὶ κόσμια, συνήγαγον ἕτερα νομίσματα ἑβδο» μήκοντα· καὶ πάλιν ἰδὼν ἐλλείποντα, ἐκβαλὼν [17] » τῶν ἐνδυμάτων τὰ κάλλιστα καὶ τὸν περιτραχή» λιον ὁρμίσκον καὶ σινδόνι περιειλήσας [18], δέδωκα » εἰς τὰς χεῖρας τῆς γυναικὸς εἰπών· Λάβε ταῦτα, » γύναι, καὶ ἄπελθε ἐν εἰρήνῃ καὶ τὸν σὸν ἄνδρα » τῆς φυλακῆς ἐλευθέρωσον, δυσωποῦσα ἐξ ὅλης » τῆς καρδίας τὸν φιλάνθρωπον Θεὸν ἐλεῆσαί με » ἐν ἡμέρᾳ κρίσεως. » Ταῦτα ἀκούσας ὁ Θεόδουλος καὶ ὑπερθαυμάσας τῷ Θεῷ εὐχαρίστησε. Καὶ πάλιν ἀνελθὼν [19] ἐπὶ τοῦ κίονος καὶ μικρὸν ἐπιβιώσας χρόνον, μετὰ χρηστῆς ἐλπίδος ἐν εἰρήνῃ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Dec. 4. **1.** Ἄθλησις τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως τῶν ἀφ' ἡλίου ἀνατολῶν, θυγάτηρ Διοσκόρου τινὸς ἕλληνος, ἐν ὑψηλῷ τινι πύργῳ παρὰ τοῦ πατρὸς φυλαττομένη διὰ τὴν ἐπανθοῦσαν αὐτῇ σωματικὴν ὡραιότητα. Παρθένος δὲ οὖσα καὶ τὸν Χριστὸν σεβομένη, οὐ διέλαθε τὸν πατέρα. Γνοὺς δὲ τὰ κατ' αὐτὴν ἐξ ὧν ἐκεῖνος μὲν ἐπὶ τῷ ἀνοικοδομουμένῳ λουτρῷ παρ' αὐτοῦ δύο θυρίδας εἶπε γενέσθαι, ἡ δὲ προσέταξε τρεῖς· καὶ τὴν αἰτίαν ἐρωτηθεῖσα ἐπ' ὀνόματι εἶπε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, εὐθὺς μὲν ἠθέλησεν τῷ ἰδίῳ [1] ξίφει αὐτὴν ἀνελεῖν. Ἐκφυγούσης δὲ αὐτῆς καὶ εἰς διαιρεθεῖσαν πέτραν ὑπεισελθούσης καὶ εἰς τὸ ὄρος διεξελθούσης [2], ἐπεὶ καταδιώκων ὁ πατήρ, τινῶν μηνυσάντων, εὗρεν αὐτήν, κατέστησε ταύτην τῷ τῆς χώρας ἡγεμόνι [3]· οὗ κατενώπιον ὁμολογήσασα τὸν Χριστὸν καὶ τὰ εἴδωλα καθυβρίσασα, τύπτεται δεινῶς καὶ τὰς σάρκας ξέεται καὶ καταφλέγεται τὰς πλευρὰς καὶ σφαίραις κατὰ τῆς κεφαλῆς παίεται· εἶτα γυμνὴ τὴν πόλιν περιάγεται καὶ τύπτεται | καὶ τὴν διὰ ξίφους δέχεται τελευτήν, (f. 97.) αὐτοῦ τοῦ πατρὸς ταῖς ἰδίαις χερσὶν ἀνελόντος αὐτήν. Ὃς λέγεται μετὰ τὴν ταύτης σφαγὴν ἐκ τοῦ ὄρους κατερχόμενος κεραυνόβλητος γενέσθαι καὶ τὴν ψυχὴν ἀπορρῆξαι. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Βασιλίσκου πλησίον τῆς ἁγίας Ζηναΐδος.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ [1], ἐκ Δαμασκοῦ τῆς πόλεως [2], γένους περιφανοῦς. Τυχὼν δὲ φιλαρέτου πατρός, ἐπαιδεύθη πᾶσαν τὴν ἐγκύκλιον παίδευσιν, καὶ τὸν βυθὸν τῆς θεοπνεύστου γραφῆς καλῶς ἐξηρεύνησε· διὰ δὲ

— [14] πράγματος Sa. — [15] οἱ S. — [16] *om.* Sa. — [17] ἐκβάλλω Sa, ἐκβαλλὼν S. — [18] καὶ κατακαλύψας *add.* Sa. — [19] ἐλθὼν Sa.
1. — [1] *om.* Sa. — [2] ἐξελθούσης Sa. — [3] εἰς ἐξέτασιν *add.* Sa.
2. — [1] τοῦ καὶ Κοπρωνύμου *add.* Sa. — [2] ὁρμώμενος *add.* Sa.

Dec. 3. 2. — **Cd** : 1. 4 (Θεοδώρου ἐπισκόπου Ἀγκύρας). — 5. — Κοσμᾶ καὶ Δαμιανοῦ. — 2. — **M** : deest. — **Mv** : 1. 4. 6. — Ἰωάννου ἐπισκόπου Κολωνίας τοῦ ἡσυχαστοῦ (Dec. 7⁴). — 2 (Ἀγάπιος, Σέλευκος καὶ Μάμας). — **Mb** : 1. 4. 2 (Ἀγαπίου, Σελεύκου, Μάμαντος). — 5. 6. — Ἰωάννου ἐπισκόπου Κολωνείας. — **Mr** : 1.

Dec. 4. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : 1. 2. 3. — **H** : 1. — Χριστοδούλου καὶ Μυρόπου. — 4. 2. 5. — **P** : 1. — Χριστοδούλης καὶ Μυρόπης. — 4 : τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Γραπτοῦ. — 2. — **Da** : 1. 2 (= S, des. : καταλύει τὸν βίον). — 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2 (... καταλύει τὸν βίον. Ἐκαλεῖτο δὲ Μανσοὺρ τῶν προγόνων αὐτοῦ τὴν τοιαύτην ἐχόντων ἐπίκλησιν. Ὁ δέ γε ἀοίδιμος κτλ.). — 3 : Ἰωάννου ἐπισκόπου Πολυβότου τοῦ θαυματουργοῦ καὶ ὁμολογητοῦ. Οὗτος παῖς ὢν καὶ νέος ἤδη γενόμενος, οὐ κατὰ παῖδας εἶχε τὸ φρόνημα οὐδὲ νεωτερικαῖς ἑάλω ἐπιθυμίαις, ἀλλὰ τρυφὰς ἐμίσει καὶ ἡδονὰς καὶ ὅσα νέων οἶδε θέλγειν ψυχάς· νηστείας [1] δὲ μᾶλλον εἴχετο καὶ γελώτων ἀπείχετο καὶ τῆς καλλίστης ἐφρόντιζε σωφροσύνης, βοηθὸν αὐτῇ συνάπτων τὴν ἐλεημοσύνην. Ὁ δὲ κατ' ἐκεῖνο [2] καιροῦ τὸν ἱεραρχικὸν ἰθύνειν λαχὼν θρόνον, προβλέπων τὴν κατάστασιν καὶ τὸ ἦθος τοῦ νέου, τῆς ὑπ' αὐτὸν ἐκκλησίας κλήρῳ τοῦτον καταλέγει· ἔπειτα καὶ τῶν ἱερῶν σκευῶν φύλακα δείκνυσι· καὶ [3] μετ' οὐ πολὺ καὶ ἐπίσκοπος Πολυβότου χειροτονεῖται. Ἤδη δὲ λαοῦ πιστευθεὶς προστασίαν, ἀγῶνας ἀγῶσι προσετίθη καὶ κόποις κόπους. Ἐπεὶ γὰρ Λέων ὁ ἐξ Ἀρμενίας ἕλκων τὸ γένος, τυραννήσας μετά γε τῆς βασιλείας καὶ τὴν εὐσέβειαν, ἐκίνει γλῶσσαν μεγαλορρήμονα κατὰ τῶν ἱερῶν

[1] νηστείαις F. — [2] ἐκείνου F. — [3] οὐ *add.* F.

Dec. 4. τὴν εἰς Χριστὸν πίστιν τὸν πατρικὸν πλοῦτον καταλιπών, τὸν μονήρη βίον ἠσπάσατο μετὰ τοῦ μακαρίου Κοσμᾶ, τοῦ γεγονότος ὕστερον ἐπισκόπου Μαϊουμᾶ. Οἵ[3] θεόθεν ἐμπνευσθέντες διά τε τροπαρίων ἄλλων καὶ κανόνων πλείστων τό τε θεῖον καὶ τὴν Θεοτόκον καὶ πολλοὺς τῶν ἁγίων ἐξύμνησαν· καὶ εἰσέτι τὰ αὐτῶν μελῳδήματα ᾄδονται πᾶσιν θεῖον ἐντρύφημα προκείμενα. Ἐπίσης οὖν καὶ ἄμφω τὴν ἄσκησιν μετελθόντες, ὁ μὲν ὅσιος Ἰωάννης τῇ τῶν λόγων αὐτοῦ δυνάμει καὶ ταῖς τῶν γραφῶν σοφαῖς ἀποδείξεσι πλεῖστα στηλιτεύσας τὴν δυσσεβῆ τῶν εἰκονομάχων αἵρεσιν καὶ πολλὰ συγγράμματα καταλελοιπώς, δι᾽ ὧν σχεδὸν πάντη τοῦ ζητουμένου γνῶσις ἐναργὴς εὑρίσκεται, ἐν γήρᾳ πίονι καταλύει τὸν βίον[4]. Ὁ δέ γε ἀοίδιμος Κοσμᾶς πλεῖστα καὶ αὐτὸς τῇ θείᾳ γραφῇ ἐμμελετήσας καὶ πολλὰ συγγράμματα τῇ ἐκκλησίᾳ καταλελοιπὼς[5] ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπε.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου Πολυβότου τοῦ θαυματουργοῦ καὶ ὁμολογητοῦ. Οὗτος παῖς[1] ὢν τρυφὰς ἐμίσει καὶ ἡδονάς, νηστείᾳ δὲ μᾶλλον καὶ σωφροσύνῃ καὶ ἐλεημοσύνῃ προσεῖχεν· ὅθεν καὶ ἐπίσκοπος Πολυβότου χειροτονεῖται, πρότερον τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς ἐννόμως διελθών. Ἤδη δὲ λαοῦ προστασίαν πιστευθεὶς ἀγῶνας ἀγῶσι προσετίθει καὶ κόποις κόπους. Ἐπεὶ δὲ Λέων ὁ Ἀρμένης[2] ἀναξίως τῶν σκήπτρων τῆς βασιλείας ἐδράξατο καὶ κατὰ τῶν ἁγίων εἰκόνων βλασφημεῖν
f. 97v. ἐπεχείρησεν, ὁ ἱερὸς οὗτος | ἀνὴρ καταλαβὼν τὴν βασιλεύουσαν ἰσχυρῶς ἤλεγξεν αὐτοῦ τὴν ἀσέβειαν· εἶτα πρὸς τὸ ποίμνιον ἐπανελθὼν[3] τὴν πίστιν ἐξηκριβώσατο, παρασκευάσας ἑτοίμους εἶναι πάντας τὸ αἷμα ἐκχεῖν[4] ὑπὲρ τῆς εὐσεβείας. Οὕτως ἐκεῖνος βιούς, ἀπολιπὼν τὰ κάτω, πρὸς ὃν ἐπόθει μεταχωρεῖ· θαύματα δὲ πλεῖστα καὶ ζῶν καὶ μετὰ τὸ[5] τέλος εἰργάσατο. Τοὺς γὰρ Ἀγαρηνοὺς τὸ Ἀμόριον[6] παρακαθεζομένους καὶ αὐτὸ τὸ Πολύβοτον καὶ τὸν ναὸν λῃσαμένους ἰσχυρῶς, βουλομένους δὲ[7] καὶ τὸ τίμιον ἐκείνου λείψανον κατακαῦσαι, θεηλάτως ἣν πλήξας· καὶ τοῦ μὲν ἐπήρωσε τοὺς ὀφθαλμούς, τοῦ δὲ τὴν δεξιάν, ἄλλου τὴν ὄψιν διεστραμμένην ἔδειξεν. Ἐπεὶ δὲ οὗτοι μόλις ἔγνωσαν τοῦ κειμένου τὴν δύναμιν, εὐθὺς ἱκέται γίνονται καὶ πάντας ὅσους εἶχον χριστιανοὺς αἰχμαλώτους τῷ ἁγίῳ ἀπεχαρίσαντο. Καὶ πλεῖστα ἕτερα ἐπαγγειλάμενοι δοῦναι, τῆς ἰάσεως ἔτυχον. Τοσούτων δὲ χρόνων παραδραμόντων, ὁρᾶται εἰσέτι καὶ νῦν ἄφθαρτον τὸ τοῦ ἁγίου σῶμα. Καὶ κατὰ τὴν τῆς πεντηκοστῆς ἡμέραν ἀνιστῶσιν αὐτὸ καὶ τὴν ἀρχιερατικὴν στολὴν ἐνδύουσι καὶ τῇ θείᾳ τραπέζῃ προσερείδουσι· καὶ οὕτως ἵσταται ὄρθιον· καὶ τῷ συνθρόνῳ προσαναβιβάζοντες ὑπὸ δύο στηριζόμενον, καταλιμπάνουσιν οὕτω διὰ πάσης ἄπτωτον τῆς ἱερᾶς μυσταγωγίας ἱστάμενον. Τὰ δ᾽ ἄλλα, ὅσα καὶ δαιμονῶντας θεραπεύει καὶ νόσους ἑτέρας, ἀδύνατόν ἐστιν ἡμῖν γραφῇ παραδοῦναι.

4. Τῇ αὐτῇ ἡμέρᾳ <μνήμη [1]> τοῦ ὁσίου πατρὸς ἡμῶν Γράτου ἀρχιεπισκόπου Ἐφέσου.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Χριστοδούλου.

— [3] οἵτινες Sa. — [4] *hoc loco in* S *binae fere lineae deletae sunt, quarum haec supersunt vestigia :* ἐκαλεῖτο δὲ Μανσοὺρ τῶν προγόνων αὐτοῦ τὴν τοιαύτην ἐχομένων ἐπίκλησιν. — [5] (ἐν γήρᾳ - καταλελοιπὼς) *om.* Sa.

3. — [1] νέος Sa. — [2] Ἀρμένιος Sa. — [3] ἐλθὼν Sa. — [4] ἐκχέειν Sa. — [5] *supra lin.* Sa. — [6] Ἀμμόριον S. — [7] *om.* Sa.

4. — [1] Sa, *om.* S.

Dec. 4. εἰκόνων, ὁ ἱερὸς οὗτος ἀνὴρ καταλαβὼν τὴν βασιλεύουσαν, οὐκ ὄψιν αἰδεσθείς, οὐ μορφήν, μανικῶς καὶ γενναίως <καὶ[4]> ἰσχυρῶς αὐτοῦ ἤλεγξεν τὴν ἀσέβειαν· εἶτα πρὸς τὸ ποίμνιον ἐπανελθών, τὴν πίστιν ἐξηκριβώσατο, παρασκευάσας ἑτοίμους εἶναι πάντας τὸ αἷμα ἐκχεῖν ὑπὲρ τῆς εὐσεβείας. Οὕτως ἐκεῖνος βιοὺς ἀπολιπὼν τὰ κάτω, πρὸς ὃν ἐπόθει μεταχωρεῖ. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον πλῆθος ἄπειρον τῶν Ἀγαρηνῶν τὸ Ἀμόριον καταδραμὸν καὶ αὐτὸ τὸ Πολύβοτον καὶ τὸν ναὸν ἰσχυρῶς λῃσάμενον, βουλόμενοι καὶ τὸ τίμιον ἐκεῖνο λείψανον κατακαῦσαι, ἐκεῖνο ἔμενεν ἄψαυστον καὶ ἀχείρωτον. Τούτων γὰρ ὁ μὲν ὀφθαλμοὺς πηροῦται, ὁ δὲ τὴν δεξιὰν πλήττεται, ἄλλος τὴν ὄψιν διαστρέφεται. Οὗ γενομένου, μόλις ἔγνωσαν τοῦ κειμένου τὴν δύναμιν. Καὶ εὐθὺς ἱκέται γίνονται τοῦ ἁγίου καὶ πάντας ὅσους χριστιανοὺς αἰχμαλώτους ἐπεφέροντο τῷ ἁγίῳ ἀπεχαρίσαντο· καὶ πλεῖστα ἕτερα ἐπαγγειλάμενοι δοῦναι, τῆς ἰάσεως ἔτυχον. Τοσούτων δὲ χρόνων παραδραμόντων, ὁρᾶται εἰσέτι τὸ σῶμα αὐτοῦ κρεῖττον[5] φθορᾶς καὶ ἄλυτον καὶ τοῖς μέλεσι συγκεκραμένον. Κατ᾽ αὐτὴν γὰρ τὴν μεγάλην ἑορτὴν τῆς πεντηκοστῆς, ἡνίκα καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ ἑορτάζουσιν, ἀνιστῶσιν τὸ ὁσίου σῶμα τῆς λάρνακος, καὶ τὴν ἀρχιερατικὴν ἀκολούθως πᾶσαν στολὴν ἐνδύουσιν· εἶτα διαβαστάσαντες τῇ θείᾳ τραπέζῃ προσερείδουσιν καὶ οὕτως ἵσταται ὄρθιον, μόνον οὐχὶ συμφθέγγεσθαι τῷ ἐπισκόπῳ ποιοῦντι τὴν λειτουργίαν ὑπονοούμενον· ἔπειτα καὶ τῷ συνθρόνῳ προσαναβιβάσαντες, ὑπὸ δύο στηριζόμενον καταλιμπάνουσιν, οὕτω διὰ πάσης ἄπτωτον τῆς ἱερᾶς μυσταγωγίας ἱστάμενον. Ἀλλ᾽ ἀδύνατόν ἐστιν ἡμῖν τὰ τοῦ ἁγίου γραφῇ παραδοῦναι, ὅσα καὶ δαιμονῶντας ἰώμενος καὶ νόσους ἄλλας ὅσαι ὧραι θεραπεύων ὁρᾶται. — **Fa** : 1. 2. 3. — **B** : 1. — **Ba** : 1 (= S). 2 (= S). 3 (= S). — **Bb** : 1. — **T** : 1. 2. — **L** : 1. 2. — **Q** : 1. 2. — **C** : 1. 3. 5. 4. — Καὶ Χριστοδούλου ἑτέρου. — 2 : προεγράφη δὲ ἡ αὐτὴ διήγησις ὀπίσω εἰς τὰς κθ´ τοῦ νοεμβρίου μηνός. — **Cb** : 1. 2. — **Cc** : 1. 3. 5. 4. — Χριστοδούλου ἑτέρου. — 2. (προεγράφη κτλ.). — **Cd** : 1. 5. 4. 2 (προεγράφη κτλ.). — **M** : deest. — **Mv** : 1. 2. 3. — ἡ ἁγία Ἰουλιανὴ ξ. τ. — 5 : οἱ ἅγιοι Χριστόδουλος καὶ Χριστοδούλη ξ. τ. — **Mb** : 1. — Ἰουλιανοῦ ἐπισκόπου Πολυβότου[6] τοῦ θαυματουργοῦ. — 4 (τῶν ὁσίων Γράτου καὶ Νόννου). — 2. — **Mr** : 1. 2.

— [4] *om.* F. — [5] κεῖττο F. — [6] Πολιβότου Mb.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε´.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σάβα. Οὗτος ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ χώρας τῶν Καππαδοκῶν[1], κώμης[2] λεγομένης Μουταλάσκης, γονέων Ἰωάννου καὶ Σοφίας. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πρὸς τὴν τοῦ μονήρους βίου κατάστασιν προσδραμών, ἐν μοναστηρίῳ Φλαβιαναῖς προσαγορευομένῳ τοσοῦτον γέγονεν ἐκ πρώτης ἡλικίας ἐγκρατής, ὡς ἐν τῷ κήπῳ ποτὲ ἰδὼν μῆλον καὶ εἰς ἐπιθυμίαν αὐτοῦ ἐλθὼν ἐπειπεῖν[3]· « Ὡραῖος ἦν εἰς » ὅρασιν καὶ καλὸς εἰς βρῶσιν ὁ ἐμὲ θανατώσας » καρπός » καὶ τοῦτο λαβεῖν μὲν ταῖς χερσὶ μὴ φαγεῖν δέ, ἀλλὰ τοῖς ποσὶ συμπατῆσαι[4] καὶ ὅρον
f. 98. ἑαυτῷ θέσθαι μὴ φαγεῖν ποτε μῆλον. Ἀλλὰ καὶ | εἰς κλίβανον πυρὸς εἰσελθὼν ἐξῆλθεν ἀβλαβὴς μηδὲ τῶν ἱματίων αὐτοῦ τοῦ πυρὸς ἁψαμένου. Ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας ἐμφανὴς καθίσταται τῷ μεγάλῳ Εὐθυμίῳ· καὶ παρ᾽
Dec. 5. αὐτοῦ πρὸς τὸν ὅσιον Θεόκτιστον ἐν τῷ κοινοβίῳ πέμπεται, τούτων ἁπάντων οἷς ἐτύγχανε τοὺς τρόπους καὶ τὴν ἀρετὴν ἐκλαμβανόμενος καὶ ἀναμανθάνων· ὃν ὁ μέγας Εὐθύμιος διὰ τὴν ὑπερβάλλουσαν πνευματικὴν κατάστασιν παιδαριογέροντα ἐκάλει. Συμπροϊούσης δὲ αὐτῷ κατὰ τὴν ἡλικίαν τῆς ἀρετῆς, πολλὰ θαύματα κατειργάσατο καὶ ἐν ἀνύδροις τόποις διὰ προσευχῆς ὕδωρ ἐξήγαγε. Γέγονε δὲ πολλῶν μοναχῶν καθηγητὴς καὶ διεπρεσβεύσατο δὶς ἐπὶ τὴν Κωνσταντινούπολιν ἀνελθών, παρακληθεὶς ὑπὸ[5] τῶν κατὰ καιροὺς πατριαρχούντων Ἱεροσολύμων, πρός τε τὸν βασιλέα Ἀναστάσιον καὶ Ἰουστινιανόν. Φθάσας δὲ εἰς τὸ ἄκρον τῆς κατὰ Χριστὸν[6] ἡλικίας, ὡς ἐτῶν γενέσθαι τεσσάρων καὶ ἐνενήκοντα[7], πρὸς Κύριον ἐξεδήμησεν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἔνδον τοῦ ἁγίου[8] Φιλήμονος, ἐν τῷ Στρατηγίῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ς´.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν[1] Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας. Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων, πρότερον τῇ μοναδικῇ πολιτείᾳ δια-
Dec. 6. πρέψας καὶ δι᾽ ὑπερβάλλουσαν ἀρετὴν τὴν ἀρχιερωσύνην δεξάμενος. Καὶ ἐπεὶ τὰ χριστιανῶν ἦν πρεσβεύων καὶ τὴν εὐσέβειαν κηρύττων, ἐλευθέρᾳ φωνῇ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων

1. — [1] ἐκ τῆς τῶν Καππαδοκιῶν χώρας Sa. — [2] ἐκ κώμης Sa. — [3] εἰπεῖν Sa. — [4] συμπατήσας Sa. — [5] παρὰ Sa. — [6] Sa, χρόνον S. — [7] ἐνενήκοντα καὶ δ´ Sa. — [8] μάρτυρος *add.* Sa.

1. — [1] καὶ θαυματουργοῦ *add.* Sa.

Dec. 5. SYNAXARIA SELECTA. **Sa** : 1. — **Sb** : 1. — **H** : 1 (Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τῷ ὄντι πλησίον τοῦ ἁγίου μάρτυρος Ἀναστασίου, ἔνδον τοῦ ἁγίου μάρτυρος Φιλήμονος ἐν τῷ Στρατηγίῳ). — Ἄθλησις Ἀβερκίου. — **P** : 1. — Τοῦ ἁγίου Ἀβερκίου. — **Da** : 1. — **Db** : 1. — **F** : 1. — **Fa** : 1. — **B** : 1. — **Ba** : 1 (= S). — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : deest. — **Mv** : 1. — Ἀναστασίου. — Διογένης λιθοβοληθεὶς τ. — Ἀβέρκιος ξ. τ. — Νόννος ἐν εἰρήνῃ τ. — **Mb** : 1. — Ἀναστασίου. Οὗτος ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Ἀναστάσιος ἰδών ποτε τοὺς ἁγίους μάρτυρας ὑπὸ τῶν ἑλλήνων ἐξερευνωμένους[1] καὶ ἀνακρινομένους καὶ μεληδὸν κατατεμνομένους ὑπὲρ τῆς εἰς Χριστὸν[2] ὁμολογίας, χριστιανὸς ὢν καὶ μεμνημένος τὰ τούτοις ἐκ Θεοῦ ἀποκείμενα[3], ἐπεθύμει καὶ αὐτὸς τὸν ἶσον ἀγωνίσασθαι δρόμον. Καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν ἐθερμάνθη ἡ καρδία αὐτοῦ, καὶ σημειωσάμενος τῷ σταυρῷ[4] ἅπαν τὸ σῶμα αὐτοῦ, ἔδραμεν ἐπὶ τὸ στάδιον[5], καὶ στὰς μέσον[6] τοῦ συνεδρίου μεγάλῃ τῇ[7] φωνῇ ἐξεβόησεν· « Εὑρέθην τοῖς ἐμὲ » <μὴ[8]> ζητοῦσιν, καὶ[7] ἐμφανὴς γέγονα[9] τοῖς ἐμὲ ἀγνοοῦσι[10]. » Πάντων δὲ ἀτενισάντων εἰς αὐτόν, εἶπεν· « Ἀκούσατε, ὑπηρέται τοῦ διαβόλου, ἀκούσατε. Ἐγὼ χριστιανός εἰμι καὶ εἰς τὸν κύριόν μου » Ἰησοῦν Χριστὸν πιστεύω· τὰ δὲ εἴδωλα ὑμῶν καὶ τοὺς ταῦτα προσκυνοῦντας καὶ[7] ἀναθεματίζω καὶ » ἀποστρέφομαι. » Οἱ δὲ τὸ πεπαρρησιασμένον αὐτοῦ θεασάμενοι ἐξεπλάγησαν. Καὶ εὐθὺς ἀποδύσαντες αὐτὸν ἐμάστιξαν σφοδρῶς καὶ εἶπον· « Ταῦτα μέν εἰσι τῆς προαιρέσεώς σου καὶ τῆς προπετείας σου » καὶ ἀναιδείας σου[11]. Ὅτι δὲ τὸν Χριστὸν <σέβῃ[12]> μὴ ἀρνούμενος αὐτόν, τὴν κεφαλὴν[13] ἀποτμηθείς, » βορὰ ἰχθύων καὶ ἑρπετῶν[14] ἐναλίων τὴν σήμερον γενήσῃ. » Ὅνπερ εὐθέως οἱ δήμιοι λαβόντες, ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ· καὶ μικρὸν τῆς γῆς ἀποβάντες, τῇ θαλάσσῃ ἐναπέρριψαν[15]. — **Mr** : 1.

Dec. 6. SYNAXARIA SELECTA. **Sa** : 1. — **Sb** : 1. — **H** : 1. — **P** : 1. — **Da** : 1 (= Ba). — **Db** : 1. — **F** : 1 (= Ba). — **Fa** : 1. — **B** : 1. — **Ba** : 1 : Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας. Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων, πρότερον τῇ μοναδικῇ πολιτείᾳ διαπρέψας καὶ δι᾽ ὑπερβάλλουσαν ἀρετὴν τὴν ἀρχιερωσύνην δεξάμενος. Ἐπεὶ δὲ τὰ χριστιανῶν ἦν πρεσβεύων καὶ τὴν εὐσέβειαν κηρύττων ἐλευθέρᾳ φωνῇ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων τῆς πόλεως· καὶ πληγαῖς καὶ στρεβλώσεσι παρ᾽ αὐτῶν ὑποβληθείς, τῇ εἱρκτῇ ἐναπορρίπτεται μετὰ τῶν ἄλλων χριστιανῶν. Τοῦ δὲ μεγάλου καὶ εὐσεβοῦς Κωνσταντίνου τὴν βασιλείαν τῶν Ῥωμαίων ψήφῳ Θεοῦ ὑποζωσαμένου, ἀφίενται οἱ κατάκλειστοι τῶν δεσμῶν· μεθ᾽ ὧν καὶ ὁ μέγας Νικόλαος ἀφεθεὶς τὰ Μύρα κατέλαβεν. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος συναθροίζεται ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου· ἧς μέρος

[1] ἀνερευνομένους Mv. — [2] τοῦ Θεοῦ Mv. — [3] ἀγαθὰ *add.* Mv. — [4] τῷ σταυρῷ σημειωσάμενος Mv. — [5] ἐπὶ τὸ στάδιον ἔδραμε Mv. — [6] ἐν μέσῳ Mv. — [7] *om.* Mv. — [8] Mv, *om.* Mb. — [9] ἐγενόμην Mv. — [10] μὴ ἐπερωτῶσι Mv. — [11] εἰσι τῆς προπετείας καὶ ἀναιδείας σου Mv. — [12] Mv, *om.* Mb. — [13] σου *add.* Mv. — [14] καὶ πετεινῶν *add.* Mv. — [15] ἀπέρριψαν Mv.

Dec. 6.

τῆς πόλεως καὶ πληγαῖς καὶ στρεβλώσεσι παρ' αὐτῶν ὑποβληθεὶς τῇ εἱρκτῇ ἐναπορρίπτεται μετὰ τῶν [2] ἄλλων χριστιανῶν. Μετὰ δὲ τοῦτο τοῦ μεγάλου Κωνσταντίνου τὴν βασιλείαν τῶν [3] Ῥωμαίων ψήφῳ Θεοῦ ὑποζωσαμένου, ἀφίενται οἱ κατάκλειστοι τῶν δεσμῶν. Μεθ' ὧν καὶ ὁ μέγας Νικόλαος ἀφεθεὶς τὰ Μύρα κατέλαβεν. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος συναθροίζεται ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου, ἧς μέρος καὶ ὁ θαυμάσιος [4] Νικόλαος γίνεται. Οὗτος πολλὰ ἐποίησε [5] θαύματα ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Εἰς βαθὺ δὲ γῆρας ἐληλακὼς πρὸς Κύριον ἐξεδήμησε, τὸ σῶμα αὐτοῦ [6] τοῖς πιστοῖς καταλιπών, μῦρα βλύζων [7] μετὰ τῶν ἰαμάτων, ζῶν τε καὶ μετὰ θάνατον χάριν λαβὼν θαυματουργιῶν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ [8] μεγάλῃ ἐκκλησίᾳ.

f. 98v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

Dec. 7.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων. Οὗτος γέγονεν ἐκ τῆς μεγαλοδόξου Ῥώμης, εἷς ὢν τῆς συγκλήτου, ἔν τε λόγοις ἔχων προσφυῶς καὶ ζυγός τις ὢν καὶ στάθμη περὶ τὸ δίκαιον, οὐχ ἑτεροκλινῆ ἐν τοῖς [1] προσπίπτουσι τὴν ἀπόφασιν, ἀλλ' ἀπαρέγκλητον ποιούμενος καὶ ὀρθήν· διάτοι τοῦτο καὶ τὴν ἡγεμονίαν ἐνεπιστεύθη ἁπάσης τῆς Ἰταλίας παρὰ τῶν εὐσεβῶν βασιλέων Κωνσταντίνου καὶ Κώνσταντος υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου. Οὔπω δὲ καταρτισθεὶς τῷ θείῳ βαπτίσματι ἀλλ' ἔτι ἐν τοῖς κατηχουμένοις ὤν, οὐδέν τι μεῖον εἰς ἀρετὴν καὶ βίου καθαρότητα τῶν μετειληφότων τοῦ μυστηρίου καθίστατο· ὅθεν κρίσει τοῦ βασιλέως Οὐαλεντινιανοῦ [2] ἀρχιερεὺς τῆς ἐν Μεδιολάνοις ἐκκλησίας, κατ' ἐκεῖνο [3] καιροῦ τοῦ προέδρου τὸν βίον ἀπολιπόντος, ὁ ἅγιος Ἀμβρόσιος προχειρίζεται, ὁμοῦ τε τῷ βαπτίσματι τελεσθεὶς καὶ κατὰ τάξιν τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς διελθὼν καὶ ἐπὶ τὸν ἔσχατον προελθών· καλῶς δὲ τὴν ἐκκλησίαν ποιμάνας καὶ συνήγορος γεγονὼς τοῖς κατὰ τῆς Ἀρείου καὶ Σαβελλίου καὶ Εὐνομίου αἱρέσεως ἀγωνιζομένοις καὶ ὑπὲρ τῆς εὐσεβοῦς πίστεως διάφορα βιβλία συντάξας καὶ τὸν βασιλέα [4] Θεοδόσιον, ἀπὸ τῆς ἐν Θεσσαλονίκῃ μιαιφονίας καταλαβόντα τὴν τῶν Μεδιολάνων πόλιν, τῶν θείων εἰσόδων τῆς ἐκκλησίας κωλύσας καὶ εἰς ὑπόμνησιν ἀγαγὼν ὧν τετόλμηκεν [5], ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ [6].

— [2] τινων καὶ Sa. — [3] *om.* Sa. — [4] θαυμαστὸς Sa. — [5] *supra lin.* Sa. — [6] τὸ τίμιον αὐτοῦ σῶμα Sa. — [7] βλύζον Sa. — [8] *om.* Sa.

1. — [1] ταῖς S, Sa. — [2] Οὐαλεντιανοῦ Sa. — [3] ἐκείνου S, Sa. — [4] ἐν βασιλεῦσι μέγαν Sa. — [5] καὶ μετανοίᾳ τοῦτον διορθωσάμενος *add.* Sa. — [6] πλησίον τῆς μεγάλης ἐκκλησίας Sa.

Dec. 6.

καὶ ὁ θαυμαστὸς Νικόλαος γίνεται. Οὗτος μὲν πολλὰ καὶ ἄλλα ἐποίησε θαύματα, ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Διέσωσε δὲ καὶ συκοφαντηθέντας ἄνδρας τρεῖς καὶ ἀδίκως μέλλοντας ἐξελθεῖν τῆς ζωῆς. Ὡς γὰρ τὸν ἐνστάντα καιρὸν <καθ' ὃν [1]> ἔμελλον [2] ἀποτέμνεσθαι ἐν φυλακῇ ὄντες ἔμαθον, τὸν ἅγιον εἰς βοήθειαν ἐπεκαλέσαντο, ὑπομνήσαντες αὐτὸν τοιαύτας εὐεργεσίας, ἃς ἐποίησε τρεῖς ἄνδρας ἐν τῇ Λυκίᾳ ἀναιρεῖσθαι μέλλοντας διασώσας [3]. Ὀπτάνεται οὖν ὁ ἅγιος ὄναρ τῷ βασιλεῖ καὶ τῷ ὑπάρχῳ, τῷ μὲν ὑπάρχῳ ἐπιτιμῶν διὰ τὴν εἰς τοὺς ἄνδρας πρὸς τὸν βασιλέα διαβολήν, τὸν δὲ βασιλέα διδάσκων ὡς ἀνεύθυνοί εἰσιν καὶ διὰ φθόνον αὐτῷ τῆς καθοσιώσεως ἐγκλήματι ὑπεβλήθησαν. Ὅθεν αὐτοὺς λυτροῦται τῆς ἐπικειμένης ἀνάγκης· καὶ ἕτερα πλεῖστα τεράστια ἐκτελέσας καὶ ἱερῶς τὸν ὀρθόδοξον ποιμάνας λαὸν καὶ εἰς βαθὺ γῆρας ἐληλακὼς πρὸς Κύριον ἐξεδήμησεν, οὐδὲ μετὰ τέλος τοῦ ποιμνίου ἐπιλαθόμενος ἀλλὰ καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν καὶ ὥραν τὰς εὐεργεσίας αὐτοῦ τοῖς δεομένοις ἐπιδαψιλευόμενος. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Τοῦ ἁγίου Νίσερ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ ἤχθη πρὸς Ἰούλιον καὶ Αἰλιανόν. Ὑπὸ τούτων ἐρωτώμενος ὁ ἅγιος καὶ μὴ πειθόμενος, γυμνοῦται τῶν ἱματίων καὶ ὀβελίσκοις πεπυρακτωμένοις τὰ σπλάγχνα διαπερονᾶται καὶ κατακαίεται· εἶτα φρουρεῖται καὶ διὰ δευτέρας προόδου πάλιν γυμνοῦται καὶ τὰς σάρκας ξέεται σφοδρῶς· πυρᾶς τε ἐξαφθείσης μεγίστης καὶ εἰς ὕψος ἀρθείσης πολύ, ἀκοντίζεται μέσον· καὶ εὐχὴν τελέσας ἐκεῖσε τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται, ὁλοκαύτωμα θεῖον διὰ πυρὸς γενόμενος. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : deest. — **Mv** : 1. Sequitur Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου. Σοφόν τι χρῆμα ζωγράφων χείρ κτλ. — **Mb** : 1. — **Mr** : 1.

Dec. 7.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. add. : Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κουράτορος (Dec. 8[5]). — **Sb** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ (Dec. 8[2]). — **H** : 1. 2. 3. — **P** : 3. 1. 2. — Τοῦ ἁγίου Ἀβραμίου. — **Da** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ. — **Db** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ. — **F** : 1. 4. — **Fa** : 1. 4. — **B** : 1. — **Ba** : 1 (= S). — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ (= S, Dec. 8[2]). — **Bb** : 1. — Τῶν ἁγίων μαρτύρων κτλ. — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : 1. 3. — Τῶν ἁγίων μαρτύρων κτλ. des. mutil. — **Cb** : 1. 3. — **Cc** : 1. 3. — Τῶν ἁγίων μαρτύρων κτλ. — **Cd** : 1. 3. — **M** : deest. — **Mv** : 1. 3. — Νεόφυτος ἐν τῇ θαλάσσῃ βληθεὶς τ. — Δομέτιος ξ. τ. — Ἰσίδωρος καὶ Ἀκεψιμᾶς π. τ. — Ἀμμοῦν ἐπίσκοπος Νητρίας ἐν εἰρήνῃ τ. — Γαϊνὸς καὶ Γαΐος π. τ. — Οἱ ἅγιοι τριακόσιοι μάρτυρες οἱ ἐν Ἀφρικῇ ξ. τ. (Dec. 8[2]). — Ἰγνάτιος ὁ πλησίον τῶν Βλαχερνῶν κείμενος ἐν εἰρήνῃ τ. — Παύλου μοναχοῦ τοῦ ὑποτακτικοῦ. — 2 (Πρίσκου, Μαρτύρου καὶ Νικολάου). — Τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κουράτορος (Dec. 8[5]). — **Mb** : 1. 3. — Παύλου μοναχοῦ τοῦ ὑποτακτικοῦ. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν οὗτος ἐν τοῖς κατὰ κόσμον οὔτε περί-

[1] *om.* Ba. — [2] ἔμβαλλον Ba. — [3] διασώσαντα Ba.

Dec. 7.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων [1] Πρίσκου, Μαρτίνου καὶ Νικολάου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις πλησίον τοῦ τείχους τῶν Βλαχερνῶν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀθηνοδώρου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ Μεσοποταμίας τῆς Συρίας ὁρμώμενος, μονήρη βίον ἀρχῆθεν ἀναλαβών. Διαβληθεὶς δὲ παρέστη Ἐλευσίῳ τῷ ἄρχοντι καὶ τὸν Χριστὸν ὁμολογήσας, τείνεται μέσον δύο στύλων καὶ λαμπάσι καταφλέγεται κατὰ πάντων τῶν τοῦ σώματος μερῶν· καὶ βώλοις σιδηροῖς πυρωθεῖσι τὰς μασχάλας αὐτοῦ διακαίεται καὶ τοῖς μυκτῆρσιν ὀγκίνους εἰσδέχεται καὶ ἐν χαλκῷ τάπητι πυρωθέντι ἁπλοῦται, ὃν παραδόξως ἐκ θέρμης μετέβαλεν εἰς ψυχρότητα· καὶ αὖθις ἐν χαλκῷ πυρωθέντι ταύρῳ βάλλεται καὶ ἐκ πολλῶν ἑτέρων βασάνων δι' ἐπιστασίας ἀγγέλων λυτροῦται· ὅθεν καὶ ἐπισπᾶται πρὸς τὴν πίστιν ἄνδρας πεντήκοντα καὶ | αὖθις τριάκοντα. Ἐπεὶ δὲ τὴν διὰ ξίφους ἀπόφασιν ἐδέξατο, ὁ μέλλων τοῦτον τέμνειν παρείθη καὶ ὡσεὶ νεκρὸς κατέπεσε, τῆς χειρὸς αὐτοῦ σὺν τῷ ξίφει ἀπὸ τοῦ ὤμου πεσούσης· καὶ μηδαμῶς αὐτῷ ἑτέρου προσεγγίσαι τολμήσαντος, αὐτὸς ὁ ἅγιος εὐξάμενος τὸ πνεῦμα παρέδωκε.

f. 99.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου Κολωνείας τοῦ ἡσυχαστοῦ τῆς λαύρας τοῦ ἁγίου Σάβα. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ· ὥρμητο δὲ ἐκ Νικοπόλεως τῆς Ἀρμενίας, περιφανῶν γονέων υἱὸς γεγονὼς Ἐγκρατίου καὶ Εὐφυΐας προσαγορευομένων. Μετὰ οὖν τὴν τελευτὴν τῶν γεννητόρων αὐτοῦ, ὀκτωκαίδεκα χρόνων ἤδη ὤν, πωλήσας τὴν τῶν γεννητόρων ὕπαρξιν καὶ τοῖς πτωχοῖς ἐπιδοὺς τὸν μονήρη βίον ἠσπάσατο· καὶ διὰ τὸ ὑπερβάλλον τῆς αὐτοῦ ἀρετῆς παρὰ τοῦ ἀρχιεπισκόπου Σεβαστείας προεχειρίσθη ἐπίσκοπος ἐν Κολωνείᾳ, τοῦ ταύτης προέδρου τὸν βίον ἀπολιπόντος. Ἔρωτι δὲ τῆς ἡσυχίας τὴν μὲν ἐπισκοπὴν μετὰ δέκατον ἔτος κατέλιπε, τὰ δὲ Ἱεροσόλυμα καταλαβών, ἐπιφανέντος αὐτῷ ἀστέρος καὶ ὁδηγοῦντος, παρεγένετο εἰς τὴν λαύραν τοῦ ἁγίου Σάβα. Ὑποδεχθεὶς οὖν παρὰ τοῦ θεοφόρου τούτου [1], πάσας τὰς ἐν τῇ λαύρᾳ ὑπηρεσίας καὶ διακονίας διήνυσε διὰ τὸ ἀγνοεῖσθαι ὅστις ἦν. Ἐπεὶ δὲ αὐτὸν τῆς ἱερωσύνης ἄξιον ὁ ὅσιος ἔκρινεν, προσήγαγεν αὐτὸν Ἠλίᾳ τῷ πατριάρχῃ Ἱεροσολύμων· ὅθεν ἀναγκασθεὶς ὁ Ἰωάννης λέγει τὰ κατ' αὐτὸν καὶ συγχωρεῖται ἐφ' ἡσυχίας λοιπὸν τὸν βίον διάγειν. Ἐπὶ τοσοῦτον δὲ ἤρθη δι' ἀσκήσεως [2] καὶ ἡσυχίας πρὸς ὕψος ἀρετῆς, ὡς ἐν ὁδοιπορίᾳ τινὶ ὀκλάσαντα αὐτὸν ἀρθῆναι ἄφνω καὶ εὑρεθῆναι ἐν τῷ

2. — [1] Sa, τοῦ ἁγίου μάρτυρος S.

4. — [1] πατρὸς *add.* Sa. — [2] καὶ πολιτείας *add.* S, *sed expunxit.*

Dec. 7.

δοξος [1] γέγονεν οὔτε πάλιν πένης, ἀλλὰ τῶν γονέων αὐτοῦ αὐτάρκως πρὸς τὴν χρείαν ἐχόντων ἐδιδάσκετο τὰ ἱερὰ [2] γράμματα. Εἰς ἡλικίαν δὲ αὐτῷ ἐλάσαντι ἔδοξε συμφέρον τὸν κόσμον καταλιπεῖν καὶ εἰς ἓν τῶν εὐαγῶν σεμνείων τῆς ἰδίας πόλεως [3] εἰσελθεῖν. Καὶ ἀμφιασάμενος τὸ ἅγιον [4] σχῆμα, ἠγωνίζετο πάσας τὰς ἀρετὰς μετελθεῖν. Καὶ τοσοῦτον ὑπερηκόντισε πάντας τοὺς ἐν ἐκείνῳ τῷ σεμνείῳ, δοχεῖον τῶν ἀρετῶν γενόμενος, ὡς καὶ ἑτέρας ἐργασίας κρυπτὰς καὶ [5] μεγάλας καὶ φοβερὰς προσλαβέσθαι, ὡς παρακατιὼν ὁ λόγος δηλώσει [6]. Ποτὲ γὰρ αὐτοῦ μεθ' ἑτέρων ἀδελφῶν πίσσαν ἐν χαλκείῳ διαλύσαντος [7], καὶ ταύτης εἰς ὕψος ἀρθείσης ἐν τῷ κοχλάζειν ἐκχεομένης, ὁρῶν ὁ Παῦλος τὴν τῆς πίσσης ἀπώλειαν, οὐδὲ γὰρ [8] παρέκειτο ξυλάριον ἢ ἕτερόν τι ἐπιτήδειον πρὸς τὸ ἀναταραχθῆναι [9] τὸν βρασμόν, τὴν χεῖρα χαλάσας γυμνὴν [10] εἰς τὸ χαλκεῖον [11] καὶ τὴν πίσσαν εὐφυῶς ἀναταράξας καὶ [12] καχλάζουσαν καταπαύσας, ἐξήγαγε σῶαν καὶ ἀβλαβῆ, μήτε τὴν ὄψιν μολύνας, μήτε τῆς χειρὸς ἢ τοῦ βραχίονος προσλαβομένων τι τὸ σύνολον. Τοῦτο οἱ σὺν αὐτῷ ἀδελφοὶ θεασάμενοι ἐξέστησαν. Καὶ οἱ μὲν τῶν ἀδελφῶν ὡς ἕνα τῶν θεοφόρων ἐλογίζοντο τοῦτον [13] καὶ ἐτίμων, οἱ [14] δὲ παντελῶς ἠπίστουν. Ἐκεῖνος δὲ γῆν καὶ σποδὸν καὶ ὀδωδότα κύνα ἑαυτὸν ἀπεκάλει [15]. Καὶ ὡς ταῦτα ἔλεγεν, ἀπεστάλη εἰς διακονίαν ἐπὶ χρόνον τινά. Τότε ὁ προεστὼς τοὺς εὐλαβεστέρους τῶν ἀδελφῶν συλλέξας [16], εὐχὴν ἐπιτεταμένην [17] σὺν σκληραγωγίᾳ πολλῇ ἐπὶ ῥηταῖς ἡμέραις ἐποιοῦντο περὶ τοῦ μοναχοῦ Παύλου, λέγοντες οὑτωσί· « Κύριε, εἰ ἄξιοί ἐσμεν, δεῖξον ἡμῖν [18] χωρητὸν ἰδεῖν τὸν ἀδελφὸν ἡμῶν Παῦλον, ἄρα » εἰς ποῖα μέτρα ἔφθασε καὶ ποῦ κατετάγη. » Ὁ δὲ τὸ θέλημα τῶν φοβουμένων [19] ποιῶν Θεὸς [20] ᾠκονόμησε μιᾷ τῶν νυκτῶν ἀφυπνώσαντας τοὺς ἀδελφοὺς [21] νεύσει Θεοῦ ἁρπαγέντας εὑρεθῆναι [22] εἰς παράδεισον ποικίλον καὶ πάντερπνον [23], τοσαύτης ἐμφορηθέντα εὐωδίας καὶ τέρψεως ὅσης [24] οὐδὲ εὑρεῖν [25] δυνατόν. Ἐκπληττομένων δὲ αὐτῶν ἐπὶ τῷ παραδόξῳ τούτῳ θεάματι [26], ἔδοξε καὶ τὸν μοναχὸν αὐτοῖς φανῆναι Παῦλον, προσπεσόντα καὶ πάντας ἀσπασάμενον [27]. Ὡς δὲ καὶ ἐπυνθάνοντο [28] μαθεῖν θέλοντες [29] τί τὸ ὁρώμενον, ἤκουον τοῦ Παύλου [30] μετὰ πολλῆς ταπεινώσεως λέγοντος [22]· « Ὁ μὲν » παράδεισος τοῦ Θεοῦ ἐστιν, ὦ [22] ἀδελφοί, καὶ δι' ἡμᾶς οὗτος γέγονεν. Ὅτι δὲ δι' ἐμὲ διὰ τῆς πρὸς » Θεὸν ἐντεύξεως ἠθελήσατε ἕως τῶν ὧδε ἀφικέσθαι, πάρειμι καὶ αὐτός· πλὴν ἀδεῶς λάβετε ἐξ αὐτοῦ » ἕκαστος, ὅπερ ὡς ὑπερέχον τῶν ἄλλων δοκεῖ καὶ ὡς ἐφετόν, καὶ πορεύεσθε ἐν εἰρήνῃ· ἕτερον δὲ ἐν τῇ » διακονίᾳ τῇ ἀνατεθείσῃ μοι [31] ἐξαποστείλατε· ἐμὲ γὰρ οὐκέτι θεάσεσθε. » Οἱ δὲ τὸν Παῦλον κατασπα-

[1] περιφανὴς Mv. — [2] ἐν αὐταρκείᾳ βιούντων τὰ ἱερὰ ἐδιδάσκετο Mv. — [3] πόλεως τῆς ἰδίας Mv. — [4] καὶ ἀγγελικὸν *add.* Mv. — [5] κρυπτὰς καὶ *om.* Mv. — [6] (ὡς - δηλώσει) *om.* Mv. — [7] διαλύσαντες Mb. — [8] ὡς οὐδὲν Mv. — [9] ταραχθῆναι Mv. — [10] γυμνώσας Mv. — [11] ἐχάλασε *add.* Mv. — [12] διαταράξας καὶ εὐφυῶς Mv. — [13] τούτων Mb, *om.* Mv. — [14] τῶν Mv. — [15] ἐκάλει Mv. — [16] συλλεξάμενος Mv. — [17] ἐπιτελουμένην Mv. — [18] (εἰ - ἡμῖν) δεῖξον ἡμῖν κύριε καθὼς ἐστι Mv. — [19] αὐτὸν *add.* Mv. — [20] κύριος Mv. — [21] τοὺς ἀδελφοὺς ἀφ. Mv. — [22] *om.* Mv. — [23] καὶ *add.* Mv. — [24] ὅσον Mv. — [25] εἰπεῖν Mv. — [26] θεάματι τούτῳ Mv. — [27] ἀσπαζόμενον Mv. — [28] ἐπυνθάνετο Mb, ἐπυνθάνοντος Mv. — [29] θέλοντι Mb, θέλοντος Mv. — [30] λέγοντος *add.* Mv. — [31] ἀνατεθείσῃ μοι διακονίᾳ Mv.

Dec. 7.

κελλίῳ αὐτοῦ, τῆς ἐν μέσῳ ὁδοῦ ἐχούσης μίλια πέντε, καὶ ἐν τῇ καταδρομῇ τῶν Περσῶν φρουρεῖσθαι τὸ κελλίον αὐτοῦ ὑπὸ λέοντος. Αἰτησάμενος δὲ τὸν Θεόν[3], πῶς χωρίζεται ἡ ψυχὴ ἐκ τοῦ σώματος, ἐν ἐκστάσει γέγονε καὶ εἶδεν ἄνδρα τινὰ ἐν ἀρετῇ διαπρέψαντα ἐν τῷ τοῦ ναοῦ νάρθηκι[4] τῆς ἁγίας Βηθλεὲμ ἐν τῷ μέλλειν τελευτᾶν μετὰ προπομπῆς ἀγγέλων καὶ ὑμνῳδίας τὴν ψυχὴν ἀφιέντα καὶ ταύτην ὑπ᾽ αὐτῶν ἀναλαμβανομένην. Καὶ μετὰ τὴν ὅρασιν ἀπελθὼν ἐν τῷ ναῷ, εὗρε τὸν ἄνδρα τελειωθέντα. Οὗτός ποτε ἰσχάδος λαβὼν σπέρμα[5] ἐν ἀνίκμῳ τινὶ πέτρᾳ προσέρριψε καὶ τοῖς ἰδίοις εἶπε φοιτηταῖς ὅτι· « Ἐὰν τοῦτο ῥιζω» θὲν βλαστήσῃ καὶ ἐμοὶ ὁ Θεὸς τὴν βασιλείαν[6] » χαρίζεται. » Ἐβλάστησεν | οὖν καὶ μετὰ τριετῆ χρόνον καρποὺς ἐξήνεγκεν, ἐξ ὧν αὐτὸς ὁ ὅσιος μετέλαβε καὶ τοῖς ἑαυτοῦ ἐπέδωκε μαθηταῖς. Γέγονε δὲ μοναχὸς ὀκτωκαιδέκατον ἄγων τῆς ἡλικίας χρόνον, ἐπίσκοπος δὲ ὄγδοον ἤδη καὶ εἰκοστόν· καὶ ἐν τῇ ἐπισκοπῇ διέπρεψεν ἔτη δέκα, καὶ ἐν τῇ λαύρᾳ ἔτη δώδεκα, καὶ εἰς τὸν Ῥουβὰν ἔτη ἕξ, ὡς πληροῦσθαι ἔτη πεντήκοντα ἕξ[7], καὶ ἐν ἡσυχίᾳ ἔτη τεσσαράκοντα ὀκτώ, ὡς εἶναι τὸν σύμπαντα χρόνον τῆς αὐτοῦ βιοτῆς ἔτη ἑκατὸν τέσσαρα. Ἐν δὲ βαθυτάτῳ γήρᾳ καταστὰς καὶ τοῦ τόνου μὴ καθυφεὶς ἀλλὰ νεανικῶς τοὺς κατ᾽ ἄσκησιν[8] ἀγῶνας διεξιὼν πρὸς Κύριον ἐξεδήμησε.

f. 99v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η΄.

Dec. 8.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παταπίου τοῦ ἐρημοπολίτου. Οὗτος ἦν ἐκ Θηβῶν τῶν κατ᾽ Αἴγυπτον ὁρμώμενος· τὸν μονήρη δὲ βίον ἑλόμενος καὶ πολλοὺς χρόνους ἐν τῇ ἐρήμῳ ἀσκήσας, εἶτα ἐν Κωνσταντινουπόλει ἐλθών, πλεῖστα εἰργάσατο θαύματα, τυφλοὺς ὀμματώσας καὶ ὑδεριῶντας[1] διὰ χρίσεως ἐλαίου ἁγίου ἰασάμενος καὶ δαίμονας ἀπελάσας καὶ καρκῖνον ἀπὸ μαστοῦ γυναικὸς θεραπεύσας ἢ ἐκριζώσας καὶ ἀφανίσας, — σκώληξ γὰρ ὁ καρκῖνός ἐστιν διαβιβρώσκων ἔνθα δὴ καὶ[2] ὑπάρχοι[3] — ἐν εἰρήνῃ τῷ Κυρίῳ τὸ ἑαυτοῦ παρέθετο πνεῦμα.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ ὑπὸ τῶν Ἀρειανῶν ἀναιρεθέντων. Οὗτοι οἱ ἅγιοι μάρτυρες κατὰ τοὺς καιροὺς Ζήνωνος[1] βασιλέως Ῥωμαίων ὑπῆρχον· τὴν δὲ τῆς Ἀφρικῆς ἀρχὴν Ὀνώριχος[2] μετὰ τὴν τοῦ πατρὸς αὐτοῦ τελευτὴν Γιζερίχου κατεῖχεν, ἀρειανὸς ὑπάρχων. Ὃν οἱ τῆς Ἀρείου αἱρέσεως ἐπίσκοποι Κυρίλλας τε καὶ Βηλινάνδης πείσαντες διωγμὸν μέγαν κατὰ τῶν ὀρθοδόξων κινῆσαι, τοιοῦτον αὐτὸν ἀνερρίπισαν, ὡς ὑπερβῆναι καὶ τοὺς κατὰ τοὺς[3] χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ κινηθέντας. Ἐκ πασῶν γὰρ τῶν ἐν τῇ χώρᾳ πόλεων, δεκαπέντε τυγχανουσῶν, πάντας τοὺς ἱερεῖς ἐκδιωχθῆναι προστάττει, πρότερον τῶν τῆς ἐκκλησίας ἱερῶν τε καὶ ἐπίπλων ἀφαιρεθέντων· ἔπειτα μίαν ἐκκλησίαν οἱ ὀρθόδοξοι καταλαβόντες τὴν μυστικὴν ἐκεῖσε λειτουργίαν ἐπετέλουν[4]. Ὅπερ γνόντες οἱ βάρβαροι περιέσχον ταύτην καὶ ξύλα κομίσαντες καὶ λοιπὴν ὕλην ξηρὰν ἐνεγκόντες περὶ αὐτὴν ὑφῆψαν σὺν | πᾶσι τοῖς αἰνοῦσι τὸν Θεόν· ὅπερ[5] Ὀνώριχος ἀποδεξάμενος προσέταξε τοὺς μὴ ἀναβαπτιζομένους τὸ ἀρειανὸν[6] βάπτισμα παραχρῆμα ἀναιρεῖσθαι. Καὶ ὅσοι μὲν τὰ τῶν βασανιστηρίων κολάσεων φόβητρα φέρειν οὐκ ἠδύναντο, φυγῇ τὴν σωτηρίαν ἐκέρδησαν, ἀπολιπόντες οἴκους καὶ χώρας· ὅσοι δὲ ἐρρωμένοι πρὸς τὴν ὀρθόδοξον πίστιν ὑπῆρχον, προθύμως μάλα πρὸς τὸν διὰ τῶν κολάσεων θάνατον ἐξέδωκαν

f. 100.

— [3] ἰδεῖν *add.* Sa. — [4] *corr.* Sa, *prius* ἄρθηκι. — [5] σπέρμα λαβὼν Sa. — [6] αὐτοῦ *add.* Sa. — [7] (ὡς - ἕξ) *om.* Sa. — [8] κατὰ τὴν ἄσκησιν Sa.

1. — [1] Sa, ὑδεριῶντα S. — [2] *om.* Sa. — [3] ὑπάρχει Sa.

2. — [1] Sa. Ζωήνου S. — [2] Ὀνόριχος *et deinceps*, S, Sa. — [3] *om.* Sa. — [4] ἐπιτέλουν Sa. — [5] τοῦτο Sa. — [6] τὸ τῶν ἀρειανὸν Sa.

Dec. 7.

σάμενοι καὶ λαβόντες ὁ μὲν ἄνθος, ἕτερος[32] κλάδον, ἄλλος φύλλα τερπνότατα καὶ[22] ἕτερος[33] βοτάνας, ἐξῄεσαν. Καὶ τὸν ὕπνον ἅπαντες ὁμοῦ ἀποτιναξάμενοι καὶ εἰς ἓν συνελθόντες, τὰ ὁραθέντα[34] διηγοῦντο εὐφραινόμενοι καὶ δοξάζοντες τὸν Θεόν. Ὁ μὲν γὰρ ὑπεδείκνυεν τοῖς λοιποῖς[35], ὅπερ ἐκεῖθεν ἔλαβεν. Ὁ δὲ ἔλεγε μὲν[36] εἰληφέναι τόδε, ἐδείκνυε δὲ οὐδέν. Ἕτερος δὲ διεβεβαιοῦτο ἐφ᾽ ἱκανὸν τὴν εὐωδίαν φέρειν ἐν τοῖς ῥισίν, οὗπερ αὐτοχείρως ἐκεῖθεν ἐδράξατο, εἰ καὶ μηδὲν ἐπεφέρετο. Ὁ δὲ μακάριος Παῦλος ἐκεῖθεν ἀπαναστὰς ἐν ᾗ δηλονότι διακονίᾳ ἀποσταλεὶς προσήδρευε, πρὸς τὰ Ἱεροσόλυμα ᾤχετο. Καὶ τοὺς ἐκεῖσε τόπους καταλαβὼν καὶ προσευξάμενος, εἰς Κύπρον ἀφίκετο καὶ[36] ἐν ὄρει ὑψηλῷ τῆς νήσου χρόνους[37] διατελέσας, ὡς[36] οὐκ ὀλίγοι πρὸς αὐτὸν συνέρρεον[38] τῆς φήμης πανταχόθεν[39] διαδραμούσης, κἀκεῖθεν[40] ἀνεχώρησε. Καὶ πρὸς τὰ τῷ Βυζαντίῳ παρακείμενα μέρη παραγενόμενος κἀν τούτοις τῷ Θεῷ[41] εὐαρεστήσας, φωνῆς ἐκεῖθεν ἀξιοῦται, ὡς ὁ θεόπτης[42] πάλαι Μωϋσῆς· « Ἀνάβηθι, » πρὸς[43] τὸ ὄρος, Παῦλε[36], λεγούσης[36], καὶ τελεύτα. » Εἰς ἓν τοίνυν τῶν ὑψηλῶν ὀρέων ἀνελθὼν ἐγχωρίως Παρηγορία ὀνομαζόμενον, τῷ Θεῷ προσεκύνησε· καὶ μικρὸν ἐν τούτῳ ἐπιβιοὺς ἐκοιμήθη ἐν εἰρήνῃ[44]. — **Mr** : 1.

Dec. 8.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **Sb** : 1. — Ἰωάννου ἐπισκόπου Κολωνείας (Dec. 7[4]). — **H** : Ἰωάννου ἐπισκόπου Κολωνείας. — 4. 5. — **P** : Τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων Ἰωάννου γενομένου Κολωνείας καὶ (4) Σωφρονίου Κωνσταντίας τῆς Κύπρου. — 5. — **Da** : 1 : Ἰωάννου ἐπισκόπου

— [32] ὁ δὲ Mv. — [33] ἕτεροι Mv. — [34] τὰ ὁραθέντα *om.* Mv. — [35] τοῖς ἄλλοις ὑπεδείκνυεν Mv. — [36] *om.* Mv. — [37] πολλοὺς *add.* Mv. — [38] καὶ *add.* Mv. — [39] διαδοθείσης καὶ *add.* Mv. — [40] ἐκεῖθεν Mv. — [41] τῷ Θεῷ *om.* Mv. — [42] θεσπέσιος Mv. — [43] Παῦλε εἰς Mv. — [44] κυρίῳ Mv.

Dec. 8.

ἑαυτούς. Τριακόσιοι δ᾽[7] οὖν ὑφ᾽ ἓν ἐν Καρχηδόνι κομισθέντες, μὴ συμφρονεῖν Ἀρειανοῖς ἑλόμενοι, κεφαλικὴν ὑπέσχον τιμωρίαν· τοῖς δ᾽[8] ἱερεῦσι μείζονας καὶ φοβερὰς τὰς τιμωρίας ἐπενόουν. Δύο γὰρ ἐξ αὐτῶν κατέπρισαν, ἑξήκοντα δὲ τοὺς λογιωτάτους[9] ἐγλωσσοτόμησαν ἐξ αὐτῶν τῶν κιονίδων· οἳ καὶ διασπαρέντες ἐν πάσῃ τῇ ὑπὸ Ῥωμαίους γῇ τὴν τοῦ Θεοῦ μεγίστην ἐν αὐτοῖς θαυματουργίαν ἐκήρυττον, ἄνευ γλώττης ἀπταίστως τε καὶ τρανῶς τὰ λεγόμενα διαρθροῦντες, ὡς καταπλήττεσθαι τοὺς ὁρῶντας καὶ ἀκούοντας τούτων· ἐξ ὧν εἷς τις μετὰ τὴν χάριν τῆς ἐν Χριστῷ ὁμολογίας ὀλισθήσας εἰς σαρκικὴν ἁμαρτίαν, τὴν θείαν χάριν ἀποστῆναι πεποίηκεν ἀπ᾽ αὐτοῦ. Περὶ τούτων πολλοὶ συγγραφεῖς καὶ ἱστορικοὶ διηγήσαντο. Ἀλλὰ ταῦτα μὲν ὑπὸ Βανδούλων ἐν Ἀφρικῇ τοῖς ὁμοούσιον τῷ Πατρὶ τὸν Θεὸν λόγον ὁμολογοῦσι[10] χριστιανοῖς ἐτολμήθη. Ἐν δὲ τῇ πρεσβυτέρᾳ Ῥώμῃ κατὰ τὸν αὐτὸν[11] καιρὸν Σούνηλδις[12] ἡ γαμετὴ τοῦ τὴν Ῥώμην[13] κατέχοντος ῥηγὸς Ὀδοάκρου, τὰ ὅμοια περὶ τὴν πίστιν νοσοῦσα, μίαν τινὰ τῶν πολιτίδων γυναῖκά τινος τῶν μεγιστάνων[14] ἠνάγκαζε τὸ τῶν Ἀρειανῶν ἀναβαπτισθῆναι βάπτισμα. Ὡς δὲ πεῖσαι οὐκ εἶχεν, καὶ ἄκουσαν εἰς τὸ ὕδωρ ὑπὸ τοῦ ἐπισκόπου Μεδιολάνων βαπτισθῆναι εἰσήγαγεν· ἡ δέ, ὡς ἀνῆλθεν ἐκ[15] τῆς κολυμβήθρας, ὀβολοὺς ᾐτήσατο παρὰ τῆς ἑαυτῆς[16] θεραπαινίδος δύο καὶ τῷ ἐπισκόπῳ δέδωκεν εἰποῦσα· « Ἰδοὺ ἀπέχεις σου[17] » τὸν μισθὸν τοῦ βαλανείου. » Ὀργισθεῖσα οὖν ἡ Σούνηλδις παραυτίκα ὁλόκαυστον ἐποίησε ταύτην. Ἧς ὁ ἀνὴρ φοβηθεὶς αὐτόμολος ἧκε καὶ ἀνεβαπτίσθη εἰς[18] θρησκείαν Ἀρείου. Ὀχούμενος δὲ ἵππῳ καὶ γενόμενος ἐν εὐκτηρίῳ πρὸ τῆς πόλεως, ὑπὸ σκηπτοῦ πεσόντος ἐνεπρήσθη καὶ ἐπειράθη, ὡς ἡ τοῦ Θεοῦ κρίσις δραστικωτέρα τοῦ προσκαίρου πυρὸς αὐτῷ γέγονε.

f. 100v.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα | Σωσθένους, Ἀπολλῶ[1], Κηφᾶ, Τυχικοῦ, Ἐπαφροδίτου[2], Καίσαρος καὶ Ὀνησιφόρου. Τούτων ὁ μὲν Σωσθένης, οὗτινος καὶ ὁ ἅγιος Παῦλος μέμνηται, ἐπίσκοπος Κολοφῶνος ἐγένετο. Ὁ δὲ Ἀπολλώς, οὗτινος καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ, ἐπίσκοπος Καισαρείας ἐγένετο. Ὁ δὲ Τυχικός, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, δεύτερος ἐπίσκοπος μετὰ Σωσθένην Κολοφῶνος ἐγένετο. Ὁ δὲ Ἐπαφρόδιτος, οὗτινος καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, ἐπίσκοπος Ἀδράκης ἐγένετο. Ὁ δὲ Καῖσαρ, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς[3] ἀπόστολος μέμνηται, ἐπίσκοπος Κορώνης γέγονε[4]. Οὗτοι πάντες καλῶς πολιτευσάμενοι καὶ ὁσίως ποιμάναντες καὶ κυβερνήσαντες τὰς λαχούσας αὐτοῖς ἐκκλησίας καὶ τὸν λαὸν καὶ πολλοὺς πειρασμοὺς καὶ βασάνους ὑπομείναντες ὑπὲρ Χριστοῦ, παρὰ τῶν εἰδωλολατρῶν ἐτελειώθησαν, παραδόντες τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ, ὑπὲρ οὗ προθύμως ἐσφάγησαν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σωφρονίου ἐπισκόπου Κύπρου. Οὗτος γέγονεν ἀπὸ τῆς Κύπρου τῆς μεγάλης νήσου, χριστιανῶν καὶ εὐλαβῶν γονέων υἱός. Ἦν δὲ δι᾽ εὐφυΐαν πολυμαθής[1], ἀναγνοὺς ἐπιμελῶς τὴν ἁγίαν γραφὴν καὶ μελετήσας τὰ λόγια Κυρίου νυκτὸς καὶ ἡμέρας. Τοσοῦτον δὲ γέγονεν ἐνάρετος καὶ εὐλαβής, ὥστε καὶ μεγάλων χαρισμάτων ἀξιωθῆναι καὶ πολλὰ θαύματα ποιῆσαι· διὸ καὶ μετὰ θάνατον Δαμιανοῦ τοῦ ἁγιωτάτου ἐπισκόπου Κύπρου, ὑπὸ τοῦ λαοῦ παντὸς καὶ τῶν ἐπισκόπων προχειρίζεται ἀρχιεπίσκοπος τῆς ἐν Κύπρῳ ἁγιωτάτης ἐκκλησίας. Παραλαβὼν δὲ τὴν ἐκκλησίαν, ἐγένετο πενήτων χορηγός, ὀρφανῶν βοηθός, χηρῶν προστάτης, καταπονουμένων λυτρωτής, γυμνῶν σκέπη. Οὕτω δὲ βιώσας καὶ Θεῷ ἀρέσας ἐν πᾶσιν, ἐν εἰρήνῃ ἐκοιμήθη.

5. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κουράτορος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ΄.

Dec. 9.

1. Ἡ σύλληψις τῆς ἁγίας Ἄννης[1] μητρὸς τῆς Θεοτόκου. Ὁ κύριος ἡμῶν καὶ Θεὸς θέλων ἑτοιμάσαι ἑαυτῷ[2] ναὸν ἔμψυχον καὶ οἶκον ἅγιον εἰς κατοικίαν ἑαυτοῦ, τὸν ἄγγελον αὐτοῦ ἀπέστειλε[3] πρὸς τοὺς δικαίους Ἰωακεὶμ καὶ Ἄνναν, ἐξ ὧν ἠθέλησε προελθεῖν τὴν κατὰ σάρκα μητέρα αὐτοῦ. Καὶ προεμήνυσε τὴν σύλληψιν τῆς ἀγόνου καὶ στείρας, ἵνα βεβαιώσῃ τῆς παρθένου τὴν γέννησιν· ὅθεν

— [7] *om.* Sa. — [8] δὲ Sa. — [9] λογιωτέρους Sa. — [10] (τοῖς - ὁμολογοῦσι) *om.* Sa. — [11] *corr. supra lin.* Sa. — [12] Σούνιλδις Ba, Σάνηλδις Sa, *et deinceps.* — [13] χώραν Sa. — [14] μεγίστων Sa. — [15] ἀπὸ Sa. — [16] ἑαυτοῦ Sa. — [17] *om.* Sa. — [18] τὴν *add.* Sa.

3. — [1] Ἀπολῶ S. — [2] Ἐπαφροδήτου S. — [3] *om.* Sa. — [4] ἐγένετο Sa.

4. — [1] πολλυμαθής S.

1. — [1] τῆς *add.* Sa *supra lin.* — [2] ἐν αὐτῷ Sa. — [3] ἀποστέλλει Sa.

Dec. 8.

Κολωνείας (Dec. 7[4]). — **Db** : 1. — Ἰωάννου. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : Ἀθηνοδώρου (Dec. 7[3]). — **Ba** : 1 (= S, des. : τὸ δὲ τίμιον αὐτοῦ λείψανον κατετέθη ἐν Κωνσταντινουπόλει). — Ἰωάννου ἐπισκόπου Κολωνείας (= S, Dec. 7[4]). — **Bb** : Ἀθηνοδώρου. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Ἰωάννου. — **C** : mutil. : Ἰωάννου. — 4. 3. — **Ca** : Ἰωάννου. — 4. 3. — **Cb** : Ἰωάννου. — 3. — **Cc** : Ἰωάννου. — 4. 3. — **Cd** : Ἰωάννου. — 4. 3. — **M** : deest. — **Mv** : 1. 3. 4. — **Mb** : 1. 3. 2. 4. — Ἰωάννου συνασκητοῦ τοῦ μεγάλου Σάβα (Dec. 7[4]). — Τῆς προφήτιδος Ἄννης. — **Mr** : 1.

Dec. 9.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. 3. 4. — Παταπίου (Dec. 8[1]). — **P** : 1. — Παταπίου. — 4. — **Da** : 1 (= F). 2 (= Ba). — **Db** : 1. 2. — **F** : 1 : Ταύτην τὴν ἡμέραν πανηγυρίζομεν ὡς ἀνάμνησιν ἔχουσαν τῶν ὑπ᾽ ἀγγέλου δοθέντων χρησμῶν, τὴν ἁγίαν σύλληψιν εὐαγγελισαμένου τῆς ἁγνῆς θεομήτορος. Οὓς ἔργα ποιῶν ὁ ἐκ τοῦ μηδενὸς ὑποστήσας τὰ πάντα Θεὸς διήγειρε τὴν στειρεύ-

Dec. 9. συνελήφθη ἡ ἁγία παρθένος[4] καὶ ἐγεννήθη οὐχ, ὡς λέγουσί τινες, ὅτι ἑπτὰ μηνῶν ἢ ὅτι[5] χωρὶς ἀνδρός, ἀλλὰ τελείων ἐννέα μηνῶν καὶ ἐξ ἐπαγ- f. 101. γελίας μέν, ἐκ συνα|φείας δὲ ἀνδρός. Μόνος γὰρ ὁ κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς ἄνευ ἀνδρὸς καὶ χωρὶς συναφείας καὶ σπορᾶς ἐγεννήθη ἐκ τῆς ἁγίας ἀειπαρθένου, ἀπορρήτως καὶ ἀνερμηνεύτως, ὡς οἶδεν ἐκεῖνος μόνος· καὶ τέλειος ὑπάρχων Θεός, πάντα αὐτοῦ τῆς κατὰ σάρκα οἰκονομίας τέλεια προσελάβετο, καθὼς καὶ τὴν τῶν ἀνθρώπων φύσιν ἐδημιούργησε καὶ[5] ἔπλασε τὸ κατ᾽ ἀρχάς. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ τῷ ὄντι ἐν τοῖς Χαλκοπρατείοις[6], πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ νεολαμποῦς, τοῦ[1] ἐν τῷ ἁγίῳ Ἀντίπᾳ κειμένου. Οὗτος ὁ ἀρτιφανὴς ἀστὴρ ὑπῆρχεν Κωνσταντινουπόλεως γέννημά τε καὶ θρέμμα, πατέρες δὲ αὐτῷ Ζαχαρίας καὶ Θεοφανὼ πάσῃ ἀρετῇ καὶ συνέσει κοσμούμενοι[2] καὶ τὰς οἰκήσεις ποιούμενοι ἐν τῇ τοποθεσίᾳ τοῦ Ζεύγματος[3], οὐ μακρὰν τοῦ ναοῦ τοῦ θείου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου. Τοῦτον ἡ μήτηρ ἐγκυμονοῦσα παντοίας τροφῆς παχυτέρας ἀπείχετο, ἄρτῳ καὶ λαχάνοις καὶ ὕδατι ἀρκουμένη μέχρι τοῦ τοκετοῦ. Τεχθέντος δὲ τοῦ παιδὸς σταυρὸς φωτοειδὴς καὶ ὑπέρκαλος ἐν τοῖς στέρνοις αὐτοῦ ὡράθη· ὅπερ σημεῖον μέγιστον τῆς εἰς ὕστερον αὐτῷ γενομένης τοῦ βίου[4] σταυρώσεως δέδεικται. Ἐπεὶ δὲ σπαργάνοις ἐνειλήθη ὁ παῖς, ἀνάγκη ἦν καὶ μαζὸν αὐτὸν ἕλκειν· καὶ εἴ γε τῇ μητρὶ δαψιλεστέρας τροφῆς ἐμφορηθῆναι ἔδοξεν, οὐδ᾽ ὅλως ἥπτετο τῶν μαστῶν, πολλάκις καὶ διὰ δύο καὶ τριῶν ἡμερῶν, εἰ τοῦτο συνέβη· καὶ λοιπὸν ἡ τοῦ παιδὸς τροφὴ τῆς μητρὸς ἦν ἐγκράτεια· ἐντεῦθεν ἔκπληξις ὁμοῦ καὶ θλίψις εἶχε τοὺς φίλους καὶ συγγενεῖς. Εἶτα βαπτίζεται, ἀπολύεται τῶν σπαργάνων, ἀπογαλακτίζεται, κατὰ λόγον αὐξάνει καὶ εἰς τὴν διατριβὴν τῶν γραμμάτων ἐκπέμπεται· ἃ καὶ προθύμως μετήρχετο καὶ ἦν τοῖς γονεῦσιν ὑποτασσόμενος. Ἐπεὶ δὲ ἐκ ποδῶν ὁ θεομισὴς ἐγένετο Θεόφιλος καὶ παραυτίκα ἐπὶ τὸν τῆς ἀρχιερωσύνης θρόνον ψήφῳ θείᾳ ὁ ἐν ἁγίοις Μεθόδιος ἀνάγεται, καὶ ὁ τίμιος Ζαχαρίας ὁ τοῦδε πατὴρ ὑπ᾽ αὐτοῦ χειροτονεῖται πρεσβύτερος καὶ τῷ τῆς μεγάλης ἐκκλησίας καταλέγεται κλήρῳ. Τότε δὴ καὶ ὁ θεῖος Στέφανος κείρεται τὴν κόμην τῆς κεφαλῆς, καὶ αὐτὸς[5] κληρικὸς καθίσταται καὶ τῷ πατρὶ ἀκολουθεῖ εἰς τὴν μεγάλην ἐκκλησίαν ἐνδελεχῶς ἀπιόντι· τῷ ὀκτωκαιδεκάτῳ δὲ ἔτει τῆς τοῦ παιδὸς ἡλικίας ὁ πατὴρ τὸν βίον καταλιμπάνει. Αὐτὸς δὲ ἐν | τῷ εὐκτηρίῳ τοῦ ἁγίου καὶ κορυ- f. 101 φαίου[6] Πέτρου ἐγκλείσας ἑαυτὸν ἀπρόϊτος ἦν ἐκεῖσε διατελῶν προσευχόμενος καὶ λαχάνοις μόνοις ἀρκούμενος. Ἐν τούτοις αὐτοῦ πολιτευομένου, μιᾷ τῶν νυκτῶν ἐπιφαίνεται αὐτῷ ὁ τοῦ Κυρίου ἀπόστολος Πέτρος καί φησιν· « Εἰρήνη » σοι, τέκνον, καλή σου τῆς προθυμίας ἡ ἀρχή. Ὁ » Κύριος ἐνδυναμώσει σε. » Οὕτως[7] ἐπὶ τρισὶν ἔτεσι προσκαρτερήσας, καθορᾷ τὸν θεῖον καὶ ἱερομάρτυρα Ἀντίπαν αὐτῷ λέγοντα[8]· « Εἰρήνη σοι, » τέκνον, ψάλλε μοι καὶ οὐ μή σε ἐγκαταλίπω. » Ἔκτοτε δὲ ἐπέτεινεν ἑαυτὸν ἐπὶ πλεῖον[9] τῇ προσευχῇ καὶ νηστείᾳ, ἅπαξ τῆς ἑβδομάδος ἢ δὶς τοῦ λαχάνου μετέχων· κράμβη δὲ ἦν ἄνευ ἅλατος· οὕτως ἑαυτὸν καθαγνίσας, τῆς τοῦ πρεσβυτέρου τιμῆς ἀξιοῦται, πλεῖστα ἐργασάμενος θαύματα. Τῷ δὲ δωδεκάτῳ ἔτει τοῦ τῆς εὐσεβοῦς λήξεως βασιλέως Βασιλείου καὶ σαρακοστῷ[10] τῆς ἡλικίας τοῦ ὁσίου, σεισμὸς μέγιστος γέγονεν. Ἐξ οὗ τοῦ ναοῦ[11] τοῦ ἁγίου Ἀντίπα πανταχόσε διαρραγέντος, ἐξῆλθεν ἐκεῖθεν ὁ ὅσιος[12] καὶ εἰσῆλθεν ἔν τινι λάκκῳ ταφοειδεῖ, ἐν ᾧ προσκαρτερήσας χρόνους δώδεκα, διεφθάρησαν αἱ τρίχες τῆς κεφαλῆς καὶ τοῦ πώγωνος αὐτοῦ καὶ οἱ ὀδόντες ἐχαυνώθησαν, καὶ σχεδὸν ὅλον τὸ σῶμα τοῦ ἁγίου κατελύθη[13]· πάνυ γὰρ ἦν ὁ τόπος ὑπὸ πολλῆς νοτίδος πολιορκούμενος[14]. Καὶ ἀναγκασθεὶς ἐξῆλθε τοῦ λάκκου ὅλος νενεκρωμένος καὶ ὑπεράνω σανίδας[15] καταστρώσας καὶ τρίχινον ὑποθεὶς σάκκον, ἀνέκλινεν ἑαυτὸν ἄνωθεν τοῦ σάκκου καὶ τῶν σανίδων. Εἶτα τὸ ἀγγελικὸν ὑποδὺς σχῆμα, ὁπόταν ἐν ταῖς

— [4] Μαρία *add.* Sa. — [5] ἕως *add.* S. — [6] ἐν τῷ σεβασμιωτάτῳ οἴκῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς εὐουράνοις πλησίον τῆς μεγάλης ἐκκλησίας Sa.

2. — [1] τῷ Sa. — [2] κοσμουμένη Sa. — [3] Ζεύματος Sa. — [4] τοῦ βίου γενομένης Sa. — [5] *om.* Sa. — [6] ἀποστόλου *add.* Sa. — [7] οὖν *add.* Sa. — [8] λέγων αὐτῷ Sa. — [9] ἐπὶ πλεῖον *om.* Sa. — [10] σαρακοστὸν S, τεσσαρακοστῷ Sa. — [11] τοῦ ναοῦ *om.* Sa. — [12] ὁ ὅσιος *corr.*, *prius* ὁσίως Sa. — [13] σῶμα αὐτοῦ παρελύθη Sa. — [14] πολυουρκούμεγος Sa. — [15] σανίδος Sa.

Dec. 9. ουσαν νηδὺν εἰς καρπογονίαν καὶ τὴν ἐν ἀπαιδίᾳ τὸν βίον καταγηρῶσαν παιδοτόκον μητέρα παραδόξως ἐργάζεται, ἄξιον πέρας τῆς δικαίας αἰτήσεως τῶν δικαίων τοῦτο παρασχών. Ἐξ ἧς αὐτὸς ἔμελλε σαρκοφόρος Θεὸς προελθεῖν εἰς ἀναγέννησιν τοῦ παντός, θυγατέρα τεκεῖν τοὺς σώφρονας εὐδοκήσας γεννήτορας Θεοῦ καὶ ἀνθρώπων μεσίτριαν, τὴν πρὸ αἰώνων ἐκ πασῶν γενεῶν γενήσεσθαι προωρισμένην τε καὶ ἐκλελεγμένην. — 2. — **Fa** : 1. 2. — **B** : 1. — Ἰωάννου (Dec. 7[4]). — Σωσθένους κτλ. (Dec. 8[3]). — Παταπίου (Dec. 8[1]). — Σωφρονίου (Dec. 8[4]). — **Ba** : 1. 2 : Στεφάνου τοῦ νέου τοῦ ἐν τῷ ἁγίῳ Ἀντίπᾳ. Οὗτος ἦν Κωνσταντινουπόλεως γέννημα καὶ θρέμμα, πατέρων Ζαχαρίου καὶ Θεοφανοῦς τὰς οἰκήσεις ποιουμένων ἐν τῇ τοποθεσίᾳ τοῦ Ζεύγματος, εὐλαβῶν καὶ θεοφιλῶν... Des. : τραχὺν τῆς ἀσκήσεως δρόμον τὸ τριακοστὸν τῆς ὅλης αὐτοῦ ζωῆς ἐννάτῃ τοῦ δεκεμβρίου μηνὸς κεκοίμηται. — **Bb** : 1. — Ἰωάννου. — Σωσθένους κτλ. — Παταπίου. — Σωφρονίου. — **T** : 1. — **L** : 1. 2. — **Q** : 1. — Ἐασίου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως· διαβληθεὶς δὲ πρὸς τὸν ἄρχοντα Καλβησιανὸν καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενος, πρῶτον μὲν δεσμεῖται χεῖρας καὶ πόδας· ἔπειτα κρεμᾶται ἐπὶ ξύλου ὀρθοῦ καὶ χερσὶ σιδηραῖς ξέεται. Μετὰ δὲ ταῦτα σφυραῖς σιδηραῖς τὰς κνήμας αὐτοῦ θλάττεται καὶ τῇ εἱρκτῇ ἐναπορρίπτεται· εἶτα πάλιν ἐκβληθεὶς σιδηροῖς ὄνυξι πεπυρακτωμένοις τὰς ἀκοὰς αὐτοῦ κατετρήθη· καὶ αὖθις

δεσποτικαῖς ἑορταῖς τὴν θείαν λειτουργίαν ἐπετέλει, ἐν τῇ ἀπολύσει ἰσχάδα μόνην ἐλάμβανε καὶ ὕδατι βραχυτάτῳ τὸ στόμα αὐτοῦ περικλύζων, διέμενεν ἐν τούτοις ἀρκούμενος. Οὕτως ὁ μακάριος καὶ οὐρανοπολίτης πατὴρ ἡμῶν ἐπὶ πέντε καὶ πεντήκοντα ἔτεσι τὸν ἐπίπονον καὶ τραχὺν τῆς ἀσκήσεως διηνυκὼς δρόμον, τῷ ἑβδομηκοστῷ τρίτῳ ἔτει τῆς ὅλης αὐτοῦ ζωῆς μᾶλλον δὲ νεκρώσεως τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ παρατίθεται. Dec. 9.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

4. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Σωσιθέου, Ναρσῆ καὶ Ἰσαάκ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου. Ὁ ἅγιος μάρτυς Μηνᾶς f. 102. ἦν ἐπὶ Μαξιμιανοῦ ¦ τοῦ βασιλέως. Ἐγένετο δὲ εἰς Ἀλεξάνδρειαν ζήτησίς τινων πραγμάτων καὶ ἀπεστάλη παρὰ τοῦ βασιλέως, ἵνα[1] λύσῃ[2] τὴν φιλονεικίαν ὡς σοφὸς καὶ ῥήτωρ. Ἀπελθὼν οὖν εἰς Ἀλεξάνδρειαν καὶ τὴν φιλονεικίαν διέλυσε[3], καὶ τοὺς χριστιανοὺς προθυμοτέρους ἐποίησεν καὶ πολλοὺς τῶν ἀσθενούντων ἰάσατο. Ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς ἀποστέλλει Ἑρμογένην τὸν ἔπαρχον, ἵνα βασανίσῃ τὸν ἅγιον Μηνᾶν καὶ μεταστήσῃ αὐτὸν ἀπὸ τῆς τῶν χριστιανῶν πίστεως. Ὁ δὲ ἀπελθὼν ἐτύφλωσε τὸν ἅγιον καὶ τὴν γλῶτταν αὐτοῦ ἔκοψεν. Ὡς δὲ εἶδε πάλιν αὐτὸν ὑγιάναντα, ἐπίστευσε καὶ αὐτός. Καὶ παρὰ μὲν τοῦ ἁγίου Μηνᾶ ἐβαπτίσθη, παρὰ δὲ τῶν συνελθόντων ἐπισκόπων ἐχειροτονήθη ἐπίσκοπος. Ἀκούσας δὲ ὁ βασιλεὺς αὐτὸς ἀπελθὼν ἐτιμωρήσατο αὐτούς, ὁμῶς[4] καὶ τὸν νοτάριον τοῦ ἁγίου Μηνᾶ Εὔγραφον πιστεύσαντα· καὶ οὕτως αὐτοὺς μαχαίραις κατακόψας ἐθανάτωσεν. Ἀνηνέχθη δὲ τὰ τίμια αὐτῶν λείψανα καὶ κατετέθη ἐν Βυζαντίῳ[5], ἔνθα νῦν εἰσι, τοῦτο τοῦ ἁγίου Μηνᾶ πρὸς Κύριον δεηθέντος. Τὸ δὲ μαρτύριον αὐτῶν, ὥς φασιν, συνεγράψατο ὁ μέγας Ἀθανάσιος ὁ Ἀλεξανδρείας. Dec. 10.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου καὶ

1. — [1] *om.* Sa. — [2] λύσαι Sa. — [3] ἔλυσε Sa. — [4] ὅμως S, ὁμοίως Sa. — [5] Κωνσταντινουπόλει Sa.

Dec. 9. τῇ τοῦ ξίφους τιμωρίᾳ κατεδικάσθη καὶ οὕτως ἐτελειώθη. — **C** : 2. 1. 4. — Παταπίου (Dec. 8[1]). — **Cb** : 1. — Παταπίου. — **Cc** : 2. 1. 4. — Παταπίου. — **Cd** : 1. 4. — Παταπίου. — **M** : deest. — **Mv** : 1. — τῆς ἁγίας προφήτιδος Ἄννης τῆς μητρὸς Σαμουὴλ τοῦ προφήτου. — 2. 4. — **Mb** : 1. 2. 3. 4. — Τῶν ἀδελφῶν τῶν ἐν τῇ Σκύρῳ τελειωθέντων. — **Mr** : 1.

Dec. 10. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : 1. 2. — **H** : 1. 3. 4. 5. — **P** : 1 : (τούτων τῶν ἁγίων μαρτύρων τὸ μαρτύριον συγγράφεται ὁ ἅγιος Ἀθανάσιος Ἀλεξανδρείας). — 3. — **Da** : 1 (= F). 2. — **Db** : 1. 2 (Γεμέλδου). — **F** : 1. 2. — **Fa** : 1 : Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμίνου. Ζητήσεως δὲ γεναμένης παρὰ τῶν Ἀλεξανδρέων περί τινων κινηθέντων ... Des. : Συνανῃρέθησαν δὲ καὶ ὁ ἅγιος Μηνᾶς καὶ Ἑρμογένης μαχαίραις, ἀμφότεροι Ἀθηναῖοι καὶ αὐτοὶ ὑπάρχοντες· καὶ ἀνηνέχθη τὰ τίμια αὐτῶν λείψανα θείῳ προστάγματι καὶ κατετέθη ἐν τῷ προτειχίσματι Ἀκροπόλεως, ἔνθα νῦν εἰσι θαυματουργοῦντες καὶ μέγιστα σημεῖα ἐπιδεικνύμενοι. — 2. — **B** : 1. 2. — **Ba** : 1 (Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμίνου· ὁ γοῦν μακάριος Μηνᾶς κτλ.). — 2 (= S). — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Λευκίου. Οὗτος ὑπῆρχεν ἐπὶ Δεκίου τοῦ βασιλέως, γένους ὑπάρχων ἐντίμου κτλ. (cf. Dec. 14[1]). — **C** : 1. 3. 4. 2. — Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ ἐπισκόπου Εἰσόλων τοῦ γραμματικοῦ τοῦ ἐν Σουλάνου κοιμηθέντος. — **Ca** : 1. 3. 4. 2. — Λουκᾶ. — **Cb** : 1. 2. — **Cc** : 1. 3. 4. 2. — **Cd** : 1. 3. 4. 2. — **M** : mutil. Θωμᾶ. — **Mv** : 1. 2. — Θωμᾶ τοῦ Δεφουρκινοῦ. — **Mb** : 1. 2. — Θωμᾶ Δεφουρκινοῦ. Οὗτος ὁ ἱερὸς Θωμᾶς πατρίδα[1] ἔσχε τὴν εἰς πρόποδας τοῦ Κυμιναίου[2] ὄρους γῆν ἀποφέρουσαν, γεννήτορες δὲ τούτῳ[3] ἰδιῶταί τινες καὶ ἐν αὐταρκείᾳ βιοῦντες. Πάντων δὲ[4] καταφρονήσας ἔτι σφριγῶν καὶ ἀκμάζων τὴν ἡλικίαν, τὸν τῶν μοναχῶν παρεζήλωσε[5] βίον. Εἰωθὼς γὰρ νηπιόθεν τοῖς σεμνείοις παραβάλλειν σὺν τῷ πατρί, ἑνὶ τῶν ἱερῶν καταγωγίων συναρμολογηθεὶς παιδοτρίβῃ εἰς ἄσκησιν γραμμάτων πρῶτον[6] ἐκδίδοται. Καὶ ἐν ὀλίγῳ τό τε ψαλτήριον, τοὺς ἱεροὺς[6] ἀποστολικοὺς λόγους καὶ λοιπὴν πᾶσαν[6] ἐκκλησιαστικὴν ἀκολουθίαν διέλαβε. Τὰ μὲν δὴ πρῶτα τοῦτον ἔχει τὸν τρόπον καὶ τοῦ καθ᾽ ἀρετὴν βίου τὰ λήϊα ἐντεῦθεν ἀρχὴν τοῦ προκόπτειν εἰλήφασιν. Ἐπεὶ δὲ πρὸς ἡλικίαν ὁ παῖς μετεπλάττετο, τὸ ἀγγελικὸν[7] ἠμφιάσατο σχῆμα[6] καὶ πρὸς τοὺς κατ᾽ ἐχθρῶν ἀγῶνας ἀμεταστρεπτὶ ἐχώρει, καὶ κάλλος[8] τῆς ψυχῆς τῶν[6] ἀρετῶν τοῖς χρώμασιν ἀναμορφωσάμενος, ὡς εἰκόνισμα θεῖον τοῖς ὁρῶσιν ἐδείκνυτο. Τότε περίδοξός τις τῶν τοῦ Βυζαντίου μεγιστάνων ἐν τῷ πρὸς Σάγγαριν[9] ποταμῷ, φροντιστήριον ἐδείματο· ὄνομα τῷ ἄρχοντι Γαλολήκτῃ[10]. Καὶ τῷ ἐκεῖσε ἐπισκόπῳ περὶ τούτου κοινολογησάμενος, τῶν ὑπ᾽ αὐτὸν μοναστηρίων ἐλλογίμους ἐπιλέξασθαι ἠξίου, εἰς τὴν[11] λειτουργίαν τοῦ ὑπ᾽ αὐτοῦ καινουργηθέντος σεμνείου· καὶ τὸν μακάριον εὐθὺς Θωμᾶν ὡς περιβόητον ἄνδρα καὶ ἀκριβῆ κανόνα τῆς ἐγκρατείας[12] ἡγεῖσθαι τῶν συνεληλυθότων ὁ ἐπίσκοπος συνεβούλευε. Καὶ δὴ ταύτην εὐφυῶς ἐπὶ χρόνους ἰθύνας, ὅσον αὐτὸς ἐκρύπτετο ταπεινούμενος, τοσοῦτον ὡς ποικίλης ἀρετῆς καταγώγιον πᾶσιν ἐγνωρίζετο. Ὡς δὲ λοιπὸν δι᾽ ὄχλου ὑπὸ τῶν παραβαλλόντων ἐγένετο, ἐδυσχέραινεν ἐπὶ τούτῳ, καὶ τί[11] μηχανᾶται;

[1] οὗτος πατρίδα ἐπὶ Mv. — [2] Κυμηναίου Mb. — [3] οἱ δὲ τούτου γ. Mv. — [4] τε Mv. — [5] ἐζήλωσεν Mv. — [6] *om.* Mv. — [7] ἔνδυμα *add.* Mv. — [8] τὸ *add.* Mv. — [9] προ σαγαριν Mb. — [10] τῷ ἀνδρὶ Γαλολείκτῃ Mv. — [11] *om.* Mv. — [12] τῶν ἐνκρατείαν Mv.

Dec. 10. πολυάθλου μάρτυρος Γεμέλλου[1]. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου ἐκ τῆς ἐνορίας Κλιμαξίνης. Τὴν ὁδὸν δὲ ποιουμένου τοῦ παραβάτου διὰ τῆς Ἀγκυρανῶν μητροπόλεως, ἔστη ὁ ἅγιος κατὰ πρόσωπον τοῦ ἀσεβοῦς, ῥήμασιν ἐνθέοις ὥς τισι βέλεσι κατατιτρώσκων αὐτόν. Ὁ δὲ ὑπερζέσας τῷ θυμῷ, κελεύει καὶ ζώννυται ὁ ἅγιος[2] ζώνην σιδηρᾶν πεπυρακτωμένην καὶ κατακαίεται σφοδρῶς, τοῦ ἀπορρέοντος ἐκ τῆς καύσεως ὑγροῦ τὴν γῆν ἅπασαν πληροῦντος· καὶ αὐτὸς ἐπηκολούθει τῷ ἀσεβεῖ ἐλαυνόμενος κατὰ τὴν ὁδόν. Ἐπεὶ οὖν κατέλαβεν ὁ ἀλάστωρ τὸ τῆς Ἐδέσης[3] πολίχνιον, πάλιν ὁ στερρὸς ὁπλίτης τείνεται ἐκ τεσσάρων καὶ ξύλοις ἀγρίοις αἰκίζεται. Καὶ μετὰ ταῦτα σιδήροις πυρωθεῖσι διαπείρεται τὸ σῶμα καὶ ἀναρτηθεὶς ξέεται. Ὡς δὲ κατεγέλα τῶν βασάνων ὁ ἀδάμας καὶ[4] τὸν ἀσεβῆ ἐνύβριζεν[5], αὐτίκα πυρωθέντι τηγάνῳ καὶ μεμεστωμένῳ[6] ἐλαίου, ῥητίνης καὶ στέατος <καὶ [7]> ὑποκαιομένῳ ἐμβάλλεται, ἄνωθεν ῥάβδοις τυπτόμενος σιδηρᾶς ἀκίδας ἐχούσαις. Ἀλλὰ θείᾳ ῥοπῇ ῥαγδαίου κατενεχθέντος ὑετοῦ, τὸ πῦρ κατεσβέσθη καὶ ὁ μάρτυς ἀβλαβὴς διέ|μεινεν. Ταῦτα ἰδὼν ὁ μιαρὸς[8] ἐξέστη καὶ πάλιν ἐκέλευσεν. Καὶ πληροῦσιν ἥλων τὴν f. 102v.

2. — [1] Γεμέλου Sa. — [2] ὁ ἅγιος ζώννυται Sa. — [3] Ἐδέσσης Sa. — [4] πρὸς *add.* Sa. — [5] ἐξύβριζεν Sa. — [6] Sa, μεμεστωμένου S. — [7] Sa, *om.* S. — [8] τύραννος *add.* Sa.

Dec. 10. περισκοπήσας τῆς ἀδελφότητος[13] τὸν ἐξαίρετον, ἡγεῖσθαι τοῦτον διακελευσάμενος τοῖς λοιποῖς τῶν ἀδελφῶν, αὐτὸς ἐφοδιασθεὶς[14] ταῖς[15] εὐχαῖς, ὑπώρειαν[16] εὑρὼν ἡσυχίας ἁρμόδιον, μονώτατος ἐν αὐτῇ εἰσοικίζεται. Ἀλλ' ἐπεὶ τὸν νομέα ἐζήτουν τὰ πρόβατα, τοὺς λόφους καὶ τὰς ὑπωρείας οὐκ ἐνεδίδοσαν ἐρευνῶντες, ἕως οὗ πρὸς αὐτὴν τὴν ὑπώρειαν αἴθριον τὸν πατέρα κατέλαβον. Καὶ τῶν χειμερινῶν νιφάδων τὸ δριμὺ λογισάμενοι καὶ τῶν θερινῶν καύσεων τὸ φλογῶδες τὸν πατέρα ἐξελιπάρουν· « Ἵνα τί σκληροτέραις ἀγωγαῖς σεαυτόν, λέγοντες, κατατρύχεις, μὴ λογισάμενος τῆς ἐκ[17] χοὸς ἡμῶν » διαπλάσεως τὴν ἀσθένειαν, ὡς ἐν ταῖς δυσκρασίαις ἑτοίμως εἴωθε διαλύεσθαι; » Καὶ μόλις ποτὲ τούτων συνθέμενος τῇ βουλῇ, μικρὸν γενέσθαι παρηγγύα[18] μοναχοῖς αὐτῷ καταγώγιον. Καὶ τούτου περαιωθέντος, ἐν τῷ κυριακῷ μόνος ὑπεισελθών, τοῖς γόνασιν ὑποκλίνας[19] πρὸς τοὔδαφος· « Τοὺς » πρὸς τὴν σὴν εὐαρέστησιν, Κύριε, πρὸς ἡμᾶς τοὺς ἀναξίους ἄνδρας παραγενέσθαι[20] ἀξίωσον » ἔλεγε. Καὶ δή, ὡς ἐξ ἀποστολῆς τότε τινὲς πρὸς αὐτὸν εὐλαβέστατοι προσέβαλον κοσμικοὶ ἀποκείρεσθαι δυσωποῦντες καὶ συνδιάγειν αὐτῷ εἰς ὑπακοήν. Τούτους[21] ὡς πρὸς Κυρίου ἐλθόντας[22] τὴν ἱερὰν στολὴν ἀμφιέννυσι, καὶ ὡς τοὺς πρώτους τῶν μαθητῶν τοῦ Χριστοῦ τὸν μὲν Ἰωάννην ἐκάλεσε, τὸν δὲ Πέτρον· καὶ σὺν αὐτοῖς τὰς δεήσεις ἐπιπονωτέρας ἐποιεῖτο πρὸς Κύριον. Ἀλλ' οὐκ ἔφερεν ἐπὶ πολὺ ὁ καινουργὸς τῆς κακίας ὁρᾶν ἡττωμένας[23] τὰς τῆς πονηρίας αὐτοῦ ἐμβολάς[24]. Καὶ[25] πρῶτον τούτῳ πλῆθος ἐπιρρίπτει κωνώπων, ὡς μήτε[26] πρὸς βραχὺ ταύτας ὑπενδοῦναι τῷ γέροντι, ἀλλὰ καὶ κοιταζομένῳ <ὡς[27]> σκόλοπες ἐπετίθεντο[28] καὶ ἀνισταμένῳ εἰς προσευχὴν διὰ τῶν χειλέων πρὸς[29] τὸν γαργαρεῶνα εἰσέδυνον· εἰ δέ που καὶ τὴν βίαν τῆς φύσεως δι' εὐτελοῦς παρηγόρει[30] τροφῆς, κωνώπων πλῆρες τὸ προσαγόμενον ἦν. Καὶ τούτοις ἐπὶ τρισὶν ὅλοις ἔτεσιν διακαρτερῶν[31] ἀγεννῶς[32], οὐκ ἐστέναζεν, ἀλλὰ μᾶλλον εὐχαριστῶν, λύσιν πρὸς Κυρίου τῶν ἀνιαρῶν ἐπεζήτει. Ἀλλ' ὀψέ ποτε τῆς ἀποχῆς τῶν κωνώπων οἰκονομηθείσης ἐκ Θεοῦ[33], μυῖαι εὐμεγέθεις ἐπανίστανται τῷ πατρὶ τὴν ἐκ τῆς ἐγκρατείας αὐτῷ δαπανηθεῖσαν δορὰν[34] ὡς ἠκονημένα βέλη κατατιτρώσκουσαι. Ταύτας δὲ πάλιν διαδεξάμενοι μύρμηκες, ἐν τοσούτοις χρόνοις τῷ ἀθλητῇ παρατάσσονται[35], ἀδεῶς αὐτῷ κατ' ὀφθαλμῶν καὶ τῶν μυκτήρων ἐπιρριπτούμενοι. Ἀλλ' ἐπεὶ ὥσπερ τινὰ δρῦν τοῦτον ἀμετάκλιτον[36] ἔβλεπεν ὁ πειράζων, ὡς[37] μιᾶς ἡμέρας τὰς ἐπὶ χρόνοις ἐννέα λογισθῆναί οἱ τῶν ἀλγεινῶν ἐπιφοράς, ἐπιμανέστερον μᾶλλον αὐτῷ ἐπιτίθεται. Καὶ ἐπεὶ ὁ πανοῦργος οὐ πρὸς τὴν ἐκ πλευρᾶς ἀχθεῖσαν εἰδὼς ἔχειν τὴν μάχην, ἀλλ' ὡς ἐπ' αὐτὸν τὸν ἐν εἰκόνι καὶ χειρὶ τιμηθέντα Θεοῦ, οὐ μόνον πρὸς τὴν[38] συμπλοκὴν τῆς μάχης παρασκευάζεται[39], ἀλλὰ[40] πάντας τοὺς ὑπ' αὐτὸν[41] συναγαγὼν ὄφεις, ἐπεμβαίνει τῷ μακαρίῳ. Εἰπεῖν δὲ πρᾶγμα ὁ λόγος ἐπείγεται ὡς δυσέφικτον τοῖς πολλοῖς· οὐκ ἦν γὰρ εἶδος ὁράσεως τῷ πατρὶ ὃ μὴ μορφὴ ὄφεως αὐτῷ ἐπεφαίνετο· ἀλλ' ὅποι δήποτε περιφερόμενος ἵστατο, εἴτε χρειωδῶς τῇ ἀφῇ κατελάμβανέ τι, ἐν αὐτῷ[42] τῷ σκεύει καὶ ὄφις ἀνεκαλύπτετο· καὶ τοῦτο οὐχ ἅπαξ ἢ δίς, ἀλλὰ δι' ὅλου, καὶ οὐχ ἑνὶ χρόνῳ ἢ δυσὶν[43] ἀλλ' ἐν ὅλοις ἕνδεκα ἔτεσι πειραζόμενος ὑπὸ τῶν ὄφεων, οὐκ ἐνάρκησεν. Ὁσάκις γὰρ αὐτῷ ἀνακλιθῆναι τῇ κατὰ συνήθειαν[44] κλίνῃ ἔδοξεν, ἑκατέρωθεν καὶ ὄφεις συνανεκλίνοντο. Ἀλλὰ τούτων ἀβλαβὴς τῇ προμηθείᾳ τῆς προνοίας διεφυλάττετο. Τούτῳ ποτὲ τὴν ἀναίμακτον ἐπιτελοῦντι λατρείαν[45] καὶ ἤδη λοιπὸν πρὸς τὸ τέλος τῆς ἱερουργίας[46] λαχόντι, δράκων ἑρπύσας ποθὲν φοβερὸς τὴν κόγχην τοῦ εὐκτηρίου περιεζώσατο. Τῷ συμπονοῦντι δὲ τῷ πατρὶ ἀδελφῷ πρὸς τὴν τῆς ἱερουργίας διακονίαν, τότε εἰς τὴν τοῦ εὐκράτου προσκομιδὴν ἐξελθόντι[47], τῆς κόχης ἀπορραγὲν τὸ θηρίον[48], παρὰ τῇ φλιᾷ πεσὸν τῆς εἰσόδου ὡς βοῦς, ξένον ἐδείκνυτο θέαμα. Ὡς δὲ τὸ πρὸς σύνηθες τῶν μυστηρίων περάνας ὁ ἱερεὺς τοῦ διαδότου[49] τοῦ εὐκράτου[50] ἐπιχρονίζοντος ᾔσθετο, ὡς[51] πρὸς αὐτὸν ἀπιδεῖν βουληθεὶς ἑωράκει τὸν μὲν θῆρα τῇ φλιᾷ ἐπικείμενον, τὸν δὲ διακονητὴν ὑπότρομον

[13] τῶν ἀδελφῶν Mv. — [14] ἐφοδιασάμενος Mv. — [15] τούτων *add.* Mv. — [16] ὑπόρροιαν Mb. — [17] τοῦ *add.* Mv. — [18] παρηγγυᾶτο τοῖς Mv. — [19] ἑαυτὸν *add.* Mv. — [20] ἀφικέσθαι Mv. — [21] καὶ Mv. — [22] τούτους ἐληλυθότας Mv. — [23] *om.* Mv. — [24] καὶ ἐμβολὰς ἡττωμένας Mv. — [25] δὴ *add.* Mv. — [26] μήποτε Mv. — [27] κοιταζόμενος ὡς Mv. — [28] τούτῳ Mv. — [29] εἰς Mv. — [30] ἐπαρηγόρει Mv. — [31] ἐγκαρτερῶν ἦν Mv. — [32] ἐν οἷς Mv. — [33] ἐκ Θεοῦ οἰκονομικῶς ἀπαλλαγεὶς Mv. — [34] δορρὰν δ. Mv. — [35] ἀντιπαρατάσσοντο Mv. — [36] ἀμετάβλητον Mv. — [37] ἐπὶ *add.* Mv. — [38] *om.* Mv. — [39] παρασκευάζηται Mb. — [40] καὶ *add.* Mv. — [41] σὺν αὐτῷ Mv. — [42] ἑαυτῷ Mb. — [43] (ἀλλὰ δι' - δυσίν) *om.* Mv. — [44] συνήθην Mb. — [45] λατρείαν ἐπιτελοῦντι Mv. — [46] λειτουργίας Mv. — [47] ἐξελθόντος Mb. — [48] τὸ θηρίον ἀπορραγὲν Mv. — [49] συμπεράνας ... διακόνου Mv. — [50] τὸν εὐκράτον Mv. — [51] *om.* Mv.

κεφαλὴν αὐτοῦ, ὥστε καὶ τοῦ ἐγκεφάλου αὐτοῦ ἅψασθαι· εἶτα ῥίπτεται ἐπ' ἐδάφους καὶ τοὺς πόδας πρὸς ὕψος ἀναρτᾶται καὶ μαχαίραις ὀξείαις ἀποσύρεται τὸ δέρμα ἀπὸ τῶν ποδῶν μέχρι τῶν ὤμων, θέαμα φοβερὸν καὶ ξένον φαινόμενος ἐν τῷ περιπατεῖν καὶ προσλαλεῖν. Οἰκονομίᾳ δέ τινι θειοτέρᾳ περιτυχὼν ὁ μέγας τοῦ Χριστοῦ μάρτυς χριστιανῷ τινι πρεσβυτέρῳ καὶ βαπτισθεὶς παρ' αὐτοῦ, ἀμύητος γὰρ ἦν ἔτι, ἀνῆλθεν ἀπὸ τοῦ[9] ὕδατος ὅλος ὑγιὴς μὴ ἔχων σπῖλον ἢ ῥυτίδα ἐκ τῶν μωλώπων. Τότε καὶ θείας οὐρανόθεν ἤκουσε φωνῆς λεγούσης· « Μακάριος εἶ, » Γέμελλε, ὡς πολλὰ κοπιάσας. » Καὶ ὡς ταῦτα ἐγνώσθη τῷ βασιλεῖ, σταυρῷ ἀναρτᾶται καὶ ἥλοις τὰς χεῖρας καὶ τοὺς πόδας προσηλοῦται· καὶ οὕτως εὐξάμενος τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. Τὸ δὲ σῶμα αὐτοῦ πιστοὶ ἄνδρες λάθρᾳ καθελόντες ἀπὸ τοῦ ξύλου κατέθεντο ὑπὸ γῆν. Dec. 10.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐγενίου καὶ Μαρίνου τῶν ἐν Καισαρείᾳ[1].

4. Καὶ τῶν ἁγίων μαρτύρων Θουθαὴλ καὶ Βεβαίας τῆς ἀδελφῆς αὐτοῦ.

5. Καὶ ἡ σύναξις τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἐν τοῖς Ἄδδα.

— [9] ἁγίου *add.* Sa.

3. — [1] μαρτυρησάντων *add.* Sa.

ἑστῶτα, πλήρης γενόμενος πνεύματος· « Εἴσελθε, καὶ μὴ διακριθῇς » φήσας τῷ ἀδελφῷ, αὐτὸς ἀπερισπάστως τὴν προσκομιδὴν ἐπετέλει. Τῇ παραθέσει δὲ τοῦ πατρὸς ἐκεῖνος ἀναθαρρήσας, ὡς ὑπόπτερος ὑπερβὰς τοῦ θηρός, πρὸς τὸν καλέσαντα εἴσεισι[52]. Καὶ τῆς ἱερᾶς τελεσθείσης μυσταγωγίας, ὁ ἱερεὺς πρὸς τὸν θῆρα, μήπω τὴν στολὴν ὑπαλλάξας, ἀτρέμας ἔξεισι προσειπών· « Εἰ πρὸς τὸ τέλος » ἔχεις τῇ τοῦ Θεοῦ μου προνοίᾳ, ὦ θηρίον, ἐπακολούθει μοι. » Καὶ πρὸς τὸ ἄκρον τοῖς ὀδοῦσι φελονίου ὁ θὴρ[53] ἐπικατασχὼν συρόμενος εἵλκετο· καὶ ὡσεὶ τόξου βολὴν ὁ πατὴρ[51] ἀποδιαστὰς[54] καὶ πρός τινα γενόμενος φάραγγα[55], λόφων ἐξ ἑκατέρου τούτῳ παρακειμένων[56], ἔστη πρὸς προσευχὴν καὶ πρὸς τοῖς ἄλλοις τελευταῖον καὶ τοῦτο[57] προσειπών· « Ὁ ἐπάνω ὄφεων καὶ σκορπίων τοὺς εἰς σὲ » πιστεύοντας πατεῖν εἰρηκώς, εὐδόκησον κἀμὲ τὸν ἐλάχιστον, Κύριε, ἐπὶ τοῦδε τοῦ φάραγγος[58] » ἐπάνω τοῦ θηρὸς γενέσθαι κατὰ τὸ ῥῆμά σου. » Καὶ ὡς τοῦτο εἴρηκεν, ὑψωθὲν τὸ θηρίον κατεσπάσθη ὑπὸ τὸ χάσμα[59] καὶ σὺν[51] αὐτῷ ἑκάτεροι συνέπεσον οἱ βουνοὶ[60] ὡς, τοῦ φάραγγος ἀναγεμισθέντος, πεδιάδα τόπον γενέσθαι[61]. Ὁ γοῦν γέρων, εὐχαριστήσας τῷ Θεῷ, τὸ κελλίον κατέλαβε καὶ τότε[62] ἐξαίσιον τέρας ἐδείκνυτο. Οἱ ὑπὸ τὴν κέλλαν γὰρ ἐμφωλεύοντες ὄφεις καὶ τὸν ἅγιον ἐπὶ τοσούτοις ἔτεσιν ἐπαλγύνοντες[63], ὡς τὸ τούτου δεδοξασμένον εἶδον πρόσωπον[64] οἷα πυρὸς μὴ φέροντες τὴν κατάκαυσιν, ἄρδην ἀποδιδράσκουσιν εἰς τὸν τοῦ χωνευθέντος δράκοντος χῶρον[65]· καὶ προνοίᾳ Θεοῦ πάντες, εἰς[66] πλῆθος ἄπειρον ὄντες, ἀπώλοντο. Πτηνὰ γάρ ποθεν τότε κατὰ τὸν ἀριθμὸν τῶν ὄφεων ὡς ἐξ ἀποστολῆς ἱπτάμενα, τοὺς τεθνεῶτας ὄφεις κατάβρωμα ποιησάμενα, ᾤχοντο. Ἔκτοτε[67] τῶν πειρασμῶν ἀνεθεὶς ὁ πατήρ, χάριν ἰαμάτων ἐκ Θεοῦ καὶ[68] προρρήσεων εἴληφε, καὶ μᾶλλον ταῖς σκληροτέραις ἀγωγαῖς ἑαυτὸν προσηρέθιζε. Ἐπεὶ δὲ τῆς ἡσυχίας ἤρα, ὡς πρὸς αὐτὸν πολλοὺς ἑώρα τοὺς παραβάλλοντας[69], ἐπὶ τὰ ἐρημικώτερα τῶν ὀρέων μεταναστεύειν ᾠήθη. Καὶ τὸν μὲν Ἰωάννην ἡγεῖσθαι τῶν ἀδελφῶν[70] τῆς μονῆς διαταξάμενος, τῷ[71] Πέτρῳ τὴν τοῦ δοθησομένου[72] διορατικοῦ χάριν προδιεσάφησεν. Οὗ γενομένου, ἡ προφητεία τοῦ πατρὸς οὐ διήμαρτεν. Ὅμως εἰς ἓν χωρήσαντες τῶν τούτου προρρήσεων, ὡς ἐκ κρασπέδου τοῖς φιλοπονεῖν[73] αἱρουμένοις τὸ ὅλον δείξωμεν ὕφασμα. Τούτῳ ποτὲ ὁ τῶν Ῥωμαίων εὐσεβέστατος ἄναξ Λέων, ὁ τοῦ Βασιλείου υἱός, τὸ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀναφυὲν συγγραψάμενος καὶ σφραγίσας, ἐξαπέστειλε τοῦ σκοποῦ τὴν[74] λύσιν ἐπιζητῶν. Ὡς δὲ τὸν τοῦ γραμματείου ἄγγελον πρὸς τῇ φλιᾷ τῆς κέλλης ᾔσθετο γεγονότα, ἔξω τοῦτον προσυπαντήσας, ἕτερον τῇ χειρὶ ἐσφραγισμένον ἔχων πιττάκιον· « Δέξαι τοῦτο, ἀδελφέ, εἶπε, καὶ πρὸς τὸν ἀποστείλαντά » σε ὑπόστρεφε. » Ἐπὶ τούτῳ καταπλαγεὶς ὁ τὸ βασιλικὸν ἐπιφερόμενος γραμματεῖον[75]· « Ἆρά γε, » πάτερ, ἔφη[72] καί τι τῷ ἀποστείλαντι[76] πρὸς τὴν λύσιν τοῦ ζητουμένου ἐρῶ; ἐπεὶ τὸ προκομισθὲν[77] » οὐκ ἀπείληφας. » Καὶ ὁ πατήρ[78]· « Τῷ Θεῷ περὶ τούτου μελήσει. » Τότε λαβὼν τὸ πιττάκιον τοῦ πατρός, πρὸς τὸν ἀποστείλαντα ἐπανέρχεται[79]. Καὶ δῆλα ποιήσας τὰ ἐπακολουθήσαντα τῷ κρατοῦντι ἐξέπληξεν αὐτόν. Ὅτε δὲ καὶ τὴν τῆς γραφῆς γεγενημένην ἔκβασιν τῆς τοῦ γέροντος προφητείας ὁ κρατῶν ἐθεάσατο, πάσῃ μηχανῇ ἐχρήσατο θεάσασθαι αὐτόν. Ὁ δὲ ἀφιλόκοσμος καὶ ταπεινόνους ὤν, ἀντιμηχανευσάμενος εὐφυῶς, οὐ συνεχώρησε τοῦτο γενέσθαι. Ἀλλὰ ταῦτα μὲν ὀλίγα καὶ ἐκ τῶν τούτου μαθητῶν καὶ[72] ἐν ἐσχάτοις καιροῖς· ἀλλ'[80] ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Ὁ ἡγιασμένος οὖν Θωμᾶς ἐπεὶ καλῶς τὰ τῆς ποίμνης διέθετο, τῶν ἐκεῖσε[81] ἀπάρας, δύσβατον καὶ ἀδιόδευτον χῶρον καταλαβών, ὡς στρουθίον μονώτατον ἐν αὐτῷ εἰσοικίζεται, ἀπρόϊτος διελθὼν τῶν νηστειῶν τὴν περίοδον. Εἰ δέ τι ψυχῆς φέρον ἀδελφῶν ἐπισυνέβη τὸν κίνδυνον[82], διὰ μακροῦ τοῦ χρόνου τούτους ἐπισκεπτόμενος, τὰ πρὸς σωτηρίαν ἀνεδίδου· καὶ πάλιν ὡς[83] ἀναψυχὴν εἰς τὸν δύσβατον χῶρον ἀνέτρεχεν. Οὕτως ἐπὶ πλείστους χρόνους διαρκέσας καὶ ἐν γήρᾳ πίονι γεγονώς, μικρὸν τὸ σῶμα τρυχωθείς, εἰς χεῖρας Θεοῦ τὴν ψυχὴν ἐναπέθετο. — 3 (Εὐγενείου καὶ Μαριανοῦ). — 4. 5. — **Mr** : 1. Dec. 10.

— [52] εἴσεισι π. τ. κ. Mv. — [53] ἀπαλλάζας ... ὁ θὴρ τοῦ φενολίου Mv. — [54] ἀποστὰς Mv. — [55] φάλαγγα Mv. — [56] ἑκατέρων ταύτῃ κειμένων Mv. — [57] κ. τ. τελευταῖον Mv. — [58] φάρυγγος Mb. — [59] ὑπὸ τὸ χάσμα κ. Mv. — [60] οἱ βουνοὶ ἔπεσον Mv. — [61] γενέσθαι τὸν τόπον Mv. — [62] γὰρ *add.* Mv. — [63] ἐπαλγείναντες Mv. — [64] ὡς τούτου ... τὸ πρόσωπον Mv. — [65] τόπον Mv. — [66] Θεοῦ προνοίᾳ εἰς Mv. — [67] γοῦν *add.* Mv. — [68] χάριν ἐκ Θεοῦ Mv. — [69] εἰσβάλλοντας Mv. — [70] τῶν ἀδελφῶν *om.* Mv. — [71] δὲ *add.* Mb. — [72] *om.* Mv. — [73] βουλομένοις καὶ *add.* Mv. — [74] τὴν τοῦ σκοποῦ Mv. — [75] γράμμα Mv. — [76] ἔφη *add.* Mv. — [77] προσκομισθὲν Mv. — [78] ἀρκεῖ τέκνον ἀρκεῖ *add.* Mv. — [79] ἔρχεται Mv. — [80] ἐμάθομεν ἡμεῖς δὲ Mv. — [81] ἐκεῖθεν Mv. — [82] (τι - κίνδυνον) τινι τῶν ἀδελφῶν περὶ ψυχὴν ποτε συνέβη κινδύνῳ περιπεσεῖν Mv. — [83] εἰς *add.* Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ΄.

Dec. 11.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Δανιὴλ τοῦ στυλίτου, τοῦ ἐν τῷ Ἀνάπλῳ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ μεγάλου, ἐγένετο δὲ ἀπὸ τῆς Μεσοποταμίας τῆς Συρίας. Πενταετὴς δὲ γενόμενος, ἀπῆλθεν ἐν μοναστηρίῳ καὶ ἐγένετο μοναχός· καὶ μετὰ τοῦτο παρεγένετο καὶ πρὸς τὸν μέγαν Συμεὼν τὸν στυλίτην καὶ [1] εὐλογήθη [2] παρ' ἐκείνου. Ἐκ θείας δὲ ἀποκαλύψεως ἦλθεν ἐν τῷ Ἀνάπλῳ καὶ ἀπέκλεισεν ἑαυτὸν ἐν ναῷ τῶν εἰδώλων [3], πολλοὺς πειρασμοὺς [4] ὑπομείνας ὑπὸ τῶν δαιμόνων. Καὶ μετὰ τοῦτο ἀνῆλθεν εἰς κίονα καὶ ἐγένετο στυλίτης καὶ οὔτε ψῦχος οὔτε καῦμα οὔτε ἄνεμος ἐνίκησεν αὐτοῦ τὴν καρτερίαν. Ἐποίησεν οὖν πολλὰ θαύματα καὶ προεῖπε καὶ ἐμπρησμοὺς τῆς πόλεως καὶ μεταλλαγὰς βασιλέων· ἠγαπήθη δὲ παρὰ πάντων, καὶ τοσοῦτον ἐγένετο θαυμαστός, ὡς καὶ τὸν βασιλέα Λέοντα πρὸς αὐτὸν ἀπέρχεσθαι χάριν εὐχῆς. Καὶ οὕτω βιώσας, ἐν εἰρήνῃ [5] πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀειθαλᾶ καὶ Ἀψεῆ. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος· ¦ ἦν δὲ ὁ μὲν [1] Ἀειθαλᾶς ἱερεὺς τῶν εἰδώλων, f. 103. ἐπέγνω δὲ τὴν εἰς Χριστὸν πίστιν ἐκ τοῦ μόνον ἐνθυμηθῆναι πρὸς τὸν ἐπίσκοπον ἐλθεῖν καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι· ἡ δὲ ἦν [2] ῥύσις αἵματος. Μαθὼν δὲ ἀκριβέστερον [3] παρὰ [4] τοῦ ἐπισκόπου τὴν εἰς Χριστὸν πίστιν καὶ πρὸς τὴν ἰδίαν πόλιν ἐπιστρέψας, ἥτις λέγεται Ἀρβήλ [5], τοῦ γενέσθαι καὶ ἑτέροις εὐσεβείας διδάσκαλος, διαβληθεὶς παρέστη τῷ ἄρχοντι· κἀκεῖνος μαθὼν τὰ κατ' αὐτόν, τὸ ὠτίον αὐτοῦ ἀποκόψας εἰς φυλακὴν ἐνέκλεισεν. Ὁ δὲ ἅγιος Ἀψεὴς ὑπῆρχε διάκονος· καὶ συσχεθεὶς καὶ τὸν Χριστὸν ὁμολογήσας, τύπτεται ἀφειδῶς καὶ παραπέμπεται τῷ ἀρχιμάγῳ

1. — [1] *om.* Sa. — [2] εὐλογηθεὶς Sa. — [3] ἔν τινι ναῷ εἰδωλικῷ Sa. — [4] ἐν αὐτῷ *add.* Sa. — [5] ἐν εἰρήνῃ *om.* Sa.
2. — [1] *supra lin.* Sa. — [2] ἦν δὲ Sa. — [3] *om.* Sa. — [4] *supra lin.* Sa. — [5] Ἀρβὴρ Sa.

Dec. 11.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῇ μονῇ τοῦ ὁσίου Βασιανοῦ τῇ οὔσῃ πλησίον τοῦ Δευτέρου, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ σῶμα ἀπόκειται. — **Sb** : 1. 6. 2. — **H** : 2. 3 (... Αἰμιλιανοῦ καὶ Βεβαίας). — 4 (Πέτρου ἀσκητοῦ καὶ Ἀκεψιμᾶ τῶν ἐν Περσίδι τελειωθέντων). — 5. 1. — **P** : 2. 1. 3 (om. Τερεντίου). — 4 : τῶν ἁγίων μαρτύρων Πέτρου ἀσκητοῦ γενομένου καὶ Ἀκεψυμᾶ τῶν ἐν Περσίδι μαρτυρησάντων. — **Da** : 1 (= F). 6. 2. — **Db** : 1. 6. 2. — **F** : 1 : Δανιὴλ τοῦ στυλίτου τοῦ ἐν τῷ Ἀνάπλῳ. Οὗτος γέγονεν ἐπὶ Λέοντος τοῦ μεγάλου βασιλέως, τοῦ Βέσσου ἀπὸ Μεσοποταμίας τῆς Συρίας ὁρμώμενος ἐξ ἐνορίας Σαμοσάτων ἐκ κώμης Μηθαρᾶ κτλ. — 6. 2 (... Ἀκεψέει). — Εὐγενίου καὶ Μαρίνου (Dec. 10[3]). — 3. — Θουθαὴλ καὶ Βεβαίας (Dec. 10[4]). — 4. — **Fa** : 1. 6 (= Ba). 2. — Εὐγενίου καὶ Μαρίνου. — 3. — Θουθαὴλ καὶ Βεβαίας. — 4. — **B** : 2. 1. — **Ba** : 1 (= F). 6 : Λουκᾶ τοῦ νέου στυλίτου. Ὃς ὑπῆρχεν ἐν τοῖς χρόνοις Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου. Οὗτος ὁ μακάριος ὥρμητο ἐκ γῆς ἀνατολῶν [1], θέματος τῶν Ἀνατολικῶν, χωρίου Ἀττικὼμ Βανδουλάμπης [2], γέννημα ὑπάρχων Χριστοφόρου καὶ Καλῆς θαυμαστῶν καὶ σεπτῶν γεννητόρων, ἐν αὐταρκείᾳ βιούντων, γεωργικῇ ἐπιστήμῃ σχολαζόντων καὶ στρατιωτικῇ κουστωδίᾳ κατειλεγμένων. Ὅτε οὖν ὁ Βουλγαρικὸς πόλεμος ἐκινήθη, εἵλκεται καὶ οὗτος τῇ τῶν κρατούντων προστάξει, χρόνων ιη΄ ὑπάρχων [3]· βίᾳ δὲ τοῦ πολέμου περισωθείς, πάντων καταπεσόντων, τὸν μονήρη βίον ὑπέδυ, δερμάτινον χιτῶνα περιβαλλόμενος, ὑποπιάζων τὸ ἑαυτοῦ σῶμα χρόνοις ἕξ. Μετὰ δὲ τὸν εἰκοστὸν <τέταρτον [4]> χρόνον τῆς αὐτοῦ ἡλικίας χειροτονεῖται πρεσβύτερος, κακουχίᾳ [5] πολλῇ ἑαυτὸν δαμάζων καὶ τῇ τῶν σιδήρων βαρύτητι, μηδὲν ἕτερον ἐσθίων ἢ μόνον τῆς προσκομιζομένης προσφορᾶς μετὰ λαχάνων ὠμῶν, καὶ ταῦτα κατὰ ἓξ ἡμέρας. Πρὸς τούτοις στύλον δομησάμενος ὡσεὶ πηχῶν δώδεκα τὸ ὕψος ἔχοντα, τρισὶν ἐπὶ χρόνοις διήρκεσεν ἑστὼς ἐπ' αὐτοῦ. Θείας τε φωνῆς τρίτον ἀκούσας « ἔξελθε » λεγούσης [6], « ὡς ὁ Ἀβραάμ, τοῦ πατρικοῦ οἴκου, » τῆς ἐνεγκαμένης [7] ἀπάρας μετέβη πρὸς τὸ Ὀλύμπιον ὄρος· καὶ λίθον ὡς οἷα κημόν τινα ἑκούσιον ἐμβαλὼν τῷ στόματι, οὕτω διῆγεν. Ἐντεῦθεν πρὸς τὴν βασιλίδα τῶν πόλεων παρὰ Θεοῦ πέμπεται ἐκ θείας ἀποκαλύψεως καὶ πάντα ναὸν ἅγιον περινοστησάμενος καὶ πίστει τῷ Θεῷ τὰς εὐχὰς ἀποδοὺς ἐπὶ τῇ τῶν Χαλκηδονέων πόλει διέβη· καὶ τῷ προεστῶτι τῆς ἐκκλησίας ἐντυχὼν Μιχαὴλ τοὔνομα καὶ σύμβουλον τοῦτον λαβὼν καὶ κλίμακι χρησάμενος, ἀνῆλθεν ἐπὶ τὸν κίονα. Ὁπόσα δὲ πειρατήρια καὶ φόβητρα ὑπέμεινεν ὁ ἀδάμας ἐκεῖνος τῷ καύσωνι συγκαιόμενος καὶ τῷ παγετῷ τῆς νυκτὸς συμπηγνύμενος, κρυμοῖς τε καὶ ὄμβροις καὶ νιφετοῖς ταλαιπωρούμενος, οὐ δυνατόν ἐστι λέγειν ἢ γράφειν. Τὰ δὲ ὑπ' αὐτοῦ γενόμενα θαύματα ὑπερβαίνει καὶ νοῦν καὶ διάνοιαν. Ὅσα ἐκεῖνος τῇ τοῦ Χριστοῦ ὑπέμεινε χάριτι, εὐχῇ μόνῃ ἐξεπλήρωσεν· ἐξ ὧν καὶ ὁ τῆς ἐκδημίας [8] αὐτοῦ καιρὸς δι' ἀποκαλύψεως ἐγνωρίσθη. Περιστερὰ γὰρ καταπτᾶσα καὶ τὴν κατάπαυσιν τῶν πολλῶν αὐτοῦ πόνων προμηνύσασα, πάλιν τῶν ὑψηλῶν λαβομένη τὴν ἐκδημίαν τοῦ δικαίου προεμήνυσεν· ὅτε καὶ τῶν ἀμέτρων κόπων καὶ ἱδρώτων ἀνεθείς, πρὸς τὸν ἀκύμαντον μετέστη λιμένα, χρόνους με΄ πληρώσας ἐν τῷ κίονι. — 2 (= S). — **Bb** : 2. 6. 1. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Σώζοντος. — **C** : 2. 3 (Τερεντίνου, Αἰμιλιανοῦ καὶ Βαβίας). — 4 : Πέτρου ἀσκητοῦ καὶ Ἀκεψιμᾶ τῶν ἐν Περσίδι τελειωθέντων. — 5. 1. 6 (Λουκᾶ τοῦ στυλίτου τοῦ Εὐτροπιώτου). — **Cb** : 2 (Ἀειθαλᾶ καὶ Σεβή [dein Σευΐ] Ἀψεΐς). — 1. — **Cc** : 2. 3 (... καὶ Βαβίας). — 4 (... καὶ

[1] ἀνατολῆς Ba. — [2] Ba, Ἀττηκομένου Βάνδου λάμπης Fa. — [3] ὑπάρχοντα Ba. — [4] *om.* Ba. — [5] κακουκία Ba. — [6] λέγων Ba. — [7] *correxi ex* Fa, ὃς Ba. — [8] ἐκδίμου Ba.

μετὰ τοῦ ἁγίου Ἀειθαλᾶ. Ὁ δὲ εἰσάγει αὐτοὺς πρὸς τὸν βασιλέα, οὗ κατενώπιον τὸν Χριστὸν κηρύξαντες τὰς κεφαλὰς ἀπετμήθησαν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Τερεντίου, Βικεντίου, Αἰμιλιανοῦ <καὶ τῆς συνοδίας αὐτῶν [1]>, τῆς συνάξεως αὐτῶν γινομένης [2] ἐν τῷ Καστελλίῳ.

4. Καὶ μνήμη τοῦ ὁσίου Πέτρου γενομένου ἀσκητοῦ.

5. Καὶ τοῦ ἁγίου μάρτυρος [1] Στεφάνου ἐν Κωνσταντιαναῖς.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ τοῦ νέου στυλίτου, τοῦ ἐν τῷ Εὐτροπίου μοναστηρίῳ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου γαμβροῦ αὐτοῦ τοῦ Πορφυρογεννήτου καὶ τρίτου [1] υἱοῦ Λέοντος τοῦ σοφωτάτου, πατριαρχοῦντος Θεοφυλάκτου γνησίου υἱοῦ αὐτοῦ τοῦ [2] βασιλέως Ῥωμανοῦ, ἐκ γῆς ἀνατολῶν ὁρμώμενος, υἱὸς Χριστοφόρου καὶ Καλῆς. Ὅτε οὖν ὁ Βουλγαρικὸς πόλεμος ἐκινήθη, τότε καὶ τοῦτον εἰς τὴν ἐκστρατείαν εἷλκεν ἡ τῶν κρατούντων πρόσταξις. Συρραγέντος δὲ τοῦ ἀνυποστάτου ἐκείνου πολέμου καὶ πολλῶν μυριάδων καταπεσουσῶν, αὐτὸς βίᾳ περισωθεὶς τὸν μονήρη βίον ὑπέρχεται. Καὶ προκόψας ἐν τῇ ἀσκήσει, χειροτονεῖται πρεσβύτερος· καὶ σίδηρα περιβάλλεται, κατατρύχων αὐτοῦ τὸ σωμάτιον [3]· καὶ ἐξαημέρῳ νηστείᾳ σχολάζει, μηδὲν ἕτερον παρὲξ τῆς προσκομιζομένης [4] παρ' αὐτοῦ προσφορᾶς καὶ λαχάνων ὠμῶν ἐσθίων· καὶ ἐπὶ στύλου ἀναβὰς καὶ τρεῖς ἐν αὐτῷ διαρκέσας χρόνους, θείας αὐτήκοος φωνῆς γεγονὼς καὶ τῷ καλέσαντι ἑπόμενος, καταλαμβάνει τὸν Ὄλυμπον, λίθον ὡς οἷά τινα κημὸν ἑκούσιον ἐμβαλὼν τῷ στόματι·

Dec. 11.

3. — [1] Sa, *om.* S. — [2] (τῆς - γινομένης) τελεῖται δὲ ἡ αὐτῶν σύναξις Sa.
5. — [1] πρωτομάρτυρος Sa.
6. — [1] (γαμβροῦ - τρίτου) τοῦ πορφυρογεννήτου καὶ γαμβροῦ αὐτοῦ Sa. — [2] τε αὐτοῦ *add.* Sa. — [3] σῶμα Sa. — [4] προκομιζομένης Sa.

Dec. 11.

Ἀκεψιμᾶ). — 5. 1. 6. — **Cd** : 2. 3. 4 (Πέτρου ... Ἀκεψιμᾶ). — 1. 6. — **M** : 1. 6. 2 (Ἀκεψεῆ ...). — Μνήμη μείρακός τινος, διήγησις δὲ πάνυ ὠφέλιμος. Οὗτος ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ μεῖραξ ἦν μὲν Αἰγύπτιος τὸ γένος· γεννηθεὶς γὰρ ἐν τῷ Κάστρῳ Τενεστῇ παρὰ χριστιανῶν γονέων καὶ βαπτισθεὶς καὶ ἀνατραφεὶς ἐπαιδεύετο ἐν τῇ ἀμωμήτῳ πίστει τῶν χριστιανῶν. Κουφότητι δὲ γνώμης ὑπὸ τοῦ ἐχθροῦ σκελισθείς, ἀπελθὼν πρὸς τὸν ἐκεῖσε ἀμηρᾶν ἠρνήσατο τὸν Χριστὸν. Καὶ κόψας τὴν ζώνην καὶ τὸν σταυρὸν πατήσας καὶ τὴν μάχαιραν σπασάμενος, ἠλάλαξε τὴν ἐλεεινὴν ἐκείνην φωνὴν τό· « Ἀγαρηνός » εἰμι καὶ οὐκ ἔτι χριστιανὸς ἀπὸ τῆς σήμερον. » Καὶ ἦν τιμώμενος καὶ δοξαζόμενος ἐπὶ χρόνους τινὰς παρά τε τοῦ ἀμηρᾶ καὶ τῶν σὺν αὐτῷ, μηδόλως φροντίζων περὶ τῆς ἰδίας σωτηρίας. Οἱ δὲ τούτου γεννήτορες οὐκ ἐπαύοντο ἀεὶ τὸν Θεὸν ἐξιλεούμενοι, πρὸς τὸ μεταβληθῆναι αὐτόν. Καὶ ἰδὼν ὁ Θεὸς τὴν τούτων πρόθεσιν καὶ ἐπίμονον δέησιν, μετέβαλε τὴν τοῦ μείρακος καρδίαν πρὸς ἐπιστροφήν. Καὶ ἐλθὼν πρὸς τοὺς γονεῖς αὐτοῦ, λέγει· « Ἰδού, κύριοί μου καὶ γλυκύτατοι γεννήτορες, σκοτισθεὶς τὸν νοῦν, » ἐποίησα ὅσα ἐποίησα· καὶ νῦν παρακαλῶ γενέσθαι πάλιν χριστιανὸς καὶ εἶναι μεθ' ὑμῶν. » Οἱ δὲ λέγουσιν αὐτῷ· « Ἡμεῖς, τέκνον, ὅτι ὅλως τοῦτο πεποίηκας, πολλὰ δάκρυα ὑπὲρ σοῦ ἐξεχέαμεν, καὶ » οὐδέποτε ἐπαυσάμεθα τὸν Θεὸν δυσωποῦντες, ὅπως ἐπιγνῷς τὴν ἀλήθειαν καὶ ἐπιστρέψῃς πρὸς » Χριστόν. Καὶ νῦν εὐχαριστοῦμεν τῇ αὐτοῦ ἀγαθότητι, ὅτι οὐ παρεῖδε τὴν μικρὰν ἡμῶν δέησιν. Πλὴν » καθὼς γινώσκεις καὶ αὐτός, τέκνον, φοβούμεθα τὸν ἀμηρᾶν, μήποτε κινδυνεύσωμεν ὑπὲρ τούτου, ὡς » μεταβαλλόμενοί σε. Ἀλλ' εἰ θέλεις καὶ τοῦ μεγάλου πταίσματος κουφισθῆναι καὶ τὸν Θεὸν ἵλεων » εὑρεῖν καὶ ἡμᾶς ἀνεγκλήτους ποιῆσαι καὶ ὑπὲρ παντὸς τοῦ γένους σου πρεσβευτὴς γενέσθαι, ἄπελθε » πρὸς τὸν ἀμηρᾶν· καιὼς ἐποίησας κρυφίως ὃ ἐποίησας, οὕτως πάλιν ποίησον, ὡς ἀγνοούντων ἡμῶν, » καὶ ὁ Θεὸς εὐοδώσει πάντως τὰ κατὰ σέ, τέκνον, ὡς βούλεται. » Ὁ δὲ λαβὼν τὴν τοῦ πατρὸς αὐτοῦ καὶ μητρὸς συμβουλὴν ὁμοῦ καὶ εὐχὴν καὶ ἐν τῇ χειρὶ αὐτοῦ ζώνην, ἔδραμε πρὸς τὴν σύναξιν τῶν Ἀγαρηνῶν. Καὶ περιζωσάμενος ἐνώπιον τοῦ ἀμηρᾶ καὶ ἁπάσης τῆς συναγωγῆς, χαράξας τε τὸν τίμιον σταυρὸν ἐν ἑνὶ ξύλῳ, ἠσπάσατο αὐτὸν καὶ ἤρξατο κράζειν μεθ' ὅσης δυνάμεως εἶχε τὸ « Κύριε ἐλέησον. » Καὶ κρατήσας αὐτὸν ὁ ἀμηρᾶς λέγει· « Τί σοι γέγονεν; » Ὁ δὲ μεῖραξ ἀπεκρίνατο· « Ἐλθὼν εἰς ἑαυτὸν » ἀπὸ τῆς συμβάσης μοι διαβολικῆς σκοτώσεως, προσέπεσα τῷ Χριστῷ· καὶ γενόμενος χριστιανὸς » καθὼς ἤμην, ἦλθον ἀναγγεῖλαί σοί τε καὶ πάσῃ τῇ συναγωγῇ, καὶ ἐνώπιον πάντων τὸν Χριστόν μου » ὁμολογῆσαι, ὑμᾶς δὲ καὶ τὴν θρησκείαν ὑμῶν ἀναθεματίσαι. » Τούτων ἀκούσας ὁ ἀμηρᾶς ἔβαλεν αὐτὸν ἐν φυλακῇ ἐπὶ τρισὶν ἡμέραις ἄνευ τῆς οἱασοῦν βρώσεως καὶ πόσεως· καὶ ἐξαγαγὼν ἐπανέκρινεν αὐτόν. Καὶ εὑρὼν αὐτὸν ὁμολογοῦντα τὸν Χριστόν, ἔτυψεν αὐτὸν μετρίως καὶ πάλιν τῇ φυλακῇ ἐναπέθετο. Καὶ μεθ' ἑτέρας τρεῖς ἡμέρας παραστήσας αὐτὸν ἔτυψε σφοδρῶς· καὶ ἐπιμένοντα τῇ ὁμολογίᾳ καθεῖρξε. Καὶ μεθ' ἑτέρας τρεῖς ἡμέρας, πάλιν ἐπανακρίνας αὐτὸν καὶ εὑρὼν ἐπιμένοντα καὶ ὁμολογοῦντα τὸν Χριστόν, βουνεύροις αὐτὸν ἔτυψε ἄνωθεν τῶν φλεγμαινουσῶν πληγῶν· καὶ δοὺς ἀπόφασιν κατ' αὐτοῦ, ἔλαβον οἱ προστεταγμένοι καὶ ἐμβάντες εἰς πλοῖον ἀπέπλευσαν ὡσεὶ σταδίους τέσσαρας. Καὶ μετὰ τὸ προσεύξασθαι αὐτὸν ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ, ῥίψαντες ἐν τῇ θαλάσσῃ. Καὶ τὸ μὲν σῶμα εἴτε ἐξῆλθεν ἀπὸ τῆς θαλάσσης, εἴτε μή, οὐ διεγνώσθη· ἡ δὲ τιμία αὐτοῦ κεφαλὴ ἐξῆλθε. Καὶ ἀναγνωρίσαντες ταύτην χριστιανοί τινες, ἔλαβον ὡς πολύτιμον δῶρον καὶ διαβληθέντες πρὸς τὸν ἀμηρᾶν, δέδωκαν αὐτῷ χρυσίνους ἑκατὸν καὶ οὕτως εἴασεν αὐτοὺς κατέχειν αὐτὴν ἀκωλύτως. Τότε ἀργυρέαν θήκην κατασκευάσαντες κατέθεντο αὐτὴν ἐν ταύτῃ μετὰ τῆς προσηκούσης τιμῆς καὶ δορυφορίας. Ἔκτοτε δὲ καὶ μέχρι τοῦ νῦν ἀναβλύζει ἀεὶ εὐῶδες μύρον, παντοδαπὰς ἰάσεις ἐπιτελοῦσα, εἰς δόξαν μὲν

Dec. 11. f. 103v. καὶ ἐν τῇ βασιλίδι τῶν πόλεων ἔρχεται, κἀκεῖθεν ἐπὶ τὴν Χαλκηδόνα δια|βαίνει, ἐν ᾗ κίονι προσεπιβὰς μυρίων θαυμάτων αὐτουργὸς γέγονεν, τεσσαράκοντα[5] πέντε χρόνους πληρώσας ἐν τῷ κίονι· καὶ[6] καλῶς[7] ἀγωνισάμενος πρὸς Κύριον ἐξεδήμησε[8].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ′.

Dec. 12. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Σπυρίδωνος ἐπισκόπου Τριμιθοῦντος τῆς Κύπρου. Οὗτος γέγονεν ἐπὶ[1] Κωνσταντίνου τοῦ μεγάλου βασιλέως[2], τὸν τρόπον ἁπλοῦς, τὴν καρδίαν ταπεινός· ἐποίμαινε δὲ πρόβατα· καὶ γυναῖκα λαβὼν καὶ θυγατέρα γεννήσας, ἐπεὶ ἐκείνη ἀπέθανεν, ἐγένετο ἐπίσκοπος· γέγονε δὲ καὶ θαυματουργός. Καὶ γὰρ ἐν ἀβροχίᾳ προσηύξατο καὶ ἔβρεξεν, καὶ ἀπὸ λιμοῦ εὐθηνίαν ἐποίησεν, καὶ ὄφιν μετέβαλεν εἰς χρυσοῦν καὶ πάλιν τὸν χρυσὸν μετὰ τὸ[3] δοθῆναι[4] ἐνέχυρον καὶ δανείσασθαι τὸν πτωχὸν καὶ ζῆσαι, μετεποίησεν εἰς ὄφιν καὶ ἀπέλυσεν· καὶ ποταμὸν[5] τρέχοντα ἔστησεν. Ἦλθε δὲ καὶ εἰς τὴν ἐν Νικαίᾳ[6] σύνοδον καὶ κατῄσχυνε τοὺς αἱρετικούς. Γυνὴ δέ τις ἔδωκε τῇ θυγατρὶ αὐτοῦ[7] παρακαταθήκην· εἶτα ἀπέθανεν ἡ θυγάτηρ αὐτοῦ[7]. Καὶ μὴ εὑρισκομένης τῆς παρακαταθήκης, ἠρώτησεν ὁ γέρων τὴν νεκράν· καὶ ἀποκριθεῖσα εἶπεν· « Ἐν τῷδε τῷ τόπῳ. » Καὶ ἕτερα πολλὰ ποιήσας ἐν εἰρήνῃ ἐτελειώθη. Τελεῖται δὲ[8] ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Συνετοῦ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ ἐνδημοῦντος τότε ἐν τῇ Ῥωμαίων πόλει καὶ τὰς θυσίας τοῖς εἰδώλοις προσνέμοντος[1], ἀναγνώστης <ἐν[2]> τῇ τῶν Ῥωμαίων ἐκκλησίᾳ <ἐπὶ[3]> τοῦ ἐν ἁγίοις Ξύστου[4]. Οὗτος ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς διαλεχθεὶς τῷ βασιλεῖ καὶ ὑποσχόμενος θῦσαι κατ' ἐμπαιγμὸν καὶ φωραθεὶς τὴν ὑπόκρισιν, τύπτεται βουνεύροις ὠμοῖς, ὥστε πᾶσαν τὴν γῆν τῷ αἵματι φοινιχθῆναι· εἶτα τῇ εἱρκτῇ ἐναπορρίπτεται, τῇ δὲ ἑξῆς πάλιν ἐμβάλλεται ἐν ἐσχάρᾳ σιδηρᾷ πεπυρακτωμένῃ· ὅτε καὶ θείας φωνῆς ἤκουσεν ἐνισχυούσης καὶ προτρεπούσης αὐτὸν εἰς τὸν ἀγῶνα· καὶ σὺν τῇ φωνῇ κατερράγη λάβρος ὑετὸς τὸν μάρτυρα ἀλώβητον ἐκ τοῦ πυρὸς διαφυλάττων. Μετὰ ταῦτα ὀρύγματος γενομένου πήχεων δέκα καὶ ξύλων ὀξυτάτων ἐντεθέντων τῷ βάθει, ἐκεῖσε ὁ μάρτυς ἀπερρίφη, τῶν μελῶν[5] αὐτοῦ σχεδὸν[6] | (f. 104.) ἁπάντων κατακοπέντων καὶ συντριβέντων, εἰ καὶ θείᾳ προνοίᾳ αὖθις ὑγιάσθη[7]. Πάλιν οὖν ἐγκλείεται εἰς τὸ λεγόμενον Πάνθεον ἡμέρας δώδεκα, ὡς δῆθεν τοῖς θεοῖς ἐπιθύσων καὶ θεραπείας προσάξων. Αὐτὸς δὲ θείῳ ζήλῳ ῥωσθεὶς καὶ τὴν ἐξ ὕψους ἐνδυσάμενος δύναμιν, πᾶν εἴδωλον ἀποσπάσας ἐκ τῶν βωμῶν ἐν μιᾷ τοῦ ναοῦ γωνίᾳ συνθλάσας ἐναπέρριψε[8]· τὸν δὲ χρυσότευκτον θεὸν Δία εἰς λεπτὰ τμήματα κατατεμών, ἀγγελικῇ δυνάμει τῶν πυλῶν τοῦ ναοῦ διανοιχθεισῶν[9], ἐξελθὼν χήραις καὶ ὀρφανοῖς διέδωκε. Καὶ τῶν ἡμερῶν τῆς προθεσμίας πληρωθεισῶν, ὁ βασιλεὺς ἅμα τῇ συγκλήτῳ παραγενόμενος καὶ[10] τῶν τῆς φυλακῆς θυρῶν ἀσαλεύτων εὑρισκομένων, εἰσελθὼν ἔνδον εἶδεν ἅπερ εἶδεν καὶ

— [5] καὶ *add.* Sa. — [6] *om.* Sa. — [7] οὖν *add.* Sa. — [8] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
1. — [1] ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου *add.* Sa. — [2] τοῦ μεγάλου βασιλέως *om.* Sa. — [3] *supra lin.* Sa. — [4] εἰς *add.* Sa. — [5] δὲ *add.* Sa. — [6] δευτέραν *add.* Sa. — [7] αὐτῆς Sa. — [8] *lege quae habet* Sa *inter* Synaxaria selecta.
2. — [1] προσμένοντος Sa. — [2] *supplevi, om.* S, Sa. — [3] Sa, *om.* S. — [4] πάπα Ῥώμης *add.* Sa. — [5] μελλῶν S. — [6] σχεδὸν αὐτοῦ Sa. — [7] ὑγιώθη Sa. — [8] ἀπέρριψε Sa. — [9] διανυχθεισῶν S, διαναχθεισῶν Sa. — [10] *om.* Sa.

Dec. 11. τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς πληροφορίαν δὲ βεβαίαν τῶν σκανδαλισθέντων καὶ διστανζόντων ὑπὲρ αὐτοῦ. — **Mv** : 1. 6. 2. — Μνήμη μείρακός τινος. — Τοῦ ἁγίου μάρτυρος Βαρσαβᾶ. — 3 (... καὶ Βεβαίας). — **Mb** : 1. 2 (Ἀκεψιμᾶ καὶ Ἀειθαλᾶ). — 6. — Μνήμη μείρακος. — 3 (... καὶ Βεβαίας). — 4 (Ἀκεψιμᾶ τῶν ἐν Περσίδι τελειωθέντων). — 5. — **Mr** : 1.

Dec. 12. SYNAXARIA SELECTA. **Sa** : 1, ita des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῇ γυναικείᾳ μονῇ τῇ οὔσῃ πλησίον τῆς μονῆς τοῦ Φιλανθρώπου, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ σῶμα κατάκειται. — 2. — **Sb** : 1. 2. — **H** : 1. — Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου (Nov. 23[2]). — **P** : 1. — Ἀμφιλοχίου. — **Da** : 1 (= Ba). 2. — **Db** : 1. 2. — **F** : 1 : Σπυρίδωνος τοῦ θαυματουργοῦ ἐπισκόπου Τριμιθούντων τῆς Κύπρου. Οὗτος ἤκμασεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως καὶ Κωνσταντίου υἱοῦ αὐτοῦ· ἦν δὲ τὸν τρόπον ἁπλοῦς καὶ τὴν καρδίαν ταπεινός... Des. : Ὅπως δὲ ἦν συμπαθὴς ἐδήλωσε τὸ συμβὰν εἰς τοὺς τὴν ποίμνην αὐτοῦ λῦσαι ἐπιχειρήσαντας. Οὐ μόνον γὰρ αὐτοὺς ἀορασίᾳ κρατηθέντας τοῦ πάθους ἀπήλλαξεν, ἀλλὰ καὶ κριὸν ἕνα ἐπιδοὺς ἀπέλυσεν εἰπών, ὡς ἂν μὴ ὦσιν μάτην ἠγρυπνηκότες. Οὕτω τὸ καταπιστευθὲν αὐτῷ ποίμνιον ἰθύνας καλῶς, πρὸς τὴν τῶν ἀγγέλων πολιτείαν καὶ διαγωγὴν μετετάξατο. — 2. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1 (Οὗτος ἦν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως καὶ Κωνσταντίου τοῦ υἱοῦ αὐτοῦ... Des. : καὶ διαγωγὴν μετετάξατο). — 2. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Αἰθερίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν ἄγεται δεσμευθεὶς καὶ μὴ πεισθεὶς θῦσαι σίδηρα πεπυρακτωμένα δέχεται αὐτοῦ τοῖς ὠσίν· ὑφ' ὧν αἱ τῶν ὀφθαλμῶν αὐτοῦ κόραι διατακεῖσαι ἐξέπεσον· εἶτα δεσμοῦσιν ἐπὶ τροχοῦ καὶ κημὸν ὑποβάλλοντες αὐτοῦ τῷ στόματι κρεμῶσιν ἐπὶ κεφαλῆς, λίθον αὐτοῦ τῷ τραχήλῳ προσδήσαντες· λαμπάσι πυρὸς καταφλέγεται. Καὶ τέλος τὸν διὰ ξίφους δέχεται θάνατον. — **C** : 1. — Ἀμφιλοχίου. — 2. — **Cb** :

ἐξέστη. Εὐθὺς οὖν ὁ ἅγιος ἀναρτᾶται ἰκρίῳ γυμνὸς καὶ σιδηροῖς ὄνυξι ξέεται καθ' ὅλου τοῦ σώματος. Εἶθ' οὕτως ὑπὸ τῶν ἀθρεμβόλων ἐξαρθροῦται τὰ μέλη, ῥᾷον ὑποφέρων τὰς ἀλγηδόνας. Τὸ δὲ τελευταῖον τοσαύταις κακώσεσι καὶ τομαῖς βασάνων προσομιλήσας, τὴν διὰ ξίφους δέχεται τιμωρίαν. Dec. 12.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ′.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου. Ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ διωγμὸς ἦν τῶν χριστιανῶν· ὅτε καὶ κρατηθεὶς[1] ὁ ἅγιος Εὐστράτιος παρὰ Λυσίου τοῦ δουκὸς καὶ βασανισθεὶς πλεῖστα καὶ ὑποδήματα σιδηρᾶ μετὰ[2] ἥλων ὀξέων ὑποδεθεὶς περιεπάτει τυπτόμενος. Ὁ δὲ ἅγιος Αὐξέντιος τιμωρηθεὶς ἰσχυρῶς ἀπεκεφαλίσθη· ἡ δὲ κεφαλὴ αὐτοῦ οὐχ εὑρίσκετο· εἶτα εὑρέθη εἰς δένδρον κειμένη, κορώνης ἑστώσης ἐπάνω καὶ κραζούσης. Ἀλλὰ καὶ ὁ ἅγιος Μαρδάριος τιμωρίας μυρίας ὑποστὰς οὐκ ἔλεγεν ἕτερον εἰ μή· « Χριστιανός εἰμι[3], » εἶτα τοὺς ἀστραγάλους διατρυπηθεὶς καὶ κατὰ κεφαλῆς κρεμασθεὶς καὶ τὰ ὀπίσθια μέρη κατακαεὶς ἐτελεύτησεν. Ὁ δὲ ἅγιος Εὐγένιος τὴν γλῶτταν καὶ τὰς δύο χεῖρας ἐκκοπείς, συνθλασθεὶς καὶ τὰ σκέλη ῥάβδοις, ἐξέπνευσεν. Ἀλλὰ καὶ ὁ ἅγιος Ὀρέστης, τοῦ κεκρυμμένου σταυρίου αὐτοῦ, ὅπερ ἐφόρει, ἀναφανέντος, ἐκρατήθη· καὶ τεθεὶς ἐπὶ κραββάτου σιδηροῦ πεπυρακτωμένου πρὸς Κύριον ἐξεδήμησε. Ἐτελειώθη δὲ καὶ ὁ ἅγιος Εὐστράτιος μετὰ | (f. 104v.) πολλὰς τιμωρίας ἀπαχθεὶς εἰς κάμινον. Ἡ δὲ σύναξις αὐτῶν[4] τελεῖται ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου πλησίον τῆς ἁγιωτάτης[5] μεγάλης ἐκκλησίας. Dec. 13.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Λουκίας τῆς παρθένου. Αὕτη ἦν ἐκ Συρακούσης[1] τῆς πόλεως, τῆς κατὰ Σικελίαν, μεμνηστευμένη ἀνδρί· διὰ δὲ τὴν ἐπισκήψασαν[2] νόσον τῇ ταύτης μητρὶ ἅμα αὐτῇ ἐπὶ Κατάνην παρεγένετο, δεηθησομένη τῆς ἁγίας μάρτυρος Ἀγάθης ἀπαλλάξαι τῆς αἱμορροίας τὴν ταύτης μητέραν[3]. Παραγενομένη δὲ ὄναρ εἶδε τὴν ἁγίαν Ἀγάθην τήν τε ἴασιν παρεχομένην[4] τῇ ταύτης μητρὶ καὶ προθεσπίζουσαν αὐτῇ περὶ τοῦ κατὰ Χριστὸν[5] μαρτυρίου. Ὡς δὲ ἡ μήτηρ αὐτῆς γέγονεν ὑγιής, τῶν ὑπαρχόντων αὐτῇ πρὸς τοὺς[6] πένητας ποιήσασα[7] διανομήν, εὔθυμος ἦν πρὸς τὴν[8] Χριστοῦ ὁμολογίαν. Παρὰ δὲ τοῦ μνηστῆρος διαβληθεῖσα, παρέστη τῷ ἄρχοντι Πασχασίῳ, ὃς ἐκέλευσεν αὐτὴν ἐν πορνείῳ ἀπενεχθεῖσαν ὑβρισθῆναι. Διέμεινε δὲ τῇ τοῦ Χριστοῦ χάριτι ἐν ἁγνείᾳ, μὴ δυνηθέντων, καίπερ πολλῶν συνελθόντων, μετακινῆσαι αὐτὴν ἐκ τοῦ τόπου, ἔνθα ἐστήρικτο. Ἀπαγορεύσαντες δὲ τὴν αὐτῆς μετάβασιν καὶ μηδὲ διὰ τῆς πυρᾶς, ἣν ἀνῆψαν, ἔνθα ἡ ἁγία ἵστατο, αὐτὴν καταφλέξαντες, διὰ τὸ ὑπὸ Θεοῦ ταύτην φυλάττεσθαι, ξίφει τὴν αὐτῆς ἀπέτεμον κεφαλήν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ′.

Dec. 14. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Θύρσου, Λευκίου καὶ Καλλινίκου. Ἐπὶ Δεκίου τοῦ βασιλέως Κουμβρίκιος ὁ ἡγεμὼν διωγμὸν μέγαν ἐκίνησεν κατὰ τῶν χριστιανῶν ἐν τοῖς μέρεσι Νικομηδείας, χύνων[1] τὰ τῶν ἀνθρώπων αἵματα καθ' ἑκάστην ὡς ὕδωρ. Λυπηθεὶς δὲ ὁ Λεύκιος, χριστιανὸς ὑπάρχων καὶ φοβούμενος τὸν Θεόν, ἀπῆλθεν εἰς τὸν ἡγεμόνα λέγων· « Κύων ἀκόρεστε, » ἕως πότε ἐκχέεις τὸ τῶν ἀνθρώπων αἷμα ὥσπερ » ὕδωρ, καταναγκάζων αὐτοὺς προσκυνεῖν λίθους

1. — [1] κρατηθεὶς καὶ Sa. — [2] καὶ *add.* Sa. — [3] εἰ μὴ S. — [4] Sa, αὐτοῦ S. — [5] *om.* Sa.
2. — [1] Συρρακούσης S. — [2] ἐπισκήψαν Sa. — [3] μητέρα Sa. — [4] παρεχομένη S. — [5] Sa, Χριστοῦ S. — [6] τὰς S. — [7] ποιησαμένη Sa. — [8] τοῦ *add.* Sa.
1. — [1] ἐκχέων Sa.

Dec. 12. 1. 2. — **Cc** : 1. — Ἀμφιλοχίου. — 2. — **Cd** : 1. — Ἀμφιλοχίου. — 2. — **M** : 1. — Ἀλεξάνδρου ἀρχιεπισκόπου Ἱεροσολύμων. — Ἀμμωναθᾶς καὶ Ἄνθος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Ἀλεξάνδρου. — Ἀμμωναθᾶ καὶ Ἄνθου. — **Mb** : 1. 2. — Ἀλεξάνδρου. — **Mr** : 1.

Dec. 13. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. — Κυριαίνης. — 2. — **P** : 1. 2. — Κυριέννης. — **Da** : 1 (= Ba). 2. — **Db** : 1. 2. — **F** : 1 : Εὐστρατίου, Αὐξεντίου, Μαρδαρίου καὶ Ὀρέστου. Οὗτοι οἱ ἅγιοι τοῦ Χριστοῦ μάρτυρες ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν δυσσεβῶν καὶ Λυσίου δουκὸς κρατοῦντος τῆς τῶν Λιμηταναίων τάξεως, καὶ Ἀγρικολάου πᾶσαν τῆς ἀνατολῆς τὴν ἐπαρχίαν διοικοῦντος... Des. : καὶ ἐκπλήξας τὸν τύραννον, τοῦ ἁγίου Ὀρέστου ἐν κραββάτῳ σιδηρῷ πρότερον τεθέντος καὶ ἐν αὐτῷ τὸ τέλος λαβόντος, ὕστερον αὐτὸς ἀναφθείσης καμίνου καὶ ἐν αὐτῇ εἰσελθών, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο. — 2. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1 (Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ καὶ Λυσίου δουκὸς κτλ.). — 2. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **O** : 1. — **C** : 1. — Τῆς ἁγίας Κυριαίνης. — 2. — **Cb** : 1. — Κυριαίνης. — 2. — **Cc** : 1. — Κυριαίνης. — 2. — **Cd** : 1. 2. — **M** : 1. 2. — **Mv** : 1. 2. — Ἀρσενίου τοῦ ἐν τῷ Λάτρῳ. — Sequitur Κυριακὴ τῶν ἁγίων προπατόρων. — **Mb** : 1. 2. — Κυριαίνης. — **Mr** : 1. 2.

Dec. 14. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. — **H** : 1. 2. 3. — **P** : 1. 2 : Φιλήμονος καὶ Ἀπολλωνίου καὶ τῶν μετ' αὐτῶν πλησίον τῶν Ἑλενιανῶν[1]. — Καὶ τοῦ ἁγίου Ὑπατίου. — 3. — **Da** : 1. 2 (= F). 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1 : Θύρσου, Λευκίου καὶ Καλλινίκου. Οὗτοι

[1] Ἑλλενιανῶν P.

Dec. 14. » καὶ ξύλα ἄψυχα καὶ ἀναίσθητα[2]; » Ὀργισθεὶς δὲ ὁ ἡγεμὼν ἐκρέμασεν αὐτὸν καὶ ἔξεσε τὰς σάρκας αὐτοῦ· εἶτα ἀπεκεφάλισεν αὐτόν. Ὑπήντησε δὲ τῷ ἡγεμόνι καὶ ὁ ἅγιος Θύρσος καὶ ὠνείδισεν αὐτόν, ὡς ἐπιχαίροντα τοῖς αἵμασι τῶν ἀνθρώπων· καὶ ἐκρατήθη καὶ αὐτὸς καὶ ἐδέθη χεῖρας καὶ πόδας καὶ ἐξεκεντήθη τοὺς ὀφθαλμοὺς καὶ συνετρίβη τὰ σκέλη. Ὅτε καὶ παραδόξως | f. 105. ὑγιασθεὶς[3] ἐπισπᾶται πρὸς τὴν πίστιν τὸν Καλλίνικον, ἱερέα τῶν εἰδώλων ὑπάρχοντα· εἶτα ἐδέθη, ἵνα σχισθῇ μέσον μετὰ τοῦ πρίονος· καὶ πρὸ τοῦ σχισθῆναι καὶ διχοτομηθῆναι παρέθετο[4] τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ Ζῶντος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι πλησίον Ἑλενιανῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φιλήμονος, Ἀπολλωνίου καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι ὑπῆρχον ἀπὸ Θηβῶν τῆς Αἰγύπτου ἐπὶ[1] Διοκλητιανοῦ τοῦ βασιλέως[2] καὶ Ἀρριανοῦ ἡγεμόνος Θηβαΐδος. Ἦσαν δὲ ἅπαντες[3] τριάκοντα[4] ἕξ. Ἐπεὶ δὲ ἐκρατήθησαν, εἷς ἐξ αὐτῶν καλούμενος Ἀπολλώνιος, κληρικὸς ὤν, ἔδωκε νόμισμα[5] τῷ φυλάσσοντι αὐτοὺς Φιλήμονι τῷ κιθαριστῇ καὶ παρεκάλεσεν αὐτὸν φορέσαι τὰ ἱμάτια αὐτοῦ καὶ ἀντὶ τοῦ[6] αὐτοῦ προσκυνῆσαι καὶ θῦσαι τοῖς εἰδώλοις. Ὁ δὲ Φιλήμων οὕτως[7] ποιήσας, ὅτε ἀπῆλθε θῦσαι, ὡμολόγησε τὸν Χριστόν. Καὶ ὁ ἡγεμὼν μὴ γνωρίσας αὐτὸν εἶπε· « Καλέσατε » τὸν καθαριστὴν Φιλήμονα, ἵνα κιθαρίσῃ καὶ τῇ » μελῳδίᾳ πείσῃ τοὺς χριστιανοὺς θῦσαι. » Καὶ τότε γνωρισθεὶς ὁ Φιλήμων, ἐτιμωρήθη μετὰ τῶν ἄλλων παρὰ τοῦ ἡγεμόνος. Συνεσχέθη δὲ καὶ ὁ Ἀπολλώνιος, ὡς αἴτιος γεγονὼς τῆς εἰς Χριστὸν πίστεως τῷ Φιλήμονι· καὶ ἀχθεὶς πρὸς τὸν ἡγεμόνα, τὴν εἰς Χριστὸν ἀνεκήρυξε πίστιν· διὸ τέμνεται τὰ νεῦρα τῶν ποδῶν αὐτοῦ καὶ καθ᾽ ὅλης τῆς πόλεως σύρεται. Ὁ δὲ Φιλήμων εἰς φυτὸν περσαίας κρεμασθεὶς τοξεύεται· τὰ δὲ βέλη αὐτοῦ μὲν οὐχ ἥψαντο[8]. Ἓν δὲ ἐνεχθὲν πρὸς τὸν ἡγεμόνα ἐξεκέντησεν αὐτοῦ τὸν ὀφθαλμόν, ὃν ὁ ἅγιος Φιλήμων κατέστησεν ὑγιῆ, προειπὼν αὐτῷ, ὅτι μετὰ τὸ μαρτύριον αὐτοῦ χοῦν ἐκ τῆς σοροῦ λαβὼν ὑγιῆ τὸν ὀφθαλμὸν ἀπολήψεται. Τὰς κεφαλὰς οὖν ἀμφοτέρων τμηθέντων, τοῦ τε ἁγίου Φιλήμονος καὶ Ἀπολλωνίου, ὁ ἡγεμὼν μεθ᾽ ἡμέραν ἔνθα κατετέθησαν οἱ ἅγιοι παραγενόμενος κατὰ τὴν τοῦ ἁγίου πρόρρησιν γέγονεν ὑγιής· ὅθεν αὐτὸς καὶ οἱ σὺν αὐτῷ πιστεύουσι τῷ Χριστῷ καὶ βαπτίζονται. Τοῦτον δὲ μεταπεμψάμενος ὁ βασιλεὺς Διοκλητιανὸς καὶ πεδήσας σιδήροις καὶ λίθον ἐν τῷ τραχήλῳ αὐτοῦ περιθείς, ἐν χάσματι κατέχωσε γῆς· ὃν παραδόξως σωθέντα[9] ἐπὶ τῆς κλίνης αὐτοῦ θεασάμενος ἐν τοῖς βασιλείοις, μάγον εἶναι οἰηθείς, | f. 105v. ἐν τῇ θαλάσσῃ ἀπέρριψε μετὰ τῶν προτικτόρων πιστευσάντων καὶ αὐτῶν[10] τῷ Χριστῷ. Συνεκκομισθὲν δὲ τὸ τοῦ ἁγίου Ἀρριανοῦ λείψανον ὑπὸ τῶν παίδων αὐτοῦ, ἐπὶ νώτου δελφῖνος ἐποχούμενον ἔνδοθεν σάκκου, μετὰ καὶ ἑτέρων σάκκων παραπλησίων περιεχόντων τὰ τῶν προτικτόρων σώματα ἐτάφη.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, ἧς παρ᾽ ἐλπίδα πᾶσαν ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Θεός.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

Dec. 15. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος[1] Ἐλευθερίου. Οὗτος ἦν ἀπὸ τῆς μεγαλοπόλεως[2] Ῥώμης· νέος δὲ τὴν ἡλικίαν ὑπάρχων ἐγένετο ἐκ πατρὸς ὀρφανός· μητέρα δὲ εἶχεν ὀνόματι Ἀνθίαν, παρ᾽ ἧς καὶ τὴν εἰς Χριστὸν πίστιν ἐδιδάχθη, προδιδαχθείσης ὑπὸ τοῦ μεγάλου Παύλου τοῦ ἀποστόλου.

— [2] λίθοις καὶ ξύλοις ἀψύχοις καὶ ἀναισθήτοις Sa. — [3] ὑγιωθεὶς Sa. — [4] παρέδωκε Sa.
2. — [1] τῆς βασιλείας *add.* Sa. — [2] τοῦ βασιλέως *om.* Sa. — [3] οἱ πάντες Sa. — [4] καὶ *add.* Sa. — [5] νομίσματα Sa. — [6] *om.* Sa. — [7] οὕτω Sa. — [8] ἥψατο Sa. — [9] σωθέντες Sa. — [10] *corr.* Sa, *prius* αὐτῷ.
1. — [1] μάρτυρος Sa. — [2] μεγάλης πόλεως Sa.

Dec. 14. ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως καὶ Κουμβρικίου ἡγεμόνος. Τοῦ οὖν ἡγεμόνος διωγμὸν κατὰ τῶν χριστιανῶν κινοῦντος ἐν τοῖς μέρεσιν Νικομηδείας καὶ Νικαίας καὶ Καισαρείας τῆς κατὰ Βιθυνίαν αὐτομολήσας... Des. : Ὁ δὲ ἅγιος Θύρσος ἐν κιβωτίῳ βληθεὶς ὥστε διατμηθῆναι τῷ πρίονι, διέμεινεν ἀβλαβής, τῇ τοῦ Θεοῦ χάριτι κινῆσαι τὸν πρίονα τῶν ἑλκόντων μὴ δυναμένων· ἔνθα τὴν ψυχὴν παρέθετο τῷ Θεῷ, ἄνωθεν αὐτῷ προγενομένης φωνῆς καὶ παραδηλούσης τὰ ἀποκείμενα αὐτῷ ἀγαθά. — 2 : Φιλήμονος καὶ Ἀπολλωνίου, Ὑπατίου καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως... Des. : συνεκομίσθη δὲ τὸ τοῦ ἁγίου Ἀρειανοῦ λείψανον παρὰ τῶν παίδων αὐτοῦ, ἐπὶ νώτου δελφῖνος ἐποχούμενον κατὰ τὴν τοῦ ἁγίου πρόρρησιν. — 3. — **B** : 1. 2. — Ἀρριανοῦ καὶ τῶν προτικτόρων. — **Ba** : 1 (Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως καὶ Κουμβρικίου ἡγεμόνος· αὐτόμολος οὖν ὁ ἅγιος Λεύκιος προσελθὼν... Des. : τὰ ἀποκείμενα αὐτῷ ἀγαθά). — 2 (= F). 3 (= S). — **T** : 1. — **L** : 1. — **Q** : 1. 2. — **C** : 1. 2. — **Cb** : 1. 2. — Περὶ τῶν λειψάνων τοῦ ἁγίου Ἀρριανοῦ. — **Cc** : 1. 2. — **Cd** : 1. 2. — Περὶ τῶν λειψάνων... — **M** : 1. — Καλλίνικος ξ. τ. — 2 (Φιλήμονος καὶ Ἀπολλωνίου). — Ἀρριανὸς καὶ οἱ πιστεύσαντες προτίκτορες τῷ Χριστῷ ἐν θαλάσσῃ ῥιφέντες τ. — Ἡ εὕρεσις τῶν λειψάνων αὐτῶν. — 3. — **Mv** : 1. 2. — Τῶν τεσσάρων προτικτόρων τῶν συναθλησάντων τῷ ἁγίῳ Ἀρρειανῷ[2]. — 3. — **Mb** : 1. 2. — Περὶ τῆς εὑρέσεως τῶν ἁγίων λειψάνων τοῦ ἁγίου Ἀρρειανοῦ[3] καὶ τῶν προτικτόρων. — **Mr** : 1. 2.

Dec. 15. SYNAXARIA SELECTA. **Sa** : 1. 3 : μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παύλου τοῦ νέου τοῦ ἐν τῷ ἁγίῳ Λάτρῳ ἀσκήσαντος. Οὗτος ὁ παγγέραστος καὶ μέγας ἐν ἀσκηταῖς γέγονεν ἐξ Ἐλαίας πόλεως, ἥτις ἐστὶ πλησίον Περγάμου τῆς Ἀσίας. Γεννήτορες δὲ αὐτῷ Ἀντίοχος καὶ Εὐδοκία,

— [2] Ἀριανῷ Mv. — [3] Ἀρειανοῦ Mb.

Προσήχθη δὲ ὑπ᾽ αὐτῆς τῷ ἐπισκόπῳ Ἀνικήτῳ· καὶ παρ᾽ αὐτοῦ τὰ ἱερὰ γράμματα μανθάνει καὶ τῷ τῶν κληρικῶν καταλέγεται τάγματι καὶ πεντεκαίδεκα χρόνων γενόμενος χειροτονεῖται διάκονος, ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ πρεσβύτερος· εἰς δὲ τὸν εἰκοστὸν[3] ἐλάσας, ἐπίσκοπος προχειρίζεται τοῦ Ἰλλυρικοῦ, πολλὰ πρότερον διὰ τὸ τῆς ἀρετῆς ὑπερβάλλον κατεργασάμενος θαύματα. Ἐπεὶ δὲ διδάσκων πολλοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπέστρεφε, μεταπέμπεται τοῦτον Ἀδριανὸς ὁ[4] βασιλεύς, καὶ τὸν Χριστὸν κηρύξαντα ἐνώπιον αὐτοῦ προστάσσει τεθῆναι ἐπὶ κραββάτου χαλκοῦ καὶ σώρευμα πυρὸς ὑποστρωθῆναι κάτωθεν· εἶτα ἐν ἐσχάρᾳ τεθῆναι, καὶ αὖθις ἐν τηγάνῳ[5] ἐκπυρωθέντι πλήρει ἐλαίου καὶ στέατος καὶ πίσσης· τῇ δὲ τοῦ Χριστοῦ χάριτι καὶ δυνάμει ἐξ ἀμφοτέρων φυλάττεται ἀβλαβής. Εἶτα σκευάζεται κλίβανος τῇ συμβουλῇ τοῦ ἐπάρχου Κορέβορος[6], ἔχων ἑκατέρωθεν ὀβελίσκους ὀξεῖς, ἐν ᾧ αὐτὸς ὁ Κορέβωρ[7] εἰσῆλθε Πνεύματος ἁγίου πλησθεὶς καὶ τὸν Χριστὸν Θεὸν εἶναι ἀληθινὸν[8] ὁμολογήσας· καὶ ἐξελθὼν ἀβλαβὴς τὴν κεφαλὴν ἀποτέμνεται. Ὁ δὲ ἅγιος Ἐλευθέριος ἐβλήθη ἐν τῷ κλιβάνῳ· καὶ σβεσθείσης τῆς φλογὸς ἐξῆλθε σῶος καὶ ἐν εἱρκτῇ τίθεται. Dec. 15. Εἶτα δεσμεῖται ἐν ἅρματι ὑπὸ πώλων <ἀγρίων[9]> συρομένῳ· καὶ ὑπὸ ἀγγέλου λυθεὶς εἰς ὄρος ὑψηλὸν καθίσταται, ἔνθα ἦν μετὰ ἀγρίων ζῴων συνδιαιτώμενος· τὰ δὲ ἐξημεροῦντο, τὰ τοῦ Θεοῦ λόγια διεξιόντος αὐτοῦ. Εἶτα | f. 106. τοὺς εἰς τὴν σύλληψιν αὐτοῦ ἀποσταλέντας[10] στρατιώτας νουθετήσας βαπτίζει, μεθ᾽ ὧν καὶ ἑτέρους ὡσεὶ πεντακοσίους πιστεύσαντας τῷ Χριστῷ[11]. Ἀχθεὶς δὲ πρὸς τὸν βασιλέα καὶ θηρίοις βληθεὶς καὶ σῶος διαφυλαχθείς, ὑπὸ δύο στρατιωτῶν ἀναιρεῖται, προστάξει τοῦ βασιλέως συμπεσόντων αὐτῷ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ξηρολόφου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βάκχου τοῦ νέου. Οὗτος ὥρμητο μὲν ἐκ Παλαιστίνης, ὢν ἐν τοῖς χρόνοις[1] Εἰρήνης καὶ Κωνσταντίνου τῶν εὐσεβῶν βασιλέων Ῥωμαίων[2]. Ἦν δὲ ὁ τούτου πατὴρ χριστιανὸς ἐκ προγόνων καὶ χριστιανικωτάτῃ γυναικὶ συνοικῶν, πρὸς δὲ τὴν τῶν Ἀγαρηνῶν θρησκείαν ἀπέδρασε[3] καὶ ηὐτομόλησε, δαιμονικαῖς συμβουλαῖς καὶ κοσμικοῖς δελεάσμασιν ὑπαχθείς. Ἐγέννησεν οὖν παῖδας ἑπτὰ καὶ

— [3] ἔτος *add.* Sa. — [4] *om.* Sa. — [5] τῇ γάνῳ Sa. — [6] Κορέμβωρος Sa. — [7] Κορέμβων Sa. — [8] ἀληθινὸν εἶναι Sa. — [9] Sa, *om.* S. — [10] ἀποσταλλέντας S. — [11] τῷ Χριστῷ *om.* Sa.
2. — [1] τῆς εὐσεβεστάτης βασιλίσσης *add.* Sa. — [2] (τῶν - Ῥωμαίων) τοῦ ταύτης υἱοῦ Sa. — [3] ἀπέδρα Sa.

Dec. 15. ἐπιφανεῖς ἄμφω καὶ γένος καὶ ἀρετήν. Τοῦ γοῦν πατρὸς πολέμου νόμῳ τὸν βίον καταλιπόντος — κόμης γὰρ ἐτύγχανεν ὢν ἐν τῷ πλωΐμῳ στρατῷ — ἡ μήτηρ τοὺς υἱοὺς ἀραμένη, ἐπεὶ καὶ ἕτερος ἦν αὐτῇ πρωτογενὴς τοῦ Παύλου Βασίλειος ὄνομα, πρὸς τὰ τῆς Ἀπολλωνιάδος ἔρχεται μέρη, — ἐκεῖθεν γὰρ αὕτη τὰς τοῦ γένους εἷλκε πηγάς, — καὶ τοῖς τοῦ Μαρυκάτου καλουμένοις τόποις ἐγκατοικίζεται. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ὁ Βασίλειος ὑπὸ τῆς μητρὸς ἄκων πρὸς γάμον ἑλκόμενος, φυγὰς πρὸς τὸν Ὄλυμπον γίνεται καὶ τὸν μοναστὴν ὑπέρχεται βίον· εἶτ᾽ ἐκεῖθεν ἀπαναστὰς εἰς τὸ τοῦ Βραχιανοῦ μετῴκησεν ὄρος. Ἡ δὲ μήτηρ σὺν τῷ Παύλῳ καταλειφθεῖσα, ἐπ᾽ αὐτῷ μόνῳ τὰ τῆς ἐλπίδος σαλεύουσα ἦν. Ἀλλὰ καὶ ταύτης τὸ κοινὸν ἀποδούσης χρέος, μόνος ὁ Παῦλος καταλέλειπτο, τὴν ὀρφανίαν φέρων καὶ τὰ ἐκ ταύτης δεινά· πλὴν ἀλλ᾽ ὁ τοῦτον ἐκ μήτρας ἡγιακὼς καὶ ἀφορίσας ἑαυτῷ, ὡς εἰδώς, οἷον σκεῦος εὔχρηστον εἰς ὑποδοχὴν τοῦ θείου μύρου γενήσεται[1], τὴν τοῦ Βασιλείου καρδίαν εἰς ἐπιθυμίαν τοῦ ἀδελφοῦ διανίστησι, καὶ τρεῖς περὶ τὸ τοῦτον ἀναζητῆσαι παρεγγυᾷ. Ὁ δὲ διά τινος μοναχοῦ τὴν ὁδὸν ἀκριβῶς εἰδότος τὸν Παῦλον μεταπεμψάμενος καὶ μικρὸν παρ᾽ ἑαυτῷ κατασχών, εἶτα τοῦτον παραλαβὼν τῷ μεγάλῳ πατρὶ Πέτρῳ φέρων πρὸς παιδείαν πνευματικὴν παραδίδωσιν, ὃς τῆς μονῆς, ἣ Καρύα ὠνόμαστο, ἐξηγεῖτο καὶ φωστῆρος δίκην τῷ τότε διέλαμπεν. Ὁ δὲ θείῳ Πνεύματι προειδώς, οἷος ὁ παῖς προϊὼν τὴν ἀρετὴν ἀποβήσεται, ἄσμενος αὐτὸν ὑποδέχεται. Καὶ πρῶτα μὲν ἑαυτῷ πρὸς ὑπηρεσίαν ἀποτάττει, εἶτα καὶ ταῖς λοιπαῖς ἐντάττει διακονίαις. Ὁ δὲ οὐ μόνον ταύταις ἐγκαρτερῶν ἀλλὰ καὶ ἑτέρας οἴκοθεν ἀσκήσεις καὶ κακοπαθείας ἐπινοῶν, εἰς τοσοῦτον χάριτος προήχθη, ὡς καὶ πῦρ οὐράνιον ὀφθαλμοφανῶς ἰδεῖν κατελθὸν ἐπ᾽ αὐτὸν καὶ ὅλον δι᾽ ὅλου περιλαβὸν καὶ ἄκαυστα πυρπολοῦν. Ἐντεῦθεν μειζόνως τὴν καρδίαν φλεχθεὶς πολὺν[2] τὸν τῆς ἡσυχίας ὤδινεν ἔρωτα, ἀλλ᾽ ἐπείχετο παρὰ τοῦ πνευματικοῦ πατρὸς διὰ τὸ[3] νέον ἔτι τῆς ἡλικίας καὶ πρὸς τὴν μόνωσιν ἀῆθες. Τούτου δὲ πρὸς Θεὸν μεταστάντος, εὐκαίρου λαβόμενος ἀφορμῆς ὁ Παῦλος ἅμα Δημητρίῳ φίλῳ δή τινι καὶ συνήθει πρὸς τὸ Λάτρον γίνεται· καὶ τοῦτο περινοστήσας εἰς τὴν Φιλέρημον λεγομένην ᾑρετίσατο κατοικεῖν· ἐν ᾗ μῆνας ὀκτὼ διαβιβάσας καὶ πᾶσαν ἄσκησιν ἐνδειξάμενος, πάντα τε πειρασμὸν προφανῆ τε καὶ νοητὸν παρὰ τῶν τῆς πονηρίας πνευμάτων ὑποστάς, εἰς τὴν Καρύαν αὖθις σὺν τῷ Δημητρίῳ[4] ὑποστρέφει, γράμμασι τοῦ προεστῶτος μετακληθείς. Ἀλλ᾽ ὀλίγας ἡμέρας ἐν αὐτῇ ποιήσας καὶ μὴ φέρων ἔτι τὴν τῆς ἡσυχίας διάζευξιν, τοῖς ἐκεῖσε συνταξάμενος, μόνος πάλιν ἄνεισι πρὸς τὸ Λάτρον καὶ τὸν ἀχειροποίητον εἴσεισι στύλον. Ὑφ᾽ ὃν καὶ ἡ τούτου περίκλυτος λαύρα ἐνίδρυται· ἐν ᾧ δώδεκα διακαρτερήσας ἐνιαυτοὺς καὶ λιμῷ καὶ δίψει καὶ πολλῇ ταλαιπωρίᾳ καὶ δαιμόνων πειρασμοῖς ἀνηκέστοις διαπαλαίσας, ἐκεῖθεν κατελθὼν τὸ ὄρος διῄκει μονώτατος, σπήλαιά τε καὶ φάραγγας καὶ κρημνοὺς ἀβάτους περινοστῶν καὶ διηνεκεῖ μελέτῃ[5] τρυφὴν τὰ τοῦ Κυρίου ποιούμενος λόγια. Ἐπεσκέπτετο δὲ καὶ τακταῖς ἡμέραις τοὺς ὑπ᾽ αὐτὸν ἀδελφούς, οὓς ἐν τῷ στύλῳ ὢν εἰσεδέξατο, νουθετῶν καὶ ὑποστηρίζων καὶ πρὸς τὴν τῆς ἀρετῆς ἀλείφων ἀκρίβειαν. Ἀλλ᾽ ἡ τοῦ στύλου τοῦτον κατελθεῖν ἐκβιασαμένη αἰτία — ἥδε

[1] γεννήσεται Sa. — [2] πολλὴν Sa. — [3] τὸν Sa. — [4] Δημετρίω Sa. — [5] καὶ *add.* Sa.

Dec. 15.

τούτους ἀνέτρεφεν ἐπὶ τῇ ὁμοίᾳ δόξῃ τῆς θρησκείας πρὸς ἣν αὐτὸς ἐξώκειλεν. Αὐτοῦ οὖν τὸν βίον καταστρέψαντος καὶ ἐν κακοδοξίᾳ τὴν ψυχὴν ἀπορρήξαντος, οἱ ἑπτὰ[4] παῖδες ἅμα τῇ μητρὶ κατελείφθησαν. Ὧν ἦν ὁ τρίτος κατὰ τὴν τῆς γεννήσεως τάξιν Δαχὰκ ὀνομαζόμενος, ὅπερ ἑρμηνεύεται ἑλληνιστὶ Γελάσιος. Οὗτος οὖν ἄζυγα ἑαυτὸν ἐτήρει καὶ κοινωνεῖν[5] γάμῳ οὐκ ἠβουλήθη, ἀλλὰ μᾶλλον ἐβούλετο καὶ πρὸ τῆς τοῦ πατρὸς τελευτῆς τὰ[6] χριστιανῶν ἑλέσθαι· ὅπερ ἀποθανόντος αὐτοῦ κατεπράξατο. Ἀναθέμενος γὰρ τὰ περὶ αὐτοῦ[7] τῇ μητρὶ αὐτοῦ πιστῇ οὔσῃ[8] καὶ συγχαίρουσαν εὑρὼν ἀπῆρε τῆς ἐνεγκαμένης καὶ τὰ Ἱεροσόλυμα κατέλαβεν· εἶτα ἐκεῖθεν παρὰ μοναχοῦ τινος ὁδηγηθεὶς ἦλθεν εἰς τὴν λαύραν[9] τοῦ ἁγίου Σάβα, ἔνθα τοῦ ἁγίου βαπτίσματος ἀξιοῦται. Εἶτα δεηθεὶς τὸ τῶν μοναχῶν περιβάλλεται σχῆμα· ἐν ᾧ καλῶς πολιτευσάμενος καὶ ἐγκρατείᾳ καὶ ταῖς λοιπαῖς ἀρεταῖς στομώσας ἑαυτόν, κατὰ πρόσταξιν τοῦ ἡγουμένου τῆς μονῆς ἐξέρχεται, δεδιότος, μὴ φωραθείη βαπτίζων Ἀγαρηνόν· ἐκράτουν γὰρ οὗτοι τῆς χώρας. Κατὰ τύχην δὲ ἢ μᾶλλον θεϊκὴν οἰκονομίαν ἐν Ἱεροσολύμοις γενόμενος καὶ τῇ οἰκείᾳ συναντήσας μητρί, — ἦν γὰρ καὶ αὐτὴ περιερχομένη καὶ ἀναζητοῦσα αὐτόν, — τὰ κατ' αὐτὸν ἅπαντα ἐξαγγέλλει καὶ πάνυ λυπεῖσθαι λέγει περὶ τῶν ἀδελφῶν, ὅτι ἐν ἀπιστίᾳ εἰσί. Τοῦτο δὲ οἱ αὐτοῦ ἀδελφοὶ | παρὰ τῆς μητρὸς ἀκούσαντες, τῇ τοῦ Χριστοῦ πίστει προσέρχονται, ἑνός τινος μόνου περιλειφθέντος[10] τῇ τῶν Ἀγαρηνῶν θρησκείᾳ. Ὃς δῆλα τὰ κατὰ τὸν ἅγιον Βάκχον — τοῦτο γὰρ ἐν τῷ βαπτίζεσθαι ἀντὶ τοῦ Δαχὰκ μετωνομάσθη — τοῖς Ἀγαρηνοῖς πεποίηκεν. Οἱ δὲ ἀνερευνησάμενοι καὶ συλλαβόντες αὐτὸν πρὸς τὸν ἀμηρᾶν τῆς ἁγίας πόλεως μετὰ πολλῆς ἀπήγαγον τῆς σπουδῆς. Ὁ δὲ τῷ ὀνομαζομένῳ στρατηγῷ παρ' αὐτοῖς καὶ τοῖς κριταῖς ἐκπέμπει αὐτόν· ὧν ἐνώπιον τὸν Χριστὸν ὁμολογήσας καὶ τὴν τῶν Ἀγαρηνῶν πίστιν ὡς[11] ματαίαν διαβαλὼν καὶ μυκτηρίσας, τὴν κεφαλὴν ἀποτέμνεται.

f. 106v.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ νέου, τοῦ ἐν τῷ ὄρει τοῦ Λάτρους ἀγωνισαμένου καὶ ἀναπαυσαμένου ἐν τοῖς χρόνοις τοῦ Πορφυρογεννήτου.

4. Ἰστέον ὅτι ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ἐν ταύτῃ τῇ ἡμέρᾳ[1] ἐχει-

— [4] *om.* Sa. — [5] κοινωνῆσαι Sa. — [6] τῶν *add.* Sa. — [7] τὰ περὶ αὐτοῦ *om.* Sa. — [8] τὰ περὶ ἑαυτοῦ *add.* Sa. — [9] λάβραν Sa. — [10] ἐν *add.* Sa. — [11] καὶ Sa.

4. — [1] τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου *add.* Sa.

Dec. 15.

ἦν[6] τὸ τῶν προσιόντων πλῆθος καὶ περικοπτόντων αὐτοῦ[7] τὸ φιλήσυχον· καὶ πρὸς τὴν Σάμον λάθρα γενέσθαι καὶ τὸ τοῦ Κέρκου ὄρος οἰκεῖν κατηνάγκασε· πάλιν δὲ τοῖς τῶν ἐν τῷ Λάτρῳ φοιτητῶν αὐτοῦ θρήνοις ἐπικλασθεὶς ὑποστρέφει, τῶν προτέρων ἢ καὶ μειζόνων μᾶλλον πόνων ἐχόμενος. Δαψιλῆ γοῦν τὴν χάριν τοῦ θείου Πνεύματος πλουτήσας καὶ ὅλος οἶκος τῆς ἁγίας Τριάδος γεγονώς, θαυμάτων ἐξαισίων αὐτουργὸς ἐχρημάτισεν. Ὕδωρ τε γὰρ ἐκ πέτρας ἀνίκμου διὰ προσευχῆς ἐκβλῦσαι καὶ ἀέναον εἰσέτι μένειν πεποίηκεν, οἴνου ἀμφορεῖ βραχυτάτῳ λαὸν πολυάριθμον κατακόρως εὔφρανε. Τροφὴν οὐ μόνον ἅπαξ ἀλλὰ καὶ διαφόρως ἐκ χειρὸς ἁγίου ἀγγέλου ἐδέξατο, ὄμβρου ῥαγδαίαν φορὰν παραδόξως ἔστησε, νεφέλῃ δροσώδει τὰς ἡλιακὰς ἀπεῖρξε φλογώσεις, θαλάσσης κλύδωνα καὶ τρικυμίαν ἀνύποιστον κατεστόρεσε, τὰς αἰωνιζούσας καὶ φρικώδεις κολάσεις νοὸς ὀφθαλμοῖς ἐθεώρει, προρρήσεις θείας ἐξήνεγκε, τοῦ δεσμεῖν καὶ λύειν τὴν χάριν ἐπλούτησεν, ἐλλάμψεών τε καὶ ἀποκαλύψεων καὶ διακρίσεων πνευμάτων καὶ χαρίτων θεσπεσίων καὶ ἄλλων δή τινων πνευματικῶν θεωριῶν ὅλος ἔμπλεως ἦν, ἃ καθ' ἓν ἀριθμεῖν ἐν τῷ τέως οὐκ εὐχερές, ὁ δὲ τῷ[8] τούτου βίῳ ἐντυχὼν ἀκριβῶς εἴσεται. Οὕτως οὖν εἰλικρινῶς καὶ θεαρέστως βιώσας καὶ τοιούτων ἀγαθῶν καταξιωθεὶς καὶ πλήρης ἡμερῶν τῶν τε θείων καὶ λυομένων γενόμενος, ἐπεὶ προέγνω τὴν ἑαυτοῦ τελευτήν, κάτεισι δρομαῖος πρὸς τὴν μονήν, δεκάτῃ πρὸ τῆς ἐκδημίας ἡμέρᾳ· καὶ πολλὰ τοῖς ἀδελφοῖς περὶ σωτηρίας διαλεχθεὶς καὶ τὴν θεόφθεγκτον αὐτοῦ διαθήκην ὑπαγορεύσας καὶ παραδούς, μικρὸν νοσήσας, ἐν εἰρήνῃ πρὸς τὸν τῆς εἰρήνης ἀναλύει Θεόν, πολλὰς καὶ μετὰ θάνατον τὰς ἀθανάτους τῶν θαυμάτων προχέων πηγάς. Ἦν δὲ ὁ θαυμάσιος οὑτοσὶ καὶ ἱλαρώτατος εἴπερ τις πατὴρ ἡμῶν Παῦλος τὴν ἡλικίαν βραχύς, τὴν κεφαλὴν φαλακρός, τὴν ὑπήνην οὐκ εἰς μῆκος πολὺ καθειμένην ἔχων ἀλλὰ μᾶλλον πλατεῖαν, τὴν ὄψιν ὠχρὸς μὲν ἀλλὰ θαυμαστὴν ἐπιλάμπουσαν αὐτῇ[9] τὴν χάριν ἔχων καὶ ἀκριβῶς θεσπεσίαν. — 2. 4. — **Sb** : 1. — Σωσάννης (Sept. 19[2]). — **H** : 1. — Σωσάννης. — **P** : 1. — Σωσάννης. — **Da** : 1. — Σωσάνης (= Ba). — 2. — **Db** : 1. — Σωσάννης. — 2. — **F** : 1. — Σωσάννης[10]. — 2. — **Fa** : 1. — Σωσάννης (= Ba). — 2. — **B** : 1. — **Ba** : 1 : Ἐλευθερίου. Οὗτος ἦν ἐκ τῆς πόλεως Ῥώμης ἐκ πατρὸς ὀρφανός, μητέρα δὲ μόνην ἔχων, ᾗ ὄνομα Ἀνθία, τὴν εἰς Χριστὸν πίστιν ὑπὸ τοῦ ἁγίου Παύλου κατηχηθεῖσαν... Des. : ἀλλὰ καὶ ἡ μήτηρ αὐτοῦ, περιχυθεῖσα τὸ τούτου σῶμα, συναιρεῖται τῷ υἱῷ. — Σωσάννης[10]. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Παλαιστίνῃ, ἐκ πατρὸς ἕλληνος, μητρὸς δὲ Ἰουδαίας... Des. : Ἡ δὲ ἁγία Σουσάννα μόλιβδον ὑπὸ πυρὸς λυθέντα διὰ χώνης διὰ τοῦ στόματος ἐπὶ τὰ ἔγκατα ὥσπερ ὕδωρ ψυχρὸν δέχεται· εἶτα μαστιχθεῖσα καὶ ἐν πυρὶ βληθεῖσα τῷ Κυρίῳ παρέθετο τὴν ψυχήν. — 2. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : Περὶ τῶν λειψάνων τοῦ ἁγίου Ἀρειανοῦ καὶ τῶν προτικτόρων. — 1. — **Cb** : 1. — **Cc** : Περὶ τῶν λειψάνων τοῦ ἁγίου Ἀρρειανοῦ (Dec. 14[2]). — 1. — **Cd** : 1. — **M** : 1. — Ἀνθία μήτηρ τοῦ ἁγίου Ἐλευθερίου ξ. τ. — Κορέμων ὁ ἔπαρχος πιστεύσας τῷ Χριστῷ καὶ βαπτισθεὶς ξ. τ. — Οἱ δύο δήμιοι πιστεύσαντες τῷ Χριστῷ ξ. τ. —

— [6] ἡ *add.* Sa. — [7] αὐτῶν Sa. — [8] τὸ Sa. — [9] αὐτῇ ¦¦¦¦¦¦ Sa. — [10] Σουσάνης F, Ba.

Dec. 15.

ροτονήθη πατριάρχης Κωνσταντινουπόλεως νέας Ῥώμης, ἐν ᾗ καὶ ἡ ἑορτὴ τῶν Χριστοῦ γεννῶν ἀπήρξατο ὑπ' αὐτοῦ τελεῖσθαι ἕως τῆς εἰκοστῆς πέμπτης τοῦ μηνός, τινῶν ἀπὸ τῶν ἑσπερίων[2] ἐλθόντων καὶ ἀπαγγειλάντων[3]. Διὸ καὶ λόγος ἀπολογητικὸς ἐξεφωνήθη παρ' αὐτοῦ κάλλιστος καὶ ὠφέλιμος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚʹ.

Dec. 16.

1. Μνήμη τοῦ ἁγίου[1] προφήτου Ἀγγαίου, ὃς ἑρμηνεύεται ἑορτὴ ἢ ἑορτάζων ἢ ἑορταζόμενος[2]. Οὗτος ἦν ἐκ φυλῆς Λευΐ, ἐτέχθη δὲ ἐν Βαβυλῶνι. Καὶ ἔτι νέος ὢν ἤχθη ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ προεφήτευσε μετὰ Ζαχαρίου ἔτη τριάκοντα ἕξ· προέλαβε δὲ τὴν σάρκωσιν τοῦ Χριστοῦ ἔτη τετρακόσια ἑβδομήκοντα, καὶ φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προεφήτευσε, καὶ εἶδεν ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ· καὶ ἀποθανὼν ἐν εἰρήνῃ, ἐτάφη ἐν Ἱερουσαλὴμ πλησίον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως, ὡς καὶ αὐτοί, ἐπειδὴ καὶ αὐτὸς ἦν ἐκ γένους ἱερατικοῦ. Ὑπῆρχε δὲ κομήτης, πολιὸς τὴν τρίχα, στρογγύλον ἔχων τὸ γένειον, τὴν ἡλικίαν ἔντιμος, τὴν ἀρετὴν περιφανής, ἀγαπώμενος ὑπὸ πάντων καὶ τιμώμενος ὡς τοῦ Θεοῦ ἔνδοξος προφήτης.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου. Οὗτος ἦν ἐπὶ Μακρίνου τοῦ βασιλέως Ῥώμης, Ῥωμαῖος τὸ γένος, τῆς συγκλήτου μετέχων βουλῆς καὶ τιμῆς ἐπὶ παιδικῆς ἔτι τῆς ἡλικίας. Διαβληθεὶς δὲ ὡς εἴη[1] χριστιανὸς καὶ εἰς ἐξέτασιν ἀχθεὶς | καὶ θῦσαι μὴ βουληθεὶς ἀναρτᾶται καὶ σπαθίζεται. Εἶτα ἐπὶ ἐσχάρας πυρὸς τίθεται καὶ ἐν τηγάνῳ ἐκκαυθέντι καὶ ἐν χαλκῷ λέβητι, καὶ ἐκ πάντων τῇ τοῦ Χριστοῦ χάριτι ῥύεται, τοῦ πυρὸς εἰς δρόσον μεταβληθέντος· καὶ πολλῶν ἐπ' αὐτὸν θηρίων[2] ἀπολυθέντων, διαφυλάττεται ἀσινής· εἶτα διὰ προσευχῆς καταβάλλει τὰ εἴδωλα, ἀπατήσας τὸν βασιλέα, ὡς ἀφίξεται πρὸς τὸν ναὸν καὶ θυσίαν τοῖς εἰδώλοις προσάξει· καὶ οὕτως[3] τὴν διὰ ξίφους δέχεται τελευτήν, προπεμπόντων αὐτὸν τῆς τε μητρὸς καὶ τοῦ πατρὸς καὶ μακαριζόντων.

f. 107.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόμου[1], Ἱλαρίωνος καὶ τῆς συνοδίας αὐτῶν.

4. Καὶ μνήμη τῶν ἐν ἁγίοις πατέρων[1] ἡμῶν Μέμνονος ἀρχιεπισκόπου Ἐφέσου καὶ Μοδέστου πατριάρχου[2] Ἱεροσολύμων.

5. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου[1] Χριστοφόρου πλησίον τοῦ ἁγίου Πολυεύκτου.

6. Καὶ ἡ κοίμησις Νικολάου πατριάρχου Κωνσταντινουπόλεως[1] τοῦ Χρυσοβέργη.

7. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας καὶ ἀοιδίμου Θεοφανοῦς[1] τῆς βασιλίσσης καὶ θαυματουργοῦ, συζύγου γενομένης Λέοντος τοῦ σοφωτάτου βασιλέως, υἱοῦ Βασιλείου τοῦ ἐκ Μακεδονίας. Αὕτη ὑπῆρχεν γέννημα καὶ θρέμμα τῆς Κωνσταντινουπόλεως, ἐξ αἵματος βασιλικοῦ τὴν γέννησιν ἔχουσα ἐκ τῶν περιβλέπτων Μαρτινακίων· πατρὸς μὲν Κωνσταντίνου[2] τὴν ἀξίαν ἰλλουστρίου[3]. Ἡ δὲ ταύτης μήτηρ ἐλέγετο Ἄννα, ἐκ τῶν ἀφ' ἡλίου ἀνατολῶν τυγχάνουσα. Οὗτοι καθ' ἑκάστην ἤσχαλλον καὶ ἐδυσφόρουν παῖδα μὴ ἔχοντες, καὶ τὴν ἁπάντων κυρίαν καὶ μητέραν[4] τοῦ κτίστου εἰς βοήθειαν ἐπεκαλοῦντο, νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ[5] τὸν ἐκείνης πανσεβάσμιον[6] ναὸν τὸν ἐν τοῖς Βάσσου λεγόμενον κατατρίβοντες καὶ τὰς δεήσεις αὐτῶν ἐκεῖσε ἐκχέοντες· « Δέσποινα, » λέγοντες, καὶ κυρία τοῦ κόσμου, λυθήτω δὴ ἡ » ἐκτήκουσα ἡμᾶς ἀπαιδία. » Καὶ ἐπεὶ πιστῶς ᾔτουν, ἔλαβον παιδίον θῆλυ. Τοῦτο δὲ ἀπογαλακτισθὲν καὶ περὶ ἑξαετίαν ἐλάσαν[7] γράμματα ἐκπαιδεύεται καὶ πάσαις καλῶν ἰδέαις καὶ ἀρεταῖς περιστέφεται. Ταῦτα βλέποντες οἱ γονεῖς ἔχαιρον καὶ ἐσκίρτων καὶ τῆς εὐπαιδίας οὐκ εἰς μακρὰν τὸ καλὸν[8] ἀπολήψεσθαι ἤλπιζον. Ἐπεὶ δὲ ὁ χρόνος τῆς ἡλικίας αὐτῆς προέβη, καὶ τοῖς ὁμοίοις, μᾶλλον δὲ κρείττοσι, προέκοπτε, | ζήτησις γέγονε κόρης εὐόπτου καὶ ἐναρέτου. Εἰς ἣν πάντα τὰ κάλλιστα ὑπερβλύζοντα[9] οἱ βασιλεῖς εὑρηκότες, συνάπτουσι Λέοντι τῷ υἱῷ αὐτῶν καὶ βασιλεῖ. Καὶ

f. 107v.

— [2] μερῶν *add.* Sa. — [3] ἀπαγγελλόντων Sa.

1. — [1] ἐνδόξου *add.* Sa. — [2] ἑορτάζοντος Sa.

2. — [1] *om.* Sa. — [2] Sa, θηρία S. — [3] οὕτω Sa.

3. — [1] Πρόβου Sa.

4. — [1] τοῦ ἐν ἁγίοις πατρὸς Sa. — [2] ἀρχιεπισκόπου Sa.

5. — [1] μάρτυρος *add.* Sa.

6. — [1] *om.* Sa.

7. — [1] Θεοφανοῦς S. — [2] Κόμητος S, Sa, Κωνσταντίνου *scripsit* E. Kurtz, Zwei gr. Texte ueber die hl. Theophano, *p. 46 ex Vita, ibid., p. 2.* — [3] ἰλουστρίου S. — [4] μητέρα Sa. — [5] καὶ S, κατὰ Kurtz. — [6] πάνσεπτον Sa. — [7] Sa, ἐλάσας S. — [8] τὸν καρπὸν Sa. — [9] ὑπερβλύζονται Sa.

Dec. 15.

Ἐλευθερίου τοῦ κουβικουλαρίου (Aug. 4[3]). — 2. 3. 4. — **Mv** : 1. — Ἀνθία. — Κορέμμος. — Οἱ δύοι δήμιοι. — Σωσάννης — Ἐλευθερίου τοῦ κουβικουλαρίου. — 2. 3. 4. — **Mb** : 1. — Ἐλευθερίου τοῦ κουβικουλαρίου. — 2. 3. 4. — **Mr** : 1.

Dec. 16.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **Sb** : 2. — Βάκχου (Dec. 15[2]). — 1. 7. — **H** : 2. — Βάκχου. — 3. 4. 5. 1. 7, des. : Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, ἔνθα τὸ τίμιον αὐτῆς λείψανον κατάκειται. — **P** : 2. — Τοῦ ἁγίου μάρτυρος Βάκχου τοῦ μαρτυρήσαντος ἐν τοῖς χρόνοις ἡμῶν ἐν Παλαιστίνῃ ἐπὶ Εἰρήνης καὶ Κωνσταντίνου ὀρθοδόξων καὶ φιλοχρίστων βασιλέων (Dec. 15[2]). — 3. 4. 5 : τὰ ἐγκαίνια τοῦ ἁγίου μάρτυρος Χριστοφόρου ἐν τῇ οἰκίᾳ τῶν Προμούντων. — **Da** : 1. 2. 7. — Τῶν ἁγίων πατέρων τὰ κατὰ τὸν μακάριον Ἀβραὰμ κτλ. (Dominica sq.). — **Db** : 1. 2. 7. — **F** : 1. 2. 4. 5. 7. — **Fa** : 1. 2. 4. 5. 7. — **B** : 2. 1. 7. — **Ba** : 1. 2 (= S). 7. — **Bb** : 2. 1. 7. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ. — **C** : Σωσάννης (Sept. 19[2]). — 2. —

Dec. 16.

λοιπὸν χαρᾶς καὶ εὐφροσύνης τὰ πάντα ἐπληροῦντο. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ πονηρὸς ζιζάνιον ἐνσπείρας τῇ ἀκοῇ τοῦ βασιλέως Βασιλείου διὰ γλώσσης τοῦ Σανταβαρηνοῦ ἀββᾶ, τὸν βασιλέα Λέοντα ἐγκατάκλειστον ποιεῖται ἅμα γυναικὶ χρόνοις τρισί. Τῶν δ' ἐγκαινίων τοῦ προφήτου Ἠλιοῦ καταλαβόντων, ὁ βασιλεὺς τῷ υἱῷ καταλλάττεται [10] καὶ μετ' αὐτοῦ τὴν προέλευσιν ποιεῖται. Ἐπεὶ δὲ αὐτοκράτωρ ἀνηγορεύθη Λέων ὁ βασιλεὺς ὑπὸ τοῦ πατρὸς αὐτοῦ διὰ τὸ νοσήματι αὐτὸν περιπεπτωκέναι, τηνικαῦτα ἡ τιμία βασίλισσα Θεοφανὼ [11] εἰς τὰ βασίλεια περινοστοῦσα τῆς ψυχικῆς σωτηρίας ἐπεμελεῖτο, τὴν δόξαν τῆς βασιλείας εἰς οὐδὲν λογιζομένη καὶ τὰ τερπνὰ τοῦ βίου ὡς ἀράχνην καὶ σκιὰν παραβλεπομένη. Νυκτὸς γὰρ καὶ ἡμέρας ψαλμοῖς καὶ ᾠδαῖς τὸν Θεὸν θεραπεύουσα, οὐκ ἔληγεν ἐλεημοσύναις καὶ πίστεσιν αὐτὸν ἐκζητοῦσα· τὰ γὰρ ἄνθη τῆς ἁλουργίδος φοροῦσα καὶ τὴν ἄλλην εὐπρέπειαν ἔξωθεν περιβεβλημένη, τοῖς ῥάκεσιν ἔνδον [12] κρυπτῶς κατέτρυχε τὸ σῶμα· καὶ ἀσκητικὴν ἀγωγὴν αἱρουμένη τῶν πολυτελῶν τραπεζῶν κατεφρόνει καὶ τῇ εὐτελεῖ καὶ αὐτοσχεδίῳ τοῦ ἄρτου καὶ τῶν λαχάνων ἐτρέφετο πανδαισίᾳ. Τὰ δ' ἐν ταῖς [13] χερσὶν αὐτῆς παρεμπίπτοντα χρήματά τε καὶ κτήματα, τίμια τοῖς βιωτικοῖς φαντάσματα [14], πένησιν ἐδίδου καὶ τῶν πέπλων τὰ πολύτιμα εἴδη τοῖς δεομένοις παρεῖχε· χήραις καὶ ὀρφανοῖς τὴν αὐτάρκειαν ἐχορήγει, τῶν μοναστῶν τὰ εὐτελῆ καταγώγια χρήμασι καὶ κτήμασι κατεπλούτιζε, τῶν οἰκετῶν ὡς ἀδελφῶν προενοεῖτο, οὐ κέκληκέ ποτέ τινα ἁπλῷ ὀνόματι, ἀλλὰ πάντων ἐκυριολόγει τὰς κλήσεις· οὐδέποτε εἰς θυμὸν ἐκινήθη, οὐκ ὠργίσθη ποτὲ οὐ μικρῷ οὐ μεγάλῳ, οὐκ ἐφθέγξατο ὅρκον διὰ τῆς γλώσσης, οὐ ψευδὲς ῥῆμα διὰ τῶν ταύτης χειλέων διῆλθεν [15] οὐδὲ λοιδορία, οὐκ ἐπαύσατό ποτε κρυπτῶς πενθεῖν καὶ σκυθρωπάζειν καὶ τὴν στρωμνὴν τοῖς δάκρυσι καταβρέχειν. Καὶ ἡ κλίνη δὲ αὐτῆς χρυσοϋφάντοις μὲν τάπησιν κατεστρωμένη τοῖς | οἰκείοις ὡρᾶτο· ἡνίκα δὲ ἡ νὺξ κατέλαβεν, ἐκεῖθεν ἀνισταμένη ψιαθίῳ καὶ τριχίνοις ῥάκεσιν ἐν τῷ ἐδάφει κειμένοις [16] τὴν ἀνάπαυσιν ἐποιεῖτο, ὥραν ἐξ ὥρας ἀνισταμένη καὶ τῷ Θεῷ τὰς αἰνέσεις ἀναπέμπουσα. Διὸ καὶ ἐκ τῆς ἄγαν σκληραγωγίας ἡ σωματικὴ αὐτὴν περιεστοίχισε νόσος· αὐτὴ δὲ εἰς ἐγκρατείας ἀφορμὴν τὴν νόσον λαβοῦσα, οὐ διέλειπε διαθρύπτειν τοῖς πεινῶσι τὸν ἄρτον. Τὸ δὲ στόμα αὐτῆς ἐν τῇ μελέτῃ τῶν θείων νόμων ἐθισθέν, — οὐκ ἐπαύετο τὰ ἱερώτατα λόγια τοῦ Δαβὶδ κατεπᾴδουσα· οὐ παρεωρᾶτο ἐξ αὐτῆς ἡ ἑπτάκις αἴνεσις τοῦ Κυρίου οὐδὲ ὕπνωσεν ἀναπαύσεως ὕπνον ἄνευ δακρύων· ταῖς τῶν ἀλλοτρίων συμφοραῖς συμπαθοῦσα, δάκρυσι τὸν Θεὸν ἐκλιπαροῦσα, καταπονουμένοις χεῖρα ὀρέγουσα βοηθείας καὶ ὀρφανῶν καὶ χηρῶν προϊσταμένη, τῶν ἐν θλίψει καὶ ἀθυμίᾳ χειμαζομένων ὑπάρχουσα εὐθυμία καὶ παράκλησις, πάντα δὲ τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ διὰ τὸν Χριστὸν ἀπαρνησαμένη καὶ τὸν χρηστὸν [17] τοῦ Κυρίου [18] ζυγὸν λαβοῦσα καὶ τὸν σταυρὸν ἐπ' ὤμων ἀραμένη — τῶν ἐλπιζομένων αὐτῇ οὐ διήμαρτεν ἀγαθῶν. Αὕτη αἰσθομένη τὴν ἐκ τοῦ κόσμου αὐτῆς ἀναχώρησιν, προέγνω [19] γὰρ τὴν ἐκδημίαν <ἐκ [20]> τοῦ σώματος, ἀσπάσασθαι αὐτὴν πάντας προέτρεψεν τὸν τελευταῖον ἀσπασμὸν καὶ οὕτως ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

f. 108.

ΚΥΡΙΑΚΗ

πρὸ τῶν ἁγίων πατέρων ἡ λεγομένη τῶν προπατόρων.

Dominica.

1. Τὰ κατὰ τὸν μακάριον Ἀβραὰμ ἀπὸ τῆς βίβλου τῆς γενέσεως [1], τῷ θεσπεσίῳ [2] ἱστορηθείσης Μωσεῖ, καὶ σοφοὶ καὶ ἰδιῶται γινώσκοντες, εἰς ἐπήκοον γὰρ κατὰ τὰς νηστευσίμους ἀναγινώσκομεν ἡμέρας — οὐκ ἀγνοοῦμεν, ὅτι ἐκ τῆς Χαλδαίων χώρας ὁρμᾶται καὶ ὅτι ἐθνικὸς (ἔθνος γὰρ πρὸ τῶν Ἰουδαίων οἱ Χαλδαῖοι) καὶ ὅτι πατέρα εἰδωλολάτρην ἐστὶν ὑπογραφόμενος [3]· ἀλλ' ὅμως καὶ ἀπὸ τοιούτου τὸ γένος κατάγων οὐδὲν ἔσχε κώλυμα πρὸς θεογνωσίαν. Ἀλλ' εἴ τι δεῖ καὶ παράδοξον εἰπεῖν, ἐντεῦθεν πρὸς τὴν τοῦ ὄντος κατάληψιν [4] μᾶλλον ἐχειραγωγήθη. Κατανοήσας γάρ, ὡς οὐδὲν τῶν κτισμάτων Θεός, καὶ τὴν εὐταξίαν τῶν ὄντων συνιδών, ἐκ τῶν ὁρωμένων τὸν ἀόρατον ἔγνω καὶ Θεὸν τοῦτον προσεκύνησε διακρατοῦντα καὶ κυβερνῶντα τὰ πάντα καὶ τοῖς οὖσι τὴν φαινομένην εὔκοσμον τάξιν | ἐπιτιθέντα. Ὃς καὶ χρηματισθεὶς καὶ τὴν οἰκείαν καταλιπεῖν [5] κελευσθεὶς τοῦτο δὴ καὶ ποιεῖ μηδὲν τῇ πίστει διακριθείς· καὶ γέρας τῆς ὑπακοῆς ἐν βαθεῖ [6] γήρᾳ υἱὸν τὸν Ἰσαὰκ γεννῆσαι λαμβάνει καὶ τὸ πολλῶν ἐθνῶν γενέσθαι πατέρα. Ἐξ αὐτοῦ γὰρ τὸν Ἰακὼβ καὶ

f. 108v.

— [10] καταλάτεται S. — [11] Θεοφανῶ S. — [12] ῥακίοις ἔνδοθεν Sa. — [13] τοῖς S. — [14] φαντάσμασιν S, Sa, φαντάσματα Kurtz. — [15] προῆλθεν Sa. — [16] Sa, κειμένης S, corr. ...οις supra lin. — [17] Sa, χριστὸν S. — [18] καὶ ἐλαφρὸν add. Sa. — [19] προσέγνω Sa. — [20] om. S, Sa, supplet Kurtz.

1. — [1] γεννέσεως S. — [2] τῷ θεσπεσίῳ om. Sa. — [3] ἐπιγραφόμενος Sa. — [4] Sa, κάλυψιν S. — [5] καὶ add. S. — [6] βαθὺ S.

Dec. 16.

Βάκχου (Dec. 15[2]). — 3 : Πρόβου, Ταράχου καὶ Ἱλαρίωνος καὶ τῆς συνοδίας αὐτῶν. — 4 : Μέμνονος ἀρχιεπισκόπου Ἱεροσολύμων καὶ Συμεῶνος Ἀντιόχου. — 1. — **Cb** : Σωσάννης. — **Cc** : Σωσάννης. — **Cd** : Σωσάννης. — 2. 4 (Μέμνονος ἀρχιεπισκόπου Ἱεροσολύμων καὶ Συμεῶνος Ἀντιοχείας). — **M** : 1. 2. 3 (... Ἱλάριος). — 4. 6. 5. 7. — **Mv** : 1. 2. 3. 4 (Μοδέστου solius). — 5. 7. — **Mb** : 1. 2. 3 (Πρόκλου καὶ Ἱ.). — 6. 7. — **Mr** : 1.

Dominica.

SYNAXARIA SELECTA. Non eodem loco in diversis synaxariis posita est κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως; in aliis enim post diem 16 decembris (Sa, F, Fa, B, Ba, Bb, T...), in aliis post diem sequentem habetur, vel etiam post 18, 19, 20 eiusdem mensis.

ἀπὸ τούτου τὸν Ἰούδαν, ἀφ' οὗ καὶ ὁ Χριστός, καὶ τοὺς λοιποὺς αὐτοῦ ἀπογόνους κτᾶται· τοσοῦτον γὰρ ὑπῆρχεν ὁ πατριάρχης οὗτος Ἀβραὰμ φιλόθεος, ὡς καὶ προσταχθεὶς παρὰ [7] Θεοῦ θῦσαι τὸν υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν τὸν Ἰσαάκ, μὴ ἀποσχέσθαι, ἀλλὰ προθύμως ἀπάρξασθαι τοῦ κατασφάξαι αὐτόν· καί γε πάντως τοῦτο ἀπετέλεσεν, εἰ μὴ θεία οὐρανόθεν φωνὴ τοῦτον, ὡς ἴσμεν, διεκώλυσεν, ἀντιδοῦσα κριὸν εἰς ὁλοκάρπωσιν. Τοῦτον ὡς προπάτορα Χριστοῦ γεγονότα μνήμης ἀξιοῦντες, οἱ θεοφόροι πατέρες ἡμῶν καὶ διδάσκαλοι παρέδοσαν ἡμῖν ταύτην ποιεῖν ἐγγύς που καὶ οὐ κατὰ διάστασιν πολλῶν ἡμερῶν τῆς κατὰ σάρκα γεννήσεως τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τάχα κατὰ θείου Πνεύματος ἔμπνευσιν τοῦτο καὶ οὐχ ἁπλῶς διαταξάμενοι καὶ τυπώσαντες. Ἐπεὶ γὰρ ὑπὲρ φιλανθρωπίας ὁ ὑπεράγαθος σωτὴρ καὶ φιλάνθρωπος γενάρχην [8] αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ ἔχειν [9] κατηξίωσεν, ἐδικαίωσαν τῆς πρὸς ἡμᾶς αὐτοῦ ἀναδείξεως οὐ πόρρω πάνυ τὴν τούτου μνείαν πανηγύρεως ἄγειν ἡμέραν ὡς γενάρχου τε καὶ προπάτορος.

Dominica.

2. Τελεῖται [1] δὲ καὶ [2] τῇ κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως τοῖς πατράσιν ἡμῶν καὶ ἡ μνήμη τῶν ἁγίων τριῶν παίδων Ἀνανίου, Ἀζαρίου, Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

Dec. 17.

1. Μνήμη τῶν ἁγίων τριῶν παίδων Ἀνανίου, Ἀζαρίου, Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου. Οὗτος ἦν ἐκ φυλῆς Ἰούδα, γένους τῶν ἐξεχόντων τῆς βασιλικῆς ὑπηρεσίας· ἐγεννήθη δὲ ἐν Βηθαρῷ [1] τῇ ἀνωτέρᾳ. Ἀλλ' ἔτι νήπιος ὢν ἤχθη ἐκ τῆς Ἰουδαίων [2] αἰχμαλωσίας [3] εἰς τὴν [4] Χαλδαίων γῆν· καὶ προεφήτευσεν ἔτη ἑβδομήκοντα, προέλαβε δὲ τὴν γέννησιν τοῦ Χριστοῦ ἔτη υξ'. Ἦν δὲ ἀνὴρ σώφρων, ὥστε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα [5]. Πολλὰ δὲ ἐπένθησεν ἐπὶ τῆς γῆς καὶ ἐν νηστείαις ἤσκησεν ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς· καὶ ἦν ξηρὸς τὴν ἰδέαν ἀλλὰ πάνυ ὡραῖος τῇ χάριτι τοῦ Ὑψίστου. Οἱ δὲ τρεῖς παῖδες, κατὰ τὴν ἱστορίαν, ὑπῆρχον ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, Ἐζεκίου πατρὸς καὶ μητρὸς Καλλιγόνης. Ὅστις Ἐζεκίας ἐτόλμησεν εἰπεῖν τῷ Θεῷ | φυλάξαι τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ· καὶ προσθήκην ἔλαβε τῆς ζωῆς ἔτη ιε'. Τῆς δὲ Ἱερουσαλὴμ ὑπὸ τοῦ βασιλέως Ἀσσυρίων Ναβουχοδονόσορ [6] πολιορκηθείσης, ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα μετὰ Δανιὴλ τοῦ προφήτου καὶ καθίστανται ἐπιστάται τῶν πραγμάτων τοῦ βασιλέως διὰ τὴν ἀρετὴν αὐτῶν. Εἶτα ἐξουδενώσαντες τὴν εἰκόνα, ἣν ἔστησε, καὶ μὴ προσκυνήσαντες βάλλονται ἐν τῇ ἑπταπλασίως καυθείσῃ [7] καμίνῳ, ἐν ᾗ τῇ τοῦ θείου ἀγγέλου συγκαταβάσει δροσιζόμενοι ἔψαλλον. Ἔνθα τὸ παράδοξον ἰδὼν ὁ βασιλεὺς ὡμολόγησε μέγαν εἶναι τὸν Θεόν, τὸν ὑπ' αὐτῶν ὑμνούμενον· ἡ γὰρ κάμινος μετεποιήθη εἰς δρόσον καὶ ἔμειναν οἱ ἅγιοι ἀβλαβεῖς. Δανιὴλ δὲ καίτοι συμβιοτεύων αὐτοῖς καὶ συνδιαιτώμενος καὶ τῆς τιμῆς αἴτιος αὐτοῖς γενόμενος, τῇ καμίνῳ οὐ συνεμβάλλεται· οὐδὲ γὰρ τοῦτο ἔστιν μαθεῖν ὑπὸ τῆς γραφῆς ὡς σιωπηθὲν ταύτῃ καὶ μεῖναν [8] ἀπαρασήμαντον, τάχα, ὡς ἐμοὶ δοκεῖ, καὶ [9] τῇ ἀληθείᾳ τῶν εἰκότων λόγων οὐκ ἔξω, διὰ τὸ ἐπιτεθὲν αὐτῷ

f. 109.

— [7] τοῦ add. Sa. — [8] om. Sa. — [9] σχεῖν Sa.

2. — [1] συντελεῖται Sa. — [2] om. Sa.

1. — [1] S, Sa, al. Βεθόρω, Βεθεβορῶ, Nestle, pp. 20, 21. — [2] Ἰουδαίας Sa. — [3] αἰχμάλωτος Sa. — [4] τῶν add. Sa. — [5] ἤτοι εὐνοῦχον Sa. — [6] om. Sa. — [7] τῷ ... καυθέντι S. — [8] μεῖνας S, Sa — [9] om. Sa.

Dec. 17.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1, mutil. — **H** : 1, des. : Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — 2. — **P** : 1. 2. — **Da** : 1 (= Ba). 3. — **Db** : 1. 3. — **F** : 1. 3 (Δουναλέ). — **Fa** : 1. 3 (Δουναλαΐ). — **Fb** : 1. 3 : μνήμη τοῦ ὁσίου ἀειμνήστου ὁμολογητοῦ Δουναλέ, τοῦ ἐν τῷ ἁγίῳ καὶ ἀγγελικῷ σχήματι ἐπονομασθέντος Στεφάνου. Οὗτος ἦρξε τῆς ἑαυτοῦ χώρας πρὸ χρόνων τινῶν· ἔφθασε δὲ καὶ ἕως τῆς εὐσεβοῦς βασιλείας Ῥωμανοῦ καὶ Κωνσταντίνου τῶν πορφυρογεννήτων καὶ χριστιανικωτάτων βασιλέων. Ἦρχε δὲ νήσου τινός, ἣ παρὰ μέν τισι Νιβερτὶς [1] λέγεται, παρ' ἄλλοις δὲ Βερόη, πλησίον οὖσα Γαδείρων [2] καὶ τοῖς Ὠκεανοῦ περικλυζομένη [3] ῥεύμασιν, ἐξ εὐγενοῦς καταγόμενος ῥίζης καὶ χριστιανικωτάτοις δόγμασιν ἀνατραφείς. Ἐν ταύτῃ τῇ νήσῳ τὴν τοῦ ῥηγάτου διέπων ἀξίαν, συνέζευκτο γυναικὶ ὁμοιοτρόπῳ· πρὸς οἷς καὶ πλούτῳ περιρρεόμενος πάντοθεν καὶ δόξης ὑψώμασι μετεωριζόμενος, ἦν μὲν πλούσιος πάνυ κατὰ τὸν μέγαν Ἰώβ, οὐδὲ ταῖς πνευματικαῖς ἀρεταῖς ἀπολιπόμενος. Τοίνυν ἐγγίνεται αὐτῷ θεῖος ἔρως καταλιπεῖν τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ καὶ τὰ Ἱεροσόλυμα καταλαβεῖν· ἐσοφίσατο δὲ ταῦτα κρύψαι ἀπὸ τῆς γυναικὸς καὶ τῶν τέκνων, καὶ πλάττεται ἀπολογίαν ἀνύποπτον, ὡς ἐπιθυμίαν ἔχει γενέσθαι ἐν Ῥώμῃ καὶ προσκυνῆσαι τὸν τάφον τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. Αὐτίκα οὖν τὸν ἑαυτοῦ υἱὸν εἰς τὴν ἀρχὴν ἀντ' αὐτοῦ προστησάμενος καὶ πεντήκοντα μόνους τῶν αὐτοῦ οἰκετῶν λαβόμενος, ἐν τῇ Ῥώμῃ ἔρχεται καὶ εἰς γνῶσιν καὶ ὁμιλίαν Ἀγαπητῷ τῷ ἁγιωτάτῳ πάπᾳ καθίσταται· καὶ τὰ τῆς βουλῆς αὐτῷ ἀναθεὶς τὸ ἀγγελικὸν σχῆμα ἠξίου παρ' αὐτοῦ λαβεῖν. Ὁ δὲ οὐχ ὑπήκουεν λόγοις αὐτόν τισι διακωλύων. Ἵνα δὲ τὸν πάπαν ἐκεῖνος πρὸς ὑπακοὴν ἐπισπάσηται, φιλοτίμως δωρεῖται τοῦτον. Τὰ δὲ ἦν δῶρα· χιτῶνες χρυσόστικτοι τρεῖς, δακτύλιοι ε' καὶ αὐτοὶ χρυσοῖ· ὧν τὰς σφενδόνας σμάραγδοι ὑακίνθινοι περιεκόσμουν λίθοι. Ἀλλὰ καὶ τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ ἑτερά τινα ἀναθήματα κάλλιστα παρέσχεν. Ὁ δὲ πάπας ἐπινεύσας τῇ αὐτοῦ αἰτήσει, τὴν κόμην περικείρας καὶ τὸν πώγωνα ξυρίσας, τῷ

[1] Ἡβερτὶς Fb. — [2] Γαδήρων Fb. — [3] περικλύζων Fb.

Dec. 17. Βαλτάσαρ ὄνομα, τῆς ὑπερεχούσης τιμῆς γνώρισμα. Ἵνα γὰρ παρὰ τοῖς θεοποιοῦσι τὸ πῦρ κατὰ λογισμῶν τῶν ἑστώτων ἐκμόχλευσιν μὴ τὸ παράδοξον τοῦ θαύματος δόξῃ πεποιηκέναι Βαλτάσαρ[10] ὁ αὐτῶν θεὸς οὕτω καλούμενος, οὐκ οἰκονομεῖται Δανιήλ, τὴν τοῦ Θεοῦ προσηγορίαν λαβών, τὴν πρὸς τὸ πῦρ συνεισέλευσιν· οὔτε μὴν τοῖς περὶ τὴν κάμινον διηγήμασιν ἀναγράφεται. Οἱ δὲ ἅγιοι τρεῖς παῖδες μετὰ τὴν ὑπὲρ νοῦν ἐκ τοῦ πυρὸς σωτηρίαν ἐφ' οἷς εἶχον πάλιν ἀποκαταστάντες καὶ πᾶσαν τὴν ζωὴν ἐπίδοξον διαγαγόντες, ἐν εἰρήνῃ σὺν τῷ Δανιὴλ καὶ αὐτοὶ τελευτῶσιν. Φασὶ δέ τινες, ὅτι μετὰ τὴν τελευτὴν Ναβουχοδονόσορ καὶ τῶν λοιπῶν βασιλέων, οἳ διὰ τιμῆς ἦγον τόν τε Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας, ἀνέστη βασιλεὺς ἕτερος τοὔνομα Ἀττικός, ὃς τοὺς ἁγίους ἐξετάσας καὶ ἐλεγχθεὶς ὑπ' αὐτῶν, κελεύει τὴν κεφαλὴν Μισαὴλ ἀποτμηθῆναι· οὗτινος Ἀζαρίας, ἁπλώσας τὸ φιβλατόριον, αὐτὴν ἐδέξατο. Ὡσαύτως καὶ Ἀνανίας τὴν κεφαλὴν τμηθεῖσαν Ἀζαρίου ἐνεκολπώσατο. Ἀνανίου δὲ Δανιήλ, τὸ περιβόλαιον ἁπλώσας, ἐδέξατο τὴν κάραν· ὕστερον δὲ καὶ αὐτὸς ἐτμήθη τὴν κεφαλήν. Λέγεται δὲ μετὰ τὴν τομὴν κολληθῆναι τὰς κεφαλὰς τούτων | τοῖς σώμασιν. (f. 109v.) Ἄγγελος δὲ Κυρίου ἄρας αὐτοὺς ἤγαγεν ἐν τῷ ὄρει Γεβάλ· ἐν ᾧ τεθέντες ὑπὸ τὴν πέτραν ἔτη τετρακόσια, ἐπὶ τῇ ἀναστάσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ αὐτοὶ συνανίστανται, καὶ πάλιν κεκοίμηνται.

Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ[11] μεγάλῃ ἐκκλησίᾳ· ὧν τὴν μνήμην ἄγειν ὑπὸ τῶν πατέρων ἡμῶν παρελάβομεν πρὸ ἑπτὰ ἡμερῶν τῆς δεσποτικῆς ἐπιφανείας καὶ θείας διὰ σαρκὸς παρουσίας[12] τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τὸ καὶ αὐτούς, οἶμαι, τῆς ἐξ Ἰούδα φυλῆς, ἐξ ἧς καὶ ὁ σωτὴρ πάντων Χριστός, πρὸς γένος κατάγεσθαι.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων[1] Πατερμουθίου, Κόπρη καὶ Ἀλεξάνδρου, μαρτυρησάντων ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου[1] καὶ ἀειμνήστου ὁμολογητοῦ Δοναλέ[2]. Ὃς ἦρξε τῆς ἑαυτοῦ[3] νήσου τινός, ἣ παρὰ μέν τισι Νιβερτὶς[4] λέγεται, παρ' ἄλλοις δὲ Βερόη, πλησίον οὖσα Γαδείρων[5] καὶ τοῖς Ὠκεανοῦ περικλυζομένη[6] ῥεύμασι, πλούτου βάρος περιβεβλημένος πολύ. Χριστιανικωτάτοις δὲ δόγμασιν ἀνατραφεὶς[7] Θεῷ μᾶλλον ἢ ἀνθρώποις ἔζη· διὸ σκύβαλα τὰ[8] πάντα λογισάμενος τὴν βασιλείαν τοῖς υἱέσι καταλιμπάνει καὶ ἐν τῇ Ῥώμῃ γενόμενος, τὸ ἀγγελικὸν ὑποδύεται σχῆμα. Ἔπειτα τὴν περιώνυμον Κωνσταντινούπολιν καταλαμβάνει καὶ Κωνσταντίνῳ καὶ Ῥωμανῷ τοῖς πορφυρογεννήτοις βασιλεῦσιν εἰς ὁμιλίαν ἐλθών, εἰς Ἱεροσόλυμα παρ' αὐτῶν[9] στέλλεται· τοῦτο γὰρ ἦν αὐτοὺς ὁ θαυμάσιος αἰτησάμενος. Ἔνθα γενόμενος καὶ τὸν πόθον ἀφοσιωσάμενος καὶ τὸ μέγα παρὰ τοῦ τηνικαῦτα πατριαρ-

— [10] Βαντάσαρ S. — [11] *om.* Sa. — [12] παρρουσίας S.
2. — [1] μαρτύρων *add.* Sa.
3. — [1] πατρὸς ἡμῶν *add.* Sa. — [2] *al.* Δουναλέ, Δωναλέ, *etc.*, *cf.* Synaxaria selecta. — [3] χώρας *add.* Sa. — [4] Νηβερτὶς Sa. — [5] Γαδήρων S, Sa. — [6] περικλυζόμενος S. — [7] συναναστραφεὶς Sa. — [8] *om.* Sa. — [9] Sa, αὐτοῖν S.

Dec. 17. ἱερῷ τῶν μοναχῶν περιβαλὼν ἐνδύματι, ῥακώδη[4] τινὰ καὶ τραχύτατα ἐκόσμησεν. Ταῦτα τελέσας ὁ τιμιώτατος ἐκεῖνος ἀνήρ, τοὺς θεράποντας αὐτοῦ πάντας ὑποστρέφειν ἐκέλευσεν εἰς τὰ ἴδια, πέντε μόνους παρ' ἑαυτῷ κατασχών, πολλάς τε παρὰ τοῦ τότε τυραννοῦντος τὴν Ῥώμην Ἀλβερίχου κακώσεις ὑποστὰς καὶ βίᾳ ἀπολυθείς, πρὸς τὴν βασιλεύουσαν τῶν πόλεων ἔρχεται, καὶ Κωνσταντίνῳ καὶ Ῥωμανῷ τοῖς βασιλεῦσι γίνεται γνώριμος καὶ κατάδηλος· οἵτινες τὰ περὶ αὐτοῦ ἀναμαθόντες καὶ τὸ τῆς ἀρετῆς ὕψος θαυμάσαντες, δεξιῶς ὑποδέχονται καὶ ἀδελφικῶς κατησπάζοντο καὶ συνέστιον πολλάκις ποιησάμενοι, πολλὰ αὐτῷ τῶν διαχρύσων καὶ ἀργυρέων σκευῶν παρεῖχον, ἔτι δὲ καὶ χρήματα καὶ χιτώνων ἐναλλαγάς. Ὁ δὲ ταῦτα πάντα ἀπώσατο καὶ οὐκ ἔλαβεν· καὶ τὸ μὲν πρόθυμον αὐτοῦ ἐπῄνει καὶ ἀπεδέχετο· καὶ μακαριστοὺς ἡγεῖτο τοὺς ταῦτα προτεινομένους. Ἀντ' ἄλλου δὲ παντὸς τοῦτο ὑπερησπάζετο τὰ Ἱεροσόλυμα καταλαβεῖν καὶ τοῦ θείου καὶ ζωοδόχου τάφου γενέσθαι προσκυνητής[5]· ὃ καὶ γέγονεν. Σύνταξάμενος γὰρ τοῖς βασιλεῦσι καταλαμβάνει τὰ Ἱεροσόλυμα καὶ τοῦ ποθουμένου τυχὼν τὸ μέγα σχῆμα ἀμφιέννυται παρὰ Χριστοδούλου τοῦ ἀρχιερέως, μετονομασθεὶς Στέφανος. Καὶ πάντα ἅγιον τόπον περιελθὼν καὶ προσκυνήσας, εὐχαριστηρίους φωνὰς τῷ Θεῷ ἀνέπεμπεν. Τὸ δὲ ἄθεον καὶ μιαρὸν γένος τῶν Ἀγαρηνῶν ἰδὼν τοῦτον περικεκαρμένον καὶ τὸν πώγωνα ξυρῷ περιῃρημένον, οὐκ ἔστιν εἰπεῖν διὰ γλώσσης ἢ γραφῆς, ὁπόσα εἰς αὐτὸν πεπαρῳνήκασιν· ἅπερ μερικῶς διὰ γραφῆς αὐτοῦ τοῖς εὐσεβέσι βασιλεῦσι γεγράφηκεν. Μετὰ ταῦτα λογισμὸς αὐτῷ ἐπεισῆλθεν πρὸς τὸ κατελθεῖν εἰς Αἴγυπτον καὶ τὸν σεβάσμιον τόπον θεάσασθαι, ἐν ᾧ ἡ Θεοτόκος ηὐλίζετο ἅμα τῷ παιδὶ καὶ Ἰωσήφ. Ἐπεὶ δὲ πρὸς τὴν παράλιον Ταβαρίας ἐγένετο, κρατηθεὶς ἐφρουρήθη μετὰ καὶ τῶν συνεπομένων αὐτῷ δύο ἱερέων· καὶ ἓξ μῆνας ἐγκαρτερήσαντες λιμῷ καὶ δίψει καὶ λοιπῇ κακοπαθείᾳ αὖθις παρὰ τοῦ ἐκεῖσε προεστῶτος παραπέμπονται πρὸς τὸν τῆς Αἰγύπτου ἀμηρᾶν. Ὑφ' οὗ θανατηφόροις δεσμοῖς περιβληθεὶς ὁ θαυμάσιος, ἠναγκάζετο τὸν Χριστὸν ἐξομόσασθαι· στερρῶς δὲ ἀντιπίπτων καὶ μὴ ἡττώμενος, ἀλλ' ὁμολογεῖν παρρησίᾳ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διαμαρτυρόμενος, πλείοσι καὶ ἀναριθμήτοις αἰκίαις καθυπεβάλλετο. Αἷς προσταλαιπωρήσας, νόσῳ περιπέπτωκεν, δι' ἧς καὶ τὸν τῇδε βίον ἀπέλιπεν, προμηνυθείσης αὐτῷ θεόθεν τῆς τελειώσεως. — **B** : 1. — Δανιὴλ τοῦ προφήτου. — Βάκχου τοῦ νέου (Dec. 15[2]). — **Ba** : 1 : Ἀνανία, Ἀζαρία, Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου. Οὗτοι οἱ τρεῖς παῖδες συναιχμάλωτοι τῷ Δανιὴλ καταχθέντες εἰς τὴν τῶν Ἀσσυρίων ὑπὸ τοῦ τὴν ἱερὰν πόλιν ἑλόντος, μικρὸν ὅσον καὶ ἡγεμόνες καθίστανται διὰ Δανιὴλ τῶν πολιορκησάντων... Des. : μετὰ τέλος ὑπὸ πάντων

— [4] ῥακκώδη Fb. — [5] προσκυνητὴν Fb.

χοῦντος Χριστοδούλου ἀμφιεσάμενος[10] σχῆμα, πολλὰς ὕβρεις καὶ μάστιγας παρὰ τοῦ μιαροῦ ἔθνους τῶν Σαρακηνῶν ὑποφέρει διὰ τὸ περικεκάρθαι[11] τὸν πώγωνα. Εἶτα εἰς Αἴγυπτον ἔρχεται· ἐν ᾗ κρατηθεὶς ἐφρουρήθη μετὰ τῶν συνεπομένων αὐτῷ δύο ἱερέων. Καὶ ἓξ μῆνας[12] ἐγκαρτερήσαντες λιμῷ καὶ δίψει καὶ τῇ λοιπῇ κακοπαθείᾳ, αὖθις παρὰ τοῦ κρατήσαντος[13] πρὸς τὸν τῆς Αἰγύπτου ἀμηρᾶν παραπέμπονται· ὑφ' οὗ θανατηφόροις δεσμοῖς περιβληθεὶς ὁ θαυμάσιος ἠναγκάζετο τὸν Χριστὸν ἀρνήσασθαι[14]· στερρῶς δὲ ἀντιπίπτων καὶ μὴ ἡττώμενος, ἀλλ' ὁμολογῶν παρρησίᾳ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πλείοσι καὶ | ἀναριθμήτοις (f. 110.) αἰκίαις καθυποβάλλεται· αἷς καὶ ταλαιπωρήσας νόσῳ περιπέπτωκε, δι' ἧς καὶ τὸν τῇδε βίον ἀπέλιπε, προμηνυθείσης αὐτῷ θεόθεν τῆς τελειώσεως. (Dec. 17.)

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Dec. 18. **1.** Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Σεβαστιανοῦ, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου[1], Μαρκελλίνου, Μάρκου καὶ Ζωῆς. Ὧν ὁ μὲν Σεβαστιανὸς εἷς τῆς συγκλήτου βουλῆς ὑπῆρχε, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ πόλεως Μεδιολάνων ὁρμώμενος, πολλοὺς πρὸς τὴν εὐσεβῆ πίστιν ἐνάγων. Μαρκελλῖνος δὲ καὶ Μάρκος οἱ αὐτάδελφοι χρονίαν ὑπομείναντες κάθειρξιν καὶ πολλαῖς βασάνων ἰδέαις ὑποβληθέντες ἐκελεύσθησαν ἀποθανεῖν. Ὁ δὲ τούτων πατὴρ Τραγκυλῖνος ἕλλην ὢν καὶ Μαρκία ἡ μήτηρ παρὰ μικρὸν τοῖς ὀδυρμοῖς ἐκώλυον αὐτοὺς τοῦ διὰ Χριστὸν παθεῖν· τάχα δ' ἂν τοῦτο ἐγεγόνει, εἰ μὴ Σεβαστιανὸς ὁ ἀοίδιμος παρρησιασάμενος οὐ μόνον αὐτοὺς ἐστερέωσεν, ἀλλὰ καὶ Τραγκυλῖνον[2] πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν· καὶ αὐτὸς Τραγκυλῖνος τὸν ὕπαρχον πιστεύσαντα κατήχησε. Αὐτίκα γοῦν[3] ὁ ὕπαρχος προσκαλεσάμενος τὸν ἐνδοξότατον καὶ μακάριον Σεβαστιανὸν καὶ Πολύκαρπον τὸν πρεσβύτερον, ἠξίου σωτηρίας τυχεῖν καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι· ἧς καὶ ἀπηλλάγη πιστεύσας ὁλοψύχως καὶ τὰ ἐν τῷ οἴκῳ εἴδωλα συντρίψας καὶ βαπτισθείς. Ὁ δὲ μακάριος Γάϊος ὁ ἐπίσκοπος τὸν μὲν[4] Μαρκελλῖνον καὶ Μάρκον τοὺς αὐταδέλφους τῷ τῶν διακόνων τάγματι ἐγκαταλέγει· τὸν δὲ τούτων πατέρα τῷ τῶν πρεσβυτέρων, τὸν δὲ μακάριον Σεβαστιανὸν ἔκδικον τῆς ἐκκλησίας καθίστησι. Κινηθέντος δὲ τοῦ διωγμοῦ, σὺν τούτοις Νικόστρατος, Κλαύδιος, Κάστωρ, Τιβούρτιος, Κάστουλος καὶ Ζωὴ ἐπεὶ κατεσχέθησαν, διαφόροις ἐξετασθέντες βασάνοις, τὸ πέρας τοῦ βίου δέχονται. Ὁ δὲ ἅγιος Σεβαστιανὸς μετακληθεὶς παρὰ τοῦ Διοκλητιανοῦ καὶ ἐρωτηθείς, βέλεσι πυκνοῖς οἷα σκοπὸς[5] κατατιτρώσκεται καὶ ῥοπάλοις τὸ σῶμα καταθραύεται καὶ εἰς μέρη κατατμηθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐβιώτου. Ὃς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ ὁρμώμενος ἀπὸ χωρίου λεγομένου Πω|κετοῦς, τελοῦντος (f. 110v.) ἐν τῷ θέματι Ὀψικίου. Ἐκεῖσε καὶ γεννηθεὶς καὶ τραφεὶς καὶ τὸ τέλος ἀπενεγκάμενος, ἐν τούτῳ τῷ χωρίῳ θεαρέστως βιοὺς καὶ πᾶσαν τὴν κατὰ Θεὸν ἀρετὴν μετελθὼν πολλὰ ὑπὸ τῶν ἑλλήνων δεινὰ ὑπέμεινεν, ἀγόμενος καὶ περιαγόμενος, δεσμούμε-

— [10] ἀμφιασάμενος Sa. — [11] Sa, περὶ κεκάθαρθαι S. — [12] μῆνας ἓξ Sa. — [13] κρατοῦντος Sa. — [14] ἐξομόσασθαι Sa.
1. — [1] Καστούλλου S. — [2] Τραγγυλῖνον Sa. — [3] οὖν Sa. — [4] *om.* Sa. — [5] Sa, σκοπὸν S.

Dec. 17. ἀνθρώπων παρὰ πᾶσαν τὴν καθ' ἡμᾶς οἰκουμένην τιμώμενος ὡς προφήτης ἐξαίρετος. — 3 (= S). — Φλώρου (Dec. 18[3]). — **Bb** : 1. — Δανιήλ. — Βάκχου. — 3 (Δοναλέου). — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : 1. — Δανιήλ. — Θεοφάνους (Dec. 16[7]). — **Cb** : Βάκχου (Dec. 15[2]). — Ἀγγαίου (Dec. 16[1]). — **Cc** : Μαρίνου (Dec. 16[2]). — Βάκχοι (Dec. 15[2]). — Πρόβου, Ταράχου καὶ Ἱλαρίωνος (Dec. 16[3]). — Μέμνονος ἀρχιεπισκόπου Ἱεροσολύμων καὶ Συμεῶνος Ἀντιοχείας[6] (cf. Dec. 16[4]). — Ἀγγαίου (Dec. 16[1]). — 1. Sequitur Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Δαβὶδ τοῦ προφήτου. — **Cd** : 1. — Δανιήλ. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3 (Δουναλέ). — Βάκχου[7]. — **Mb** : 1. 2. 3 (Δουναλέ). Sequitur Κυριακὴ τῶν ἁγίων προπατόρων. — **Mr** : 1. Sequitur Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως.

Dec. 18. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 8. — **Sb** : 1. 2. — Πρόβου, Ἀρέως καὶ Ἠλία (Dec. 19[2]). — Τιμοθέου καὶ Πολυεύκτου (Dec. 19[3]). — Εὐτυχίου καὶ Θεσσαλονίκης (Dec. 19[8]). — Ἀθήνου, Βονιφατίου καὶ Ἑρμολάου. — **H** : 3. 4. 7. — **P** : 3. 4. 7. — **Da** : 1. 2 (= Ba). 3. 8. — **Db** : 1. 2. 3. 8. — Βονιφατίου (Dec. 19[1]). — **F** : 1. 2. 3. 4. 7. — **Fa** : Ἀθηνοδώρου (Dec. 7[3]). — 1 (= Ba). 2. 3. 4. 7. — **B** : 3. — **Ba** : 1 : Σεβαστιανοῦ, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου[1], Μαρκελλίνου, Μάρκου καὶ Ζωῆς. Ὧν ὁ μὲν Σεβαστιανὸς ὑπῆρχε τῷ γένει περίβλεπτος καὶ τῆς συγκλήτου πρῶτος ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ πόλεως Μεδιολάνων ὁρμώμενος. Οὗτος τὸν τῆς πίστεως διδαχθεὶς λόγον, ἀλείπτης ἐγένετο τοῖς τότε χριστιανοῖς καὶ τὰ τῶν βασιλέων τιμᾶν ὑποκρινόμενος καὶ τοῖς ἐν δεσμωτηρίοις χριστιανοῖς παραμυθούμενος οὐ διέλιπε. Μαρκελλῖνος δὲ[2] καὶ Μάρκος αὐτάδελφοι χρονίαν ὑπομείναντες κάθειρξιν διὰ τὴν εἰς Χριστὸν ἀγάπην καὶ πολλαῖς βασάνων ἰδέαις ὑποβληθέντες, ἐκελεύσθησαν ἀποθανεῖν. Ὁ δὲ τούτων πατὴρ Τραγκυλῖνος[3] καὶ Μαρκία ἡ μήτηρ θρήνοις καὶ κοπετοῖς ὀδυρόμενοι παρὰ μικρὸν ἐκώλυον αὐτοὺς τοῦ διὰ Χριστὸν παθεῖν, ἕλληνες ὑπάρχοντες. Τοῦτο γνοὺς ὁ μακάριος Σεβαστιανὸς καὶ δείσας, μήπως τῆς πίστεως ἀπορραγῶσιν οἱ ὁμολογηταὶ καὶ ἐκπέσωσι τῆς εὐθείας ὁδοῦ, ῥίψας τὸ προσωπεῖον

— [6] Ἀντιόχου Cc. — [7] Ἰάκχου Mv.
[1] Καστούλλου Ba. — [2] τε Ba. — [3] Τραγγυλῖνος Ba.

Dec. 18. νός τε καὶ μαστιζόμενος, διὰ τὸ καθ᾽ ἑκάστην ἐκτελεῖν αὐτὸν μέγιστα τεράστια καὶ πολλοὺς ἐπιστρέφειν ἐπὶ τὸν Κύριον. Οὗτος μιᾷ τῶν ἡμερῶν ξύλοις συντριβεὶς ὑπὸ τῶν ἑλλήνων καὶ λίθοις, εἰς πῦρ ἠκοντίσθη· καὶ διαμείνας ἀσινὴς πολλοὺς ὑπερθαυμάσαντας τὸ γεγονὸς ἐπεσπάσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν· οἳ καὶ ἐβαπτίσθησαν ἐν τῇ ἐκεῖσε ἐκκλησίᾳ, ἣν ἐνεκαίνισαν Παῦλος καὶ Σίλας οἱ ἀπόστολοι ἀνερχόμενοι ἐπὶ Τρωάδα [1]. Ταῦτα μαθὼν Λεόντιος, ὁ τῆς Κυζίκου ἡγεμών, ἤγαγεν αὐτὸν δέσμιον ἐν τῇ εἰρημένῃ πόλει. Ὃς ἀχθεὶς τύπτεται εὐθὺς λίθῳ [2] στόμα τε καὶ [3] παρειὰς καὶ σιαγόνας, καὶ ξύλῳ ἀναρτηθεὶς [4] μάστιξι [5] καταξαίνεται. Εἶτα θηρίοις ἐκδίδοται καὶ τούτοις ἄψαυστος διαμείνας τῇ εἱρκτῇ ἐναπορρίπτεται. Διὸ προσῆλθον πολλοὶ τῇ εἰς Χριστὸν πίστει δι᾽ αὐτὸν καὶ ἐβαπτίσθησαν. Ὁ δὲ τύραννος ἐκέλευσε τοῖς μονομάχοις κατασφάξαι αὐτόν· οὗτοι δὲ σκότους καὶ ζόφου ἐπιπεσόντος αὐτοῖς ἀλλήλους κατέσφαξαν. Ὁ δὲ μάρτυς ἀβλαβὴς διαμείνας τῇ φρουρᾷ ἐναπετέθη. Μετὰ δὲ εἰκοστὴν δευτέραν ἡμέραν [6] τῆς κατακλείσεως αὐτοῦ, ἠκούσθη θεόπεμπτος ἀγγελία ἀνιέναι διαγορεύουσα [7] τὸν μέγαν [8] Κωνσταντῖνον ἀπὸ τῶν ἑσπερίων καὶ πόλεμον μετὰ τοῦ τυράννου συγκροτῆσαι· ὃς φοβηθεὶς πάντας τοὺς ἐν δεσμοῖς ἐκέλευσεν ἀπολυθῆναι. Μεθ᾽ ὧν καὶ ὁ πολύαθλος ἀφεθεὶς τῶν δεσμῶν Εὐβίωτος ἦλθεν ἐν τῷ κελλίῳ αὐτοῦ, ἐπιβιοὺς πρὸς τοῖς προτέροις καὶ ἕτερα πέντε ἔτη· καὶ πολλὰ ἕτερα θαύματα ἐργασάμενος ἐν εἰρήνῃ τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις [1] πατρὸς ἡμῶν Φλώρου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουστίνου τοῦ νέου καὶ Τιβερίου καὶ Μαυρικίου ἐν Κωνσταντινουπόλει, ὁμωνύμου αὐτοῦ [2] Φλώρου πατρὸς καὶ μητρὸς Εὐφημίας· γέγονε δὲ πάσης παιδεύσεως ἔμπειρος, τῆς τε ἑλληνικῆς καὶ τῆς ἐν ταῖς θείαις καὶ ἱεραῖς [3] γραφαῖς. Καὶ πρῶτον μὲν ἐν τοῖς [4] ὑπογραφεῦσι τῶν βασιλέων | τελεῖ, εἶτα (f. 111.) τὴν τῶν πατρικίων ἀνάγεται τάξιν. Γυναῖκα δὲ γήμας καὶ παίδων πατὴρ γεγονὼς καὶ τούτους παρανάλωμα τῆς λοιμικῆς καταστάντας νόσου ἰδών, αὐτὸς τὸν μοναδικὸν βίον μετῆλθε, ἔν τινι τῶν αὐτοῦ κτημάτων ἐν τῷ Ἀνάπλῳ προκαθεσθείς· εἶτα διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν ἐπίσκοπος προχειρίζεται Ἀμισοῦ. Ἐν αὐτῇ δὲ γενόμενος καὶ καλῶς τὸ πιστευθὲν αὐτῷ ποίμνιον ὁδηγήσας καὶ θαυματουργίας πλείστας πεποιηκὼς πρὸς Κύριον ἐκδημεῖ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φωκᾶ καὶ Ἑρμύλου [1].

5. Καὶ τῶν ἁγίων ἱερομαρτύρων Ζακχαίου διακόνου καὶ Ἀλφαίου ἀναγνώστου, ἀθλησάντων ἐν Καισαρείᾳ.

6. Καὶ μνήμη τῆς ἁγίας καὶ θαυματουργοῦ Σοφίας.

7. Καὶ τὰ ἐγκαίνια τοῦ σεβασμίου οἴκου τῆς ἀχράντου δεσποίνης ἡμῶν [1] Θεοτόκου τῶν Χαλκοπρατείων.

8. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μιχαὴλ τοῦ συγκέλλου καὶ ὁμολογητοῦ. Οὗτος ὑπῆρχεν ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ,

2. — [1] Τροάδα S. — [2] λίθοις τὸ Sa. — [3] τὰς *add.* Sa. — [4] ἀναρτᾶται καὶ Sa. — [5] μάστιγξι Sa. — [6] εἰκοστῆς δευτέρας ἡμέρας S, Sa. — [7] ἀγορεύουσα Sa. — [8] μέγα S.
3. — [1] τοῦ ὁσίου Sa. — [2] αὐτῷ Sa. — [3] καὶ ἱεραῖς *om.* Sa. — [4] ταῖς Sa.
4. — [1] Ἑρμήλου S.
7. — [1] *om.* Sa.

Dec. 18. καὶ παρρησιασάμενος ἤλειφεν αὐτοὺς πρὸς τοὺς ἀγῶνας· ὅτε τὸ οὐράνιον καὶ γλυκύτατον φῶς αὐτοὺς περιήστραψε καὶ πολλοὺς πρὸς τὴν πίστιν προσήνεγκε. Καὶ ὁ τούτων δὲ πατὴρ Τραγκυλῖνος πιστεύσας τὸν ὕπαρχον κατήχησεν. Αὐτίκα οὖν ὁ ὕπαρχος προσκαλεσάμενος τὸν ἐνδοξότατον καὶ μακάριον Σεβαστιανὸν καὶ Πολύκαρπον τὸν πρεσβύτερον, ἠξίου σωτηρίας τυχεῖν καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι. Ἦν γὰρ ἅπαν τὸ σῶμα αὐτοῦ εἰς ὄγκους πεπυρωμένον· ὅθεν καὶ ἀκίνητος ἦν. Ἐπεὶ δὲ πληροφορίαν ἐδέξατο παρὰ τῶν ἁγίων εἰρηκότων αὐτῷ ὅτι· « Εἰ ὁλοψύχως πιστεύσεις, καὶ τῆς » νόσου ἀπαλλαγήσῃ καὶ αἰωνίως βασιλεύσεις, » παραυτὰ τὰ ἐν τῷ οἴκῳ αὐτοῦ ἱστάμενα εἴδωλα συνέτριψε καὶ μεγάλῃ τῇ βοῇ ἀνέκραξε· « Πιστεύω σοι, Κύριε, τῷ ὑπὸ τῶν σῶν δούλων κηρυσσομένῳ. » Καὶ αὐτίκα τῆς νόσου ἀπαλλαγεὶς ὁ πρὶν ἀκίνητος δίκην ἐλάφου ἥλατο, καὶ βαπτισθεὶς πᾶσαν τὴν περιουσίαν αὐτοῦ τοῖς πτωχοῖς διένειμεν, ἐλευθερίᾳ τοὺς οἰκέτας τιμήσας. Ὁ δὲ μακάριος Γάϊος ὁ ἐπίσκοπος τὸν μὲν Μαρκελλῖνον [4] καὶ Μάρκον τοὺς αὐταδέλφους τῷ τῶν πρεσβυτέρων ἐγκαταλέγει τάγματι· τὸν δὲ περίδοξον Σεβαστιανὸν ἔκδικον τῆς ἐκκλησίας καταστήσας [5], σὺν αὐτοῖς διέτριβε νηστείαις καὶ δεήσεσι προσκαρτερῶν καὶ τὸν τοῦ μαρτυρίου καιρὸν ἐκδεχόμενος. Πολλοὶ δὲ τότε νόσοις ποικίλαις ἐξεταζόμενοι, ἀφικνούμενοι πρὸς αὐτοὺς ἐθεραπεύοντο καὶ θαύματα ἐτελεῖτο παράδοξα. Τότε καὶ ἡ μακαρία καὶ τρισόλβιος [6] Ζωὴ ἐν τῷ τοῦ ἀποστόλου Πέτρου σηκῷ προσευχομένη συλληφθεῖσα καὶ μήτε βρώσεως ἢ πόσεως μετασχοῦσα ἐξάγεται· καὶ μετὰ πολλὰς ἐρωτήσεις καὶ κολάσεις μὴ πεισθεῖσα, ἐπί τινος δένδρου ὑψηλοῦ ἀναρτᾶται καὶ καπνῷ δυσώδει καὶ πνιγηρῷ ὑποκαπνισθεῖσα τὸ πνεῦμα ἀφίησιν. Εἶτα λίθῳ προσδεθεῖσα ἐν τῷ τοῦ ποταμοῦ Τιβέρεως ἀκοντίζεται ῥείθρῳ· καὶ οὕτως ἐτελειώθη. Τοῦτο μαθὼν ὁ Τραγκυλῖνος [3] καὶ ταχὺ τοῦ δεσμωτηρίου ἐξελθὼν καὶ ἐν τῇ τοῦ ἁγίου Παύλου σορῷ γενόμενος, αὖθις συλλαμβάνεται καὶ λιθόλευστος γενόμενος καὶ αὐτὸς τῷ τοῦ ποταμοῦ ῥείθρῳ ἐκδίδοται. Νικόστρατος δὲ καὶ Κλαύδιος καὶ Κάστωρ [7] παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ζητοῦντες τὸ λείψανον τοῦ μακαρίου Τραγκυλίνου ἐφωράθησαν· καὶ κρατηθέντες θαλαττίοις ἐκδίδονται [8] κύμασιν. Τιβούρτιος δὲ γυμνοῖς τοῖς ποσὶ τῶν ἀνθράκων ἐπιβῆναι κελευσθεὶς καὶ τοῦ

— [4] Μαρκελῖνον Ba — [5] καταστάσας Ba — [6] τοιβόλβιος Ba. — [7] Κάστορ Ba. — [8] ἐκδίδοται Ba.

εὐσεβῶν γονέων υἱὸς χρηματίσας. Παιδευθεὶς οὖν ἄκρως [1] τὴν [2] ἑλλήνων σοφίαν καὶ τὴν ἡμετέραν ἐκμελετήσας, καλῶς τὸν μονήρη βίον ὑποδύεται, τελευτήσαντος ἤδη τοῦ πατρός. Τῆς δὲ μητρὸς καὶ τῶν αὐτῆς θυγατέρων ἔν τινι μοναστηρίῳ ἀποκειραμένων [3], καλῶς δὲ [4] καὶ θεοφιλῶς ὁ μέγας Μιχαὴλ πολιτευόμενος καὶ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλὼν [5] πάσῃ, τῆς τοῦ πρεσβυτέρου χειροτονίας ἀξιοῦται. Ἔπειτα σπήλαιον ἥσυχον ἐπεισέρχεται, ἐν ᾧ Θεόδωρος καὶ Θεοφάνης οἱ ὁμολογηταὶ καὶ φιλόσοφοι πρὸς αὐτὸν ἐφοίτησαν. Εἶτα ὁ μὲν μακάριος Μιχαὴλ σύγκελλος παρὰ τοῦ Ἱεροσολύμων [6] ἀρχιεπισκόπου καθίσταται, οἱ δὲ θεῖοι αὐτάδελφοι Θεόδωρος καὶ Θεοφάνης ἱερεῖς καὶ λειτουργοί. Καί ποτε πράγματος ἀναγκαίου ἕνεκα παρὰ τοῦ προεστῶτος Ἱεροσολύμων εἰς τὴν Ῥώμην στέλλονται, δοῦναί τε καί τινας λιβέλλους κατὰ πάροδον συνοδικοὺς [7] τῷ τε βασιλεῖ Λέοντι τῷ Ἀρμένῃ [8] καὶ εἰκονομάχῳ καὶ Θεοδότῳ τῷ τότε τῆς Κωνσταντινουπόλεως πατριαρχοῦντι [9]. Οὗτοι τοίνυν οἱ τρεῖς ὅσιοι τῷ ἀποστείλαντι πειθόμενοι τοὺς λιβέλλους ἐπιδεδώκασι, πολλὰ οὖν [10] καὶ αὐτοὶ δογματικὰ προτείναντες τοῖς ἀντιλέγουσι ῥήματα· διὰ τοῦτο τὸν μὲν Θεόδωρον καὶ Θεοφάνην ὑπερορίᾳ καταδικάζει ὁ τύραννος, τὸν δὲ μακάριον Μιχαὴλ σὺν τῷ ἀδελφῷ Ἰὼβ τῷ πραιτωρίῳ | ἐνέκλεισεν. (Dec. 18. f. 111v.) Ἐκεῖθέν τε παρὰ Μιχαὴλ τοῦ Τραυλοῦ ἁλύσεις βαρείας κατὰ τοῦ τραχήλου δεξάμενος, ἔν τινι μοναστηρίῳ [11] Πλουσιάδος ἅμα τῷ μαθητῇ ἐκπέμπεται, καὶ αὖθις παρὰ Θεοφίλου ἐν σκοτεινῇ καὶ δυσώδει [12] εἱρκτῇ ἀποτίθεται. Ὅθεν ἐκ τῆς πολλῆς κακώσεως ἐπίχυσιν τοῖς ὀφθαλμοῖς καὶ κύρτωσιν τῷ λοιπῷ σώματι παθών, ἀκίνητος ὁ ἀδάμας τοῦ λοιποῦ διέμεινεν. Ἐπεὶ δὲ Θεοδώρα καὶ Μιχαὴλ τὴν βασιλείαν διεδέξαντο καὶ τὰ τῶν ἁγίων ἐκτυπώματα πᾶς τις ἐτίμα παρρησίᾳ καὶ οἱ ἐν ἐξορίαις [13] ἀνεκαλοῦντο καὶ [14] τιμῆς οὐ τῆς τυχούσης ἠξιοῦντο, τὸ τῆς πατριαρχείας ἀξίωμα καὶ ὁ μέγας οὗτος ὁμολογητὴς παρὰ τῆς βασιλίσσης ἠξιοῦτο καταδέξασθαι. Ἐπεὶ δὲ [15] μὴ εἶξε, πατριάρχης μὲν Μεθόδιος ὁ ἀοίδιμος προχειρίζεται· αὐτὸς δὲ αὖθις σύγκελλος [16] τιμᾶται καὶ τὴν μεγίστην μονὴν τῆς Χώρας εἰς ἰδίαν ἐξουσίαν καὶ ἀνάπαυσιν δέχεται. Εὐσεβῶς δὲ καὶ θεαρέστως τὸν ἐπίλοιπον χρόνον βιώσας καὶ ὀγδοήκοντα [17] πέντε χρόνων γενόμενος, κατὰ τὴν ιη´ τοῦ δεκεμβρίου [18] μηνὸς ἐν εἰρήνῃ πρὸς τὸν Θεὸν μεθίσταται.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ´.

Dec. 19. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Βονιφατίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· δοῦλος δὲ ὑπῆρχε γυναικός τινος ὀνόματι Ἀγλαΐδος, θυγατρὸς [1] Ἀκακίου τοῦ ἀνθυπάτου Ῥώμης· συνεφθείρετο δὲ τῇ κυρίᾳ αὐτοῦ εἰς σωματικὴν μίξιν. Ἦν δὲ μέθυσος, ἀλλ᾽ ἐλεήμων, ὁμοίως καὶ ἡ Ἀγλαΐς καὶ ἐλεήμων καὶ φιλόμαρτυς. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν εἶπε τῷ Βονιφατίῳ· « Εἰ ἤθελες, εἶχες

8. — [1] ἀκριβῶς Sa. — [2] τῶν *add.* Sa. — [3] ἀποκειραμένης Sa. — [4] οὖν Sa. — [5] καθυποβάλλων Sa. — [6] ἐν Ἱεροσολύμοις Sa. — [7] συνοδικὴν S. — [8] Ἀρμενίῳ Sa. — [9] πατριαρχοῦντος S. — [10] *om.* Sa. — [11] τῶν μοναστηρίων Sa. — [12] ζοφώδει Sa. — [13] ἐξορίᾳ Sa. — [14] τῆς *add.* Sa. — [15] δὴ Sa. — [16] σύγγελος Sa. — [17] ἑβδομήκοντα Sa. — [18] δεκεβρίου Sa.
1. — [1] θυγατέρας S.

Dec. 18. πυρὸς ὑπεράνω γενόμενος, τὴν διὰ τοῦ ξίφους δέχεται τιμωρίαν. Κάστουλος δὲ ὁ διαιτάριος τοῦ βασιλικοῦ οἴκου καὶ αὐτὸς συλληφθεὶς καὶ πολλαῖς βασάνοις προσπαλαίσας, εἶτα λάκκῳ ζοφώδει ἐναπορριφεὶς ἐκεῖσε τελευτᾷ τὸν βίον. Μαρκελλῖνος δὲ καὶ Μάρκος οἱ γενναῖοι συλληφθέντες πάλιν καὶ τοὺς πόδας ἥλοις διαπαρέντες, ἐπὶ τοσοῦτον ἵστασθαι ἐκελεύσθησαν, ἕως ἐπιθύσωσι. Μὴ πεισθέντες δέ, λόγχῃ τὰς πλευρὰς διατρηθέντες, ἀφῆκαν τὸ πνεῦμα. Σεβαστιανὸς δὲ ὁ μεγαλόφρων τελευταῖος ταῖς βασάνοις τηρηθεὶς εὐκλεῶς τὸν στέφανον ἀποφέρεται. Μετακαλεῖται γὰρ ὑπὸ τοῦ Διοκλητιανοῦ καὶ ἐρωτᾶται. Ὡς δὲ ὑπὸ τῶν λόγων αὐτοῦ κατεβροντήθη ὁ τύραννος, αἰσχυνθεὶς ἵστησιν αὐτὸν ἐν πεδίῳ οἷα σκοπόν· καὶ τοῖς βέλεσιν ὁ ἅγιος βάλλεται, νιφάσι τῇ πυκνότητι παρισωμένοις. Ὅθεν λογισάμενοι αὐτὸν τεθνάναι οἱ βάλλοντες, ἀφῆκαν [9] ἐρριμμένον. Ἐπεὶ δὲ πάλιν ὑπὸ τῆς θείας χάριτος ὑγιασθεὶς ἐν τοῖς ζῶσιν ἦν, πάλιν καταθραυσθεὶς τὸ σῶμα καὶ εἰς μέρη κατατμηθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι. — 2 : Εὐβιώτου. Ὃς ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, θέματος Ὀψικίου. Οὗτος ὁ ἅγιος τὸν ἐνάρετον βίον μετερχόμενος καὶ πολλὰ καθεκάστην ἐκτελῶν θαύματα... Des. : ἀπολύεται τῶν δεσμῶν ὁ ἅγιος μάρτυς Εὐβίωτος καὶ ἐλθὼν ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ πολλὰ ἕτερα θαύματα ἐργασάμενος ἐν εἰρήνῃ πρὸς Κύριον διαβαίνει. — 8 (= S). — **Bb** : 3. 2. — Πρόμου [10], Ἄρεως καὶ Ἡλία (Dec. 19[2]). — **T** : 1. — **L** : 1. 3. — Βονιφατίου. — 7. — **Q** : 1. 2. — **C** : 3. 4. — Πρόβου, Ἄρεως καὶ Ἡλία. — Τιμοθέου, Πολυεύκτου (Dec. 19[3]). — Εὐτυχίου καὶ Θεσσαλονίκης (Dec. 19[4]). — Βονιφατίου καὶ Ἑρμολάου. — **Cb** : Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ. — Τῶν ἁγίων τριῶν παίδων (Dec. 17[1]). — Δανιήλ. — **Cc** : Ἀνανία, Ἀζαρία, Μισαήλ. — Δανιήλ. — Θεοφανοῦς τῆς βασιλίσσης (Dec. 16[7]). — **Cd** : Βάκχου (Dec. 15[2]). — **M** : 1. 2. 3. 4. 5. 6. 7. 8. — Μοδέστου (Dec. 16[4], Oct. 19[5]). — **Mv** : 1. 2. 3. 4. 5. 6. 7. 8. — Μοδέστου. — **Mb** : 1. — Μοδέστου. — 2. 3. 4. 5. 6. 7. 8. — **Mr** : 1.

Dec. 19. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : 1. — Ἀθηνοδώρου (Dec. 7[3]). — 5 (... οὗτος ἦν ὁ ἅγιος ὁ διαλεχθεὶς μετὰ τοῦ Ἐρβὰκ ἀλλ᾽ ἐκεῖ Γρηγόριος λέγεται). — **H** : 2. 3. 4. — Βονιφαντίου καὶ Ἑρμολάου. — **P** : 2. 3. 4. — Βονιφατίου καὶ Ἑρμολάου. — **Da** : 1 (= F). — Ἀθηνοδώρου. — 5 (= Ba). 2. 3. 4. — Καὶ Ἀθήνου, Βονιφατίου καὶ Ἑρμολάου. — **Db** : Ἀθηνοδώρου. — 5. 3. 2. 4. — Βονι-

— [9] ἀφῆκεν Ba. — [10] Τρόμου Bb.

Dec. 19. » ἀπελθεῖν εἰς τὴν ἀνατολήν, ὅπου μαρτυροῦσιν οἱ » ἅγιοι, καὶ κομίσαι λείψανα αὐτῶν, ἵνα ἔχωμεν[2] » αὐτὰ εἰς βοήθειαν καὶ ψυχικὴν σωτηρίαν.» Ὁ δὲ Βονιφάτιος γελῶν εἶπε· «Ἐὰν φέρω τὸ ἐμὸν » λείψανον, τί;» Ἡ δὲ γελάσασα καὶ μέθυσον αὐτὸν εἰποῦσα, ἀπέστειλε. Καὶ ἀπελθὼν μετὰ δούλων δώδεκα καὶ χρυσοῦ[3] πολλοῦ εἰς Κιλικίαν, ὅπου ἐβασανίζοντο οἱ ἅγιοι, ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος καὶ ὡμολόγησεν ἑαυτὸν χριστιανόν, καὶ βασανισθεὶς πολλὰ ἀπεκεφαλίσθη. Λαβόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὸ λείψανον αὐτοῦ, ἀπεκόμισαν τῇ κυρίᾳ αὐτῶν[4]. Ἡ δὲ μετὰ[5] χαρᾶς δεξαμένη κατέθετο ἐν τῷ οἴκῳ αὐτῆς, κτίσασα ἐκκλησίαν (f. 112.) ἐπὶ τῷ ὀνόματι | αὐτοῦ· κἀκείνη ἔκτοτε ὁσίως καὶ θεαρέστως πολιτευσαμένη ἐν εἰρήνῃ τὸ πνεῦμα ἀπέθετο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόμου[1], Ἄρεως[2] καὶ Ἠλία. Οὗτοι ἐξ Αἰγύπτου ὑπῆρχον, ἦσαν δὲ χριστιανοί· θεραπείας δὲ ἕνεκεν τῶν κατὰ τὴν Κιλικίαν ὁμολογητῶν ἐποιοῦντο τὴν πορείαν. Ἐν δὲ τῷ Ἀσκάλωνι γενόμενοι, συνελήφθησαν καὶ προσήχθησαν τῷ δικαστῇ Φιρμιλιανῷ· καὶ χριστιανοὺς ἑαυτοὺς ὁμολογήσαντες, ὁ μὲν Ἄρης διὰ πυρὸς ἐτελειώθη, Πρόμος δὲ καὶ Ἠλίας σιδήρῳ τὰς κεφαλὰς ἀπετμήθησαν. Οὓς καὶ ἐγκωμίοις ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ἐτίμησε. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Φιλήμονος[3] ἐν τῷ Στρατηγίῳ.

3. <Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Τιμοθέου καὶ Πολυεύκτου. Τούτων ὁ μὲν ἅγιος Τιμόθεος κατασχεθεὶς καὶ ὁμολογήσας τὸ ὄνομα τοῦ Χριστοῦ, μετὰ πολλὰς αἰκίας διὰ πυρὸς τελειοῦται ἐν Μαυριτανίᾳ. Ὁ δὲ Πολύευκτος διαφόροις βασάνοις καὶ αὐτὸς ἐξετασθεὶς ἐν Καισαρείᾳ εἰς πῦρ ἐμβληθεὶς τὸ τέλος ἐδέξατο[1].>

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐτυχίου καὶ Θεσσαλονίκης καὶ τῶν[1] σὺν αὐτοῖς ἀνδρῶν διακοσίων καὶ γυναικῶν ἑβδομήκοντα.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγεντίου. Ὃς ὥρμητο ἐκ πόλεως Μεδιολάνων· γεννήτορες δὲ αὐτῷ Ἀγάπιος καὶ Θεοδότη. Οὗτος ὥσπερ[1] γῆ ἀγαθὴ θεῖα σπέρματα δεξαμένη, ἑωρᾶτο καρπὸν[2] φυῆναι καλόν. Ὅθεν καὶ εἰς μέτρον ἡλικίας πεφθακώς, ἀκροατὴς καὶ πληρωτὴς καὶ ἐξηγητὴς τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ ἀναδείκνυται καὶ θείῳ νεύματι τὴν τοῦ διακόνου χειροτονίαν δέχεται, νηστείᾳ[3] καὶ τῇ λοιπῇ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλών· καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης τοῦ θείου Πνεύματος τὴν χάριν δεξάμενος σημεῖα καὶ τέρατα ἐπετέλει. Μετὰ τοῦτο πάλιν γίνεται κατὰ Μεδιόλανα καὶ εὑρών τινα γέροντα σημειοφόρον εἰς τόπον ἀνακεχωρημένον, μυεῖται παρ' αὐτοῦ πάντα τὰ μέλλοντα αὐτῷ ἀπαντᾶν· ᾧ καὶ ἐς ὕστερον ὁ μέγας ἀπόστολος Πέτρος ὀφθαλμοφανῶς τὰ αὐτὰ ὑπηγόρευσε, προσθεὶς καὶ τὰ λείποντα. Ἐπεὶ οὖν συνέβη[4] τὸν τῶν Αἰθιόπων βασιλέα Ἐλεσβαὰν γράψαι[5] Προτερίῳ τῷ[6] πάπᾳ Ἀλεξανδρείας περὶ ἐπισκόπου καὶ μάλιστα τελείου, Ἰουστίνου τότε τὴν τῶν Ῥωμαίων βασιλείαν ἰθύνοντος, ἐπὶ τοῦτο ἠνιᾶτο καὶ ἐδυσφόρει πρὸς τὸ ἐπιτυχεῖν ἀνδρὸς τοιούτου. Ἐν αὐταῖς οὖν ταῖς ἡμέραις διὰ θείας ἀποκαλύψεως φανεὶς αὐτῷ ὁ μακάριος ἀπόστολος[7] Μάρκος ὑπέδειξεν αὐτῷ τὸν ζητούμενον | (f. 112v.) ὑπὸ θείας προνοίας νεωστὶ τὸν

— [2] ἔχομεν S. — [3] χρυσίου Sa. — [4] αὐτοῦ Sa. — [5] μεταὶ S.
2. — [1] Πρόμου S, Ba, Πρόβου Sa, C; *cf.* Violet, Die Palästinischen Märtyrer, *p. 142.* — [2] Ἄρεος Sa. — [3] Φηλίμονος S.
3. — [1] (τῇ αὐτῇ - ἐδέξατο) *om.* S, *desumpsi ex* Sa; *cf.* Synaxaria selecta.
4. — [1] *om.* Sa.
5. — [1] τις *add.* Sa. — [2] μέλλων *add.* Sa. — [3] δὲ *add.* Sa. — [4] γράψαι *add.* Sa. — [5] *om.* Sa. — [6] ἁγιωτάτῳ *add.* Sa. — [7] καὶ εὐαγγελιστὴς *add.* Sa.

Dec. 19. φατίου καὶ Ἑρμολάου. — **F** : 1 : Βονιφατίου[1]. Ὃς ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν Ῥώμῃ συγκλητικῆς τινος ὀνόματι Ἀγλαΐδος, θυγατρὸς ἀνθυπάτου Ἀκακίου, οἰκέτης... Des. : Ἡ δὲ κυρία αὐτοῦ Ἀγλαῒς δι' ἀγγέλου ἀποκαλυφθεῖσα ἅπαντα, προϋπαντήσασα ἐκήδευσεν αὐτὸν μεγαλοπρεπῶς πρὸ πεντήκοντα σταδίων τῆς πόλεως, ἀνεγείρασα αὐτῷ οἶκον εὐκτήριον· μετετέθη δὲ ὕστερον μέσον[2] τῆς πόλεως ἐν ναῷ μεγαλοπρεπεῖ, ἔνθα καθ' ἑκάστην πηγὰς ἰαμάτων προχέει. — 3. 4. — Βονιφαντίου καὶ Ἑρμολάου. — 5. — **Fa** : 1. 3. 4. — Βονιφαντίου καὶ Ἑρμολάου. — 5. — **B** : 2. 3. — **Ba** : 1 (= F). — Ἀθηνοδώρου (Dec. 7[3]). — 5 : Γρηγεντίου. Οὗτος ὥρμητο ἐκ πόλεως Μεδιολάνων γεννητόρων Ἀγαπίου καὶ Θεοδότης. Οὗτος εἰς μέτρον ἡλικίας ἐλθὼν καὶ τὴν χειροτονίαν τοῦ διακόνου δεξάμενος... Des. : οὕτως καλῶς τὸ ποίμνιον αὐτοῦ διαποιμάνας καὶ πολλὰ θαύματα εἰς δόξαν Θεοῦ ἐπιτελέσας ἐν εἰρήνῃ ἐτελειώθη. — 2. 3. 4. — Βονιφατίου καὶ Ἑρμολάου. — **Bb** : 3. — Μιχαὴλ συγκέλλου (Dec. 18[8]). — Ἀθηνοδώρου. — **T** : 1. Sequitur Κυριακὴ τῶν ἁγίων πατέρων πρὸ τῆς Χριστοῦ γεννήσεως. — **L** : Ἀθηνοδώρου. — 1. — **Q** : 1. Sequitur Κυριακὴ πρὸ τῆς γεννήσεως. — **C** : deest. — **Cb** : Φλώρου[3] (Dec. 18[3]). — 2. — Εὐδοξίας, Ῥωμίλλου, Πρεποσίτου, Ζήνωνος, Μακαρίου καὶ τῶν λοιπῶν. — Φαύστου ... Τιμοθέου. — **Cc** : Φλώρου. — Φωκᾶ καὶ Ἑρμύλου[4] (Dec. 18[4]). — 2. 3. 4. — Βονιφατίου καὶ Ἑρμολάου. — Δοναλέ (Dec. 17[3]). — **Cd** : Φλώρου. — Φωκᾶ καὶ Ἑρμύλου. — 2. 3 : Τιμοθέου. Οὗτος ὁ ἅγιος Τιμόθεος ὁ διάκονος ὑπῆρχεν ἐν Μαυριτανίᾳ, παρὰ τοῦ ἐκεῖσε ἐπισκόπου χειροτονηθεὶς διάκονος τῆς ἐν τῇ χώρᾳ ἐκείνῃ ἐκκλησίας. Διδάσκων δὲ τὸν λαὸν τὰ περὶ τοῦ Χριστοῦ καὶ τὴν τῶν οὐρανῶν βασιλείαν ὑποτιθέμενος καὶ πολλοὺς βαπτίζων, ἐκρατήθη παρὰ τοῦ ἐκεῖσε ἡγεμόνος εἰδωλολάτρου ὄντος· καὶ διαφόρως τιμωρηθεὶς καὶ λιμοκτονηθεὶς καὶ μὴ πεισθεὶς θῦσαι τοῖς ἀκαθάρτοις δαίμοσιν, τέλος ἐξαφθείσης[5] πυρᾶς μεγάλης, ἐκεῖσε ἐμβάλλεται, ἔνθα καὶ τὸ πνεῦμα παρέθετο τῷ Κυρίῳ. —

[1] Βονιφαντίου F. — [2] μέσῳ F. — [3] Φλόρου Cb. — [4] Ἑρμύλλου Cc. — [5] ἐξαυθείσης Cd.

τόπον καταλαβόντα καὶ παρά τινος ἐπιξενούμενον. Ὃν καὶ μετὰ πολλῆς περιχαρείας λαβόμενος καὶ χειροτονήσας περιλαμφθέντα σημείοις εὐθέως παρέπεμψε, γράμμασιν αὐτὸν ἐφοδιάσας καὶ λοιποῖς τοῖς τοῖς ἀρχιερεῦσιν ἀνήκουσιν. Ὃν ὁ βασιλεὺς ἀποδεξάμενος καὶ ἐκ τῶν γραμμάτων βεβαιωθεὶς τοῦ πάπα κατασπάζεται καὶ ὡς ἀπόστολον καὶ σημειοφόρον ἀπολαμβάνει, καὶ τῷ Θεῷ εὐχαριστήσας πᾶσαν τὴν ὑπ' αὐτὸν ἐξουσίαν παρέθετο. Ὁ δὲ πρεσβυτέρους καὶ διακόνους χειροτονήσας καὶ τὰς νεωστὶ νεουργηθείσας εἰς τὴν εὐδαίμονα Ἀραβίαν, πρώην σχέδον παντὸς τοῦ ἔθνους ἰουδαΐζοντος, παρὰ τοῦ βασιλέως ἐκκλησίας καθαγιάσας, πολλοὺς τῶν Ἰουδαίων ἐβάπτισε. Μετὰ δὲ ταῦτα τοὺς[8] τῶν Ἰουδαίων πρώτους καὶ διδασκάλους ἀπό τε συλλογισμῶν καὶ γραφῶν ἀποδείξεσι[9] πείσας καὶ θαύμασιν ἐκπλήξας πάντας προσήγαγε τῇ ἀληθινῇ πίστει, νόμους ἐκθέμενος καὶ πᾶν ἀρέσκον Θεῷ διαπραξάμενος. Οὕτως[10] καλῶς τὸ ποίμνιον αὐτοῦ ποιμάνας καὶ πολλὰ θαύματα εἰς δόξαν Θεοῦ ἐπιτελέσας, ἐν εἰρήνῃ ἐτελειώθη πρὸς βαθὺ[11] γῆρας καταντήσας[12].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Dec. 20. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου ἐπισκόπου Ἀντιοχείας τῆς Συρίας, τοῦ θεοφόρου. Οὗτος ἦν διάδοχος τῶν ἀποστόλων τῆς[1] Ἀντιοχέων ἐκκλησίας, δεύτερος μετὰ Εὔοδον πατριάρχης καταστάς, μαθητὴς γεγονὼς Ἰωάννου τοῦ θεολόγου ἅμα Πολυκάρπῳ ἐπισκόπῳ τῆς Σμυρναίων ἐκκλησίας. Προσήχθη δὲ Τραϊανῷ τῷ βασιλεῖ <ἀπερχομένῳ[2]> ἐπὶ Πάρθους, καὶ πολλὰ αὐτῷ διαλεχθεὶς καὶ τὸ ἀμετάθετον τῆς εἰς Χριστὸν αὐτοῦ πίστεως γνωρίσας τῷ βασιλεῖ, ἀπεστάλη[3] δεδεμένος ὑπὸ δέκα στρατιωτῶν ἐν τῇ Ῥώμῃ, θηρίοις γενέσθαι βορά. Στηρίξας οὖν τὰς κατὰ πόλιν ἐκκλησίας, ἐν αἷς διήρχετο[4], εἰς τὴν Ῥώμην ἀχθεὶς προσηύξατο ὑπὸ τῶν θηρίων βρωθῆναι· «Ἵνα, φησίν, ἄρτος γένωμαι καθαρὸς τῷ Θεῷ.» Ὅθεν βληθεὶς εἰς τὸ ἀμφιθέατρον, ὑπὸ τῶν ἀφεθέντων ἐπ' αὐτὸν[5] θηρίων διεσπάσθη, καταλιπόντων μόνα τὰ τραχύτατα τῶν ὀστέων αὐτοῦ, ἃ συλλεγέντα ἀπεκομίσθησαν εἰς Ἀντιόχειαν. Οὗτος δὲ ἦν ὁ μακάριος, ὃν ἔτι νήπιον ὄντα κρα|(f. 113.)τῆσαί φασι τὸν δεσπότην Χριστὸν καὶ ἐναγκαλισάμενον[6] εἰπεῖν· «Ἐὰν μή τις ταπεινώσῃ ἑαυτὸν ὡς τὸ » παιδίον τοῦτο, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν » τῶν οὐρανῶν· καὶ ὃς ἐὰν ἕνα τῶν τοιούτων » παίδων δέξηται ἐν τῷ ὀνόματί μου, ἐμὲ δέχεται.» (Cf. Matth. 18, 3-5.) Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ[7] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Εὐγενίου καὶ Μακαρίου. Οὗτοι συσχεθέντες καὶ προσαχθέντες Ἰουλιανῷ τῷ παρα-

— [8] πολλοὺς Sa. — [9] γραφικῶν ἀποδείξεων Sa. — [10] οὕτω Sa. — [11] βραχὺ Sa. — [12] ταῖς αὐτῶν πρεσβείαις *add.* Sa.
1. — [1] τῶν *add.* Sa. — [2] Sa, *om.* S. — [3] παρ' αὐτοῦ *add.* Sa. — [4] καὶ νουτεθήσας πάντας ἐμμένειν τῇ πίστει *add.* Sa. — [5] αὐτῷ Sa. — [6] ἐναγκαλισάμενος Sa. — [7] *om.* Sa.

Dec. 19. Πολυεύκτου. Οὗτος ὁ ἅγιος μάρτυς Πολύευκτος ὑπῆρχεν ἐν Καισαρείᾳ, τὸν Χριστὸν ὁμολογῶν καὶ τὰ χριστιανοῖς πρέποντα ἔργα διαπραττόμενος καὶ τῷ τρόπῳ τούτῳ πολλοὺς ἀφιστῶν τῆς τῶν μιαρῶν εἰδώλων θρησκείας καὶ πρὸς τὸν τῶν ὅλων Θεὸν ἐπιστρέφων καὶ βαπτίζων φανερῶς τε καὶ ἀφανῶς. Οὕτως δὲ ποιῶν διεβλήθη τῷ τῆς Καισαρείας ἄρχοντι· καὶ κρατηθεὶς καὶ μυρίας τιμωρίας ὑποστάς, καὶ ξέσιν μελῶν καὶ ὀδόντων ἐκρίζωσιν, καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, διὰ πυρὸς τελειοῦται. — 4. — Βονιφατίου καὶ Ἑρμολάου. — **M** : 1. 2. 3. 4. 5. — **Mv** : 1. 2. 3. 4. 5. — Τοῦ ἁγίου μάρτυρος Τρύφωνος. Sequitur Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως. — **Mb** : 1. 2. 3. 4. 5. — **Mr** : 1.

Dec. 20. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. 3. — **H** : 1. 2. — Μιχαὴλ συγκέλλου (Dec. 18[8]). — **P** : 1. 2. — Μιχαὴλ τοῦ συγκέλλου. Sequitur Κυριακὴ τῶν ἁγίων πατέρων... Σαββάτῳ πρὸ τῆς Χριστοῦ γεννήσεως... Κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν ἁγίων γ' παίδων Ἀνανία, Ἀζαρία καὶ Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου. — **Da** : 1 (= Ba). 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. — Μιχαὴλ τοῦ συγκέλλου. — **Fa** : 1. 2. — Μιχαήλ. — **Fb** : 1. 2. — Μιχαὴλ συγκέλλου τοῦ ὁμολογητοῦ. Οὗτος ὑπῆρχε μὲν γέννημα καὶ θρέμμα τῆς ἁγίας πόλεως Ἱερουσαλήμ. Τριετὴς δὲ γεγονὼς κληρικὸς ὑπὸ τοῦ ἁγιωτάτου πάπα καθίσταται· εἶθ' οὕτως πρὸς τὴν τῶν ἱερῶν γραμμάτων ἐκδίδοται μάθησιν, προκόψας ὥσπερ τῇ ἡλικίᾳ, οὕτω δὴ καὶ σοφίᾳ καὶ ἀρετῇ, σχολάζων ἀεὶ ἐν τοῖς εὐκτηρίοις οἴκοις νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ψαλμῳδίᾳ καὶ ταῖς θείαις ἀναγνώσεσι. Τοῦ δὲ πατρὸς τὸν βίον ἀπολιπόντος, τῆς μητρὸς δὲ μετὰ τῶν ταύτης θυγατέρων ἐν μοναστηρίῳ ἀποκειραμένης, αὐτὸς τὰ καταλειφθέντα χρήματα τοῖς πτωχοῖς διανείμας ἐν τῇ τοῦ ἁγίου Σάβα μονῇ ἀπεκείρατο, τὸν εἰκοστὸν πέμπτον χρόνον ἄγων τῆς ἡλικίας. Καὶ ἦν ἐργαζόμενος καὶ διακονῶν τοῖς ἀδελφοῖς· ἤσθιεν δὲ ἐν ὅλοις δέκα καὶ η' χρόνοις διὰ β' ἢ γ' ἡμερῶν λάχανα ἄνευ ἐλαίου· ἄρτου γὰρ τὸ παράπαν δίχα σαββάτου καὶ κυριακῆς καὶ δεσποτικῶν ἑορτῶν οὐδέπω μετελάμβανεν. Ἐν τούτοις θεαρέστως διαζῶν ἀξιοῦται τῇ τοῦ προεστῶτος κρίσει τῆς τοῦ πρεσβυτέρου χειροτονίας· καὶ μετὰ χρόνους β' ἀπέρχεται ἔν τινι σπηλαίῳ ἡσυχαστικῷ· ὅτε πρὸς αὐτὸν ἐφοίτησαν Θεόδωρος καὶ Θεοφάνης οἱ σπουδαιότατοι καὶ φιλόσοφοι. Ὁ δὲ τῶν Ἱεροσολύμων ἀρχιεπίσκοπος οὐρανόθεν θείαν ἀποκάλυψιν δεξάμενος, προσκαλεσάμενος αὐτούς, ἅμα τὸν μὲν ὅσιον Μιχαὴλ σύγκελλον πεποίηκεν, τοὺς δὲ καλοὺς αὐταδέλφους ἱερεῖς καὶ λειτουργοὺς τῆς ἁγίας Σιὼν κεχειροτόνηκεν. Ὀλίγου δὲ χρόνου διαδραμόντος καὶ ἀναφυείσης τινὸς αἱρέσεως ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, ἐδέξατο γράμματα παρὰ τῶν Ῥωμαίων ὁ τῆς

Dec. 20. βάτη καὶ ἐλέγξαντες αὐτοῦ τὴν δυσσέβειαν, βασάνοις [1] ἄλλαις [2] καὶ [3] πυρὶ καὶ ἰοβόλοις ἑρπετοῖς ἐκδίδονται. Ἐξ ὧν φυλαχθέντες ἀσινεῖς, δέσμιοι εἰς Μαυριτανίαν πέμπονται, εἰς πόλιν λεγομένην Ἀνθηδόνα· ἣν τῇ ἐπιγνώσει τοῦ Χριστοῦ φωτίσαντες καὶ διάφορα [4] τελέσαντες [5] θαύματα καὶ τὸν ἐν ὄρει λυμαινόμενον δράκοντα [6] τοὺς προσοικοῦντας [7] ἀποκτείναντες [8], ἐν εἰρήνῃ τῷ Κυρίῳ τὰς ἑαυτῶν ψυχὰς ἀπέθεντο [9].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλογονίου [1] γενομένου ἀπὸ δικολόγου ἐπισκόπου [2] Ἀντιοχείας. Οὗτος ὁ μακάριος ἐκ νηπίου τῇ παιδεύσει τῶν ἱερῶν γραμμάτων ἐκδοθεὶς ἀνάθημα τῷ Θεῷ ἐγένετο. Διὰ πάσης γὰρ διελθὼν παιδεύσεως ὡς μίαν τὴν πᾶσαν [3] κατώρθωσεν· ὅθεν καὶ λαμπρὸν ἐπεδείξατο βίον, καίτοι γυναῖκα ἔχων καὶ θυγατέρα καὶ ἐν δικαστηρίοις στρεφόμενος· καὶ ἀνθρώποις ἐκεῖθεν [4] συνηγορῶν τοῖς ἠδικημένοις καὶ χεῖρα βοηθείας [5] ὀρέγων, οὕτως ὑπὲρ τὸν ἥλιον ἔλαμψεν, ὡς [6] εὐθέως ἐκεῖθεν ταύτης ἄξιος φανῆναι τῆς ἀρχῆς, καὶ ἀπὸ βήματος ἐπὶ βῆμα ἤγετο. Καὶ πρῶτον μὲν ἀνθρώποις συνηγόρει, τοὺς ἀδικουμένους τῶν ἀδικούντων ἰσχυροτέρους ποιῶν· ἔπειτα δὲ τὸ τοῦ Χριστοῦ ποίμνιον ἐνεχειρίσθη. Ὅταν δὲ ἐπὶ τὸν θρόνον τοῦτον ἀνήγετο, πολλὴ [7] ἦν ἡ δυσκολία, ἄρτι τοῦ διωγμοῦ παυσαμένου καὶ τῶν λειψάνων μενόντων τῆς χαλεπωτάτης ζάλης, εἰ καὶ τάχα ἡ τῶν αἱρετικῶν ἐπανάστασις ἐπ' αὐτοῦ τὴν ἀρχὴν λαβοῦσα, ὑπὸ τῆς ἐκείνου σοφίας ἐνεκόπτετό τε καὶ κατελύετο, καθὼς καὶ ὁ τίμιος [8] Χρυσόστομος ἐγκωμίοις αὐτὸν τιμῶν πλατύτερον τὰ περὶ αὐτοῦ ἐφιλοσόφησεν. Οὕτως [9] θεαρέστως ποιμάνας τὸ πιστευθὲν [10] αὐτῷ ποίμνιον καὶ ἀγγελικῶς ἐπὶ γῆς βιώσας καὶ διαπρέψας τῇ ἀρχιερωσύνῃ, πρὸς Κύριον ἐξεδήμησεν.

2. — [1] διαφόροις *add.* Sa. — [2] πρότερον δοκιμασθέντες *add.* Sa. — [3] ἔπειτα Sa. — [4] πολλὰ Sa. — [5] ἐν ταύτῃ *add.* Sa. — [6] *om.* Sa. — [7] προσηκούντας S. — [8] δράκοντα *add.* Sa. — [9] παρέθεντο Sa.
3. — [1] Φιλογόνου S, Sa. — [2] Sa, ἐπίσκοπος S. — [3] τὰς πάσας Sa. — [4] ἐκεῖσε Sa. — [5] βοηθὸν Sa. — [6] Sa, καὶ S. — [7] πολὺ S. — [8] θεῖος Sa. — [9] οὗτος S, Sa. — [10] πιστωθὲν Sa.

Dec. 20. ἁγίας πόλεως προεστὼς τοῦ ἀποστεῖλαί τινας δυναμένους τὰ ἐκεῖσε ἀμφισβητούμενα διαλύσασθαι. Ἐπεὶ δὲ Λέων ἐβασίλευσεν ὁ Ἀρμένιος, ὁ τὰ σκῆπτρα τῆς Ῥωμαίων ἀναξίως ἰθύνων καὶ τὰς ἁγίας εἰκόνας ἐκ τῶν ἐκκλησιῶν ἀθέως καὶ παρανόμως ἐκέλευσεν ἀφανίζειν καὶ ἀποσπᾶν, ἐκελεύσθησαν καὶ οὗτοι κατὰ πάροδον πρῶτον μὲν τῷ ἀθεωτάτῳ βασιλεῖ ἀναδοῦναι ἃς ἐπεφέροντο ἐπιστολάς, εἶθ' οὕτως καὶ ἐπὶ τὴν Ῥώμην ἀπελθεῖν. Ὡς δὲ ἔφθασαν τὸ Βυζάντιον, τὸν μὲν συνοδικὸν λίβελλον τῷ τυράννῳ ἐπέδωκαν· τὰ δὲ πρὸς τὸν πάπαν γραφέντα βίᾳ ἐξ αὐτῶν οἱ τοῦ τυράννου δυσσεβεῖς ὑπασπισταὶ ἀφελόμενοι καὶ ὡσεὶ κόνιν λεπτὴν ποιήσαντες, εἰς τὸν ἀέρα ἐλίκμησαν· καὶ τύψαντες αὐτοὺς σφόδρα ἐν φυλακῇ ἐναπέθεντο. Ὡς δὲ οὐκ ἐνεδίδουν οἱ ἅγιοι ἀλλὰ καὶ τὸν πατριάρχην Θεόδοτον καὶ τὸν τύραννον ἀθέους καὶ τυράννους καὶ μισαγίους ἀπεκάλουν, τυπτήσας αὐτοὺς πάλιν, τὸν μὲν Θεόδωρον καὶ Θεοφάνην ἐν Ἀφουσίᾳ τῇ νήσῳ ἐξώρισεν, τὸν δὲ μακάριον Μιχαὴλ σὺν τῷ ἀδελφῷ Ἰὼβ ἐν ζοφερᾷ καὶ ἀφεγγεῖ καμάρᾳ τοῦ πραιτωρίου ἐνέκλεισεν. Τοῦ δὲ θεοστυγοῦς καὶ παρανόμου Λέοντος ἐν τῷ τοῦ Φάρου εὐκτηρίῳ ἤτοι τοῦ Παλατίου μαχαίρας γενομένου παραναλώματος [1], ἀνέστη ἕτερος ἀντ' αὐτοῦ, Μιχαὴλ ὁ Τραυλὸς καὶ Ἀμορραῖος, καὶ αὐτὸς ζηλωτὴς ὑπάρχων διάπυρος τῆς αὐτοῦ αἱρέσεως. Παραυτίκα οὖν ἁλύσεις βαρείας δεξάμενος κατὰ τοῦ τραχήλου ὁ μακάριος Μιχαὴλ ἔν τινι τῶν μοναστηρίων Προυσιάδος ἅμα τῷ μαθητῇ ἐκπέμπεται· ταχὺ δὲ τοῦ ἀσεβοῦς Μιχαὴλ τὴν ζωὴν ἀπορρήξαντος, ἀνέστη ἀντ' αὐτοῦ Θεόφιλος ὁ υἱὸς αὐτοῦ, φρονῶν καὶ πράττων κατὰ πάντα τὰ ὅμοια τῷ πατρί· ὃς ἐκ τῆς ἐξορίας τὸν μακάριον εἰσενεγκὼν ἐν σκοτεινῇ καὶ δυσώδει εἱρκτῇ ἐναπέθετο. Ὅθεν ἐκ τῆς πολλῆς καὶ συνεχοῦς κακώσεως καὶ γήρους βαθυτάτου καὶ χρονίας ταλαιπωρίας ἀκίνητος ἔμεινεν ἔκ τε τῆς ἀμβλυωπίας καὶ κυρτώσεως· τὸν δὲ μακάριον Θεόδωρον καὶ Θεοφάνην τοὺς αὐτοῦ μαθητὰς σφοδραῖς ὁ τύραννος ὑποβαλὼν αἰκίαις ἅπαξ καὶ δὶς καὶ τὰς τούτων ὄψεις ἐγκολάψας [2], σιδήρῳ ἐτιμωρήσατο καὶ ἐν ἐξορίᾳ παρέπεμψεν. Τοῦ δὲ θεομάχου βασιλέως δώδεκα χρόνους κρατήσαντος καὶ τὸ ζῆν ἀπολιπόντος καὶ Θεοδώρας τῆς τούτου γαμετῆς τὴν βασιλείαν διαδεξαμένης, γέγονε χαρὰ καὶ εἰρήνη ἐν ταῖς ἐκκλησίαις. Καὶ οἱ ἐν δεσμοῖς ἀνεκλήθησαν καὶ τὰ τῶν ἁγίων ἐκτυπώματα παρρησίαν ἔλαβον. Ὁ δὲ μέγας ὁμολογητὴς τοῦ Χριστοῦ Μιχαὴλ ἀποδεχθεὶς μεγάλως παρὰ τῆς βασιλίσσης καὶ μὴ θελήσας δέξασθαι τὸ τῆς πατριαρχείας ἀξίωμα, ἀλλὰ τοῦ Μεθοδίου ἀναχθέντος ἐν αὐτῷ, ὁμοίως σύγκελλος τιμᾶται· καὶ τὴν μεγάλην μονὴν τῆς Χώρας εἰς ἰδίαν ἐξουσίαν καὶ ἀνάπαυσιν δέχεται. Εὐσεβῶς δὲ καὶ θεαρέστως τὸν ἐπίλοιπον χρόνον βιώσας καὶ ἐν πε' χρόνῳ γενόμενος, ἐν εἰρήνῃ βαθείᾳ τὸ πνεῦμα αὐτοῦ παρέδωκεν τῷ Θεῷ. — **B** : 1. 2. — Βονιφατίου (Dec. 19[1]). — **Ba** : 1 : Ἰγνατίου ἀρχιεπισκόπου Ἀντιοχείας τῆς μεγάλης. Οὗτος ἦν τῶν ἀποστόλων διάδοχος, δεύτερος μετὰ Εὔοδον πατριάρχης καταστάς... Des. : καὶ διὰ τοῦτο κληθῆναι θεοφόρον. Τοῦτον ὁ τίμιος Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. — 2. 3 (= S). — **Bb** : 1. 2. — Βονιφατίου. — **T** : 1. — **L** : 1. — **Q** : 1. 2. — **C** : 1. 2. — Μιχαὴλ συγκέλλου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως τοῦ ὁμολογητοῦ. — **Cb** : 1. 2 (Εὐγενίου καὶ Μάρκου). — **Cc** : 1. 2. — Μιχαήλ. — **Cd** : 1. 2. — Μιχαὴλ συγκέλλου. — Sequitur : Τῇ κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως μνήμη τῶν ἁγίων πατέρων Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν ἁγίων τριῶν παίδων Ἀνανία, Ἀζαρία, Μισαὴλ καὶ Δαβὶδ τοῦ προφήτου. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mb** : 1. 2. 3. — Τοῦ ἁγίου μάρτυρος πρεσβυτέρου Τρύφωνος. — **Mr** : 1.

[1] παρανάλωμα Fh. — [2] ... κολαλάψας Fh.

f. 113v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Dec. 21.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς. Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἀπὸ τῆς πόλεως Νικομηδείας. Πλουσίων δὲ ὄντων τῶν γονέων αὐτῆς, ἐμνηστεύθη Ἐλευσίῳ τῷ συγκλητικῷ, ἕλληνι ὄντι· ὅστις ἐβούλετο ποιῆσαι τὸν γάμον. Ἀλλ' ἡ ἁγία οὐ κατεδέξατο, εἰποῦσα πρὸς τοὺς βιάζοντας· « Ἐὰν μὴ γένηται τῆς πόλεως » ἔπαρχος, ἄνδρα αὐτὸν οὐκ ἔχω. » Ἀλλὰ καὶ τούτου γενομένου, πάλιν εἶπεν ὅτι· « Ἐὰν μὴ γένη- » ται χριστιανός, οὐ λαμβάνω αὐτόν. » Ἀκούσας δὲ ταῦτα ὁ πατὴρ αὐτῆς ἐλυπήθη· καὶ κατηνάγκασε μᾶλλον αὐτὴν ἀρνήσασθαι τὸν Χριστὸν καὶ λαβεῖν τὸν ἄνδρα αὐτῆς. Ὡς δὲ οὐκ ἔπεισε [1], τότε παρέδωκε [2] κατὰ τοὺς νόμους εἰς ἐξέτασιν [3] τῷ μνηστῆρι αὐτῆς καὶ ἐπάρχῳ. Ὁ δὲ ἔπαρχος ἔξεσεν ὅλον τὸ σῶμα αὐτῆς καὶ ἀπὸ τῶν τριχῶν ἐκρέμασε καὶ ἐξέδειρε τὸ δέρμα τῆς κεφαλῆς αὐτῆς· εἶτα ἐνέβαλεν εἰς πῦρ· καὶ τέλος ἀπεκεφάλισεν αὐτήν, μετὰ καὶ ἄλλων τῶν δι' αὐτῆς [4] πιστευσάντων. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι πλησίον τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐν τῷ Πετρίῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεμιστοκλέους [1]. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Δεκίου, ἐκ Μύρων τῆς Λυκίας, ποιμὴν προβάτων ὑπάρχων. Τοῦ οὖν ἄρχοντος διωγμὸν κατὰ τῶν χριστιανῶν κινήσαντος καὶ τοῦ ἁγίου Διοσκορίδου ἐπιζητουμένου, ἐπεὶ πρὸς τὸ ὄρος κατέφυγεν, οἱ ζητοῦντες αὐτὸν εὗρον τὸν Θεμιστοκλέα [2] νέμοντα θρέμματα· καὶ ἀνηρώτων περὶ τοῦ Διοσκορίδου [3]· ὃς ἐκεῖνον μὲν ἀπέκρυψε, μὴ εἰδέναι λέγων ἔνθα ἔστιν, ἑαυτὸν δὲ παρέδωκεν ὁμολογήσας εἶναι χριστιανός. Ἀχθεὶς δὲ καὶ τὸν Χριστὸν κηρύξας ἐνώπιον τοῦ ἄρχοντος Ἀσκληπιοῦ καὶ παρρησιασάμενος, ἐτύφθη κατὰ τοῦ νώτου καὶ τῆς γαστρός, ἕως οὗ διερράγη, καὶ ἐπὶ ξύλου ἐκρεμάσθη. Εἶτα σύρεται ἐπὶ τριβόλων σιδηρῶν, ὑφ' ὧν ὅλον τὸ σῶμα περονούμενος τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Dec. 22.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀναστασίας τῆς φαρμακολυτρίας καὶ τῶν σὺν αὐτῇ [1] μαρτύρων Χρυσογόνου, Ἀγάπης, Εἰρήνης καὶ Χιονίας, 114. Θεοδότης καὶ τῶν τέκνων | αὐτῆς. Ἡ ἁγία μάρτυς Ἀναστασία ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει, Πραιτεξτάτου [2] τινὸς οὖσα θυγάτηρ, μητρὸς δὲ Φαύστης· ὑφ' ἧς προσαχθεῖσα Χρυσογόνῳ ἀνδρὶ θεοσεβεῖ, τὰ ἱερὰ γράμματα ἐπαιδεύθη, τὴν δὲ εἰς Χριστὸν πίστιν παρὰ τῆς μητρὸς ἔμαθε. Συνεζεύχθη δὲ ἀνδρὶ ἕλληνι πρὸς κοινωνίαν γάμου, Πουπλίῳ ὀνόματι, καὶ διὰ τὴν ἀπιστίαν αὐτοῦ ἀστόργως τὴν πρὸς αὐτὸν ἔφερεν

1. — [1] ἔπειθε Sa. — [2] ταύτην *add.* Sa. — [3] καὶ βάσανον *add.* Sa. — [4] διὰ ταύτης Sa.
2. — [1] Θεμιστοκλεούς S. — [2] Θεμιστοκλεὰ S. — [3] Διωσκορίδου S.
1. — [1] ἁγίων *add.* Sa. — [2] Πραιπεξάτου S, Sa.

Dec. 21. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. 2. — Εὐβιώτου, Πολυεύκτου ἰατροῦ Καισαρέως. — **P** : 1. 2. — Εὐβιώτου, Πολυεύκτου ἰατροῦ Καισαρέως. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1 : Ἰουλιανῆς. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Νικομηδείᾳ τῇ πόλει, πλουσίων γεννητόρων παῖς ὑπάρχουσα... Des. : τὸ τελευταῖον καὶ αὐτὴν προσέταξε διὰ ξίφους τελειωθῆναι. — 2. — Φιλογονίου (Dec. 20[3]). — **Fa** : 1. 2. — Φιλογονίου. — **B** : 1. 2. — Φιλογονίου. — **Ba** : 1. 2 (= S). — **Bb** : 1. 2. — Φιλογονίου. — **T** : 1. — **L** : 1. — **Q** : 1. 3. — Ἰσιδώρου πρεσβυτέρου καὶ ξενοδόχου τῆς Ἀλεξανδρείας. Οὗτος ὁ ἅγιος μέχρις αὐτῆς τῆς τελευτῆς οὐκ ὀθόνην ἐφόρησεν ἐκτὸς φακιόλου, οὐ λούτρῳ ἐχρήσατο, οὐ τραπέζης... Des. : ὁ κτίσας ὑμᾶς Θεὸς οἰκονομήσει ὑμῶν τὴν ζωὴν ὡς κἀμοῦ· οὕτως οὖν ὁ ὅσιος βιοὺς καὶ οὕτω πολιτευσάμενος πρὸς Κύριον ἐξεδήμησεν. — **C** : 1. 3. — Γρηγεντίου (Dec. 19[4]). — Τιμοθέου καὶ Πολυεύκτου (Dec. 19[3]). — Φιλογονίου. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — Γρηγεντίου. — Τιμοθέου καὶ Πολυεύκτου. — Φιλογονίου. — **Cd** : 1. 2. — Φιλογονίου (Dec. 20[3]). — Καὶ τῶν ἁγίων μαρτύρων Εὐβιώτου καὶ Πολυεύκτου ἰατροῦ [1]. — **M** : 1. — Οἱ ἅγιοι πεντακόσιοι μάρτυρες οἱ ἐν Νικομηδείᾳ ξ. τ. — Αἱ ἅγιαι ἑκατὸν τριάκοντα γυναῖκες αἱ ἐν Νικομηδείᾳ ξ. τ. — 2. — **Mv** : 1. — Οἱ ἅγιοι πεντακόσιοι μάρτυρες. — Αἱ ἅγιαι ἑκατὸν τριάκοντα γυναῖκες. — 2. — **Mb** : 1. 2. — Τῶν ἁγίων φ' μαρτύρων. — Τῶν ἁγίων ρλ' μαρτύρων. — **Mr** : 1.

Dec. 22. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. 2. — **P** : 1. 2. — Χρυσογόνου ἐπάρχου Σαλονίκης καὶ τῶν ἁγίων μαρτύρων γυναικῶν, Θεοδότης σὺν γ' παιδίοις, Ἀγάπης, Εἰρήνης, Χιονίας. — **Da** : 1 (= Ba). — **Db** : 1. — **F** : 1 : Ἀναστασίας τῆς φαρμακολυτρίας. Ἥτις ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει... Des. : τῷ πυρὶ παρεδόθη καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. — **Fa** : 1. — **B** : 1. 2. — Χρυσογόνου κτλ. — **Ba** : 1 : Ἀναστασίας τῆς φαρμακολυτρίας. Αὕτη ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως, Ῥωμαία τῷ γένει, πατρὸς ἕλληνος... Des. : διὰ τοῦ ὑποβληθέντος πυρὸς τελειοῦται καὶ τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον. — 2. — Χρυσογόνου κτλ. — **Bb** : 1. 2. — Χρυσογόνου κτλ. — **T** : 1. — **L** : 1. — Τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας. — **Q** : 1. — Κρονίου. Οὗτος ὁ μακάριος ἐκ βρέφους τὸν Θεὸν ἀγαπήσας καὶ τὸν τοῦ Κυρίου σταυρὸν ἐπ' ὤμων ἀράμενος ἠκολούθησεν αὐτῷ· καὶ τὰς παρατάξεις τῶν ἐναντίων ἐχθρῶν τροπωσάμενος, χαίρων ἐχώρησε πρὸς τὰ ἐπίπονα τῆς ἀσκήσεως. Ταπεινόφρων δὲ εἰς ἄκρον γενόμενος, νεκροὺς ἀνιστᾶν αὐτῷ ἐδωρήσατο ὁ

[1] ἰητροῦ Cd.

Dec. 22. ὁμιλίαν, νοσεῖν ἀεὶ προφασιζομένη. Καὶ μὴ καταδεχομένη συνέρχεσθαι αὐτῷ εἰς συνάφειαν, μετρίαν δὲ στολὴν καὶ πενιχρὰν ἐνδυομένη περιβολήν, ἀεὶ προσωμίλει γυναιξὶ δεομέναις, καὶ λαθραίως τοὺς διὰ Χριστὸν ἐναθλοῦντας ἐθεράπευε, ἐν ταῖς φυλακαῖς, ἐν αἷς ἦσαν, εἰσιοῦσα καὶ τῶν μολυσμῶν αὐτοὺς ἀπολούουσα[3] καὶ ἐλαίῳ ἀλείφουσα καὶ τοὺς[4] ἰχῶρας αὐτῶν ἀπομάττουσα καὶ τροφὰς ἐπιτηδείας τούτοις παρέχουσα, μιᾶς μόνης θεραπαινίδος συνεπομένης αὐτῇ· ἐπὶ τούτοις πρῶτον μὲν ὑπὸ τοῦ ἀνδρὸς ἐφρουρήθη ἐπιγνόντος τὰ κατ' αὐτήν. Ἐπεὶ[5] δὲ ἐκεῖνος διαποντίῳ κλύδωνι γέγονεν ὑποβρύχιος, ἀδείας αὕτη λαβομένη πάντα αὐτῇ τὰ[6] προσόντα διένειμε τοῖς πτωχοῖς· εἶτα ἀδεέστερον τοὺς ὑπὲρ Χριστοῦ ἐναθλοῦντας ἐθεράπευε καὶ τελειωθέντας συνεκόμιζε καὶ παρεδίδου τῇ ὁσίᾳ ταφῇ· καὶ πολλοὺς πρὸς τὸ μαρτυρεῖν ὑπαλείψασα[7] καὶ διαφόροις ἡγεμόσιν ἐξετασθεῖσα καὶ ἐν θαλάσσῃ μεθ' ἑτέρων γυναικῶν ἀπορριφεῖσα, τὸ τελευταῖον πάλοις προσδεθεῖσα τῷ πυρὶ παρεδόθη καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο[8]. Ὁ δὲ Χρυσόγονος εἰς Νίκαιαν ἀχθεὶς δέσμιος πρὸς Διοκλητιανὸν ἀπεκεφαλίσθη. Τελεῖται δὲ ἡ τῆς μάρτυρος σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου[1] Καπίτωνος ἐπισκόπου Χερσῶνος. Οὗτος ἀπεστάλη ὑπὸ Θεοδοσίου τοῦ μεγάλου βασιλέως ἐν Χερσῶνι ἐπίσκοπος, τελευτήσαντος Αἰθερίου τοῦ ἐπισκόπου. Καὶ καταλαβὼν τὴν πόλιν, τὴν εἰς Χριστὸν πίστιν ἐξεπαίδευσε τὸν λαόν. Βουλόμενος δὲ τὸν τοῦ Παρθενίου εἰδώλου οὕτω λεγομένου[2] ναὸν καταβαλεῖν καὶ ἀντ' αὐτοῦ ἐπ' ὀνόματι τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ναὸν ἀ|νεγεῖραι[3] (f. 114v.) καὶ ἐπὶ τούτῳ καμίνους εἰς κατασκευὴν ἀσβέστου γενέσθαι προστάξας, εἰς ἀντιλογίαν κατέστη μετὰ τῶν ἀπίστων[4] λεγόντων μὴ δύνασθαι τὸν ναὸν τῶν εἰδώλων καταλῦσαι διὰ τὴν ὑπεροχὴν τῶν θεῶν, καὶ μάτην τὰς καμίνους κατασκευάζειν. Τοῦ δὲ μυκτηρίσαντος τοὺς παρ' αὐτοῖς θεοὺς καὶ εἰπόντος ὡς ἀδύνατοί εἰσιν ἑαυτοῖς βοηθῆσαι, εἰς δοκιμὴν ἡ ἀντιλογία κατέστη. Πίστεις γὰρ τὰς

— [3] *corr.* Sa, *prius* ἀπολύουσα. — [4] *bis scriptum* S. — [5] ἐπειδὴ Sa. — [6] *om.* Sa. — [7] ἀπαλείψασα Sa. — [8] Sa, ἀνεδύσατο S.
2. — [1] ὁσίου Sa. — [2] λεγόμενον Sa. — [3] ἀναγεῖραι Sa. — [4] ἰουδαίων *add.* Sa.

Dec. 22. τῶν ὅλων Θεὸς καὶ δαίμονας ἀπελαύνειν νόσους τε φυγαδεύειν καὶ πᾶσαν ἄλλην λώβην σώματος ἐκδιώκειν. Ἐπεὶ οὖν ἀγγελικῶς ἐβίωσεν ὁ ἐν σώματι ἄσαρκος καὶ καθὰ προείρηται, τὰς ἐναντίας φάλαγγας τροπωσάμενος πρὸς τὴν ἄϋλον ζωὴν μετετάξατο. — Θεοδούλου. Οὗτος ἐξ αὐτῶν, ὡς εἰπεῖν, τῶν μητρικῶν ἀγκαλῶν τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος σπηλαίοις καὶ ὄρεσι καὶ κοιλάσι διητᾶτο, ψύχει τε καὶ παγετῷ καὶ κρύει πηγνύμενος, ὄμβροις ἀερίοις ταλαιπωρῶν, καὶ καθάπερ τις ἄσαρκος τοῖς ὄρεσι διαιτώμενος, διὰ εἴκοσι ἡμερῶν ἢ καὶ τριάκοντα βοτάναις ἀγρίαις ἀρκούμενος καὶ ὕδατι κοτύλης μιᾶς καὶ μόνον ἀπογευόμενος. Οὕτως οὖν ὁ ἰσάγγελος οὗτος βιοὺς καὶ οὕτω πολιτευσάμενος πρὸς Κύριον ἐξεδήμησεν. — **C** : 1. 2. — Χρυσογόνου κτλ. — **Cb** : 1. — Χρυσογόνου. Οὗτος ἦν ἐκ τῆς μεγαλοπόλεως Ῥώμης ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, ἀνὴρ θεοσεβὴς καὶ φοβούμενος τὸν Θεόν, διδάσκαλος γεγονὼς τῶν τε ἱερῶν γραμμάτων καὶ τῆς πρὸς Θεὸν εὐσεβείας Ἀναστασίας τῆς μεγαλομάρτυρος, Ῥωμαίας καὶ αὐτῆς οὔσης. Διωγμοῦ δὲ κινηθέντος, κρατηθεὶς εἱρκτῇ παραδίδοται. Τότε γράφει πρὸς αὐτὸν ἡ ἁγία μεγαλομάρτυς Ἀναστασία, ἵνα εὔξηται, καὶ εἰ μὲν ἐπιστρέψῃ ὁ μνήστωρ αὐτῆς ἀπὸ τῆς τῶν εἰδώλων θρησκείας ἐπὶ τὸν Κύριον, σωθῇ· εἰ δὲ ἐπιμείνῃ τῇ πλάνῃ, τῆς παρούσης[1] ἀπαλλαγῇ ζωῆς, ἵνα μὴ τὴν περιουσίαν αὐτῆς πολλὴν οὖσαν καταδαπανήσῃ μετὰ ἀσεβῶν καὶ εἰδωλολατρῶν, ἀλλὰ κατακενώσῃ αὐτὴν ἡ ἁγία εἰς τοὺς ἁγίους καὶ πένητας· ὅπερ καὶ γέγονε. Δεξάμενος γὰρ τὴν ἐπιστολὴν αὐτῆς ὁ ἅγιος Χρυσόγονος ἔγραψεν αὐτῇ θαρρεῖν· καὶ μετ' ὀλίγον πρέσβυς[2] ἀποσταλεὶς Πούπλιος[3] ὁ μνηστευσάμενος αὐτὴν πρὸς Περσίδα παρὰ βασιλέως, ναυαγίῳ περιπεσὼν ἀπώλετο. Καὶ τότε ἄδειαν λαβοῦσα ἡ ἁγία, διέδωκε πάντα τὸν πλοῦτον αὐτῆς πτωχοῖς καὶ πενιχρὰν στολὴν ἐνδυσαμένη διηκόνει περιερχομένη ἀδεῶς τοῖς ἁγίοις. Ἦλθε δὲ πρὸς Χρυσόγονον καὶ διηκόνει αὐτῷ. Ὅτε καὶ ὁ Διοκλητιανὸς ἐκέλευσεν, ἐν Νικαίᾳ διάγων, πάντας τοὺς ἐν Ῥώμῃ χριστιανοὺς ἀποθανεῖν, τὸν δὲ Χρυσόγονον πρὸς αὐτὸν ἀχθῆναι δέσμιον, ὡς διαστρέφοντα πολλοὺς τῶν ἑλλήνων ἐξετασθῆναι ὑπ' αὐτοῦ. Ὧ καὶ παραστὰς ὁ Χρυσόγονος καὶ[4] τὴν ἐπαρχότητα λαβεῖν τῆς Ῥώμης, εἰ μόνον θύσειεν, ὡμολόγησεν τὸ ὄνομα τοῦ Κυρίου· καὶ τμηθεὶς τὴν κεφαλήν, ἐρρίφη ἐν τῇ παρακειμένῃ λίμνῃ, ἐν ᾧ κατέμενον αἱ ἅγιαι τρεῖς ἀδελφαὶ Ἀγάπη, Χιονία καὶ Εἰρήνη μετὰ Ζωΐλου τινὸς ἁγίου, ὅστις τὸ λείψανον τοῦ ἁγίου ἀποθέμενος ἐν γλωσσοκόμῳ κατέκρυψεν ἐν τῷ αὐτοῦ οἰκήματι ἐντίμως, εὑρὼν καὶ τὴν κεφαλὴν δι' ἀποκαλύψεως καὶ συναρμόσας τῷ λοιπῷ σώματι. — Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. Κατὰ τὸν καιρόν, ὅτε Χρυσόγονος ὁ μάρτυς παρὰ Διοκλητιανοῦ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν τὴν κεφαλὴν ἀπετμήθη πλησίον τῆς λίμνης, ἐν ᾧ κατέμενον αἱ ἅγιαι τρεῖς ἀδελφαὶ μετὰ Ζωΐλου τινὸς δούλου τοῦ Θεοῦ, ἐφάνη ὁ ἅγιος Χρυσόγονος τῷ Ζωΐλῳ κατ' ὄναρ λέγων, ὥστε συγκροτηθῆναι τὰς ἁγίας τρεῖς ἀδελφὰς ὑπὸ τῆς ἁγίας Ἀναστασίας ὡς μελλούσας ἐντὸς ἐννέα ἡμερῶν τελεῖν τὸν ἀγῶνα τοῦ μαρτυρίου. Ταῦτα ἀκούσασα ἡ ἁγία Ἀναστασία, ἠκολούθησε γὰρ ἐκ Ῥώμης τῷ Χρυσογόνῳ, ἐξηγουμένου τοῦ Ζωΐλου, εἰσῆλθεν εἰς τὰς ἁγίας καὶ ἠσπάσατο αὐτὰς καὶ διηκόνει αὐταῖς· εἶτα διαβάλλονται Διοκλητιανῷ Ἀγάπη, Χιονία καὶ Εἰρήνη· αὕτη δὲ ἦν νέα παρὰ τὰς ἄλλας. Κρατηθεῖσαι δὲ καὶ ὁμολογήσασαι τὸ ὄνομα τοῦ Χριστοῦ, ἠκολούθησαν τῷ βασιλεῖ μετὰ τῶν λοιπῶν ἁγίων ἐν Μακεδονίᾳ, καὶ παρεδόθησαν τῷ βασιλεῖ Δουλκιτίῳ τῷ ἄρχοντι τῆς ἐπαρχίας, ὅστις ἔθετο αὐτὰς ἐν φυλακῇ.

[1] παρούσῃ Cb. — [2] πρέσβεις Cb. — [3] Πόπλιος Cb. — [4] *supple v. c.* πληροφορίαν δεξάμενος.

παρ' ἀλλήλων ἔδωκαν ἑαυτοῖς τοῦ[5] τὰς ἀμφοτέρων αἰτήσεις δι' ἀλλήλων γενέσθαι, ἐπικαλεσαμένων τῶν μὲν ἑλλήνων τὰ εἴδωλα, τοῦ δὲ ἐπισκόπου τὸν παρ' αὐτοῦ σεβόμενον Χριστόν. Συνετέθη οὖν, ὡς, εἰ ὁ ἐπίσκοπος εἰσελθὼν εἰς μίαν τῶν καμίνων ἀβλαβὴς ἐξέλθοι καὶ ἄφλεκτος, πιστεῦσαι καὶ αὐτοὺς[6] γενέσθαι χριστιανούς. Ὁ δὲ ἅγιος Καπίτων ἠτήσατο παρατεθῆναι αὐτῷ πλησίον τῆς καμίνου τὰ τέκνα αὐτῶν, καὶ εἰ ἐξέλθοι τῆς φλογὸς ἀβλαβής, ἐμβληθῆναι ταῦτα ἐν αὐτῇ· καὶ προσευξαμένους αὐτοὺς ὑπὲρ αὐτῶν τοῖς εἰδώλοις ἀβλαβῆ φυλαχθῆναι[7] ταῦτα, τοὺς δὲ προθύμως κατανεῦσαι λογισαμένους, ὅτι τοῦ ἐπισκόπου διαφθαρέντος ὑπὸ τοῦ πυρός, αὐτοῖς τε ἔσται τούτου ἀπαλλαγὴ καὶ τοὺς οἰκείους ἀπολήψονται παῖδας. Ἐπεὶ δὲ ὁ (Dec. 22.) ἅγιος Καπίτων τῆς καμίνου σῶος ἐξῆλθεν, ἐφ' ἱκανὸν ἐν αὐτῇ προσμείνας, ἥ τε τοῦ Χριστοῦ κατὰ τῶν δαιμόνων νίκη τρανῶς ἐκηρύχθη καὶ πάντες ὑπέπεσον καὶ τῇ πίστει προσῆλθον. Καὶ δεηθέντες, παρὰ τοῦ ἐπισκόπου εἰς Χριστὸν ἐβαπτίσθησαν καὶ καθαιρέται τοῦ ναοῦ τῶν εἰδώλων γεγόνασι καὶ τοῖς ἀνοικοδομοῦσι τὴν ἐκκλησίαν τοῦ ἔργου συλλήπτορες. Οὕτως οὖν ὁ ἅγιος τῆς εἰς Χριστὸν κῆρυξ γενόμενος πίστεως καὶ πλείστας θαυματουργίας ἐργασάμενος πρὸς Κύριον ἐξεδήμησεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἑορτάζομεν τὰ ἀνοίξια τῆς μεγάλης ἐκκλησίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

1. Ἄθλησις τῶν ἁγίων[1] μαρτύρων τῶν ἐν Κρήτῃ. Οὗτοι ἦσαν ἐπὶ Δεκίου τοῦ βασιλέως ἐν τῇ νήσῳ Κρήτῃ[2], οὐκ ἐκ μιᾶς πόλεως, ἀλλ' ἐκ διαφόρων τῆς χώρας μερῶν· ὑπῆρχον γὰρ ἀπὸ μὲν τῆς μητροπόλεως Γορτύνης[3] πέντε, Θεόδουλος, Σατορνῖνος, Εὔπορος, Γελάσιος καὶ Εὐνικιανός[4]· | ἀπὸ δὲ Κνωσσοῦ[5] Ζωτικός, ἀπὸ δὲ τοῦ ἐπινείου[6] Λεοβένης[7] Πόντιος, καὶ ἐκ τοῦ ἐπινείου (Dec. 23. — f. 115.)

— [5] τοὺς Sa. — [6] *om.* Sa. — [7] διαφυλαχθῆναι Sa.
1. — [1] δέκα *add.* Sa. — [2] (οὗτοι - Κρήτῃ) *om.* Sa. — [3] Γορτίνης Sa. — [4] Εὐνεικιανός S, Sa. — [5] Κνωσοῦ S. — [6] ἐπινείλου Sa. — [7] Λεομένης Sa.

Dec. 22. Καὶ τῇ νυκτὶ ψαλλουσῶν αὐτῶν εἰσῆλθε πρὸς αὐτὰς βιάσασθαι θέλων· ἀλλὰ τῶν φρενῶν ἐκστὰς ἀντ' ἐκείνων περιεπλάκη τοῖς μαγειρικοῖς ὀργάνοις, χαλκίοις καὶ χύτραις, καὶ ἀσβολωθεὶς γέλωτα τοῖς πᾶσιν ἐκίνησε. Θυμωθεὶς δὲ παρέστησε τὰς ἁγίας καὶ ἐτιμωρεῖτο αὐτάς, καὶ πάλιν ἔκφρων γίνεται. Τότε ὁ βασιλεὺς παρέδωκεν αὐτὰς Σισιννίῳ τῷ κόμητι ἐξετάσαι αὐτάς. Ὃς τὴν μὲν ἁγίαν Εἰρήνην ἔθετο εἰς φυλακήν, τὴν δὲ Ἀγάπην καὶ Χιονίαν πυρὶ παραδοθείσας[5] ἐτελείωσε· τῇ δὲ ἁγίᾳ Εἰρήνῃ πολλὰ διαλεχθεὶς ὁ κόμης καὶ μὴ πείσας θῦσαι τοῖς εἰδώλοις, προσέταξεν ἐν πορνείῳ ἀπαχθῆναι. Παραλαβόντες δὲ ἀνάρπαστον ἄγγελοι δύο παρέστησαν ἐπὶ τὴν ἀκρώρειαν τοῦ ὄρους. Μαθὼν δὲ ταῦτα ὁ κόμης, ἵππῳ ἐπιβὰς παρέστη. Ἐκείνης δὲ ἑστώσης καὶ προσευχομένης, αὐτὸς οὐχ ἑώρα· ἐπεὶ δὲ ηὔξατο τελειωθῆναι, ἐφάνη ἑνὶ τῶν στρατιωτῶν, ὅστις ἁρμόσας τὸ ξίφος ἔπληξεν αὐτήν· καὶ οὕτω παρέδωκε τὸ πνεῦμα. — Θεοδότης καὶ τῶν τέκνων αὐτῆς. Αὕτη ἀπὸ Βιθυνίας[6] οὖσα ἡνώθη τῇ ἁγίᾳ Ἀναστασίᾳ μετὰ τῶν τέκνων αὐτῆς· ἥντινα Λευκάδιός τις ἄρχων αἰτούμενος πρὸς γάμον οὐκ ἔπεισε, ἀλλ' ἀπατήσασα αὐτὸν μικρὸν ἀναμεῖναι, διέδωκε πάντα τὰ ὑπάρχοντα αὐτῆς πένησι καὶ τοῖς διὰ Χριστὸν ἐγκεκλεισμένοις, καὶ οὕτω διετέλει. Ἀκούσας δὲ ὁ Διοκλητιανός, ὅτι πᾶσαι αἱ φυλακαὶ καὶ τὰ ἐργαστήρια πεπλήρωνται τῶν κατακλείστων χριστιανῶν, ἐκέλευσεν ἐν μιᾷ νυκτὶ φονευθῆναι τοὺς μὲν διὰ πυρός, τοὺς δὲ δι' ὕδατος, τοὺς δὲ διὰ ξίφους. Κρατήσας δὲ Λευκάδιος τὴν ἁγίαν Θεοδότην παρέδωκε Νικητίῳ τῷ ἄρχοντι Βιθυνίας μετὰ τῶν τριῶν <τέκνων[7]> αὐτῆς· ὅστις παραινέσας αὐτῇ πολλὰ ἐλεῆσαι τὰ τέκνα αὐτῆς καὶ θῦσαι τοῖς εἰδώλοις· οὐκ ἔπεισεν, ἀλλ' ὡμολόγησε τὴν ἀληθινὴν εἰς Χριστὸν πίστιν. Ὅθεν προτεθέντων τιμωριῶν ὀργάνων[8], Εὔοδος ὁ πρῶτος υἱὸς κατέπτυσεν αὐτῶν[9] καὶ τὸν ἄρχοντα ἤλεγξε. Διὸ τύπτεται ῥάβδοις, τῆς μητρὸς ἑστώσης καὶ παραινούσης μὴ ἀρνήσασθαι τὸν Χριστόν. Ὀργισθεὶς δὲ ὁ ἡγεμὼν παρέδωκεν αὐτὴν Ὑρτακί τινι ὀνόματι πρὸς τὸ καταπαῖξαι αὐτῇ καὶ ἐν πορνείῳ ἀγαγεῖν· ὅστις <ὡς[7]> ἠβουλήθη ἅψασθαι αὐτῆς, αἷμα κατήγαγεν ἐκ τῶν μυκτήρων πολὺ καὶ ἐβόα ὅτι· « Ὁρῶ ἄνδρα » λευκοφοροῦντα παρεστῶτα αὐτῇ· » ὅτε[10] ἀναφθείσης πυρᾶς μεγάλης, ἐβλήθη ἡ ἁγία ἐν αὐτῇ μετὰ τῶν τριῶν τέκνων αὐτῆς καὶ εὐξαμένη σὺν αὐτοῖς[11] ἐτελειώθη. — **Cc** : 1. 2. — Χρυσογόνου κτλ. — **Cd** : 1. 2. — Χρυσογόνου. — Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. — Θεοδότης καὶ τῶν τέκνων αὐτῆς. — **M** : 1. — Χρυσογόνου. — Θεοδότης κτλ. — 3. — Τὸ φωτοδρόμιον τῆς τοῦ Θεοῦ ἁγίας ἐκκλησίας. — **Mv** : 1. — Χρυσογόνου. — Τοῦ ἁγίου μάρτυρος Ζωΐλου. — 3 (τὰ θυρανοίξια). — Τὸ φωτοδρόμιον. — **Mb** : 1. 2. 3. — Τὸ φωτοδρόμιον. — Χρυσογόνου κτλ. — Ζωΐλου. — **Mr** : 1.

Dec. 23. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. — **H** : 1. — **P** : 1. 2. — **Da** : 1. — **Db** : 1. — **F** : 1. — Χρυσογόνου ἐπάρχου πόλεως Θεσσαλονίκης (Dec. 22[1]). — Θεοδότης σὺν τρισὶ παιδίοις, Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. — 2. — **Fa** : 1. — Χρυσογόνου. — Θεοδότης κτλ. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — Χρυσογόνου. — Θεοδότης κτλ. — 2. — **L** : 1. — **Q** : 1. — Πιαμοῦν τῆς παρθένου. Αὕτη ἡ μακαρία τὰ τῆς ζωῆς αὐτῆς ἔτη διαμείψασα ἐν νηστείαις κτλ. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν <Παύλου[1]> ἀρχιεπισκόπου Νεοκαισαρείας, ἑνὸς τῶν τιʹ καὶ ὀκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Παῦλος περιβόητος ταῖς ἀρεταῖς γέγονεν, ὥστε

— [5] παραδοθεὶς Cb. — [6] Βηθανίας Cb. — [7] *om.* Cb. — [8] κατήγαγην Cb. — [9] αὐτὴν Cb. — [10] ὅστις Cb. — [11] αὐτῆς Cb.
[1] *om.* M.

Dec. 23. Πανόρμου Ἀγαθόπους· ἐκ δὲ Κυδωνίας [8] Βασιλίδης [9], καὶ ἀπὸ τοῦ Ἡρακλείου [10] Εὐάρεστος. Οὗτοι παρὰ τῶν ἀπίστων τῷ τῆς νήσου ἄρχοντι παρεδόθησαν· ὁ δὲ τῷ δήμῳ ἐπέτρεψεν κατὰ τοὺς βωμοὺς τῶν εἰδώλων περιάγειν αὐτούς, καὶ μὴ θύοντας παντοίως αἰκίζεσθαι. Ἐπὶ δὲ τριάκοντα ἡμέραις ὑπὸ τῶν ἀτάκτων καὶ ὑβριστῶν περιελαυνόμενοι καὶ παιζόμενοι καὶ τυπτόμενοι καὶ λιθολευστούμενοι καὶ κολαφιζόμενοι καὶ ἐμπτυόμενοι καὶ κατὰ γῆς ἐν κοπρίαις ἑλκόμενοι, ὕστερον, προκαθεσθέντος τοῦ δικαστοῦ, ὡς ἀνένδοτον εἶχον τὸ φρόνημα καὶ τὴν πίστιν τὴν εἰς Χριστὸν ἀσφαλῆ, στρεβλωθέντες καὶ δειναῖς ἑτέραις βασάνοις ἐξετασθέντες, τὰς κεφαλὰς ἀπετμήθησαν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου, πλησίον τῶν Πλακιδίας [11].

2. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ. ΚΔʹ.

Dec. 24. **1.** Ἄθλησις τῆς ἁγίας ὁσιομάρτυρος Εὐγενίας [1] καὶ τῶν σὺν αὐτῇ. Αὕτη ἐπὶ τῆς βασιλείας Κομόδου [2] ἦν, θυγάτηρ Φιλίππου τοῦ ἐπάρχου Ῥώμης. Τοῦ δὲ πατρὸς αὐτῆς εἰς Ἀλεξάνδρειαν ἀποσταλέντος παρὰ [3] Κομόδου, ἵνα γένηται καὶ ἐκεῖ ἔπαρχος, ἐπεὶ πανοικὶ ἀπῄει, συναπῆλθε καὶ ἡ ἁγία Εὐγενία, καὶ ἐκεῖ ἔμαθε πᾶσαν γραφὴν ἑλληνικὴν καὶ χριστιανικήν. Ἐπεὶ δὲ ταῖς ἐπιστολαῖς τοῦ ἁγίου [4] Παύλου ἐνέτυχεν, ἐπέγνω [5] τοῦ κόσμου τούτου [6] τὴν [6] ματαιότητα. Ὃν καὶ ὁλοψύχως καταλιποῦσα εἰς ἄνδρα τε μετασχηματισθεῖσα, σὺν δυσὶν εὐνούχοις τὸ πρὸ τῆς πόλεως Ἀλεξανδρείας μοναστήριον [7] καταλαβοῦσα, ξενίζεται παρὰ Ἑλένου τοῦ ἐπισκόπου καὶ τὸ θεῖον δέχεται

— [8] Κυδωνείας S. — [9] Βασιλείδος Sa. — [10] Εἰρακλείου S. — [11] Πλακίδας Sa.
1. — [1] Εὐγενείας Sa. — [2] Κομώδου S, Κωμώδου Sa. — [3] τοῦ *add.* Sa. — [4] μακαρίου Sa. — [5] τὴν *add.* Sa. — [6] *om.* Sa. — [7] Sa, μοναστηρίω S.

Dec. 23. καὶ εἰς τὰς ἀκοὰς φθάσαι Λικινίου, τοῦ ἐν Νικομηδείᾳ βασιλεύοντος, τὸ τούτου περιβόητον ὄνομα [2]. Καὶ ἐπεὶ παρέστησαν οἱ ἀποσταλέντες [3] τὸν ἅγιον τῷ τοῦ βασιλέως βήματι, πρῶτον μὲν ἀπειλαῖς ἐπειρῶντο [4] καταπτήσσειν, ἔπειτα δὲ καὶ ποιναῖς. Ὡς δὲ καὶ τύπτειν ἤρξαντο, ἐξεπλάγησαν ἅπαντες ἐπὶ τῇ ἀνυπερβλήτῳ τούτου ὑπομονῇ· ὅθεν καὶ μάζαν σιδηρᾶν ἐκπυρώσαντες, λαβὼν ὁ χαλκεὺς ἐνέθηκε τῇ παλάμῃ τοῦ ἁγίου καὶ ἄνω ταύτης τὴν ἑτέραν αὐτοῦ παλάμην· καὶ σφίγξας αὐτὰς κατέδησεν, ἕως οὗ ὁ σίδηρος ἐψυχράνθη. Τούτου δὲ γενομένου, τὰ κινητικὰ τῶν ἄρθρων νεῦρα συσταλέντα ἔμειναν νεκρὰ καὶ ἀκίνητα. Τότε περιορίσαντες ἀπήγαγον εἰς τὸ παρὰ τὰς ὄχθας τοῦ Εὐφράτου ποταμοῦ φρούριον κατάκλειστον πεποιηκότες. Ἐλθόντος δὲ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου ἀπὸ Ῥώμης εἰς τὸ Βυζάντιον, πάντες οἱ ἐν ἐξορίαις καὶ φυλακαῖς ἀπελύοντο καὶ τὰ ἴδια ἕκαστος ἀπελάμβανε· τότε καὶ οὗτος ἀπολυθεὶς κατέλαβε τὸν θρόνον αὐτοῦ διαλάμπων ὡς καὶ πρότερον. Συνῆλθε δὲ καὶ οὗτος μετὰ τῶν λοιπῶν [5] ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, εἷς ὢν καὶ αὐτὸς ἐξ αὐτῶν ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ ἁγίᾳ [5] συνόδῳ, πάντων τὰ τοῦ Χριστοῦ στίγματα ἐν τοῖς σώμασι βασταζόντων καὶ τούτοις ὡραϊζομένων καὶ ὑποδεικνυόντων ἀλλήλοις· ὁ μὲν χεῖρα ἐκκεκομμένην, ὁ δὲ ὦτα, ἄλλος [6] ῥῖνα, ἕτερος ὀφθαλμόν, ἄλλος ἄλλο ἀφῃρημένος [7] μέλος· οἱ δὲ τυλώματα βουνεύρων ἢ ῥοπάλων [8] συνθλάσματα, ἢ καυτῆράς [9] τινας τοῦ σώματος, ἃς βασανιζόμενοι ὑπὲρ Χριστοῦ ὑπέστησαν. Τότε καὶ ὁ μακάριος οὗτος Παῦλος οὐκ ἄμοιρος τούτων ἐτύγχανεν· εἶχε γὰρ καὶ αὐτὸς ῥοπάλων συνθλάσματα καὶ τὰς ἁγίας χεῖρας σιδηροκαύστους καὶ ἀνενεργήτους. Ἐπειδὴ δὲ ἅπαντες διὰ τὸν δυσσεβῆ Ἄρειον συνηθροίσθησαν, θείᾳ ψήφῳ τοῦτον καταλαβόντες καὶ ἀναθεματίσαντες συνεισῆλθον [10] μετὰ τοῦ βασιλέως εἰς τὸ Βυζάντιον. Ὁ δὲ μακάριος Κωνσταντῖνος ὁ βασιλεὺς [11] ἰδίαις χερσὶ κρατῶν τὰς τούτου χεῖρας [12] τοῦ μακαρίου Παύλου καὶ καταφιλῶν καὶ τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐπιτιθεὶς καὶ τοῖς λοιποῖς μέλεσιν, ἐπεφώνει· « Τὰς διὰ Χριστόν μου χεῖρας νεκρὰς καὶ ἀκινήτους γεγονυίας κατασπάζεσθαι οὐ κορέν- » νυμαι. » Εἶθ' οὕτως τὸν θρόνον αὐτοῦ καταλαβὼν ὁ μακάριος οὗτος καὶ χρόνους τινὰς ἐκεῖσε διατρίψας ἀπῆλθε πρὸς Κύριον. — 2. — **Mv** : 1. — Παύλου. — 2. — **Mb** : 1. — Παύλου. — 2. — **Mr** : 1.

Dec. 24. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. — **H** : 1. 2. — **P** : Ἡ παραμονὴ τῆς Χριστοῦ γεννήσεως. — 1. — **Da** : 1. — **Db** : 1. — **F** : 1. 2 (Ἀχαϊκοῦ καὶ Σχίονος). — **Fa** : 1. 2 (... καὶ Σχίονος). — **B** : 1. — **Ba** : 1 (= S). — **Bb** : 1. — **T** : 1. — **L** : 1. 2. — **Q** : 1. — Καστούλου. Οὗτος ὁ ἅγιος ἦν κατὰ τοὺς χρόνους Λικινίου [1]· ᾧτινι προσαχθεὶς καὶ χριστιανὸν ἑαυτὸν ἀναγορεύσας, ξέεται κρεμασθείς· εἶτα εἰς τήγανον πεπυρακτωμένον βάλλεται πίσσῃ καὶ ἐλαίῳ καὶ στέατι ἀνάπλεον· ἐν ᾧ παραδόξως ἀκατάφλεκτος διαμείνας, παραδίδοται τῷ ἡγεμόνι Ζηλικινθίῳ εἰς ἐξέτασιν. Ἀνακρίνας δὲ αὐτὸν καὶ μὴ πείσας [2] ἀποστῆναι τῆς εἰς Χριστὸν πίστεως, τύπτεται σφοδρῶς καὶ ἐπαφίησιν αὐτὸν θηρσὶ βοράν. Ἀβλαβὴς δὲ ἐξ αὐτῶν διαφυλαχθεὶς πάλιν τύπτεται καὶ αὖθις ἐμβάλλεται εἰς κλίβανον ἀσφάλτῳ πυρωθέντι καὶ πίσσῃ <βράζοντα[3]>. Τοῦ δὲ ἁγίου ἀφλέκτου διαμείναντος ἐν αὐτῷ, ἀναρτηθεὶς ξέεται καὶ σφαίραις μολιβδίναις τὰ σκέλη συντρίβεται καὶ ὀβελίσκοις πεπυρακτωμένοις τοὺς ἀστραγάλους διαπερονᾶται· λόγχῃ τε τὴν γαστέρα πληγεὶς καὶ πᾶσαν τὴν οἰκονομίαν ἐπὶ τῆς γῆς ἐκκενώσας, ξίφει τὴν

— [2] (τὸ - ὄνομα) τὰ κατ' αὐτὸν Mv. — [3] παραστῆσαι *add.* Mv. — [4] τὸν ἅγιον *add.* Mv. — [5] *om.* Mv. — [6] δὲ *add.* Mv. — [7] ἀφῃρημένον Mv. — [8] καὶ *add.* Mv. — [9] καὶ καυστῆρας Mv. — [10] συνῆλθον Mv. — [11] βασιλεὺς Κωνσταντῖνος Mv. — [12] χεῖρας τούτου Mv.
[1] Λικιννίου Q. — [2] πεισθεὶς Q. — [3] *supplevi, om.* Q.

βάπτισμα μετὰ τῶν σὺν αὐτῇ· καὶ τοῦ τῶν μοναχῶν τάγματος ἀξιοῦται, καὶ μετὰ χρόνον τινὰ τὴν ἡγουμενείαν πιστεύεται καὶ θαύματα ἐκτελεῖν ἀξιοῦται. Ὅθεν γυναικός τινος, Μελανθίας [8] καλουμένης, συγκλητικῆς, τὸ ἐνοχλοῦν αὐτῇ πάθος ἰασαμένη, διαβάλλεται ὕστερον πρὸς αὐτῆς, ὡς πρὸς μίξιν ταύτην ἐκκαλουμένη πρὸς τὸν ἔπαρχον [9] Φίλιππον. Τοῦ δὲ τὴν ὁσίαν παραστησαμένου [10], πᾶσα ἡ περὶ αὐτὴν ἐφάνη [11] ἀλήθεια. Οὐ μόνον γὰρ [12] ἐν σχήματι | f. 115v. ἀνδρὸς γυνὴ οὖσα ἀπεφάνθη, ἀλλ' ὅτι καὶ αὐτή ἐστιν ἡ τοῦ ἐπάρχου θυγάτηρ· ὅθεν τόν τε πατέρα καὶ τὴν μητέρα καὶ πολλοὺς ἄλλους τοὺς ἐκ τῆς οἰκίας πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν [13]. Καὶ ὁ μὲν ταύτης πατὴρ τὴν τοῦ ἐπάρχου τάξιν ἀποθέμενος, βαπτίζεται καὶ ἐπίσκοπος καθίσταται, καὶ μετὰ τοῦτο τὴν διὰ μαρτυρίου τελείωσιν δέχεται, ἐπιπεσόντων αὐτῷ τῶν ἀπίστων ἐν τῷ ναῷ καὶ ἀνελόντων μαχαίρᾳ. Ἡ δὲ ἁγία Εὐγενία ἐν τῇ Ῥώμῃ ἀπάγεται μετὰ τῆς μητρὸς καὶ τῶν ἀδελ- Dec. 24.

— [8] Μελανθήας S. — [9] κατηγορηθεῖσα *add.* Sa. — [10] καὶ *add.* Sa. — [11] ἡ *add.* Sa. — [12] δὲ Sa. — [13] πίστιν ἐπεσπάσατο Sa.

κεφαλὴν ἀποτέμνεται. — Σοσσίου καὶ Θεοκλείου. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ Μαγνεντίου. Συλληφθέντες δὲ παρὰ Βαύδου ἡγεμόνος καὶ τὸν Χριστὸν ἀρνήσασθαι μὴ πεισθέντες, αἰκίζονται σφοδρῶς· εἶτα κρεμασθέντες κατὰ κεφαλῆς ξέονται ὄνυξι σιδηροῖς, πυρὶ φλέγονται, ὄξει καὶ ἅλατι τὰς ξανθείσας τε καὶ περιφλεχθείσας σάρκας μετὰ ὀστράκων ἀνατρίβονται, ῥοπάλοις τὰ στέρνα καὶ τὸν νῶτον παίονται, τὴν δορὰν τῆς κεφαλῆς ξυρῷ ἀφαιροῦνται καὶ τὰ νεῦρα τέμνονται ἐξαρθροῦνται τὰς ἁρμονίας καὶ σούβλαις πεπυρακτωμέναις τὰς πλευρὰς διαπερονοῦνται, λίθοις βάλλονται καὶ ἵπποις ἀγρίοις προσδεθέντες κατὰ δυσβάτων χωρίων σύρονται, πυρὶ βάλλονται καὶ τέλος τὰς κεφαλὰς ἀποτέμνονται. — **C** : 1. — **Cb** : 1. — **Ce** : 1. — **Cd** : 1. — **M** : 1. — Βασίλισσα συμμαρτυρήσασα τῇ ἁγίᾳ Εὐγενίᾳ ξ. τ. — Φίλιππος ὁ πατὴρ τῆς ἁγίας Εὐγενίας ξ. τ. — Πρωτᾶς καὶ Ὑάκινθος οἱ εὐνοῦχοι καὶ συνασκηταὶ τῆς ἁγίας Εὐγενείας ξ. τ. — Νικολάου μοναχοῦ τοῦ ἀπὸ στρατιωτῶν [4], διήγησις ὠφέλιμος. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Νικόλαος στρατιώτης γέγονε· καὶ Νικηφόρου τοῦ βασιλέως ἐκστρατεύσαντος κατὰ τῶν [5] Βουλγάρων, ἐξῆλθε καὶ αὐτὸς σὺν τῷ στρατοπέδῳ. Καὶ διερχόμενος πρὸς ἑσπέραν κατέλυσεν ἐν πανδοχείῳ· καὶ συνδειπνήσας τῷ πανδοχεῖ καὶ προσευξάμενος, ἀνεκλίθη πρὸς ὕπνον. Καὶ περὶ δευτέραν ἢ τρίτην φυλακὴν τῆς νυκτὸς ἡ τοῦ ὑποδεξαμένου αὐτὸν θυγάτηρ, σατανικῷ ἔρωτι τρωθεῖσα, ἔνυξε τὸν δίκαιον πρὸς αἰσχρὰν μίξιν ἐφελκομένη. Ὁ δὲ ἅγιος πρὸς αὐτήν· « Παῦσαι, γύναιον [6], τοῦ σατανικοῦ καὶ ἀθέσμου ἔρωτος καὶ μὴ θελήσῃς χρᾶναι » τὴν παρθενίαν σου, κἀμὲ τὸν ταλαίπωρον εἰς ᾅδου πέταυρον ἀγαγεῖν. » Ἡ δὲ πρὸς μικρὸν ἀνεχώρησε, καὶ μετ' ὀλίγον ἐλθοῦσα πάλιν ὤχλει τὸν δίκαιον. Ὁ δὲ ἅγιος ἀπεπέμψατο αὐτὴν τὸ δεύτερον, ἐπιστύψας σφοδρῶς. Ἡ δὲ πάλιν ἀναχωρήσασα, ἐκβακχευομένη τῷ ἔρωτι ὑπέστρεψε πρὸς αὐτόν. Τότε ὁ ἅγιος λέγει πρὸς αὐτήν· « Ταλαίπωρε καὶ πάσης αἰσχύνης καὶ ἀναιδείας πεπληρωμένη, οὐχ » ὁρᾷς, ὅτι οἱ δαίμονές σε ταράσσουσιν, ἵνα καὶ τὴν ψυχήν σου εἰς κόλασιν ἐμβάλωσι καὶ τὴν παρθενίαν » σου διαφθείρωσι καὶ γέλως καὶ ὄνειδος πᾶσι καὶ τῇ συγγενείᾳ σου ἀποκαταστήσωσί σε [7]; οὐ βλέπεις » ὅτι κἀγὼ ὁ ἐλάχιστος πρὸς ἔθνη βάρβαρα καὶ πόλεμον καὶ αἱμάτων [8] ἐκχύσεις πορεύομαι, τοῦ Θεοῦ » ἐνδυναμοῦντός με; πῶς οὖν μιάνω τὴν σάρκα, πρὸς πόλεμον ἀπερχόμενος; » Ταῦτα καὶ ἕτερα τοιαῦτα προσειπὼν αὐτῇ, ἀπεπέμψατο· καὶ ἀναστὰς καὶ προσευξάμενος, εἴχετο τῆς ὁδοῦ. Καὶ τῇ ἐπελθούσῃ νυκτὶ ὑπνοῦντος αὐτοῦ, ὁρᾷ ἑαυτὸν εἰς εὔοπτον τόπον ἱστάμενον, καὶ πλησίον αὐτοῦ δυνάστην τινὰ καθεζόμενον καὶ τὸν δεξιὸν πόδα τῷ ἀριστερῷ ποδὶ ἐπικείμενον ἔχοντα, καί φησι πρὸς αὐτόν· « Βλέπεις ἑκατέρου μέρους τὰ στρατεύματα; » Ὁ δὲ ἀπεκρίνατο· « Ναί, κύριε, ὁρῶ ὅτι οἱ » Ῥωμαῖοι συγκόπτουσι τοὺς Βουλγάρους. » Καὶ λέγει ὁ φαινόμενος πρὸς τὸν δίκαιον· « Βλέψον πρὸς » ἡμᾶς. » Καὶ προσβλεψάμενος εἶδεν αὐτὸν τὸν δεξιὸν πόδα τῇ γῇ προσερείσαντα καὶ τὸν ἀριστερὸν ἐπάνω τοῦ δεξιοῦ ἐπιθέμενον. Οὗ γενομένου, περιβλεψάμενος πάλιν ὁ δίκαιος πρὸς τὸ στρατόπεδον, βλέπει τοὺς ὑπεναντίους ἀφειδῶς συγκόπτοντας τοὺς Ῥωμαίους. Καὶ μετὰ τὸ παύσασθαι τὴν συγκοπήν [9], λέγει ὁ καθήμενος τῷ στρατιώτῃ· « Κατανόησον ἀκριβῶς τὴν συγκοπὴν τῶν σκηνωμάτων » καὶ λέγε μοι, τί τὸ ὁρώμενον. » Ὁ δὲ περιβλεψάμενος εἶδε πᾶσαν τὴν φαινομένην αὐτῷ γῆν νεκρῶν σωμάτων πεπληρωμένην, καὶ μέσον πάντων μιᾶς κοίτης λιβαδιαίαν χλοεράν. Καὶ λέγει αὐτῷ· « Κύριε, » πᾶσα ἡ γῆ τῶν ἀφειδῶς κατακοπέντων Ῥωμαίων πεπληρωμένη ἐστὶν ἐκτὸς μιᾶς κοίτης. » Τότε ὁ φαινόμενος φοβερὸς εἶπε τῷ στρατιώτῃ· « Καὶ τί λογίζῃ εἶναι αὐτό; » Ὁ δὲ ἀπεκρίνατο· « Ἰδιώτης » εἰμί, κύριε, καὶ οὐ γινώσκω. » Καὶ πάλιν πρὸς αὐτὸν ὁ φοβερός· « Αὕτη ἡ γυμνὴ λιβάς, ἣν ὁρᾷς μιᾶς » κοίτης ἔχουσαν [10] μῆκος, σή ἐστι καὶ ἐν αὐτῇ ὤφειλες συγκοπῆναι μετὰ τῶν συστρατιωτῶν σου καὶ » τεθῆναι ἐν αὐτῇ καὶ ἀναπληρῶσαι τὸ λεῖπον· ἐπεὶ δὲ τῇ παρελθούσῃ νυκτὶ τὸν τρίπλοκον ὄφιν, τὸν » εἰς αἰσχρὰν μίξιν [11] τρισσῶς προσπαλαίσαντα καὶ ἀποκτεῖναι μέλλοντα [12], εὐφυῶς ἀπὸ σοῦ ἀπετί- » ναξας, ἰδοὺ σὺ αὐτὸς ἑαυτὸν ἐκ τῆς συγκοπῆς ταύτης ἠλευθέρωσας καὶ τῆς λιβάδος [13] τὴν στρωμνὴν » ἄμοιρον πεποίηκας καὶ τὴν ψυχὴν σὺν τῷ σώματι ἔσωσας. Λοιπὸν οὔτε φυσικὸς θάνατός σου » κυριεύσει ἐὰν γνησίως [14] μοι δουλεύσῃς. » Ταῦτα ἑωρακὼς [15] σύντρομος γενόμενος, διϋπνίσθη [16] καὶ ἀναστὰς προσηύξατο. Καὶ ὑποστρέψας μιᾶς ἡμέρας ὁδοῦ διάστημα ἀνῆλθεν εἰς ὄρος· καὶ προσευχό Dec. 24.

— [4] καὶ *add.* Mv. — [5] (ὁ ἐν - τῶν) οὗτος ἦν ἐπὶ τῆς βασιλείας Νικηφόρου στρατιώτης τὴς τύχην· τοῦ οὖν βασιλέως ἐκστρατεύσαντος κατὰ Mv. — [6] φησι παῦσαι γύναι Mv. — [7] (καὶ τὴν - σε) *ante* τὴν ψυχὴν Mv. — [8] καὶ αἱμάτων *om.* Mv. — [9] τῶν σκηνωμάτων *add.* Mv. — [10] ἔχουσα Mv. — [11] (τὸν - μίξιν) *om.* Mv. — [12] θέλοντα Mv. — [13] στιβάδος Mv. — [14] σὺ *add.* Mv. — [15] ἔκθαμβος καὶ *add.* Mv. — [16] διυπνισθεὶς Mv.

Dec. 24. φῶν καὶ Πρωτᾶ καὶ Ὑακίνθου[14] τῶν εὐνούχων τῶν ἐξ ἀρχῆς αὐτῇ συγκακοπαθησάντων. Οἳ τὰς κεφαλὰς ἀποτέμνονται, αὐτὴ δὲ λίθῳ προσδεθεῖσα βαρεῖ ἐν τῷ Τιβέριδι[15] ῥίπτεται ποταμῷ, κἀκεῖθεν διασωθεῖσα τὴν διὰ ξίφους τελείωσιν δέχεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀχαϊκοῦ καὶ Σχίνωνος[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕʹ.

Dec. 25. **1.** Ἡ εἰκὰς πέμπτη[1] τοῦ δεκεμβρίου μηνὸς τὸ μέγα μυστήριον τῆς πρὸς ἡμᾶς μετὰ σαρκὸς ἐκ τῆς Θεοτόκου ἐπιδημίας τοῦ υἱοῦ καὶ λόγου τοῦ[2] Θεοῦ καὶ πατρὸς γνωρίζει. Ἐν ταύτῃ γὰρ ἡ ἀπ' αἰῶνος βουλὴ τοῦ μεγάλου Θεοῦ καὶ πατρὸς πεφανέρωται· ἣ δὲ ἦν αὐτὸν τὸν κύριον καὶ Θεὸν ἡμῶν καὶ υἱὸν αὐτοῦ μεθ' ἡμῶν γενέσθαι καὶ ἄνθρωπον τὸν πρωτότοκον τῆς κτίσεως χρηματίσαι ἐκ παρθένου ἁγίας, ὃ ἐδημιούργησε μὴ ἀπαξιώσαντα λαβεῖν καὶ ἴσον ἡμῖν κατὰ πάντα φανῆναι, μόνης ἁμαρτίας χωρίς. Ἵνα γὰρ ἐν ἑαυτῷ ἀνακεφαλαιώσῃ τὰ πάντα διὰ τῆς τοιαύτης συγκαταβάσεως καὶ Θεὸς ὁ θνητὸς γένηται καὶ οὐράνιος ὁ χοϊκός, καὶ ὁ χρόνιος λυθῇ πόλεμος καὶ μία ἐκκλησία ἐν οὐρανῷ καὶ γῇ δοξάζουσα τὸν εἰρηνοποιήσαντα τὰ πάντα διὰ τῆς ἐπὶ γῆς αὐτοῦ παρουσίας[3], ἐκ παρθενικῆς μήτρας[4] σήμερον παιδίον γεννᾶται, οὗ καὶ τὴν ἁγίαν γέννησιν τὴν ἀπόρρητον, ἀγγέλοις τε καὶ ἀνθρώποις ἀνερμήνευτον, οὐ μόνον παγκόσμιον ἑορτὴν ἄγομεν οἱ τυχόντες πάντες ἄνθρωποι διὰ τῆς μετὰ σαρκὸς αὐτοῦ θεοφανείας κρείττονος ἀναπλάσεως καὶ τῆς προτέρας πολὺ θεοειδεστέρας, ἀλλὰ καὶ πρώτην καὶ περιεκτικωτέραν ταύτην πασῶν τῶν τοῦ Χριστοῦ πανηγύρεων εἰκόσι λογισμοῖς καὶ κριτηρίοις ἀπταίστοις νοὸς ψηφιζόμενοι | λαμπρότερον διατιθέμεθα[5] καὶ φαιδρότερον, ὡς τοῦ κεφαλαίου τοῦ μυστηρίου παντὸς κατ' αὐτὴν πεπραγμένου καὶ τῆς ἀληθοῦς θεώσεως καὶ ἀσφαλοῦς σωτηρίας ἡμῶν περιοχήν τε καὶ ὑπογραφὴν ἐμπεριέχουσάν[6] τε καὶ ὑπογράφουσαν[7]. f. 116.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚϚʹ.

Dec. 26. **1.** Ἡ σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν Βλαχέρναις, ἔνθα ἀπόκειται ἡ ἁγία σορός.

2. Καὶ μνήμη τοῦ ἁγίου καὶ δικαίου Ἰωσὴφ τοῦ μνήστορος[1].

— [14] Ὑακίνθῳ S. — [15] Τιβερίδη Sa.

2. — [1] Σχοίνωνος Sa.

1. — [1] ἡ κεʹ Sa. — [2] καὶ Sa. — [3] παρρουσίας S, παρρησίας Sa. — [4] ἐκ παρθένου Sa. — [5] ἐν αὐτῇ *add.* Sa. — [6] ἢ περιέχουσαν S, Sa. — [7] ὑπογράφεσθαι Sa.

2. — [1] *prius* μνήστορος, *dein* μνηστόρου Sa.

Dec. 24. μενος ἐδέετο τοῦ Θεοῦ περὶ τοῦ στρατοπέδου. Καὶ εἰσελθὼν ὁ βασιλεὺς εἰς τὰς κλεισούρας τῆς Βουλγαρίας, ἀνῆλθον οἱ Βούλγαροι εἰς τὸ ὄρος, ὀλίγους ἐάσαντες εἰς παραφυλακήν, πεντεκαίδεκα χιλιάδες[17] μικρόν τι πλεῖον ἢ ἔλασσον· οὓς καὶ κατασφάξαντες οἱ Ῥωμαῖοι, ἐματαιώθησαν· ἀσυστρόφως γὰρ τῇ χώρᾳ προσρυέντες, μικροῦ πᾶσα ἡ τῶν Ῥωμαίων παράταξις φόνου ἂν ἐγεγόνει[18] παρανάλωμα, σὺν τῷ βασιλεῖ Νικηφόρῳ. Τότε ὁ δίκαιος τῆς ὀπτασίας ἀναμνησθεὶς καὶ τῷ Θεῷ εὐχαριστήσας, ὑπέστρεψεν ἐκεῖθεν κλαίων καὶ ὀδυρόμενος· καὶ ἀπελθὼν ἐν μοναστηρίῳ, ἔλαβε τὸ ἅγιον σχῆμα καὶ τῷ Θεῷ γνησίως δουλεύσας ἐπὶ χρόνους ἱκανοὺς γέγονε διακριτικώτατος καὶ μέγας πατήρ. — 2 (Ἀχαϊκὸς solus). — Ἀντίοχος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Βασίλλα[19]. — Φίλιππος. — Πρωτᾶς καὶ Ὑάκινθος. — Νικολάου μοναχοῦ. — 2 (Ἀχαϊκός solus). — Ἀντίοχος. — **Mb** : 1. — Νικολάου. — Βασίλλας. — Φιλίππου. — Πρωτᾶ καὶ Ὑακίνθου. — 2 (Σχίνωνος solius). — **Mr** : 1.

Dec. 25. SYNAXARIA SELECTA. **Sa** : 1. — **Sb** : 1. Sequitur : Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν... Δαβὶδ... Ἰωσὴφ... Ἰακώβου. — **H** : 1. — **P** : 1. — **Da** : 1. — **Db** : 1. — **F** : 1. Sequitur : Κυριακῇ μετὰ τὴν γέννησιν... — **Fb** : 1. — **B** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσὴφ ὁ μνήστωρ (Dec. 26[2]). — **Ba** : 1 (= S). — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσήφ. — **Bb** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσήφ. — **L** : 1. — **C** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσὴφ ὁ μνήστωρ. — Ἡ Θεοτόκος φεύγει ἐν Αἰγύπτῳ. Sequitur : Κυριακῇ μετὰ τὴν τοῦ Χριστοῦ γέννησιν μνήμη τῶν ἁγίων καὶ δικαίων Ἰωσὴφ τοῦ χρηματίσαντος κατὰ σάρκα πατρὸς τοῦ Κυρίου καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου καὶ Δαβὶδ τοῦ προφήτου τοῦ βασιλέως, ὃς ἦν υἱὸς Ἰέσσαι. — **Cb** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — **Cc** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσήφ. — Ἡ Θεοτόκος φεύγει. — **Cd** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσὴφ ὁ μνήστωρ καὶ φύλαξ τῆς παρθένου χρηματιζόμενος ὑπὸ τοῦ θείου ἀγγέλου. — Ἡ Θεοτόκος φεύγουσα ἐν Αἰγύπτῳ. — **M** : 1. — Ἡ προσκύνησις τῶν μάγων. — **Mv** : 1. — Ἡ προσκύνησις τῶν μάγων. — **Mb** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσὴφ ὁ μνήστωρ καὶ φύλαξ τῆς παρθένου χρηματιζόμενος ὑπὸ τοῦ θείου ἀγγέλου. — Τῶν θεασαμένων ποιμένων τὸν Κύριον. — **Mr** : 1. — Ἡ προσκύνησις τῶν μάγων.

Dec. 26. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : initio mutil. 4. 5. — **H** : 1. 3. — Μνήμη Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Dec. 20[2]). — **P** : 1. — Ἄθλησις τοῦ πλήθους τῶν καέντων ἐν Νικομηδείᾳ (Dec. 28[1]). — 3 : Εὐθυμίου τοῦ Σάρδης, ἐπὶ Θεοφίλου βασιλέως. Sequitur : Σαββάτῳ

— [17] χιλιάδας M, Mv. — [18] ἐγένετο Mv. — [19] Βασίλα Mv.

Dec. 26. **3.** Καὶ[1] μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐθυμίου ἐπισκόπου Σάρδεων τοῦ ὁμολογητοῦ. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης, πρότερον μὲν ἐν τῇ μοναδικῇ πολιτείᾳ δίκην ἀστέρος ἐκλάμψας, ἔπειτα δὲ ἀρχιερεὺς γενόμενος καὶ ἐν τῇ κατὰ Νίκαιαν δευτέρᾳ συνόδῳ τοὺς αἱρετικοὺς ἀνακράτος τρέψας· διὸ οὕτως ἔχοντα τοῦτον οἱ βασιλεῖς θεασάμενοι εἰς διαφόρους καὶ δημοσίας πρεσβείας στέλλουσι. Τοῦ δὲ Νικηφόρου τὴν βασιλείαν κρατήσαντος[2], εἰς Παττάλαραν[3] τῆς ἑσπέρας ὁ ἅγιος σὺν ἄλλοις ὀρθοδόξοις ἐπισκόποις διὰ κόρην τινὰ ἣν ἀπέκειρε στέλλεται. Ἔκτοτε οὖν καὶ μέχρι τῆς ἀθλοφορίας ὁ πανόλβιος οὐκέτι γέγονεν ἐγκρατὴς τῆς ἰδίας μητροπόλεως, χρόνων ἐννέα καὶ εἴκοσι παρῳχηκότων ἤδη. Ἐκποδὼν δὲ γενομένων τῶν κρατησάντων βασιλέων καὶ Λέοντος τοῦ θηριωνύμου τὰ Ῥωμαϊκὰ σκῆπτρα διαδεξαμένου, ἐκ τῆς ὑπερορίας ὁ ἅγιος μεταστέλλεται· καὶ πρὸς αὐτοῦ ἐρωτᾶται, εἰ ταῖς εἰκόναις[4] φησὶ σέβας προσνέμει. Τοῦ δὲ ἁγίου τῇ ἐξ ἔθους παρρησίᾳ χρησαμένου καὶ ἀναθέματι τοῦτον ὑποβαλόντος[5], ὁ τύραννος ὀργισθεὶς ἐν τῇ Ἄσσῳ τοῦτον ὑπερορίζει καὶ αὖθις. Μαχαίρας δὲ ἔργον τοῦ κακίστου Λέοντος γενομένου πρὸς[6] τοῦ μετ' αὐτὸν κρατήσαντος, τῆς Ἄσσου ὁ μακάριος ἀνακαλεῖται, καὶ σέβας ταῖς ἁγίαις εἰκόναις[4] μὴ προσάγειν ἀναγκάζεται. Ὁ δὲ αὖθις καὶ τοῦτον λόγοις καταβροντήσας καὶ τό· « Εἴ τις οὐ προσκυνεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν » Χριστὸν ἐν εἰκόνι περιγραπτόν, ἤτω ἀνάθεμα », ἐκβοήσας, παίεται καὶ ἐν τῷ Ἀκρίτᾳ ὑπερορίζεται καὶ ἐν εἱρκτῇ ζοφωτάτῃ ἐγκλείεται. Ἔπειτα ἐκ τεσσάρων τείνεται καὶ βουνεύροις ὠμοῖς ἐπὶ πολὺ καταξαίνεται. Ὅθεν ὁ ἅγιος δίκην ἀσκοῦ ἐκ τοῦ πλήθους τῶν ἀφορήτων ἐκείνων πληγῶν ὀγκωθεὶς f. 116v. ὀκτὼ μόνας ἡμέρας διεκαρτέρησε | μετὰ τὴν ἄθλησιν· καὶ οὕτω τὴν τιμίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ παρέθετο.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κωνσταντίνου τοῦ ἐξ Ἰουδαίων. Ὧτινι[1] πατρὶς μὲν Σύναδα πόλις, γένος δὲ[2] Ἰουδαίων. Νήπιος δὲ ὑπάρχων κομιδῇ καὶ τῇ μητρί ποτε συνεπόμενος καὶ χάσμῃ τινὰ ἰδὼν χριστιανὸν περιπεσόντα καὶ τὸν τύπον τοῦ σταυροῦ ἐν τῷ στόματι αὐτοῦ χαράξαντα, καὶ αὐτὸς ἔκτοτε τὰ ὅμοια ἐποίει τὸν θεαθέντα μιμούμενος, καὶ τὰ[2] χριστιανῶν θερμῇ διεπράττετο πίστει· διὸ τὸ πρόσωπον καταλάμπεται, τὰ χριστιανῶν θεόθεν μυεῖται, ἄσιτος ἐπί τινας ἡμέρας διατελεῖ. Τούτῳ κόρη τις ἑβραία ἑταιρικῶς ποτε ἐπεπήδησε· καὶ τῷ τοῦ τιμίου σταυροῦ σημείῳ νεκρὰν ταύτην ἀπέδειξε καὶ αὖθις ἐζώωσε. Νεφέλῃ δὲ θείᾳ ποδηγούμενος καταλαμβάνει ψυχικὸν φροντιστήριον λεγόμενον Φουβουτίον[3], ἐν ᾧ μεγίστων ἀνδρῶν ἐξέλαμπεν ἀρετῇ τὸν ἀσκητικὸν βίον διανυόντων. Ὡς δὲ τῷ προεστῶτι τὰ κατ' αὐτὸν διηγήσατο, κελεύει ἐκεῖνος ἐνεχθῆναι σταυρὸν καὶ προστάττει αὐτὸν ἀσπάσασθαι. Ὡς δὲ τὴν βάσιν ἠσπάζετο περιδεῶς ὁ μακάριος οὗτος, ὅλῳ τῷ ἰκρίῳ[4] καὶ τοῖς κέρασι τὸ σεβάσμιον ὅπλον ἐκεῖνο κατὰ τῆς ὁσίας ἐπικλιθὲν κορυφῆς[5], σταυροειδῆ τύπον εἰργάσατο ἐν αὐτῇ ἀνεξάλειπτον φυλαχθέντα μέχρις ἐξόδου αὐτοῦ· εἶτα τοῦ θείου βαπτίσματος ἀξιωθεὶς Κωνσταντῖνος μετονομάζεται. Ἐν ᾧ δὲ τόπῳ ἔστη, τῆς κολυμβήθρας ἐξελθών, ἐκτυποῦνται τὰ ἴχνη αὐτοῦ. <Εἶτα[6]> πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀποδύεται, ὑπερβαλέσθαι πάντας φιλονεικεῖ τῇ σκληραγωγίᾳ, τοῦ ἀποστόλου Παύλου τὴν τέχνην μεταχειρίζεται. Ὁπηνίκα τὰς εὐχὰς τῷ Θεῷ ἀπεδίδου, εὐωδίας ὁ τόπος ἐπληροῦτο· αὐτομάτως αἱ θύραι τῆς ἐκκλησίας αὐτῷ ἠνοίγοντο[7], τοὺς λογισμοὺς ἑκάστου τῶν ἀδελφῶν διὰ καθαρότητα ψυχῆς ἔβλεπεν. Ἔπειτα τὸ τοῦ Ὀλύμπου ὄρος καταλαμβάνει, ἐν τοῖς Μύροις ἔρχεται, τῆς Κύπρου ἐπιβαίνει, εἰς Ἀττάλιαν[8] παραγίνεται καὶ ναυσίπορον[9] ποταμὸν ποσὶν οἰκείοις περαιοῦται. Καὶ πολλοὺς ἑτέρους τόπους περινοστησάμενος, πάλιν ἐπὶ τὸν Ὄλυμπον ἔρχεται· τεσσαράκοντα ἡμέρας οὐ μόνον νῆστις ἀλλὰ καὶ μέχρις ὀσφύος ἐν λάκκῳ τινὶ κεχωσμένος διετέλεσεν[10]. Μετὰ ταῦτα τὴν | τοῦ πρεσβυτέρου χειροτονίαν καὶ ἄκων καταδέχεται· εἶθ' οὕτως ἐπὶ τὴν Ἀτρώαν[11] ἔρχεται τῶν ἀγώνων ἐχόμενος, καὶ πρὸ ὀκτὼ ἐνιαυτῶν τὴν πρὸς Θεὸν αὐτοῦ ἐκδημίαν μανθάνει. Τούτων ἤδη τελειωθέντων, πρὸς Κύριον μεθίσταται, τὰ περὶ αὐτοῦ πάντα σαφέστατα προδηλώσας. f. 117.

3. — [1] τῇ αὐτῇ ἡμέρᾳ Sa. — [2] κρατήσαντα Sa. — [3] Πατταλαραίαν Sa, Πατλαρέαν Mv. — [4] εἰκόσι Sa. — [5] ὑποβαλλόντος S. — [6] παρὰ Sa.

4. — [1] ᾧ Sa. — [2] τῶν *add.* Sa. — [3] Φοβουτίον Sa. — [4] ||||κρίω Sa. — [5] κεφαλῆς Sa. — [6] Sa, *om.* S. — [7] διηνοίγοντο Sa. — [8] Ἀτταλείαν Sa. — [9] ναυσίπορ Sa. — [10] ἐτέλεσε Sa. — [11] Ἀτροάν S, Sa.

Dec. 26. μετὰ τὴν Χριστοῦ γέννησιν... — **Da** : 1. 3. 4. 5. — **Db** : 1. 3. 4. 5. — **F** : 1. 3. 4. 5. — **Fa** : 1. 4. 5. — **B** : Ἡ Θεοτόκος φεύγουσα εἰς Αἴγυπτον. — **Ba** : Ἡ Θεοτόκος φεύγουσα. — 3 : Εὐθυμίου ἐπισκόπου Σάρδεων. Οὗτος ἐν τῇ κατὰ Νίκαιαν δευτέρᾳ συνόδῳ ἐγνωρίζετο μέγας ἀρχιερεύς... Des. : ἔπειτα ἐν σκοτεινῷ δομήματι ἐναπορριφεὶς κατὰ τὸν οὕτω λεγόμενον τόπον Ἀκρίτας· μετὰ ταῦτα τόν τε λογοθέτην καὶ τὸν ἐπὶ κανικλείου λεγόμενον ἀποστείλας ὁ τύραννος, συλλήσειν ἐπειρᾶτο τὸν ἅγιον καὶ τῶν ἁγίων εἰκόνων ἔξαρνον καταστῆσαι. Ἐπεὶ δὲ ἄπρακτοι ἔμενον, βοείοις δέρμασι ἐπὶ γυμνοῦ τὸν ἅγιον μέχρι τῶν ρʹ μαστίγων παίουσι, καὶ δισσῶς καταισχυνθέντες οἱ ἄθλιοι ὑπέστρεφον. Ὀκτὼ δὲ ἡμέρας μετὰ τὴν ἄθλησιν ὁ ἅγιος ἐπιβιοὺς πρὸς Κύριον ἐξεδήμησεν. — 4 (= S). 5 : Εὐαρέστου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ εἰκονομάχου, γονέων ἐπιφανῶν τῆς Γαλατῶν χώρας... Des. : τὸ δὲ τίμιον αὐτοῦ σῶμα ἐν τῇ τοῦ Κοκκοροβίου μονῇ ἀποτίθεται. Sequitur : Σαββάτῳ μετὰ τὴν Χριστοῦ γέννησιν... — **Bb** : Ἡ Θεοτόκος φεύγουσα. — 3. — **L** : 1. — **C** : 3. — **Cb** : Τῇ κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν μνήμη τοῦ ἁγίου καὶ δικαίου Ἰωσήφ... καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου καὶ Δαβὶδ τοῦ προφήτου καὶ βασιλέως. — **Cc** : Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν... Ἰωσήφ... Ἰακώβου... καὶ

Dec. 26. **5.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐαρέστου. Ὧτινι πατρὶς μὲν ὑπῆρχεν ἡ ἐν τῇ Ἀσίᾳ τῶν Γαλατῶν ἐπαρχία· γονεῖς δὲ τῶν ἐπιφανῶν οἱ ἄριστοι, βασιλεύοντος[1] Ῥωμαίων Λέοντος τοῦ τυράννου καὶ εἰκονομάχου, ὃς ξίφει ἀναιρεθεὶς ἄξιον τέλος ἀπηνέγκατο. Διαδεξάμενος δὲ τοῦτον Μιχαὴλ καὶ αὐτὸς αἴσχιστος καὶ ὁμότροπος ὑπάρχων, τῆς αὐτῆς τῷ προλαβόντι ποινῆς τὰς εὐθύνας εἰσπράττεται. Ἐπεὶ δὲ εἰς μέτρον ἡλικίας ἀφίκετο οὗτος ὁ παῖς, εἰς τὴν τῶν μαθημάτων ἀνάληψιν ἐκδίδοται, πᾶσι τὰ πάντα γενόμενος, γονεῦσιν εὐπειθής, φίλοις καὶ γείτοσιν εὐπρεπής, ξένοις καὶ αὐτόχθοσι προσηνής, ἐπαληθεύων ἐν τούτοις τὴν προσηγορίαν αὐτοῦ. Ἔρωτι δὲ θείῳ τρωθεὶς τὸν μονήρη βίον ἠγάπα· διὸ καὶ πρὸς Κωνσταντινούπολιν ἔρχεται ἅμα τῷ ἰδίῳ πατρὶ καὶ ξενίζεται παρά τινι τῶν ἐν τέλει Βρυεννίῳ, τῇ τοῦ πατρικίου ἐπ᾽ ἐσχάτων τιμηθέντι ἀξίᾳ, καὶ συγγενεῖ αὐτοῦ ὑπάρχοντι. Καί τινας ἡμέρας αὐτῷ συγγενόμενος, χρείας καταλαβούσης, ἀποστέλλεται παρὰ τῆς βασιλίδος Θεοδώρας πρέσβυς πρὸς Βουλγάρους ὁ πατρίκιος, ἔχων μεθ᾽ ἑαυτοῦ τὸν[2] τίμιον Εὐάρεστον. Καταλαβόντων δὲ αὐτῶν τόπον[3] λεγόμενον Σκόπελον καὶ μικρόν τι διαναπαυσαμένων[4], ὁ μακάριος κατά τινα οἰκονομίαν ἐντυχὼν πρεσβυτέρῳ τὸν ἀσκητικὸν μετερχομένῳ βίον[5] τοῦ ποθουμένου τυγχάνει, καὶ τὴν κόμην καρεὶς προθύμως τὸν τοῦ Κυρίου ζυγὸν ὑπεισῆλθε. Βίβλῳ δὲ τοῦ ἀοιδίμου Ἐφραῒμ ἐντυχὼν ἀναγνούς τε καὶ κατανυγείς, πληρωτὴς τῶν διδασκαλιῶν αὐτοῦ ἔσπευδε γενέσθαι. Ὁ δὲ γέρων τὸ πρὸς ἀρετὴν τοῦ νέου ζέον αἰσθόμενος, εὐχῇ καὶ γράμμασι τοῦτον ἐφοδιάσας, τῇ μονῇ τῶν Στουδίου ἐξέπεμψε· καὶ εἰσδεχθεὶς εἰς[6] τοὺς ἀσκητικοὺς ἀγῶνας ἐχώρει. Ἕνα δὲ τῶν ἄλλων ἀδελφῶν προκρίνας, ὡς κατ᾽ ἀρετὴν ὑπερέχοντα, τοῦτον κοινωνὸν τῶν σπουδασμάτων ἐτίθετο, μηδενὸς ἑτέρου γευόμενος ἅπαξ τῆς ἑβδομάδος, | πλὴν (f. 117v.) μικροῦ ἄρτου καὶ τούτου ἐξ ἀλφίτου[7] κατεσκευασμένου[8] καὶ ζωμοῦ λαχάνων. Περὶ δὲ τῶν ἄλλων αὐτοῦ σπουδασμάτων[9] καὶ διαρίων[10] ἀδύνατόν ἐστιν ἡμῖν καταλέγειν· κύκλους γὰρ δύο πολυταλάντους τῶν ὤμων αὐτοῦ ἀπαιωρήσας ἐν γυμνῷ τῷ σώματι τὴν ὀσφὺν διεζώσατο. Ἐν τούτοις τοῖς θεαρέστοις[11] καλῶς βιώσας ὁ μακάριος οὗτος καὶ τὸν ἑβδομηκοστὸν ἔννατον τῆς ἁπάσης αὐτοῦ ζωῆς[12] χρόνον πληρώσας, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται· τὸ δὲ τίμιον αὐτοῦ σῶμα ἐν τῇ τοῦ Κουκουρουβίου ἀποτίθεται μονῇ.

ΚΥΡΙΑΚΗ

μετὰ τὴν Χριστοῦ γέννησιν.

Dominica. **1.** Μνήμη τῶν ἁγίων καὶ δικαίων Ἰωσὴφ τοῦ χρηματίσαντος κατὰ σάρκα πατρὸς τοῦ Κυρίου, καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, καὶ Δαβὶδ τοῦ προφήτου καὶ βασιλέως, ὃς ἦν υἱὸς Ἰεσσαί. Τοῦτον ἐδίδαξεν Νάθαν ὁ προφήτης τὸν νόμον τοῦ Κυρίου καὶ προεφήτευσεν ἔτη τεσσαράκοντα· προέλαβε δὲ τὴν σάρκωσιν τοῦ Χριστοῦ ἔτη ἐνακόσια ἐνενήκοντα ἐννέα· καὶ ἦν ἐν Γαβᾷ, καὶ εἶδε Νάθαν ὅτι Δαβὶδ ἐν τῇ Βερσαβεὲ παραβήσεται· καὶ σπεύδων ἐλθεῖν ἀναγγεῖλαι αὐτῷ, ἐνεποδίσθη παρὰ τοῦ Βελίαρ· εὗρε γὰρ κατὰ τὴν ὁδὸν νεκρὸν κείμενον ἐσφαγμένον γυμνὸν καὶ ἐπέμεινεν ἐκεῖ θέλων θάψαι τὸν νεκρόν· καὶ τῇ νυκτὶ ἐκείνῃ ἐπέγνω, ὅτι ἐποίησε τὴν ἁμαρτίαν Δαβὶδ καὶ ὑπέστρεψε πενθῶν. Ὡς δὲ ἀνεῖλε τὸν ἄνδρα αὐτῆς ὁ Δαβίδ, ἔπεμψε Κύριος τὸν προφήτην Νάθαν ἐλέγξαι αὐτόν· πολλὰ δὲ πενθήσας ὁ Δαβὶδ καὶ πάνυ γηράσας, ἀπέθανε καὶ ἐτάφη εἰς τὴν γῆν αὐτοῦ. Καὶ Σαλομὼν ὁ υἱὸς αὐτοῦ προεφήτευσεν ἔτη τεσσαράκοντα· προέλαβε δὲ τὴν ἔλευσιν τοῦ Χριστοῦ ἔτη ἐνακόσια πεντήκοντα πέντε· καὶ ἀποθανὼν ἐτάφη μετὰ τοῦ πατρὸς αὐτοῦ. Γίνεται δὲ ἡ σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, τοῦ ἀδελφοῦ τοῦ Κυρίου, ἔνδοθεν τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας Θεοτόκου τῶν Χαλκοπρατείων.

5. — [1] βασιλευόντων S. — [2] καὶ Sa. — [3] τινὰ *add.* Sa. — [4] ἀναπαυσαμένων Sa. — [5] βίῳ S, Sa. — [6] πρὸς Sa. — [7] ἀλφίτων Sa. — [8] κατεσκευασμένον Sa. — [9] πόνων Sa. — [10] μόχθων Sa. — [11] ἔργοις Sa. — [12] (καὶ τὸν - ζωῆς) καὶ τὸν οε´ τῆς ὅλης ζωῆς αὐτοῦ Sa.

Dec. 26. Δαβίδ. — 3. — **Cd** : Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν... Ἰωσὴφ... Ἰακώβου... Δαβίδ. — **M** : 1. — Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς τῆς ὑπεραγίας Θεοτόκου. — Μνήμη τῆς ἐν τῇ ἁγίᾳ σορῷ ἀποθέσεως τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἐν Βλαχέρναις. — 3. 4. 5. — **Mv** : 1 : ἡ σύναξις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἤτοι τὰ ἐπιλόχια. — Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς. — Τῆς τιμίας ἐσθῆτος. — 3. 4. 5. — **Mb** : 1 (τὰ ἐπιλόχια). — Ἡ εἰς Αἴγυπτον φυγή. — 3. 4. 5. — **Mr** : 1. — Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς. — 3.

Dominica. SYNAXARIA SELECTA. **Sa** : Κυριακῇ μετὰ τὴν γέννησιν μνήμην ἐπιτελοῦμεν τοῦ προφήτου καὶ βασιλέως Δαβὶδ καὶ Ἰωσὴφ τοῦ χρηματίσαντος κατὰ σάρκα πατρὸς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — **P** : 1. — **Da** : 1 (= Ba). — **Db** : 1. — **B** : deest. — **Ba** : 1 : Δαβὶδ τοῦ προφήτου καὶ βασιλέως, Ἰωσὴφ τοῦ μνηστῆρος καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου. Ὁ μακάριος Δαβὶδ ὁ προφήτης ὑπῆρχεν ἐν Βηθλεὲμ τῆς Ἰουδαίας υἱὸς Ἰέσσαι· Σαοὺλ τοίνυν βασιλεύοντος... Des. : καὶ πλήρης ἡμερῶν γενόμενος ἔτι ζῶν τὸν υἱὸν αὐτοῦ Σολομῶντα καθιστᾷ βασιλέα τοῦ λαοῦ καὶ τελευτᾷ ἐν εἰρήνῃ ταφεὶς ἐν τῇ πόλει αὐτοῦ, βασιλεύσας ἐπὶ τὸν Ἰσραὴλ ἔτη μ´. — **M** : 1. — **Mv** : 1. — **Mb** : 1. — **Mr** : 1. — Alia alio loco hocce festum reponunt exemplaria, v. c. post diem 25 huius mensis.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ´.

Dec. 27. **1.** Ἄθλησις[1] τοῦ ἁγίου ἀποστόλου καὶ πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, ἑνὸς τῶν ἑπτὰ διακόνων. Οὗτος ζητήσεώς ποτε μεταξὺ Ἰουδαίων καὶ Σαδδουκαίων καὶ Φαρισαίων καὶ Ἑλλήνων γενομένης περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, | (f. 118.) καὶ τῶν μὲν λεγόντων ὅτι προφήτης ἐστίν, τῶν δὲ ὅτι πλάνος, τῶν δὲ ὅτι υἱὸς Θεοῦ, στὰς ἐφ᾽ ὑψηλοῦ τόπου, εὐηγγελίσατο πᾶσι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰπών· « Ἄνδρες » ἀδελφοί, πρεσβῦται καὶ νέοι, ἵνα τί ἐπληθύνθη» σαν αἱ φωναὶ ἡμῶν καὶ συγκέχυται πᾶσα Ἱερου» σαλήμ; μακάριος ἄνθρωπος ὃς οὐκ ἐδίστασεν εἰς » Χριστὸν Ἰησοῦν. Οὗτος γάρ ἐστιν ὁ κλίνας οὐρα» νοὺς καὶ καταβὰς[2] διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ » τεχθεὶς ἐκ παρθένου ἁγίας καὶ καθαρᾶς καὶ ἐκλε» λεγμένης πρὸ καταβολῆς κόσμου, αὐτὸς τὰς » ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε. » Τυφλοὺς γὰρ ἐποίησεν ἀναβλέψαι, λεπροὺς ἐκα» θάρισε[3] καὶ τοὺς δαίμονας ἀπήλασεν. » Οἱ δὲ ἀκούσαντες αὐτοῦ, ἤγαγον αὐτὸν εἰς τὸ συνέδριον (Act. 6, 10-13.) πρὸς τοὺς ἀρχιερεῖς· οὐκ ἴσχυον γὰρ ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. Καὶ εἰσελθόντες ὑπέβαλον ἄνδρας τινὰς λέγοντας ὅτι· « Ἀκηκόα» μεν αὐτοῦ λέγοντος[4] ῥήματα βλάσφημα[5] κατὰ » τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου. » Καὶ τὰ λοιπὰ καταλέξαντες[6], καθὼς ἐν ταῖς ἱεραῖς (Act. 6, 15.) τῶν ἀποστόλων πράξεσιν ἐμφέρεται, καὶ ἀτενίσαντες εἰς αὐτὸν οἱ καθεζόμενοι εἶδον[7] τὸ πρόσωπον[8] αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου[9] καὶ ἐλεγχθέντες, μὴ φέροντες τὴν ἧτταν, λιθοβολοῦσιν αὐτὸν καὶ ἀναιροῦσιν ὑπερευχόμενον αὐτῶν καὶ (Act. 7, 60.) λέγοντα· « Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρ» τίαν ταύτην. » Ἐπεὶ δὲ ἐξαίρετον πτῶμα διὰ τῆς νομισθείσης αὐτοῦ πτώσεως ὁ θεῖος πρωτόμαρτυς τὸν ἀντίπαλον καταβαλών, τὸν γλυκὺν ὕπνον ἀνεπαύσατο, συγκομίζεται μὲν τὸ ἱερὸν ἐκείνου[10] σκήνωμα ὑπὸ ἀνδρῶν εὐλαβῶν[11] ἐν γλωσσοκόμῳ περσαίας· εἶδος δὲ τοῦτο ξύλου. Οἳ καὶ κατασφαλισάμενοι ἐκ πλαγίων αὐτὸ κατέθεντο τοῦ ναοῦ. Ὁ δὲ νομοδιδάσκαλος Γαμαλιὴλ γνωστὸς ὢν τῷ μακαρίῳ Στεφάνῳ καὶ τοῦ ἀνδρὸς ἐπιστάμενος τὴν ἀρετήν, προσπίπτει τοῖς ἀρχιερεῦσιν ἐξαιτούμενος τὸ σῶμα λαβεῖν καὶ πρὸς τὴν αὐτοῦ κώμην τὴν πλησίον Ἱερουσαλὴμ ἀπαγαγεῖν καὶ πρὸς τῷ ἰδίῳ αὐτοῦ καὶ καινῷ μνημείῳ καταθεῖναι· ὅπερ καὶ γέγονε. Κηδεύσαντες οὖν αὐτὸν οἱ ἀπόστολοι καὶ ἐξ Ἱερουσαλὴμ μεταγαγόντες καὶ κοπετὸν μέγαν ἐνστησάμενοι κατέθαψαν. Αὖθις[12] οὖν Νικόδημος ὁ ἀνεψιὸς Γαμαλιὴλ καὶ αὐτὸς ὁ Γαμαλιὴλ καὶ ὁ τούτου υἱὸς Ἀβελβοῦς[13] πιστεύσαντες ὑπὸ τῶν ἀποστόλων ἐβαπτίσθησαν. Τελεῖται δὲ | (f. 118v.) ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι πλησίον Κωνσταντιανῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὑπῆρχεν τῆς αὐτῆς πόλεως καὶ γέννημα καὶ θρέμμα· ἐγένετο δὲ πρότερον διὰ τὴν εὐλάβειαν αὐτοῦ πρεσβύτερος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, οὐ μόνον δὲ πρεσβύτερος[1] ἀλλὰ καὶ σύγκελλος[2] καὶ σκευοφύλαξ· τοσοῦτον ἐτιμᾶτο παρά τε τῷ βασιλεῖ[3] καὶ τῷ πατριάρχῃ καὶ τῇ συγκλήτῳ καὶ τῇ συνόδῳ πάσῃ. Ἦν γὰρ συνετὸς καὶ γνωστικὸς[4] καὶ ἐλεήμων καὶ συμπαθὴς καὶ πάντα τὰ τῷ Θεῷ ἀρέσκοντα ἐν ἑαυτῷ περιφέρων. Διὰ ταῦτα τοῦ πατριάρχου Κωνσταντίνου[5] τελευτήσαντος, ψήφῳ τοῦ βασιλέως καὶ τῆς συγκλήτου καὶ τῶν ἐπισκόπων καὶ τοῦ λαοῦ παντὸς[6] προχειρίζεται πατριάρχης[7] Κωνσταντινουπόλεως. Καὶ καλῶς ποιμάνας τὸ ποίμνιον αὐτοῦ καὶ κυβερνήσας τὴν ἁγίαν ἐκκλησίαν ὀρθοδόξως ἔτη δύο καὶ μῆνας τρεῖς, πρὸς Κύριον ἐξεδήμησεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ´.

Dec. 28. **1.** Ἄθλησις τῶν ἁγίων δισμυρίων μαρτύρων τῶν ἐν Νικομηδείᾳ καέντων[1]. Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ τοῦ κατὰ τῶν Αἰθιόπων ὑποστρέψαντος πολέμου μετὰ νίκης καὶ βουλομένου ἐπινί-

1. — [1] μνήμη Sa. — [2] *add.* ἐπὶ *sed del. corr.* S. — [3] ἐκαθέρισε Sa. — [4] λαλοῦντος Sa. — [5] βλασφημίας Sa. — [6] καταλλέξαντες S. — [7] καὶ ἰδόντες τὴν δόξαν Sa. — [8] τοῦ προσώπου Sa. — [9] ὡσεὶ π. ἀγγέλου *om.* Sa. — [10] ἐκεῖνο Sa. — [11] καὶ τίθεται *add.* Sa. — [12] εὐθὺς Sa. — [13] Ἀμελβοῦς Sa.

2. — [1] (τῆς - πρεσβύτερος) *om.* Sa. — [2] σύγγελος S. — [3] τοῖς βασιλεῦσι Sa. — [4] γνωστικὸς καὶ συνετὸς Sa. — [5] Κωνσταντινουπόλεως Sa. — [6] παντὸς τοῦ λαοῦ Sa. — [7] τοῦ θρόνου *add.* Sa.

1. — [1] καυθέντων Sa.

Dec. 27. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. — Θεοδώρου Σαβαΐτου τοῦ γραπτοῦ (Dec. 28²). — Τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Ῥαϊθοῦ (Ian. 14¹). — **P** : 1 (ἐν Κωνσταντιαναῖς). — Θεοδώρου Σαββαΐτου καὶ πρεσβυτέρου ἀδελφοῦ μακαρίου Θεοφάνους τοῦ ὁμολογητοῦ. — Τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῇ Ῥαϊθοῦ ἀναιρεθέντων. — **Da** : 1. — Θεοδώρου. — **Db** : 1. — **F** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — **Fa** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — **B** : 1. — **Ba** : deest. — **Bb** : 1. — Κωνσταντίνου τοῦ ἐκ Ἰουδαίων (Dec. 26⁴). — **L** : 1. — **C** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — Κωνσταντίνου τοῦ ἐκ Ἰουδαίων. — **Cb** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — **Cc** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — Κωνσταντίνου τοῦ ἐκ Ἰουδαίων. — **Cd** : 1. — Θεοδώρου. — **M** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — **Mv** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — Στίχοι ἰαμβικοὶ γραφέντες ἐν τῷ προσώπῳ τοῦ ἁγίου Θεοδώρου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Θεοφάνους παρὰ Θεοφίλου βασιλέως ἐν σιδήρῳ πυρωθέντι. — 2. — Μαυρικίου καὶ τῶν σὺν αὐτῷ ἑβδομήκοντα μαρτύρων (Febr. 21⁶). — **Mb** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — 2. — **Mr** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — Στίχοι ἰαμβικοί.

Dec. 28. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. — Ἴνδης καὶ Δόμνας (Dec. 30²). — **H** : Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Dec. 27²). — Στεφάνου (Dec. 27¹). — **P** : Θεοδώρου. — 3. —

Dec. 28. κια θῦσαι τοῖς εἰδώλοις, γράμματα ἐπέμφθησαν πανταχοῦ συνελθεῖν ἅπαντας εἰς τὴν προσκύνησιν τῶν εἰδώλων. Ὁ δὲ ἅγιος ἐπίσκοπος Ἄνθιμος ἐν τῇ ὑπ' αὐτὸν ἐκκλησίᾳ συναθροίσας τὸν τοῦ Χριστοῦ λαόν, ἦν γὰρ ἡ ἑορτὴ τῆς Χριστοῦ γεννήσεως, συνεώρταζεν αὐτοῖς καὶ ἐδίδασκεν τὴν ἀληθινὴν πίστιν. Μαθὼν δὲ τοῦτο ὁ Μαξιμιανὸς προσέταξε κύκλῳ τῆς ἐκκλησίας τεθῆναι φρύγανα καὶ ἐξαφθῆναι καὶ κατακαῆναι τοὺς χριστιανούς. Ὅπερ γνοὺς ὁ ἐπίσκοπος σπεύσας καὶ βαπτίσας τοὺς κατηχουμένους τὴν θείαν ἱερουργίαν ἐπετέλεσε· καὶ μετέδωκεν ἅπασι[2] τῶν ἀχράντων μυστηρίων· καὶ οὕτως ἀναφθέντων τῶν φρυγάνων, ἐτελειώθησαν ἅπαντες δισμύριοι ὄντες. Ὁ δὲ ἐπίσκοπος οὐ συγκατεκαύθη, διαφυλαχθεὶς Θεοῦ χάριτι, ἵνα καὶ ἑτέρους ὠφελήσῃ καὶ βαπτίσῃ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν[1] Θεοδώρου τοῦ γραπτοῦ. Οὗτος ἐγένετο ἀπὸ Συρίας, ἔφυ δὲ παρὰ εὐσεβῶν καὶ χριστιανῶν γονέων. Μονάσας δὲ πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα | (f. 119.) καὶ πολλὰ ἀγωνισάμενος μετὰ[2] τοῦ ἀδελφοῦ αὐτοῦ Θεοφάνους τοῦ ποιητοῦ τῶν κανόνων, ὕστερον ἦλθεν ἐν Κωνσταντινουπόλει ἐπὶ[3] Θεοφίλου τοῦ εἰκονομάχου. Καὶ καταναγκασθεὶς ἀρνήσασθαι τὴν προσκύνησιν τῶν ἁγίων εἰκόνων καὶ μὴ πεισθείς, εἰς ἐξορίαν ἐκπέμπεται, πρότερον κατακεντηθεὶς καὶ καταγραφεὶς τὸ τίμιον

— [2] Sa, ἅπαντας S.
2. — [1] καὶ ὁμολογητοῦ *add.* Sa. — [2] καὶ *add.* Sa. — [3] τοῦ βασιλέως *add.* Sa.

Dec. 28. **Da** : Ἴνδη καὶ Δόμνας. — **Db** : 2. — Ἴνδη καὶ Δόμνας. — **F** : Θεοδώρου. — Μελάνης. Ἥτις ἦν ἐπὶ τῆς βασιλείας Ὀνωρίου[1] γένους περιδόξου καὶ ἐπιφανοῦς, καὶ τῆς συγκλήτου πρώτη. Αὕτη ἐξ ὅλης τῆς καρδίας τὸν Θεὸν ἐπεπόθησεν, ἐξ ἁπαλῶν ὀνύχων παρθενεύειν αἱρουμένη. Ἀλλ' οἱ ταύτης γονεῖς βίᾳ καὶ πόθῳ ἑλκόμενοι, ἀνδρὶ ταύτην ἐκδέδωκαν· ἡ καὶ ζευχθεῖσα καὶ δύο ἀποτεκοῦσα τέκνα, ἀνέτρεφεν αὐτὰ εὐχαρίστως καὶ εὐσεβῶς πολιτευομένη. Ἐπεὶ δὲ ἐτελεύτησαν οἵ τε συγγενεῖς αὐτῆς καὶ τέκνα, αὕτη τε καὶ ὁ ἀνὴρ αὐτῆς ἀδείας λαβόμενοι τὴν πόλιν καταλιπόντες ἐν προαστείῳ διῆγον, πᾶσαν ἄσκησιν ἐπιδεικνύμενοι καὶ ῥακώδη[2] περιβεβλημένοι ἐνδύματα. Ἡνίκα δὲ ἤρξαντο οὗτοι οἱ ἀοίδιμοι τῆς ἰσαγγέλου πολιτείας, ἡ μὲν ὁσία Μελάνη εἴκοσι ὑπάρχων ἐνιαυτῶν, ὁ δὲ ταύτης ἐν Κυρίῳ πνευματικὸς ἀδελφὸς Ἀπηλιανὸς[3] τεσσάρων καὶ εἴκοσι, οὗτοι τοὺς νοσοῦντας περιερχόμενοι ἐθεράπευον καὶ τοὺς ἐπιδημοῦντας ξένους ὑπεδέχοντο, καὶ πᾶσι τοῖς δεομένοις τε καὶ πτωχοῖς τὴν χρείαν ἐπλήρουν, φυλακὰς καὶ ἐξορίας καὶ τὰ μέταλλα περιερχόμενοι. Καὶ ἦν αὐτῶν ἡ θύρα, κατὰ τὸν μακάριον Ἰώβ, παντὶ ἀδυνάτῳ καὶ θλιβομένῳ ἀνεῳγμένη. Μετὰ δὲ ταῦτα, προστάξει βασιλικῇ ταῦτα διαπωλήσαντες τά τε κίνητα καὶ ἀκίνητα, ὑπέρογκα ὄντα καὶ ἀμέτρητα ὡσεὶ μυριάδων χρυσίου ιβ', ἐκτὸς τῶν κτημάτων τῆς ὁσίας τῶν διεσκορπισμένων τε πόλεσι καὶ χώραις τῆς δύσεως, ἀλλὰ καὶ ἐν Μεσοποταμίᾳ καὶ Συρίᾳ καὶ Παλαιστίνῃ[4] καὶ τοῖς μέρεσι τῆς Αἰγύπτου, καὶ μοναστήρια τὰ μὲν ἐκ θεμελίων ἀνεγείροντες, τὰ δὲ ἀνοικοδομοῦντες καὶ ἐκκλησίας ὡσαύτως. — μετὰ ταῦτα ἤρξατο ὑποπιάζειν αὐτῆς τὸ σῶμα ἡ ἁγία καὶ δουλαγωγεῖν. Καὶ διὰ δύο ἡμερῶν μετελάμβανε τροφῆς χωρὶς ἐλαίου, εἶτα διὰ πέντε· σαββάτῳ καὶ κυριακῇ μόνον ἤσθιεν ἄρτον. Ἔγραφε δὲ εὐφυῶς πάνυ καὶ ἀπταίστως ἐν σωματώοις χάρτεσιν· τεταγμένον δὲ ἦν αὐτῇ, πόσον ὀφείλει γράφεσθαι καὶ πόσον ἀναγνῶναι· ἀνεπαύετο γὰρ δύο μόνας ὥρας. Πόσων δὲ ἁγίων πόδας ἔνιψεν, πόσοις δούλοις Θεοῦ ἐπήρκεσε καὶ πτωχοῖς, πόσους[5] καὶ Σαμαρείτας καὶ αἱρετικοὺς καὶ ἕλληνας χρήμασι καὶ παραινέσεσι τῷ Θεῷ προσήνεγκεν. Ποιήσαντες δὲ ἐν Ἀφρικῇ ἔτη ζ' καὶ ἀποθέμενοι πάντα τὸν φόρτον τοῦ πλούτου, ἔφθασαν τὴν Ἀλεξάνδρειαν, ἔπειτα τὰ Ἱεροσόλυμα· ἐκεῖθεν πάλιν κατέλαβον τὴν Αἴγυπτον. Καὶ προσκυνήσαντες τοὺς ἐκεῖσε ἁγίους καὶ ἐκκλησίας, ὑπέστρεψαν εἰς τὴν ἁγίαν πόλιν· αὐτὴ δὲ ἐγκλείσασα[6] ἑαυτὴν ἔν τινι κελλίῳ ἐν σάκκῳ καὶ σποδῷ καθεζομένη ηὔχετο, μηδενὶ προσομιλοῦσα εἰ μὴ Παύλῃ τῇ ταύτης μητρὶ καὶ τῷ αὐτῆς πνευματικῷ ἀδελφῷ, καὶ τοῦτο[7] δι' ἡμερῶν ε'. Ὕστερον δὲ ᾠκοδόμησεν ἑαυτῇ μοναστήριον, συναγαγοῦσα παρθένους ἐνενήκοντα, πᾶσαν χρείαν αὐταῖς ἀποπληροῦσα καὶ κανόνας παραδοῦσα. Ἦν γὰρ αὐταῖς ὁ μὲν νυκτερινὸς κανὼν ἀπὸ μεσονυκτίου μέχρις ἀνατολῆς ἡλίου σὺν καὶ τῇ α' ὥρᾳ· εἶθ' οὕτως ἔψαλλον τὴν μὲν γ' ὥραν τῆς ἡμέρας ἔχοντες, ὅτι καὶ ἐν αὐτῇ κατῆλθεν ὁ παράκλητος ἐπὶ τοὺς ἀποστόλους· τὴν ϛ' δὲ ὅτι ἐν αὐτῇ ὁ πατριάρχης Ἀβραὰμ κατηξιώθη τὸν Κύριον ὑποδέξασθαι, τὴν δὲ θ' διὰ τὴν παράδοσιν τῶν ἁγίων ἀποστόλων. Ἐν αὐτῇ γὰρ Πέτρος καὶ Ἰωάννης ἀναβαίνοντες εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν θ' τὸν χωλὸν ἐθεράπευσαν· ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος ἐξῆλθεν περὶ τρίτην καὶ ϛ' καὶ θ' καὶ ἑνδεκάτην ὥραν μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, ὥς φησιν τὸ εὐαγγέλιον. Διὸ καὶ τὰ ἑσπερινὰ μετὰ πάσης[8] σπουδῆς καὶ προθυμίας ὀφείλομεν. Ἐν τούτοις[9] πᾶσι καλῶς προκοπτούσης τῆς ὁσίας Μελάνης, ἀνεπαύσατο ἐν Κυρίῳ ἡ ταύτης μήτηρ. Εἶθ' οὕτως καὶ ὁ πνευματικὸς αὐτῆς ἀδελφός· καὶ μετὰ χρόνους ὀκτὼ κατασχεθεῖσα ὑπὸ τῆς τοῦ πλευροῦ ἀλγηδόνος, σφόδρα ἠρρώστησε. Καὶ προσκαλεσαμένη τὸν Ἐλευθεροπόλεως ἐπίσκοπον καὶ δεξαμένη παρ' αὐτοῦ τὴν θειαν κοινωνίαν καὶ συνταξαμένη ταῖς ἀδελφαῖς καὶ τοῖς ἑπομένοις τῷ ἐπισκόπῳ μοναχοῖς, ἐσχάτην ταύτην ἀφῆκε φωνὴν πρὸς αὐτούς· « Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο », καὶ εὐθέως παρέδωκεν τὴν τιμίαν αὐτῆς ψυχὴν εἰς χεῖρας Θεοῦ ζῶντος (Dec. 31[1]). — **Fa** : Θεοδώρου. — Μελάνης. — **B** : 2. — Θεοδώρου. — Ἴνδη καὶ Δόμνας. — 1. — Ἄθλησις τῶν ἀπὸ τῆς συγκλήτου καὶ τῶν ἔξω τῆς πυρᾶς ὑπολειφθέντων ἁγίων μαρτύρων. — **Ba** : deest. — **Bb** : 2. — Θεοδώρου. — Ἴνδη καὶ Δόμνας. — 1. —

[1] Ὠνορίου F. — [2] ρακκώδη F. — [3] F, *lege* Πινιανός. — [4] Παλεστήνη F. — [5] πόσου F. — [6] ἐκκλήσασα F. — [7] τότε F. — [8] πάση F. — [9] τούτοι F.

αὐτοῦ πρόσωπον διὰ μέλανος καὶ βελόνης, καὶ ὡς εἷς τῶν κακούργων καὶ φευγόντων δούλων καθυβρισθείς. Ἐν δὲ τῇ ἐξορίᾳ ἀπελθὼν πολλὰ πάλιν ἀγωνισάμενος καὶ πολλοὺς τῶν ὀρθοδόξων στηρίξας, πρὸς Κύριον ἐξεδήμησε. Λέγεται δὲ γέροντά τινα μέγαν ἐπιστάντα τῇ αὐτοῦ[4] ἐκδημίᾳ πρὸς Κύριον ἀγγελικῶν ἐπακούειν ᾠδῶν καὶ αὐτὸν ἕνα[5] τῶν ᾀδόντων γενέσθαι. (Dec. 28.)

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Στεφάνου[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

Dec. 29. **1.** Ἄθλησις τῶν ἁγίων νηπίων τῶν ἐν Βηθλεὲμ ἀναιρεθέντων ὑπὸ Ἡρῴδου, ὧν ὁ ἀριθμὸς χιλιάδες δεκατέσσαρες.

2. Καὶ μνήμη πάντων τῶν χριστιανῶν ἀδελφῶν ἡμῶν τῶν ἐν λιμῷ καὶ δίψει καὶ κρύει τελειωθέντων. Τελεῖται δὲ ἡ τοιαύτη[1] σύναξις ἐν τοῖς Χαλκοπρατείοις, εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου[2], ἔνθα ἡ ἁγία σορός.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκέλλου μονῆς τῶν Ἀκοιμήτων. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν[1] Μάρκελλος ὑπῆρχεν ἐκ πόλεως Ἀπαμείας τῆς δευτέρας Συρίας, ἐξ ἐνδόξου γένους καὶ περιφανοῦς· ὅθεν καὶ πᾶσαν τὴν ἐν λόγοις παίδευσιν διῆλθε. Καὶ ταύτην παριδὼν κατέλιπε τὰ οἰκεῖα καὶ παραγίνεται εἰς Ἔφεσον, καὶ ξενίζεται παρά τισιν εὐλαβέσι. Καὶ ἔν τινι τῶν ἐκεῖσε μοναστηρίων εἰσελθὼν καὶ ἀσκήσας καλῶς, παραγίνεται[2] πρὸς τὸν ὅσιον Ἀλέξανδρον ὄντα ἐν τῇ μονῇ τῶν Ἀκοιμήτων, μαθὼν περὶ τῆς ἐνθέου καὶ ὑψηλῆς αὐτοῦ πολιτείας· καὶ ἐν τῇ τοιαύτῃ μονῇ τὴν διαγωγὴν ποιησάμενος καὶ πάντας ὑπερβαλὼν ταῖς καθημεριναῖς αὐτοῦ προκοπαῖς, μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου καὶ Ἰωάννου[3] τοῦ μετ' ἐκεῖνον χρηματίσαντος ἡγουμένου τῆς μονῆς καθίσταται ἀρχηγός. Πολλῶν δὲ θαυμάτων τῇ τοῦ Χριστοῦ χάριτι ἐπιδειξάμενος δύναμιν, ἐν αὐτῇ τῇ μονῇ ἐν εἰρήνῃ κοιμηθεὶς ἀνεπαύσατο.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν[1] Θεοδώρας τῆς ἀπὸ Καισαρίδος. Αὕτη ἤσκησεν[2] ἐν τῇ μονῇ τῆς ἁγίας Ἄννης τῇ λεγομένῃ Ῥιγίδιον[3]· ὑπῆρχε δὲ ἐπὶ τῆς βασιλείας Λέοντος, πατρὸς Κωνσταντίνου τοῦ Κοπρωνύμου, γένους οὖσα λαμ|προῦ (f. 119v.) καὶ ἐπισήμου, πατρὸς μὲν ὀνόματι Θεοφίλου πατρικίου τὴν ἀξίαν, μητρὸς δὲ Θεοδώρας. Αὕτη ἡ Θεοδώρα ἐν πολλοῖς[4] ἔτεσι τὴν στείρωσιν ἀποδυρομένη καὶ τὸν Θεὸν ἱκετεύουσα καὶ τὴν ὑπεραγίαν Θεοτόκον, δέχεται τὴν χάριν οὐρανόθεν, ταύτην κομισάσης τῆς τιμίας Ἄννης τῆς μητρὸς τῆς Θεοτόκου. Τεχθεῖσα τοιγαροῦν ἡ νεᾶνις καὶ εἰς μέτρον ἡλικίας φθάσασα, προσάγεται τῷ ναῷ τῆς ἁγίας Ἄννης καὶ τῷ μοναστηρίῳ εἰσδέχεται ὡς θεῖον ἀνάθημα. Θεοσεβῶς δὲ ῥυθμι-

— [4] αὐτῇ Sa. — [5] αὐτῶν ἕνα S, αὐτὸν ἕνη Sa.
3. — [1] τοῦ Σαβαΐτου καὶ ποιητοῦ τῶν κανόνων *add.* Sa.
2. — [1] Sa, αὐτῶν S. — [2] (εἰς - Θεοτόκου) *om.* Sa.
3. — [1] καὶ ἀρχιμανδρίτης *add.* Sa. — [2] ἀπέρχεται Sa. — [3] Ἰακώβου S, Ἰωάννου Sa, *cf. Vitae S. Marcelli c. XI,* P. G., *t. CXVI, p. 716.*
4. — [1] μητρὸς ἡμῶν *om.* Sa. — [2] οἴκησεν Sa. — [3] Ῥηγίδιον S. — [4] πολοῖς S.

Dec. 28. Τῶν ἁγίων τῶν ὑπολειφθέντων κτλ. — **L** : 1. — **C** : Εὐαρέστου (Dec. 26[5]). — Τῶν ἁγίων πατέρων τῶν ἐν Ῥαϊθοῦ τελειωθέντων (Ian. 14[1]). — Θεοδώρου. — Ἴνδη καὶ Δόμνας. — 1. — Τῶν ἁγίων τῶν ἀπὸ τῆς συγκλήτου καὶ τῶν ἔξω τῆς πυρᾶς τελειωθέντων. — **Cb** : Τῶν ἐν Ῥαϊθοῦ. — Θεοδώρου. — Τῶν ἁγίων μαρτύρων τῶν ἀπὸ τῆς συγκλήτου κτλ. — **Cc** : Εὐαρέστου. — Τῶν ἐν Ῥαϊθοῦ. — Θεοδώρου ἀρχιεπισκόπου Κ. — Ἴνδη καὶ Δόμνας. — Τῶν ἁγίων ... ἀπὸ τῆς συγκλήτου κτλ. — **Cd** : Τῶν ἐν τῇ Ῥαϊθῷ. — Θεοδώρου. — Ἴνδη καὶ Δόμνας. — 1. — Τῶν ἁγίων ... τῶν ἀπὸ τῆς συγκλήτου κτλ. — **M** : 1. — Τῶν ἀπὸ τῆς συγκλήτου ἔξω διὰ τῆς πυρᾶς ἀπολειφθέντων. — Ἴνδης. — Γοργόνιος καὶ Πέτρος ἐν τῇ θαλάσσῃ τ. — Ζήνων ξ. τ. — Μαρδόνιος π. τ. — Θεόφιλος ὁ διάκονος λιθοβοληθεὶς τ. — Μυγδόνιος βόθρῳ ἐγχωσθεὶς τ. — Γλυκέριος π. τ. — Δόμνα (Dec. 30[2]). — 2. — Νικάνωρ ὁ ἀπόστολος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Τῶν ἀπὸ τῆς συγκλήτου ἔξω διὰ τῆς πυρᾶς κτλ. — Ἴνδης. — Γοργόνιος καὶ Πέτρος. — Ζήνων. — Μαρδόνιος. — Δωρόθεος ὁ πρεπόσιτος ξ. τ. — Θεόφιλος. — Μυγδόνιος. — Γλυκέριος. — Δόμνας. — Νικάνορος ἀπόστολος. — **Mb** : 1. — Ἴνδη καὶ Δόμνας. — Τῶν ἀπὸ τῆς συγκλήτου κτλ. — **Mr** : 1.

Dec. 29. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **Sb** : 1. — **H** : 1 (σύναξις ἐν τοῖς Χαλκοπρατείοις). — 3. — **P** : 1. 3. 2. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. 4. 5. 6. — **Fa** : 1. 2. 3. 4. 5. 6. — **B** : 1. 3. — **Ba** : deest. — **Bb** : 1. 3. — Εὐαρέστου (Dec. 26[5]). — Δαβὶδ τοῦ βασιλέως τῇ κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν. — **L** : 1. — **C** : 1. 2. 3. — **Cb** : 1. 3. — **Cc** : 1. 2. 3. — **Cd** : 1. 2. 3. — **M** : 1. 2. 3. — Θαδδαίου τοῦ ὁμολογητοῦ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Θαδδαῖος ἀπόδουλος[1] γέγονε Θεοδώρου, τοῦ τὴν μονὴν τῶν Στουδίου ἐκ βασιλικῆς ἐξουσίας λαβόντος καὶ κοινόβιον ποιήσαντος. Καὶ[2] κείρας[3] καὶ οὗτος τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, ἐν τῇ αὐτῇ μονῇ γέγονε μοναχός. Καὶ πολιτείαν κτησάμενος θεάρεστον, ἠγαπήθη παρὰ πάντων· νηστείαν γὰρ καὶ ἀγρυπνίαν εἶχε πολλήν, γλώσσης ἐγκράτειαν, προσοχὴν τῶν θείων λογίων[4], χαμευνίαν καὶ ὑπακοὴν ὑπερβάλλουσαν, μηδὲν ἄλλο ἔχων ἐξ[5] ὧν περιεβέβλητο. Τῶν[6] δυσσεβῶν τότε εἰκονομάχων, Μιχαὴλ φημι τοῦ Τραυλοῦ καὶ Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ, κατὰ συγχώρησιν Θεοῦ κρατούντων, πάντας τοὺς εὐσεβεῖς ἐπισκόπους καὶ ἡγουμένους οὓς μὲν ἀπέκλειον, οὓς δὲ ἐξώριζον. Ἐν οἷς ἦν καὶ ὁ μέγας ἀγωνιστὴς Θεόδωρος ὁ τούτου γεγονὼς δεσπότης

[1] ἀπελεύθερος Mv. — [2] *om.* Mv. — [3] δὲ *add.* Mv. — [4] λόγων Mv. — [5] πλὴν Mv. — [6] δὲ *add.* Mv.

Dec. 29. ζομένη παρὰ τῆς προεστώσης, ἐκδιδάσκεται τὰ ἱερὰ γράμματα. Τῆς δὲ τιμίας παιδὸς καλῶς πολιτευομένης, οὐκ ἤνεγκεν ὁ πονηρὸς δαίμων ὁρᾶν ἑαυτὸν ὑπὸ ταύτης πατούμενον, ἀλλ' ἐξήγειρε τὸν θεομάχον Λέοντα τὸν βασιλέα ἀγαγέσθαι ταύτην γυναῖκα Χριστοφόρῳ τῷ τούτου υἱῷ, ὃν καίσαρα ἀνηγόρευσε· καὶ βίᾳ καὶ τυραννίδι ταύτην ἀποσπάσας τῆς μονῆς, καταλαβεῖν τὴν Κωνσταντινούπολιν αὐτὴν[5] κατηνάγκασεν. Ἀχθείσης δὲ αὐτῆς, τὰ τοῦ γάμου αἴσια ἐπ' αὐτῇ τελοῦνται[6] καὶ παστὰς πήγνυται. Ἀλλ' ὁ μὲν ἐκείνου σκοπὸς τοιοῦτος. Ὁ δὲ Θεὸς ὁ τὸν Αἰγύπτιον πάλαι δειματώσας λυττῶντα[7] κατὰ Σάρρας[8] καὶ τὸν Τιριδάτην[9] ὑπὸ τῆς Ῥιψιμίας καταγωνισάμενος, αὐτὸς καὶ ταύτην διασώζει ἀμόλυντον ἐκ τῆς συναφείας καὶ κοινωνίας[10] τοῦ μνηστῆρος. Παραδόξως γὰρ τῶν Σκυθῶν ἐπιστρατευσαμένων ἐν τῇ ἑσπέρᾳ, ἐν τάχει ἀποστέλλεται ὁ νεόνυμφος[11] τοῖς βαρβάροις ἀντιπαραταξόμενος[12]· ὃς κατὰ τὴν πρώτην προσβολὴν τῷ θανάτῳ παραπέμπεται. Τότε πληροφορίαν λαβοῦσα ἡ ἀκήρατος[13] ἀμνὰς Θεοδώρα καὶ λαθοῦσα πάντας, χρυσίον καὶ ἀργύριον καὶ μαργαρίτας καὶ ἱματισμὸν λαβοῦσα πολυτελῆ καὶ ἐν πλοίῳ εἰσελθοῦσα, πρὸς τὴν μονὴν ἐπανῆλθε χαίρουσα καὶ εὐχαριστοῦσα τῷ τῶν ὅλων Θεῷ. Ὡς δὲ ἐγνώσθη τὰ κατ' αὐτήν, ἐλθὼν ὁ δεύτερος υἱὸς τοῦ θηριωνύμου καὶ εὑρὼν αὐτὴν κεκαρμένην καὶ ῥακώδη ἱματισμὸν ἠμφιεσμένην, Θεοῦ προνοίας[14] συνεργησάσης, ἀφῆκεν αὐτήν. Αὕτη δὲ τελείας λαβομένη ἐλευθερίας, ἐπὶ τοσοῦτον[15] τὴν σάρκα κατεδάμασεν, ὥστε τὰς τῶν ὀστῶν[16] αὐτῆς ἁρμονίας καθορᾶσθαι. Τροφὴ γὰρ ἦν αὐτῇ ἄρτος οὐγκία[17] μία, καὶ οὗτος διὰ δύο καὶ[18] τριῶν ἡμερῶν καὶ οὐδὲν ἕτερον· τὸ δὲ ἔνδυμα εἶχεν ἓν καὶ | τοῦτο τρίχινον. (f. 120.) Ἡ δὲ στρωμνὴ αὐτῆς ἄνωθεν μὲν τριχίνῳ[19] ῥάκει περικεκάλυπτο, κάτω[20] δὲ λίθοι ὑπεστρωμένοι ὑπῆρχον· καὶ οὕτως τὸν τῆς ἀγρυπνίας[21] ὕπνον ἐξετέλει· πολλάκις καὶ διὰ πάσης νυκτὸς ἦν ἀγρυπνοῦσα. Οὐ τούτοις δὲ μόνοις ἠρκέσθη τοῖς παλαίσμασιν, ἀλλὰ καὶ σιδήροις τὴν σάρκα καθηλώσασα, οὕτως[22] τὰ μέλη κατεδαπάνησεν, ὥστε καὶ πνοὴν δυσώδη ἐξ αὐτῶν ἀποδίδοσθαι. Οὕτως ἐπὶ πλείστοις ἔτεσι παντοίων ἀρετῶν ἰδέαις διαπρέψασα, πρὸς τὴν ἀγήρω καὶ μακαρίαν ζωὴν μετατίθεται.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις[1] πατρὸς ἡμῶν Γεωργίου ἐπισκόπου Νικομηδείας τοῦ ποιητοῦ τῶν κανόνων.

6. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Λεοντίου ἀρχιμανδρίτου.

7. Καὶ τὰ ἐγκαίνια[1] τῶν ἁγίων μ'[2] μαρτύρων, πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

Dec. 30. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀνυσίας ὁρμωμένης ἐκ πόλεως Θεσσαλονίκης. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, γεννήτορας ἔχουσα εὐσεβεῖς[1] καὶ πιστοὺς καὶ περιουσίαν πολλὴν κεκτημένους. Ὧν τελευτησάντων, αὕτη κατὰ μόνας ἦν διαβιοῦσα[2] καὶ πράξεως εὐαρεστοῦσα Θεῷ. Ἦν ἀπερχομένην κατὰ τὸ ἔθος εἰς τὴν ἐκκλησίαν στρατιώτης τις τοῖς εἰδώλοις προσκείμε-

— [5] *om.* Sa. — [6] τελεῖται Sa. — [7] λυσσῶντα Sa. — [8] Σάρας S. — [9] Τηριδάτην S. — [10] κοινωνίας καὶ συναφείας Sa. — [11] νυμφίος Sa. — [12] ἀντιπαραταξάμενος Sa. — [13] κήρατος Sa. — [14] προνοία S. — [15] τοῖς τῆς ἀσκήσεως πόνοις *add.* Sa. — [16] ὀστέων Sa. — [17] οὐγγία Sa. — [18] ἢ Sa. — [19] Sa, τρίχινον S. — [20] κάτωθεν Sa. — [21] πικρότατον *add.* Sa. — [22] αὐτῆς *add.* Sa.

5. — [1] τοῦ ὁσίου Sa, *ad. d. Dec. 31.*

7. — [1] τοῦ ναοῦ *add.* Sa, *ibid.* — [2] τοῦ Χριστοῦ *add.* Sa.

1. — [1] εὐσεβοῦς S. — [2] διὰ βίου Sa.

Dec. 29. καὶ ἡγούμενος. Σὺν τούτῳ[7] ποτὲ ἀνελθὼν ἐν τῷ παλατίῳ ὁ θεοφόρος οὗτος Θαδδαῖος, ζήλῳ θείῳ πυρωθεὶς ἤλεγξε τὸν δυσσεβῆ ἐκεῖνον βασιλέα ἐνώπιον πάσης τῆς συγκλήτου. Ὁ δὲ ἐκέλευσε τὴν τοῦ Σωτῆρος ἡμῶν εἰκόνα ἐνεχθῆναι καὶ τεθῆναι ἐν τῇ γῇ, τὸν δὲ ἅγιον τοῦτον ἄνδρα ἐπιστῆναι ἄνωθεν τῆς ἁγίας εἰκόνος, καὶ μὴ βουλόμενον, κατεχόμενον ὑπό τινων ἰσχυρῶν ἀνδρῶν ἀσφαλῶς πρὸς τὸ μὴ μεταστῆναι[8]· « Ἴδε, φησὶν ὁ τύραννος, τὴν τοῦ Χριστοῦ σου εἰκόνα κατεπάτησας· λοιπὸν συγκατάθου » καὶ ἐν τοῖς λοιποῖς. » Ὁ δὲ ἐν ἀληθείᾳ πεφωτισμένος τὴν ψυχήν, ἀπεκρίνατο πρὸς αὐτόν· « Ἐγώ, » δυσσεβέστατε καὶ πάσης ἀκαθαρσίας πεπληρωμένε τύραννε, οὐκ ἐξ ἰδίας γνώμης τοῦτο πεποίηκα, » μὴ γένοιτο· ἀλλὰ τῆς σῆς τοῦτο πανουργίας καὶ ἀδίκου κρίσεως. Προσκυνῶ δὲ μᾶλλον ἐγὼ τῇ ἁγίᾳ » εἰκόνι τοῦ Χριστοῦ[9] καὶ Θεοῦ μου, καὶ κατασπάζομαι αὐτὴν καὶ ὑπὲρ αὐτῆς προθύμως ἀποθανεῖν » αἱροῦμαι. » Τούτοις τοῖς λόγοις ὁ ἀλιτήριος αἰσχυνθεὶς ὡς ὑπὸ ἀγροίκου καὶ σκυθογενοῦς καὶ παντελῶς ἰδιώτου ὑβρισθείς, ἐκέλευσεν ἔμπροσθεν αὐτοῦ τῷ ἐδάφει ῥιφῆναι καὶ ἀνηλεῶς τύπτεσθαι. Καὶ τοσοῦτον αὐτὸν τοῖς ῥοπάλοις ἔτυψαν, ἄχρις ἂν καὶ ἤλπιζον ἀναπνεῖν. Εἶτα νομίσαντες τεθνάναι, ἔσυραν[10] ἐκ τῶν ποδῶν ἔξω. Ὃν[11] καί τινες τῶν παρεστώτων δήσαντες εἵλκυσαν ὡς θνησιμαῖόν τι καὶ ἀκάθαρτον διὰ πάσης τῆς λεωφόρου· καὶ ῥίψαντες αὐτὸν πλησίον[12] τῆς πηγῆς, ὑπέστρεψαν ἀπολουσάμενοι. Ὁ δὲ μακάριος Θαδδαῖος εὐχαρίστως πάντα καὶ γενναίως ὑπενεγκὼν τρεῖς ἐπιβιοὺς ἡμέρας ἀπῆλθε πρὸς Κύριον. — **Mv** : 1. 2. 3. — Θαδδαίου τοῦ ὁμολογητοῦ. — **Mb** : 1. 2. 3. — Θαδδαίου. — 5. 7. — **Mr** : 1. 3.

Dec. 30. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. — Θεοδώρας (Dec. 29[4]). — Μελάνης (Dec. 31[1]). — **H** : 1. — Ἐγκαίνια τῶν ἁγίων μ' μαρτύρων (Dec. 29[7]). — Λέοντος τοῦ ἀρχιμανδρίτου (Dec. 29[6]). — **P** : 1. — Λεοντίου ἀρχιμανδρίτου (Dec. 29[6]). — Τὰ ἐγκαίνια τῶν ἁγίων μ' (Dec. 29[7]). — **Da** : 1. —

— [7] οὖν *add.* Mv. — [8] καὶ *add.* Mv. — [9] Κυρίου Mv. — [10] ἔσυρον Mv. — [11] Mv, οὗς M. — [12] τοῦ τείχους πρὸς τὸ μέρος *add.* Mv.

νος καὶ διὰ ματαιότητα θεοὺς[3] τὰ ἄψυχα ἡγούμενος ξόανα, κατέσχεν ἀνθέλκων αὐτὴν ἐπὶ τοὺς βωμοὺς καὶ προτρεπόμενος μᾶλλον σπονδὰς τοῖς δαιμονίοις προσενεγκεῖν. Τῆς δὲ τὸν Χριστὸν ὁμολογησάσης, ὁ στρατιώτης θυμοῦ πληρωθείς, — καὶ γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ ἡ ἁγία ἐνέπτυσε, — κατὰ τῆς πλευρᾶς αὐτῆς ἐλαύνει τὸ ξίφος· καὶ οὕτως τὸ μακάριον τέλος ἡ ἀοίδιμος μάρτυς ἐδέξατο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος[1] Δόμνας. Αὕτη[2] ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Νικομηδείας[3], ἱέρεια τυγχάνουσα τοῦ δωδεκαθέου τοῦ[4] ἐν τῷ παλατίῳ. Ἐντυχοῦσα δὲ ταῖς τῶν ἁγίων ἀποστόλων πράξεσιν καὶ ταῖς ἐπιστολαῖς τοῦ ἁγίου Παύλου, καὶ παρ' αὐτῶν τὴν ψυχὴν φωτισθεῖσα καὶ τὴν ἀληθῆ πίστιν μαθοῦσα, πιστεύει τῷ Χριστῷ καὶ βαπτίζεται παρὰ Κυρίλλου ἐπισκόπου Νικομηδείας ἅμα Ἴνδῃ τῷ εὐνούχῳ καὶ πλείστοις ἑτέροις[5], οὖσα ἤδη δωδεκαέτης. Εἶτα μεθίσταται τοῦ βίου ὁ ἐπίσκοπος Κύριλλος καὶ ψήφῳ θείᾳ προβάλλεται[6] Ἄνθιμος. | (f. 120v.) Ἡ δὲ ἁγία Δόμνα εἰς τὴν ἐπιμέλειαν τῶν πτωχῶν καὶ τὴν τῶν πενήτων χορηγίαν καταστήσασα ἑαυτήν, πάντα τὰ ἐκ τῶν βασιλικῶν φιλοτιμιῶν διδόμενα αὐτῇ καὶ τῷ μακαρίῳ Ἴνδῃ ἐπεδίδου πτωχοῖς[7]· ἐπεδαψιλεύσατο δὲ τὴν τοιαύτην ἐπίδοσιν, τοῦ βασιλέως ἐπὶ τὴν κατὰ τῶν Αἰθιόπων στρατείαν ὁρμήσαντος. Τότε γὰρ οὐ μόνον τὰ πρὸς τροφὴν αὐτοῖς διδόμενα ἀλλὰ καὶ τὰς πολυτιμήτους[8] ἐσθῆτας καὶ τὸν περικείμενον αὐτοῖς[9] χρυσὸν ἀπεμπολοῦντες διένεμον τοῖς πτωχοῖς. Διαβάλλονται οὖν τῷ ἀρχιευνούχῳ καὶ παρ' αὐτοῦ ἐν φυλακῇ τίθενται, ἔνθα δι' ἀγγέλου ἐπιστασίας ἐχορηγεῖτο αὐτοῖς ἡ τροφή. Συνετὴ δὲ οὖσα ἡ μακαρία Δόμνα καὶ τὸν τρόπον τῆς ἀλλοιώσεως ἐννοήσασα τοῦ Δαβίδ, καθ' ὃν ἀφείθη ἐν μέσῳ τῶν πολεμίων ἀποληφθείς, δαιμονᾶν προσποιειται καὶ μαίνεσθαι· διά τοι τοῦτο αὐτή τε καὶ ὁ Ἴνδης παρὰ τοῦ[10] ἀρχιευνούχου τῷ τῶν χριστιανῶν πέμπονται ἐπισκόπῳ, ὡς δυναμένῳ τῆς μανίας ἀπαλλάξαι αὐτήν. Καὶ ἦν λοιπὸν ἡ μακαρία ἐν πνευματικῇ ἡδονῇ μετὰ τῶν χριστιανῶν συνδιάγουσα. Τοῦ δὲ Μαξιμιανοῦ τροπωσαμένου τὸν πόλεμον καὶ[11] τὰ βασίλεια καταλαβόντος[12] καὶ ἐπινίκια θύειν τοῖς θεοῖς[13] βουλομένου, ἐζητεῖτο ἡ παρθένος Δόμνα καὶ οὐχ εὑρίσκετο. (Dec. 30.) Πυθόμενος δὲ τὰ περὶ αὐτὴν[14] ὁ βασιλεύς, αὐτόν τε τὸν εὐνοῦχον[15] ἀναιρεῖ καὶ κατὰ τῶν ἀσκητηρίων, ἐν οἷς παρθένοι σεμναὶ διῆγον τὸν Χριστὸν ὁμολογοῦσαι Θεόν, κινεῖ διωγμόν· ἔνθα πολλαὶ συλληφθεῖσαι τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο. Καὶ Γλυκέριος ὁ πρῶτος πρεσβύτερος[16] τῆς ἐκκλησίας διελέγξας[17] τὸν βασιλέα, ὡς ἐπὶ ματαίοις ἐλπίζει τοῖς εἰδώλοις καὶ θεοὺς ἡγεῖται τὰ ἄψυχα[18], βουνεύροις καταξανθεὶς καὶ ξύλῳ προσηλωθεὶς διὰ πυρὸς τελειοῦται. Καὶ πολλοὶ τῶν τῆς συγκλήτου διαβληθέντες, τὸν διὰ Χριστὸν ὑπέστησαν θάνατον. Τῆς δὲ[19] ἐκκλησίας πληθούσης κατὰ τὴν γενέθλιον ἡμέραν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ λαοῦ τῆς καθ' ἡμᾶς οἰκονομίας τὴν ὑπέρλογον σάρκωσιν ἑορτάζοντος[20], πῦρ ἀνήφθη κύκλῳ αὐτῆς[21], τοῦ βασιλέως προστάξαντος, ἐπεὶ οὐκ ἐπείσθησαν ἐξελθόντες τοῖς εἰδώλοις προσενέγκαι θυσίας· καὶ τελειοῦνται διὰ πυρὸς πλῆθος πολύ, ὡς εἶναι τὸν ἀριθμὸν δισμυρίους[22]. Οἱ δὲ ἀπὸ τῆς συγκλήτου, ὁ μὲν στρατιώτης[23] Ζήνων, θλασθεὶς τὴν ὄψιν καὶ τοὺς | (f. 121.) ὀδόντας λίθοις, ξίφει τὴν κεφαλὴν ἀποτέμνεται· Δωρόθεος δὲ[24] ὁ πραιπόσιτος τὴν κεφαλὴν ἀφαιρεῖται, Μαρδόνιος πυρὶ φλέγεται, Μυγδόνιος ἐμβάλλεται βόθρῳ, Γοργόνιος καὶ Ἴνδης καὶ Πέτρος λίθοις προσδεθέντες τῷ βυθῷ τῆς θαλάσσης ἀκοντίζονται καὶ[25] Θεόφιλος ὁ διάκονος τὴν γλῶτταν ἐκτέμνεται καὶ ἐν τῷ πεδίῳ λιθοβολεῖται. Ἡ δὲ μακαρία Δόμνα ἀνδρικὴν ὑποδῦσα στολὴν καὶ ἀπὸ τοῦ σπηλαίου, ἐν ᾧ ἐκέκρυπτο, κατελθοῦσα, τῶν ἀθλησάντων[26] ἀναλαβομένη[27] τὰ σώματα καὶ πλοίῳ ἐνθεῖσα, ἐν ἐπιτηδείῳ τόπῳ ταῦτα ἐκόμισεν ἔξω τῆς πόλεως. Διαβληθεῖσα δὲ προστάξει τοῦ βασιλέως τὴν κεφαλὴν ἀποτέμνεται καὶ πυρὶ τεφροῦται τὸ σῶμα· ἔνθα καὶ ὁ ἅγιος Ἄνθιμος ὁ ἐπίσκοπος συλληφθεὶς τύπτεται σφοδρῶς καὶ σούβλαις πεπυρωμέναις διαπερονᾶται τοὺς ἀστραγάλους, καὶ ἐπὶ ὀστράκου ἁπλοῦται καὶ ῥάβδοις[28] συντρίβεται καὶ κρηπῖδας χαλκᾶς πεπυρωμένας ὑποδύεται καὶ ἐπὶ τροχοῦ κατατείνεται καὶ λαμπάσι πυρὸς ὑποκαίεται. Ἐξ ὧν τῇ τοῦ Θεοῦ χάριτι ῥυσθεὶς ἐτμήθη τὴν κεφαλήν, καὶ τὸν τοῦ μαρτυρίου ἀνεδήσατο στέφανον.

— [3] καὶ ||||||| θεοὺς Sa.

2. — [1] *om.* Sa. — [2] ἡ ἁγία Δόμνα Sa. — [3] ἐν πόλει Νικομηδείᾳ Sa. — [4] τῷ Sa. — [5] πλείστας ἑτέρας S. — [6] προβέβληται ὁ ἁγιώτατος Sa. — [7] δεομένοις Sa. — [8] πολυτιμήτας Sa, *et ante corr.* S. — [9] αὐταῖς Sa. — [10] *om.* Sa. — [11] μετὰ τροπαίων εἰς Sa. — [12] ἀναζεύξαντος Sa. — [13] εἰδώλοις Sa. — [14] αὐτῆς Sa. — [15] ἀρχιευνοῦχον Sa. — [16] πρωτοπρεσβύτερος Sa. — [17] διέλεγξε Sa. — [18] (ὡς - ἄψυχα) *om.* Sa. — [19] (τῆς δὲ) καὶ τῆς Sa. — [20] (τοῦ λαοῦ - ἑορτάζοντος) *om.* Sa. — [21] ταύτης Sa. — [22] (τοῦ - δισμυρίους) καὶ συγκατεκαύθη πλῆθος πολὺ τὸν ἀριθμὸν ὡσεὶ δισμύριοι Sa. — [23] στρατηγός Sa. — [24] *om.* Sa. — [25] *om.* Sa. — [26] ἀθλητῶν Sa. — [27] ἀναλαμβανομένη Sa. — [28] βάκλοις Sa.

Θεοδώρας (Dec. 29[4]). — Γεωργίου (Dec. 29[5]). — Λεοντίου (Dec. 29[6]). — Τὰ ἐγκαίνια τῶν ἁγίων μ' (Dec. 29[7]). — **Db** : 1. — Θεοδώρας. — Γεωργίου. — Τὰ ἐγκαίνια τῶν ἁγίων μ'. — **F** : 1. — Ζωτικοῦ τοῦ ὀρφανοτρόφου. Οὗτος ὁ ἅγιος καὶ πανἀοίδιμος τοῦ Χριστοῦ μάρτυς Ζωτικὸς ὑπῆρχε τῆς πρεσβυτέρας Ῥώμης, κάλλιστον θρέμμα εὐγενῶν γονέων καὶ τὸν βίον εὐδοκιμούντων... Des. : ὁ δὲ τίμιος Ζωτικὸς χάριτι φιλανθρώπου Θεοῦ ἔκτοτε ἀπείρως θαυματουργῶν οὐ παύεται μέχρι τῆς ἡμέρας ταύτης (Dec. 31[2]). — **Fa** : 1. — Ζωτικοῦ. — **B** : 1. — Τίμωνος. — **Ba** : deest. — **Bb** : 1. — Τίμωνος. — Θεοδωσίας τῆς ἀπὸ Καισαρείας (Dec. 29[4]). — **L** : 1. — **C** : 1. — Θεοδώρας. — **Cb** : 1. — **Cc** : 1. — Θεοδώρας. — **Cd** : 1. — **M** : 1. — Θεοδώρας. — Φιλεταίρου. — Ὁ ὅσιος Λέων ὁ ἀρχιμανδρίτης ἐν εἰρήνῃ τ. (Dec. 29[6]). — **Mv** : 1. — Θεοδώρας. — Φιλεταίρου. — Λέων. — **Mb** : 1. — Θεοδώρας. — Φιλεταίρου. — **Mr** : 1. (Dec. 30.)

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑ'.

Dec. 31. **1.** Μνήμη τῆς ὁσίας Μελάνης τῆς Ῥωμαίας. Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Ὁνωρίου, γένους περιδόξου[1] καὶ λαμπροῦ· ἐξ ὅλης δὲ ψυχῆς τὸν Κύριον ἀγαπήσασα, παρθενεύειν ἠρετίσατο[2]. Ἀλλ' οἱ ταύτης γονεῖς ἀνδρὶ ταύτην ζευγνύουσι καὶ δύο τέκνων μήτηρ ἐγένετο. Εἶτα οἱ γονεῖς αὐτῆς[3] καὶ τὰ τέκνα τὸν βίον ἀπολιμπάνουσι· τὴν πόλιν δὲ[4] καταλιποῦσα ἐν προαστείῳ διῆγε, πᾶσαν ἄσκησιν ἐπιδεικνυμένη. Νοσοῦντας γὰρ ἐθεράπευε, τοὺς ἐπιδημοῦντας ξένους ὑπεδέχετο, τοὺς ἐν φυλακῇ[5] καὶ ἐξορίαις ἐπεσκέπτετο· μετὰ ταῦτα τὴν ὕπαρξιν αὐτῆς πολλὴν οὖσαν διαπωλήσασα καὶ δώδεκα μυριάδας χρυσίου συναγαγοῦσα, εἴς τε μοναστήρια καὶ ἐκκλησίας κατεκένου. Ἔπειτα ἤρξατο ὑποπιάζειν αὐτῆς τὸ σῶμα. Διὰ γὰρ δύο ἡμερῶν μετελάμβανε τροφῆς, εἶτα διὰ πέντε, ὡς σαββάτῳ καὶ κυριακῇ ἐσθίειν μόνον· ἔγραφε δὲ εὐφυῶς καὶ ἀνεγίνωσκε. Ποιήσασα δὲ ἐν Ἀφρικῇ ἔτη ἑπτὰ καὶ ἀποθεμένη πάντα τὸν πλοῦτον εἰς Ἀλεξάνδρειαν ἀφίκετο κἀκεῖθεν εἰς Ἱεροσόλυμα, ἔν τινι κελλίῳ ἑαυτὴν ἐγκλείσασα· ἔνθα[6] μοναστήριον[7] συστησαμένη καὶ ἐνενήκοντα παρθένους συναγαγοῦσα, πᾶσαν χρείαν αὐταῖς ἀπαραλείπτως παρεῖχε. (f. 121v.) Κατασχεθεῖσα οὖν[8] | ὑπὸ τῆς τοῦ πλευροῦ ἀλγηδόνος, σφόδρα ἠρρώστησε. Καὶ προσκαλεσαμένη τὸν ἐπίσκοπον Ἐλευθερουπόλεως καὶ δεξαμένη παρ' αὐτοῦ τὴν θείαν κοινωνίαν καὶ συνταξαμένη ταῖς ἀδελφαῖς, ἐσχάτην ταύτην ἀφῆκε φωνήν· «Ὡς » τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο.» Καὶ εὐθὺς παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Θεῷ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀθλήσεως τοῦ ἁγίου Ζωτικοῦ τοῦ ὀρφανοτρόφου. Οὗτος ὑπῆρχε[1] τῆς πρεσβυτέρας Ῥώμης, γένους ἐντίμου καὶ λαμπροῦ· ἐξ ἁπαλῶν δὲ τῶν ὀνύχων πάσῃ σοφίᾳ παιδευθείς, παρὰ τοῦ ἐν βασιλεῦσι μεγάλου βασιλέως Κωνσταντίνου ἐν Κωνσταντινουπόλει ὡς ἀγχίνους μετοικίζεται καὶ μαγιστριανὸς τιμᾶται. Σὺν αὐτῷ δὲ καὶ ἕτεροι τῶν ἐν τέλει ἀπὸ Ῥώμης συνέρχονται· ὅ τε τῶν ἁρμάτων μαγιστριανὸς καὶ Παυλῖνος, ὁ τούτου ἀνεψιός, ἔτι τε Ὀλύβριος, Βῆρος, Σεβῆρος, Μαριανός, Ἄνθιμος, Οὐρβίκιος, Ἰσίδωρος, Καλλίστρατος, Φλορέντιος[2], Εὔβουλος, Σαμψών, Στούδιος καὶ ὁ θεσπέσιος Ζωτικός, ὧν καὶ αἱ[3] ἐπωνυμίαι ἐν τοῖς εὐαγέσιν αὐτῶν οἴκοις μέχρι τῆς σήμερον ἐπικέκληνται. Λέγεται δὲ κατὰ τὰς ἡμέρας ταύτας ἐνσκῆψαι τὴν ἱερὰν νόσον ἐν ταύτῃ τῇ πόλει καὶ δόγμα ἐνθέσθαι τὸν βασιλέα βυθῷ θαλάσσης[4] τὸν εἰς ταύτην καταπεσόντα παραπέμπεσθαι· τοῦτο[5] μὴ φέροντα ἰδεῖν ἢ ἀκοῦσαι τὸν τίμιον ἄνδρα[6] πόθῳ θείῳ[7] πυρποληθέντα προσελθεῖν τῷ βασιλεῖ καὶ φῆσαι· «Δότω ὁ βασι» λεὺς τῷ δούλῳ αὐτοῦ ποσὸν χρυσίου πολλοῦ » καὶ ὠνήσομαι μαργαρίτας τιμίους καὶ λίθους » διαφανεῖς εἰς δόξαν καὶ τιμὴν τοῦ κράτους » αὐτοῦ, ὡς ἔχων πεῖραν πολλὴν ἐν τούτοις.» Ὁ δὲ βασιλεὺς παραυτὰ ἐκέλευσε τοῦτο γενέσθαι. Ὁ δὲ θεοφιλὴς ἐκεῖνος καὶ τοῦ Θεοῦ ἐργάτης δόκιμος, τὸ χρυσίον εἰληφὼς ἐξῄει μετ' εὐφροσύνης καὶ τοὺς ὑπὸ τοῦ ἐπάρχου[8] παραδιδομένους τοῖς δημίοις εἰς ἀπώλειαν, ἱκανὸν τίμημα παρέχων[9], τῆς θανατικῆς πνιγμονῆς ῥυόμενος, πέραν τοῦ Βυζαντίου ἐν τῷ ὄρει τῷ κατὰ τὸν τότε καιρὸν λεγομένῳ Ἐλαιῶνες ἀπεκόμιζε, καὶ σκηνὰς[10] πηγνύμενος ἐκεῖσε αὐτοὺς ἐπανέπαυε. Τοῦτο[11] τὸ θεοκερδὲς[12] ἐμπόρευμα οὐκ ἔλαθε τοὺς πολλοὺς διὰ τὸ πλεῖστα αὐτοῖς[13] ἐπιχορηγεῖν τὸ καθ' ἡμέραν, ὡς πολλοῦ ὑπάρχοντος πλήθους, | καὶ ὡς ἐκ τούτου οὐ μικρὸν (f. 122.) τῇ πόλει λιμὸν μέλλειν[14] ἔσεσθαι προσδοκᾶν. Μετὰ δὲ[15] μετάστασιν τοῦ μεγάλου καὶ ἀοιδίμου ἐν βασιλεῦσι Κωνσταντίνου, Κωνστάντιος ὁ υἱὸς αὐτοῦ τὴν ὅλην βασιλείαν ὑποζωσάμενος, οὐκ εὐσεβῶς, ἀρειανίζων γὰρ ἦν, πολλοὺς τῶν εὐσεβῶν ποιναῖς ὑπέβαλεν. Ὃς καὶ τὸν μακάριον Ζωτικὸν ὀρθόδοξον ὑπάρχοντα ἀπεστρέφετο, εἰ καὶ τοῦ ἁγίου Κωνσταντίνου τοῦ πατρὸς αὐτοῦ τῇ πρὸς τὸν ὅσιον στοργῇ[16] ηὐλαβεῖτο· εὐκαίρου δὲ λαβόμενος ἀφορμῆς, ἐνεῖχεν αὐτῷ ὡς τὴν νόσον τῆς λελωβημένης λέπρας οἰόμενος[17] δι' αὐτοῦ ἐν τῇ πόλει ἐνσκῆψαι. Συνέβη δὲ καὶ τὴν τοῦ βασιλέως θυγατέρα τῇ αὐτῇ νόσῳ περιπεσεῖν, ἥτις καὶ παρεδόθη τῷ ἐπάρχῳ[18] παρὰ τοῦ ἰδίου πατρὸς πρὸς τὸ τῇ θαλάσσῃ ἀπορριφῆναι. Ὁ δὲ τίμιος Ζωτικὸς κατὰ τὸ εἰωθὸς δοὺς τοῖς δημίοις τὸ ὀφειλόμενον, ἐξωνήσατο τὴν παῖδα καὶ τοῖς λοιποῖς λωβοῖς ἐγκατέστησε. Τοῦ προσδοκωμένου οὖν λιμοῦ κατὰ συγχώρησιν Θεοῦ γενομένου καὶ ἐν σπάνῃ χρειῶν τῆς πόλεως καταστάσης, ὁ βασιλεὺς δυσχεραίνων ἐπειρᾶτο μαθεῖν τοῦ λιμοῦ τὴν

1. — [1] ἐνδόξου Sa. — [2] ἠρετήσασα S. — [3] ταύτης γονεῖς Sa. — [4] ἡ δὲ τὴν π. Sa. — [5] φυλακαῖς Sa. — [6] ἔνθα κελλίῳ τινι ἑαυτὴν ἐγκ. Sa. — [7] τε *add.* Sa. — [8] δὲ Sa.
2. — [1] ἀπὸ *add.* Sa. — [2] Φλωρέντιος S, Sa. — [3] *om.* Sa. — [4] θαλάττης Sa. — [5] οὖν *add.* Sa. — [6] ἰδεῖν τὸν θεῖον ἄνδρα ἢ ἀκοῦσαι Sa. — [7] θεϊκῷ Sa. — [8] ὑπάρχου Sa. — [9] καὶ *add.* Sa. — [10] σκηνὴν Sa. — [11] δὲ *add.* Sa. — [12] θεοκερδῆ S. — [13] τὰ πρὸς ζωὴν ἀναγκαῖα *add.* Sa. — [14] *om.* Sa. — [15] τὴν *add.* Sa. — [16] τὴν ... στοργὴν Sa. — [17] οἰόμενον Sa. — [18] ὑπάρχῳ Sa.

Dec. 31. SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Γεωργίου (Dec. 29[5]). — Λεοντίου (Dec. 29[6]). — Τὰ ἐγκαίνια τῶν μ' μαρτύρων (Dec. 29[7]). — **Sb** : 2. — **H** : Δόμνας καὶ τοῦ πλήθους τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων (Dec. 30[2]). — 2, des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Παύλου τῷ ὄντι ἐν τῷ Ὀρφανοτροφείῳ. — **P** : 2. — Γεωργίου τοῦ Κυπρίου (cf. Dec. 29[5]). — Ἴνδη καὶ Δόμνης κτλ. (Dec. 30[2]). — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : Ἴνδης καὶ Δόμνας. — **Fa** : Ἤνδη καὶ Δόμνας. — **B** : 1. — **Ba** : mutil., 2 (= S). — **Bb** : 1. 2. — **L** : 1. — **C** : 1. 2. — Τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἀβδιοῦ (Nov. 19[1]). — Σαλαμανοῦ (Febr. 17[6]). — **Cb** : Αὐδιοῦ. — Λέοντος τοῦ ἀρχιμανδρίτου (Dec. 29[6]). — 2. 1. — **Cc** : 1. 2. — Ἀβδιοῦ. — Σαλαμάνου. — **Cd** : Ἀβδιοῦ. — Λέοντος ἀρχιμανδρίτου. — 2. 1. — **M** : 1. 2 (σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου

αἰτίαν. Οἱ δὲ συκοφάνται καὶ τῆς ἀληθείας ἐχθροί, ἀδείας λαβόμενοι διέβαλον τὸν ὅσιον Ζωτικόν, καὶ αὐτὸν αἴτιον τοῦ λιμοῦ γεγενῆσθαι διεβεβαίουν[19], ὡς τοῖς λωβοῖς τὰς σωματικὰς χρείας παρέχοντος δαψιλεῖς, πλῆθος ἀναρίθμητον οὖσιν. Ὁ δὲ βασιλεὺς τούτων[20] ἀκούσας καὶ πρὸς ὀλίγον τὸν θυμὸν αὐτοῦ ταμιευσάμενος, μικρὸν ὅσον ᾐδεῖτο τὸν ὅσιον, καὶ ὑπεστέλλετο διὰ τὸ μήπω τοὺς μαργαρίτας καὶ τοὺς τιμίους λίθους ἀπολαβεῖν[21], ὅμως παραπεισθεὶς ὑπὸ κακοθελῶν ἀνδρῶν συλληφθῆναι τοῦτον ἐκέλευσεν. Ὁ δὲ ὅσιος τοῦτο ἀναμαθὼν καὶ σπουδῇ[22] λάθρα πρὸς τὸ παλάτιον εἰσελθὼν ἐμφανίζεται τῷ βασιλεῖ. Ὁ δὲ βασιλεὺς εἰρωνικῶς ἔφη πρὸς αὐτόν· «Ἦλθε, μαγιστριανέ, ἡ τοὺς » μαργαρίτας καὶ τοὺς διαφανεῖς λίθους ἀποκομί» ζουσα ναῦς;» Ὁ δέ φησιν· «Ἐλθέ, βασιλεῦ, » εἰ ἀξιοῖς, μετὰ τοῦ δούλου σου καὶ βλέπεις » αὐτήν.» Αὐτίκα οὖν μὴ μελλήσας ὁ βασιλεὺς τῆς πορείας ἀπήρξατο. Ὁ δὲ μακάριος Ζωτικὸς προλαβὼν ἐν τῷ Ἐλαιῶνι, τοὺς ἐν Χριστῷ ἀδελφοὺς τοὺς λωβοὺς ἐκέλευσεν ἐξελθεῖν τῶν καλυβῶν, σὺν τῇ τοῦ βασιλέως θυγατρί, λαμπαδηφόρους πρὸς ὑπαντὴν[23] τοῦ βασιλέως. Ὁ δὲ βασιλεὺς (f. 122v.) φθάσας τὸν τόπον καὶ ἰδὼν | μακρόθεν τοὺς λωβοὺς λαμπαδηφόρους καὶ θαυμάσας τὸ πλῆθος εἶπε· «Τίνες οὗτοι;» Ὁ δὲ τῷ ἰδίῳ δακτύλῳ ἐπιδείξας· «Οὗτοι, δέσποτα, εἰσίν, ἔφη, οἱ ὑπέρτιμοι » λίθοι[24] καὶ διαφανεῖς μαργαρῖται, οὓς σοι ἐμπό» νως ἐπριάμην.» Ὁ δὲ ἐμπαιγμὸν τὸ πραχθὲν λογισάμενος καὶ ὑπερζέσας τῷ θυμῷ, συντόμως κελεύει τοῦτον ἀγρίοις ἡμιόνοις συνδεθέντα ἐλαύνεσθαι, ὅπως, ὑπὸ τῶν[25] πετρῶν κατακοπτομένων αὐτοῦ τῶν μελῶν, ἀπορραγῇ[26] μετὰ βίας τοῦ ζῆν. Τούτου οὖν διὰ τάχους γενομένου, παρεστῶτος τοῦ βασιλέως καὶ βλέποντος, αἱ ἡμίονοι παρὰ τῶν δημίων κέντροις βαλλόμεναι, βιαίῳ δρόμῳ τὸν ὅσιον ἀπὸ τοῦ λόφου πρὸς τὸ κάταντες ἐπέσυρον, ὅθεν καὶ κατὰ μέρος τὰ μέλη αὐτοῦ διεσκορπίσθησαν καὶ οἱ ὀφθαλμοὶ ἠχρειώθησαν. Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, παραυτίκα[22] πηγὴ ἀνεδόθη καθαροῦ καὶ ποτίμου ὕδατος, ἥτις καὶ ἰᾶται πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, εἰς ἔπαινον καὶ δόξαν τοῦ φιλοκτίρμονος Θεοῦ καὶ τοῦ θεράποντος αὐτοῦ. Ἐπεὶ δὲ συρόμενος ὁ μακάριος Ζωτικὸς τὴν ψυχὴν παρέθετο τῷ Κυρίῳ, αὐτίκα αἱ ἡμίονοι ἀκίνητοι μείνασαι καὶ μηδαμῶς[27] κινούμεναι, καίπερ βίᾳ μαστιζόμεναι ὑπὸ τῶν δημίων, ἀνθρωπίνῃ φωνῇ εἰς ἐπήκοον πάντων αὐτοῦ τοῦ βασιλέως τὴν ὠμότητα καὶ ἀλογίαν ἐθριάμβευσαν, τυφλὸν[28] αὐτὸν καὶ ἀναίσθητον εἰποῦσαι· τὸν δὲ ὅσιον ταφῆναι ἐν αὐτῷ εἶπον τῷ τόπῳ. Ταῦτα ἀκούσας καὶ ἰδὼν ὁ βασιλεύς, θάμβους πλησθείς, δάκρυσι καὶ στεναγμοῖς τὸ θεῖον ἐξιλεοῦτο μετὰ συντριμμοῦ[29] καρδίας, ἄγνοιαν εἶναι εἰπὼν τὰ παρ' αὐτοῦ πραχθέντα· καὶ παραυτίκα προστάττει μετ' ἐπιμελείας καὶ πολλῆς τιμῆς κηδευθῆναι τὸ σῶμα τοῦ μάρτυρος καὶ σπουδῇ συντόνῳ[30] ἀνεγεῖραι οἶκον μέγιστον τοῖς λωβοῖς, ἐκ τῶν βασιλικῶν ἀναλωμάτων τὴν ἔξοδον γενέσθαι κελεύσας καὶ προάστεια πλεῖστα ἐκεῖσε ἀφιερώσας. Ὁ δὲ τίμιος Ζωτικὸς χάριτι τοῦ φιλανθρώπου Θεοῦ ἔκτοτε ἀπείρως θαυματουργῶν οὐ παύεται μέχρι τῆς ἡμέρας ταύτης.

— [19] διεβεβαιοῦντο Sa. — [20] τοῦτο Sa. — [21] Sa, ἀπολαυεῖν S. — [22] *om.* Sa. — [23] ὑπάντησιν Sa. — [24] λίθοις Sa. — [25] ἐκεῖσε *add.* Sa. — [26] ἀπορραγῆναι Sa. — [27] μηδόλως Sa. — [28] καὶ *add.* Sa. — [29] συντετριμμένης Sa. — [30] συντονωτάτη Sa.

Παύλου τῷ ὄντι ἐν τῷ Ὀρφανοτροφείῳ). — Γελάσιος ἐν εἰρήνῃ τ. — Αἱ ἅγιαι δέκα παρθένοι αἱ ἐν Νικομηδείᾳ τοὺς ὀφθαλμοὺς διατηρηθεῖσαι καὶ τὰς πλευρὰς ξεσθεῖσαι τ. — Ὀλυμπιοδώρα π. τ. — Γάϊος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Γελάσιος. — Αἱ ἅγιαι δέκα παρθένοι. — Ὀλυμπιοδώρα. — Γάϊος. — **Mb** : 1. 2. — Τοῦ ἁγίου ἀποστόλου Τίμωνος. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρίνου ἐπισκόπου. — Γελασίου. — Γαΐου. — Τοῦ ἁγίου μάρτυρος Βουσίριδος. — **Mr** : 1. (Dec. 31.)

ΜΗΝ ΙΑΝΟΥΑΡΙΟΣ

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ι' καὶ ἡ νὺξ ὥρας ιδ'.

ΕΙΣ ΤΗΝ Α'.

Ian. 1. **1.** Ἡ [1] κατὰ σάρκα ὀκταήμερος περιτομὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἡ ἀπὸ τῆς ἁγίας γεννήσεως τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιφαινομένη ὀγδόη — τοῦ γεννηθέντος ἡμῖν ἐκ παρθένου ἁγίας δεσπότου ἐστὶν περιτομή, f. 123. ταύτην εἰς ἀναίρεσιν τῆς νομικῆς | διατάξεως καταδεξαμένου, ἵνα τὴν ἐν πνεύματι καὶ ἀχειροποίητον περιτομὴν εἰσαγάγῃ· ἣν καὶ ἐξ ἐκείνου τῇ κατὰ κύκλον τοῦ χρόνου περιελεύσει πανηγυρίζειν παρελάβομεν ὑπὸ [2] τῶν ἁγίων πατέρων καὶ μέντοι πανηγυρίζομεν αὐτήν, ἑορτὴν καὶ δεσποτικὴν ἡμέραν ποιούμενοι διὰ τὸν ἡμᾶς τιμήσαντα Κύριον, δεξάμενον ταύτην [3]. Ὥσπερ γὰρ ἔνσαρκον γέννησιν δι' ἡμᾶς καὶ τἆλλα πάντα τῆς φύσεως, ὅσα τὸν νόμον [4] ἐκπέφευγε παντελῶς καὶ τὸ ἄληπτον ἔλαχεν, ἐδέξατο, οὕτως καὶ περιτομὴν ἔννομον, ὥστε καὶ τὰ τῶν αἱρετικῶν ἐμφράξαι στόματα, σάρκα μὴ ἀνειληφέναι κατατολμώντων λέγειν, ἀλλὰ κατὰ φαντασίαν γεγεννῆσθαι. Πῶς γὰρ ἂν περιετέμνετο [5], σάρκα μὴ ἀνειληφώς; Ἦν καὶ τοὺς ἀγνώμονας Ἰουδαίους ἐπιστομίσαι, τὰ σάββατα μὴ τηρεῖν καὶ τὸν νόμον λύειν συκοφαντοῦντας τὸν μέχρι καὶ τῆς περιτομῆς τὴν τοῦ νόμου φυλακὴν διασώσαντα. Διά τοι τοῦτο μετὰ ἡμέρας ὀκτὼ τῆς αὐτοῦ ἐκ παρθένου θείας [6] γεννήσεως εὐδόκησεν ἀχθῆναι παρὰ τῶν γονέων αὐτοῦ ὁ Κύριος εἰς τὸν τόπον, ἐν ᾧ ἔθος εἶχον οἱ Ἰουδαῖοι περιτέμνεσθαι· καὶ περιετμήθη καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, (Luc. 2, 21.) τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου· καὶ πάλιν ἀπελθὼν μετὰ τῶν γονέων, ἀνετρέφετο [7] ἀνθρωπίνως, προκόπτων σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι εἰς σωτηρίαν ἡμῶν.

2. Τῇ [1] αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν [2] Βασιλείου, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, τοῦ μεγάλου [3]. Οὗτος ὁ τρισμακάριστος καὶ ἀοίδιμος καὶ μέγας πατὴρ ἡμῶν Βασίλειος ἦν ἐν τοῖς χρόνοις τῆς βασιλείας Οὐάλεντος. Πρὸς ὃν καὶ ὑπὲρ τῆς ὑγιοῦς ἐπαρρησιάσατο πίστεως καὶ ἤλεγξεν αὐτὸν τὰ τοῦ Ἀρείου φρονοῦντα, καὶ ἔπεισε παρ' ὀλίγον τὴν αἵρεσιν ἀρνήσασθαι, εἰ μὴ αἰσχυνόμενον αὐτὸν [4] ἔβλεπεν· ὅμως εἰ καὶ τὴν αἵρεσιν τελείως οὐκ ἠρνήσατο, ἥτις δίκην πυρὸς ἐλυμαίνετο τὰς ἐκκλησίας τέως καὶ τῇ ἐκκλησίᾳ προσῆλθε, λειτουργοῦντος τοῦ ἁγίου,

1. — [1] *Hic manu rec. in margine scriptum habet* Sa : εἰς τὴν α' ἡ κατὰ σάρκα περιτομὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Χριστοῦ περιτμειθέντος ἐτμείθη νόμος καὶ τοῦ νόμου τμειθέντος ἐτμείθη χάρις. — [2] παρὰ Sa. — [3] αὐτὴν Sa. — [4] μῶμον Sa. — [5] περιετέμνετο ἂν Sa. — [6] θείας ἐκ παρθένου Sa. — [7] ἀνεστρέφετο S, Sa.

2. — [1] *manus eadem, de qua ad 1, notam adscripsit :* Ζῇ Βασίλειος καὶ θανὼν ἐν Κυρίῳ, ζῇ καὶ παρ' ἡμῶν ὡς λαλῶν ἐκ τῶν βίβλων Sa. — [2] καὶ μεγάλου *add.* Sa. — [3] τοῦ μεγάλου *om.* Sa. — [4] ἑαυτὸν Sa.

Ian. 1. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. 2. — **P** : 1. 2. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. 2. — Θεοπέμπτου καὶ Θεοδότης. — **Ba** : 1. 2. — **Bb** : 1. 2. — **C** : 1. 2. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — **Cd** : 1 : Ἡ περιτομὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Βουλόμενος ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς ὡς τὰς καρδίας τῶν ἀνθρώπων γινώσκων καὶ τὰ μέλλοντα προειδὼς τὴν οἰκονομίαν πιστώσασθαι τῆς σαρκώσεως καὶ τῆς ἐνανθρωπήσεως, ἵνα μήτις ἐκ τῶν αἱρετικῶν ἔχοι λέγειν, ὅτι κατὰ φαντασίαν ἐγεννήθη, καὶ οὐ κατὰ ἀλήθειαν τὴν ἡμετέραν ἀνελάβετο σάρκα, ὥσπερ δὴ καὶ πολλοὶ τοῦτο ἐτόλμησαν εἰπεῖν· ἅμα δὲ καί, ἵνα λύσῃ πᾶσαν πρόφασιν τῶν Ἰουδαίων, τοῦ μὴ λέγειν, ὅτι οὐκ ἐπολιτεύσατο κατὰ τὸ ἔθος ἐκείνων καὶ τὴν διαταγήν, πληροῖ πάντα τὰ τοῦ νόμου. Καὶ μετὰ ἡμέρας ὀκτὼ τῆς αὐτοῦ θείας ἐκ παρθένου γεννήσεως εὐδοκεῖ ὥστε ἀπαχθῆναι αὐτὸν παρὰ τῶν γονέων εἰς τὸν τόπον, ἐν ᾧ ἔθος εἶχον οἱ Ἰουδαῖοι περιτέμνεσθαι· καὶ περιετμήθη καὶ ἐκλήθη τὸ ὄνομα (Luc. 2, 21.) αὐτοῦ Ἰησοῦς τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου. Καὶ πάλιν ἀπαχθεὶς οἴκαδε ἀνετρέφετο ἀνθρωπίνως προκόπτων σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι εἰς σωτηρίαν πάντων ἡμῶν. — 2 : Βασιλείου ἀρχιεπισκόπου Καισαρείας. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Οὐάλεντος, πρὸς ὃν καὶ ὑπὲρ τῆς ὀρθοδόξου ἐπαρρησιάσατο πίστεως, τοῦ βασιλέως τὰ Ἀρείου τοῦ ματαιόφρονος φρονοῦντος. Ἦν δὲ ἀπὸ μὲν πατρὸς λεγομένου Βασιλείου ἐκ Πόντου, ἀπὸ δὲ μητρὸς Ἐμμελίας [1] καλουμένης ἐκ Καππαδοκίας· ἐν δὲ σοφίᾳ καὶ γνώσει πάντας τοὺς παλαιοὺς ἐνίκησεν, καὶ διὰ πάσης ἐλθὼν παιδεύσεως, ἐν ἑκάστῃ τὸ κράτος ἐκτήσατο. Ἐξαιρέτως δὲ τὴν διὰ πράξεως φιλοσοφίαν ἐξήσκησεν καὶ διὰ ταύτης τὴν τῶν ὄντων γνῶσιν μαθὼν ἐπὶ τὸν ἀρχιερατικὸν τῆς Καισαρείας θρόνον ἀνήχθη, ἔνθα δὴ πολλοὺς ἀγῶνας ὑπὲρ τῆς

[1] Ἐμμελείας Cd.

καὶ δῶρα προσέφερεν. Ἦν δὲ ὁ ἅγιος πρὸς μὲν πατρὸς καὶ αὐτοῦ ὀνομαζομένου Βασιλείου ἐκ Πόντου, πρὸς δὲ μητρός, ᾗ κλῆσις Ἐμμελίᾳ, Καππαδόκης. Ἐν λόγοις δὲ οὐ μόνον τοὺς κατ' αὐτὸν ἀλλὰ καὶ τοὺς παλαιοὺς ὑπερέβαλε· διὰ γὰρ πάσης ἐλθὼν ἰδέας παιδεύσεως, ἐν ἑκάστῃ τὸ κράτος ἐκτήσατο. Οὐχ ἧττον δὲ τὴν διὰ πράξεως ἀσκήσας f. 123v. φιλοσοφίαν καὶ διὰ ταύτης τῇ θεωρίᾳ τῶν ὄντων | προσβάς [5], ἐπὶ τὸν ἀρχιερατικὸν θρόνον ἀνήχθη· ἔνθα δὴ [6] πολλοὺς ἀγῶνας ὑπὲρ τῆς ὀρθοδόξου πίστεως διανύσας [7] καὶ τῷ σταθερῷ [8] τοῦ φρονήματος καὶ ἀτρέπτῳ τὸν [9] ὕπαρχον [10] καταπλήξας καὶ λόγους ἐκθείς, δι' ὧν τὰ τῶν ἑτεροδόξων φρονήματα κατεβρόντησε καὶ τὴν ἐν ἤθει κατάστασιν ἐξεπαίδευσεν καὶ τῶν ὄντων κατάστασιν [11] καὶ [12] γνῶσιν κατέστησεν ἐναργῆ, καὶ διὰ πάσης ἀρετῆς τὴν τοῦ Χριστοῦ ποίμνην ὁδηγήσας, πρὸς Κύριον ἐξεδήμησεν. Ἦν δὲ τὸν τύπον τοῦ σώματος ἐπὶ πολὺ μῆκος τοῦ ὀρθίου σχήματος ἀναδραμών, ξηρὸς καὶ λειπόσαρκος, μέλας τὸ χρῶμα, ὠχρότητι τὸ πρόσωπον σύγκρατος, ἐπίρριν, εἰς κύκλον τὰς ὀφρῦς περιηγμένος, τὸ ἐπισκύνιον συνεσπακώς, φροντιστικῷ ἐοικώς, ὀλίγαις τὸ πρόσωπον ἀμαρυγαῖς ῥυτιδούμενος, ἐπιμήκης τὰς παρειάς, κοῖλος τοὺς κροτάφους, ἠρέμα ἐν χρῷ κουρίας, τὴν ὑπήνην ἀρκούντως καθειμένος, μεσαιπόλιος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ [11] μεγάλῃ ἐκκλησίᾳ. (Ian. 1.)

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Ian. 2. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σιλβέστρου πάπα Ῥώμης. Οὗτος ὁ μακάριος χειροτονεῖται διὰ τὴν [1] εἰς ἄκρον τῆς ἀρετῆς [2] ἀνάβασιν τῆς πρεσβυτέρας Ῥώμης ἐπίσκοπος [3], Μιλτιάδου [4] τὸν βίον ἀπολιπόντος, τῆς αὐτῆς πόλεως γέννημα καὶ θρέμμα γεγονώς. Πρὸ δὲ τοῦ γενέσθαι ἐπίσκοπος βλέπων Τραγκυλῖνον [5], τὸν τῆς πόλεως ἔπαρχον, τιμωρούμενον τοὺς ἁγίους, προεῖπεν αὐτῷ· « Ταύτῃ τῇ νυκτὶ ἡ ψυχή σου ἀφαιρεθήσεται· » ὃ καὶ γέγονεν, ὀστοῦ τινος ἐμπαγέντος τῷ φάρυγγι αὐτοῦ ἐν τῷ δείπνῳ καὶ κακῶς διὰ τῆς νυκτὸς τὴν ψυχὴν ἀπορρήξαντος. Βιαζόμενος δὲ ὁ ἅγιος [6] παρὰ τοῦ λαοῦ, ἀνήχθη εἰς τὸν τῆς ἐπισκοπῆς θρόνον [7]· καὶ πολλοὺς ζωγρήσας τῇ σαγήνῃ τῶν θεοπνεύστων αὐτοῦ λόγων, ὀψώνιον τῇ τοῦ Χριστοῦ τραπέζῃ προσήγαγεν. Καὶ τὸν παμμεγέθη δράκοντα κατέκλεισεν, ὃς ἦν ἐν τῷ ὄρει τῷ Ταρπηΐῳ [8] εἰς ὑπόγειόν τι καὶ βαθύτατον σπήλαιον· ἀπροόπτως δὲ ἀνιὼν τῷ ἰδίῳ φυσήματι τὸν τῆς πόλεως ἀέρα διέφθειρεν, ἀφ' οὗπερ ἡ τελευτὴ τῶν παιδίων ἐγίνετο [9]. Τοῦτον οὖν, ὡς εἴρηται, διὰ θείας ἐμφανείας τοῦ πανσέπτου ἀποστόλου Πέτρου κατακλείσας, πλῆθος πολὺ τῶν ἑλλήνων προσήγαγε τῷ Χριστῷ. Οὗτος ὁ ἀοίδιμος Σίλβεστρος τὸν μέγαν | Κωνσταντῖνον ἐβάπτισε, καὶ Ἑβραίων θράσος διὰ τῆς δοθείσης αὐτῷ [10] σοφίας ἐταπείνωσε· (f. 124.) καὶ ὃν ὁ Ζαμβρῆς ἐθανάτωσε μέγιστον ταῦρον, εἰς τὸ οὖς αὐτοῦ ψιθυρίσας, οὗτος τῇ ἐπικλήσει τοῦ Χριστοῦ ἐζώωσε καὶ ἀνέστησε. Καὶ πολλῶν ἄλλων [11] θαυμάτων γενόμενος αὐτουργός, ἐν βαθεῖ γήρᾳ πρὸς Κύριον ἐξεδήμησε.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ σημειοφόρου, τοῦ ἐν τῷ ἁγίῳ Ζαχαρίᾳ τῆς Ἀτρώας [1] κειμένου.

— [5] προβὰς Sa. — [6] *om.* Sa. — [7] ἀνύσας Sa. — [8] σταθηρῷ Sa. — [9] βασιλεῖς καὶ Sa. — [10] ὑπάρχους Sa. — [11] *om.* Sa. — [12] τὴν Sa.

1. — [1] τῆς Sa. — [2] τῆς ἀρετῆς *om.* Sa. — [3] ψήφῳ θείᾳ τοῦ *add.* Sa. — [4] Μελετιάδου Sa. — [5] Ταρκυλῖνον S, Sa. — [6] ὁ ἅγιος *om.* Sa. — [7] θρόνῳ Sa. — [8] Ταρπειΐῳ S, Ταρπηΐα Sa. — [9] ἐγένετο Sa. — [10] ἐκ θεοῦ *add.* Sa. — [11] *om.* Sa.

2. — [1] Ἀτρόας Sa.

Ian. 1. ὀρθοδόξου πίστεως ὑπομείνας, καὶ σταθερῷ καὶ ἀτρέπτῳ τοῦ φρονήματος καὶ βασιλεῖς καὶ ὑπάρχους καταπλήξας, καὶ λόγους συγγραψάμενος, ιδ' ὧν τὰ τῶν αἱρετικῶν ἐνέφραξε στόματα, καὶ διὰ πάσης ἀρετῆς τὴν τοῦ Χριστοῦ ποίμνην ὁδηγήσας καὶ μυρία θαύματα ἐργασάμενος πρὸς Κύριον ἐξεδήμησεν. Ἦν δὲ τὸν τύπον κτλ. — **M** : 1. 2. — Θεόδοτος ξ. τ. — Σέργιος ξ. τ. — Θεόπιστος λιθοβοληθεὶς τ. — Γρηγόριος ὁ πατὴρ τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου ἐν εἰρήνῃ τ. — Μάρκος ἐν εἰρήνῃ τ. — Βασιλείου τοῦ ἐξ Ἀγκύρας. — **Mv** : 1. 2. — Θεόδοτος. — Γρηγόριος. — **Mr** : 1. 2.

Ian. 2. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. — Βασιλείου. — **H** : Ἄθλησις τοῦ ἁγίου Βασιλείου. — 1. — **P** : Βασιλείου. — 1. — Τῶν ἁγίων παρθένων Συγκλητικῆς καὶ Σάρας (cf. Ian. 4[7]) θεογνοῦς [1]. — **Da** : 1. — Βασιλείου (= F). — **Db** : 1. — Βασιλείου. — **F** : 1. — Βασιλείου μαρτυρήσαντος ἐν Καισαρείᾳ. Οὗτος ἦν ἐπὶ τοῦ δυσσεβοῦς Ἰουλιανοῦ τοῦ παραβάτου ἐξ Ἀγκύρας τῆς πόλεως. Διὰ δὲ τὸ Χριστὸν σέβεσθαι καὶ κηρύττειν συσχεθεὶς παρέστη Σατορνίνῳ τῷ ἡγεμόνι· οὗ κατενώπιον τὸν Χριστὸν ὁμολογήσας ξέεται. Ἐκ δὲ Ἀγκύρας ἀπαχθεὶς ἐν Κωνσταντινουπόλει, αὖθις ξέεται καὶ ἐπὶ τοσοῦτον τείνεται, ὡς ἐξαρθρωθῆναι τοὺς δακτύλους αὐτοῦ· εἶτα λωροτομεῖται καὶ σιδήροις πυρωθεῖσιν κεντεῖται τὰς σάρκας καὶ εἰς πυρὸς ἐμβάλλεται κάμινον· ἧς παραδόξως ῥυσθεὶς καὶ εἰς Καισάρειαν ἀπαχθείς, λεαίνης ἀφεθείσης αὐτῷ, τὸν τῆς ἀθλήσεως στέφανον ἐκομίσατο. — **Fa** : 1. — Βασιλείου. — **B** : Βασιλείου. — 1. — **Ba** : 1 (= S). — Βασιλείου (= F). — **Bb** : Βασιλείου. — 1. — **C** : Βασιλείου. — 1. — **Cb** : Βασιλείου. — 1. — **Cc** : Βασιλείου. — 1. — **Cd** : Βασιλείου. — 1. — **M** : 1. — Θεαγένους (Ian. 3[3]). — Θεόπεμπτος ἐν εἰρήνῃ τ. (Ian. 4[5]). — Θεοδότη ἡ μήτηρ τῶν ἁγίων ἀναργύρων ἐν εἰρήνῃ τ. — Κοσμᾶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ θαυματουργοῦ τοῦ ἐν τῇ σεβασμίᾳ μονῇ τῆς Χώρας. — **Mv** : 1. — Θεαγένους. — Θεόπεμπτος καὶ Θεοδότη. — Μάρκος. — Βασιλείου. — Σέργιος ἐν εἰρήνῃ τ. — Θεόπιστος λιθοβοληθεὶς τ. — Κοσμᾶ. — **Mr** : 1.

[1] *forte legendum* Θεογένους *vel* Θεαγένους, *cf. Ian.* 3[3].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

Ian. 3.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Γορδίου. Οὗτος ἦν ἐκ Καισαρείας τῆς Καππαδοκίας ἐπὶ Λικινίου [1] τοῦ βασιλέως, κόμης τὴν τάξιν, στρατιωτῶν ἡγούμενος ἑκατόν· ὃν καὶ ἐγκωμίοις ὁ μέγας Βασίλειος ἐτίμησε. Τὴν δὲ [2] τῶν δυσσεβῶν παρρησίαν καὶ τὰς εἰς Χριστὸν βλασφημίας μὴ φέρων ὁρᾶν, ἐμάκρυνε φυγαδεύων, καὶ μετὰ τῶν θηρίων ἐν τοῖς ὄρεσι τὴν δίαιταν εἶχεν. Ἀναφλέξας οὖν αὐτοῦ [2] τὸν εἰς Χριστὸν [3] πόθον καὶ κατὰ τῆς πλάνης θάρσος λαβών, ἐπὶ τὴν πόλιν ὥσπερ λέων ὥρμησε, τὸν προστάτην τῆς ἀπάτης διασπαράξαι ζητῶν. Ἐντὸς δὲ γενόμενος τοῦ θεάτρου [4] πλήθοντος τὸν Χριστὸν ἀνεκήρυξεν. Ἐπιστρέψας δὲ τὸ πλῆθος πρὸς αὐτὸν καὶ τὸν ἄρχοντα προκαθήμενον καταπλήξας τῇ θεωρίᾳ καὶ εἰς τὴν ἄκραν μανίαν κινήσας, τὴν διὰ ξίφους δέχεται τελευτήν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Μαλαχίου, ὃν καὶ ἄγγελον ἐκάλουν. Οὗτος τίκτεται μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ, τίκτεται δὲ ἐν Σοφαῖς ὢν ἐκ φυλῆς [1] Λευΐ, καὶ ἔτι νεάζων καλὸν βίον ἔσχηκε. Καὶ ἐπειδὴ πᾶς ὁ λαὸς ἐτίμα αὐτὸν ὡς ὅσιον καὶ πρᾷον, ἐκάλεσαν αὐτὸν Μαλαχίαν, ὃ ἑρμηνεύεται ἄγγελος· ἦν γὰρ καὶ τὸ εἶδος εὐπρεπής. Ἀλλὰ καὶ ὅσα εἶπεν αὐτὸς [2] ἐν τῇ προφητείᾳ, αὐτῇ τῇ ἡμέρᾳ ὀφθεὶς ἄγγελος Θεοῦ ἐπεδευτέρου τοὺς λόγους αὐτοῦ· τὸν δὲ ἄγγελον οὐδεὶς ἀνάξιος τοῦ λαοῦ ἐθεώρει, ἀλλ' ἢ τὴν φωνὴν αὐτοῦ ἤκουον μόνον, οἱ δὲ ἄξιοι καὶ τὸ εἶδος αὐτοῦ ἔβλεπον. Ἤκμασε δὲ ἐν ἡμέραις τῆς ἀναρχίας, ὡς γέγραπται ἐν σεφὰρ φωτιείμ [3], τουτέστιν ἐν βιβλίῳ [4] Κριτῶν· καὶ ἔτι νέος ὢν προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ἐν βίῳ ἀμέμπτῳ, καὶ ἐτάφη ἐν ἀγρῷ αὐτοῦ. Ἦν δὲ τὴν ὄψιν αὐτοῦ [5] εὐπρεπής, οὐκ ἐπίμηκες ἀλλὰ στρογγύλον ἔχων τὸ πρόσωπον, οὖλος τὴν τρίχα καὶ κεκαρμένος ὑποφαίνων πλατὺ τὸ κρανίον.

f. 124v.

3. | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεαγένους. Οὗτος ἦν ἐπίσκοπος ἐν τῷ Παρίῳ τοῦ Ἑλλησπόντου. Προσαχθεὶς δὲ Ζηλικινθίῳ [1] τῷ τριβούνῳ καὶ τὸν Χριστὸν ὁμολογήσας Θεόν, ἀφειδῶς τοῖς ξύλοις τύπτεται· εἶτα δεσμεῖται καὶ μετὰ ταῦτα τῷ τῆς θαλάσσης βυθῷ ἐκδίδοται, ἔνθα τὸν δρόμον πληροῖ τῆς ἀθλήσεως.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Ian. 4.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοκτίστου τοῦ συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου.

2. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ νέου, τοῦ κειμένου ἐν τῷ ἁγίῳ Μωκίῳ.

3. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοκτίστου τοῦ ὁμολογητοῦ.

4. Καὶ Θεοκτίστου ἡγουμένου τοῦ Κουκουμίου [1].

5. Καὶ [1] τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοπέμπτου ἐπισκόπου καὶ Θεωνᾶ. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, ἐν τῷ παρ' αὐτοῦ κινηθέντι [2] διωγμῷ πρῶτος τὸν Χριστὸν ὁμολογήσας καὶ τὸ [3] στέφος ἀναδησάμενος. Συσχεθεὶς γὰρ καὶ προσαχθεὶς τῷ βασιλεῖ καὶ στηλιτεύσας τὴν πλάνην αὐτοῦ, ἐν κλιβάνῳ πυρὸς βάλλεται, καὶ σῶος ἐκεῖθεν ἐξελθὼν τοὺς ὀφθαλμοὺς ἐξορύττεται· εἶτα δηλητήρια φάρμακα ποτισθεὶς καὶ ἐκ τούτων ἀπήμαντος διαμείνας, ἐπισπᾶται τὸν ταῦτα κεράσαντα μάγον πρὸς τὴν εἰς Χριστὸν πίστιν, οὕτω καλούμενον Θεωνᾶν· καὶ ἕτερα δέ τινα πρὸς τούτοις παθὼν ἀπετμήθη τὴν κεφαλήν. Ὁ δὲ Θεωνᾶς, ὀρύγματος γενομένου, ἐν αὐτῷ βληθεὶς καὶ χώμασι πολλοῖς καταχωσθεὶς πρὸς Κύριον ἐξεδήμησε.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Ζωσίμου μοναχοῦ καὶ Ἀθανασίου κομενταρησίου, ἀθλησάντων ἐν Κιλικίᾳ. Ὧν ὁ μὲν ἅγιος Ζώσιμος ἦν ἐκ Κιλικίας, τὴν ἔρημον μετὰ [1] θηρίων οἰκῶν· συσχεθεὶς δὲ καὶ Δομετιανῷ τῷ ἄρχοντι προσαχθεὶς καὶ τὸν Χριστὸν Θεὸν εἶναι ὁμολογήσας, πεπυρωμένοις σιδήροις τὰ ὦτα καταφλέγεται καὶ εἰς λέβητα βορβόρου πλήρη καχλάζοντα ἐμβάλλεται [2]. Εἶτα κατὰ κεφαλῆς κρεμᾶται καὶ παραδόξως ἐκ πάντων ῥυσθείς [3], ἐπιφανέντος ἐν τῷ θεάτρῳ λέοντος καὶ ἀνθρωπίνῃ φωνῇ περὶ τοῦ Χριστοῦ φθεγξαμένου, ἐπισπᾶται πρὸς τὴν πίστιν τὸν κομενταρήσιον Ἀθανάσιον. Ἀπολυθεὶς δὲ παρὰ τοῦ τυράννου καὶ ἐν τοῖς ὄρεσιν, ἔνθα διέτριβεν, γενόμενος | κατηχεῖ καὶ βαπτίζει τὸν Ἀθανάσιον· ἔνθα πέτρας διαιρεθείσης, ἅμα ὑπεισελθόντες ἀπέδωκαν τὰς ψυχάς [4].

Ian. 4. f. 125.

7. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Συγκλητικῆς. Αὕτη γένους ὑπάρχουσα περιφανοῦς, πλούτου καὶ εὐσεβείας [1] τὸ ἐπίσημον ἔχοντος, διὰ τὴν ἐπανθοῦσαν ὥραν αὐτῇ [2] καὶ τὴν [3] τῶν χρημάτων περιουσίαν [4] πολλῶν ἀγαγέσθαι [5] πρὸς γάμον αὐτὴν βουλομένων, τῷ πρὸς Κύριον πόθῳ μᾶλλον ἔτεινεν [6] ἑαυτήν. Ὅθεν τελείως τῶν φροντίδων τοῦ βίου μεθίσταται καὶ τὴν σπουδὴν ὅλην πρὸς ἄσκησιν καὶ ἀρετῆς [7] ἐπίδοσιν τρέπει. Καταβαλοῦσα [8] δὲ τὸν ἀνταγωνιστὴν καὶ πολέμιον καὶ πρὸ τῆς τοῦ σώματος διαζεύξεως τῷ νῷ πρὸς Θεὸν ἐκδημήσασα, ἐπὶ τέλει τοῦ βίου παρὰ τοῦ πειράζοντος ἐξαιτεῖται. Κατὰ γὰρ τὸν μέγαν Ἰὼβ δεινοῖς τοῦ σώματος νοσήμασιν ὁμιλήσασα [9] καὶ πληγαῖς καὶ μώλωψιν, ὑφ' [10] ὧν τὸ σῶμα ἅπαν διαβρωθεῖσα ὀγδοηκονταετὴς ἤδη γενομένη καὶ τοῦ τόνου τῆς ἀρετῆς μηδ' ὁτιοῦν καθυφεῖσα, τοῖς ἀθλητικοῖς πόνοις πρὸς Κύριον ἐξεδήμησεν [11].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

Ian. 5.

1. Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Ἀπολλιναρίας [1]. Αὕτη ἡ ὁσία θυγάτηρ γέγονεν Ἀνθεμίου, ὃς ὑπὸ Λέοντος τοῦ μεγάλου ἄνακτος χειροτονηθεὶς βασιλεύς [2] τὴν Ῥώμην διεῖπεν. Ὧτινι Ἀνθεμίῳ γεγόνασι δύο θυγάτρια [3]· καὶ ἡ μὲν ὑπὸ δαίμονος ἠνωχλεῖτο, ἡ δὲ Ἀπολλιναρία κάλλει καὶ συνέσει τῶν πολλῶν διαφέρουσα τοῖς γονεῦσιν ὑπῆρχε παραμύθιον· διὸ καὶ ἐπ' αὐτῇ μόνῃ τὰς ἐλπίδας ἐσάλευον. Αὕτη ἐξ ἁπαλῶν ὀνύχων τὴν παρθενίαν ποθήσασα, νύκτα καὶ ἡμέραν ταῖς θείαις γραφαῖς σχολάζουσα, τὸν Θεὸν ἐλιπάρει τυχεῖν τοῦ ποθουμένου· καὶ λοιπὸν πᾶσαν γραφὴν ἐξασκήσασα καὶ τὰ τοῦ βίου πάντα ὡς σκύβαλα [4] ἡγησαμένη, ἱκέτις γίνεται τοῖς γονεῦσι τοῦ πορευθῆναι ἐπὶ τὰ Ἱεροσόλυμα· οἳ τὰ τῆς ἐφέσεως αὐτῆς οὐκ ἐκώλυσαν. Ἡ δὲ παῖδας καὶ παιδίσκας παραλαβοῦσα χρυσόν τε καὶ ἄργυρον καὶ ἱματισμὸν πολυτελῆ ἀραμένη καὶ τοὺς ἁγίους τόπους καταλαβοῦσα, πάντα διέδωκε τοῖς χρῄζουσιν καὶ ἐκκλησίαις καὶ μοναστηρίοις· καὶ προσκυνήσασα πάντα τόπον ἅγιον

1. — [1] Λικιννίου S. — [2] *om.* Sa. — [3] αὐτοῦ *add.* Sa. — [4] καὶ τοῦ λαοῦ *add.* Sa.
2. — [1] τοῦ *add.* Sa. — [2] αὐτῶ S. — [3] Sa, σφαρφωτιεὶμ S. — [4] βίβλω Sa. — [5] αὐτοῦ *add.* Sa.
3. — [1] Ζιλικινθίω Sa.
4. — [1] Κουκούμου τοῦ συγκέλλου Sa.
5. — [1] *om.* Sa. — [2] κινηθὲν Sa. — [3] τῆς μαρτυρίας *add.* Sa.
6. — [1] τῶν *add.* Sa. — [2] (καὶ εἰς - ἐμβάλλεται) *om.* Sa. — [3] εἰς λέβητά τε βορβόρου πλήθη καχλάζωντα ἐμβάλλεται καὶ *add.* Sa. — [4] τῶ κυρίω Sa.
7. — [1] εὐσεβεία S. — [2] αὐτὸ Sa. — [3] τῇ S. — [4] περιουσία S. — [5] ἄγεσθαι Sa. — [6] ἐπέτεινεν Sa. — [7] ἀρετὴν Sa. — [8] καταβαλλοῦσα S. — [9] (ἐπὶ - ὁμιλήσασα) *om.* Sa. — [10] ἐφ Sa. — [11] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς *add.* Sa.
1. — [1] Ἀπολιναρίας Sa. — [2] δι *add. sed del.* S. — [3] θυγάτρια δύο Sa. — [4] κύβαλα Sa.

Ian. 3.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 3. — Γρηγορίου τοῦ ἐν τῷ Ἀκρίτᾳ (Ian. 5[2]). — **H** : 1. 3. 2. — **P** : 1. 3 (Θεογένους). — 2. — Καὶ Ἰνδικῆς καὶ τῆς ἁγίας Θωμαΐδος. Sequitur : Σαββάτῳ... Κυριακῇ πρὸ τῶν ἁγίων Φώτων... — **Da** : 2. 1. 3. — **Db** : 2. 1. 3. — **F** : 2. 3 (Θεογένους). — Καὶ τῆς ἁγίας Θωμαΐδος. — Ζωσίμου καὶ Ἀθανασίου (Ian. 4[6]). — **Fa** : 2. 3. — Θωμαΐδος. — Ζωσίμου καὶ Ἀθανασίου. — **B** : 1. 2. — **Ba** : 2 (= S). 1 (= S). 3 (= S). — **Bb** : 1. — Ἀπολλιναρίας [1] (Ian. 5[1]). — 2. — Γρηγορίου τοῦ ἐν Ἀκρίτᾳ. — **C** : 1. 2. 3. — **Cb** : 1. 2. — **Cc** : 1. 2. 3. — **Cd** : 1. 2. 3 : Θεαγένους [2] ἐπισκόπου Παρίου. Οὗτος ἦν ἐπίσκοπος Παρίου· καὶ προσαχθεὶς Ζηλικινθίῳ [3] τῷ τριβούνῳ ἠναγκάζετο στρατεύεσθαι. Ὁ δὲ χριστιανὸν ἑαυτὸν ὁμολογήσας, τείνεται ἐν τέσσαρσι πάλοις καὶ τύπτεται ξύλοις ὑπὸ δημίων ὀκτὼ δεθεὶς εἰς τέσσαρας κίονας. Τοῦ δὲ Ὀπτίονος παρερχομένου καὶ μυκτηρίζοντος αὐτόν, προεφήτευσεν ὁ ἅγιος περὶ αὐτοῦ, ὅτι μέλλει καταλαβεῖν αὐτὸν ἀπώλειαν [4]. Τῇ δὲ νυκτὶ φανεὶς τῷ ἁγίῳ ὁ Κύριος ἐκέλευσεν αὐτῷ μὴ δέξασθαι βρώματα ἐκ χειρὸς τῶν ἑλλήνων· καὶ ἦν ψάλλων μετὰ ἀγγέλου. Μετὰ τοῦτο ῥίπτεται ἐν τῇ θαλάσσῃ καὶ τελειοῦται· οἱ δὲ ῥίψαντες αὐτὸν ἐλθόντες ἐν τῇ πόλει ἐβαπτίσθησαν τῇ τοῦ ἁγίου ἐντολῇ καὶ διδασκαλίᾳ, καὶ μετ' αὐτῶν ὄχλος πολύς. Καὶ μετὰ τρεῖς ἡμέρας ἐκριφὲν τὸ λείψανον, ἀνείλαντο αὐτὸ Εὐτυχὴς καὶ Εὐστάθιος, Ζωτικὸς καὶ Γερμανὸς καὶ ἔθαψαν ἐν τῷ χωρίῳ Ἀδαμαντίου. — **M** : 2. — Συγκλητικῆς (Ian. 4[7]). — Πέτρου (Ian. 2[2]). — Ἡ σύναξις τῶν ἁγίων ἑβδομήκοντα ἀποστόλων. — Οἱ ἅγιοι μάρτυρες μήτηρ καὶ παῖδες δύο π. τ. — **Mv** : 2. 1. — Πέτρου. — Μήτηρ καὶ δύο τέκνα. — **Mr** : 1.

Ian. 4.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **Sb** : 5. 7. — Γορδίου (Ian. 3[1]). — 6. — **H** : 5. 6. 7. 4. — **P** : 5. 6. 7. 4. — **Da** : 5. 7. 2. 3. — **Db** : 5. 6. 7. 2. — **F** : Γορδίου. — 5. 7. 2. 3. — **Fa** : Γορδίου. — 5. 7. 2. 3. — **B** : Θεογένους (Ian. 3[3]). — 5. 6. 7. — **Ba** : 5 (= S). 6 (= S). 7 (= S). 2 (= S). 3 (= S). Sequitur : Σαββάτῳ πρὸ τῶν φώτων... Κυριακῇ πρὸ τῶν ἁγίων Θεοφανίων... — **Bb** : Θεαγένους. — 5. 6. 7. — **C** : 5. 6. 7. 4. — **Cb** : 5. 6. 7. — **Cc** : 5. 6. 7. 4 (τοῦ ὁσίου καὶ θαυματουργοῦ Θεοκτίστου ἡγουμένου). — **Cd** : 5. 6. 7. 4. — **M** : Γορδίου. — 1. 2. 5. 6. — Ἀπολλιναρίας [1] τῆς συγκλητικῆς (Ian. 5[1]). — Τοῦ ἁγίου μάρτυρος Χρυσάνθου. — Τῆς ἁγίας μάρτυρος Εὐφημίας τῆς πλησίον τοῦ ἁγίου μάρτυρος Ἀκακίου. — **Mv** : Μνήμη καὶ σύναξις τῶν ἁγίων καὶ ἐνδόξων ἑβδομήκοντα ἀποστόλων. — 7. — Οἱ ἅγιοι ἓξ μάρτυρες ἐν εἰρήνῃ τ. — 6. — Ἀπολλιναρίας [1] τῆς συγκλητικῆς. — **Mr** : Ἡ σύναξις τῶν ἁγίων καὶ ἐνδόξων ἑβδομήκοντα ἀποστόλων. — 4 : ὁ ὅσιος Θεόκτιστος ὁ ἡγούμενος τοῦ ἐν τῷ Κουκούμῳ τῆς Σικελίας ἐν εἰρήνῃ τ.

Ian. 5.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2 (ζήτει εἰς τὰς γ'). — Εὐθυμίου (Ian. 4[2]). — Θεοκτίστου τοῦ ὁμολογητοῦ (Ian. 4[3]). — **H** : 1. 2. — Παραμονὴ τῶν φώτων. — **P** : 1. 2. — Λουκιανοῦ ἐπισκόπου καὶ Θωμᾶ. — Παραμονὴ τῶν φώτων. — **Da** : 1 (= Ba). 2. — Παραμονὴ τῶν ἁγίων Θεοφανίων τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : Μιχαίου (April. 22[3]). — **Ba** : 1 : Ἀπολλιναρίας [1]. Αὕτη ἡ ἀοίδιμος κάλλει καὶ συνέσει τῶν πολλῶν διαφέρουσα, Ἀνθεμίου τοῦ ὑπὸ Λέοντος τοῦ μεγάλου χειροτονηθέντος... Des. : μετὰ δὲ ταῦτα ὀλίγας ἡμέρας τοῖς γονεῦσιν συνδιατρίψασα, αὖθις πρὸς τὸ ἴδιον κελλίον ὑπέστρεψεν, μηδενὸς τῶν ἐν τῇ Σκήτει τὰ πραχθέντα μαθόντος· ὅθεν μετὰ τὴν αὐτῆς κοίμησιν θήλεια τὴν φύσιν φανεῖσα, ἐξέστησεν ἅπαντας, καὶ εἰς εὐχαριστίαν τοῦ Θεοῦ συνεκάλεσεν. — 2 (= S). — Ἡ παραμονὴ τῶν ἁγίων Θεοφανίων

[1] Ἀπολιναρίας Bb. — [2] Θεαγένου Cd. — [3] Ζιλικινθίνω Cd. — [4] ἀπωλεία Cd.

[1] Ἀπολιναρίας M, Mv.

[1] Ἀπολιναρίας Ba.

Ian. 5. καὶ τοὺς οἰκέτας ἐλευθερίᾳ τιμήσασα καὶ ληγατεύσασα[5], ἀπέστειλε πορευθῆναι. Καὶ λαβοῦσα μεθ' ἑαυτῆς ἕνα πρεσβύτερον[6] καὶ εὐνοῦχον ἕνα, ἐν Ἀλεξανδρείᾳ ἐπορεύθη καί τινα τόπον φθάσασα f. 125v. πεδινόν, ὃς καὶ ἐκλήθη Λιβὰς Ἀπολ|λιναρίας[1], ἐν αὐτῷ τὸν κάματον τῆς ὁδοιπορίας ἔδοξεν αὐτῇ παραμυθήσασθαι. Ὡς δὲ ὕπνωσαν οἱ ταύτης συνοδοιπόροι, αὕτη λαβομένη ἀδείας καὶ ἀποδυσαμένη ἃ ἐφόρει καὶ ἐνδυσαμένη μοναχικά, εἰσῆλθεν ἐν τῇ παρακειμένῃ ὕλῃ· καὶ ἦν ἀνεύρετος τοῖς ζητοῦσιν. Ἐκεῖσε οὖν διάγουσα καὶ προσπαλαίουσα τῇ ἐγκρατείᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ, δίκην ἱστοῦ ἀράχνης περιέφερε τὸ σῶμα· τὸ δὲ πλέον ὡς δέρμα χελώνης ἦν ἀπεσκληκὸς ἐκ τῶν δηγμάτων τῶν κωνώπων. Αὕτη πλείστους χρόνους διαρκέσασα ἐν τῷ χαλεπῷ ἐκείνῳ ἕλει, ἔρχεται πρὸς τοὺς ἐν[7] Σκήτει πατέρας, Δωρόθεος ὀνομαζομένη καὶ ὡς εὐνοῦχος φαινομένη· ἦν ὁ θαυμαστὸς[8] ἐν πατράσι Μακάριος προσλαβόμενος δέδωκεν αὐτῇ κελλίον, ἐν ᾧ ἐγκλεισθεῖσα τὰς εὐχὰς τῷ Θεῷ ἀπεδίδου νύκτα καὶ ἡμέραν. Ὁ δὲ ταύτης πατὴρ Ἀνθέμιος τὰ περὶ αὐτῆς ἀπαγορεύσας, τὴν δαιμονῶσαν αὐτῆς ἀδελφὴν βλέπων ἐνοχλουμένην[9] δεινῶς ὑπὸ τοῦ δαίμονος, ἀθυμίας πλησθεὶς ἐξαπέστειλεν[10] αὐτὴν πρὸς τοὺς[11] ἐν Σκήτει[12] μοναχοὺς θεραπείας τυχεῖν. Οἵτινες μαθόντες τὰ περὶ τῆς παιδὸς καὶ βουλευσάμενοι[13] ἀπήγαγον αὐτὴν πρὸς τὸν ἀββᾶν Δωρόθεον· καὶ ἐντὸς ὀλίγων ἡμερῶν τῇ ταύτης προσευχῇ τὸ πνεῦμα ἐφυγαδεύθη καὶ εὐθέως παρὰ τῶν πατέρων πρὸς τὸν βασιλέα παρεπέμφθη. Ὁ δὲ ὑγιῆ ἀπολαβὼν τὴν ἰδίαν θυγατέρα, αἶνον ἔδωκε τῷ Θεῷ. Μετὰ δέ τινας ἡμέρας ἤρξατο φαίνεσθαι ἔγκυος ἡ κόρη τοῖς πολλοῖς. Ὁ δὲ βασιλεὺς θυμοῦ πλησθεὶς καὶ δόξας αὐτὴν ἐγκυμονεῖν ἐκ τοῦ ἀββᾶ Δωροθέου, ταχυδρόμους ἐκπέμψας τὸν νομιζόμενον Δωρόθεον ἔμπροσθεν αὐτοῦ παρέστησε σφόδρα σφαδάζων καὶ χαλεπαίνων. Ἡ δὲ χάριν αἰτήσασα τὸν βασιλέα μικράν, ἐν συντυχίᾳ γέγονε τῇ βασιλίσσῃ· καὶ μικρὸν ὑποχωρήσασα ἅμα καὶ γυμνώσασα τοὺς μαστοὺς καί τινα σημεῖα[14] ὑποδείξασα ἔφη· « Οὐκ ἐγώ εἰμι[15], ὦ βασίλισσα, Ἀπολλιναρία[16] ἡ » σὴ θυγάτηρ; » Καὶ τούτου καταδήλου γενομένου, πάντας εἰς ἀγωνίαν ἐνέβαλε, καὶ μάλιστα διὰ τὸ θεραπείας τυχεῖν τὴν πάσχουσαν ἀδελφὴν αὐτῆς. Μετὰ δὲ ταῦτα ὀλίγας ἡμέρας διατρίψασα ἐν τῇ Ῥωμαίων πόλει, πρὸς τὸ ἴδιον ὑπέστρεψε κελλίον, μηδενὸς τῶν πατέρων ἐκ τῶν πραχθέντων τι ἀποκαλυφθέντος. Ὅθεν μετὰ τὴν αὐτῆς κοίμησιν καὶ πρὸς Θεὸν | ἀνάλυσιν[17] θήλεια τῇ φύσει φανεῖσα, ἐξέστησεν ἅπαντας· καὶ δόξαν καὶ εὐχαριστίαν τῷ Θεῷ ἀνέπεμψαν. f. 126.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ ἐν Ἀκρίτᾳ. Οὗτος ὁ ἅγιος εἷλκε τὸ γένος ἐκ τῆς περιβοήτου τῶν νήσων Κρήτης· πατέρες δὲ αὐτῷ εὐσεβεῖς, Θεοφάνης καὶ Ἰουλιανὴ προσαγορευόμενοι. Διατρίψας δὲ χρόνον συχνὸν ἐν τοῖς μαθήμασι, ποιμαίνειν ὑπὸ τῶν γεννητόρων τὰ θρέμματα ἐκελεύετο. Καί ποτε θείῳ ζήλῳ πυρωθείς, τῆς ἐνεγκαμένης ἀπάρας ἐπὶ τὴν Σελεύκειαν[1] ἔρχεται, κἀκεῖ χρόνον οὐκ ὀλίγον ἐνδιατρίψας, ἄρτῳ βραχυτάτῳ καὶ ὕδατι ἔζη. Τῷ

— [5] λεγατεύσασα Sa. — [6] ἕνα πρεσβύτερον μεθ' ἑαυτῆς Sa. — [7] τῇ *add.* Sa. — [8] καὶ μέγας *add.* Sa. — [9] ὀχλουμένην Sa. — [10] ἐξαποστέλλει Sa. — [11] τὴν Sa. — [12] Σκείτη Sa. — [13] βουλευσαμένη S. — [14] σημεῖον S. — [15] εἰμὶ ἐγὼ Sa. — [16] Ἀπολιναρία Sa. — [17] (καὶ - ἀνάλυσιν) *om.* Sa.

2. — [1] Σελεύκιαν S, Sa.

Ian. 5. τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἔν τε τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν ταῖς κατὰ τόπον ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις. — **Bb** : Μιχαίου. — 2 (man. rec.). — Εὐθυμίου τοῦ νέου (Ian. 4[2]). — **C** : Μιχαίου. — 1. 2. — **Cb** : Μιχαίου. — **Cc** : Μιχαίου. — 1. 2. — **Cd** : Μιχαίου. — Παύλου τοῦ Θηβαίου. — 1. 2. — **M** : Παύλου τοῦ Θηβαίου. — 2. — Φωστηρίου. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Φωστήριος ἐξ ἀνατολῶν ἐκλάμψας ὥσπερ ἥλιος τὰ ἑσπέρια κατελάμπρυνεν. Ἀνελθὼν γὰρ εἰς ὄρος ὑψηλὸν καὶ ἥσυχον καὶ τῷ Θεῷ ἀΰλως προσευχόμενος, νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ χαμευνίᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ ἑαυτὸν ὑπωπιάζων, γέγονεν ἀληθῶς φωστὴρ καταλλήλως τοῦ ὀνόματος αὐτοῦ λάμπων τῇ οἰκουμένῃ. Τὴν σάρκα δὲ καθαρίσας καὶ τὴν ψυχὴν ἁγιάσας καὶ τὸ κατ' εἰκόνα, ὡς ἦν χωρητόν, φυλάξας, γέγονε καὶ τοῦ ἁγίου πνεύματος καταγώγιον. Τοῖς θαύμασι γὰρ καταπλουτίσας αὐτὸν ὁ Θεός, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἀπεδίωκεν ἀπὸ παντὸς ἀνθρώπου προσερχομένου αὐτῷ. Καὶ ἄρτους οὐρανόθεν ἐδέχετο ὁ μακάριος ὥσπερ πάλαι Ἠλιοῦ ὁ προφήτης. Ἀλλ' ἐκεῖνος μὲν διὰ κόρακος, οὗτος δὲ εἰ καὶ μὴ διὰ χειρὸς ἀγγέλου τούτους ἐλάμβανεν, ἀλλ' οὖν αὐτὸς ἦν ὁ καθ' ἑκάστην αὐτῷ ἀποκομίζων τὸν ἄρτον καὶ ἐν ἀφωρισμένῳ τόπῳ ἀποτιθεὶς[2] δι' οἰκονομίαν τινὰ δηλονότι. Εἰ δέ που καὶ εἷς ἀδελφὸς ἀπήντησε πρὸς αὐτὸν εἴτε καὶ δύο καὶ τρεῖς ἢ καὶ πλείονες, κατὰ τὸν ἀριθμὸν αὐτῶν οἱ ἄρτοι ἐν τῷ αὐτῷ τόπῳ αὐτοσχέδιοι εὑρίσκοντο. Τίς ποτε τοιοῦτον ἐξαίσιον θαῦμα ἑώρακεν ἢ ἤκουσε γενέσθαι; Ἀλλ' ἐπεὶ[3] χωρὶς Θεοῦ οὐκ ἰσχύει δέησις, οὐ διεφυλάχθη τοῦτο μέχρι τέλους ζωῆς αὐτοῦ, ὥσπερ οὐδὲ ἐν τῷ προφήτῃ. Ἀλλ' ἐν τῷ προφήτῃ μὲν ἐπὶ ἡμέρας τινάς, ἐν τούτῳ δὲ τῷ μακαρίῳ ἐν ἱκανοῖς ἔτεσιν, ἕως τὴν ἡσυχίαν καὶ τὴν ἀκτημοσύνην ἐφύλαττεν. Ὅτε δὲ θείαν μάνδραν[4] Θεοῦ χάριτι συνεστήσατο καὶ πλείστους μοναχοὺς ἐν αὐτῇ ἀφιέρωσεν, οὐκ ἄνωθεν τοὺς ἄρτους ἐδέχετο, ὥσπερ πρώην, ἀλλ' ἐκ τοῦ ἐργοχείρου παρεῖχε πᾶσι τὰ πρὸς τὴν χρείαν· οὐ τοῦ Θεοῦ ἀτονήσαντος, ἄπαγε τῆς βλασφημίας, — πῶς γὰρ ὁ τὰς τοσαύτας χιλιάδας τῶν ἀχαρίστων Ἰουδαίων διατρέφων ἐν τῇ ἐρήμῳ, οὐκ ἠδύνατο καὶ αὐτοὺς[5] ἀεὶ εὐχαριστοῦντας διατρέφειν ; — παντί που δῆλον· οὔτε πάλιν τοῦ ἁγίου ἀποστρεφόμενος τὴν εὐχήν, μὴ γένοιτο· ἀλλ' οὐδὲ ηὔξατό ποτε περὶ

— [2] τιθεὶς Mv. — [3] ἐπειδὴ Mv. — [4] μάνδρα M. — [5] τοὺς αὐτῷ Mv.

δὲ εἰκοστῷ ἕκτῳ χρόνῳ τῆς ἡλικίας αὐτοῦ, ὅτε καὶ Λέων ὁ εἰκονομάχος τὸ ζῆν ἀπέρρηξε καὶ τὸ ὀρθόδοξον ἐπαρρησιάζετο, τὰ Ἱεροσόλυμα καταλαμβάνει, πάντα τόπον ἅγιον προσκυνῆσαι γλιχόμενος. Ὁπόσα δὲ δεινὰ παρὰ τῶν Ἀγαρηνῶν καὶ Ἑβραίων ἐφ' ὅλοις δώδεκα ἔτεσιν ὑπέμεινεν, ἀδύνατον γραφῇ παραδοῦναι τῇ συντομίᾳ χρωμένους. Εἶτα τῶν ἐκεῖθεν ἀπάρας, τὴν Ῥώμην καταλαμβάνει καὶ τυχὼν ἐκεῖσε τοῦ ἀγγελικοῦ σχήματος, ἣν δαμάζων τὸ ἑαυτοῦ σαρκίον τῇ ἐγκρατείᾳ. Ἐπεὶ δὲ τὴν βασιλείαν μετὰ τελευτὴν Σταυρακίου Μιχαὴλ ὑπεζώσατο καὶ Νικηφόρου τοῦ ἐν ἁγίοις τὰ τῆς ἐκκλησίας πηδάλια ἰθύνοντος, ἀπεστάλη Μιχαὴλ ὁ ὁμολογητὴς ἐπίσκοπος Συνάδων πρὸς τὸν ἁγιώτατον πάπαν, καὶ τῷ μακαρίτῃ Γρηγορίῳ ἐνέτυχεν· ἐν Κωνσταντινουπόλει ὑποστρέφων, μεθ' ἑαυτοῦ συνήγαγε καὶ τῇ εὐαγεστάτῃ μονῇ τῇ ἐν τῷ Ἀκρίτᾳ φέρων δίδωσι[2], τοῖς ἐκεῖσε μοναχοῖς συναριθμήσας. Ὃς μονοχίτων καὶ ἀνυπόδετος ὑπάρχων ἐπὶ ψιαθίου[3] ἀνεκλίνετο, ἄρτου βραχυτάτου καὶ ὕδατος διὰ δύο ἢ καὶ τριῶν ἡμερῶν μεταλαμβάνων, καὶ λάκκῳ τινὶ βαθυτάτῳ ἑαυτὸν ἐναπορρίψας τὴν γενομένην ταραχὴν ἐν ταῖς ἐκκλησίαις συχνῷ χρόνῳ[4] ἐναπεθρήνησεν· ἐκεῖθέν τε ἐξελθὼν στενωτάτῳ πάντῃ[5] κελλίῳ ἑαυτὸν κατακλείει, ἑνὶ μόνῳ χιτῶνι δερματίνῳ περικαλυπτόμενος. Καὶ πίθον τινὰ παρὰ τῷ κήπῳ ἑστῶτα πληρῶν ὕδατος ὀψίας καὶ ἀποδυόμενος τὸν χιτῶνα εἰσήρχετο ἐν αὐτῷ, καὶ πληρῶν τὸ ψαλτήριον αὖθις ἐξήρχετο. Καὶ οὕτως ἐποίει πάσας τὰς ἡμέρας, μέχρις ὅτε τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ ἐπαφῆκε, καλῶς τὸν ἀγῶνα ἀγωνισάμενος. Ian. 5.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛ'.

f. 126v.

1. Τὰ ἅγια Θεοφάνια ἑορτάζομεν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν ταῖς κατὰ τόπον ἁγίαις τοῦ Θεοῦ[1] ἐκκλησίαις, τὴν παννυχίδα ἀφ' ἑσπέρας ἐπιτελοῦντες. Ἐν αὐτῇ γὰρ τῇ ἡμέρᾳ αὐτὸς ὁ Θεὸς λόγος τὸν παλαιὸν Ἀδὰμ ἐνδυσάμενος καὶ πάντα τὰ νόμιμα ἐκπληρώσας, πρὸς τὸν μέγαν Ἰωάννην τὸν προφήτην παραγίνεται βαπτισθησόμενος· ὃς καὶ διεκώλυε λέγων· Matth. 3, 14, 15. « Ἐγὼ χρείαν » ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός » μέ; » Ἐπεὶ δὲ τὸ « ἄφες ἄρτι » πρὸς αὐτοῦ[2] ἤκουσε καὶ πάσης δικαιοσύνης πλήρωμα εἶναι τὸ βάπτισμα, ἀφίησιν αὐτόν. Καὶ βαπτισθεὶς ὁ Χριστὸς πᾶσαν μὲν ὑδάτων τὴν φύσιν ἡγίασε[3], πᾶσαν δὲ ἁμαρτίαν τῷ ὕδατι ἐνθάψας[4], εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος καὶ τὸν παλαιωθέντα ταῖς ἁμαρτίαις ἄνθρωπον ἀνακαινίσας καὶ ἀναπλάσας[5], οὐρανῶν βασιλείαν[6] ἐχαρίσατο· διὰ ταῦτα τὴν ἡμέραν ταύτην τιμῶντες λαμπρῶς πανηγυρίζομεν. Ian. 6.

— [2] διδώασι Sa. — [3] ψαθίου Sa. — [4] συχνὸν χρόνον Sa. — [5] πάνυ Sa.

1. — [1] μεγάλαις *add.* Sa. — [2] αὐτὸν Sa. — [3] ὑγίασε Sa. — [4] καὶ *add.* S, *quae sequuntur* (εὐθὺς - ὕδατος) *bis scripta erant, sed. del.* — [5] καὶ ἀναπλάσας *om.* Sa. — [6] ἑαυτῷ *add.* Sa.

Matth. 6, 33. Ian. 5. ἀπολλυμένου βρώματος. « Ζητεῖτε γάρ, ὁ Χριστὸς ἔφη, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα » προστεθήσεται ὑμῖν. » Ἀλλ' οὐδὲ θέλει πάλιν ἡμᾶς[6] ἀργοτροφεῖν· καὶ διὰ τοῦτο προσέταξεν ὁ Θεὸς τῷ θεράποντι αὐτοῦ Φωστηρίῳ, μὴ λαμβάνειν παρά τινός τι, ἀλλ' ἐκ τοῦ ἔργου αὐτῶν[7] ἔχειν τὰ πρὸς τὴν χρείαν[8]· οὐδὲ γὰρ ἔλαβέ ποτε[9] παρά τινός τι· ὡς ἐκ τούτου μὴ λόγῳ μόνῳ διδάσκειν τοὺς ἰδίους μαθητὰς προσέχειν τῷ ἐργοχείρῳ καὶ τῇ εὐχῇ καὶ τῇ ἀναγνώσει, ἀλλὰ καὶ ἔργῳ ὑποδεικνύειν αὐτοῖς ταῦτα. Αἱρέσεως δὲ τότε ἀναφυείσης εἰς τὴν τοῦ Θεοῦ ἐκκλησίαν καὶ πολλῶν πατέρων συναθροισθέντων, προσκληθεὶς καὶ οὗτος ὁ μακάριος οὐ παρῃτήσατο· ἀλλὰ καὶ συνῆλθε καὶ ἠνδραγάθησε καὶ ἐθαυμαστώθη· καὶ πολλοὶ τῷ λόγῳ αὐτοῦ ἐκ διαφόρων αἱρέσεων μετεστράφησαν, ἄλλοι δὲ πλείονες ταῖς τούτου παραινέσεσι μοναχοὶ γεγόνασι· καὶ πολλαὶ θαυματουργίαι δι' αὐτοῦ ἐγένοντο οὐ μόνον ἔτι αὐτοῦ περιόντος, ἀλλὰ καὶ μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν, ἥτις καὶ γέγονε κατὰ τὴν πέμπτην τοῦ ἰανουαρίου μηνὸς πρὸς[9] ἑσπέραν. — Σάϊς ἐν τῇ θαλάσσῃ τ. — Θεόειδος ὑπὸ νηπίων[10] καταπατούμενος τ. — Δομνίνα ἐν εἰρήνῃ τ. — Τατιανὴ ἐν εἰρήνῃ τ. — **Mv** : Θεοπέμπτου καὶ Θεωνᾶ (Ian. 4[5]). — 2. — Φωστηρίου. — Σάϊς. — Θεόειδος ὑπὸ δημίων πατούμενος τ. — Δόμνα. — Τατιανή. — **Mr** : Θεοπέμπτου καὶ Θεωνᾶ. — Συγκλητικῆς (Ian. 4[7]).

Ian. 6. SYNAXARIA SELECTA. **Sa** : 1. — **Sb** : 1. — **H** : 1. — **P** : 1 : Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ βάπτισις. — **Da** : 1. — **Db** : 1. — **F** : 1. — **Fa** : 1. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1 : Ἡ ἑορτὴ τῶν ἁγίων Θεοφανίων. Θέλων ὁ κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς πληρῶσαι πᾶσαν δικαιοσύνην καὶ πάντα τὰ τοῦ ἰουδαϊκοῦ <ἔθνους> ἔθιμα καὶ τοὺς τύπους, ἵνα μή τις ἐξ αὐτῶν λέγῃ ὅτι ἀντίθεός ἐστιν καὶ τοῦ γραφέντος παρὰ τοῦ Μωσέως νόμου ἐναντία φρονεῖ, ἰδὼν τοὺς Ἰουδαίους προσερχομένους τῷ βαπτίσματι Ἰωάννου τοῦ βαπτιστοῦ καὶ βαπτιζομένους ἐν τῷ Ἰορδάνῃ ποταμῷ, προσέρχεται καὶ αὐτὸς τῷ Ἰωάννῃ λέγων· « Ἐλθέ, βάπτισόν με, » οὐχ ὡς δεόμενος καθάρσεως ἀλλ' ὡς καθᾶραι θέλων τοῦ κόσμου τὴν ἁμαρτίαν. Ὁ δὲ διϊσχυρίζετο μὲν ἀφ' οὗ εἶδε τὸ Πνεῦμα τὸ ἅγιον ὡσεὶ περιστερὰν κατερχόμενον καὶ μένον ἐν αὐτῷ. Βαπτίσαντος οὖν αὐτοῦ τὸν Χριστόν, ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ καὶ φωνὴ ἦλθεν ἐκ τῶν οὐρανῶν λέγουσα· Matth. 3, 17. « Οὗτός ἐστιν ὁ υἱός μου » ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. » Καὶ τῷ τοιούτῳ τρόπῳ ἐκλήθη Θεοφάνεια ἡ ἑορτὴ διὰ τὸ φανῆναι τὸν Θεὸν ἐν ἀνθρώποις. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

— [6] πάλιν ἡμᾶς θέλει Mv. — [7] ἐργοχείρου αὐτοῦ Mv. — [8] (πρὸς τὴν χρεῖαν) πάντα Mv. — [9] *om.* Mv. — [10] δημίων Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

IAN. 7. **1.** Τὴν σύναξιν ἐπιτελοῦμεν [1] τοῦ ἁγίου καὶ τιμίου Προδρόμου ἐξ ἀρχῆς καὶ ἄνωθεν παραδιδομένην, ὡς τῷ μυστηρίῳ τοῦ θείου βαπτίσματος ὑπουργήσαντος, συνταττομένην καὶ ταύτην ταῖς ἄλλαις αὐτοῦ πανηγύρεσιν, ἵνα μηδὲν τῶν ἐκείνου ἀδόξαστον [2] ᾖ. Πρὸς τούτοις πάλιν συνέφθασε καὶ ἑτέρα ἑορτὴ τῆς κυκλικῆς περιόδου, ἡ τῆς παντίμου [3] καὶ πανενδόξου τοῦ βαπτιστοῦ καὶ προδρόμου δεξιᾶς χειρὸς μετένεξις πρὸς τὴν βασιλεύουσαν, τρόπῳ τοιῷδε. Ἐν τῇ πόλει Σεβαστῇ [4], ἐν ᾗ λέγεται τεθάφθαι τὸ τοῦ Προδρόμου σῶμα, Λουκᾶς ὁ εὐαγγελιστὴς παραγενόμενος καὶ τὴν δεξιὰν χεῖρα τοῦ προφητικοῦ σώματος ἐκείνου ἀφελόμενος πρὸς τὴν ἑαυτοῦ πόλιν [5] ἠγάγετο Ἀντιόχειαν, πάμπολλα [6] θαύματα ἐπιτελοῦσαν. Ἐν οἷς καὶ δράκων ἦν τίς που τοῖς ταύτης ἐμφωλεύων ὁρίοις· ὃν οἱ τὴν πόλιν οἰκοῦντες τῆς ἑλληνικῆς μοίρας τυγχάνοντες θεοποιούμενοι ἐνιαυσιαίῳ ἐτίμων θυσίᾳ. Καιροῦ δὲ προβάντος, ἐκεκλήρωτό τις χριστιανῶν, τὸ ἑαυτοῦ θυγάτριον ἐπιδώσων τῷ δράκοντι. Ὁ γὰρ δράκων οὗτος [7] τοῦ [8] φωλεοῦ ἐξερπύζων καὶ θέαμα φαινόμενος ἀνέλπιστον καὶ μέγιστον κεχηνὼς τὸ θῦμα ἐδέχετο καὶ τοῖς ὀδοῦσιν ἐσπάραττε· κατὰ τοῦτο ὁ τῆς κόρης πατὴρ στεναγμοῖς τὸ θεῖον καὶ τὸν Πρόδρομον ἐξελιπάρει [9] πρὸς τὸ τὴν παῖδα | f. 127. αὐτοῦ τοῦ πικροῦ θανάτου ἀπαλλαγῆναι. Διὸ καὶ σοφίζεταί τι τοιοῦτον· ἐξαιτεῖται προσκυνῆσαι τὴν ἁγίαν τοῦ Προδρόμου χεῖραν [10], καὶ ἐν τῷ κατασπάζεσθαι ταύτην λανθανόντως [11] τοῖς ὀδοῦσιν αὐτοῦ ἐκκόπτει τὸν ἀντίχειρα δάκτυλον, καὶ τοῦ ποθουμένου ἐπιτυχὼν ἔξεισι τοῦ ναοῦ. Καὶ δὴ ὡς ἡ τῆς θυσίας ἡμέρα ἐφειστήκει καὶ τὸ τοῦ [12] λαοῦ θέατρον παρῆν, πρόσεισιν ὁ πατὴρ τὴν παῖδα ἐπιφερόμενος καὶ ἐγγὺς τοῦ δράκοντος γενόμενος, ἐπείπερ εἶδεν αὐτὸν κεχηνότα καὶ τοῦ θύματος ἐφιέμενον, τὸν ἱερὸν ἐκεῖνον δάκτυλον μέσον ἀκοντίσας τοῦ φάρυγγος, τῇ τούτου ἐμβολῇ τὸν θάνατον αὐτῷ παραχρῆμα συνεισήνεγκε. Λέγεται δὲ [12] καὶ κατὰ τὴν τῆς ὑψώσεως τοῦ τιμίου σταυροῦ ἑορτὴν ἀνυψοῦσθαι τὴν τιμίαν χεῖρα ὑπὸ τοῦ ἀρχιερέως· ἐν δὲ τῷ ὑψοῦν αὐτήν, ποτὲ μὲν ἐπιτετάσθαι, ποτὲ δὲ συστέλλεσθαι· ἧς τῇ μὲν ἐκτάσει εὐφορίαν δηλοῦσθαι καρπῶν, τῇ δὲ συστολῇ ἀπορίαν καὶ ἔνδειαν. Διὰ ταῦτα πολλοῖς μὲν τῶν κατὰ καιροὺς βασιλευόντων δι' ἐφέσεως <ἦν [13]> ἐν κατασχέσει ταύτης γενέσθαι, ἐξαιρέτως δὲ Κωνσταντίνῳ καὶ Ῥωμανῷ τοῖς πορφυρογεννήτοις. Ὅθεν καὶ τούτων βασιλευόντων ὑπό τινος διακόνου τῆς Ἀντιοχέων ἐκκλησίας, Ἰὼβ προσαγορευομένου, ἡ τῆς τιμίας χειρὸς τοῦ Προδρόμου ἐξαγωγὴ καὶ ἀνάκλησις ἐγένετο, κατ' αὐτὴν τὴν ἐπιλύχνιον ὥραν, ἐν ᾗ τὸν ἁγιασμὸν ἔθος τελεῖν χριστιανοῖς παραδέδοται· ἣν βασιλεὺς ὁ φιλόχριστος ἐκ πόθου κατασπασάμενος ἐν τοῖς βασιλείοις ἐναπέθετο. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τοῖς Σφωρακίου [14].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου γενομένου τῆς βασιλίδος ταύτης τῶν πόλεων Κύρου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τῆς Χώρας καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

IAN. 8. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ καὶ Βασιλίσσης καὶ τῶν σὺν αὐτοῖς τελειωθέντων. Οὗτος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Μαρκιανοῦ ἡγεμόνος ἐν Ἀντινοουπόλει τῆς Αἰγύπτου. Ὃς τὴν νομίμως [1] συναφθεῖσαν εἰς γυναῖκα Βασίλισσαν ἔπεισεν ἐν ἁγνείᾳ διαμένειν· ἣν ἐν μοναστηρίῳ γυναικῶν ἀποκείρας, καὶ αὐτὸς οὗτος ἐν μοναστηρίῳ ἐμόνασε κειράμενος· ἡγεῖτο δὲ ἀνδρῶν | f. 127v. ὡσεὶ χιλιάδων δύο. Κατασχεθεὶς δὲ καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενος, ἀλλὰ καὶ μυκτηρίσας τὰ εἴδωλα, εἰς θυμὸν καὶ ὀργὴν τὸν ἡγεμόνα κινεῖ· ὃς παραυτίκα τὸ μοναστήριον αὐτῶν πυρπολεῖ, ἐν ᾧ κατεκαύθησαν [2] πάντες οἱ ἐκεῖσε προσφυγόντες ἐπίσκοποι καὶ ἱερεῖς καὶ λοιποὶ κληρικοὶ τῆς χώρας· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. Ὁ δὲ ἅγιος Ἰουλιανὸς ἐπ' ἐδάφους ἁπλωθεὶς τύπτεται καὶ σιδηροῖς δεσμοῖς ἐνειληθεὶς συντρίβεται τὰ ὀστᾶ. Ὅτε καὶ εἷς τῶν ὑπηρετῶν ἐκκοπεὶς τὸν ὀφθαλμόν, πιστεύσας καὶ ἰαθεὶς παρὰ τοῦ μάρτυρος τὴν κεφαλὴν ἀφαιρεῖται. Καὶ Κέλσιος, ὁ τοῦ ἡγεμόνος παῖς μετὰ εἴκοσι στρατιωτῶν ἐπίστευσεν εἰς τὸν Χριστόν, ἐπεὶ εἶδον νεκρὸν διὰ προσευχῆς τοῦ ἁγίου ἀναστάντα. Διὰ τοῦτο κελεύσει τοῦ ἡγεμόνος πρῶτον μὲν φρουροῦνται, εἶτα ἐν λέβησι πεπυρωμένοις [3] ῥιπτοῦνται ἅμα καὶ τοῖς ἑπτὰ υἱοῖς

1. — [1] ἑορτάζομεν Sa. — [2] ἄδοξον Sa. — [3] πανεντίμου Sa. — [4] Σεβαστηνῶν Sa. — [5] φέρων *add.* Sa. — [6] πάμπολα S. — [7] *om.* Sa. — [8] τε *add.* Sa. — [9] ἐλιπάρει Sa. — [10] χεῖρα Sa. — [11] Sa, λανθάνοντος S. — [12] *om.* Sa. — [13] Sa, *om.* S. — [14] Φωρακίου Sa, Σπαρακίου S, *cf. Sept.* 23[1].

1. — [1] αὐτῷ *add.* Sa. — [2] κατεκάμφθησαν S. — [3] πεπυρουμένοις S.

IAN. 7. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. — **H** : 1. 2. — **P** : 1. — Τοῦ ἁγίου ἀποστόλου Ἀπολλῶ. Sequitur : Σαββάτῳ ... Κυριακῇ μετὰ τὰ φῶτα... — **Da** : 1. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. — **Ba** : 1 (= B + S). 2 (= S). — **Bb** : 1 (add. manus recentior : Καὶ ἡ τῆς δεξιᾶς αὐτοῦ χειρὸς μετένεξις ἐν Κωνσταντινουπόλει). — **C** : 1 (... ἡ ἀνακομιδὴ τῆς δεξιᾶς χειρὸς τοῦ Προδρόμου). — **Cb** : 1. — **Cc** : 1 (... ἡ ἀνακομιδὴ κτλ.). — **Cd** : 1. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

IAN. 8. SYNAXARIA SELECTA. **Sa** : 1. 3. 4. 5. 6. — **Sb** : 2. 1. — **H** : 3. — Ζωτικοῦ πρεσβυτέρου καὶ ὀρφανοτρόφου. Τελεῖται ἡ αὐτοῦ σύναξις πέραν ἐν Ἐλεαναῖς (Dec. 31[2]). — 5. 6. — **P** : 3. — Εὐγενίου. — Τατιανῆς. — 2. — **Da** : 2. 1. 4 (Καρτεροῦ). — 3. — **Db** : 2. 1. 4. 3. — **F** : 2. 1. 3. — **Fa** : 2. 1. 4. 3. —

τοῦ ἄρχοντος, τοῖς ἤδη πιστεύσασι, καὶ τῷ πρεσβυτέρῳ Ἀντωνίῳ καὶ τῷ Ἀναστασίῳ τῷ ἐκ νεκρῶν ἀναστάντι. Ἐπεὶ δὲ ἀβλαβεῖς ἐξῆλθον χάριτι [4] Χριστοῦ, πολλοὶ ἐπίστευσαν τότε, ἅμα καὶ τῇ μητρὶ Κελσίου. Παραστάντων δὲ τῶν ἁγίων ἐνώπιον τοῦ ἡγεμόνος, αὐτίκα διὰ προσευχῆς αὐτῶν τὰ ἐν τῷ ναῷ εἴδωλα συνετρίβησαν· καὶ ὁ ναὸς ὑποβρύχιος γέγονεν. Ἀχθέντες δὲ οἱ ἅγιοι φακέλοις [5] παπύρων διαβρόχων ἐλαίῳ τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν προσδεθέντες ἀνήφθησαν. Ἐπεὶ δὲ οὐκ ἐλυμήνατο αὐτοὺς τὸ πῦρ, τοῦ [6] ἁγίου Ἰουλιανοῦ καὶ τοῦ παιδὸς Κελσίου τὸ δέρμα τῆς κεφαλῆς ἀπέσυραν, τοὺς δὲ ὀφθαλμοὺς τοῦ πρεσβυτέρου Ἀντωνίου ὀγκίνοις ἐξώρυξαν, τὴν δὲ μητέρα Κελσίου ἀπηώρησαν. Μετὰ ταῦτα δὲ θηρίοις τοὺς ἁγίους παρέδωκαν· κἀκεῖθεν οἱ μακάριοι ἀπήμαντοι διαφυλαχθέντες, ξίφει τὰς κεφαλὰς ἐτμήθησαν· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι πλησίον τοῦ Φόρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Δομνίκας. Αὕτη ἦν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου, παρέτεινε δὲ ἕως Λέοντος καὶ Ζήνωνος· ὑπῆρχε δὲ ἐκ πόλεως Καρθαγένης τῆς πρὸς Καρχηδόνα. Κατά τινα δὲ θείαν οἰκονομίαν, μεθ' ἑτέρων τεσσάρων παρθένων ἐν Κωνσταντινουπόλει παρεγένετο. Νεκτάριος δὲ ὁ τηνικαῦτα | f. 128. ἀρχιεπίσκοπος ἐξ ἀποκαλύψεως θείας αὐτὰς ὑπεδέξατο καὶ τοῦ ἁγίου βαπτίσματος κατηξίωσεν. Ὑπελθοῦσα δὲ τὸν μονήρη βίον ἡ ὁσία, καὶ ἀνδρικοῖς πόνοις ἐγγυμνασαμένη [1] καὶ εἰς ἄκρον προελθοῦσα ἀσκήσεως καὶ θαύματα ἐνεργεῖν καταξιωθεῖσα πρὸς Κύριον ἐξεδήμησεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοφίλου διακόνου καὶ Ἑλλαδίου λαϊκοῦ. Οὗτοι ὑπῆρχον ἐκ Λιβύης· συσχεθέντες δὲ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἤχθησαν ἐπὶ [1] τοῦ ἀνθυπάτου [2]. Καὶ ἐπιμείναντες τῇ πίστει, ξέονται καὶ δεθέντες χεῖρας καὶ πόδας πυρὶ κατὰ τῶν μεταφρένων καίονται καὶ ὀστράκοις ὀξέσι κατακεντοῦνται [3]· ἐπὶ πολὺ δὲ τῆς βασάνου παραταθείσης, ἀπέδωκαν τὰς ψυχάς.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Καρτερίου. Οὗτος ὑπῆρχεν ἐπὶ τοῦ βασιλέως Διοκλητιανοῦ [1] καὶ Οὐρβανοῦ ἡγεμόνος Καισαρείας τῆς Καππαδοκίας, ἱερεὺς [2] καὶ διδάσκαλος (IAN 8.) τῶν χριστιανῶν. Οἶκον δὲ εὐκτήριον δειμάμενος καὶ πολλὰ πλήθη τῶν χριστιανῶν [3] συναγαγὼν ἐδίδασκε μόνον σέβεσθαι Χριστὸν Θεὸν ὄντα ἀληθινὸν καὶ πλὴν αὐτοῦ μὴ εἰδέναι ἕτερον [4]. Διαβληθεὶς οὖν ἐπὶ τοῦ ἡγεμόνος [5] ἀπέκρυψεν ἑαυτόν. Ὁ δὲ Κύριος [6] ἐπιφαίνεται αὐτῷ καί φησιν· «Ἄπελθε, » Καρτέριε [7], καὶ ἐμφάνισον [8] σεαυτὸν τοῖς ζητοῦσί » σε· δεῖ γάρ σε πολλὰ παθεῖν ὑπὲρ τοῦ ὀνόματός » μου. Ἐγὼ δὲ ἔσομαι μετὰ σοῦ, καὶ πολλοὶ διὰ » σοῦ πιστεύσαντες σωθήσονται. » Παραυτίκα οὖν ἀναστὰς ὁ ἅγιος καὶ [9] χαρᾶς πλησθεὶς καὶ εὐχαριστίαν τῷ Θεῷ ἀναπέμψας, ἑαυτὸν κατεμήνυσε· καὶ πρῶτον μὲν τῇ εἱρκτῇ ἐγκλείεται, ἔπειτα παραστὰς τῷ ἡγεμόνι ἐκελεύετο θύειν τῷ Σέραπι [10]. Ὁ δὲ δι' εὐχῆς εἰς γῆν τοῦτον καταβαλὼν [11] ὑπὸ ἓξ καὶ δέκα στρατιωτῶν βάκλοις τύπτεται [12], ἑτέρων τεσσάρων δημίων ἐπικειμένων αὐτῷ. Εἶτα κρεμᾶται ἐπὶ ξύλου, καὶ ξυρῷ τοὺς ὄνυχας τῶν χειρῶν καὶ τῶν ποδῶν ἀφαιρεῖται καὶ σιδηροῖς ὄνυξιν ἅπαν τὸ σῶμα καταξαίνεται [13]. Αὐτὸς δὲ δι' ἐπιφανείας ἀγγέλου ὑπεράνω τῶν βασάνων γενόμενος, ὑγιὴς ἀποκατέστη. Ἀλλὰ καὶ πάλιν κελεύσει τοῦ ἡγεμόνος κατενεχθεὶς τρυπᾶται τοὺς ἀστραγάλους [14] καὶ ὕνιν πεπυρωμένην [15] δέχεται κατὰ τοῦ στήθους. Μετὰ τοῦτο κελεύεται καθεσθῆναι [16] ἐν βάθρῳ σιδηρῷ λίαν ἐκπυρωθέντι [17] καὶ σούβλαις πεπυρωμέναις [18] τοὺς πόδας διατρηθῆναι [19] καὶ τῇ εἱρκτῇ ἀπορριφῆναι. Ὀψίας δὲ γενομένης, φανεὶς πάλιν ὁ | f. 128v. σωτὴρ ἀπαλλάττει αὐτὸν τῶν δεσμῶν καὶ ἀνακτᾶται καὶ τῶν θυρῶν τῆς φυλακῆς ἔξωθεν ἀγαγὼν ἵστησι. Διὸ καὶ πολλοὶ τῶν θεασαμένων αὐτὸν [20] ὑγιῆ, φοιτῶντες πρὸς αὐτὸν ἐβαπτίζοντο καὶ νοσημάτων ὧν εἶχον ἀπηλλάττοντο. Μετὰ ταῦτα πάλιν ἐξαρτᾶται λίθοις μεγίστοις τοὺς πόδας καὶ τὰς χεῖρας [21] καὶ τὴν γαστέρα τύπτεται βάκλοις, καὶ λαμπάσιν ἐπιρραινομέναις τέαφον [22] καὶ πίσσαν καὶ τὰς πληγὰς διερχομέναις καὶ ὅλως ἐκφλογουμέναις κατακαίεται· καὶ αὖθις μόλυβον [23] καχλάζοντα κατὰ τοῦ στόματος δέχεται καὶ κασσίδα πυρωθεῖσαν σφοδρῶς τῇ κεφαλῇ ἐπιτίθεται. Τὸ δὲ τελευταῖον πυρὶ ἐμβάλλεται, εὐχαριστηρίους ὕμνους τῷ Θεῷ ἀναπέμπων· ἐξ οὗ καὶ ἀλώβητος διέμεινεν. Ὅθεν εἷς τῶν παρεστώτων Ἰουδαῖος ὢν λίαν μανεὶς καὶ δόρυ σπασάμενος καὶ κατὰ τῆς

— [4] τοῦ *add.* Sa. — [5] φακέλλοις Sa. — [6] μὲν *add.* Sa.

2. — [1] ἐγκυμνασαμένη S.

3. — [1] *om.* Sa. — [2] τῷ ἀνθυπάτῳ Sa. — [3] κατακεντῶνται Sa.

4. — [1] Διοκλητιανοῦ βασιλέως Sa. — [2] δὲ ὑπάρχων *add.* Sa. — [3] ἐκεῖσε *add.* Sa. — [4] (μόνον - ἕτερον) τὸν Χριστὸν σέβεσθαι μόνον Θεὸν ὅτι πλὴν αὐτοῦ οὐκ ἔστιν ἕτερος Sa. — [5] (ἐπὶ τοῦ ἡγεμόνος) τῷ ἡγεμόνι καὶ ζητηθεὶς Sa. — [6] (ὁ δὲ κύριος) παραυτοίκα τοίνυν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς Sa. — [7] Κ. ἄπελθε Sa. — [8] φανέρωσον Sa. — [9] (δεῖ γὰρ - καὶ) καὶ ἐγὼ ἔσομαι μετὰ σοῦ· δεῖ γὰρ ... ὀνόματός μου καὶ στεφανωθῆναι· διὸ καὶ πολλοὶ πιστεύσαντες διὰ σοῦ σωθήσονται· ἀναστὰς οὖν ὁ ἅγιος Sa. — [10] ἠναγκάσθη ἐπιθύειν τῷ Σεράπῃ Sa. — [11] ταχύτατα *add.* Sa. — [12] τύπτεται βάκλοις Sa. — [13] καταξέεται τὸ σῶμα Sa. — [14] σιδήρῳ *add.* Sa. — [15] πυρωθείσης Sa. — [16] *om.* Sa. — [17] πυρωθέντι καθεσθῆναι Sa. — [18] πεπυρωμέναι S, σιδηραῖς πεπυρακτωμέναις Sa. — [19] διατιτρᾶσθαι Sa. — [20] αὐτῷ S, αὐτὸν οὕτως Sa. — [21] βαρυνόμενος *add.* Sa. — [22] τέαφην Sa. — [23] μόλιβδον Sa.

B : 3. — **Ba** : 2 (= S). 1 : Ἰουλιανοῦ καὶ Βασιλίσσης καὶ τῶν σὺν αὐτοῖς τελειωθέντων. Οὗτος (IAN. 8.) νομίμῳ συναφθεὶς γυναικὶ Βασιλίσσῃ ὀνόματι ἔπεισεν ἁγνεύειν, ἀποκείρας αὐτὴν ἐν μοναστηρίῳ... Des. : μετὰ ταῦτα θηρίοις αὐτοὺς εἰς βορὰν βάλλουσιν· ἐξ ὧν ἀβλαβεῖς διαφυλαχθέντες, ξίφει τὰς κεφαλὰς ἀποτέμνονται· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. — 4 (= S). 3. — **Bb** : 3. 1. 4. — **C** : 3. — **Cb** : 3. — **Cc** : 3. — **Cd** : 3. — **M** : 2. 1. 4. — Κύρου (Ian. 7[2]). — Ἀττικὸς πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος προφήτης Σαμέας ὁ Ἐλαμίτης ἐν εἰρήνῃ τ. — Ἀγάθων ἐν

Ian. 8. τούτου πλευρᾶς τοῦτο ἐλάσας, τὸν θάνατον αὐτῷ ἐπήνεγκε. Καὶ πρῶτον μὲν ἐξῆλθεν ὕδωρ πολὺ ὡς καὶ αὐτὴν σβεσθῆναι τὴν ἀνυπόστατον πυράν· ὕστερον δὲ αἵματος ἐξελθόντος, ἀφῆκε τὴν ψυχὴν ὁ μάρτυς εἰς χεῖρας Θεοῦ· καὶ οὕτως ἐτελειώθη αὐτοῦ ἡ μαρτυρία.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου.

6. Καὶ σύναξις τοῦ ἐν Κανᾷ τῆς Γαλιλαίας <γενομένου θαύματος[1]> καὶ τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου ἐν τῇ Πηγῇ καὶ ἔνδον τοῦ ἁγίου μάρτυρος Πολυεύκτου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

Ian. 9. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πολυεύκτου. Οὗτος ἦν ἐπὶ Δεκίου καὶ Βαλλεριανοῦ τῶν βασιλέων, ἐν Μελιτινῇ [1] τῆς Ἀρμενίας στρατευόμενος, πρῶτος ἐν τῇ τοιαύτῃ χώρᾳ ὑπὲρ Χριστοῦ μαρτυρήσας. Καταφοιτήσαντος γὰρ δόγματος ἀσεβοῦς δεῖν ἐξόμνυσθαι τὸν Χριστόν, τοῖς δὲ μὴ πειθομένοις εἶναι θάνατον τὴν ζημίαν, οὗτος μὴ καταπτήξας παρρησίᾳ τὸν Χριστὸν ἀνεκήρυξεν· τῷ δὲ περιόντι [2] τοῦ θάρσους καὶ τὰ παρὰ τῶν ἀπίστων σεβόμενα ξόανα συνέτριψεν. Ὅθεν μήτε ταῖς τοῦ κηδεστοῦ παραινέσεσι καὶ κολακείαις πεισθείς, μήτε ταῖς τῆς γυναικὸς οἰμωγαῖς καὶ τοῖς ὀλοφυρμοῖς ἐπικλασθείς, τῷ δὲ μάρτυρι [3] Νεάρχῳ, φίλῳ ὄντι [4], τὰς συνθήκας βεβαιῶν, δεδοικότι τὴν ἀπὸ τῆς πίστεως τοῦ Χριστοῦ ἔκκλισιν, ἄτρεπτος ἐν τῇ ὁμολογίᾳ φανεὶς τὴν διὰ ξίφους δέχεται τελευτήν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ.

f. 129. **2.** | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας Μαρκιανοῦ [1]. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ καὶ Πουλχερίας, τῶν προγόνων αὐτοῦ ἐκ τῆς πρεσβυτέρας Ῥώμης ἐληλυθότων. Ἐδείματο δὲ τὸν ναὸν τῆς ἁγίας Εἰρήνης τὸν πρὸς θάλασσαν, ἐπισυνάψας αὐτῷ τὸν [2] εὐκτήριον οἶκον τοῦ ἁγίου [3] Ἰσιδώρου [4]. Ἐδείματο δὲ καὶ τὸν τῆς ἁγίας Ἀναστασίας, τὸν ἐν τοῖς Δομνίνου ἐμβόλοις, ὃν καὶ ἀπὸ τοῦ μεγάλου διέσωσεν ἐμπρησμοῦ, τοῦ πυρὸς [5] τὰ κύκλῳ κατανεμηθέντος, αὐτὸς [6] ἐπὶ τῆς ὀροφῆς [7] ἑστὼς καὶ [8] τὰς χεῖρας εἰς οὐρανὸν ἄρας [9] καὶ προσευχόμενος [10]. Τὰς δὲ τῶν θαυμάτων ἐνεργείας καὶ [11] τὴν ἐν τοσαύτῃ χρημάτων ἀφθονίᾳ [12] ἔνδειαν καὶ τὸ ἀκριβὲς τῆς ἀσκήσεως διεξοδικώτερον ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῷ ὄντι πλησίον τῆς κινστέρνης Μωκησίας ἐν τοῖς Δανιήλ.

3. Τῇ αὐτῇ ἡμέρᾳ συνέφθασε καὶ ἡ [1] μνήμη τοῦ μεγάλου σεισμοῦ τοῦ γενομένου ἐν ἀρχῇ τῆς βασιλείας Βασιλείου, ὅτε καὶ ὁ μέγιστος τῆς ὑπεραγίας Θεοτόκου ναὸς [2] ἐν τῷ Σίγματι καὶ ἕτεραι πολλαὶ [3] ἐκκλησίαι καὶ ἰδιωτικοὶ οἶκοι κατέπεσον.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἀχιᾶ. Οὗτος ἦν ἀπὸ Σιλὼμ ἐκ πόλεως Ἠλεί, ὅπου ἦν ἡ σκηνὴ τὸ παλαιόν. Οὗτος εἶπε περὶ Σολομῶντος, ὅτι προσκρούσει Κυρίῳ καὶ ἤλεγξε τὸν Ἱεροβοάμ, ὅτι δόλῳ πορεύεται μετὰ Κυρίου. Εἶδε δὲ καὶ ζεῦγος βοῶν πατοῦν τὸν λαὸν καὶ κατὰ τῶν ἱερέων ἐπιτρέχον. Προεῖπε καὶ περὶ τοῦ Σολομῶντος, ὅτι αἱ γυναῖκες αὐτὸν ἐκστήσουσι καὶ πᾶν τὸ γένος αὐτοῦ· καὶ ἀπέθανε καὶ ἐτάφη ἐγγὺς τῆς δρυὸς Σιλὼμ [1].

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς

6. — [1] *suppleri, om.* S, Sa.

1. — [1] Μελετινῇ Sa. — [2] περιόντος Sa. — [3] μακαρίῳ Sa. — [4] αὐτοῦ *add.* Sa.

2. — [1] πατρὸς ἡμῶν Μ. πρεσβυτέρου καὶ οἰκονόμου τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας Sa. — [2] *supra lin.* Sa. — [3] μάρτυρος *add.* Sa. — [4] Ἰσιδόρου S. — [5] γὰρ *add.* Sa. — [6] ὁ ὅσιος *add.* Sa. — [7] κορυφῆς Sa. — [8] *om.* Sa. — [9] ἐπάρας Sa. — [10] ἦν *add.* Sa. — [11] ἐν *add.* S. — [12] ἑκούσιον *add.* Sa.

3. — [1] συνέφθασε καὶ ἡ *om.* Sa. — [2] ὁ *add.* Sa. — [3] *om.* Sa.

4. — [1] Σηλώμ Sa.

Ian. 8. εἰρήνῃ τ. — Θεόκτιστος ὁ ἐπίσκοπος ἐν εἰρήνῃ τ. — **Mv** : 2. 1. 4. — Κύρου. — Ἀττικός. — Σαμέας. — Ἀγάθων καὶ Θεόκτιστος. — 3. — **Mr** : 2. — Γεωργίου τοῦ Χοζεβίτου.

Ian. 9. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : 1. 4. — **H** : 1. 3. — **P** : 1. 3 (τοῦ μεγάλου σεισμοῦ ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ βασιλέων). — **Da** : 1. 3. 4 (Εὐστρατίου τοῦ προφήτου). — 5 (= Ba). — **Db** : 1. 3. 4. 5. — **F** : 1. 3. 4. 5. — **Fa** : 1. 3. 4. 5. — **B** : 1. — Θεοκτίστου ἱερομάρτυρος καὶ ὁμολογητοῦ (cf. Ian. 4). — 4. — **Ba** : 1 (= S). 3 (= S). 4 (= S). 5 : Εὐστρατίου τοῦ θαυματουργοῦ. Οὗτος ὁ ὅσιος γονέων εὐσεβῶν καὶ ἐν αὐταρκείᾳ βιούντων υἱὸς ἐγνωρίζετο, Μεγεθοῦς καὶ Γεωργίου προσαγορευομένων. Ἔρωτι δὲ θείῳ κάτοχος γεγονώς, κόσμῳ καὶ τοῖς ἐν κόσμῳ πᾶσιν ἀποταξάμενος, φυγὰς πρὸς τὰ τοῦ Ὀλύμπου ᾤχετο μέρη, Γρηγόριον δὲ καὶ Βασίλειον τοὺς ἑαυτοῦ θείους ἐν τῇ τῶν Ἀγαύρων μονῇ ἀσκητικῶς εὑρὼν διαλάμποντας, ὑπ' αὐτῶν τὸν ἐπίπονον καὶ μοναχοῖς ἁρμόδιον ἐκδιδάσκεται βίον· καὶ τὴν κόμην ἀποκαρεὶς τοῖς λοιποῖς ἀδελφοῖς συναρίθμιος γίνεται. Ταύτης αὐτὸς τυχὼν τῆς ἐφέσεως πᾶσι προθύμως καθυπηρέτει, μηδὲν κεκτημένος τοῦ αἰῶνος τούτου πλὴν ἃ ἠμφιέννυτο τρίχινα. Ἑβδομήκοντα πέντε τοίνυν ἔτεσι τῇ ἀσκήσει προσκαρτερήσας, οὐδέποτε ἐπὶ πλευρὰν ἀνεπαύσατο, καίτοι τὴν προστασίαν τῶν ἀδελφῶν πιστευθεὶς μετὰ τὴν κοίμησιν τῶν αὐτοῦ θείων, Γρηγορίου φημὶ καὶ Βασιλείου. Ἐπεὶ δὲ Λέων ὁ θηριώνυμος τὴν ἐκκλησίαν ἐτάραξε καὶ τὴν πάλαι σβεσθεῖσαν τῶν εἰκονομάχων αἵρεσιν ἔσπευδεν ἀνεγεῖραι, πρὸς τοῦ μεγάλου Ἰωαννικίου προτραπεὶς ὁ μακάριος τὴν ἐνεγκαμένην κατελάμβανε· ἔπειτα μετὰ χρόνον τινὰ πρὸς τὴν ἰδίαν μονὴν παραγενόμενος, πᾶσαν μὲν ἡμέραν ἀόκνως τοῖς σωματικοῖς ἔργοις μετὰ τῆς ἀδελφότητος ἔκαμνε. Τὴν

ἡμῶν Εὐστρατίου τοῦ θαυματουργοῦ. Οὗτος ὑπῆρχεν ἐκ χώρας Ταρσίας οὕτω λεγομένης, τελούσης ὑπὸ τὸ θέμα τῶν Ὀπτημάτων, κώμης ὀνομαζομένης Βιτζινιανᾶς, γονέων εὐσεβῶν καὶ ἐν αὐταρκείᾳ βιούντων, Γεωργίου καὶ Μεγεθοῦς. Οὕτω δὲ καλῶς παρ' αὐτῶν ἀναχθεὶς καὶ παιδευθεὶς καὶ πληρώσας τὸν εἰκοστὸν χρόνον τῆς αὐτοῦ ἡλικίας, τῷ θείῳ κάτοχος γίνεται ἔρωτι καὶ τοὺς γονεῖς καταλιπὼν φυγὰς ᾤχετο πρὸς τὰ τοῦ Ὀλύμπου μέρη [1] πρὸς τὴν μονὴν τῶν Αὐγάρου [2]· ἐν ᾗ [3] διέλαμψαν ἐν ἀσκήσει καὶ τῇ λοιπῇ ἀρετῇ f. 129v. Γρηγόριος | ὁ θαυμαστὸς καὶ Βασίλειος οἱ πρὸς μητρὸς αὐτῷ θεῖοι. Ὑφ' ὧν δεχθεὶς καὶ κατηχηθεὶς τὸν ἐπίπονον καὶ μοναχοῖς ἁρμόδιον ὑπέδυ βίον, τὴν κόμην κειράμενος καὶ τοῖς λοιποῖς συναριθμηθεὶς ἀδελφοῖς. Ταύτης τυχὼν τῆς ἐφέσεως πᾶσι τὴν ὑπηρεσίαν προθύμῳ καρδίᾳ καὶ ταπεινῷ τῷ φρονήματι ἀπένειμε [4], μηδὲν κεκτημένος τοῦ αἰῶνος τούτου πλὴν ἑνὸς τριχίνου καὶ μαλλωτοῦ· ἐφ' ὧν ἀνακλινόμενος, ἐν ᾧ ἂν ἔτυχε τόπῳ, μικρᾶς ἀναπαύσεως μετελάμβανεν· οὐδὲ γὰρ ἦν αὐτῷ τόπος ἀφωρισμένος ἀναπαύσεως. Λέγεται δὲ μηδέποτε ὕπτιον αὐτὸν ἀνακλιθῆναι, ἀφ' οὗ ἀπετάξατο, μήτε μὴν ἐν τῷ ἀριστερῷ μέρει τοῦ σώματος ἀναπεσεῖν ἐν πᾶσι τοῖς ἑβδομήκοντα πέντε ἔτεσιν, οἷς ἐν [5] τῇ ἀσκητικῇ πολιτείᾳ διέπρεψε. Τοίνυν τῶν προηγησαμένων τὸν βίον καταλυσάντων [6] ἁγίων ἀνδρῶν, ὁ μέγας οὗτος τὴν προστασίαν τῶν ἀδελφῶν πιστεύεται παρ' αὐτῶν προτραπείς. Ἐπεὶ δὲ Λέων ὁ θηριώνυμος ἐπανελθὼν ἀπὸ τοῦ Βουλγαρικοῦ πολέμου, ἐπανέστη τῇ βασιλείᾳ Μιχαὴλ τοῦ εὐσεβοῦς καὶ τὸν μετ' εἰρήνης ὑποδεξάμενον αὐτὸν τῆς γαμετῆς καὶ τῶν τέκνων στερήσας, εἶτα δημεύσας καὶ μοναχὸν ἀποκείρας, ἐξόριστον πρὸς τὴν ἀπέναντι νῆσον ἀπέστειλε καὶ τὴν πάλαι σβεσθεῖσαν τῶν εἰκονομάχων αἵρεσιν ἀνεγεῖραι πάλιν ἔσπευδε, τότε πάντων τὰς ἰδίας οἰκήσεις καταλιπόντων [7], ὁμοίως καὶ οὗτος, τοῦ μεγάλου Ἰωαννικίου αὐτὸν προτρεψαμένου, πρὸς τὴν ἐνεγκαμένην ἀφίκετο. Μετὰ ταῦτα δὲ ἐπεὶ πάλιν ἡ τοῦ Θεοῦ ἐκκλησία τὸν οἰκεῖον ἀπέλαβε κόσμον τῇ τῶν ἁγίων εἰκόνων ἀναστηλώσει καὶ προσκυνήσει, καὶ οἱ σημειοφόροι πατέρες πρὸς τὰς ἰδίας ἐπανῆλθον οἰκήσεις, καὶ ὁ μέγας Εὐστράτιος πρὸς τὴν οἰκείαν μονὴν παρεγένετο, πᾶσαν μὲν ἡμέραν ἀόκνως ἐν τοῖς σωματικοῖς ἔργοις τοῖς ἀδελφοῖς συγκοπιῶν, τὴν δὲ νύκτα ἐν στάσεσιν ἀΰπνοις καὶ γονυκλισίαις κατατρύχων τὸ σῶμα. Οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῇ τῇ [8] τοῦ κανόνος ψαλμῳδίᾳ ἔνδον τοῦ ἁγίου θυσιαστηρίου ἱστάμενος, ἀπ' ἀρχῆς μέχρι συμπληρώσεως ἐκτενῶς τὸ « Κύριε ἐλέησον » καθ' ἑαυτὸν ἐκεκράγει· τὰ δὲ παρ' αὐτοῦ τελεσθέντα θαύματα, πολλὰ ὄντα τῷ πλήθει, ἀδύνατον λέγειν ἢ γραφῇ ἐκτίθεσθαι, ὅσα ἐκεῖνος τῇ τοῦ Θεοῦ χάριτι ὡς αὐτῷ προσ|κείμενος καὶ προσεγγίζων f. 130. ἐποίησε καὶ ποιεῖ. Ἐπεὶ δὲ τῶν ἐνθένδε ἀπαίρειν ἔμελλε, τοὺς ἀδελφοὺς προσκαλεσάμενος ἔφη· « Ἀδελφοί, ὁ χρόνος τῆς ἐμῆς ζωῆς πέρας εἴληφε· » λοιπόν, τέκνα ἀγαπητά, ἣν παρελάβετε παρακαταθήκην φυλάξατε γινώσκοντες [9], ὅτι τὰ μὲν » παρόντα πρόσκαιρα, τὰ δὲ μέλλοντα αἰώνια. » Σπουδάσατε οὖν τῆς τῶν σωζομένων μερίδος » γενέσθαι. » Ταῦτα εἰπὼν καὶ κατασφραγισάμενος καὶ τὰς χεῖρας ὑψώσας καὶ τὸ ὄμμα πρὸς [10] οὐρανὸν ἀνατείνας· « Εἰς χεῖράς σου, ἔφη, Κύριε, » τὸ πνεῦμά μου παραθήσομαι [11]. » Καὶ εὐθὺς παρέδωκε τὸ πνεῦμα, ζήσας τὰ σύμπαντα ἔτη [12] ἐνενήκοντα [13] πέντε [14].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Ian. 10. **1.** Μνήμη τοῦ ἁγίου [1] Γρηγορίου ἐπισκόπου Νύσσης. Οὗτος ἀδελφὸς ἦν τοῦ μεγάλου Βασιλείου, λαμπρὸς ἐν λόγοις καὶ τῆς ὀρθοδόξου πίστεως ζηλωτής. Διὸ καὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας προέστη καὶ ἐν τῇ δευτέρᾳ συνόδῳ, τῇ ἐν Κωνσταντινουπόλει κατὰ τοῦ δυσσεβοῦς Μακεδονίου καὶ τῶν κακοφρόνων [2] αὐτοῦ συναχθείσῃ, λόγων δυνάμει καὶ γραφικαῖς ἀποδείξεσιν τοῖς

5. — [1] ὄρη Sa. — [2] S, Sa, Ἀγαύρου Ba *et in Act. S. Ioannicii*, Act. SS., *Nov. t. II, p. 345 etc.* — [3] μονὴν [illegible] ἐν ᾗ Sa. — [4] ἀπένεμε Sa. — [5] ἐν οἷς Sa. — [6] τῶν *add.* Sa. — [7] καταλιμπανόντων Sa. — [8] *om.* Sa. — [9] γινώσκον S. — [10] εἰς Sa. — [11] παρατίθημη Sa. — [12] *supra lin.* Sa. — [13] καὶ *add.* Sa. — [14] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς ἐλέησον *add.* Sa.

1. — [1] ἐν ἁγίοις πατρὸς ἡμῶν Sa. — [2] ὁμοφρόνων Sa.

Ian. 9. δὲ νύκτα ἀΰπνοις στάσεσι καὶ γονυκλισίαις κατατρύχων τὸ σῶμα καὶ ἔνδον τοῦ ἁγίου θυσιαστηρίου ἐν τῇ τοῦ μακαρίου ψαλμῳδίᾳ ἱστάμενος καὶ ἐκτενῶς τὸ « Κύριε ἐλέησον » καθ' ἑαυτὸν λέγων, ναὸν Θεοῦ ἑαυτὸν ἀπετέλεσεν. Τὰ δὲ παρ' αὐτοῦ τελεσθέντα θαύματα πολλὰ ὄντα τὸ πλῆθος γραφῇ παραδοῦναι ἀδύνατόν ἐστιν ἐνθάδε. Ἐπεὶ δὲ τῶν ἐνθένδε ἀπαίρειν ἔμελλε, τοὺς ἀδελφοὺς προσκαλεσάμενος καὶ πρὸς τοὺς ἀγῶνας ἀλείψας καὶ ἐπευξάμενος, εἶτα καὶ κατασφραγισάμενος καὶ τὸ « Κύριε εἰς χεῖράς σου » παρατίθημι τὸ πνεῦμά μου » φθεγξάμενος, παρέδωκε τὸ πνεῦμα, ζήσας τὰ σύμπαντα ἔτη ἐνενήκοντα πέντε. — **Bb** : 1. 4. 5. — **C** : 5. 1. — Τοῦ ἁγίου Θεοκτίστου ἐπισκόπου· τινὲς δὲ αὐτὸν φασιν καὶ ὁμολογητὴν εἶναι. — 4 (Μιχαίου). — **Cb** : 1. — **Cc** : 5. 1. — Θεοκτίστου. — 4 (prius scriptum Μιχαίου dein corr. Ἀχιά). — **Cd** : 1. — Θεοκτίστου. — **M** : 1. 5. — **Mv** : 1. 5. — **Mr** : 1.

Ian. 10. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — Μαρκιανοῦ (Ian. 9[2]). — **H** : 1. — Μαρκιανοῦ. — Δομνίκας (Ian. 8[2]). — **P** : 1. 2. — Μαρκιανοῦ. — **Da** : 1. 2. — Μαρκιανοῦ (= Ba). — **Db** : 1. 2. — Μαρκιανοῦ. — **F** : 1. — Μαρκιανοῦ (= Ba, des. : ἐν εἰρήνῃ ἐτελειώθη). — 2. — **Fa** : 1. — Μαρκιανοῦ. — 2. — **B** : 1. 2. — Μαρκιανοῦ. — Δομνίκης (Ian. 8[2]). — **Ba** : 1 (= S). 2 (= S). — Μαρκιανοῦ πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας (= S) ... καὶ προσευξάμενος τὴν ὁρμὴν τοῦ πυρὸς ἔστησεν. Ὁποῖοι δὲ τὰς οἰκοδομὰς εἰσὶ καὶ ὡς ἔχουσι κάλλους καὶ

IAN. 10. πατράσιν συνελθὼν καὶ τοὺς ὑπεναντίους καταβροντήσας καὶ τροπωσάμενος ἐθαυμάσθη. Διὰ γὰρ πάσης ἐλθὼν ἰδέας λόγων καὶ ἀρετῆς, ἐν ἑκάστη εὐδοκίμησε[3] καὶ τὸ[4] κράτος ἐδέξατο· καὶ φθάσας ἐν γήρᾳ καλῷ πρὸς Κύριον ἐξεδήμησε. Ἦν δὲ κατὰ πάντα τῷ ἀδελφῷ Βασιλείῳ προσεοικώς, πλὴν τοῦ πολιοῦ τε καὶ χαριεστέρου ἐπιβραχύ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Δομετιανοῦ ἐπισκόπου Μελιτινῆς[1]. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἰουστίνου τοῦ μικροῦ, Θεοδώρου καὶ Ἐκδικίας υἱὸς γεγονώς, εὐσεβείᾳ κομώντων καὶ χρημάτων περιουσίᾳ. Παιδείας δὲ μεταλαχὼν ἱκανῶς τῆς[2] ἔξωθεν καὶ τῆς ἐν ταῖς θείαις γραφαῖς, καὶ γάμῳ προσομιλήσας ἐπὶ χρόνῳ βραχεῖ, τῆς συνοικούσης αὐτῷ τὸν βίον λιπούσης, ἐπειδὴ πᾶσαν τὴν σπουδὴν λοιπὸν εἰς τὴν κατὰ Θεὸν φιλοσοφίαν ἔτρεψεν, τῆς ἐν Μελιτινῇ ἁγίας ἐκκλησίας ἀρχιερεὺς καθίσταται, τριακονταέτης[3] ἤδη γεγονώς. Συγκεράσας δὲ ἀσκητικῇ ἀγωγῇ τὴν πολιτικὴν σύνεσιν, οὐ μόνον τοῖς ὑπὸ χεῖρα σωτηρίας ἐγένετο πρόξενος, ἀλλὰ καὶ τῷ ἔθνει παντί, μετάπεμπτος ὑπὸ τοῦ βασιλέως πολλάκις γεγονώς. Καὶ συγκαταστήσας τὴν τῶν Περσῶν ἀρχὴν τῷ Χοσρόῃ[4], Βαρὰμ ἐπαναστάντος αὐτῷ καὶ ἐκβαλόντος[5] τοῦ[6] κράτους, ὅτε καὶ ὑποτελῆ αὐτὸν Ῥωμαίοις πεποίηκε, φίλος τε[7] | καταστὰς αὐτῷ f. 130v.
τε τῷ[8] Ῥωμαίων βασιλεῖ Μαυρικίῳ καὶ τῇ αὐτοῦ γαμετῇ καὶ πολλῶν χρημάτων δι' αὐτῶν κύριος γεγονώς, εἰς ἀνοικοδομὴν ἁγίων ἐκκλησιῶν καὶ πτωχοτροφείων ταῦτα ἐκένωσεν. Ἐν δὲ τῇ βασιλίδι πάλιν γενόμενος πρὸς Κύριον ἐξεδήμησε· ἔνθα τιμηθεὶς παρὰ παντὸς βασιλικοῦ τε καὶ ἐκκλησιαστικοῦ πληρώματος τὰ εἰκότα καὶ ἐν κιβωτίῳ τεθεὶς λαμπάσι καὶ ὕμνοις δορυφορούμενος, τὴν ἐνεγκαμένην καταλαμβάνει, πολλὰς θαυμάτων ἐνεργείας καὶ ἔτι τῷ βίῳ περιὼν καὶ μετὰ τὴν ἐνθένδε ἐκδημίαν ἐπιδειξάμενος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις καὶ τοῦ ἁγίου Γρηγορίου Νύσσης ἐν τῇ ἁγιωτάτῃ[7] μεγάλῃ ἐκκλησίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

IAN. 11. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου[1] τοῦ κοινοβιάρχου. Οὗτος ἦν ἐκ κώμης Μαγαρισοῦ[2] τῆς[3] Καππαδοκῶν ἐπαρχίας, πατρὸς Προαιρεσίου καὶ μητρὸς Εὐλογίας, ἀμφοτέρων εὐσεβῶν καὶ πιστῶν. Ἐγένετο δὲ μοναχός· καὶ πρῶτον μὲν ἀπῆλθεν εἰς Ἀντιόχειαν πρὸς τὸν ἅγιον Συμεὼν τὸν στυλίτην καὶ εὐλογήθη παρ' αὐτοῦ· εἶτα εἰς τὰ Ἱεροσόλυμα, ἐκεῖθεν δὲ κατήντησεν εἰς τὴν ἔρημον, ἐπὶ τριάκοντα χρόνους ἄρτον μὴ φαγὼν εἰ μὴ μόνον ἰσχάδας καὶ βοτάνας. Ὅθεν

— [3] Sa, εὐδοκιμήσει S. — [4] *supra lin.* Sa.

2. — [1] Μελιτηνῆς Sa. — [2] τοῖς S, Sa. — [3] τριακοντούτης Sa. — [4] *corr., prius* Χωσρόη S, βασιλεῖ *add.* Sa. — [5] ἐκβαλλόντος S. — [6] τὸ Sa. — [7] *om.* Sa. — [8] τῶν Sa.

1. — [1] Θεοδωσίου S. — [2] S, Μαργαρισοῦ Sa, *al.* Μογαρισσοῦ, Γαρισσοῦ, *cf.* USENER, Der hl. Theodosios, *p. 116.* — [3] τῶν *add.* Sa.

IAN. 10. θέσεως οἱ προλεχθέντες ναοί, καὶ ὄψις μαρτυρήσει[1] ὑμετέρα. Οὗτος οὖν ὁ μακάριος μετὰ τὸν μέγαν τῶν κατορθωμάτων αὐτοῦ σωρὸν καὶ νεκρὸν ἀνέστησεν. Νυκτὸς γὰρ τὰ ἄμφοδα καὶ τὰς ῥύμας περιερχόμενος εἴ πού τινα τῶν κατὰ Θεὸν ἡμῶν ἀδελφῶν τεθνηκότα εὕροι καὶ ἄλουτον, αὐτοχείρως αὐτὸν ἔλουε· καὶ τὸ σῶμα μετὰ τὸ ἀνακλῖναι παρακελευόμενος ἀναστῆναι καὶ ἀσπασμὸν ἐπιδοῦναι, τὸ ἐπιταχθὲν ἐτελεῖτο. Ἐν μιᾷ οὖν τῶν πάλαι μὲν τεθνηκότων τις ὑπ' ἐκείνου δὲ τῆς προλεχθείσης ἐπιμελείας τετυχηκὼς καὶ τὸν συνήθη ἀσπασμὸν αἰτηθεὶς ἀναστὰς ᾤχετο τὸν συναλλακτὴν τοῦ ἁγίου ἐκπλήξας· ὃς λαθραίως παρακολουθῶν ἐσκόπει τὰ παρ' αὐτοῦ τῷ ἁγίῳ διδόμενα χρήματα, ὅποι καὶ ἀναλίσκονται. Ἀλλὰ καὶ τὸ ἱμάτιον αὐτοῦ ἐκβαλὼν αἰτησαμένῳ πένητι δέδωκεν ἐν λιτῇ περιιόντι, τῆς ἱερατικῆς μόνης στολῆς καταλειφθείσης ἐπικαλύπτειν[2] αὐτοῦ τὸ σῶμα[3]· καὶ γυμνὸς ὢν τοῖς τοῦ κλήρου βασιλικὴν ἐσθῆτα διάχρυσον ὤφθη φορῶν. Καὶ ἕτερα πλεῖστα κατεργασάμενος μνήμης ἄξια ἐν εἰρήνῃ ἐτελειώθη. Ἡ σύναξις ἐν τοῖς Δανιὴλ πλησίον τῆς κινστέρνης Μωκισίας ἐν τῷ προφητείῳ τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. — **Bb** : 1. 2. — Μαρκιανοῦ. — Δομνίκας. — **C** : 1. 2 (Δομετίου). — Μαρκιανοῦ. — Δομνίκας. — **Cb** : 1. 2 (sed nomen hic scriptum est Μελετίου). — Μαρκιανοῦ. — Δομνίκας. — **Cc** : 1. 2. — Μαρκιανοῦ. — Δομνίκας. — **Cd** : 1. 2. — Μαρκιανοῦ. — Δομνίκας. — **M** : 1. 2. — Μαρκιανοῦ. — Ἀμμώνιος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Μαρκιανός. — Ἀμμώνιος. — **Mr** : 1. 2. — Μαρκιανός.

IAN. 11. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 3. — **H** : 3. 2. 1. — **P** : 3. 1 (Θεοδοσίου τοῦ κοινοβιάρχου, πλησίον τοῦ Ταύρου). — Μάρκου καὶ Ἀγαπίου. — **Da** : 1. 3. — **Db** : 1. 3. — **F** : 1. — **Fa** : 1. — **B** : 3. 1. — **Ba** : 1 (= S). 3. — **Bb** : 3. 1. — **C** : 3. 1. — **Cb** : 3. 1 : Θεοδοσίου[1] τοῦ κοινοβιάρχου καὶ καθηγητοῦ πάσης τῆς ἐρήμου τῆς κατὰ τὴν ἁγίαν τοῦ Θεοῦ ἡμῶν πόλιν. Οὗτος ὑπῆρχεν ἐκ κώμης Μαρισσοῦ[1] τῆς Καππαδοκῶν ἐπαρχίας, πατρὸς Προαιρεσίου καὶ μητρὸς Εὐλογίας ἀμφοτέρων εὐσεβῶν καὶ πιστῶν. Ὑπέδυ δὲ καὶ τὴν μονήρη πολιτείαν καὶ τὸ ταύτης ἱερὸν ἔνδυμα. Καταλαβὼν καὶ Ἱεροσόλυμα, ἐκεῖθεν[2] ἦλθε πρὸς Ἀντιόχειαν πρὸς τὸν μέγαν Συμεῶνα τὸν στυλίτην, παρ' οὗ τὴν ἐσομένην αὐτῷ πρὸς ἀρετὴν[3] ἐπίδοσιν ἐμνήσθη, καὶ ὅτι πολλῶν γενήσεται λογικῶν θρεμμάτων ποιμήν. Εἶτα ἡσυχάζει παρὰ Λογγίνῳ τινὶ ἀοιδίμῳ ἀνδρί. Ἐγκράτειαν δὲ τὴν ἄκραν μετελθών, ὡς τῆς ἑβδομάδος ἅπαξ σιτεῖσθαι καὶ ἐπὶ τριάκοντα χρόνους[4] ἄρτου ὅλως μὴ γευσάμενος καὶ τὴν ἄλλην ἀρετὴν

[1] μαρτυρήσειν Ba. — [2] ἐπικαλύπτην Ba. — [3] σω ματι Ba.

[1] *Cf. supra ad* S. — [2] δὲ *add.* Cb. — [3] ἀρετὴν πρὸς Cb. — [4] χρόνοις Cb.

πλεῖστα θαύματα ἐποίησε καὶ μοναστήρια πολλὰ συνεστήσατο καὶ δαίμονας διὰ προσευχῆς[4] ἐδίωξε. Λιμοῦ δέ ποτε γενομένου καὶ τῆς ἀποθήκης τοῦ μοναστηρίου σῖτον μὴ ἐχούσης, ἕνα κόκκον εὑρὼν καὶ εὐλογήσας, ἐξ ἐκείνου τὴν ἀποθήκην σίτου ἐγέμισε. Διὰ δὲ τὰ πολλὰ θαύματα καὶ τοῖς βασιλεῦσιν ἐγνωρίσθη καὶ ἐν ὅλῳ τῷ κόσμῳ διὰ τὴν ἀρετὴν περιβόητος ἐγένετο· καὶ οὕτως ἐν βαθεῖ γήρᾳ[5] πρὸς Θεόν, ὃν ἐπόθησεν, ἐξεδήμησεν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ[6] μεγάλῃ ἐκκλησίᾳ.

IAN. 11. **2.** Τῇ αὐτῇ ἡμέρᾳ σύναξις τῶν ἁγίων μυρίων ἀγγέλων[1]. Τελεῖται δὲ ἡ αὐτῶν[2] σύναξις ἔνδον τοῦ μαρτυρείου τῆς ἁγίας Ἀναστασίας, ἐν τοῖς Δομνίνου ἐμβόλοις.

3. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πέτρου τοῦ καὶ Αὐσελάμου[1]. Οὗτος τῇ κατὰ πίστιν εὐσεβείᾳ καὶ τῇ κατὰ τὸ σῶμα ῥώμῃ ἀκμάζων ἐν νεότητι τῆς ἡλικίας παρρησίᾳ τὸν Χριστὸν ὡμολόγησεν. Ὁ οὖν ἄρχων Ἐλευθερουπόλεως συλλαβὼν αὐτὸν καὶ μήτε κολακείαις χαυνώσας μήτε ἀπειλαῖς καταπτήξας πυρὶ παρέδωκεν· ἐν ᾧ τὸν στέφανον τοῦ μαρτυρίου ὁ ἅγιος ἐκομίσατο.

f. 131.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Τατιανῆς. Αὕτη ἦν ἐκ τῆς πρεσβυτέρας Ῥώμης, ἐπὶ τῆς βασιλείας Ἀλεξάνδρου, ἐκ πατρὸς ὑπατεύσαντος τὸ[1] τρίτον, κατὰ τὴν τῆς ἐκκλησίας τάξιν διάκονος. Διὰ δὲ τὸ τὸν Χριστὸν ὁμολογεῖν ἤχθη τῷ βασιλεῖ· καὶ μετ' αὐτοῦ εἰς τὸν τῶν εἰδώλων ἐλθοῦσα[2] ναόν, τὰ ἐν αὐτῷ ξόανα διὰ προσευχῆς κατέσεισε καὶ εἰς γῆν κατέρρηξε. Διὸ τύπτεται τὸ πρόσωπον καὶ ὀγκίνοις τὰ βλέφαρα διαρρήγνυται· εἶτα κρεμασθεῖσα ξέεται καὶ ξυρᾶται τὴν κεφαλήν. Μετὰ δὲ ταῦτα πυρὶ καὶ θηρίοις φανεῖσα ἀνάλωτος, τὴν κεφαλὴν ἀποτέμνεται.

IAN. 12. **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μεορτίου. Ὃς ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ βασιλέως, στρατευόμενος ὑπὸ τὸ τάγμα τῶν Μαύρων. Καὶ ἀναγκασθεὶς θῦσαι τοῖς μὴ οὖσι θεοῖς καὶ μὴ πεισθείς, ἀποζώννυται τῆς στρατείας καὶ τοῦ ἀξιώματος καὶ καταξαίνεται τὸ σῶμα ταῖς μάστιξιν. Ἐγκαρτερήσας δὲ ταῖς βασάνοις ὡς μηδὲ φωνὴν ἐκπέμψαι, θάμβος καὶ ἔκπληξιν τῷ τυράννῳ παρέσχεν[1]. Διὸ ἐπιπολὺ τῆς βασάνου παραταθείσης, ἐπεὶ τόπος οὐχ εὑρίσκετο ἐν τῷ τοῦ μάρτυρος σώματι μωλώπων καὶ τραυμάτων ἀνέπαφος, ἀνεθῆναι αὐτὸν τῆς βασάνου προσέταξεν καὶ τῇ εἱρκτῇ

— [4] ἐξ ἀνθρώπων *add.* Sa. — [5] γήρω Sa. — [6] *om.* Sa.

2. — [1] ἁγίων |||||||| ἀγγέλων Sa. — [2] τοιαύτη Sa.

3. — [1] Ἀβεσαλῶμ *ad diem oct. 15*[2].

1. — [1] *om.* Sa. — [2] εἰσελθοῦσα Sa.

2. — [1] Sa, κατέσχεν S.

ἐξασκήσας, ἐπὶ τοσοῦτον ἀναβάσεως ἦλθεν, ὡς καὶ παράδοξα θαύματα ἐκτελεῖν. Τὸν γὰρ μετελθόντα τοῦ βίου Βασίλειον μοναχὸν καὶ τὸν καινὸν τάφον ἐγκαινίσαντα συνιστάμενον μετὰ τῶν ἀδελφῶν καὶ συμψάλλοντα καὶ τοῖς λοιποῖς ὄντα ἀθέατον ὁ ὅσιος μόνος μεθ' ἑτέρου ἑωρᾶτο μοναχοῦ. Καὶ μήπω ὑποτιθέντος πυρὸς τοὺς ἐσβεσμένους ἄνθρακας ἀνῆψεν, ἔνθα ἱδρύσεσθαι τὸ μοναστήριον ἔμελλεν. Καὶ γυναῖκά τινα προσελθοῦσαν τῆς αἱμορροίας ἅμα καὶ τοῦ πάθους τοῦ καρκίνου ἀπήλλαξε. Καὶ ἐξ ἑνὸς κόκκου, ὃν εὐλογήσας ἐπέδωκεν, ὑπερεκχεῖσθαι τοὺς σιτῶνας πεποίηκε. Καὶ τὸ καταπεσὸν παιδίον ἀοράτως ἐπιφανεὶς τοῦ λάκκου ἀνήγαγε. Καὶ τὴν θραῦσιν τῶν τικτομένων παίδων ἀνέστειλεν, οἳ μήπω φθάσαντες τῷ βίῳ προσελθεῖν[5] διὰ θανάτου τοῦ βίου ἠλαύνοντο· τὴν οὖν αὐτῶν μητέρα, οὐδέν τι στείρας ἄμεινον κατὰ τοῦτο διακειμένην, διὰ προσευχῆς εὔτεκνον ἔδειξεν. Ἀλλὰ καὶ νέφος ἀκρίδος ἐσόβησε δι' ἐπιτιμήσεως μόνης. Καὶ Κήρυκα[6] τὸν τῆς ἀνατολῆς κόμητα ἄτρωτον ἐν πολέμῳ πεποίηκεν ἀντὶ θώρακος ἡ τῆς τριχίνης ἐσθῆτος τοῦ ἁγίου περιβολή. Καὶ ὑπὸ αὐχμοῦ[7] περὶ τὰς γονὰς ἀδικουμένην τὴν γῆν τῆς ἀδικίας ἀπήλλαξεν, δι' εὐχῆς ὑετὸν καταγαγών. Προ<εῖπε δὲ καὶ ἀπὸ σεισμοῦ μέλλουσαν πτῶσιν[8]> καταλαμβάνειν[9] τὴν Ἀντιόχειαν καὶ πολλοὺς θαλαττίου κλύδωνος ἐλυτρώσατο, κινδυνεύουσι τούτοις ἐπιφανείς. Καὶ πολλῶν μοναχῶν καθηγητὴς γεγονὼς πρὸς Κύριον ἐξεδήμησεν. — **Cc** : 3. 1. — **Cd** : 3. 1. — **M** : 1. — Θεοδοσίου τοῦ ἐξ Ἀντιοχείας (Febr. 5[3]). — 2. — Τοῦ ἁγίου ἀποστόλου Μάρκου πλησίον τοῦ Ταύρου. — Τοῦ ἁγίου Στεφάνου τοῦ ἐν Πλακιδιαναῖς. — Τοῦ ἁγίου Θεοδώρου καὶ ἀρχιμανδρίτου Ἀγαπίου. — Τῆς ἁγίας Εὐπραξίας. — Μάϊρος αἰκιζόμενος τ. — Βιτάλιος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Θεοδοσίου. — 2. — Μάρκου. — Στεφάνου. — Θεοδώρου καὶ ἀρχιμανδρίτου Ἀγαπίου. — Εὐπραξίας. — Μάϊρος. — Βιτάλιος. — **Mr** : 1. IAN. 11.

IAN. 12. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. — **H** : 1. 2 (Μεόρτου). — **P** : 1 (Τατιανῆς ... διακονίσσης τὴν τάξιν). — 2. — Τοῦ ἁγίου ἀποστόλου Μάρκου ὁ καὶ Ἰωάννης κληθείς. — Τῆς ἁγίας μάρτυρος Θεοδώρας. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2 (Μερτίου). — Ἡ σύναξις τῶν ἁγίων μυρίων ἀγγέλων (Ian. 11[2]). — **Fa** : 1. 2 (Μερτίου). — Ἡ σύναξις κτλ. — **B** : 1. 2. — Ἀθανασίου τοῦ ὁμολογητοῦ. — **Ba** : 1 (= S). 2 (= S). — **Bb** : 1. 2. — **C** : 1. 2. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — **Cd** : 1. 2. — **M** : 1. — Πέτρου τοῦ Ἀβεσαλαμίτου (Ian. 11[3]). — 2 (Μερτίου). — Οἱ ἅγιοι η' μάρτυρες οἱ ἀπὸ Νικαίας ξ. τ. — Εὐθασία ξ. τ. — 3. — Τοῦ ἁγίου μάρτυρος Θεοδώρου Εὐχαΐτων καὶ τῆς ὁσίας Θεοδώρας τῆς

— [5] προελθεῖν Cb. — [6] Κήρικα Cb, *al.* Κήρυκον, USENER, *pp. 83, 180.* — [7] ἀγμοῦ Cb. — [8] *om.* Cb, *supplevi ex* C. — [9] καταλαμβάνει Cb.

Ian. 12. ἀπορριφῆναι[2]. Ὀκτὼ δὲ ἡμερῶν παρελθουσῶν καὶ πολλοῦ[3] ἰχῶρος καὶ δυσωδίας ἐκ τοῦ καρτερικοῦ τοῦ ἁγίου σώματος ἐκπεμπομένων, λοιπὸν ἀποκαμὼν τὸ ἅγιον αὐτοῦ πνεῦμα τῷ Κυρίῳ[4] παρέδωκε.

3. Καὶ[1] μνήμη τοῦ ὁσίου[2] πατρὸς ἡμῶν καὶ θαυματουργοῦ[3] Ἡλιοῦ[4].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ΄.

Ian. 13. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἑρμύλου καὶ Στρατονίκου. Οὗτοι ὑπῆρχον ἐπὶ Λικινίου[1] τοῦ βασιλέως. Ἦν δὲ ὁ ἅγιος Ἕρμυλος[2] κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν διάκονος· καὶ παραστὰς τῷ βασιλεῖ καὶ τὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογήσας ὄνομα, πρῶτον μὲν χαλκοῖς τισι τύποις τὰς σιαγόνας τύπτεται, εἶτα νιφάσι πληγῶν καταξαίνεται· καὶ τὸν Στρατόνικον ἐκκαλεῖται πρὸς παρρησίαν φίλον ὄντα καὶ τοῖς αὐτοῦ πάθεσιν ἀλγυνόμενον. Ἐν γὰρ <τῷ[3]> τύπτεσθαι[4] τὸν ἅγιον Ἕρμυλον ῥάβδοις καὶ περονᾶσθαι ὑπὸ τῶν ἐμπεπαρμένων τοῖς ῥάβδοις ξιφῶν, ὑφ' ὧν ἐρράγη τὴν καρδίαν καὶ τὴν κοιλίαν, δακρύσας ὁ Στρατόνικος δῆλος[5] εὐθὺς γέγονεν, ὅτι κοινωνὸς τῆς αὐτοῦ καθέστηκε προαιρέσεως. Ἐρωτηθεὶς οὖν παρὰ τοῦ βασιλέως, χριστιανὸν ἑαυτὸν ὡμολόγησεν· ὅθεν τύπτεται καὶ ἅμα τῷ[6] Ἑρμύλῳ κατὰ τὸν ποταμὸν τὸν[8] Ἴστρον ἐμβάλλεται, ἔνθα τὸ μακάριον ἀμφότεροι τέλος ἐδέξαντο[7].

f. 131v. **2.** | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰακώβου. Ὃς ἦν γέννημα καὶ θρέμμα Νισίβεως[1] τῆς μεγαλοπόλεως. Τὸν ἐρημικὸν[2] καὶ ἡσύχιον ἀσπαζόμενος βίον, τὰς ὑψηλοτάτας[3] τῶν ὀρῶν κορυφὰς κατέλαβε, ταῖς ἐκ τῆς ἐρημίας ἀνάγκαις γενναίως ἐγκαρτερῶν, θέρει μὲν ἐκφλογούμενος, χειμῶνι δὲ τῷ κρύει καὶ τῷ παγετῷ ταλαιπωρούμενος. Τροφὴ δὲ ἦν αὐτῷ ἡ αὐτομάτως βλαστάνουσα καὶ τὸ ποτὸν ὕδωρ μέτριον. Ὁ[4] χιτὼν δὲ αὐτῷ[5] ἁπλοῦν περιβόλαιον τρίχινον· καὶ ἁπλῶς οὕτω τὸ σῶμα κατεδαπάνα, τὴν πνευματικὴν τροφὴν διηνεκῶς προσφέρων τῇ ψυχῇ. Ἐντεῦθεν ἡ πρὸς Θεὸν αὐτῷ προσεγένετο παρρησία, καὶ τὰ ἐσόμενα προεώρα καὶ δύναμιν εἰς θαυματουργίαν ἐκ τῆς τοῦ ἁγίου Πνεύματος ἐδέξατο χάριτος. Αὐτίκα γὰρ ἔν τινι τόπῳ παρερχόμενος καὶ ἀναισχυντοῦντα γύναια[6] κατά τινα πηγὴν θεασάμενος, τὴν μὲν πηγὴν ἐξήρανεν, αὐτῶν δὲ τὰς τρίχας λευκανθῆναι πεποίηκεν· καὶ τὸ μὲν ὕδωρ παρακληθεὶς αὖθις ἀναδοθῆναι πεποίηκεν, αὐτὰ δὲ τὰ γύναια ἐπὶ σχήματος μένειν εἴασεν[7]. Καὶ δικαστὴν Πέρσην ἀδίκῳ ψήφῳ χρησάμενον θεασάμενος λίθῳ τινι μεγίστῳ αὐτοῦ που κειμένῳ ἐπαρασάμενος τοῦτον συνέτριψε. Καὶ ἐμπαικτῶν τινων ἕνα τῶν συνόντων αὐτοῖς ὡς τεθνηκότα σχηματισάντων καί τι παρ' αὐτοῦ λαβεῖν ἱκετευόντων, ἀληθῶς τῷ θανάτῳ παρέπεμψε, καὶ αὖθις παρακληθεὶς ἀνεζώωσε. Ἐπεὶ δὲ τὴν προεδρίαν Νισίβεως ἔτυχεν ὁ μέγας ἔχων καὶ ἐν τῇ <κατὰ[8]> Νίκαιαν συνόδῳ παρῆν καὶ Ἄρειος μετὰ τὸ καθαιρεθῆναι αὖθις ἐν τῇ ἐκκλησίᾳ ἔσπευδεν εἰσελθεῖν, εὐχῇ τοῦτον ὁ μέγας ἀνεῖλεν Ἰάκωβος, τῶν σπλάγχνων αὐτοῦ διαλυθέντων καὶ σὺν τῇ κόπρῳ ἐκκενωθέντων. Καὶ Σαβωρίου τοῦ Περσῶν βασιλέως πολιορκῆσαι Νίσιβιν ἀπιόντος καὶ πάμπολλα μηχανήματα πεποιηκότος, ὀφθεὶς μόνον[9] τοὺς Πέρσας εἰς φυγὴν ἐτρέψατο, σκνιπῶν καὶ κωνώπων νέφη τούτοις ἐπιστρατεύσας. Ἐξ ὧν οἵ τε ἵπποι καὶ[10] ἐλέφαντες τιτρωσκόμενοι καὶ τὰ δεσμὰ διαρρήσσοντες ἐδραπέτευον· ὅπερ ὁ βασιλεὺς θεασάμενος[11], ἀπορίᾳ κατασχεθεὶς τὰ οἰκεῖα κατέλαβεν ἄπρακτος· καὶ ἡ τοῦ ἁγίου πόλις διετηρήθη ἀνέπαφος. Ἐν τούτοις τοῖς μεγάλοις[12] διαπρέπων ὁ θαυμαστὸς Ἰάκωβος μεγαλουργήμασιν[13], πλήρης ἡμερῶν γενόμενος, μακαρίως ἀνεπαύσατο.

f. 132. **3.** | Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια[1] τοῦ ἁγίου προφήτου Ἡλιοῦ[2] τῆς μονῆς τοῦ Βαθυρρύακος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ΄.

Ian. 14. **1.** Ἄθλησις τῶν ὁσίων[1] πατέρων ἡμῶν τῶν ἐν Σινᾷ τελειωθέντων[2]. Οὗτοι οἱ ἅγιοι πατέρες ἀπὸ διαφόρων τόπων ὑπῆρχον· ἀφῆκαν δὲ τὸν κόσμον καὶ συγγενεῖς καὶ πλοῦτον καὶ ἀπῆλθον ἐν τῷ ὄρει Σινᾷ[3] καὶ ἐγένοντο μοναχοὶ δουλεύοντες μόνῳ τῷ Θεῷ καὶ τρεφόμενοι ἀπὸ βοτανῶν ἀγρίων. Μετὰ τούτων δὲ τῶν ἁγίων καὶ ὁ ἅγιος Νεῖλος ἦν, ὁ γενόμενος ἔπαρχος εἰς Κωνσταντινούπολιν[4], ἀνὴρ σοφὸς καὶ εὐλαβής, ὃς καὶ τὴν ἄθλησιν τῶν ὁσίων τούτων πατέρων συνεγράψατο, ἐκτραγῳδῶν

— [2] ἐναπορρηφῆναι Sa. — [3] πολλαχοῦ Sa. — [4] Θεῷ Sa.

3. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] καὶ θαυματουργοῦ *add.* Sa. — [3] *om.* Sa. — [4] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ *add.* Sa.

1. — [1] Λικιννίου S. — [2] Ἑρμῦλος S, *hic tantum.* — [3] *om.* S, Sa. — [4] τύπτεσθαι γὰρ Sa. — [5] αὐτοῦ Sa. — [6] ἁγίω *add.* Sa. — [7] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.

2. — [1] Νησίβεως S, *hic et deinceps; cf.* De Boor, Zeitschrift für Kirchengeschichte, *t. V, p. 320.* — [2] δὲ *add.* Sa. — [3] ὑψηλοτέρας Sa. — [4] *om.* Sa. — [5] καὶ *add.* Sa. — [6] γυναῖκα Sa. — [7] εἴασαι Sa. — [8] Sa, *om.* S. — [9] ὁ ἅγιος *add.* Sa. — [10] οἱ *add.* Sa. — [11] καὶ *add.* Sa. — [12] κατορθώμασι *add.* Sa. — [13] *om.* Sa.

3. — [1] τοῦ ναοῦ *add.* Sa. — [2] Ἠλοῦ Sa.

1. — [1] ἁγίων καὶ μακαρίων Sa. — [2] ἀναιρεθέντων Sa. — [3] Συνᾶ Sa. — [4] ἐπὶ Θεοδοσίου τοῦ μεγάλου *add.* Sa.

Ian. 12. ἐν Ἀλεξανδρείᾳ καὶ τοῦ ἁγίου Ἀλεξάνδρου πλησίον τῶν ἁγίων Ἀποστόλων. — **Mv** : 1. — Πέτρου. — 2 (Μερτίου). — Οἱ ἅγιοι ὀκτὼ μάρτυρές. — Εὐθασία. — Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ἡλιοῦ... Θεοδώρου... Θεοδώρας... Ἀλεξάνδρου... — **Mr** : 1.

Ian. 13. SYNAXARIA SELECTA. **Sa** : 1, add. : Τελεῖται ἡ αὐτῶν σύναξις ἐν τῷ ναῷ τοῦ ἀρχαγγέλου Μιχαὴλ τῷ ὄντι ἐν τῇ Ὀξείᾳ καὶ ἐν Φυμουπόλει καὶ ἐν τοῖς Σπουδαίου πλησίον τοῦ Ὀρφανοτροφείου. — 2. 3. — **Sb** : 1. 2. — **H** : 1 (Τελεῖται ... ἐν τῷ οἴκῳ τοῦ ἀρχαγγέλου Μιχαὴλ τῷ ὄντι ἐν τῇ Ὀξείᾳ). — Εὐγενίας καὶ τῶν σὺν αὐτῇ. — **P** : 1. — Καὶ τῶν ἐν τῇ Ῥαϊθοῦ ἀναιρεθέντων ὁμολογητῶν (Ian. 14[1]). — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2 : Ἰακώβου. Τοῦτον ἤνεγκεν Νίσιβις[1] ἡ μεγαλόπολις, ἥτις ἦν κειμένη ἐν μεθορίῳ τῆς Ῥωμαίων καὶ Περσῶν βασιλείας καὶ Ῥωμαίοις δασμοφοροῦσα καὶ ὑπὸ τῆς τούτων ἡγεμονίας τελοῦσα. Ἐκ ταύτης οὖν ὁρμώμενος ὁ μέγας οὗτος τὸν ἐρημικὸν καὶ ἡσύχιον ἠσπάσατο βίον. Καὶ τὰς ὑψηλοτάτας τῶν ὀρῶν καταλαβὼν κορυφὰς ἐν ἐκείναις διῆγεν, ἐν ἔαρι μὲν καὶ θέρει καὶ μετοπώρῳ ταῖς λόχμαις χρώμενος καὶ ὄροφον ἔχων τὸν οὐρανόν. Τῷ[2] δὲ τοῦ χειμῶνος καιρῷ ἄντρον αὐτὸν ὑπεδέχετο, βραχεῖαν σκέπην παρέχον· τροφὴν δὲ εἶχεν τὴν αὐτομάτως βλαστάνουσαν· καὶ ἐκ τούτων ἐδίδου τῷ σώματι τὰ εἰς τὸ ζῆν ἀρκοῦντα, τὴν τοῦ πυρὸς παραιτούμενος χρείαν. Περιττὴ δὲ ἦν αὐτῷ καὶ τῶν ἐρίων ἡ χρῆσις· αἱ γὰρ τραχύταται τῶν αἰγῶν τρίχες καὶ χιτὼν αὐτῷ ἐγίνετο καὶ τὸ ἁπλοῦν περιβόλαιον. Οὕτω τὸ σῶμα κατατρύχων, τὴν πνευματικὴν τροφὴν διηνεκῶς προσέφερε τῇ ψυχῇ. Ἐντεῦθεν ἡ πρὸς Θεὸν αὐτῷ προσεγένετο παρρησία καὶ τὰ ἐσόμενα προεώρα· καὶ δύναμιν εἰς θαυματουργίαν ἐκ τῆς τοῦ ἁγίου Πνεύματος ἐδέξατο χάριτος. Αὐτίκα γὰρ ἔν τινι τόπῳ τῷ[3] μεγάλῳ παρερχομένῳ πηγῆς ναούσης καί τινων κορῶν <ἱμάτια τοῖς ποσὶν[4]> ῥυπτομένων καὶ τοὺς χιτωνίσκους ἀναιδῶς παρὰ τὸ εἰκὸς ἀνεσταλμένων καὶ τὸν μακάριον μηδ' ὅλως αἰδεσθεισῶν, εὐθὺς τὴν μὲν πηγὴν ἐξήρανεν διὰ προσευχῆς, αὐτῶν δὲ τὰς τρίχας λευκανθῆναι πεποίηκε, τὴν ἀναισχυντίαν αὐτῶν κολάσας. Καὶ πάλιν παρακληθεὶς τὸ ὕδωρ ἀναδοθῆναι πεποίηκεν, αὐτὰς δὲ ἐπὶ σχήματος μένειν εἴασεν. Ἄλλοτε πάλιν δικαστὴν Πέρσην, ἀδίκῳ ψήφῳ χρησάμενον[5], λίθῳ τινὶ μεγίστῳ αὐτοῦ που κειμένῳ ἐπαρασάμενος συνέτριψεν. Ὃ θεασάμενοι οἱ παρόντες ἐξεδειματώθησαν· φρίκης δὲ ἀνάπλεως γενόμενος ὁ δικαστὴς ἀνεκαλέσατο μὲν τὴν προτέραν, ἑτέραν δὲ δικαίαν ἀνεπήνεγκε ψῆφον. Ἀπαίροντι δέ ποτε τῷ μεγάλῳ εἴς τινα πόλιν προσίασί τινες πένητες ἕνα τῶν συνόντων προτεθεικότες καί τινα πρὸς τὴν ἐκείνου ταφὴν ἐπιτήδεια λαβεῖν ἱκετεύοντες. Ὁ δὲ τῷ Θεῷ ὑπὲρ τοῦ τεθνεῶτος ἱκετείαν προσέφερεν, ἀφεῖναι αὐτὸν κατὰ τὸν βίον πλημμεληθέντα. Ὡς δὲ μικρὸν προῆλθεν ὁ θεσπέσιος, ἀναστῆναι κελεύουσι τὸν κείμενον. Ὡς δὲ νεκρὸν ἑώρων, σπουδῇ καταλαμβάνουσι τὸν μέγαν, καὶ ἱκετεύουσι συγχωρῆσαι αὐτοὺς τὰ τοῦ δράματος καὶ ἀποδοῦναι αὐτῷ τὴν ἀφαιρεθεῖσαν ψυχήν. Ὁ δὲ τοῦ οἰκείου δεσπότου τὸ φιλάνθρωπον μιμούμενος, τὰ αἰτηθέντα ἐξεπλήρωσεν. Ἀρείου δὲ τοῦ δυσσεβοῦς κατὰ τοῦ πεποιηκότος τὴν γλῶσσαν κεκινηκότος καὶ θορύβου καὶ ταραχῆς τὴν Αἴγυπτον ἐμπλήσαντος, ἐπειδὴ[6] Κωνσταντῖνος ὁ μέγας πάντας τοὺς εὐσεβεῖς ἐκ τῆς ὑπερορίας ἐπανήγαγε καὶ τοὺς θείους ναοὺς ἀνέστησε καὶ πάντας τοὺς τῆς ἐκκλησίας προέδρους εἰς Νίκαιαν ἤθροισεν, ἀφίκετο μετὰ τῶν ἄλλων καὶ ὁ μέγας Ἰάκωβος· τῆς γὰρ Νισίβεως[7] πρόεδρος οὗτος ἦν. Καὶ μετὰ τῶν ἄλλων καλῶν ἐπεὶ καὶ αὐτὸν ἔδει τοῖς πατράσι τι συνεισενεγκεῖν, νηστείαν παρῄνει καὶ δέησιν πρὸς τὸν Θεὸν ἑπτὰ ἡμερῶν χρήσασθαι, ὅπως τὸ συμφέρον οἰκονομήσει. Ἐπειδὴ ἡ κυρία ἀπήντησεν, καθ' ἣν ἔδει τὸν ἀλιτήριον εἰσδεχθῆναι καὶ τῆς θείας λειτουργίας ἔφθασε ὁ καιρός, εἰσελθὼν ἐν βδελυκτοῖς χωρίοις ἐκκρῖναι τῆς γαστρὸς τὰ περιττώματα, αὐτίκα τῶν σπλάγχνων αὐτοῦ διαλυθέντων σὺν τῇ κόπρῳ ἐξεχύθησαν, τὸν αἴσχιστον ὑπομεμενηκὼς ὁ δείλαιος θάνατον καὶ τὴν σφαγὴν διὰ τῆς τοῦ μεγάλου γλώττης δεξάμενος. Ἐπεὶ δὲ ὁ ἱερὸς ἐκεῖνος διελύθη σύλλογος καὶ τὰ οἰκεῖα κατέλαβεν ἕκαστος, καὶ ὁ μέγας οὗτος ἐπανῆκεν εἰς τὴν ἑαυτοῦ πόλιν. Καὶ χρόνου παρελθόντος μικροῦ, ὁ τῶν Περσῶν βασιλεὺς Σαβώρης πολιορκήσων τοῦ μεγάλου τὴν πόλιν ἀπῄει. Ὃς τὸν παραρρέοντα τῇ πόλει ποταμὸν τῇ πολυχειρίᾳ κατασχὼν κατὰ τοῦ τείχους οἷόν τι μηχάνημα ἐπαφίησιν. Τὸ δὲ οὐχ οἷόν τε ὂν[8] τοῦ ὕδατος ὁρμὴν βαρεῖαν οὖσαν δεξάμενον ἀντισχεῖν, κατέπεσεν. Καὶ μόνον ὁ τοῦ Θεοῦ ἄνθρωπος ἐν τῷ καταπεπτωκότι τείχει παραγενόμενος καὶ τοῖς πολεμίοις ὡς ὁ βασιλεύων Ῥωμαίων φανεὶς καὶ κατ' αὐτῶν εὐξάμενος, σκνιφῶν καὶ κωνώπων νέφος ὁ Θεὸς ἔπεμψεν τοῖς ἵπποις καὶ τοῖς ἐλέφασι τιτρώσκοντας· καὶ οὕτως διαρρηγνύοντες τὰ δεσμὰ ἐδραπέτευον. Ἅπερ ὁ βασιλεὺς θεασάμενος, ἀπορίᾳ κατασχεθεὶς τὰ οἰκεῖα κατέλαβεν ἄπρακτος. Καὶ ἡ τοῦ ἁγίου πόλις διετηρήθη ἀνέπαφος. Ἐν τούτοις τοῖς μεγάλοις διαπρέπων ὁ ἅγιος μεγαλουργήμασιν, πλήρης ἡμερῶν γενόμενος μακαρίως[9] ἀνεπαύσατο. — **Fa** : 1. 2. — **B** : 1. — **Ba** : 1 (= S). 2 (= S). — **Bb** : 1. — 2 (man. rec.). — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : 1. 2. — Ἀθανάσιος ῥαβδιζόμενος τ. — Παχώμιος καὶ Παπυρῖνος ἐν ποταμῷ τ. — 3. — **Mv** : 1. 2. — Ἀθανάσιος. — Παχώμιος καὶ Παπυρῖνος. — 3. — **Mr** : 1.

Ian. 14. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. 2. — **P** : 1 : τῶν ὁσίων πατέρων τῶν ἐν Σινᾷ τῷ ὄρει τελειωθέντων, ὧν ὁ ὅσιος Νεῖλος τὸν βίον συνεγράψατο, διηγούμενος καὶ τὴν αἰχμαλωσίαν Θεοδούλου υἱοῦ αὐτοῦ, Παύλου, Ἰωάννου καὶ τῶν σὺν αὐτοῖς, ὧν ὁ ἀριθμὸς π΄. — Καὶ τοῦ ἁγίου Παφνουτίου. — 2. — **Da** : 1 (= Ba). 2. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1 (τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἐν τῷ Σινᾷ ὄρει τελειωθέντων... τῶν ἐν τῷ αὐτῷ ὄρει σφαγέντων ὑπὸ τῶν Βλεμμύων[1] ἐπὶ Διοκλητιανοῦ βασιλέως... τῶν λγ΄ πατέρων τῶν ἐν τῇ Ῥαϊθῷ σφαγέντων ὑπὸ Βλεμμύων τῶν κατοικούντων ὅπου εἰσὶν αἱ ιβ΄ πηγαὶ καὶ τὰ ο΄ δένδρα τῶν φοινίκων... — Θεοδούλου). — 2. — Ἀθανασίου. — **Ba** : 1 : Τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἐν τῷ Σινᾷ ὄρει τελειωθέντων. Οὗτοι οἱ ὅσιοι τὸν ἀσκητικὸν

[1] Νίσιβης F, *cf. supra ad* S, *not. 1.* — [2] τοῦ F. — [3] τῶν F. — [4] *supplevi ex* Theodoreti Hist. relig., *c. I.* — [5] χρησάμενος F. — [6] ἐπὶ δὶ F. — [7] Νισίβης F. — [8] ἦν F. — [9] μακαρίῳ F.

[1] Βλεμύων B.

Ian. 14. τὴν τοῦ ἰδίου υἱοῦ Θεοδούλου αἰχμαλωσίαν. Τούτοις [5] ὁ διάβολος φθονήσας, διήγειρε τὸ ἄγριον ἔθνος τῶν Βλεμμύων [6] κατ' αὐτῶν· οὗτοι δέ εἰσιν οἱ ἀπὸ Ἀραβίας ἕως [7] Αἰγύπτου κατοικοῦντες τὴν Ἐρυθρὰν θάλασσαν. Οἳ καὶ ἐλπίζοντες εὑρεῖν πλοῦτον ἦλθον σκυλεῦσαι [8] τοὺς μοναχούς· ὡς δὲ οὐδὲν εὗρον εἰ μὴ ψιάθια μόνα καὶ τοὺς ἁγίους τρίχινα φοροῦντας, ἐμάνησαν καὶ κατέσφαξαν αὐτοὺς μηδὲν ἀδικοῦντας. Χρόνοις δὲ πολλοῖς πρότερον, ἐν ταῖς ἡμέραις τοῦ Διοκλητιανοῦ, ἀνῃρέθησαν παρὰ τῶν Ἀγαρηνῶν ὅσιοι πατέρες ἐν τῷ Σινᾷ καὶ τῇ Ῥαϊθοῦ [9], κατὰ τὴν εἰκοστὴν δευτέραν τοῦ δεκεμβρίου μηνός· ὧν τὴν μνήμην συνάψαντες [10] οἱ πατέρες τῇ τεσσαρεσκαιδεκάτῃ ἰαννουαρίου [11] τελεῖν ἡμῖν [12] παραδεδώκασιν. Ὧν ἅμα ἡ σύναξις τελεῖται ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Παύλου, τῷ ὄντι ἐν τῷ Ὀρφανοτροφείῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ κτίσαντος τὴν μονὴν τοῦ Χηνολάκκου. Οὗτος ὑπῆρχεν εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν κατὰ τὸν μέγαν Ἰώβ. Ἐξ ἀρχῆς δὲ τὸν ἀσκητικὸν βίον ζηλώσας καὶ ἐπὶ τὰ τῶν ὁσίων ἀνδρῶν μοναστήρια κατὰ τὸν Ἰορδάνην καὶ τὴν ἔρημον τοῦ ἁγίου Εὐθυμίου καὶ Σάβα καὶ Θεοδοσίου [1] καταφοιτήσας [2] καὶ ἑκάστου τὴν διαγωγὴν ἐκμαθών, ὕστερον κατέλαβε τὴν Κωνσταντινούπολιν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου. Ξενίας δὲ τυχὼν παρὰ τῷ ἁγιωτάτῳ πατριάρχῃ Γερμανῷ [3] καὶ παρ' αὐτῷ χρόνον τινὰ καταμείνας καὶ πλεῖστα παρ' αὐτοῦ εἰς [4] ὠφέλειαν προσλαβὼν καὶ ἐν τοῖς πρακτέοις χρηστὸς αὐτῷ σύμβουλος γεγονώς, ἔνθα νῦν ἡ τοῦ Χηνολάκκου μονὴ συστᾶσα παρ' αὐτοῦ [5] κατεβίωσε, πλήθη μοναχῶν συναθροίσας, | οὓς παιδείᾳ Κυρίου καὶ νουθεσίᾳ f. 132v.

— [5] οἷς Sa. — [6] Βλεμμίκων Sa. — [7] Ἀρραβίας μέχρις Sa. — [8] κουρεῦσαι Sa. — [9] Ραϊθῶ Sa. — [10] συνῆψαν Sa. — [11] καὶ *add.* Sa. — [12] ταύτην *add.* Sa.

2. — [1] Θεοδωσίου S. — [2] φοιτήσας Sa. — [3] τοῦ ἁγιωτάτου πατριάρχου Γερμανοῦ Sa. — [4] ψυχῆς *add.* Sa. — [5] Sa, αὐτῷ S.

Ian. 14. βίον ποθοῦντες καὶ τὰς ἐνεγκούσας καταλιπόντες... Des. : ἀνῃρέθησαν παρὰ τῶν Ἀγαρηνῶν οἱ ὅσιοι πατέρες ἐν τῷ Σινᾷ καὶ τῇ Ῥαϊθοῦ ὄρει κατὰ τὴν εἰκοστὴν δευτέραν τοῦ δεκεμβρίου μηνός· ὧν τὴν μνήμην συνάψαντες οἱ πατέρες τῇ ιδ' ἰανουαρίου τελεῖν ἡμῖν παραδέδωκαν. — Θεοδούλου. — 2. — **Bb** : 1 (= B). — **C** : Ἰακώβου. — 1 (τῶν ἐν Σινᾷ... τῶν ἑτέρων ἁγίων πατέρων μγ' ἐν τῇ Ῥαϊθῷ σφαγέντων ὑπὸ Βλεμμύων... Θεοδούλου). — 2. — **Cb** : 1. 2. — **Cc** : Ἰακώβου. — 1 : Τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἐν Σινᾷ τῷ ὄρει τελειωθέντων. Οὗτοι ὑπῆρχον ἐν τοῖς χρόνοις τῆς βασιλείας Διοκλητιανοῦ καὶ Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἡσυχάζοντες ἐν τῷ Σινᾷ ὄρει. Ἐξελθόντες οὖν οἱ κατοικοῦντες τὴν ἔρημον Σαρακηνοί, ἀποθανόντος τοῦ φυλάρχου αὐτῶν, ἀπέκτειναν πολλοὺς τῶν ἀσκητῶν. Τῶν δὲ φυγόντων εἰς τὸ ὀχύρωμα, ἐφάνη τοῖς Σαρακηνοῖς φλὸξ πυρός· ἐξ ἧς ὅλον τὸ Σινᾶ ὄρος ἐκαπνίζετο· καὶ ἕως τοῦ οὐρανοῦ ἡ φλὸξ ἀνεπέμπετο. Ἣν θεασάμενοι καὶ φοβηθέντες ἀφῆκαν τὰ ὅπλα αὐτῶν καὶ ἔφυγον. Οἱ δὲ ἤδη σφαγέντες ὑπῆρχον πατέρες λη', ἔχοντες πληγὰς διαφόρους ἐν τοῖς σώμασιν αὐτῶν. Ἐξ ὧν Ἡσαΐας καὶ Σάβας εὑρέθησαν ζῶντες. Οἱ δὲ ἕτεροι, οἱ μὲν τὰς κεφαλὰς ἀπετμήθησαν, ἐξ ἑνὸς μέρους κρατοῦντος τοῦ δέρματος, ἄλλοι μέσον ἐκόπησαν, ἄλλοι χεῖρα καὶ πόδας ἀπετμήθησαν· ἄλλων εὑρέθησαν οἱ ὀφθαλμοὶ ἐκπεπεδηκότες ἔξω· οὓς ἐκήδευσαν Ἡσαΐας καὶ Σάβας, οἱ καὶ περὶ αὐτῶν διηγησάμενοι. — Ἑτέρων ἁγίων πατέρων μγ' ἐν τῇ Ῥαϊθῷ σφαγέντων ὑπὸ Βλεμμύων ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, ὅπου εἰσὶν αἱ ιβ' πηγαὶ καὶ τὰ ἑβδομήκοντα δένδρα τῶν φοινίκων. Βλεμμύων τριακοσίων ἐπιβάντων ξύλοις μεγάλοις καὶ περασάντων τὸ πέλαγος Αἰθιοπίας καὶ ἐλθόντων εἰς τόπον λεγόμενον Ἄηλα καὶ εὑρόντων πλοῖον καὶ περασάντων εἰς τὴν χώραν τῶν Φαρανιτῶν, ἐξῆλθον οἱ Φαρανῖται εἰς συνάντησιν αὐτῶν. Καὶ ἐτροπώθησαν ὑπ' αὐτῶν καὶ ἐσφάγησαν ἄνδρες ρμζ'. Οἱ δὲ Βλέμμυες [2] ἄραντες τὰς γυναῖκας καὶ τὰ τέκνα τῶν Φαρανιτῶν, ἔρχονται εἰς τὸ κάστρον, ὅπου εἶχον τὸ κυριακὸν οἱ πατέρες. Ἠσφάλισαν δὲ οἱ μοναχοὶ τὴν εἴσοδον καὶ συνήχθησαν ἐν τῇ ἐκκλησίᾳ ἐκδεχόμενοι τὸν θάνατον. Ὁ δὲ πρῶτος αὐτῶν [3] παρῄνει πᾶσιν ἀποθανεῖν ὑπὲρ Χριστοῦ. Ἀνοιξάντων δὲ τῶν βαρβάρων, μηδενὸς ἀνθισταμένου καὶ χρήματα ζητούντων, ἐπείπερ ἤκουσαν παρὰ τοῦ πρώτου αὐτῶν μηδὲν παρ' αὐτοῖς εἶναι πλὴν τῶν τριχίνων ἃ φοροῦσι, τὰ ξίφη γυμνώσαντες, πρῶτον μὲν κατὰ τῆς κεφαλῆς τοῦ πανοσίου πατρὸς τὸ ξίφος ἤλασαν, πεσόντων ἀμφοτέρων τῶν μερῶν αὐτῆς ἐφ' ἑκατέρων τῶν ὤμων. Εἶτα καὶ τοὺς λοιποὺς διαφόρως ἀνεῖλον καὶ συνεκομίσθησαν πάντων τὰ λείψανα καὶ ἐτάφησαν παρὰ Ὠρίωνος ζῶντος ὑπολειφθέντος, μετὰ καὶ ἄλλων τῶν συνελθόντων ἐκ τῆς Φαράν. Καὶ συνεγράψατο τὸν βίον αὐτῶν Ἀμμώνιος ὁ Ἀλεξανδρεύς. Ὑποστρέψαντες δὲ οἱ βάρβαροι εὗρον τὸ πλοῖον συντετριμμένον, κόψαντος τὰ σχοινία τοῦ ἀγγαρευθέντος· καὶ μὴ ἔχοντες πῶς ὑποστρέψωσιν εἰς τὰ ἴδια, θυμωθέντες κτείνουσι τοὺς αἰχμαλώτους καὶ καίουσι τοὺς φοίνικας· εἶτα ἐσφάγησαν καὶ αὐτοὶ παρὰ ἑξακοσίων ἀνδρῶν Φαρανιτῶν. — Θεοδούλου. Οὗτος ὑπῆρχε Νείλου τοῦ σοφοῦ υἱός, τοῦ γεγονότος μὲν ἐπάρχου Κωνσταντινουπόλεως, καταλιπόντος δὲ τὸν κόσμον καὶ ἀπελθόντος ἐν τῷ Σινᾷ ὄρει καὶ μονάσαντος μετὰ τοῦ υἱοῦ. Ὑπαρχόντων δὲ ἐκεῖσε καὶ τὴν ἀσκητικὴν διανυόντων πολιτείαν, ἐξαίφνης ἐπιπεσόντες οἱ βάρβαροι καὶ ἀρξάμενοι κατασφάζειν τοὺς ἁγίους πατέρας, ὁ μὲν Νεῖλος ἔφυγεν, ὁ δὲ υἱὸς Θεόδουλος ἐκρατήθη αἰχμάλωτος μετὰ ἑνὸς ἑτέρου νέου, καὶ δεθέντες ἀπήγοντο. Εὑρόντων δὲ τῶν βαρβάρων τόπον χλοερὸν καὶ ἀπληκευσάντων καὶ βουλομένων τὸ πρωῒ σφάξαι τοὺς νέους καὶ προσαγαγεῖν θυσίαν τῷ πρὸ τοῦ ἡλίου ἀνατέλλοντι πρωϊνῷ ἄστρῳ — αὐτὸ γὰρ θεοποιοῦνται οἱ μάταιοι — ἠδυνήθη φυγεῖν ὁ εἷς. Συνέβη δὲ καὶ ὕπνῳ πρωϊνῷ κατασχεθῆναι τοὺς βαρβάρους καὶ ἀντιπαρελθεῖν τὸν ἀστέρα καὶ ἀνατεῖλαι τὸν ἥλιον καὶ καταλιπεῖν τοῦ σφάξαι τὸν Θεόδουλον· ὅθεν ἔστησαν

— [2] Βλεμμύδες Cc. — [3] Παῦλος *add.* Cb.

ἐξέθρεψε καὶ εἰς μέτρον ἡλικίας κατέστησε τοῦ Χριστοῦ καὶ πληρώματος [6]. Καλῶς δὲ διανύσας τὸν βίον καὶ τῆς ἐπιτεύξεως τῆς ἐκεῖθεν ἐνθένδε τὰς ἀποδείξεις λαβών, τινῶν ἐν τῷ μέλλειν ἐκδημεῖν προπεμπομένην αὐτοῦ τὴν ψυχὴν μετὰ δόξης διὰ καθαρότητα θεασαμένων καὶ πολλοῖς τοῦτο διηγησαμένων, ἀπὸ τῶν προσκαίρων πρὸς τὰς ἄνω κατοικίας μετέστη [7]. Ian. 14.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

Ian. 15. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ καλυβίτου [1], οὗ ἦν τὸ χρυσοῦν εὐαγγέλιον. Οὗτος ἦν ἐν Κωνσταντινουπόλει, υἱὸς Εὐτροπίου τοῦ συγκλητικοῦ καὶ Θεοδώρας. Ἐν ἀρχῇ δὲ τῆς ἡλικίας ἐξ αὐτῆς τῆς τῶν μαθημάτων σχολῆς λαθὼν τοὺς γεννήτορας καὶ τοὺς παιδαγωγοὺς καὶ συμμίξας τινὶ μοναχῷ, τὴν τῶν Ἀκοιμήτων καταλαμβάνει μονήν. Καὶ ὑποδύεται ἐν αὐτῇ τὸν μονήρη βίον καὶ διὰ πάνυ σκληρᾶς αὐτῷ [2] ἐθίζει τῆς ἀγωγῆς. Ἐπεὶ δὲ τῷ πρὸς τοὺς φύσαντας [3] φίλτρῳ ὁ πονηρὸς αὐτὸν ἔνυττε, καὶ [4] τούτῳ καταπαλαίει τὸν ἀντικείμενον. Γνωρίσας γὰρ τὰ καθ' ἑαυτὸν [5] τῷ καθηγουμένῳ τῆς μονῆς καὶ τοῦτον παραιτησάμενος [6] καὶ παρὰ πάσης τῆς ἀδελφότητος εὐχὴν ἐπὶ τοῖς δεδογμένοις λαβών, ἐν σχήματι πενιχρῷ ῥακίοις ἠμφιεσμένος τὸν αὐτοῦ οἶκον καταλαμβάνει· ἔνθα ἐπὶ χρόνοις τρισὶ μικρᾷ καλύβῃ στενούμενος καὶ ὑπὸ τῶν οἰκείων παίδων ἐμπαροινούμενος διεκαρτέρησε πρὸ τοῦ πυλῶνος, ὁρῶν τὸν πατέρα καὶ τὴν μητέρα μετὰ τῆς κοσμικῆς φαντασίας παρερχομένους, συντηρῶν ἑαυτὸν ἐπὶ τοῦ τῆς ἀγνωσίας σχήματος. Ἐν δὲ τῷ μέλλειν [7] τελευτᾶν, προσεκαλέσατο τὴν μητέρα καὶ διὰ τῆς ἐμφανείας τοῦ χρυσοτεύκτου εὐαγγελίου, ὅπερ κατεσκευάσθη αὐτῷ ἐν τῇ τῶν παίδων σχολῇ, ἑαυτὸν κατέστησε γνώριμον [8].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ Θηβαίου. Οὗτος ἦν ἐν τοῖς χρόνοις Δεκίου καὶ Βαλλεριανοῦ τῶν διωκτῶν, ὁρμώμενος [1] ἐξ Αἰγύπτου τῆς κάτω [2] Θηβαΐδος. Αἰσθόμενος δὲ τὸν ἐπὶ τῇ ἀδελφῇ αὐτοῦ κηδεστὴν προδοῦναι αὐτὸν μέλλοντα, διὰ τὸ τὴν ἐπιβάλλουσαν αὐτῷ μοῖραν κατασχεῖν, ἐμάκρυνεν ἐν τοῖς ὄρεσι φυγαδεύων. Ἀεὶ δὲ τοῖς πρόσω χωρῶν, ἤδη τῷ χρόνῳ μεταπεσόντος αὐτῷ τοῦ πάθους, ἀντὶ τοῦ δεδοικέναι τοὺς διώκτας εἰς ἐπιθυμίαν τοῦ θείου κατέστη. Προσεγγίζει οὖν σπηλαίῳ τινὶ αὐτὸ τὸ βαθύτατον ὑποδὺς τῆς ἐρήμου, ἐν ᾧ τὸν ἅπαντα χρόνον μακρὸν γενόμενον δια|γαγών, ἐν εἰρήνῃ καὶ τῇ τῶν παθῶν ἀταραξίᾳ πρὸς Κύριον ἐξεδήμησε. Τοῦτον, ὥς φασιν, ὁ μέγας Ἀντώνιος καταλαβὼν καὶ τοῦ τόπου καὶ τοῦ τρόπου καὶ τοῦ χρόνου τῆς ἀναχωρήσεως ἐθαύμασε· καὶ γὰρ πρῶτος ἀνθρώπων εἰς τὰ τῆς ἐρήμου ἐνδότερα προελθεῖν ἐτόλμησε· καὶ τὸν τῆς ἀσκήσεως παρέτεινε τόνον [3] μέχρι τοῦ ἑκατοστοῦ καὶ τρισκαιδεκάτου ἔτους. Τοσοῦτον γὰρ ἐπεβίω, ἐκ νεαρᾶς [4] ἡλικίας τῶν τοῦ βίου φροντίδων μεταναστεύσας [5]. f. 133.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πανσοφίου. Οὗτος ἦν ἐξ Ἀλεξανδρείας, πατρὸς Νείλου τῇ τοῦ ἀνθυπάτου τιμηθέντος ἀξίᾳ· διὰ δὲ πλούτου ἄφθονον καὶ [1] περιουσίαν καὶ δεξιότητα φύσεως καὶ πνευματικὴν ἀρετὴν εἰς τὸ ἄκρον τῆς παιδείας προῆλθε, τῆς τε καθ' ἕλληνας καὶ ὅση [2] κατὰ Χριστόν. Οὗτος μετὰ τὴν τοῦ πατρὸς τελευτὴν εἰς τὴν τῶν δεομένων ἐπικουρίαν τὸν πλοῦτον κενώσας, τὰς ἐρήμους κατέλαβεν, τῇ τῶν γηΐνων ἀποθέσει τὸν Κύριον ἐκζητῶν. Ἐπὶ δὲ [3] χρόνοις ἑπτὰ καὶ εἴκοσιν [4] τὸν ἐρημικὸν διανύσας βίον καὶ κατὰ μόνας προσλαλήσας Θεῷ καὶ τὸν νοῦν ἀπὸ

— [6] τοῦ πληρώματος τοῦ Χριστοῦ Sa. — [7] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς ἐλέησον *add.* Sa.

1. — [1] Καλιβίτου Sa. — [2] ἑαυτὸν Sa. — [3] *corr., prius* φυτήσαντας S. — [4] ἐν *add.* Sa. — [5] αὐτὸν Sa. — [6] ἐξαιτησάμενος Sa. — [7] μέλλη Sa. — [8] καὶ οὕτως ἐν εἰρήνῃ ἀνεπαύσατο *add.* Sa.

2. — [1] ὁρμώμενοι Sa. — [2] κατὰ Sa. — [3] χρόνον Sa. — [4] τῆς *add.* Sa. — [5] μεταναστάς Sa.

3. — [1] *om.* Sa. — [2] ὅσοι S. — [3] Sa, ἐπειδὴ S. — [4] ὀκτὼ Sa.

Ian. 14. αὐτὸν εἰς πρᾶσιν, εἰς πόλιν τινὰ ἐλθόντες· μηδὲν ἕτερον φέροντος τοῦ Θεοδούλου εἰ μὴ δύο χρυσίνους, ἐγύμνωσαν τὸ ξίφος καὶ ἔθηκαν ἐπὶ τὸν τράχηλον αὐτοῦ ἀπειλοῦντες σφάξαι [4]. Αὐτοῦ δὲ ἱκετεύοντος, ἠγοράσθη παρὰ τοῦ ἐπισκόπου. Ὕστερον δὲ ὁ πατὴρ αὐτοῦ ἀπέλαβεν αὐτόν, καὶ τὸ λοιπὸν τῆς ζωῆς αὐτοῦ καλῶς βιώσας ἐν εἰρήνῃ ἐτελειώθη. — 2. — **Cd** : 1. 2. — **M** : 1 (τῶν ἐν τῷ Σινᾷ ... ἐν τῷ Ῥαϊθῷ ... Θεοδούλου). — 2. — Ἁγνὴ ἐν σκοτεινῇ φρουρᾷ βληθεῖσα τ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τοῦ Φαρισαίου καὶ τελώνου. — **Mv** : 1. 2. — Ἁγνή. — Ἡ κυριακὴ κτλ. — **Mr** : 1.

Ian. 15. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **Sb** : 1. 2. 3. 4. — **H** : 2. 1. — **P** : 2. 1. — Χριστίνης ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Δομετιανοῦ κόμητος τῶν Κουρικιοτῶν πόλεως (cf. Ian. 20[7]). — Τῶν ἁγίων μαρτύρων Καρτερίου καὶ Βαβύλου ἐπισκόπου Ἀντιοχείας καὶ τῶν νηπίων (cf. Sept. 4[1]). — Τῶν ἁγίων μαρτύρων Ἐλπιδίου καὶ Δάνακτος (cf. Ian. 16[3]) ἀναγνώστου καὶ Ἑλένης. — Καὶ μνήμη Λέοντος τοῦ μεγάλου βασιλέως. — **Da** : 1 (= Ba). 2. 3. 4. — **Db** : 1. 2. 3. 4. — **F** : 2. 1. 3. 4. — **Fa** : 2. 1. 3. 4. — **B** : 2. 1. — Χαριτίνης (Ian. 20[7]). — **Ba** : 1 : Ἰωάννου τοῦ Καλυβίτου. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν ἦν ἐκ τῆς μεγάλης καὶ περιφανοῦς τῶν πόλεων... Des. : καὶ διὰ τῆς ἐμφανείας τοῦ χρυσοτεύκτου εὐαγγελίου, ὅπερ κατεσκεύασεν ἑαυτῷ ἔτι ὄντι ἐν τῇ τῶν παίδων σχολῇ, ὅστις εἴη γνωρισθείς, παραυτίκα τὴν ψυχὴν εἰς χεῖρας Θεοῦ ἐπαφίησιν. — 2 (= S). 3 (= S). 4. — Χαριτίνης. — **Bb** : 2. 1. — Χαριτίνης. — 4. — **C** : 2. 1. — Χαριτίνης. — **Cb** : 2. 1. — Χαριτίνης. — **Cc** : 2. 1. — Χαριτίνης. — **Cd** : 1. — Χαριτίνης. Αὕτη ἦν οἰκέτις Κλαυδίου τινὸς ἀνδρὸς πολιτευομένου, χριστιανοῦ ὄντος καὶ τὸν τρόπον

— [4] σφάγξαι Cc.

Ian. 15. τῶν κάτω ὑψώσας πρὸς οὐρανούς, ἐπεὶ οὐκ ἦν τὴν τοσαύτην λαθεῖν ἀρετήν, διαβάλλεται Αὐγουσταλίῳ τῷ τῆς Ἀλεξανδρείας[5] ἡγεμόνι, ὃς ἦν παρὰ Δεκίου τὸν κατὰ[6] χριστιανῶν ἀναδεξάμενος πόλεμον. Παραστὰς οὖν αὐτῷ καὶ ἐκ τῶν παρ' αὐτοῖς μύθων[7] τὴν τῶν σεβασμάτων πλάνην διελέγξας καὶ ταῖς[8] τῆς ἀληθείας ἀποδείξεσι τὸν Χριστὸν Θεὸν εἶναι διδάξας, καὶ τὸ τοῦ τυράννου φρόνημα καταισχύνας, τύπτεται σφοδρῶς καὶ τὸν διὰ τοῦ μαρτυρίου κομίζεται στέφανον.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κοσμᾶ τοῦ ποιητοῦ, ἐπισκόπου Μαιουμᾶ, τοῦ Ἁγιοπολίτου, περὶ οὗ καὶ ὁ[1] λόγος οὗτος ἐκ πατέρων καὶ[1] εἰς ἡμᾶς ἀφίκετο. Ὁ γὰρ πατήρ φησιν[2] Ἰωάννου τοῦ Δαμασκηνοῦ εὐγενὴς ὢν καὶ ἐξ εὐγενῶν γονέων καταγόμενος[3], πλούτῳ τε πολλῷ περιρρεόμενος καὶ δόξῃ καὶ τῇ ἄλλῃ περιφανείᾳ τοῦ βίου γνωριζόμενος, καὶ τὴν οἴκησιν ἔχων ἐν τῇ[4] Δαμασκῷ τῇ περιφανεστάτῃ πόλει, προσελάβετό τινα τῶν ἀσηκρητῶν, ἄνδρα πολυμαθῆ καὶ σοφόν· ὃς καὶ τὸν αὐτοῦ υἱὸν[5] Ἰωάννην πᾶσαν σοφίαν ἐξεπαίδευσε τὴν ἔξωθεν εἰς τὸ ἀκρότατον, ὡσαύτως καὶ τὴν καθ' ἡμᾶς. Καὶ τοῦτο δῆλον ὑπάρχει καὶ καταφανὲς[6] ἀπὸ τῶν φιλοπονηθέντων αὐτῷ συγγραμμάτων τε καὶ κανόνων, ὅτι μετὰ τῆς ἑλληνικῆς | παιδείας καὶ πάσης ἱερᾶς καὶ θείας f. 133v. γνώσεως ἀνάπλεοι. Ὁ αὐτὸς δὲ οὗτος πατὴρ τοῦ εἰρημένου πανσόφου Ἰωάννου προσελάβετο καὶ Κοσμᾶν τὸν μακαριώτατον, κομιδῇ νήπιον ὄντα ὀρφανίᾳ τε ὁμοῦ καὶ πενίᾳ πιεζόμενον ἐσχάτῃ· ὃν καὶ ἀναθρεψάμενος ἐπιμελῶς υἱοποιήσατο καὶ διὰ πάσης παιδεύσεως καὶ σοφίας θείας τε καὶ ἀνθρωπίνης διελθεῖν αὐτὸν ἐποίησε· διὸ σκεῦος ἐκλογῆς γεγονὼς ὁ μακάριος Κοσμᾶς <ἐπιπόθητος πᾶσι κατέστη[7]>. Πείρᾳ δὲ μαθεῖν ἡμῖν ἔξεστιν, ὁποῖος τῷ λόγῳ καὶ τῇ γνώσει γέγονε, τοῖς αὐτῷ πονηθεῖσι κανόσι τε καὶ τροπαρίοις καὶ ἑτέροις συγγράμμασιν ἐπιμελῶς ἐντυχοῦσι. Ἐπεὶ δὲ τῆς ὑψηλοτέρας διαγωγῆς ὀρεγόμενος[8] ἦν[9], τὸν μοναδικὸν ὑπέδυ ζυγόν· ὃς ἀστέρος δίκην τῇ πολιτείᾳ ταύτῃ ἐκλάμψας, ἐπίσκοπος Μαιουμᾶ παρὰ τοῦ προέδρου Ἱεροσολύμων χειροτονεῖται. Καλῶς οὖν καὶ θεαρέστως καὶ ἐν τούτοις πολιτευσάμενος καὶ τὸ ποίμνιον ἐπὶ νομὰς ὁδηγήσας σωτηρίους καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἀνεπαύσατο ἐν Κυρίῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚ'.

Ian. 16. **1.** Μνήμη τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, ἐν ᾗ καὶ τὴν προσκύνησιν ποιούμεθα τῆς τιμίας μερίδος τῶν περιτεθεισῶν αὐτῷ ἁλύσεων διὰ τὸ τῆς πίστεως κήρυγμα, ὡς ὁ ἀπόστολος[1] Λουκᾶς ἐν ταῖς πράξεσιν ἱστορεῖ, ὅτι ὁ τετράρχης[2] Ἡρώδης, ἤγουν ὁ τοῦ τετάρτου μέρους τῆς βασιλείας τοῦ πατρὸς[3] αὐτοῦ βασιλεύων, ἅλυσιν αὐτῷ περιέθηκε καὶ τῇ φυλακῇ ἐναπέρριψε· ἣν ἐκ[4] τοῦ μακαρίου ἀποστόλου χειρῶν δι' ἐπιφανείας θείου ἀγγέλου ἐκσπασθεῖσάν τινες τῶν πιστῶν εὑρηκότες κατὰ διαδοχὴν διεφύλαξαν. Ἥτις ὕστερον παρὰ τῶν εὐσεβῶν[5] βασιλέων εἰς Κωνσταντινούπολιν ἀνεκομίσθη δῶρον ποθούμενον, καὶ κατετέθη ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου, τῷ ὄντι ἔνδον τῆς μεγάλης ἐκκλησίας, ἔνθα καὶ ἡ σύναξις αὐτοῦ ἐπιτελεῖται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Σπευσίππου, Ἐλασίππου, Βελεσίππου καὶ Νεονίλλης τῆς μάμμης αὐτῶν. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐκ Καππαδοκίας, τρίδυμοι, πωλοδαμνεῖν ἄριστα μεμαθηκότες καὶ τοὺς ἵππους κατὰ τῶν πεδίων κινεῖν[1]. Κατά τι δὲ[2] πάτριον ἔθος ἑορτὴν ἄγοντες Νεμεσίου Διός, τὴν μάμμην αὐτῶν Νεονίλλαν ἐκάλουν πρὸς τὴν ἑστίασιν. Ἡ δέ, καὶ γὰρ ἤδη τὰ | περὶ τοῦ Χριστοῦ ἐμεμύητο, f. 134. τὴν περὶ ἡμᾶς αὐτοῦ γενομένην διεξῆλθεν αὐτοῖς οἰκονομίαν καὶ τὰ εἴδωλα τῶν ἐθνῶν διεχλεύαζεν. Ἡ δὲ ταῦτα[3] διηγήσατο[4] <καὶ[5]> εὐθὺς αὐτοῖς ἀφορμὴ πρὸς σωτηρίαν ἐγένετο. Ἕκαστος γὰρ ἀνεμνήσθη ἃ ἐν τῇ παρελθούσῃ νυκτὶ ἐθεάσατο· τὰ δὲ ἦν ὁδηγοῦντα πρὸς τὴν εἰς Χριστὸν πίστιν αὐτούς. Καὶ εὐθέως καθαιρέται τῶν εἰδώλων γενό-

— [5] τῶν Ἀλεξανδρέων Sa. — [6] τῶν *add.* Sa. — [7] μύθυς Sa. — [8] τῶν Sa.
4. — [1] *om.* Sa. — [2] φασιν Sa. — [3] καταδόμενος Sa. — [4] *om.* Sa. — [5] υἱὸν αὐτοῦ Sa. — [6] καταφανὴς Sa. — [7] Sa, *om.* S. — [8] ἱμείρετο Sa. — [9] *om.* Sa.
1. — [1] ἀπόστολος |||||| S. — [2] τετράχης Sa. — [3] πατρὸς ||||| S. — [4] τῶν *add.* Sa. — [5] εὐσεβεστάτων Sa.
2. — [1] ἐλαύνειν Sa. — [2] δέ τι Sa. — [3] ταύτης Sa. — [4] διήγησις Sa. — [5] *supplevi, om.* S.

Ian. 15. ἀγαθοῦ. Ἐπὶ δὲ βασιλέως Διοκλητιανοῦ <καὶ Δομετιανοῦ[1]> κόμητος, διαβληθεῖσα, ὅτι τὸν Χριστὸν σέβεται, προσάγεται τῷ ἡγεμόνι καὶ ὁμολογήσασα, ὡς εἴη χριστιανή, ξυρᾶται τὴν κεφαλὴν καὶ σπονδιὰν ζέουσαν καταπάσσεται καὶ ὄξος δριμύτατον καταχέεται καὶ λαμπάσι τὰς πλευρὰς καταφλέγεται, καὶ δεσμευθεῖσα ἀπορρίπτεται τῇ θαλάσσῃ. Παραδόξως δὲ σωθεῖσα παρέστη τῷ ἡγεμόνι· διὸ δεσμεῖται ἐν τροχῷ, ὑποτεθέντων ἀνθράκων πυρός. Ῥυσθεῖσα δὲ τοῦ τροχοῦ καὶ τοῦ πυρὸς δι' ἐπιφανείας ἀγγέλου, τοὺς τῶν χειρῶν καὶ τῶν ποδῶν[2] ὄνυχας ἀφαιρεῖται καὶ τοὺς ὀδόντας ἐκριζοῦται. Εἶτα ἐκδοθεῖσα πρὸς ἀσέλγειαν, ηὔξατο τὴν παρθενίαν αὐτῆς μὴ διαφθαρῆναι· καὶ εὐθέως τὸ πνεῦμα παρέδωκε τῷ Θεῷ. — **M** : 1. 3. 4. — Οἱ ἅγιοι ἓξ πατέρες οἱ ἐν τῇ πανερήμῳ ἐν εἰρήνῃ τ. — **Mv** : 2. 1. 3. 4. — Οἱ ἅγιοι ἓξ πατέρες. — **Mr** : 2. 1.

Ian. 16. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. 3. — **H** : 1. — Πανσοφίου (Ian. 15³). — 3. — **P** : 1 : τοῦ ἁγίου ἀποστόλου Πέτρου, ἐν ᾗ προσκυνεῖται ἡ διὰ Χριστὸν ἐπιτεθεῖσα αὐτῷ ἅλυσις ἐν τῷ ναῷ αὐτοῦ. — Πανσοφίου. — 3. 2. — Τῆς ἁγίας μάρτυρος Ἄννης (cf. Ian. 20⁸). — **Da** : 1. 2. 3. —

[1] Ce, *om.* Cd. — [2] τοὺς *add.* Cd.

μενοι καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσαντες καὶ ὑπὸ τῶν κυρίων αὐτῶν ἐν πυρὶ βληθέντες, τὸν τοῦ μαρτυρίου στέφανον ἔλαβον.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Δάνακτος ἀναγνώστου. Οὗτος ἦν ἐξ Αὐλῶνος τοῦ Ἰλλυρικοῦ, οὕτω τοῦ τόπου λεγομένου, κληρικὸς τῆς ἐν αὐτῷ ἁγίας τοῦ Θεοῦ ἐκκλησίας. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις συναχθέντες ἄγροικοί τινες καὶ ἄπιστοι καὶ ἐν τοῖς τόποις ἐκείνοις ἀπελθόντες πολλοὺς τῶν χριστιανῶν ἐφόνευσαν. Ὁ δὲ ἅγιος Δάναξ λαβὼν τὰ ἱερὰ σκεύη τῆς ἐκκλησίας πρὸς τὸ διασῶσαι αὐτὰ ἐκ τῆς τῶν ἀπίστων καταδρομῆς, ἀπῆλθεν εἰς τόπον ὀχυρόν, ἀπέχοντα ἀπὸ Ian. 16. Αὐλῶνος μίλια πέντε πρὸς θάλασσαν. Μαθόντες δὲ τοῦτο οἱ ἄπιστοι καὶ καταδραμόντες, διὰ σχοίνων ἑαυτοὺς κατήγαγον πρὸς αὐτόν· καὶ κρατήσαντες ἠνάγκαζον θύειν τῷ Διονύσῳ λέγοντες, ὅτι αὐτὸς δημιουργεῖ τὸν οἶνον. Ὁ δὲ ἅγιος ὡμολόγει τὸν Χριστὸν λέγων, ὅτι οὗτός ἐστιν ὁ τὸν κόσμον καὶ τὰ ἐν τῷ[1] κόσμῳ ποιήσας, ὁ δὲ Διόνυσος εἴδωλον κωφὸν καὶ ἄλαλον. Οἱ δὲ ὀργισθέντες κατέκοψαν αὐτὸν μετὰ τῶν ξίφων ὧν ἐκράτουν καὶ ἔρριψαν ἐν τῇ θαλάσσῃ· καὶ οὕτως ἐτελειώθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου, οὗ ὁ βίος συνεγράφη ὑπὸ Ἀθανασίου τοῦ μεγάλου[1]. Οὗτος ὁ ἅγιος πατὴρ ἡμῶν τὸ μὲν γένος ἦν Αἰγύπτιος, ἐκ πατέρων καὶ προγόνων τὴν εἰς Χριστὸν πίστιν δεδιδαγμένος. Ἤκμασε δὲ ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ καὶ παρέτεινε μέχρι τῆς εὐσεβοῦς βασιλείας[2] Κωνσταντίνου. Ἐπιδοὺς δὲ ἑαυτὸν τῇ ἀσκητικῇ ἀγωγῇ[3], τοσοῦτον ὑπερέβαλλε[4] πάντας, ὡς ὑποτύπωσις εἶναι τῶν ἐφεξῆς. Καὶ τὸ παράδοξον, ὅτι καὶ πρῶτος ἢ κομιδῇ μετ' ὀλίγους τῆς ὑπὲρ ἄνθρωπον πολιτείας γέγονεν ἀρχηγός· καὶ μόνος f. 134v. σχεδὸν εἰς τὸν[5] ἀκρότατον ἤ|λασεν ὅρον. Ἀλλὰ τὰ μὲν διαβεβοημένα περὶ αὐτοῦ πᾶσι περιττὸν ἐπεκδιηγεῖσθαι[6]. Τοσοῦτον δὲ μόνον εἰπεῖν ἀναγκαῖον, ὅτι ἐν θνητῷ σώματι τοῦ σώματος ἀπανίστατο καὶ τὰς τῶν ψυχῶν ἀνόδους ἑώρα καὶ τοὺς ταύτας εὐθύνοντας δαίμονας, ὃ τῆς νοερᾶς καὶ ἀσωμάτου ἦν φύσεως. Ζήσας δὲ πρὸς τοῖς ἑκατὸν ἔτη πέντε, πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ Ian. 17. σύναξις ἐν τῇ ἁγιωτάτῃ[7] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰουλιανοῦ τοῦ καὶ Σάβα ὀνομαζομένου. Οὗτος πρώην μὲν ἐν τῇ Ὀσροηνῶν ὀνομαζομένῃ[1] πρὸς τῷ ποταμῷ Εὐφράτῃ[2] τὴν ἀσκητικὴν καλύβην ἐπήξατο. Μετὰ δὲ ταῦτα τὴν ἐσχατιὰν τῆς ἐρήμου καταλαβὼν ἄντρον ὑπέδυ, ἅπαξ τῆς ἑβδομάδος ἄρτου μεταλαμβάνων. Ὁ δὲ ἦν κεγχριδίας καὶ αὐτὸς πιτυρίας ἁλσὶ μόνοις ἡδυνόμενος, καὶ ὕδωρ προσίετο τὸ ἀρκοῦν· τρυφὴ δὲ <ἦν αὐτῷ[3]> καὶ πανδαισία καὶ χλιδὴ ἡ διηνεκὴς ὑμνῳδία. Τούτου οὕτως βιοῦντος, ἅπαντες πρὸς αὐτὸν ἐφοίτων καὶ μετ' αὐτοῦ[4] διέτριβον. Οὗτός ποτε τὴν ἔρημον διερχόμενος καὶ δράκοντι μεγίστῳ προσαπαντήσας τῷ σημείῳ τοῦ σταυροῦ νεκρὸν ἀπέδειξε. Καὶ παῖδα ὑπὸ δίψης θνήσκοντα ἀνεζώωσεν, εὐχῇ μόνῃ πηγὴν ὕδατος ἐξενεγκὼν καὶ τῷ στόματι αὐτοῦ ἐξ αὐτῆς ὕδωρ προσενέγκας[5]. Καὶ ἐκκλησίαν

3. — [1] *om.* Sa.
1. — [1] τοῦ μεγάλου Ἀθανασίου Sa. — [2] μέχρι τοῦ εὐσεβεστάτου βασιλέως Sa. — [3] διαγωγῇ Sa. — [4] ὑπερέβαλε Sa. — [5] τῆς ἀρετῆς *add.* Sa. — [6] ἐκδιηγεῖσθαι Sa. — [7] *om.* Sa.
2. — [1] πόλει *add.* Sa. — [2] κειμένῃ *add.* Sa. — [3] Sa, *om.* S. — [4] αὐτῶν S, Sa. — [5] προσαγαγὼν Sa.

Db : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. — Πανσοφίου. — 3. — **Ba** : 1. 2. 3. — **Bb** : 1. — Ian. 16. Πανσοφίου. — 3. — **C** : 1. — Πανσοφίου. — 3 (Δανάκτου). — Κοσμᾶ (Ian. 15⁴). — **Cb** : 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ποσιδωνίου. — **Cc** : 1. — Πανσοφίου. — 3 (Δανάκτου). — Κοσμᾶ. — **Cd** : 1. — Πανσοφίου. — 3. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mr** : 1.

Ian. 17. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. — Σπευσίππου κτλ. (Ian. 16²). — **P** : Σπευσίππου κτλ. — 1. — Τοῦ ἁγίου ἀποστόλου Ὀνησιφόρου (cf. Dec. 8ʰ). — **Da** : 1. 2. — **Db** : 1. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. — Σπευσίππου κτλ. — **Ba** : 1 (= S). 2 (= S). — **Bb** : 1. — Σπευσίππου κτλ. — 2. — **C** : 1. — Σπευσίππου, Ἐλασίππου, Βελεσίππου καὶ Νεονίλλας τῆς μάμμης αὐτῶν καὶ Ἰουνίλλης καὶ Τούρβονος τοῦ νοταρίου. — **Cb** : 1. — Σπευσίππου, Γελασίππου κτλ. — **Cc** : 1. — Σπευσίππου κτλ. — **Cd** : 1. — Σπευσίππου, Ἐλασίππου, Βελεσίππου καὶ Νεονίλλας τῆς μάμμης αὐτῶν καὶ Ἰουνίλλης[1] καὶ Τούρβονος τοῦ νοταρίου. Οὗτοι ὑπῆρχον ἀπὸ Καππαδοκίας, ὁμοῦ γεννηθέντες τρίδυμοι ἐκ μιᾶς κοιλίας τῆς αὐτῶν μητρός· ἦσαν δὲ ἱππηλάται καὶ γυμνασταὶ ἄριστοι, ὡς καὶ ἡ προσηγορία αὐτῶν δηλοῖ, διδαχθέντες παρὰ τῶν κυρίων αὐτῶν. Ἑτοιμάσαντες δὲ τράπεζαν, τῷ Ἐμεσίῳ Διῒ θύοντες, καὶ προσκαλεσάμενοι τὴν μάμμην αὐτῶν Νεονίλλαν ἐπὶ τὸ συνεστιαθῆναι αὐτοῖς, ἤκουσαν παρ' αὐτῆς καὶ κατηχήθησαν τὴν εἰς Χριστὸν πίστιν, καὶ ὅτι τῶν ἐθνῶν οἱ θεοὶ ἄψυχοι λίθοι καὶ ξύλα εἰσὶ καὶ ἄγουσιν πρὸς ἀπώλειαν τοὺς αὐτοῖς προσέχοντας. Τότε ὥσπερ ἐξ ὕπνου τῆς πλάνης ἐκνίψαντες ἐπεμέμφοντο αὐτῇ ὅτι, διὰ τί μὴ πρὸ πολλοῦ τοῦτο ἐποίησεν· καὶ ὑπομνησθέντες ἐξηγήσαντο, ἅπερ κατ' ὄναρ ἑωράκασιν ὁδηγοῦντα αὐτοὺς πρὸς τὴν ἀληθινὴν πίστιν. Καὶ εὐθέως ἀναστάντες τά τε εἴδωλα συνέτριψαν καὶ τοὺς βωμοὺς κατέστρεψαν καὶ τὰ θύματα ἔδωκαν τοῖς κυσίν. Ὡς δὲ ἦλθον οἱ κύριοι αὐτῶν Παλμάτος καὶ Ἑρμογένης καὶ Κοδράτος, ἤρξαντο μεταπείθειν αὐτοὺς κολακείαις τε καὶ ἀπειλαῖς. Ὡς δὲ οὐκ ἔπεισαν, πῦρ ἑτοιμάσαντες ἐνέβαλον αὐτούς· καὶ οὕτω ἐτελειώθησαν.

[1] Ἰονίλλης Cd.

Ian. 17. δειμάμενος ἐν τῇ πέτρᾳ, ἐν ᾗ Μωϋσῆς ὁ θεόπτης ἠξιώθη τὸν Θεὸν ἰδεῖν ὡς ἀνθρώπῳ δυνατὸν ἦν, θυσιαστήριον ἔπηξε. Καὶ εὐχόμενός ποτε φωνῆς ἤκουε [6] λεγούσης, ὡς ὁ μιαρὸς καὶ δυσώδης ἀνήρηται χοῖρος ὁ ἀποστάτης Ἰουλιανός. Ἀλλὰ καὶ παιδίον γυναικός τινος περὶ τὴν αὐτοῦ διακονίαν ἀσχολουμένης εἰς φρέαρ καταπεσὸν διὰ προσευχῆς τοῦ δικαίου σῶον καὶ ἀβλαβὲς ἀνηνέχθη. Καὶ Ἀστέριον δέ, ὃς ἐπίσκοπος ὑπὸ ἀρειανῶν ἐκεχειροτόνητο, ἐπ' εὐγλωττίᾳ μεγαλαυχοῦντα [7] καὶ περὶ πίστεως τῷ δικαίῳ συζητῆσαι βουλόμενον διὰ προσευχῆς τῷ θανάτῳ παρέπεμψε. Καὶ ἄλλα δὲ πολλὰ θαύματα πεποιηκὼς εἰς τὴν ἀγήρω καὶ ἄλυπον μετέστη ζωήν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Ian. 18. **1.** Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Ἀλεξανδρείας Ἀθανασίου καὶ Κυρίλλου. Τούτων ὁ μὲν ἅγιος Ἀθανάσιος ἦν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου· καὶ ἐν τῇ πρώτῃ κατὰ Νίκαιαν συνόδῳ μήπω τεταγμένος ἐν
f. 135. ἐπισκόποις, | λόγοις σοφίας καὶ γραφικαῖς ἀποδείξεσι τὸν Ἄρειον κατῄσχυνε. Μετὰ δὲ τὴν τελευτὴν τοῦ μακαρίου Ἀλεξάνδρου ἐπίσκοπος καταστάς, παρὰ Κωνσταντίου ἐν διαφόροις ὑπερορίαις ἐλαύνεται καὶ ἐπὶ δύο καὶ τεσσαράκοντα χρόνοις τοῖς διωγμοῖς ἐναθλήσας, πρὸς Κύριον ἐξεδήμησεν. Ὁ δὲ ἅγιος Κύριλλος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ, ἀδελφιδοῦς γεγονὼς Θεοφίλου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ τοῦ θρόνου ἅμα διάδοχος. Γέγονε δὲ προστάτης τῆς ἐν Ἐφέσῳ ἁγίας τρίτης συνόδου καὶ τὸν δυσσεβῆ καθεῖλε Νεστόριον, βλάσφημα πολλὰ κατὰ τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου δογματίσαντα. Ἐν πολλοῖς οὖν κατορθώμασι διαλάμψας, πρὸς Κύριον ἐξεδήμησεν. Ὑπῆρχον δὲ κατὰ τὴν ἰδέαν τοῦ σώματος ὁ μὲν ἅγιος Ἀθανάσιος μέτριος τὴν ἡλικίαν, ἠρέμα πλατύς, ἔγκυφος, χαρίεις τὸ πρόσωπον, εὔχρους, ἀναφαλαντίας, τὴν ῥῖνα ἐπίγρυπος, γενείῳ οὐκ ἐπιμήκει ἐπιπλατεῖ δὲ τὰς σιαγόνας πυκάζων καὶ στόματι οὐ βραχὺ [1] ἐντετμημένος [2], πολιὸς ἄγαν, οὐκ ἀκραιφνεῖ τῷ λευκῷ ἀλλ' ὑποξανθίζοντι κεχρημένος. Ὁ δὲ ἅγιος Κύριλλος ὀλίγον τοῦ μετρίου τὴν ἡλικίαν κατεσπασμένος, βραχύ τι πρὸς τὸ εὐχρούστερον τὴν πρόσοψιν [3] ἀπονενευκώς, ὀφρῦσι δασείαις τε καὶ μεγάλαις εἰς ἀψῖδας κυκλουμέναις ὑπογράφων τὸ μέτωπον, ἐπίρριν, τὸ τῶν μυκτήρων διάφραγμα [4] φέρων προσπεπτωκός, ἐντεταμένος [5] τὰς παρειάς, χείλεσι παχυτέροις τὸ στόμα διεσταλμένος, φαλακρὸς ἐπὶ μετώπῳ βραχεῖ, δασεῖ [6] καὶ ἐπιμήκει τῷ πώγωνι σεμνυνόμενος, οὖλος, ἑκατέραν τὴν τρίχωσιν ὑπόξανθος, μιξαιπόλιος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ [7] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκιανοῦ. Οὗτος ὁ μακάριος Μαρκιανὸς πατρίδα μὲν ἔσχε τὴν Κύρον, μετὰ δὲ ταῦτα τὴν ἔρημον· καὶ ταύτην δὲ κἀκείνην καταλιπὼν ἔχει τὸν οὐρανόν. Τῆς γὰρ τοῦ γένους περιφρονήσας περιφανείας — ἐξ εὐπατριδῶν γὰρ κατήγετο — καὶ τῆς ἐν βασιλείοις λαμπρότητος καταλαμβάνει τῆς ἐρήμου τὸν ὀμφαλόν. Καὶ μικρὸν οἰκίσκον δειμάμενος, οὐδὲ τῷ σώματι σύμμετρον, καὶ σμικρῷ τινι θριγκίῳ περιβαλών, καθεῖρκτο διηνεκῶς, πάσης μὲν ἀνθρωπίνης συνουσίας κεχωρισμένος. | Θεῷ [1] δὲ τῶν ὅλων προσδιαλεγόμενος καὶ τῆς γλυκείας ἐκείνης ὑπαΐων [2] φωνῆς. Καὶ τὴν μὲν προσευχὴν ψαλμῳδία τὴν δὲ ψαλμῳδίαν ἡ προσευχὴ διεδέχετο, καὶ ἀμφότερα πάλιν ἡ τῶν γραφῶν ἀνάγνωσις. Σιτίον δὲ ἦν αὐτῷ μόνος ἄρτος καὶ οὗτος σταθμῷ προσφερόμενος· τοσοῦτος δὲ ἦν ὁ σταθμὸς ὡς μηδὲ παιδίῳ ἄρτι θηλῆς ἀπαλλαγέντι τὴν χρείαν πληροῦν. Φασὶν γὰρ τοῦ ἄρτου τὴν λίτραν τετραχῇ διαιρούμενον ἡμέραις τέσσαρσι διανέμεσθαι καὶ ἡμέρᾳ ἑκάστῃ μίαν ἀπονέμεσθαι μοῖραν. Ἐκεκρίκει γὰρ ἑσπέρας καθ' ἑκάστην ἐσθίειν, κόρον δὲ μὴ λαβεῖν μηδέποτε, ἀλλ' ἀεὶ [3] πεινῆν, ἀεὶ [4] διψῆν, προσφέρειν δὲ τῷ σώματι τὰ εἰς τὸ ζῆν ἀποχρῶντα· ἀληθὴς γὰρ ἔνδεια ἡ διηνεκὴς ἔνδεια. Χρόνου δέ τινος παρελθόντος, πολλοὺς ἐδέξατο φοιτητάς· καὶ ἐκ τούτων μυρία ἐφυτεύθη ἕτερα ἀσκητῶν καταγώγια, ἃ οὐδὲ ῥάδιον ἀριθμεῖν. Τοιαύτης γὰρ χάριτος ἔμπλεος ἦν ὁ μέγας, ὅτι, ὁσάκις ἂν ἐβούλετο ἀνοῖξαι ἐν νυκτὶ βιβλίον [5] πρὸς τὸ ἀναγνῶναι, οὐκ ἐδέετο λυχνιαίου φωτὸς ἀλλ' ἄνωθεν [6] αὐτὸν περιήστραπτε φῶς· καὶ οὕτως [7] τὴν ἀνάγνωσιν ἐποιεῖτο [8]. Δράκοντα δέ ποτε προσερπύσαντα τῷ κελλίῳ [9] καὶ λίαν

f. 135v.

— [6] ἤκουσε Sa. — [7] (ὑπὸ - μεγαλαυχοῦντα) λαυχοῦντα Sa.
1. — [1] βραχεῖ Sa. — [2] ἐντετημημένος Sa. — [3] ὄψιν Sa. — [4] δίφραγμα Sa. — [5] ἐντεταμένας Sa. — [6] δασὺ S. — [7] *om.* Sa.
2. — [1] τῷ Θεῷ Sa. — [2] ἐπαίων Sa. — [3] ἀλλὰ ἀεὶ μὲν Sa. — [4] δὲ *add.* Sa. — [5] βιβλίον ἐν νυκτὶ Sa. — [6] ἀλλὰ ἄνωθεν Sa. — [7] οὕτω Sa. — [8] ἐποίει Sa. — [9] αὐτοῦ *add.* Sa.

Ian. 17. Ἰουνίλλα δέ τις γυνὴ κρατοῦσα παιδίον, ῥίψασα αὐτό, ὡμολόγησεν ἑαυτὴν χριστιανήν· καὶ εὐθέως τέμνεται τὴν κεφαλὴν μετὰ Νεονίλλας [2] τῆς μάμμης τῶν μαρτύρων. Τούρβων δὲ ὁ νοτάριος, ἐάσας τὰ σχέδη, δραμὼν κατέστρεψε τὰ εἴδωλα, κράζων ὅτι «χριστιανός εἰμι·» καὶ αὐτίκα ξίφει καὶ αὐτὸς τελειοῦται. — **M** : 1. — Θεοδότου ἐπισκόπου Κυρηνίας τῆς Κύπρου ... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις κτλ. (Ian. 19[4]). — 2. — Ἀχιλλᾶς ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Θεοδότου. — 2. — Ἀχιλλεύς. — **Mr** : 1.

Ian. 18. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. — **H** : 1. — Εὐσεβείας τῆς καὶ Ξένης (Ian. 24[1]). — **P** : 1. — Εὐσεβείας. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. — Εὐσεβείας. — 3. — **Ba**: 1 (= S). 2 (mutil.). 3 (= S). — **Bb** : 1. — Εὐσεβείας. — 2. — **C** : 1. — Εὐσεβείας. — 3. — **Cb** : 1. —

— [2] Ἰουνίλλης Cd.

κεχηνότα ὁ μέγας οὗτος σταυρῷ, ὥσπερ [10] πυρί, κατεξήρανε· καὶ παραυτίκα δίκην καλάμου καταφλεχθεὶς εἰς πολλὰ διελύθη. Ὁ δὲ σημειοφόρος πατὴρ ἡμῶν ἔτι τούτων πλείονα πράξας καὶ διδάξας, τὰ ἐπίγεια καταλιπὼν πρὸς οὐρανὸν μετέστη.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Θεοδούλης. Αὕτη ὑπῆρχεν ἐκ τῆς Ἀναζάρβου πόλεως ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν καὶ ὁμολογίαν ἐκρατήθη [1] παρὰ Πελαγίου ἄρχοντος καὶ [2] ἐβασανίσθη ἰσχυρῶς καὶ βασανιζομένη ἐθαυματούργησε, καὶ πολλοὺς ἐπεσπάσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν.
Ian. 18. Ἐξ ὧν ἦσαν ὁ κομενταρήσιος καὶ ὁ βοηθὸς Ἑλλάδιος, οἵτινες καὶ τὰς κεφαλὰς ἀπετμήθησαν. Ἡ δὲ ἁγία ὑπὸ σούβλων [3] πυρωθέντων διετρυπήθη τοὺς μαστούς· εἶτα ἀπὸ τῶν τριχῶν ἐκρεμάσθη ἐν κυπαρίσσῳ καὶ τοὺς πόδας μεθ' ἥλων σιδηρῶν καθηλώθη· καὶ μετὰ ταῦτα εἰς κάμινον πυρὸς ἰσχυρῶς ἐκκαεῖσαν μετὰ καὶ ἑτέρων ἁγίων ἐμβληθεῖσα, ἐπιπολὺ προσευξαμένη καὶ τὰς χεῖρας ἐκτείνασα καὶ εὐχαριστήσασα παρέδωκε τὸ πνεῦμα.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

Ian. 19. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Αἰγυπτίου καὶ ἀναχωρητοῦ. Οὗτος γέγονε τῆς
f. 136. Αἰγύπτου θρέμμα καὶ γέννημα | ἐξ ἁπαλῶν ὀνύχων τὴν ἀρετὴν μετελθών· καὶ ταύτην ἀγαπήσας καὶ περιλαβὼν [1] θεῖον τοῦ [2] Πνεύματος γέγονε καταγώγιον. Τοσαύτην γὰρ καρτερίαν ἐν τοῖς τῆς ἀρετῆς ἱδρῶσιν ἐκτήσατο, ὡς κατὰ πνευμάτων ἀκαθάρτων λαβεῖν ἐξουσίαν. Ἐπήνθει δὲ αὐτῷ καὶ τὸ τῆς διακρίσεως χάρισμα, ὅθεν καὶ τὰ μέλλοντα προύλεγε καὶ θαυμάτων ἄλλων αὐτουργὸς γέγονεν. Τούτων δὲ ἕνεκα πολλῇ παρακλήσει τὴν ἱερωσύνην καταδέχεται, μὴ ἀνασχομένου τοῦ προέδρου τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι, ἀλλὰ πᾶσι λάμπειν, ἢ προσδοκῶντος [3] ἐκ τῆς ἀφῆς τὴν [4] αὐτοῦ χεῖρα ἁγιασθήσεσθαι. Οὗ γενομένου, εἰς σκληροτέραν ἀγωγὴν ἑαυτὸν ὁ μακάριος ἔδωκε [5]. Σύριγγα γὰρ ποιήσας ὑπόγειον ἀπὸ τῆς κέλλης αὐτοῦ ὡς ἥμισυ σταδίου διήκουσαν καὶ εἰς τὸ ἄκρον [6] σπήλαιον αὐτοχείρως ὀρύξας, εἴ ποτε πλείονες αὐτῷ παρενέβαλλον [7] καὶ διηνώχλουν, λάθρα τὴν σύριγγα ὑπερχόμενος τῷ σπηλαίῳ προσέβαλλε καὶ οὐδεὶς αὐτὸν εὕρισκε. Περὶ δὲ βρώσεως [8] καὶ πόσεως περιττόν ἐστι γράφειν καὶ λέγειν, τοῦ σώματος καὶ τῆς θέας αὐτοῦ τὴν ἄκραν ἐγκράτειαν [9] μαρτυρούντων. Οὗτος, ἐπεὶ αἱρετικὸς εἰς ὁμιλίαν αὐτῷ προσῆλθεν ἀρχικὸν δαίμονα ἔχων καὶ λέγων μὴ εἶναι ἀνάστασιν νεκρῶν, νεκρὸν ἀνέστησεν, ἵνα μόνον πείσῃ αὐτόν. Ἔλεγε δὲ ὁ ἅγιος, ὅτι δύο τάγματα δαιμόνων εἰσί· τὸ μὲν τὸ πολεμοῦν τοὺς ἀνθρώπους εἰς πάθη ἀλλόκοτα, τὸ δὲ ἀρχικὸν καλούμενον καὶ ἐμποιοῦν τοῖς ἀνθρώποις πλάνην· οὕστινας δαίμονας ἀφορίζει ὁ σατανᾶς τοῖς γόησι καὶ τοῖς αἱρεσιάρχαις. Οὗτος ὁ ἅγιος νοσφιζομένῳ τὰ τῶν πενήτων τῷ ἰδίῳ μαθητῇ καὶ μὴ διορθουμένῳ ὀργὴν Κυρίου προεῖπεν· ὃ [10] καὶ πέπονθεν ἐλεφαντιάσας. Καὶ τὸν ἐπηρείᾳ δαίμονος καθεκάστην ἐσθίοντα τρεῖς μοδίους ἄρτων καὶ κιλικήσιον πίνοντα οἶνον [11] τρεῖς λίτρας ἄρτου ἐσθίειν ἀποκατέστησε. Καὶ τὸν διάβολον ἑώρακε τὰς αὐτοῦ μηχανουργίας ἐν ληκυνθίοις ἐπιφερόμενον καὶ τὸν ἀπατώμενον ὑπ' αὐτοῦ μοναχὸν Θεόπεμπτον διωρθώσατο. Καὶ παρὰ κρανίου ἐν τῇ ἐρήμῳ κειμένου ἱερέως τῶν ἑλλήνων ἀκήκοε ταῖς προσευχαῖς αὐτοῦ μικρὸν τοὺς ἐν τῇ κολάσει [12] ἀνίεσθαι τῆς βασάνου, ὅταν τύχοι ταύτας ποιεῖσθαι ὑπὲρ αὐτῶν. Προεῖπε δὲ καὶ τὴν ἐρήμωσιν τῆς Σκήτεως εἰπών· ὅταν ἴδητε κελλία οἰκοδομούμενα ἐγγὺς τοῦ ἕλους, ἐγγὺς εἶναι τὴν ἐρήμωσιν· εἰ δὲ δένδρα ἐπὶ τῶν θυρῶν, ἐγγύτερον· εἰ δὲ παιδία ἄρασθαι τὰ μηλωτάρια
f. 136v. καὶ ἀναχωρεῖν, <ἔγγιστον [13]>. Καὶ ἕτερον νεκρὸν | ἀνέστησεν, ὡς ἂν εἴπῃ, ποῦ τὴν παρακαταθήκην τῶν ταύτην ζητούντων ἀπέκρυψε· καὶ πάλιν κοιμᾶσθαι [14] προσέταξεν. Ἐν τοιούτοις οὖν θεαρέστοις κοσμούμενος ἔργοις [15], ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον, ζήσας τὰ σύμπαντα ἔτη ἐνενήκοντα.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Ἀλεξανδρέως. Ὃς πρεσβύτερος ἐχρημάτισε τῶν λεγομένων Κελλίων, ἡσυχίαν ἄκραν καὶ καρτερίαν ἐνδειξάμενος καὶ ἔργα μεγάλα καὶ σημεῖα πεποιηκώς. Τούτου τοῦ Μακαρίου τὰς ἀρετὰς ὑπεραγασθεὶς ὁ μέγας Ἀντώνιος ἔφη·

— [10] ὡς Sa.
3. — [1] κρατηθεῖσα Sa. — [2] *om.* Sa. — [3] σουβλίων Sa.
1. — [1] παραλαβὼν Sa. — [2] ἁγίου *add.* Sa. — [3] μᾶλλον *add.* Sa. — [4] τῆς Sa. — [5] δέδωκε Sa. — [6] αὐτῆς *add.* Sa. — [7] παρέβαλον Sa. — [8] βιώσεως Sa. — [9] ἐκράτειαν S. — [10] ἣν Sa. — [11] οἴνου Sa. — [12] κολάσσῃ S. — [13] *supplevi, om.* S, Sa. — [14] κοιμηθῆναι Sa. — [15] μεγαλουργήμασιν Sa.

Ian. 18. Εὐσεβείας. — **Cc** : 1. — Εὐσεβείας. — 3. — **Cd** : 1. — Εὐσεβείας. — 3. — **M** : 1. 2. 3. — Ἡ ἁγία μάρτυς Ξένη π. τ. — **Mv** : 1. 2. 3. — Ξένη. — **Mr** : 1.

Ian. 19. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **Sb** : 4. 3. 1. 2. — **H** : 4. 3. 5. 1. — **P** : 4. 5 (Λουκιανοῦ καὶ Παύλης καὶ τῆς συνοδίας αὐτῶν). — 3 : Εὐφρασίου μάρτυρος. — **Da** : 1. 2. 4. 3. — **Db** : 1. 2. 4. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 4. 3. 1 et 2. — **Ba** : 1. 2. 4. 3 (= S). 6. — Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ὃν ἀνεκόμισεν Κωνσταντῖνος ὁ Πορφυρογέννητος. — **Bb** : 4. — Βάσσου καὶ τῶν σὺν αὐτῷ. — Ἡ ἀνακομιδὴ κτλ. — 1 et 2. — **C** : 4. 3. 1 et 2. — **Cb** : 4. 3 (Εὐφροσίας). — 1 et 2. — **Cc** : 4 (τοῦ ἁγίου μάρτυρος ἐπισκόπου Κυρινίας). — 3. 1 et 2. 5. — **Cd** : 4. 3. 1 et 2 : Τῶν ὁσίων πατέρων ἡμῶν Μακαρίου τοῦ Αἰγυπτίου καὶ Μακαρίου τοῦ Ἀλεξανδρέως. Τούτων ὁ μὲν ἅγιος Μακάριος ὁ Αἰγύπτιος, ὁ τὴν ἀσκητικὴν ποθήσας διαγωγήν, κατέ-

Ian. 19.

« Ἰδοὺ ἀναπέπαυται τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ σοὶ » καὶ ἔσῃ τοῦ λοιποῦ τῶν ἐμῶν ἀρετῶν κληρονό» μος. » Οὗτος ὁ πατὴρ εἴ ποτε ἤκουσέ τινα πεποιηκότα τι ἔργον ἀσκήσεως, αὐτὸς παραζηλώσας ἔργῳ ἐπλήρου. Ὅθεν ἀκούσας, ὅτι οἱ Ταβεννησιῶται διὰ πάσης τῆς τεσσαρακοστῆς ἐσθίουσιν ἄπυρον, ἔκρινεν ἐπὶ ἑπτὰ ἔτη πᾶν [1] διὰ πυρὸς γινόμενον μὴ φαγεῖν, πλὴν λαχάνων ὠμῶν καὶ ὀσπρίων βρεκτῶν. Ἔκρινε καὶ τοῦ ὕπνου περιγενέσθαι καὶ οὐκ εἰσῆλθεν ὑπὸ τὴν στέγην ἐν ὅλοις εἴκοσι νυχθημέροις, καύμασι [2] φλεγόμενος τῆς ἡμέρας καὶ τῆς νυκτὸς πηγνύμενος τῇ ψυχρότητι. Ὑπὸ δὲ τοῦ πνεύματος τῆς πορνείας ὀχληθείς, ἀπελθὼν ἐν τῇ πανερήμῳ ἐκαθέσθη μῆνας ἕξ· ὅπου οἱ κώνωπες σφοδρῶς τοῦτον κατετίτρωσκον ὡς σφῆκες ὄντες μέγιστοι, ὡς καὶ σπονδύλους ἐξενεγκεῖν καθ' ὅλου τοῦ σώματος. Ἀπελθὼν δὲ [3] εἰς τὸ κελλίον [4] μετὰ τοὺς ἓξ μῆνας ἐκείνους, ἀπὸ μόνης τῆς φωνῆς ἐγνωρίζετο διὰ τὸ ἠλλοιῶσθαι αὐτοῦ τὸ σῶμα καὶ ἐλεφαντιῶσι παρεικάζεσθαι. Τούτου ποτὲ φρέαρ ὀρύσσοντος, ἀσπὶς εὑρεθεῖσα ἥψατο τῆς χειρὸς αὐτοῦ· ἀναιρετικὸν δέ ἐστιν τοῦτο [5] τὸ θηρίον. Ὁ δὲ ἀμφοτέραις χερσὶ δραξάμενος αὐτῆς τῶν χελυνίων διέσχισεν εἰπών· « Μὴ » ἀποστείλαντός σε τοῦ Θεοῦ, πῶς ἐτόλμησας » ἅψασθαί μου; » Αὐτὸς [6] εἰσῆλθέ ποτε ἐν τῷ μοναστηρίῳ τῶν Ταβεννησιωτῶν κοσμικὸν ἔνδυμα περιβαλλόμενος, θέλων μαθεῖν ἑνὸς ἑκάστου αὐτῶν ἐργασίαν. Καὶ ὡς ἐπέστη ἡ τεσσαρακοστή, εἶδεν διαφόρους πολιτείας, τὸν μὲν ἐσθίοντα ἐν ἑσπέρᾳ, τὸν δὲ διὰ δύο, ἄλλον διὰ τριῶν, ἕτερον διὰ πέντε, ἄλλους ἑστῶτας διὰ πάσης νυκτός, τῇ δὲ ἡμέρᾳ καθημένους εἰς τὸ ἔργον. Ὁ δὲ βρέξας ἑαυτῷ θαλλοὺς ἐκ φοινίκων, ἔστη ἐν μιᾷ γωνίᾳ, μέχρις αἱ σαράκοντα [7] ἐπληρώθησαν ἡμέραι καὶ τὸ πάσχα ἔφθασεν· ἐν αἷς οὐκ ἄρτου μετέλαβεν, οὐχ ὕδατος, οὐ γόνυ ἔκαμψεν, οὐκ ἐκαθέσθη, | (f. 137.) οὐκ ἀνέπεσεν, οὐδὲ τροφῆς ἐγεύσατο παρεκτὸς κράμβης ὠμῆς καὶ ταύτης κατὰ κυριακὴν μόνην. Τούτου τοῦ ἀδαμαντίνου ἀνδρὸς καθεζομένου ποτὲ ἐν τῇ αὐλῇ καὶ προσομιλοῦντος, ὕαινα συμπαραλαβοῦσα τὸν ἑαυτῆς σκύμνον τυφλὸν ὄντα, εἰσελθοῦσα ἐν τῇ αὐλῇ, ἔρριψεν αὐτὸν πρὸς τοὺς πόδας αὐτοῦ. Ὁ δὲ ἐπιπτύσας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐποίησεν αὐτὸν ἀναβλέψαι. Ἡ δὲ λαβοῦσα τὸ ἑαυτῆς γέννημα, ἐξῆλθε καὶ τῇ ἕωθεν σπεύσασα κῴδιον μέγιστον προβάτου ἤνεγκε τῷ Μακαρίῳ. Ὃς ἔφη πρὸς αὐτήν· « Τὰ ἐξ ἀδικίας ἐγὼ οὐ δέχομαι. » Ἡ ὕαινα δὲ κλίνασα τὴν κεφαλὴν ἐξῆλθε τῆς αὐλῆς. Εἶδε δὲ καὶ αὐτὸς τὸν διάβολον ἐπιφερόμενον τὰ εἴδη τῆς ἀπάτης διά τινος ἐσθήματος τρωγλωτοῦ [8] καὶ κολοκυνθίων αἰνιττόμενα. Τούτου τοῦ ὁσίου τὸ εἶδος ὑπῆρχε τῆς ἡλικίας ὑποκόλοβον [9], σπανόν, ἐπὶ τοῦ χείλους μόνον ἔχων τρίχας καὶ εἰς τὸ ἄκρον [10] τοῦ πώγωνος· ὑπερβολῇ γὰρ [11] ἀσκητικῶν πόνων, οὐδὲ τρίχες αὐτῷ ἐξέφυσαν. Ὅθεν οὕτω [12] ἀσκήσας καὶ ἐν βαθεῖ [13] γήρᾳ καταντήσας, πρὸς Κύριον ἐξεδήμησεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Εὐφρασίας. Αὕτη ἦν ἐκ πόλεως Νικομηδείας ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, γένους ἐπισήμου, τρόπου σώφρονος καὶ χρηστοῦ. Μὴ πεισθεῖσα δὲ σπονδὴν καὶ θυσίαν προσενέγκαι τοῖς δαίμοσι, τύπτεται σφοδρῶς καὶ ἐπιμένουσα [1] τῇ ἐνστάσει, πρὸς ὕβριν ἀνδρὶ βαρβάρῳ ἐκδίδοται· ὑφ' οὗ τὴν κεφαλὴν ἀπετμήθη, ἀπατηθέντος πρὸς [2] αὐτῆς ὅτι εἰ ταύτης ἀπόσχοιτο παρασχεῖν αὐτῷ φάρμακον, ᾧ χρησάμενος ταῖς ἐπιφοραῖς τῶν ξιφῶν καὶ ταῖς διακοντίσεσι τῶν πολεμίων ἄτρωτος ἔσται· καὶ πεῖραν λαβεῖν [3] ἔλεγε, τὸν ἑαυτῆς αὐχένα προτείνουσα. Ὁ δὲ ἀληθεύειν αὐτὴν οἰηθείς, ἐνεγκὼν κραταιότερον, τὴν αὐτῆς ἀπέτεμε κεφαλήν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδότου ἐπισκόπου πόλεως Κυρηνίας τῆς Κύπρου. Οὗτος ἦν ἐπὶ Λικινίου [1] τοῦ βασιλέως καὶ Σαβίνου ἡγεμόνος τῆς Κυπρίων νήσου· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, αὐτῷ τῷ ἡγεμόνι Σαβίνῳ προσαχθεὶς τύπτεται βουνεύροις· εἶτα κρεμᾶται καὶ τὰς σάρκας ξέεται καὶ ἐπὶ πυρωθέντος σιδηροῦ κραββάτου [2] ἁπλοῦται. Παραδόξως δὲ τῇ τοῦ Χριστοῦ χάριτι ῥυσθεὶς τοῦ πυρός, ἥλοις ἐνεπάρη τοὺς πόδας καὶ ἠναγκάζετο τρέχειν. Βληθεὶς δὲ ἐν τῇ φυλακῇ, ἐπεὶ παυσαμένου τοῦ διωγμοῦ δόγματι τοῦ μεγάλου Κωνσταντίνου ἀπελύθη τῆς | (f. 137v.) φρουρᾶς, ἔτους διαγενομένου δευτέρου, πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ εὐκτηρίῳ [3] τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου ἐν τοῖς Ἀρματίου.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Λουκιλλιανοῦ [1], Παύλης καὶ τῶν σὺν αὐτοῖς νηπίων Κλαυδίου, Ὑπατίου, Παύλου καὶ Διονυσίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ οἴκῳ Ἀναστασίου τοῦ πατριάρχου ἐν τῇ Ὀξείᾳ.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τοῦ μεγίστου θαύματος τοῦ ἐν Νικαίᾳ, ὁπόταν ὁ μέγας Βασίλειος διὰ προσευχῆς ἀνέῳξε τὰς πύλας τῆς καθολικῆς ἐκκλησίας καὶ παρέθετο αὐτὴν τοῖς ὀρθοδόξοις.

7. Καὶ ἡ ἐπάνοδος τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐθυμίου.

2. — [1] τὸ *add.* Sa. — [2] τῷ καύματι Sa. — [3] οὖν Sa. — [4] αὐτοῦ *add.* Sa. — [5] τοῦ τὶ Sa. — [6] ὁ αὐτὸς Sa. — [7] τεσσαράκοντα Sa. — [8] τρωγλωττοῦ Sa. — [9] ὑπόκλοβον Sa. — [10] τὸ *add.* Sa. — [11] τῇ γὰρ ὑπερβολῇ τῶν Sa. — [12] οὕτως Sa. — [13] βαθὺ Sa.
3. — [1] τοῦ ἐν *add.* Sa. — [2] παρ' Sa. — [3] αὐτὸν *add.* Sa.
4. — [1] Λικιννίου S. — [2] κραμβάτου S. — [3] οἴκῳ *add.* Sa.
5. — [1] Λουκιανοῦ Sa. *Cf. Iun. 3*[1].

Ian. 19.

λιπεν οἰκίαν, συγγενεῖς, πλοῦτον, δόξαν καὶ τὸν μάταιον βίον καὶ ἀπελθὼν ἐν ταῖς ἐρήμοις ἐμόνασεν. Ἐσχε δὲ ἐπιθυμίαν τοῦ εἰσελθεῖν εἰς τὴν ἐνδοτέραν ἔρημον. Καὶ κατὰ μικρὸν προϊὼν καὶ πρὸς τὸ τῆς ἀνατολῆς μέρος καὶ τὴν Ἰνδικὴν βαδίζων, προσήγγισεν εἰς τὸν φυτευθέντα παρὰ Θεοῦ παράδεισον· καὶ εἶδε θαύματα πολλὰ καὶ τεράστια καὶ διηγήσατο ὑποστρέψας πάντα τοῖς πατράσιν· ἐν γήρᾳ βαθυτάτῳ φθάσας, <καὶ [1]> κατὰ δαιμόνων ἐξουσίαν λαβὼν πρὸς Κύριον ἐξεδήμησεν. Ἦν δὲ ὥς φασι τὴν ἡλικίαν πάνυ μικρός. Ὁ δὲ ἕτερος ἅγιος Μακάριος ὁ Ἀλεξανδρεὺς τῇ ἄκρᾳ ἀρετῇ καὶ ὑπομονῇ πᾶσαν καρτερίαν ἐπιδειξάμενος, πάντας τοὺς ἐν ἀσκήσει ὑπερέβαλε· διὸ καὶ μεγάλων σημείων καὶ τεράτων αὐτουργὸς γεγονὼς πρὸς Κύριον ἐξεδήμησεν. — 5. — **M** : 1. 2. 3. — Ἡ εἰς τὸν ναὸν τῶν ἁγίων ἀποστόλων ἀνακομιδὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θεολόγου. — 5. 6. — **Mv** : 1. 2. 3. — Ἀνακομιδὴ κτλ. — 5 (Λουκιανοῦ ...). — 6. — **Mr** : 1.

[1] *om.* Cd.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Ian. 20.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου, πρεσβυτέρου γενομένου καὶ καθηγητοῦ τῆς ἐρήμου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Γρατιανοῦ ἀπὸ Μελιτινῆς [1] πόλεως Ἀρμενίας, υἱὸς Παύλου καὶ Διονυσίας. Οἵτινες ἄτεκνοι ὄντες ὑπὸ Θεοῦ ἤκουσαν, ὅτι παιδίον γεννήσουσι καὶ ὅτι ἐν τῇ γεννήσει αὐτοῦ εὐθυμήσουσι πᾶσαι αἱ ἐκκλησίαι καὶ ὁ κόσμος. Διὰ τοῦτο καὶ ὅτε ἐγεννήθη τὸ παιδίον, ὠνόμασαν αὐτὸ Εὐθύμιον. Αὐξηθεὶς δὲ ἐγένετο κληρικὸς παρὰ τοῦ ἐκεῖσε ἐπισκόπου, εἶτα καὶ πρεσβύτερος καὶ ἔξαρχος τῶν μοναστηρίων· εἶτα ἀπῆλθεν εἰς Ἱεροσόλυμα καὶ ἐν τῷ σπηλαίῳ τοῦ ὁσίου Θεοκτίστου ἡσυχάζει. Τοσοῦτον δὲ ἠγωνίσατο, ὥστε διὰ τὴν ἀρετὴν αὐτοῦ παρασκευάζειν τοὺς Σαρακηνοὺς καθ' ἑκάστην ἡμέραν προσέρχεσθαι τῷ Χριστῷ [2] καὶ βαπτίζεσθαι [3] μετὰ παντὸς τοῦ οἴκου αὐτῶν. Πολλὰ δὲ θαύματα εἰργάσατο, καὶ λειτουργῶν ἐφάνη ὥσπερ στύλος πυρός. Ὑπάρχων δὲ ἐτῶν ἐνενήκοντα [4] ἑπτὰ ἐν καλῷ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν, ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ μεγάλου, ἀπολαβὼν τὴν ἀΐδιον καὶ ἀγήρω [5] μακαριότητα. Οὗτος ὁ μέγας ἦν τὸ μὲν ἦθος μέτριος, τὸν τρόπον ἁπλοῦς, τὸ χρῶμα λευκός, τὴν ἡλικίαν εὐσταλὴς καὶ σεμνός, πολιὸς τὴν τρίχα, τὴν ὑπήνην μέχρι τῶν μηρῶν καθεικώς. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ [6] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Βάσσου, Εὐσεβίου, Εὐτυχίου καὶ Βασιλίδου [1]. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, πλούτῳ βρίθοντες καὶ τῆς συγκλήτου μετέχοντες βουλῆς. Προσῆλθον δὲ τῷ Χριστῷ καὶ τὸ εἰς αὐτὸν ἔλαβον | (f. 138.) βάπτισμα, τὸν ἐπίσκοπον Θεόπεμπτον ἰδόντες ταῖς βασάνοις ἐγκαρτεροῦντα καὶ παράδοξα θαύματα τῇ τοῦ Χριστοῦ ἐνεργοῦντος δυνάμει· ὅθεν προσαχθέντες τῷ βασιλεῖ ἀφαιροῦνται πρῶτον τὰς ζώνας, εἶτα διαφόρους [2] δέχονται τοῦ βίου ἐξαγωγάς. Ὁ μὲν ἅγιος Βάσσος εἰς βόθρον μέχρι τῶν μηρῶν ἐμβληθεὶς καὶ τὰς χεῖρας ἐκκοπεὶς καὶ ὅλον τὸ σῶμα κατατμηθεὶς τὸ πνεῦμα παρέδωκε. Ὁ δὲ ἅγιος Εὐσέβιος κατὰ κεφαλῆς κρεμασθείς, κατὰ μέλος πέλυξι διῃρέθη. Ὁ δὲ ἅγιος Εὐτύχιος τέσσαρσι πάλοις βιαίως ἐκταθεὶς διεμερίσθη τριχῇ. Ὁ δὲ ἅγιος Βασιλίδης μαχαίρᾳ ἀναρρήγνυται τὴν γαστέρα. Καὶ οὕτως ἕκαστος αὐτῶν τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐγενίου, Κανδίδου [1], Οὐαλλεριανοῦ καὶ Ἀκύλα. Οἵτινες ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἐνδημούντων [2] τῇ πόλει Ῥωμαίων, Λυσίου δὲ τοῦ δουκὸς πράττοντος καὶ προκαθεζομένου ἐν τῇ Σαταλέων. Ὑφ' οὗ ἐρωτηθέντες καὶ μὴ εἴξαντες, ἐξορίαν κατακρίνονται ἐν στενοχώρῳ χωρίῳ τῆς Λαζικῆς [3] χώρας, Πιττυοῦς καλουμένῳ. Ἐκεῖθεν δὲ ἀνακληθέντες ὑπὸ τῶν δημίων, τὴν Τραπεζοῦντα κατέλαβον πόλιν καὶ τῷ δουκὶ ἐμφανίζονται καὶ ἐρωτηθέντες βουνεύροις ὠμοῖς καταξαίνονται τὰς σάρκας, φωνὴν οὐδεμίαν ἀφιέντες· καὶ ἀναρτηθέντες ἐπὶ ξύλου σιδηροῖς ὄνυξι τὰς

1. — [1] Μελιτηνῆς Sa. — [2] κυρίῳ Sa. — [3] ὑπ' αὐτοῦ *add.* Sa. — [4] καὶ *add.* Sa. — [5] ἀγήρω καὶ ἀΐδιον Sa. — [6] *om.* Sa.
2. — [1] Βασιλείδου S, Sa. — [2] διαφόρως S.
3. — [1] *al.* Κανιδίου, *cf.* Catal. Gr. Paris., *pp. 141, 266*, Papadopoulos-Kerameus, Fontes hist. imp. Trapezunt., *pp. 1, 9, etc.* — [2] ἐνδημοῦντες S, Sa. — [3] Λαζυκῆς S.

Ian. 20.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 9. — **Sb** : 1. 2. 4. 9. — **H** : 3. 2. 4. 1. — **P** : 3. 2. 4. 1. — **Da** : 1 (= Ba). 2. 4. 9. — **Db** : 1. 2. 9. — **F** : 1 : Εὐθυμίου πρεσβυτέρου γενομένου καὶ καθηγητοῦ τῆς ἐρήμου. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Γρατιανοῦ [1] ἐν Μελιτινῇ [2] τῇ κατ' Ἀρμενίαν μητροπόλει, ἐκ Παύλου καὶ Διονυσίας εὐσεβῶν τινων γεννηθείς, κατὰ τὸν μέγαν Ἰωάννην ἐκ στειρωτικῆς ἀκάρπου γαστρός· ὅθεν καὶ τὴν κλῆσιν κατ' ἐπαγγελίαν ἔσχηκεν, εὐθυμεῖν τοῖς γεννήτορσι δεομένοις ὑπὲρ γονῆς, θείας φωνῆς ἄνωθεν ἐνεχθείσης. Οὗτος μετὰ τὴν τοῦ πατρὸς τελευτὴν προσάγεται παρὰ τῆς μητρὸς Ὀτρείῳ τῷ μεγάλῳ τῆς Μελιτινῆς ἐπισκόπῳ καὶ παρ' αὐτοῦ τῇ τάξει τῶν κληρικῶν καταλέγεται. Γενόμενος δὲ περὶ τὴν τῶν ἱερῶν γραμμάτων συλλογὴν ἐπιτήδειος καὶ πάντας τοὺς κατ' αὐτὸν ἀσκήσει καὶ ταῖς πρὸς ἀρετὴν ἐπιδόσεσιν ὑπερβάλλων, ἀναγκάζεται τὴν τοῦ πρεσβυτέρου χειροτονίαν λαβεῖν καὶ τῶν ἱερῶν ἀσκητηρίων τὴν ἐπιμέλειαν καταδέξασθαι. Ἔνατον δὲ καὶ εἰκοστὸν ἔτος ἄγων, τὰ Ἱεροσόλυμα καταλαμβάνει καὶ ἔν τινι τῶν κατ' ὄρος σπηλαίων μετὰ τοῦ ὁσίου Θεοκτίστου συνδιαιτᾶται, ἔνθα πολλῶν νοσημάτων πολλοὺς ἀπήλλαξεν, τὸν τῶν Περσῶν φυλάρχου παῖδα ἡμίξηρον ὄντα ἀρτιμελῆ καὶ σῶον ἀπέδειξεν. Λέγεται δὲ καὶ οὗτος ἐν ὀνόματι Κυρίου ἐκ βραχέων πάνυ καὶ μικρῶν ἄρτων τετρακοσίους τῇ μονῇ παραβάλλοντας αὐτῷ διαθρέψαι. Οὐ μόνον δὲ αὐτὸς ἐν δυνάμει Θεοῦ στείρωσιν λύσας ἐξῆλθεν, ἀλλὰ καὶ ἀτεκνούσας ἑτέρας γυναῖκας δι' εὐχῆς καὶ γονίμους καὶ εὐτέκνους ἀπέδειξεν. Κατὰ τὸν μέγαν Ἠλιοῦ καὶ οὗτος θύρας ἠνέῳξεν οὐρανοῦ καὶ τὴν γῆν ἀκαρπίαν νοσοῦσαν

[1] Γρατειανοῦ F. — [2] Μελιτηνὴ F. — [3] Ὀτριΐῳ F.

Ian. 20. σάρκας ξέονται, λαμπάσι πυρὸς εὐτόνως ἀναφλεγόμενοι. Ὡς δὲ πρηνεῖς κατέπεσον οἱ αἰκίζοντες αὐτοὺς δήμιοι, ταραχθεὶς ὁ ἡγεμὼν φρουρεῖσθαι τοὺς ἁγίους ἐκέλευσε. Μετά τινας δὲ[4] ἡμέρας κρατηθεὶς ὁ[5] Εὐγένιος, ἀνεύρετος γὰρ ἦν, παρέστη τῷ Λυσίᾳ· πολλαῖς δὲ ταῖς ὥραις δικαιολογουμένων ἀμφοτέρων, ἔδοξε τῷ μακαρίῳ ἐν χλεύῃ καὶ μειδιάματι εἰπεῖν πρὸς τὸν ἄρχοντα[6]· « Ποῦ εἰσιν » οἱ θεοί σου; » Αὐτὸς δὲ μετὰ χαρᾶς ἁρπάσας τὸ ῥῆμα, μετὰ πολλοῦ[7] τοῦ πλήθους εἰσῆλθεν ἐν τῷ ναῷ. Ὁ δὲ ἅγιος Εὐγένιος πλησίον γενόμενος τῆς πύλης προσηύξατο καὶ παραχρῆμα ἔπεσον τὰ ἰνδάλματα καὶ συνετρίβησαν ὡς κονιορτός. Διὰ ταῦτα οὖν σχοινίοις διαταθεὶς ὁ μακάριος ῥοπάλοις ἁδροῖς τύπτεται· εἶτα ἀναρτᾶται καὶ τὰς πλευρὰς σιδηροῖς ὄνυξιν εὐτόνως ξέεται, ἕως τὸ ἔδαφος ἅπαν τοῖς αἵμασιν ἐφοίνιξε. Καὶ μετὰ ταῦτα λαμπάσι πυρὸς τὰς πλευρὰς ἀνακαίεται, ἅλμῃ σὺν ὄξει δριμυτάτῳ περιαν|τλούμενος· εἶθ᾿ οὕτως κάμινος σφοδρῶς ἐκκεκαυμένη ἀμφοτέρους[8] τοὺς ἁγίους ὑποδέχεται, ἐξ ἧς ἀσινεῖς καὶ ἄφλεκτοι διαμείναντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. (f. 138v)

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰνᾶ, Πιννᾶ[1] καὶ Ῥιμᾶ. Οὗτοι χώρας τινὸς τῆς κατὰ ἄρκτον ὑπάρχοντες καὶ χριστιανοὶ ὄντες, παρὰ τῶν εἰδωλομανούντων βαρβάρων συσχεθέντες, τῷ τῆς χώρας παρέστησαν ἄρχοντι· οὓς[2] ὁμολογήσαντας τὸν Χριστὸν κατεδίκασε διὰ κρύους τελειωθῆναι. Δεσμοῦνται οὖν ξύλοις ὀρθίοις μέσον παγεῖσι τοῦ ποταμοῦ, ὥρᾳ χειμῶνος[3], ὅτε τῷ ψύχει οὐδέν τι διαφέρον ἦν τῶν ἀκινήτων σωμάτων καὶ πεπηγότων τὸ ὀλισθηρὸν τοῦ ὕδατος καὶ εὐκίνητον· καὶ[4] τούτῳ τὸ τοῦ βίου δέχονται πέρας.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Θύρσου καὶ Ἁγνῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις πλησίον Ἐλενιανῶν.

6. Καὶ μνήμη Λέοντος τοῦ μεγάλου βασιλέως.

7. Καὶ τῆς ἁγίας μάρτυρος Χαριτίνης[1] ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Δομετιανοῦ κόμητος τῆς Κωρυκιωτῶν[2] πόλεως.

8. Καὶ τῆς ἁγίας μάρτυρος Ἄννης τῆς ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τελειωθείσης.

9. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ μακαρίου Πέτρου τοῦ τελώνου. Ὃς ἦν[1] ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ, πατρίκιος χρηματίσας, πάσης τῆς Ἀφρικῆς τὴν διοίκησιν ἐπεπίστευτο. Οὗτος παντελῶς ἄσπλαγχνος ὢν καὶ τὸ ἀνελεήμονος ὄνομα ἑαυτῷ ἐπιγράψας φειδωλὸς παρὰ πᾶσιν[2] ἦν τε καὶ ἐλογίζετο. Διὸ τῶν πτωχῶν εἷς τις πείρας ἕνεκεν αὐτῷ προσελθὼν ᾔτει ἐλεημοσύνην λαβεῖν· ὁ δὲ τῶν ἄρτων ἁρπάσας ἕνα — καὶ γὰρ ἔτυχε τότε τὸν ἀρτοποιὸν τοὺς παρασκευασθέντας κομίζειν ἄρτους — μετὰ θυμοῦ κατὰ τοῦ πένητος ὡσεὶ λίθον ἠκόντισεν. Οὔπω δύο παρῆλθον ἡμέραι καὶ ὁ πατρίκιος νόσῳ κατάσχετος γεγονώς, ἑαυτὸν ἑώρα τῶν πρακτέων λόγους ὑπέχοντα. Εἶτα καὶ ζυγὸς ἐῴκει παρεῖναι διακρίνων ἑκάτερα· οὗ κατὰ μὲν τὴν λαιὰν πλάστιγγα[3] μελανοὺς ἔβλεπε συναθροιζομένους καὶ πολλὰ[4] τῶν αὐτοῦ πράξεων ἄτοπα τῇ πλάστιγγι κατατιθέντας· κατὰ δὲ[5] τὴν δεξιὰν λευχείμονας μὲν ἄνδρας καὶ φοβεροὺς τὴν μορφήν, μηδὲν δὲ ἀγαθὸν ἀντισταθμίσαι παρεξευρίσκοντας πλὴν τοῦ ἄρτου ἐκείνου, ὃν μετὰ θυμοῦ κατὰ τοῦ πένητος ἔβαλεν. Αὐτίκα τοίνυν διαναστὰς καὶ ἅπασαν αὐτοῦ τὴν περιουσίαν πένησι διανείμας καὶ αὐτὰ τὰ ἱμάτια, ἅπερ ἠμφίεστο[6], | πτωχῷ τινι δούς, τὸν Χριστὸν εἶδε καθ᾿ ὕπνους ταῦτα ἐνδεδυμένον· ἀλλὰ καὶ ἑαυτὸν πωλήσας, δέδωκε τὸ τίμημα τοῖς πτωχοῖς. Ἀναγνωρισθῆναι δὲ μέλλων[7] τῷ πυλωρῷ, διανοίξας τὰ ὦτα καὶ λαλεῖν παρασκευάσας τῷ[8] ἐπιτάξαι ἀνοῖξαι αὐτῷ, φυγὰς καταλαμβάνει τὰ Ἱεροσόλυμα, εἶτα τὴν Κωνσταντινούπολιν, ἐν ᾗ καὶ ἀνεπαύσατο ἐν Κυρίῳ. Κατετέθη δὲ ἐν τῇ τοποθεσίᾳ τοῦ Βοός, ἐν τῷ ἰδίῳ[9] οἴκῳ. (f. 139)

— [4] δέ τινας Sa. — [5] ἅγιος *add.* Sa. — [6] εἰπεῖν πρὸς τὸν ἄρχοντα ἐν χλεύῃ καὶ μειδιάματι Sa. — [7] πολλῇ Sa. — [8] ἄμφω Sa.
4. — [1] Πινᾶ Sa. — [2] ὃς Sa. — [3] ὥρᾳ χειμῶνος *om.* Sa. — [4] ἐν *add.* Sa.
7. — [1] μαρτυρησάσης *add.* Sa. — [2] Κωρυκειωτῶν S, Sa, Κουριόκητῶν Fa.
9. — [1] *om.* Sa. — [2] παρα ⦙⦙⦙ πᾶσιν Sa. — [3] πλάσιγγα Sa. — [4] πολλω Sa. — [5] *om.* Sa. — [6] ἠμφίετο S, Sa. — [7] θέλων Sa. — [8] διὰ τὸ Sa. — [9] αὐτοῦ *add.* Sa.

Ian. 20. ἰάσατο. Ἐδήλωσε δὲ τοῦ ὁσίου τὴν ἔνδον λαμπρότητα καὶ ὁ τοῦ πυρὸς στύλος. Ἱερουργοῦντος γὰρ αὐτοῦ ποτε τὴν ἀναίμακτον καὶ θείαν θυσίαν, οὐρανόθεν εἶδον φῶς οἱ περιεστῶτες κατελθόντα καὶ συμπαρεστῶτα τῷ ἁγίῳ, μέχρι πέρας ἔλαβεν ὁ τῆς θυσίας καιρός. Τὸ δὲ τὰς διαθέσεις τῶν προσιόντων θείας κοινωνίας μετασχεῖν νοερῶς καθορᾶν καὶ τίς μὲν αὐτῶν μετὰ καθαροῦ τοῦ συνειδότος, τίς δὲ ἐσπιλωμένος πρόσεισι, τῆς παντελοῦς δήπου καθάρσεως καὶ ἁγνείας σημεῖόν ἐστιν. Οὗτος ὁ μακάριος πρὸς Κύριον ἐξεδήμησεν ἐνενηκοστὸν καὶ ἕβδομον ἄγων ἔτος τῆς ἐν τῷ βίῳ ζωῆς, ἐπὶ της βασιλείας Λέοντος τοῦ μεγάλου. Ἦν δὲ τὸ μὲν ἦθος μέτριος, τὸν τρόπον ἁπλοῦς, τὸ χρῶμα λευκός, τὴν ἡλικίαν εὐσταλὴς καὶ σεμνός, πολιὸς τὴν τρίχα, τὴν ὑπήνην μέχρι τῶν μηρῶν καθεικώς. Λέγεται δὲ περὶ αὐτοῦ, ὅτι τινὸς μέλλοντος τελευτᾶν μοναχοῦ, ὃς ἐνομίζετο μὲν εἶναι σώφρων καὶ ἐγκρατής, οὐκ ἦν δέ, ἀλλὰ τοὐναντίον ἀκόλαστος, ἑώρα ὁ μακάριος ἄγγελον μετὰ τριόδοντος τὴν ψυχὴν ἐκσπῶντα αὐτοῦ· καὶ ἅμα φωνῆς ἐπακοῦσαι τὰ κρυπτὰ τῆς αἰσχύνης δηλούσης τοῦ μοναχοῦ. — 2. 4. 5. 6. 3. 7. — Τῶν ἁγίων μαρτύρων Ἐλπιδίου πρεσβυτέρου καὶ Δάνακτος ἀναγνώστου καὶ Ἑλένης (cf. Ian. 16³). — 8. 9. — **Fa** : 1. 2. 4. 5. 6. 3. 7. — Ἐλπιδίου κτλ. — 8. 9. — **B** : 3. 2. 4. 1. — **Ba** : 1 : Εὐθυμίου... Ὃς ἦν ἐπὶ τῆς βασιλείας Γρατιανοῦ ἐν Μελιτινῇ τῇ κατ᾿ Ἀρμενίαν μητροπόλει, Παῦλόν τινα καὶ Διονυσίαν οὕτω καλουμένους γεννήτορας ἔχων... Des. : τὰ κρυπτὰ τῆς αἰσχύνης δηλούσης τοῦ μοναχοῦ. — 2 (= S). 4 (= S). 9 (= S). — **Bb** : 3. 4. 1. 9. — **C** : 1. 9. 3. 2 (... καὶ βασιλίδος). — 4 (Ἰννᾶ, Ῥημμᾶ καὶ Πιννᾶ). — 5. — **Cb** : 1. 4 (Ἰννᾶ, Ῥιμμᾶ, Τινᾶ). — **Cc** : 1. 9. 3. 2. 4. 5. — **Cd** : 1 (= F). 3. 2. 4. 5. — **M** : 1. 2. 3. 4. 9. — **Mv** : 1. 2. 3. 4. 9. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ΄.

Ian. 21 **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαξίμου τοῦ ὁμολογητοῦ. Οὗτος ἦν κατὰ τοὺς χρόνους Κωνσταντίνου, τοῦ ἐπικληθέντος Πωγωνάτου, ὄντος ἀπογόνου τοῦ Ἡρακλείου[1]. Ταῖς μεγίσταις οὖν τιμαῖς ὑπὸ τῶν πρώην βασιλέων ἀξιωθεὶς καὶ ἱκανὸς ὢν ἐν ταῖς πολιτικαῖς διοικήσεσιν τὰ πρακτέα ὑφηγεῖσθαι διὰ λόγον καὶ τρόπον[2] καὶ τὴν ἀπὸ χρόνων σύνεσιν, εἰς τὸ τοῦ πρωτοασηκρῆτις προεβιβάσθη ἀξίωμα καὶ βουλῆς τοῖς βασιλεῦσι γέγονε κοινωνός. Ἐπεὶ δὲ ἡ[3] πονηρὰ καὶ ἔκφυλος αἵρεσις τῶν μίαν θέλησιν ἐπὶ τῆς διὰ σαρκὸς τοῦ Χριστοῦ οἰκονομίας ἀνοήτως καὶ δυσσεβῶς εἰσαγόντων ἐπεκράτει, ὅσον ἐπ᾿ αὐτοῖς τὴν μίαν τῶν δύο φύσεων ἀναιρούντων, καὶ διατάγματά τινα τὴν κακοδοξίαν κρατύνοντα ἐπὶ τὴν ἀγορὰν ἐπόμπευε καὶ ἐπὶ τῆς μεγάλης προέκειτο ἐκκλησίας, οὐκ ἀνασχόμενος τῇ τῶν ἀσεβῶν κοινωνίᾳ συνασεβεῖν, ἀφεὶς τὰς κοσμικὰς ἀρχάς, εἵλετο μᾶλλον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρερρῖφθαι ἢ ἐν σκηναῖς ἁμαρτωλῶν κατοικεῖν. Καὶ καταλαβὼν τὸ ἐν Χρυσοπόλει μοναστήριον τὴν κόμην ἀπέθετο· οὗ καὶ καθηγητὴς ὕστερον γέγονε. Εἶτα θείῳ ζήλῳ ὥσπερ ὑπὸ πυρὸς ἐξαφθείς, τὴν πρεσβυτέραν Ῥώμην κατέλαβε καὶ Μαρτῖνον τὸν μακαριώτατον πάπαν παρεσκεύασε τοπικὴν ἀθροίσαντα σύνοδον ἀναθεματίσαι τοὺς ἀρχηγοὺς τοῦ ἀνοήτου δόγματος τῶν μίαν θέλησιν ἐπὶ Χριστοῦ ληρωδούντων. Καὶ εἰς ἔλεγχον τῶν οὕτω φρονούντων λόγους γράψας καὶ ἐπιστολὰς[4] λογικαῖς ἀποδείξεσι καὶ γραφικαῖς τῆς καθ᾿ ἡμᾶς πίστεως τὴν ἀλήθειαν βεβαιούσας[5] συνθείς, πανταχοῦ τῆς οἰκουμένης ἐξέπεμψε. Ἀναζεύξας δὲ ἀπὸ Ῥώμης μετὰ τῶν δύο Ἀναστασίων τῶν μαθητῶν[6], εἰς εὐθύνας παρὰ τῆς συγκλήτου καθίσταται ὁμοδοξούσης τῇ τοῦ βασιλέως αἱρέσει, ὅτι, πάντων ὑπεικόντων τῷ βασιλεῖ, ἀνθίσταται[7] καὶ τοὺς ἄλλους πρὸς ἀποστασίαν κινεῖ, ἐναντία διὰ τῶν ἐπιστολῶν φρονεῖν μεταπείθων αὐτούς. Ἐπὶ τούτῳ πέμπεται ἐν φρουρᾷ κατὰ τὴν Θρᾴκην, καὶ ἐπιμένων | τῇ ὀρθοδόξῳ πίστει τὴν χεῖρα καὶ τὴν γλῶτταν ἀκρωτηριάζεται· κἀκεῖθεν εἰς ὑπερορίαν ἐπὶ τὴν Λαζικὴν πέμπεται, ἔνθα ἐπὶ τρισὶ χρόνοις διάξας καὶ ταῖς οἰκείαις τοῦ σώματος χρείαις αὐτὸς ὑπηρετησάμενος, καίτοι πλήρης ὢν ἡμερῶν, μικρὸν νοσήσας ἀνεπαύσατο ἐν Κυρίῳ. Καὶ κατέθηκαν αὐτὸν ἐν τῇ μονῇ τοῦ ἁγίου Ἀρσακίου[8] ἐν αὐτῇ τῇ χώρᾳ τῶν Λαζῶν, πολλὰς θαυμάτων ἐνεργείας καθ᾿ ἑκάστην ποιοῦντα. Λέγεται γὰρ[9] μετὰ τὴν ἐκτομὴν αὖθις ὑπὸ Θεοῦ παραδόξως ἀποκατασταθῆναι τὴν γλῶτταν καὶ τρανῶς φθέγγεσθαι, μέχρις ἂν ἐν τῷ βίῳ ὑπῆρχεν. Τῶν δὲ[10] δύο αὐτοῦ μαθητῶν[11] ὁ μὲν πρεσβύτερος Ἀναστάσιος ἴσα τῷ διδασκάλῳ τὴν χεῖρα καὶ τὴν γλῶτταν τμηθείς, μακρὰν ἐξωρίσθη· ὁ δὲ νεώτερος ἔν τινι τῶν κατὰ τὴν Θρᾴκην φρουρίων πεμφθείς, τὸν βίον κατέλυσε. (f. 139v)

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Νεοφύτου. Ὃς ἦν ἐκ Νικαίας τῆς κατὰ Βιθυνίαν, παῖς εὐσεβῶν καὶ χριστιανῶν γεννητόρων Θεοδώρου καὶ Φλωρεντίας, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Εὐθὺς δὲ ἐν ἀρχῇ τοῦ βίου χάριτος θείας γέγονε πλήρης· ἔννατον[1] γὰρ ἔτος ἄγων τῆς ἡλικίας μετὰ τῶν παίδων, οἷς ἐπὶ μάθησιν ἐφοίτα γραμμάτων[2], προσηύχετο καὶ τούτους παραδόξως διέτρεφε. Καταπτᾶσα δὲ περιστερὰ διεῖπε τὴν κλίνην αὐτοῦ· ἀνθρωπίνως δὲ φθεγξαμένης αὐτῆς, ἐπεὶ δὲ[3] ἡ τοῦ ἁγίου μήτηρ τῷ δέει ἐξέψυξε, ταύτην ὁ ἅγιος διὰ προσευχῆς ἤγειρε. Τὸ δὲ ὄρος τοῦ Ὀλύμπου καταλαβὼν ἓν τῶν σπηλαίων ὑπέδυ, ἔνθα ἡ ὁδηγοῦσα αὐτὸν περιστερὰ ἔδοξεν εἰσελθεῖν· καὶ τὸ ἐν αὐτῷ θηρίον ἀποδιώξας, ἐν αὐτῷ ἐποιεῖτο τὴν δίαιταν, ὑπὸ ἀγγέλου τρεφόμενος. Τοῦ δὲ ἑνδεκάτου ἔτους ἐπιβάς, δι᾿ ἀποκαλύψεως ἐκ τοῦ ὄρους κατῆλθε καὶ τοὺς γεννήτορας ἀσπασάμενος καὶ ἐκ τῶν ὑπαρχόντων αὐτοῖς χορηγήσας τοῖς ἐνδεέσι καὶ πάλιν τὸ ὄρος καταλαβών, τῷ πεντεκαιδεκάτῳ ἔτει τῆς ἡλικίας αὐτοῦ παρέστη τῷ ἡγεμόνι Δεκίῳ, δι᾿ ἐπικουρίας ἀγγέλων τὴν πρὸς αὐτὸν ποιησάμενος κάθοδον· ὅθεν διὰ τὴν

1. — [1] Εἱρακλείου S, Sa. — [2] λόγων καὶ τρόπων S — [3] *om.* Sa. — [4] καὶ *add.* S. — [5] Sa, βεβαιώσας S. — [6] αὐτοῦ *add.* Sa. — [7] οὗτος μόνος *add.* Sa. — [8] Ἀρσενίου Sa, *ita quoque cod. Tilianus, apud* Combefis, P.G., *t. XC, p. 209.* — [9] δὲ Sa. — [10] γε Sa. — [11] μαθ. αὐτοῦ Sa.
2. — [1] ἔνατον Sa. — [2] γραμμάτων ἐφοίτα Sa. — [3] ἐπεὶ Sa.

Ian. 21. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : Οὐαλεριανοῦ, Κανίδους, Ἀκίλλα καὶ Εὐγενίου (Ian. 20³). — 3. 1. — **H** : 2. 3. 5. — **P** : 2. 3. — Τοῦ ὁσίου Μακαρίου. — 5. — **Da** : 1 (= Ba). 2. 3. — Εὐγενίου, Κανίδους, Ἀριανοῦ καὶ Ἀκύλα. — **Db** : 1. 2. 3. — Εὐγενίου κτλ. — **F** : 2. 3. — Εὐγενίου, Κανίδους, Ἀρειανοῦ καὶ Ἀκύλα. — **Fa** : 2. 3. — Εὐγενίου ... Ἀκήλα. — **B** : 2. 3. — **Ba** : 1 (= S). 2 (= S). 3 (= S). — Εὐγενίου κτλ. (= S). — **Bb** : 1. 3. — **C** : 2. 3. 1 (in margine), 4. 5. — **Cb** : 2. 3. — **Cc** : 2. 3. 4. 5. — **Cd** : 2. 3 : Ζωσίμου ἐπισκόπου Συρακούσης τῆς Σικελῶν νήσου. Οὗτος γέγονεν ἀπὸ Σικελίας <γονέων[1]> τῶν ἐν αὐταρκείᾳ ζώντων. Οἵτινες εἶχον κτῆμα πλησίον τῆς μονῆς τῆς ἁγίας Λουκίας τῆς ἀειπαρθένου· ἥτινι γεννηθεὶς ὑπὸ τῶν γονέων προσήχθη καὶ ἐγένετο φύλαξ τῆς τιμίας αὐτῆς θήκης. Καί ποτε ἀπελθὼν πρὸς τοὺς γονεῖς, οὐ συνεχωρήθη μικρὸν αὐτοῖς προσδιατρῖψαι, ἀλλ᾿ εὐθὺς ἀνταπεστάλη πρὸς τὸν ναὸν τῆς ἁγίας. Τριάκοντα δὲ ἔτη ποιήσας ἐν τῇ μονῇ, γέγονε καὶ ἡγούμενος αὐτῆς· εἶτα καὶ ἐπίσκοπος γέγονε Συρακούσης ὑπὸ Θεοδώρου πάπα Ῥώμης. Πολλοὺς δὲ διδάξας περὶ τῆς αἰωνίου ζωῆς καὶ περὶ κρίσεως καὶ ἀνταποδώσεως, καὶ καλῶς διακυβερνήσας τὴν ἐμπιστευθεῖσαν αὐτῷ ἐκκλησίαν καὶ τρισκαιδέκατον ἔτος ἐν αὐτῇ διανύσας, πεντηκοστὸν δὲ τὸ ὅλον τῆς ζωῆς

[1] *supplevi, om.* Cd.

Ian. 21. ἀπροσδόκητον παρρησίαν πρῶτον μαστίζεται, εἶτα εἰς κλίβανον πυρὸς ὑποβάλλεται. Σωθεὶς δὲ τῇ τοῦ Χριστοῦ χάριτι, θηρίοις ἐπαφίεται· ἐπεὶ δὲ τῆς ἀπ' αὐτῶν ἀβλαβὴς διέμεινε λύμης[4], ἐπιπεσόντος αὐτῷ βαρβάρου τινὸς ἀναιρεῖται[5] ξίφει.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς f. 140. ἡμῶν Ζωσίμου ἐπισκόπου | Συρακούσης[1] τῆς Σικελῶν[2] νήσου. Οὗτος γονέων ἔφυ χριστιανῶν· ἐξ ὧν γεννηθεὶς[3] προσεδρεύειν ἐτάχθη τῇ θήκῃ τῆς ἁγίας Λουκίας τῆς μάρτυρος. Προϊόντος δὲ τοῦ χρόνου καὶ τῆς[4] ἀρετῆς συναυξανομένης αὐτῷ, εἰς τὴν ἀρχιερατικὴν ἀνήχθη τιμὴν ὑπὸ Θεοδώρου πάπα Ῥώμης· καὶ διὰ τὴν ἐνοικοῦσαν ἐν αὐτῷ χάριν τοῦ ἁγίου Πνεύματος, πολλῶν θαυμάτων δημιουργὸς γενόμενος, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν.

4. Τῇ αὐτῇ ἡμέρᾳ σύναξις τῆς ἁγίας Εἰρήνης τῆς οὔσης πρὸς θάλασσαν.

5. Καὶ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἁγνῆς ἀθλησάσης ἐν Ῥώμῃ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Ian. 22. **1.** Ἄθλησις τοῦ ἁγίου Τιμοθέου τοῦ ἀποστόλου, μαθητοῦ τοῦ ἁγίου Παύλου, ὃς καὶ πρῶτος ἐπίσκοπος Ἐφεσίων ὑπ' αὐτοῦ κεχειροτόνηται. Οὗτος ἦν ἐκ πόλεως Λύστρων, πατρὸς ἕλληνος καὶ μητρὸς ἰουδαίας Εὐνίκης[1] καλουμένης. Μαθητευθεὶς δὲ Παύλῳ τῷ ἀποστόλῳ καὶ συγγραφεὺς τοῦ θείου εὐαγγελίου καὶ κῆρυξ γενόμενος, Ἰωάννῃ τῷ διαφερόντως ἠγαπημένῳ μαθητῇ συγγίνεται καὶ ὑπ' αὐτοῦ καὶ τοῦ ἀποστόλου[2] Παύλου ἐπίσκοπος Ἐφέσου καθίσταται. Μετὰ γὰρ τὸ ἐκβρασθῆναι[3] τὸν Ἰωάννην ὑπὸ τῆς θαλάσσης, ὡς αὐτά τε[4] τὰ ὑπὸ Εἰρηναίου τοῦ Λουγδούνων ἐπισκόπου συγγεγραμμένα ἱστορεῖ καὶ ὁ λόγος ἔχει, καὶ τῇ Ἐφέσῳ ἀποδοθῆναι, ὕστερον δὲ ὑπὸ Δομετιανοῦ βασιλέως τρόπῳ ὑπερορίας τῇ Πάτμῳ νήσῳ ἀπενεχθῆναι[5], οὗτος ὁ μακάριος Τιμόθεος τῆς ἐπισκοπῆς Ἐφεσίων ἀντεποιεῖτο· τῶν δὲ εἰδωλολατρῶν κατά τινα πάτριον ἑορτήν, καταγώγιον οὕτω καλουμένην, ἐν τῇ πόλει Ἐφεσίων εἴδωλα διὰ χειρὸς ἐχόντων καί τινα περιτιθέντων ἑαυτοῖς προσωπεῖα καὶ τούτοις ἐπᾳδόντων καὶ ἀνδράσι καὶ γυναιξὶ λῃστρικῶς ἐπιόντων καὶ πολὺν φόνον ὑπ' αὐτοῖς ἐργαζομένων, ὁ μακάριος ἀπόστολος Τιμόθεος μὴ φέρων τὸ ἄτοπον τοῦτο ὁρᾶν, ἀλλὰ τὴν ματαίαν αὐτῶν πλάνην διελέγχων καὶ ἀποστῆναι τῶν αἰσχρῶν πράξεων παραινῶν, ἀναιρεῖται ὑπ' αὐτῶν ῥοπάλοις ἐπιθεμένων αὐτῷ. Ὕστερον δὲ τὸ ἅγιον αὐτοῦ μετεκομίσθη λείψανον ἐν Κωνσταντινουπόλει καὶ κατετέθη μετὰ Ἀνδρέου καὶ Λουκᾶ, τῶν πανευφήμων καὶ ἁγίων ἀποστόλων, ἔνδον τῆς ἁγίας τραπέζης τοῦ ναοῦ τῶν ἁγίων ἀποστόλων[6], ὃν Κωνστάντιος μὲν ἀνήγειρεν ὁ βασιλεύς, Ἰουστινιανὸς δὲ ὕστερον φιλοτιμοτέραν μετὰ τῆς χειρὸς καὶ τέχνην εἰσενεγκὼν ἀνοικοδομεῖ λαμπρῶς καὶ μετασκευάζει, | καὶ κάλλος αὐτῷ f. 140v. καὶ μέγεθος τό γε περιὸν νῦν καὶ ὁρώμενον ἀποδίδωσι, πλὴν τῆς μυστικῆς καὶ θείας τραπέζης. Ταύτης γὰρ ἀπέσχετο μόνης καλῶς ἐκεῖνος καὶ ὁσίως ποιῶν διὰ τὴν τῶν ἱερῶν λειψάνων κατάθεσιν· διὸ καὶ κατὰ μέσον εἰς δεῦρο τὸν ναὸν ἵδρυται. Ἐξ ἀργυροῦ οὖν τὴν τράπεζαν καθαρωτάτου κατασκευάσας, ἐν αὐτῇ φιλοχρίστως[7] τὰ τῶν ἀποστόλων[8] Χριστοῦ ἀπεθησαύρισε[9] σώματα, ἔνθα καὶ ἡ σύναξις αὐτῶν[10] τελεῖται.

— [4] λύμης ἀβλαβὴς διέμεινε Sa. — [5] τῷ *add.* Sa.
3. — [1] Συρρακούσης S. Sa. — [2] Σικελλῶν S, τῶν Σ. Sa. — [3] εὐθέως Sa. — [4] *om.* Sa.
1. — [1] Εὐνείκης Sa. — [2] ἁγίου Sa. — [3] τὸ ἐκ... *supra lin.* Sa. — [4] γε Sa. — [5] ἀποδοθῆναι Sa. — [6] (ἔνδον - ἀποστόλων) *in marg. corr.* Sa. — [7] φιλοτίμως Sa. — [8] τοῦ *add.* Sa. — [9] ἐναπεθησαύρισε Sa. — [10] αὐτοῦ Sa.

Ian. 21. αὐτοῦ, πρὸς Κύριον ἐξεδήμησεν. — 4 (Εἰρήνης ἐν τῇ ἁγιωτάτῃ αὐτῆς ἐκκλησίᾳ τῇ οὔσῃ πρὸς θάλασσαν). — 5. — **M** : 1. 2. 3. 4. 5. — Οἱ ἅγιοι τέσσαρες μάρτυρες οἱ ἐν Τύρῳ ξ. τ. — Ἡ ἐν τῷ Κυρίῳ Πάσχα κυριακὴ τοῦ ἀσώτου. — **Mv** : 1. 2. 3. — Οὐαλλεριανοῦ, Κανδίδου καὶ Ἀκύλα (Ian. 20[3]). — 4. 5. — Οἱ ἅγιοι τέσσαρες μάρτυρες. — Κυριακὴ κτλ. — **Mr** : 1. 2.

Ian. 22. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : 1. 3. 2. 4. — **H** : 1. 3 (Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Κάμπῳ). — 2. — **P** : 1. 3. 2. — **Da** : 1. 2 (= Ba). 3. 4. — **Db** : 1. 2. 3. 4. — **F** : 1. 2 : Ἀναστασίου. Οὗτος ὁ ἅγιος ἦν ἐκ Περσίδος, βασιλεύοντος μὲν Περσῶν Χοσρόου, Ῥωμαίων δὲ Ἡρακλείου, ἐκ πατρίδος Ῥαζήχ, χώρας Ῥασνουνί. Ἦν δὲ αὐτῷ πρότερον ὄνομα Μαγουνδάτ, υἱὸς μάγου τινὸς καλουμένου Βαῦ[1], παρ' οὗ τὴν μαγικὴν ἐπαιδεύθη, ἄρτι τῇ στρατείᾳ[2] τῶν τηρόνων καταλεγείς. Καταδραμόντων δὲ τῶν Περσῶν τοὺς τῆς ἁγίας πόλεως τόπους καὶ πολλῶν αἰχμαλώτων ληφθέντων, ἀπαχθέντος[3] δὲ σὺν αὐτοῖς καὶ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ἐν ᾧ ὁ Κύριος ἡμῶν τὸ κατὰ σάρκα πάθος ὑπέμεινε, καὶ διὰ τὰ παρ' αὐτοῦ τελούμενα θαύματα λόγου παρὰ τοῖς Πέρσαις φοιτῶντος, ὡς ὁ τῶν χριστιανῶν ἥκεν ἐνθάδε Θεός, ὁ Μαγουνδὰτ ὑπὸ τῆς τοῦ Θεοῦ κινούμενος χάριτος θερμότερον ἐζήτει περὶ τοῦ σταυροῦ· ὅθεν παρά τινος πιστοῦ τὴν κατὰ τὸν σταυρὸν πᾶσαν οἰκονομίαν μαθὼν ἐπίστευσε τῷ Χριστῷ. Εἶτα μετὰ τοῦ περσικοῦ στρατεύματος ἐν Χαλκηδόνι[4] γενόμενος καὶ πυθόμενος τὴν τῶν Περσῶν ὑπὸ Ἡρακλείου τοῦ βασιλέως καταστροφήν, παρεγένετο εἰς Ἱεράπολιν[5]· ἔνθα ἐντυχὼν ἀργυροκόπῳ τινί, μετ' αὐτοῦ τὴν τέχνην συνεκπονεῖ. Ἐκεῖθεν τὰ Ἱεροσόλυμα καταλαμβάνει καὶ ἐν τῇ ἁγίᾳ πόλει τὸ θεῖον βάπτισμα δέχεται. Καὶ γενόμενος ἐν τῇ μονῇ τοῦ ἁγίου ἀββᾶ Ἰουστίνου, τὸ ἱερὸν τῶν μοναχῶν σχῆμα λαμβάνει· ἔνθα πᾶσαν ὁδὸν διελθὼν πρὸς ἀρετὴν φέρουσαν καὶ τὰ ἱερὰ γράμματα μαθὼν καὶ τὸ ψαλτήριον ἀποστοματίσας καὶ πλείονα τὸν πρὸς Θεὸν ἐκκαύσας πόθον[6], τὴν

[1] Βαὺ F, Βὰβ Bτ, Βαὺ *ap.* Usener, *p. 2.* — [2] τὴν στρατείαν F. — [3] ἀπαχθέντων F. — [4] Χαλκιδόνι F. — [5] Ἱεράπολει F. — [6] (καὶ - πόθον) *in marg.* F.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀναστασίου τοῦ Πέρσου. Οὗτος ἦν ἐκ Περσίδος, βασιλεύοντος Ῥωμαίων μὲν Ἡρακλείου Περσῶν δὲ Χοσρόου, υἱὸς μάγου τινός. Ὑπάρχων δὲ καὶ αὐτὸς μάγος, συνηριθμήθη τῇ τῶν τηρώνων στρατείᾳ. Καταδραμόντων[1] δὲ τῶν Περσῶν τοὺς ἁγίους τόπους καὶ λαβόντων σὺν τοῖς αἰχμαλώτοις καὶ τὸ τίμιον ξύλον, ἐφημίζετο παρ' αὐτῶν, ὅτι ὁ τῶν χριστιανῶν Θεὸς ἦλθεν εἰς τὴν χώραν αὐτῶν· Θεὸς γὰρ ἐνομίζετο[2] ὁ τίμιος σταυρὸς διὰ τὰ ὑπ' αὐτοῦ τελούμενα θαύματα. Ζητήσας οὖν ὁ Ἀναστάσιος περὶ αὐτοῦ, ἔμαθε πᾶσαν τὴν οἰκονομίαν καὶ ἐπίστευσε τῷ Χριστῷ. Καὶ ἦλθε πρῶτον μετὰ τῶν Περσῶν εἰς Χαλκηδόνα[3] τὸν τοῦ Θεοῦ[4] φόβον εἰς νοῦν λαβών, κατέλιπε δὲ[5] τὴν στρατείαν καὶ τὴν δόξαν τοῦ κόσμου. Καὶ ἀπῆλθεν εἰς Ἱεράπολιν, εἶτα[6] εἰς Ἱεροσόλυμα καὶ βαπτίζεται καὶ γίνεται μοναχὸς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα. Καὶ ἐπιθυμήσας τοῦ ὑπὲρ Χριστοῦ μαρτυρῆσαι, ἀπῆλθε πάλιν εἰς τὴν ἰδίαν χώραν καὶ κρατηθεὶς παρὰ τῶν Περσῶν καὶ τιμωρηθεὶς ἰσχυρῶς, ὕστερον ἀπεκεφαλίσθη. Τοῦ δὲ βασιλέως Ἡρακλείου ἀπελθόντος ἐν τῇ Περσίδι καὶ τοῦ Χοσρόου ἀποθανόντος, μοναχός τις ἐκ τῆς μονῆς τοῦ μάρτυρος ἰδὼν τὸν στρατὸν τοῦ βασιλέως, ἐχάρη καὶ ἦν μετ' αὐτῶν, ὡς χριστιανῶν ὑπαρχόντων. Καὶ ὑποστρεφόντων αὐτῶν, ἦλθε καὶ αὐτὸς εἰς τὸν ἡγούμενον αὐτοῦ καὶ ἀπεκόμισεν αὐτῷ καὶ τὸ κολόβιον τοῦ μάρτυρος. Καὶ[7] διηγήσατο[8] αὐτῷ, ὅτι ἐν Περσίδι δαιμονῶντα περιβαλὼν αὐτὸ ἰάσατο. Καὶ ὁ μὲν[9] Ἡράκλειος ἐν τῷ εἰκοστῷ ἔτει τῆς αὐτοῦ βασιλείας ἀνεκόμισεν εἰς Ἱερουσαλὴμ τὸ τίμιον ξύλον. Ἐπίσκοπος δέ τις ἀπὸ τοῦ καθολικοῦ ἀρχιεπισκόπου ἐπὶ τὰ ῥωμαϊκὰ μέρη ἀνελάβετο τὰ λείψανα τοῦ ἁγίου καὶ ἀπεκόμισεν εἰς Καισάρειαν. Ian. 22. Καὶ δοὺς ἐκεῖ μικρὰν μερίδα τὸ λοιπὸν κατέσχεν[10]. Ἡ δὲ τιμία κεφαλὴ τοῦ μάρτυρος καὶ ἡ εἰκὼν προσκυνεῖται παρὰ τῶν πιστῶν ἐν τῇ μεγάλῃ καὶ παλαιᾷ Ῥώμῃ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ[11] | αὐτοῦ μαρτυρείῳ[12], τῷ <ὄντι[13]> ἔνδον f. 141. τοῦ ἁγίου μάρτυρος Φιλήμονος ἐν τῷ Στρατηγίῳ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βικεντίου διακόνου. Οὗτος ἦν ἐξ Αὐγουστοπόλεως, ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ Δατιανοῦ[1] ἡγεμόνος, κατὰ τὴν τάξιν τῆς ἐκκλησίας διάκονος. Συνελήφθη δὲ μετὰ τοῦ ἐπισκόπου Οὐαλλερίου καὶ εἰς πόλιν λεγομένην Βαλεντίαν[2] τῇ εἱρκτῇ παρεδόθη. Εἶτα ἀχθεὶς πρὸς τὸν ἡγεμόνα, ῥάβδοις τύπτεται καὶ σιδήροις ξέεται ἐπὶ πλεῖστον κρεμάμενος καὶ λαμπάσι πυρὸς τὰς πλευρὰς καταφλέγεται καὶ σιδηραῖς σούβλαις πυρωθείσαις κεντεῖται. Παρεθέντων δὲ τῶν δημίων καὶ τοῦ ἁγίου μάρτυρος τῇ τοῦ Χριστοῦ χάριτι ὑγιοῦς καταστάντος, ἐπεὶ μεταβαλλόμενος ὁ τύραννος κολακείαις αὐτὸν ἐπεχείρει δελεάσαι, αὐτὸς ἐν χερσὶ τοῦ Θεοῦ τὸ πνεῦμα παρέθετο, ὅπερ ἐκαλεῖτο τοῦτο πράγματι γεγονώς, νικήσας τὸν ἀντικείμενον· Βικέντιον γὰρ οἱ Ῥωμαῖοι τὸν νικητὴν λέγουσι.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μανουήλ, Γεωργίου, Λέοντος, Μαρίνου, Πέτρου καὶ τῶν λοιπῶν τριακοσίων ἑβδομήκοντα <ἑπτά[1]>. Οὗτοι οἱ ἅγιοι ἐκ διαφόρων ἐπαρχιῶν καὶ τόπων ὄντες τὴν Ἀδριανούπολιν κατῴκουν. Οἱ Βούλγαροι δέ, οἱ ἀχάριστοι καὶ ἀμνήμονες, ἧκον Ῥωμαίους καταστρεψόμενοι, Θρᾷκας δὲ καὶ Μακεδόνας αἰχμαλωτίσαντες καὶ αὐτὴν τὴν βασιλίδα κατατρέχοντες, ἐν Ἀδριανουπόλει παρεγένοντο. Καὶ αὐτῇ[2] τρισὶν ἡμέραις

2. — [1] Sa, καταδραμὼν S. — [2] αὐτοῖς *add.* Sa. — [3] Καρχηδόνα Sa. — [4] δὲ *add.* Sa. — [5] *om.* Sa. — [6] εἰς Ἱεράπολιν εἶτα *om.* Sa. — [7] *om.* Sa. — [8] δὲ *add.* Sa. — [9] βασιλεὺς *add.* Sa. — [10] κατέσχεεν S. — [11] *om.* Sa. — [12] μαρτυρείῳ αὐτοῦ Sa. — [13] Sa, *om.* S.
3. — [1] διά τινος Sa. — [2] Βαλεντία Sa, Βαλλεντίαν S.
4. — [1] *om.* S, τὸν ἀριθμὸν τοζ' Sa. — [2] ταύτῃ Sa.

διὰ μαρτυρίου καὶ αἵματος ἐπηύχετο αὐτῷ γενέσθαι τελείωσιν. Ὁρῶν γὰρ ἐν ταῖς γραφαῖς τῶν τυχόν- Ian. 22. των ἐκκλησιῶν καὶ ἀκούων ἐν ταῖς συγγραφαῖς οἷον ἐμπνέοντας καὶ ἀγωνιζομένους τοὺς ἁγίους μάρτυρας, σφοδρῶς πρὸς τὴν τούτων ἐξεκαίετο μίμησιν. Ὅθεν καὶ ὄναρ ἔδοξε ποτήριον χρυσοῦν πλῆρες[7] οἴνου λαβὼν ἐκπιεῖν· σύμβολον δὲ τοῦτο νομίσας τῆς ἐμφύτου ἐπιθυμίας καὶ τοῦ διὰ Χριστὸν μαρτυρίου[8], τῶν θείων μυστηρίων μεταλαβὼν ἐξῆλθεν τῆς μονῆς· καὶ ἐν Καισαρείᾳ γενόμενος, ἰδὼν μάγους καὶ τὰ παρ' αὐτῶν διαχλευάσας πραττόμενα καὶ χριστιανὸν αὐτὸν ὀνομάσας, συλλαμβάνεται παρ' αὐτῶν καὶ ἄγεται πρὸς βαρζαβανὰν[9] ἄρχοντα αὐτῶν, ὑφ' οὗ προσετάγη λίθους κομίζειν. Ἔνθα πολλοὶ τῶν ἀπὸ τοῦ γένους προσερχόμενοι, οὐδεμιᾶς ἐφείδοντο παροινίας, ἐναλλόμενοι αὐτῷ καὶ τὸν πώγωνα τίλλοντες, ὕβριν τοῦ γένους ἡγούμενοι τὴν εἰς Χριστὸν πίστιν· εἶτα παρ' αὐτῶν τύπτεται σφοδρῶς. Ἀχθεὶς δὲ καὶ πρὸς τὸν βασιλέα Περσῶν καὶ τὸν Χριστὸν ὁμολογήσας καὶ πρὸς τὴν τῶν Περσῶν θρησκείαν αὖθις ὑπαχθῆναι μὴ καταδεξάμενος, τύπτεται ῥάβδοις ἀφειδῶς· καὶ αὖθις τύπτεται καὶ τῆς μιᾶς ἀναρτᾶται χειρός, κάτωθεν αὐτοῦ λίθου ἐξηρτημένου. Εἶτα βρόχου ἐξαφθέντος αὐτοῦ τῷ τραχήλῳ, κωλύεται ἀναπνεῖν· καὶ μικρὸν ἔτι ἐμπνέων, ἀφαιρεῖται τὴν κεφαλήν. — 3. 4. 5. — **Fa** : 1. 2. 3. 4 (... τὸν ἀριθμὸν τοζ' καὶ πλεῖον). — 5. — **B** : 1. 3. 2. 4. — **Ba** : 1 (= S). 2 : Ἀναστασίου τοῦ Πέρσου. Οὗτος ὁ ἅγιος ὑπῆρχεν ἐκ πατρίδος Ῥαζὴχ χώρας Ῥασνουνὶ τῆς κατὰ Περσῶν... Des. : καὶ μικρὸν ἔτι ἐμπνέων, ἀφαιρεῖται τὴν κεφαλήν. Ἡ σύναξις αὐτοῦ τελεῖται κτλ. — 3 (= S). 4 (= S). — **Bb** : 1. 3. 2. 4. — **C** : 1. 3. 2. — Ἀνακομιδὴ τῶν τιμίων λειψάνων τοῦ ἁγίου μάρτυρος Ἀναστασίου. — 4. — **Cb** : 1. 2. 4. — **Cc** : 1. 3. 2. 4. — **Cd** : 1. 3. 2. — Ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Ἀναστασίου. Τοῦ βασιλέως Ἡρακλείου καταλαβόντος ἐν Περσίδι[10] τῇ πρώτῃ τοῦ φεβρουαρίου[11]

— [7] πλήρις F. — [8] μαρτυρίας F. — [9] F, Ba, μαρζαβανᾶν *ap.* Usener, Acta M. Anastasii, *p. 5, cf. p. 29.* — [10] Περσίδη Cd. — [11] φευρουαρίου Cd.

Ian. 22 προσμείναντες εἶλον. Ἐπράττετο δὲ ταῦτα Λέοντος τοῦ δυσσεβοῦς Ἀρμενίου βασιλεύοντος καὶ Κρούμου τοῦ Βουλγαρικοῦ ἔθνους κατάρχοντος. Ἐπεὶ δὲ Κροῦμος, ὁ τῶν Βουλγάρων ἔξαρχος, ἐγκρατὴς ἐγένετο τῆς πόλεως, ἐξέβαλεν ἔξω πάντας, χιλιάδας τὸν ἀριθμὸν τεσσαράκοντα[3]· σὺν αὐτοῖς δὲ καὶ τὸν ἁγιώτατον ἐπίσκοπον ἐκβαλὼν κατὰ τοῦ αὐχένος ὑπὸ γῆν ῥιφέντα πεπάτηκε. Κρούμου δὲ τὸ ζῆν ἀπορρήξαντος, Δούκουμος τὴν ἀρχὴν δέχεται[4]· καὶ αὐτοῦ κατὰ πόδας τεθνηκότος, Δίτζευγος ἄρχων τῶν Βουλγάρων γνωρίζεται, δεινὸς καὶ στυγητός· ὃς τὸν μέγαν ἀρχιερέα[5] Μανουὴλ μέσον διχάσας καὶ τὰς χεῖρας τοῖς ὤμοις ἀποτεμὼν βορὰν τοῖς κυσὶ παρέδωκεν. Ὃς ἀορασίᾳ πληγεὶς ὑπὸ τῶν οἰκείων ἀναιρεῖται, Μουρτάγων δὲ τὴν ἀρχὴν δεξάμενος, ἅπαντας τοὺς χριστιανοὺς μὴ πειθομένους τὸν Χριστὸν ἀρνήσασθαι, ἐξ ἀνθρώπων ποιεῖ[6], καὶ οὓς μὲν δεσμοῖς καὶ στρεβλώσεσιν ὑποβάλλων, οὓς δὲ ἀπανθρώποις αἰκίαις τιμωρούμενος, τῆς παρούσης ζωῆς | ἀπερρήγνυε. f. 141v. Τὸν δὲ ἐν ἁγίοις ἀρχιερέα Δεβελτοῦ Γεώργιον καὶ Πέτρον ἐπίσκοπον ῥάβδοις ἀπανθρώπως[7] κατακόψας, ξίφει τὰς κεφαλὰς αὐτῶν ἀπέτεμε, Πάρδον δὲ τὸν ἱερώτατον πρεσβύτερον λιθολευστούμενον θανάτῳ πικρῷ κατεδίκασεν[8]· ὡσαύτως καὶ ἕτερον πλῆθος[9] τριακοσίων[10] ἑβδομήκοντα ἑπτὰ ἢ καὶ πλεῖον ὑπαρχόντων[11] τῇ τοῦ ξίφους τιμωρίᾳ ὑπέβαλε[12]. Λέοντος δὲ τοῦ ἐν ἁγίοις ἐπισκόπου Νικαίας, τῇ θέσει εὐνούχου, ξίφει τὴν γαστέρα διέρρηξε· καὶ ἕτερον Λέοντα καὶ Ἰωάννην τοὺς τῶν χριστιανῶν στρατηγοὺς καὶ Γαβριὴλ καὶ Σιόνιον μαχαίρᾳ ἀπέτεμε[13]· Γεώργιον τὸν γενναιότατον καὶ ἑτέρους πολλοὺς διαφόροις[14] αἰκίαις τιμωρησάμενος ἐθανάτωσεν. Οὐ μόνον γὰρ οὗτος ὁ μιαρώτατος Μουρτάγων ἀλλὰ καὶ οἱ κατὰ διαδοχὴν Βουλγαρικοὶ γενόμενοι ἄρχοντες πάντας τοὺς τὸν Χριστὸν ὁμολογοῦντας ἀνῄρουν.

5. Καὶ[1] μνήμη τοῦ ὁσίου[2] Ἀγάθωνος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Ian. 23. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος ἐπισκόπου Ἀγκύρας. Οὗτος ὁ μακάριος[1] Κλήμης ἦν ἐκ πόλεως Ἀγκύρας τῆς Γαλατίας, πατρὸς μὲν ἕλληνος μητρὸς δὲ εὐσεβοῦς καὶ πιστῆς τοὔνομα Εὐφροσύνης[2]. Δι' ὑπερβάλλουσαν δὲ ἀρετὴν εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀνάγεται εἰκοστὸν ἄγων[3] χρόνον. Ἤθλησεν δὲ ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων· ἐν ὅλῃ δὲ σχεδὸν τῇ ἀνθρωπίνῃ ζωῇ αὐτοῦ διήνυσε τὸ μαρτύριον. Ἐν γὰρ ὀκτὼ χρόνοις καὶ εἴκοσιν αὐτῷ παρετάθη πρὸς τοὺς τυράννους ἀγών[4], οὐ διακοπτόμενος ἐκεχειρίᾳ[5], οὐδὲ ἐκ παραγγέλματος ἐφ' ἡμέραις ῥηταῖς τακτήν τινα λαμβάνων ἀνοχὴν[6] καὶ εἰρήνην, ἀλλὰ σύντονος καὶ ὀξύς· διὰ γὰρ πάσης ἰδέας βασάνων διελθὼν καὶ τοὺς τότε κρατοῦντας τυράννους καὶ βασιλεῖς ἐκστήσας, πάσῃ τῇ οἰκουμένῃ σχεδὸν θέατρον γέγονε. Τὰ δὲ εἴδη τῶν βασάνων εἰσὶ ταῦτα. Ξύλῳ ἀναρτᾶται καὶ ξέεται, λίθοις κατὰ τοῦ στόματος καὶ τῶν παρειῶν τύπτεται, εἱρκτῇ βάλλεται, τροχῷ δεσμεῖται, βάκλοις

— [3] τὸν ἀριθμὸν μ' χιλιάδας Sa. — [4] διαδέχεταί Sa. — [5] ἀρχιερέαν S. — [6] ἐποίει Sa. — [7] ἀνηλεῶς Sa. — [8] (Πάρδον - κατεδίκασεν) *om. hic* Sa. — [9] ἀνδρῶν ὡσεὶ *add.* Sa. — [10] τριακοσίους S. — [11] ὑπάρχοντας Sa. — [12] καθυπέβαλε Sa. — [13] *hic habet* Sa *ea quae in* S *leguntur supra lin. 4-6* (Πάρδον - κατεδίκασεν). — [14] διαφόρους S, Sa.

5. — [1] τῇ αὐτῇ ἡμέρᾳ Sa. — [2] πατρὸς ἡμῶν Sa.

1. — [1] καὶ πολύαθλος *add.* Sa. — [2] Σοφίας Sa, *et in Actis ed.* P. G., *t. CXIV, p. 816.* — [3] τῆς ἡλικίας *add.* Sa. — [4] (ὀκτὼ - ἀγὼν) ὀγδόῳ χρόνῳ καὶ εἰκοστῷ ὁ πρὸς τοὺς τυράννους ἀγὼν αὐτῷ παρετάθη Sa. — [5] ἐκκεχειρεία S, ἐκκεχειρία Sa. — [6] ἐνοχὴν Sa.

Ian. 22. μηνὸς καὶ τοῦ Χοσρόου ἀναιρεθέντος, καθὼς προεῖπεν ὁ ἅγιος Ἀναστάσιος, ἰδὼν ὁ ἀδελφὸς τὸν στρατὸν τοῦ βασιλέως καὶ λαλήσας αὐτοῖς τὰ κατ' αὐτὸν καί, ὑποστρεφόντων αὐτῶν, ἦλθε καὶ αὐτὸς εἰς τὸν ἡγούμενον αὐτοῦ, ἀποκομίσας αὐτῷ καὶ τὸ κολόβιον τοῦ μάρτυρος, καὶ διηγησάμενος αὐτῷ, ὅτι ἐν Περσίδι δαιμονιῶντα περιβαλὼν αὐτὸ αὐτίκα ἐκαθαρίσθη ὁ ἀσθενής. Καὶ ὁμοῦ Ἡράκλειος ἐν τῷ εἰκοστῷ ἔτει τῆς αὐτοῦ βασιλείας ἀνακομίζεται εἰς Ἱερουσαλὴμ τόν τε τίμιον σταυρὸν καὶ τὰ ἱερά. Ἐπισκόπου δέ τινος ἀπολυθέντος παρὰ τοῦ καθολικοῦ ἀρχιεπισκόπου τῆς Περσίδος ἐπὶ τὰ Περσικά, ἠκολούθησεν αὐτῷ ὁ ἀδελφὸς τοῦ μάρτυρος· καὶ φθάσαντες τὸ μοναστήριον, ἐκωλύθησαν παρὰ τῶν ἐκεῖσε ἀδελφῶν λαβεῖν τὰ λείψανα. Ὕστερον δὲ τοῦ ἁγίου ἐπινεύσαντος, ἀνελάβοντο αὐτὰ καὶ ἀπεκόμισαν εἰς Καισάρειαν· ἐν ᾗ καὶ βουληθέντες κρατῆσαι τὰ λείψανα διὰ τὸ ἐκεῖσε ἄρξασθαι τῆς μαρτυρίας, οὐ συνεχωρήθησαν. Δεδώκασι δὲ μικρὰν μερίδα· ἡ δὲ τιμία αὐτοῦ κεφαλὴ καὶ ἡ εἰκὼν προσκυνεῖται ἐν τῷ ἐπ' ὀνόματι αὐτοῦ κτισθέντι ναῷ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ. — 4. — **M** : 1. 2. 4. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1. 2.

Ian. 23. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. — **P** : 1. — Θεοδώρου τοῦ στεφανίτου. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. — **Ba** : 1 (= S). 2 (= S). — **Bb** : 1. 2. — **C** : 1. — Τοῦ ἁγίου μάρτυρος Ἀγαθαγγέλου καὶ τῶν σὺν αὐτῷ τε καὶ τῷ ἁγίῳ Κλήμεντι μαρτυρησάντων ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων. — **Cb** : 1. — Ἀγαθαγγέλου. — **Cc** : 1. — Ἀγαθαγγέλου. — **Cd** : 1. — Κλήμεντος ἐπισκόπου Ἀγκύρας. Οὗτος ὑπῆρχεν ἀπὸ Ἀγκύρας τῆς Γαλατίας, ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἐν τῷ διακοσιοστῷ πεντηκοστῷ ἔτει τῆς ἀναλήψεως τοῦ Χριστοῦ, πατρὸς μὲν ἕλληνος, μητρὸς δὲ χριστιανῆς, Εὐφροσύνης ὀνόματι, ἥτις καὶ προεφήτευσε περὶ αὐτοῦ, ὅτι μάρτυς Χριστοῦ γενήσεται. Ὅθεν μετὰ τελευτὴν αὐτῆς ἀνατρέφεται παρὰ πιστῆς γυναικὸς πλουσίας, ὀνόματι Σοφίας· εἶτα γίνεται μοναχός, εἶτα διάκονος, εἶτα πρεσβύτερος καὶ ἐπίσκοπος εἴκοσι χρόνων ὑπάρχων. Βαπτίζων δὲ τὰ τῶν ἑλλήνων παιδία καὶ διδάσκων αὐτὰ τὴν εἰς Χριστὸν πίστιν, ἐκρατήθη παρὰ Δομε-

τύπτεται, μαχαίραις[7] κατατέμνεται, σιδηροῖς στύλοις τὸ στόμα τύπτεται[8], τὰς σιαγόνας συντρίβεται, ὀδόντων ἀποστερεῖται, σιδηροῖς πεδεῖται καὶ εἱρκτῇ ἐναπορρίπτεται. Ταῦτα ὁ μακάριος Κλήμης ἰδίως. Ἅμα δὲ τῷ Ἀγαθαγγέλῳ βουνεύροις f. 142. ξηροῖς τύπτονται, | λαμπάσι πυρὸς τὰς πλευρὰς καίονται, θηρίοις ἐκδίδονται, σούβλας πεπυρωμένας διὰ τῶν μεσοδακτύλων τῶν χειρῶν δέχονται, ἑτέρας σούβλας ἀπὸ τῶν μασχαλῶν ἕως τῶν ὤμων σπινθῆρας πυρὸς ἀποπεμπούσας[9] ἐμπείρονται, ξύλοις ἀγρίοις τύπτονται, σάκκοις βληθέντες χαλίκων[10] πεπληρωμένοις[11] τοῦ ὄρους τῆς κορυφῆς μέχρι[12] θαλάσσης ἐκκυλίονται[13], σίδηρα πλατέα πυρωθέντα ταῖς μασχάλαις δέχονται, κασσίδας πυρωθείσας κατὰ τῆς κεφαλῆς ἐπιδέχονται[14], ἐν ἀσβέστῳ βληθέντες δυσὶν ἡμέραις προσεκαρτέρησαν, λώρους τῆς δορᾶς τοῦ σώματος τῶν ὤμων ἀποσύρονται, βάκλοις αὖθις τύπτονται, ἐπὶ κραββάτων σιδηρῶν πυρωθέντων ἀνακλίνονται, εἰς κάμινον πυρὸς ἐπὶ νυχθημέριῳ ἐμβάλλονται, κατὰ τῶν ψυῶν σφοδρῶς ξέονται, ὀβελίσκοις ὀξέσι κατὰ γῆς ἐμπαγεῖσιν[15] ἄνω τὰς εὐθείας ἔχουσιν ἐπακοντίζονται, οἳ δεινῶς αὐτοὺς κατεκέντιζον καὶ κατέτρωσαν. Μόλιβδον λυθέντα κατὰ κεφαλῆς μόνος ὁ ἅγιος Ἀγαθάγγελος ἐπιχέεται, λίθους μυλίτας τοῖς τραχήλοις[16] ἐξαρτῶνται καὶ διὰ τῆς πόλεως ἑλκόμενοι λίθοις βάλλονται. Ἰδίως πάλιν ὁ ἅγιος Κλήμης περόνας σιδηρᾶς πεπυρωμένας εἰς τὰς ἀκοὰς δέχεται, λαμπάσι πυρὸς αὖθις προσομιλεῖ, λίθῳ μεγάλῳ προσδεθεὶς βάκλοις κατὰ τοῦ προσώπου καὶ τῆς κεφαλῆς τύπτεται, καὶ ἐφ' ἑκάστης ἡμέρας ἑκατὸν πεντήκοντα πληγὰς λαμβάνων ἐγκαρτερεῖ. Τὸ δὲ τελευταῖον καρατομεῖται ἐν Ἀγκύρᾳ τῆς Γαλατίας, ὡσαύτως καὶ ὁ ἅγιος Ἀγαθάγγελος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ[17] αὐτῶν μαρτυρείῳ[18], τῷ ὄντι πέραν ἐν τοῖς Εὐδοξίου.

Ian. 23. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐσεβίου. Ὃς ἦν ἐν οἰκήματι σμικρῷ λίαν οὐδὲ φωταγωγοὺς ἔχοντι ἐγκεκλεισμένος, πᾶσαν σκληραγωγίαν μετερχόμενος. Ὕστερον δὲ ὑπό τινος Ἀμμιανοῦ καλουμένου πολλὰ παρακληθεὶς παρεγένετο ἔν τινι μοναστηρίῳ, τῶν ἐν αὐτῷ ἀγωνιζομένων τὴν προστασίαν δεξάμενος, ἐν πραότητι καὶ ταπεινοφροσύνῃ καὶ πάσῃ κακουχίᾳ σαρκὸς βιοτεύων. Διὰ τριῶν γὰρ[1] ἢ[2] τεσσάρων ἡμερῶν τροφῆς μετελάμβανε. Ἀλλὰ καὶ ἑαυτὸν ζώνῃ σιδηρᾷ συγκατέδησε[3] καὶ κλοιὸν τῷ ἑαυτοῦ αὐχένι ἐπέθηκε βαρύτατον. Συγκεκυφότα δέ ποτε τῷ βάρει τοῦ κλοιοῦ | τις θεασάμενος ἐπεμέμψατο αὐτῷ· ὃς f. 142v.

— [7] μαχαίρα Sa. — [8] κατατύπτεται Sa. — [9] ἑτέραις σούβλαις ... ἀποπεμπούσαις Sa. — [10] κακλήκων Sa. — [11] ἐκ *add.* Sa. — [12] τῆς *add.* Sa. — [13] ἐγκυλίονται Sa. — [14] (κασίδας - ἐπιδέχονται) *corr. in marg.* Sa. — [15] ἐμπαρείσιν Sa. — [16] μυλίτοις τοὺς τραχήλους Sa. — [17] *om.* Sa. — [18] μαρτυρείῳ αὐτῶν Sa.

2. — [1] *om.* Sa. — [2] καί *add.* Sa. — [3] συγκατέδυσε Sa.

τιανοῦ τοῦ βικαρίου καὶ τιμωρεῖται ἰσχυρῶς. Εἶτα παραπέμπεται ἀπὸ Ἀγκύρας εἰς Ῥώμην Διοκλητιανῷ καὶ βασανίζεται διαφόρως· ἔπειτα ἀποστέλλεται Μαξιμιανῷ μετὰ καὶ γραμμάτων εἰς Νικομήδειαν· ὑφ' οὗ παραδίδοται Ἀγριππίνῳ καὶ τιμωρεῖται ἀνηλεῶς· εἶτα παραπέμπεται παρὰ Μαξιμιανοῦ εἰς ἐξέτασιν Κουρικίῳ τῷ ἡγεμόνι Ἀγκύρας καὶ κολάζεται ὠμῶς καὶ ἀπανθρώπως. Εἶτα πάλιν προστάξει Μαξιμιανοῦ πέμπεται εἰς Ἀμισὸν πρὸς Δομέτιον τὸν βικάριον· καὶ πάλιν βασανισθεὶς παραπέμπεται εἰς Ταρσόν, ἐκεῖσε τοῦ Μαξιμιανοῦ τυγχάνοντος. Καὶ τιμωρησάμενος αὐτὸν ἐκδίδωσι πάλιν Σακερδῶνι[1] ὠμῷ ὄντι καὶ περιβοήτῳ εἰς τὸ ἐπινοεῖν κολαστήρια· καὶ παραδόξως τιμωρησάμενος αὐτόν, οὐκ ἔπεισεν ἀρνήσασθαι τὸν Χριστόν. Ὅθεν γελάσας ὁ Μαξιμιανὸς καὶ εἰπὼν ὅτι· « Οὗτός ἐστιν Σακέρδων ὁ περιβόητος » ἐν βασάνοις, » ἐκδίδωσι Μαξίμῳ τῷ ἄρχοντι. Καὶ ἡττηθέντος αὐτοῦ, παραλαμβάνει αὐτὸν Ἀφροδίσιος[2]· κἀκείνου νικηθέντος, παραπέμπεται Λουκίῳ τῷ ἡγεμόνι Ἀγκύρας· καὶ λειτουργῶν ἐν τῇ ἑορτῇ τῶν ἁγίων Θεοφανίων ἐν τῇ φυλακῇ, ἀναιρεῖται παρὰ Ἀλεξάνδρου ἄρχοντος ἅμα Χριστοφόρῳ καὶ Χαρίτωνι τοῖς διακόνοις, πεσούσης τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς ἁγίας τραπέζης. Διήνυσε τὸ μαρτύριον ἐν ὅλοις ἔτεσιν εἰκοσιοκτώ. — Ἀγαθαγγέλου καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων ἀνδρῶν τε καὶ γυναικῶν καὶ τοῦ ἁγίου Κλήμεντος. Ὄντος τοῦ ἁγίου Κλήμεντος ἐν Ῥώμῃ ἐν τῇ φυλακῇ, καὶ πολλῶν ἄλλων τυγχανόντων ἀποκλεισμένων, ἐξ ὧν ἦν καὶ ὁ ἅγιος Ἀγαθάγγελος, εἶδον ἄγγελον ἐλθόντα καὶ ἐπιδόντα τῷ ἁγίῳ Κλήμεντι ἄρτον καὶ οἶνον καὶ ὑποχωρήσαντα· οἵτινες καὶ ἐπίστευσαν τῷ Χριστῷ καὶ ἐβαπτίσθησαν καὶ μετέλαβον ἐκ τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ ἄρτου καὶ τοῦ οἴνου παρὰ τοῦ ἁγίου Κλήμεντος. Καὶ γνοὺς τοῦτο ὁ Διοκλητιανὸς ἐκέλευσε πάντας ἀποκεφαλισθῆναι, ἑνὸς μόνου ὑπολειφθέντος, τοῦ ἁγίου Ἀγαθαγγέλου. Ὅστις καὶ μέλλοντος τοῦ ἁγίου Κλήμεντος εἰς πλοῖον ἐμβληθῆναι καὶ ἀπελθεῖν εἰς Νικομήδειαν[3] μετὰ τῶν παραλαβόντων στρατιωτῶν, προλαβὼν περιέμενεν αὐτὸν εἰς τὸ πλοῖον. Ὃν καὶ ἰδὼν ὁ ἅγιος ἐχάρη καὶ ἀγαθοῦ ἀγγέλου παρουσίαν ἐνόμισε. Καὶ ἔκτοτε συνῆν αὐτῷ καὶ συνήθλει, μέχρις οὗ ἔφθασεν εἰς Ἀγκύραν πρὸς Λούκιον τὸν ἡγεμόνα. Ἐν ᾗ πρότερον ἀπεκεφαλίσθησαν τὰ ὑπ' αὐτοῦ τοῦ ἁγίου Κλήμεντος διδαχθέντα παιδία προστάξει Μαξιμιανοῦ ἐν τῷ λεγομένῳ Κάμπῳ· καὶ ἐτάφησαν παρὰ τῆς πιστῆς Σοφίας. Εἶτα εἰς φυλακὴν ἐνεβλήθησαν ὅ τε Κλήμης καὶ ὁ Ἀγαθάγγελος· καὶ περόνας κατὰ τῆς ἀκοῆς δεξάμενος ἐτμήθη τὴν κεφαλὴν ἐν τόπῳ λεγομένῳ Κρυπτῷ· καὶ κατετέθη ἐν τῇ ἀναβάθρᾳ τῆς ἐκκλησίας αὐτῆς παρὰ τῆς πιστῆς Σοφίας. — **M** : 1, des. : σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πέραν ἐν τοῖς Εὐδοξίου ἐπέκεινα Ἀνάπλου, καὶ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης τῆς παλαιᾶς καὶ νέας. — 2. — Μαϋσιμᾶ τοῦ Σύρου (Febr. 13[2]). — Σαλαμάνου τοῦ ἡσυχαστοῦ (Febr. 17[6]). — Οἱ ἅγιοι δύο μάρτυρες οἱ ἐν τῷ Παρίῳ λάκκῳ ἐμβληθέντες τ. —

[1] Σακερδωνίῳ Cd, *infra* Σακέρδων, Σακερδῶτι *in Actis*, P.G., *t. CXIV, p. 876.* — [2] Ἀφροδήσιος Cd. — [3] Νικομηδίαν Cd.

Ian. 23. ἔφη πρὸς τὰ τοῦ πονηροῦ αὐτὸν δαίμονος τεχνάζειν μηχανήματα· «Ἐπειδὴ γὰρ περὶ μεγάλων » πολεμῶ[4], ἵνα ἐκεῖνα διαφύγω, εἰς τὰ μικρὰ ταῦτα » περιέστησα τὸν πόλεμον, ἔνθα καὶ νικήσας οὐ » μεγάλως βλάπτει καὶ ἡττηθεὶς καταγέλαστος » γίνεται, ἅτε δὴ μηδὲ ἐν τούτοις τοῖς μικροῖς » δυνηθείς.» Οὕτως οὖν θεαρέστως βιώσας ἐν εἰρήνῃ ἐκοιμήθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Ian. 24. **1.** Μνήμη τῆς ὁσίας[1] Εὐσεβείας τῆς μετονομασθείσης Ξένης. Αὕτη γέγονεν ἐκ τῆς μεγαλοδόξου πόλεως Ῥώμης, γένους ἐντίμου καὶ ζηλωτοῦ. Τῶν οὖν γεννητόρων αὐτῆς γάμῳ ταύτην ἐκδοῦναι βουλομένων καὶ τῶν κατὰ τὸν γάμον πάντων εὐτρεπισθέντων, ἐξ αὐτῆς τῆς παστάδος μεθ' ἑτέρων δύο γυναικῶν παιδισκῶν ἀποφυγοῦσα καὶ διὰ θαλάσσης[2] τὴν πορείαν ποιησαμένη, ἄλλους ἐπ' ἄλλοις ἀμείψασα τόπους, τὴν πόλιν[3] τῶν Μυλασσῶν κατέλαβε, μᾶλλον δὲ παρὰ τοῦ μοναχοῦ καὶ[4] θεσπεσίου[5] Παύλου, ὃς αὐτῇ[6] θεόθεν ἐν Ἀλεξανδρείᾳ φανεὶς ὁδηγὸς γέγονε τῶν κρειττόνων, εἰς τὴν τοιαύτην πόλιν κατέστη· μικρὸν εὐκτήριον ἐπ' ὀνόματι τοῦ ἁγίου καὶ ἐνδόξου πρωτομάρτυρος πηξαμένη Στεφάνου, ἅμα ταῖς δυσὶ θεραπαινίσι καί τινων ὀλίγων παρθένων συνελθουσῶν, πολλὴν ἄσκησιν ἀρετῆς ἐπεδείξατο, διὰ πάσης καρτερίας καὶ ἀποχῆς τῶν κατ' αἴσθησιν ἡδονῶν εἰς τὴν οὐράνιον ἑαυτὴν ἀνάγουσα[7] πολιτείαν. Καλῶς οὖν διελθοῦσα τὸν βίον, μετὰ τὴν ὁσίαν ἐκείνην καὶ μακαρίαν τελευτὴν[8] ἄνωθεν ἔσχε τὴν μαρτυρίαν. Καὶ[9] γὰρ μεσούσης ἡμέρας[10] ἡλίου τὰ κατὰ γῆν φωτίζοντος, δι' ἀστέρων ὤφθη σταυρός, ὃν συνέκλειε καὶ εἰς τὸ μέσον συνεῖχεν[11] ἑτέρων ἀστέρων χορός, ὡς δοκεῖν αὐτὸν στέφανον εἶναι τῆς μακαρίας Εὐσεβείας, τῆς μακρᾶς νηστείας καὶ χαμευνίας καὶ ἀγρυπνίας καὶ ἀφθορίας πρὸς Θεοῦ ἀντιδοθέντα. Καὶ τοῦτο δῆλον, ὅτι τῇ τοῦ λειψάνου ταύτης ὑπὸ γῆν ἀποθέσει οὐκέτι θεατὸς ὁ τῶν ἀστέρων ἐγένετο κύκλος. Ἐγνώσθη[12] δὲ τὰ κατὰ τὴν ὁσίαν, μιᾶς τῶν θεραπαινίδων ἐν τῷ μέλλειν τελευτᾶν διηγησαμένης τὴν τῆς μακαρίας πατρίδα καὶ τὸ τοῦ γένους ἐπίσημον καὶ τὴν ἐκ γενέσεως προσηγορίαν καὶ ὅτι λαθεῖν σπουδάζουσα Ξένην ὠνόμασεν ἑαυτὴν Εὐσέβεια πρότερον ὀνομαζομένη.

f. 143. **2.** | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Παύλου, Παυσηρίου καὶ Θεοδοτίωνος. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων καὶ Ἀριανοῦ[1] ἡγεμόνος ἐν τῇ[2] Κλεοπάτριδι, ὄντες ἀδελφοὶ κατὰ σάρκα, ἐκ νεαρᾶς ἡλικίας τὸ[3] τῶν μοναχῶν σχῆμα περιβαλλόμενοι. Ὅτε δὲ κατεσχέθησαν, ὁ μὲν Παῦλος ὑπῆρχε χρόνων ἑπτὰ καὶ τριάκοντα, ὁ δὲ Παυσήριος πέντε καὶ

— [4] πολεμεῖ Sa.

1. — [1] μητρὸς ἡμῶν *add.* Sa. — [2] θαλάττης Sa. — [3] τὴν *add.* Sa. — [4] μοναχοῦ καὶ *om.* Sa. — [5] θεσπίου Sa. — [6] τῇ *add.* S. — [7] ἀνάγουσαν Sa. — [8] αὐτῆς *add.* Sa. — [9] *om.* Sa. — [10] ἡμέρας γὰρ μεσούσης καὶ Sa. — [11] εἶχεν Sa. — [12] ἐπεγνώσθη Sa.

2. — [1] Ἀροιανοῦ Sa. — [2] *om.* Sa. — [3] *supra lin.* Sa.

Ian. 23. Τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου τῆς καθελούσης τοὺς λέγοντας ἓν θέλημα ἔχειν τὸν Χριστὸν καὶ μετὰ σάρκωσιν· ἐγένετο δὲ αὐτὴ ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου τοῦ πατρὸς Ἰουστίνου τοῦ Ῥινοτμήτου. — **Mv** : 1. 2. — Μαϋσιμᾶ. — Σαλαμάνου. — Οἱ ἅγιοι δύο μάρτυρες. — Ἕκτης συνόδου. — **Mr** : 1.

Ian. 24. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. — Θεοδούλης (Ian. 18³). — **H** : 2. — Θεοδούλης. — 3. — **P** : 2. — Ἑρμογένους καὶ Φιλήμονος ἐπισκόπου Καρπάθου καὶ τῶν ἁγίων μαρτύρων γυναικῶν Χρυσοπλόκης καὶ Θεοδούλης. — **Da** : 1. 2. — Θεοδούλης. — **Db** : 1. 2. — Θεοδούλης. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 2. — **Ba** : 1 (= S). 2 (= S). — Θεοδούλης. — **Bb** : deest. — **C** : 1. — Θεοδούλης. — **Cb** : 2. 1. — **Cc** : 2. — Θεοδούλης. — **Cd** : 2. — Θεοδούλης. — **M** : 1. 2. — Βαβύλα τοῦ ἐν Σικελίᾳ καὶ Τιμοθέου καὶ Ἀγαπίου, τῶν μαθητῶν αὐτοῦ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν[1] Βαβύλας εὐγενὴς ὤν, κατὰ τὸν μέγαν Ἰὼβ ἐκ τῶν ἀφ' ἡλίου ἀνατολῶν γεννᾶται, ἐξ εὐγενῶν καὶ φιλοθέων γεννητόρων, ἐν τῇ ἐπισήμῳ Θεουπόλει. Καὶ παιδευθεὶς ἐν αὐτῇ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου καὶ τὰ ἱερὰ γράμματα, τὰ[2] εἰς Θεὸν τάχιον ἀναφέροντα, ἐπιμελῶς κατατρίψας καὶ ἐκ νεαρᾶς ἡλικίας ποθήσας τὸν Χριστόν, ἐμίσησε τὸν κόσμον. Καὶ τάχιον τῶν γονέων ἐκτμηθεὶς[3] διεσκόρπισε τὸν πλοῦτον εἰς πτωχοὺς καὶ χήρας[4] καὶ ὀρφανούς. Καὶ ἀποτινάξας ἑαυτὸν πάσης βιωτικῆς ἰλύος, ἀνελθὼν πρὸς τὸ ὄρος ἡσύχαζεν, ἔχων μεθ' ἑαυτοῦ καὶ τοὺς δύο μαθητὰς αὐτοῦ Ἀγάπιον καὶ Τιμόθεον. Γενόμενος δὲ καὶ ἱερεὺς ἀξίως τὸ τῆς ἱερωσύνης ἀξίωμα ἐτίμησε. Ἐπεὶ δὲ οἱ[5] ἀπειθεῖς[6] καὶ αἱμοβόροι ἕλληνες ἔσπευδον καταπροδοῦναι τοῦτον τοῖς ἄρχουσιν, ἀφεὶς τὴν Ῥώμην κατέλαβε τὴν Σικελίαν σὺν τοῖς δυσὶ μαθηταῖς αὐτοῦ. Καὶ χρονοτριβήσας ἐκεῖσε, πολλοὺς τῇ ἐνοικούσῃ αὐτῷ χάριτι κατεφώτισεν εἰς θεογνωσίαν μεταβιβάσας. Ἀλλ' ἐπεὶ πόλις οὐ δύναται κρυβῆναι ἐπάνω ὄρους κειμένη, ὡς γέγραπται, οὐδὲ αὐτὸς διέλαθε τὸν ἐκεῖσε ἄρχοντα. Διὸ καὶ κρατήσας αὐτὸν σὺν τοῖς δυσὶ μαθηταῖς αὐτοῦ, ὡς εἶδε μετὰ παρρησίας ὁμολογήσαντα τὸν Χριστὸν Θεὸν ἀληθινόν, πρῶτον μὲν ἔτυψε, μάστιγας διαφόρους ἐπιθεὶς αὐτοῖς[7], καταπορφυρώσας τὰ σώματα αὐτῶν· ἔπειτα δὲ κατὰ πόλιν περιάγων αὐτούς, ποικιλοτρόπως καὶ ἀπανθρώπως ᾔκιζε, πῇ μὲν τὰς τῆς Σικελίας πόλεις ἐκφοβῶν δι' αὐτῶν, πῇ δὲ ἴδιον πάθος ἐκπληρῶν ἐκ τῆς τιμωρίας[8] αὐτῶν. Οἱ δὲ ἅγιοι μάρτυρες ἐνισχύοντο εἰς τὰ

[1] οὗτος ὁ ἅγιος μάρτυς Mv. — [2] *om.* Mv. — [3] ἀπορραγεὶς Mv. — [4] χεῖρας M. — [5] *om.* Mv. — [6] ἀπαθεῖς Mv. — [7] καὶ *add.* Mv. — [8] διὰ τῆς μαρτυρίας Mv.

εἴκοσιν. Μαθὼν δὲ τὴν κατάσχεσιν αὐτῶν, Θεοδοτίων ὁ αὐτῶν ἀδελφὸς καταλιπὼν[4] τὰς ἐν τοῖς ὄρεσι μετὰ τῶν ληστῶν διατριβάς, ἦν γὰρ τοῖς τρόποις αὐτῶν κοινωνῶν, ἦλθε θεάσασθαί τε ἅμα καὶ αὐτοὺς ἀσπάσασθαι. Καὶ ἰδὼν ἀνακρινομένους αὐτούς, προσεγγίσαι μὲν οὐκ ἐτόλμησε. Ἔν τινι δὲ γενόμενος τόπῳ, καθ' ἑαυτὸν ἐλογίζετο τὸ ποίας ἄρα τεύξονται κληρουχίας οἱ ἀδελφοί· καὶ διαθερμανθεὶς ὑπέστρεψεν καὶ ὡμολόγησεν ἑαυτὸν χριστιανὸν[5] ἐνώπιον τοῦ ἡγεμόνος Ἀριανοῦ[6] τοῦ τυράννου[7]· καὶ ἐπιπηδήσας κατέβαλλεν αὐτὸν ἀπὸ[8] τοῦ θρόνου. Εὐθέως οὖν ἥλοις πυρωθεῖσιν διελαύνεται κατὰ τῶν πλευρῶν καὶ κατὰ τῆς γαστρός· καὶ τοῦ βίου δέχεται πέρας ξίφει τὴν κεφαλὴν ἐκτμηθείς[9]. Παῦλος δὲ καὶ Παυσήριος βληθέντες ἐν τῷ ποταμῷ διήνυσαν τὸ μαρτύριον. Ian. 24

3. Καὶ[1] μνήμη τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ, πλησίον τοῦ Ταύρου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κωνσταντινουπόλεως[1] Γρηγορίου τοῦ θεολόγου. Οὗτος ὁ τρισμακάριος καὶ μέγας Γρηγόριος ὁ θεολόγος[2] ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου καὶ Οὐάλεντος. Ὧ[3] πατρὶς μὲν ἦν ἡ δευτέρα τῶν Καππαδοκῶν ἤγουν ἡ ἐπίγειος, οὐράνιος δὲ ἡ ἄνω Ἱερουσαλήμ· πατέρες δὲ αὐτῷ εὐπατρίδαι τε καὶ δίκαιοι, Γρηγόριος καὶ Νόννα, οἳ τὰ εἴδωλα πρότερον δι' ἄγνοιαν ἐσέβοντο. Γεννήσαντες δὲ τὸν ἅγιον Γρηγόριον, ὑπὸ τοῦ ἁγίου Πνεύματος[4] δι' ὕδατος καὶ πνεύματος ἀνεγεννήθησαν, καὶ γνήσιος μύστης καὶ ἀρχιερεὺς Ναζιανζοῦ ὁ πατὴρ τοῦ ἁγίου καθίσταται. Ἀναχθεὶς δὲ ὁ μέγας Γρηγόριος καὶ εἰς μέτρον ἡλικίας ἰὼν καὶ πᾶσαν τὴν ἐγκύκλιον παίδευσιν, ὡς οὐχ ἕτερος, μετελθὼν ἐξηγητὴς καὶ διδάσκαλος τοῦ κατ' αὐτὸν γεγένηται βίου. Ἐν οἷς τὸν μέγαν[5] Βασίλειον καὶ Γρηγόριον τὸν πατέρα καὶ τὸν ἀδελφὸν Καισάριον καὶ Γοργονίαν τὴν ἀδελφὴν λόγοις ἐπιταφίοις τιμᾷ· ὅθεν οἱ περὶ αὐτοῦ τι συγγράψαντες οὐκ ἄλλοθεν, ἀλλ' ἐκ τῶν αὐτοῦ λόγων Ian. 25.
ἔλαβον ὧν[6] εἶπον τὰς ἀφορμάς. | Τοσοῦτον οὖν f. 143ᵛ.
μόνον εἰπεῖν ἀναγκαῖον[7], ὅτι, εἰ ἔδει γενέσθαι ἐν ἀνθρώποις εἰκόνα τινὰ καὶ στήλην κατὰ μέρος ἐκ πασῶν συγκειμένην τῶν ἀρετῶν, τοῦτο ἦν ὁ μέγας Γρηγόριος. Βίου γὰρ λαμπρότητι[8] τοὺς κατὰ πρᾶξιν εὐδοκίμους ὑπερβαλὼν[9] ἐπὶ τοσοῦτον εἰς[10] θεωρίαν[11] προήχθη, ὡς πάντας ἡττᾶσθαι τῆς σοφίας αὐτοῦ τῆς τε ἐν λόγοις τῆς τε ἐν δόγμασι· ὅθεν καὶ τὴν θεολόγος προσηγορίαν ἐκτήσατο. Μετετέθη δὲ τὸ ἅγιον αὐτοῦ λείψανον ἐκ Καππαδοκίας ἐπὶ τὴν Κωνσταντινούπολιν παρὰ Κωνσταντίνου τοῦ φιλοχρίστου βασιλέως τοῦ πορφυρογεννήτου, καὶ κατετέθη ἐν τῷ ναῷ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, ἔνθα καὶ ἡ σύναξις αὐτοῦ ἐπιτελεῖται. Οὗτος ὁ ἅγιος πατριαρχεῖον ὁρίζει[12] εἶναι τὴν ἐκκλησίαν Κωνσταντινουπόλεως, ἧς καὶ προέστη ἔτη δώδεκα μέχρι τῆς δευτέρας συνόδου, καὶ δευτέραν εἶναι τῆς πρεσβυτέρας Ῥώμης ταύτην διεκελεύσατο. Ἦν δὲ κατὰ τὸν

— [4] καταλοιπὸν S. — [5] ἑαυτὸν χριστιανὸν *om.* Sa. — [6] Ἀρριανοῦ S, *om.* Sa. — [7] τοῦ τυράννου *om.* Sa. — [8] ἐπὶ Sa. — [9] τμηθεὶς Sa.

3. — [1] τῇ αὐτῇ ἡμέρα Sa.

1. — [1] ἀρχιεπισκόπου Κπόλεως *om.* Sa. — [2] θεολόγος Γρηγόριος Sa. — [3] τούτω Sa. — [4] πατρὸς τοῦδε Sa. — [5] μέγα S. — [6] ὧ Sa. — [7] ἀναγκαῖος Sa. — [8] Sa, λαμπρότητα S. — [9] ὑπὲρ βαλλὼν S. — [10] *om.* Sa. — [11] θεωρίας Sa. — [12] ὁρίζει πατριαρχεῖον Sa.

Ian. 24. αἰώνια ἀποβλέποντες ἀγαθά. Τῇ δὲ ὑστεραίᾳ κατασφάξας αὐτοὺς τοῖς ξίφεσιν[9], εἰς πῦρ ἐναπέρριψεν. Οὐκ ἐλυμήνατο δὲ τοὺς ἀληθεῖς[10] στρατιώτας τὸ καθόλου τὸ πῦρ, ἀλλὰ σώους καὶ ἀσπίλους διεφύλαξεν· οὓς καὶ λαβόντες πιστοί τινες ἐν τῇ αὐτῇ νήσῳ τῆς Σικελίας ἀξίως ἐκήδευσαν. — Μακεδονίου. — Ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου (cf. Ian. 22²). — Τοῦ ἁγίου μάρτυρος Ἑρμογένους καὶ Μάμα. — Φίλωνος ἐπισκόπου γενομένου Καλπασίου. — Φιλίππου τοῦ πρεσβυτέρου. — Βάρσιμος σὺν τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ξ. τ. — Ἑλλάδιος κομενταρήσιος ξ. τ. — Ζωσιμᾶς ἐν εἰρήνῃ τ. — 3. — **Mv** : 1. 2. — Βαβύλα κτλ. — Μακεδονίου. — Ἡ ἀνακομιδὴ κτλ. — Ἑρμογένους καὶ Μηνᾶ. — Φίλωνος. — Φιλιππικοῦ πρεσβυτέρου. — Βαρσίμου κτλ. — Ἑλλάδιος. — Ζωσιμᾶς. — 3 (... πλησίον τοῦ Τάφου). — **Mr** : 1.

Ian. 25. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. add. : καὶ ἐν τῇ ἐκκλησίᾳ τῶν ἁγίων Ἀποστόλων τῶν μεγάλων, ἔνθα τὸ τίμιον αὐτοῦ λείψανον Κωνσταντῖνος ὁ φιλόχριστος καὶ πανευσεβὴς βασιλεὺς ἡμῶν κομίσας ἐξ Ἀριανζοῦ τῆς Καππαδοκῶν χώρας κατέθηκεν. — **P** : 1. — **Da** : 1. 2. — **Db** : 1. 2. — Ἀνακομιδὴ Θεοδώρου καὶ Ἰωσῆ. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. — **Ba** : 1 (= S). 2 (= S). — Ἡ ἀνάμνησις τοῦ μεγάλου καὶ παραδόξου σεισμοῦ (Ian. 26²). — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1 : Γρηγορίου τοῦ θεολόγου. Οὗτος γέγονεν ἐκ τῆς χώρας τῶν Καππαδοκῶν, πόλεως Ναζιανζοῦ, υἱὸς Γρηγορίου καὶ Νόννας, ἐπὶ τῆς βασιλείας Κωνσταντίου υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου· καὶ διήρκεσε μέχρι τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου. Οὗτος γεννηθεὶς ἐξ ἀποκαλύψεως καὶ αὐξηθείς, διὰ λόγων ἐπιθυμίαν καὶ γνώσεως πρῶτον μὲν παρεγένετο εἰς Καισάρειαν· καὶ μαθὼν ἱκανῶς ἀπῆλθεν εἰς Ἀλεξάνδρειαν, εἶτα πλέων ἐπὶ Ἀθήνας. Καὶ κλύδωνος μεγάλου γενομένου, ὑπέσχετο τῷ Θεῷ, εἰ διασωθείη, τοῦ βαπτισθῆναι· ὃ καὶ ἐποίησε. Μανθάνοντος δὲ αὐτοῦ παρεγένετο καὶ ὁ μέγας Βασίλειος· καὶ συνηγωνίζοντο ἀμφότεροι εἴς τε ἀρετὴν καὶ μαθήματα· εἶτα ὑπέστρεψαν εἰς τὴν οἰκείαν πατρίδα. Καὶ ὁ μὲν ἅγιος Βασίλειος γέγονεν ἐπίσκοπος Καισαρείας, ὁ δὲ θεολόγος ἐπίσκοπος

— [9] τοῖς ξίφεσιν κατασφάξας αὐτοὺς Mv. — [10] Χριστοῦ *add.* Mv.

IAN. 25. τύπον τοῦ σώματος τὴν ἡλικίαν μέτριος, ὕπωχρος βραχὺ μετὰ τοῦ χαρίεντος, σιμός, ἐπ' εὐθείας τὰς ὀφρῦς, ἥμερον βλέπων καὶ προσηνές, θάτερον τῶν ὀφθαλμῶν, ὃς ἦν δεξιός, στυγνότερος, ὃν καὶ οὐλὴ[13] κατὰ τὸν κανθὸν[14] συνῆγε, τὸν πώγωνα οὐ βαθύς, δασὺς δὲ ἱκανῶς, φαλακρός, λευκὸς ταῖς θριξί, τὰ ἄκρα τῆς γενειάδος[15] ὥσπερ κεκαπνισμένα ὑποφαίνων. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις καὶ ἐν τῇ ἁγιωτάτῃ[16] μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας Ἀναστασίας, ἐν τοῖς Δομνίνου ἐμβόλοις.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πουπλίου. Οὗτος ἐκ βουλευτικῆς συμμορίας ὡρμᾶτο, πόλεως Ζεύγματος, κειμένης παρὰ τῷ Εὐφράτῃ ποταμῷ· ὑψηλὸν δὲ ὄρος καταλαβὼν οὐ πλείοσι τριάκοντα σταδίοις ἀφεστηκὸς τῆς προειρημένης πόλεως, μικρὸν[1] κελλίον ᾠκοδόμησε. Πάντα δὲ ὅσα πατρόθεν ἐδέξατο πένησι διένειμε, ἐν πάσῃ ἀρετῇ καὶ ἀσκήσει βιοτεύων. Τῆς φήμης τοίνυν τῆς τούτου ἀρετῆς πανταχοῦ διαβοωμένης, παρεγένοντο πολλοὶ πρὸς αὐτὸν τῶν ἀγώνων αὐτῷ κοινωνήσαντες[2] τῶν ἀσκητικῶν. Οἷς καὶ κελλία μικρὰ οἰκοδομῆσαι κελεύσας, συχνῶς αὐτοὺς ἐπεσκέπτετο, μή τι πέρα[3] τῆς χρείας τῶν κελλίων[4] ἐναπόκειται. Ἀλλὰ γὰρ καὶ αὐτὸν τὸν ἄρτον ζυγοῖς ἐστάθμιζε, καὶ εἰ περιττόν | f. 144. τινι τοῦτον εὗρε, γαστρίμαργόν τε ἀπεκάλει καὶ εἰς κόρον φιλόσαρκον· εἰ δὲ καὶ πιτύρων[5] ἀποκεκριμένον[6] τὸ ἄλευρον ἐθεάσατο, ὡς συβαριτικῆς τρυφῆς τοῖς τοῦτο δεδρακόσιν ἀπολαύειν ἐλοιδορεῖτο. Καὶ νύκτωρ δὲ ἐξαπιναίως παρὰ τὴν ἑκάστου θύραν ἀφικνούμενος, εἰ μέν τινα εὗρε προσευχόμενον, σιγῇ πάλιν ὑπεχώρει· εἰ δέ τινα ὑπνοῦντα ᾔσθετο, τῇ χειρὶ τὴν θύραν πατάσσων πολλὰ τὸν ὑπνοῦντα τῇ γλώσσῃ ἔβαλλεν[7]· ὡς ἐκ τῆς τούτου συχνοτέρας[8] ἐπισκέψεως πολλοὶ εἰκόνες τινὲς ἔμπνοες, τὴν αὐτοῦ τοῦ ὁσίου ὅλην ἐναπομαξάμενοι ἀρετήν, γεγόνασι. Ὧν ἐστι Θεότεκνος καὶ Ἀφθόνιος, οἳ καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν τὴν τῶν ἀδελφῶν ἐπιμέλειαν καὶ προστασίαν ἐδέξαντο. Οὕτως οὖν ὁ θεῖος Πούπλιος καλῶς ἀγωνισάμενος, ἐν εἰρήνῃ τὴν ψυχὴν τῷ Θεῷ παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚϚ'.

IAN. 26. **1.** Μνήμη τοῦ ὁσίου Ξενοφῶντος καὶ τῆς συμβίου καὶ τῶν δύο τέκνων αὐτῶν Ἀρκαδίου καὶ Ἰωάννου[1]. Ὁ ὅσιος Ξενοφῶν ἦν συγκλητικὸς ἐν Κωνσταντινουπόλει πλουτῶν μὲν καὶ τὴν ἔξωθεν περιουσίαν, πλουτῶν δὲ ἔνδοθεν[2] τὴν κατὰ Θεὸν εὐσέβειαν. Ἀποστείλας δὲ τοὺς δύο υἱοὺς αὐτοῦ εἰς Βηρυτὸν[3] πόλιν μίαν τῶν κατὰ Φοινίκην ἐπὶ μελέτῃ καὶ μαθήσει νόμων, ἐπεὶ τῷ κατὰ θάλατταν ναυαγίῳ ἐχρήσαντο, ἐξῆλθεν ἅμα τῇ[4] γυναικὶ εἰς τὴν αὐτῶν ζήτησιν. Οὓς ἀνευρὼν ἐν Ἱεροσολύμοις τὸ μοναχικὸν σχῆμα ἠμφιεσμένους καὶ ἀκριβῶς ἀναγνωρίσας, γέροντός τινος σημειοφόρου προειπόντος αὐτοῖς τὰ ὀνόματα καὶ περὶ τῶν ἐν ἑκάστῳ συμβάντων ἀκριβῶς διδάξαντος καὶ τὸν γνωρισμὸν[5] μεσιτεύσαντος ἀμφοτέροις, ὑπέδυ καὶ αὐτὸς μετὰ τῆς γυναικὸς τὸν μονήρη βίον. Καὶ ἐπὶ τοσοῦτον προῆλθον[6] ἀρετῆς αὐτός τε καὶ ἡ γυνὴ καὶ οἱ παῖδες, ὡς καὶ θαύματα ἐκτελεῖν καθ' ἑκάστην. Πλὴν ἀλλ' ὁ μὲν Ἀρκάδιος καὶ Ἰωάννης[7] τῷ γέροντι τούτῳ μαθητευόμενοι[8] ἐν τῇ ἐρήμῳ ἐτελειώθησαν· ὁ δὲ μακάριος Ξενοφῶν καὶ ἡ αὐτοῦ σύμβιος ὑπὸ τοῦ αὐτοῦ μεγίστου γέροντος ἀποκαρέντες διεχωρίσθησαν. Καὶ ὁ μὲν ἐν τῇ πανερήμῳ ἤσκησεν, ἡ δὲ παρά τισι γυναιξὶ σεμναῖς καὶ παρθένοις· καὶ οὕτως ἀμφότεροι ἐτελειώθησαν μέχρι τέλους εὐαρεστήσαντες τῷ Θεῷ.

— [13] οὐλὴν Sa. — [14] καθὸν Sa. — [15] γ:νειάδας S. — [16] *om.* Sa.
2. — [1] δὲ *add.* S. Sa. — [2] κοινωνήσοντες Sa. — [3] πέρας Sa. — [4] τοῖς κελλίοις Sa. — [5] πιττύρων S. — [6] *corr. prius* ἀποκεκρυμένον S, ἀποκεκρυμμένον Sa. — [7] ἔβαλεν Sa. — [8] συγχνοτέρας S.
1. — [1] Ἰωάννου καὶ Ἀρκαδίου Sa. — [2] πλέον *add.* Sa. — [3] *corr. prius* Βηρυτὼν S. — [4] αὐτοῦ *add.* Sa. — [5] ἀναγνωρισμὸν Sa. — [6] Sa, προῆλθεν S. — [7] Ἰωάννης καὶ Ἀρκάδιος Sa. — [8] μαθητευόμενος Sa.

IAN. 25. Σασίμων[1]. Εἶτα τοῦ πατρὸς γηράσαντος, ἐδίδασκεν ἀντ' ἐκείνου εἰς Ναζιανζόν· εἶτα διὰ τὴν τῶν Ἀρειανῶν αἵρεσιν ἠναγκάσθη ἐλθεῖν εἰς τὸ Βυζάντιον. Καὶ εὑρὼν τὴν πόλιν ὅλην ἀρειανίζουσαν, πλὴν ἀνδρῶν ὀρθοδόξων δεκατεσσάρων, τοσοῦτον ἠγωνίσατο λογογραφῶν τὴν εὐσέβειαν, ὥστε καὶ πατριάρχης προχειρισθῆναι παρὰ τοῦ μεγάλου Θεοδοσίου. Ἐπεὶ δέ τινες τῶν ἐπισκόπων κατεγόγγυσαν αὐτοῦ διὰ φθόνον, μηδὲν μελλήσας συνταξάμενος καὶ καταλιπὼν τὴν πρόσκαιρον δόξαν, ἀπελθὼν ἐν ἰδίῳ κτήματι, Ἀριανζῷ λεγομένῳ, ἡσύχαζεν ἀρετῆς ἐπιμελούμενος, ἧς οὐδέποτε ἀφίστατο, καὶ λόγους θεολογίας συγγραφῶν, δι' ὧν καὶ τὴν θεολόγου προσηγορίαν ἐκτήσατο. Οὕτω δὲ διατελῶν ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν, ἐπανακομισθέντος τοῦ τιμίου αὐτοῦ λειψάνου καὶ τεθέντος ἐν τοῖς ἁγίοις Ἀποστόλοις παρὰ Κωνσταντίνου τοῦ ἀοιδίμου καὶ φιλοχρίστου βασιλέως τοῦ Πορφυρογεννήτου. Ἦν δὲ κατὰ τὸν τύπον κτλ. — **M** : 1. 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρη (Febr. 19[2]). — Μεδούλη μετὰ τῆς συνοδίας αὐτῆς π. τ. — Τοῦ ἁγίου προφήτου Ἡσαΐου πλησίον τοῦ ἁγίου Λαυρεντίου. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Δημητρίου. — Ἀπολλὼς ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Μάρου. — Μεδούλη. — Ἡσαΐου. — Δημητρίου τοῦ σκευοφύλακος. — Ἀπολλώς. — **Mr** : 1.

IAN. 26. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. 3. — **H** : 2. 1. — **P** : 1. — Τῶν ὁσίων πατέρων ἡμῶν Δομετίου καὶ Παφνουτίου. — 2 : τοῦ γενομένου σεισμοῦ ἐν τῷ Ἑξακιονίῳ. Ἕωθεν μέντοι συντρέχομεν ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου ... — **Da** : 1. 2. 3. — **Db** : 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 2. 1. — **Ba** : 1. 2 (= S). — **C** : 2. 1. — **Cb** : 2. 1. — **Cc** :

[1] Σασήμων Cd.

f. 144v. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν | τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, ἧς παρ' ἐλπίδα ἐρρύσατο ἡμᾶς ὁ Κύριος, γενομένου εἰς τὰ τελευταῖα τῆς βασιλείας τοῦ νέου Θεοδοσίου υἱοῦ Ἀρκαδίου καὶ Εὐδοξίας, μηνὶ ἰαννουαρίῳ εἰκοστῇ ἕκτῃ, ἡμέρᾳ κυριακῇ, ὥρᾳ δευτέρᾳ τῆς ἡμέρας· ἐν ᾗ κατέπεσον τὰ τείχη τῆς πόλεως καὶ μέρος πολὺ τῶν οἰκημάτων, κατεξαίρετον δὲ ἀπὸ τῶν Τρωαδισίων[1] ἐμβόλων ἕως τοῦ χαλκοῦ Τετραπύλου. Καὶ ἐπεκράτει ὁ σεισμὸς ἐπὶ μῆνας τρεῖς· ἔνθα ὁ βασιλεὺς λιτανεύων πανδημεὶ μετὰ δακρύων ἔλεγε· « Ῥῦσαι » ἡμᾶς, Κύριε, τῆς δικαίας σου ὀργῆς καὶ τῶν » παραπτωμάτων ἡμῶν διὰ τῆς μετανοίας· ἐσάλευσας γὰρ τὴν γῆν καὶ συνετάραξας διὰ τὰς » ἡμῶν ἁμαρτίας[2] τοῦ δοξάζειν σε τὸν μόνον » ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν. »

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεώνου τοῦ ἐπονομαζομένου παλαιοῦ. Οὗτος ὁ μακάριος Συμεώνης ἐκ παιδόθεν τὸν ἐρημικὸν ἠσπάσατο βίον· καὶ ἐν ἄντρῳ τινὶ βραχεῖ[1] διαιτώμενος, οὐδὲ μιᾶς ἀνθρωπίνης ἀναψυχῆς[2] ἀπήλαυε· μόνας γὰρ τὰς ἐδωδίμους τῶν βοτανῶν τροφὴν ἐποιεῖτο. Ἐκ τούτων τῶν πόνων τῶν ἀσκητικῶν πλείονα, καὶ τὴν ἄνωθεν ἐπεσπάσατο χάριν. Ποτὲ ἐπὶ τὸ Σίναιον ἐπεθύμησεν ὄρος γενέσθαι· καὶ ἔνδον τοῦ σπηλαίου, ἐν ᾧ ποτε Μωϋσῆς κατεκρύβη, γενόμενος καὶ ἑπτὰ ἡμέραις ἄσιτος προσκαρτερήσας, οὐ πρότερον ἀνέστη, ἕως οὗ θείας ἐπήκουσε φωνῆς κελευούσης ἀναστῆναι καὶ τὰ προτεθέντα αὐτῷ τρία μῆλα καταφαγεῖν. Ἐπεὶ δὲ ἀνέστη, πρηνὴς γὰρ κείμενος προσηύχετο, καὶ τὰ τρία μῆλα ἐκεῖνα εὑρὼν προθύμως κατέφαγε, ἐπανελθὼν ἀπὸ τοῦ ὄρους καὶ δύο οἰκοδομήσας μοναστήρια, τῆς ἐπιπόνου ζωῆς τὸ τέλος ἐδέξατο· καὶ πρὸς τὸν ἀγήρω καὶ ἄλυπον μετετάξατο βίον, παράδοξά τινα πρότερον ἐργασάμενος θαύματα. IAN. 26.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

1. Ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου[1] τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ Κομάνων τῆς Ἀρμενίας, ἐν τοῖς χρόνοις γενομένη Θεοδοσίου τοῦ μικροῦ, μετὰ τριάκοντα[2] τρεῖς χρόνους τῆς αὐτοῦ κοιμήσεως, ἐπὶ τοῦ ἐν ἁγίοις πατριάρχου Πρόκλου. Ἀνακομισθὲν γὰρ τὸ τίμιον αὐτοῦ λείψανον ἐν Κωνσταντινουπόλει καὶ[3] κατετέθη ὑπὸ τὸ θυσιαστήριον τῶν ἁγίων ἀποστόλων, ἔνθα καὶ ἡ σύναξις αὐτοῦ τελεῖται[4]. IAN. 27.

f. 145. **2.** | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Ἀνανίου πρεσβυτέρου καὶ Πέτρου κλειδοφύλακος καὶ ἑτέρων ἑπτὰ στρατιωτῶν, παθόντων ἐν Φοινίκῃ ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ τοῦ βασιλέως[1]. Πρὸς ὃν ὁ ἅγιος Ἀνανίας ἀχθεὶς καὶ τὸν Χριστὸν ὁμολογήσας καὶ τὰ εἴδωλα μυκτηρίσας, τύπτεται ῥάβδοις καὶ σούβλαις διαπύροις[2] τὸν νῶτον συγκαίεται· καὶ ὄξει καὶ ἅλατι τοῖς καταφλεχθεῖσιν ἐπιπάσσεται μέλεσι καὶ δι' εὐχῆς κατασείει τόν τε ναὸν καὶ τὰ εἴδωλα καὶ εἰς τὴν γῆν κατάγει. Εἶτα βληθεὶς ἐν τῇ φυλακῇ λαμβάνει θείαν τροφήν· ἔνθα τὸν δεσμοφύλακα

2. — [1] Τρωαδησίων S. — [2] ἁμαρτίας ἡμῶν Sa.
3. — [1] βραχυτάτω Sa. — [2] ἀναψυχῆς ἀνθρωπίνης Sa.
1. — [1] τοῦ τιμίου λειψάνου *om.* Sa. — [2] καὶ *add.* Sa. — [3] *om.* Sa. — [4] ἐπιτελεῖται Sa.
2. — [1] τοῦ βασιλέως *om.* Sa. — [2] πεπυρωμέναις Sa.

---

2. 1. — **Cd** : 2 (= S, add.: ἔκτοτε οὖν ἐπικρατήσαντος τοῦ ἔθους, ἑορτάζει ἡ ἁγία ἐκκλησία τὴν τούτου ἀνάμνησιν). — 1. — **M** : 1. 2. 3. — Ἀνανίου καὶ Πέτρου (Ian. 27[2]). — Ἀμμωνᾶς ἐν εἰρήνῃ τ. — Ὁ ὅσιος Γαβριὴλ ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι δύο μάρτυρες ἐν Φρυγίᾳ βάκλοις τυπτόμενοι τ. — **Mv** : 1. 2. 3. — Ἀνανίου καὶ Πέτρου. — Ἀμωνᾶς. — Γαβριήλ. — Δύο μάρτυρες. — **Mr** : 1. IAN. 26.

IAN. 27. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **Sb** : deest. — **H** : 1. 2. 4. — **P** : 2. 1. — Τῶν ἁγίων μαρτύρων Πολυχρονίου, Βαρδανίου καὶ Ἑρμογένους. — **Da** : 1 (= F). 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1 : Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Οὗτος ὁ μακάριος καὶ θεῖος ἱεράρχης διὰ τὸ καθαρὸν τοῦ βίου καὶ τοῦ μὴ ὑπερορᾶν τὸ δίκαιον μηδὲ αὐτοὺς βασιλεῖς ἀδικοῦντας ὑπερορίζεται. Καὶ πρῶτα μὲν εἰς Κουκουσὸν[1] πολίχνιόν τι σαπρόν, εἶτα εἰς Ἀραβισσόν, εἶτα εἰς Πιτυοῦντα, χωρία οὐ μόνον ἔρημα καὶ τῶν ἀναγκαίων ὄντα ἐπιδεῆ, ἀλλὰ καὶ ὑπὸ τῶν γειτονούντων Ἰσαύρων πολιορκούμενα. Ἐν τούτοις τοῖς τόποις γενόμενος καὶ πολλοὺς πρὸς θεογνωσίαν ἐπιστρέψας καὶ πάμπολλα θαύματα κατεργασάμενος, μεθίσταται τοῦ βίου, Πέτρου καὶ Ἰωάννου τῶν ἀποστόλων τῷ μεγάλῳ ἐπιστάντων Ἰωάννῃ καὶ τὴν πρὸς τὰ ποθούμενα ἐνδημίαν αὐτῷ ἐκκαλουμένων. Ἀλλὰ καὶ Βασιλίσκος καὶ Λουκιανὸς οἱ θεῖοι μάρτυρες ἐπιστάντες τὴν μεθ' ἑαυτῶν μετάθεσιν μηνύουσιν· καὶ κατατίθεται ἐν Κομάνοις. Ἐπεὶ δὲ τὰ τοῦ φθόνου νέφη διεσκέδαστο, Πρόκλου τὴν ἀρχιερωσύνην δεξαμένου καὶ Θεοδοσίου υἱοῦ Ἀρκαδίου τὴν βασιλείαν ὑποζωσαμένου, ἀνακομίζεται τὸ ὑπὲρ χρυσίον καὶ λίθων τιμίων πολὺ τιμιώτερον σῶμα τοῦ παμμάκαρος Ἰωάννου καὶ τοῖς ποθοῦσιν ἀποκαθίσταται. Μεθ' ὅσης τῆς ἡδονῆς ὅ τε βασιλεὺς καὶ ἡ ἱερὰ σύγκλητος καὶ τὸ περίλοιπον τοῦ πλήθους τὴν τούτου παρουσίαν ὑπεδέξαντο, μαρτυρεῖ καὶ ἡ διαπόντιος αὐτῶν ἀπαντὴ καὶ ἡ τῆς νυκτὸς ἐκείνης ὑμνῳδία καὶ λαμπροφορία καὶ ἡ λοιπὴ πνευματικὴ ἀγαλλίασις. Τῆς τιμίας τοίνυν σοροῦ εἰς τὸν ναὸν τῆς ἁγίας Εἰρήνης ἐνεχθείσης καὶ τοῦ ἁγίου σώματος ἐκείνου ἐπὶ τοῦ θρόνου τεθέντος, τὸ πλῆθος τοῦ ναοῦ ἐβόησεν·

[1] Κουκουσσῶν F.

IAN. 27. πρὸς τὴν εἰς Χριστὸν πίστιν μεθιστᾷ, μεθ' οὗ ἐπὶ τοῦ ἡγεμόνος Μαξίμου τὴν διὰ τῆς θαλάσσης ὑφίσταται τελευτὴν μετὰ καὶ ἑτέρων ἑπτὰ στρατιωτῶν. Οὓς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐφείλκυσαν, παραδόξως ἐκ χαλεπωτάτων πρώην ἄλλων διασωθέντες κολάσεων.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Κλαυδίου, Ἀστερίου, Νέωνος, τῶν αὐταδέλφων, καὶ Νεονίλλης. Οὗτοι οἱ ἅγιοι χώρας τῶν Ἰσαύρων πόλεως Λαρανδῶν[1] ὥρμηνται[2] ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ γνωριζόμενοι. Διαβληθέντες δὲ ὑπὸ τῆς αὐτῶν μητρυιᾶς, παρίστανται τῷ τῆς χώρας ἄρχοντι· καὶ ἐρωτηθέντες[3], ὁ μὲν Κλαύδιος ῥάβδοις τὸν νῶτον ξαίνεται, τὰς χεῖρας ὄπισθεν δεσμευθεὶς πρὸς ὕψος ἀναρτᾶται, πυρὶ τοὺς πόδας καὶ τὰ στέρνα καταφλέγεται, πλήκτροις[4] τῶν πλευρῶν τὸ δέρμα ἀποσύρεται, ὀστράκοις τραχέσι τὰς πλευρὰς[5] ἀνατρίβεται, παπύροις ἐλαίῳ ἀρδευθεῖσι καὶ ἀναφθεῖσι κατακαίεται καὶ τῇ εἱρκτῇ ἐναπορρίπτεται. Ὁ δὲ Ἀστέριος τοὺς ὀδόντας συνθλᾶται, ἐξ ἄκρων τῶν ὤμων δεσμεῖται καὶ ἐπὶ ξύλου ἀναρτηθεὶς ξέεται[6] σφοδρῶς τὰς πλευράς[5], τὰς κνήμας σχοινίοις λεπτοῖς περισφίγγεται, ἐξ ἄκρων ποδῶν ἀναρτᾶται, ἄνθραξι πυρὸς τοὺς πόδας κατακαίεται, νεύροις ὠμοῖς τὸν νῶτον κατακόπτεται καὶ τὴν γαστέρα, καὶ ἐν τῷ δεσμωτηρίῳ ἀπορρίπτεται. Ὁ δὲ Νέων ἐπ' ἀνθράκων πυρὸς ῥίπτεται καὶ ἐπ' αὐτοῖς ἱκανῶς συρεὶς καὶ καταφλεχθεὶς τῇ εἱρκτῇ κατακλείεται· τῇ δὲ ἑξῆς δεσμεῖται χεῖρας καὶ πόδας ὁ ἅγιος Κλαύδιος καὶ ἀναρτᾶται τῆς ἄντυγος καὶ δεινῶς χεῖρας καὶ πόδας ἐξαρθρωθεὶς τῇ εἱρκτῇ βάλλεται. Καὶ ὁ ἅγιος Ἀστέριος ὁμοίως ἐξαρθρωθεὶς καὶ πεπυρωμένοις ὀβελίσκοις τοὺς μη|ροὺς κατακαεὶς τῇ εἱρκτῇ ἐναπορρίπτεται. Ὁ δὲ ἅγιος Νέων νεύροις ὠμοῖς κατακοπεὶς τὴν ἀπόφασιν σὺν τοῖς συνάθλοις δέχεται. Οἳ ἔξω τειχῶν ἐνεχθέντες καὶ τὴν εὐχὴν πληρώσαντες, διὰ τῆς τομῆς καὶ τοῦ ξίφους πρὸς τὰ ποθούμενα βραβεῖα μετέστησαν. Προσαχθεῖσα δὲ καὶ ἡ γενναία Νεονίλλα, ἥτις ὑπῆρχε γένους βουλευτικοῦ πόλεως Παμφυλίας, χηρείαν ὑποστᾶσα ἐτῶν εἴκοσι τεσσάρων καὶ ἐρωτηθεῖσα καὶ τὸν Χριστὸν ὁμολογήσασα, ῥαπίσμασι τὰς σιαγόνας τύπτεται, εἰς τοὔδαφος ῥίπτεται λεπτοῖς ἱμᾶσι τοὺς πόδας σφίγγεται καὶ τείνεται καὶ ξέεται σφοδρῶς, τὰ πέλματα[7] τῶν ποδῶν ἐκκόπτεται[8], ἐξ ἄκρων τριχῶν δεσμεῖται καὶ ξύλῳ ἀναρτᾶται, ξυρῷ τὰς τρίχας περιαιρεῖται, ζώννυται τραχύτατον ῥάκος, ὑπτία ἁπλοῦται καὶ τείνεται, λώρους ἀποσπᾶται τοῦ σώματος, πυρὸς ἐπ' ἐδάφους ὑποστρωθέντος τὰ σπλάγχνα καὶ τὴν κοιλίαν καταφλέγεται· καὶ τελευταῖον σάκκῳ ἐμβληθεῖσα ὑπὸ[9] τὸν τῆς θαλάσσης βυθὸν ἀκοντίζεται, ἐν ᾧ καὶ τὸν ἀγῶνα τετέλεκε. f. 145v.

4. Καὶ[1] μνήμη τῆς εὐσεβοῦς[2] βασιλίσσης Μαρκιανῆς ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

3. — [1] Λαρενδῶν S. — [2] ὡρμῶντε S, (χώρας - ὥρμηνται) *om.* Sa. — [3] καὶ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσαντες *add.* Sa. —[4] πλήκτοις S. — [5] πληγάς Sa. — [6] ξαίνεται Sa. — [7] τέλματα Sa. — [8] ἐκκοπεῖσα Sa. — [9] ἐπὶ Sa.
4. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] εὐσεβεστάτης Sa.

IAN. 27. « Ἀπόλαβέ σου τὸν θρόνον, ἅγιε. » Ἔπειτα βασιλικῷ ὀχήματι ἡ τιμία σορὸς ἐποχουμένη πρὸς τὸν περιώνυμον φέρεται τῶν ἀποστόλων ναόν, ἔνθα δὴ καὶ καταλαβόντες ὁ μὲν ἅγιος εἰς τὴν ἱερὰν καθέδραν ἀνενεχθεὶς καὶ τῷ θείῳ θρόνῳ ἐνιδρυθεὶς καὶ μυστικῶς τὰ μεμυκότα χείλη κινήσας καὶ εἰρήνην ἐπειπὼν τῷ ποιμνίῳ τῇ ἑτοιμασθείσῃ σορῷ ἐναπετέθη, ἥτις καὶ ὑπὸ γῆν κέκρυπται κάτωθεν τῆς ἁγίας τραπέζης. Τῆς ἱερᾶς δὲ καὶ θείας μυσταγωγίας τελεσθείσης, θαυμάσια μεγάλα ἐτελοῦντο. Ἀνὴρ γάρ τις νόσῳ χαλεπωτάτῃ κατεχόμενος καὶ ὁ χρόνος αὐτῷ τῆς ἀρρωστίας πολὺς καὶ ἡ νόσος ἄρθρησις καὶ τὸ πάθος ἀκινησία καὶ σώματος ὅλου πάρεσις καὶ πᾶσαν ἰατρῶν ἀπέγνωστο θεραπεία. Οὗτος ἅμα τῷ ψαῦσαι τῆς σοροῦ καὶ τοῦ πάθους εὐθὺς ἀπολύεται καὶ τοιαύτην παρὰ νεκροῦ σώματος δέχεται χάριν, ὡς καὶ κινεῖσθαι καὶ ἐργάζεσθαι καὶ τελείαν ἀπολαβεῖν τὴν ὑγίειαν καὶ εὐχαριστεῖν τῷ Θεῷ τῷ ἁγίῳ. Οὕτως οἶδεν Θεὸς τοὺς δοξάζοντας αὐτὸν ἀντιδοξάζειν. — 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 2. 1. — **Ba** : 1 (= F). 2 (= S). 3 (= S). — **C** : 2. 1. — Συμεὼν τοῦ λεγομένου παλαιοῦ (Ian. 26[3]). — **Cb** : 1. — **Cc** : 2. 1. — Συμεών. — **Cd** : 2 : Ἀνανίου πρεσβυτέρου, Πέτρου κλειδοφύλακος καὶ ἑτέρων ἑπτὰ στρατιωτῶν, παθόντων ἐν τόπῳ λεγομένῳ Φοινίκῃ[2]. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Μαξιμιανοῦ ἡγεμόνος. Ὧ καὶ παραστὰς ὁ ἅγιος Ἀνανίας ὡμολόγησεν ἑαυτὸν χριστιανὸν εἶναι. Καὶ ἐκδυθεὶς εἰσήχθη εἰς τὸν ναὸν τῶν εἰδώλων τοῦ προσκυνῆσαι αὐτά· εἶτα στηλιτεύει αὐτὰ καὶ τύπτεται ῥάβδοις καὶ καίεται σούβλαις τὰ ψύα καὶ ὄξει καὶ ἅλατι καὶ τριχίνοις ὑφάσμασι κατατρίβεται καὶ προσεύχεται· καὶ ἔπεσεν ὅ τε ναὸς καὶ τὰ εἴδωλα. Εἶτα ἐμβάλλεται ἐν φρουρᾷ, διαμένει ἄτροφος ἐπὶ ἑπτὰ ἡμέρας καὶ τρέφεται παρὰ Θεοῦ τροφῇ οὐρανίῳ. Ὃ καὶ ἰδὼν Πέτρος ὁ κλειδοφύλαξ προσέπεσεν αὐτῷ καὶ βαπτίζεται. Μεταστάντος δὲ τοῦ ἡγεμόνος, ἦλθεν ἕτερος ἡγεμὼν Μαξιμῖνος ὀνόματι· καὶ ἐξετάσας τοὺς ἁγίους δεσμεῖ ἐπὶ τροχοῦ καὶ τιμωρεῖ· εἶτα ἐπιτίθησιν ἐπὶ ἐσχάρας, καὶ εὐχομένων αὐτῶν ἐψυχράνθη τὸ πῦρ, ἀγγέλων παρισταμένων αὐτοῖς[3]. Ὃν καὶ ἰδόντες οἱ τιμωροῦντες τοὺς ἁγίους ἑπτὰ στρατιῶται[4] ἐπίστευσαν τῷ Χριστῷ καὶ βαπτίζονται παρὰ τοῦ ἁγίου Ἀνανίου. Καὶ οὕτω μετ' αὐτοῦ τε καὶ τοῦ Πέτρου λίθοις δεθέντες καὶ θαλάσσῃ ἐμβληθέντες πέρας τοῦ βίου δέχονται. — 1. — **M** : 1. — Sequitur : Περὶ δέ γε τῆς ἐξορίας αὐτοῦ ... Φέρε δὴ κτλ. — 4. — Κλαυδῖνος ἐν εἰρήνῃ τ. — Πέτρος ὁ Αἰγύπτιος εἰς βαθὺ γῆρας ἐλθὼν ἐν εἰρήνῃ τ. — Ἡ ἐν Κυρίῳ πάσχα κυριακὴ τῆς ἀπόκρεω, μνήμη τῶν κεκοιμημένων. — **Mv** : 1. Sequitur : Περὶ δέ γε τῆς ἐξορίας αὐτοῦ. — 4. — Κλαυδῖνος. — Πέτρος. — Κυριακὴ κτλ. — **Mr** : 1.

— [2] Φοίνικι Cd. — [3] αὐτοῦ Cd. — [4] στρατιώτας Cd.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

IAN. 28. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραῒμ τοῦ Σύρου. Οὗτος γέγονεν ἐξ ἀνατολῶν, Σύρος τὸ γένος, ἐκ προγόνων τὴν εὐσέβειαν διδαχθείς, ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ μεγάλου. Ἠσπάσατο δὲ ἐξ ἀρχῆς τὸν ἐρημικὸν βίον· ᾧ λέγεται θεόθεν ἐκχυθῆναι χάριν[1], δι' ἧς πάσης κατανύξεως πλεῖστα συγγράμματα ἐκτεθεικὼς πολλοὺς πρὸς ἀρετὴν καθωδήγησε καὶ τύπος τῆς ἐφεξῆς ἀσκητικῆς γέγονεν ἀγωγῆς[2]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας Ἀκυλίνης ἐν τοῖς Φιλοξένου, πλησίον τοῦ Φόρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παλλαδίου. Οὗτος ὁ μακάριος ἐν ὄρει τινὶ οἰκίσκον βραχὺν δειμάμενος, ἐν τούτῳ ἑαυτὸν καθεῖρξε[1]. Ἀγρυπνίᾳ δὲ καὶ διηνεκεῖ[2] προσευχῇ καὶ νηστείᾳ τὸν ἑαυτοῦ βίον κατακοσμήσας, θαυμάτων χάριν θεόθεν ἔλαβεν. Ἐμπόρου γάρ τινος χρυσίον ὅτι πλεῖστον ἐπιφερομένου καὶ ὑπὸ ἀνδροφόνου τινὸς ἀναιρεθέντος, τὸ σῶμα αὐτοῦ παρὰ τοῦ ἀναιρήσαντος παρὰ τὴν θύραν τῆς κέλλης τοῦ ὁσίου προσερρίφη. Ὡς δὲ ἡ ἡμέρα ἐγένετο[3] καὶ φανερὸν τὸ πραχθὲν ἦν, πάντες εὐθύνας τὸν ὅσιον τῆς | τοῦ ἐμπόρου σφαγῆς εἰσεπράττοντο. Περιστοιχισθεὶς δὲ[4] ὑπὸ τοσαύτης πληθύος καὶ προσευξάμενος, τὸν μὲν νεκρὸν ἀνέστησεν· αὐτὸς δὲ[5] ἀναστὰς τῷ δακτύλῳ τὸν φονέα ἐδείκνυ καὶ τὸν ὅσιον τοῦ μύσους ἐλεύθερον ἀπεκατέστησε[6]. Οὗτος ὁ θεῖος Παλλάδιος[7] καὶ πάλαι ἀξιάγαστος ὢν καὶ ἀξιαγαστότερος δὲ ἐκ τούτου τοῦ θαύματος γεγονώς, ἐν εἰρήνῃ πρὸς τὸν Θεὸν μετὰ τῶν τῆς ἀρετῆς φορτίων ἐξεδήμησε, συγγράμματα ἀξιομνημόνευτα τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ καταλελοιπὼς εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων αὐτοῖς[8]. f. 146.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

IAN. 29. **1.** Μνήμην ἐπιτελοῦμεν τῆς ἐπανόδου τῶν λειψάνων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰγνατίου τοῦ θεοφόρου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ[1] μεγάλῃ ἐκκλησίᾳ.

1. — [1] λόγου διδασκαλικοῦ *add.* Sa. — [2] διαγωγῆς Sa.
2. — [1] καθεῖρξεν ἑαυτὸν Sa. — [2] δὲ διηνεκεῖ καὶ Sa. — [3] προσεγένετο Sa. — [4] οὖν Sa. — [5] ὁ *add.* Sa. — [6] ἀποκατέστησεν Sa. — [7] Παλάδιος Sa. — [8] αὐτῆς S, Sa.
1. — [1] *om.* Sa.

IAN. 28. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : deest. — **H** : 1. — **P** : 1. — Ἰακώβου τοῦ ἡσυχαστοῦ. — Τοῦ ἁγίου μάρτυρος Πλουτοδώρου. — **Da** : 1 (= F). — Ἰακώβου τοῦ ἀσκητοῦ (= F). — 2. — Μνήμη τῆς εὐσεβεστάτης Μαρκιανῆς τῆς βασιλίσσης ἐν τοῖς Ἀποστόλοις (Ian. 27[4]). — **Db** : 1. — Ἰακώβου τοῦ ἀσκητοῦ. — 2. — Μαρκιανῆς. — **F** : 1. — Ἰακώβου τοῦ ἀσκητοῦ. — 2. — Μνήνη τῆς εὐσεβοῦς βασιλίσσης Μαρκιανῆς ἐν τοῖς ἁγίοις Ἀποστόλοις (Ian. 27[4]). — **Fa** : 1 : Ἐφραῒμ τοῦ Σύρου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, Σύρος τὸ γένος... Des. : πλήρης ἡμερῶν γενόμενος πρὸς Κύριον ἐξεδήμησεν, πάμπολλα συγγράμματα τῇ ἐκκλησίᾳ καταλείψας λόγου καὶ μνήμης ἄξια. — Ἰακώβου τοῦ ἀσκητοῦ. Οὗτος ὁ ὅσιος πᾶσι τοῖς βιωτικοῖς ἀποταξάμενος, ᾤκησεν ἔν τινι σπηλαίῳ ἐπὶ εἴκοσι ἔτη, πλησίον κωμοπόλεώς τινος καλουμένης Πορφυριώνης[1], πᾶσαν ἄσκησιν μετερχόμενος. Τούτῳ ποτὲ τῷ ὁσίῳ γύναιον ἑταιρικὸν ὑπό τινων ἀκολάστων ὑποβληθὲν αἰσχρῶς τε ἐπιπηδῆσαν εἰς ἀσέλγειαν ἐξεκαλεῖτο. Ὃς τοῦτο τὸ γύναιον τὴν τοῦ μέλλοντος πυρὸς ὑπομνήσας[2] τιμωρίαν τῷ Χριστῷ μεταγνὸν[3] προσάγει. Ἐπεὶ δὲ οὐδεὶς διαφεύγει τοῦ πονηροῦ τὰς ἐνέδρας, συνέβη καὶ τοῦτον πτώματι μεγάλῳ περιπεσεῖν, ἵνα[4] ὑποτύπωσις γένηται[5] πᾶσι τοῖς ἁμαρτάνουσιν καὶ ὁδηγὸς πρὸς μετάνοιαν. Ἀνὴρ γάρ τις τῶν ἐνδόξων, θυγάτριον ὑπὸ δαίμονος ἐνοχλούμενον ἔχων, τῷ ὁσίῳ πρὸς αὐτοῦ θεραπευθησόμενον προσάγει. Ὃς εὐξάμενος παραχρῆμα τοῦτο τοῦ δαίμονος ἐλευθεροῖ. Φοβηθέντος δὲ τοῦ πατρός, μή ποτε πάλιν ὁ δαίμων ἐνοχλήσῃ τῇ κόρῃ, αὐτήν[6] τε σὺν ἀδελφῷ κομιδῇ νέῳ πρὸς τὸν μοναχὸν καταλιμπάνει. Ἥττων δὲ ὁ μοναχὸς ἐπιθυμίας γενόμενος, φεῦ τοῦ πτώματος, διαφθείρει τὴν κόρην. Εἶτα τί γίνεται; ἵνα μὴ ἔκφορος ἡ μυσαρὰ πρᾶξις γένηται, κτείνει μὲν τὸ γύναιον, εἶτα καὶ τὸν ἀδελφόν· τὰ δὲ σώματα τῷ παραρρέοντι ποταμῷ προσεπιρρίπτει. Ὡς δὲ παντελῶς τῆς ἑαυτοῦ σωτηρίας ἀπέγνω, ὥρμησε τοῦ εἰς τὸν κόσμον ἀπελθεῖν. Ὅθεν ἀπιόντος αὐτοῦ, κατὰ τὴν ὁδὸν συνήντησεν αὐτῷ μοναχός τις τῶν εὐλαβῶν· οὗ ταῖς παραινέσεσιν εἴξας, ἑαυτὸν εἰς τάφον ἐνέβαλεν, πᾶσαν σκληραγωγίαν ὑπομένων. Αὐχμοῦ[7] δέ ποτε πολλοῦ[8] κατὰ τὴν χώραν γενομένου, τῷ ἐπισκόπῳ τῆς πόλεως ὁ Θεὸς ἐπισκήπτει, ὡς, εἰ μὴ Ἰάκωβος ὁ εἰς τὸν τάφον ἐγκεκλεισμένος προσεύξηται, ὁ αὐχμὸς οὐ λυθήσεται. Τότε δὴ πανδημεὶ πρὸς αὐτὸν παραγενόμενος ὁ ἐπίσκοπος καὶ πολλὰ παρακαλέσας, ἐπεὶ πεισθεὶς προσηύξατο, ὄμβρος κατερρύη[9] πολὺς καὶ τὴν γῆν ἐμέθυσεν. Ἐντεῦθεν χρηστὰς λαβὼν τὰς ἐλπίδας ὁ ὅσιος καὶ τεκμήριον μέγιστον τὴν τῶν ὄμβρων φορὰν ἐσχηκὼς προσέθηκεν τῇ σκληραγωγίᾳ σκληραγωγίαν καὶ τοῖς δάκρυσι δάκρυα. Καὶ οὕτως ἐν πολιτείᾳ καλῇ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο, πάμπολλα μετὰ θάνατον ποιήσας θαυμάσια. — 2. — Μαρκιανή. — **B** : 1. — **Ba** : 1 (= F). 2 (= S). — Μαρκιανῆς (= S). — Ἰακώβου τοῦ ἀσκητοῦ (= F). — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : 1. 2. — Ἰακώβου τοῦ ἀσκητοῦ. — Δύο μάρτυρες μήτηρ καὶ θυγάτηρ ξ. τ. — Χάρις τοὺς πόδας ἐκκοπεῖσα τ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῆς ἀπόκρεω, ὅτε μνήμην ἄγομεν τῆς δευτέρας παρουσίας τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν. — **Mv** : 1. 2. — Ἰακώβου. — Δύο μάρτυρες. — Χάρις. — Κυριακὴ κτλ. — **Mr** : 1.

IAN. 29. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : deest. — **H** : 1. 4. — **P** : 1. 4. — **Da** : 1 (= Fa). 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1 : Μνήμην ἐπιτελοῦμεν τῆς ἐπανόδου τῶν λειψάνων τοῦ ἐν

[1] Πορφυριόνης Fa. — [2] ὑπομνήσαντι Fa. — [3] τοῦτω τὸ γύναιον .... μεταγνῶντι Fa. — [4] ἦν Fa. — [5] γέννηται Fa. — [6] αὐτή Fa. — [7] ἀκμο Fa. — [8] πολοῦ Fa. — [9] κατερύει Fa.

Ian. 29. **2.** Καὶ[1] ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων τῶν ἐν τοῖς Σαμοσάταις τελειωθέντων[2], Φιλοθέου[3], Ὑπερεχίου, Ἀβίβου, Ἰουλιανοῦ, Ῥωμανοῦ, Ἰακώβου καὶ Παρηγορίου. Οὗτοι στρατευσάμενοι Χριστῷ τῷ Θεῷ ἀντέστησαν τῷ ἐχθρῷ· διὸ τὴν πλάνην στηλιτεύσαντες ῥοπάλοις τοὺς βραχίονας καὶ τοὺς μηροὺς καταθλῶνται συσχεθέντες, ἔπειτα ἀφειδῶς ξέονται καὶ ἁλύσεις βαρείας κατὰ τοῦ τραχήλου δεξάμενοι τῇ εἱρκτῇ ἐναποτίθενται· καὶ ἐξενεχθέντες ἐκεῖθεν αὖθις ξέονται[4], καὶ ἀναρτηθέντες καὶ τὰς κάρας ἥλοις προσηλωθέντες τὰς ψυχὰς τῷ Θεῷ ἀπέδωκαν.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀφραάτου. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Οὐάλεντος, παρὰ Πέρσαις καὶ γεννηθεὶς καὶ τραφεὶς καὶ τὰ ἐκείνων νόμιμα διδαχθείς. Τῶν ὁμοφύλων δὲ τὴν ἀσέβειαν βδελυξάμενος, τὴν Ἔδεσαν[1] καταλαμβάνει, καὶ ἔξω τειχῶν οἰκίδιον εὑρὼν ἑαυτὸν ἐν ἐκείνῳ καθεῖρξεν. Ἐκεῖθεν τὴν[2] Ἀντιόχειαν καταλαβὼν[3] καὶ πρὸ τοῦ ἄστεος ἔν τινι καταχθεὶς φροντιστηρίῳ τῆς οἰκείας ἐπεμελεῖτο ψυχῆς, σύνοικον λαβεῖν μὴ ἀνασχόμενος πώποτε, μηδὲ αὐτὸν τὸν ἄρτον παρά τινος δεξάμενος τὸ σύνολον ἢ ὄψον ἢ ἱμάτιον. Ὅθεν καί τις Ἀνθέμιος ὕπατος ἐν Περσίδι παρὰ βασιλέως πρεσβευτὴς ἀποσταλεὶς χιτῶνα τῷ ὁσίῳ παρὰ Πέρσαις ὑφασμένον προσέφερεν, ὁ δὲ οὐκ ἐδέξατο λόγοις αὐτὸν ἀποβουκολήσας. Ἀλλὰ καὶ τῷ δυσ|σεβεῖ (f. 146v.) Οὐάλεντι τὴν ἐκκλησίαν ταράττοντι καὶ ἀρειανίζειν πάντας ἀναγκάζοντι εἰς ὁμιλίαν ἐλθών, σοφωτάτοις λόγοις[4] καὶ παραδείγμασι τοῦτον ἐξέπληξε· ᾧτινι ὁσίῳ εὐνοῦχός τις, τῷ βασιλεῖ παραδυναστεύων, θάνατον ἠπείλησεν. Ὃς οὐκ εἰς μακρὰν ἔτισε τῆς θρασύτητος δίκην, ἐν βαλανείου πυέλῳ ἑαυτὸν ἀκοντίσας καὶ τὴν ψυχὴν ἐν αὐτῷ αἰσχρῶς ἀπορρήξας. Οὗ γενομένου, ὁ βασιλεὺς ἐξοστρακίσαι τὸν ἅγιον παρῃτήσατο· καὶ ἵππον δὲ αὐτοῦ θυμηρέστατον δεινῶς ἔχοντα ἐθεράπευσε, καὶ γυναικὸς εἴξας παρακλήσει δι' ἐπιδόσεως ἐλαίου τοῦ ταύτης ἀνδρὸς τὴν εὔνοιαν[5] ἐπεσπάσατο· καὶ ἀκρίδος ἐπινεμομένης τὴν χώραν ἅπασαν, ἀγρότου τινὸς δυσωπηθεὶς παρακλήσεσιν, ὕδωρ εὐλογήσας καὶ ἐπιδοὺς αὐτῷ καὶ τὰς αὐτοῦ χώρας διαρραντίσαι[6] ἐκ τοῦ ὕδατος προστάξας τῆς τούτων λύμης ἀβλαβεῖς[7] διετήρησεν. Ταῦτα καὶ ἕτερα ὁ ἀοίδιμος Ἀφραάτης ἐπιτελέσας ὁσίως τε βιώσας τῷ ἀγωνοθέτῃ τὴν ψυχὴν ἐναπέθετο.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Σαρβήλου ἱερέως καὶ τῆς ἀδελφῆς αὐτοῦ Βεβαίας.

5. Καὶ τοῦ ἁγίου[1] Βαρσιμαίου[2] ἐπισκόπου Ἐδέσης[3].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

Ian. 30. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἱππολύτου πάπα Ῥώμης καὶ τῶν σὺν αὐτῷ Κενσουρίνου, Αὔρας, τῆς καὶ Χρυσῆς ἑρμηνευομένης, Φήλικος[1], Μαξίμου, Ἑρκουλίου[2], Βενερίου, Στυρακίου, Μηνᾶ, Κομόδου[3], Ἑρμοῦ, Μαύρου, Εὐσεβίου, Ῥουστικοῦ, Μοναγρίου[4], Ἀμανδίνου, Ὀλυμπίνου, Κύπρου, Θεοδώρου τριβούνου, Μαξίμου πρεσβυτέρου, Ἀρχελάου

2. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] (τῶν - τελειωθέντων) *om.* Sa. — [3] *om.* Sa. — [4] (καὶ τοὺς - ξέονται), Sa *in marg. manu rec.: prima vero manu ita:* καὶ ἁλύσεις βαρείας κατὰ τοῦ τραχήλου δεξάμενοι τῇ εἱρκτῇ ἐναποτίθενται καὶ ἐξενεχθέντες ἐκεῖθεν αὖθις ξέονται.

3. — [1] Ἔδεσσαν S. *Cf. Sept. 5*[4]. — [2] εἰς Sa. — [3] ἔρχεται Sa. — [4] λόγοις σοφωτάτοις Sa. — [5] ἐπ' αὐτὴν *add.* Sa. — [6] ἀρούρας ῥαντίσαι Sa. — [7] ταύτας *add.* Sa.

5. — [1] αὐτοὺς φωτίσαντος Sa. — [2] Βαρσίμου S, Βαρσιμαίου Sa. *Cf. Ian. 30*[2]. — [3] Ἐδέσσης Sa.

1. — [1] Φίληκος S, Sa. — [2] Ἑλκουλίου Sa. — [3] Sa, Κομωδοῦ S. — [4] Μναγρίου Sa.

Ian. 29. ἁγίοις πατρὸς ἡμῶν Ἰγνατίου τοῦ θεοφόρου. Ὃς διάδοχος τῶν ἀποστόλων γενόμενος ... — Des.: οὗ δὴ χάριν ἑορτὴν χαρμόσυνον ἡ ἐκκλησία πανηγυρίζει. — 2. 3. — **B** : 1. 4. — Ἱππολύτου (Ian. 30[1]). — **Ba** : 1 (= F). 2 (= S). 3 (= S). 4. — **C** : 1. 4. — Ἱππολύτου πάπα Ῥώμης. — Ἰακώβου τοῦ ἡσυχαστοῦ. — **Cb** : 1. 4 : Σαρβήλου[1] ἱερέως καὶ τῆς ἀδελφῆς αὐτοῦ Βεβαίας παθόντων ἐν Ἐδέσῃ[2]. Οὗτοι ὑπῆρχον ἐπὶ Τραϊανοῦ βασιλέως. Ἦν δὲ ὁ ἅγιος Σάρβηλος τῆς δαιμονικῆς ἀπάτης καὶ τῶν ἀκαθάρτων θυσιῶν ἱερεύς. Καί ποτε ἑορτῆς ἀγομένης τοῖς δαίμοσιν, αὐτὸς κατὰ τὸ ἔθος ἐξ ἀρχῆς τῶν ἀθεμίτων παρὰ Βαρσιμαίου τοῦ ἐπισκόπου Ἐδέσης διαλεχθεὶς καὶ λοιδορηθεὶς ὡς πολλοῖς αἴτιος ἀπωλείας, κατενύγη τῇ τοῦ Θεοῦ χάριτι καὶ τοῖς λόγοις τοῦ ἐπισκόπου πεισθεὶς προσέρχεται τῇ τοῦ Χριστοῦ πίστει μετὰ τῆς ἰδίας ἀδελφῆς Βεβαίας, καὶ παρὰ τοῦ ἐπισκόπου βαπτίζονται. Ὅθεν εἰς ἐξέτασιν ὁ ἅγιος Σάρβηλος τῷ Λυσίᾳ καθίσταται· καὶ πρῶτον μὲν ῥαβδίζεται, εἶτα σπαθίζεται καὶ μετ' ὀλίγον τὴν ὄψιν ξέεται καὶ ἐν διαφόροις τοῦ σώματος μέλεσι πυρὶ κατακαίεται, καὶ τέλος τὸν τοῦ μαρτυρίου στέφανον κομίζεται ὀργάνῳ τινὶ βληθεὶς καὶ ἀποθλιβείς, πριζόντων αὐτὸν ἀπὸ τῆς κεφαλῆς τῶν δημίων, εἶτα ἀποτεμνόντων τὴν κεφαλήν. Συνετμήθη δὲ καὶ ἡ ἀδελφὴ αὐτοῦ, τοῦτο τοῦ ἡγεμόνος προστάξαντος. — **Ce** : 1. 4. — Ἱππολύτου. — Ἰακώβου. — **Cd** : 1. 4. — Ἱππολύτου. — Ἰακώβου. — **M** : 1. 2. — Σιλουανοῦ ἐπισκόπου, Λουκᾶ διακόνου καὶ Μωκίου (Febr. 6[2]). — 4. 5. 3. — **Mv** : 1. 2. — Σιλβανοῦ κτλ. — 4. 5. 3. — **Mr** : 1.

Ian. 30. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. 3. — **H** : 2. 3. — **P** : 2. 1 (Ἱππολύτου ἐπισκόπου Ῥώμης καὶ ἄθλησις τῶν ἁγίων ις' μαρτύρων). — Τοῦ ἁγίου μάρτυρος Περγήτου. — 3. — **Da** : 1. 2. 3. — **Db** : Ξενοφῶντος κτλ. (Ian. 26[1]). — 1. 2. 3. — **F** : 1. 2. — Θεοδούλης (Ian. 18[3]). — 3. — **Fa** : 1. 2. — Θεοδούλης. — 3. — **B** : 2. 3. — **Ba** : 1 (= S). 2 (= S). 3 (= S). — **C** : 2. 3. — **Cb** : 2. — **Ce** : 2. 3. —

[1] Σαρβίλλου Cb. — [2] Ἐδέσσῃ Cb.

διακόνου, Κυριακοῦ ἐπισκόπου, ἑτέρου Μαξίμου πρεσβυτέρου, καὶ Σαβίνου. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Κλαυδίου, ἡγεμονεύοντος Βικαρίου τοῦ καὶ Οὐλπίου Ῥωμύλου. Καὶ ὁ μὲν Κενσουρῖνος πρῶτος ὑπῆρχε τῆς συγκλήτου βουλῆς, μάγιστρος τὴν ἀξίαν. Ὃς διαβληθεὶς καὶ ἐρωτηθεὶς καὶ τὸν Χριστὸν ὁμολογήσας, ἐν εἱρκτῇ ἀποτίθεται. Θαυμάτων δὲ πολλῶν ἐκεῖσε γενομένων καὶ νεκροῦ ἀναστάντος, ἅπαντες οἱ ἐκεῖσε παρατυχόντες στρατιῶται τῷ Χριστῷ πιστεύουσιν· οἳ καὶ[5] τὰς κεφαλὰς ἀφῃρέθησαν. Ἀχθεῖσα δὲ ἡ μακαρία Χρυσῆ ἀναρτᾶται τῆς ἄντυγος, βουνεύροις τὰς πλευρὰς ξαίνεται, εἰς τοὔδαφος ὑπτία ταθεῖσα ῥοπάλοις | (f. 147.) τύπτεται, λαμπάσι πυρὸς τὰς πλευρὰς κατακαίεται καὶ τῇ[5] εἱρκτῇ ἐναπορρίπτεται· κἀκεῖθεν μεθ' ἡμέρας ἐξενεχθεῖσα λίθοις τὰς σιαγόνας θλάττεται καὶ σφαίραις μολιβδίναις τὰ νῶτα καταθραύεται· εἶτα λίθου ἐξαρτηθέντος τῷ ταύτης αὐχένι, ἐν τῷ τῆς θαλάττης βυθῷ ἀκοντίζεται καὶ πληροῖ τὸ μαρτύριον. Ὁ δὲ μακάριος Σαβῖνος σφαίραις βαρείαις κατὰ τοῦ αὐχένος τύπτεται, ξύλῳ ἀναρτᾶται, βουνεύροις αἰκίζεται, λαμπάσι πυρὸς τὰ σπλάγχνα ὑποκαίεται· καρτερῶν[6] δὲ ταῖς βασάνοις καὶ τῷ Θεῷ εὐχαριστῶν τὸ πνεῦμα ἀπέδοτο. Ταῦτα μαθὼν ὁ μέγας Ἱππόλυτος καὶ πρὸς τὸν ἡγεμόνα παραγενόμενος καὶ παρρησιασάμενος, ῥαπίσματα κατὰ κόρρης δέχεται. Καὶ ἄλλαις δὲ πλείσταις καὶ ποικίλαις βασάνοις προσομιλήσας, τελευταῖον χεῖρας καὶ πόδας συνδεθεὶς τῷ βυθῷ τῆς θαλάσσης[7] κατακοντίζεται. Καὶ οὕτως τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο.

Ian. 30. **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βαρσιμαίου ἐπισκόπου Ἐδέσης[1] τοῦ φωτίσαντος Σάρβηλον καὶ Βεβαίαν[2]. Οὗτος[3], ὡς <προγέγραπται[4]>, ψυχικῆς σωτηρίας τῷ Σαρβήλῳ παραίτιος γεγονώς, διεβλήθη πρὸς τὸν ἡγεμόνα Λυσίαν· καὶ ὁμολογήσας τὸν Χριστὸν ἐτύφθη σφοδρῶς. Εἶτα γραμμάτων βασιλικῶν καταφοιτησάντων παυθῆναι τὸν διωγμὸν διαγορευόντων, ἀφείθη τῆς φρουρᾶς καὶ ἐν τῇ ἰδίᾳ γενόμενος ἐκκλησίᾳ καὶ τῷ Θεῷ εὐαρεστήσας, ἐν εἰρήνῃ πρὸς αὐτὸν ἐξεδήμησεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοφίλου τοῦ νέου. Οὗτος γέγονεν ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης τῶν ὀρθοδόξων βασιλέων, ἐν αὐτῇ τῇ μεγαλοπόλει καὶ φὺς καὶ τραφείς. Καὶ αὐξηθεὶς καὶ ἐπὶ τὰς μεγίστας ἀρχὰς προελθών, εἶτα τοῦ κατὰ τῶν Ἀγαρηνῶν στόλου στρατηγὸς αἱρεθεὶς[1] καὶ χερσὶ καὶ μηχανήμασι πολλοὺς αὐτῶν καταγωνισάμενος, ἐπεὶ αἱ βαρβαρικαὶ νῆες ὑπερεῖχον πλήθει πολλῷ, κυκλωθεὶς ὑπ' αὐτῶν συνελήφθη. Καὶ πολλὰ προτραπεὶς τὴν πίστιν μεταβάλλεσθαι[2], μήτε ταῖς κολακείαις εἴξας μήτε ταῖς ἀπειλαῖς οἷς ἑώρα τῶν σὺν αὐτῷ ἀποτμηθέντων πολλούς, τότε μὲν ἀπαχθεὶς εἰς τὴν βάρβαρον[3] εἱρκτῇ παρεδόθη. Τεσσάρων δὲ χρόνων διελθόνθων, ἐν οἷς καθεῖρκτο, θυσίας αὐτοῖς[4] ποτε μυσαρᾶς τελουμένης[5], κοινωνῆσαι μὴ | (f. 147v.) πεισθείς, ἀπετμήθη τὴν κεφαλήν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑ'.

Ian. 31. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Κύρου καὶ Ἰωάννου καὶ τριῶν γυναικῶν Θεοδότης, Θεοκτίστης, Εὐδοξίας καὶ τῆς τούτων μητρὸς Ἀθανασίας. Οὗτοι[1] ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, ὁ μὲν Κῦρος ἐκ τῆς[2] Ἀλεξανδρέων πόλεως, ὁ δὲ Ἰωάννης ἐξ Ἐδέσης[3]. Διὰ[4] τὸν ἐπικρατοῦντα οὖν[5] διωγμὸν καὶ τοὺς χριστιανοὺς ἐκπορθοῦντα τὸν πρὸς Ἀραβίαν[6] θαλάσσης[7]

— [5] *om.* Sa. — [6] ἐγκαρτερῶν Sa. — [7] θαλάττης Sa.

2. — [1] Ἐδέσσης Sa. — [2] (τοῦ - Βεβαίαν) *om.* Sa. — [3] ὁ μακάριος *add.* Sa. — [4] Sa, *om.* S.

3. — [1] προκριθεὶς Sa. — [2] μεταβαλέσθαι καὶ Sa. — [3] βαρβάρων χώραν Sa. — [4] Sa, αὐτῆς S. — [5] ἐπιτελουμένης Sa.

1. — [1] οἱ ἅγιοι *add.* Sa. — [2] τῶν *add.* Sa. — [3] Ἐδέσσης S, Sa. *Cf. Sept. 5*[4]. — [4] δὲ *add.* Sa. — [5] *om.* Sa. — [6] Ἀραβείαν S, Sa. — [7] θάλασσαν Sa.

Cd : 2. 3 : Θεοφίλου τοῦ νέου. Οὗτος ὑπῆρχεν ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης τῶν ὀρθοδόξων βασιλέων ἀπὸ Κωνσταντινουπόλεως, εἷς τῆς συγκλήτου. Στρατηγὸς δὲ ἀποσταλεὶς ὑπὸ τῶν βασιλέων ἐν (Ian. 30.) τῷ θέματι τῶν Κιβυρραιωτῶν, ἔλαχε τῷ πλόῳ ἀνελθεῖν τὸ τῶν Σαρακηνῶν ἔθνος πρὸς πόλεμον. Ἔχων δὲ συμμαχίαν καὶ ἑτέρους τρεῖς στρατηγοὺς λόγον δεδωκότας αὐτῷ συναποθανεῖν μετ' αὐτοῦ, πρῶτον ἐξελθὼν καὶ διακόψας αὐτοὺς ἀπήρξατο τῆς μάχης. Οὗτινος τὴν ἀνδρείαν ἰδόντες οἱ στρατηγοὶ καὶ φθονήσαντες, ἐάσαντες αὐτὸν ἔφυγον. Μαχησάμενος οὖν ἐπὶ πολύ, εἶτα μόνος ὑπολειφθεὶς καὶ κατασχεθεὶς ἐν τῷ μέσῳ μετὰ τοῦ ὑπ' αὐτὸν λαοῦ τοῦ ὄντος ἐν τῷ δρόμωνι, ἐκρατήθη καὶ κατηναγκάσθη εἰς τὴν ἄθεον πίστιν αὐτῶν μετατραπῆναι. Ὁ δὲ ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῶν καὶ ἐχλεύασε τὴν ἄθεον πίστιν αὐτῶν· εἶτα ἐβλήθη ἐν τῇ φυλακῇ. Χρόνου δὲ τετραετοῦς παρελθόντος, ἐν καιρῷ τῆς μιαρᾶς θυσίας αὐτῶν ἐξαγαγόντες οἱ Ἄραβες, προέτρεπον συνεορτάσαι αὐτοῖς. Ὁ δὲ βδελυξάμενος αὐτοὺς καὶ μιαροὺς ἀποκαλέσας καὶ τὸν Χριστὸν ἀνακηρύξας Θεὸν ἀληθινὸν καὶ δημιουργὸν τοῦ παντός, τὴν κεφαλὴν ἀπετμήθη· καὶ ἐτάφη παρὰ τῶν ἐκεῖσε χριστιανῶν ἐντίμως. — **M** : 1. 2. — Ζήνωνος (Febr. 10[3]). — Μνήμη τῆς παναγίας Θεοτόκου πέραν ἐν Γεωργίᾳ. — **Mv** : Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. — 1. 2. 3. — **Mr** : Βασιλείου, Γρηγορίου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. — 1.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. 3. — **H** : 1. 2 (... Διοδώρου, Σαραπίωνος, Παπίᾳ). — 3. — **P** : 1. 2 (... Διοδώρου, Σαραπίωνος, Παππίας). — 3. — **Da** : 1. 2 (... Διοδώρου ...). — (Ian. 31.) 3 (... Τρυφώνης). — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2 (... Διοδώρου, Σαραπίωνος καὶ Παταπίου ...). — 3. — **B** : 1. 2. 3. — **Ba** : 1 (= S). 2 (= S). 3 (= S). — **C** : 1. 2 (... Νικηφόρου, Κλαυδιο-

IAN. 31. τόπον καταλαβὼν καὶ τὸ μοναχικὸν μεταμφιασάμενος σχῆμα, ἐν αὐτῷ κατοικεῖ [8]. Ὁ δὲ [9] Ἰωάννης ἐν τοῖς [10] Ἱεροσολύμοις γενόμενος καὶ περὶ τῶν θαυματουργιῶν τῶν παρὰ τοῦ ἁγίου Κύρου ἀκούσας — καὶ γὰρ ἦν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐξιώμενος — παραγίνεται εἰς Ἀλεξάνδρειαν. Κἀκεῖθεν κατὰ φήμην ἔνθα διέτριβεν ἀπελθὼν συνῆν μετ' αὐτοῦ. Συλληφθείσης δὲ γυναικός τινος οὕτω καλουμένης Ἀθανασίας μετὰ τῶν τριῶν αὐτῆς θυγατέρων ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως καὶ μελλουσῶν παρίστασθαι τῷ δικάζοντι, δείσαντες οἱ ἅγιοι, μή τι πάθωσιν οἷα πάσχειν γυναῖκας εἰκὸς καὶ τοῦ ἀγῶνος τὸ μέγεθος καταπτήξωσιν, παραγενόμενοι ἐθαρσοποίουν αὐτὰς καὶ πρὸς τοὺς ἄθλους ἐπήλειφον. Συγκατασχεθέντες οὖν καὶ αὐτοὶ καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Θεὸν ὄντα [11] ἀληθινὸν ὁμολογήσαντες [12] καὶ αἰκισμοῖς ὑποβληθέντες πολλοῖς, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τοῖς Σφωρακίου [13].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἑπτὰ μαρτύρων Οὐϊκτωρίνου, Οὐΐκτορος [1], Νικηφόρου, Κλαυδίου, Διοδώρου [2], Σαραπίωνος <καὶ [3]> Παπίου παθόντων ἐν Κορίνθῳ [4]. Οὗτοι ἐπὶ Δεκίου τοῦ βασιλέως διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν συλληφθέντες καὶ ἀχθέντες [5] Τερτίῳ [6] τῷ ἀνθυπάτῳ ἐν Κορίνθῳ [3] τὴν ἀρχὴν τῆς Ἑλλάδος [7] διέποντι [8] — ὥρμηντο γὰρ ἐκ Κορίνθου οἱ ἅγιοι — μετὰ πλείστας [9] αἰκίας καὶ ἀνυποίστους διαφόρους ἐδέξαντο τελευτάς. Οὐϊκτωρῖνος γὰρ καὶ Οὐΐκτωρ καὶ Νικηφόρος ἐν ὅλμῳ βληθέντες καὶ τὰ μέλη θλασθέντες ἀπέδωκαν τὰς ψυχάς. Ὁ δὲ Κλαύδιος τμηθεὶς χεῖρας καὶ πόδας τοῦ βίου μετέστη καὶ ὁ Διόδωρος τὸ διὰ πυρὸς ἐδέξατο τέλος, Σαραπίων δὲ τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ Παπίας καταποντισθεὶς διήνυσε τὸ μαρτύριον.

3. | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Τρυφαίνης. f. 148. Αὕτη ἦν ἐκ πόλεως Κυζίκου τῆς ἐν τῷ Ἑλλησπόντῳ [1] κειμένης, θυγάτηρ Ἀναστασίου τινὸς συγκλητικοῦ καὶ μητρὸς Σωκρατίας τινὸς χριστιανῆς. Κατέστη δὲ εἰς τὸ μαρτύριον, οὐχ ὑφ' ἑτέρων ἀχθεῖσα, ἀλλ' αὐτὴ ἑαυτὴν προσενεγκοῦσα. Δημοτελοῦς γὰρ ἑορτῆς ἀγομένης τῷ Διονύσῳ [2], μέσον ἑαυτὴν καταστήσασα, διεχλεύαζε τὰ αἰσχρὰ καὶ διέσυρεν, οἷς τὸν θεὸν [3] οἱ ἄφρονες τιμᾶν ᾤοντο, καὶ ἀποστῆναι τῶν ματαίων ἐδίδασκε καὶ ἐπιστροφὴν αὐτοῖς ἐκ Θεοῦ πεμφθῆναι ἐπηύχετο. Ὅθεν προστάξαντος Καισαρείου [4] ἡγεμόνος, καμίνῳ πυρὸς ἐμβάλλεται. Ῥυσθεῖσα δὲ παραδόξως ἐκεῖθεν, ἐπὶ μετεώρου κρεμᾶται καὶ ἄνωθεν κάτω ῥιφεῖσα [5] τοῖς ὑποκειμένοις ἥλοις ἐμπείρεται. Εἶτα θηρίοις εἰς βορὰν προβάλλεται· καὶ ὅσα μὲν τῶν ὠμοβόρων καὶ ἀνθρώπους εἰδότων κατεσθίειν θηρίων, ταύτης οὐχ ἥψαντο. Εἷς δέ τις ταῦρος μέγιστος σφόδρα καὶ ἄγριος ἄτακτόν τι σκιρτήσας καὶ τῇ μάρτυρι ἐναλλόμενος, διέσχισε ταύτην διαρρήξας ἔνθα προσέβαλλε [6]. Λέγεται δὲ ἐν ᾧ τόπῳ τὸ αἷμα αὐτῆς ἐρρύη προελθεῖν πηγὴν ὕδατος διειδοῦς [7]· ἐξ ἧς αἱ μετὰ τὸ τεκεῖν γυναῖκες ἀποροῦσαι γάλακτος ἀρυόμεναι καὶ μεταλαμβάνουσαι, εὐθὺς τοῖς νεογνοῖς τὸ γάλα προχέουσι. Καὶ οὐ μόνον γυναιξὶ τοῦτο τὸ δῶρον ἡ μάρτυς χαρίζεται, ἀλλὰ καὶ ὅσα τῶν ἀλόγων τῆς θηλείας φύσεως μετέχουσι καὶ γάλακτος ὑστεροῦνται, ἐκ τούτου τοῦ ὕδατος ποτιζόμενα γάλα αὐτάρκως καὶ αὐτὰ τοῖς νεογνοῖς προχέουσι.

— [8] τὴν κατοίκησιν ἐποιεῖτο Sa. — [9] ἅγιος *add.* Sa. — [10] *om.* Sa. — [11] καὶ *add.* Sa. — [12] ὁμολογοῦντες Sa. — [13] Σπαρακίου S, Φωρακίου Sa. (*Cf. Sept. 23*[1].

2. — [1] Οὐικτουρίνου, Οὐίκτωρος S. — [2] Θεοδώρου S, *sed infra* Διόδωρος. — [3] *om.* S. — [4] παθόντων ἐν Κορίνθῳ *om.* Sa. — [5] ἐν Κορίνθῳ *add.* Sa. — [6] Τερεντίῳ Sa. — [7] τῆς Ἑλλάδος ἀρχὴν Sa. — [8] παρεδόθησαν *add.* Sa. — [9] δὲ *add.* Sa.

3. — [1] Ἐλισπόντῳ Sa. — [2] Διονυσίῳ Sa. — [3] τὸ θεῖον Sa. — [4] Καισαρίου τοῦ Sa. — [5] ῥυφεῖσαν S. — [6] προσέβαλε Sa. — [7] διοδοῦς Sa.

IAN. 31. δώρου...). — 3. — **Cb** : 1. 2. 3. — **Cc** : 1. 3, mutil. — **Cd** : 1. 2 : Οὐϊκτωρίνου [1], Οὐΐκτορος, Νικηφόρου, Κλαυδιοδώρου, Σαραπίωνος <καὶ [2]> Παπία παθόντων ἐν Κορίνθῳ. Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως, ἐκ πόλεως Κορίνθου, ὑπατεύοντος Τερτίου [3]. Ὥτινι προσαχθέντες καὶ ἐρωτηθέντες καὶ ὁμολογήσαντες τὸ ὄνομα τοῦ Χριστοῦ, διαφόροις βασάνοις αἰκισμῶν καὶ τιμωριῶν ὑπέμειναν ἀλγηδόνας. Οὐϊκτωρῖνος γὰρ τυφθεὶς καὶ τὸν δεξιὸν ὀρυχθεὶς ὀφθαλμὸν καὶ χεῖρας καὶ πόδας ἀκρωτηριασθεὶς καὶ εἰς ὅλμον [4] ἐμβληθεὶς καὶ τὰ μέλη κατακλασθεὶς ἐτελειώθη. Νικηφόρος δὲ τουμβισθεὶς καὶ τῷ ἐκ τοῦ στόματος αὐτοῦ καὶ τῶν πλευρῶν βλύζοντι αἵματι φοινιχθεὶς καὶ ἐκ τριχῶν κρεμασθεὶς καὶ τοὺς δακτύλους συντριβείς, βουληθέντων τῶν δημίων ποτίσαι αὐτὸν οἶνον εἰδωλόθυτον, δραμὼν εἰσῆλθε καὶ αὐτὸς εἰς τὸν ὅλμον [4] καὶ τριβεὶς ἀπέδωκε τὴν ψυχήν. Ὁ δὲ Κλαυδιανὸς κρεμασθεὶς καὶ τὰς σιαγόνας θλασθεὶς καὶ τμηθεὶς χεῖρας καὶ πόδας, ἀπέστη τοῦ βίου. Ὁ δὲ Διόδωρος καταξανθεὶς τὸ σῶμα καὶ ὀβελίσκοις [5] κατατμηθεὶς πυρὶ τελειοῦται. Σαραπίων δὲ κατὰ κεφαλῆς κρεμασθεὶς βάκλοις συντρίβεται· εἶτα κρεμάμενος τὴν κεφαλὴν ἀπετμήθη. Παπίας δὲ μετὰ τὸ αἰκισθῆναι τὰς χεῖρας κοπεὶς καὶ ἥλοις λεπτοῖς καθηλωθεὶς καὶ λίθῳ προσδεθεὶς βυθῷ καταποντίζεται. — 3. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mr** : 1.

[1] Οὐικτορίνου Cd. — [2] *om.* Cd. — [3] Τερτίνου Cd. — [4] κόλμον Cd. — [5] βελίσκοις Cd.

ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ

ἡμέρας ἔχει κη' κατὰ δὲ τέσσαρας χρόνους [1] κθ'·
ἡ ἡμέρα ἔχει ὥρας ια' καὶ ἡ νὺξ ὥρας ιγ'.

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Τρύφωνος. Οὗτος ὑπῆρχεν ἐκ Σαμψάδου κώμης [1] τῆς Φρυγῶν ἐπαρχίας, ἐπὶ τῆς βασιλείας Γορδιανοῦ, ἐν τῷ διακοσιοστῷ [2] πέμπτῳ ἔτει ἀπὸ τῆς Αὐγούστου βασιλείας· ἔτι δὲ κομιδῇ [3] νέος [4] ὢν καὶ τῇ ἡλικίᾳ κατάλληλον ἐπιτήδευμα μετιὼν — χῆνας γὰρ ἔβοσκεν, ὥς φασιν, — Πνεύματος ἐπλήσθη ἁγίου καὶ ἦν πᾶσαν νόσον ἰώμενος καὶ δαίμονας ἐξελαύνων. Ἐθεράπευσε δὲ καὶ τὴν τοῦ Γορδιανοῦ βασιλέως θυγατέραν [5] ὑπὸ δαίμονος κρατουμένην· ἔνθα λέγεται ὑποδεῖξαι τὸν δαίμονα τοῖς παροῦσιν ὡσεὶ f. 148v. κύνα | μέλανα, τὰς πονηρὰς [6] πράξεις διαγγέλλοντα ἑαυτοῦ [3], καὶ πολλοὺς ἐπὶ τῷ θαύματι πρὸς τὴν εἰς Χριστὸν πίστιν μεταγαγεῖν. Ἐπὶ δὲ τοῦ βασιλέως Δεκίου, ὃς Φίλιππον διεδέξατο τὸν κρατήσαντα μετὰ Γορδιανόν, διεβλήθη Ἀκυλίνῳ τῷ ἐπάρχῳ τῆς Ἀνατολῆς, ὅτι μὴ λατρεύει, φησί, τοῖς δαίμοσιν. Ἀχθεὶς δὲ πρὸς αὐτὸν ἐν Νικαίᾳ καὶ ὁμολογήσας τὸ τοῦ Χριστοῦ ὄνομα, πρῶτον σπαθίζεται, εἶτα ἵπποις δεσμεύεται καὶ ἐλαύνεται χειμῶνος ὥρᾳ κατὰ δυσβάτων καὶ δυσπροσόδων [7] χωρίων. Καὶ μετὰ τοῦτο [8] γυμνὸς ἐπάνω σιδηρῶν ἥλων σύρεται· ἔτι δὲ μαστιχθεὶς καὶ λαμπάσι πυρὸς τὰς πλευρὰς ἐκκαείς, τὴν διὰ ξίφους ἀπόφασιν δέχεται· ἣν προφθάσας τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι ἔνδον τοῦ σεπτοῦ ἀποστολείου τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου τοῦ θεολόγου, πλησίον τῆς ἁγιωτάτης [9] μεγάλης ἐκκλησίας.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ Γαλάτου. Οὗτος παρὰ Γαλάταις τοῖς [1] πρὸς τῇ Ἀγκύρᾳ τραφείς, ἐν ἑπτὰ μὲν ἔτεσι τοῖς γονεῦσι συνῆν· ἔπειτα δὲ ἱστορίας ἕνεκα τὰ Ἱεροσόλυμα καταλαμβάνει, ἐκεῖθεν εἰς [2] Ἀντιόχειαν παραγίνεται. FEB. 1. Καὶ τάφον εὑρὼν ἐν αὐτῷ εἰσέδυ, ὑπερῷον ἔχοντα· καὶ δρύφακτον προβεβλημένος, δι' οὗ τοὺς ἀνιόντας ἐδέχετο, δι' ἡμερῶν δύο ἄρτου βραχέος καὶ ὕδατος μετρίου ἀπογευόμενος. Ἰάσατο δὲ πρῶτον διὰ προσευχῆς τινα, ὃν καὶ σύνοικον ἐποιήσατο. Ἀλλὰ καὶ τὴν μητέρα τοῦ μακαρίου Θεοδωρήτου [3], ἐπισκόπου Κύρου, εὐλαβεστάτην οὖσαν καὶ θεάρεστον ὀφθαλμιῶσαν ἰάσατο, καὶ ὀψοποιόν τινα ὑπὸ δαίμονος ὀχλούμενον ἐθεράπευσε. Καὶ ἕτερον [4] ἄγροικον τοῦ [5] αὐτοῦ [5] ἠλευθέρωσε πάθους [5], καὶ τὸν στρατηγὸν τῆς πόλεως παρθένον τινὰ βιάσασθαι βουλόμενον τῆς ἐγχειρήσεως διεκώλυσε, πηρώσας τοὺς ὀφθαλμοὺς αὐτοῦ. Καὶ τὴν προρρηθεῖσαν μητέρα Θεοδωρήτου δυστοκοῦσαν καὶ κινδυνεύουσαν τοῦ θανάτου ἐλυτρώσατο. Ἐπὶ ἐνενήκοντα οὖν καὶ δύο χρόνους θεαρέστως βιώσας, ἐν εἰρήνῃ τὴν ψυχὴν χερσὶ Θεοῦ παρέθετο, τὰ τῶν πόνων ἔπαθλα κομισάμενος.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Βενδιανοῦ [1], μαθητοῦ τοῦ ἁγίου Αὐξεντίου. Οὗτος μαθητὴς γνήσιος γεγονὼς τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου, τοῦ ἐν τῷ ὄρει ἡσυχάσαντος τῷ διακειμένῳ μὲν [2] πλησίον Χαλκηδόνος, ὀνομαζομένῳ δὲ τῆς Ὀξείας, μετὰ | τὴν τοῦ διδασκάλου πρὸς f. 149. Κύριον ἐκδημίαν εἰς ῥαγάδα [3] πέτραν ὑποδὺς ἐν αὐτῇ [4] ᾠκοδόμησεν οἰκίσκον σμικρότατον· καὶ ἐν αὐτῷ ἐπὶ δύο [5] καὶ τεσσαράκοντα χρόνοις ἀσκήσας καὶ πᾶσαν ἀρετὴν εἰς ἄκρον κατορθώσας, ἐν τῷ μέλλειν πρὸς Κύριον ἐκδημεῖν προγνοὺς τὸν ἑαυτοῦ θάνατον καὶ διηγησάμενος τὸν βίον τοῦ ἁγίου Αὐξεντίου τῷ μέλλοντι αὐτὸν [6] συγγράψασθαι συγγραφεῖ, τὸ γόνυ προσερείσας τῇ γῇ, τὴν ψυχὴν παρέθετο τῷ Θεῷ.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς

Tit. — [1] (κατὰ - χρόνους) *om.* Sa.

1. — [1] κόμης Καμψάδου Sa. — [2] ἐνενηκοστῷ Sa. — [3] *om.* Sa. — [4] νήπιος Sa. — [5] θυγατέρα Sa. — [6] αὐτοῦ *add.* Sa. — [7] δυσπροόδων S, Sa. — [8] τούτων S, Sa. — [9] τοῦ Θεοῦ *add.* Sa.

2. — [1] τῆς S, τοῦ Sa. — [2] τὴν *add.* Sa. — [3] Θεοδωρίτου S. — [4] ὀχλούμενον ὑπὸ τοῦ αὐτοῦ πάθους *add.* Sa. — [5] *om.* Sa

3. — [1] Βενδιανοῦ Sa, *dicitur* Βενδημιανὸς *in Act. S. Stephani iun.*, Analecta graeca, *p. 417*. — [2] δὲ S. — [3] ῥαγώδη Sa. — [4] ταύτῃ Sa. — [5] δυσὶ Sa. — [6] αὐτῷ S.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3 (legitur ad calcem libri; hic vero scriptum est ζήτει εἰς τὸ τέλος τὸν βίον τοῦ ἁγίου Βενδιανοῦ). — 4. 5. — **H** : 1. 3 (Βενδεμιανοῦ). — **P** : 1. 3. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2. 3 (Βενδεμιανοῦ). — Καὶ τὰ ἐγκαίνια τοῦ Σωτῆρος ἐν Ἀρμουλαδῇ. — **Fa** : 1. 2. 3. — Τὰ ἐγκαίνια τοῦ Σωτῆρος ἐν Ἀρμολαδῇ. — **B** : 1. 3. — **Ba** : 1 (= S). 2 (= S). 3. — **Bd** : 1. 3. 2. — **G** : 1. — **C** : 1. 3. 2. — **Cb** : 1. 3. — **Cc** : 1. 3. 2 mutil. — **Cd** : 1. 3. — **R** : 1. 3. — **K** : 1. 2. — **M** : 1. 2. 3. 4. — Τιμόθεος ὁμολογητὴς ἐν εἰρήνῃ τ. — Θείων μετὰ δύο παίδων ξ. τ. — Κυρίων τὴν FEB. 1.

Feb. 1.

ἡμῶν καὶ ὁμολογητοῦ Βασιλείου ἀρχιεπισκόπου Θεσσαλονίκης, ὁρμωμένου τῆς [1] Ἀθηνῶν πόλεως.

5. Καὶ ἄθλησις τῆς ἁγίας καὶ καλλινίκου [1] Ἁγνῆς τῆς Ῥωμαίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Feb. 2.

1. Ἡ ἀπαντὴ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, σαράκοντα [1] ἡμερῶν διελθουσῶν μετὰ τὴν σωτήριον τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρώπησιν καὶ τὴν ἐκ τῆς ἁγίας ἀειπαρθένου κόρης ἄνευ ἀνδρὸς γέννησιν. Κατὰ ταύτην δὴ τὴν σεβασμιωτάτην ἡμέραν προσήχθη τῷ ἱερῷ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παρά τε τῆς πανάγνου μητρὸς καὶ Ἰωσὴφ τοῦ δικαίου κατὰ τὴν συνήθειαν τοῦ σκιώδους καὶ νομίμου [2] γράμματος. Ὅτε καὶ ὁ γηραιὸς Συμεὼν καὶ πρεσβύτης, ὃς ἦν ὑπὸ τοῦ ἁγίου Πνεύματος κεχρηματισμένος μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ [3] τὸν χριστὸν Κυρίου [4], δεξάμενος αὐτὸν εἰς τὰς ἰδίας ἀγκάλας καὶ τῷ Θεῷ εὐχαριστήσας καὶ ἀνθομολογησάμενος· (Luc. 2, 29.) « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, ἐξεβόησε, δέσποτα. » Ὃς καὶ μετὰ περιχαρείας τοῦ τῆδε βίου μετέστη, τῶν ἐπιγείων ἀνταλλαξάμενος τὰ οὐράνια. Ἡ δὲ τοιαύτη σύναξις τελεῖται ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῷ ὄντι ἐν Βλαχέρναις.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Περπετούας καὶ τῶν σὺν αὐτῇ Σατύρου, Ῥευκάτου [1], Σατορνίλου, Σεκούνδου καὶ Φηλικιτάτης [2]. Αὕτη ἦν ἐκ πόλεως Θουβριτανῶν [3] τῆς Ἀφρικῆς· συνελήφθη [4] δὲ ὑπὸ τῶν ἀπίστων καὶ ἤχθη τῷ χιλιάρχῳ μετὰ τῶν εἰρημένων νεανίσκων κατηχουμένων. Εἶχε δὲ καὶ βρέφος ὑπομάζιον καὶ ἀδελφὸν ὀνόματι Δεινοκράτην. Τῇ οὖν ἁγίᾳ Περπετούᾳ ἅμα τῇ Φηλικιτάτῃ [5] ἀφίεται δάμαλις ἀγρία. Εἶτα μετὰ τῶν λοιπῶν ἁγίων ὑπὸ τοῦ ὄχλου μαχαίραις ἀναιροῦνται [6].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

Feb. 3.

1. Μνήμη τοῦ ἁγίου καὶ δικαίου Συμεὼν τοῦ δεξαμένου | (f. 149v.) ἀγκάλαις τὸν Κύριον καὶ Ἄννης τῆς προφήτιδος σήμερον γίνεται [1]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ [2] ἀποστολείῳ τοῦ ἁγίου [3] Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, τῷ ὄντι ἐν τῷ σεβασμίῳ ναῷ τῆς ὑπεραγίας Θεοτόκου τῶν Χαλκοπρατείων [4].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀδριανοῦ καὶ Εὐβούλου. Οὗτοι τὸ γένος εἷλκον ἀπὸ τῆς Βανέας [1]· πόθῳ δὲ τῷ πρὸς τοὺς

4. — [1] τῶν *add.* Sa.
5. — [1] μάρτυρος *add.* Sa.
1. — [1] τεσσαράκοντα Sa. — [2] νομικοῦ Sa. — [3] ἕως ἂν εἴδει Sa. — [4] καὶ αὐτὸς *add.* Sa.
2. — [1] S, Sa, *al.* Ῥεουκάτου, *latine* Revocatus. — [2] Φιληκειτάτης S, Φιληκιτάτης Sa. — [3] S, Sa, *legendum* Θουβουρβιτανῶν. — [4] συνελλήφθη S. — [5] Φιλικιτάτῃ S, Φιληκιτάτῃ Sa. — [6] ἀναιρεῖται Sa.
1. — [1] σήμερον γίνεται *om.* Sa. — [2] σεπτῷ *add.* Sa. — [3] ἀποστόλου *add.* Sa. — [4] πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας *add.* Sa.
2. — [1] Βλανίας Sa.

Feb. 1.

γλῶτταν ἐκτμηθεὶς τ. — Περπετούας κτλ. (Febr. 2[2]). — **Mv** : 1. 2. 3. 4. — Τιμόθεος. — Θείων. — Καρίων. — Περπετούας. — **Mb** : 1. 2. 3. — Τιμοθέου. — Θείωνος. — Καρίωνος. — **Mr** : 1.

Feb. 2.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. 2. — **P** : 1. 2 : Περπετούας ... ἐκ πόλεως Θουβριτανῶν τῆς Ἀφρικῆς, ἐν Βλαχέρναις. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1 (= S). 2 (= S). — **Bd** : 1. 2. — Βλασίου τοῦ βουκόλου (Febr. 3[3]). — **G** : 1. — **C** : 1. 2. — **Cb** : 1. 2 : Περπετούας καὶ τῶν σὺν αὐτῇ μαρτύρων Σατύρου, Ῥευκάτου, Σατορνίλου καὶ Φηλικιτάτης [1]. Αὕτη ὑπῆρχεν ἐκ πόλεως Θουβριτανῶν [2] τῆς Ἀφρικῆς. Κρατηθεῖσα δὲ παρὰ τῶν ἑλλήνων, προσήχθη τῷ χιλιάρχῳ μετὰ νεανίσκων κατηχουμένων Σατύρου, Ῥευκάτου, Σατορνίλου [3], Σεκούνδου καὶ Φηλικιτάτης. Τῇ δὲ ἁγίᾳ Περπετούᾳ ἦν βρέφος ὑπομάζιον καὶ ἀδελφὸς ὀνόματι Δεινοκράτης [4]. Τιμωροῦνται οὖν τιμωρίαις ἀφορήτοις παρὰ τοῦ χιλιάρχου, εἶτα ἐμβάλλονται εἰς φυλακήν. Καὶ ὁρᾷ ἡ ἁγία Περπετούα κλίμακα χαλκῆν φθάνουσαν ἀπὸ γῆς εἰς οὐρανόν, ἥτις ἐξ ἑκατέρων τῶν μερῶν εἶχεν ἐμπεπηγμένα πᾶν εἶδος κολαστηρίων, ξιφῶν, δοράτων, μαχαιρῶν, ὀβελίσκων, καὶ δράκοντα ὑπὸ τὴν κλίμακα κωλύοντα τοὺς ἀναβαίνοντας. Εἶδε δὲ Σάτυρον ἀναβάντα καὶ στραφέντα καὶ λέγοντα πρὸς αὐτήν· « Περπετούα » νύμφη, περιμένω σε. » Ἦν δὲ ὁ ἀδελφὸς αὐτῆς Δεινοκράτης [4] ἐν ἑτέρᾳ φυλακῇ· καὶ ὁρᾷ περὶ αὐτοῦ ὅτι παρίστατο φιάλη ὕδατος καὶ ἀρυόμενος ἔπινεν ἐξ αὐτοῦ· καὶ ἔγνω ὅτι μετέστη ἀπὸ κολάσεως εἰς ἀνάπαυσιν. Εἶτα παραστᾶσα μετὰ τῶν ἁγίων τῷ χιλιάρχῳ, αὐτὴ μὲν μετὰ Φηλικιτάτης ὑπὸ δαμάλεων ἀγρίων ἐκερατίσθη, εἶτα ὑπὸ τῶν δημίων ἐσφάγη μετὰ τῶν λοιπῶν ἁγίων· καὶ οὕτω παρέδωκαν τὰ πνεύματα ἑαυτῶν ἐν Κυρίῳ. — **Cc** : initio mutil. 2. — **Cd** : 1. 2. — **R** : 1. — **K** : 1. 2. — **M** : 1. — **Mv** : 1. — Ἀγαθοδώρου. — **Mb** : 1. 2. — Τῶν ἁγίων μαρτύρων Παύλου καὶ Σίμωνος. — Τοῦ ὁσίου Κλαυδίου. — **Mr** : 1.

Feb. 3.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1 (... τῷ ὄντι ἐν τῷ σεβασμίῳ ναῷ τῆς ὑπεραγίας Θεοτόκου πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας). — **P** : 1. 2 : Ἀδριανοῦ τοῦ ἐν Καισαρείᾳ. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2 (= S). 3 (= S). — **Bd** : 1. 2. — **G** : 1. 3 (τοῦ ἁγίου μάρτυρος βουκόλου). — **C** : 1. 2 (Ἀδριανοῦ). — **Cb** : 1 : Συμεὼν τοῦ δεξαμένου τὸν Κύριον ἐν ταῖς ἀγκάλαις αὐτοῦ καὶ Ἄννης τῆς προφήτιδος. Οὗτος ἦν δίκαιος, εὐλαβής,

[1] Φιλικητάτης Cb. — [2] Θουβριτάνων Cb, *cf. supra ad* S. — [3] Σατουρνίλου Cb. — [4] Δημοκράτης Cb.

ὁμολογητὰς τοῦ Χριστοῦ ἑλκόμενοι εἰς [2] Καισάρειαν ἀφίκοντο. Φωραθέντες δὲ διὰ τὸ τῆς παρρησίας καθαρὸν χριστιανοὶ [3] εἶναι, προσάγονται Φιρμιλιανῷ τῷ ἄρχοντι, καὶ αὐτίκα πληγὰς κατὰ τῶν νώτων καὶ τῶν πλευρῶν δέχονται καὶ ἑτέραις [4] μείζοσι βασάνοις ὑποβάλλονται. Ὡς δὲ οἱ μὲν εἰς τὴν τοῦ Χριστοῦ ὁμολογίαν ἀκλινεῖς ἵσταντο, ὁ δὲ τῷ θυμῷ ἐξεκαίετο, θηρίοις αὐτοὺς εἰς βορὰν προδίδωσιν [5]. Καὶ ὁ μὲν μακάριος Ἀδριανὸς λέοντι παραβληθεὶς ἀνδρικώτατα τὸν ἀγῶνα διεξῆλθε· ἔπειτα ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται. Ὁ δὲ ἅγιος Εὔβουλος πολλὰς παρακλήσεις καὶ θωπείας ὑπομείνας καὶ μὴ πεισθείς, τὸν αὐτὸν θῆρα καταγωνισάμενος καὶ τὰ ἴσα τῷ προτέρῳ παθών, ὕστατος [6] τοὺς ἄθλους ἐπεσφραγίσατο.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βλασίου τοῦ βουκόλου. Οὗτος ἐκ Καισαρείας τῆς Καππαδοκίας ἕλκων τὸ γένος, γονέων οὐκ ἀγενῶν ἀλλὰ τῶν εὖ γεγονότων ὑπῆρχεν, ἐκ τῆς τῶν βοσκημάτων πληθύος τῆς περιουσίας αὐτῶν αὐξανομένης· ἐξ ὧν καὶ δαψιλεῖς παρεῖχον τοῖς πένησι τὰς εὐεργεσίας. Ἐπεὶ δὲ διωγμοῦ γενομένου ὡς χριστιανὸς ὁ μακάριος ἐζητεῖτο Βλάσιος καὶ οὐχ ηὑρίσκετο [1], ὄρη καὶ νάπαι [2] καὶ βουνοὶ ἐξηρευνῶντο. Ὅπερ μαθὼν ὁ γενναῖος καὶ ὥσπερ ἐπὶ δεῖπνον κεκλημένος βασιλικόν, προθύμως ἑαυτὸν δίδωσι τοῖς διώκουσι καὶ ὡς εὐεργέτας ξεναγεῖ. Ὡς δὲ τῷ δικαστῇ παρέστη καὶ ἠρωτήθη, ἐξεῖπε καὶ τὸ ὄνομα καὶ τὴν πίστιν καὶ τὸ ἐπιτήδευμα· καὶ αὐτίκα αἴρεται ἐκ τεσσάρων καὶ τείνεται καὶ νεύροις [3] ὠμοῖς μαστίζεται. Εἶτα κουφίζει ὁ [4] Θεὸς τὰς ὀδύνας αὐτῷ [5] καὶ θεραπεύει τὰς πληγάς. Οὗ (Feb. 3.) γενομένου, γοητείαν τοῦτο καλέσας [6] ὁ ἡγεμὼν λέβητι μεγίστῳ ὕδατος καχλάζοντος πλήρει τὸν ἅγιον ἐμβάλλει. Καὶ ἦν θαῦμα καὶ ἔκπληξις τὸ ὁρώμενον, ἄνθρωπος ὡς ἱμάτιον ἀναβαλλόμενος | (f. 150.) τὸ πῦρ, ἐξ οὗ καὶ ἐφθέγγετο. Καὶ τί μετὰ ταῦτα; ἡμέρας πέντε τῷ λέβητι ἐνδιατρίβειν ὁ ἅγιος κατακρίνεται· ἄγγελοι δὲ αὐτῷ θαρρεῖν ἐγκελευσάμενοι [7] τὴν ἐκ τοῦ πυρὸς βλάβην ἀπεσκέδαζον. Ὅθεν οἱ τὸν ἅγιον τοῦ λέβητος ἐξενεγκεῖν προσταγέντες στρατιῶται ζῶντά τε αὐτὸν ἰδόντες καὶ τοῖς ἀγγέλοις συμψάλλοντα, χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν. Τοῦτο μαθὼν ὁ ἡγεμὼν ἑτέρους στρατιώτας ἐξέπεμψεν· ἀλλὰ καὶ αὐτοὶ παραγενόμενοι χριστιανοὺς ἑαυτοὺς ἀνηγόρευσαν [8]. Εἶτα καὶ αὐτὸς ὁ ἡγεμὼν ἐλθὼν [9] καὶ τὸν ἅγιον ἐν τῷ τοῦ λέβητος βράσματι θεασάμενος καὶ ὑποτοπάσας ἐψύχθαι τὸ ὕδωρ, τὰς ὄψεις αὐτοῦ ἀντλῆσαι προσέταξε. Καὶ τούτου γενομένου, μετὰ τῶν ὄψεων καὶ τὴν ψυχὴν ἀπεβάλετο [10]. Ὁ δὲ τοῦ Χριστοῦ μάρτυς πάντας τοὺς πιστεύσαντας ἐκ τοῦ λέβητος ἐκείνου περιρραντίσας [11] εἰς τὸ τῆς ἁγίας Τριάδος ἐβάπτισεν ὄνομα. Ἐγγὺς δὲ τῆς ἐπαύλεως τῶν ἑαυτοῦ γενόμενος βοῶν τῇ τε μητρὶ καὶ τοῖς ἰδίοις ἐπισκήψας τὰ προσήκοντα, τὸ πνεῦμα τῷ Θεῷ παρατίθησιν [12]. Οἱ δὲ παρατυχόντες τῇ ἁγίᾳ αὐτοῦ [13] τελειώσει, εἶδον ὡς [14] περιστερὰν φωτοειδῆ καὶ λευκὴν τοῦ σώματος ἀναπτᾶσαν τοῦ μάρτυρος καὶ πρὸς οὐρανὸν ἀνελθοῦσαν· διὸ καὶ τὸ ἱερὸν αὐτοῦ σῶμα ἐν [15] αὐτῷ τῷ τόπῳ κατατίθεται. Καὶ ἡ αὐτοῦ ῥάβδος παρὰ τῷ θυσιαστηρίῳ πήγνυται· ἥτις προστάγματι θείῳ βλαστήσασα καὶ δενδρωθεῖσα τὸ θυσιαστήριον [16] κατεσκίασεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ, Δ'.

Feb. 4.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰσιδώρου τοῦ Πηλουσιώτου [1]. Ὃς Αἰγύπτιος ὑπάρχων τὸ γένος, εὐγενῶν καὶ θεοφιλῶν <γονέων [2]> υἱὸς ἐγνωρίζετο, συγγενὴς ὢν Θεοφίλου [3] καὶ Κυρίλ-

— [2] *om.* Sa. — [3] Sa, χριστιανούς S. — [4] ἑτέροις Sa. — [5] ἐκδίδωσι Sa. — [6] ὕστατον Sa.
3. — [1] εὑρίσκετο Sa. — [2] καὶ ἐρημίαι *add.* Sa. — [3] βουνεύροις Sa. — [4] *om.* Sa. — [5] αὐτοῦ Sa. — [6] κα]λέσας *corr. in marg.* Sa. — [7] ἐνκελευσάμενοι S. — [8] (τοῦτο - ἀνηγόρευσαν) *om.* Sa. — [9] ἀνελθὼν Sa. — [10] ἀπεβάλλετο S. — [11] περὶ ῥαντίσας S. — [12] παρατίθεται Sa. — [13] αὐτοῦ ἁγ. Sa. — [14] ὡσεὶ Sa. — [15] *om.* Sa. — [16] Sa, τῷ θυσιαστηρίῳ S.
1. — [1] Sa, Πηλωσιώτου S. — [2] Sa, *om.* S. — [3] Θεοφίλλου S.

Feb. 3.

ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ προσδεχόμενος λύτρωσιν τῶν κακῶν Ἱερουσαλήμ. Προσεδρεύων γὰρ ἐν τῷ ναῷ καὶ προσκαρτερῶν προσηύχετο τῷ Θεῷ, ὅπως τὸ διὰ τῶν προφητῶν κηρυττόμενον σωτήριον τοῦ Θεοῦ κατιδεῖν. Καὶ ἀποσταλεὶς ἄγγελος τοῦ Θεοῦ ἐχρημάτισεν αὐτῷ καὶ εἶπε μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἰδεῖν τὴν δόξαν Κυρίου, τουτέστι τὸν υἱὸν τοῦ Θεοῦ ἐνανθρωπήσαντα καὶ ἐλθόντα τοῦ σῶσαι τὸ γένος τῶν ἀνθρώπων. Ὁμοίως καὶ Ἄννα ἡ προφῆτις τὰ ὅμοια προσευχομένη, προσεδέχετο καὶ αὐτὴ τὴν τοιαύτην δόξαν. Ὅθεν ἰδὼν ὁ Συμεὼν ὅπερ ἐπόθει, καὶ κρατήσας ἐν ταῖς ἀγκάλαις αὐτοῦ καὶ εἰπών· (Luc. 2, 29-32.) « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι » εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς » ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ, » καὶ προφητεύσας περὶ τοῦ σταυροῦ καὶ τοῦ θανάτου αὐτοῦ, καὶ ὅτι ῥομφαία διελεύσεται λύπης τὴν καρδίαν τῆς ἀχράντου Θεοτόκου ὁρώσης τὸν υἱὸν ἐπὶ σταυροῦ κρεμάμενον, ἐν εἰρήνῃ ἐκοιμήθη. Ὁμοίως καὶ ἡ προφῆτις Ἄννα ἐν βαθυτάτῳ γήρει πρὸς Κύριον ἐξεδήμησε. — **Cc** : 1. 2 (Ἀδριανοῦ). — **Cd** : 1. 2 (Ἀδριανοῦ). — **R** : 1. 2. 3. — **K** : 1. 2. 3. — **M** : 1. 2. 3. — Ὁ προφήτης Ἀζαρίας ὁ υἱὸς Ἀδδὼ ἐν εἰρήνῃ τ. (Febr. 5[4]). — Παῦλος καὶ Σίμων οἱ μάρτυρες ξ. τ. — Κλαύδιος ἐν εἰρήνῃ τ. [1]. — **Mv** : 1. 2. 3. — Ἀζαρίας. — Παῦλος καὶ Σίμων. — Κλαύδιος. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κατὰ τὸ σάββατον τοῦ τυροφάγου, μνήμη τῶν δικαίων ψυχῶν. — **Mb** : 1. 2. 3. — **Mr** : 1.

Feb. 4.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 2 (Παπία κτλ.). — 1. — Τοῦ ὁσίου Κλαυδίου. — **P** :

[1] *lineas tres del. corr.* M.

Feb. 4.

λου τῶν τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπων. Οὗτος γράμμασι[4] τῆς τε[5] θείας γραφῆς καὶ τῆς ἔξω εἰς ἄκρον ἐξησκημένος, πάμπολλα συγγράμματα λόγου καὶ μνήμης ἄξια τοῖς φιλομαθέσιν καταλέλοιπεν. Καταλιπὼν[6] γὰρ παντοῖον πλοῦτον, γένος λαμπρόν, εὐδαιμονίαν βίου, καταλαμβάνει τὸ Πηλούσιον ὄρος καὶ τὸν μοναχικὸν[7] ὑπεισέρχεται βίον· ἐκεῖσέ τε[8] σχολάζων καὶ τῷ Θεῷ ἐντυγχάνων, ἅπασαν τὴν οἰκουμένην τοῖς θείοις αὐτοῦ λόγοις διδάσκων ἐφώτιζεν, ἁμαρτάνοντας ἐπιστρέφων, τοὺς κατορθοῦντας ἐπιστη|ρίζων (f. 150v.), τοὺς ἀπειθοῦντας τῷ τμητικῷ τῶν θείων ἐλέγχων αὐτοῦ[9] πρὸς ἀρετὴν διεγείρων, ἀλλὰ καὶ βασιλεῖς πρὸς τὸ τῆς οἰκουμένης[10] συμφέρον ὑπομιμνήσκων καὶ νουθετῶν, καὶ ἁπλῶς πᾶσι τοῖς αὐτὸν ἐρωτῶσι τὰς τῆς θείας γραφῆς ῥήσεις σοφώτατα διερμηνεύων. Λέγεται δὲ εἶναι τὰς τούτου ἐπιστολὰς ὡσεὶ χιλιάδας δέκα. Οὕτως ἄριστα[11] βιώσας καὶ κατὰ Θεὸν πολιτευσάμενος, ἐν γήρᾳ βαθεῖ καταλύει τὸν βίον.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Παππίου[1], Διοδώρου καὶ Κλαυδιανοῦ. Οὗτοι ὑπῆρχον ἐκ τῆς Ἀτταλέων πόλεως τῆς Παμφυλῶν ἐπαρχίας, κατὰ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως, ἐπιτήδευμα μὲν ἔχοντες τὸ κτηνοτροφεῖν, θρησκεύοντες δὲ καὶ προσκυνοῦντες τὸν Χριστὸν ὡς ἀληθινὸν ὄντα Θεόν. Διά τοι τοῦτο καὶ ὑπὸ Πουπλίου τοῦ ἡγεμόνος Παμφυλίας συλλαμβάνονται, καὶ μὴ πεισθέντες τὴν εἰς Χριστὸν ἀπομόσασθαι πίστιν, ξίφει τὰς κεφαλὰς ἀφαιροῦνται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου τοῦ ὁμολογητοῦ καὶ Στουδίτου. Οὗτος ὁ ὅσιος ἔφυ μὲν ἐκ τῆς τῶν Κρητῶν[1] νήσου. Τὸν συγγενέα δὲ αὐτοῦ Θεοφάνην βουλόμενος θεάσασθαι, τὴν Κωνσταντινούπολιν καταλαμβάνει. Καὶ τοῦτον συγκατειλεγμένον τῇ ἀδελφότητι τῶν Στουδίου εὑρών, καὶ αὐτὸς τὸν μονήρη βίον ὑποδύεται. Διὰ πάσης δὲ παιδεύσεως διελθὼν καὶ τῆς μοναχικῆς ἀγωγῆς τὰ σύμβολα ἀκριβέστατα διδαχθείς, χειροτονεῖται πρεσβύτερος· εἰς γὰρ τὸ ἀκρότατον[2] τῆς ἀρετῆς ἔφθασεν. Τί τὸ ἐντεῦθεν; ἐξορίαν σὺν[3] Θεοδώρῳ τῷ τῆς μονῆς προεστῶτι ὁ θεῖος Νικόλαος κατακρίνεται· κἀκεῖθεν ἀνακληθέντες βουνεύροις τύπτονται παρὰ Λέοντος τοῦ θηριωνύμου καὶ μισοχρίστου, ὅτι προσκυνηταὶ τῶν θείων εἰκόνων τυγχάνουσιν· εἶτα φρουροῦνται, καὶ αὖθις ἐρωτηθέντες, μαστίζονται καὶ τῇ εἱρκτῇ δεσμευθέντες ἐναπορρίπτονται. Τρισὶ δὲ ἔτεσι τῇ φρουρᾷ προσκαρτερήσαντες καὶ λιμῷ καὶ δίψει καὶ γυμνότητι προσπαλαίσαντες[4], ἐν τῇ Σμυρναίων ἐκπέμπονται· κἀκεῖσε μαστιχθέντες καὶ τῇ φρουρᾷ ἐμβληθέντες, ξύλῳ τοὺς πόδας ἐμβάλλονται. Εἴκοσι δὲ μηνῶν | (f. 151.) παρῳχηκότων, τελευτᾷ τὸν βίον <ὁ Λέων[5]> καὶ πρὸς τὰ ἐκεῖθεν δικαιωτήρια παραπέμπεται. Τότε οἱ μακάριοι τοῦ Χριστοῦ ὁμολογηταὶ ἀνεθέντες τὴν Χαλκηδόνα καταλαμβάνουσι, καὶ τὸν τρισόλβιον Νικηφόρον πατριάρχην κατασπασάμενοι, διῆγον ἅμφω· καὶ μετὰ μικρὸν ἐν τῇ Προύσῃ περιορίζονται, Μιχαὴλ τοῦ Καίσαρος τοῦτο προστάξαντος· εἶτα ἐν τῷ Ἀκρίτᾳ, ἐν ᾧ καὶ ὁ πολύαθλος Θεόδωρος πρὸς Κύριον ἐξεδήμησεν. Ἀλλὰ Μιχαὴλ τοῦ ἄνακτος τὸν βίον ἀπολιπόντος καὶ Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ τῆς βασιλείας δραξαμένου, πάλιν κατὰ τῶν εὐσεβῶν βαρὺς ἀνερριπίζετο πόλεμος. Καὶ αὐτοῦ δὲ τοῦ Θεοφίλου τὸν βίον καταστρέψαντος καὶ Θεοδώρας τῆς εὐσεβεστάτης καὶ Μιχαὴλ τοῦ ταύτης υἱοῦ τῆς βασιλείας ἐπειλημμένων καὶ εἰρήνης σταθηρᾶς γενομένης, ἐπεὶ Βασίλειος ὁ ἐκ Μακεδονίας τὴν βασιλείαν διεδέξατο, τὸν ὅσιον τοῦτον καὶ πολύαθλον Νικόλαον πολλαῖς παρακλήσεσιν πείσας, ἡγούμενον τῶν Στουδίου καθιστᾷ. Τοσούτους οὖν καὶ τηλικούτους ἀγῶνας ὁ τρισόσιος διανύσας, καὶ ὑπὸ τῆς πολλῆς κακουχίας τρυχωθεὶς ἑβδομήκοντα καὶ πέντε χρόνους τελέσας, ἐν εἰρήνῃ ἀνεπαύσατο.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ ἐν Εἰρηνουπόλει, ἑνὸς τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ.

— [4] τὴν παίδευσιν Sa. — [5] *om.* Sa. — [6] καταλοιπὸν S. — [7] Sa, μοναχόν S. — [8] δὲ Sa. — [9] θείων αὐτοῦ λόγων ἐλέγχων Sa. — [10] τῇ οἰκουμένῃ Sa. — [11] ἀρίστως Sa.
2. — [1] Παπίου Sa.
3. — [1] κριτῶν Sa. — [2] ἄκρον Sa. — [3] τῷ μεγάλῳ *add.* Sa. — [4] προσταλαιπωρήσαντες Sa. — [5] Sa, *om.* S.

Feb. 4. 1. 2. — **Da** : 1. 2. 3 (= F). — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 2. 1. — Ἀβραμίου τοῦ Πέρσου (Febr. 5[2]). — **Ba** : 1 (= S). 2 (= S). 3 (= S). — **Bd** : 2. 1. 3. — **G** : 1. 3. — **C** : 2. 1. — **Cb** : Ἀδριανοῦ τοῦ ἐν Καισαρείᾳ[1] μαρτυρήσαντος. Οὗτος ὑπῆρχεν ἐπὶ Δεκίου βασιλέως, ἐκ τῆς Σαταλέων πόλεως τῆς Παμφύλων[2] ἐπαρχίας, ἐπιτήδευμα μὲν ἔχων τῇ τέχνῃ κτηνοτρόφος, χριστιανὸς δὲ τὴν θρησκείαν. Συλλαμβάνεται[3] οὖν ὑπὸ Πουπλίου τοῦ ἡγεμόνος τῆς Παμφυλίας. Καὶ ἐρωτηθέντες ὡμολόγησαν τὸ ὄνομα τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Καὶ ἀναγκασθέντες[4] ἀρνήσασθαι αὐτόν, οὐκ ἐσάλευσαν τὸν νοῦν τῆς ἀγάπης τοῦ Χριστοῦ, ἀλλὰ καὶ ὕβρεσιν ἔβαλλον τὸν ἡγεμόνα. Ξίφει οὖν τούτων ἐκτέμνει τὰς κεφαλάς· καὶ κηδεύονται ὑπὸ χριστιανῶν[5] (cf. Feb. 3[2], 4[2]). — 1. — **Cc** : 2. 1. — **Cd** : 2. 1. — Καὶ μάρτυρος Κλαυδίου. — **R** : 1. 2. 3. — **K** : 1. 2. 3. — **M** : 1. 3. — Ἀβραμίου ἐπισκόπου Ἀρβήλ (Feb. 5[2]). — 4. — Τοῦ ἁγίου μάρτυρος Θεοκτίστου. — Ἰάσιμος ὁ θαυματουργὸς ἐν εἰρήνῃ τ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῆς τυροφάγου, ὅτε μνήμην ποιούμεθα τῆς ἐξορίας τῶν πρωτοπλάστων. — **Mv** : 1. 3. — Ἀβραμίου. — 4. — Θεοκτίστου. — Ἰάσιμος. — Κυριακὴ τῆς τυροφάγου. — **Mb** : 1. 2. 3. — Ἀβραμίου. — Ἰασίμου, τοῦ αὐτοῦ μαθητοῦ. — **Mr** : 1.

[1] Κεσαρεία Cb. — [2] Παμφίλων Cb. — [3] *supple c. c.* μετ' ἄλλων. — [4] ἀναγκασθεὶς Cb. — [5] αὐτῶν ταῖς πρεσβείαις σῶσον ἡμᾶς ὁ Θεὸς ὡς εὔσπλαγχνος *add.* Cb.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε΄.

Feb. 5.

1. Ἄθλησις τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Ἀγάθης. Αὕτη ἦν ἐκ πόλεως Πανόρμου, τῆς κατὰ Σικελίαν, ὥρᾳ σώματος καὶ ἀφθορίᾳ καὶ κάλλει ψυχῆς διαλάμπουσα καὶ πλούτῳ κομῶσα. Κατὰ δὲ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως, Κυντιανῷ τῷ ἡγεμόνι προσάγεται καὶ πρῶτον μὲν παραδίδοται Ἀφροδισίᾳ τινὶ γυναικὶ τοῦ μετατεθῆναι παρ' αὐτῆς τῆς εἰς Χριστὸν πίστεως. Ὡς δὲ κραταίως αὐτῆς εἴχετο καὶ μᾶλλον ἐπεθύμει τὸν διὰ μαρτυρίου θάνατον ὑποστῆναι, αἰκίζεται σφοδρῶς καὶ τὸν μαστὸν ἐκκόπτεται· ὃν ἐπιστὰς ὁ πανεύφημος ἀπόστολος τοῦ Κυρίου Πέτρος ἐν τῇ φρουρᾷ κατέστησεν ὑγιῆ. Εἶτα ἐπ' ὀστράκου κεκομμένου σύρεται καὶ πυρὶ καταφλέγεται· καὶ βληθεῖσα ἐν τῇ φυλακῇ τὸ πνεῦμα τῷ Θεῷ[1] παρέθετο. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τῷ Τρικόγχῳ[2].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ἀβραμίου τοῦ Πέρσου. Οὗτος ἦν ἐπὶ Σαβωρίου[1] βασιλέως Περσῶν, πόλεως[2] Ἀρβῆλ ἐπίσκοπος[3]. Φωραθεὶς δὲ ὅτι τὸν Χριστὸν σέβεται, καὶ προσαχθεὶς Ἀδελ|φωρᾷ (f. 151v.) τῷ ἀρχιμάγῳ καὶ μὴ πεισθεὶς τὸν Χριστὸν ἀθετῆσαι, μᾶλλον δὲ καὶ ἄγνοιαν καταγνοὺς τοῦ τε ἀρχιμάγου καὶ αὐτοῦ τοῦ βασιλέως, τέμνεται τὴν κεφαλήν.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου. Ὃς[1] Ἀντιοχεὺς ὢν τὸ γένος, λαμπροτάτων καὶ περιφανεστάτων <γονέων[2]> υἱὸς γέγονεν· ἐν δὲ τῷ πρὸς Κιλικίας[3] ὄρει, τῷ πλησιάζοντι τῇ Ῥοσῷ καλουμένῃ πόλει, τῇ πρὸς Κιλίκων κόλπῳ κειμένῃ, νάπην εὑρὼν πρὸς θάλασσαν ἀποκλίνουσαν, ἐν αὐτῷ[4] οἰκίσκον βραχύτατον ᾠκοδόμησε νηστείαις καὶ χαμευνίαις συντόνοις σχολάζων. Τὸ ἔνδυμα δὲ αὐτοῦ ἐκ τριχῶν ὑπῆρχε, ἀλλὰ καὶ σιδήρου βαρὺ φορτίον ἐν τῷ ἑαυτοῦ αὐχένι ἐβάσταζε καὶ τῇ ὀσφύϊ καὶ ταῖς χερσίν. Ἐκ τῶν τοιούτων δὲ πόνων πολλῆς ἔτυχε παρὰ τῷ Θεῷ χάριτός τε καὶ παρρησίας. Ἐκ πέτρας γὰρ ξηρᾶς καὶ ἀνίκμου ὕδωρ ῥυῆναι πεποίηκεν. Οὕτω πολυθρυλλήτου γεγονότος, οἱ τὸν κόλπον ἐκεῖνον τὸν Κιλίκιον παραπλέοντες καὶ ναυτιῶντες[5] τὸ Θεοδοσίου ὄνομα ἐπικαλούμενοι τῆς ζάλης ἠλευθεροῦντο. Γέγονε δὲ αὐτὸν καὶ εἰς Ἀντιόχειαν παραγενέσθαι, διὰ τὸ κατατρέχειν τοὺς Ἰσαύρους τὴν τῶν Κιλίκων χώραν· ἐν ᾗ πολλὰ ἀγωνισάμενος πρὸς Κύριον ἐξεδήμησεν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου προφήτου Ἀζαρίου[1]. Οὗτος ἦν υἱὸς Ἀδδῶ ἐκ γῆς Σεμβαθᾶ[2]· ὃς ἀπέστρεψεν ἐξ Ἰσραὴλ τὴν αἰχμαλωσίαν Ἰούδα[3]· καὶ θανὼν ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

5. Καὶ[1] μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πολυεύκτου τοῦ νέου ἐπισκόπου Κωνσταντινουπόλεως.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛ΄.

Feb. 6.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βουκόλου ἐπισκόπου Σμύρνης. Οὗτος ἐκ νεαρᾶς ἡλικίας ἑαυτὸν καθαγνίσας, δοχεῖον γέγονε τοῦ ἁγίου Πνεύματος· ὃν εὑρὼν δόκιμον καὶ ἄξιον[1] ὁ πανεύφημος καὶ φιλούμενος ὑπὸ Χριστοῦ θεῖος Ἰωάννης ὁ θεολόγος ἐπίσκοπον καὶ ποιμένα εὔχρηστον προχειρίζεται τῆς Σμυρναίων μεγαλοπόλεως. Ὃς ὑπὸ τοῦ ἁγίου Πνεύματος λαμπαδουχούμενος, τοὺς ἐν σκότει πλάνης φωταγωγεῖ καὶ διὰ τοῦ βαπτίσματος υἱοὺς ἡμέρας καθιστᾷ, μυρίων θηρίων ἀνημέρων αὐτοὺς περισώζων. Αὐτὸς δὲ πρὸ τοῦ τὸν βίον μεταλλάξαι, τὸν μακάριον Πολύκαρπον ἐν ταύτῃ τῇ πόλει ποιμένα καὶ διδάσκαλον τῶν λογικῶν[2] προβάτων προχειρισάμενος, μεθί|σταται (f. 152.) τοῦ βίου. Καὶ ὑπὸ γὴν τοῦ τιμίου αὐτοῦ σώματος τεθέντος, φυτὸν ἐκ τῆς γῆς ἀναβλαστῆσαι ὁ Θεὸς ἐποίησε, παρέχων ἰάσεις μέχρι τῆς σήμερον.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος

1. — [1] τῷ Θεῷ τὸ πνεῦμα Sa. — [2] *lege quae add.* Sa *inter* Synaxaria selecta.
2. — [1] τοῦ Sa. — [2] ἐκ πόλεως ὀνομαζομένης Sa. — [3] τὴν ἀξίαν *add.* Sa.
3. — [1] οὗτος Sa. — [2] Sa, *om.* S. — [3] Κιλικίαν Sa. — [4] αὐτῇ Sa. — [5] ναυτιλλόμενοι Sa.
4. — [1] Ζαχαρίου Sa. — [2] S, Sa, *al.* Συβαθά, Συμβαθᾶ, Nestle, Vit. prophet., *pp. 30, 31.* — [3] Ἰσόδα Sa.
5. — [1] τῇ αὐτῇ ἡμέρα Sa.
1. — [1] δεξιὸν Sa. — [2] τοῦ Χριστοῦ *add.* Sa.

Feb. 5. SYNAXARIA SELECTA. **Sa** : 1, des. : Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τῷ Τρικόγχῳ καὶ πέραν ἐν τῷ κάστρῳ τῶν Ῥῶς. — 3. 2. 4. 5. — **H** : 2. 1. — **P** : 2. 1. — **Da** : 1. 2. 3. — **Db** : 1. 3. — Βουκόλου (Febr. 6[1]). — 2. — **F** : 1. 4 (Ζαχαρία). — 2. 3. — **Fa** : 1. 4. 2. 3. — **B** : 1. — **Ba** : 1 (= S). 2 (= S). 3 (= S). — **Bd** : 1. — **G** : 1. — **C** : 2. 1. — **Cb** : 2. 1. — **Cc** : 2. 1. — **Cd** : 2. 1. — **R** : 1. 3. 4 (Ζαχαρία). — **K** : 1. 2. — **M** : 1. — Θεοδούλης (Ian. 18[0]). — Ἡ ἐν τῷ ἁγίῳ πάσχα ἀρχὴ τῆς μ', ἤτοι τῇ δευτέρᾳ τῆς πρώτης ἑβδομάδος. — **Mv** : 1. — Θεοδούλης. — 3. 4. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κτλ. — **Mb** : 1. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα τῆς τυροφάγου, ὅτε μνήμην ποιοῦμεν τῆς ἐξορίας τοῦ πρωτοπλάστου. — 3. 4. 5. — Θεοδούλης. — **Mr** : 1.

Feb. 6. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 2 (Ἰουλιανοῦ ἐν Ἐδέσσῃ). — 3. 4. 2 (Σιλουανοῦ ἐν Ἐμέσσῃ). — 6. — **P** : 2 (Ἰουλιανοῦ ἐπὶ τῆς βασιλείας Νουμεριανοῦ). — 3. 5. 4. 2 (Ἰουλιανοῦ τοῦ ἐν Ἐμέσῃ). — **Da** : 1. 2. 3. — **Db** : 2. 3. — **F** : 1. 2. 3. 4. 5. — **Fa** : 1. 2. 3. 4. 5. — **B** : 2 (Ἰουλιανοῦ). — 3. 2 (Σιλβανοῦ, Λουκᾶ καὶ Μωκίου). — Μνήμη τοῦ ἁγίου Φαύστου ἐπισκόπου. — 1. — **Ba** : 1 (= S). 2 (= S, mutil.). — **Bd** : 2 (Ἰουλιανοῦ). — 3. — Τοῦ ἁγίου ἱερομάρτυρος Νέστορος. — 2 (Σιλουανοῦ ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ διακόνων). — 1. — **G** : 1. 3. — **C** : 2 (Ἰουλιανοῦ τοῦ ἐν Ἐμέσῃ). — 3. — 2 (Σιλουανοῦ ἐπισκόπου, Λουκᾶ διακόνου καὶ Μοκίμου ἀναγνώστου). — 4. 5. 6 (Φωτίου πατριάρχου

Feb. 6. Ἰουλιανοῦ τοῦ ἐν Ἐμέσῃ[1]. Οὗτος ἦν ἐξ Ἐμέσης τῆς πόλεως, ἐν ἀκμῇ τῆς ἡλικίας τὰ πρὸς Θεὸν εὐσεβῶν, δοκῶν μὲν ἐπιμελεῖσθαι διὰ τῆς ἰατρικῆς τῶν ἀνθρωπίνων σωμάτων, πλείω δὲ ποιούμενος πρόνοιαν τῶν ψυχῶν· οὐχ ἧττον γὰρ ἦν τούτων ἢ ἐκείνων ἰατρός. Συλληφθέντων οὖν Σιλουανοῦ τοῦ ἐπισκόπου καὶ Λουκᾶ διακόνου καὶ Μωκίου ἀναγνώστου, κατὰ τοὺς καιροὺς Νουμεριανοῦ τοῦ βασιλέως, παρὰ τῶν εἰδωλολατρῶν καὶ κατα-δικασθέντων θηρίοις γενέσθαι βοράν, ὁ ἅγιος Ἰουλιανὸς ἀπαγομένους[2] αὐτοὺς καταλαβὼν ἠσπάσατο· διὸ συλληφθεὶς καὶ αὐτός, μετὰ τὴν ἀναίρεσιν αὐτῶν τῇ τοῦ ξίφους τιμωρίᾳ καθυπάγεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Φαύστης καὶ τῶν σὺν αὐτῇ Εὐϊλασίου καὶ Μαξίμου[1]. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Κυζίκου. Τυχοῦσα δὲ γεννητόρων πλουσίων καὶ εὐγενῶν, μετὰ τὴν αὐτῶν ἀποβίωσιν ἐν πολλῇ περιουσίᾳ κατελείφθη[2]. Οὔτε δὲ τὸ[3] νέον τῆς ἡλικίας οὔτε ἡ τοῦ πλούτου ἀπάτη τῶν σπουδαίων αὐτὴν ἀπέστησε πράξεων, ἀλλ' ἐν ἀφθορίᾳ καὶ νηστείᾳ καὶ προσευχῇ ἑαυτὴν συνεῖχε. Τῆς δὲ περὶ αὐτὴν[4] φήμης μέχρι τοῦ βασιλέως διαδοθείσης, ἀπεστάλη παρ'[5] αὐτοῦ Εὐϊλάσιός τις τῶν ἐπιφανῶν, τοῦ πεῖσαι αὐτὴν θῦσαι τοῖς θεοῖς ἢ μὴ πεισθεῖσαν τῷ βυθῷ τῆς θαλάσσης παραδοῦναι. Ὁ δὲ πᾶσαν πεῖραν βασάνων[6] αὐτῇ προσαγαγών, ὡς εἶδε[7] παραδόξως τε ἐξ αὐτῶν σωθεῖσαν καὶ θαύματα κατεργασαμένην, ἐπίστευσε τῷ Χριστῷ· καὶ αὖθις πέμπεται ἐπὶ τὸν Εὐϊλάσιον καὶ τὴν ἁγίαν μάρτυρα Μαξιμῖνος ὁ ἔπαρχος ἀμφοτέρους δὲ δειναῖς βασάνοις ὑποβαλών, διὰ τῶν θαυματουργιῶν καὶ προσευχῶν τῆς μάρτυρος προσῆλθε καὶ αὐτὸς τῷ Χριστῷ· καὶ ἐν τῷ τηγάνῳ, ὃ κατὰ τῶν ἁγίων αὐτὸς κατεσκεύασε, αὐθαιρέτως ἐμβάς, μετ' αὐτῶν[8] τὸν τοῦ μαρτυρίου δρόμον διήνυσε.

4. Τῇ αὐτῇ <ἡμέρᾳ[1]> καὶ[2] ἄθλησις τῶν ἁγίων μαρτύρων Φαύστου καὶ Βασιλείου τοῦ ἐν τοῖς Δαρείου.

5. Καὶ μνήμη τοῦ ὁσίου[1] Βαρσανουφίου.

6. Καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Φωτίου. Τελεῖται δὲ ἡ αὐτοῦ[1] σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου τῷ | ὄντι ἐν τοῖς Ἠρεμίας. f. 152v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

Feb. 7. **1.** Μνήμη τοῦ ἁγίου[1] Παρθενίου ἐπισκόπου Λαμψάκου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, υἱὸς Χριστοφόρου[2] διακόνου τῆς κατὰ Μελιτόπολιν ἐκκλησίας, γραμμάτων μὲν ἄπειρος πᾶσαν δὲ τὴν πρακτικὴν ἀρετὴν μετιέναι σπουδάζων· καὶ προκάλυμμα ταύτης τὴν τῶν ἰχθύων ποιούμενος ἄγραν, τοῖς αἰτοῦσιν αὐτῶν[3] μετεδίδου. Τοσαύτη δέ τις ἦν κρυπτομένη ἐν αὐτῷ εὐσέβεια καὶ ἀρετή, ὡς καὶ χάριν παρὰ Θεοῦ λαβεῖν, δαίμονας ἀπελαύνειν καὶ παντοίας νόσους ἰᾶσθαι. Ἐπιμέλειαν δὲ ποιησάμενος τῆς τῶν γραμμάτων μαθήσεως, χειροτονεῖται πρεσβύτερος ὑπὸ Φιλίππου τοῦ ἐπισκόπου Μελιτοπόλεως· καὶ αὖθις ἐπίσκοπος τῆς Λαμψάκου ὑπὸ Ἀσχολίου[4] μητρο-

2. — [1] Ἐμέσσῃ S, Sa. — [2] ἀπαγόμενος Sa.
3. — [1] Μαξιμίνου Sa. — [2] κατελλείφθη S. — [3] τὸν S. — [4] αὐτῶν Sa. — [5] πρὸς Sa. — [6] βασάνων πεῖραν Sa. — [7] καὶ εἶδε Sa. — [8] μετ' αὐτῶν *om.* Sa.
4. — [1] *om.* S. — [2] *om.* Sa.
5. — [1] πατρὸς ἡμῶν *add.* Sa.
6. — [1] αὐτῶν Sa.
1. — [1] ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Sa. — [2] Χρηστοφόρου S. — [3] αὐτῷ S, αὐτὰ Sa. — [4] Ἀχολίου Sa.

Feb. 6. Κωνσταντινουπόλεως, manu rec. del.). — **Cb** : 2 (Ἰουλιανοῦ). — 3. 2 : Σιλουανοῦ ἐπισκόπου καὶ Λουκᾶ διακόνου καὶ Μωκίου ἀναγνώστου. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Νουμεριανοῦ ἐκ τῆς χώρας τῶν Ἐμεσηνῶν[1]. Καὶ ὁ μὲν ἅγιος Σιλουανὸς ἐπίσκοπος ἦν τῆς αὐτῆς πόλεως, ὁ δὲ Λουκᾶς διάκονος, ὁ δὲ Μώκιος ἀναγνώστης. Οἵτινες διδάσκοντες τὸν λόγον τοῦ Θεοῦ καὶ τὸν Χριστὸν Θεὸν ἀληθινὸν κηρύττοντες, ἐκρατήθησαν ὑπὸ τῶν τοῦ διαβόλου ὑπηρετῶν, καὶ παρέστησαν τῷ τῆς Συρακούσης ἡγεμόνι, ἐκεῖσε τότε ἐνδημοῦντι. Ἐρωτηθέντες δὲ καὶ ὁμολογήσαντες τὸ ὄνομα τοῦ Χριστοῦ καὶ δεσπότου καὶ πολλὰς βασάνους ὑπομείναντες, ψῆφον παρ' αὐτοῦ δέχονται, ὥστε κατὰ τὴν τότε τῶν Ἐμεσηνῶν[1] κρατοῦσαν συνήθειαν θηρίοις παραδοθῆναι. Ἀπαγομένων δὲ αὐτῶν, ἰδὼν αὐτοὺς ὁ καλλίνικος μάρτυς Ἰουλιανός, ὁ παρ' αὐτῶν διδαχθεὶς τὴν πίστιν τοῦ Χριστοῦ, προσελθὼν ἠσπάσατό τε αὐτοὺς καὶ ἐπηύξατο τελειῶσαι τὸ μαρτύριον. Οἱ δὲ ἅγιοι κατὰ τὴν τοῦ ἄρχοντος[2] ψῆφον ἐπὶ τοῦ σταδίου ἀπαχθέντες καὶ προσευξάμενοι, θηρίων αὐτοῖς ἐπαπολυθέντων, ἐπλήρωσαν τὴν εἰς Χριστὸν ὁμολογίαν, παραθέμενοι τὰ πνεύματα αὐτῶν τῷ Θεῷ. — **Cc** : 2, mutil. — **Cd** : 2 (Ἰουλιανοῦ, dein Σιλουανοῦ κτλ.). — 3. 4. 5. 1. — **R** : 1. 2. 3. 6. — Τῶν ἁγίων χιλίων μαρτύρων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων (Febr. 12[1]). — **K** : 1. 2. 3. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mb** : 1. 2. 3. 4. — 2 (Σιλουανοῦ τοῦ ἐν Ἐμέσῃ). — 5. 6. — **Mr** : 1.

Feb. 7. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ εὐκτηρίῳ αὐτοῦ τῷ ὄντι ἐν τῷ Ὀξεοβαφίῳ. — 2. 3. 4. 5. — **H** : Τῶν ἁγίων χιλίων μαρτύρων τῶν ἐν Νικομηδείᾳ (Feb. 12[1]). — 1. 4. 5. — **P** : Τῶν ἁγίων γ' μαρτύρων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων. Οὗτοι ὑπῆρχον οἰκέται τῶν δ' προτικτόρων, ὑφ' ὧν κατεσχέθησαν ἐκ προστάγματος Διοκλητιανοῦ βασιλέως (Feb. 12[1]). — 1. 4 (Σαραπίωνος τῆς Κύπρου). — 5. — **Da** : 1. 2. — Τῶν ἁγίων τριῶν μαρτύρων. — **Db** : 1. 2. — Τῶν

[1] Ἐμεσινῶν Cb. — [2] ἄρχον Cb.

πολίτου Κυζίκου. Πολλὰ δὲ θαύματα ἐκτελέσας, — καὶ γὰρ ὑπὸ τζύρου τὸν ὀφθαλμὸν ἀνδρός τινος ἐκκοπέντα[5] ἰάσατο, καὶ μόνῃ σφραγῖδι καρκῖνον πάθος[6] οὕτω λεγόμενον ἀπό τινος γυναικὸς διεσκέδασε, καὶ τὸν λυττήσαντα κύνα καὶ κατασχόντα αὐτὸν φυσήματι ἀπενέκρωσε, καὶ τὸν ἀπὸ[7] τῆς ἁμάξης συμπατηθέντα καὶ διαρραγείσης αὐτῷ τῆς γαστρὸς τεθνηκότα αὖθις ἀνεζώωσε, καὶ ἀπὸ τοῦ ἐπιτρόπου τῆς γαμετῆς τὸ ἀκάθαρτον ἀπήλασε πνεῦμα, καὶ ἐνεργεῖν τοῖς βαφεῦσι τὰ πρόσφορα παρεσκεύασεν, ἀποδιώξας τὸν ἐμφωλεύοντα δαίμονα, — καὶ πολλὰ ἕτερα ἐνεργήσας παράδοξα καὶ περὶ τῶν ἐσομένων προειπὼν πρὸς Κύριον ἐξεδήμησε[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ τοῦ ἐν Ἑλλάδι κειμένου. Οὗτος ὁ ὅσιος τῆς Ἑλλάδος ἐστὶν βλάστημα καὶ ἐντρύφημα. Οἱ δὲ τούτου πρόγονοι ἐξ Αἰγίνης ὥρμηντο τῆς νήσου· οἳ τὰς συνεχεῖς ἐφόδους τῶν Ἀγαρηνῶν μὴ φέροντες μετανάσται γίνονται καὶ τὴν Ἑλλάδα καταλαμβάνουσιν, ἐν ᾗ καὶ γεγέννηται[1] Λουκᾶς ὁ μακάριος. Ὃς ἐκ παιδόθεν οὐ μόνον κρέατος ἀλλὰ καὶ ᾠοῦ καὶ τυροῦ ἀποχὴν ἐποιήσατο· ἄρτος δὲ κρίθινος καὶ ὕδωρ καὶ ὄσπριον ἦν αὐτῷ ἡ[2] βρῶσις καὶ πόσις· κακοπαθείᾳ δὲ πάσῃ καὶ σκληραγωγίᾳ κατατήκων[3] ἑαυτοῦ τὸ σῶμα[4], τὸ πεινῶντα θρέψαι[5] καὶ γυμνητεύοντι[6] περιβόλαιον χαρίσασθαι τρυφὴν καὶ κόρον ὑπελάμβανεν, ὅθεν καὶ τὸ ἑαυτοῦ περιβόλαιον πολλάκις δεδωκὼς γυμνὸς ἐπανήει· καὶ ὁπόταν τὰς εὐχὰς τῷ Θεῷ ἀνέπεμπε, τοῦ ἐδάφους | οἱ πόδες ἀφιστάμενοι[7] ὡσεὶ[8] πῆχυν ἕνα, ἄψαυστοι[9] τῆς γῆς ἐδόκουν φαίνεσθαι. Ἐπεὶ δὲ τὸν μονήρη βίον ὑπέδυ, οὐκ ἔστιν εἰπεῖν ὅσην ἐγκράτειαν καὶ κακουχίαν μετὰ ταῦτα ὁ μακάριος ἐπεδείξατο. Οὗτος οὖν τὰς παραλίους πάσας διαμείψας <πόλεις[10]> καὶ πολλοῖς αἴτιος σωτηρίας διὰ τῶν ὑπ' αὐτοῦ τελεσθέντων θαυμάτων γενόμενος, ὕστερον ἀφεὶς τὰς μεταβάσεις τὸν τοῦ Στειρίου χῶρον καταλαμβάνει, καὶ ἑβδομον[11] ἐν αὐτῷ διανύσας ἔτος[12], προέγνω τὴν αὐτοῦ τελευτὴν καὶ πᾶσι προειπὼν τέλει[13] τοῦ βίου ἐχρήσατο, τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ ἐν εἰρήνῃ ἀποδούς. f. 153.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἐν Μονοβάγοις ἀγωνισαμένου.

4. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀπρίωνος ἐπισκόπου Κύπρου.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Θεοπέμπτου καὶ τῆς συνοδίας αὐτοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

Feb. 8. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ζαχαρίου, οὗ ἐστιν καὶ μαΐου τῇ ἑξκαιδεκάτῃ[1], ἑνὸς τῶν ἑξκαίδεκα προφητῶν· ὃς ἑρμηνεύεται μνήμη Θεοῦ. Οὗτος ἦν ἐκ γένους Ἰσραήλ, φυλῆς Λευΐ· ἐγεννήθη δὲ ἐν Γαλαάδ, ἦλθεν δὲ ἀπὸ τῆς[2] Χαλδαίων γῆς ἤδη προβεβηκώς· καὶ ἐκεῖ ὢν πολλὰ τῷ λαῷ προεφήτευσε καὶ τέρατα πολλὰ εἰς ἀπόδειξιν ἔδωκεν. Οὗτος εἶπε τῷ Ἰωσεδὲκ ὅτι· « Γεν-

— [5] ἐκκοπέντος S, Sa. — [6] *in marg. add.* Sa. — [7] ὑπὸ Sa. — [8] *lege quae add.* Sa *inter* Synaxaria selecta.
2. — [1] γεγένηται S. — [2] *om.* Sa. — [3] Sa, κατῆκον S. — [4] σωμάτιον Sa. — [5] θρίψαι Sa. — [6] γυμνητεύοντα S. — [7] ἀφίσταντο Sa. — [8] καὶ ὡσεὶ Sa. — [9] ἄπαυστοι Sa. — [10] Sa, *om.* S. — [11] ἑπτὰ Sa. — [12] ἔτι Sa. — [13] Sa, τέλος S.
1. — [1] (οὗ - ἑξκαιδεκάτῃ) *om.* Sa. — [2] τῶν *add.* Sa.

Feb. 7. ἁγίων τριῶν μαρτύρων. — **F** : 1. 2. 4. — Τῶν ἁγίων χιλίων τριῶν μαρτύρων ἐν Νικομηδείᾳ. — **Fa** : 1. 2. 4. — Τῶν ἁγίων χιλίων τριῶν. — **B** : Τῶν ἁγίων χιλίων τριῶν. — 1. 4 (Ἀρίωνος). — **Ba** : deest. — **Bd** : Τῶν ἁγίων χιλίων τριῶν. In margine add. manus rec. : καὶ μνήμη τοῦ ἁγίου μάρτυρος Θεοδώρου· ζήτει εἰς τὴν η' τοῦ αὐτοῦ μηνός. — 1. 2 (Λουκᾶ τοῦ ἐν τῷ Στειρίῳ). — **G** : 1. — **C** : Τῶν ἁγίων <χιλίων> τριῶν μαρτύρων. — 1. — **Cb** : 1. — **Cd** : Τῶν ἁγίων μαρτύρων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων. — **R** : 1. 2. 5. 4. — **K** : 1. 2. — Τῶν ἁγίων τριῶν μαρτύρων τῶν ἐν Νικομηδείᾳ. — **M** : 1. 2. — Τῶν ἁγίων[1] μαρτύρων καὶ τριῶν οἰκετῶν καὶ τεσσάρων προτικτόρων[2], τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων. Οὗτοι οἰκέται ὑπῆρχον τῶν τεσσάρων, ὑφ' ὧν κατεσχέθη ἐκ προστάγματος βασιλικοῦ ὁ ἅγιος Πέτρος[3] ὁ τῆς Ἀλεξανδρέων ἐπίσκοπος[4] καὶ ἀπετμήθη τὴν κεφαλήν. Μετὰ γὰρ τὴν τούτου τελευτὴν τῶν προτικτόρων πιστευσάντων πανοικὶ τῷ Χριστῷ καὶ μαρτυρησάντων, οἱ τούτων δοῦλοι τῇ εἰς Χριστὸν πυρούμενοι[5] πίστει, ηὐτομόλησαν πρὸς τὸν βασιλέα Διοκλητιανὸν ἐν Νικομηδείᾳ σὺν γυναιξὶ καὶ παιδίοις καὶ βρέφεσι. Καὶ ὁμολογήσαντες εἶναι χριστιανοὶ καὶ μὴ πεισθέντες ἀρνήσασθαι τὸν Χριστὸν ὑπὸ[6] τοῦ στρατοῦ κατεκόπησαν ξίφει. — Οἱ ἅγιοι ἓξ μάρτυρες οἱ ἐκ Φρυγίας π. τ. — 3. 5. — **Mv** : 1. 2. — Τῶν ἁγίων χιλίων μαρτύρων καὶ τριῶν οἰκετῶν καὶ τεσσάρων κτλ. — Οἱ ἅγιοι μάρτυρες οἱ ἐκ Φρυγίας. — 3. 5. — **Mb** : 1. — Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ στρατηλάτου (Feb. 8[2]). — 4. 5. — Τῶν ἁγίων χιλίων μαρτύρων ὄντων οἰκετῶν τῶν δ' προτικτόρων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων. — **Mr** : 1. 2.

Feb. 8. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : Μάρθας καὶ Μαρίας ἀδελφῶν (Feb. 9[2]). — 3. 4. 5. — **P** : Μάρθας καὶ Μαρίας ἀδελφῶν καὶ Λυκαρίωνος. — 3. 4. 5. — **Da** : 1. 2 (= Ba). — **Db** : 1. 2. — **F** : 1. 2 : Θεοδώρου τοῦ στρατηλάτου. Ὃς ἦν ἐπὶ Λικινίου τοῦ βασιλέως, ἐν Εὐχαΐτοις μὲν γεγονὼς καὶ τὸ γένος ἐκεῖθεν ἕλκων, ἐν Ἡρακλείᾳ δὲ τῇ πρὸς Πόντον κειμένῃ τὰς διατριβὰς ποιούμενος, ὡραῖος τὸν σωματικὸν χαρακτῆρα καὶ τὴν ψυχὴν ὡραιότερος, λόγῳ καὶ γνώσει καὶ τῇ λοιπῇ σοφίᾳ κεκοσμημένος· ὅθεν καί τινες αὐτῶν βρυορήτορα προσηγόρευον. Οὗτος διὰ πασῶν τῶν κολαστηρίων ὀργάνων διελθών, τὸ μὲν μακάριον αὐτοῦ πνεῦμα ἐν οὐρανίαις σκηναῖς αὐλίζεται· τὸ δὲ

[1] χιλίων *add.* Mv. — [2] προτεκτόρων M. — [3] ὁ ἅγιος Πέτρος *om.* Mv. — [4] Πέτρος ὁ ἁγιώτατος *add.* Mv. — [5] *om.* Mv. — [6] ἀπὸ Mv.

FEB. 8. » νήσεις υἱὸν καὶ ἐν Ἱερουσαλὴμ ἱερατεύσει τῷ » Κυρίῳ, εἰς τύπον τοῦ[3] ἀληθινοῦ ἀρχιερέως.» Καὶ περὶ τῆς λειτουργίας αὐτοῦ προεφήτευσε, ἣν ποιήσει ἐν Ἱερουσαλὴμ καὶ εὐλόγησεν αὐτὸν σφόδρα. Οὗτος καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ[4] εὐλόγησε, λέγων ὅτι· «Γεννήσεις υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ » Ζοροβάβελ.» Καὶ ἐπὶ Κύρου τοῦ βασιλέως Περσῶν τέρας δέδωκεν περὶ Κροίσου τοῦ βασιλέως Λυδῶν[5]. Τὰ δὲ περὶ τῆς πορθήσεως Ἱερουσαλὴμ καὶ περὶ τοῦ τέλους Ἰσραὴλ καὶ ἀρχῆς ἐθνῶν καὶ τέλους, καὶ τῆς τοῦ ναοῦ ἕως θεμελίων καταστροφῆς, καὶ ἀργίας προφητῶν καὶ ἱερέων καὶ σαββάτων, καὶ περὶ διπλῆς κρίσεως ἐξέθετο· καὶ ἕτερα[6] πολλὰ προφητεύσας ἐκοιμήθη ἐν γήρει μακρῷ, καὶ ἐτάφη ἐγγὺς Ἀγγαίου τοῦ προφήτου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος[1] Θεοδώρου τοῦ στρατηλάτου, τοῦ ἐν Εὐχανείᾳ[2]. Οὗτος ὁ μάρτυς κατὰ τοὺς χρόνους ἦν Λικινίου[3] τοῦ βασιλέως, τὸ γένος ἕλκων ἐκ τῶν Εὐχαΐτων, τὴν δὲ οἴκησιν ποιούμενος ἐν τῇ πρὸς Πόντον Ἡρακλείᾳ[4], κάλλει τε ψυχῆς καὶ ὥρᾳ σώματος καὶ κράτει λόγων τοὺς πολλοὺς ὑπερέχων· πάντες δὲ ἐφιλοτιμοῦντο τὴν αὐτοῦ φιλίαν καρ|ποῦσθαι. (f. 153v.) Ταύτῃ τοι καὶ Λικίνιος περὶ[5] πολλοῦ ἐποιεῖτο τὸ συντυχεῖν αὐτῷ, καίπερ ἀκούσας χριστιανὸν αὐτὸν εἶναι καὶ τοὺς λεγομένους θεοὺς βδελύττεσθαι. Διὸ καί τινας ἐκ Νικομηδείας τῆς αὐτοῦ τάξεως[6] ἀποστείλας, ἐντίμως αὐτοὺς ἀγαγεῖν τὸν μάρτυρα προσέταξεν. Ὡς δὲ ὑπέστρεψαν τὸν μακάριον λέγοντες Θεόδωρον ἀνειπεῖν[7], ὡς χρὴ τὸν βασιλέα μᾶλλον παραγενέσθαι μετὰ τῶν μειζόνων αὐτοῦ θεῶν, εὐθὺς τὸν βασιλέα ἡ Ἡράκλεια[8] εἶχε. Ὁ δὲ ἅγιος ὄψεσι νυκτεριναῖς θεόθεν αὐτῷ ἐκπεμφθείσαις προθυμοποιηθείς, ἐπεὶ τὸν Λικίνιον ἤδη πλησιάζοντα τῇ πόλει ἐπύθετο[9], ἐπικαθεσθεὶς ἵππῳ ὑπήντησεν αὐτῷ καὶ τὰ εἰκότα τοῦτον ἐτίμησεν. Ὁ δὲ βασιλεὺς εἰσελθὼν[10] ἐν τῇ πόλει, παρεκάλει τὸν ἅγιον θῦσαι τοῖς θεοῖς. Ὁ δὲ ᾐτήσατο[11] λαβεῖν αὐτοὺς καὶ θεραπεῦσαι πρῶτον ἐν τῷ οἴκῳ· καὶ λαβὼν συνέτριψε καὶ διέδωκε πτωχοῖς. Καὶ διὰ τοῦτο πολλὰ βασανισθεὶς πρότερον, ὕστερον ἀπεκεφαλίσθη. Τὸ δὲ[12]

— [3] *om.* Sa. — [4] υἱῶν Sa. — [5] Λυδῶν βασιλέως Sa. — [6] δὲ *add.* Sa.]

2. — [1] μάρτυρος Sa. — [2] Εὐχανίᾳ S, Sa. — [3] Λικιννίου S, Sa. — [4] Εἰρακλείᾳ S, Sa. — [5] παρὰ Sa. — [6] τῆς αὐτῆς τάξεως ἐκ N. Sa. — [7] ἀντειπεῖν Sa. — [8] Εἰράκλειος S. — [9] Sa, ἐπείθετο S. — [10] ἐλθὼν Sa. — [11] ᾔτησε Sa. — [12] (τὸ δέ) καὶ τὸ Sa.

FEB. 8. πολύαθλον σῶμα τῇδε καταλελοιπός τοῖς πιστῶς αὐτῷ προσιοῦσι τῶν ἰαμάτων ἀναβλύζειν τὰ ῥεῖθρα. — 6. 3. 4. 5. — **Fa** : 1. 2. 6. 3. 4. 5. — **B** : 1. 2. — Θεοδοσίου (Feb. 5[3]). — Μάρθας κτλ. (Feb. 9[2]). — 3 (Φιλαδέλφου solius). — **Ba** : 1 (= S). 2 : Θεοδώρου τοῦ στρατηλάτου τοῦ ἐν Εὐχαΐτοις. Οὗτος ὁ μάρτυς κατὰ τοὺς χρόνους ἦν Λικινίου[1]... Ὁ δὲ ἅγιος ὄψεσι νυκτεριναῖς θεόθεν αὐτῷ ἐκπεμφθείσαις προθυμοποιηθεὶς ἐπεὶ τὸν Λικίνιον ἤδη πλησιάζοντα τὴν πόλιν ἐπύθετο, ἵππῳ ἐπικαθίσας καὶ προσυπαντήσας τὰ εἰκότα τοῦτον ἐτίμησεν. Ὁ δὲ δεξιὰς αὐτῷ δοὺς καὶ κατασπασάμενος, εἰσελθὼν ἐν τῇ πόλει καὶ ἐφ' ὑψηλοῦ βήματος προκαθίσας τὸν μακάριον προέτρεψε Θεόδωρον τοῖς ἑαυτοῦ θεοῖς θυσίας προσενεγκεῖν. Τοῦ δὲ ἁγίου τοὺς ἐπισημοτέρους θεοὺς ἐξαιτησαμένου, ὡς ἂν αὐτοὺς οἴκοι πρότερον θεραπεύσας αὖθις δημοσίᾳ προσαγάγοι αὐτοῖς τὰς σπονδάς, ἐπεὶ κελεύσαντος τοῦ βασιλέως τοὺς χρυσοῦς καὶ ἀργυροῦς ἔλαβε, κατὰ τὸ μέσον τῆς νυκτὸς συντρίψας αὐτοὺς καὶ λεπτύνας τοῖς ἐνδεέσι καὶ πένησι διαδέδωκεν. Μεθ' ἡμέρας δὲ Μαξεντίου τοῦ κομενταρησίου εἰπόντος εἰδέναι τὴν κεφαλὴν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ὑπὸ πτωχοῦ τινος περιφερομένην, εὐθὺς ἀνάρπαστος ὑπὸ τῶν δορυφόρων ὁ ἅγιος γίνεται, τοῦ Λικινίου ἐξαπορηθέντος[2] καὶ τοῦτο προστάξαντος. Καὶ πρῶτον μὲν ἀποδυθεὶς ἐκ τεσσάρων ὁ ἅγιος τείνεται καὶ νεύροις βοῶν κατὰ τῶν νώτων πληγὰς ψʹ δέχεται καὶ νʹ κατὰ τῆς γαστρός, καὶ σφαίραις μολυβδίναις κατὰ τοῦ τένοντος τύπτεται· εἶτα ξέεται, λαμπάσι καταφλέγεται, ὀστράκοις τὰς ἡλκωμένας καὶ κεκαυμένας πληγὰς ἀνατρίβεται καὶ τῇ εἱρκτῇ ἀπορρίπτεται τοὺς πόδας ἀσφαλισθεὶς ἐν τῷ ξύλῳ. Διαμείνας δὲ ἀπόσιτος ἐν αὐτῇ ἐπὶ πέντε ἡμέρας, αὖθις ἐξάγεται καὶ ἐν σταυρῷ καταπήγνυται χεῖρας καὶ πόδας καὶ περόνην κατὰ τοῦ κρυφίου πόρου δέχεται, μέχρι τῶν ἐγκάτων ἐν τῷ διελαύνεσθαι ἔφθασαν. Περιειστήκεισαν δὲ καὶ παῖδες τοξεύοντες κατὰ τοῦ προσώπου καὶ τῶν ὀφθαλμῶν αὐτοῦ. Ταῖς δὲ βολίσιν αἱ τοῦ ἁγίου συνεξέπεσον ἀπὸ τῶν ὀφθαλμῶν κόραι. Ἕτεροι δὲ ἀνακαρσίοις τομαῖς κατὰ τῶν κεκρυμμένων μελῶν διελάσαντες τὰ σπερμογόνα συνεξέτεμον μέλη. Ἐν δὲ τῷ σταυρῷ τὴν νύκτα διάγων, νομίσαντος ἤδη τοῦ Λικινίου ὅτι τέθνηκεν, ὑπὸ ἀγγέλου ἀπελύθη καὶ τῶν ἥλων καὶ ὅλως γέγονεν ὑγιής, καὶ ἦν ψάλλων καὶ εὐλογῶν τὸν Θεόν. Ἤδη δὲ τῆς ἡμέρας διαφαινούσης, οἱ παρὰ τοῦ Λικινίου ἀποσταλέντες τοῦ ἆραι τὸ σῶμα τοῦ μάρτυρος καὶ ῥῖψαι ἐν τῇ θαλάσσῃ, ὡς εἶδον τὸν ἅγιον ὑγιῆ, ἐπίστευσαν τῷ Χριστῷ, ἄνδρες ὄντες ὡσεὶ πέντε καὶ ὀγδοήκοντα. Καὶ μεθ' αὐτοὺς τριακόσιοι στρατιῶται, ὧν ἐξηγεῖτο ὁ ἀνθύπατος Κένσος[3], ἐπὶ τῇ ἀναιρέσει τῶν πρώτων ἀποσταλέντες, καὶ αὐτοὶ ἐπίστευσαν τῷ Χριστῷ. Ἰδὼν δὲ ὁ Λικίνιος τὴν πόλιν θορύβου μεστὴν τὴν τοῦ ἁγίου κεφαλὴν ἐκέλευσεν ξίφει τμηθῆναι· ἔνθα δὴ τὰ περισχόντα αὐτὸν χριστιανῶν πλήθη[4] καὶ διακωλύοντα τὴν ἀναίρεσιν, μόλις ὁ ἅγιος καταπαύσας καὶ τῷ Χριστῷ ἐπευξάμενος, τέμνεται τὴν κεφαλὴν τὸν δρόμον τοῦ μαρτυρίου τελέσας. Μετετέθη δὲ ἀπὸ τῆς Ἡρακλείας ἐν τοῖς Εὐχαΐτοις, ἐν τῷ γονικῷ αὐτοῦ κτήματι, καθὼς Αὐγάρῳ[5] τῷ ταχυγράφῳ αὐτοῦ ὁ μάρτυς παρεκελεύσατο. Ὃς πᾶσαν αὐτοῦ τὴν ἄθλησιν, συνὼν αὐτῷ, καὶ τὰς κατὰ μέρος πεύσεις καὶ ἀποκρίσεις καὶ τὰ ποικίλα τῶν βασάνων εἴδη καὶ τὰς θεόθεν ἐπιφανείας καὶ ἀντιλήψεις πλατύτερον διεχάραξεν. — **Bd** : 1. 2. — Θεοδοσίου. — Μάρθας κτλ. — **G** : 1. 2. — **C** : 1. — Μάρθας κτλ. — 3. 4. 2. — **Cb** : 1. —

[1] Λικιννίου Ba. — [2] ἐξαπορριθέντος Ba. — [3] Ba, *al.* Κένστος, Sextus, *cf.* Anal. Boll., *t. II, p. 366*, Act. SS., *Feb. t. II, p. 30*. — [4] πλῆθος Ba. — [5] Ἀγαύρῳ Ba.

τίμιον αὐτοῦ λείψανον ἀνακομισθὲν ἐτέθη ἐν Εὐχανείᾳ[2].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φιλαδέλφου καὶ Πολυκάρπου.

FEB. 8. **4.** Καὶ μνήμη τοῦ ὁσίου Μακαρίου ἐπισκόπου Πάφου τῆς Κύπρου.

5. Καὶ τῆς ὁσίας Θεοδοσίας[1].

6. Καὶ τοῦ ἁγίου μάρτυρος Περγίτου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θʹ.

FEB. 9. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Νικηφόρου. Οὗτος ἦν[1] κατὰ τοὺς χρόνους[2] Οὐαλλεριανοῦ[3] καὶ Γαλλιήνου[4] τῶν βασιλέων ἰδιώτης τὴν τύχην. Ἐξ αἰτίας δέ τινος εἰς διαφορὰν καὶ μῖσος φανερὸν κατέστη Σαπρικίῳ τῷ πρεσβυτέρῳ τῆς ἐκκλησίας. Ὃς, διωγμοῦ κατὰ τῶν χριστιανῶν πνεύσαντος, συλληφθεὶς πολλῶν βασάνων πεῖραν ὑπέστη· ὅπερ ὁ μακάριος Νικηφόρος διαγνοὺς ὡς μάρτυρα Χριστοῦ παρεκάλει λῦσαι τὴν ἔχθραν. Ὁ δὲ τούτου μὴ ἀνασχόμενος[5] γυμνοῦται τῆς χάριτος. Ἐγγὺς γὰρ τῶν βραβείων καὶ τοῦ στεφάνου γενόμενος, παρ' ὅσον ἔμελλε μόνον ἀποτμηθῆναι, νῶτα τοῖς ἐχθροῖς ὁ τρισάθλιος δέδωκε καὶ τοῖς δαίμοσιν ἐπιθῦσαι ὑπέσχετο. Τοῦτο δὲ ὁ ἅγιος Νικηφόρος θεασάμενος, αὐτὸν τοῖς βασανίζειν μέλλουσιν ἐπιδέδωκε καὶ τὸν Χριστὸν ὁμολογήσας παρρησίᾳ, προστάξει τοῦ τυράννου τὴν κεφαλὴν ἀπετμήθη.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μάρθας καὶ Μαρίας, | (f. 154.) γνησίων ἀδελφῶν, καὶ Λυκαρίωνος μονάζοντος. Αὗται καθ' ἑαυτὰς παρθενίαν ἀσκοῦσαι, παρερχομένου τοῦ ἡγεμόνος τῆς χώρας, διὰ τῆς οἰκίας, ἔνθα κατέμενον, προκύψασαι ἀπό τινος θυρίδος χριστιανὰς ἑαυτὰς ἀπεκάλεσαν· καὶ οἰκτιζομένου τοῦ ἡγεμόνος τὸν ἐν τῇ νεότητι αὐτῶν θάνατον, ἀντεῖπον μὴ εἶναι θάνατον τὸν ὑπὲρ Χριστοῦ, ἀλλὰ ζωὴν πέρας οὐκ ἔχουσαν. Ὡσαύτως δὲ καὶ Λυκαρίωνος παιδίου[1] μονάζοντος συντρόφου αὐτῶν τὰ αὐτὰ[2] ἐξειπόντος, προστάξει αὐτοῦ ἐσταυρώθησαν σὺν τῷ Λυκαρίωνι καὶ ὑπὸ τῶν δημίων ξίφεσι νυγέντες ἀφῆκαν τὰς ψυχάς.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ῥωμανοῦ. Οὗτος ὁ ὅσιος Ῥωμανὸς Κίλιξ ὑπάρχων, τὸ γένος ἐκ πόλεως[1] ἕλκων τῆς Ῥώσου, ἐν Ἀντιοχείᾳ τοὺς ὑπὲρ τῆς ἀρετῆς ἐπεδείξατο ἄθλους. Ἔξω μὲν γὰρ τῶν τῆς πόλεως τοίχων παρὰ τὴν ὑπώρειαν οἰκίδιον δειμάμενος, ἐν αὐτῷ ἀσκητικῶς ἠγωνίζετο μὴ πυρὶ χρησάμενος, μὴ λυχνιαῖον φῶς δεξάμενος. Τροφὴ δὲ ἦν αὐτῷ ἄρτος καὶ ἅλες[2], ποτὸν δὲ τὸ κρηναῖον[3] νᾶμα, ἐσθὴς ἐκ τριχῶν, κόμη μέχρι ποδῶν διήκουσα· τῷ τραχήλῳ δὲ καὶ ταῖς χερσὶ καὶ τῇ ὀσφύϊ σιδήρου βαρύτης περιέκειτο. Πολλὴ δὲ αὐτῷ ἐκ τῶν ἀρετῶν ἐδόθη χάρις θαυμάτων παρὰ Θεοῦ· πολλῶν μὲν γὰρ πολλάκις χαλεπὰς ἀπήλασε νόσους, πολλαῖς δὲ στείραις γυναιξὶν ἐχαρίσατο παῖδας. Οὕτω καλῶς ἀγωνισάμενος ἐν εἰρήνῃ ἐκοιμήθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων[1] Μαρκέλλου ἐπισκόπου Σικελίας[2], Παγκρατίου Ταυρομενίου καὶ Φιλαγρίου[3] Κύπρου. Οὗτοι μαθηταὶ ἐγένοντο τοῦ ἁγίου ἀποστόλου Πέτρου. Ὁ μὲν γὰρ πατὴρ τοῦ ἁγίου Παγκρατίου, ἔτι τοῦ Χριστοῦ περιπατοῦντος σωματικῶς ἐπὶ τῆς γῆς καὶ θαυματουργοῦντος, ἀκούσας ἀπῆλθεν ἀπὸ Ἀντιοχείας εἰς Ἱερουσαλὴμ[4] μετὰ Παγκρατίου ἰδεῖν αὐτόν. Ὁ οὖν Παγκράτιος ἔκτοτε γενόμενος γνώριμος τῷ ἁγίῳ Πέτρῳ μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ ἠκολούθει αὐτῷ· καὶ προχειρισθεὶς ὑπ' αὐτοῦ ἐπίσκοπος Ταυρομενίου καὶ διδάσκων ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, ἐφονεύθη κρύφα ὑπὸ τῶν ἑλλήνων. Ὁ δὲ Μάρκελλος ὁμοίως χειροτονηθεὶς ἐπίσκοπος Σικελίας καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέψας ἐπὶ τὸν Κύριον, ἐτελειώθη· ὡσαύτως καὶ[5] ὁ Φιλάγριος τῆς Κυπρίων ἀρχιερατεύσας καὶ διδάσκων καὶ αὐτὸς ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ | (f. 154v.) πολλοὺς πειρασμοὺς ὑπομείνας ὑπὲρ τῆς ἀληθοῦς πίστεως[6] ἐτελεύτησε.

5. — [1] Sa, H, P, F, Θεοδώρας S.

1. — [1] *om.* Sa. — [2] καιροὺς ἦν Sa. — [3] *corr.* S, Γαλλεριανοῦ Sa. — [4] Γαληίνου S, Sa. — [5] ἀνεχόμενος Sa.

2. — [1] παιδίον S, παιδὸς Sa. — [2] αὐτὸν Sa.

3. — [1] ἐκ πόλεως *om.* Sa. — [2] ἅλας Sa. — [3] κρινιαῖον Sa.

4. — [1] μαρτύρων *add.* Sa. — [2] Σικελλίας Sa. — [3] Φυλαγρίου Sa. — [4] Ἱεροσόλυμα Sa. — [5] *om.* Sa. — [6] τῆς ἀληθείας Sa.

FEB. 8. Μάρθας κτλ. — **Cd** : 1. — Μάρθας κτλ. — 3. 4. 5. 2. — **R** : 2. 1. — Μάρθας καὶ Μαρίας γνησίων ἀδελφῶν καὶ Λυκαρίωνος. — 3. 4. 5 (Θεοδώρας). — **K** : 1. 4. 2. — **M** : 1. 2. — Νικηφόρος καὶ Στέφανος ξ. τ. (cf. Feb. 9[1]). — Μάρθα καὶ Μαρία αἱ ἀδελφαὶ ξ. τ. — Λυκαρίων ξ. τ. — **Mv** : 2. 1. — Νικηφόρος καὶ Στέφανος. — Μάρθα καὶ Μαρία αἱ ἀδελφαὶ καὶ ὁ ὅσιος Βυκαρίων. — **Mb** : 1. — Λουκᾶ (Feb. 7[2]). — 3. — Μάρθας κτλ. — **Mr** : 2. 1.

FEB. 9. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 4. — **P** : 1. 4 (Φιλαγρίου καὶ Παγκρατίου). — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. 4 (Μαρκιανοῦ ἐπισκόπου Σικελίας, Φιλαγρίου ... καὶ Παγκρατίου). — **Ba** : 1 (= S). 2 (= S). 3 (= S). — **Bd** : 1. 4 (Μαρκιανοῦ ἐπισκόπου Σικελίας καὶ τῶν σὺν αὐτῷ). — Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φωτίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Feb. 6[6]). — **G** : 1. 2. — **C** : 1. 4 (Μάρκου καὶ Μαρκέλλου καὶ Φιλαγρίου ... καὶ Παγκρατίου). — In margine f. 123v : Ζήτει τὸ συναξάριον τοῦ ὁσίου Ῥωμανοῦ εἰς τὸ τέλος τοῦ μηνός. — Ζήτει εἰς τὸ τέλος τοῦ βιβλίου τοῦ ἁγίου Χαραλάμπους. — **Cb** : 1. — **Cd** : 1. 4 (Μάρκου κτλ.). — **R** : 1. 3. 4. — **K** : 1. 4 (Φιλαγρίου ἐπισκόπου Κύπρου τοῦ εἰς τὸ Κούριν tantum). — 2. 3. — **M** : 1. 3. 4. — Ὁ ἅγιος ἱερομάρτυς Πέτρος ὁ Δαμασκηνὸς ξ. τ. — **Mv** : 1. 3. 4. — Πέτρος. — **Mb** : 1. 3. 4. — Τοῦ ὁσίου Μακαρίου ἐπισκόπου Πάφου. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Feb. 10.

1. Ἄθλησις τῶν ἁγίων[1] Χαραλάμπους, Πορφυρίου, Δαύκτου καὶ τριῶν γυναικῶν. Οὗτος[2] ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Σευήρου καὶ Λουκιανοῦ ἡγεμόνος ἐν Μαγνησίᾳ τῇ πόλει, ἱερεὺς τῶν χριστιανῶν. Διδάσκων δὲ τὴν ὁδὸν τῆς ἀληθείας ἐκρατήθη καὶ ἐξεδύθη τὴν ἱερατικὴν στολήν· εἶτα ἐξεδάρη ὅλον τὸ δέρμα τοῦ σώματος. Ἐπειδὴ δὲ ἔβλεπεν αὐτὸν ὁ ἡγεμὼν καρτεροῦντα[3], θυμωθεὶς οἰκείαις χερσὶν ἐπεχείρει[4] ξέειν τὸν ἅγιον· καὶ παραυτίκα ἐκόπησαν αἱ χεῖρες αὐτοῦ καὶ ἐν τῷ τοῦ μάρτυρος σώματι ἀπῃωρήθησαν· ὃν καὶ προσευξάμενος ὁ ἅγιος ὑγιῆ αὖθις ἐποίησε. Τότε ἰδόντες Πορφύριος ὁ δήμιος καὶ Δαῦκτος, ἠρνήσαντο τὰ εἴδωλα καὶ ἐπίστευσαν τῷ Χριστῷ· ὁμοίως καὶ γυναῖκες τρεῖς ἐκ τῶν παρισταμένων ἐκεῖ. Οὓς πάντας κρατήσας ὁ ἡγεμὼν καὶ βασάνοις καθυποβαλὼν[5] ἀνηλεῶς ἀπεκεφάλισεν· εἰ γὰρ καὶ ἰάθη ἀλλ' ὅμως ἐνέμεινεν εἰς τὴν[6] ἀπιστίαν αὐτοῦ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἐνναθᾶς[1], Οὐαλεντίνης[2] καὶ Παύλου. Ὧν ἡ μὲν Ἐνναθᾶ ὥρμητο τῆς τῶν Γαζαίων[3] χώρας, ἡ δὲ Οὐαλεντίνα τῆς Καισαρέων. Φιρμιλιανοῦ δὲ τοῦ ἡγεμόνος προκαθίσαντος, ἄγεται Ἐνναθᾶ ἡ γενναιοτάτη παρθένος καὶ ἐρωτηθεῖσα σφοδρῶς μαστίζεται, ξύλῳ ἀναρτᾶται, τὰς πλευρὰς καταξαίνεται πλήκτροις οὐκ εἰσάπαξ ἀλλὰ καὶ πολλάκις. Ἡ δὲ τιμία Οὐαλεντίνα[4] καὶ αὐτὴ παρθένος οὖσα καὶ τῶν πραττομένων τὸ ὠμὸν καὶ ἀπάνθρωπον οὐκ ἐνεγκοῦσα παρρησιάζεται· καὶ αὐτίκα θύειν κελεύεται, αὐτοῦ που πλησίον παρὰ τὸ δικαστήριον βωμοῦ εὐτρεπισθέντος. Ὡς δὲ παρὰ τὸν βωμὸν ἤχθη, λὰξ κατ' αὐτοῦ γενναίως ἐνάλλεται καὶ σὺν τῇ ἐπικειμένῃ φορᾷ ἐν τῇ[5] πυρᾷ καταστρέφει αὐτόν. Ὁ δὲ τύραννος θυμωθεὶς τοσαύτας κατὰ τῶν πλευρῶν ἐπιτίθησι βασάνους[6], ὅσας οὐκ ἔστιν εἰπεῖν· καὶ ἀπαγορεύσας ἀμφοτέρας, τὸν διὰ πυρὸς αὐταῖς ψηφίζεται θάνατον. Μετὰ ταύτας ἐπὶ τὸν[7] ἀγῶνα παρήχθη Παῦλος· καὶ πολλαῖς βασάνοις προσομιλήσας καὶ ὑπεράνω αὐτῶν[8] τῇ τοῦ Χριστοῦ χάριτι γενόμενος, τῇ τοῦ ξίφους καταδικάζεται τιμωρίᾳ. Ὁ δὲ τῷ Θεῷ εὐχαριστήσας καὶ τῶν | f. 155. ὁμοπίστων ὑπερευξάμενος, δέχεται τὴν τομὴν καὶ εὐθέως τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ζήνωνος. Οὗτος ἐκ Καισαρείας ἦν τῆς πρὸς Καππαδοκίαν, γονέων περιφανῶν καὶ πλουσίων· κατείλεκτο δὲ τοῖς στρατιώταις τοῖς τὰ βασιλικὰ ὀξέως διακομίζουσι γράμματα. Κατανοήσας δὲ τὸ ἄστατον καὶ ἐπίκηρον τοῦ βίου, τὴν στρατιωτικὴν ἀποθέμενος ζώνην, ἐν ἑνὶ τῶν πολυανδρίων — πολλὰ δὲ ἔχει τὸ τῇ Ἀντιόχου[1] παρακείμενον ὄρος — εἰσῆλθε τὴν ψυχὴν ἐκκαθαίρων, οὐ κλίνην ἔχων, οὐ λύχνον, οὐ κιβώτιον[2], οὐ τράπεζαν· στρωμνὴ δὲ ἦν αὐτῷ στιβὰς χόρτων[3] ἐκ λίθων ἐστρωμένη[4], ἐσθὴς ῥάκος παλαιόν, τροφὴ εἷς ἄρτος δύο χορηγούμενος ἡμέραις· τὸ δὲ ὕδωρ ἑαυτῷ πόρρωθεν ἐπεκόμιζε. Οὗτος ἐκ τούτων τῶν πόνων πολλὴν θεόθεν ἐπεσπάσατο τὴν χάριν· ἐν γὰρ τῇ καταδρομῇ τῶν Ἰσαύρων πολλὰς σφαγὰς δεδρακότων εἰς τοὺς τὴν ἀσκητικὴν μετιόντας

1. — [1] μαρτύρων *add.* Sa. — [2] ὁ ἅγιος *add.* Sa. — [3] καρτερικῶς πάντα φέροντα Sa. — [4] ἐπεθύμει Sa. — [5] ὑποβαλὼν Sa. — [6] προτέραν *add.* Sa.
2. — [1] Ἐνναθὰς S, Ἐναθᾶ Sa. — [2] Γαλεντίνα Sa. — [3] Γαζέων S. — [4] Γαλεντίνα Sa. — [5] φορᾷ ἐν τῇ *om.* Sa. — [6] βασάνοις Sa. — [7] μαρτυρικὸν *add.* Sa. — [8] πασῶν Sa.
3. — [1] Ἀντιοχεία Sa. — [2] Sa, οὐκ ἱμάτιον S. — [3] στιβαὶ χορτοῦ Sa. — [4] ὑπεστρωμμένη Sa.

Feb. 10. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1 (Χαραλαμπίου, Πορφυρίου, Δαύκτου καὶ Θεοκτίστου καὶ τριῶν γυναικῶν). — 4. 5. — **P** : 1 (Χαραλάμπους ἐπισκόπου Μαγνησίας, Πορφυρίου, Δαύκτου, Θεοκτίστου καὶ τῶν ἁγίων γ' γυναικῶν). — 4 : Ἀναστασίου ἐπισκόπου Ἱεροσολύμων. — **Da** : 1 (Χαραλάμπους = Fa). — 2. 3. — **Db** : 1 (Χαραλάμπους). — 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1 : Χαραλάμπους. Οὗτος ὑπῆρχε ἐπὶ τῆς βασιλείας Σευήρου καὶ Λουκιανοῦ ἡγεμόνος ἐν Μαγνησίᾳ, ἱερεὺς ὢν τῶν χριστιανῶν καὶ διδάσκων τὴν ὁδὸν τῆς ἀληθείας. Παραστὰς οὖν τῷ δικάζοντι, ἀποδύεται τῆς τιμίας καὶ ἱερᾶς στολῆς· ἔπειτα τὴν δορὰν τοῦ σώματος ἀποσύρεται ἀπὸ κεφαλῆς μέχρι ποδῶν. Ἐπεὶ δὲ γενναίως τοὺς ἀφορήτους πόνους ἔφερεν, θυμωθεὶς ὁ ἄρχων αὐτὸς δι' ἑαυτοῦ τὰς χεῖρας ἐκτείνας ἐπεχείρει ξέειν τὸν μάρτυρα· καὶ παραχρῆμα ἄχειρ ἐδείκνυτο πρὸς τὸ σῶμα τοῦ μάρτυρος ἐάσας τὰς χεῖρας, θαῦμα φρικτὸν τοῖς ὁρῶσιν ἐπιφανείς. Ἀλλὰ καὶ ὁ ἡγεμὼν προσπτύσας τῷ ἁγίῳ, δίκην ἐδίδου τοῦ τολμήματος τὸ πρόσωπον ὄπισθεν μεταστραφείς. Οὗ τῷ φόβῳ περιχυθέντες προσέπεσον τῷ ἁγίῳ, τὴν ἴασιν ἐξαιτούμενοι λαβεῖν· ὅθεν καὶ ἰάσεως ἔτυχον, Θεὸν εἶναι ἀληθινὸν τὸν Χριστὸν ὁμολογήσαντες. Ἀλλὰ καὶ πάλιν τῇ πλάνῃ τοῦ διαβόλου κρατηθέντες καὶ ἀπιστήσαντες μεγίστῃ κολάσει ἐτασθέντες ἐν ἀπιστίᾳ ἔμειναν· ὅθεν κελεύσει τοῦ ἡγεμόνος δέχεται ὁ μάρτυς κημὸν κατὰ τοῦ στόματος καὶ δημεύεται καθ' ὅλης τῆς πόλεως· ἔπειτα τὴν κεφαλὴν ἀφαιρεῖται. — 2. 3 (Ζίζονος). — **B** : 1. — **Ba** : mutil. 2 (= S). 3 (= S). — **Bd** : 1. 2. 3. — **G** : 1. — **C** : 1 (... καὶ Θεοκτίστου). — 4. 5. — **Cb** : 1. — Θεοδώρας τῆς βασιλίσσης τῆς ποιησάσης τὴν ὀρθοδοξίαν (Feb. 11[4]). — **Cd** : 1 : ἄθλησις τῶν ἁγίων μαρτύρων Χαραλαμπίου, Πορφυρίου, Δαύκτου καὶ Θεοκτίστου μετὰ τριῶν γυναικῶν ξίφει τελειωθέντων. — 4. 5. — **R** : 1 (Χαραλάμπους solius). — 2. 3. 1. 4. — **K** : 1. 2. 3. — **M** : 1. — Βάπτος καὶ Πορφύριος οἱ τιμωροῦντες τὸν ἅγιον Χαραλάμπην πιστεύσαντες τῷ Χριστῷ ξ. τ. — Αἱ πιστεύσασαι γ' γυναῖκες

πολιτείαν, αὐτὸς εὐχῇ μόνῃ τὰς ἐκείνων ἀπημαύρωσεν ὄψεις. Οὐ πολὺν[5] δὲ μετὰ ταῦτα βιώσας χρόνον, ἀπὸ τῶν[6] σκαμμάτων[7] πρὸς τὴν ἐπουράνιον ἀπῆρε λῆξιν.

Feb. 10.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη[1] Ἀναστασίου πατριάρχου[2].

5. Καὶ σύναξις τῆς ὑπεραγίας Θεοτόκου[1] ἐν τοῖς Ἀρεοβίνδου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Feb. 11.

1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου ἐπισκόπου Σεβαστείας καὶ τῶν σὺν αὐτῷ τιμίων γυναικῶν. Οὗτος ἦν κατὰ τοὺς καιροὺς Λικινίου[1] τοῦ βασιλέως ἐπίσκοπος[2] Σεβαστείας οἰκῶν ἔν τινι τῶν κατ' ὄρος σπηλαίων· ἐν ᾧ τὰ ἄγρια τῶν ζώων ἐξημερούμενα διὰ τῆς εὐλογίας τοῦ ἁγίου χειροήθη ἐφαίνετο. Ὢν δὲ καὶ τῆς ἰατρικῆς τέχνης ἔμπειρος πολλὰς ἐπετέλει ἰάσεις, τὴν τῶν θαυμάτων ἐνέργειαν παρὰ τοῦ Κυρίου λαβών. Οὗτος κατασχεθεὶς ἤχθη πρὸς τὸν ἡγεμόνα Ἀγρικόλαον· καὶ ὁμολογήσας τὸ ὄνομα τοῦ Χριστοῦ τύπτεται ῥάβδοις καὶ ἀναρτηθεὶς ξέεται. Εἶτα ἀπαγομένου αὐτοῦ ἐν τῇ φυλακῇ, ἠκολούθησαν αὐτῷ γυναῖκες ἑπτά· αἳ τὰς κεφαλὰς ἀπετμήθησαν, Θεὸν τὸν Χριστὸν εἶναι ὁμολογήσασαι. Ὁ δὲ ἅγιος Βλάσιος ἐν τῷ βυθῷ τῆς λίμνης βληθεὶς καὶ ὡς διὰ ξηρᾶς ἐπὶ τὴν χέρσον κομισθείς, ξίφει τὴν κεφαλὴν ἀπετμήθη[3] μετὰ τῶν δύο βρεφῶν τῶν ὄντων μετ' αὐτοῦ ἐν τῇ φυλακῇ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ μαρτυρείῳ τῷ ὄντι πλησίον τοῦ ἁγίου ἀποστόλου[4] Φιλίππου, ἐν τοῖς Μιλτιάδου[5].

f. 155v. **2.** | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μακεδονίου. Οὗτος ὁ ὅσιος Μακεδόνιος, ᾧ ἐπίκλην κριθοφάγος — ἡ γὰρ τοιαύτη τροφὴ τὴν ἐπωνυμίαν αὐτῷ ἐπέθηκεν, — ὅθεν τε καθήγετο ἢ τίνων γονέων ὑπῆρχεν, οὐκ ἴσμεν. Ἐκ δὲ τῆς θεαρέστου αὐτοῦ καὶ ἀγγελικῆς πολιτείας τὸν οὐρανὸν πατρίδα ἐκτήσατο. Παῖς γὰρ[1] ὢν τὰς τῶν ὀρῶν κατείληφε κορυφάς, μὴ σκήνῃ, μὴ καλύβῃ χρησάμενος, ἐν ὀρύγματι δὲ βαθεῖ[2] τὴν στάσιν ποιούμενος ἐπὶ σαράκοντα χρόνοις. Πρεσβύτης δὲ γεγονὼς καὶ ὑπὸ πολλῶν παρακληθεὶς ἐπὶ καλύβην εἰσῆλθεν, ἐφ' ὅλοις εἰκοσιπέντε ἔτεσιν ἐν ταύτῃ διαβιώσας. Ὅθεν καὶ χαρίσματα ἰαμάτων παρὰ Θεοῦ τούτῳ ἐδόθη τῷ μακαρίτῃ· γυναῖκα γὰρ θνήσκειν μέλλουσαν διὰ προσευχῆς ἀνέστησε· καὶ ἑτέραν γυναῖκα ἀδηφαγίας περιπεσοῦσαν πάθει ἰάσατο· καὶ ἄλλην γυναῖκα τὸν ἐγκέφαλον παθοῦσαν διὰ πόσεως ὕδατος ὑπ' αὐτοῦ εὐλογηθέντος τοῦ χαλεποῦ ἠλευθέρωσε πάθους. Οὕτως οὖν ἀγγελικῶς πολιτευσάμενος καὶ προφητικοῦ χαρίσματος ἀξιωθεὶς καὶ πρεσβύτερος χειροτονηθεὶς καὶ εἰς ἄκρον ἀκακίας ἐλάσας πρὸς Κύριον ἐξεδήμησε.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου[1] Ζαχαρίου τοῦ πατρὸς Ἰωάννου τοῦ[2] βαπτιστοῦ.

4. Καὶ μνήμη Θεοδώρας τῆς βασιλίσσης τῆς ποιησάσης τὴν ὀρθοδοξίαν. Αὕτη ἡ μακαρία ἐγένετο γυνὴ Θεοφίλου τοῦ βασιλέως τοῦ εἰκονομάχου. Οὐκ ἦν δὲ αἱρετικὴ ὥσπερ ὁ ἀνὴρ αὐτῆς·

— [5] πολὺ S. — [6] ἐνταῦθα *add.* Sa. — [7] καὶ πόνων *add.* Sa.
4. — [1] τοῦ ἐν ἁγίοις *add.* Sa. — [2] γενομένου Κωνσταντινουπόλεως *add.* Sa.
5. — [1] δεσποίνης ἡμῶν *add.* Sa.
1. — [1] Λικιννίου S, Sa. — [2] ἐπισκόπου Sa. — [3] ἀφαιρεῖται Sa. — [4] *om.* Sa. — [5] Μιλτιώδου Sa.
2. — [1] ἔτι *add.* Sa. — [2] βαθὺ S.
3. — [1] προφήτου *add.* Sa. — [2] προδρόμου καὶ *add.* Sa.

Feb. 10. ξ. τ. — 2. 4 : Ἀναστασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. — **Mv** : 1. — Βάπτος καὶ Πορφύριος. — Τρεῖς γυναῖκες. — 2. — 4 : Ἀναστασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. — 3. — **Mb** : 1. 2. 3. — Μαρτυρίου καὶ Βάπτου. — Τοῦ ἁγίου μάρτυρος Θεοκτίστου. — **Mr** : 1.

Feb. 11. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 3 (τῆς εὑρέσεως τῆς κεφαλῆς τοῦ ἁγίου Ζαχαρίου). — **P** : 1. 3. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. 3. 4. — **Ba** : 1 (= S). 2 (= S). — **Bd** : 1, mutil. — **G** : 1. — **C** : 1. 3. 4. — **Cb** : 1. — **Cd** : 1. 3. 4 : Θεοδώρας τῆς βασιλίσσης τῆς ποιησάσης τὴν ὀρθοδοξίαν. Αὕτη ἦν γαμετὴ Θεοφίλου τοῦ εἰκονομάχου, μὴ συνθεμένη αὐτοῦ τῇ αἱρέσει μηδὲ συμφωνήσασα, ἀλλ' εἰ καὶ ἐκεῖνος τὸν ἅγιον Μεθόδιον πατριάρχην Κωνσταντινουπόλεως ὄντα ἐξώρισε καὶ ἀντ' αὐτοῦ ἐποίησεν πατριάρχην Ἰωάννην τὸν Λεκανομάντιν[1], ὅμως αὕτη, <εἰ [2]> καὶ φανερῶς οὐκ ἐτόλμα προσκυνῆσαι τὰς ἁγίας εἰκόνας[3], εἶχεν ἐν τῷ κοιτῶνι κεκρυμμένας αὐτὰς καὶ τῇ νυκτὶ ἵστατο προσευχομένη καὶ παρακαλοῦσα τὸν Θεὸν ἵνα ποιήσει ἔλεος μετὰ τῶν ὀρθοδόξων. Ἐγέννησεν <δὲ [2]> υἱὸν ὀνόματι Μιχαὴλ καὶ ἐδίδαξεν αὐτὸν τὴν ὀρθοδοξίαν. Μετὰ δὲ τελευτὴν τοῦ ἀνδρὸς αὐτῆς, εὐθὺς συνήθροισε τὴν ἱερὰν σύνοδον καὶ πρῶτον μὲν κατεβίβασεν ἀπὸ τοῦ πατριαρχείου Ἰωάννην τὸν Λεκανομάντιν[1], ὅστις καὶ ἀπὸ μανίας δέδωκεν ἑαυτῷ μετὰ μαχαίρας καὶ ἀπέθανεν. Ἔπειτα ἀναρρυσαμένη τὸν ἅγιον Μεθόδιον καὶ μετὰ τοῦ υἱοῦ ἀναλαβομένη τόν τε πατριάρχην καὶ τὰς ἁγίας εἰκόνας καὶ πᾶσαν τὴν σύγκλητόν τε καὶ τὸν λαὸν κατὰ τὴν πρώτην κυριακὴν τῶν νηστειῶν ποιήσασα προέλευσιν καὶ λιτήν, πάντων τῶν μοναστηρίων συναχθέντων καὶ ἐκκλησιῶν συναθροισθεισῶν, εἰσῆλθεν εἰς τὴν μεγάλην ἐκκλησίαν καὶ ἀπέδωκεν αὐτῇ τὸν οἰκεῖον κόσμον καὶ τὴν εὐπρέπειαν τῶν σεπτῶν εἰκόνων· καὶ εὐχαρίστησε πᾶς ὁ λαὸς καὶ ηὔξαντο αὐτῇ καὶ τῷ υἱῷ Μιχαήλ. Εἶτα ἀνερρύσατο πάντας ἀπὸ τῆς ἐξορίας ἱερεῖς καὶ μονάζοντας καὶ λαϊκούς· καὶ τὸ μετὰ ταῦτα καλῶς βιώσασα καὶ θεαρέστως καταλι-

[1] Λεχανομάτην Cd. — [2] *supplevi, om.* Cd. — [3] εἰκόνος Cd.

FEB. 11. ἐκεῖνος μὲν γὰρ τὸν ἅγιον Μεθόδιον τὸν πατριάρχην Κωνσταντινουπόλεως ἐξώρισε καὶ ἀντ' ἐκείνου ἐποίησε πατριάρχην Ἰωάννην τὸν Λεκανομάντιν, καὶ τὰς ἁγίας εἰκόνας κατέκαυσεν. Αὕτη δὲ εἰ καὶ φανερῶς οὐκ ἐτόλμα προσκυνεῖν τὰς ἁγίας εἰκόνας, ὅμως εἶχεν αὐτὰς κεκρυμμένας ἐν τῷ κοιτῶνι αὐτῆς, καὶ τῇ νυκτὶ ἵστατο προσευχομένη καὶ παρακαλοῦσα τὸν Θεὸν ἵνα ποιήσει ἔλεος μετὰ τῶν ὀρθοδόξων. Ἐγέννησε δὲ υἱὸν ὀνόματι Μιχαὴλ καὶ ἐδίδαξε καὶ αὐτὸν τὴν ὀρθοδοξίαν. Μετὰ δὲ τελευτὴν τοῦ ἀνδρὸς αὐτῆς, εὐθέως ἤγαγε τὸν ἅγιον Μεθόδιον, καὶ συνήγαγεν καὶ τὴν ἱερὰν σύνοδον καὶ ἀνεθεμάτισε τοὺς εἰκονομάχους καὶ [1] Ἰωάννην κατεβίβασε τοῦ θρόνου, καὶ τὰς ἁγίας εἰκόνας εἰσήγαγεν εἰς τὴν ἐκκλησίαν. Εἶτα ἐτελεύτησε καταλιποῦσα τὴν βασιλείαν τῷ υἱῷ αὐτῆς Μιχαήλ.

f. 156.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

FEB. 12. **1.** Ἄθλησις τῶν ἁγίων χιλίων [1] τριῶν μαρτύρων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων. Οὗτοι οἰκέται ὑπῆρχον τῶν τεσσάρων προτικτόρων, ὑφ' ὧν κατεσχέθη ὁ ἅγιος Πέτρος ὁ τῆς Ἀλεξανδρέων ἐπίσκοπος καὶ ἀπετμήθη τὴν κεφαλήν. Μετὰ γὰρ τὴν τούτου τελευτὴν τῶν προτικτόρων [2] πιστευσάντων πανοικὶ τῷ Χριστῷ [3] καὶ ὑπὲρ αὐτοῦ ἀθλησάντων, οἱ τούτων δοῦλοι τῇ εἰς Χριστὸν πυρούμενοι πίστει ηὐτομόλησαν πρὸς τὸν βασιλέα Διοκλητιανὸν πανοικὶ ἐν Νικομηδείᾳ· καὶ ὁμολογήσαντες εἶναι χριστιανοὶ ὑπὸ τοῦ στρατοῦ ἐν μαχαίραις κατεκόπησαν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μελετίου ἀρχιεπισκόπου γενομένου [1] Ἀντιοχείας. Ὃς διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν καὶ τὴν εἰς Χριστὸν καθαρὰν ἀγάπην ζηλωτὸς ἐγένετο πολλοῖς ἐπὶ τοσοῦτον, ὥστε καὶ παρὰ τὴν [2] ἀρχὴν αὐτοῦ εἰς τὴν πόλιν εἰσελθόντος [3] ὅτε καὶ τῆς χειροτονίας αὐτοῦ ἡ κυρία ἡμέρα παρῆν, πόθῳ τῷ εἰς αὐτὸν ἑλκόμενος [4] ἕκαστος εἰς τὴν ἑαυτοῦ οἰκίαν ἐκάλει τὸν ἅγιον, ἁγιασθήσεσθαι αὐτὴν τῇ εἰσόδῳ οἰόμενος. Τριάκοντα δὲ οὐδὲ ὅλας [5] πληρώσας <ἡμέρας [6]> ἐν τῇ πόλει, παρὰ τῶν τῆς ἀληθείας ἐχθρῶν ἐξεβλήθη, τοῦ βασιλέως τότε παραπεισθέντος καὶ τοῦ Θεοῦ ταῦτα συγχωροῦντος. Μετὰ δὲ τὴν παράνομον ἐκείνην δίωξιν ἐπανελθών, πλεῖον τῶν δύο ἐνιαυτῶν ἐνταῦθα διέτριψε· καὶ πάλιν καλεῖ μὲν αὐτὸν τὰ τοῦ βασιλέως γράμματα οὐκ ἐγγύς που ἀλλ' εἰς τὴν Θρᾴκην· ὡσαύτως καὶ ἕτεροι ἐπίσκοποι πολλαχόθεν τῆς οἰκουμένης ἐκεῖσε συνέρρευσαν βασιλικοῖς κληθέντες καὶ αὐτοὶ γράμμασι, διὰ τὸ τὰς ἐκκλησίας ἐκ μακροῦ πολέμου καὶ χειμῶνος ἀνενεγκούσας ἀρχὴν εἰρήνης καὶ γαλήνης λαμβάνειν. Τότε δὴ θαυμασθεὶς ὁ μέγας οὗτος παρὰ πάντας, τὴν [7] ψυχὴν αὐτοῦ ἀφῆκεν εἰς χεῖρας Θεοῦ, τὸν τῇδε βίον ἀπολιπὼν καὶ ἀναπαυσάμενος μετ' εἰρήνης ἐπὶ τῆς ἀλλοτρίας. Τοῦτον τὸν θαυμάσιον [8] καὶ ὁ τίμιος [9] Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἀξίως ἐτίμησεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πλωτίνου [1] καὶ Σατορνίλου.

4. Καὶ μνήμη τῆς ὁσίας Μαρίας τῆς μετονομασθείσης Μαρίνου. Αὕτη τὴν τῆς γυναικὸς ἀλλαξαμένη στολὴν μετὰ Εὐγενίου τοῦ ἰδίου αὐτῆς πατρὸς εἰσελθοῦσα ἐν μονα|στηρίῳ ἀπεκείρατο καὶ διηκόνει μετὰ τῶν νεωτέρων ἀδελφῶν. f. 156v. Ἐν μιᾷ οὖν καταλύσασα μεθ' ἑτέρων ἐν πανδοχείῳ, καταδέχεται ὀνειδισμὸν συκοφαντηθεῖσα ἐπὶ πορνείᾳ· καὶ ἣν οὐκ εἰργάσατο ἁμαρτίαν ὁμολογεῖ· ὅθεν τοῦ πυλῶνος ἐκβάλλεται τῆς μονῆς. Καὶ ἐπὶ τρισὶ χρόνοις ἔξω ταλαιπωρεῖται [1], ὅπερ οὐκ ὠδίνησεν ἐκτρέφουσα νήπιον. Ἐπεὶ δέ ποτε εἰσεδέχθη τῆς μονῆς ἐντός, συνῆν αὐτῇ τὸ παιδίον ἄρρεν ὄν· ἀπεκαλύφθη δὲ τὰ κατ' αὐτὴν μετὰ τὴν αὐτῆς τελευτήν. Ἐν γὰρ τῷ μέλλειν αὐτὴν κηδεύεσθαι γυνὴ οὖσα εὑρέθη· ἡ δὲ τοῦ πανδοχέως θυγάτηρ, πονηρῷ πνεύματι ληφθεῖσα, ὑπὸ στρατιώτου τινὸς ἔφη διαφθαρῆναι· καὶ οὕτως ἀθρόως ὅ τε ἡγούμενος καὶ οἱ μοναχοί, ἣν πρὸ ὀλίγου ἀθλίαν ἐκάλουν, μακαρισμῶν μεγάλων ἠξίωσαν.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς

4. — [1] τὸν *add.* Sa.
1. — [1] καὶ *add.* Sa. — [2] (ὑφ' ὧν - προτικτόρων) *om.* Sa. — [3] τὸν χριστὸν Sa.
2. — [1] *om.* Sa. — [2] Sa, τοῦ S. — [3] Sa, εἰσελθόντα S. — [4] εἱκόμενος Sa. — [5] ὅλως Sa. — [6] Sa, *om.* S. — [7] τιμίαν αὐτοῦ *add.* Sa. — [8] τὸν θαυμάσιον *om.* Sa. — [9] θεῖος Sa.
3. — [1] Πλουτίνου Sa.
4. — [1] ἐταλαιπωρεῖται Sa.

FEB. 11. ποῦσα τὴν βασιλείαν τῷ υἱῷ Μιχαὴλ πρὸς Κύριον ἐξεδήμησεν. — **R** : 1. 2. — **K** : 1. 2. — **M** : 1. — Οἱ ἅγιοι δύο παῖδες οἱ συναθλήσαντες τῷ ἁγίῳ Βλασίῳ μετὰ ζ' γυναικῶν ξ. τ. — 3. 4. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῆς ὀρθοδοξίας, ὅτε ἡ μνήμη τῆς ἀναστηλώσεως ἑορτάζεται τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων. — **Mv** : 1. — Οἱ ἅγιοι δύο παῖδες ... μετὰ τῶν ζ' γυναικῶν ξ. τ. — 3. 4. — **Mb** : 1. 3. 4. 2. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κατὰ τὸν πρῶτον σάββατον τῶν νηστειῶν θαῦμα τοῦ ἁγίου Θεοδώρου τοῦ τήρωνος. — **Mr** : 1. — Οἱ ἅγιοι δύο παῖδες οἱ συναθλήσαντες τῷ ἁγίῳ Βλασίῳ μετὰ τῶν ἑπτὰ γυναικῶν ξ. τ.

FEB. 12. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 3. 4. 5. — **P** : 4. 3. 2. — **Da** : 2. 4. 5. — **Db** : 2. 4. 5. — **F** : 2. 3 (Πλουτίνου καὶ Σατορνίνου). — Μνήμη Ἀναστασίου πατριάρχου (Feb. 10[4]). — 5. 4. — Καὶ τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου εις Πούσγην. — **Fa** : 2. 3. — Ἀναστασίου. — 5. 4. — Καὶ τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου εἰς Πούσγην ἰνδ. ιε', ἔτει ,ςφι'. — **B** : 5. 4. — **Ba** : 2 (= S). 4. 5. — **Bd** : 5. 4. — **G** : 2. 5. — **C** : 3. 4. 5. — Ζήτει τοῦ ἁγίου Μελετίου τὸ συναξάριον αὐγούστου κγ'. — **Cb** : 1. 4. — **Cd** : 3. 4. 5 (Ἀντωνίου ... τοῦ ἐπιλεγομένου Βακλέου). — **R** : 2. 3. 4. 5 (Ἰωάννου ... τοῦ ἐπιλεγομένου Βακλέα). — **K** : 2. 4. 5. — **M** : 1. 4. 5. 3. — **Mv** : 2. 4. 5. 3. — **Mb** : 2. 4. 5. 3 : Πλωτίνου καὶ Σατορνίνας. — Τῶν ἁγίων μαρτύρων πατρὸς καὶ υἱοῦ. — **Mr** : 2.

ἡμῶν Ἀντωνίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος τὸ γένος ἕλκων <ὑπῆρχε [1]> τὸ μὲν Ἀσίας, τὸ δὲ Εὐρώπης· ἡ δὲ τρίτη πατρὶς ἦν αὐτῷ ἡ βασιλὶς τῶν πόλεων, ἥτις καὶ ἐθρέψατο καὶ ἐνηγκαλίσατο καὶ τῶν παιδικῶν σπαργάνων ἀπελάβετο [2] καὶ εἰς μέτρον ἡλικίας ἤνεγκε καὶ γράμμασιν ἐξεπαίδευσε καὶ μετὰ ταῦτα ποιμένα ἐκτήσατο. Ἐπειδὴ δὲ τὰ [3] εἰς ὕστερον ἐκβήσεσθαι μέλλοντα ἡ τοῦ πνεύματος χάρις ἐν πολλοῖς πολλάκις προεπίσταται [4], καὶ τοῦτον δὴ τὸν θαυμάσιον κομιδῇ νήπιον ὄντα ἄρτον προτιθέναι καὶ θυμιατήριον ἐγχειρίζεσθαι καί, καθὼς ἐν ταῖς ἐκκλησίαις τὴν θείαν λειτουργίαν τελεῖσθαι ἑώρα, καὶ αὐτὸν ταύτην ἐπιτελεῖν ἐν ἀώρῳ τῇ ἡλικίᾳ ᾠκονόμησεν. Ἐπεὶ δὲ τοῦ καιροῦ προβάντος τὸν μοναστὴν ὑπέδυ βίον καὶ τὴν πρακτικὴν φιλοσοφίαν ἀνδρικώτερον μετήρχετο, προχειρίζεται εἰς τὸ τοῦ πρεσβυτέρου ἀξίωμα, καὶ μὴ βουλόμενος καὶ τοῦ μοναχικοῦ φροντιστηρίου [5] ἡγούμενος γίνεται [6]. Ἐντεῦθεν αὐτῷ [6] ἀσιτία καὶ ἀγρυπνία καὶ τὸ ἐν προσευχαῖς ἀνένδοτον ἐπηκολούθει· ἐντεῦθεν [7] καὶ ὁ πατὴρ αὐτοῦ τὸ μοναδικὸν σχῆμα ὑπέρχεται καὶ οὕτως [8] καιροῦ λαβόμενος [9] ἀμφοτέραις χερσίν, ὃ δὴ λέγεται, τὴν ἐλεημοσύνην ἐργάζεται. Ὅθεν τῷ μεγάλῳ FEB. 12. τούτῳ διὰ στενωποῦ παριόντι [10] καὶ τὴν ἐλεημοσύνην ἐργαζομένῳ ἀπόδεσμόν τις ἐγχειρίζει χρυσίου· « Λάβε τοῦτο, εἰπών, εἰς ἀνάλωμα τῶν » πτωχῶν. » Καὶ ἡ μὲν χεὶρ εἶχε τὸν χρυσόν, τοῖς δὲ ὀφθαλμοῖς ἄληπτος ἦν ὁ παρασχών. | Ἐπὶ τούτοις ὁ μέγας εὐθήνει τοῖς καλοῖς. f. 157. Διὰ ταῦτα, καιροῦ ἐπιστάντος καὶ ἀρχιερέως ζητουμένου, ψήφῳ τῆς ἱερᾶς συνόδου καὶ [11] βασιλέως καὶ πάσης τῆς συγκλήτου ἀνάγεται ἐπὶ τὸν θρόνον Κωνσταντινουπόλεως, καὶ καθάπερ ὑπόπτερος τῇ [12] τοῦ Πνεύματος δυνάμει ἐν γηραιῷ τῷ σώματι πάσας διατρέχει τὰς ἐκκλησίας, λιταῖς τὸ θεῖον εὐμενιζόμενος καὶ ταύτας χρόνῳ πεπονηκυίας κατὰ τὸ δυνατὸν ἀνακτώμενος, καὶ τοῖς ἀπορίᾳ συνεχομένοις τῶν κληρικῶν καὶ τῶν ἀναγκαίων ἐνδεῶς ἔχουσιν ἀφθόνῳ τῶν χρημάτων [13] χορηγίᾳ τὴν συνέχουσαν αὐτοὺς ἀπορίαν ἔλυε. Καὶ τὰς τῶν πενήτων μυριάδας ἐν ταῖς προόδοις δι' ἐλεημοσύνης παρεμυθεῖτο· πολλοῖς δὲ καλῶν πλείστων αἴτιος [6] γενόμενος καὶ θαύματα μέγιστα κατεργασάμενος, ἐν βάθει γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ αὐτοῦ [14] μονῇ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

FEB. 13. **1.** Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μαρτινιανοῦ. Οὗτος ἦν ἀπὸ Καισαρείας τῆς Παλαιστίνης. Γενόμενος δὲ μοναχὸς ἡσύχαζεν ἐν τοῖς ὄρεσι· καὶ πληρώσας ἐν τῇ ἀσκητικῇ πολιτείᾳ [1] ἔτη εἴκοσι πέντε, ἐπειράσθη ὑπὸ διαβόλου. Ὑποβληθεῖσα γὰρ ὑπὸ πονηρῶν ἀνθρώπων ἐπὶ μισθῷ πόρνη τις, καὶ πενιχρὰ φορέσασα ἱμάτια, ἀπῆλθεν πρὸς αὐτὸν νυκτός, ὡς δῆθεν ἀπολέσασα τὴν ὁδόν· καὶ ἐβόα ἀνοῖξαι τὸ κελλίον καὶ δέξασθαι αὐτὴν ἵνα μὴ βρωθῇ ὑπὸ [2] θηρίων. Ὅτε δὲ εἰσῆλθεν, διὰ νυκτὸς [3] φορέσασα τὴν πορνικὴν στολὴν ἣν ἐβάσταζε, λόγοις [4] πορνικοῖς καταχαυνώσασα τὸν ἅγιον ἐξεκαλεῖτο πρὸς μίξιν. Ὁ δὲ πρὸ τοῦ διαπράξασθαί τι μετανοήσας καὶ ἀνάψας φρύγανα, εἰσῆλθε μέσον τῆς φλογὸς καὶ [5] ἔλεγε πρὸς ἑαυτόν· « Ταπεινὲ Μαρτινιανέ, εἰ δύνασαι τὸ τῆς » κολάσεως πῦρ ὑπομεῖναι, ποίησον καὶ τὴν ἁμαρ- » τίαν. » Καὶ οὕτω κατακαεὶς ἔπεισε καὶ τὴν γυναῖκα σωφρονῆσαι καὶ σωθῆναι. Καὶ φυγὼν καὶ ἀπελθὼν εἰς [6] πέτραν μέσον τῆς θαλάσσης [7] πάλιν ἐπειράσθη· καὶ οὕτω [8] πειραζόμενος [9] καὶ νικῶν πρὸς Θεὸν ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ [10] ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς

5. — [1] Sa, *om.* S. — [2] (καὶ τῶν - ἀπεβάλετο) *ita* S, *om.* Sa. — [3] τοὺς Sa. — [4] προετύπωσε Sa. — [5] ὁ αὐτὸς συνεστήσατο *add.* Sa. — [6] *om.* Sa. — [7] ἐπεὶ δὲ Sa. — [8] (σχῆμα - οὕτως) ὑπεισῆλθε σχῆμα· οὗτος Sa. — [9] προλαβόμενος Sa. — [10] ποτε *add.* Sa. — [11] τοῦ *add.* Sa. — [12] τὸ Sa. — [13] τῇ τῶν χρημάτων ἀφθόνῳ Sa. — [14] αὐτῇ Sa.
1. — [1] διαγωγῇ Sa. — [2] τῶν *add.* Sa. — [3] ἐγερθεῖσα καὶ *add.* Sa. — [4] τε *add.* Sa. — [5] *om.* Sa. — [6] τινα *add.* Sa. — [7] κειμένην *add.* Sa. — [8] οὕτως Sa. — [9] καὶ φυγὼν *add.* Sa. — [10] σεβαστῷ Sa.

FEB. 13. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 4. 5. — **P** : 1. 4. 5. — **Da** : 1 (= Fa). 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. 4. — Manus recentior add. in marg. fol. 260 : καὶ τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου καὶ τῆς ἁγίας ἀποστόλου Θέκλας τοῦ ἐν Ποσαλέως ὄρει. — **Fa** : 1 : Μαρτινιανοῦ. Οὗτος γέγονεν ἀπὸ Καισαρείας τῆς κατὰ Παλαιστίνην [1]. Ὀκτωκαιδεκάτῳ δὲ ἔτει τῆς αὐτοῦ ἡλικίας, τῆς ἀσκητικῆς ἀγωγῆς ἀπήρξατο ἐν ἐρήμοις καὶ ὄρεσι διαιτώμενος. Ἐκτελέσας δὲ ἐπὶ τῇ ἀναχωρήσει ἔτος πέμπτον καὶ εἰκοστὸν μετὰ πολλοὺς ἑτέρους τοιούτῳ τινὶ πειρασμῷ παρὰ τοῦ πονηροῦ ὑποβάλλεται. Ἑταίρα γάρ τις περιστείλασα ἑαυτὴν ἐπὶ τὸ πενιχρὸν τὸ ὄρος κατέλαβεν, ἔνθα διῆγεν ὁ ἅγιος. Καὶ γενομένης ἑσπέρας, ἀπολοφύρεται ὡς δῆθεν τοῦ πειρασμοῦ· καὶ ἀντικρὺς σταθεῖσα τῆς θύρας [2] τοῦ ἁγίου ὀδυνηρῶς ἐβόα· « Ἐλέησόν με, ἅγιε τοῦ Θεοῦ, τὴν ἐκ τῆς ὁδοῦ πλανηθεῖσαν, μὴ γένωμαι τοῖς θηρίοις

[1] Παλεστήνην Fa. — [2] θυρὸς Fa.

Feb. 13. ἡμῶν Μαϊσυμᾶ. Οὗτος Σύρος μὲν ἦν τὸ γένος. ἐν ἀγροικίᾳ δὲ τεθραμμένος πᾶν εἶδος ἀρετῆς ἐπεδείξατο. | f. 157v. Διαλάμψας δὲ ἐν τῷ καθ' ἑαυτὸν βίῳ, κώμης τινὸς τὴν ἐπιμέλειαν ἐνεχειρίσθη, τῇ πόλει Κύρῳ πλησιαζούσης· ἱερουργῶν δὲ τοῖς θείοις μυστηρίοις τῆς τῶν ξένων καὶ πενήτων θεραπείας σφοδρῶς ἀντείχετο[1]. Δύο γὰρ πίθους ἔχων ἐλαίου τε καὶ οἴνου, ἐκ τούτων ἐχορήγει ἅπασι[2] τοῖς δεομένοις, τῇ αὐτοῦ προσευχῇ τούτους πλήρεις[3] ἔχων ἀεὶ ἐκφορουμένους καὶ μηδέποτε ἐκκενουμένους. Ἀλλὰ καὶ θαυματουργίας[4] χάριν θεόθεν ἐδέξατο. Γυναικὸς γάρ τινος υἱὸς πάνυ νέος ἀρρωστίᾳ περιπεσὼν τῇ τούτου προσευχῇ ἀπηλλάγη τῆς νόσου· καὶ τὸν τῆς κώμης δεσπότην Λητώιον[5], λοιμὸν τοῖς τρόποις ὄντα καὶ ἄσπλαγχνον καὶ ἀπάνθρωπον εἰς τοὺς πένητας, διὰ μικρᾶς τινος παιδείας εὐμετάδοτον καὶ φιλάνθρωπον εἰς τοὺς πένητας[6] ἀπειργάσατο. Ἄλλα τε πάμπολλα θαυματουργήσας, τῷ Θεῷ ἐν εἰρήνῃ τὴν ψυχὴν παρέθετο.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀκεψιμᾶ. Οὗτος ἐν οἰκίσκῳ βραχεῖ ὑπὸ γῆν ὀρωρυγμένῳ ἑαυτὸν ἐπὶ ἑξήκοντα χρόνοις ἐγκλείσας, διά τινος βραχείας τρυμαλιᾶς τὴν τροφὴν εἰσεδέχετο· ἡ δὲ ἦν φακὸς[1] διάβροχος ὕδατι. Ἅπαξ δὲ τῆς ἑβδομάδος νύκτωρ ἐξιὼν τὸ ἀρκοῦν ὕδωρ ἀπὸ τῆς πελαζούσης ἀνιμᾶτο πηγῆς. Μιᾷ γὰρ τῶν νυκτῶν τοῦ ὀρύγματος ὁ ὅσιος ἐξελθὼν τὸ ὕδωρ ἀρύσασθαι, ὑπό τινος ποιμένος λίθῳ βάλλεται, λύκον τοῦτον ὑποτοπάσαντος. Ὡς δὲ ἡ χεὶρ αὐτοῦ ἐξηράνθη, ἱκέτης λοιπὸν γίνεται τοῦ ὁσίου καὶ συγγνώμην ᾔτει ἐπὶ τῇ ἀγνοίᾳ. Ὁ δὲ ὅσιος διὰ προσευχῆς ὑγιῆ ἀπεκατέστησε τὴν ξηρανθεῖσαν τοῦ ποιμένος χεῖρα. Ἄλλος δέ τις κατασκοπῆσαι θέλων τὸν ὅσιον, ὅ τι καὶ πράττοι ἅπαντα τὸν[4] χρόνον ἐγκεκλεισμένος, εἰς τὴν[5] θριγγίῳ παραπεφυτευμένην πλάτανον ἀνῆλθεν· καὶ παρευθὺ ἡμίξηρος ἅπας ἐγένετο ἀπὸ κεφαλῆς μέχρι ποδῶν· ὃν διὰ προσευχῆς ὁ ὅσιος ἰάσατο. Καὶ πρεσβύτερος δὲ γεγονώς, πρὸς Κύριον ἐξεδήμησεν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων[1] Ἀκύλα καὶ Πρισκίλλης. Ὁ ἅγιος Ἀκύλας σκυτοτόμος ἦν τὴν τέχνην. Καὶ ἀκούσας περὶ[2] τοῦ ἁγίου ἀποστόλου Παύλου, ἀπῆλθεν πρὸς αὐτὸν μετὰ τῆς συμβίου αὐτοῦ Πρισκίλλης. Καὶ βαπτισθέντες ἀμφότεροι ὑπ' αὐτοῦ, ἦσαν αὐτῷ καθυπηρετούμενοι καὶ δουλεύοντες καὶ κατὰ πᾶσαν πόλιν καὶ χώραν ἀκολουθοῦντες | f. 158. καὶ συγκινδυνεύοντες ἐν πᾶσι[3] πειρασμοῖς. Τοσοῦτον δὲ ἠγάπησεν αὐτοὺς ὁ μέγας ἀπόστολος διὰ τὴν ἀρετὴν αὐτῶν καὶ τὴν πρὸς Χριστὸν πίστιν, ὡς καὶ μνημονεῦσαι αὐτῶν ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς. Οὕτω δὲ καὶ Χριστῷ καὶ τῷ αὐτοῦ ἀποστόλῳ εὐαρεστήσαντες καὶ πολλὰ θαύματα ποιήσαντες ἐτελειώθησαν.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου[1] Εὐλογίου ἀρχιεπισκόπου Ἀλεξανδρείας. Οὗτος ἦν ἀρχιεπίσκοπος Ἀλεξανδρείας[2] ἐπὶ τῆς βασιλείας Ἡρακλείου πρὸ τοῦ ἁγίου Ἰωάννου τοῦ ἐλεήμονος· ἐποίησε δὲ διὰ τὴν ἀρετὴν αὐτοῦ θαύματα πολλά, ἐξ ὧν ἕν ἐστι καὶ τοῦτο. Τοῦ ἁγιωτάτου ἐπισκόπου Λέοντος[3] γράψαντος διὰ τὴν ἐν Χαλκηδόνι σύνοδον ἐπιστολὴν ὀρθοδοξίας, ἀναγνοὺς αὐτὴν ὁ ἅγιος Εὐλόγιος οὐ μόνον ἐπῄνεσε καὶ ἀπεδέξατο, ἀλλὰ καὶ τοῖς πᾶσιν ἐκήρυξεν. Ὁ οὖν Θεὸς ὁ[4] θέλων θεραπεῦσαι ἀμφοτέρους τοὺς ἀρχιερεῖς, ἔπεμψεν ἄγγελον, ὡς ἐν σχήματι τοῦ ἀρχιδιακόνου τοῦ Λέοντος, εὐχαριστοῦντα τῷ ἁγίῳ Εὐλογίῳ ὑπὲρ οὗ ἀπεδέξατο τὴν δηλωθεῖσαν ἐπιστολήν. Ὁ δὲ ἅγιος Εὐλόγιος διελέγετο αὐτῷ ὡς ἀνθρώπῳ, ἕως ἄφαντος ἐγένετο ἀπ' αὐτοῦ, καὶ ἐδόξασε τὸν Θεόν. Καὶ οὕτω τὴν μακαρίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας αὐτοῦ[5] παρέθετο.

2. — [1] ἀντείχετο σφ. Sa. — [2] πᾶσι Sa. — [3] πλήρεις τ. Sa. — [4] θαυματουργιῶν Sa. — [5] Λητόϊον S, Sa. — [6] δεομένους Sa.
3. — [1] φακὴ Sa. — [2] πλησιαζούσης Sa. — [3] ἐν μιᾷ οὖν Sa. — [4] τὸν ἅπαντα Sa. — [5] ἐν τῷ *add.* Sa.
4. — [1] ἀποστόλων *add.* Sa. — [2] παρὰ Sa. — [3] τοῖς Sa.
5. — [1] ἐν ἁγίοις πατρὸς ἡμῶν Sa. — [2] (οὗτος - Ἀλεξανδρείας) *om.* Sa. — [3] Ῥώμης *add.* Sa. — [4] *om.* Sa. — [5] Θεοῦ Sa.

Feb. 13. » βορά. » Ὁ δὲ ἅγιος ταῦτα ἀκούσας ἐντός, ταύτην εἰσάγει. Ὢ τῶν τοῦ πονηροῦ βουλευμάτων· μικρὸν ὅσον οὔπω πτώματι τῷ εἰς ἀκολασίαν ὁ ἅγιος περιέπιπτε, ἀλλ' ὑπὸ τῆς θείας χάριτος πρὶν πεσεῖν ἀνεκλήθη τοῦ πτώματος. Καὶ τί ποιεῖ; φρυγάνων πλῆθος συνάψας εἰσῄει μέσον καὶ τῆς σαρκὸς ταπεινώσας τὴν ὕβριν, τῶν δικτύων τῶν διαβολικῶν ἐρρύσθη, τήν τε γυναῖκα σωφρονίσας θείαις νουθεσίαις[3] ἐν μοναστηρίῳ ἐξέπεμψεν. Καὶ αὐτὸς τῶν ἐκ τοῦ πυρὸς φλογῶν ἰαθείς, ὁδηγήσαντός τινος ναυκλήρου πέτραν τῶν ἐπιθαλασσίων κατέλαβεν, ἀπέχουσαν τῆς γῆς ἡμέρας ὁδόν· ἐφ' ἧς ἐπὶ ι' χρόνους διακαρτερήσας, πάλιν ἐκεῖθεν ἀπανέστη διὰ τὸ κόρην τινὰ ναυαγήσασαν ἐπὶ σανίδος αὐτῷ προσβαλεῖν καὶ ἀναχθῆναι μὲν ὑπὸ τοῦ ὁσίου, αὐτὸν δὲ ἐκεῖθεν ἐξελθεῖν ἐπὶ νώτων δελφίνων ὀχούμενον, καὶ τῇ γῇ προσπελάσαντα· ἐκεῖθέν τε χώρας καὶ πόλεις[4] ἀμείβων καὶ τὰς Ἀθήνας καταλαβὼν πρὸς Κύριον ἐξεδήμησεν, ἐνδόξου ταφῆς παρὰ τοῦ ἐπισκόπου καὶ παντὸς τοῦ πλήθους ἀξιωθείς. Λέγεται δὲ καὶ τὰς γυναῖκας, τὴν μὲν ἀπὸ τοῦ ὄρους ἐν μοναστηρίῳ γενομένην καὶ ὁσίως βιώσασαν θαυματουργιῶν ἀξιωθῆναι· τὴν δὲ ἐπὶ τῆς θαλάσσης ἐν τῇ πέτρᾳ μέχρι τέλους τοῦ βίου προσκαρτερῆσαι ἀνδρικοῖς ἱματίοις, παρὰ τοῦ ναυκλήρου τοῦ καὶ τὸν ἅγιον ἐν τῇ πέτρᾳ τρέφοντος κομισθεῖσαν[5]. — 2 (Μαησυμᾶ). — 3. 4. — Καὶ τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου τοῦ Ποσαλέος καὶ τῆς ἁγίας Θέκλης. — **B** : 1. 4. 5. — Ἰωάννου ἐπισκόπου Πολυβότου (Dec. 4[3]). — **Ba** : 1. 2 (= S). 3 (= S). 4. — **Bd** : 1. 4. 3. 2. — Ἀβραάμου (Feb. 14[3]). — 5. — **G** : 1. — **C** : 2. 3. 1. — **Cb** : 1. — **Cd** : 1. — **R** : 1. — **K** : 1. 2. 3. — **M** : 1. 4. 5. — Πατὴρ καὶ υἱὸς σταυρωθέντες τ. — **Mv** : 1. 4. 5. — Πατὴρ καὶ υἱός. — **Mb** : 1. 4. 5. 3. — **Mr** : 1.

— [3] θείας νουθεσίας Fa. — [4] πόλις Fa. — [5] κομησθεῖσα Fa.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

Feb. 14. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ, ὁρμώμενος τῶν ἀφ' ἡλίου ἀνατολῶν, σχολάριος γεγονώς· μετῆλθε δὲ τὸν μονήρη βίον, εἰς τὸ ὄρος ἀνελθὼν τὸ κατ' ἀντικρὺ τῆς Ὀξείας κείμενον. Ἦν δὲ τὴν ἄσκησιν καρτερικώτατος, τὴν πίστιν ὀρθοδοξότατος, πολλὰ φαυλίσας τὴν Εὐτυχοῦς καὶ Νεστορίου κακοδοξίαν, ἀποδεξάμενος δὲ τὴν ἐν Χαλκηδόνι[1] τετάρτην σύνοδον. Γέγονε δὲ[2] καὶ βασιλεῦσιν αἰδέσιμος καὶ πᾶσι τοῖς ἐντυγχάνουσιν θείᾳ χάριτι τὴν ὄψιν ἠγλαϊσμένος καὶ πηγὰς θαυμάτων καὶ ἰάσεων τοῖς προσιοῦσι βρύων ἑκάστοτε. Ἐν εἰρήνῃ δὲ ἀναπαυσάμενος[3], κατετέθη ἐν τῷ ὑπ' αὐτοῦ ἀνοικοδομηθέντι εὐκτηρίῳ τῆς γυναικείας μονῆς, ὅπερ τῆς Τριχιναρίας ὠνόμασται. Τελεῖται[4] δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τῶν Καλλιστράτου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρωνος. Οὗτος ὁ ὅσιος Μάρων τὸν ὕπαιθρον ἀσπασάμενος βίον, κορυφήν τινα ὄρους κατέλαβεν ὑπὸ τῶν πάλαι δυσσεβῶν τιμωμένην· | f. 158v. καὶ τὸ ἐν ταύτῃ τῶν δαιμόνων τέμενος τῷ Θεῷ καθοσιώσας, ἐν αὐτῷ διέτριβε σκηνήν τινα βραχεῖαν πηξάμενος, ὀλιγάκις δὲ ταύτῃ χρησάμενος· πόνοις δὲ οὐ[1] τοῖς εἰωθόσιν ἐκέχρητο μόνοις, ἀλλὰ καὶ ἑτέρους ἐπενόει. Ὁ δὲ ἀγωνοθέτης τοῖς[2] πόνοις τὴν χάριν ἐπεμέτρησεν[3]. Ἦν γὰρ[4] ἰδεῖν καὶ πυρετοὺς σβεννυμένους τῇ τούτου προσευχῇ καὶ φρίκην παυομένην καὶ δαίμονας δραπετεύοντας[5] καὶ παντοδαπὰ καὶ ποικίλα παθήματα εὐχῇ μόνῃ θεραπευόμενα. Ἀλλὰ καὶ πολλὰ κατασκευάσας μοναστήρια, πολλοὺς δι' ἀσκήσεως τῷ Θεῷ προσῆξεν. Οὕτω δὲ τῆς θείας γεωργίας ἐπιμελούμενος καὶ ψυχὰς ὁμοῦ θεραπεύων καὶ σώματα, ἀρρωστίαν ὑπομείνας βραχεῖαν ὑπεξῆλθε τὸν βίον ἐν εἰρήνῃ.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀβραάμου[1]. Οὗτος ὁ ὅσιος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου ἐκ πόλεως Κύρου, ἐν ᾗ καὶ τεχθεὶς καὶ τραφεὶς τῆς ἀσκητικῆς ἀρετῆς τὸν πλοῦτον συνέλεξε. Τοσαύτῃ γὰρ ἀγρυπνίᾳ καὶ στάσει[2] καὶ νηστείᾳ τὸ σῶμα κατεδάμασεν, ὡς ἀκίνητος ἐπὶ πλεῖστον διαμεῖναι χρόνον, μηδαμῶς βαδίζειν δυνάμενος. Μεμαθηκὼς δὲ κώμην τινὰ πρὸς τῷ ὄρει τῷ Λιβάνῳ κειμένην κατείδωλον εἶναι <ταύτην[3]> καταλαμβάνει· καὶ οἰκίαν μισθωσάμενος ἐπὶ τρεῖς μὲν[4] ἡμέρας διετέλεσεν[5] ἡσυχάζων. Ἐπὶ δὲ τῇ τετάρτῃ ὁ ὅσιος[6] ἡσύχως προσευχόμενος, πρῶτον μὲν ὑπ' αὐτῶν τῶν δυσσεβῶν χοῒ πολλῷ καταχώννυται· ἔπειτα τὰς θύρας ἀνοίξαντες οἱ δυσσεβεῖς ἀπιέναι ἐκέλευον. Ἀλλὰ πράκτορες ἀφικόμενοι εἰς ἐκείνην τὴν πόλιν[7] δεινῶς ᾔκιζον τὰς εἰσφορὰς ἀπαιτοῦντες. Ὁ δὲ θεῖος Ἀβραάμης τὴν εἰσφορὰν τοῖς πράκτορσι δεδωκὼς τοὺς ὑβριστὰς τῶν βασάνων[8] ἠλευθέρωσεν· οἳ[9] τὴν τοῦ ὁσίου φιλανθρωπίαν ὑπερθαυμάσαντες, καὶ ἐκκλησίαν ἐδομήσαντο[10] καὶ χριστιανοὶ γεγόνασιν· καὶ αὐτὸν ἱερέα αὐτῶν γενέσθαι καταναγκάζουσιν. Ὁ δὲ τρία συγγενόμενος αὐτοῖς ἔτη καὶ καλῶς πρὸς τὴν εὐσέβειαν αὐτοὺς ὁδηγήσας, πάλιν τὸ μοναχικὸν[11] κατέλαβε καταγώγιον, ἕτερον αὐτοῖς ἱερέα καταλιπών. Ἐν τούτοις διαλάμψας τὴν τῶν Κάρων δέχεται[12] προεδρίαν· πόλις δὲ αὕτη τῆς Παλαιστίνης, κατείδωλος οὖσα[13]. Ἀλλὰ καὶ ταύτην πόνοις μυρίοις καὶ θεοπνεύστοις διδασκαλίαις Θεῷ ἐν ὀλίγῳ χρόνῳ παρέστησεν. Οὔτε γὰρ ἄρτου κατὰ τὸν τῆς ἀρχιερωσύνης μετελάμβανε[14] χρόνον, οὔτε ὀσπρίων | f. 159. οὔτε λαχάνων ὁμιλησάντων πυρί, οὐχ ὕδατος, ἀλλὰ θριδακίνας καὶ σέρεις καὶ σέλινα καὶ ὅσα τοιαῦτα τροφὴν ἐποιεῖτο καὶ πόμα. Τούτου τὴν φήμην καὶ βασιλεὺς ἀκούσας πρὸς ἑαυτὸν μετεκαλέσατο. Ὀλίγον[15] ἐπιβιοὺς ἔκτοτε χρόνον, ἐν αὐτῇ τῇ βασιλίδι τῶν πόλεων τὴν ψυχὴν τῷ Θεῷ παρέθετο· οὗτινος τὸ σῶμα ὁ μέγας Θεοδόσιος ἐν Κάραις παρέπεμψε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Φιλήμονος ἐπισκόπου Γάζης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

Feb. 15. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ὀνησίμου μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Παύλου. Οὗτος οἰκέτης ὑπῆρχε Φιλήμονος ἀνδρὸς Ῥωμαίου, πρὸς ὃν γράφει ὁ ἅγιος Παῦλος ὁ ἀπόστολος· ᾧ[1] μαθητευθεὶς[2] Ὀνήσιμος καὶ διακονήσας καὶ μετὰ τὴν αὐτοῦ τελείωσιν συλληφθεὶς προσήχθη Τερτύλλῳ[3]

1. — [1] Χαλκηδῶνι S. — [2] γεγονὼς οὖν Sa. — [3] (θείᾳ - ἀναπαυσάμενος) ἐν εἰρήνῃ ἀνεπαύσατο καὶ Sa. — [4] *lege quae habet* Sa *inter* Synaxaria selecta.
2. — [1] οὖν οὐδέ Sa. — [2] αὐτοῦ *add.* Sa. — [3] ἐπιμετρῶν θαύμασιν αὐτὸν κατεκόσμησε καὶ Sa. — [4] *om.* Sa. — [5] δαίμονες δραπετεύονται Sa.
3. — [1] Ἀβραὰμ Sa. — [2] καὶ στάσει *om.* Sa. — [3] Sa, *om.* S. — [4] *om.* Sa. — [5] ἐτέλεσεν Sa. — [6] ὁ ὅσιος *om.* Sa. — [7] εἰς τὴν κώμην ἐκείνην Sa. — [8] βασάννων S. — [9] οἵτινες Sa. — [10] ἐδείμαντο Sa. — [11] αὐτοῦ *add.* Sa. — [12] ὑποδέχεται Sa. — [13] τηνικαῦτα τυγχάνουσα Sa. — [14] μετέλαβε Sa. — [15] οὖν *add.* Sa.
1. — [1] ὁ ἅγιος γράφει ἀπόστολος Π. ᾧτινι Sa. — [2] ὁ *add.* Sa. — [3] Τερτύλῳ S, Sa.

Feb. 14. SYNAXARIA SELECTA. **Sa** : 1, des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τῆς ἁγίας Ἀναστάσεως, ἔνθα καὶ τὸ ἅγιον σῶμα ἀνακομισθὲν ἀπόκειται. — 2. 3. 4. — **H** : 1. 4. — **P** : 1. 4 : Φιλίππου ἐπισκόπου Γάζης. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. 4. — **Ba** : 1 (= S). 2 (= S). — **Bd** : 1. 2. — **G** : 1. — **C** : 1. — **Cb** : 1. — **Cd** : 1. — **R** : 1. 2. — **K** : 1. 2. 3. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mb** : 1. 2. 3. 4. — **Mr** : 1.

Feb. 15. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη πλησίον τῆς ἁγίας Ἀκυλίνης ἐν τῇ Φιλοξένῳ κινστέρνῃ, ἔνθα καὶ ἡ ἁγία αὐτοῦ χεὶρ ἀπόκειται. — 2. 3. 4. 5. — **H** : 1. 4. 5. — **P** : 1. 4. —

Feb. 15. τῷ τῆς Ῥωμαίων[4] ἐπάρχῳ· καὶ παρ' αὐτοῦ ἐν Ποτιόλοις ἐκπέμπεται· ἔνθα παραγενόμενος ὁ Τέρτυλλος[5] τὸν Ὀνήσιμον[6] ἐπιμένοντα τῇ εἰς Χριστὸν πίστει[7] πρῶτον μὲν ῥάβδοις τύπτει σφοδρῶς, εἶτα τὰ σκέλη καταθραύει, καὶ τῆς προσκαίρου ζωῆς μεθιστᾷ[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαΐωρος. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, στρατευόμενος ὑπὸ τὸ τάγμα τῶν Μαύρων. Ἐν τῇ[1] Γαζαίων δὲ[2] διαβληθεὶς τοῖς κρατοῦσι καὶ ἐρωτηθεὶς καὶ χριστιανὸν ἑαυτὸν ἀνακηρύξας, μαστίζεται σφοδρῶς ἅπαν τὸ σῶμα καταξανθείς· τριάκοντα δὲ καὶ ἓξ ἐν τῷ μαστίζεσθαι αὐτὸν ἀλλαγέντων στρατιωτῶν, ἔρρει μὲν αὐτοῦ τὸ αἷμα καὶ τὴν γῆν ἐφοίνισσεν, ἰχῶρι καὶ λύθρῳ ἐκ τῆς διασήψεως προσεοικός. Γενναίως δὲ ἐπὶ ἑπτὰ ἡμέρας τὰ ἀλγεινὰ ἐνεγκὼν τελευτᾷ[3], πορευθεὶς ἐκ δυνάμεως στρατιωτικῆς εἰς δύναμιν Θεοῦ στρατιᾶς.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐσεβίου. Οὗτος ὁ ὅσιος ὅθεν τε ἦν καὶ ἐκ τίνων ἔφυ γονέων, ἡ κατ' αὐτὸν ἱστορία οὐκ ἐδήλωσεν· ὅπερ δὲ ἴσμεν, τοῦτο καὶ λέγομεν. Τὸν γὰρ οὐρανὸν ἐκ τῶν ἀσκητικῶν[1] πόνων ἐκτήσατο πατρίδα[2], καὶ πρῶτον μὲν ἔν τινι μοναστηρίῳ ἀπετάξατο. Ἔπειτα δὲ ῥαχίαν ὄρους καταλαβών, ἐν κώμῃ Ἀσιχᾷ λεγομένῃ καὶ ἐπικειμένῃ[3] θριγκίον μόνον ἐκτήσατο ἐκ ξηρολίθων· ὑπαίθριος δὲ ταλαιπωρῶν τὸν λοιπὸν διετέλεσε βίον, ἐσθῆτι μὲν δερματίνῃ καλυπτόμενος, ἐρεβίνθοις δὲ καὶ κυάμοις βεβρεγμένοις τρεφόμενος· <ἔστιν[4]> ὅτε δὲ καὶ ἰσχάδων μετελάμβανεν, ὑπερείδων τοῦ σώματος τὴν ἀσθένειαν. Εἰς γῆρας δὲ ἐλάσας βαθύ, ὡς καὶ τῶν ὀδόντων | τοὺς πλείστους ἀποβαλεῖν, οὔτε τὴν τροφὴν (f. 159v.) οὔτε τὴν οἴκησιν ἤμειψε, φέρων καρτερῶς τὰς ἐναντίας τοῦ ἀέρος ποιότητας, ἐρρικνωμένον[5] μὲν ἔχων τὸ πρόσωπον, τεταριχευμένα δὲ ἅπαντα τὰ μέλη τοῦ σώματος, ὡς μηδὲ τὴν ζώνην δύνασθαι ἐπὶ τῆς ὀσφύος μένειν· κατηνάλωντο γὰρ γλουτὰ καὶ ἰσχία. Πολλῶν δὲ πρὸς αὐτὸν ἀφικνουμένων, τὸν θόρυβον δυσχεράνας τὸ πλησιάζον μοναστήριον καταλαμβάνει καὶ θριγκίῳ μικρῷ[6] παρὰ τὴν τοῦ τοίχου γωνίαν χρησάμενος, μετὰ τῶν συνήθων ἠγωνίζετο πόνων. Λέγεται δὲ τὰς ἑπτὰ ἑβδομάδας τῆς ἁγίας νηστείας δεκαπέντε χρῆσθαι εἰς τροφὴν ἰσχάσι. Τούτοις τοῖς ἱδρῶσι περιρρεόμενος ἐπὶ ἐνενήκοντα ἔτη βεβιωκὼς ἢ καὶ πλείονα, ἀσθενείᾳ δὲ δυσδιηγήτῳ περιπεσὼν πρὸς Κύριον ἐξεδήμησεν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Παφνουτίου καὶ Εὐφροσύνης τῆς αὐτοῦ θυγατρός.

5. Καὶ σύναξις ἐν τοῖς Διακονίσσης[1] τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚʹ.

Feb. 16. 1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Παμφίλου, Οὐάλεντος, Παύλου[1], Πορφυρίου, Σελεύκου, Θεοδούλου, Ἰουλιανοῦ καὶ πέντε Αἰγυπτίων Ἠλία, Ἱερεμία[2], Σαμουήλ, Ἡσαΐου καὶ Δανιήλ. Οὗτοι οἱ ἅγιοι μάρτυρες ἐκ διαφόρων πόλεων καὶ ἀξιωμάτων καὶ ἐπιτηδευμάτων ὄντες καὶ εἰς μίαν τὴν εἰς Χριστὸν πίστιν ἑνωθέντες, ἐν τῷ ἕκτῳ ἔτει τοῦ κατὰ Διοκλητιανὸν διωγμοῦ ἐν τῷ μέλλειν αὐτοὺς τὰς πύλας τῆς πόλεως Καισαρείας παριέναι, τῶν φυλάκων πυνθανομένων τίνες τε εἶεν καὶ ὅθεν ὥρμηντο, χριστιανοὺς ἑαυτοὺς ἀποκαλέσαντες καὶ πατρίδα τὴν ἄνω Ἱερουσαλὴμ ἔχειν εἰπόντες, συλλαμβάνονται καὶ Φιρμιλιανῷ τῷ ἡγεμόνι παρίστανται. Καὶ ὁ μὲν Ἠλίας καὶ Ἱερεμίας[3], Ἡσαΐας[4], Σαμουὴλ καὶ Δανιὴλ μετὰ τὰς ἄλλας βασάνους τὴν διὰ ξίφους ἀπόφασιν ἔλαβον[5], συναποτμηθέντων αὐτοῖς καὶ Παμφίλου καὶ Σελεύκου καὶ Οὐάλεντος καὶ Παύλου[6]. Ὁ δὲ Πορφύριος τὸ τοῦ κυρίου αὐτοῦ Παμφίλου λείψανον ἐπιζητῶν κατεσχέθη καὶ πυρὶ παρεδόθη. Ὡσαύτως καὶ Ἰουλιανὸς τὰ τῶν ἁγίων κατασπαζόμενος σώματα τῇ φλογὶ ὑπεβλήθη. Ὁ δὲ Θεόδουλος σταυροτύπως ἀναρτηθεὶς διήνυσε τὸ μαρτύριον[7].

— [4] πόλεως *add.* Sa. — [5] καὶ *add.* Sa. — [6] εὑρὼν *add.* Sa. — [7] τῇ εἰς Χριστὸν πίστει ἐπιμένοντα εὑρὼν Sa. — [8] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.

2. — [1] τῶν *add.* Sa. — [2] πόλει *add.* Sa. — [3] τελειοῦται Sa.

3. — [1] αὐτοῦ *add.* Sa. — [2] π. ἐκτήσατο Sa. — [3] καὶ ἐπικειμένῃ *om.* Sa. — [4] *om.* S, Sa. — [5] ἐρικνούμενον S, Sa. — [6] μικρὸν S.

5. — [1] Διακονίσσοις Sa.

1. — [1] Παύλου, Οὐάλεντος, Παμφίλου Sa. — [2] Sa, Ἱερεμίου S. — [3] καὶ *add.* Sa. — [4] καὶ *add.* Sa. — [5] δέχονται Sa. — [6] Παύλου, Οὐάλεντος, Παμφίλου καὶ Σελεύκου Sa. — [7] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.

Feb. 15. **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. 4. 2. — **Ba** : deest. — **Bd** : 1. 4. 2. 3. — **G** : 1. 3. — **C** : 1. — Μάρωνος (Feb. 14[2]). — Ἀβραμίου (Feb. 14[3]). — **Cb** : 1. — **Cd** : 1. — **R** : 1. 3. — **K** : 1. 2 (Μαΐωνος). — 3. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mb** : 1. 2. 3. — Τῶν ἁγίων δύο μαρτύρων. — **Mr** : 1.

Feb. 16. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτῶν μνήμη ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἔνδον τοῦ κυκλείου, ἔνθα καὶ τὰ αὐτῶν ἅγια σώματα ἀπόκεινται σῶα καὶ ὁλόκληρα, μεθ' ὧν ἐνεθρονίσθη καὶ ἡ αὐτὴ ἁγιωτάτη ἐκκλησία. — 2. 3. — **H** : 1 (σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ). — 2. 3. — **P** : 2. 3 : Μαρουθᾶ τοῦ ἀνεγείραντος τὴν πόλιν ἐπ' ὀνόματι τῶν μαρτύρων· κλίμα χώρας ἐστὶ Σοφανινῶν λεγόμενον, κείμενον κατὰ ἀνατολὰς ἀναμέσον Ἀρμενίας καὶ Περσίδος. — 1. — **Da** : 1. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1 (Παμφίου, Οὐάλεντος καὶ τῆς συνοδίας αὐτῶν ... τῶν ἁγίων μαρτύρων Πορφυρίου, Ἰουλιανοῦ καὶ Θεοδούλου). — 2. 3. — **Ba** : 1 (= S, mutil.). — **Bd** : 1, mutil. — **G** : 1. 2. 3. — **C** : Μαΐωρος (Feb. 15[2]). — 1. 2 : ἡ συναγωγὴ καὶ συνάθροισις καὶ μνήμη τῶν ἐν Μαρτυροπόλει λειψάνων τῶν ἁγίων μαρτύρων. — 3. — **Cb** : 1. — **Cd** : 1. 2. 3. — **R** : 1. 2. 3. — **K** :

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐν Μαρτυροπόλει[1] ἁγίων. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

f. 160. 3. | Καὶ τοῦ ἁγίου Μαρουθᾶ τοῦ ἀνεγείραντος πόλιν ἐπ' ὀνόματι τῶν μαρτύρων. Οὗτος ὁ ἅγιος Μαρουθᾶς ἐπίσκοπος γέγονεν· ἀπεστάλη δὲ παρὰ Θεοδοσίου τοῦ μεγάλου πρεσβευτὴς πρὸς τὸν βασιλέα Περσῶν. Διὰ δὲ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν μεγάλης τιμῆς παρὰ τοῖς Πέρσαις ἀξιωθείς, καὶ μάλιστα ὅτι[1] τὴν θυγατέρα τοῦ βασιλέως δαιμονιζομένην ἰάσατο, ἐξῃτήσατο τὰ τῶν ἐν Περσίδι ἀθλησάντων λείψανα, καὶ ἐπ' ὀνόματι αὐτῶν πόλιν δειμάμενος[2], ἐν αὐτῇ ταῦτα κατέθετο. Καὶ[3] χρόνοις[4] ὕστερον καὶ αὐτὸς ἐκοιμήθη κατὰ τὴν ἡμέραν, ἐν ᾗ τὴν πόλιν ἐνεκαίνισεν· ὅθεν ἡ αὐτοῦ μνήμη συμπανηγυρίζεται τοῖς μάρτυσιν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖʹ.

Feb. 17. 1. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ τήρωνος. Οὗτος ὁ ἅγιος μάρτυς κατὰ τοὺς χρόνους ἦν Μαξιμιανοῦ τοῦ Γαλλερίου καὶ Μαξιμίνου[1] τῶν βασιλέων, ὁρμώμενος ἐκ τῆς μητροπόλεως Ἀμασείας ἐκ χωρίου καλουμένου[2] Χουμιάλων. Ἄρτι δὲ τῇ στρατείᾳ τῶν τηρώνων καταλεγεὶς καὶ ὑπὸ τὴν τάξιν τοῦ πραιποσίτου Βρίγκα[3] τυγχάνων, παρ' αὐτοῦ εἰς ἐξέτασιν κατέστη, τὸν Χριστὸν Θεὸν εἶναι ὁμολογήσας καὶ τὰ σεβάσματα τῶν ἑλλήνων ὡς ἄψυχα ξόανα καὶ ἔργα χειρῶν ἀνθρώπων καταχλευάσας. Καιροῦ δὲ δοθέντος αὐτῷ πρὸς σκέψιν[4], οὐκ ἐν ἀπροσεξίᾳ τοῦτον, ἀλλὰ τὴν μεγίστην τῶν πραγματειῶν[5] ἐτέλεσεν ἐν αὐτῷ[6]. Τὸ γὰρ εἴδωλον τῆς τῶν θεῶν μητρός, ὡς ἕλληνες ληρωδοῦσιν, αὐτῷ ναῷ συγκατέφλεξε· ὅθεν συσχεθεὶς καὶ αὐτουργὸς γενέσθαι ὁμολογήσας τοῦ ἐμπρησμοῦ, πρῶτον μὲν κρεμασθεὶς ξέεται, ἔπειτα δὲ καὶ εἰς κάμινον πυρὸς ἐμβληθεὶς τελειοῦται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις τῷ σαββάτῳ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ ἐν τοῖς Σφωρακίου[7].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας καὶ ἰσαποστόλου Μαριάμνης, ἀδελφῆς τοῦ ἁγίου ἀποστόλου Φιλίππου.

3. Καὶ μνήμη[1] τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Αὐξιβίου ἐπισκόπου Σολίων τῆς πόλεως Κύπρου. Οὗτος ἐγένετο ἀπὸ τῆς παλαιᾶς Ῥώμης εἷς τῶν ἑλλήνων. Ἀκολουθήσας δὲ τῷ ἁγίῳ ἀποστόλῳ[2] Μάρκῳ καὶ εὐαγγελιστῇ[1] καὶ διδαχθεὶς παρ' αὐτοῦ τὸν λόγον τῆς ἀληθείας, ἐβαπτίσθη καὶ ἐχειροτονήθη ἐπίσκοπος Σολίων τῆς πόλεως Κύπρου. Οὕτω ἀπελθὼν καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέψας | (f. 160v.) πρὸς τὸν Χριστόν, καὶ διαφόρων χαρισμάτων ἀξιωθεὶς καὶ μυρίων θαυμάτων αὐτουργὸς γεγονώς, πρὸς Κύριον ἐξεδήμησεν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοστηρίκτου.

5. Καὶ ἡ εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου μεγαλομάρτυρος Μηνᾶ τοῦ καλλικελάδου· ἐγένετο δὲ οὕτως. Ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ φιλοχρίστου βασιλέως, ὁ μακάριος Μηνᾶς μιᾷ τῶν νυκτῶν ἐπιστὰς ἀνδρί τινι Φιλομμάτῃ λεγομένῳ καὶ τῇ τῶν ἱκανάτων κατειλεγμένῳ σχολῇ, ὡς αὐτὸς εἴη Μηνᾶς ὁ καλλικέλαδος, ὁ ὑπὸ γῆν κρυπτόμενος ἐν τῷ κατὰ τὴν ἀκρόπολιν αἰγιαλῷ, καταμηνύει καὶ τὸν τόπον ὑποδεικνύει δακτύλῳ, καθ' ὃν ἦν κείμενος. Ὁ δὲ φιλόθεος οὗτος ἀνὴρ ὀρθριώτερον ἀναστάς, Μαριανῷ τῷ νουμερίῳ[1], φίλῳ αὐτοῦ ὑπάρχοντι, τὰ ὁραθέντα μηνύει ἀκριβῶς. Οὗτος δὲ πάλιν τὰ ἀκουσθέντα δῆλα ποιεῖ τῷ βασιλεῖ· καὶ αὐτίκα κατὰ τὸν δηλωθέντα τόπον στρατιῶται ἐξαποστέλλονται. Οἵτινες διασκάψαντες τάχιον εὗρον σιδηρᾶν λάρνακα, ἐν ᾗ τὸ μαρτυρικὸν ἦν κείμενον σῶμα· ἀλλὰ καὶ γραφὴν σὺν αὐτῇ ἐπὶ πλακὸς ἐγκεκολαμμένην καὶ δηλοῦσαν ἐκεῖ κατατίθεσθαι τὸν μάρτυρα, ἐν ᾧ ᾑρετίσατο <τόπῳ[2]>. Ψηφίσαντες οὖν κατὰ τὴν τῆς πλακὸς γραφήν, καὶ[3] εὗρον χρόνους παρῳχηκότας τετρακοσίους· ὅθεν καὶ εὐχαριστίαν τῷ Θεῷ ἀνέπεμψαν.

2. — [1] Μαρτυρουπόλει Sa.

3. — [1] ὅτε Sa. — [2] Sa, δειμασάμενος S. — [3] *om.* Sa. — [4] δὲ *add.* Sa.

1. — [1] Sa, Μαξιμιανοῦ S. — [2] χώρας καλουμένης Sa. — [3] Βριγκὰ Sa. — [4] διάσκεψιν Sa. — [5] πράξεων Sa. — [6] αὐτῇ S. — [7] Σπαρακίου S, Φωρακίου Sa. *Cf. Sept. 23*[1].

3. — [1] *om.* Sa. — [2] καὶ εὐαγγελιστῇ *add.* Sa.

5. — [1] νουμέρω S, Sa. — [2] *om.* S, Sa. — [3] *om.* Sa.

Feb. 16. 1. 2 et 3. — **M** : 1. 2. 3. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Φλαβιανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Feb. 17[7]). — **Mv** : 1. 2. 3. — Φλαβιανοῦ[1]. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν ὄρους[2] τινὸς καταλαβὼν κορυφὴν καὶ οἰκίσκον μικρὸν δειμάμενος καθεῖρξεν ἑαυτόν· καὶ ἑξήκοντα διατελέσας ἔτη... Des. τὴν ἀγήρω καὶ ἄλυπον ἀντὶ τοῦ πολυφρόντιδος ἔλαβεν εὐφραινόμενος ἐν αὐτοῖς. — Φλαβιανοῦ πατριάρχου Κωνσταντινουπόλεως. — **Mb** : 1. 2. 3. — **Mr** : 1.

Feb. 17. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. add. : Καὶ μνήμη τῶν ἐν εὐσεβεῖ τῇ λήξει γενομένων βασιλέων Μαρκιανοῦ καὶ Πουλχερίας. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ (Feb. 18[2]). — **H** : 1. 3. 4. 7. — Λέοντος Ῥώμης (Feb. 18[1]). — Μαρκιανοῦ καὶ Πουλχερίας. — **P** : 1. 3. 4. 2. — **Da** : 1. 5. 6. — **Db** : 1 (des. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις καὶ τῷ σαββάτῳ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν). — 6. — **F** : 2. 1. 3. 4. 5. 6. — **Fa** : 2. 1. 3. 4. 5. 6. — **B** : 1. 2. 3. 7. — **Ba** : Μνήμη τῶν ἐν Μαρτυροπόλει ἁγίων καὶ τοῦ ἁγίου Μαρουθᾶ (= S, Feb. 16[2, 3], hic vero ita inscriptum : τῇ αὐτῇ ἡμέρᾳ ιζʹ). — 1 (= S, des. : τελεῖται ... καὶ τῷ σαββάτῳ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν). — 5 (= S). 3. 7. 2. 6 (= S). — **Bd** : 1, mutil. 2. 3. 5. 6. 7. — **G** : 1. 5. — **C** : Εὐσεβίου

[1] *ita* Mv, *forte legendum* Ἀκεψιμᾶ. *Cf. Feb. 13*[3]. — [2] ὄρου Mv.

Feb. 17. **6.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σαλαμάνου. Οὗτος ἦν ἐκ κώμης Περσανᾶ[1] καλουμένης, πρὸς ἑσπέραν τοῦ Εὐφράτου[2] ποταμοῦ αὐτῇ ἐπικειμένης τῇ ὄχθῃ. Καὶ τὸν ἡσύχιον ἀσπασάμενος βίον, ἐν τῇ ἀντίπεραν κώμῃ οἰκίσκον μικρὸν εὑρὼν ἑαυτὸν ἐν αὐτῷ καθεῖρξεν, οὔτε θύραν οὔτε θυρίδα καταλιπών. Ἅπαξ δὲ τοῦ ἔτους παρὰ τὴν γῆν ὀρύττων ὑπεδέχετο τὴν τροφήν, οὐδενί ποτε τῶν ἀνθρώπων διαλεγόμενος ἢ ὑπό τινος καθορώμενος. Οὕτω Θεῷ ζῶν μόνῳ καὶ ἑαυτῷ ἦν· ὅθεν οἱ ἐκ τῆς κώμης, ἀφ᾽ ἧς ὥρμητο, τὸν ποταμὸν νύκτωρ διαπεράσαντες, πρὸς ἑαυτοὺς εἰς τὴν κώμην ἀπήνεγκαν οὔτε ἀντιτείνοντα οὔτε κελεύοντα. Μετ᾽ ὀλίγας δὲ ἡμέρας οἱ τῆς ἀντίπεραν κώμης νύκτωρ πάλιν ἐπελθόντες καὶ τὸ οἴκημα διαρρήξαντες[3], εἰς τὴν ἑαυτῶν κώμην ἀπήγαγον, οὐκ ἀντιλέγοντα, οὐδ᾽ αὖ πάλιν προθύμως ἀπαίροντα. Καὶ ὁ τῆς πόλεως δὲ ἐπίσκοπος, ἧς ἦν ἡ κώμη ἀφίκετο, τῆς ἱερωσύνης αὐτῷ τὸ δῶρον δοῦναι· καὶ διορύξας μέρος τι τοῦ οἰκίσκου εἰσελήλυθεν. Ὡς δὲ πρεσβύτερον αὐτὸν κεχειροτόνηκε, τοῦ ὁσίου μήτε φθε|γγομένου μήθ᾽ ὅλως[4] ἀπόκρισιν δόντος, ἀπελήλυθεν, οἰκοδομηθῆναι κελεύσας τὸ ὄρυγμα. Ἐν πάσῃ δὲ ἐγκρατείᾳ καὶ ἀσκήσει θεαρέστως[5] ὁ ὅσιος βεβιωκὼς ἐν εἰρήνῃ ἐκοιμήθη. f. 161.

7. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Φλαβιανοῦ. Ὃς[1] ὑπῆρχε τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας πρεσβύτερος· καὶ διὰ τὴν πολλὴν αὐτοῦ ἐγκράτειαν καὶ[2] ἐνάρετον πολιτείαν, θελήσει Θεοῦ καὶ ψήφῳ τοῦ βασιλέως καὶ τῆς συγκλήτου καὶ τῆς ἱερᾶς συνόδου καὶ τοῦ κλήρου[3] χειροτονεῖται πατριάρχης τῆς αὐτῆς ἐκκλησίας. Συγχωρήσει δὲ Θεοῦ ἐκβάλλεται παρὰ τοῦ αἱρετικοῦ[4] Διοσκόρου καὶ τῶν ὁμοφρόνων αὐτοῦ, κρατήσας τῆς πατριαρχείας χρόνον ἕνα καὶ μῆνας δέκα· καὶ εἰς ἐξορίαν παραπέμπεται ὅπου θλίψεις[5] ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ὑπομείνας καὶ ἀσθενήσας, πρὸς τὸν Θεὸν[6] ἐξεδήμησεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ΄.

Feb. 18. **1.** Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Λέοντος πάπα Ῥώμης. Ὁ θαυμάσιος οὗτος πατὴρ ἡμῶν Λέων διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ σωφροσύνην καὶ καθαρότητα καὶ τὸ τοῦ βίου εἰλικρινὲς πρόεδρος τῆς πρεσβυτέρας μεγάλης πόλεως Ῥώμης παρὰ τοῦ παναγίου Πνεύματος προχειρίζεται· ὃς βίον θεάρεστον καὶ ἀκίβδηλον ἐπιδειξάμενος καὶ τὸ ὑπ᾽ αὐτὸν λογικὸν ποίμνιον ὁσίως ποιμάνας, ἔτι καὶ τὰς τῶν αἱρετιζόντων βλασφημίας ἠφάνισε τέλεον. Κατὰ τὸν καιρὸν γὰρ ἐκεῖνον τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου τῶν ἑξακοσίων τριάκοντα πατέρων ἐν Χαλκηδόνι συγκροτηθείσης καὶ πολλὰ περὶ[1] τῆς ὀρθοδόξου πίστεως ἐκθεμένης[2], καὶ τῶν μίαν ἐνέργειαν καὶ θέλησιν ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν φληναφούντων αἱρετικῶν ἀνατρεπούσης τὰ δόγματα, ἔτι δὲ τῶν θεοστυγῶν ἐκείνων διαμαχομένων τῇ ἀληθείᾳ καὶ ἀνασκευάζειν πειρωμένων τὰ τῶν θείων πατέρων θεόπνευστα δόγματα, ὁ μακάριος οὗτος ἱκετείᾳ τῆς συνόδου πάσης ἐπικαμφθεὶς καὶ ἐν πολλαῖς ἡμέραις νηστείαις καὶ ἀγρυπνίαις καὶ ἐκτενέσι πρὸς Κύριον χρησάμενος προσευχαῖς, καὶ παρὰ τοῦ ζωοποιοῦ Πνεύματος ἐμπνευσθείς, ἐγγράφως περὶ τῶν τηνικαῦτα[3] ζητουμένων ἐξέθετο, διπλῆν ἐνέργειαν καὶ δύο θελήματα ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν διαρρήδην ἀνακηρύξας, καὶ ταῦτα δι᾽ ἐπιστολῆς ἐκπέμψας πρὸς τὴν σύνοδον· ἥνπερ ἡ πληθὺς τῶν ὁσίων δεξαμένη πατέρων καὶ ταύτην ὀρθοδοξίας στήλην ἡγησαμένη καὶ ὡς[4] ἀπὸ στόματος Θεοῦ τὴν γραφὴν ἐξενεχθῆναι πιστεύσασα | καὶ ταύτῃ οἷον ἐπαναπαυσαμένη θαρσαλεώτερον κατὰ τοῦ στίφους ἀντέστη τῶν αἱρετικῶν καὶ τούτων τὰς πολυπλόκους μηχανὰς κατεστρέψατο· καὶ ἐπὶ τούτοις ὁ ἱερώτατος διελύετο σύλλογος. Ὁ δὲ θεσπέσιος Λέων ἔτι διαρκέσας τῷ βίῳ καὶ ὡς φωστὴρ ταῖς ἀρεταῖς διαλάμψας, ἐν βαθεῖ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν. f. 161v.

2. Καὶ μνήμη τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένων βασιλέων Μαρκιανοῦ καὶ Πουλχερίας. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Λέοντος καὶ Παρηγορίου, ἀθλησάντων ἐν Πατάροις τῆς Λυκίας. Ὧν ὁ μὲν μακάριος Παρηγόριος πολλαῖς τιμωριῶν ἰδέαις τὸν τῆς ἀφθαρσίας στέφανον κομισάμενος ἐν

6. — [1] S, Sa, Καπερσανᾶ. Theodoretus, Hist. rel. *XIX.* — [2] Ἐφράτου Sa. — [3] διορύξαντες Sa. — [4] *corr.* S. *prius* μήδ᾽ ὅλως. — [5] *om.* Sa.
7. — [1] οὗτος Sa. — [2] τὴν *add.* Sa. — [3] καὶ τοῦ κλήρου *om.* Sa. — [4] τῶν αἱρετικῶν τοῦ τε Sa. — [5] πολλὰς *add.* Sa. — [6] πρὸς ὃν ἐπόθησε Θεὸν Sa.
1. — [1] παρὰ Sa. — [2] ἐκτεθεμένης S. — [3] Sa, ταῦτα S. — [4] *om.* Sa.

Feb. 17. (Feb. 15[3]). — 5. 3. 7. — **Cb** : 1. 3. — **Cd** : 1. 3. 7. 4. 2. — Λέοντος τῆς πρεσβυτέρας Ῥώμης. — Τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένων βασιλέων Μαρκιανοῦ καὶ Πουλχερίας. — **R** : 1. 5. 6. 4. 2. — **K** : 1. 5. 6. — **M** : 1. — Εἰς τὸ κολύβων θαῦμα. — 2. 3. 5. — Μαρκιανοῦ καὶ Πουλχερίας. — **Mv** : 1. 2. 3. 4. 5. 6 (Σαλμάνου). — Μαρκιανοῦ καὶ Πουλχερίας. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. — **Mb** : 1. 2. 3 (... ἐπισκόπου Σάλωνος τῆς Κύπρου). — 5. 7. — **Mr** : 1.

Feb. 18. SYNAXARIA SELECTA. **Sa** : 1. 3. 4. 5. — **H** : 4. 5. — **P** : 1. 4 (Ἀγαπητοῦ ἐπισκόπου Σιναίου). — 5. — **Da** : 1. 3. 4. — **Db** : 1. 3. 4. — **F** : 1. 3. 4. — **Fa** : 1. 3. 4. — **B** : 4. 1. — **Ba** : 1 (= S). 3 (= S). 4 (= S). — **Bd** : 4. 3. 1. — **G** : 1. 3. 4. — **C** : Θεοστηρίκτου (Feb. 17[4]). — Μαριάμνης (Feb. 17[2]). — 2. 1. — **Cb** : Φλαβιανοῦ. Οὗτος πρεσβύτερος ὑπῆρχε τῆς ἐν Κωνσταντινουπόλει[1] ἁγίας ἐκκλησίας·

[1] Κωνσταντινουπόλεως Cb.

Χριστῷ ἐτελειώθη. Ὁ δὲ ἀοίδιμος Λέων μόνος ἀπολειφθεὶς καὶ τὸν χωρισμὸν τοῦ μαρτυρίου[1] ἐννοῶν ἔστενε[2] καὶ ἀπωλοφύρετο, ὡς μὴ τῶν αὐτῶν τετυχηκὼς στεφάνων, κοινῆς αὐτῷ προκειμένης τῆς ὁδοῦ. Ὅθεν ἐξελθὼν ἐπὶ τὸν τόπον, ἐν ᾧ ἦν ἐρριμμένον τὸ τοῦ μάρτυρος Παρηγορίου σῶμα, τὴν καρδίαν ἀνεφλέχθη τούτῳ ἐπιδακρύσας· εἶτα ἐκεῖθεν ἐκκλίνας ἔρχεται ἐν ᾧ ἡ πανήγυρις ἐτελεῖτο τῶν εἰδωλομανῶν. Οὗτος δὲ ἀσκητικὸν βίον[3] μετελθὼν πολὺς ἦν τὸν[4] ζῆλον· καὶ ἰδὼν λύχνους καὶ κηροάπτας διακαιομένους, ταῖς χερσὶ τούτους συνέτριψε καὶ κατεπάτησε. Ἐκ τούτου κρατηθεὶς τῷ τῆς πόλεως ἐπιτρόπῳ παρέστη· καὶ ἐρωτηθεὶς καὶ τὸν Χριστὸν Θεὸν ἀνακηρύξας ἀληθινόν, μαστίζεται βουνεύροις ὠμοῖς σφοδρῶς καὶ ἀμέτρως. Ὁ δὲ ἅγιος οὕτω ταῖς βασάνοις ἐνεκαρτέρει ὡς ἄλλου πάσχοντος· εἶτα παραδοθεὶς τοῖς δημίοις, ἕλκεται τυπτόμενος καὶ συρόμενος ἐπί τινος χειμάρρου ὑψηλοῦ καὶ κρημνώδους. Συγχωρηθεὶς δὲ τὴν εὐχὴν αὐτοῦ τελέσαι, τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο. Εὐθὺς δὲ οἱ δήμιοι λαβόμενοι τοῦ τιμίου αὐτοῦ λειψάνου, ἄνωθεν ἀφέντες κατὰ τῆς φάραγγος ἠκόντισαν· καὶ οὕτως ἐτελειώθη αὐτοῦ ἡ μαρτυρία[5].

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀγαπητοῦ ἐπισκόπου γενομένου Συνάου, τοῦ ὁμολογητοῦ καὶ θαυματουργοῦ. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ καὶ Διοκλητιανοῦ[1], ἐκ Καππαδοκίας ἕλκων τὸ γένος καὶ[2] χριστιανῶν γονέων υἱός. Ἔτι δὲ νέαν ἄγων τὴν ἡλικίαν ἔν τινι τῶν ἐκεῖσε μοναστηρίων κατὰ τῶν[3] Συνάου ὀρέων[4] | κειμένῳ, πλήθει ἔχοντι[5] περὶ τοὺς χιλίους ἀσκητάς, εἰσέρχεται. (f. 162.) Ἐξ ὧν τὰ κάλλιστα συλλεξάμενος, ἐργάτης δοκιμώτατος τῶν ἐντολῶν τοῦ Χριστοῦ νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ τῇ λοιπῇ ἐγκρατείᾳ σχολάζων κατέστη· ὅθεν καὶ παρὰ πάντων ἠγαπᾶτό τε καὶ ἐθαυμάζετο. Φλοιοῖς γὰρ θερμίων μόνοις κεχρημένος[6] ἠρκεῖτο, καὶ σποδὸν ἀντὶ ἄρτου ἐφ᾽ ὅλαις ὀγδοήκοντα ἡμέραις ἐσθίων διήρκεσε. Τοῦ ὕπνου περιεγένετο, εὔχρηστος ἐν ταῖς διακονίαις τῆς μονῆς καὶ τῶν ἀδελφῶν ἐξεγένετο[7], ἅπαντας ὡς δεσπότας ὠνόμαζε καὶ ἐκέκτητο. Δράκοντα εὐχῇ ἐθανάτωσε, καὶ παρθένον τινὰ ὑπὸ νόσου δαπανωμένην[8] ἰάσατο. Περὶ τούτου μαθὼν ὁ Λικίνιος[9] ὅτιπερ ἰσχυρός ἐστιν τῷ σώματι, στρατιωτικοῖς καταλόγοις αὐτὸν καὶ μὴ βουλόμενον[10] συναριθμεῖ ὁ κατάρατος. Ὁ δὲ οὐδὲ οὕτως κατημέλει τῶν ἀσκητικῶν ἀγώνων, εἰ καὶ τάχα τὰς στρατιωτικὰς ὑπηρεσίας τοῖς ὑστερουμένοις ἀπένεμε[11]. Νόσους δὲ χαλεπὰς[12] καὶ ἀνιάτους διὰ μόνης ἐπιφανείας ἐθεράπευεν, οὐκ ἀνθρώπων μόνον ἀλλὰ καὶ ἵππων καὶ βοῶν καὶ παντοίων ἀλόγων θεραπεύων ἀρρωστήματα. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον Βικτωρίνου καὶ Δωροθέου Θεοδούλου τε καὶ Ἀγρίππα τῶν καλλινίκων μαρτύρων καὶ ἑτέρων πλειόνων ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως αἰκιζομένων πικρῶς, κοινωνὸς αὐτοῖς ᾑρετίσατο γενέσθαι καὶ ὁ μακάριος. Εἶτα ἐκείνων σφαγέντων καὶ τελειωθέντων ἐν Χριστῷ, οὗτος διεσώθη δόρατι[13] πληγείς, τάχα εἰς πολλῶν σωτηρίαν περισωθείς. Τοῦ δὲ Λικινίου ἐκ ποδῶν γενομένου καὶ τοῦ μεγάλου Κωνσταντίνου τὴν[14] Ῥωμαίων ὅλην ἀρχὴν ὑποζωσαμένου, τοιοῦτόν τι γίνεται. Παῖς γὰρ αὐτῷ εὔχρηστος δαίμονι ληφθεὶς ἀκαθάρτῳ τὸν ἅγιον ἐξεκαλεῖτο· ὅθεν πρὸς ἑαυτὸν ὁ βασιλεὺς <τὸν ἅγιον[15]> ἤγαγεν, καὶ εὐξαμένου <αὐτοῦ[15]> τὴν ἴασιν ὁ παῖς αὐτίκα ἐλάμβανεν· καὶ <ὁ ὅσιος[16]> χάριν αἰτεῖ οὐδεμίαν ἄλλην ἢ τὴν στρατείαν καταλιπεῖν[17] καὶ τὴν φίλην ἡσυχίαν ἀσπάσασθαι· διὸ καὶ τὸν βασιλέα πρὸς τοῦτο ἐπινεύοντα ἔσχε. Μετὰ δὲ τὸ ὑποστρέψαι αὐτὸν οἴκοι, λαβόμενος αὐτὸν[18] ὁ τῆς πόλεως Συνάου ἀρχιερεὺς καὶ μὴ βουλόμενον εἰς ἱερέα προβάλλεται. Καὶ μετ᾽ οὐ πολὺ τὸν βίον αὐτοῦ ἀπολιπόντος, ὁ μέγας οὗτος ψήφῳ Θεοῦ καὶ ἱερέων καὶ | παντὸς τοῦ λαοῦ ἀρχιερεὺς Συνάου ἀναδείκνυται. (f. 162v.) Καὶ αὐτίκα παντοίων θαυμάτων αὐτουργὸς γίνεται καὶ προφητικοῦ χαρίσματος ἀξιοῦται· ὧν εἰς ἀπόδειξιν ἐναργῆ καὶ προφητειῶν τινων ἐπιμνησθῆναι τοῦ ἁγίου καὶ μεγαλουργιῶν προσήκει. Γυνὴ γάρ τις τὰ περὶ αὐτοῦ ἀκούσασα καὶ εὐλογηθῆναι παρ᾽ αὐτοῦ γλιχομένη παρεγένετο. Ἐπεὶ δὲ καὶ εἰς ὄψιν αὐτῷ κατέστη, ἅπαντα τὰ πραχθέντα αὐτῇ παιδόθεν ἐξεῖπε, καὶ νουθετήσας[19] ἀπέστειλεν οἰκοδομηθεῖσαν. Καὶ διάκονόν δέ τινα τῆς πρὸς Θρᾴκην Ἡρακλείας[20] τυγχάνοντα, πρὸς αὐτὸν παραγενόμενον εὐλογίας ἕνεκα, παρθένον διαφθεῖραι διήλεγξεν. Καὶ Δαμιανοῦ δὲ τοῦ ὁσιωτάτου ἐπισκόπου Σιλανδέων χωρία τινὰ ὁ παραρρέων ποταμὸς ἐν τῷ χειμῶνι ὀγκούμενος ἠφάνιζεν, ὃν εἰς ἑτέραν κοίτην καὶ ὁδὸν εὐχῇ μόνῃ μετήνεγκε[21]. Καὶ ἕτερα πολλὰ εἰργάσατο θαύματα, ὧν τὸν ἀριθμὸν περὶ τὰ ἑκατὸν ἢ καὶ πλείονα ἡ κατ᾽ αὐτὸν ἱστορία περιέχει. Οὕτως[22] οὖν καλῶς καὶ θεοφιλῶς πολιτευσάμενος, καὶ ἁφῇ χειρὸς καὶ σκιᾷ σώματος καὶ λόγῳ μόνῳ νοσήματα ἀνίατα θεραπεύσας καὶ πλήρης ἡμερῶν γενόμενος ἀνεπαύσατο ἐν Κυρίῳ.

5. Καὶ[1] μνήμη τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Θωμᾶ καὶ Ἰωάννου τοῦ νηστευτοῦ.

3. — [1] μάρτυρος Sa. — [2] ἔτενε Sa. — [3] πρότερον *add.* Sa. — [4] πρὸς Θεὸν *add.* Sa. — [5] αὐτοῦ ἡ μαρτυρία *om.* Sa.
4. — [1] Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ Sa. — [2] *om.* Sa. — [3] τὴν S, Sa. — [4] *om.* Sa. — [5] ὡς *add.* Sa. — [6] κεχρησμένοις Sa. — [7] ἐγεγόνει Sa. — [8] *corr., prius* θανατωμένην S, διαπανομένην Sa. — [9] Λικίννιος S. — [10] βουλούμενον Sa. — [11] ἀπένειμε Sa. — [12] χαλεποὺς S. — [13] δόρατε Sa. — [14] τῶν *add.* Sa. — [15] Sa, *om.* S. — [16] *om.* S, ὁ δὲ ὅσιος Sa. — [17] καταλειπῶν Sa. — [18] αὐτοῦ Sa. — [19] αὐτὴν *add.* Sa. — [20] ἐν τῇ ... Ἡρακλείᾳ Sa. — [21] Sa, *et corr. supra lin.* S, *prius* τήνεγκε. — [22] Sa, οὗτος S.
5. — [1] τῇ αὐτῇ ἡμέρᾳ Sa.

Feb. 18. διὰ δὲ τὴν ὑπερβάλλουσαν αὐτῷ ἀρετὴν ψήφῳ τοῦ λαοῦ παντὸς καὶ τῆς συνόδου τῆς ἱερᾶς πατριάρχης τῆς αὐτῆς ἐκκλησίας χειροτονεῖται. Καὶ κρατήσας ἔτος ἓν καὶ μῆνας δέκα, ἐκβάλλεται παρὰ τοῦ δυσσεβοῦς Διοσκόρου καὶ τῶν ὁμοφρόνων αὐτοῦ αἱρετικῶν· καὶ εἰς ἐξορίαν παραπεμφθεὶς ἐν θλίψεσι διαφόροις καὶ κακουχίαις τὸν βίον ἀπέλιπεν (Feb. 17[7]). — 1. — **Cd** : 4. 5. — **R** : 1. 3. 4. — **K** : 1. 3. 4. — **M** : 1. 3. 4. — **Mv** : 1. 3. 4. — **Mb** : 1. 3. 4. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

Feb. 19.

1. Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης. Οὗτοι παραστάντες τῷ ἄρχοντι καὶ μὴ πεισθέντες, πολλαῖς αἰκίαις ὑπεβλήθησαν[1] βασάνων[2], πρότερον μὲν ἐπὶ ξύλου ἀναρτηθέντες καὶ ξεσθέντες σιδηροῖς ὄνυξιν· εἶτα ἐκ πόλεως εἰς πόλιν μεταφερόμενοι καὶ περιελκόμενοι θηρίοις ὠμοτάτοις ἐκδίδονται. Ἡ δὲ Ἀσκληπιοδότη[3] πτερνισθεῖσα καὶ ἐπὶ ξύλου τανυσθεῖσα καὶ ταύρῳ προσδεθεῖσα ὑπεράνω τῶν βασάνων ἐγένετο. Ὅθεν ἀμφότεροι λίθοις βάλλονται καὶ ἐν ἀλσώδεσι τόποις συρέντες ὑπὸ τοῦ ξίφους τέμνονται τοὺς αὐχένας.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρη. Οὗτος γέγονεν ἐκ πόλεως Κύρου, τὰς τῶν ἱερῶν μαρτύρων πανηγύρεις εὐφωνίᾳ κατακοσμῶν. Τὸν δὲ μονήρη βίον ὑπεραγασθεὶς ἐν κώμῃ τινὶ Ὁμήρου, ἣ καὶ Νῆτις λέγεται, οἰκίδιον βραχὺ[1] οἰκοδομήσας, ἑπτὰ καὶ τριάκοντα ἔτη ἐν αὐτῷ | καθειργόμενος διετέλει[2]· πολλὴν δὲ ἐκ τοῦ f. 163. παρακειμένου ὄρους ἐδέχετο τὴν νοτίδα[3], ἐν χειμῶνι δὲ λιβάδας τινὰς ὑδάτων ἀνέβλυζε. Τροφὴ δὲ ἦν αὐτῷ ἄρτος καὶ ὕδωρ τὸ ποτόν[4], ἐσθὴς δὲ ἐξ αἰγείων[5] τριχῶν κατεσκεύαστο. Ἐπὶ ἐνενήκοντα δὲ ἔτεσι[6] βεβιωκὼς ἐν πόνοις ἀσκητικοῖς, ἐν εἰρήνῃ τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

3. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σωφρονίου ἐπισκόπου.

4. Καὶ τοῦ ἁγίου Τιμοθέου τοῦ ἐν Καισαρείᾳ.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κινδαίου ἐπισκόπου Πισιδίας.

6. Καὶ Εὐτροπίου.

7. Καὶ τοῦ ἁγίου Ἀνιανοῦ.

8. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀγάθωνος ἐπισκόπου Ῥώμης[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Feb. 20.

1. Ἄθλησις τῶν ἁγίων ἀποστόλων τοῦ Χριστοῦ[1] Ἀρχίππου, Φιλήμονος καὶ Ἀπφίας. Οὗτοι ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως, μαθηταὶ χρηματίσαντες τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου.

1. — [1] καθυπεβλήθησαν Sa. — [2] *om.* Sa. — [3] Ἀσκληπιοδότης S.
2. — [1] οἰκίσκον βραχὺν Sa. — [2] διετέλεσε Sa. — [3] τὴν οτιδα Sa. — [4] καὶ ἅλες *add.* Sa. — [5] αἰγῶν S. — [6] ἔτη Sa.
8. — [1] Ῥωσοῦ Sa, *die sequenti.*
1. — [1] τοῦ Χριστοῦ ἀποστόλων Sa.

Feb. 19.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1 (add. Ἡσυχίου). — 3. 4. — **P** : 1 : Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότου καὶ Ἡσυχίου. — 3. 4. — **Da** : Ἀρχίππου, Φιλήμονος καὶ Ἀπφίας (Feb. 20[1]). — 1. 2. — **Db** : Ἀρχίππου κτλ. — 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1 (Μαξίμου καὶ Θεοδότου). — **Ba** : 1 (= S). 2 (= S). — **Bd** : 1. — Ἀρχίππου κτλ. — 2 (Μάριδος). — **G** : Ἀρχίππου κτλ. — 1. — **C** : Παρηγορίου καὶ Λέοντος (Feb. 18[3]). — 6. 1 : Μαξίμου, Θεοδότου, Ἡσυχίου καὶ Ἀσκληπιοδότης. — 3. 4. — **Cb** : 1. — Ἀρχίππου κτλ. — **Cd** : 1. 3. 4. — **R** : 1. — Ἀρχίππου κτλ. — 2. — **K** : Ἀρχίππου κτλ. — 1. 2. — Αὐξιβίου. — **M** : 1. — Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ῥαβουλᾶ. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ῥαβουλᾶς γεννᾶται ἐν τῇ πόλει Σαμοσατέων[1], παρὰ Βαριψαβᾶ τινος[2] παιδευθεὶς ἐνδοξοτάτου ἀνδρός[3]· ὃς τῇ Σύρων γλώττῃ διαλεγόμενος καὶ ἐκ νεαρᾶς ἡλικίας πᾶσαν ἀρετὴν μετερχόμενος τὸν μονήρη βίον ὑπέδυ[4]. Καὶ μονωθεὶς ἐν ὄρεσι καὶ σπηλαίοις κατὰ τὸν μέγαν Ἠλίαν καὶ Ἰωάννην τὸν βαπτιστὴν διῆγε. Μετὰ δέ χρόνους τινὰς[5] γενόμενος ἐν Φοινίκῃ μεθ' ἑτέρου τινὸς ταῖς ἀρεταῖς διαυγέστερον λάμψας, ἐμφανὴς τοῖς μεγάλοις καὶ μὴ βουλόμενος[6] γίνεται· διὸ καὶ τῇ συμμαχίᾳ Ζήνωνος τοῦ βασιλέως καὶ συνεργείᾳ Ἰωάννου προέδρου τῆς Βηρυτοῦ[7] μέσον τοῦ ὄρους μοναστήριον μέγα πεποίηκε. Τότε δὴ καθάπερ Παῦλος καὶ Βαρνάβας, ἢ εἰπεῖν Πέτρος καὶ Ἰωάννης, Ῥαβουλᾶς καὶ οἱ σὺν αὐτῷ μέσον τῶν εἰδωλομανούντων ἐλογίζοντο, πῇ μὲν ἐλέγχοντες πῇ δὲ νουθετοῦντες, μικροῦ δεῖν πάντας τοὺς ἐκεῖσε κατοικοῦντας πρὸς θεογνωσίαν μετέβαλον. Τοῦτο δὴ πρῶτον ἔργον τοῦ μακαρίου ἐξαίρετον. Μετὰ δὲ Ζήνωνα διαδέχεται τὰ σκῆπτρα τῆς βασιλείας Ἀναστάσιος. Τῇ οὖν τούτου πάλιν συνεργείᾳ ἕτερον μοναστήριον κατεσκεύασε τὸ Ῥαβουλᾶ προσαγορευόμενον, καὶ τοῦτο ἐν τῷ Βυζαντίῳ. Χωρὶς[8] δὲ τούτων καὶ ἕτερα πολλὰ μοναστήρια συνεστήσατο ἐν διαφόροις τόποις. Ἦν δὲ ὁ μακάριος ἐν πᾶσι νηφάλιος, κόσμιος, ἐπιεικής, ἱκέσιος, διδακτικός, ἀόργητος, συμπαθής, φιλάδελφος καὶ πρὸς πάντας εὔσπλαγχνος. Οἵῳ δὲ πάθει[9] ὁ πονηρὸς ὀχλῶν αὐτῷ[10] ὑπεισήρχετο, πεπυκνωμένος ὢν ὑπὸ τῆς παλαιᾶς καὶ νέας γραφῆς τὸ ἀντίρροπον ἐπιλέγων καὶ ἐργαζόμενος, ἐφυγάδευε τὸ ὀχλοῦν αὐτῷ· τοιοῦτος γὰρ ἦν ὁ μακάριος. Ἔζησε δὲ μέχρι Ἰουστινιανοῦ τοῦ βασιλέως τοῦ μετὰ Ἰουστίνου ἤγουν τοῦ μεγάλου, τοῦ τὴν ἁγίαν Σοφίαν οἰκοδομήσαντος. Καὶ φθάσας ἐν ὀγδοήκοντα χρόνοις[11] καὶ μικρόν τι πρός,
Matth. 11, 28. ἤκουσε φωνῆς ἄνωθεν λεγούσης αὐτῷ· « Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ » ἀναπαύσω ὑμᾶς. » Ταύτης ὑπακούσας τῆς φωνῆς[12] καὶ μικρόν τι[13] νοσήσας, ἀπῆλθε πρὸς Κύριον. — Τῶν ὁσίων πατέρων ἡμῶν καὶ ὁμολογητῶν Εὐγενίου καὶ Μακαρίου (Dec. 20[2]). — **Mv** : Ἀρχίππου κτλ. — 1. — Ῥαβουλᾶ. — Εὐγενίου καὶ Μακαρίου. — Κόνωνος. — **Mb** : 1. — Εὐγενίου καὶ Μακαρίου. — 3. 4. — **Mr** : Ἀρχίππου κτλ.

Feb. 20.

SYNAXARIA SELECTA. **Sa** : 1. — Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κινδύστου ἐπισκόπου Πισιδίας (Feb. 19[5]). — Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀγάθωνος ἐπισκόπου πόλεως Ῥωσοῦ (cf. Feb. 19[8]). — **H** : 2. 1 (Ἀρχίππου μαθητοῦ Παύλου). — Λέοντος Κατάνης (Feb. 21[2]). — Κενδίου ἐπισκόπου Πισιδίας (Feb. 19[5]). — Εὐτροπίου (Feb. 19[6]). — Ἀνίνα (cf. Feb. 19[7]). — Ἀγάθωνος ἐπισκόπου Ῥώμης (Feb. 19[8]). — **P** : 2 (... ἐν πόλει Ἀλήκης). — 1 (Ἀρχίππου solius). — Λέοντος. — Κεντέου. — Εὐτροπίου. — Ἀνίνα. — Ἀγάθωνος ἐπισκόπου Ῥώμης. — **Da** : Λέοντος ἐπισκόπου Κατάνης (Feb. 21[2]). — 2. — Ἰακώβου (Feb. 21[8]). — **Db** : Λέοντος. — 2. — Ἰακώβου. — Κινδαίου (Feb. 19[5]). — Εὐτροπίου (Feb. 19[6]). — Ἀνίνα (Feb. 19[7]). — Ἀγάθωνος (Feb. 19[8]). — **F** : 1. — Λέοντος ἐπισκόπου Κατάνης (Feb. 21[2]). — 2. — Ἰακώβου (Feb. 21[8]). — Κινδαίου. — Εὐτροπίου. — Ἀνανίου (Feb. 19[7]). — Ἀγάθωνος. — **Fa** : 1. — Λέοντος. — 2. — Ἰακώβου. — Κινδαίου. — Εὐτροπίου. — Ἀνανίου. — Ἀγάθωνος. — **B** : 2. — Σωφρονίου. — Λέοντος. — **Ba** : Λέοντος (= S). — 2 (= S). — Ἰακώβου (= S). — Κινδαίου. — Εὐτροπίου. — Ἀνίνα (cf. Feb. 19[7]). — Ἀγάθωνος. — **Bd** : 2. — Σωφρονίου. — Λέοντος. — Ἰακώβου. — Κινδαίου. — **G** : Λέοντος (Feb. 21[2]). — Ἰακώβου (Feb. 21[8]). — **C** : Ἰακώβου. — 2. — Λέοντος. — 1 (Ἀρχίππου). — Κινδέου. — Εὐτροπίου. — Ἀνανίου. — Ἀγάθωνος. — **Cb** : 2 (Σαδούκ). — Λέοντος des. mutil. — **Cd** : 2. 1 (Ἀρχίππου). — Λέοντος. — Κινδαίου. — Εὐτροπίου. — Ἀνανία. — Ἀγάθωνος. — **R** : Λέοντος. — 2. — Ἰακώβου. — **K** : Λέοντος. — 2. — Ἰακώβου. — Κινδαίου. — Εὐτροπίου. — Ἀνίνα. — Ἀγάθωνος. — **M** : 1. 2. — Βησαρίωνος. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν γεννᾶται μὲν[1] σαρκικῶς ἐν Αἰγύπτῳ. Ἀπογαλακτισθέντος δὲ αὐτοῦ καὶ[2] τοῖς ἱεροῖς γράμμασιν ἐκπαιδευθέντος, φῶς[3] ἅγιον ἔλαμψεν εἰς τὴν καρδίαν αὐτοῦ ἐκ νεαρᾶς ἡλικίας, καὶ ἠγάπησεν τὸν Θεὸν[4] σφόδρα, μηδ' ὁπωσοῦν χράνας ἐν[5] οἱῳδήποτε πράγματι τὸ δοθὲν αὐτῷ ἅγιον βάπτισμα νηπιόθεν. Ἀνελθὼν δὲ εἰς τόπον ἔρημον ἠγωνίσατο ὡς ἄσαρκος[6]. Καὶ τῆς σαρκὸς καταφρονήσας ὡς φθειρομένης, τῷ κρείττονι τὸ χεῖρον ὑπέταξε. Καὶ εὗρε τὸν Θεὸν βοηθὸν ὃν ἐπόθησε. Τεσσαράκοντα γὰρ ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἔστη ἀκλόνητος ὥσπερ στήλη ἄνω τὰς χεῖρας καὶ τὰ ὄμματα ἔχων καὶ τὴν ψυχὴν ἀχώριστον ἐκ Θεοῦ. Διὸ καὶ χάριτος[7] ἀξιωθείς, οὐ τὰ τυχόντα σημεῖα ὁ Θεὸς εἰργάσατο[8] δι' αὐτοῦ, ἀλλὰ καὶ τὰ[5] λίαν παράδοξα. Φυλάξας γὰρ τὸ κατ' εἰκόνα ὅσης δυνάμεως εἶχεν, ἐκεῖνα εἰργάσατο οἷα καὶ οἱ μεγάλοι προφῆται οἱ τῷ Θεῷ αὐτοφανῶς προσομιλήσαντες. Μωϋσῆς γάρ, ἡ ῥίζα πάντων τῶν προφητῶν[9], τὰ πικρὰ ὕδατα εἰς γλυκύτητα μετεποίησε διὰ ξύλου τὸν τοῦ Κυρίου σταυρὸν εἰκονίζοντος, ἵνα τοὺς γογγύζοντας Ἰουδαίους κατασιγάσῃ· οὗτος δὲ ὁ μακάριος Βησαρίων[5], τοῦ μαθητοῦ αὐτοῦ βαδίζοντός ποτε ἐν ὁδῷ ἀνύδρῳ καὶ τῇ δίψῃ φλεγομένου, διὰ χαράγματος σταυροῦ ἐναερίου τὴν ἁλμυρὰν καὶ ἄποτον θάλασσαν εἰς γλυκύτητα μετέβαλε[10] καὶ ψυχρὰν καὶ πότιμον εἰργάσατο· διὸ καὶ ἐμπλησθέντες ἐξ αὐτῆς σὺν ἑτέροις πολλοῖς τῷ Θεῷ ηὐχαρίστησαν. Ὁ Ἰησοῦς ποτε τοῦ Ναυῆ[11] τὸν Ἀμαλὴκ συγκόπτων, τὸν ἥλιον τοῦ ἰδίου δρόμου ἔστησεν, ἕως συνέκοψεν ἅπαντας· καὶ οὗτός ποτε ὁ μακάριος ἐν τόπῳ τινὶ εὑρεθεὶς ὠφελείας ἕνεκεν πολλῶν καὶ τῆς ὥρας ληγούσης, τὸν Θεὸν αἰτησάμενος ἔστησεν, ἕως οὗ τὸ πᾶν τῆς ὁδοῦ διήνυσε. Καὶ[5] οὗτος ὡς Ἠλίας ὕδωρ ἐξ οὐρανοῦ κατήνεγκεν[12] οὐχ ἅπαξ καὶ δὶς ἀλλὰ καὶ πολλάκις, ἑτέρων[5] τοῦτο αἰτησαμένων[13]. Ἐλισσαῖός ποτε ὁ προφήτης τῇ μηλωτῇ Ἠλίου τὸν Ἰορδάνην ἀβρόχως ἐπέρασεν· οὗτος δὲ ἀντὶ μὲν Ἰορδάνου τὸν Νεῖλον ποταμόν, ἀντὶ δὲ μηλωτῆς τῷ σημείῳ[14] τοῦ σταυροῦ ὅπλῳ κραταιῷ[15] χρησάμενος, τὸ ὕδωρ ἅπαν εἰς λιβάδος εὐθύτητα μετεποίησε. Καὶ ἐπάνω τῶν τοσούτων ὑδάτων πεζοπορήσας — ὢ τοῦ θαύματος — μέχρις ἀστραγάλων ἐβάφησαν οἱ μακάριοι πόδες αὐτοῦ[16]. Τί τούτων τῶν τεραστίων ἕτερον; τί θαυμασιώτερον; οὗτος[17] καὶ ἄλλα σημεῖα[18] ἐργασάμενος τῇ δυνάμει τοῦ σταυροῦ καὶ ἐν γήρᾳ πίονι τὸν Θεὸν θεραπεύσας, ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς. — Ἀγάθωνος πάπα Ῥώμης. — **Mv** : Λέοντος. — 2. — Βησαρίωνος. — Ἀγάθωνος. — **Mb** : 1. 2. — Ἀειθαλᾶ ἱερέως τῶν εἰδώλων καὶ Ἀψαιῆ (Dec. 11[2]). — Βισαρίωνος. — Ἀγάθωνος ἀρχιεπισκόπου Ῥώμης. — Κινδέου. — Τοῦ ὁσίου Πλωτίνου. — **Mr** : Λέοντος.

[1] ἐν τῇ πόλει Σ. γεννᾶται Mv. — [2] τινος Βαρυψαβᾶ Mv. — [3] ἀνδρὸς ἐνδοξωτάτου Mv. — [4] ὑποδύεται Mv. — [5] τινας χρόνους Mv. — [6] καὶ μὴ β. ἐ. τ. μ. Mv. — [7] τοῦ Β, Mv, τῆς Βυρητοῦ M. — [8] μετὰ Mv. — [9] πάλιν Mv. — [10] αὐτῷ ἐνοχλῶν Mv. — [11] καὶ γενόμενος ἐτῶν ὀγδοήκοντα Mv. — [12] *om.* Mv.

Ἑορτῆς δὲ τῇ Ἀρτέμιδι[2] ἀγομένης ἐν Κολοσσαῖς, ἥτις ἐστὶν πόλις[3] Φρυγίας, καὶ αὐτῶν τῷ Θεῷ τὴν δοξολογίαν ἀναφερόντων ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, ἐπιθέμενοι αὐτοῖς[4] οἱ εἰδωλολάτραι, τῶν ἄλλων φυγόντων, μόνων δὲ αὐτῶν ἀπομεινάντων, συνέσχον αὐτοὺς καὶ ἤγαγον παρὰ Ἀνδροκλῆ[5]. Τύπτεται οὖν παραυτίκα ὁ Ἄρχιππος· καὶ μὴ πεισθεὶς θῦσαι τῷ εἰδώλῳ Μηνᾷ οὕτω καλουμένῳ, εἰς βόθρον ἐμβάλλεται μέχρις ὀσφύος· καὶ οὕτω λιθολευστεῖται, πρότερον ὑπὸ παίδων γραφίσι κατακεντηθείς. Ὁ δὲ ἅγιος Φιλήμων καὶ Ἀπφία διαφόρως βασανισθέντες τέλει τοῦ βίου ἐχρήσαντο. Feb. 20.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἐπισκόπου Σαδὼχ καὶ τῶν μετ' αὐτοῦ τελειωθέντων ἁγίων τὸν ἀριθμὸν ἑκατὸν εἴκοσιν καὶ ὀκτώ. Οὗτοι ἐμαρτύρησαν ἐν Περσίδι ἐπὶ τῆς βασιλείας Σαβωρίου, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν πάντες τμηθέντες τὰς κεφαλάς. Ἱστορεῖται δὲ ὁ ἅγιος Σαδὼχ πρὸ τοῦ κατασχεθῆναι αὐτὸν ἰδεῖν καθ' ὕπνους τὸν πρὸ αὐτοῦ ἱερομάρτυρα Συμεὼν ἱστάμενον ἐπὶ κλίμακος ὑψηλῆς καὶ πρὸς τὴν ἄνοδον αὐτὸν ἐκκαλούμενον, δηλοῦντα, ὡς ἔοικε, τὴν διὰ μαρτυρίου ἀνάβασιν.

— [2] *corr.* Sa, *prius* τῆς Ἀρτέμιδος. — [3] πόλει S. — [4] Sa, αὐτῶν S. — [5] Ἀνδροκλεῖ Sa.

[1] (ὁ - μὲν) ἐγενήθη Mv. — [2] ἐν *add.* Mv. — [3] τὸ *add.* Mv. — [4] Ἰησοῦν Χριστὸν Mv. — [5] *om.* Mv. — [6] ὡς ἄσαρκος ἀγωνίσατο Mv. — [7] χάριτι Mv. — [8] ἐποίησε Mv. — [9] προφήτων πάντων Mv. — [10] μετεποίησε Mv. — [11] Ναβῆ Mv. — [12] κατήγαγεν Mv. — [13] αὐτῷ *add.* Mv. — [14] τὸ σημεῖον M, Mv. — [15] ὅπλον κραταιὸν Mv. — [16] οἱ αὐτοῦ πόδες Mv. — [17] οὕτως Mv. — [18] διάφορα *add.* Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Feb. 21. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου[1] τοῦ ἐν Συμβόλοις. Οὗτος ὁ μακάριος ἐκ τῆς χώρας Ἰταλίας ἐγένετο υἱὸς[2] χριστιανῶν γονέων εὐλαβῶν[3] καὶ εὐσεβῶν[4]. Οἱ δὲ[5] γονεῖς αὐτοῦ φιλοπονήσαντες ἐδίδαξαν αὐτὸν πᾶσαν γραφὴν | f. 163v. θεόπνευστον καὶ ὠφέλιμον[6]· τοσοῦτον δὲ ὠφελήθη παρὰ τῆς[7] θείας γραφῆς, ὡς καὶ τὸν πλοῦτον αὐτοῦ καὶ τῶν γονέων πάντα συναγαγεῖν καὶ προσκαλέσασθαι πτωχοὺς καὶ ἐν μιᾷ ἡμέρᾳ διασκορπίσαι αὐτόν. Αὐτὸς δὲ τὸν μονήρη βίον ὑποδὺς καὶ δι' ἐγκρατείας πολλῆς καὶ συντόνου δεήσεως τῶν παθῶν τὰ σκιρτήματα ἐξαφανίσας καὶ ἀπαθὴς γενόμενος, δοχεῖον ὤφθη τοῦ ἁγίου[8] Πνεύματος, παρθένος ἕως τέλους καὶ ψυχῇ καὶ σώματι διαμείνας. Ὅθεν καὶ χαρίσματα ἰαμάτων ἔλαβεν· δαίμονας γὰρ ἐξ ἀνθρώπων ἀπήλασεν καὶ πᾶσαν ἄλλην νόσον ἐθεράπευσεν. Ἐπεὶ δὲ ἡ ἀρετὴ οὐ λανθάνει[9], γέγονε καὶ πάπας Ῥώμης· καὶ καλῶς διαπρέψας ἐν τῷ ἐπισκοπείῳ[10], ἐν γήρᾳ[11] καλῷ πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Λέοντος ἐπισκόπου Κατάνης. Οὗτος ὁ ἅγιος ἐκ Ῥαβέννης[1] εἷλκε τὸ γένος, εὐγενῶν καὶ θεοσεβῶν γονέων ὑπάρχων γέννημα. Διὰ δὲ βίου ἐπιμέλειαν καὶ λογισμῶν καθαρότητα πάντας τοὺς ἱεροὺς βαθμοὺς ἐννόμως διαμείψας, θείᾳ ψήφῳ πρόεδρος τῆς[2] Κατανέων μητροπόλεως ἀναδείκνυται, ἥτις κατὰ τὴν περιώνυμον κεῖται Σικελίαν, ἐν ᾗ καὶ τὸ Αἰτναῖον πῦρ εἰσέτι καὶ νῦν καταρρεῖ. Οὗτος οὖν φερωνύμως ὡς λέων πεποιθὼς καὶ φωστῆρος δίκην διαλάμπων κατεφώτιζεν ἅπαντας, ψυχῶν ἐπιμελούμενος, χηρῶν[3] ἀντιλαμβανόμενος καὶ πενήτων προμηθούμενος. Ὅθεν διὰ μόνης προσευχῆς εἰδωλικὸν ἄγαλμα εἰς γῆν κατέρρηξε καὶ μέγιστον τῆς[4] καλλινίκου[5] μάρτυρος Λουκίας[6] ναὸν τοῖς αὐτοῦ φιλοτεχνήμασιν ἀνεστήσατο, καὶ τὸν <ἐν[7]> μαγγανείαις τερατοποιὸν Ἡλιόδωρον ἀπετέφρωσε. Οὗτος γὰρ δι' ὄχλου πᾶσι γενόμενος τερατοποιῶν καὶ φαντασιοκοπῶν ὁ τρισάθλιος, ἐπεὶ[8] καὶ κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας[9] ἐπεχείρησε γενέσθαι, σπουδῇ τοῦτον χειρωσάμενος ὁ μακάριος καὶ τῷ ἐπιτραχηλίῳ αὐτοῦ τοῦτον ἐνδήσας, κελεύει γενέσθαι μεγίστην πυρκαϊὰν μέσον τῆς πόλεως· καὶ δημοσιεύσας αὐτοῦ πᾶσαν μαγγανείαν καὶ δεδεμένον ἔχων τῷ τραχήλῳ, εἰσῆλθε μέσον τῆς καμίνου | f. 164. καὶ οὐ πρότερον ἐξῆλθε, μέχρις ὅτου εἰς τέλος ἀπετεφρώθη ὁ δείλαιος. Τοῦτο ἐξέστησεν ἅπαντας· οὐ μόνον γὰρ ἄφλεκτος διέμεινεν ὁ μέγας, ἀλλ' οὐδὲ τῶν ἱερῶν ἐνδυμάτων αὐτοῦ ἡ φλὸξ καθήψατο. Τούτου τοῦ θαύματος τὰ πέρατα καταλαβόντος, καὶ[10] αὐτοκράτορες[11] Λέων καὶ Κωνσταντῖνος κατήκοοι γεγονότες, τοῦτον πρὸς ἑαυτοὺς μετεστείλαντο καὶ τῶν ποδῶν αὐτοῦ ἅπτονται[12] καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν ἐξελιπάρουν. Οὗτος οὐ μόνον ζῶν μέγιστος ἦν ἐν τοῖς θαύμασιν, ἀλλὰ καὶ τῇ γῇ παραδοθεὶς πλείονα ἐκτελεῖ θαυμάσια[13].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσταθίου πατριάρχου Ἀντιοχείας τῆς μεγάλης. Οὗτος ἦν ἐπὶ Κωνσταντίνου, τοῦ πρώτου ἐν βασιλεῦσι χριστιανοῦ, τῆς ὀρθοδοξίας τὰς ἀκτῖνας λόγῳ σοφίας[1] πανταχοῦ τῆς οἰκουμένης ἐκπέμπων. Ὃς καὶ παρῆν ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ καὶ πρώτῃ[2], τὸ δόγμα τῆς εὐσεβείας κρατύνων, ἐξελέγχων δὲ καὶ ἀνατρέπων τοὺς ἐπὶ τῆς θείας φύσεως τὴν τομὴν ἐπεισάγοντας καὶ τὸν υἱὸν κτίσμα λέγοντας καὶ τῆς πατρικῆς τιμῆς καὶ ἀξίας ἀλλοτριοῦντας. Διὰ γοῦν τὴν ἔνθεον αὐτοῦ παρρησίαν καὶ τὸν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ζῆλον, φθόνον ἐκίνησαν[3] κατ' αὐτοῦ Εὐσέβιος ὁ Νικομηδείας καὶ Θεόγνις[4] ὁ Νικαίας καὶ Εὐσέβιος ὁ Καισαρείας καὶ οἱ λοιποὶ ὅσοι τῆς Ἀρειανικῆς βλασφημίας ἢ μᾶλλον εἰπεῖν ἀθεΐας ἐτύγχανον κοινωνοί. Καὶ ἐν σχήματι τῆς κατὰ πάροδον ἐπισκέψεως — καὶ γὰρ τὴν ἐπὶ τὰ Ἱεροσόλυμα πορείαν ἐπλάσαντο — ἐν Ἀντιοχείᾳ γενόμενοι, τοῦ ἁγίου κατεψηφίσαντο καθαίρεσιν, ὅτι δή φασιν γύναιον ἑταιρικὸν — ὑπ' αὐτῶν ἐπὶ μεγάλοις δώροις ἀναπεισθὲν — ἀρτιγενὲς παιδίον ἐπιφερόμενον προσῆλθεν αὐτοῖς, ἐκ συνουσίας τοῦ Εὐσταθίου συνειληφέναι λέγον καὶ τετοκέναι τὸ ἐπιφερόμενον βρέφος. Οἳ — καὶ γὰρ ἦσαν τοῦ τοιούτου δράματος αὐτουργοί, — ὅρκῳ μόνῳ τὴν κατηγορίαν βεβαιώσασθαι τὸ γύναιον ἀπαιτήσαντες, εὐθὺς τοῦ ἁγίου καταψηφίζονται καθαίρεσιν καὶ τὸν βασιλέα πείθουσιν ἐξορίαν ἀποφήνασθαι κατ' αὐτοῦ. Καὶ ἐπέμφθη διὰ τῆς Θρᾴκης εἰς Φιλίππους, ἔνθα καὶ τὸν βίον | f. 164v. κατέλυσεν. Ἑκατὸν δὲ χρόνων διαγενομένων, κατὰ τοὺς χρόνους τῆς βασιλείας Ζήνωνος ἀνήχθη[5] τὸ ἅγιον αὐτοῦ λείψανον καὶ παρεπέμφθη[6] εἰς Ἀντιόχειαν, παντὸς τοῦ πλήθους προχυθέντος τοῦ ἄστεος ὡς ἀπὸ μιλίων δεκαοκτὼ καὶ μεθ' ὕμνων καὶ φώτων καὶ θυμιαμάτων ὑποδεξαμένων αὐτόν. Τοῦτον καὶ ὁ τίμιος Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. Λέγεται δὲ τὸ συκοφαντῆσαν τὸν μέγαν[7] Εὐστάθιον γύναιον νόσῳ χαλεπῇ περιπεσὸν τὴν κατ' αὐτοῦ πᾶσαν ἐξαγορεῦσαι ἐπιβουλήν, καὶ τῶν ὑποθεμένων ἕκαστον ἐξ ὀνόματος ἀπαγγεῖλαι, καὶ ὅτι ὑπὸ χρήμασιν ὑπ' αὐτῶν πεισθεῖσα τὴν κατηγορίαν ἐξήνεγκε, τὸν μέντοι ὅρκον παραλογίσασθαι καὶ μὴ παντελῶς διαψεύσασθαι· ὑπὸ γάρ τινος Εὐσταθίου χαλκέως συμφθαρέντος αὐτῇ γεννηθῆναι ἔφη τὸ βρέφος.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις Ζακχαίου ἀρχιεπισκόπου Ἱεροσολύμων.

5. Καὶ τῆς ἁγίας μάρτυρος Ἀνθούσης καὶ τῶν δύο οἰκετῶν αὐτῆς.

6. Καὶ ἄθλησις τοῦ ἁγίου Μαυρικίου καὶ τῶν σὺν αὐτῷ ἑβδομήκοντα[1] μαρτύρων[1]. Οὗτοι ὑπῆρχον[2] ἐν ταῖς ἡμέραις Μαξιμιανοῦ. Διερχομένου οὖν αὐτοῦ ἐκ τῆς Ἀπαμέων πόλεως, διεβλήθησαν αὐτῷ οἱ ἅγιοι οὗτοι· καὶ παραστάντες καὶ χριστιανοὺς ἑαυτοὺς ἀποφηνάμενοι ἀφαιροῦνται τὰς ζώνας καὶ τῇ φρουρᾷ ἐγκλείονται, καὶ μετὰ τρεῖς ἡμέρας προσκληθέντες ἐρωτῶνται. Ὡς δὲ ἔμενον ἀκαμπεῖς, τύπτονται σφοδρῶς καὶ ἐπὶ πυρᾶς ῥίπτονται· εἶτα ξύλοις ἀναρτηθέντες ξέονται τὰς πλευράς. Βουλόμενος δὲ ὁ Μαξιμιανὸς περισσοτέρως λυπῆσαι τὸν ἅγιον Μαυρίκιον, Φωτεινὸν[3] τὸν υἱὸν αὐτοῦ ἀποτμηθῆναι προστάττει· ἐπεὶ δὲ εἶδεν αὐτοὺς ἀκλινῆ τὴν πίστιν τηροῦντας καὶ μὴ πειθαρχοῦντας[4], πέμπει αὐτοὺς ἔν τινι τόπῳ ἀλσώδει, μέσον δύο ποταμῶν καὶ λίμνης κειμένῳ, σφηκῶν τε καὶ μυῶν[5], κωνώπων καὶ σκνιπῶν ὑπάρχοντι ἐνδιαίτημα. Καταλαβόντες δὲ οἱ δήμιοι τὸν τόπον καὶ γυμνώσαντες αὐτοὺς καὶ δεσμήσαντες, καὶ ἕνα ἕκαστον πάλῳ προσδήσαντες καὶ μέλιτι περιχρίσαντες, | f. 165. καὶ μάλιστα τοῦ καιροῦ πρὸς τὴν τοιαύτην ἐπίνοιαν ἐπιτηδείως ὑπάρχοντος[6], καὶ τὸ τοῦ μακαρίου Φωτεινοῦ σῶμα πρὸ προσώπου τοῦ πατρὸς αὐτοῦ Μαυρικίου ἀκοντίσαντες ἀπῆλθον. Οἱ δὲ μακάριοι καὶ γενναῖοι οὗτοι νυχθημέροις δέκα τῇ ἀνυποίστῳ ταύτῃ βασάνῳ καὶ ταλαιπωρίᾳ προσκαρτερήσαντες καὶ τῷ Θεῷ προσευξάμενοι ἐν εἰρήνῃ ἐτελειώθησαν.

7. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γεωργίου ἐπισκόπου Ἀμάστριδος τοῦ θαυματουργοῦ. Οὗτος[1] εὐσεβῶν ἔφυ γονέων, Θεοδοσίου καὶ Μεγεθοῦς προσαγορευομένων καὶ τὴν Κρώμνην πατρίδα κεκτημένων[2]. Οἳ τὸν βίον ἐν ἀπαιδίᾳ διαβιόντες[3], εὐχῇ καὶ νηστείᾳ τὸ θεῖον[4] ἐλιτάνευον δοθῆναι αὐτοῖς καρπὸν κοιλίας· ὃ καὶ γέγονεν. Διὰ γὰρ θείας φωνῆς τήν τε σύλληψιν καὶ τὴν κλῆσιν καὶ τὸ τῆς ἱερωσύνης χάρισμα τοῦ μέλλοντος ἐξ αὐτῶν τεχθῆναι πρὸς βαθὺ γῆρας ἐλασάντων ἐμνήσθησαν[5]. Τεχθέντος δὲ αὐτοῦ καὶ τὰ τῆς νεότητος ἡδέα ἀπωθουμένου καὶ τῶν μενόντων ἀντιποιουμένου καὶ τῶν μαθημάτων τῶν τε θείων καὶ[6] ἀνθρωπίνων μηδ' ὅλως κατολιγωροῦντος, οἱ τεκόντες ταῦτα ὁρῶντες ἐδόξαζον τὸν Θεόν. Ἱκανῶς δὲ[7] παιδευθεὶς καὶ τῆς πατρίδος ἐπαναστάς[8], καταλαμβάνει τὸ ὄρος τῆς Σηρικῆς· καὶ εὑρὼν γέροντα ἐκεῖσε τίμιον, λαμβάνει παρ' αὐτοῦ τὸ ἀγγελικὸν σχῆμα. Κἀκείνου λιπόντος τὸν βίον, τὴν Βόνυσαν[9] καταλαμβάνει, πάσῃ σκληραγωγίᾳ καὶ ἀσκήσει ἑαυτὸν καθυποβάλλων. Ἐπεὶ δὲ ὁ τῆς ἐκκλησίας Ἀμάστριδος πρόεδρος ἀπεβίω, καὶ μὴ βουλόμενος ἀνάγεται[10] ὡς λύχνος ἐπὶ τὴν λυχνίαν, ψήφῳ θείᾳ καὶ συμφωνίᾳ ἱερέων. Ἀπάραντος δὲ αὐτοῦ τῆς βασιλευούσης καὶ τὸν θρόνον αὐτοῦ καταλαβόντος, ὁμοῦ πάντα ἐτελεῖτο καὶ ἐσπουδάζετο[11], διατάξεις ἱεραί, εὐκοσμίαι τοῦ βήματος, κατάστασις τοῦ ἱερατικοῦ συστήματος, ὀρφανῶν καὶ χηρῶν προστασίαι καὶ πτωχοτροφίαι, χρεῶν ἀποκοπαὶ καὶ ἡ πρὸς τὸ θεῖον[12] εὐσέβεια· πρὸς τούτοις θεοσημεῖα[13] καὶ τεράστια παντοῖα δι' αὐτοῦ τελούμενα. Οὕτω καλῶς τὸν βίον περάνας τῶν τῇδε μετέστη, ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ ἀποδούς.

f. 165v. **8.** | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰακώβου. Οὗτος ἐκ πόλεως γέγονεν Κύρου καὶ τὴν ἀσκητικὴν ἀσπασάμενος πολιτείαν ἐν οἰκίσκῳ βραχεῖ ἑαυτὸν ἐγκαθεῖρξεν. Ἔπειτα τὸ ὄρος καταλαβὼν τὸ παρακείμενον τῇ πόλει Κύρῳ, ἐν αὐτῷ τὸν ἀσκητικὸν διήνυσε δρόμον, μὴ θριγκίον κατασκευάσας, μὴ κέλλαν· ἀλλ' αἴθριος ἱστάμενος προσηύχετο, τὰς ἐναντίας τοῦ ἀέρος καρτερῶν ποιότητας, σιδήροις βαρυτάτοις ὅλῳ τῷ σώματι βαρούμενος· ἐτρέφετο δὲ[1] φακῇ μόνῃ βραχείσῃ ἐν ὕδατι. Τούτοις τοῖς πόνοις[2] <ἀρετὴν[3]> πολλὴν καὶ τὴν χάριν <τῶν θαυμάτων[4]> θεόθεν ἐδέξατο. Ἀγροίκου γάρ τινος παιδίον τεθνῆξαν διὰ προσευχῆς ἀνίστησι[5]. Καὶ Θεοδωρήτου[6] δὲ ἐπισκόπου Κύρου ὑπὸ Μαρκιωνιστῶν[8] κατεργασθέντος, αὐτοῦ τοῦ δαίμονος εἰς ὄψιν ἐληλυθότος, διὰ προσευχῆς ὁ ὅσιος τὸν δαίμονα σὺν ταῖς μαγγανείαις[9] ἐξήλασεν. Ἀλλὰ καὶ ἐν ὥρᾳ τροφῆς τῷ μεγάλῳ δαίμων τις ἄγριος ἐφίσταται τοῦ ὄρους ἀποδιῶξαι βουλόμενος· ὃν διὰ προσευ-

1. — [1] Τιμωθέου Sa. — [2] ὑπάρχων *add.* Sa. — [3] τε *add.* Sa. — [4] τὸν Θεὸν φοβουμένων Sa. — [5] οὖν Sa. — [6] καὶ ὠφέλιμον *om.* Sa. — [7] ἱερᾶς καὶ *add.* Sa. — [8] παναγίου Sa. — [9] λαθεῖν οὐ δύναται Sa. — [10] τῆς ἐπισκοπῆς ἀξιώματι Sa. — [11] γήρει Sa.

2. — [1] Ῥαβένης S. — [2] τῶν *add.* Sa. — [3] καὶ ὀρφανῶν *add.* Sa. — [4] τῇ Sa. — [5] καλλινίκω Sa. — [6] μάρτυρι Λουκίᾳ Sa. — [7] *supplevi, om.* S, Sa. — [8] ἐπειδὴ Sa. — [9] τὴν Θεοῦ ἐκκλησίαν Sa. — [10] οἱ *add.* Sa. — [11] αὐτοκράτοροι S. — [12] ἥπτοντο Sa. — [13] πλεῖστα θαυμάσια ἐκτελεῖ Sa.

3. — [1] λόγῳ σοφίας *om.* Sa. — [2] καὶ πρώτη συνόδω Sa. — [3] ἐκίνησε Sa. — [4] Θεόγρις Sa. — [5] ἀνηνέχθη Sa. — [6] παρεπέφθη Sa. — [7] ἅγιον Sa.

6. — [1] *om.* Sa. — [2] οὗτος ὑπῆρχεν Sa. — [3] Φωτινὸν S. — [4] αὐτῷ *add.* Sa. — [5] καὶ *add.* Sa. — [6] ἐπιτηδείου τυγχάνοντος Sa.

7. — [1] ἐξ *add.* Sa. — [2] (καὶ - κεκτημένων) *om.* Sa. — [3] διαγόντες Sa. — [4] τὸν Θεὸν Sa. — [5] ἐλάσαντες ἐμυήθησαν Sa. — [6] τε καὶ S, τῶν τε Sa. — [7] οὖν Sa. — [8] ἀπαναστὰς Sa. — [9] Sa, Βόνησαν S. — [10] ἀνάγεσθαι Sa. — [11] τὰ κάλλιστα *add.* Sa. — [12] πρὸς Θεὸν Sa. — [13] θεοσεβείαι Sa.

8. — [1] καὶ Sa. — [2] ἐπαγρυπνῶν *add.* Sa. — [3] *supplevi; om.* S, Sa. — [4] Sa, *om.* S. — [5] ἀνέστησε Sa. — [6] Θεοδορίτου Sa. — [7] τοῦ *add.* Sa. — [8] μαρκιανιστῶν Sa. — [9] αὐτοῦ *add.* Sa.

Feb. 21. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 8. — **H** : 3. 1. — Ἰωάννου ἀρχιεπισκόπου. — 4. 5. — **P** : 3. 1. 5. — Μνήμη Ἰωάννου πατριάρχου τοῦ ἀπὸ σχολαστικῶν. — 4. — **Da** : 3. 7. 6. 1. — Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ἀπὸ σχολαστικῶν. — 4 (Ζαχαρίου). — **Db** : 3. 7. 6. 1. — Ἰωάννου ἀρχιεπισκόπου. — 4. — **F** : 3. 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἐν ἁγίοις Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ἀπὸ σχολαστικῶν. — 4 (Ζαχαρίου). — 5. 6. 7. — **Fa** : 3. 1. — Ἰωάννου. — 4 (Ζαχαρίου). — 5. 6. 7. — **B** : Ἀγάθωνος (Feb. 19[8]). — **Ba** : 3 (= S). 7 (= S). — **Bb** : Ἀγάθωνος, mutil. — **G** : 3. 7. — **C** : 3. 1. — Ἰωάννου. — 4 (Ζαχαρίου). — 5. 7. — **Cb** : deest. — **Cd** : 3. 1. — Ἰωάννου. — 4. 5. — **R** : 1. — Κινδαίου (Feb. 19[5]). — Εὐτροπίου (Feb. 19[6]). — Ἀνίνα (Feb. 19[7]). — Ἀγάθωνος (Feb. 19[8]). — 7. — **K** : 3. 7. 6. 1. — Ἰωάννου. — 4. — **M** : 1. 2. 3. 7. — Ἰωάννης. — 4 (Ζαχαρίας). — **Mv** : 1. 3. 7. — Ἰωάννης. — 4 (Ζαχαρίας). —

Feb. 21. χῆς ἀφανισμῷ τελείῳ [10] παρέπεμψε. Καὶ αὖθις δὲ τὸν ὅσιον ὑποκρινόμενος ὁ δαίμων [11] καὶ ἀπὸ τοῦ διακομιστοῦ τὸ ὕδωρ λαμβάνων καὶ τῇ γῇ ἐκχέων καὶ εἰς ἀφόρητον βίαν τὸν ὅσιον καταστήσας — ἐπὶ δεκαπέντε γὰρ ἡμέρας τοῦτο πεποίηκεν — εὐχῇ τούτου ἐξηλάθη [12] καὶ τὸ ὕδωρ ἐκχῦσαι τοῦτον τοῦ λοιποῦ ὁ ἅγιος διεκώλυσε. Πάσας οὖν αὐτοῦ [13] τὰς φαντασίας καὶ μηχανὰς [14] διακρουσάμενος ὁ ἀοίδιμος καὶ καλῶς ἀγωνισάμενος, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Feb. 22. **1.** Μνήμη τῆς εὑρέσεως τῶν ἁγίων λειψάνων τῶν ἐν τοῖς Εὐγενίου, ἅτινα εὑρέθη ἐπὶ τῆς βασιλείας Ἀρκαδίου [1], Θωμᾶ τοῦ ἁγιωτάτου [2] τὸν θρόνον ἰθύνοντος Κωνσταντινουπόλεως. Εὑρέθησαν [3] δὲ ὑπὸ γῆν κείμενα καὶ ἀνελήφθησαν εὐθὺς σεβασμίως παρὰ τοῦ ἀρχιερέως, συνδρομῆς οὐ τῆς τυχούσης ἐκεῖσε γενομένης· ὅτε καὶ νοσήματα ἀνίατα ἐθεραπεύθη καὶ δαίμονες ἐξ ἀνθρώπων ἀπηλάθησαν καὶ πᾶν ἀνίατον πάθος ἐθεραπεύθη [4]. Μετὰ δὲ παρολκὴν πολλῶν χρόνων, ἐκ θείας τινὸς ἐμφανείας ἀπεκαλύφθη ἀνδρί τινι Νικολάῳ κληρικῷ [5] καὶ καλλιγράφῳ | (f. 166.) εἶναι τὰ λείψανα [6] ἐκ τῶν πολλῶν Ἀνδρονίκου καὶ Ἰουνίας [7] τῶν ἁγίων ἀποστόλων, ὧν ὁ θεῖος [8] ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ [9]. (Rom. 16, 21.)

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Ἀθανασίου τοῦ Παυλοπετρίου. Οὗτος ὁ ὅσιος ἐγεννήθη ἐν Κωνσταντινουπόλει, γονέων ὑπάρχων εὐλαβῶν καὶ θεοσεβῶν καὶ πλουσίων πάνυ. Εὐλαβὴς δὲ γενόμενος [1] ἐξ ἁπαλῶν ὀνύχων τὸ μοναχικὸν ἐπεπόθησεν ἀμφιάσασθαι σχῆμα. Καὶ δὴ ἀπελθὼν ἐν τοῖς μέρεσι τοῦ τῆς Νικομηδείας πορθμοῦ τὴν κόμην ἀπεκείρατο. Τοσοῦτον δὲ ὑψώθη ταῖς ἀρεταῖς, ὡς καὶ βασιλεῦσι γνώριμος γενέσθαι. Ἐπὶ δὲ τῆς βασιλείας Λέοντος τοῦ εἰκονομάχου διαβληθείς, ὡς σέβοιτο τὰς ἀχράντους [2] εἰκόνας, κρατηθεὶς βασάνοις ὑπεβλήθη πολλαῖς καὶ πικροτάταις [3] ἐξορίαις καὶ θλίψεσιν. Ἀνένδοτος δὲ διαμείνας καὶ τὴν ὀρθόδοξον πίστιν μέχρι τέλους [4] διατηρήσας [5] πρὸς Κύριον χαίρων ἐξεδήμησεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Τελεσφόρου ἐπισκόπου Ῥώμης.

4. Καὶ [1] Συνετοῦ μάρτυρος [2].

5. Καὶ Βλασίου [1] ἐπισκόπου.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων καὶ θεοφόρων [1] πατέρων ἡμῶν Θαλασσίου καὶ Λιμναίου [2]. Ὧν ὁ μὲν Θαλάσσιος ἐν ὄρει τινὶ τὸ ἀσκητικὸν ἐπήξατο καταγώγιον, ἁπλότητι ἤθους καὶ φρονήματος μετριότητι πάντας ὑπερβαλλόμενος. Ὁ δέ γε [3] Λιμναῖος καὶ αὐτὸς τὸν ἀσκητικὸν ὑπεραγασθεὶς βίον, παρ' αὐτὸν μὲν τὸν μέγαν ἀφίκετο Θαλάσσιον, πάνυ νέος ὑπάρχων. Καὶ ὑπ' αὐτοῦ τὰ τῆς ἀσκητικῆς πολιτείας ἐκδιδαχθεὶς πρὸς τὸν ἀοίδιμον παρεγένετο Μάρωνα· οὗ τὸν βίον ζηλώσας ἐν ὑπαίθρῳ βιοτεύειν ἠσπάσατο. Καὶ κορυφὴν [4] ὄρους καταλαβὼν κώμης τινὸς ὑπερκειμένην Τάργαλαν [5] λεγομένην, ἐν ταύτῃ διετέλεσεν ἀσκητικῶς βεβιωκώς, οὐ καλύβην πηξάμενος, οὐ σκηνήν, οὐκ οἰκίσκον, ἀλλὰ θριγκίῳ [6] μόνῳ ἐκ ξηρολίθου ἑαυτὸν περιφράξας ὄροφον εἶχε τὸν οὐρανόν. Ἐντεῦθεν καὶ θαυμάτων χάριν ὑπὸ Θεοῦ ἐ|κομίσατο, (f. 166v.) ὡς καὶ δαίμονας ἀπελαύνειν καὶ νόσους παύειν, τὴν ἀποστολικὴν μιμούμενος θαυματουργίαν. Βαδίζων δέ ποτε ὁ ἅγιος ὑπὸ ὄφεως ἐδήχθη· ἀλλὰ προσευχῇ μόνῃ κρείττων ὤφθη θανάτου. Καὶ κολικῷ ποτε περιπεπτωκὼς πάθει — δεινὸν δὲ τοῦτο καὶ λίαν χαλεπόν — τῇ τοῦ Θεοῦ ἐπικλήσει τὴν θεραπείαν ἐδέξατο. Τοὺς δὲ τὸ βλέπειν [7] ἀφῃρημένους καὶ προσαιτεῖν ἠναγκασμένους συναγαγὼν καὶ κελλία δομήσας ἀνάλογα τῆς τούτων πληθύος, ἐν τούτοις διάγειν ἐκέλευσε [8], τὴν ἀναγκαίαν αὐτοῖς τροφὴν παρὰ τῶν πρὸς αὐτὸν ἀφικνουμένων ποριζόμενος. Ἐν ὅλοις δὲ ὀκτὼ καὶ τριάκοντα ἔτεσιν ὑπαίθριος βιούς, ἐν εἰρήνῃ ἐκοιμήθη.

— [10] τελεία Sa. — [11] ὁ δαίμων ἀπακρινόμενος Sa. — [12] ἀπηλάθη Sa. — [13] *om.* Sa. — [14] τοῦ πονηροτάτου ἐχθροῦ ἡμῶ *add.* Sa.

1. — [1] πατριαρχοῦντος *add.* Sa. — [2] καὶ *add.* Sa. — [3] εὑρέθη Sa. — [4] ἰάθη Sa. — [5] τῆς μεγάλης ἐκκλησίας *add.* Sa. — [6] τινα *add.* Sa. [7] Ἰουνία Sa. — [8] Παῦλος ὁ *add.* Sa. — [9] ἀσπάσασθε, λέγων, Ἀνδρόνικον καὶ Ἰουνίαν *add.* Sa.

2. — [1] καὶ αὐτὸς *add.* Sa. — [2] καὶ ἁγίας *add.* Sa. — [3] πολλαῖς Sa. — [4] τέλος Sa. — [5] διαφυλάξας Sa.

4. — [1] τοῦ ἁγίου μάρτυρος *add.* Sa. — [2] *om.* Sa.

5. — [1] (καὶ Βλασίου) Καλασίου Sa.

6. — [1] καὶ θεοφόρων *om.* Sa. — [2] Λυμναίου Sa. — [3] *om.* Sa. — [4] κορυφὴ Sa. — [5] Τάργαλα Sa. — [6] θριγγίῳ S. — [7] βλέπτειν S. — [8] ἐκέλευε Sa.

Feb. 21. 6. — **Mb** : 2. 1. 3. — Ἰωάννου. — 4 (Ζαχαρίου). — 5. 6. 7. — Τοῦ ἁγίου μάρτυρος Συνετοῦ (Feb. 22[3]). — **Mr** : 1. 3.

Feb. 22. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 2. 3. 4. — Μνήμη Θωμᾶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Mart. 19[1]). — **P** : 2. 3. 4. — Θωμᾶ ἀρχιεπισκόπου. — **Da** : 1. — Προτερίου ἀρχιεπισκόπου Ἀλεξανδρείας (Feb. 28[2]). — 5. — **Db** : 1. — Προτερίου. — 6. — **F** : 1. 3. — Θωμᾶ. — Προτερίου. — 6. — **Fa** : 1. 2. 3. — Θωμᾶ. — Τοῦ ἁγίου ἱερομάρτυρος <Προτερίου [1]> ἀρχιεπισκόπου Ἀλεξανδρείας. — 6. — **B** : 2. — **Ba** : mutil. 6 (= S). — **G** : 1. — Προτερίου. — **C** : 1. 2. 3. 4. 5. — Προτερίου. — 6. — **Cb** : deest. — **Cd** : 2. 3. 4. 5 : καὶ Βλασίλου [2] ἐπισκόπου. — **R** : deest. — **K** : 1. — Προτερίου. — 6. — **M** : 1. 2. — Ἄνθουσα καὶ οἱ δώδεκα αὐτῆς οἰκέται ξ. τ. (Feb. 21[5]). — 4. 6. — Μαυρικίου καὶ τῶν σὺν αὐτῷ ο' μαρτύρων (Feb. 21[6]). — Βαραδάτου (Feb. 26[3]). — **Mv** : 1. 2. — Ἄνθουσα. — 4. 6. 3. — Βαραδάτου. — **Mb** : 1. 2. 3. 6. — **Mr** : 1.

[1] *om.* Fa. — [2] *corr.*, *prius* Βασίλου Cd.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Feb. 23. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πολυκάρπου ἐπισκόπου Σμύρνης. Οὗτος ἐμαθητεύθη τῷ θεολόγῳ καὶ εὐαγγελιστῇ Ἰωάννῃ σὺν Ἰγνατίῳ τῷ θεοφόρῳ· καὶ μετὰ [1] Βουκόλον χειροτονεῖται ἐπίσκοπος τῆς Σμυρναίων ἐκκλησίας, προθεσπίσαντος αὐτῷ τὴν ἀρχιερωσύνην τοῦ μακαρίου [2] Βουκόλου. Ἐν δὲ τῷ κατὰ Δέκιον διωγμῷ συλληφθεὶς προσήχθη τῷ ἀνθυπάτῳ, καὶ διὰ πυρὸς τὸν ἀγῶνα διήνυσε. Γέγονε δὲ θαυμάτων ἐξαισίων δημιουργός· πρὸ γὰρ τῆς ἀρχιερωσύνης τῆς θρεψαμένης αὐτὸν γυναικὸς τοὺς σιτῶνας ἐπλήρωσε δι' εὐχῆς, οὓς πρότερον εἰς τὴν τῶν δεομένων [3] χρείαν ἐκένωσε. Καὶ πυρὸς καταφλέγοντος ἐπέσχεν ὁρμήν, καὶ μετὰ τὴν τῆς ἱερωσύνης ἀνάρρησιν ὑετὸν δι' [4] ἱκεσίας αὐχμώσῃ τῇ γῇ κατήγαγε, καὶ πάλιν τούτου τὴν ἀμετρίαν ἀνέστειλε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ [5] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Ἰωάννου, Μωϋσέως [1], Ἀντιόχου καὶ Ἀντωνίου. Ὧν ὁ μὲν ὅσιος Ἰωάννης γνώριμος καὶ φοιτητὴς γέγονε Λιμναίου [2], τοῦ ἐν τῷ ὄρει τῷ τῇ κώμῃ [3] Ταργάλᾳ πελάζοντι [4] ἀσκήσαντος· ῥαχίαν δὲ καταλαβὼν πάνυ δυσχείμερον καὶ προσάρκτιον [5], ἐν ἐκείνῃ πέντε καὶ εἴκοσιν διετέλεσεν [6] ἔτη ὑπαίθριος, τὰς ἐναντίας τοῦ ἀέρος δεχόμενος προσβολάς· τροφὴ δὲ ἦν αὐτῷ ἄρτος καὶ ἅλες, ἐσθής τε ἐκ τριχῶν [7] καὶ σιδήροις βαρυτάτοις ἅπαν τὸ σῶμα καθηλοῦτο. Ὑπὸ [8] τούτων οὖν βαρυνόμενος καὶ | (f. 167.) ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων φλογούμενος οὐδὲ μιᾶς ἠθέλησε παραψυχῆς πώποτε μετασχεῖν. Ἐπειδὴ γάρ τις τῶν συνήθων παρὰ τὴν στιβάδα ἀμυγδαλῆν ἐφύτευσεν, εἶτα δένδρον τῷ χρόνῳ γενομένη [9] καὶ σκιὰν αὐτῷ τῷ ὁσίῳ παρεῖχεν, ἐκτμηθῆναι ταύτην προσέταξεν, ἵνα μηδὲ μιᾶς ἐκεῖθεν ἀπολαύοι [10] παραψυχῆς. Ἐν τούτοις [11] ἀγωνιζόμενος πρὸς Κύριον ἐξεδήμησεν. Τοῦτον ἠσπάσατο τὸν βίον καὶ ὁ παναοίδιμος Μωϋσῆς, ἐν ὑψηλῇ τινι κορυφῇ Ῥαμᾶς ὑπερκειμένῃ τῆς κώμης ἀγωνιζόμενος, καὶ Ἀντίοχος ὁ μέγας ἀνὴρ πρεσβύτης ἐν ἐρημοτάτῳ τόπῳ τὸ θριγκίον δειμάμενος, καὶ ὁ τρισόσιος Ἀντώνιος ἐν γεγηρακότι σώματι τοῖς νέοις παραπλησίως ἀγωνιζόμενος. Ἐσθὴς γὰρ αὐτοῖς ἦν ἡ αὐτὴ καὶ τροφὴ καὶ στάσις καὶ προσευχαὶ παννύχιοι [12] καὶ πανημέριοι. Καὶ οὔτε τὸ [13] χρόνου μῆκος οὐ γῆρας οὐκ ἀσθένεια φύσεως ἤλεγξεν αὐτῶν τὴν καρτερίαν· ἀλλ' ὥσπερ ἀκμάζοντα ἐν ἑαυτοῖς ἔχοντες τὸν ἔρωτα τοῦ διὰ Θεὸν πονεῖν, ἐν τοιαύτῃ πολιᾷ ἐν εἰρήνῃ τὰς ψυχὰς τῷ [14] Θεῷ παρέθεντο. Τοσοῦτον ἀπώναντο τοῦ θείου Ἰωάννου τῆς βιοτῆς καὶ ἀσκήσεως τὸ κέρδος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Feb. 24. **1.** Ἡ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου [1] προδρόμου καὶ βαπτιστοῦ, ἥτις εὑρέθη ὑπὸ δύο τινῶν μοναχῶν ἐν τῇ οἰκίᾳ τοῦ Ἡρώδου, ἐλθόντων ἐν Ἱεροσολύμοις προσκυνῆσαι κατ' εὐδοκίαν καὶ ἐπιφάνειαν αὐτοῦ. Ἐκ δὲ τῶν μοναχῶν λαβὼν αὐτὴν κεραμεύς τις καὶ εὐπραγίαν αἰσθόμενος, διαφερόντως ἐτίμα [2] αὐτήν· εἶτα μέλλων τελευτᾶν τῇ ἰδίᾳ ταύτην κατέλιπεν ἀδελφῇ, ἐπειπὼν μὴ κινεῖν αὐτὴν μηδὲ ἀνακαλύπτειν, ἀλλὰ μόνον τιμᾶν. Καὶ μετὰ τὴν τῆς γυναικὸς τελευτὴν πολλοὶ ταύτην κατὰ διαδοχὴν ἐδέξαντο· ἔσχατον δὲ εἰς Εὐστάθιόν τινα μοναχὸν καὶ πρεσβύτερον περιῆλθεν αἱρετικόν. Ὃς τοῦ σπηλαίου, ἐν ᾧ κατῴκει, παρὰ τῶν ὀρθοδόξων ἀπελαθεὶς διὰ τὸ καπηλεύειν τὰς ἐκ τῆς τιμίας κάρας [3] ἰάσεις καὶ ἐπιγράφεσθαι αὐτὰς τῇ ἀρειανικῇ αἱρέσει, κατὰ θείαν οἰκονομίαν | (f. 167v.) κατέλιπεν ἐν τῷ σπηλαίῳ τὴν τοῦ Προδρόμου κάραν. Καὶ ἦν ἐν

1. — [1] τὸν μακάριον *add.* Sa. — [2] ὁσίου Sa. — [3] δαιμόνων Sa. — [4] δ' Sa. — [5] *om.* Sa.

2. — [1] Μωυσέος Sa. — [2] Λυμναίου Sa. — [3] καύμη Sa. — [4] πελαγίζοντι S. — [5] προσάρτιον Sa. — [6] κ' καὶ ε' ἐτέλεσεν Sa. — [7] φερῶν (?) *add.* S. — [8] ἀπὸ Sa. — [9] συνήθων τὴν στιβάδα ... γενομένην Sa. — [10] ἀπολαύειν ἔχοι Sa. — [11] τοῖς θεαρέστοις ἔργοις *add.* Sa. — [12] πανύχιοι S. — [13] τοῦ *add.* Sa. — [14] ἀγωνοθέτῃ *add.* Sa.

1. — [1] τοῦ προφήτου *om.* Sa. — [2] *om.* Sa. — [3] γινόμενας *add.* Sa.

Feb. 23. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — **P** : 1. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. — **Ba** : 1 (= S). — 2 (= S). — **G** : 1, mutil. — **C** : 2. 1. — **Cb** : deest. — **Cd** : 1. — In margine manu paulo recentiore add. : Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ θερίστου. — **R** : deest. — **K** : 1. 2. — **M** : 1. 2. — Γοργονία ἡ ἀδελφὴ τοῦ θεολόγου ἐν εἰρήνῃ τ. — Ζηβινᾶ κτλ. (Feb. 24[2]). — **Mv** : 1. 2. — Γοργονία. — Κλήμης ξ. τ. — Θέη ξ. τ. (Feb. 26[4]). — Ζεβινᾶ κτλ. — **Mb** : 1. 2. — **Mr** : 1.

Feb. 24. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — **P** : 1. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1 : Ἡ ἀνάμνησις τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Ὅτε ἀπεκεφαλίσθη ὑπὸ Ἡρώδου ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος, ἐναπετέθη ἡ κεφαλὴ αὐτοῦ εἰς ἀγγεῖον ὀστράκινον καὶ ἐκρύβη ἐν τῇ οἰκίᾳ τοῦ Ἡρώδου. Μετὰ δὲ χρόνους πολλοὺς δυσὶ μοναχοῖς ἀπελθοῦσιν εἰς Ἱεροσόλυμα, τοῦ προσκυνῆσαι τὸν τοῦ Κυρίου τάφον, ἐφάνη κατ' ὄναρ ὁ ἅγιος Ἰωάννης μηνύων αὐτοῖς, ποῦ κεῖται ἡ τιμία κεφαλὴ αὐτοῦ. Καὶ εὑρόντες αὐτὴν εἶχον ἐν τιμῇ· ἐξ αὐτῶν δὲ ἀνελάβετο αὐτὴν κεραμεύς τις, καὶ ἤγαγεν εἰς τὴν Ἐμεσηνῶν πόλιν. Ὅτε δὲ ἐτελεύτησε, κατέλιπεν αὐτὴν τῇ ἰδίᾳ ἀδελφῇ· καὶ ἔκτοτε κατὰ διαδοχὴν περιῆλθεν εἰς πολλούς. Ἐπὶ δὲ τῆς βασιλείας Μιχαήλ, τοῦ ποιήσαντος τὴν

Feb. 24.

αὐτῷ κρυπτομένη καὶ ἀγνοουμένη μέχρι τῶν χρόνων Μαρκέλλου τοῦ ἀρχιμανδρίτου ἐπὶ τῆς βασιλείας Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ καὶ Οὐρανίου ἐπισκόπου Ἐμέσης. Τότε δὲ πολλῶν ἀποκαλυφθέντων περὶ αὐτῆς, εὑρέθη οὖσα ἐν ὑδρίᾳ, καὶ παρὰ τοῦ ἐπισκόπου Οὐρανίου εἰσήχθη ἐν τῇ ἐκκλησίᾳ, ἰάσεις καὶ θαύματα ἐνεργήσασα. Τελεῖται δὲ ἡ τοιαύτη[4] σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ, τῷ ὄντι ἐν τοῖς Σφωρακίου[5].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς[1] ἡμῶν Ζεβινᾶ καὶ τῶν ὁσίων πατέρων ἡμῶν[2] Πολυχρονίου, Μωϋσέως καὶ Δαμιανοῦ. Ὧν ὁ μὲν θεῖος Ζεβινᾶς ἐν ὄρει τινὶ τὸ ἀσκητικὸν ἐδείματο καταγώγιον, πόνοις ἀσκητικοῖς μέχρι γήρως αὐτοῦ κεχρημένος. Ἐπλεονέκτει δὲ τοὺς ἐπ'[3] αὐτοῦ ἀνθρώπους τῇ τῆς προσευχῆς προσεδρείᾳ· ὅθεν ἐκ τοῦ γήρους φέρειν τὴν στάσιν μὴ δυνάμενος, τῇ βακτηρίᾳ προσκλινόμενος ταῖς προσευχαῖς[4] ἐσχόλαζε· θαυμαστῶς[5] δὲ βιώσας καὶ θεαρέστως, τῶν τῇδε μετέστη. Ὁ δὲ θεῖος Πολυχρόνιος τούτου μαθητὴς γεγονὼς οὕτως ἀκριβῶς τὴν τοῦ διδασκάλου ἀρετὴν ἀνεμάξατο, ὡς οὐδὲ κηρὸς τῶν δακτυλίων[6] τοὺς τύπους ἐκμάσσεται. Τῇ γὰρ αὐτῇ διηνεκεῖ στάσει καὶ καρτερίᾳ τῆς προσευχῆς καὶ οὗτος ἐχρῆτο· σίδηρα μὲν γὰρ οὐκ ἠνέσχετο φορέσαι διὰ τὸ μή τινας ἀστηρίκτους ἐπ' αὐτῷ βλαβῆναι· δρυὸς δὲ ῥίζαν βαρυτάτην τοῖς ὤμοις ἐπιφέρων, ὡς μὴ δύνασθαι δυσὶ χερσὶ[7] ταύτην παρακινῆσαι, τὸ σῶμα κατεβάρυνεν. Ἐκ τούτων τῶν πόνων καὶ θεόσδοτος αὐτῷ ἐπήνθει χάρις. Καὶ γὰρ διὰ προσευχῆς αὐχμὸν ἔλυσε καὶ ληκύνθιον[8] κενὸν ἐλαίου[9] προσευχῇ πλῆρες πεποίηκε. Πολλὰ δὲ καὶ ἕτερα τερατουργήσας, πρὸς Θεὸν ἐκδημεῖ. Οἱ δὲ τούτου φοιτηταὶ ὁ μὲν Μωϋσῆς ἐν τῷ τοῦ θείου Πολυχρονίου παρῴκει κελλίῳ, ὅλην αὐτοῦ ἐκμαξάμενος τὴν ἀρετήν, ὁ δὲ Δαμιανὸς κώμην τινὰ καταλαβὼν Νιαρὰ[10] καλουμένην καὶ παρὰ τὰς ἅλως οἰκίσκον εὑρὼν ἐρημότατον, ἐν ἐκείνῳ | (f. 168.) διῆγεν, τὴν αὐτὴν μετιὼν τῷ διδασκάλῳ πολιτείαν. Οὐδὲ γὰρ ἦν αὐτῷ ἐν τῷ κελλίῳ[11] εἰ μὴ μιὰ σπυρὶς τὴν φακὸν ἔχουσα, ἣν τροφὴν ἐποιεῖτο. Τοσαύτην ὠφέλειαν ἐκ τῆς τοῦ θείου Πολυχρονίου συνουσίας οὗτοι εὕραντο ὁσίως πολιτευσάμενοι[12].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

Feb. 25.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ταρασίου[1] ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἐγένετο τῆς[2] Κωνσταντινουπόλεως καὶ γέννημα καὶ θρέμμα, τὴν ἀξίαν πρωτασηκρῆτις[3]. Διὰ δὲ τὴν γνῶσιν καὶ ἀρετὴν αὐτοῦ χειροτονεῖται πατριάρχης Κωνσταντινουπόλεως[4]. Οὗτος[5] καὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν ἐδογμάτισε καὶ δι' αὐτοῦ ἡ βασίλειος ἀρχὴ καὶ ῥωμαϊκὴ ἐξουσία πρὸς τὰς σεπτὰς παραδόσεις τῶν ἁγίων ἀποστόλων καὶ οἰκουμενικῶν συνόδων ἐπανῆλθε καὶ ἡ ἁγία ἐκκλησία τοῖς πᾶσι πατριαρχείοις ἥνωται. Ζήσας δὲ οὕτως εὐσεβῶς καὶ τοῖς βασιλεῦσι τίμιος γενόμενος καὶ μοναστήριον ἱερὸν ἐν τῷ πέραν τοῦ Στενοῦ οἰκοδομήσας[6] καὶ πλήθη μοναστῶν[7] συστησάμενος καὶ τοὺς πτωχοὺς ἐλεήσας καὶ καλῶς κυβερνήσας τὴν[8] ἐκκλησίαν ἐπὶ ἔτη εἴκοσι δύο καὶ μῆνας δύο ἐν εἰρήνῃ ἐτελειώθη[9]· καὶ κατετέθη ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι μοναστηρίῳ. Ἦν δὲ κατὰ πάντα ὅμοιος τὸν σωματικὸν χαρακτῆρα τῷ ἁγίῳ Γρηγορίῳ τῷ θεολόγῳ, πλὴν τοῦ πολιοῦ καὶ τοῦ ὑπούλου ὀφθαλμοῦ· οὐδὲ γὰρ παντελῶς οὗτος πολιός. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ[10] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος

— [4] ταύτης Sa. — [5] Σπαρακίου S, Φωρακίου Sa, *cf. Sept.* 23[1].

2. — [1] τῶν ὁσίων πατέρων Sa. — [2] (καὶ - ἡμῶν) *om.* Sa. — [3] ὑπ' S. — [4] εὐχαῖς Sa. — [5] θαυμασίως Sa. — [6] δακτύλων Sa. — [7] χερσὶ δυσὶ Sa. — [8] ληκύθιον Sa. — [9] τῇ *add.* Sa. — [10] Sa, Μιαρὰ S. — [11] ἄλλο τι *add.* Sa. — [12] καὶ Θεῷ εὐαρεστήσαντες *add.* Sa.

1. — [1] Ταρασσίου S. — [2] *om.* Sa. — [3] ἀσηκρῆτις Sa. — [4] *om.* Sa. — [5] ὅστις Sa. — [6] οἰκονομήσας Sa. — [7] ἐν αὐτῷ συναθροίσας καὶ *add.* Sa. — [8] τοῦ Θεοῦ *add.* Sa. — [9] ἀνεπαύσατο Sa. — [10] ἁγιωτάτῃ *add.* Sa.

Feb. 24.

ὀρθοδοξίαν, καὶ Ἰγνατίου πατριάρχου ἀπεκομίσθη Θεοῦ χάριτι εἰς Κωνσταντινούπολιν καὶ ἐναπετέθη μετὰ μεγάλης τιμῆς ἐν αὐτῇ, ὡς καὶ τὰ λοιπὰ πάντα ἅγια καὶ τὰ τῶν ἁγίων λείψανα, εἰς σκέπην καὶ ἀσφάλειαν αὐτῆς. — Ῥηγίνου ἐπισκόπου Σκοπέλων. Ὁ ἅγιος ἱερομάρτυς Ῥηγῖνος ἐγένετο ἀπὸ τῆς χώρας Ἑλλάδος, γονέων χριστιανῶν υἱός. Καὶ μαθὼν ὑπ' αὐτῶν τὴν εὐσέβειαν καὶ τὰ ἱερὰ γράμματα, ἐγένετο ἐνάρετος καὶ φοβούμενος τὸν Θεόν· καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν πολλὴν εὐσέβειαν, παρὰ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου γίνεται διάκονος τῆς ἐν τῇ Ἑλλάδι ἐκκλησίας, εἶτα πρεσβύτερος, εἶτα καὶ ἐπίσκοπος Σκοπέλων. Τοσοῦτον δὲ γέγονεν εἰς ἀρετὴν περιβόητος, ὡς καὶ εἰς τὴν ἐν Σαρδικῇ σύνοδον προσκληθῆναι καὶ παραγενέσθαι, καὶ πάσας τὰς αἱρέσεις διὰ τοῦ λόγου αὐτοῦ καὶ τῆς παρρησίας ἀφανίσαι, εἶτα ἐπιστρέψαι εἰς τὴν ἰδίαν ἐπισκοπήν. Καὶ μετὰ τοῦτο διωγμοῦ κινηθέντος κατὰ τῶν χριστιανῶν, ἐκρατήθη παρὰ τοῦ τῆς Ἑλλάδος ἄρχοντος· καὶ μετὰ τὸ πολλὰ βασανισθῆναι καὶ τιμωρηθῆναι, διὰ ξίφους τὴν ἱερὰν αὐτοῦ κεφαλὴν ἀπετμήθη (Feb. 25[4]). — **Ba** : 1 (= S). 2 (= S). — **G** : deest. — **C** : 1. — **Cb** : 1. — **Cd** : 1. — **R** : 1. 2. — **K** : 1. 2. — **M** : 1. — **Mv** : 1. — **Mb** : 1. 2. — Ῥηγίνου. — **Mr** : 1.

Feb. 25.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 1. 2. 5. 4. 7. — **P** : 1. 2. 5. 4. 6. — **Da** : 1 : Ταρασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν ἐδογμάτισεν καὶ δι' αὐτοῦ ἡ βασίλειος ἀρχὴ καὶ ῥωμαϊκὴ ἐξουσία πρὸς τὰς σεπτὰς παραδόσεις τῶν ἀποστόλων καὶ οἰκουμενικῶν συνόδων ἐπανῆλθεν, ἡ ἁγία δὲ ἐκκλησία τοῖς πᾶσι πατριαρχείοις ἥνωται. —

Ἀλεξάνδρου τοῦ[1] μαρτυρήσαντος ἐν Δριζιπάρῳ τῆς Θρᾴκης. Οὗτος ἦν ἐκ Ποτιόλων τῶν κατὰ τὴν[1] Ῥώμην, ἐπὶ Μαξιμιανοῦ βασιλέως καὶ Τιβεριανοῦ ἡγεμόνος· παρ' οὗ προτραπεὶς θῦσαι τοῖς εἰδώλοις, ἀντὶ τοῦ σπονδὰς ἐπενεγκεῖν λοιδορίας αὐτῶν οὐκ ὀλίγας καὶ ὕβρεις κατέχεεν. Ὅθεν ἐξ ἄκρων χειρῶν κρεμᾶται, καὶ[2] βαρέος αὐτῷ λίθου ἐξαρτηθέντος. Ἐκεῖθέν τε ἐν Καρθαγένῃ ἀχθεὶς καὶ αὖθις κρεμασθεὶς ξέεται καὶ μαστιγοῦται· καὶ ἐν Μαρκιανουπόλει γεγονὼς λαμπάδας πυρὸς κατὰ τοῦ προσώπου δέχεται· ἐλθὼν δὲ ἐν Θρᾴκῃ τὴν κεφαλὴν ἀποτέμνεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Ἀσκληπιοῦ καὶ Ἰακώβου. Ὧν ὁ μὲν μακάριος Ἀσκληπιὸς μαθητὴς γέγονε Πολυχρονίου τοῦ θαυμασίου, τοῦ τῷ ὁσίῳ Ζεβινᾷ διακονήσαντος· τὴν αὐτὴν δὲ[1] τροφὴν καὶ ἐσθῆτα καὶ ἤθους μετριότητα καὶ διηνεκῆ στάσιν καὶ πρὸς Θεὸν | (168v.) ὁμιλίαν ἐζήλωκει. Καὶ γὰρ ὅτε καὶ κοσμικοῖς συγκατείλεκτο, οὐδὲν ἧττον ἀσκητικαῖς ἐφαιδρύνετο ἀγωγαῖς[2], μηδεμίαν ἐκ τῆς τῶν πολλῶν ἐπιμιξίας λώβην δεξάμενος. Ἐν ἑκατέρῳ τοίνυν βίῳ διαπρέψας, τῷ τε πολιτικῷ καὶ τῷ ἐρημιτικῷ[3], διπλῶν εἰκότως καὶ τῶν στεφάνων μετὰ τὴν πρὸς Θεὸν ἐκδημίαν ἠξιώθη. Ὁ δέ γε θεῖος Ἰάκωβος καθειργόμενος παρὰ κώμῃ τινὶ Νιαουζὰν καλουμένῃ καὶ παρ' αὐτὸ ὢν τοῦ βίου τὸ τέρμα — ἐτῶν γὰρ ἦν πλεῖον ἢ ἐνενήκοντα — μόνος καθεῖρκτο, διά τινος βραχέος ὀρύγματος ἑλικοειδῶς ὀρωρυγμένου τὰς ἀποκρίσεις ποιούμενος, οὐχ ὁρώμενος δὲ καὶ οὔτε πυρὶ χρώμενος, οὔτε λυχνιαίου φωτὸς ἀπολαύων[4]· ἐν ᾧ[5] τούτοις[6] ὁ θεῖος Ἰάκωβος τοῖς[5] πόνοις ἐγκαρτερῶν τὸ τοῦ βίου δέχεται πέρας.

Feb. 25.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ῥηγίνου ἐπισκόπου Σκοπέλων. Οὗτος ἐγένετο ἀπὸ τῆς Ἑλλάδος, γονέων χριστιανῶν υἱός· διὰ δὲ τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν πολλὴν εὐσέβειαν χειροτονεῖται ἐπίσκοπος Σκοπέλων. Οὗτος καὶ εἰς τὴν ἐν Σαρδικῇ[1] σύνοδον προσκληθείς, πάσας τὰς αἱρέσεις διὰ τοῦ λόγου αὐτοῦ καὶ τῆς παρρησίας ἠφάνισεν· εἶτα ὑποστρέψας εἰς τὴν ἰδίαν ἐπισκοπήν, διωγμοῦ κινηθέντος, ἐκρατήθη παρὰ τοῦ τῆς Ἑλλάδος ἄρχοντος· καὶ πολλὰ τιμωρηθεὶς τὴν κεφαλὴν ἀπετμήθη.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μαρκέλλου ἐπισκόπου Ἀπαμείας τῆς Κύπρου.

6. Καὶ τοῦ ἁγίου μάρτυρος Ἀντωνίου.

7. Καὶ τοῦ ὁσίου Θεοδώρου τοῦ σαλοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κς'.

Feb. 26.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πορφυρίου ἐπισκόπου Γάζης. Οὗτος ὥρμητο ἐκ τῆς Θεσσαλονικέων πόλεως, υἱὸς ὑπάρχων πλουσίων γονέων καὶ εὐγενῶν. Ἀπάρας δὲ τῆς ἐνεγκαμένης εἰς Αἴγυπτον ἔρχεται, κἀκεῖθεν εἰς Σκῆτιν[1] καὶ τὸν μονήρη βίον ἐνδύεται. Καὶ μετὰ χρόνους πέντε[2] εἰς Ἱεροσόλυμα παραγίνεται, πολλοὺς τῷ λόγῳ καταφωτίζων· διὸ χειροτονεῖται πρεσβύτερος ὑπὸ Πραϋλίου πατριάρχου Ἱεροσολύμων· καὶ ὑπὸ Ἰωάννου, ἀρχιεπισκόπου Καισαρείας τῆς κατὰ Παλαιστίνην ἐπίσκοπος προχειρίζεται Γάζης. Ἔνθα πολλὰς δυνάμεις θαυμάτων τελέσας στηρίζει μὲν τοὺς πιστοὺς καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέφει πρὸς θεογνωσίαν. Ἀπαίρει δὲ πρὸς Κωνσταντινούπολιν, ὑπὸ τῶν κρατούντων τῆς χώρας τοὺς πιστοὺς ἀδικουμένους ὁρῶν. Καὶ ἐντυχὼν Ἰωάννῃ τῷ Χρυσοστόμῳ καὶ διηγησάμενος τὰ κατ' αὐτὸν καὶ[3] δι' ὃ παρῆν, παραδίδοται ὑπ' αὐτοῦ Ἀμαντίῳ τῷ κουβικουλαρίῳ· ὅστις ἀναδιδάξας τὰ περὶ αὐτὸν τῇ Αὐγούστῃ, ἐδέξατο αὐτὸν εὐμενῶς. Καὶ ἀναφέρει αὐτοῦ[4] τῷ βασιλεῖ ἡ Αὐγοῦστα τὴν τοῦ ὁσίου | (f. 169.) ἐνδημίαν καὶ πρόρρησιν περὶ τοῦ μέλλοντος τίκτεσθαι ἄρρενος παιδός. Ὁ δὲ ἀγασθεὶς ἐπὶ τούτῳ, τὰ εἰκότα τῷ Θεῷ ηὐχαρίστησεν· εἶτα τίκτει ἡ βασίλισσα τὸν νέον Θεοδόσιον. Καὶ προσκαλεσαμένη τὸν ὅσιον εὐλογεῖται παρ' αὐτοῦ καὶ ὑποτίθεται πληροῦν πάντα τὰ κατὰ τὴν τοῦ ὁσίου θέλησιν. Ὁ δὲ συνταξάμενος δέησιν περιέχουσαν τὰ

2. — [1] *om.* Sa. — [2] καὶ *om.* Sa.

3. — [1] αὐτῷ *add.* Sa. — [2] ἀρεταῖς Sa. — [3] ἐρημικῷ Sa. — [4] ἀπολαβον S. — [5] *om.* Sa. — [6] τοιούτοις οὖν Sa.

4. — [1] Σαρδικὴν S.

1. — [1] Σκήτην S. — [2] ε' χρόνους Sa. — [3] *om.* Sa. — [4] αὐτοῦ *om.* Sa.

Feb. 25.

2. 3. 5. 4. 6. 7. — **Db** : 1. 2. 3. 5. 4. 6. 7. — **F** : 1. 2. 3. 5. 4. 6. 7. — **Fa** : 1. 2. 3. 5. 4. 6. 7. — **B** : 2. 1. — **Ba** : 1. 2 (= S). 3 (= S). 5 (= S). 4. 7. — **G** : mutil. 2. — **C** : 1. 2. — **Cb** : 1. — **Cd** : 1. 2. — **R** : 1. 2. 3. 5. 4. 6. 7. — **K** : 1. 2. 3. 5. 4. — **M** : 1. 2. 4. — Ὑπατίου ἐπισκόπου Γαγγρῶν (Nov. 14[2]). — 6. 7. 5. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κατὰ τὴν τρίτην κυριακὴν τῶν νηστειῶν, προσκύνησις τοῦ τιμίου σταυροῦ. — **Mv** : 1. 2. 4. — Ὑπατίου. — 6. 7. 5. — **Mb** : 1. 2. 3. — Ὑπατίου. — 5 (Μαρκέλλου ἐπισκόπου Ἀπακουτίας τῆς Κύπρου). — 6. 7 (Θεοδώρου τοῦ Μαύρου). — **Mr** : 1.

Feb. 26.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **H** : 1. 3. 4. — **P** : 1. — Τῆς ἁγίας Ἀσθέης (cf. n. 4). — Προκοπίου (Feb. 27[1]). — **Da** : 1 (= F). 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1 : Πορφυρίου ἐπισκόπου Γάζης. Οὗτος ὥρμητο ἐκ τῆς Θεσσαλονικαίων πόλεως, υἱὸς ὑπάρχων πλουσίων καὶ εὐγενῶν... ἀπαίρει δὲ πρὸς τὴν Κωνσταντινούπολιν, ὑπὸ τῶν κρατούντων τῆς χώρας τοὺς πιστοὺς ἀδικουμένους ὁρῶν. Καὶ ἐντυχὼν τῷ βασιλεῖ, ἐξαιτεῖται τῶν εἰδωλικῶν ναῶν τὴν καταστροφήν. Καὶ τοὺς μὲν ἄλλους πάντας καταβαλών, τὸν δὲ μέγιστον πάντων ναῶν τὸν τοῦ Μαρνᾶ πυρὶ κατακαύσας, ἀνήγειρεν ἐκκλησίαν κατὰ τὸ σχῆμα, ὃ διετάξατο αὐτῷ ἡ βασίλισσα Εὐδοξία πολλὴν χρημάτων δαπάνην αὐτῷ παρασχοῦσα. Διαπρέψας οὖν ὁσίως ἐν τῇ τοιαύτῃ ἐκκλησίᾳ καὶ θαύματα πλεῖστα ἐργασάμενος, πρὸς

Feb. 26.

αἰτήματα αὐτοῦ, δέδωκεν ταύτην τῇ βασιλίσσῃ· ἡ δὲ τῷ βασιλεῖ. Καὶ ἀναγνοὺς ἐδυσχέραινε[5] λέγων· « Διωχθῆναι[6] τοὺς εἰδωλολάτρας οὐ δυνατὸν[7] διὰ » τὴν πολλὴν αὐτῶν[8] συντέλειαν. » Ἡ[9] δέ φησιν πρὸς τὸν βασιλέα· «Βαρεία μὲν ἡ αἴτησις, δέσποτα, » βαρυτέρα δὲ ἡ παραίτησις.» Διὸ καὶ ἐπινεύει ὁ βασιλεὺς εἰς πέρας ἐκβῆναι τὰ τῶν αἰτήσεων· καὶ ἐκπέμπεται σύγγραμμα[10] κατὰ τῶν αἱρετικῶν, κελεῦον ἐκδιωχθῆναι τούτους ἀπὸ τῆς Γάζης. Ὁ δὲ μακάριος Πορφύριος κομίζεται παρὰ τῆς Αὐγούστης κεντηνάρια δύο χάριν κτίσεως ἐκκλησίας, καὶ λόγῳ δαπάνης νομίσματα διακόσια. Καὶ καταλαβὼν τὴν αὐτοῦ ἐκκλησίαν, τοὺς μὲν ἄλλους πάντας ναοὺς τῶν εἰδώλων κατέστρεψε καὶ τοὺς αἱρετικοὺς ἀπήλασε· τὸν δὲ ναὸν τοῦ Μαρνᾶ πυρὶ κατακαύσας, ἀνήγειρεν ἐκκλησίαν κατὰ τὸ σχῆμα, ὃ διετάξατο[11] ἡ βασίλισσα Εὐδοξία. Διαπρέψας οὖν ὁσίως ἐν τῇ τοιαύτῃ ἐκκλησίᾳ καὶ θαύματα πλεῖστα ἐργασάμενος ἐν ἔτεσιν εἰκοσιτέσσαρσιν καὶ μησὶν ια´ καὶ ἡμέραις ὀκτώ, πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βαραδάτου. Ὃς πόλεως μὲν ἦν Ἀντιοχείας· τὸν φιλόσοφον δὲ καὶ ἐρημικὸν ἀσπασάμενος βίον, πρῶτον μὲν ἐν οἰκίσκῳ τινὶ ἑαυτὸν ἐγκαθεῖρξεν[1]· ἐκεῖθεν δὲ τὴν ὑποκειμένην λαβὼν[2] ῥαχίαν καὶ οὐδὲ τῷ σώματι σύμμετρον κατασκευάσας κέλλαν, ἐν αὐτῇ διῆγε κατακύπτειν διηνεκῶς ἠναγκασμένος. Οὐδὲ γὰρ εἶχεν ὕψος ἰσόμετρον τῷ μήκει τοῦ σώματος, οὐ σανὶς αὐτῇ συνήρμοστο, ἀλλὰ ταῖς κιγκλίσι παραπλησίως διήνοικτο καὶ ταῖς[3] φωταγωγοῖς ἐῴκει ταῖς εὐρυτέρας ἐχούσαις τοῦ φωτὸς τὰς εἰσόδους. Οὗ χάριν οὔτε τῆς τῶν ὑετῶν ἀπηλλάττετο προσβολῆς, οὔτε τῆς ἡλιακῆς ἠλευθεροῦτο φλογός[4]. Πολὺν δὲ χρόνον τοῦτον διατελέσας τὸν τρόπον, ὕστερον ἐξελήλυθε ταῖς τοῦ ἐπισκόπου τῆς Ἀντιοχέων[5] Θεοδωρήτου[6] παραινέσεσιν[7] εἴξας· ἵστατο[8] μέντοι τὰς χεῖρας διηνεκῶς εἰς τὸν οὐρανὸν[9] ἐκτείνων καὶ τὸν τῶν ὅλων Θεὸν ἀνυμνῶν, ἅπαν τὸ σῶμα τῷ δερματίνῳ συγκαλύπτων χιτῶνι. Περὶ τὴν ῥῖνα δὲ καὶ τὸ στόμα βραχεῖαν τῷ πνεύματι παρείσδυσιν καταλέλοιπε[10]· καὶ τοῦτον ἅπαντα ὑπέμενε[11] τὸν πόνον, οὐκ εὔρωστον σῶμα ἔχων ἀλλὰ καὶ λίαν πολλοῖς βαλλόμενον πάθεσι. Ζεούσῃ δὲ προθυμίᾳ | πυρπολούμενος ἐβιάζετο πονεῖν τὸ πονεῖν μὴ δυνάμενον σῶμα διὰ τὴν τῶν ἀποκειμένων στεφάνων ἀντίδοσιν. Οὓς καὶ πρὸς Θεὸν ἐκδημήσας ἀναμένει λήψεσθαι.

f. 169v.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου[1] Στεφάνου, τοῦ συστησαμένου τὸ γηροκομεῖον τῶν Ἁρματίου καὶ τοῦ Σάγματος.

4. Καὶ ἄθλησις τῆς ἁγίας μάρτυρος Θεῆς.

5. Καὶ ἄθλησις[1] τοῦ ἁγίου μάρτυρος Γελασίου.

6. Καὶ ἡ ἀνάμνησις τῆς ἡμέρας, ὅτε ἐχειροτονήθη πρεσβύτερος ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος.

7. Καὶ μνήμη τοῦ ἁγίου πατρὸς ἡμῶν Νικολάου τοῦ Κατοπινοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ´.

Feb. 27.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Προκοπίου τοῦ Δεκαπολίτου. Ὃς πρότερον τὸν μονήρη βίον ὑπελθὼν καὶ πᾶσαν ἄσκησιν ἀκριβῶς διαμείψας καὶ τελείως ἀνακαθάρας ἑαυτόν, τοὺς τοῦ Λόγου τὴν σάρκωσιν δυσσεβῶς ἀθετήσαντας ἀνδρείως διήλεγξεν καὶ κατέπτυσεν[1]· ὕστερον δὲ καὶ διὰ μαστίγων ἀθλήσας καὶ διὰ πάσης κακώσεως βεβαιῶν τὴν ἀλήθειαν, μέγας ὁμολογητὴς ἀνεφάνη, πολλὰς θαυματουργίας ἐνδειξάμενος· καὶ οὕτως πρὸς Κύριον ἐξεδήμησεν.

— [5] ἐδυσχέρανε Sa. — [6] διῶξαι Sa. — [7] δύναμαι Sa. — [8] τῶν τοιούτων Sa. — [9] Sa, ὁ S. — [10] συγγράμματα S. — [11] αὐτῷ *add. supra lin. corr. rec.* Sa.

2. — [1] καθεῖρξεν Sa. — [2] καταλαβὼν Sa. — [3] *om.* Sa. — [4] φλογὸς ἠλευθεροῦτο Sa. — [5] ἐκκλησίας *add.* Sa. — [6] Θεοδωρίτου S, Sa. — [7] παραίνεσιν Sa. — [8] ἵσταντο Sa. — [9] δ. εἰς τὸν ο. τὰς χεῖρας Sa. — [10] καταλελοιπὼς Sa. — [11] ὑπέμεινε Sa

3. — [1] πατρὸς ἡμῶν *add.* Sa.

5. — [1] *om.* Sa.

1. — [1] διελέγξας καὶ καταπτύσας Sa.

Feb. 26. Κύριον ἐξεδήμησεν. — 2. 3. 4. — **Fa** : 1. 2. 3. 4. — **B** : 1. 3. — **Ba** : 1. 2 (= S). 3 (= S). — **G** : 1. — **C** : 1. 3. 4 : τῆς ἁγίας Μαρθεῆς. In margine scriptum est : Ζήτει τὸ συναξάριον τοῦ ἁγίου Πορφυρίου εἰς τὴν β´ τοῦ μαρτίου. — Μαρκέλλου (Feb. 25[5]). — Ἀντωνίνου (Feb. 25[6]). — Θεοδώρου (Feb. 25[7]). — **Cb** : 1. 3. — **Cd** : 1. 3. 4. — Μαρκέλλου. — Ῥηγίνου (Feb. 25[4]). — Ἀντωνίου (Feb. 25[6]). — Θεοδώρου. — **R** : 1 2. 3. 4. — **K** : 1. 2. 3. — **M** : 1. — Φωτεινῆς τῆς Σαμαρείτιδος. — **Mv** : 1. — Φωτεινῆς. — Φωτὼς ἡ ἀδελφὴ αὐτῆς ξ. τ. — Φωτὶς ἡ ἑτέρα ἀδελφὴ αὐτῆς εἰς δύο προσδεθεῖσα δένδρα καὶ διαμερισθεῖσα τ. — Παρασκευὴ ἡ ἑτέρα ἀδελφὴ αὐτῆς ξ. τ. — Κυριακὴ ἡ ἑτέρα ἀδελφὴ αὐτῆς ξ. τ. — Ἰωσῆς ὁ υἱὸς τῆς ἁγίας Φωτεινῆς ξ. τ. — Φωτεινὸς ὁ ἕτερος υἱὸς αὐτῆς ξ. τ. — Σεβαστιανὸς ὁ δοὺξ ξ. τ. — **Mb** : 1. 2. — Φωτεινῆς. — **Mr** : 1.

Feb. 27. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. 3. — **P** : Βασιλείου (Feb. 28[1]). — 3. — **Da** : 1. 2. 3. — Βασιλείου (Feb. 28[1]). — **Db** : 1. 2. 3. — Βασιλείου. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1 (Προκοπίου καὶ Βασιλείου). — **Ba** : 1 (= S). 2 (= S). — Βασιλείου συναθλητοῦ χρηματίσαντος Προκοπίου τοῦ Δεκαπολίτου. — **G** : 1. 2. 3. — Βασιλείου. — **C** : 1 (Βασιλείου καὶ Προκοπίου). — 3. — **Cb** : 1 (Βασιλείου καὶ Προκοπίου). — **Cd** : 1 : Βασιλείου καὶ Προκοπίου τοῦ Δεκαπόλεως, τοῦ γεγονότος συνάθλου αὐτοῦ καὶ μαθητοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ εἰκονομάχου, καταλιπόντες τὸν

Feb. 27.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θαλλελαίου[1]. Ὃς Κίλιξ μὲν ἦν τὸ γένος, τὴν ἀσκητικὴν δὲ πολιτείαν ἀγαπήσας τὴν πόλιν κατέλαβε Γαβάλων[2]· ἧς ἀπὸ σταδίων εἴκοσιν γεώλοφόν τινα καταλαβών, ἐν ᾧ τέμενος ἦν δαιμόνων, ἐν αὐτῷ ἐπήξατο μικρὰν καλύβην, τοῖς τῆς ἀσκήσεως ἐνασχολούμενος πόνοις, νηστείαις καὶ ἀγρυπνίαις καὶ κακουχίαις σαρκὸς ἑαυτὸν ἐκτήκων. Ὅθεν οἱ ἐν τῷ τεμένει δαίμονες πλείστοις αὐτὸν φοβήτροις ἐξεδειμάτουν· οὓς καὶ καταγελῶν κατησχυμμένους ἐξέπεμπε. Μειζόνων δὲ πόνων ἐφιέμενος, τὴν μὲν καλύβην κατέλιπεν, κελλίον δὲ στενότατον δειμάμενος μηδὲ τῷ σώματι σύμμετρον, ἐν αὐτῷ εἰσῄει τοῖς γόνασι τὸ πρόσωπον ἔχων προσηλωμένον. Θεαρέστως οὖν ἐν[3] τῷ κελλίῳ ἐπὶ δέκα ἔτη βεβιωκὼς[4] ἐν εἰρήνῃ ἐκοιμήθη.

3. Καὶ[1] μνήμη τοῦ ἐν ἁγίοις[2] πατρὸς ἡμῶν καὶ θεοφόρου Μαρκιανοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ´.

Feb. 28.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου συναθλητοῦ χρηματίσαντος Προκοπίου τοῦ Δεκαπολίτου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ εἰκονομάχου. Καταλιπὼν δὲ τὸν κόσμον καὶ τὰ ἐν[1] κόσμῳ γέγονε[2] μοναχός· καὶ καλῶς ἀσκήσας πρότερον, ὕστερον, τῆς κατὰ[3] τῶν ἁγίων εἰκόνων κινηθείσης ῥιφῆς, σπουδαίως ἀντέστη τοῖς εἰκονομάχοις· ὅθεν καὶ κρατηθεὶς καὶ πολλὰ τιμωρηθεὶς οὐκ ἐνέδωκεν, ἀλλὰ τὴν ἀλήθειαν ἐκήρυττε μέχρι[3] θανάτου· διὸ καὶ ἐξέσθη ὁ ἅγιος τὸ σῶμα πᾶν[4] καὶ τὸν τράχηλον[5] καὶ τῇ φυλακῇ παρεδόθη[6]. Τοῦ δὲ τυράννου τελευτήσαντος, ἀπελύθη | καὶ τῆς φυλακῆς ἐξελθὼν τῆς ὁμοίας ἐπεμελεῖτο διαγωγῆς. Καὶ πολλοὺς πρὸς ἀρετὴν ἐπαλείφων καὶ πρὸς τὴν ὀρθόδοξον πίστιν ἐπανάγων ἐν διαφόροις καιροῖς, πρὸς τὸν Θεόν, ὃν ἐκ βρέφους ἐπόθησεν, εὐχαριστῶν καὶ[7] χαίρων ἐξεδήμησεν.

f. 170.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Προτερίου ἀρχιεπισκόπου Ἀλεξανδρείας. Οὗτος ὁ μακάριος πρεσβύτερος ἦν ἐν τῇ κατὰ Ἀλεξάνδρειαν ἐκκλησίᾳ· καὶ συνελθὼν τοῖς ἐν Κωνσταντινουπόλει ἀνελθοῦσιν[1] Ἀλεξανδρεῦσι καὶ πλεῖστα τοῖς ἁγίοις πατράσι[2] κατὰ τῶν δυσσεβῶν αἱρέσεων συναγωνισάμενος, ἐπίσκοπος ὑπὸ τῆς συνόδου Ἀλεξανδρείας προβάλλεται. Στασιασάντων δὲ[3] ὅσοι τὰ τοῦ[4] Εὐτυχοῦς φρονοῦντες ἐτύγχανον, καὶ τὴν σιτοπομπίαν κωλύσειν ἀπειλησάντων, ὁ εὐσεβέστατος[5] Μαρκιανὸς οὐκ εἰς Ἀλεξάνδρειαν τὸν σῖτον ἀλλ' εἰς τὸ Πηλούσιον κατάγειν διὰ τοῦ Νείλου παρεκελεύσατο. Ὅθεν οἱ Ἀλεξανδρεῖς λιμώξαντες τὸν σφῶν ἀρχιερέα μεσίτην[6] πρὸς τὸν βασιλέα προβάλλονται. Ὁ δὲ τῇ τοῦ ἀρχιερέως εἴξας παρακλήσει, πάλιν ἐν Ἀλεξανδρείᾳ κατάγεσθαι τὸν σῖτον παρεκελεύσατο[7]. Μετὰ δὲ τὴν[8] τελευτὴν τοῦ εὐσεβεστάτου βασιλέως Μαρκιανοῦ, Τιμόθεός τις, τὴν ἐπωνυμίαν Αἴλουρος, ἀσέληνόν τινα νύκτα ἐπιτηρήσας καὶ τοῖς τῶν μοναζόντων κελλίοις ἀωρὶ ἐπιστὰς ἄγγελον αὐτὸν[9] εἶναι ἔφησε[10], καὶ ἀποστῆναι τῆς κοινωνίας Προτερίου τούτοις ἐπέσκηψε. Οἱ δὲ ἁπλοϊκῶς ἐξαπατηθέντες, στάσιν κατὰ τοῦ ἀρχιερέως ἐγείρουσιν. Οὗτος δὲ φεύγων τὸν θειότατον προφήτην Ἠσαΐαν ἐθεάσατο λέγοντα· « Ὑπόστρεψον, κἀγὼ » περιμένω δέξασθαί σε. » Τοῦτο δὲ ἐδήλου τάχα τὴν βιαίαν αὐτοῦ τελευτήν. Ὑποστρέψας οὖν καὶ ἐν τῇ θείᾳ κολυμβήθρᾳ εἰσελθών, ὑπ' αὐτῶν ἐκεῖσε

2. — [1] Θαλελαίου Sa. — [2] Γαμάλων Sa. — [3] αὐτῷ *add.* Sa. — [4] βεβιωκὼς ἔτη Sa.

3. — [1] τῇ αὐτῇ ἡμέρᾳ Sa. — [2] τοῦ ὁσίου Sa.

1. — [1] τῷ *add.* Sa. — [2] ἐγένετο Sa. — [3] *om.* Sa. — [4] ξέεται ἅπαν τὸ σῶμα Sa. — [5] καὶ τὸν τράχηλον *om.* Sa. — [6] παραδίδοται Sa. — [7] εὐχαριστῶν καὶ *om.* Sa.

2. — [1] ἐλθοῦσιν Sa. — [2] ἀνδράσι Sa. — [3] τινων *add.* Sa. — [4] *om.* Sa. — [5] βασιλεὺς Sa. — [6] μεσίτην τῶν σφῶν Sa. — [7] διεκελεύσατο Sa. — [8] *om.* Sa. — [9] ἑαυτὸν Sa. — [10] ἔφη Sa.

Feb. 27. κόσμον καὶ τὰ ἐν κόσμῳ καὶ γεγονότες μοναχοί· καὶ καλῶς ἀσκήσαντες πρότερον, ὕστερον τῆς αἱρέσεως κινηθείσης τῆς κατὰ τῶν ἁγίων εἰκόνων καθαιρέσεως, θερμῶς ἐνίστανται τοῖς εἰκονομάχοις ἀνθιστάμενοι· ὅθεν καὶ[1] κρατηθέντες καὶ πολλὰ τιμωρηθέντες, οὐκ ἐνέδωκαν τὴν ἀλήθειαν κηρύττοντες μέχρι θανάτου. Διὸ καὶ ξεσθεὶς ὁ ὅσιος Βασίλειος τὸ σῶμα πᾶν καὶ τὸν τράχηλον ταῖς μάστιξι, τῇ φυλακῇ παρεδόθη· ὁμοίως ἀπεκλείσθη καὶ ὁ μέγας Προκόπιος. Τοῦ δὲ τυράννου τελευτήσαντος, τῆς φυλακῆς ἀπελύθησαν· καὶ ὀλίγον ἐπιδιατρίψαντες τῷ βίῳ, ἐν διαφόροις καιροῖς ἐτελειώθησαν. Ἐγκωμιάζει δὲ αὐτοὺς ἐν κανόσιν ὁ ἅγιος Θεοφάνης, τότε καὶ αὐτὸς ἐκεῖ παρών. — 3. — **R** : 1. 3. 2. — **K** : 1. 2. 3. — Βασιλείου. — **M** : Γελασίου, ὃς τὸ ἅγιον βάπτισμα κελευσθεὶς διαπαῖξαι παρὰ τοῦ ἄρχοντος βαπτίζεται ἀληθῶς καὶ ξ. τ. (cf. Feb. 26[5]). — 1. — Βασιλείου. — 2. — Στεφάνου (Feb. 26[3]). — Νήσιος βουνεύροις τυπτόμενος τ. — **Mv** : 1. — Γελασίου. — 2. — Στέφανος. — Νήσιος. — **Mb** : 1. 2. — **Mr** : 1.

Feb. 28. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 8. 9. — **H** : 3. 4. 5. 1. — **P** : 3 : Νέστορος ἐπισκόπου. Ἐπὶ Δεκίου τοῦ βασιλέως καὶ Πουπλίου ἡγεμόνος ἐκ Πέργης τῆς Παμφυλίας συλληφθεὶς ὁμολογεῖ τὴν πίστιν παρρησίᾳ ἐπὶ τοῦ ἄρχοντος Εἰρηνάρχου. Τοῦ δὲ ἄρχοντος τῷ ἡγεμόνι ἐμφανίσαντος τὴν ἀναφορὰν τοῦ βουλευτηρίου καὶ ἀναδιδάξαντος τὰ περὶ τῆς πίστεως αὐτοῦ, ἀναγκασθεὶς θῦσαι ἔφη· « Εἰ τὸ » σῶμά μου πολυπλόκοις βασάνοις καὶ πυρὶ ἀναλώσεις, οὐ μὴ ἀρνήσωμαι τὸ ὄνομα τοῦ Θεοῦ μου. » Διὸ κρεμασθεὶς σπαθίζεται καὶ ἐρωτηθείς, τί ἄρα αἱρεῖται συνεῖναι τῷ Χριστῷ ἢ τοῖς ἕλλησιν, μετὰ χαρᾶς ἔφη· « Μετὰ τοῦ Χριστοῦ μου καί εἰμι καὶ ἔσομαι. » Σταυρῷ οὖν καθηλωθεὶς ἐνουθέτει τοὺς παρεστῶτας χριστιανοὺς λέγων· « Τεκνία μου, παρακαλῶ ὑμᾶς, ἀνεξάρνητος ἔστω ἡ ὁμολογία ὑμῶν ἡ

[1] ὅθεν |||||||| καὶ Cd.

Feb. 28. καλάμοις ὀξέσι κατασφάττεται· εἶτα χειροτονοῦσιν ἀντ᾽ ἐκείνου τὸν ἀπατήσαντα αὐτοὺς Τιμόθεον [11] καὶ ἀνάγουσιν ἐπὶ τὸν τῆς ἀρχιερωσύνης θρόνον. Ὅπερ μαθὼν ὁ μετὰ Μαρκιανὸν βασιλεὺς Λέων τὸν μὲν Τιμόθεον ὑπὸ τὴν τῶν ἐπισκόπων ἐξουσίαν κριθῆναι κανονικῶς ἐποίησεν· ὃν καὶ γυμνώσαντες τῆς ἀρχιερατικῆς τιμῆς εἰς Γάγγραν ἐξώρισαν. Τοὺς δὲ κοινωνήσαντας λαϊκοὺς εἰς τὸν τοῦ ἀρχιερέως φόνον, μάστιξι καὶ δημεύσεσι καὶ μελῶν ἀφαιρέσεσι παιδεύσας [12], Τιμόθεον ἕτερον ὀρθόδοξον, Σαλοφακίολον λεγόμενον, χειροτονηθῆναι Ἀλεξανδρείας ἐπίσκοπον παρεκελεύσατο [13]· καὶ οὕτως ἡ στάσις πέρας εἴληφε.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος 170v. Νέστορος. Οὗτος ἦν κατὰ | τοὺς χρόνους Δεκίου τοῦ βασιλέως καὶ Πουπλίου ἡγεμόνος, ἐκ Πέργης τῆς Παμφυλίας. Διὰ δὲ τὸ σέβεσθαι τὸν Χριστὸν συνελήφθη παρὰ τοῦ ἄρχοντος Εἰρηνάρχου καὶ ἤχθη πρὸς τὸν ἡγεμόνα· καὶ ὁμολογήσας κατενώπιον αὐτοῦ τὴν εἰς Χριστὸν πίστιν, σταυροῦται καὶ πρὸς τὸν Θεὸν εὐχαριστηρίους φωνὰς ἀφιεὶς καὶ τοὺς πιστοὺς ἐπιστηρίζων τὸ πνεῦμα παρέδωκε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀβερκίου.

5. Καὶ τῶν ἁγίων ἀποστόλων Εὐβούλου [1] καὶ Νυμφᾶ.

6. Καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βαρισοῦ ἐπισκόπου Δαμασκοῦ.

7. Καὶ τοῦ ὁσίου [1] Κασιανοῦ.

8. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν [1] Παύλου, τοῦ διὰ Χριστὸν σαλοῦ, τοῦ ἐν Κορίνθῳ.

9. Τῇ αὐτῇ ἡμέρᾳ [1] μνήμη τῶν ὁσίων γυναικῶν [Feb. 29.] Μαράνας καὶ Κύρας. Ταύταις πατρὶς μὲν ἡ πρὸς ἕω κειμένη Βέρροια, γένος δὲ [2] τῆς πατρίδος ἐπίσημον, τροφὸς [3] δὲ τῷ γένει συμβαίνουσα [4]. Ἀλλὰ τούτων ἁπάντων ὑπεριδοῦσαι καὶ εἴσω γενόμεναί [5] τινος οἰκίσκου, πηλῷ τε καὶ λίθοις ἀναφράξασαι τὴν θύραν καὶ θυρίδιον μικρὸν ἐάσασαι [6], δι᾽ οὗ τήν τε ἀναγκαίαν τροφὴν εἰσεδέχοντο καὶ ταῖς πρὸς αὐτὰς ἀφικομέναις [7] διελέγοντο, Θεῷ τὰς δοξολογίας ἀνέπεμπον. Ὅλον μέντοι τὸν ἐνιαυτὸν ἐν ἡσυχίᾳ διῆγον, μόνον δὲ τὸν τῆς πεντηκοστῆς καιρὸν τὴν διάλεξιν ἐποιοῦντο. Ἔφερον δὲ καὶ τοῖς σώμασιν σιδήρου ἄπειρον βάρος, τὰ δὲ περιβόλαια μέγιστα εἶχον. Ἀσιτίᾳ δὲ καὶ καρτερίας ὑπομονῇ τοσοῦτον διήνεγκαν, ὡς διὰ τεσσαράκοντα ἡμερῶν ἅπαξ μεταλαμβάνειν τροφῆς ἐπὶ τρεῖς ὅλους ἐνιαυτούς. Ἀλλὰ καὶ εἰς τὸν ζωοδόχον τάφον Χριστοῦ πορευθεῖσαι οὐδεμιᾶς τροφῆς ἀπήλαυσαν, μέχρις ἂν τὴν προσκύνησιν ἐποιήσαντο. Καὶ πάλιν ἐπανελθοῦσαι ἄσιτοι τὴν πορείαν ἤνυσαν· τὸ δὲ τῆς ὁδοῦ μῆκος σταθμῶν ὑπῆρχεν εἴκοσι. Καὶ εἰς τὸ τῆς καλλινίκου Θέκλης τέμενος ἀπελθοῦσαι ὡσαύτως διεπράξαντο. Αὗται μὲν οὖν τοιαύτῃ πολιτείᾳ τὸ θῆλυ κατακοσμήσασαι γένος, πρὸς τὸν ποθούμενον νυμφίον ἀνέδραμον. Γένοιτο δὲ καὶ ἡμᾶς ταῖς αὐτῶν πρεσβείαις καὶ πάντων τῶν ἁγίων τῆς τῶν σωζομένων μερίδος ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

— [11] τὸν Αἴλουρον *add.* Sa. — [12] παιδεύσαντες κατὰ τὸ τοῦ βασιλέως πρόσταγμα Sa. — [13] ἐθέσπισαν Sa.
5. — [1] Εὐβόλου Sa.
7. — [1] πατρὸς ἡμῶν *add.* Sa.
8. — [1] πατρὸς ἡμῶν *om.* Sa.
9. — [1] ὅταν ἔχει ὁ φευρουάριος κθ' λέγε *in marg.* S. — [2] τὸ *add.* Sa. — [3] τροφαὶ Sa. — [4] συμβαίνουσαι Sa. — [5] γενόμενα S. — [6] ἐάσαι S. — [7] ἀφικνουμέναις Sa.

Feb. 28. » πρὸς τὸν Χριστόν· μὴ ἀρνησώμεθα τὸν δι᾽ ἡμᾶς παθόντα. » Καὶ εὐξάμενος καὶ τὸ ἀμὴν ἀναπέμψας ἀπέδωκε τὴν ψυχήν. — 4. 5. — **Da** : 3. 9. 6 (Βάρσου). — 7. — Τοῦ ἁγίου μάρτυρος Γελασίου. — **Db** : 3. 9. 6. 7. — Γελασίου. — **F** : 1. 4. 6 (Βάρσου). — 7. — Γελασίου (Feb. 26[5]). — 9. — **Fa** : 1. 5. 4. 6 mutil. 7. — Γελασίου. — 9. — **B** : 3. — Θαλελαίου (Feb. 27[2]). — 9. — Δομνίνης (Mart. 1[3]). — **Ba** : 3 (= S). 9 (= S). — Ῥιγίνου (Feb 25[4]). — 6 (Βάρσου). — 7 (Κασσιανοῦ). — Γελασίου. — Δομνίνης. — **G** : 3. 9. 6 (Βαρσοῦ). — 7 (Βασσιανοῦ). — Γελασίου. — **C** : 2 : Ζήτει ὄπισθεν εἰς τὰς κβ' τοῦ αὐτοῦ μηνός, et scriptus hic est super rasuram numerus κθ'. — **Cb** : 3 (τοῦ ἁγίου μάρτυρος ἐπισκόπου). — 6 (Βάρσου). — 7. — Γελασίου. Dein, die mensis 29 notatur : μνήμην ἐπιτελοῦμεν τοῦ δικαίου Ἰώβ. — **Cd** : 3. — **R** : 1. 3. 9. — Sequitur, die 29 : Θεοστερίκτου ἡγουμένου τῆς Πελεκιτῆς (cf. Feb. 17[4]). — Νέστορος καὶ Ἀλεξάνδρου. — **K** : 3. 6 (Βάρσου). — 7. — Γελασίου. — **M** : 2. 3. 9. — Οἱ ἅγιοι ἓξ μάρτυρες οἱ ἐξ Αἰγύπτου ξ. τ. — 5. 6 (Βάρσος). — 7. 4. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κατὰ τὴν τετράδα τῆς μεσονηστίμου προσκύνησις τοῦ τιμίου σταυροῦ. — Ἡ ἁγία Φωτεινὴ ἡ Σαμαρεῖτις ξ. τ. (cf. Feb. 27 inter synax. sel.). — Φωτώ. — Φωτίς. — Παρασκευή. — Κυριακή. — Ἰωσής. — Φωτεινός. — Σεβαστιανός. — Ὁ ἅγιος Βίκτωρ... ξ. τ. — Ὁ ἅγιος Μαρδάριος... ξ. τ. — **Mv** : 1. 2. 3. 9. — Οἱ ἅγιοι μάρτυρες οἱ ἐξ Αἰγύπτου. — 5. 6 (Βάρσας). — 4 (Ἀβίρκιος). — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κατὰ τὸ μέσον τῆς τεσσαρακοστῆς προσκύνησις κτλ. — **Mb** : 1. 2. 3. 9. — Τῶν ἁγίων ἓξ μαρτύρων. — 5. 6 (Βάρσου). — 4 (Ἀβρίκιος). — **Mr** : 7 : τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Κασσιανοῦ τοῦ Ῥωμαίου.

ΜΗΝ ΜΑΡΤΙΟΣ

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιβ'
καὶ ἡ νὺξ ὥρας ιβ'.

Α'.

Exod. 12, 2. **1.** Οὗτος ἀρχὴ μηνῶν καὶ πρῶτος διαγορεύεται παρὰ τῷ θεσπεσίῳ Μωσεῖ. Ἐν τούτῳ γὰρ μανθάνομεν τὰ πάντα παραχθῆναι ὑπὸ Θεοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· καὶ δῆλον ἐκ τοῦ τὴν γῆν ἀναδιδόναι τότε βοτάνας καὶ σπειρεῖν [1] σπέρμα κατὰ τὴν θείαν πρόσταξιν, καὶ ἐνεαρίζειν καὶ γαληνιᾶν τήν τε θάλασσαν καὶ τὸν οὐρανὸν διαυγέστερον γίνεσθαι, τῆς ἐκ [2] τοῦ χειμῶνος νεφώσεως καὶ ἀχλύος ἀπηλλαγμένον [3]. Ἐν τούτου [4] τῇ εἰκοστῇ πέμπτῃ καὶ ὁ ἄνθρωπος ἐπλάσθη χειρὶ Θεοῦ. Ἐν τούτῳ καὶ ὁ Ἰσραηλίτης λαὸς τῆς Φαραωνίτιδος ἀπελύθη χειρὸς καὶ τὴν ἐρυθρὰν διεπέρασε καὶ τὸ πάσχα ἐπετέλεσε· ἐν τούτῳ καὶ εἰς τὴν γῆν εἰσῆλθε τῆς ἐπαγγελίας. Ἐν τούτῳ καὶ ὁ υἱὸς τοῦ Θεοῦ κατελθὼν διὰ τὴν ἡμετέραν σωτηρίαν ᾤκησεν εἰς τὴν μακαρίαν κοιλίαν τῆς ἀειπαρθένου Μαρίας τῆς [5] θεοτόκου, σάρκα ἐξ αὐτῆς δανεισάμενος. Ἐν τούτῳ καὶ τὸν διὰ σταυροῦ θάνατον κατεδέξατο καὶ τὴν ἀνάστασιν ἡμῖν ἐν αὐτῷ [6] θεοπρεπῶς ἐνεκαίνισεν. Ἐν τούτῳ πιστούμεθα καὶ τὴν κοινὴν ἀνάστασιν καὶ παγκόσμιον κρίσιν καὶ τὴν παντελῆ καὶ ἀκατάλυτον ἀποκατάστασιν γενήσεσθαι. Ὃν εἰπών τις μῆνα ἄρτιον εἰκότως ἐρεῖ, ὡς ἐν αὐτῷ εὑρίσκων πάντα τὰ τῆς διαρτίας γεγονότα, γινόμενά τε καὶ γενησόμενα. Οὗτος παρὰ μὲν [7] Ἑβραίοις Νισὰν καλεῖται, παρ᾽ Ἰταλοῖς δὲ τὸ πρῶτον Πρῖμος, μετὰ ταῦτα δὲ παρὰ Ῥώμου, τοῦ τὴν Ῥώμην κτίσαντος, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν ἡ πόλις ἔσχε, Μάρτιος ἐξ αἰτίας τοιαύτης. Mart. 1. Οὗτος γὰρ ὁ Ῥῶμος κτίζων ἱερὸν Ἄρεος ἐν τῷ μηνὶ τῷ Πρίμῳ, τοῦτο ἀπαρτίσας καὶ ἐγκαινίσας μετωνόμασε καὶ τὸν μῆνα Μάρτιον, ὅ ἐστιν Ἄρεος ἑλληνιστί, τιμῶν κἂν τούτῳ τὸν θεὸν αὐτοῦ. Καὶ ἵνα παρεκβατικώτερον τῷ λόγῳ χρήσωμαι, οὗτος ἐκλήθη Μάρτιος, τοῦτ᾽ ἔστι μὴν ἄρτιος ἤγουν τέλειος, ὡς τοῦ πρὸ αὐτοῦ, δηλονότι τοῦ Φεβρουαρίου, κεκολοβωμένου ὄντος. Περὶ οὗ οἶμαι καὶ τὸν Κύριον αἰνιγματωδῶς ἐν τοῖς εὐαγγελίοις εἰπεῖν, ὅτι εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ (Marc. 13, 20.), τὸ ἄρτιον ἐν τῷ μηνὶ τῷ Μαρτίῳ [8] ἀποληψομένη. Καὶ ταῦτα μὲν οὕτως. Ἀρκτέον δὲ ἤδη σὺν Θεῷ τοῦ ἐπιτάγματος ἢ συντάγματος ἢ συνάγματος [9].

2. Ἄθλησις [1] τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας τῆς ἀπὸ Σαμαρειτῶν. Αὕτη ἦν ἐξ Ἡλιουπόλεως, τῆς ἐπαρχίας Λιβανησίας Φοινίκης, κατὰ τοὺς καιροὺς τῆς βασιλείας | Τραϊανοῦ (f. 171v.), ἐν ἀκολασίᾳ τὸ πρῶτον [2] διαβιοῦσα καὶ πολλοὺς ἐραστὰς τῇ εὐπρεπείᾳ τῆς ὄψεως [3] περισυρομένη [4] καὶ πλοῦτον πολὺν συναθροίσασα. Ὕστερον δὲ προσῆλθε τῷ Χριστῷ, Γερμανοῦ τινος μοναχοῦ τοὺς περὶ [5] εὐσεβείας καὶ μετανοίας λόγους [6] διεξιόντος ἀκούσασα. Βαπτίζεται οὖν ὑπὸ Θεοδότου ἐπισκόπου ἀποκαλύψεσι θείαις πεισθεῖσα. Καὶ γὰρ ἔδοξεν ἐκστᾶσα ἑαυτῆς ὑπὸ ἀγγέλου χειραγωγουμένη [7] εἰς τὸν οὐρανὸν ἀνελθεῖν· καὶ τοὺς ἀγγέλους συγχαίρειν αὐτῇ τῆς ἐπιστροφῆς, καὶ μέλανά [8] τινα καὶ

Tit. — ὢ Χριστὲ *in margine sup.* S.
1. — [1] σπεῖρον Mc. — [2] ἐκ τῆς Mc. — [3] ἀπηλλαγμένου S. — [4] τούτω Mc. — [5] πανάγνου *add.* Mc. — [6] ἐν αὐτῷ *om.* Mc. — [7] τοῖς *add.* Mc. — [8] τῶ μαρτίω μηνὶ Mc. — [9] ἢ σ. *om.* Mc.
2. — [1] ἐν τῇ πρώτῃ τοῦ αὐτοῦ μηνὸς μνήμη Mc. — [2] πρότερον Mc. — [3] τοῦ σώματος Mc. — [4] ἐπισυρομένη Mc. — [5] τῆς *add.* Mc. — [6] λόγου S. — [7] ἐκστᾶσαν ... χειραγωγουμένην Mc. — [8] μέλαινα S.

SYNAXARIA SELECTA. Mart. 1. **H** : 2. 4. 6. 5. — **P** : 2. 4. 6 (... Ἀντωνίου). — 5. — **D** : 2. 3. 4. 6. 5. — **Da** : 2. — **Db** : 2. 3. — **K** : 2. 3 mutil. — **N** : 2. 4. 5. 3. 6. — **Bb** : 2. 4 (... Τριβιβίου). — 5. — **Bc** : 2. 4. — **C** : 2. 4. 6 et 5 : Μαρκέλλου καὶ Ἀντωνίου, Σιλβέστρου, Σωφρονίου καὶ Ἀντωνίνης. Αὕτη ἦν ἐκ πόλεως Νικαίας ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ· ᾧτινι παραστᾶσα ἠρωτήθη καὶ ὡμολόγησε παρρησίᾳ τὸ ὄνομα τοῦ Κυρίου. Κατεγέλασε δὲ τῶν ματαίων εἰδώλων· διὸ βασανίζεται ἰσχυρῶς κατὰ τῶν μαζῶν καὶ κατὰ τοῦ στήθους καὶ βάλλεται εἰς φυλακήν· εἶτα κρεμασθεῖσα ξέεται τὰς πλευράς. Στηλιτεύουσα δὲ τὴν πλάνην καὶ τὰ εἴδωλα καθυβρίζουσα γυμνοῦται παρὰ τῶν δημίων. Μελλόντων δὲ τῶν δημίων ἅπτεσθαι αὐτῆς, ἦλθον ἄγγελοι φυλάττοντες μὲν αὐτήν, κολάζοντες δὲ ἐκείνους· εἶτα ἐτέθη ἐπὶ ἐσχάρας πυρωθείσης καὶ διαφυλαχθεῖσα ἐμβάλλεται εἰς φυλακήν· καὶ μετὰ δύο χρόνους ἐκβληθεῖσα καὶ μὴ πεισθεῖσα θῦσαι τοῖς εἰδώλοις ἐμβάλλεται ἐν ἀγγείῳ τινὶ καὶ ῥίπτεται ἐν τῇ λίμνῃ Νικαίας· καὶ οὕτως παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ. — **Cd** : 2. 4. 6. 5. — **Ce** : 2. 5. — **Cg** : 2. 4. 6. 5. — **R** : 2. 4. 5 : Μαρκέλλου καὶ Ἀντωνίνης, Σιλβέστρου καὶ Σωφρονίου. — **Ra** : 2. 3. — **Rb** : deest. — **Rc** : 2. — Ματρώνης. Αὕτη γέγονε γονέων εὐσεβῶν καὶ πλουσίων. Ἐκ βρέφους δὲ τῷ Θεῷ

Mart. 1. τὴν ὄψιν δεινὸν βρύχειν καὶ καταβοᾶν, ὡς ἀδικούμενον, εἰ ταύτην ἀφαιρεθείη. Διανείμασα δὲ τὸν πλοῦτον αὐτῆς καὶ διαδιδοῦσα πτωχοῖς, ἄπεισιν ἐν μοναστηρίῳ καὶ καλῶς τὸν δρόμον τῆς ἀσκήσεως διερχομένη, προσάγεται Αὐρηλιανῷ[9] τῆς βασιλείας κρατήσαντι, ὑπὸ τῶν πρώην διαβληθεῖσα[10] ἐραστῶν. Θαυματουργήσασα δὲ καὶ τὸν τοῦ βασιλέως παῖδα[11] ἐγείρασα, πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπισπᾶται τὸν βασιλέα. Χρόνοις δὲ ὕστερον ἐξετάζεται παρὰ τοῦ[12] Διογένους τοῦ ἡγεμόνος Ἡλιουπόλεως· καὶ θαυματουργήσασα πάλιν ἀφίεται. Ὑπὸ δὲ Βικεντίου διαδεξαμένου τὸν Διογένην ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Δομνίνας[1]. Αὕτη γέγονεν γονέων[2] εὐσεβῶν καὶ πλουσίων. Ἐκ βρέφους δὲ τῷ Θεῷ ἑαυτὴν ἀναθεῖσα, ἀσκήσει καὶ τῇ λοιπῇ κακουχίᾳ τοῦ σώματος ἑαυτὴν ἐξέδωκε. Καλύβην γὰρ πηξαμένη παρὰ τῷ τῆς μητρὸς κήπῳ, ἐν ἐκείνῃ διημέρευε, δάκρυσι διηνεκέσιν οὐ μόνον τὰς παρειὰς καταβρέχουσα, ἀλλὰ καὶ τὰ ἐκ[3] τριχῶν περιβλήματα· τοιοῖσδε γὰρ ἐχρῆτο ἐσθήμασι. Περὶ δὲ[4] ἀλεκτρυόνων ᾠδὰς εἰς τὸν θεῖον ναὸν εἰσιοῦσα μετὰ τοῦ πλήθους παντός[5], τῷ δεσπότῃ Θεῷ προσέφερε τὴν ὑμνῳδίαν[6]. Τροφὴν δὲ εἶχε φακὸν βρεχομένην[7] ὕδατι· καὶ τοῦτον ἅπαντα ὑπομείνασα τὸν πόνον[8], σώματι λεπτῷ καὶ ἡμιθνήτῳ χρωμένη, ἀκριβῶς δὲ τῷ περιβολαίῳ κατακαλυπτομένη, οὔτε τινὸς τεθέατο πρόσωπον[9], οὔτε τις τὸ αὐτῆς· ἀλλὰ μέχρι τῶν γονάτων καλυπτομένη[10] λεπτὰ καὶ ἄσημα τοῖς προστυχοῦσι διελέγετο. Ἐν τούτοις διημερεύουσά τε καὶ[11] διανυκτερεύουσα, πρὸς τὸν αὐτῆς[12] ἐραστὴν καὶ νυμφίον Χριστὸν μετὰ[13] τῶν τῆς ἀρετῆς φορτίων ἀναφέρεται.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Νέστορος καὶ Τριβιμίου. Οὗτοι χώρας μὲν ὑπῆρχον τῶν Κιβυρ|ραιωτῶν, πόλεως δὲ Πέργης. f. 172. Ἐπὶ δὲ τῆς βασιλείας Δεκίου τοῦ δυσσεβοῦς παρὰ τῶν εἰδωλολατρῶν προδοθέντες τῷ τῆς χώρας ἄρχοντι ὡς τὸν Χριστὸν κηρύττοντες, γυμνωθέντες ἐτύφθησαν βουνεύροις ξηροῖς· εἶτα κρεμασθέντες ἐξέσθησαν ἄχρι καὶ τῶν σπλάγχνων αὐτῶν. Ἐπεὶ δὲ ἀμεταθέτως τῆς γνώμης εἶχον, μαχαίραις τὰς κεφαλὰς ἀποτέμνονται.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις[1] τῆς ἁγίας μάρτυρος Ἀντωνίνης. Αὕτη ὑπῆρχεν ἐκ πόλεως Νικαίας, ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ. Οὗ κατενώπιον παραστᾶσα καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσασα, πρῶτον μὲν διαφόροις βασάνοις ὑποβάλλεται καὶ τῇ φυλακῇ παραπέμπεται· κἀκεῖθεν ἐξαχθεῖσα καὶ μὴ πειθομένη θύειν τοῖς εἰδώλοις[2], κρεμᾶται καὶ τὰς πλευρὰς ξέεται[3]. Ἐν τούτοις δὲ οὖσα[4] κατεμυκτήριζε τοὺς θεοὺς καὶ τὴν πλάνην τοῦ βασιλέως· διὰ ταῦτα τοῖς δημίοις αὖθις[5] ἐκδίδοται, ὥστε ἐκδυθῆναι καὶ τυφθῆναι σφοδρῶς. Μελλόντων δὲ αὐτῆς[6] ἅπτεσθαι, ἄγγελοι ἐξ οὐρανοῦ κατιόντες τοὺς μὲν δημίους[7] σφοδρῶς πλήξαντες ἀπώσαντο, αὐτὴν δὲ[8] ἀβλαβῆ διεσώσαντο. Εἶτα ἁπλωθεῖσα ἐπὶ ἐσχάρας πεπυρακτωμένης καὶ διαμείνασα ἀβλαβής, ἐμβάλλεται εἰς σάκκον καὶ εἰς τὴν λίμνην Νικαίας ἀπορρίπτεται· καὶ οὕτως τελειοῦται.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Μαρκέλλου, Ἀντωνίνου, Σιλβέστρου καὶ Σωφρονίου.

7. Καὶ τῶν ἁγίων μαρτύρων Χαρησίου, Νικηφόρου καὶ Ἀγαπίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Mart. 2. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κοΐντου τοῦ θαυματουργοῦ. Οὗτος γεγένηται μὲν καὶ πεπαίδευται τὴν εὐσέβειαν ἐν Φρυγίᾳ· καταλαβὼν δὲ τὴν Αἰολίδα[1] κώμην, ἔλεον τοῖς δεομένοις παρεῖχε. Κατὰ δὲ τοὺς καιροὺς Αὐρηλιανοῦ[2] τοῦ βασιλέως, ὁ ἡγεμὼν Ῥοῦφος παραινῶν αὐτῷ[3] θῦσαι τοῖς

— [9] Αὐριλιανῷ S, Ἀβριλιανῷ Mc. — [10] διαβληθεῖσα ὑπὸ τῶν πρώην αὐτῆς Mc. — [11] τεθνηκότα *add.* Mc. — [12] *om.* Mc.

3. — [1] Δομνήνας S, τῆς νέας *add.* Mc. — [2] ἥτις γονέων γέγονεν Mc. — [3] τῶν *add.* Mc. — [4] τὰς *add.* Mc. — [5] παντὸς τοῦ πλ. Mc. — [6] τ. ὑ. προσέφερε Mc. — [7] βρεχόμενον Mc. — [8] τ. π. ὑπ. Mc. — [9] τὸ πρόσωπον ἐθεάσατο Mc, — [10] καπτομένη Mc. — [11] δ. τ. καὶ *om.* Mc. — [12] πρὸς αὐτὸν τὸν Mc. — [13] καὶ *add.* Mc.

5. — [1] μνήμη Mc. — [2] πεισθεῖσα τοῖς εἰδ. θῦσαι Mc. — [3] ξ. τ. π. Mc. — [4] οὖσα δὲ Mc. — [5] *om.* Mc, οις αὖθις S. — [6] Mc, αὖθις S. — [7] Mc, δεσμίους S. — [8] τὴν δὲ ἁγίαν Mc.

1. — [1] Αἰωλίδα S. — [2] Αὐριλιανοῦ S, Ἀβριλιανοῦ Mc. — [3] αὐτὸν Mc.

Mart. 1. ἑαυτὴν ἀναθήσασα, ἀσκήσει καὶ λοιπῇ κακουχίᾳ τοῦ σώματος ἑαυτὴν ἐξέδωκε· καλύβην γὰρ πηξαμένη παρὰ τῷ τῆς μητρὸς κήπῳ, ἐν ἐκείνῃ διημέρευεν, δάκρυσι διηνεκέσι οὐ μόνον τὰς παρειὰς καταβρέχουσα, ἀλλὰ καὶ τὰ ἐκ τῶν τριχῶν περιβλήματα· τοιοῖσδε γὰρ ἐσθήμασιν ἐχρῆτο. Περὶ δὲ ἀλεκτρυόνων[1] ᾠδὰς εἰς τὸν θεῖον ναὸν εἰσιοῦσα μετὰ τοῦ πλήθους παντὸς προσέφερε τὴν ὑμνῳδίαν· τροφὴν δὲ εἶχε φακὸν βρεχομένην ὕδατι. Καὶ τοῦτον ἅπαντα ὑπομείνασα τὸν πόνον σώματι λεπτῷ καὶ ἡμιθνήτῳ χρωμένη, οὔτε τινὸς τεθέατο πρόσωπον οὔτε τις τὸ ἑαυτῆς, ἀλλὰ μέχρι τῶν γονάτων καμπτομένη, λεπτὰ καὶ ἄσημα τοῖς προστυχοῦσι φθεγγομένη, ἐν τούτοις διημερεύουσά τε καὶ διανυκτερεύουσα, πρὸς τὸν ἐραστὴν αὐτῆς καὶ νυμφίον Χριστὸν μετὰ τὸ τῆς ἀρετῆς φορτίον ἀναφέρεται. — 5. — **Mc** : 1. 2. 3. 5. 6 : Μάρκελλος καὶ Ἀντώνιος π. τ. — Οἱ ἅγιοι Σίλβεστρος καὶ Σωφρόνιος ξ. τ. — 4 : Ὁ ἅγιος Νεστοριανὸς ξ. τ. — **Mv** : 2. 3. 5. 6. 4 : Νεστόριος ξ. τ. — **Mr** : 2.

Mart. 2. SYNAXARIA SELECTA. **H** : Πορφυρίου ἐπισκόπου Γάζης (Feb. 26[1]). — 2. — **P** : Πορφυρίου. — 2. 3. 4. 5. — **D** : 6. 2. 3. 5. — **Da** : 6. 1. 2. 3. 4. 5. — Πορφυρίου. — 7. — **Db** : 6. 1. 2. 3. 4. 5. — Πορφυρίου. — 7 (... Θεοδωρήτου ἐπισκόπου Ἀντιοχείας). — **K** : deest. — **N** : 6. 5. 1. — **Bb** : 5. 6. 1. — **Bc** : Ἀντωνίγης (Mart. 1[5]). — 5. 1. 4. 2. — Πορφυρίου. — 7. 6. — **C** : 5. — Πορφυρίου ἐπισκόπου

[1] ἀλεκριόνων Rc.

εἰδώλοις, ἐπεὶ ληφθεὶς δαίμονι, εὐξαμένου τοῦ ἁγίου, ἰάθη, ἀφῆκεν αὐτὸν δώροις τῆς εὐεργεσίας ἀμειψάμενος. Αὖθις δὲ οἱ ἐν Κύμῃ[4] ἕλληνες πικρῶς αὐτὸν βασανίζοντες ἐν τῷ ναῷ τῶν εἰδώλων, ἐπεὶ σεισμοῦ γενομένου ὅ τε ναὸς καὶ τὰ ἐν αὐτῷ κατέπεσον ξόανα, φυγόντες[5] κατέλιπον τὸν ἅγιον. Μετὰ οὖν τὸν σεισμὸν τεσσαράκοντα διαγενομένων ἡμερῶν, καταλαβὼν ὁ ἄρχων Κλέαρχος δεισιδαίμων ὢν καὶ περὶ τὴν θρησκείαν τῶν εἰδώλων ἐπτοημένος, κατεαγῆναι τὰ σκέλη τοῦ ἁγίου προσέταξεν· ἃ παραυτίκα ἄρτια καὶ ὑγιᾶ[6] τῇ τοῦ Χριστοῦ δυνάμει κατέστησαν. Δεκάτου δὲ διαγενομένου χρόνου μετὰ τῶν σκελῶν | αὐτοῦ συντριβήν, f. 172v. ἐν ᾧ περιῄει πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενος καὶ τοῖς πτωχοῖς ἐπαρκῶν, πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Τρωαδίου καὶ τῆς συνοδίας αὐτοῦ, μαρτυρήσαντος[1] ἐπὶ Δεκίου τοῦ βασιλέως.

3. Καὶ τῆς ἁγίας μάρτυρος Εὐθαλίας.

4. Καὶ κοίμησις τῶν ἁγίων Ἀνδρονίκου καὶ Ἀθανασίας.

5. Καὶ τοῦ ἁγίου ἀποστόλου Παρμενᾶ ἑνὸς τῶν ἑπτὰ διακόνων. Οὗτος μαθητὴς ἐγένετο τῶν ἁγίων ἀποστόλων καὶ τοῖς ἑβδομήκοντα συνηρίθμητο, ἐξελέγη δὲ[1] σὺν τοῖς[2] ἄλλοις ἓξ διακόνοις. Καὶ προεχειρίσθη εἰς τὸ διακονεῖν ταῖς τραπέζαις τῶν προσερχομένων τῷ Χριστῷ καὶ βαπτιζομένων, καθὼς καὶ ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων ὁ ἅγιος Λουκᾶς γράφει λέγων· « Καὶ ἐξελέξαντο δηλονότι οἱ ἅγιοι ἀπόστολοι Στέ- Act. 6, 5. » φανον ἄνδρα πλήρη πίστεως <καὶ[3]> Πνεύματος » ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον[4] καὶ Νικά- » νορα καὶ Τίμωνα καὶ Παρμενᾶν. » Διακονῶν οὖν καὶ ταῖς χρείαις ὑπηρετῶν τῶν ἁγίων π στῶς τε καὶ θεοφιλῶς, Θεῷ τε καὶ τοῖς αὐτοῦ μαθηταῖς εὐάρεστος ἦν· εἶτα νοσήσας ἐπ' ὄψεσι τῶν ἁγίων ἀποστόλων τέλει τοῦ βίου ἐχρήσατο.

Mart. 2. **6.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδότου ἐπισκόπου Κυρηνίας τῆς Κύπρου. Οὗτος ὑπῆρχεν ἐπὶ Λικινίου[1] βασιλέως καὶ Σαβίνου ἡγεμόνος Κύπρου. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν τῷ ἡγεμόνι παραστὰς τύπτεται βουνεύροις· εἶτα κρεμᾶται και τὰς σάρκας ξέεται καὶ ἐπὶ πυρωθέντος σιδηροῦ κραββάτου[2] ἁπλοῦται καὶ ῥυσθεὶς τοῦ πυρὸς ἥλοις τοὺς πόδας ἐμπείρεται καὶ τρέχειν ἀναγκάζεται. Βληθεὶς δὲ ἐν τῇ φυλακῇ, ἐπεί, παυσαμένου τοῦ διωγμοῦ[3] ἀφείθη, κατὰ τὴν ἐννεακαιδεκάτην[4] ἰαννουαρίου[5] τὴν μνήμην αὐτοῦ ἑορτάζομεν. Διαγενομένων δὲ χρόνων δύο, πρὸς Κύριον ἐξεδήμησε, μαρτίου δευτέρᾳ[6]· διὸ καὶ[7] πάλιν ἑορταστέον.

7. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδωρήτου πρεσβυτέρου Ἀντιοχείας.

— [4] τῷ ναῷ Mc. — [5] ἐκφυγόντες Mc. — [6] ὑγιῆ Mc.

2. — [1] καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων Mc.

5. — [1] γὰρ Mc. — [2] *corr.; prius* ταῖς S. — [3] *om.* S. — [4] καὶ Τίμωνα *hic add.* Mc.

6. — [1] Λικιννίου S. — [2] κραμββάτου S. — [3] ἐπαύθη ὁ διωγμὸς Mc. — [4] ἐνναкαιδεκάτην S. — [5] μηνὸς *add.* Mc. — [6] τῇ δευτέρα τοῦ μαρτίου Mc. — [7] *om.* Mc.

Γάζης[1]. Οὗτος ὑπῆρχεν ἐκ τῆς πόλεως Θεσσαλονίκης, υἱὸς πλουσίων καὶ εὐγενῶν γονέων. Ἐπὶ δὲ τῆς Mart. 2. βασιλείας Ἀρκαδίου καὶ Ὀνωρίου[2] καταλιπὼν τὴν Θεσσαλονίκην καὶ ἀπελθὼν εἰς Αἴγυπτον, ἐν τοῖς μοναστηρίοις τῆς Σκήτης γέγονε μοναχός. Μετὰ δὲ πέμπτον χρόνον ἀπῆλθεν εἰς Ἱεροσόλυμα· καὶ ἦν ἐλέγχων ἰουδαίους καὶ ἕλληνας καὶ αἱρετικοὺς λόγῳ ἰσχυρῷ. Ἠργάζετο δὲ τὴν σκυτοτομικὴν τέχνην καὶ διετρέφετο· διὰ δὲ τὴν αὐτοῦ ἀρετὴν χειροτονεῖται πρεσβύτερος ὑπὸ Πραϋλίου πατριάρχου Ἱεροσολύμων, εἶτα ἐπίσκοπος Γάζης ὑπὸ Ἰωάννου ἀρχιεπισκόπου Καισαρείας τῆς Παλαιστίνης, τῶν Γαζαίων[3] ζητησάντων αὐτόν· ἔνθα πολλὰ θαύματα ἐπιτελέσας καὶ πολλοὺς ἐπιστρέψας πρὸς θεογνωσίαν ἀπὸ τῶν εἰδώλων, ἦλθεν εἰς Κωνσταντινούπολιν, τοὺς πιστοὺς ἀδικουμένους ὁρῶν ὑπὸ τῶν κρατούντων τῆς χώρας, καὶ ἐντυχὼν τῷ βασιλεῖ Ἀρκαδίῳ ἐξαιτεῖται τῶν εἰδωλικῶν ναῶν τὴν καταστροφήν· καὶ τοὺς μὲν ἄλλους πάντας καταβαλών, τὸν δὲ μέγιστον παρ' αὐτοῖς, ὅστις ἐκαλεῖτο Μαρνεῖον, πυρὶ κατακαύσας, ἀνήγειρεν ἐκκλησίαν κατὰ τὸ σχῆμα ὃ διετάξατο ἡ βασίλισσα Εὐδοξία, πολλὴν χρημάτων δαπάνην αὐτῷ παρασχοῦσα. Διαπρέψας οὖν ἐν τῇ τοιαύτῃ ἐκκλησίᾳ καὶ πολλὰ θαύματα ποιήσας, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν. — 2. 3. 4. — **Cd** : 5. — Πορφυρίου. — 2. 3. 4. — **Ce** : 5. — Πορφυρίου. — **Cg** : 5. — Πορφυρίου. — 2. 3. 4. — **R** : 6. 1. 2. 3 (Εὐστολίας). — **Ra** : 1. 6. 5. 3. 2. 4. 7. — **Rb** : deest. — **Rc** : Νέστορος ἐπισκόπου καὶ Τριβιμίου διακόνου. Οἵτινες ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως καὶ Πουπλίου ἡγεμόνος. Ὁ δὲ μακάριος Νέστωρ ἦν ἐκ Πέργης τῆς Παμφυλίας· καὶ συλληφθεὶς ὡμολόγησε τὴν πίστιν παρρησίᾳ ἐπὶ ἄρχοντος Εἰρηνάρχου. Τοῦ οὖν ἄρχοντος τῷ ἡγεμόνι ἐμφανίσαντος τὴν ἀναφορὰν τοῦ βουλευτηρίου καὶ ἀναδείξαντος τὰ περὶ πίστεως αὐτοῦ, ἀναγκασθεὶς θῦσαι ἔφη· « Εἰ καὶ τὸ σῶμά μου πολυπλόκοις βασάνοις καὶ πυρὶ ἀναλώσῃς, οὐ μὴ ἀρνήσομαι τὸ ὄνομα τοῦ Θεοῦ » μου. » Διὸ κρεμασθεὶς σπαθίζεται· καὶ ἐρωτηθείς, τί ἄρα αἱρεῖται, συνεῖναι τῷ Χριστῷ ἢ τοῖς ἕλλησιν, μετὰ χαρᾶς ἔφη· « Μετὰ τοῦ Χριστοῦ μου καὶ ἤμην καί εἰμι καὶ ἔσομαι. » Σταυρῷ οὖν καθηλωθεὶς ἐνουθέτει τοὺς παρεστῶτας χριστιανοὺς λέγων· « Τεκνία μου, παρακαλῶ ὑμᾶς, ἀνεξάρνητος ἔσται ἡ ὁμολογία ὑμῶν ἡ πρὸς τὸν Χριστόν· μὴ ἀρνησώμεθα τὸν δι' ἡμᾶς παθόντα. » Καὶ εὐξάμενος καὶ τὸ ἀμὴν ἀναπέμψας ἀπέδωκε τῷ Θεῷ τὴν ψυχήν (Mart. 1[4]). — 5. 3. 1. 2. 4. 7. — **Mc** : 1. — Νέστορος καὶ[4] Τριβιμίου. — 6. 5. 2. 3 : ἡ ἁγία παρθένος Ἀθαλλία ξ. τ. — 4. — **Mv** : 6. 1. — Νέστορος καὶ Τριβιμίου. — 5. 2. 3. 4. — **Mr** : 6.

[1] ἄφες αὐτό· τοῦτο τὸ συναξάριον τοῦ ἁγίου Πορφυρίου λέγεται φευρουαρίῳ εἰς τὰς κς' *in marg.* C. — [2] Ὀνουρίου C. — [3] Γαζέων C. — [4] τοῦ Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ΄.

Mart. 3.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους [1] Μαξιμιανοῦ, συστρατιῶται [2] καὶ συγγενεῖς τοῦ ἁγίου μάρτυρος Θεοδώρου, ἐκ τῆς Καππαδοκῶν ὄντες χώρας. Παρίστανται οὖν Ἀσκληπιοδότῳ τῷ ἡγεμόνι, καὶ τύπτονται ἀφειδῶς. Ὁ δὲ ἅγιος Εὐτρόπιος καὶ κατὰ τοῦ στόματος λαμβάνει πληγάς, ὅτι [3] εἰς τὸν ἡγεμόνα ἐξύβρισεν· ἔνθα οἱ μὲν τύπτοντες ἐξελύθησαν διὰ τὸ σύντονον τῆς βασάνου. Οἱ δὲ ἅγιοι μάρτυρες, ἐπιφανέντος αὐτοῖς τοῦ Κυρίου καὶ τοῦ ἐνδόξου μάρτυρος Θεοδώρου, γεγόνασιν ὑγιεῖς· ἐπὶ [4] οὖν τῇ παραδοξοποιΐᾳ ταύτῃ πολλοὶ πιστεύσαντες τῷ Χριστῷ τὴν διὰ ξίφους δέχονται τελευτήν. Μεταβαλλομένου οὖν τοῦ ἡγεμόνος | καὶ κολακείαις πειρῶντος [5] τὸν ἅγιον Κλεόνικον μεταθέσθαι ἀπὸ τῆς Χριστοῦ πίστεως καὶ δῶρα ὑπισχνουμένου, τὰ δὲ καὶ διδόντος, οὐδέν τι μᾶλλον ὁ ἅγιος μαλακισθείς, ἀλλὰ παροξυνθείς, κατεγέλασε μὲν τῆς ἀνοίας τοῦ ἡγεμόνος, κατεχλεύασε δὲ τὴν τῶν εἰδώλων ἀσθένειαν. Ὅθεν θυσίας αὐτοῖς [6] ἐπιτελουμένης, διὰ προσευχῆς τὸ ξόανον κατέβαλον [7] τῆς Ἀρτέμιδος. Ἐκκαεῖσαν οὖν πίσσαν καὶ ἄσφαλτον [8] ἐν τρισὶ λέβησι κατέχεον ἐπ᾽ αὐτούς· καὶ αὐτοὶ μὲν σῶοι f. 173.

1. — [1] καιροὺς D. — [2] βασιλέως στρατιῶται D. — [3] ὁ S. — [4] ἐπεὶ S, D. — [5] πειρομένου *corr.*; *prius* πειρόντος D. — [6] αὐτῆς S. — [7] κατέβαλλον S, κατέβαλε *corr.* D. — [8] ἀσφάλτου D.

Mart. 3.

SYNAXARIA SELECTA. **H** : 1. 3. 4. 5. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : deest. — **N** : 1. — Ἀρχελάου, Κυρίλλου καὶ Φωτίου (Mart. 4[1]). — **Bb** : 1. — Παύλου καὶ Ἰουλιανῆς (Mart. 4[2]). — **Bc** : 1. — **C** : 1. — **Cd** : 1 (Εὐτροπίου, Κλεονίκου καὶ Ἀθανασίας). — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : deest. — **Rc** : 1. — **Mc** : 1. — Θεοδωρήτου [1] πρεσβυτέρου Ἀντιοχείας. Ἰουλιανός, ὁ θεῖος τοῦ δυσσεβοῦς καὶ ἀθέου Ἰουλιανοῦ τοῦ παραβάτου, πρώην μὲν χριστιανὸς ὢν καὶ πιστὸς τοῦ Θεοῦ θεράπων καὶ ἀναγνώστης τῆς ἐν Ἀντιοχείᾳ μεγάλης ἐκκλησίας, πεισθεὶς τῷ δυσσεβεῖ βασιλεῖ Ἰουλιανῷ καὶ ἀνεψιῷ αὐτοῦ, οὐ τὴν εἰς Χριστὸν πίστιν μόνον ἠρνήσατο προσκυνῶν τοῖς εἰδώλοις, ἀλλὰ καὶ πάντα τὸν πλοῦτον τῆς μεγάλης ἐκκλησίας ἐκφορήσας, ὅσον ὁ μέγας βασιλεὺς Κωνσταντῖνος διὰ ἀναθημάτων ἱερῶν τῇ ἐκκλησίᾳ προσαφώρισε, προδέδωκεν ὁ δυσσεβὴς τῷ τυράννῳ, ὑπ᾽ αὐτοῦ αὐτὸς διώκτης καὶ τύραννος ἐκεῖσε προχειρισθείς. Τότε ὁ ἀλιτήριος ἐκεῖνος τὸν τῆς ἐκκλησίας κλῆρον διασκορπίσας, ἔμεινεν ὁ ἅγιος Θεοδώρητος οὗτος μόνος μεθ᾽ ἑτέρων χριστιανῶν παρρησιαζόμενος ἐν τῇ εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστει καὶ ὁμολογίᾳ· ὃν καὶ κρατήσας καθεῖρξεν ἀσφαλῶς. Καὶ παραστησάμενος πρῶτον μὲν τοὺς πόδας προσέταξε τύπτεσθαι, εἶτα τὴν κεφαλὴν αὐτοῦ· καὶ ἀποδύσας [2] αὐτὸν ἐκρέμασεν ἐπὶ ξύλου καὶ προσέταξεν εὐτόνως ξέεσθαι. Ξεομένου δὲ αὐτοῦ τοῦ μακαρίου ἐπὶ ὥραις τρισί, τὸ μὲν αἷμα κρουνηδὸν ἐχεῖτο, τὸ δὲ πρόσωπον αὐτοῦ διαυγέστερον ἦν. Ὡς δὲ καί· « Θῦσον, ἄθλιε, τοῖς θεοῖς » ἤκουε τοῦ δυσσεβοῦς λέγοντος καί· « Εἰ χρεωστεῖς τῷ βασιλικῷ ταμιείῳ ἢ ἑτέρῳ τινί, ὁ βασιλεὺς ἀπαλ» λάξει σε πάντως τοῦ χρέους καὶ μὴ οὕτω κακῶς τὴν ψυχήν σου ἀπορρήξῃς, » φησὶν ὁ ἅγιος· « Σὺ » εἶ, ταλαίπωρε, ἄθλιος καὶ ὁ βασιλεύς σου, ὅτι ἐάσαντες τὸν Χριστὸν [3] προσεκολλήθητε τῷ ἀντιχρίστῳ » καὶ χρεωστεῖτε ὑπέκκαυμα γενέσθαι τοῦ αἰωνίου πυρός. Ἐγὼ δὲ οὐ χρεωστῶ τινι εἰ μὴ τῷ κυρίῳ » μου Ἰησοῦ Χριστῷ τὴν ἀληθινὴν πίστιν μέχρις ἐσχάτης ἀναπνοῆς. » Τούτων ἀκούσας ὁ ἐναγὴς καὶ θεομισὴς τύραννος λαμπάδας πυρὸς δύο προσέταξε τεθῆναι ταῖς τοῦ ἁγίου πλευραῖς. Καὶ αἱ μὲν λαμπάδες ἤδη εἶχον τὰς τούτου πλευράς· ὁ δὲ τὸ ὄμμα εἰς τὸν οὐρανὸν ἀνατείνας, προσηύχετο ὑποψιθυρίζων, καὶ εὐθέως οἱ τὰς λαμπάδας κατέχοντες ἔπεσον χαμαὶ ὡσεὶ νεκροί. Ταρασσομένου δὲ τοῦ Ἰουλιανοῦ καὶ τῶν σὺν αὐτῷ καὶ μετὰ σπουδῆς ἀναστησάντων αὐτοὺς καί· « Τρισκατάρατοι, λεγόντων, » ἀφέντες κατακαίειν τὸν δυσσεβῆ καὶ πανάθλιον νυσταγμῷ καὶ ἀμελείᾳ κατεσχέθητε », οἱ στρατιῶται· « Σὺ εἶ δυσσεβὴς καὶ τρισκατάρατος καὶ πεπηρωμένος τὰς ὄψεις, ὅτι οὐχ ὁρᾷς τοὺς φυλάττοντας τὸν » δοῦλον τοῦ Θεοῦ τέσσαρας ἀγγέλους καὶ κωλύοντας ἡμᾶς προσεγγίσαι αὐτῷ. Μὴ οὖν μωρολογῇς· » μέγας γάρ ἐστιν ὁ Θεὸς τῶν χριστιανῶν. » Ὁ γοῦν τύραννος αἰσχυνθεὶς ποντωθῆναι αὐτοὺς ἐν τῷ πελάγει τῆς θαλάσσης ἐκέλευσεν. Ἀπαγομένων δὲ αὐτῶν, ὁ μακάριος πρὸς αὐτούς· « Πορεύεσθε, τεκνία » μου, τὴν μακαρίαν ὁδόν, ἔφησεν, ἐν εἰρήνῃ· ἐλεύσομαι γὰρ κἀγὼ ἀκολούθως ὑμῖν καὶ συγχαρήσομαι » μεθ᾽ ὑμῶν χαρὰν τὴν αἰώνιον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. » Καὶ οὗτοι μὲν τοιόνδε τὸ τῆς μαρτυρίας τέλος ἐδέξαντο. Ὁ δὲ ἅγιος Θεοδώρητος, ὡς ἦν διόλου ἐπικείμενος αὐτῷ ὁ Ἰουλιανὸς καὶ ἀναγκάζων θῦσαι τοῖς εἰδώλοις· « Σὺ μέν, δυσσεβέστατε καὶ ἀθλιώτατε, φησί, πάντων τῶν κατὰ σὲ τὰ ἴδια ἔγκατα » καταμασησάμενος, μετ᾽ ὀλίγας ἡμέρας τὴν μιαράν σου ψυχὴν βιαίως ἀπορρήξεις, τῷ αἰωνίῳ πυρὶ » ταύτην παραπέμπων. Ὁ δὲ δυσσεβέστερός σου τύραννος ἐν τῇ Περσικῇ γῇ καὶ αὐτὸς οὐρανίᾳ λόγχῃ » πληγεὶς εἰς τὴν γέενναν τοῦ πυρὸς ἀκοντισθήσεται καὶ οὐχ ὑποστρέψει. Καὶ ταῦτα μέν, ἀθλιώτατε, » τὰ ἐπίχειρα τῶν ἔργων ὑμῶν· ἐγὼ δὲ θύσω τῷ Θεῷ μου θυσίαν αἰνέσεως. » Οὕτως εἶπε καὶ παραυτίκα τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι προσέταξεν. Ἐν ὅσῳ δὲ πρὸς τὸν προκείμενον ἐπορεύετο τόπον, προσηύχετο ἐν φαιδρότητι ψυχῆς· καὶ ἀποτμηθεὶς τὴν κάραν ἀνῆλθεν εἰς τὸν Θεόν. Τούτου τὸ ἅγιον λείψανον πιστοί τινες ἀξίως κηδεύσαντες ἐσημειώσαντο τὰ ὑπὸ τοῦ μακαρίου ἐκφωνηθέντα· καὶ δι᾽ ὀλίγων ἡμερῶν, καθὼς ὁ ἅγιος προεῖπεν, οἱ δύο Ἰουλιανοὶ κακῶς τοῦ ζῆν ἀπηλλάγησαν τῷ αἰωνίῳ

[1] Θεοδωρίτου Mc. — [2] ἀποδήσας Mc. — [3] τῷ Χριστῷ Mc.

διεφυλάχθησαν [9]. Εἶτα σταυροῦνται [10] ὁ Εὐτρόπιος καὶ ὁ Κλεόνικος· ὁ δὲ ἅγιος Βασιλίσκος ἐν τῇ φρουρᾷ τεθεὶς μετὰ χρόνον [11] ἐν αὐτῇ τελειοῦται μαΐου κβ΄ [12]. Mart. 3.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ΄.

Mart. 4.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἡσυχίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, πρῶτος τοῦ παλατίου [1] τυγχάνων. Προστάξαντος δὲ τοῦ Μαξιμιανοῦ [2] τοὺς ἐν στρατείᾳ χριστιανοὺς λύσαντας τὰς ζώνας ἰδιωτεύειν, καὶ πολλῶν τὸν ἀκλεῆ [3] μᾶλλον ἑλομένων βίον ἢ τὴν ἐν ἀπωλείᾳ τιμήν, μεθ᾽ ὧν ἦν καὶ ὁ ἅγιος Ἡσύχιος, καὶ τούτου μὴ λαθόντος [4] τὸν βασιλέα, ἐκέλευσεν αὐτὸν ἀποδυθῆναι μὲν τὰ ἱμάτια ἃ περιβέβλητο [5] ὄντα πολυτελῆ, ἐνδυθῆναι δὲ κολόβιον ἐξ ἐρίου καὶ μετὰ τῶν γυναικῶν συνδιάγειν [6]. Καὶ τούτου γενομένου, προσκαλεσάμενος αὐτὸν ὁ βασιλεύς, εἰ οὐκ αἰσχύνεται ἐπυνθάνετο, ἐκ τῆς τῶν μαγίστρων τιμῆς εἰς τὴν ἄτιμον ταύτην κατενεχθεὶς ἀγωγήν [7]· μὴ δὲ γὰρ δύνασθαι τοὺς χριστιανοὺς ἐπὶ ταῖς πρότερον μεγίσταις οὕτω τιμαῖς [8] καὶ ἀρχαῖς καταστῆσαι αὐτόν. Τοῦ δὲ τὴν παροῦσαν τιμὴν πρόσκαιρον εἶναι εἰπόντος [9], τὴν δὲ τοῦ Χριστοῦ αἰώνιον καὶ ἀπέραντον, λίθον μυλικὸν δεθῆναι τῷ τραχήλῳ αὐτοῦ ὁ βασιλεὺς [10] προσέταξε, καὶ μέσον τοῦ ποταμοῦ τοῦ οὕτω λεγομένου Ὀρόντου [11] ῥιφῆναι, ἐν ᾧ τὸ μακάριον ἐδέξατο τέλος [12].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Παύλου καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ Αὐρηλιανοῦ [1] τοῦ βασιλέως ἐν Πτολεμαΐδι· ἐτύγχανον δὲ ἀδελφοὶ κατὰ σάρκα, γονέων εὐσεβῶν γέννημα. Καὶ ὁ μὲν Παῦλος τὰς ἱερὰς βίβλους ὑπαναγινώσκων [2] τῷ λαῷ, διαβάλλεται ὡς χριστιανὸς καὶ τῷ βασιλεῖ παρίσταται. Διελέγξας δὲ τῶν εἰδώλων τὴν ματαιότητα, ἀναρτηθεὶς ξέεται. Ἡ δὲ Ἰουλιανὴ τὸν ἀδελφὸν ἰδοῦσα ξεόμενον, κατεβόα τοῦ τυράννου. Συλληφθεῖσα οὖν καὶ αὐτὴ δεσμεῖται, καὶ εἱρκτῇ ἀμφότεροι βάλλονται [3] καὶ ἐπὶ κλίνης σιδηρᾶς πεπυρακτωμένης ἁπλοῦνται, καὶ τοὺς νώτους ἄνωθεν τύπτονται. Ἔνθα Κοδράτος καὶ Ἀκάκιος οἱ δήμιοι τῶν ἁγίων φεισάμενοι, τὰς κεφαλὰς ἀφαιροῦνται [4]. Διαληφθέντες δὲ δεσμοῖς σιδηροῖς ἐν εἱρκτῇ βάλλονται | καὶ ἀγγέλου ἐπιφανείᾳ λυθέντες καὶ τροφῆς κορεσθέντες, αὖθις παρίστανται τῷ βασιλεῖ. Ἐκκαλουμένου δὲ [5] ἑνὸς τῶν δημίων τὴν ἁγίαν Ἰουλιανὴν κατοικτείραντος καὶ τῷ Χριστῷ πιστεύσαντος, μανεὶς ὁ τύραννος τὴν κεφαλὴν ἀποτέμνει. Ὅθεν ἰοβόλοις [6] ἑρπετοῖς οἱ ἅγιοι συναποκλεισθῆναι [7] καταδικάζονται, ἐξ ὧν διαμείναντες ἀβλαβεῖς ὁ μὲν ἅγιος Παῦλος τὰς σιαγόνας μολυβίσι [8] τύπτεται σιδηρῷ πάλῳ προσδεθεὶς καὶ [9] ἑκατέρωθεν ῥάβδοις πεπυρωμένοις αἰκίζεται. Ἡ δὲ ἁγία Ἰουλιανὴ εἰς πορνεῖον ἀπάγεται ὑπὸ ἀσώτων διαφθαρῆναι· οὓς παραγενομένους ἄγγελος ἀπετύφλου. Ἄφθορος δὲ διαμείνασα, αὖθις μετὰ τοῦ ἀδελφοῦ βόθρῳ πυρὸς ἐμβάλλεται· κελεύσαντος δὲ [9] τοῦ τυράννου ἐν αὐτῷ τῷ βόθρῳ τοῦ πυρὸς τούτους λιθοβοληθῆναι, ὤφθη [10] ἄνωθεν νεφέλη πεπληρωμένη φλογός· ἥτις πλησίον αὐτοῦ πυρὸς κατέχεεν ὄμβρους. Ὁ δὲ φοβηθεὶς ἀνήνεγκε τοῦ βόθρου τοὺς ἁγίους καὶ λαμπάσι τὰς ὄψεις αὐτῶν καὶ ὅλον τὸ σῶμα καταφλέξας τὰς κεφαλὰς ἀποτμηθῆναι προσέταξε· καὶ οὕτως οἱ καλλίνικοι τὸν ὑπὲρ τῆς Χριστοῦ μαρτυρίας στέφανον ἀνεδήσαντο [11]. f. 173v.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἡραΐδος.

4. Καὶ τῶν ἁγίων μαρτύρων Ἀρχελάου, Κυρίλλου καὶ Φωτίου.

— [9] οἱ δὲ ἐπιχέοντες κατὰ τῶν νώτων αὐτῶν τὴν πίσσαν καὶ τὴν ἄσφαλτον ὑπηρέται κατεφλέχθησαν *add.* D. — [10] *om.* D. — [11] τινα *add.* D. — [12] μαΐου κβ΄ *om.* D.

1. — [1] ὁ Ἡσύχιος οὗτος ἐπὶ Μ. τοῦ παρανόμου β. τοῦ π. πρῶτος Mc. — [2] τοῦ Μ. προστάξαντος Mc. — [3] πολλῷ τῶν ἁ. S, π. τ. εὐκλεῆ Mc. — [4] λανθάνοντος Mc. — [5] περιεβέβλητο Mc. — [6] διαγεῖν Mc. — [7] βασιλεὺς ἐπυνθάνετο εἰ τὴν ἄτιμον τ. κ. ἀγ. ἐκ τῆς τῶν μαγ. τιμῆς Mc. — [8] τιμαῖς οὕτως Mc. — [9] εἰπόντος εἶναι Mc. — [10] ὁ β. αὐτοῦ Mc. — [11] Ὀρρόντου S, Mc. — [12] τέλος ἐδέξατο Mc.

2. — [1] Ἀβριλιανοῦ Mc. — [2] ὑπ. βίβλους Mc. — [3] κατακλείονται Mc. — [4] καὶ αὐτοὶ τῷ Χριστῷ πιστεύσαντες *add.* Mc. — [5] τούτους πρὸς ἄρνησιν οὐδὲν πλέον ἠνύετο· διὸ καὶ μὴ πεισθέντες τύπτονται σφοδρῶς. Στρατονίκου δέ τινος *add.* Mc. — [6] θηρίοις καὶ *add.* Mc. — [7] ἐναποκλεισθῆναι Mc. — [8] μολυβδίσι Mc. — [9] *om.* Mc. — [10] δὲ *add.* Mc. — [11] ἀνεδύσαντο S.

ταμιευθέντες πυρί (Mart. 2[7]). — Ζήνων καὶ Ζωΐλος ἐν εἰρήνῃ τ. — Ἡ ὁσία Πιαμοῦν ἡ παρθένος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Θεοδωρήτου. — Ζήνων καὶ Ζωΐλος. — Πιαμοῦν. — **Mr** : 1. Mart. 3.

Mart. 4.

SYNAXARIA SELECTA. **H** : 3. 4. 5. — **P** : 3. 4. 5. — **D** : 2. 3. 4. 5. — **Da** : 2. — **Db** : 2. — **K** : deest. — **N** : 2. — Μάρκου μοναχοῦ (Mart. 5[1]). — Κόνωνος τοῦ κηπουροῦ (Mart. 5[4]). — 5. — Εὐλαμπίου τοῦ ἐν Παλαιστίνῃ (cf. Mart. 5[2]). — Γρηγορίου (Mart. 5[3]). — 1 (Ἡσυχίου τοῦ μεγάλου ἀσκητοῦ). — **Bb** : 5. — Μάρκου. — **Bc** : 5. — Μάρκου. — 2. — Στρατονίκου τοῦ ἐν Πτολεμαΐδι. — **C** : 3. 4. 2 (in marg. cum hac nota : Ζήτει ὄπισθεν φύλλα γ΄). — 5. — **Cd** : 3. 4. 5. — **Ce** : 3. 4. 5. — Τῶν ἁγίων μαρτύρων καὶ ἱεραρχῶν τῶν ἐν Χερσῶνι (Mart. 7[1]). — **Cg** : 3. 4. 5. — **R** : 2. — **Ra** : 1. — Μάρκου. — Εὐλογίου (Mart. 5[2]). — Γρηγορίου (Mart. 5[3]). — Καὶ μνήμη Ἡσυχίου ἀσκητοῦ. — **Rb** : deest. — **Rc** : 2. 5. 4. — **Mc** : 2. — Κοδράτος καὶ Ἀκάκιος καὶ Στρατόνικος οἱ ἀπὸ δημίων πιστεύσαντες ξ. τ. — 1. — Σαρβίλου ἱερέως γεγονότος τῶν εἰδώλων. Τραϊανοῦ βασιλεύοντος ἐν Ῥώμῃ, πᾶσα ἡ γῆ ἐπεπλήρωτο τῆς τῶν ματαίων εἰδώλων προσκυνήσεως. Τότε τοίνυν ἐν Ἐδέσῃ τῇ πόλει, ἐν ᾗ ἀχειροποίητος εἰκὼν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὡς μέγα θησαύρισμα ἐναπέκειτο, εἶχον οἱ ἐκεῖσε πεπλανημένοι πολῖται Σάρβιλόν τινα γηραιὸν ἐπίσημον, ὡραῖον πάνυ καὶ εὐειδῆ, ἱερέα ὄντα τῶν εἰδώλων· ὅστις ἐνεδιδύσκετο ἱματισμοῦ πολυτέλειαν ἐξηλλαγμένην φέρων καὶ κίνδαριν χρυσῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Οὗτος δὲ ἦν ἐκεῖσε ὡς ἄλλος βασιλίσκος, οὐχ ὡς ἀρχοντικὴν ἐξουσίαν ἐπέχων ἀλλ᾽ ὡς

Mart. 4. **5.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ [1]. Τὸ μέγα κλέος τῶν ἀσκητῶν ὁ Γεράσιμος ἔννοιαν θείαν ἐκ βρέφους ἀνειληφὼς τῷ φόβῳ τε τοῦ Κυρίου [2] στοιχειωθεὶς καὶ τὸ τῶν μοναχῶν ἱερὸν [3] σχῆμα περιβαλόμενος τὴν ἐνδοτέραν ἔρημον τῆς Θηβαΐδος κατέλαβε [4] καὶ τῆς ἄνω πόλεως πολίτης γενόμενος, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ [5] κατοικία, οὐχ ὡς ὕλην δέδωκε, καθώσπερ ὁ ἐγκωμίων ἀπαιτεῖ νόμος, πατρίδα τὴν κάτω καὶ πατουμένην τοῖς ἐπαινεῖν αὐτὸν βουλομένοις· μὴ ἀνασχόμενος τάχα προτιμᾶν τῶν ἑστώτων τὰ διαρρέοντα· οὐ γὰρ ἠβούλετο κτᾶσθαι τὸν παρὰ ἀνθρώπων [6] ἔπαινον ἀλλὰ τὸν παρὰ Θεοῦ μόνον. Ὅμως ὁ σοφὸς τὰ θεῖα Σωφρόνιος, ποιμὴν τῶν Ἱεροσολύμων γενόμενος καὶ τῷ φιλοπόνῳ τῆς μελίσσης ἑαυτὸν ἀεὶ παρενείρειν ἐθέλων, τὴν πολιτείαν τούτου μετρίαν ὑπέγραψε [7] κατὰ τὸν καιρὸν ὅτε Κωνσταντῖνος, ὁ τοῦ μεγίστου [8] βασιλέως Ἡρακλείου ἔγγονος [9], ᾧ ἐπώνυμον ὁ Πωγωνάτος, τὰ σκῆπτρα τῆς Ῥωμαίων βασιλείας διεῖπεν· ὅς φησιν, τὸν προρρηθέντα ἰσάγγελον ἄνδρα γενέσθαι μὲν κατὰ τὴν ἔρημον, τοσοῦτον δὲ θέσθαι τὸν ἀγῶνα τῆς ἀρετῆς [10] καὶ τὴν πρὸς Θεὸν οἰκείωσιν κτήσασθαι καὶ τὸ κα|τ' εἰκόνα τε καὶ καθ' ὁμοίωσιν ἀνακαθᾶραί τε καὶ φυλάξαι, ὡς καὶ τῶν ἀγρίων θηρίων [11] κατάρχειν. (f. 174.) Λέων γὰρ αὐτῷ διακονούμενος ὤφθη, ἄλλως τε τὰς ἐνδεχομένας διακονίας διατελῶν, καὶ δὴ καὶ τὸν ὑδροφόρον ὄνον ἐπὶ νομὰς ἐξάγων τε καὶ εἰσάγων [12]. Οὗπερ ποτὲ παρ' ὁδιτῶν ἐμπόρων ὑποσυρέντος καὶ ταῖς καμήλοις προσδεθέντος [13], ὕπνῳ κατεχομένου τοῦ λέοντος [14], ἠγανακτεῖτο πρὸς ἑσπέραν ὁ τῷ γέροντι καθυπηρετούμενος μονάζων, τὸν λέοντα μόνον ἰδὼν τῇ κέλλῃ παραβαλόντα, καὶ [15] τῷ γέροντι προσελθὼν ἔλεγεν, ὡς βορὰν ὁ λέων τὸν ὄνον πεποίηκεν· κἀκ τούτου ὑπ' ὄνειδος καὶ εὐθύνην ὁ λέων ἦν καὶ τὸ ὑδροφορεῖν κατεδικάζετο. Ὁ δὲ ἀσμένως τε [16] τοῦτο ἐδέξατο καὶ εὐθὺς ὑδρίας [17] φέρων ἐπὶ τῶν ὤμων ἢ ποδῶν εἶχε πρὸς τὸν ποταμὸν ἔθεεν, ὑδροφορεῖν ἐπὶ χρόνοις τοσούτοις καταδικασθείς, ἐφ' ὅσοις [18] ὁ ῥηθεὶς ὄνος παρὰ τῶν ἐμπόρων κατείχετο. Ἀλλ' εἶχε μὲν αὖθις ἡ αὐτὴ ὁδὸς τοὺς προλεχθέντας ἐμπόρους ἀνθυποστρέφοντας, τὸν λέοντα δὲ ὁ ποταμὸς ὑδροφορήσοντα. Ὃς ἰδὼν καὶ γνωρίσας, ὁρμήματι αἰφνιδίῳ καταπλήξας τοὺς ἀνθρώπους καὶ πρὸς φυγὴν τρέψας, τοῦ κημοῦ δραξάμενος εἷλκε τὸν ὄνον, ὁ δὲ ὄνος ἑπομένας τὰς καμήλους, εἰς τὸ κελλίον [19], τῷ οὐραίῳ πλήττων τὴν θύραν καὶ τὴν θήραν [20] δῆθεν προσάγων τῷ γέροντι. Ὡς δὲ τὸ γεγονὸς εἶδεν ὁ γέρων, ἠρέμα μειδιάσας [21] ἔφη πρὸς τὸν ἀδελφόν· « Μάτην ἄρα [22] ὁ λέων ὠνειδίζετο » παρ' ἡμῶν [23]· οὐκοῦν ἀπολυθεὶς τῆς δουλείας » ἐχέτω [24] τῆς προτέρας λόχμης [25] ». Τότε κλίνας τὴν κεφαλὴν ὁ λέων καὶ οἱονεὶ συνταξάμενος τῷ γέροντι [26], ὑπέδυ τὸ ὄρος, ἅπαξ τῆς ἑβδομάδος κατερχόμενος καὶ προσκυνῶν τὸν Γεράσιμον. Τελευτήσαντος δὲ τοῦ γέροντος [27], ὁ λέων κατελθὼν ἐζήτει προσκυνῆσαι συνήθως τὸν γέροντα [28]· καὶ μὴ εὑρὼν ἐῴκει ἀσχάλλοντι καὶ πολλὴν τὴν ἀδημονίαν ἐπιδεικνύμενος [29]. Ὡς δὲ μάθοι παρὰ τοῦ μοναχοῦ τὴν τοῦ γέροντος τελευτήν, λεπτῷ βρυχήματι τῆς τελευτῆς κατεθρήνει, καὶ τὸν τάφον ἐπιζητῶν κατεφαίνετο. Ὡς δὲ καὶ [30] πρὸς τὸν τάφον ἀπήχθη, ἔνθα τὸ τίμιον τοῦ γέροντος κατέκειτο λείψανον, εὐθὺς πεσὼν καὶ μέγα βρυχησάμενος ἀφῆκε τὴν πνοήν. Οὕτω δοξάζει ὁ [30] Θεὸς τοὺς αὐτῷ [31] δοξάζοντας· οὕτω παρασκευάζει καὶ θῆρας [32] αὐτοῖς ὑπείκειν, ὡς τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν διατηροῦντας | καθαρόν τε καὶ ἄσπιλον. (f. 174v.)

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σατύρου καὶ Περπετούας καὶ τῶν σὺν αὐτοῖς.

7. Καὶ τοῦ ὁσίου Ἰακώβου τοῦ μεγάλου ἀσκητοῦ.

5. — [1] (τοῦ - Ἰορδάνῃ) *om.* Mc (*ad d. 20 Martii*). — [2] φόβῳ τοῦ Θεοῦ Mc. — [3] *om.* Mc. — [4] καταλαβὼν Mc. — [5] οἱ S. — [6] ἀνθρώποις Mc. — [7] μετρίως διέγραψε Mc, καὶ *add.* S. — [8] μεγάλου Mc. — [9] ἔκγ. Ἡ. Mc. — [10] ἐπιδείξασθαι *add.* Mc. — [11] θηρῶν Mc. — [12] εἰσάγων τε καὶ ἐξ. Mc. — [13] (καὶ - προσδεθέντος) *om.* Mc. — [14] θηρὸς Mc. — [15] ὁ δὲ Mc. — [16] *om.* Mc. — [17] δύο *add.* Mc. — [18] θέων ὑδροφόρει ἐν τοσούτοις χρόνοις ὅσους Mc. — [19] καμήλους ἑτέραν τῇ ἑτέρᾳ προσδεδεμένους ἑαυτῷ ἐπεσύρετο· ἀγαγὼν οὖν τὸν ὄνον καὶ τὰς καμήλους εἰς τὸ κελλίον παρέστησε τοῦ ὁσίου Mc. — [20] ἄγραν Mc. — [21] μειδιῶν Mc. — [22] μαθητὴν ἄρα μ. Mc. — [23] παρ' ἡμῶν ὦ. ἀδελφέ Mc. — [24] ἐχέσθω Mc. — [25] λόγμης S. — [26] τῷ γ. σ. Mc. — [27] ἁγίου Mc. — [28] τῷ γέροντι Mc. — [29] ἀσχάλλειν καὶ ἀδημονεῖν Mc. — [30] *om.* Mc. — [31] αὐτὸν Mc. — [32] θῆρας παρ. Mc.

Mart. 4. ὑπερέχων πάντων ἱερέων, οὐ τῆς πόλεως μόνης, ἀλλὰ καὶ πάσης τῆς περιχώρου, ἔν τε πλούτῳ καὶ δόξῃ καὶ ὡραιότητι. Διὰ τοῦτο καὶ ἐτίμων αὐτὸν ὡς ἄλλον θεόν, ὅτι καὶ οὗτος ἦν ὁ προστάσσων προσκυνεῖν καὶ θύειν τοῖς εἰδώλοις· καὶ ἤκουον αὐτοῦ πάντες ὡς ἄλλου θεοῦ. Οὗτος πολλάκις κατηχηθεὶς ὑπὸ Βαρσιμαίου ἐπισκόπου τῆς αὐτῆς πόλεως Ἐδέσης, ὀψέ ποτε ἦλθεν εἰς ἑαυτὸν καὶ πιστεύσας εἰς τὸν Χριστόν, ἐβαπτίσθη ὑπὸ τοῦ ἐπισκόπου τῆς αὐτῆς πόλεως Ἐδέσης. Καὶ ἔτι κατηχηθεὶς ὑπ' αὐτοῦ καὶ διαπωλήσας πᾶσαν τὴν περιουσίαν αὐτοῦ πολλὴν οὖσαν καὶ ἄπειρον, διένειμε τοῖς πτωχοῖς· καὶ πένης διὰ τὸν Χριστὸν γενόμενος, προσήδρευε μετὰ τοῦ ἐπισκόπου. Διαβληθέντος οὖν τούτου πρὸς Λυσίαν τὸν ἡγεμόνα τῆς αὐτῆς πόλεως, ἐταράχθη ὁ ἡγεμὼν κατά γε τοῦ Σαρβίλου καὶ αὐτοῦ τοῦ ἐπισκόπου, ὡς ἀπατήσαντος αὐτόν· παρέστησεν οὖν εἰς ἐξέτασιν. Καὶ τὸν μὲν ἐπίσκοπον σφοδρῶς τύψας, εἶτα καὶ κρεμάσας καὶ ξέσας, καθεῖρξε. Τὸν δὲ Σάρβιλον πολλὰ πρότερον νουθετήσας καὶ κολακεύσας, ὡς οὐκ ἠδυνήθη μεταπεῖσαι, ποικίλως αὐτὸν ἐτιμωρήσατο, πῇ μὲν βουνεύροις πῇ δὲ ῥάβδοις, ἀγρίαις ἀναρτήσεσι, ξεσμοῖς καὶ πριστῆρσι· κατὰ κεφαλῆς αὐτὸν κρεμάσας ἀπὸ τῶν παιδογόνων μορίων πρίεσθαι τὸν ἅγιον προσέταξε. Καὶ τοῦ πριστῆρος τῷ τραχήλῳ πλησιάσαντος, ὡς εἶδε τοῦτον ἔτι ἐμπνέοντα, μαχαίρᾳ τὴν κεφαλὴν τούτου ἀπέτεμεν [1]. Καὶ οὕτω στεφανωθεὶς ὁ τρισμακάριος Σάρβιλος ἀπῆλθε πρὸς Κύριον. — Γρηγόριος. — **Mv** : 5. 2. — Γρηγόριος. — **Mr** : 5.

[1] ἀπέτεμον Mc.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

Mart. 5. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου μοναχοῦ. Οὗτος φιλόπονος ἐγένετο ἐν πᾶσι [1] ὁμοῦ τε τῇ μελέτῃ τῶν θείων γραφῶν ἐπέδωκεν ἑαυτὸν καὶ ἐπὶ τὸ ἄκρον τῆς ἀσκήσεως προῆλθεν καὶ ἀρετῆς. Τεκμήριον δὲ ἀμφοτέρων οἵ τε γραφέντες παρ' αὐτοῦ λόγοι παντοίας παιδεύσεως καὶ ὠφελείας ὄντες [2] μεστοὶ καὶ ἡ τῶν θαυμάτων ἐνέργεια· ὧν ἓν [3] ἀναγκαῖον ἴσως εἰπεῖν [4]. Σχολάζοντος γάρ ποτε τοῦ ὁσίου ἐν τῇ αὐλῇ καὶ ἑαυτῷ προσέχοντος, προσῆλθεν ὕαινα τυφλὸν τὸν ἑαυτῆς σκύμνον ἐπαγομένη [5], καὶ διὰ ταπεινοῦ τοῦ σχήματος τοῦ ἁγίου ἐδέετο κατοικτειρῆσαι καὶ τὴν πήρωσιν τοῦ ἐκγόνου [6] ἰάσασθαι. Ὁ δὲ προσπτύσας [7] τοῖς λωβηθεῖσιν ὀφθαλμοῖς καὶ εὐξάμενος κατέστησεν αὐτοὺς ὑγιεῖς. Μεθ' ἡμέραν δὲ τῆς ὑαίνης δέρμα [8] μεγάλου προσαγαγούσης κριοῦ [9] τῆς ἰατρείας ἀντιμισθίαν [10], οὐ πρότερον αὐτὸ ὁ ὅσιος [11] λαβεῖν κατεδέξατο [12] ἢ τὸ θηρίον ὑποσχέσθαι [13] μηκέτι προβάτοις πενήτων ἐπιπηδᾶν. Ὁ δὲ περὶ τὴν ἄλογον φύσιν οὕτως ὢν συμπαθής, τίς ἂν ἦν [14] πρὸς ἀνθρώπους, οὓς ἡ τῆς φύσεως κοινωνία κατοικτίζεσθαι παρὰ τῶν ὁμογενῶν ἀπαιτεῖ. Τοσαύτη δὲ ἦν ἡ τοῦ ἀνδρὸς καθαρότης, ὡς τὸν πρεσβύτερον τῆς μονῆς διομνύμενον [15] λέγειν, ὡς οὐδέποτε τῶν θείων μυστηρίων τῷ μοναχῷ ἐπέδωκε Μάρκῳ [16], ἀλλ' ἐν τῷ προσιέναι αὐτὸν ἄγγελος αὐτῷ μετεδίδου, οὗ ἀπὸ τοῦ ἀστραγάλου τὴν χεῖρα μόνην βλέπειν ἔλεγε [17] τὴν λαβίδα κατέχουσαν, δι' ἧς ὁ ὅσιος τῶν ἁγιασμάτων μετεῖχεν. Ἀπετάξατο δὲ καὶ τῶν κοσμικῶν ἁπάντων ἐπα-

1. — [1] ἐν πᾶσι γενόμενος Mc. — [2] Mc, εἶναι S. — [3] ἐξ ὧν Mc. — [4] τινα *add.* Mc. — [5] τύφλον *hic add.* Mc. — [6] πύρωσιν τοῦ ἐγγόνου S. — [7] προσπτῆσαι S. — [8] δέρος Mc. — [9] καὶ *add.* Mc. — [10] δέξαι λεγούσης *add.* Mc. — [11] ἅγιος Mc. — [12] κ. λ. Mc. — [13] ὑποθέσθαι S. — [14] *om.* Mc. — [15] διομνυόμενον Mc. — [16] Μ. ἐπ. Mc. — [17] ἔβλεπε Mc.

Mart. 5. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 1 : Μάρκου μοναχοῦ. Οὗτος ὁ ὅσιος νεώτερος ὢν παλαιὰν καὶ καινὴν πᾶσαν γραφὴν ἐκστηθίσας, ἠξιώθη πνευματικῶν χαρισμάτων· ἐξέθετο δὲ λόγους περὶ νόμου πνευματικοῦ καὶ περὶ μετανοίας καὶ περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι καὶ περὶ τοῦ ἁγίου βαπτίσματος καὶ περὶ σώματος καὶ ψυχῆς καὶ πρὸς Νικόλαον ἐπιστολὴν καὶ πρὸς σχολαστικὸν ἀντιβολὴν περὶ τελειότητος βίου καὶ κατὰ Σαββατιανῶν καὶ κατὰ Μελχισεδεκιτῶν· ἀσκήσας ἐν τῷ μονήρει βίῳ ἔτη ξ' τελευτᾷ, ὢν ἐτῶν ρ'. Ἐξ οὗ δὲ ἀπετάξατο, οὐκ ἔπτυσε χαμαί. Ἀκρωμένου δὲ τοῦ Παφνουτίου, οὗτος διηγήσατο, ὅτι ἔλεγεν ἑαυτῷ διαμαχόμενος τῷ διαβόλῳ· « Τί θέλεις, κακόγηρε; ἰδοὺ καὶ οἴνου μετέλαβες » καὶ ἐλαίου· λοιπὸν τί θέλεις ποιῆσαί σοι, πολυφάγε, κοιλιόδουλε, φιλήδονε; » ἑαυτὸν οὕτως [1] ἐνυβρίζων. Εἶτα ἔλεγε καὶ τῷ διαβόλῳ· « Συγγεγήρακάς μοι, διάβολε, ἐν διαφόροις ἀσθενείαις τοῦ σώματος· » ἐπέρριψα ἑαυτὸν εἰς τὸ θέλημά σου καὶ οἴνου καὶ ἐλαίου μετέλαβον· μὴ καὶ ἀκμήν τί σοι χρεωστῶ; » οὐδὲν εὑρήσεις ἐν ἐμοὶ ὅ τι θέλεις συλῆσαι. » Καὶ πάλιν ὁ ὅσιος ὀνειδίζων ἑαυτὸν διελέγετο· « Δεῦρο » λοιπόν, λῆρε, πολυφάγε, φαγόγηρε, ἕως πότε ἔσομαι μετὰ σοῦ; » Διηγήσατο δὲ καὶ τοῦτο ὁ αὐτὸς Παφνούτιος ὅτι· μιᾷ ἡμερῶν καθεζομένου αὐτοῦ, ὕαινα θηρίον λαβοῦσα αὐτῆς τὸν σκύμνον τυφλὸν ὄντα ἤνεγκε· τῇ κεφαλῇ κρούουσα τὴν θύραν τῆς αὐλῆς εἰσῆλθε καὶ ῥίπτει ἑαυτὴν πρὸς τοὺς πόδας αὐτοῦ καὶ προσάγει τὸν σκύμνον αὐτῆς τυφλὸν ὄντα. Τοῦτον λαβὼν ὁ ἅγιος καὶ πτύσας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐπεύξατο καὶ παραχρῆμα ἀνέβλεψε· καὶ θηλάσασα αὐτὸν λαβοῦσα ἀπήνεγκε. Τῇ ἑξῆς ἡμέρᾳ κώδιον μεγάλου προβάτου ἤνεγκε τῷ ἁγίῳ· καὶ θεασάμενος τὸ κώδιον ἔλεγε τῇ ὑαίνῃ· « Οὐ » λαμβάνω παρὰ σοῦ. » Ἡ δὲ ὕαινα κλίνασα τὴν κεφαλὴν ἕως τοῦ ἐδάφους ἐγονυπέτει καὶ πρὸς τοῖς ποσὶ τοῦ ἁγίου ἐτίθη κώδιον. Αὐτὸς δὲ ἔλεγεν αὐτῇ· « Ἐὰν <μὴ [2]> ἀπὸ τοῦ νῦν συνθῇ μηκέτι λυπεῖν » πένητας, οὐ λαμβάνω τὸ κώδιον. » Ἡ δὲ καὶ ἐπὶ τοῦτο ἔνευσεν τῇ κεφαλῇ. Ὡς δὲ καὶ ἡ μακαρία Μελανία εἶπεν ὅτι· « Παρὰ τοῦ ἁγίου ἐγὼ ἔλαβον τὸ κώδιον ξένιον [3] τῆς ὑαίνης. » — 2. 3 : τῶν ὁσίων πατέρων ἡμῶν Γρηγορίου Κωνσταντίας τῆς Κύπρου <καὶ [2]> Ἀδριανοῦ [4]. — **D** : 1. 2. 3. 4. — Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ. Οὗτος ἦν ἐν τοῖς χρόνοις τῶν ἁγίων ἀποστόλων, ἐκ χώρας λεγομένης Βιδανῆς [5], ἀπεχούσης ὀκτωκαίδεκα στάδια τῆς Ἰσαύρων πόλεως, παῖς ὑπάρχων Νέστορος καὶ Νάδας μητρός. Ἐπεὶ δὲ ἐν ἡλικίᾳ γενόμενος γυναικὶ προσηρμόσθη καὶ καιρὸς ἦν ἐν ᾧ συνελθεῖν αὐτοὺς ἔδει, πείθει τὴν σύνευνον τῇ παρθενίᾳ μᾶλλον ἢ τῷ γάμῳ χρήσασθαι· καὶ τοῦ λοιποῦ συνῆν αὐτῇ, οὐχ ὡς ὁμοζύγῳ ἀλλ' ὡς ἀδελφῇ καὶ κοινωνῷ παρθενίας καὶ τῆς ἁγνείας. Εἰς τοῦτο γὰρ προήχθη ὑπὸ τοῦ λαχόντος αὐτὸν ποιμαίνειν ἀρχιστρατήγου Μιχαήλ, ὃς αὐτῷ ἐν ἐσθῆτι λαμπρᾷ ἐπιστὰς τὴν εἰς Χριστὸν ἐδίδαξε πίστιν, καὶ τὸ τῆς ἁγίας Τριάδος παρέθηκεν ὄνομα, βαπτίσας αὐτὸν καὶ τῶν θείων μεταδοὺς μυστηρίων. Καὶ μέντοι καὶ μέχρι τέλους οὐ διέλιπεν ἀοράτως αὐτῷ συνὼν καὶ τῶν παραδόξων θαυμάτων τὴν ἐνέργειαν χορηγῶν· δι' οὗ ὁ ἔνδοξος μάρτυς τήν τε γυναῖκα Ἄννην — τοῦτο γὰρ αὐτῇ ὄνομα — συμφρονεῖν καὶ συμπαρθενεύειν ἔπεισε. Καὶ τοὺς γεννήτορας μεταστήσας πρὸς τὴν εἰς Χριστὸν πίστιν <ἐβάπτισε [6]>. Λέγεται δὲ ὁ πατὴρ αὐτοῦ Νέστωρ [7] διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν κατασχεθῆναι καὶ μαρτυρίου καταξιωθῆναι. Ὁ δὲ ἅγιος Κόνων τοῖς εἰδωλολάτραις εἰς ἅμιλλαν καταστάς, τῆς ζητήσεως οὔσης, ποῖος ἄρα τῶν θεῶν κρείττων ἐστίν, ὁ ὑπὸ τοῦ Κόνωνος σεβόμενος ἢ οἷς αὐτοὶ τὰς

[1] οὗτος P. — [2] *supplevi, om.* P. — [3] ξένην P. — [4] Ἀδριανοῦς P. — [5] Βιδάνης D. — [6] *om.* D, *supplevi ex* Mc. — [7] Νέστορ D.

MART. 5. νέστη[18] θορύβων, τεσσαράκοντα χρόνων ὑπάρχων· καὶ διαγαγὼν ἐν τῇ ἀσκήσει ἔτη ἑξήκοντα πρὸς Κύριον ἐξεδήμησεν. Ἦν δὲ βραχὺς τὴν ἡλικίαν, ψιλὸς τὸν πώγωνα καὶ τὴν κεφαλήν, ἔνδοθεν ἔχων ἐπιλάμπουσαν τὴν τοῦ ἁγίου Πνεύματος χάριν[19].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐλογίου[1] τοῦ ἐν Παλαιστίνῃ.

3. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Κωνσταντίας τῆς Κύπρου.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Κόνωνος τοῦ κηπουροῦ. Οὗτος ἦν κατὰ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως, ἐκ Ναζαρὲτ τῆς Γαλιλαίας· εἶτα[1] ἦλθεν ἐν πόλει Ματύδων[2] τῆς Παμφυλίας, καὶ ἦν ἐν τόπῳ λεγομένῳ Καρμενᾳ, κῆπον[3] καλλιεργῶν καὶ λάχανα φυτεύων καὶ ποτίζων, ἐξ ὧν τὴν τροφὴν ἐπορίζετο[4]. Ἦν δὲ τὸν τρόπον[5] ἁπλοῦς, ὡς καὶ τοὺς μέλλοντας αὐτὸν κρατήσειν ἐπιστάντας | καὶ ὡς ἐν παιγνίῳ[6] ἀσπαζομένους αὐτὸν[7] ἀντασπάζεσθαι καὶ τὴν αἰτίαν δι' ἣν ἦλθον[8] εἰπόντας, ὅτι ὁ ἡγεμὼν Πούπλιος αὐτὸν καλεῖ, ἀποκρίνασθαι[9]· « Ποίαν γὰρ ἐκεῖνος » ἐμοῦ χρείαν ἔχει καὶ μάλιστα ὑπάρχοντος[10] χρι- » στιανοῦ; καλείτω[11] τοὺς ὁμόφρονας αὐτοῦ[12]. » Δεσμευθεὶς οὖν καὶ ἀχθεὶς πρὸς τὸν ἡγεμόνα καὶ παρ' αὐτοῦ θῦσαι τοῖς εἰδώλοις <προτραπείς[13]>, βαθὺ στενάξας καὶ τὸν τύραννον καθυβρίσας καὶ ἐμμένειν τῇ εἰς Χριστὸν ὁμολογίᾳ βεβαιωσάμενος[14], ἥλοις σιδηροῖς τοὺς πόδας καθηλωθεὶς καὶ τρέχειν ἔμπροσθεν τοῦ ἅρματος ἀναγκαζόμενος, λιποψυχήσας καὶ ἐπὶ γόνυ κλιθεὶς καὶ προσευχόμενος παρέδωκε τὸ πνεῦμα[15]. f. 175.

— [18] ἀπανέστη Mc. — [19] (ἦν δὲ - χάριν) *om.* Mc.

2. — [1] Εὐλαμπίου Mc, *ad diem Mart. 4, cf.* Synaxaria selecta.

4. — [1] ἀπάρας δὲ ἐκεῖθεν Mc. — [2] Μανδῶν S. — [3] τινα *add.* Mc. — [4] (λάχανα - ἐπορίζετο) τοῖς λαχάνοις ἐπάρδων καὶ φυτικομῶν καὶ τὴν ζωὴν ποριζόμενος Mc. — [5] ἀκέραιος καὶ *add.* Mc. — [6] ὡς ἐπιστάντας τοὺς συλλαβεῖν ζητοῦντας αὐτὸν καὶ ἐν παιδιᾷ Mc. — [7] τοῦτον ἐκ ψυχῆς Mc. — [8] πάρεισιν Mc. — [9] καλεῖν ἀπ. S, αὐτὸν Π. καλεῖ ἀπεκρίνατο Mc. — [10] μάλιστα γε ὄντος Mc. — [11] καλεῖτε Mc. — [12] καὶ τοὺς τῆς πίστεως κοινωνούς *add.* Mc. — [13] Mc, *om.* S. — [14] καὶ οὐδ' ἂν εἴ τι γένοιτο σαλευθῆναι *add.* Mc. — [15] προσευξάμενος τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν Mc.

MART. 5. θυσίας προσῆγον — καὶ γὰρ ἔμελλον ἐν ἄντρῳ τινὶ[8] αὐχμηρῷ καὶ ζοφώδει συνδραμεῖσθαι πλεῖστον ἀπέχοντι[9], τῷ δαίμονι τὴν ἑορτὴν ἐκτελέσοντες. Ἀποδεδειγμένου οὖν, τὸν τοιοῦτον τόπον ὅστις πρότερον καταλάβοι, ἐκείνων μὲν ἵπποις ἐποχουμένων, τοῦ δὲ ἁγίου πεζῇ τὴν πορείαν ποιοῦντος, τὸν πρότερον ἀφικόμενον ἀληθῆ θρησκεύειν καὶ τὸν παρ' αὐτοῦ Θεὸν κηρυττόμενον εἶναι κρείττονα, τοσοῦτον ὁ ἅγιος ὑπερβαλεῖν λέγεται τῇ πορείᾳ, ὡς φθάσαι τὸν τόπον καὶ ἐν τῷ ἐπανακάμπτειν ἐντυχεῖν αὐτοῖς βραδέως καὶ πολυπόνως καὶ σὺν ἱδρῶτι καὶ ἄσθματι ποιουμένοις τὴν ἄφιξιν. Ἔνθα πολλῶν τὸ συμβὰν θαυμαζόντων, τῶν δὲ ἀπίστων ἔτι ἰταμώτερον διακειμένων καὶ δεησάντων παρ' αὐτοῦ μαθεῖν τοῦ ξοάνου, τίς ἐστιν Θεὸς μείζων, καὶ τοῦ ἁγίου κελεύσαντος αὐτῷ ἐκ τῆς ἱδρύσεως κατελθεῖν καὶ μετὰ τοῦτο πεῦσιν προσαγαγόντος, κατελθεῖν τε λέγεται τὸ δαιμόνιον καὶ πρὸς τοῖς ποσὶ γενόμενον τοῦ ἁγίου ἐκβοῆσαι· « Εἷς ἐστι Θεὸς ὁ Χριστὸς ὁ ὑπὸ σοῦ εὐαγγελιζόμενος » καὶ τοὺς ἀπείρους ὄχλους ἐπειπεῖν πιστεύσαντας· « Εἷς Θεὸς ὁ Κόνωνος. » Αἱ δὲ τοιαῦται φωναὶ παρὰ τοῖς Ἰσαύροις εἰσέτι καὶ νῦν ἐν τῇ τοῦ μάρτυρος μνήμῃ μεγαλοφρόνως κηρύττονται. Τοσαύτην δὲ λέγεται κατὰ δαιμόνων χάριν λαβεῖν, ὡς τοὺς μὲν αὐτῶν ἐπὶ γεωργίας τρέψαι καὶ τῶν φυομένων καρπῶν στῆσαι φύλακας· τοὺς δὲ ἐν κεραμίοις συγκλεῖσαι καὶ σφραγῖδας ἐπιβαλεῖν καὶ καταγαγεῖν πρὸς τοὺς θεμελίους τοῦ οἴκου αὐτοῦ συγκρύψαι καὶ καταχῶσαι. Ὁ δὲ τρόπος τῆς μαρτυρίας αὐτοῦ γέγονεν οὕτως. Τοῦ ἡγεμόνος Μάγνου μετὰ τῶν βασιλικῶν προσταγμάτων, ἃ κατὰ τῶν χριστιανῶν ἐξηνέχθη, τὸν τόπον καταλαβόντος, ὁ ἅγιος κατεσχέθη· καὶ προσαχθεὶς αὐτῷ καὶ τὸν Χριστὸν ὁμολογήσας καὶ μὴ πεισθεὶς θυσίας τοῖς εἰδώλοις προσενεγκεῖν, τύπτεται σφοδρῶς δεσμευθείς. Τοῦ δὲ πλήθους συνδραμόντος, ἐφ' ᾧ τὸν ἅγιον ἐξελέσθαι διαχειρίσασθαι δὲ τὸν ἡγεμόνα — καὶ γὰρ ἦσαν ἅπαντες ὑπ' αὐτοῦ φωτισθέντες καὶ τὴν ἐπίγνωσιν τῆς ἀληθείας καὶ τὴν εἰς Χριστὸν πίστιν παρ' αὐτοῦ μεμαθηκότες, — ὁ μὲν ἡγεμὼν Μάγνος αἰσθόμενος ἔφυγεν. Τὸν δὲ ἅγιον λύσαντες καὶ τῶν αἱμάτων, οἷς ἐπέφυρτο, ἀποσμήξαντες ἐν τῷ ἰδίῳ κατέστησαν οἴκῳ, ἔνθα ἐπὶ δυσὶ χρόνοις ἐπιβιώσας πρὸς Κύριον ἐξεδήμησεν. Φασὶ δὲ μετὰ τὴν αὐτοῦ ἀνάλυσιν καὶ πρὸς Κύριον ἐκδημίαν, τοῦ οἴκου αὐτοῦ εἰς ἐκκλησίαν κατασκευαζομένου, εὑρεθῆναι τὰ κεράμια, ἔνθα τὰ πονηρὰ συνέκλεισε πνεύματα. Ὧν ἑνὸς διανοιχθέντος, λογισαμένων τῶν παρόντων διὰ τὸ βάρος περιέχειν χρυσόν, ἐξελθεῖν τὰ δαιμόνια ἐν εἴδει πυρός, καὶ πάντας μὲν ἐπὶ γῆς καταπεσεῖν, καταστραφῆναι δὲ τὸ ἀνοικοδομούμενον· τοὺς δὲ κάλως καὶ τὰ ξύλα συμφλεχθῆναι καὶ ὅλως μετὰ δύσιν ἡλίου μὴ τολμᾶν τινα τῷ τόπῳ παραβαλεῖν· ἀλλὰ ταύτης οὐκ εἰς μακρὰν τῆς ἐπιθέσεως ἀπηλλάγησαν, προσευχαῖς καὶ νηστείαις καὶ ἀγρυπνίαις σχολάσαντες, τοῦ ἁγίου μάρτυρος δεηθέντος ὑπὲρ αὐτῶν (Mart. 6[1]). — **Da** : 4. — Κόνωνος. — 1. 2. 3. — Μνήμη Ἡσυχίου τοῦ ἀσκητοῦ. — **Db** : 4. — Κόνωνος. — 1. 2 (Εὐλαμπίου). — 3. — Ἡσυχίου τοῦ ἀσκητοῦ (cf. Mart. 4[1]). — **K** : deest. — **N** : Κόνωνος. — **Bb** : 1. 4. 3. — **Bc** : 1. 3. — Ἡσυχίου ἀσκητοῦ. — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 4. — Κόνωνος ἐν Ἰσαυρίᾳ. — Τοῦ ἁγίου μάρτυρος Εὐψυχίου (cf. Mart. 4[1]). — **Ra** : Κόνωνος. — **Rb** : deest. — **Rc** : Ἡσυχίου (Mart. 4[1]). — 1. 2 (Εὐλαμπίου). — 3. — **Mc** : 4. — Κόνωνος τοῦ ἐν τῇ Ἰσαυρίᾳ. — 1. — Ἡραΐδος (Mart. 4[3]). — 2 : Εὐλογίου τοῦ ἐν Παλαιστίνῃ. — Εὐλαμπίου τοῦ ἐν Παλαιστίνῃ. — Ἀρχέλαος καὶ οἱ σὺν αὐτῷ ρνβʹ μάρτυρες ξ. τ. — **Mv** : Κόνωνος[10]. — 4. 1. — Ἡραΐδος[11]. — 2 (Εὐλογίου). — Εὐλαμπίου. — Ἀρχέλαος καὶ οἱ σὺν αὐτῷ ρμβʹ. — **Mr** : Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ.

— [8] *corr.* D, *prius* ἀντρωνί. — [9] ἀπέχοντος D. — [10] Κάνονος Mv. — [11] Ἡρωΐδος Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ς'.

MART. 6. **1**. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ καὶ θαυματουργοῦ. Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις τῶν ἁγίων ἀποστόλων ἐκ κώμης τῆς λεγομένης Βιδανῆς, ἀπεχούσης ὀκτωκαίδεκα σταδίους[1] τῆς Ἰσαύρων πόλεως[2]. Συζευχθεὶς δὲ γυναικὶ οὐ μόνον[3] οὐκ ἐπλησίασεν αὐτῇ[3], ἀλλὰ καὶ παρθενεύειν αὐτὴν ἔπεισε[4] καὶ τοῦ λοιποῦ συνῆν αὐτῇ ὡς ἀδελφῇ· εἰς τοῦτο γὰρ προήχθη ὑπὸ τοῦ λαχόντος αὐτὸν ποιμαίνειν ἀρχιστρατήγου Μιχαήλ. Ὅστις αὐτῷ ἐπιστὰς τὴν εἰς Χριστὸν ἐδίδαξε πίστιν καὶ τὸ τῆς ἁγίας Τριάδος ὑπέθηκεν[5] ὄνομα, καὶ βαπτίσας καὶ τῶν θείων μυστηρίων μεταδοὺς αὐτῷ καὶ μέχρι τέλους συνὼν καὶ τῶν παραδόξων θαυμάτων τὴν ἐνέργειαν χορηγῶν· δι' οὗ[6] ὁ θεῖος μάρτυς καὶ τοὺς γονεῖς ἐβάπτισεν· ἐξ οὗ καὶ ὁ πατὴρ αὐτοῦ Νέστωρ τῆς ὑπὲρ Χριστοῦ ἀθλήσεως ἠξιώθη. Ἐπεὶ δὲ τοῖς εἰδωλολάτραις ἀνθίστατο λέγων· « Εἷς ἐστι Θεός[7], ὁ Χριστός, ὁ υἱὸς τοῦ » Θεοῦ καὶ οὐκ ἄλλος », ἐκεῖνοι δὲ ἔλεγον τοὺς οὓς ἐκεῖνοι σέβονται εἶναι, συνέθεντο ὅτι· « Ἐπεὶ μέλλο- » μεν ἀπελθεῖν ἐν τῷ τόπῳ τῷδε, ἐν ᾧ ἵστανται » οἱ θεοὶ ἡμῶν[8], τοῦ θῦσαι αὐτοῖς· ἐστὶ δὲ πόρ- » ρωθεν τὸ ἄντρον· οἷος ἐξ ἡμῶν προλάβῃ καὶ » ἀπελθεῖν[9], ἐκεῖνος κηρύσσει τὸν ἀληθινὸν Θεὸν » ἡμῶν. » Καὶ δὴ γενομένου, προέλαβεν ὁ Κόνων· καὶ στραφεὶς προσυπήντησε[10] τοῖς εἰδωλολάτραις, καίτοι ἐκείνου πεζοῦ ὄντος, τῶν δὲ ἑλλήνων ἐφίππων. Ἔνθα πολλῶν τὸ συμβὰν θαυμαζόντων, τῶν δὲ ἑλλήνων ἀναισχυντότερον ἔτι διακειμένων καὶ δεησάντων παρ' αὐτοῦ τοῦ ξοάνου μαθεῖν τίς ἐστι θεὸς[11] μείζων καὶ τοῦ ἁγίου κελεύσαντος αὐτῷ ἐκ τῆς ἱδρύσεως κατελθεῖν καὶ μετὰ τούτου πεῦσιν προσαγαγόντος, κατελθεῖν τε λέγεται τὸ δαιμόνιον. Καὶ πρὸς τοῖς ποσὶ γενόμενον τοῦ ἁγίου ἐβόησεν[12]· « Εἷς ἐστι Θεὸς ὁ Χριστός, ὁ ὑπὸ σοῦ » εὐαγγελιζόμενος[13]. » Καὶ τοὺς ἀπείρους ὄχλους ἐπειπεῖν πιστεύσαντας[14]· « Εἷς Θεὸς ὁ[15] Κόνωνος, » ὁ Θεὸς ἐνίκησεν ὁ τοῦ Κόνωνος[16]. » Καὶ ἐπίστευσαν | τῷ Χριστῷ. Αἱ δὲ τοιαῦται φωναὶ μέχρι καὶ[17] σήμερον παρὰ τοῖς Ἰσαύροις λέγονται ἐν τῇ f. 175v.

1. — [1] στάδια C. — [2] υἱὸς ὑπάρχων Νέστορος καὶ Νάδας *add.* C. — [3] *om.* C. — [4] ἀλλ' ἔπεισεν αὐτὴν π. C. — [5] παρέθηκεν C. — [6] καὶ *add.* C. — [7] Χριστός S. — [8] ὑμῶν S. — [9] ἀπέλθει C. — [10] ὑπήντησε C. — [11] ὁ C. — [12] (αὐτῷ ἐκ - ἐβόησεν) κατῆλθε τὸ εἴδωλον ἀπὸ τῆς αὐτοῦ ἱδρύσεως καὶ ἐρωτήσαντος τοῦ ἁγίου τίς ἐστι θεὸς μείζων ἔφη C. — [13] κηρυττόμενος C. — [14] (καὶ - πιστεύσαντας) τότε ἐβόησεν ὁ ὄχλος C. — [15] ὁ Θεὸς τοῦ C. — [16] (ὁ - Κόνωνος) *om.* C. — [17] *om.* C.

MART. 6. SYNAXARIA SELECTA. **H** : Κόνωνος τοῦ κηπουροῦ (Mart. 5[4]). — 1. — Ἄθλησις τῶν ἐν Χερσῶνι ἐπισκόπων Βασιλέως, Εὐγενίου, Ἀγαθοδώρου, Ἐλπιδίου, Αἰθερίου, Καπίτωνος καὶ Ἐφραΐμ (Mart. 7[1]). — Ἡ εὕρεσις τοῦ τιμίου σταυροῦ. — **P** : Κόνωνος τοῦ κηπουροῦ. — 1. — Τῶν ἁγίων μαρτύρων καὶ ἱεραρχῶν τῶν ἐπισκοπησάντων ἐν Χερσῶνι Βασιλέως κτλ. — Ἡ εὕρεσις τοῦ τιμίου σταυροῦ. — 2 (add. Καλλίστου). — **D** : Τῶν ἁγίων μαρτύρων καὶ ἱεραρχῶν τῶν ἐπισκοπησάντων ἐν Χερσῶνι Βασιλέως, Εὐγενίου, Ἀγαθοδώρου, Ἐλπιδίου, Αἰθερίου, Καπίτωνος[1] καὶ Ἐφραΐμ. Κατὰ τοὺς χρόνους Διοκλητιανοῦ, τῷ ἑξκαιδεκάτῳ ἔτει τῆς βασιλείας, Ἕρμωνος τοῦ ἁγιωτάτου ἐπισκόπου Ἱεροσολύμων ἐν διαφόροις ἔθνεσιν ἐξαποστείλαντος ἐπισκόπους ἀποστολικῶς τὸν λόγον κηρύττειν καὶ τὸν Χριστὸν καταγγέλλειν, ἀπεστάλησαν παρ' αὐτοῦ οἱ θεοφόροι πατέρες ἡμῶν ἐπὶ τὴν τῶν Ταυροσκυθῶν[2] χώραν, Ἐφραΐμ μὲν εἰς Σκυθίαν, Βασιλεὺς δὲ εἰς Χερσῶνα. Καὶ δὴ τὴν πόλιν καταλαβὼν καὶ βίου διόρθωσιν καὶ μεταβολὴν πίστεως κηρύττων, ὑπὸ τῶν ἐνοικούντων, ὡς καινῆς τινος πολιτείας καταγγελεὺς καὶ τῶν πατρίων ἐθῶν ἅμα καὶ τῆς πίστεως διαφθορεὺς νομισθείς, τύπτεται καὶ τῆς πόλεως ἀπελαύνεται. Καὶ ἦν οἰκῶν ἔν τινι σπηλαίῳ λεγομένῳ Παρθενῶνι, χαίρων μὲν καὶ ἡδόμενος ὡς ἀτιμασθεὶς ὑπὲρ τοῦ Χριστοῦ, ἀλύων δὲ καὶ δυσφορῶν καὶ ἀχθόμενος ἐπὶ τῇ πωρώσει καὶ πλάνῃ τῶν ἀπίστων. Οὕτως οὖν ἔχων καὶ ὑπὲρ αὐτῶν δεόμενος, πρὸς αὐτῶν ἐκείνων ἐκλήθη[3], ἀποθανόντος τοῦ παιδὸς τοῦ κατάρχοντος καὶ πρώτου τῆς πόλεως· ὃν οἱ προσήκοντες ταφῇ παραδόντες καὶ ἔτι τῷ τάφῳ προσμένοντες, ἔδοξεν ὄναρ ἐπιστάντα τούτοις εἰπεῖν· « Εἰ θελητὸν ὑμῖν ἐστιν αὖθις βιῶσαί με, τὸν παρ' ὑμῖν ἀτιμω- » θέντα τοῦτον ξένον καλέσατε καὶ τῇ διδαχῇ αὐτοῦ πιστεύσαντες ὑπὲρ ἐμοῦ εὔξασθαι δυσωπήσατε. » Τούτου δὲ γενομένου καὶ ταῖς εὐχαῖς τοῦ ὁσίου διὰ τῆς ἐπιχύσεως τοῦ ἁγιασθέντος ὕδατος τῷ τοῦ βαπτίσματος τύπῳ τοῦ παιδὸς πρὸς ζωὴν ἐπιστρέψαντος, τὴν εἰς Χριστὸν ἐδέξαντο πίστιν οἱ τούτου γεννήτορες καὶ μετὰ πάντων τῶν γνωστῶν καὶ οἰκείων προσέδραμον τῷ λουτρῷ τοῦ βαπτίσματος. Οἱ δὲ ἐν ἀπιστίᾳ ἔτι ὑπὸ τῶν Ἰουδαίων εἰς ὀργὴν κινηθέντες, κατὰ τῆς πλατείας τὸν ἅγιον ἔσυρον, τοὺς πόδας αὐτοῦ σχοινίοις προσδήσαντες· καὶ οὕτως ἐπὶ πολὺ συρόμενος τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν. Εἶτα αὖθις Εὐγενίου καὶ Ἀγαθοδώρου καὶ Ἐλπιδίου μετὰ τὴν τοῦ ἁγίου Βασιλέως τελευτὴν ἐν Χερσῶνι περαιωθέντων, διὰ τὸ καὶ αὐτοὺς ὁμοίως ὑπὸ τοῦ ἁγιωτάτου ἐπισκόπου Ἱεροσολύμων ἀποσταλῆναι κήρυκας τῶν ἐθνῶν, καὶ καταγγελλόντων τὴν σωτηρίαν, ἐπισυστάντες οἱ ἐν ἀσεβείᾳ κατ' αὐτῶν καὶ συνδήσαντες αὐτοὺς ἀνηλεῶς καὶ ὠμοτάτως τύπτοντες ἀπέκτειναν, διαγενομένου τοῦ χρόνου κατὰ τὴν ἡμέραν τῆς τελειώσεως τοῦ μακαρίου μάρτυρος Βασιλέως, τῇ ἕκτῃ[4] τοῦ μαρτίου μηνός. Χρόνοις δὲ ὕστερον αὖθις Αἰθέριος ἐξ Ἱεροσολύμων ἀπεστάλη ἐπίσκοπος· ὃς τὸ ἀγριαῖνον τοῦ λαοῦ καὶ δυσπειθὲς[5] κατιδὼν ἀπῆρεν πρὸς τὸ Βυζάντιον, τῷ βασιλεῖ κατ' αὐτῶν ἐντευξόμενος· ἤδη γὰρ ὁ μέγας Κωνσταν-

[1] Καπήτωνος D. — [2] Ταυροσκύθων D. — [3] τί γίνεται *corr. supra ras.* D, ἐκλήθη *restitui ex* N, *die seq.* — [4] ἑβδόμῃ *al., v. c.* N. — [5] δυσπεισθεὶς D.

Mart. 6. μνήμη τοῦ μάρτυρος. Ἔλαβε δὲ καὶ κατὰ δαιμόνων ἐξουσίαν· καὶ τοὺς μὲν παρεσκεύασεν ἐργάζεσθαι[18] καὶ γεωργεῖν καὶ φυλάττειν τοὺς ἀγροὺς καὶ τοὺς καρπούς· τοὺς δὲ ἐν πίθοις ἐγκλεῖσαι καὶ ἀσφαλίσαι[19], καὶ χῶσαι εἰς τοὺς θεμελίους τοῦ οἴκου αὐτοῦ. Ἐξ οὗ χρόνοις ὕστερον μετὰ τὴν αὐτοῦ τελευτὴν τοῦ οἴκου αὐτοῦ εἰς ἐκκλησίαν μετασκευαζομένου, εὑρεθῆναι τὰ κεράμια. Ὧν ἑνὸς διανοιχθέντος διὰ τὸ νομίσαι τοὺς ὀρύσσοντας χρυσίον ἔχειν, ἐξελθεῖν τὰ δαιμόνια ἐν εἴδει πυρὸς καὶ πάντας ἐκφοβῆσαι, ὡς μὴ δύνασθαι ἐκ τῆς οἰκίας προελθεῖν μετὰ δύσιν ἡλίου· μέχρις οὗ ηὔξαντο πρὸς τὸν ἅγιον[20] καὶ πάλιν ἠφάνισεν αὐτά. Ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας γέγονεν οὕτως. Τοῦ ἡγεμόνος Μάγνου τῷ τόπῳ[21] ἐπιφοιτήσαντος, ἐκρατήθη· καὶ τὸν Χριστὸν ὁμολογήσας[22] καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, δεσμευθεὶς τύπτεται σφοδρῶς[23]. Συνδραμόντος δὲ τοῦ πλήθους ἵνα ἀναιρῶσι[24] τὸν ἡγεμόνα, τοῦτο[25] γνοὺς[25] ἔφυγε, καὶ τὸν ἅγιον ἔλυσαν[26]. Τῶν αἱμάτων δὲ[25] οἷς ἐπέφυρτο ὁ ἅγιος[25] ἀποσπογγίσαντες ἐν τῷ ἰδίῳ οἴκῳ κατέστησαν, ἔνθα ἐπὶ δυσὶ χρόνοις βιώσας πρὸς Χριστὸν[27] ὃν ἐπόθησεν[25] ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τεσσαράκοντα δύο[1] μαρτύρων[1] τῶν ἐν τῷ Ἀμορίῳ[2] κρατηθέντων καὶ ἐν Συρίᾳ μαρτυρησάντων, Θεοδώρου, Κωνσταντίνου, Θεοφίλου, Βασσόη[3] καὶ τῆς συνοδίας αὐτῶν[4]. Οὗτοι τῆς πόλεως Ἀμορίου κρατηθείσης ὑπὸ τῶν Σαρακηνῶν, ὑπὸ[5] Θεοφίλου τοῦ[1] βασιλέως Ῥωμαίων στρατηγοὶ καὶ ταξιάρχαι ὄντες καὶ εὐγενεῖς[6], αἰχμάλωτοι ἀπαχθέντες, οὔτε δειλίᾳ, οὔτε ὀλιγοψυχίᾳ καὶ[7] φιλοψυχίᾳ, οὔτε πολυχρονίῳ ταλαιπωρίᾳ καὶ καθείρξει τῆς φυλακῆς τὴν εἰς Χριστὸν προδεδώκασι[8] πίστιν· ἀλλ' ἀνδρείῳ φρονήματι καὶ ψυχῆς γενναιότητι παραταξάμενοι, — οὐ γὰρ τῇ τοῦ σώματος κακώσει καὶ τῇ πολυταριχείᾳ[9] καὶ τὰς ψυχὰς ἐξησθένησαν — ἀλλ' ἀνδρείως στάντες καὶ τὴν εἰς Χριστὸν πίστιν ἀρνήσασθαι μὴ καταδεξάμενοι, χαίροντες τὰς κεφαλὰς ἀπετμήθησαν.

— [18] ἐργάσασθαι C. — [19] σφραγίσαι C. — [20] Κόνωνα *add.* C. — [21] τοῦ τόπου C. — [22] ὁμολογήσαντος C. — [23] (θῦσαι - σφοδρῶς) τιμωρεῖται C. — [24] ἀναιρήσωσι C. — [25] *om.* C. — [26] (τὸν - ἔλυσαν) *om.* C. — [27] κύριον C.

2. — [1] *om.* C. — [2] Ἀμωρίῳ S, C. — [3] Κώνσταντος, Θ., Βασόη C. — [4] τὸν ἀριθμὸν μβ' *add.* C. — [5] ἐπὶ C. — [6] καὶ *add.* C. — [7] ὀλιγοψυχία καὶ *om.* C. — [8] προέδωκαν C. — [9] καὶ τῇ πολυταριχείᾳ *om.* C.

Mart. 6. τῖνος ἦν διϊθύνων τὴν Ῥωμαίων ἀρχήν. Τῆς δὲ ἐντεύξεως αὐτοῦ κατὰ νοῦν αὐτῷ γενομένης καὶ διὰ τῆς τοῦ βασιλέως χειρὸς ἀπελασθέντων μὲν τῶν ἀπίστων τῆς πόλεως, ἀντεισαχθέντων δὲ καὶ εἰσοικισθέντων ἀνδρῶν εὐσεβῶν καὶ τοῦ μακαρίου Αἰθερίου εἰς εὐχαριστίαν αὖθις ἐπὶ τὸ Βυζάντιον σταλέντος καὶ ἐν τῷ ἐπανιέναι ἀπορριφέντος κατὰ τὸν Δάναπριν ποταμόν, κἀκεῖ μαρτυρικῶς τὸν δρόμον τελέσαντος τῇ ἕκτῃ[6] τοῦ μαρτίου μηνός, πρεσβείαν οἱ τῆς πόλεως Χερσῶνος πρὸς τὸν μέγαν Κωνσταντῖνον στειλάμενοι, Καπίτωνα τὸν μακάριον ἐπίσκοπον ἔλαβον· ἐφ' ᾧ τῶν μὲν[7] εὐσεβῶν ἡδομένων, τῶν δὲ ἀπίστων δυσχεραινόντων καὶ σημεῖον τῆς πίστεως αἰτούντων, εἰ ἐν μιᾷ τῶν παρ' αὐτοῖς καιομένων καμίνων εἰσελθὼν ἀπαθὴς ἐξέλθοι καὶ ἄφλεκτος, τὴν ἱερὰν ἐσθῆτα περιβαλόμενος ὁ ἐπίσκοπος καὶ τὸ ὠμοφόριον ἑαυτῷ περιθεὶς καὶ σφραγισάμενος καὶ ἐν τῷ πυρὶ εἰσελθὼν καὶ ἐφ' ὥραν ἱκανὴν διαμείνας, ἐξῆλθεν ἄφλεκτος μεστὸν ἔχων τὸν[8] φελώνην αὐτοῦ ἀνθράκων πυρός. Πάντας δὲ σχεδὸν ἐπὶ τῷ θαύματι καταπλήξας καὶ βαπτίσας ἤδη πρὸς τὸν Θεὸν ἐπιστρέψαντας, μακαρίως τὸν βίον μετήλλαξε τῇ εἰκοστῇ δευτέρᾳ τοῦ δεκεμβρίου μηνός. — **Da** : 2. — **Db** : 2. — **K** : deest. — **N** : 2 (τῶν ἁγίων νεοφανῶν τεσσαράκοντα δύο μαρτύρων). — **Bb** : 1. 2. — Τῶν ἐν Χερσῶνι ἐπισκόπων Βασιλέως κτλ. — **Bc** : 1. — Κόνωνος τοῦ κηπουροῦ (Mart. 5[4]). — 2. — **C** : Κόνωνος τοῦ κηπουροῦ. — 1. 2. — Τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων Βασιλέως κτλ. Κατὰ τοὺς χρόνους Διοκλητιανοῦ, Ἕρμονος τοῦ ἐπισκόπου εἰς διάφορα ἔθνη ἀποστείλαντος διδασκάλους, ἀπέστειλε καὶ ἐπὶ τὴν Ταυροσκυθῶν χώραν Ἐφραῒμ καὶ Βασιλέα· Ἐφραῒμ μὲν εἰς Τουρκίαν, Βασιλέα δὲ εἰς Χερσῶνα... Des.: ἀπερρίφη κατὰ τὸν Δάναπριν ποταμὸν εἰς νῆσον Ἄλσον καλουμένην, ἐν ᾗ καὶ τελευτᾷ μηνὶ μαρτίῳ ς'. — **Cd** : Κόνωνος. — 1. 2. — Τῶν ἐν Χερσῶνι. — **Ce** : Κόνωνος. — 2. — Τῶν ἐν Χερσῶνι. — **Cg** : Κόνωνος. — 1. 2. — Τῶν ἐν Χερσῶνι. — **R** : 2. — **Ra** : 2. — Κόνωνος τοῦ κηπουροῦ. — **Rb** : deest. — **Rc** : 2. — Ἡ εὕρεσις τοῦ τιμίου σταυροῦ. — Κόνωνος τοῦ κηπουροῦ. — 1. — **Mc** : 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρκαδίου (cf. Mart. 7[3]). — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἡσυχίου. Ὁ περιβόητος οὑτοσὶ καὶ τοῦ Θεοῦ ἄνθρωπος μέγας Ἡσύχιος ἐκ σπαργάνων αὐτῶν εὐλαβῶς ἀναγόμενος, τὰς ὑλώδεις μισήσας, ἐπιφορὰς ἐνδιαίτημα τοῦ ἁγίου Πνεύματος ἐχρημάτισε, τῆς ἄνω Σιὼν ἐπιποθῶν τὴν κατάσχεσιν... Des. : ὅτε δὲ τὰ σκῆπτρα τῆς βασιλείας Κωνσταντῖνος σὺν τῇ Εἰρήνῃ ἐκυβέρνα, ἐν ἔτει τῷ ,ςτ', ὁ τὴν ἐπισκοπὴν Ἀμασείας ἰθύνων Θεοφύλακτος τὸ ἱερὸν σκῆνος τοῦ παμμάκαρος Ἡσυχίου ἐν τῷ δεξιῷ μέρει τοῦ θυσιαστηρίου μεθίστησιν, ἐν ᾧ καὶ μέχρι τοῦ παρόντος τιμώμενον δείκνυται (cf. Mart. 4[1], Mai 10[3]). — Ὁ ὁσιομάρτυς Μάξιμος λιθοβοληθεὶς τ. — Εὐφρόσυνος ὕδωρ καχλάζον ποτισθεὶς τ. — Ἡ εὕρεσις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ὅτε εὑρέθη παρὰ τῆς ἁγίας Ἑλένης. — Ἡ εὕρεσις τῶν τιμίων ἥλων, οἱ μετὰ τὸ εὑρεθῆναι σαλιβάριον τοῦ χαλινοῦ γεγόνασι τοῦ βασιλέως. — Ἰουλιανὸς καὶ Εὔβουλος ξ. τ. (Mart. 7[4]). — **Mv** : 2. — Ἀρκαδίου. — Ἡσυχίου τοῦ θαυματουργοῦ. — Μάξιμος. — Εὐφρόσυνος. — Εὕρεσις τοῦ τιμίου σταυροῦ. — Εὕρεσις τῶν τιμίων ἥλων. — Ἰουλιανὸς καὶ Εὔβουλος. — **Mr** : 2.

— [6] *in marg.* D. — [7] ἑβδόμη *al. ut supra n. 4.* — [8] τὸ D.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

Mart. 7.

1. Ἄθλησις τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων ἁγίων πατέρων Βασιλέως, Εὐγενίου, Ἀγαθοδώρου, Καπίτωνος[1], Ἐλπιδίου, Αἰθερίου καὶ Ἐφραΐμ. Ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, Ἕρμων, ὁ Ἱεροσολύμων ἐπίσκοπος, ἀπέστειλεν
f. 176. ἐπισκόπους, εἰς | μὲν Σκυθίαν Ἐφραΐμ, εἰς δὲ Χερσῶνα Βασιλέα, ἔνθα τὸν Χριστὸν κηρύττων τυφθεὶς ἀπηλάθη. Ἐγείρας δὲ τὸν υἱὸν τοῦ ἄρχοντος ἐκ τῶν νεκρῶν, πάλιν προσεκλήθη, βαπτίσας τὸν ἄρχοντα καὶ ἑτέρους πολλούς[2]. Οἱ δὲ ἄπιστοι μανέντες ἔσυραν αὐτὸν σχοινίοις ἀπὸ τῶν ποδῶν καὶ συρόμενος ἐτελεύτησε. Μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν ἐλθόντες Εὐγένιος καὶ Ἀγαθόδωρος, Καπίτων καὶ Ἐλπίδιος, ἐκήρυττον τὸν Χριστόν· καὶ ἐπισυστάντες οἱ ἕλληνες ἀπέκτειναν αὐτούς. Μετὰ δὲ ταῦτα ἀπεστάλη ἐξ Ἱεροσολύμων Αἰθέριος· καὶ ἰδὼν τοῦ λαοῦ τὸ ἄγριον προσῆλθε τῷ μεγάλῳ Κωνσταντίνῳ, ἐν τῷ Βυζαντίῳ τότε βασιλεύσαντι, καὶ ᾐτήσατο αὐτὸν καὶ ἐδιώχθησαν ἐκ τῆς χώρας Χερσῶνος οἱ εἰδωλολάτραι. Κτίσας δὲ ὁ ἅγιος ἐκκλησίαν, πάλιν προσῆλθε τῷ βασιλεῖ ἐπὶ τὸ εὐχαριστῆσαι· καὶ δεξιωθεὶς παρὰ τοῦ βασιλέως καὶ ἱερὰ λαβὼν ἐπανήρχετο πρὸς Χερσῶνα. Καὶ ἐν τῷ ἐνανέρχεσθαι ὑπὸ ἐναντίου ἀνέμου ἀπερρίφη[3] εἰς τὸν Δάναπριν ποταμὸν καὶ ἐκεῖ τελευτᾷ[4].

2. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ ὁμολογητοῦ ἐπισκόπου Πλουσιάδος[1]. Οὗτος κατὰ τοὺς χρόνους τῶν εἰκονομάχων εὑρὼν τοὺς ἄφρονας κατὰ τῆς[2] Χριστοῦ ἐκκλησίας μαινομένους καὶ πᾶσαν ἀνατρέποντας θεσμῶν ἀκρίβειαν καὶ τὰς μορφὰς τῶν ἁγίων καὶ σεπτῶν[3] εἰκόνων ἀφανίζοντας καὶ τὴν εὐπρέπειαν τῶν ἁγίων ναῶν καταλύοντας καὶ θείων πατέρων παραδόσεις ἀνατρέποντας καὶ τοὺς ἁγίους τύπους ἀναβοθρεύοντας[4], θείοις ῥήμασιν ὡς βέλεσι κατηκόντισεν, ὡς Χριστοῦ μαθητής[5] διωγμοὺς καὶ[6] ἐξορίας καὶ σκληραγωγίας ὑπὲρ τῆς[2] Χριστοῦ εἰκόνος αἱρετισάμενος· ὅθεν καλῶς ἀνδρισάμενος, ἐν εἰρήνῃ ὁ ὅσιος[6] τῷ Θεῷ τὸ πνεῦμα[7] παρέθετο, πρὸς τὴν ἄνω καὶ ποθουμένην αὐτῷ βασιλείαν μετατεθείς[8].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Ἀρκαδίου καὶ Νέστορος, ἐπισκόπων Τριμιθοῦντος τῆς Κύπρου.

4. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐβούλου καὶ Ἰουλιανοῦ ἰατροῦ.

5. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Δομετίου.

1. — [1] Καπήτονος S. — [2] πολοὺς S. — [3] ἀπερρίφην S. — [4] τελευτῇ S.

2. — [1] ἐπ. Πλ. τοῦ ὁμ. Mc *ad d. 8 martii.* — [2] τοῦ *add.* Mc. — [3] καὶ σεπτῶν *om.* Mc. — [4] (καὶ θείων - ἀναβοθρεύοντας) *om.* Mc. — [5] (ὡς - μαθητής) *om.* Mc. — [6] *om.* Mc. — [7] τ. π. τ. Θεῷ Mc. — [8] (πρὸς - μετατεθείς) *om.* Mc.

Mart. 7. SYNAXARIA SELECTA. **H** : 3. 4. 5. — **P** : 3. 4. 5. — **D** : deest. — **Da** : 1. 3. 4. 5. — **Db** : 1. 3. 4. 5. — **K** : mutil. 1. 3. 4. 5. — **N** : 1 : Τῶν ἁγίων ἱεράρχων καὶ μαρτύρων κτλ. = D, ad diem praec.; ita vero des. : Καπίτωνα τὸν μακάριον ἐπίσκοπον ἔλαβον. Ὁ δὲ καταλαβὼν τὴν πόλιν, τὴν εἰς Χριστὸν πίστιν ἐξεπαίδευε τὸν λαόν. Βουλόμενος δὲ τὸν τοῦ Παρθενίου εἰδώλου οὕτω λεγόμενον ναὸν καταβαλεῖν καὶ ἀντ' αὐτοῦ ἐπ' ὀνόματι τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ναὸν ἐγεῖραι καὶ ἐπὶ τούτῳ καμίνους εἰς κατασκευὴν ἀσβέστου προστάξας γενέσθαι, εἰς ἀντιλογίαν κατέστη μετὰ τῶν ἀπίστων καὶ ἰουδαίων λεγόντων μὴ δύνασθαι τὸν ναὸν τῶν εἰδώλων καταλῦσαι διὰ τὴν ὑπεροχὴν τῶν θεῶν καὶ μάτην τὰς καμίνους κατασκευάζειν. Τοῦ δὲ μυκτηρίσαντος τοὺς παρ' αὐτοῖς θεοὺς καὶ εἰπόντος ὡς ἀδύνατοί εἰσιν ἑαυτοῖς βοηθῆσαι, εἰς δοκιμὴν ἡ ἀντιλογία κατέστη· πίστεις γὰρ τὰς παρ' ἀλλήλων ἔδωκαν ἑαυτοῖς τοῦ τὰς ἀμφοτέρων αἱρέσεις δι' ἀλλήλων γενέσθαι, ἐπικαλεσαμένων τῶν μὲν ἑλλήνων τὰ εἴδωλα τοῦ δὲ ἐπισκόπου τὸν παρ' αὐτοῦ σεβόμενον Χριστόν. Συνετέθη οὖν ὡς, εἰ ὁ ἐπίσκοπος εἰσελθὼν εἰς μίαν τῶν καμίνων ἀβλαβὴς ἐξέλθοι καὶ ἄφλεκτος, πιστεῦσαι καὶ αὐτοὺς γενέσθαι χριστιανούς. Ὁ δὲ ἅγιος Καπίτων ᾐτήσατο παρατεθῆναι αὐτῷ πλησίον τῆς καμίνου τὰ τέκνα αὐτῶν καὶ εἰ ἐξέλθοι τῆς φλογὸς ἀβλαβὴς ἐμβληθῆναι ταῦτα ἐν αὐτῇ καὶ προσευξαμένους αὐτοὺς ὑπὲρ αὐτῶν τοῖς εἰδώλοις ἀβλαβῆ φυλαχθῆναι αὐτά· τοὺς δὲ προθύμως κατανεῦσαι λογισαμένους ὅτι τοῦ ἐπισκόπου διαφθαρέντος ὑπὸ τοῦ πυρὸς αὐτοῖς τε ἔσται τούτου ἀπαλλαγὴ καὶ τοὺς οἰκείους ἀπολήψονται παῖδας. Ἐπεὶ δὲ ὁ ἅγιος Καπίτων τὴν ἱερὰν ἐσθῆτα περιβαλόμενος καὶ τὸ ὠμοφόριον περιθέμενος καὶ σφραγισάμενος εἰσῆλθεν ἐν τῇ καμίνῳ καὶ ἐφ' ἱκανὸν ἐν ταύτῃ προσμείνας ἐξῆλθε σῶος καὶ ἄφλεκτος καὶ τὸν φελώνην μεστὸν ἔχων ἀνθράκων πυρός, ἥ τε κατὰ τῶν δαιμόνων τοῦ Χριστοῦ νίκη τρανῶς ἐκηρύχθη καὶ πάντες ὑπέπεσον καὶ τῇ πίστει προσῆλθον καὶ δεηθέντες παρὰ τοῦ ἐπισκόπου εἰς Χριστὸν ἐβαπτίσθησαν καὶ καθαιρέται τοῦ ναοῦ τῶν εἰδώλων γεγόνασι καὶ τοῖς ἀνοικοδομοῦσι τὴν ἐκκλησίαν τοῦ ἔργου συλλήπτορες. Οὕτως οὖν ὁ ἅγιος τῆς εἰς Χριστὸν πίστεως κῆρυξ γενόμενος καὶ πλείστας θαυματουργίας ἐργασάμενος πρὸς Κύριον ἐξεδήμησε τῇ εἰκάδι δευτέρᾳ τοῦ δεκεμβρίου μηνός. — 3. 4. 5. — **Bb** : 2. 3. — **Bc** : 2. 3. 4. 5. 1. — **C** : 2. 3. — **Cd** : 2. 3. — **Ce** : 2. — **Cg** : 2. 3. — **R** : 1. — Γρηγορίου ἐπισκόπου Κωνσταντίας (Mart. 5[3]). — Ἡσιχία τοῦ ἀσκητοῦ (cf. Mart. 4[1], Mai 10[3]). — 4. 5. — **Ra** : 1. — **Rb** : deest. — **Rc** : 1. 3. 4. 5. — **Mc** : 1. 3. — Παύλου τοῦ ἁπλοῦ (Oct. 5[6]). — **Mv** : 1. 3. — Παύλου τοῦ ἁπλοῦ. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

Mart. 8. 1. Μνήμη τοῦ ὁσίου[1] Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας τοῦ ὁμολογητοῦ[2]. Οὗτος τῶν ἀφ' ἡλίου ἀνατολῶν γνωριζόμενος, ἐν Κωνσταντινουπόλει διελθών, καθυπηρέτει Ταρασίῳ τῷ ἁγιωτάτῳ ἔτι πρωτασηκρήτῃ ὑπάρχοντι· ἐπεὶ δὲ θείᾳ ψήφῳ πατριάρχης προεχειρίσθη, μοναστήριον
f. 176v. ἐν τῷ ἱερῷ | τῷ εἰς τοῦ Εὐξείνου Πόντου <εἰσβολὴν[3]> ποιήσας, ἐκεῖσε ἀπέκειρε τόν τε Θεοφύλακτον καὶ τὸν γεγονότα Συνάδων Μιχαὴλ[4]· εἶτα Μιχαὴλ μὲν εἰς τὰ Σύναδα μητροπολίτην ἐχειροτόνησε[2], Θεοφύλακτον δὲ εἰς Νικομήδειαν. Τελευτήσαντος δὲ Ταρασίου, ἐβασίλευσε Λέων ὁ Ἀρμένης, Μιχαὴλ ἐξώσας τῆς βασιλείας. Τότε κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ὁ δυσσεβὴς ἐχώρησε[5], διεδέξατο δὲ Ταράσιον ὁ μέγας Νικηφόρος· καὶ παραυτίκα προσκαλεῖται τοὺς λογάδας τῶν ἀρχιερέων, Αἰμιλιανὸν Κυζίκου, Εὐθύμιον Σάρδεων, Ἰωσὴφ Θεσσαλονίκης, Εὐδόξιον Ἀμορίου[6], Μιχαὴλ Συνάδων, Θεοφύλακτον Νικομηδείας, πρὸς τὸν ἀσεβῆ καὶ ἀποστάτην παραγίνεται βασιλέα καὶ πολλὰ ἀπὸ τῶν θείων γραφῶν αὐτῷ φάρμακα κερασάμενοι, οὐκ ἔσχον τοῦτον καταπειθῆ, ἀλλ' ἀνιάτως εἶχε καὶ ὁ αὐτὸς ἦν. Καὶ οἱ μὲν ἄλλοι σιγὴν ἤγοντο ἀπ' ἐκείνου· μόνος δὲ ὁ μακάριος[7] Θεοφύλακτος πρὸς αὐτὸν ἔφη· « Οἶδα ὅτι τῆς ἀνοχῆς τοῦ Θεοῦ καὶ » τῆς μακροθυμίας καταφρονεῖς· ἀλλ' ἥξει ἐπὶ σὲ » ἐξάπινα δεινὸς ὄλεθρος καὶ ἡ καταστροφὴ » ὁμοίως καταιγίδι καὶ οὐχ εὑρήσεις τὸν ῥυόμενον. » Ὅθεν θυμοῦ πλησθεὶς πάντων ὑπερορίαν[8] καταψηφίζεται[9], τὸν μὲν ἅγιον Νικηφόρον ἐν Θάσῳ τῇ νήσῳ, τὸν δὲ Μιχαὴλ εἰς Εὐδοκιάδα καὶ ἄλλον ἀλλαχοῦ· τὸν δὲ Θεοφύλακτον ἐξώρισεν[2] εἰς Στρόβιλον[10] τὴν νῆσον, ἔνθα διαρκέσας κακουχούμενος[11] ἐπὶ χρόνοις τριάκοντα[12] πρὸς Κύριον ἐξεδήμη-

1. — [1] καὶ ὁμολογητοῦ *add.* C. — [2] *om.* C. — [3] *supplevi ex* Mc; (τῷ εἰς - εἰσβολὴν) *om.* C. — [4] εἰς τὰ Σύναδα M. εἶτα εὐκτηριώτας καθίστησιν C. — [5] (τότε - ἐχώρησε) καὶ χωρήσας πρὸς τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν C. — [6] Ἀμωρίου S, C. — [7] (πρός - μακάριος) καὶ ἀπελθὼν σὺν αὐτοῖς πρὸς τὸν ἀποστάτην ἠτήσαντο τοῦ ἐπιστρέψαι καὶ πολλὰ ὑπὸ γραφῶν διεξῆλθον. Ὡς δὲ οὐκ ἔπεισαν οἱ μὲν ἄλλοι ἐσίγησαν· ὁ δὲ ἅγιος C. — [8] πάντας ὑπερορίᾳ C. — [9] καταδικάζει καὶ C. — [10] Στρόβιλλον S, Τρόβηλον C. — [11] κακοχούμενος S. — [12] (τὴν - τριάκοντα) ἐν ᾗ δ. χ. τ. κακοχούμενος *et hic des.* C.

Mart. 8. SYNAXARIA SELECTA. **H** : 2 (Διονυσίου καὶ τοῦ ἀποστόλου Ἑρμοῦ). — 1. — **P** : 2 : Διονυσίου
Rom. 16. 14. καὶ τοῦ ἁγίου ἀποστόλου Ἑρμοῦ, οὗ[1] μέμνηται Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ. — 1. — **D** : mutil. 1. 2 : Διονυσίου καὶ Ἑρμοῦ. — **Da** : 1. — **Db** : 1. — **K** : 1 (contuli cum Mc). — **N** : 1. 2. — **Bb** : 1. — Ἀρκαδίου, Εὐβούλου καὶ Ἰουλιανοῦ (Mart. 7³, ⁴). — **Bc** : 1. — Μνήμη τοῦ ὁσίου Ἀρκαδίου τοῦ Κυπρίου καὶ ἄθλησις Εὐβούλου καὶ Ἰουλιανοῦ. Ὁ ὅσιος Ἀρκάδιος ὑπῆρχεν ἐκ τῆς νήσου τῆς Κύπρου μοναχὸς ἐκ βρέφους γενόμενος καὶ τῷ Θεῷ διὰ πολιτείας εὐαρεστήσας, ἀγωνιζόμενος ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου καὶ πολλοὺς ὠφελῶν οὐ μόνον διὰ βίου καὶ ἀρετῆς ἀλλὰ καὶ διδασκαλίας καὶ παραινέσεως· ἐξ ὧν ἦσαν καὶ Εὔβουλος καὶ Ἰουλιανός, οἵτινες συχνότερον πρὸς αὐτὸν ἀπερχόμενοι καὶ στηριζόμενοι τοῖς λόγοις αὐτοῦ, ἐπεμελοῦντο[2] τῆς ἀρετῆς. Ἐπὶ δὲ τῆς βασιλείας τοῦ δυσσεβοῦς καὶ παραβάτου Ἰουλιανοῦ κρατηθέντες ὑπὸ τῶν εἰδωλολατρῶν, παρρησίαν λαβόντων ἀπὸ τῆς τοῦ βασιλέως ἐξουσίας κατὰ τῶν χριστιανῶν, καὶ βασανισθέντες ἰσχυρῶς ἀπεκεφαλίσθησαν. Καὶ μαθὼν ταῦτα ὁ ὅσιος Ἀρκάδιος καὶ λυπηθεὶς μέν, εὐχαριστήσας δὲ τῷ Θεῷ τῷ οὕτως οἰκονομήσαντι, προσευχόμενος ἐν τῷ τόπῳ ἐν ᾧ προσεκαθέζετο καὶ δάκρυσι πολλοῖς περιχεόμενος ἐτελειώθη. — Τῶν ἐν Χερσῶνι ἐπισκόπων (Mart. 7¹). — **C** : 2 (Διονυσίου ... Ἑρμοῦ). — 1. — **Cd** : 2. 1. — **Ce** : 2. 1. — **Cg** : 2. 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. 2 (Ἑρμοῦ). — **Rc** : 1. 2 (Ἑρμοῦ ... Διονυσίου). — **Mc** : 1 : Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας. Οὗτος τῶν ἀφ' ἡλίου ἀνατολῶν γνωριζόμενος, ἐν Κωνσταντινουπόλει παρεγένετο καὶ Ταρασίῳ τῷ μεγάλῳ τῆς ὀρθοδοξίας λαμπτῆρι προσοικειωθεὶς ἔτι τῶν ἀσηκρῆτις ἀφηγουμένῳ, ὑπ' αὐτοῦ καλῶς ἐκπαιδεύεται. Ἐπεὶ δὲ θείᾳ ψήφῳ Ταράσιος εἰς τὸν θρόνον[3] ἀνάγεται Κωνσταντινουπόλεως καὶ θεῖος ἀρχιερεὺς ἀναδείκνυται, Παύλου τοῦ Κυπρίου ἐθελουσίως ὑπεκστάντος τοῦ θρόνου, ὡς παρὰ τῶν εἰκονομάχων τὴν ἀρχιερωσύνην δεξάμενον καὶ ἀνάξιον ἑαυτὸν ταύτης ἀποκαλοῦντος[4], τηνικαῦτα Μιχαὴλ ὁ Συνάδων καὶ Θεοφύλακτος ὁ θαυμάσιος τὸν μοναστήριον ὑπέρχονται βίον[5]· καὶ τῷ μοναστηρίῳ τῷ κατὰ[6] τὴν εἰσβολὴν τοῦ Εὐξείνου Πόντου κειμένῳ πρὸς τοῦ μεγάλου Ταρασίου πέμπονται, ἔνθα καὶ περὶ τὰς θερινὰς ὥρας, καύματος ὄντος πολλοῦ καὶ δίψης αὐτοῖς ὑποκειμένης, εἰς γυμνάσιον ἐγκρατείας καὶ τῆς δίψης ἐπέκτασιν τὸν χαλκὸν περίστροφον κατ' εὐθεῖαν ποιήσαντες, τὸ ὕδωρ ῥεῖν ἐπαφῆκαν, αὐτοὶ τούτου μηδαμῶς μετέχοντες· οἵ[7], τῆς ἀρετῆς αὐτῶν ἐπὶ μέγα ἀρθείσης καὶ δίκην ἀστέρος ἐκλαμψάσης[8], ἄξιοι ἀρχιερωσύνης παρὰ τῷ μεγάλῳ Ταρασίῳ ἐκρίθησαν[9] καὶ[10] εὐθὺς[10] εἰς Σύναδα μὲν ὁ Μιχαὴλ πέμπεται, Θεοφύλακτος δὲ ὁ μακάριος ἐν Νικομηδείᾳ ἐπίσκοπος προχειρίζεται[11]. Ὁπόσα δὲ τὰ τούτου κατορθώματα, αὐτὰ δηλοῖ τὰ πράγματα οἵ τε δομηθέντες παρ' αὐτοῦ θεῖοι οἶκοι καὶ τὰ νοσοκομεῖα καὶ ἡ τῶν χηρῶν καὶ ὀρφανῶν προστασία καὶ ἡ ἄμετρος[12] ἐλεημοσύνη· καὶ τοσοῦτον, ὅτι πληρῶν τὴν φιάλην εὐκράτου θερμοῦ τοὺς πηροὺς[13] καὶ χωλοὺς καὶ τοὺς[10] τὰ μέλη λελωβημένους ὁ μακάριος αὐτόχειρ[14] ἀπέσμηχε[15] καὶ ἀπέρρυπτε. Τοῦ τοίνυν μεγάλου Ταρασίου τὸν βίον ἀπολιπόντος, χρόνους[10] ἐννεακαίδεκα[16] ἐν τῇ ἀρχιερωσύνῃ διαρκέσαντος[17],

[1] οὗς P. — [2] ἐπεμέλουν Bc. — [3] εἰς τ. θ. ὁ Τ. K. — [4] (Παύλου - ἀποκαλοῦντος) *om.* K. — [5] βίον ὑπ. K. — [6] εἰς K. — [7] (ἔνθα - μετέχοντες οἱ) εἶτα K. — [8] καὶ *add.* K. — [9] κριθέντες K. — [10] *om.* K. — [11] προχ. ἐπίσκοπος K. — [12] ἄστεργος K. — [13] ἀναπείρους K. — [14] αὐτ. ὁ μ. K. — [15] ἔσμιχε K. — [16] πεντεκαίδεκα K. — [17] χρόνους *add.* K.

σεν. Μετὰ δέ τινας χρόνους, τῆς αἱρέσεως παυθείσης τῇ ἀναιρέσει τοῦ τυράννου καὶ τῆς ὀρθοδοξίας ἀναλαμψάσης, ἐπὶ Θεοδώρας τῆς εὐσεβεστάτης Αὐγούστης καὶ Μεθοδίου τοῦ ἁγιωτάτου πατριάρχου, τὸ τίμιον σῶμα τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφυλάκτου ἐκ τῆς ὑπερορίας ἀνακομίζεται καὶ κατατίθεται ἐν Νικομηδείᾳ ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι ναῷ. Mart. 8.

2. Καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἑρμύλου[1], οὗ μέμνηται ὁ ἅγιος ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους. Rom. 16, 14.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

1. Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τεσσαράκοντα μαρτύρων[1] τῶν ἐν Σεβαστείᾳ τῇ πόλει μαρτυρησάντων κατὰ τοὺς καιροὺς Λικινίου ἐπὶ Ἀγρικολάου ἡγεμόνος[2]. Οὗτοι γὰρ[3] ἐκ διαφόρων πατρίδων ὄντες ὑφ' ἑνὶ τάγματι[4] ἐστρατεύοντο. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν κατασχεθέντες καὶ εἰς ἐξέτασιν ἀχθέντες καὶ πεισθῆναι θῦσαι τοῖς εἰδώλοις μὴ βουληθέντες[5], πρῶτον μὲν λίθοις τὰς ὄψεις καὶ τὰ στόματα[6] βάλλονται· αἱ δὲ βολαὶ
f. 177. οὐ | μᾶλλον τούτους ἢ τοὺς βάλλοντας ἀντιστρεφόμεναι ἔπληττον. Ἔπειτα ἐν χώρᾳ καὶ ὥρᾳ[7] χειμερινῇ γυμνοὶ[8] διανυκτερεύειν κατεδικάσθησαν[8] μέσον τῆς λίμνης τῆς[8] πρὸ[8] τῆς πόλεως. Ἔνθα ἑνὸς ἐξ αὐτῶν φιλοψυχήσαντος καὶ πρὸς τὸ βαλανεῖον ἀποδραμόντος[9], ἅμα τῇ προσβολῇ τῆς θερμῆς διαλυθέντος, ὁ παρατηρῶν αὐτοὺς δήμιος καὶ φυλάττων[10] εὐθὺς μετὰ τῶν ἁγίων ἀντὶ τοῦ λείποντος κατέστησεν[11] ἑαυτόν, φῶς ἐν νυκτὶ περὶ τοὺς μάρτυρας ἰδὼν καὶ στεφάνους ἐφ' ἕκαστον αὐτῶν κατιόντας ἐξ οὐρανοῦ τεσσαράκοντα· ὧν οἱ (Mart. 9.)

2. — [1] S, Ἑρμοῦ *ceteri fere.*
1. — [1] ἁγίων μεγαλομαρτύρων μ' Mc. — [2] (τῶν - ἡγεμόνος) *om.* Mc. — [3] *om.* Mc. — [4] στρατεύματι Mc. — [5] (καὶ πεισθῆναι - βουληθέντες) *om.* Mc. — [6] τὰ στ. κ. τ. ὄψεις Mc. — [7] εἶτα ἐν ὥρᾳ Mc. — [8] καταδικασθέντες Mc. — [9] καὶ *add.* Mc. — [10] κ. φ. *om.* Mc. — [11] μετέστησεν Mc.

καὶ Νικηφόρου τοῦ πανσόφου τοῦτον διαδεξαμένου, ἐλεεινὸν πρᾶγμα εἰσπίπτει[18]. Λέοντος γὰρ τοῦ Ἀρμενίου[19] δραξαμένου τῆς βασιλείας καὶ πρὸς τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν χωρήσαντος, μεταστειλάμενος ὁ μέγας Νικηφόρος τοὺς λογάδας τῶν ἀρχιερέων, Αἰμιλιανὸν Κυζίκου, Εὐθύμιον Σάρδεων, Ἰωσὴφ Θεσσαλονίκης, Εὐδόξιον Ἀμορίου, Μιχαὴλ Συνάδων[20] σὺν πολλοῖς καὶ[10] ἄλλοις[21] καὶ τὸν μακάριον Θεοφύλακτον, πρὸς τὸν ἀσεβῆ[22] καὶ ἀποστάτην παραγίνεται βασιλέα[23]. Καὶ πολλὰ ἀπὸ τῶν θείων γραφῶν αὐτῷ[24] φάρμακα κερασάμενος[25] οὐκ ἔσχε τοῦτον καταπειθῆ· ἀλλ'[26] ἀνιάτως εἶχε καὶ ὁ αὐτὸς ἦν. Καὶ οἱ μὲν ἄλλοι σιγὴν ἤγοντο ἀπ' ἐκείνου[27]· μόνος δὲ ὁ μακάριος[28] πρὸς αὐτὸν ἔφη· « Οἶδα ὅτι τῆς ἀνοχῆς καὶ μακροθυμίας τοῦ Θεοῦ καταφρονεῖς· ἀλλ' ἥξει ἐπὶ σὲ δεινὸς ὄλεθρος » ἐξάπινα[29] καὶ ἡ καταστροφὴ ὁμοία καταιγίδι· καὶ οὐχ εὑρήσεις τὸν ῥυόμενον. » Ἐπὶ τούτοις θυμοῦ πλησθεὶς ἅπαντας ὑπερορίᾳ καταδικάζει· καὶ τὸν μὲν θεῖον Νικηφόρον ἐν Θάσῳ τῇ νήσῳ, τὸν δὲ ἀοίδιμον Μιχαὴλ Συνάδων εἰς Εὐδοκιάδα καὶ ἄλλον ἀλλαχοῦ[30]· Θεοφύλακτον δὲ τὸν τρισόλβιον εἰς Στρόβιλον. Ἐκεῖσε οὖν διαρκέσας ὁ μακάριος οὗτος ὁμολογητὴς[31] χρόνους τριάκοντα καὶ τῇ ἐκ τῆς ἀλλοτρίας κακουχίᾳ[32] ἐγκαρτερήσας πρὸς Κύριον ἐξεδήμησε[33]. Μετὰ δέ τινας χρόνους κτλ. — Παύλου Πλουσιάδος (Mart. 7²). — 2 (Ἑρμοῦ). — Δίων μαχαίρᾳ τ. — Δομέτιος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Παύλου. — 2 (Ἑρμοῦ). — Δίων. — Δομέτιος. — **Mr** : 1. Mart. 8.

SYNAXARIA SELECTA. **H** : 1. — Παύλου ἐπισκόπου Προυσιάδος (Mart. 7²). — **P** : 1. — Παύλου. — **D** : 1. — Παύλου. — **Da** : 1. — Παύλου. — **Db** : 1. — Παύλου. — **K** : 1. — Παύλου. — **N** : 1. — **Bb** : 1. — Διονυσίου (Mart. 11¹). — **Bc** : 1. — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1 : Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων τεσσαράκοντα τῶν ἐν Σεβαστείᾳ τῇ πόλει[1] μαρτυρησάντων κατὰ τοὺς καιροὺς Λικινίου τοῦ βασιλέως καὶ Ἀγρικολάου ἡγεμόνος, ὧν τὰ ὀνόματά εἰσι ταῦτα· Κυρίων[2], Κάνδιδος, Δόμνος, Σευηριανός, Εὐτύχιος, Κύριλλος, Θεόδουλος, Βιβιανός, Ἀγγίας, Ἡσύχιος, Εὐνοϊκός[3], Μελίτων[4], Ἠλιάδης[5], Ἀλέξανδρος, Σακεδὼν[6], Οὐάλης, Πρίσκος, Χουδίων[7], Ἡράκλειος, Ἐκδίκιος[8], Ἰωάννης, Φιλοκτήμων, Φλάβιος, Ξάνθιος, Οὐαλλέριος, Νικόλαος[9], Ἀθανάσιος, Θεόφιλος, Λυσίμαχος, Γάϊος, Κλαύδιος, Σμάραγδος, Σισίννιος, Λεόντιος, Ἀέτιος, Ἀκάκιος, Δομετιανός, Γοργόνιος, Ἰουλιανὸς καὶ Ἀγλάϊος, ὁ καὶ καπικλάριος. Οὗτοι οἱ ἅγιοι κτλ. — **Rb** : deest. — **Rc** : 1 (contuli cum Ra). — Παύλου ἐπισκόπου Συνάδων. — **Mc** : 1. — Οὐρπασιανοῦ. Ἄρτι τότε τὴν βασιλείαν Μαξιμιανὸς δυσσεβῶς ἐνδυσάμενος, τὴν περίοικον Νικομηδείας κατετυράννει, διάπυρος ἔκδικος τῶν εἰδώλων γενόμενος. Τούτου ποτὲ τὸν θυμὸν ὡς φλόγα μεγάλην ἀνάψαντες κατὰ τῶν χριστιανῶν οἱ τούτου σύμφρονες καὶ συμπόται, τότε σχεδὸν πάντας τοὺς ὑπὸ τὴν βασιλείαν αὐτοῦ συγκλητικοὺς ἐκκλησιάσας ἅμα καὶ τοὺς ἐκκλησιαστικοὺς κατεβρόντησεν· « Εἴ τις ἐξ ὑμῶν περιέπεσεν » εἰς τὴν τῶν χριστιανῶν κακίστην θρησκείαν καὶ οὐ θέλει μετάμελος πρὸς τοὺς εὐμενεῖς θεοὺς ἡμῶν » γενέσθαι, λυσάτω τὴν ζώνην αὐτοῦ ἐνώπιον πάντων καὶ ὑποχωρείτω τοῦ τε παλατίου καὶ τῆς Mart. 9.

— [18] συνεισπίπτει πρᾶγμα K. — [19] μισοχρίστου K. — [20] (τοὺς λογάδας - Συνάδων) K. — [21] ἀρχιερεῦσι *add.* K. — [22] ἀσεβέστατον K. — [23] (καὶ - βασιλέα) βασιλέα παραγίνεται K. — [24] τὰ *add.* K. — [25] κερασάμενοι K. — [26] (οὐκ - ἀλλ) *om.* K. — [27] ἀπὸ τοῦδε K. — [28] ἅγιος Θεοφύλακτος K. — [29] ἐξ. δ. ὄλεθρος K. — [30] ἀλλαχόθεν K. — [31] Θεοφύλακτος *add.* K. — [32] τὴν ... κακουχίαν K. — [33] ἐκδημῇ *et hic des.* K.

[1] λίμνῃ Rc. — [2] Κυρίον Ra; *in* Rc *nomina tribus columnis scripta sunt.* — [3] Εὐνόηκος Rc. — [4] Μελήτων Rc. — [5] Ἡλιανὸς *in* Testamento XL martyrum, Bonwetsch, *p. 80.* — [6] Σακεδῶν Rc, Σακέρδων, Bonwetsch, *p. 80.* — [7] Χουδίον Ra, Rc. — [8] Ἐκδίκειος Ra. — [9] *in* Rc *post* Κύριλλος *scriptum.*

Mart. 9. μὲν τριάκοντα ἐννέα τῶν ἐκεῖσε ὄντων, τὸν δὲ ἕτερον στέφανον ἀντὶ τοῦ πρὸς βαλανεῖον εἰσελθόντος ἦν περιττεῦον· ἐν ᾧ εἰσδραμὼν ὁ καπικλάριος πιστεύσας ἐδέξατο αὐτὸν σὺν αὐτοῖς ὤν[12]. Ἤδη δὲ τῆς ἡμέρας ὑποφαινούσης[13], ὡς λειποψυχοῦντες μὲν οἱ ἅγιοι ἔτι δὲ ἐμπνέοντες ὤφθησαν, τὰ σκέλη θλασθέντες τὸν διὰ μαρτυρίου στέφανον ἐκομίσαντο. Εἶτα πυρὶ παραδοθέντες καὶ ἐφ' ἁμαξῶν τεθέντες[14] τοῖς ποταμίοις ἀπερρίφησαν ὕδασι. Οὕτω δὲ ἄρα αὐτοῖς καὶ[15] τοκεῦσιν[15] ἀσπαστὸς καὶ[15] καθ' ἡδονὴν ὁ θάνατος ἐνομίζετο, ὡς καταλειφθέντα τινὰ παρὰ τοῦ τυράννου δι' ἡλικίαν καὶ ῥώμην σώματος ἀναφέροντα, νομίσαντος[16] αὐτὸν ἴσως μεταβουλεύσασθαι, τὴν μητέρα παρὰ δόξαν ἐπὶ τὸν νῶτον ἀραμένην ἀντὶ τοῦ ἀγαπᾶν εἰ σωθείη περιλειφθείς[17], ταχυδρομῆσαι καὶ τὰς ἁμάξας καταλαβεῖν, αἳ πρὸς τὸν ποταμὸν ἔφερον τοὺς ἁγίους, καὶ[15] ἐν ταύταις[18] τὸν παῖδα ἀποφορτίσασθαι[19] ἤδη καὶ αὐτὸν ὑπελθόντα τὸν θάνατον. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ[20] μαρτυρείῳ αὐτῶν[15], τῷ ὄντι πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Mart. 10. 1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Κοδράτου[1] Διονυσίου[2], Κυπριανοῦ, Ἀνέκτου, Παύλου καὶ Κρίσκεντος. Οὗτοι ὑπῆρχον ἐκ Κορίνθου κατὰ τοὺς χρόνους Δεκίου καὶ Οὐαλεριανοῦ[3] καὶ Ἰάσωνος ἡγεμόνος Ἑλλάδος. Ὁ δὲ ἅγιος Κοδράτος κομιδῇ νήπιος καταλειφθείς, τῆς μητρὸς ἀποιχομένης αὐτοῦ, παραδόξως ἐτρέφετο, νέφους ἐπ' αὐτὸν[4] συνισταμένου καὶ χορηγοῦντος τροφήν. Ἤδη δὲ ἐν νεανίσκοις τελοῦντι συνήθεις οἱ εἰρημένοι γεγόνασιν ἅγιοι· ἤρχετο δὲ πάντων ὁ ἅγιος Κοδράτος καὶ ἐδίδασκεν αὐτοὺς τὴν ἀλήθειαν. Μετὰ δὲ χρόνον τινὰ ὑπὸ τῶν εἰδωλολα-

— 12 (ἐξ - ὤν) *om.* Mc. — 13 ἐπιφανούσης Mc. — 14 (καὶ ἐφ. - τεθέντες) *om.* Mc. — 15 *om.* Mc. — 16 ἀναφέροντα ν. *om.* Mc. — 17 περιλειφθείης S. — 18 αὐταῖς Mc. — 19 ἀποφορτήσασαι S, ἀποφορτίζεσθαι Mc. — 20 ἁγιωτάτω αὐτῶν *add.* Mc.
1. — 1 τοῦ ἐν Κορίνθω καὶ τῶν σὺν αὐτῷ *add.* Mc. — 2 Παύλῳ Διονυσίω *etc.* Mc. — 3 Οὐαλλεριανοῦ Mc.
— 4 αὐτῷ Mc.

Mart. 9. » πόλεως ἡμῶν. Ἡ γὰρ πόλις αὕτη θεοὺς μεμάθηκε λατρεύειν ἐκ προγόνων, καὶ οὐ Θεὸν ἕνα καὶ τοῦτον » ἐσταυρωμένον. » Τότε δὴ τότε φρίκη περιέσχεν ἅπαντας τοὺς εἰς Χριστὸν πεπιστευκότας, καὶ ἦν ἰδεῖν ἀληθῶς τὴν εἰς Χριστὸν γυμναζομένην ὄντως εὐσέβειαν. Οἱ μὲν γὰρ ὑπεκρύπτοντο, οἱ δὲ ταῖς βασάνοις ὑπέκυπτον. Ὅσοι δὲ τὴν εἰς Θεὸν ἀγάπην ἀκίβδηλον ἔφερον, ἀφειδήσαντες τῶν σωμάτων καὶ ἐπεγγελῶντες τὸν τύραννον, τὰς ἑαυτῶν ζώνας ἀπορρίπτοντες ἀπέτρεχον ἐξ αὐτοῦ. Τότε ὁ μεγαλόφρων καὶ ἀδαμάντινος τὴν ψυχὴν Οὐρπασιανός, εἷς ὢν καὶ αὐτὸς τῆς συγκλήτου, θείῳ ζήλῳ πυρούμενος ἐλθὼν ἐνώπιον τοῦ βασιλέως ἐκείνου καὶ πάσης τῆς συγκλήτου, ἔρριψε τὴν ἑαυτοῦ χλαμύδα καὶ ζώνην εἰπὼν μεγαλοφρόνως πρὸς τὸν βασιλέα· « Ἐπειδή, βασιλεῦ, ἐγὼ σήμερον ἀντιστρατεύομαι τῷ ἐπου- » ρανίῳ καὶ ἀθανάτῳ βασιλεῖ τῷ κυρίῳ μου Ἰησοῦ Χριστῷ, λάβε σου τὴν ζώνην καὶ τὴν τιμὴν καὶ » δόξαν· πρόσκαιρος γάρ ἐστι καὶ εἰς οὐδὲν χρησιμεύουσα. » Ταῦτα ἀπροσδοκήτως ἐπεξιόντος τοῦ Οὐρπασιανοῦ ὁ βασιλεὺς Μαξιμιανὸς ἀκούσας, ἠλλοιώθη τὰς φρένας καὶ ἐπὶ πολλὴν ὥραν ἔμεινεν ἄφωνος. Εἶθ' οὕτως τὴν ὄψιν τρίψας καὶ λοξὸν προσβλεψάμενος πρὸς τὸν μάρτυρα, ἐξεβρόντησεν ὡς ἀνήμερος θήρ, προσειπών· « Τὸν ἀλιτήριον κρεμάσαντες τὰς σάρκας αὐτοῦ τοῖς βουνεύροις καταξά- » νατε. » Τούτου δὲ γενομένου μετὰ πολλοῦ τοῦ τάχους καὶ τοῦ ἁγίου μάρτυρος ἐπὶ πολλὰς τὰς ὥρας τοῖς βουνεύροις ἀνηλεῶς συγκοπτομένου καὶ μηδ' ὁπωσοῦν στυγνάζοντος, καταγαγὼν αὐτὸν ὁ τύραννος ἀπὸ τοῦ μαγγάνου φησὶ πρὸς τοὺς παρεστῶτας· « Ἐν φρουρᾷ ἀφεγγεῖ καὶ ἀσφαλεστάτῃ ἀνεπιμέ- » λητον τοῦτον ταριχεύσατε, ἕως ἂν σκέψωμαι ποίῳ θανάτῳ αὐτὸν ἀναλώσω. » Τοῦ δὲ ἁγίου μάρτυρος χαίροντος καὶ εὐφραινομένου ἐν τῇ φυλακῇ ἐπὶ ἡμέρας τινὰς καὶ τὰς εὐχὰς αὐτοῦ τῷ Κυρίῳ ἀποδιδόντος, κατεσκεύασεν ὁ δυσσεβὴς βασιλεὺς ὄργανον τιμωρητικόν· τὸ δὲ ἦν κλωβὸς σιδηροῦς. Καὶ ἐξαγαγὼν τὸν ἅγιον τῆς εἱρκτῆς, προσέταξε βληθῆναι αὐτῷ καὶ εἰς ὕψος κρεμασθῆναι· τούτου δὲ γενομένου καὶ τοῦ ἁγίου μάρτυρος ἐκ τῶν χειρῶν κρεμαμένου καὶ ἐνδεδυμένου τὸν σιδηροῦν κλωβὸν ἐκεῖνον δι' ὅλου τοῦ σώματος, ἐκέλευσεν ὁ δύστηνος λαμπάδας ἀναφθῆναι καὶ γύρωθεν αὐτοῦ ἀνηλεῶς κατακαίεσθαι. Τότε ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς ἔνδον τοῦ ὀργάνου ἐκείνου ὢν κρεμάμενος, τοσοῦτον κατεκαύθη, ἕως οὗ πᾶσαι αἱ σάρκες αὐτοῦ κατέρρευσαν ὥσπερ κηρός, συγχυθεῖσαι καὶ ἀναμιγεῖσαι τῇ γῇ, καὶ τὰ ὀστᾶ αὐτοῦ πάντα γεγόνασιν ὡς χοῦς ἀπὸ ἅλωνος. Καὶ οὕτως ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς προσευχόμενος καὶ ἀναλυόμενος, τὸν ἀέρα γεμίσας μυρεψικῆς εὐωδίας ἀνῆλθεν ὡς ἀστὴρ φαεινὸς πρὸς Κύριον, καθὼς τινες τῶν πιστῶν ἰδεῖν ἠξιώθησαν. Ὁ δὲ δύστηνος καὶ θεομισὴς βασιλεὺς ἔτι τῇ μανίᾳ ἐμμένων τὸν χοῦν τῆς γῆς, ἐν ᾧ αἱ σάρκες τοῦ ἁγίου κατέρρευσαν, καὶ τὸν χοῦν τῶν ὀστέων ἐπιμελῶς συλλέξας εἰς τὴν θάλασσαν ἐνώπιον αὐτοῦ σκορπισθῆναι πεποίηκε. Ταῦτα γεγόνασιν ἐν πόλει Νικομηδείας. — Καισάριος ὁ ἀδελφὸς τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι ἓξ μάρτυρες πάππος, μάμμη, πατήρ, μήτηρ καὶ δύο τέκνα ξ. τ. — **Mv** : 1. — Παύλου ἐπισκόπου Πλουσιάδος. — Ταρασίου καὶ Καισαρίου ἀδελφοῦ τοῦ ἁγίου Γρηγορίου. — Πάππος κτλ. — **Mr** : 1.

Mart. 10. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Σωφρονίου ἐπισκόπου Ἱεροσολύμων (Mart. 11[1]). — Καὶ τοῦ ἁγίου Πουπλίου. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — Παύλου ἐπισκόπου Προυσιάδος (Mart. 7[2]). — **Bb** : 1. — **Bc** : 1. — Διονυσίου. — **C** : 1 (in marg. : ζήτει τοῦ ἁγίου Σωφρονίου ἔμπροσθεν...). — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : deest. — **Rb** : deest. — **Rc** : 1. — **Mc** : 1. — Ἀναστασίας τῆς πατρικίας. Ἐν ταῖς ἡμέραις Ἰουστινιανοῦ τοῦ μεγάλου βασιλέως γέγονέ τις γυνὴ ἐν τῷ Βυζαντίῳ Ἀναστασία, εὐλαβὴς καὶ φοβουμένη τὸν Θεόν, ἐξ εὐγενῶν καὶ πλουσίων γονέων καταγομένη. Καὶ αὕτη πρώτη πατρικία οὖσα τοῦ βασιλέως, αὕτη τὸν τοῦ Θεοῦ φόβον

Mart. 10. ἐν ἑαυτῇ ἔχουσα, ἐπορεύετο κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ. Εἶχε δὲ φυσικὴν εὐστάθειαν καὶ πολλὴν πραότητα, ὥστε πάντας ἐπιτέρπεσθαι εἰς τὰς ἀρετὰς αὐτῆς, ἀλλὰ μὴν καὶ αὐτὸν τὸν βασιλέα. Καὶ ἐπειδὴ ἀεὶ ὁ τῶν ζιζανίων σπορεὺς τὸ καλὸν εἴωθε φθονεῖν καὶ διαβάλλειν καὶ μὴ συγχωρεῖν ἀναπαύεσθαι, ἐφθονήθη καὶ αὐτὴ παρὰ τῆς βασιλίσσης. Καὶ γνοῦσα τὸν φθόνον παρά τινος, ἡ ὄντως κατὰ Θεὸν πεπυκνωμένη λέγει πρὸς ἑαυτήν· « Ἀναστασία, εὐκαίρου καὶ ἀληθινῆς ὑποθέσεως γενο- » μένης, σώζουσα σῶσον τὴν σεαυτῆς ψυχήν, καὶ τὴν μὲν βασίλισσαν ἀπαλλάττεις τοῦ ἀλόγου » φθόνου, σεαυτῇ[1] δὲ προξενήσεις τὴν τῶν οὐρανῶν βασιλείαν. » Καὶ ὡς ταῦτα πρὸς ἑαυτὴν ἐβουλεύσατο, μισθωσαμένη πλοῖον συνάξασα ἐκ τοῦ πλούτου αὐτῆς μέρος τι τὰ λοιπὰ πάντα καταλιποῦσα τὴν Ἀλεξάνδρειαν κατέλαβε· καὶ κτίσασα ἐν τῷ Πέμπτῳ μοναστήριον, ἐξύφαινε θείους μίτους ἐκεῖσε καθεζομένη καὶ τῷ Θεῷ ἀρέσαι σπουδάζουσα· ἐν ᾧ καὶ μέχρι τῆς σήμερον σώζεται ἡ ταύτης μονή, τὸ Πατρικίας ὄνομα περιφέρουσα. Μετὰ δὲ χρόνους τινὰς παρελθοῦσα ἡ βασίλισσα τὸν τῇδε βίον, ἀναμνησθεὶς ὁ βασιλεὺς τῆς πατρικίας ἐξέπεμψε πανταχοῦ μετὰ πολλῆς τῆς ἐπιτάσεως ἀναζητῶν αὐτήν. Τοῦτο πάλιν γνοῦσα ἡ ἀληθῶς ἀμνὰς τοῦ Θεοῦ, νυκτὸς ἐάσασα αὐτῆς τὸ μοναστήριον ἀνῆλθεν ἐν Σκήτει πρὸς τὸν ἀββᾶν Δανιήλ· καὶ προσαναθεῖσα τὸ πᾶν τῷ μακαρίῳ γέροντι, ἐνέδυσεν αὐτὴν στολὴν ἀνδρῴαν, ὀνομάσας αὐτὴν Ἀναστάσιον τὸν εὐνοῦχον. Καὶ εἰσαγαγὼν αὐτὴν ἐν σπηλαίῳ, μήκοθεν ὄντι τῆς λαύρας[2] αὐτοῦ, καθεῖρξεν αὐτὴν δοὺς αὐτῇ καὶ κανόνας. Καὶ προσέταξε μηδέποτε ἐξέρχεσθαι τοῦ κελλίου μήτε τινὰ εἰσέρχεσθαι πρὸς αὐτὴν τὸ παράπαν, τυπώσας ἕνα τῶν ἀδελφῶν κομίζειν αὐτῇ ἅπαξ τῆς ἑβδομάδος κεράμιον ὕδατος καὶ τιθέναι ἔξω τοῦ σπηλαίου καὶ λαμβάνειν εὐχὴν καὶ ὑπαναχωρεῖν. Ἐκεῖσε οὖν ἡ ἀδαμάντινος αὕτη καὶ ἀνδρεία ψυχὴ ἀπροΐτως ἐκτελέσασα χρόνους εἰκοσιοκτὼ ἐφύλαττε τὸν κανόνα τοῦ γέροντος ἀπαράτρωτον καὶ ἀπαρεγχείρητον. Ποῖος οὖν νοῦς ἢ γλῶσσα τῶν εἰκοσιοκτὼ χρόνων τὰς κατὰ Θεὸν ἀρετὰς αὐτῆς ἐννοήσει διηγήσασθαι ἢ γραφῇ παραδοῦναι, ἃς αὐτὴ μόνη καθ' ἑαυτὴν τῷ Θεῷ καθεκάστην προσήγαγε, τὸ δάκρυον, τοὺς στεναγμούς, τοὺς ὀδυρμούς, τὴν ἀγρυπνίαν, τὴν εὐχήν, τὴν ἀνάγνωσιν, τὴν στάσιν, τὴν γονυκλισίαν, τὴν ξηροκοιτίαν, τὴν χαμευνίαν, τὴν νηστείαν· πρὸ δὲ πάντων καὶ μετὰ πάντων τὰς τῶν δαιμόνων συμπλοκὰς καὶ ἐπαναστάσεις, τὰς τῆς σαρκὸς ἡδονὰς καὶ πονηρὰς ἐνθυμήσεις καὶ τὰ τούτων ἀντίρροπα. Τὸ δὲ εἶναι αὐτὴν παντάπασιν ἀπρόϊτον πάσας τὰς ἡμέρας τῶν τοσούτων ἐνιαυτῶν γυναῖκα συγκλητικὴν καὶ εἰς τὰ βασίλεια ἀεὶ ἐκ συνηθείας μετὰ πλήθους ἀνδρῶν τε καὶ γυναικῶν συναναστρεφομένην, ἐκπλήττει πάντα νοῦν καὶ διάνοιαν. Ἐν τούτοις πᾶσι καλῶς ἀγωνισαμένη γέγονε σκεῦος τοῦ ἁγίου Πνεύματος. Προγνοῦσα δὲ τὴν ἑαυτῆς πρὸς Κύριον μετάθεσιν, ἔγραψεν εἰς ὄστρακον πρὸς τὸν γέροντα λέγουσα· « Πάτερ τίμιε, λάβε μετὰ σοῦ ἐν σπουδῇ τὸν τὸ ὕδωρ κομίζοντα μαθητὴν καὶ ἐπιτήδεια ἐργαλεῖα πρὸς » ταφήν, καὶ ἐλθὲ ἵνα κηδεύσῃς τὸ τέκνον σου Ἀναστάσιον τὸν εὐνοῦχον. » Ταῦτα ὡς ἔγραψεν, ἐναπέθετο ἔξω τῆς θύρας τοῦ σπηλαίου. Ὁ δὲ γέρων διὰ νυκτερινῆς ὀπτασίας μυηθεὶς ταὐτά φησι πρὸς τὸν μαθητήν· « Σπεῦσον, ἀδελφέ, πρὸς τὸ σπήλαιον, ἐν ᾧ ἐστιν ὁ ἀδελφὸς ἡμῶν Ἀναστάσιος ὁ εὐνοῦχος· » καὶ προσσχὼν ἔξω τῆς θύρας τοῦ σπηλαίου εὑρήσεις ὄστρακον γεγραμμένον. Τοῦτο λαβὼν ἐν » σπουδῇ πολλῇ ὑπόστρεψον πρὸς ἡμᾶς. » Τοῦ δὲ ἀπελθόντος καὶ ἀνενεγκόντος αὐτὸ καὶ ἀναγνοὺς ὁ γέρων ἐδάκρυσε. Καὶ λαβὼν ἐν σπουδῇ τὸν ἀδελφὸν καὶ τὰ ἐπιτήδεια, ἐπορεύθη· καὶ ἀνοίξαντες τὸ σπήλαιον εὗρον τὸν εὐνοῦχον πυρετῷ συνεχόμενον. Καὶ προσπεσὼν ἐπὶ τὸ στῆθος αὐτοῦ ὁ γέρων ἔκλαυσε λέγων· « Μακάριος εἶ, ἀδελφὲ Ἀναστάσιε, ὅτι τῆς ὥρας ταύτης ἀεὶ φροντίζων κατεφρόνησας » βασιλείας ἐπιγείου. » Ἡ δέ· « Ἐγὼ μᾶλλον, πάτερ, φησίν, χρείαν ἔχω πολλῶν εὐχῶν ἐν τῇ ὥρᾳ » ταύτῃ. » Καὶ λέγει ὁ γέρων· « Εἰ προέλαβον ἐγώ, εἶχον ἂν παρακαλέσαι τὸν Θεόν. » Καὶ ἀνακαθίσασα ἐπὶ τοῦ ψιαθίου τὴν κεφαλὴν τοῦ γέροντος κατεφίλησε προσευξαμένη. Καὶ λαβὼν ὁ γέρων τὸν μαθητὴν αὐτοῦ ἔρριψε παρὰ τοὺς πόδας αὐτῆς λέγων· « Εὐλόγησον τὸν μαθητήν μου, τὸ τέκνον σου. » Ἡ δὲ εἶπεν· « Ὁ Θεὸς τῶν πατέρων μου, ὁ παρεστηκώς μοι ἐν τῇ ὥρᾳ ταύτῃ τοῦ χωρίσαι με ἐκ τοῦ σώματος » τούτου, ὁ εἰδὼς τὰ ἐν τῷ σπηλαίῳ τούτῳ[3] διαβήματα[4], διὰ τὸ ὄνομά σου καὶ τὴν ἐμὴν ἀσθένειαν » καὶ ταλαιπωρίαν αὐτὸς ἀνάπαυσον τὸ πνεῦμα τῶν πατέρων ἐπ' αὐτῷ, ὡς ἀνεπαύσατο τὸ πνεῦμα » Ἠλιοῦ ἐπὶ τὸν Ἐλισσαιέ. » Καὶ ἐπιστραφεὶς ὁ εὐνοῦχος πρὸς τὸν γέροντα λέγει· « Διὰ τὸν Κύριον, » πάτερ, μὴ ἀποδύσητε ἃ περιβέβλημαι, καὶ μηδεὶς γνῷ τὰ περὶ ἐμοῦ. » Καὶ μεταλαβοῦσα τῶν θείων μυστηρίων λέγει· « Δότε μοι τὴν ἐν Χριστῷ σφραγῖδα καὶ εὔξασθε ὑπὲρ ἐμοῦ. » Καὶ ἀναβλέψασα κατὰ ἀνατολάς, ἔλαμψεν ὥσπερ πυρσὸς θείαν αἴγλην[5] δεξαμένη ἐν τῷ προσώπῳ. Καὶ ποιήσασα τὸ σημεῖον τοῦ τιμίου σταυροῦ εἶπε· « Κύριε, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. » Καὶ τοῦτο εἰποῦσα παρέδωκε τὸ πνεῦμα. Καὶ ὀρύγματος γενομένου ἔμπροσθεν τοῦ σπηλαίου, ἀποδυσάμενος ὁ γέρων ὃ ἐφόρει ἱμάτιον, λέγει τῷ μαθητῇ· « Ἔνδυσον τῷ ἀδελφῷ, τέκνον, ἄνωθεν ὧν περιβέβληται. » Ἐνδύοντος δὲ τοῦ ἀδελφοῦ τὴν μακαρίαν, ἐφάνησαν μὲν τούτῳ οἱ ταύτης μαστοὶ ὡς φύλλα κατεξηραμμένα, οὐδὲν δὲ περὶ τούτου τῷ γέροντι διεσάφησε. Μετὰ δὲ τὸ ἀπαρτισθῆναι τὴν κηδείαν κατερχομένων αὐτῶν,

1 σεαυτὴν Mc. — 2 λάβρας Mc. — 3 τούτου *corr.* Mc. — 4 διαβήματα ||||||| Mc. — 5 θείαν αἴγλην *in marg.* Mc.

MART. 10. τρῶν διαβληθέντες καὶ συλληφθέντες διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, τυφθέντες σφοδρῶς καὶ βασανισθέντες ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν[5].

f. 177v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

MART. 11. **1.** Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σωφρονίου ἀρχιεπισκόπου Ἱεροσολύμων. Οὗτος χώρας μὲν ἔφυ Φοινίκης τῆς Λιβανοστεφάνου, πόλεως Δαμασκοῦ, εὐσεβῶν καὶ σωφρόνων γονέων υἱός, πατρὸς μὲν Πλινθᾶ, μητρὸς δὲ Μυροῦς. Εὐφυὴς δὲ ὢν ἔμαθε πᾶσαν ἑλληνικὴν καὶ χριστιανικὴν γραφήν. Καὶ μετήρχετο[1] πᾶσαν ἀρετὴν πραττομένην ἐν τοῖς ἐρήμοις· ἔπειτα τὴν μάνδραν τοῦ μεγάλου Θεοδοσίου[2] κατέλαβεν, ἐν ᾗ πᾶσαν θείαν διῆλθε γραφήν· εἶθ' οὕτως ἐπὶ τὴν Ἀλεξάνδρειαν ἀπῆλθε καὶ Αἴγυπτον. Περισσοτέρας[3] δὲ παιδείας γλιχόμενος, περιτυχὼν ἀνδρὶ καλουμένῳ Ἰωάννῃ, τὸν πόθον ἀφωσιώσατο, τὰ παρ' ἐκείνου λαμβάνων καὶ ἀντιδοὺς τὰ σφέτερα. Ἔνθα τοὺς ὀφθαλμοὺς ἐπίχυσιν παθόντας ὑπὸ τῶν ἁγίων Κύρου καὶ Ἰωάννου θεραπεύεται καὶ τῆς ἰατρείας μισθὸν ἀπαιτεῖται τὰ καθ' ἑκάστην αὐτῶν τελούμενα θαύματα γραφῇ παραδοῦναι. Διὰ δὲ τὴν γνῶσιν καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν ἐπίσκοπος Ἱεροσολύμων καθίσταται. Τῆς δὲ ἁγίας πόλεως ὑπὸ τῶν Περσῶν πολιορκηθείσης, εἰς Ἀλεξάνδρειαν πρὸς τὸν μέγαν Ἰωάννην τὸν ἐλεήμονα παραγίνεται· καὶ μετὰ τὴν τελευτὴν ἐκείνου, ἐν ᾗ καὶ ἐγκωμιαστικοῖς λόγοις, ἢ μᾶλλον ἐπιταφίοις, τοῦτον τιμᾷ, πάλιν εἰς τὰ Ἱεροσόλυμα ὑποστρέφει. Πολλὰς δὲ βίβλους συγγραψάμενος καὶ διαφόρους ἁγίους ἐγκωμιάσας τῇ ἁγίᾳ ἐκκλησίᾳ καταλέλοιπεν. Ἀλλὰ καὶ κατὰ αἱρετιζόντων πολλὰ στηλιτεύσας, φρούδους ἀπετέλεσεν καὶ δόγμασι πλείστους[4], τῇ καθολικῇ ἐκκλησίᾳ καταλιπών, ὧν ἕν ἐστιν καὶ τὸ ὑπερθαύμαστον διήγημα τῆς ἀληθῶς[5] ἐν γυναιξὶ ὑπερφυοῦς καὶ ἰσαγγέλου Μαρίας τῆς Αἰγυπτίας. Οὕτω καλῶς καὶ θεοφιλῶς τὸ ποίμνιον ἰθύνας καὶ στόμα Χριστοῦ χρηματίσας, πρὸς αὐτὸν ἐν εἰρήνῃ μεθίσταται.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων. Οὗτος ἐγένετο ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, πρότερον μοναχὸς γενόμενος καὶ ἀσκήσας, ὕστερον διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν προεχειρίσθη ἐπίσκοπος Ἱεροσολύμων, οὕτως δὲ ὁσίως διαπρέψας ἐν τῇ ἀρχιερωσύνῃ, ὡς καὶ ἐν τῇ συνόδῳ προσκληθῆναι, καὶ ἐπιστομίσας καὶ καταισχύνας τὸν δυσσεβῆ Μάνεντα καὶ τὸν σύμφρονα αὐτοῦ λῆρον καὶ πνευματομάχον Μακεδόνιον, καὶ πληρῶσαι τὴν πανήγυριν τῶν ὀρθοδόξων χαρᾶς καὶ εὐ|φροσύνης πνευματικῆς, καλῶς ἀγωνισάμενος ἐν τοῖς ὀρθοδόξοις δόγμασιν καὶ θαύματα πλεῖστα εἰς δόξαν Θεοῦ ἐργασάμενος καὶ τὸ καταπιστευθὲν αὐτῷ ἐκ Θεοῦ ποίμνιον καλῶς ἰθύνας πρὸς Κύριον ἐξεδήμησεν, ἀπολαύων τὴν αἰώνιον βασιλείαν καὶ ζωὴν καὶ συνευφραινόμενος τοῖς ἁγίοις.

— [5] (ἤρχετο - ἀπετμήθησαν) μεθ' ὧν συλληφθεὸς διὰ τ. ε. Χ. ὁ. καὶ τυφθεὶς σφοδρῶς σὺν αὐτοῖς ἀπετμήθη τὴν κεφαλὴν M.

1. — [1] μετέρχετο S. — [2] Θεοδωσίου S. — [3] περισοτέρας S. — [4] πλείστοις S. — [5] ἀληθοῦς S.

MART. 10. λέγει ὁ μαθητής· «Ἔγνως, πάτερ, ὅτι ὁ εὐνοῦχος γυνὴ ἦν; » Ὁ δὲ γέρων ἀπεκρίνατο· « Οἶδα κἀγώ, » τέκνον, ἀλλὰ διὰ τὸ μὴ ἐξηχηθῆναι πανταχοῦ, τούτου χάριν ἀνδρῴαν στολὴν ἐνέδυσα αὐτὴν καὶ » Ἀναστάσιον εὐνοῦχον ὠνόμασα διὰ τὸ ἀνύποπτον· πολλὴ γὰρ ζήτησις ἐγένετο παρὰ τοῦ βασιλέως » περὶ αὐτῆς κατὰ πᾶσαν χώραν καὶ μάλιστα ἐν τοῖς μέρεσι τούτοις. Ἀλλ' ἰδοὺ χάριτι Θεοῦ ἐφυλάχθη » παρ' ἡμῶν. » Καὶ τότε διηγήσατο ὁ γέρων τῷ μαθητῇ λεπτομερῶς τὸν βίον αὐτῆς. — Μαρκιανὸς ξύλοις κλασθεὶς τ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ μνήμη τῆς ἀκαθίστου, ἥτις εὐχαριστήριός ἐστιν ἑορτὴ τῆς ὑπεραγίας Θεοτόκου τῆς σωσάσης τὴν πόλιν ἐκ τῶν ἐθνῶν. — **Mv** : 1. — Ἀναστασίας. — Μαρκιανός. — Μνήμη τῆς ἀκαθίστου. — **Mr** : 1.

MART. 11. SYNAXARIA SELECTA. **H** : 3. — **P** : 3. — **D** : 1. 4. 3. — **Da** : 1. 3. 4. — **Db** : 1. 3. 4. — **K** : 1. 3. 4. — **N** : 1. 4 : Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰωάννου τοῦ ἐπικεκλημένου Τζιμισκῆ. Καταλιπὼν δὲ γυναῖκα καὶ τέκνα, κατὰ τὸν εὐαγγελικὸν λόγον, καὶ συγγενεῖς αὐτούς, τὴν στενὴν ὁδὸν εἵλετο καὶ τὸν ζυγὸν ὑπελθὼν τοῦ Χριστοῦ, διήρχετο κατὰ τὰς πόλεις καὶ χώρας καὶ εἰς αὐτὴν τὴν ἔρημον, θλιβόμενος, ὑστερούμενος, κακουχούμενος καὶ μηδενὸς ἐν μετοχῇ τῶν ἡδέων γινόμενος. Ὅθεν οὐκ ἀθεεὶ γνωσθείσης τούτῳ τῆς ἀναλύσεως, κατέλαβε τὴν Κωνσταντινούπολιν, καὶ κατὰ τὸν πάνσεπτον τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου ναόν, τὸν ἐν τῷ λεγομένῳ Διϊππίῳ, γενόμενος καὶ ἐπὶ ἡμέρας ἑπτὰ μεμενηκώς, ἐν αὐτῷ ἀνεπαύσατο ἐν Κυρίῳ. Καὶ εὑρέθη περικείμενον τῷ σώματι σιδήρου βάρος οὐ φορητόν, ὑφ' οὗ σχεδὸν καὶ καταδεδαπάνητο. Κατασκευασθείσης οὖν θήκης ἐκ λιθίνων πλακῶν, κατετέθη ἐν τῷ νάρθηκι τοῦ εἰρημένου ναοῦ, πολλῶν ἰάσεων ἐνεργηθεισῶν δι' αὐτοῦ τῷ τότε, ἀλλὰ καὶ νῦν ἐνεργουμένων ἄχρι καὶ τήμερον. — Τροφίμου, Θεοφίλου καὶ Θάλλου (Mart. 16[5], manu rec.). — **Bb** : 3. — Γρηγορίου πάπα Ῥώμης (Mart. 12[2]). — Πελαγίας τῆς ἀπὸ ἑταιρίδων (Oct. 8[1]). — **Bc** : 4. 1. — **C** : 3. — **Cd** : 3. — **Ce** : 3. — **Cg** : 3. — **R** : 1. — **Ra** : 1. — **Rb** : deest. — **Rc** : 1. 4 : Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ καὶ Κωνσταντίνου τῶν Πορφυρογεννήτων. Καὶ καταλιπὼν γυναῖκα καὶ τέκνα καὶ συγγενεῖς κτλ. — **Mc** : 1. 3. 4. — Τροφίμου καὶ Θαλλοῦ τῶν ἐν Λαοδικείᾳ μαρτυρησάντων. Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἡγεμονεύοντος Ἀσκληπιοῦ ἐν Λαοδικείᾳ, διωγμὸς γέγονε κατὰ τῶν χριστιανῶν. Καὶ κρατηθέντες οἱ ἅγιοι μάρτυρες Τρόφιμος καὶ Θαλλὸς διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἐλιθοβολήθησαν ἐπὶ ὥρας ἱκανάς. Τοῦ Θεοῦ δὲ περιφρουροῦντος αὐτοὺς ἔμειναν ἀβλαβεῖς. Τοῦτο θεασάμενος ὁ ἄρχων καὶ οἱ σὺν αὐτῷ αἰδεσθέντες εἴασαν αὐτοὺς πρὸς μικρὸν διάγειν ἀτιμωρήτους. Καὶ πάλιν διαβληθέντες παρέστησαν τῷ κριτηρίῳ. Καὶ τὸν Χριστὸν μετὰ παρρησίας Θεὸν

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πιονίου. Οὗτος ἦν πρεσβύτερος τῆς ἐν Σμύρνῃ ἁγίας τοῦ Θεοῦ ἐκκλησίας κατὰ τοὺς καιροὺς Δεκίου τοῦ βασιλέως. Ἐλέγχων δὲ ἰουδαίους καὶ ἕλληνας καὶ πείθων αὐτοὺς ἀπὸ τῶν ἁγίων γραφῶν, ὅτι εἷς ἐστι μόνος Θεὸς ἀληθινός, ὁ τὰ πάντα ποιήσας, καὶ ὁμογενὴς αὐτοῦ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ προστιθεὶς ὅτι πάντες οἱ ἁμαρτωλοὶ καὶ ἄπιστοι παρ' αὐτοῦ τιμωρηθήσονται καὶ πυρὶ αἰωνίῳ παραπεμφθήσονται, καὶ τοῦτο δῆλον ἔκ τε τοῦ σοδομιτικοῦ πυρὸς καὶ τοῦ ἐν τῇ Σικελίᾳ ἀνερχομένου, ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν μετὰ καὶ ἑτέρων χριστιανῶν. Καὶ πρῶτον μὲν παρεδόθη δεδεμένος ἁλύσεσιν τῷ τῶν εἰδώλων ἱερεῖ καὶ τῷ τῆς πόλεως ἀνθυπάτῳ Κυντιλιανῷ[1]. Ὁ δὲ ἡγεμὼν ἔτυψεν αὐτὸν σφοδρῶς καὶ ἐπὶ ξύλου ἐκρέμασε καὶ τὰς πλευρὰς αὐτοῦ κατέφλεξε. Εἶτα ἀπὸ τοῦ ξύλου καταβιβάσας, εἰς κάμινον μεγίστην ἐνέβαλεν· ἐν αὐτῇ προσευχόμενος τὸ μακάριον τέλος εὕρατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Λιθοστρώτῳ[2].

MART. 11. **4.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ[1]. Οὗτος καταλιπὼν γυναῖκα[2], τέκνα καὶ συγγενεῖς τὴν στενὴν ὁδὸν εἵλετο· καὶ ὑπελθὼν τὸν ζυγὸν[3] Κυρίου τὸν ἐλαφρότατον, διήρχετο πόλεις καὶ χώρας καὶ αὐτὴν τὴν ἔρημον, ὑστερούμενος, θλιβόμενος, κακουχούμενος[4]. Ὅθεν γνωσθείσης αὐτῷ θεόθεν τῆς ἀναλύσεως, κατέλαβε τὴν Κωνσταντινούπολιν <καὶ[5]> ἐλθὼν ἐν τῷ[6] ναῷ τοῦ[7] ἠγαπημένου[7] Ἰωάννου τοῦ θεολόγου ἐν τῷ Διϊππίῳ, ἀνεπαύσατο ἐν Κυρίῳ ἑπτὰ ἡμέρας διαρκέσας αὐτόθι. Ἐπεὶ δὲ παρῆσαν οἱ ἐνταφιάζειν αὐτὸν μέλλοντες καὶ τὸν περικείμενον αὐτοῦ τῷ σώματι σίδηρον πολυτάλαντον ὄντα εἶδον καὶ ἅπαν τὸ σῶμα προσηλωμένον αὐτῷ[8], « Κύριε ἐλέησον » ἅπαντες[7] ἔκραζον· διὸ ἐκ μαρμάρων θήκη κατασκευασθείσῃ ἐν τῷ νάρθηκι[9] τοῦ εἰρημένου ναοῦ κατατίθεται, πολλῶν θαυμάτων ἰάσεις προχέων τοῖς μετὰ πίστεως προσερχομένοις· ὧν ἔνιοι τῶν ἀπολελαυκότων τῆς αὐτοῦ ἐπικουρίας εἰσέτι[10] καὶ νῦν πᾶσι διαμαρτύρονται τὰς εἰς αὐτοὺς γενομένας τοῦ ἁγίου θαυματοποιΐας.

f. 178v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

MART. 12. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ τοῦ τῆς Σιγριανῆς, τοῦ κειμένου ἐν τῷ μεγάλῳ Ἀγρῷ. Οὗτος ὁ ὅσιος πατρὸς μὲν ἦν Ἰσαάκ, μητρὸς δὲ Θεοδότης. Τελευτήσαντος δὲ τοῦ πατρός, ἦν ἀνατρεφόμενος παρὰ τῇ μητρί, εὐσεβεῖς ὄντες καὶ πλούσιοι. Γενόμενος δὲ δωδε-

3. — [1] Κιντιλιανῷ S. — [2] *corr. prius* Λιθωστρώτω S.

4. — [1] ἐν τῷ Διιππίω *add.* Mc. — [2] καὶ *add.* Mc. — [3] τοῦ *add.* Mc. — [4] κακοχούμενος S. — [5] Mc, *om.* S. — [6] πανσέπτω *add.* Mc. — [7] *om.* Mc. — [8] τὸ *add.* Mc. — [9] (θ. κ. ἐν τ. ν.) τῇ θήκῃ Mc. — [10] ἔτι Mc.

MART. 11. εἶναι ἀληθινὸν ἐνώπιον πάντων ὁμολογήσαντες, τὰ δὲ εἴδωλα κωμῳδήσαντες καὶ τοὺς τυράννους ἐλέγξαντες, εἰς ὀργὴν τούτους ἐκίνησαν. Διὸ καὶ γυμνοὺς ἐπὶ ξύλου κρεμάσαντες τὰς σάρκας αὐτῶν εὐτόνως κατέξεσαν. Οἱ δὲ ἅγιοι προσευχόμενοι καὶ τοὺς ἕλληνας μυκτηρίζοντες ἐξέμηναν τὸν ἄρχοντα· διὸ καὶ ψηφισάμενος κατ' αὐτῶν ἐν σταυρῷ κρεμασθῆναι προσέταξεν. Ἀπερχομένων δὲ αὐτῶν ἐπὶ τὸν προκείμενον τόπον, πολὺ πλῆθος λαοῦ ἠκολούθησεν αὐτούς, καὶ σταυρωθέντες προσηύχοντο καὶ ὡμίλουν τῷ λαῷ τὰ εἰς ψυχὴν συντείνοντα. Οἱ δὲ λαοὶ ἔσπευδον προσψαῦσαι τοῖς ἱεροῖς τῶν ἁγίων σώμασιν. Οἱ μὲν γὰρ σταγόνας αἱμάτων, οἱ δὲ σουδάρια, ἄλλοι δακτυλίους καὶ ἕτεροι ἄλλα τινὰ εἴδη ἐλάμβανον εὐλογίας χάριν καὶ ἀποτροπὴν παντὸς ἐναντίου. Τότε οἱ ἅγιοι εὐλογήσαντες καὶ προπέμψαντες πάντας, τὰς ἁγίας αὐτῶν ψυχὰς τῷ Θεῷ παρέθεντο. Τινὲς δὲ τῶν εὐσεβῶν τὰ τῶν ἁγίων λαβόντες σώματα, μύροις ἀλείψαντες καὶ ὀθονίοις εἰλήσαντες, κατέθεντο αὐτὰ ἐν τῷ ναῷ. Καὶ προσελθοῦσα τοῦ ἄρχοντος Ἀσκληπιοῦ ἡ γυνὴ καὶ μυρίσασα τὴν τῶν ἁγίων μαρτύρων θήκην, καὶ ὀθόνην πολλοῦ ἀξίαν ἄνωθεν τῆς θήκης ἐφήπλωσεν. Ἀνὴρ δέ τις Ζώσιμος καὶ Ἀρτέμιος, ἄνδρες εὐλαβεῖς καὶ πιστοὶ τῶν ἁγίων συμπολῖται ὄντες, μετὰ ταῦτα τὴν τῶν λειψάνων θήκην ἀναλαβόντες καὶ εἰς τὴν ἑαυτῶν πόλιν κομισάμενοι, Στρατονίκην λεγομένην, πρὸ μιλίου ἐν τοῖς λατομίοις κατέθεντο (Mart. 16[5]). — Ἀβδᾶ ἐπισκόπου, Βενιαμὶν διακόνου καὶ τῶν σὺν αὐτοῖς ἐν Περσίδι μαρτυρησάντων. — Βενιαμὶν πάλον ἐν τῷ ἀφεδρῶνι αὐτοῦ βληθεὶς τελειοῦται. — Οἱ ἅγιοι θ' μάρτυρες καλάμων ἐν τοῖς ὄνυξιν αὐτῶν βληθέντων τελειοῦνται. — Ἅγιοι ἕτεροι πολλοὶ εἰς φυλακὴν βληθέντες ὑπὸ μυιῶν καὶ γαλῶν ἐμβληθέντων ἐσθιόμενοι τελειοῦνται. — Ἡ ἐν Κωνσταντινουπόλει ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου. — **Mv** : 1. 3. 4. — Τροφίμου καὶ Θαλοῦ. — Ἡ εἰς τὴν Κωνσταντινούπολιν ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου. — **Mr** : 1.

MART. 12. SYNAXARIA SELECTA. **H** : 2. 1. — **P** : 2 : Γρηγορίου πάπα Ῥώμης. Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως, πρῶτον μὲν μοναχὸς <καὶ[1]> ἡγούμενος γεγονὼς ἐν Ῥώμῃ τῆς ἐπονομαζομένης Κλειοσκαύρη, καλλίγραφος ἄκρος. — 1. — **D** : 2. 1. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2 : Γρηγορίου πάπα Ῥώμης. Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ[2] τοῦ βασιλέως, πρῶτον μὲν μοναχὸς καὶ ἡγούμενος

[1] *om.* P. — [2] Ἰουστιανοῦ N.

MART. 12. καετὴς συνεζεύχθη γυναικί· καὶ πείσας αὐτὴν παρθενεύειν ταῖς διδασκαλίαις αὐτοῦ, ἀπέκειρεν αὐτὴν ἐν τῇ τῆς Πριγκίπου μονῇ. Αὐτὸς δὲ διανείμας τὸν πλοῦτον αὐτοῦ τοῖς πένησιν, ἀπελθὼν ἐγένετο μοναχὸς ἐν τῷ τῆς Σιγριανῆς [1] ὄρει διακειμένῳ μοναστηρίῳ. Κρατήσας δὲ τῆς βασιλείας Λέων ὁ Ἀρμένιος εἰκονομάχος ὤν, ἔμαθε περὶ τοῦ ἁγίου Θεοφάνους· καὶ ἀποστείλας ἤγαγεν αὐτὸν ἐν τῇ βασιλευούσῃ, καταναγκάζων συνελθεῖν τῇ αἱρέσει αὐτοῦ. Μὴ πείσας δέ, πρότερον μὲν ἀπέκλεισεν εἰς φυλακήν, ἔπειτα τῆς φυλακῆς ἐκβαλὼν καὶ πάλιν καταναγκάσας ἀρνήσασθαι τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν, ἐπεὶ ἑώρα μηδὲ ὅλως ἀνεχόμενον τοῦτο ἀκοῦσαι, ἐξώρισεν εἰς Σαμοθράκην· ἔνθα καὶ ἀπελθὼν ὁ ἅγιος καὶ ὀλίγον ἐπιβιώσας, προσελάβετο αὐτὸν ὁ Κύριος, αὐτῷ ἀποδοὺς ἕνεκεν τῆς ὑπὲρ αὐτοῦ ὁμολογίας βασιλείαν οὐρανῶν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῇ συσταθείσῃ ὑπ' αὐτοῦ κατὰ τὴν Σιγριανὴν μονῇ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου πάπα Ῥώμης. Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως· πρῶτον μὲν ἐγένετο μοναχὸς καὶ ἡγούμενος γεγονὼς τῆς οὕτω καλουμένης Κλιοσκαύρη [1], ἔπειτα δὲ εἰς τὸν ἀρχιερατικὸν θρόνον προήχθη. Ἦν δὲ ἐνάρετος, κατεξαίρετον ἐλεήμων· διὸ καὶ δοκιμάζων αὐτὸν ὁ Θεὸς ἀπέστειλεν ἄγγελον πρὸς αὐτὸν ἐν σχήματι ναυαγήσαντος, καὶ εὗρεν αὐτὸν πρόθυμον πρὸς τὸ δοῦναι. Πεντήκοντα γὰρ νομίσματα δέδωκε τῷ αἰτήσαντι, εἶτα ἕξ, καὶ τρίτον ἕτερα, ἕως ἐκένωσε τὸ συρτάριον τοῦ χρυσίου. Καὶ πάλιν προσελθὼν τὸ τῆς μονῆς ἀργυροῦν δέδωκε τρυβλίον. Τοιγαροῦν ἐν τῇ τάξει τῆς ἀρχιερατείας γεγονὼς συνεκάλει καθ' ἡμέραν δώδεκα πτωχούς· καὶ ἐφαίνετο αὐτῷ μόνῳ καὶ τρισκαιδέκατος. Καὶ ἐρωτήσας αὐτὸν εἰπεῖν τὸ ἑαυτοῦ ὄνομα, ἤκουσεν ὅτι θαυμαστόν· καὶ οὕτως ἐσιώπησεν συννοήσας [2] ὅτι ἄγγελος Θεοῦ ἐστι. Γενόμενος δὲ πάσης παιδείας καὶ γραφῆς ἔμπειρος, πολλὰ συγγράμματα καταλέλοιπεν ὑπαγορευθέντα μὲν ῥωμαϊστί, ἑρμηνευθέντα δὲ ἑλληνιστί. Ζήσας | f. 179. δὲ οὕτως καὶ θαύματα ἐργασάμενος διάφορα πρὸς Κύριον ἐξεδήμησεν. Πέτρος ὁ ἀρχιδιάκονος αὐτοῦ ἐξηγήσατο, ἰδεῖν λέγων περιστερὰν λευκὴν ἐν τῷ γράφειν αὐτὸν τῷ αὐτοῦ προσεγγίζουσαν στόματι, δηλονότι τὸ Πνεῦμα τὸ ἅγιον ἔλεγεν αὐτὸν γράφειν. Φασὶ δὲ ὅτι τὴν ἐπιτελουμένην λειτουργίαν παρ' ἡμῶν ἐν ταῖς νηστίμοις ἡμέραις, οὗτός ἐστιν ὁ νομοθετήσας· ὅπερ κρατεῖ [3] μέχρι καὶ νῦν, παρ' αὐτοῦ, ὡς ἔφην, προστασσόμενον [4].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σαβίνου. Οὗτος ὑπῆρχεν ἐκ τῆς χώρας Αἰγύπτου· διὰ δὲ τὴν ἐπικειμένην ἀνάγκην τοῦ διωγμοῦ καταλιπὼν οἰκίαν, συγγενεῖς, πλοῦτον καὶ πάντα

1. — [1] *corr., prius* Συγριανῆς S.

2. — [1] D, Ἡλιοσκάμβρη S, Ἡλιουσκάρη C, Σκλιοκάβρῆς Mc, *scil.* Clivus Scauri. — [2] συνοήσας S. — [3] *correxi ex* C, ἔστιν S. — προστασομένην S.

MART. 12. γεγονὼς τῆς μονῆς τῆς οὕτω καλουμένης Κλιοσκάβρης [3]· ἔπειτα δὲ εἰς τὸν ἀρχιερατικὸν θρόνον προήχθη, οὐ κατὰ συντυχίαν καὶ ἀποκλήρωσιν λαβὼν ἀλλὰ θείᾳ ψήφῳ τὴν ἀρχιερωσύνην δεξάμενος, ὡς προϊὼν ὁ λόγος δηλώσει. Ἔτι γὰρ αὐ τοῦ ἐν τῷ μοναστηρίῳ ὄντος, κατὰ τὸ ἴδιον κελλίον καλάμῳ καὶ μέλανι πρὸς γραφὴν τὴν χεῖρα κινοῦντος, ἐπέστη τις αὐτῷ τὰ ἐκ ναυαγίας κακὰ τραγῳδῶν καὶ τὸν ὅσιον εἰς οἶκτον ἐπικαλούμενος καὶ ἐπαρκέσαι αὐτοῦ τῇ συμφορᾷ δεόμενος. Ἦν δὲ ἄρα οὐ κατὰ τὸ φαινόμενον ἐνδεὴς ὁ αἰτῶν· οὐδὲ γὰρ ἄνθρωπος ἦν, ὡς ἀνάγκην ἔχειν γυμνὸς ἐκ ναυαγίας προσελθιών τι λαβεῖν, ἀλλ' ἐν προσχήματι δεομένου τὴν προσοῦσαν τῷ ἁγίῳ συμπάθειαν ἐξεκάλυπτεν ἄγγελος· ὃς ἅπαξ προσελθὼν παρὰ τοῦ ὁσίου χρυσοῦ νομίσματα ἓξ ἐκομίσατο· εἶτα πάλιν παραγενόμενος ἕτερα ἔλαβεν ἕξ· τὸ δὲ τρίτον προσελθὼν οὐκ ἀπεπέμφθη κενός, μηδενὸς χρυσοῦ νομίσματος καταλειφθέντος τῷ ἁγίῳ· ἀλλὰ τὸ τῆς μονῆς ἀργυροῦν ἐκομίσατο τρυβλίον, τοῦτο τοῦ ὁσίου προθύμως ἐπιδιδόντος αὐτῷ. Τοσοῦτον ἦν ἄρα πρὸς τοὺς δεομένους ἀνεξίκακος ἅμα καὶ συμπαθής. Ἐξὸν γὰρ αὐτῷ καὶ τὴν τοῦ χρυσοῦ σπάνιν καὶ τὸ τοῦ αἰτοῦντος φορτικόν, ὅτι δὶς λαβὼν ὀχληρῶς προσέκειτο, ὑπιδόμενον νεμεσῆσαι καὶ ἀποπέμψασθαι, μᾶλλον εἵλετο τῶν ἀνεκποιήτων τῆς μονῆς ἅψασθαι σκευῶν, ἢ τὸν ἄνθρωπον παριδεῖν ὧν ἐδεῖτο μὴ τυχόντα καὶ ἐπανελθεῖν ἄπρακτον. Τοιγαροῦν ἐν τῇ τάξει τῆς ἀρχιερατείας γεγονὼς καὶ τῇ συνήθει τῇ πρὸς τοὺς πένητας φιλοφροσύνῃ κελεύσας αὐτῷ συγκατακλίνεσθαι δώδεκα, ὡς αὐτῷ μόνῳ ὁ τρισκαιδέκατος ἐφαίνετο τῶν ἄλλων μὴ δυναμένων αὐτὸν καθορᾶν. Ὁ δὲ τῇ τοῦ προσώπου μορφῇ καὶ τοῖς ἔνδοθεν κινήμασιν ἐδόκει τῷ ὁσίῳ ἀλλοιότερον τῶν δώδεκα διακεῖσθαι καὶ κατασχὼν αὐτὸν καὶ τὸ αὐτοῦ πυνθανόμενος ὄνομα καὶ τίς ὢν παραγένοιτο, ὄνομα μὲν αὐτοῦ φάναι μὴ θεμιτὸν εἶναι ἀκοῦσαί τινα [4], εἶναι γὰρ αὐτὸ θαυμαστόν· ὅτι δὲ ἄγγελος εἶναι μόνον προσερεῖν, ὁ καὶ πρότερον παρὰ τοῦ Θεοῦ ἐπὶ τῇ τοῦ χρυσίου αἰτήσει πεμφθεὶς καὶ συνεῖναι αὐτῷ ἔκτοτε καὶ φρουρεῖν προσταχθείς. Γενόμενος δὲ ὁ ὅσιος Γρηγόριος πάσης παιδείας καὶ γραφῆς ἔμπειρος, πολλὰ συγγράμματα καταλέλοιπε κατὰ τὴν ῥωμαϊκὴν συνταχθέντα διάλεξιν, ἃ πρὸς τὴν ἑλληνίδα ὕστερον ἡρμηνεύθησαν, οὐ δι' ἀνθρωπίνων συλλογισμῶν καὶ τῆς ἐν λόγοις σοφίας μόνον συντεθέντα, ἀλλὰ διὰ Πνεύματος ἁγίου, ὡς μετὰ τὴν αὐτοῦ ἐκ τοῦ βίου ἀνάλυσιν Πέτρος ὁ ἀρχιδιάκονος αὐτοῦ ἐξηγήσατο, ἰδεῖν λέγων περιστερὰν λευκὴν ἐν τῷ γράφειν αὐτὸν τῷ αὐτοῦ προσεγγίζουσαν στόματι καὶ οἷον συνεξηγουμένην καὶ συνεξαρμόζουσαν πρὸς τὰ γραφόμενα. Γενόμενος δὲ ἐν τοῖς κατὰ δύσιν τόποις, διδάσκει καὶ ἐπιστρέφει τὸ τῶν Σάξων ἔθνος πρὸς τὴν εἰς Χριστὸν πίστιν· οἳ καὶ ταῖς δι' ἔτους αὐτὸν τιμῶσι τιμαῖς, τὴν πρεσβυτέραν Ῥώμην καταλαμβάνοντες, ἔνθα τὸ ἱερὸν αὐτοῦ κατάκειται σῶμα. Φασὶ δὲ ὅτι ἐπιτελεῖσθαι λειτουργίαν

— [3] *supra ad* S. — [4] τινι N.

κόσμον, ἀνεχώρησε καὶ ἐξελθὼν ἔξω τῆς πόλεως, κατεκρύπτετο ἐν οἰκήματι σμικροτάτῳ μετὰ καὶ ἄλλων χριστιανῶν. Πολλῶν δὲ κρατουμένων, ἐζητεῖτο καὶ Σαβῖνος ὑπὸ τῶν εἰδωλολατρῶν· καὶ μὴ εὑρισκόμενος ἐλύπει τοὺς ἀπίστους. Τότε προσελθὼν εἷς πτωχὸς ὁ πρὸς αὐτὸν ἀπερχόμενος καὶ λαμβάνων τροφὴν εἶπε πρὸς αὐτούς· « Τί μοι » δίδοτε καὶ ἐγὼ ὑμῖν ὑποδείξω Σαβῖνον; » Οἱ δὲ ἔδωκαν αὐτῷ νομίσματα δύο. Καὶ ἀκολουθήσαντες αὐτῷ καὶ ἐπιστάντες τῇ οἰκίᾳ ἐκράτησαν τὸν Σαβῖνον· καὶ δήσαντες ἤγαγον πρὸς τὸν ἄρχοντα. Καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄρχων· « Διὰ τί καταφρο» νεῖς τοῦ προστάγματος τῶν βασιλέων καὶ τῶν » μεγίστων θεῶν καὶ ἕτερον θεὸν κηρύττεις ἀγνώ» ριστον; » Ὁ δὲ εἰπὼν ὅτι· « Μᾶλλον ὃν ἐγὼ » κηρύσσω Θεὸν ὀφείλεις καὶ σὺ γνωρίσαι καὶ » πιστεῦσαι αὐτῷ, » τιμωρηθεὶς ἐρρίφη ἐν τῷ ποταμῷ καὶ ἐτελειώθη. MART. 12.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

MART. 13. **1.** Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἐν ἁγίοις Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως. Μετὰ τὴν καθαίρεσιν Ἰαννῆ [1] τοῦ παρανόμου, Μεθόδιος ὁ ἁγιώτατος εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀναχθείς, καὶ τάδε τοῖς βασιλεῦσι Θεοδώρᾳ καὶ Μιχαὴλ <διεξήει [2]> « Οὐ δίκαιον [3] τὸ τοῦ ἁγίου » λείψανον ἐν ὑπερορίᾳ κεῖσθαι. » Καὶ μεταστέλλονται ἄμφω οἱ βασιλεῖς καὶ ὁ πατριάρχης εἰς τὸ ἀνακομισθῆναι τὸ τοῦ ἁγίου λείψανον ἐν Κωνσταντινουπόλει. Οἱ δὲ παραγενόμενοι εὗρον αὐτὸ σῶον ἀκραιφνές, ἐν ὅλοις ἔτεσι δέκα καὶ ἐννέα συντηρηθέν, <καὶ [4]> μετὰ φώτων καὶ ὕμνων εἰς τὴν βασιλικὴν τριήρην εἰσήνεγκαν. Καὶ καταλαβὼν τὸν πορθμὸν τῆς Ἀκροπόλεως ὁ βασιλεὺς καὶ ἡ σύγκλητος λαμπαδηφόροι κατησπάζοντο καὶ ἐπ' ὤμων φέροντες ἐν τῇ μεγάλῃ ἀπέθεντο ἐκκλησίᾳ· ἔπειτα ἀναλαβόμενοι ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κατέθεντο τῇ τρισκαιδεκάτῃ μαρτίου, ἐν ᾗ καὶ πρὸς τὴν ἐξορίαν ἀπηνέχθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις.

2. | f. 179v. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀφρικανοῦ [1] Πουπλίου <καὶ [2]> Τερεντίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Πετρίῳ.

3. Καὶ τοῦ ἁγίου μάρτυρος Σαβινιανοῦ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος

1. — [1] Ἰανῆ S. — [2] *om.* S, *supplevi ex* D. — [3] ἔκριναν *add.* S, *nonnulla omissa videntur.* — [4] *supplevi, om.* S.

2. — [1] Ἀφρικιανοῦ S, Ἀφρικανοῦ *ceteri.* — [2] *om.* S.

MART. 12. τελείαν παρὰ Ῥωμαίοις ἐν ταῖς τῆς νηστείας ἡμέραις [5], οὗτός ἐστιν ὁ νομοθετήσας, ὅπερ κρατεῖ μέχρι νῦν παρ' αὐτοῖς. — **Bb** : 1. 3. — **Bc** : 1. 2. — **C** : 2. — Σωφρονίου (Mart. 11[1]). — 1. — **Cd** : 2. — Σωφρονίου. — 1. — **Ce** : 2. — Σωφρονίου. — **Cg** : 2. — Σωφρονίου. — 1. — **R** : 1. — **Ra** : 1. 2. — **Rb** : 1. — **Rc** : 1 : Θεοφάνους... Οὗτος ὁ ὅσιος πατρὸς μὲν ἦν Ἰσαάκ, μητρὸς δὲ Θεοδότης. Τοῦ δὲ πατρὸς αὐτοῦ τελευτήσαντος, ζεύγνυται παρὰ τῆς μητρὸς αὐτοῦ γυναικὶ ἀβουλήτως κτλ. — 2. — **Mc** : 1. — Οἱ ὑπὸ τῶν μυῶν καὶ γαλῶν ἐσθιόμενοι ἅγιοι τ. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐν Περσίδι, βασιλεύοντος Ἰσδιγέρδου Περσῶν, Ῥωμαίων δὲ Θεοδοσίου τοῦ μικροῦ. Ὧν ὁ μὲν ἅγιος Ἀβδᾶς ἐπίσκοπος ὢν ζήλῳ θείῳ διαθερμανθεὶς κτλ. (Mart. 31[3]). — 2. — Οἱ ἅγιοι θ' μάρτυρες π. τ. — Ὁ δίκαιος Φινεὲς ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Φινεές. — **Mr** : 1.

MART. 13. SYNAXARIA SELECTA. **H** : Σαβίνου (Mart. 12[3]). — 2. 3. 1. — **P** : 3 : Σαβινιανοῦ. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως, ὑπάρχων ἐξ Ἑρμουπόλεως τῆς Αἰγύπτου, πρῶτος καὶ εὐγενὴς τῶν ἐκεῖσε ὑπαρχόντων. — 2. — Σαβίνου. — 1. — **D** : Σαβίνου. Οὗτος ἦν ἐξ Ἑρμουπόλεως τῆς κατ' Αἴγυπτον κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως. Κρυπτόμενος δὲ μετὰ καὶ ἑτέρων εὐσεβῶν ἔξω τῆς πόλεως ἐν δωματίῳ μικρῷ καὶ ζητούμενος παρὰ τῶν εἰδωλολατρῶν διὰ τὸ πολὺν εἶναι λόγον τοῖς χριστιανοῖς περὶ αὐτοῦ, γένους τε τοῦ πρώτου μετέχοντος [1], ὕστερον πεφώραται. Ἀχθεὶς τοίνυν πρὸς Ἀρειανόν τινα τῆς πόλεως ἡγεμόνα [2] καὶ τὴν εἰς Χριστὸν πίστιν ὁμολογήσας, ἀναρτηθεὶς ξέεται ἐπὶ τοσοῦτον, ὡς καταρρεῦσαι τὰς σάρκας αὐτοῦ πρὸς τὴν γῆν. Εἶτα λαμπάσι πυρὸς καταφλέγεται καὶ πρὸς τούτοις λίθῳ προσδεθεὶς κατὰ τοῦ ποταμοῦ [3] ἀφίεται καὶ τὸν διὰ μαρτυρίου κομίζεται στέφανον. — 1 : Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ μεγάλου ἀρχιερέως Νικηφόρου ἐστὶν αὕτη. Μετὰ τὴν καθαίρεσιν Ἰαννῆ τοῦ παρανόμου, Μεθοδίου τοῦ ἁγιωτάτου εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀνενεχθέντος, τῷ τετάρτῳ ἔτει τῆς ἱερατείας αὐτοῦ μετὰ πάντων αὐτοῦ τῶν ἄλλων κατορθωμάτων τάδε τοῖς βασιλεῦσι Μιχαὴλ καὶ Θεοδώρᾳ διεξήει· « Οὐ δίκαιόν ἐστι τὸν αἰδέσιμον καὶ πανόσιον ἐν πατριάρχαις » Νικηφόρον ὑπὲρ τῆς ἀμώμου πίστεως τῆς ἱεραρχίας καὶ τοῦ θρόνου ἐξωσθέντος καὶ ἐν ὑπερορίᾳ τὴν » ζωὴν συμπεράναντος μὴ τὸ τίμιον αὐτοῦ καὶ ἱερὸν λείψανον ἔνδον γενέσθαι Κωνσταντινουπόλεως. » Τούτοις ἑτοίμως πειθαρχήσαντες, τοὺς αὐτὸ μετακομίσοντας ἀποστέλλουσι τάχιον· σὺν αὐτοῖς δὲ καὶ ὁ μέγας Μεθόδιος σὺν ἱερεῦσι καὶ μονασταῖς παραγίνεται. Καὶ εὑρόντες ὅλον δι' ὅλου ἀκραιφνὲς αὐτὸ καὶ ὁλόκληρον, μετὰ φώτων καὶ ὕμνων εἰς τὴν βασιλικὴν τριήρη εἰσήνεγκαν. Ἡνίκα δὲ διεπεραίου τὸν πορθμὸν τῆς Ἀκροπόλεως, ὅ τε βασιλεὺς καὶ ἡ σύγκλητος λαμπαδηφόροι προσυπήντων καὶ κατησπάζοντο· καὶ ἐπ' ὤμων φέροντες ἐν τῇ μεγάλῃ ἀπέθεντο ἐκκλησίᾳ· κἀκεῖσε διανυκτερεύσαντες ἕωθεν

— [5] ἡμέρας N.

[1] καὶ τῷ τῆς εὐσεβείας ζήλῳ τῶν ἄλλων προέχοντος *add.* Mc. — [2] ἡγεμόνος D. — [3] Σκαμάνδρου *add.* Mc.

Mart. 13. Ἀλεξάνδρου τοῦ ἐν Πύδνῃ. Οὗτος ὡς ἐν σκοτομήνῃ τῆς πλάνης ἀναλάμψας οἷά τις πολύφωτος ἀστήρ, τὴν μανίαν τῶν δυσσεβῶν διήλεγξεν καὶ τὸν κατεπαιρόμενον ἀντίπαλον τοῖς ῥήμασιν ὡς βέλεσι[1] κατέτρωσε, καὶ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφων καὶ βαπτίζων. Οὕτω δὲ ποιῶν εἰς ὀργὴν ἐκίνησεν καθ' αὐτοῦ[2] τοὺς εἰδωλολάτρας· καὶ[3] τὴν παρρησίαν αὐτοῦ καὶ τοῦ λόγου τὸ ἰσχυρὸν[4] μὴ ὑπομείναντες[5], ποικίλαις μαγγανείαις ἐπειρῶντο τὸ εὔτονον αὐτοῦ καταβαλεῖν. Καὶ μὴ ἰσχύσαντες ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτέμνουσιν. Ὁ δὲ Θεὸς χαρίσμασιν ἰαμάτων αὐτὸν[6] ἀνταμείβεται· ἅπασαν γὰρ νόσον πονηρὰν ἀπελαύνει ἀπὸ τῶν πίστει προσιόντων αὐτῷ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

Mart. 14. **1.** Ἄθλησις τοῦ ἁγίου ὁσιομάρτυρος πατρὸς ἡμῶν Βενεδίκτου, τοῦ κατὰ τὴν ἑλλάδα φωνὴν μεθερμηνευομένου εὐλογημένου[1]. Οὗτος ἦν ἐκ τῆς Ῥωμαίων γῆς, ἐκ χώρας Νουρσίας λεγομένης. Καταλείψας δὲ τὴν πατρικὴν περιουσίαν καὶ αὐτοὺς τοὺς γεννήτορας[2], ἔρημόν τινα τόπον μετὰ τῆς τροφοῦ καταλαμβάνει, ἔνθα δι' ἀρετῆς καὶ ἀσκήσεως προσοικειώσας ἑαυτὸν τῷ Θεῷ, θαυμάτων παρ' αὐτοῦ δύναμιν ἐπλούτησε καὶ ἰάσεων. Καὶ τὰ μὲν ἄλλα[3] τῶν παραδοξοποιῶν διεξοδικώτερον ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ, δι' ὧν παντοῖα κατειργάσατο θαύματα[4]. Ἐκεῖνο δὲ μόνον[5] προσειπεῖν ἀναγκαῖον, ὅτι μέλλοντος αὐτοῦ πρὸς Κύριον ἐκδημεῖν, μοναχοί τινες δύο ἐν τοῖς ἑαυτῶν κελλίοις ἐφησυχάζοντες ἔδοξαν ἰδεῖν κατὰ ταὐτὸν[6] ὁδόν τινα φέρουσαν πρὸς[7] οὐρανὸν ὑπεστρωμένην ἱματίοις πολυτελέσι, καταλαμπομένην ἐντεῦθεν καὶ ἐντεῦθεν[8] ὑπὸ λαμπάδων συχνῶν[9]. Καὶ πυθόμενοι[10] τίς ἄρα αὕτη ἐστιν, πρός τινος φαιδροῦ καὶ λευχειμονοῦντος ἀκοῦσαι, ὅτι αὕτη τῷ Βενεδίκτῳ ἡ πορεία ἡτοίμασται· δηλοῦντος, οἶμαι, τοῦ ὁραθέντος τὴν ἐσομένην λαμπρότητα καὶ δορυφορίαν ἐν τῷ μέλλειν τὸν ὅσιον πρὸς Κύριον ἐκδημεῖν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Εὐσχήμονος ἐπισκόπου Λαμψάκου[1]. Οὗτος ἐκ βρέφους καλῶς αὐξηθεὶς φίλος γέγονε Θεοῦ[2]· καὶ εἰς ἄνδρα τέλειον φθάσας ναὸς ὑπῆρξε τοῦ παναγίου Πνεύματος, τὸν ἀγγελικὸν βίον ἑλόμενος[3] καὶ τὴν ὀρθόδοξον πίστιν αἱρετισάμενος· ἀλλὰ καὶ εἰς τὸ τῆς ἀρχιερωσύνης ὕψος ἀνελθὼν | χάριτος ἐπληρώθη πνευματικῆς[4]. f. 180. Ζήλῳ γὰρ θείῳ τρωθεὶς τοὺς ἱερεῖς τῆς αἰσχύνης κατέβαλλε[5], θαυμάσια τελῶν παράδοξα. Οὗτος ἄπνουν βρέφος βασταζόμενον ὑπὸ τῆς μητρὸς πρὸς ζωὴν ἐπανήγαγεν, καὶ θηρίοις φοβερὸς γέγονε· προστάξει γὰρ μόνῃ αὐτὰ ἀπεδίωκε τὴν τῶν λαχάνων χλόην θερίζοντα. Εἱρκτῇ δὲ ἐγκλεισθεὶς ὡς προσκυνητὴς τῶν θείων χαρακτήρων, τοὺς αὐτὸν φυλάσσοντας προσκυνητὰς τῶν ἁγίων εἰκόνων εἰργάσατο· καὶ ὑπερόριος γενόμενος, τῶν πενήτων ἐφρόντιζεν. Ὅθεν ἐν εἰρήνῃ τελειωθεὶς θαύμασιν ἀπείροις τοὺς πιστῶς αὐτῷ προσιόντας <εὐεργετῶν[6]> καὶ τὴν ῥῶσιν χαριζόμενος ὑπὸ Θεοῦ καταστέφεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Σατύρου, Σατορνίνου, Ῥευκάτου[1], Περπετούας καὶ Φηλικιτάτης[2] ἀθλησάντων ἐν Ῥώμῃ.

4. Καὶ τῆς ἁγίας μάρτυρος Εὐφρασίας.

5. Καὶ τῆς ἁγίας Χριστίνης τῆς ἐν Περσίδι.

4. — [1] ὡς βέλεσι τοῖς ῥ. Mc. — [2] κατ' αὐτοῦ S. — [3] (καὶ πολλοὺς - καὶ) οἱ τῆς πλάνης οὖν προστετηκότες Mc. — [4] (τοῦ - ἰσχυρὸν) ἀνδρείαν Mc. — [5] φέροντες Mc. — [6] αὐτὸν χ. ἰ. Mc.

1. — [1] μνήμη τοῦ ὁσίου π. ἡ. B. Mc. — [2] ἐν πάνυ μικρᾷ τῇ ἡλικίᾳ καὶ ἐν ἀτελεῖ *add.* Mc. — [3] τὰς μὲν ἄλλας Mc. — [4] καὶ νεκροὺς ἀνιστῶν καὶ τὰ μέλλοντα προλέγων καὶ περὶ τῶν ἀπόντων ὡς παρόντων διαλεγόμενος *add.* Mc. — [5] μόνῳ S, *om.* Mc. — [6] Mc, κατ' αὐτὸν S. — [7] εἰς Mc. — [8] ἐντ. κ. ἐντ. *om.* Mc. — [9] συγχνῶν S. — [10] πυνθόμενοι S.

2. — [1] Λαμψάκων Mc. — [2] φ. γ. Θεοῦ *om.* Mc. — [3] (ναὸς - ἑλόμενος) ὤφθη ναὸς Θεοῦ Mc. — [4] (αἱρετισάμενος - πνευματικῆς) μυηθεὶς καὶ τὸν ἀγγελικὸν βίον ἑλόμενος εἰς τὸ τῆς ἱερωσύνης ὕψος ἀνάγεται ὅθεν καὶ χάριτος θείας ἐπλήσθη Mc. — [5] κατέβαλε Mc. — [6] Mc, *om.* S.

3. — [1] *Cf. Febr. 2*[2], *n. 1.* — [2] Φιλητάτης S.

Mart. 13. ὁμοίως ἀναλαβόμενοι τὸν ἅγιον ἐκεῖθεν ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κατατίθενται τῇ τρισκαιδεκάτῃ μαρτίου, ἐν ᾗ καὶ πρὸς τὴν ἐξορίαν ἀπήχθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις. — 2. 3. — **Da** : 1. — Σαβίνου. — **Db** : 1. — Σαβίνου. — 3. — **K** : 1. — Σαβίνου. — **N** : 1. — Σαβίνου. — **Bb** : 4. 1. — **Bc** : 4. — Σαβίνου. — **C** : Σαβίνου. — 2. 4. — **Cd** : Σαβίνου. — **Ce** : 4. — **Cg** : Σαβίνου. — 2. 4. — **R** : 1. — **Ra** : deest. — **Rb** : 1. — **Rc** : 1. — Σαβίνου. — **Mc** : 1. — Σαβίνου. — 2. — Ἄβιβος ὁ ἐξ Ἑρμουπόλεως λίθῳ προσδεθεὶς καὶ ἐν ποταμῷ ῥιφεὶς τ. — Χριστίνα ἡ ἐκ Περσίδος μαστιζομένη τ. (Mart. 14[5]). — **Mv** : 1. — Οὐρπασιανοῦ. — Σαβίνου. — 2 (... σύναξις ἐν τῷ Παυλοπετρίῳ). — Ἄβιβος. — Χριστίνη. — **Mr** : 1.

Mart. 14. SYNAXARIA SELECTA. **H** : 1. 3 (Σατορνίνου, Ῥευκάτου, Περπετούας καὶ Φιληκητάτης). — 5. — **P** : 1. 3 (Σατουρνίνου, Περπετούας, Φιλήτης). — 5. — **D** : Ἀλεξάνδρου τοῦ ἐν Πύδνῃ (Mart. 13[4]). — 1. 3. 5. — **Da** : Ἀλεξάνδρου. — 2. 1. 3. — **Db** : Ἀλεξάνδρου. — 2. 1. — **K** : Ἀλεξάνδρου. — 2. 1. 3. — **N** : Ἀλεξάνδρου. — 1. 2. — **Bb** : 1 (Βενεδίκτου ἀρχιμανδρίτου Ῥώμης). — 2. 3. — **Bc** : 2. 3. — Ἀλεξάνδρου. — **C** : 1. 2. — **Cd** : deest. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — **R** : Ἀλεξάνδρου. — **Ra** : Ἀλεξάνδρου. — 1. — **Rb** : deest. — **Rc** : Ἀλεξάνδρου. — 2. 1. — **Mc** : Ἀλεξάνδρου. — 1. 2. — **Mv** : Ἀλεξάνδρου. — 2. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀγαπίου[1], Ἀλεξάνδρων δύο, Διονυσίων δύο, Τιμολάου, Ῥωμύλου καὶ Πλησίου. Οὗτοι ὑπῆρχον κατὰ[2] τοὺς καιροὺς Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ[3]. Ὁ μὲν ἅγιος Ἀγάπιος ἀπὸ Γάζης τῆς πόλεως τῆς κατὰ Φοινίκην[4], Τιμόλαος δὲ ἐκ τοῦ Πόντου[5], Διονύσιοι δὲ[3] ἐκ Τριπόλεως τῆς ἐν Φοινίκῃ. Ὁ δὲ Ῥωμύλος ὑποδιάκονος ἦν[3] τῆς ἐν Διοσπόλει ἐκκλησίας· ὁ δὲ Πλησίος καὶ οἱ δύο Ἀλέξανδροι ἐξ Αἰγύπτου ἐτύγχανον. Οὗτοι πρῶτον μὲν τὰς ψυχὰς τῷ πρὸς Χριστὸν συνδήσαντες πόθῳ, ἔπειτα δὲ τὰς χεῖρας ὑποβαλόντες[6] κλοιοῖς, Οὐρβανῷ τῷ τῆς Καισαρέων πόλεως[3] ἡγεμόνι προσῆλθον, χριστιανοὺς ἑαυτοὺς προσαγγέλλοντες. Ὁ δὲ μήτε ἀπειλαῖς μήτε κολακείαις χαυνῶσαι αὐτοὺς δυνηθεὶς τῆς τοῦ Χριστοῦ[7] πίστεως ἀποστῆσαι, ξίφει τὰς κεφαλὰς αὐτῶν ἀφαιρεθῆναι[8] προσέταξεν. Mart. 15.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Νικάνδρου. Ὃς καὶ αὐτὸς[1] ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ ἦν[2]. Τῇ εὐσεβείᾳ δὲ συντεθραμμένος[3] ἔργον εἶχε τὸ τὰ τῶν ἁγίων[4] λείψανα κρυφίως αἴρειν καὶ σεβασμίως καὶ ἐντίμως καταστέλλειν. Καί ποτε ἰδὼν καὶ τὰ τῶν ἀναγορευθέντων[5] ἁγίων λείψανα ἐρριμμένα[6] οὕτω καὶ ἀνεπιμέλητα, νυκτὸς ἀπελθὼν καὶ ἀνελόμενος[7] καὶ καταθέμενος ταῦτα[8] ἔν τινι τόπῳ αἰσίως τε καὶ κοσμίως, θεαθεὶς ὑπό τινος τῶν εἰδωλολατρῶν, διεβλήθη τῷ

1. — [1] Ἀγαπίου, Πλησίου, Τιμολάου *etc.* Mc. — [2] Mc, ἐπὶ S. — [3] *om.* Mc. — [4] (Γάζης - Φοινίκην) τῆς π. Γάζης Mc. — [5] οἱ δύο *add.* Mc. — [6] ὑποβαλλόντες S. — [7] καὶ τῆς εἰς Χριστὸν Mc. — [8] ἀποτμηθῆναι Mc.

2. — [1] N. τοῦ Αἰγύπτου καὶ οὗτος ὁ ἅγιος Mc. — [2] ἦν Δ. Mc. — [3] καὶ τῇ τῶν μαρτύρων ἀγάπῃ συνδεδεμένος *add.* Mc. — [4] (τὸ - ἁγίων) τὰ τούτων Mc. — [5] ἰδὼν τὰ τῶν ἀναιρεθέντων Mc. — [6] ἔρρημα S. — [7] ταῦτα *add.* Mc. — [8] *om.* Mc.

SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 1. 2. 3. — **D** : 1. 2. 3. — Τοῦ ὁσίου Ἰωάννου τοῦ ἐν Ῥουφινιαναῖς. — **Da** : 1. 2. 3. — Ἰωάννου. — **Db** : 1. 2. 3. — Ἰωάννου. — **K** : 1. 2. 3. — Ἰωάννου. — **N** : Πιονίου (Mart. 11[3]). — 2. 3. — Ἰωάννου. — **Bb** : 1. 2. 3. — **Bc** : 1. 2. — Τοῦ ἁγίου ἀποστόλου Νικάνδρου. — Ἰωάννου. — **C** : 1. 2. 3. — **Cd** : deest. — **Ce** : 1. 2. 3. — **Cg** : 1. 2. 3. — **R** : Πιονίου. — 1. — **Ra** : 1. 2. 3. Ἰωάννου. — Εὐσχήμονος (Mart. 14[2]). — **Rb** : deest. — **Rc** : 1. 2. 3. — Ἰωάννου. — **Mc** : 1. 2. — Μενίγνου τοῦ κναφέως. Ἐπὶ τῆς βασιλείας Δεκίου διωγμὸς μέγας γέγονε κατὰ τῶν χριστιανῶν. Τότε ὁ τὴν ἐπαρχίαν τῆς Ἀσίας ἐγκεχειρισμένος λοιμὸς ὢν αὐτόχρημα καὶ τὴν γνώμην θηριώδης ἐπὶ τὴν παράλιον κατῄει, καὶ ὅσους εὗρε χριστιανοὺς πάντας μαστιγώσας τῷ ξύλῳ ἀσφαλισάμενος εἱρκτῇ σκοτεινῇ καθεῖρξε. Νυκτὸς δὲ καταλαβούσης, μιᾷ φωνῇ πρὸς τὸν Θεὸν ἐβόησαν ἅπαντες· « Δέσποτα κύριε, ὁ τὸν κορυφαῖόν σου Πέτρον ποτὲ δι' ἀγγέλου λύσας τῶν δεσμῶν καὶ τῆς » φυλακῆς ἐξαγαγὼν αὐτὸν ἀψοφητί, αὐτὸς καὶ νῦν ἐφ' ἡμᾶς ἐξαπόστειλον τὴν βοήθειάν σου καὶ ἐξελοῦ » ἡμᾶς ἐκ τῆς συνεχούσης στρεβλώσεως καὶ ζοφώδους φυλακῆς, ἵνα γνῶσι καὶ οὗτοι τὸ σὸν ἅγιον » ὄνομα, ὅτι σὺ μόνος Θεὸς καὶ βασιλεὺς προαιώνιος. » Ταῦτα αὐτῶν προσευξαμένων, ἐπέστη ὁ τῶν ἐκδικήσεων Κύριος, καὶ φωτὸς τὴν φυλακὴν περιαστράψαντος ἀπηλάθη τὸ σκότος· καὶ « Θαρσεῖτε » εἰπόντος « καὶ μὴ φοβεῖσθε· μεθ' ὑμῶν γάρ εἰμι, » εὐθέως πάντα τὰ δεσμὰ ὡσεὶ κηρὸς διελύθησαν, καὶ ἡ φυλακὴ αὐτομάτως ἠνεῴχθη. Καὶ ὁ Κύριος προσθεὶς καὶ τό· « Πορεύεσθε ἐκ τῶν ὧδε κηρύττοντες » πανταχοῦ τὴν ἐμὴν δυναστείαν, » οὕτος μὲν εἰς οὐρανοὺς ἄνεισιν, οἱ δὲ τῆς φυλακῆς ἐξῄεσαν. Καὶ πρωΐας ἐλθόντες οἱ τῆς τάξεως ἅπαντες, ὡς εἶδον σώας μὲν τὰς σφραγῖδας τῆς φυλακῆς, ἐντὸς δὲ μηδένα εὑρόντες, ἐξέστησαν. Καὶ ἐξιόντες· « Ὦ τῆς βίας » ἐβόων· « ὁ Ναζωραῖος Χριστὸς ἐλθὼν νυκτὸς » ἔκλεψε τοὺς δεσμίους. » Καὶ οἱ μὲν ἐθαύμαζον τῷ γεγονότι, οἱ δὲ κατεγέλων τοὺς φύλακας. Ταῦτα ἀκούσας ὁ μακάριος Μένιγνος, πλήρης γέγονε πίστεως καὶ ἀγάπης. Κναφεὺς δὲ ὢν καὶ τὸν ῥύπον τῶν ἱματίων αὐτοῦ ποτε ἐν τῷ ποταμῷ ἀποπλύνων, ἤκουε φωνῆς λεγούσης αὐτῷ· « Μένιγνε, ἐλθὲ πρὸς μὲ » καὶ δώσω σοι χάριν πολλήν. » Ἔμφοβος δὲ γενόμενος ἐταράχθη. Καὶ μετὰ μικρὸν κύψας εἰργάζετο, καὶ πάλιν φωνὴ πρὸς αὐτόν· « Μένιγνε, ἐλθὲ πρὸς μέ, ὅπως θεάσῃ τὰ ἀποκείμενα ἀγαθὰ τοῖς ἀγαπῶσι » τὸ ἐμὸν ὄνομα. » Ὁ δὲ Μένιγνος μὴ προσθεὶς ἑτέρας ἀκοῦσαι φωνῆς, ἀπελθὼν δέδωκεν εὐθὺς ὅσα κατεῖχεν ἀλλότρια ἱμάτια. Καὶ ἡτοίμασεν ἑαυτὸν ἐκδεχόμενος τὸν ἄρχοντα. Καὶ μεθ' ἡμέρας τινὰς καταλαβόντος τοῦ ἄρχοντος καὶ προκαθίσαντος ἐπ' ἀκροάσει τῶν συνελθόντων, τὸ τοῦ βασιλέως περὶ τοῦ δόγματος ὑπανεγίνωσκε πρόσταγμα. Τότε ὁ θεῖος οὗτος Μένιγνος θάρσους πλησθεὶς μέσον τε εἰσπηδήσας, καὶ τὰ τοῦ βασιλέως ἁρπάσας γράμματα ἐκ τῶν χειρῶν τοῦ ἄρχοντος καὶ εἰς λεπτὰ κατακόψας, κατεπάτησεν εἰπών· « Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ μου ἐπὶ ἀσπίδα καὶ βασιλίσκον Ps. 90, 13. » ἐπιβήσομαι καὶ καταπατήσω λέοντα καὶ δράκοντα καὶ παράνομα Δεκίου προστάγματα. » Ταῦτα ὡς εἶδον καὶ ἤκουσαν οἱ τοῦ παρανόμου παρανομώτεροι ὑπηρέται, χαμαὶ τοῦτον ῥίψαντες κατεπάτουν τύπτοντες ἀφειδῶς. Καὶ ὅτε σφοδρῶς αὐτὸν τύψαντες ἡμίθνητον ἀπειργάσαντο, ἀναστήσας ὁ ἄρχων εἶπε πρὸς αὐτόν· « Ὦ κακὴ κεφαλή, τίνι θαρρῶν τοῦτο πεποίηκας; » Ὁ ἅγιος εἶπε· « Τῷ Χριστῷ μου. » Καὶ ὁ ἄρχων· « Τοῦτον τὸν μωρόν, φησί, καὶ θρασυκάρδιον καὶ αὐθάδη ἐπὶ ξύλου κρεμάσαντες ξέσατε » εὐτόνως τὰς σάρκας αὐτοῦ καὶ ἴδωμεν εἰ ἔλθῃ ὁ Χριστὸς αὐτοῦ σῶσαι αὐτόν. » Εὐθέως δὲ κρεμάσαντες αὐτὸν τοσοῦτον κατέξεσαν αὐτὸν οἱ ἄνομοι ταῖς χειράγραις, ὡς καὶ τὰ ὑπογάστρια αὐτοῦ ἅπαντα διὰ τῶν πλευρῶν τοῖς ἔξωθεν καθορᾶσθαι. Καὶ ὁ μὲν ἄρχων ἐν τούτοις πᾶσι θεομαχῶν ἦν καὶ βλασφημῶν ἐν τῇ ὑπομονῇ τοῦ μάρτυρος. Ὁ δὲ ἅγιος ἐκαρτέρει προσευχόμενος καὶ τὸν τύραννον

Mart. 15. ἄρχοντι. Καὶ κρατηθεὶς καὶ παρρησίᾳ τὸν Χριστὸν κηρύξας Θεὸν ἀληθινὸν ἀπετμήθη τὴν κεφαλήν[9].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἀριστοβούλου ἑνὸς τῶν ἑβδομήκοντα[1], ἀδελφοῦ τοῦ ἁγίου Βαρνάβα τοῦ ἀποστόλου. Οὗτος f. 180ᵛ. μετὰ τὴν | ἔνδοξον καὶ σωτήριον ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[2] ἠκολούθει[3] τῷ ἁγίῳ ἀποστόλῳ Παύλῳ κηρύττοντι τὸ εὐαγγέλιον εἰς πᾶσαν τὴν οἰκουμένην, διακονῶν αὐτῷ· ὑφ' οὗ καὶ χειροτονεῖται ἐπίσκοπος εἰς τὴν χώραν τῶν Βρεττανῶν[4], ἀγρίων ἀνθρώπων καὶ ὠμοτάτων. Παρ' ὧν ποτὲ μὲν τυπτόμενος, ποτὲ δὲ κατὰ τῆς ἀγορᾶς συρόμενος, πολλοὺς ἐποίησε[5] προσελθεῖν τῷ Χριστῷ[6]· ὅθεν καὶ ἐκκλησίαν συστησάμενος καὶ πρεσβυτέρους καὶ διακόνους ἐν αὐτῇ καταστήσας ἐτελειώθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚ'.

Mart. 16. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πάπα. Οὗτος ναυαγοῦσαν ὁρῶν τὴν οἰκουμένην, παραστὰς τῷ ἄρχοντι καὶ τοῦτον καταισχύνας τῇ πολλῇ πρὸς Χριστὸν παρρησίᾳ, τύπτεται ῥάβδοις τὰς σάρκας, εἶτα τὸ πρόσωπον, καὶ μετεωρισθεὶς πρὸς[1] ὕψος σπαράττεται[2] σιδηροῖς ὄνυξι, καὶ κρηπῖσι κατηλωθεὶς τοὺς πόδας[3] τόπους ἐλαύνεται μακρούς. Καὶ αὖθις δένδρῳ ἀκάρπῳ προσδεθεὶς[4] καρποφόρον ἀποτελεῖ, ἐν αὐτῷ τελειωθείς. Καὶ ἡ Λυκαόνων δὲ[5] τὸ λείψανον αὐτοῦ κατέχουσα[6] γάννυται.

— [9] Θ. ἀ. κηρύξας τὴν δορὰν ἀφαιρεθεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο Mc.
3. — [1] ἑνὸς τῶν ο' *om.* Mc, *ad. d. 16 martii.* — [2] (μετὰ - Χριστοῦ) εἷς τῶν ἑβδομήκοντα ἦν μαθητῶν Mc. — [3] δὲ *add.* Mc. — [4] τῶν Β. χ. Mc, Βραιττανῶν S. — [5] ἔπεισε Mc. — [6] τ. Χ. π. Mc.
1. — [1] εἰς Mc. — [2] σπαράττε S. — [3] εἰς *add.* Mc. — [4] π. ἀ. δ. Mc. — [5] κατέχουσα *add.* Mc. — [6] *om.* Mc.

Mart. 15. ἐνυβρίζων. Τότε μανεὶς ὁ ἄρχων εἶπε· « Τοὺς τὸ πρόσταγμα δακτύλους τοῦ βασιλέως κατακόψαντας » εἰς λεπτὰ κελεύω ἐκτμηθῆναι. » Καὶ εὐθέως τοὺς δέκα δακτύλους τῶν χειρῶν αὐτοῦ ἐξεθέρισαν ἐκ τῶν ἔσω ἁρμῶν· καὶ ἐξῆλθεν ἀντὶ αἵματος γάλα. Καὶ καθείρξας ἐν τῇ φυλακῇ, τῇ ἐπαύριον ἔστησεν αὐτὸν εἰς ἐρώτησιν. Ὁ δὲ ἅγιος τὸν Χριστὸν ὁμολογήσας ἐνώπιον πάντων καὶ τὸν βασιλέα ἀναθεματίσας καὶ τὸν ἄρχοντα καθυβρίσας, ἐξέπληξεν ἅπαντας καὶ ξίφει τὴν κεφαλὴν αὐτοῦ ὡρίσθη ἀποτμηθῆναι. Ἀπερχομένου δὲ πρὸς τὸν τῆς τελειώσεως τόπον, ἠκολούθει αὐτῷ κλαίουσα ἡ γυνὴ αὐτοῦ καὶ ὄχλος πολύς· καὶ καταλαβὼν τὸν τόπον ὁ ἅγιος ἔστη ἐφ' ὑψηλοῦ, καὶ κατηχήσας τὸν λαὸν καὶ τοῖς ἐπιτρόποις τὴν γυναῖκα παραθέμενος τὴν ἱερὰν ἀπετμήθη κεφαλήν. Ὤφθη δὲ τοῖς παροῦσι θαῦμα ἐξαίσιον. Εἶδον γὰρ ὡς τρυγόνα καθαρὰν ἐκ τοῦ στόματος τοῦ ἁγίου ἐξελθοῦσαν καὶ εἰς οὐρανοὺς ἀναπτᾶσαν καὶ κατεπλάγησαν λέγοντες· « Μέγας ἀληθῶς ὁ τοῦ Μενίγνου Θεός. » Ἀπὸ δὲ τῆς κραυγῆς τοῦ λαοῦ ἐσείσθη πᾶσα ἡ πόλις, ὡς καὶ τὸν ἀνθύπατον δειλιᾶσαι. Ὡς δὲ καὶ τῆς κραυγῆς τὴν αἰτίαν ἔμαθεν· « Ἄφετε αὐτὸν ἄταφον, » εἶπε « καὶ ἴδωμεν εἰ ὁ Θεὸς αὐτοῦ θάψει αὐτόν. » Καὶ παρέστησαν φύλακας φυλάττειν αὐτοῦ τὸ λείψανον. Νυκτὸς δὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐλθόντες, πάντων κοιμωμένων, ἀνελάβοντο τὸ ἅγιον λείψανον· καὶ τὸν τόπον καταλαβόντες, ὃν ἐπόθει ὁ ἅγιος, πρὸς ὕπνον ἐτράπησαν. Καὶ ἐφάνη τινὶ τῶν ἀδελφῶν ὁ ἅγιος λέγων· « Τῆς κεφαλῆς μου, δι' ἧς τὸν Χριστὸν ὡμολόγησα, σπου» δάζοντες ἐπελάθεσθε· ἀλλ' ὑπόστρεψον καὶ λάβε αὐτὴν μηδένα φόβον ὑφορώμενος. » Ἔξυπνος δὲ γενόμενος εἶπε τοῖς σὺν αὐτῷ τὰ λαληθέντα· καὶ ὑποστρέψας, σκοτίας βαθείας οὔσης, ἠπόρει τί ποιῆσαι. Καὶ φθάσας τὸν τόπον, ἄστρον εἶδε λάμπον ἐπάνω τῆς κεφαλῆς τοῦ μάρτυρος· καὶ λαβὼν αὐτὴν ὑπέστρεψε μετὰ χαρᾶς πρὸς τοὺς ἀδελφούς. Καὶ μελλόντων αὐτῶν περαιτέρω πορεύεσθαι, ὁ μάρτυς ἐν αὐτῷ τῷ τόπῳ κατατεθῆναι τὸ τίμιον αὐτοῦ σῶμα ἐπέσκηψεν, εἰς δόξαν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· ἀμήν (cf. Nov. 22[4], Mart. 16[3]). — **Mv** : 1. 3. 2. — Μενίγνου. — **Mr** : 1.

Mart. 16. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. — **P** : 2. 4. — **D** : 1. 2. 3. 4. — **Da** : 1. — Τῆς ἁγίας μάρτυρος Εὐφρασίας (Mart. 14[4]). — 3. 4. 5. — **Db** : 1. — Εὐφρασίας. — 3. 4. 5. — **K** : 1. — Εὐφρασίας. — 3. 4. 5. — **N** : 1. 3 : Μενίγνου τοῦ κναφέως. Οὗτος ὥρμητο ἐκ πόλεως Παρίου τοῦ Ἑλλησπόντου· ὁ δὲ τρόπος τῆς μαρτυρίας αὐτοῦ γέγονεν οὕτως... Des. : τοῦ σώματος αὐτοῦ ἐξελθοῦσα ὤφθη καὶ ἀνέπτη πρὸς οὐρανόν· ἐφ' ᾧ πολλοὶ ἐπίστευσαν καὶ προσετέθησαν τῷ Χριστῷ. — **Bb** : 2. — Ἀριστοβούλου (Mart. 15[3]). — 3. 1. — **Bc** : 2. — Ἀριστοβούλου. — 3. 1. — Εὐφρασίας. — 4. 5. — **C** : 2. 3. 4. — **Cd** : deest. — **Ce** : Σαβίνου (Mart. 13[3]). — **Cg** : 2. 3. 4. — **R**: 1. — **Ra** : 3 (Μενίγνου). — 1. — Εὐφρασίας. — 3 (Ῥωμανοῦ). — 4. 5. — **Rb** : 1. — Εὐφρασίας. — 3. 4. 5. — **Rc** : 1. — Εὐφρασίας. — 3. 4. 5. — **Mc** : 1. — Ἀριστοβούλου. — Ἀνίνα. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀνίνας ἐκ νεαρᾶς ἡλικίας ἄνευ μαθήσεώς τινος τὴν πραότητα καὶ τὴν ἡσυχίαν ἀγαπήσας εἶχεν ἐν ἑαυτῷ. Πεντεκαίδεκα δὲ ἐτῶν γενόμενος, ἀπορφανισθεὶς ἐκ τῶν γεννητόρων αὐτοῦ καὶ καταλιπὼν πάντα, ἀνῆλθεν εἰς τὴν ἔρημον· καὶ εὑρὼν μοναχόν τινα, Μαιουμᾶν οὕτω καλούμενον, ἀκτημοσύνην ὑπερβάλλουσαν ἔχοντα, παρ' αὐτῷ ἦν ἀγρυπνῶν καὶ προσευχόμενος. Τοσαύτη δὲ ἦν ἐγκράτεια παρ' αὐτοῖς, ὥστε πολλάκις δι' ἔνδειαν τῶν ἀναγκαίων διὰ τεσσαράκοντα ἡμερῶν ἤσθιον· καὶ ἐπὶ τοσαύτῃ στενώσει ὑπάρχοντες, ὡς ἐπὶ βασιλικῆς τραπέζης καθ' ἑκάστην ἤσθιον, οὕτως ἥδοντο. Καὶ μετὰ χρόνον τινὰ ὁ τούτου διδάσκαλος ἠθέλησεν ἀναχωρῆσαι ἐκεῖθεν· ὃ καὶ πεποίηκεν. Οὗτος δὲ ὁ μακάριος πρὸς αὐτὸν εἰπών· « Συγχώρησον, πάτερ τίμιε, ὅτι οὐκ ἔστι μοι καταθύμιον ὑπαναχωρῆσαι ἐντεῦθεν, ὁδηγηθεὶς » ἐλθεῖν παρὰ Θεοῦ, » ἔμεινεν ἐκεῖσε. Ἐξήρχετο δὲ πολλάκις καὶ πρὸς τὴν ἐσωτέραν ἔρημον ἐπὶ εἴκοσιν ἢ καὶ τριάκοντα ἡμέρας, καὶ πάλιν ὑπέστρεφεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ ὑποτάξας τὰ πάθη τῆς σαρκὸς

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ. Οὗτος ἦν ἐκ τῆς Ἀναζαρβέων[1] πόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας, υἱὸς βουλευτοῦ τινος, μητρὸς δὲ χριστιανῆς. Παρ' ἧς τὴν κατὰ Χριστὸν εὐσέβειαν μεμαθηκὼς καὶ τῇ μελέτῃ τῶν θείων σχολάσας γραφῶν, ἐν τῷ ὀκτωκαιδεκάτῳ χρόνῳ τῆς ἡλικίας[2] Μαρκιανῷ προσήχθη τῷ ἡγεμόνι. Καὶ μὴ καταδεξάμενος θῦσαι τοῖς εἰδώλοις, ἐν διαφόροις μέρεσι τοῦ σώματος τύπτεται· εἶτα ἐν τῇ φρουρᾷ τεθεὶς τῇ μητρὶ συμβούλῳ χρησάμενος καὶ ἐμμένειν εἰπὼν καὶ ἐναποθνήσκειν τῇ πίστει τῇ εἰς Χριστόν, ἐν σάκκῳ βληθεὶς μεστῷ[3] ψάμμου καὶ ἑρπετῶν ἰοβόλων, μέσον τοῦ πελάγους ἀφίεται, καὶ οὕτω τὸν τοῦ μαρτυρίου στέφανον δέχεται. Mart. 16.

2. — [1] Ἀναζαρβαίων S. — [2] αὐτοῦ *add.* D. — [3] μεστὸν D.

ἐδέξατο, ὡς ἔοικεν, ἀντιμισθίαν τὴν τῶν ἀγρίων θηρῶν ὑποταγήν· καὶ δῆλον ὅτι καὶ δύο λέοντες ἠκολούθουν αὐτῷ πανταχοῦ. Καὶ ἀκάνθης τραχείας ἐμπαγείσης ποδί τῶν λεόντων ἑνός, ὁ μακάριος ταύτην ἐκβαλὼν καὶ τὸν πόδα ἀσφαλῶς καταδήσας ὑγιῆ ἀπειργάσατο. Τῆς φήμης δὲ διαδραμούσης, προσήρχοντο πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, καὶ τοὺς ἀσθενεῖς μεθ' ἑαυτῶν ἔχοντες· καὶ ὃς τῇ ἐνοικούσῃ αὐτῷ θείᾳ χάριτι καὶ μόνῃ προσευχῇ ἰᾶτο πάντας οἱῳδήτινι κατησχυμμένους[1] νοσήματι. Ἐάσας οὖν τὸ εἰσέρχεσθαι ἐν τῇ ἐρήμῳ, ἐν τῷ κελλίῳ ἦν προσμένων· ὕδωρ δὲ οὐκ ἦν προσεχὲς ἀλλ' ἐκ τοῦ ποταμοῦ Εὐφράτου διεκομίζετο ἀπὸ τεσσάρων ἢ πέντε σχεδὸν μιλίων. Καὶ πρώην μὲν σπανίως διεκομίζετο, ὅτι καὶ μικρὰ χρῆσις τούτου ἦν. Ὁπηνίκα δὲ τὸ τῶν προσερχομένων πλῆθος δι' ὄχλου τῷ ἁγίῳ γέγονεν, ἀναγκαίαν εἶναί οἱ καὶ τὴν τοῦ ὕδατος χρῆσιν εἰς πόσιν ἐπέτρεπε, καὶ μικρόν τι δοχεῖον πρὸς ὑποδοχὴν ὀμβριμαίου ὕδατος κατεσκεύασεν. Ἀλλὰ καὶ τοῦ τοιούτου δοχείου ποτὲ πλήθους ὄντος καὶ ὑπὸ τοῦ πλήθους ἐξαντληθέντος, προσρυέντος δὲ καὶ ἑτέρου πλήθους καὶ τοῦ διακονητοῦ ἐπιταγέντος ἀντλῆσαι ὕδωρ, καὶ ὡς ἤκουσε μηδὲ τὴν κύλικα δυνατὸν γεμισθῆναι διὰ τὸ ἐκφορηθῆναι ἅπαν τὸ ὕδωρ, τὸ ὄμμα εἰς οὐρανὸν ἀνατείνας καὶ στενάξας βαθὺ ἐν ἱλαρῷ τῷ προσώπῳ λέγει· « Ἄπελθε, τέκνον, ἐν » ὀνόματι τοῦ Κυρίου· ἐγώ σοι ἐπιτάσσω, καὶ ἀντλήσας διακόμισον. » Πεισθεὶς οὖν, ὢ τοῦ θαύματος, καὶ ἀπελθών, εὗρε τὸν λάκκον πεπληρωμένον ὕδατος καί· « Πάντες ἴδετε » τοῦ διακονητοῦ προσειπόντος « πρᾶγμα ἐξαίσιον, » εἰσπηδήσαντες καὶ ψυχροῦ καὶ διειδεστάτου ἐμφορηθέντες νάματος, ἐξέστησαν καὶ τῷ Θεῷ τὴν εὐχαριστίαν ἀνέπεμπον τῷ δοξάζοντι τοὺς ἀγαπῶντας αὐτόν. Τοῦτο οὖν τὸ θαῦμα θέλων ὁ ἅγιος συσκιάσαι, αὐτὸς δι' ἑαυτοῦ κομίζειν τὸ ὕδωρ ἀπὸ τοῦ Εὐφράτου ποταμοῦ συνεβουλεύσατο, καθὼς καὶ πρώην ἦν ποιῶν· καὶ πάσας μὲν τὰς νύκτας ἔργον ἦν αὐτῷ ἀπαραίτητον ἡ τοῦ ὕδατος μετακομιδὴ καθ' ἑαυτὸν τὰς εὐχὰς ὑποψιθυρίζοντι. Ἔστιν ὅτε καὶ ἐν ἡμέραις τοῦτο ἐποίει ἑτέρῳ μὴ παραχωρῶν. Καί ποτε πάλιν λαοῦ πολλοῦ προσρυέντος καὶ πᾶν ὕδωρ ἐξαντλήσαντος, ὁ γέρων τὸ κεράμιον λαβὼν πρὸς τὸν ποταμὸν ἔτρεχε· καὶ μήπω λίθου βολὴν ἀπιὼν αὖθις ὑπέστρεφε. Νομίσαντες οὖν οἱ ἐκεῖσε τότε παρευρεθέντες δι' ἀσθένειαν ὑποστρέφειν τὸν γέροντα, ἔδραμον εἰς ἀπαντὴν αὐτοῦ. Καὶ λαβὼν εἷς τὸ κεράμιον ἐκ τῶν χειρῶν αὐτοῦ πρὸς μετακομιδὴν ὕδατος, ἰδὼν αὐτὸ πλῆρες ἀνεβόησε λέγων μεγάλῃ τῇ φωνῇ· « Δότε πάντες δόξαν τῷ Θεῷ, ὅτι οἱ βραχίονες τοῦ γέροντος ὕδωρ » ζῶν ἀναβλύζουσι. » Δραμόντες οὖν ἅπαντες εἰς τὸ κεράμιον καὶ ἰδόντες πεπληρωμένον ὕδατος ψυχροῦ, ἐξεπλάγησαν καὶ ἤρξαντο κυλιόμενοι παρὰ τοὺς πόδας αὐτοῦ δυσωποῦντες ἀποσχέσθαι τοῦ τοιούτου ἔργου καὶ μὴ δι' αὐτοὺς τοσοῦτον κόπον ὑφίστασθαι· « Εἰ μὴ γὰρ τὸ θαῦμα γέγονεν, » ἔλεγον, « πάντως ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου τὴν τοῦ ὕδατος μετακομιδὴν ποιήσασθαι ἔμελλες. » Ὁ δὲ καὶ αὐτὸς τῇ γῇ ἑαυτὸν προσκαταβαλὼν γῆν καὶ σποδὸν καὶ σκώληκα καὶ παντὸς ἐξουθένημα ἑαυτὸν ἀπεκάλει· καὶ οὕτω μόλις κατέπαυσεν αὐτούς. Τότε Πατρίκιος ὁ Καισαρείας ἐπίσκοπος ἀκηκοὼς ὅτι ὁ ἅγιος δι' ἑαυτοῦ τὸ ὕδωρ κομίζει, ζῷον ἀχθοφόρον εἰς ἀπαλλαγὴν τοῦ γέροντος δέδωκε. Πένης δέ τις ὀχλούμενος ὑπὸ τοῦ δανειστοῦ αὐτοῦ τῷ γέροντι προσελθὼν τὴν ἑαυτοῦ ἀνεδίδασκε συμφοράν. Ὁ δὲ μή τι ἕτερον ἔχων τὸν ὄνον δούς· « Πώλησον, εἶπε, τέκνον, καὶ δοὺς τὸ χρέος ἀπαλλάγηθι. » Τοῦτο μαθὼν ὁ ἐπίσκοπος ἕτερον αὖθις δέδωκεν εἰπών· « Τοῦτο οὐ κατὰ χάριν σοι δίδωμι, ἀλλ' ἵνα κομίζῃ τὸ » ὕδωρ· καὶ ὅτε μοι χρεία γένηται, ἀναλήψομαι τοῦτο. » Ἕτερος δὲ πάλιν μετ' οὐ πολὺ προσαίτης ἐλθὼν ἐξ ἀπορίας τοῦ ἁγίου τὸν ὄνον ἔλαβε. Καὶ μαθὼν τοῦτο ὁ ἐπίσκοπος ἐγχώρηγον δοχεῖον μέγα κατεσκεύασε μέχρι τοῦ νῦν σωζόμενον· ὅπερ καὶ δι' ἀποστολῆς ἀχθοφόρων ζῴων πληρῶν ὕδατος, ὑποστρέφειν πρὸς ἑαυτὸν πάλιν τοῖς ὑπηρέταις ἐπέταττε[2]. Στυλίτης δέ τις ἦν ἐν τῇ χώρᾳ ἐκείνῃ περιβόητος καὶ ἐκ διαβολικῆς ἐνεργείας μαχεσάμενος μετά τινος, ὡς καὶ λίθον ἀπορριφῆναι κατ' αὐτοῦ, συνέβη κἀκ τούτου πληγῆναι. Εἰς ἐκδίκησιν οὖν τοῦ τολμήματος ὁρμῆσαι βουληθείς, ἐφ ᾧ καὶ τοῦ στύλου κατελθεῖν καὶ τοὺς ἀτακτήσαντας ἀξίως ἀμύνασθαι, ὁ τοῦ Θεοῦ ἄνθρωπος ὄντως Ἀνίνας τοῦτο προγνοὺς ἐκ Πνεύματος ἁγίου, γράψας ἀπέστειλε τὸν χάρτην διὰ θηρὸς λέοντος· ὃν ἰδὼν ὁ στυλίτης ἔμφοβος γενόμενος ἐξεπλάγη. Ὁ γοῦν μαθητὴς λαβὼν τὴν ἐπιστολὴν τῷ στυλίτῃ δέδωκεν· ὃς καὶ ἀναγνοὺς κατενύγη, καὶ ἀναθεὶς τὴν ἐκδίκησιν τῷ Θεῷ, ἀντέγραψε τῷ μακαρίῳ διὰ τοῦ λέοντος, πολλὰ τῷ Θεῷ καὶ τῷ πιστῷ αὐτοῦ θεράποντι ἐπευχαριστῶν[3]. Γυνὴ δέ τις ἔχουσα νόσημα χαλεπὸν ἀνήρχετο πρὸς τὸν ἅγιον. Συναντήσας δὲ αὐτῇ βάρβαρος ἐπειρᾶτο ἃ ἐπεφέρετο λαβεῖν. Τῆς δὲ μηδὲν ἐχούσης, ἐβιάζετο τελευταῖον τὴν γυναῖκα πρὸς αἰσχρὰν μῖξιν· ἡ δὲ τὸν ἅγιον εἰς βοήθειαν ἐπικαλεσαμένη, εὐθέως Mart. 16.

[1] κατισχημένους Mc. — [2] ὑπέτατττε Mc. — [3] ἀπευχαριστῶν Mc.

MART. 16. **3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ῥωμανοῦ καὶ Μενίγνου τῶν ἐν τῷ Παρείῳ.

4. Καὶ μνήμη τοῦ ἐν ἁγίοις Ἀλεξάνδρου πάπα Ῥώμης.

5. Καὶ Τροφίμου καὶ Θάλλου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖʹ.

MART. 17. **1.** Μνήμη τοῦ ἁγίου Ἀλεξίου τοῦ ἐπονομαζομένου ἀνθρώπου τοῦ Θεοῦ. Οὗτος ἦν ἐκ τῆς πρεσβυτέρας Ῥώμης, υἱὸς Εὐφημιανοῦ πατρικίου, καὶ μητρὸς Ἀγλαΐδος, πλουσίων καὶ εὐγενῶν, οἳ καὶ πρὸς γάμον αὐτὸν[1] ἐξέδωκαν. Κατὰ δὲ τὸν καιρὸν ὃν ἔδει τῇ νύμφῃ προσομιλῆσαι, δοὺς αὐτῇ τὸν ἀρραβωνικὸν δακτύλιον, ἐξῆλθε τοῦ οἴκου καὶ τὴν πόλιν Ἔδεσαν καταλαβὼν προσέμεινε τῇ ἐκκλησίᾳ ἔτη δέκα καὶ ὀκτὼ ἐν πενιχροῖς ἱματίοις. Γνωσθεὶς δὲ διὰ τὴν ἀρετὴν αὐτοῦ, πλειόνων[2] συν-
f. 181. τρε|χόντων εἰς αὐτόν, ὑπεχώρησεν ἐκεῖθεν, μέλλων εἰς Ταρσὸν τῆς Κιλικίας καταίρειν ἐν τῷ ναῷ τοῦ ἁγίου Παύλου. Ταύτης μὲν τῆς ἐφέσεως οὐκ ἔτυχε, τῆς νηὸς πνεύμασιν ἐναντίοις ἑλκυσθείσης ἑτέρωθεν· παραγενόμενος δὲ ἐν τῇ Ῥώμῃ, κατέλαβε τὸν οἶκον τοῦ ἰδίου πατρός. Καὶ ἀγνοηθεὶς τῷ πυλῶνι προσεκαρτέρει βλέπων τὸν πατέρα καὶ τὴν μητέρα καὶ τοὺς οἰκέτας εἰσερχομένους καὶ ἐξερχομένους ἐν τῷ πυλῶνι καὶ ἐμπαιζόμενος καὶ ὑβριζόμενος ὡς ξένος καὶ πτωχὸς ἐν τῷ ἰδίῳ οἴκῳ ὑπὸ τῶν δούλων αὐτοῦ, καίτοι τῶν γονέων καὶ τῆς σώφρονος αὐτοῦ γυναικὸς σφόδρα λυπουμένων καὶ κλαιόντων διαπαντὸς περὶ αὐτοῦ. Τῆς δὲ τελευτῆς αὐτοῦ προσεγγισάσης, ζητήσας χάρτην ἔγραψε τὰ περὶ αὐτοῦ πάντα καὶ κατεῖχεν ἐν τῇ χειρὶ μετὰ τελευτήν, ἕως ὁ βασιλεὺς Ὀνώριος θεόθεν ἀποκαλυφθεὶς παρεγένετο, καὶ δεηθεὶς αὐτοῦ καὶ ἱκετεύσας ἤδη τεθνηκότος τὸν χάρτην ἔλαβεν — ἄλλῳ γάρ τινι οὐκ ἐδίδου αὐτόν, — καὶ ἀναγνωσθέντος αὐτοῦ[3], εἰς ἐπήκοον ἐγνώσθη τὰ κατ' αὐτόν. Καὶ πάντων ἐκπλαγέντων, τὸ ἅγιον αὐτοῦ λείψανον ταφῆς ἐντίμου καὶ μεγαλοπρεποῦς ἔτυχεν ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου, μύρα εὐώδη καὶ ἰάματα τοῖς προσιοῦσιν ἀεννάως προχέον.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου. Οὗτος χριστιανὸς ὢν καὶ τοὺς εἰδωλολάτρας ὁρῶν θύοντας οὐ μόνον ἀνθρώποις ἀλλὰ καὶ ἑρπετοῖς καὶ κνωδάλοις, ζήλῳ θείῳ πυρωθείς, ἑορτῆς ἀγομένης τοῖς ἀψύχοις, δραμὼν κατέστρεψε τὸν βωμὸν καὶ τὰ θύματα κατεπάτησε καὶ ἑαυτὸν χριστιανὸν ὡμολόγησε[1]. Παραυτίκα δὲ κρατηθεὶς ὑπὸ τῶν εἰδωλολατρῶν, πρῶτον μὲν παρ' αὐτῶν ῥοπάλοις τύπτεται καὶ λίθοις τὸ στόμα καὶ τοὺς ὀδόντας συντρίβεται καὶ ἐκ τριχῶν σύρεται· ἔπειτα δεθεὶς καὶ παραδοθεὶς τῷ ἄρχοντι καὶ παρ' ἐκείνου πλεῖστα βασανισθεὶς τὴν διὰ ξίφους δέχεται τελευτήν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάστασις τοῦ δικαίου Λαζάρου τοῦ φίλου τοῦ Χριστοῦ.

4. Καὶ μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως, ἧς παρ' ἐλπίδα ὁ φιλάνθρωπος Θεὸς τοὺς τότε ἐρρύσατο[1].

1. — [1] αὐτῷ S. — [2] πλοιόνων S. — [3] αὐτὸν S.
2. — [1] (καὶ ἑαυτὸν - ὡμολόγησε) *om.* Mc.
4. — [1] (ἧς - ἐρρύσατο) *om.* Mc.

MART. 16. ὁ ἀνήμερος βάρβαρος ἡμερωθεὶς μετεμελήθη. Καὶ ἁπλώσας τὴν χεῖρα λαβεῖν ὅπερ ἔφθασε προσπῆξαι ὅπλον τῇ γῇ πρὸ τοῦ τῆς βίας ἀπάρξασθαι, εὗρεν ἐρριζωμένον· καὶ ὑπερθαυμάσας τοῦτο τὸ παράδοξον, ἔδραμε καὶ αὐτὸς πρὸς τὸν ἅγιον. Καὶ κατηχηθεὶς ἐβαπτίσθη, καὶ μονάσας παρὰ τῷ ἁγίῳ γέγονε δοκιμώτατος. Λαβοῦσα δὲ τὴν ἴασιν ἡ γυνὴ χαίρουσα ὑπέστρεψε. Πολλὰ μὲν οὖν καὶ ἄλλα τὰ διὰ τοῦ ἁγίου γενόμενα ὑπερφυῆ καὶ ἐξαίσια· ἀλλ' ἵνα μὴ προσκορεῖς νομισθείημεν, παρεδράμομεν καὶ μὴ βουλόμενοι. Ἔτη δὲ πέντε πρὸς τοῖς ἐννενήκοντα διαβιοὺς ἐν τῷ ἀσκητηρίῳ μηδ' ὁπωσοῦν ἐκεῖθεν μεταβάς, ὡς τὸ πᾶν τῆς ζωῆς εἰς χρόνους δέκα πρὸς τοῖς ἑκατὸν περιΐστασθαι, προοράσεις διαφόρους προαγγείλας εἰς ἔκβασιν προαχθείσας, καὶ ἀδελφότητα ἱκανὴν ἐπισυλλεξάμενος καὶ πάντας προσκαλεσάμενος τοὺς τῆς ἀδελφότητος καὶ ἕνα εἰς ἀρετὴν ἐκλεξάμενος τοῖς λοιποῖς ὑπερέχοντα· « Καὶ τοῦτον » ἀντ' ἐμοῦ ὁ Θεὸς προεσφράγισε ποιμένα ὑμῶν » προσειπών, τῇ χειρὶ ὑποδείξας τὸν ἀδελφόν· καὶ κατασπασάμενος ηὐλόγησεν αὐτούς. Καὶ ἐπιζήσας ἡμέρας ἑπτὰ ἀπῆλθε πρὸς Κύριον κατὰ τὴν ἑξκαιδεκάτην τοῦ μαρτίου μηνός (Mart. 18^2). — **Mv** : Σαβίνου (Mart. 12^3). — 1. 2. — Ἰωάννου τοῦ ἐν Ῥουφινιαναῖς. — 3 (Ῥωμανός). — Οἱ ἅγιοι δέκα μάρτυρες οἱ ἐν Φοινίκῃ ξ. τ. — 4. — Ἀνίνα. — **Mr** : Σαβίνου.

MART. 17. SYNAXARIA SELECTA. **H** : 2. 1. 4. — **P** : 2. 1. 4. — **D** : 2. 1. 4. 3. — **Da** : 1. 4. — **Db** : 1. — **K** : 1. 4. 3. — **N** : 1. 4. 3. — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. — **Cd** : deest. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. 4. — **Mc** : 1. — Ἰωάννης ὁ ἐν Ῥουφινιαναῖς ἐν εἰρήνῃ τ. — Ῥωμανὸς ὁ ἐν τῷ Παρίῳ (Mart. 16^3). — Οἱ ἅγιοι δέκα μάρτυρες οἱ ἐν Φοινίκῃ ξ. τ. — Ἀλέξανδρος πάπας[1] Ῥώμης (Mart. 16^4). — 4. — Ὁ ὅσιος Παῦλος ὑπὲρ τῶν ἁγίων εἰκόνων π. τ. — Θεοστήρικτος ὁ ὁμολογητὴς ἐν εἰρήνῃ τ. — 3. 2. — **Mv** : 1. 4. — Παῦλος. — Θεοστήρικτος. — 3 : ἡ ἐν τῷ Κυρίῳ πάσχα ἀνάστασις τοῦ δικαίου Λαζάρου. — **Mr** : 1.

[1] Ἀλεξανδρείων πάπας Mc.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗʹ.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων. Οὗτος γονέων μὲν ἦν εὐσεβῶν, ἐπὶ τῆς βασιλείας Κωνσταντίου. Ἐπεὶ δὲ ὁ τῶν Ἱεροσολύμων ἐπίσκοπος Μάξιμος[1] τέλει βίου ἐχρήσατο, οὗτος ἀντ' ἐκείνου τῆς ἐπισκοπικῆς χάριτος κατηξιώθη, τῶν ἀποστολικῶν
f. 181v. δογμάτων | προθύμως ὑπερμαχῶν. Ἀκάκιος δὲ ἀρειανὸς ὢν καὶ τὸν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης θρόνον ἐπέχων καὶ ὑπὸ τῆς ἐν Σαρδικῇ συνόδου καθαιρεθείς, ἐπεὶ γνώριμος ἦν[2] τῷ βασιλεῖ, ἐκεῖθεν ἔχων τὴν ἐξουσίαν, τὸν Κύριλλον τοῦ θρόνου καθεῖλεν. Ὁ δὲ εἰς Ταρσὸν ἀπελθὼν τῷ θαυμασίῳ συνῆν Σιλβανῷ. Καὶ εἰς Σελεύκειαν συγκροτηθείσης συνόδου καὶ τοῦ Κυρίλλου μέρους[3] ὄντος τῆς συνόδου, πρὸς τὴν Κωνσταντινούπολιν ἐξέδραμεν ὁ Ἀκάκιος καὶ πείθει τὸν βασιλέα ὑπερορίᾳ καταδικάσαι Κύριλλον. Μετὰ δὲ τὴν τελευτὴν Κωνσταντίου, τῆς βασιλείας κρατήσας Ἰουλιανὸς καὶ θέλων ἐπισπάσασθαι πάντας εἰς εὔνοιαν, ἀνερρύσατο μετὰ πάντων καὶ τὸν Κύριλλον καὶ τῷ ἰδίῳ θρόνῳ ἐγκατέστησε. Καλῶς οὖν τὸ ποίμνιον ἰθύνας καὶ τὰς ἐμφερομένας αὐτοῦ κατηχήσεις μνημόσυνον τῇ ἐκκλησίᾳ καταλελοιπώς, ὀλίγον χρόνον ἐπιβιοὺς μετὰ τὴν ἐπάνοδον ἀνεπαύσατο μακαρίως. Ἦν δὲ κατὰ τὸν τύπον τοῦ σώματος τὴν ἡλικίαν μέτριος, ὠχρός, κομήτης, ὑπόσιμος, τετράγωνος τὸ πρόσωπον, τὰς ὀφρῦς εὐθύτητι φέρων ἀπισουμένας, γενείῳ τὰς σιαγόνας λευκῷ δασυνόμενος, διχῇ κατὰ τὸν πώγωνα διῃρημένῳ, ἀγροίκῳ τὸ πᾶν ἦθος προσεοικώς. MART. 18.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀνίνα τοῦ θαυματουργοῦ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἑπτὰ γυναικῶν τῶν ἐν Ἀμινσῷ, Ἀλεξανδρίας, Κλαυδίας, Εὐφρασίας, Ματρώνης, Ἰουλιανῆς, Εὐφημίας καὶ Θεοδοσίας. Αὗται ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ τοῦ δυσσεβοῦς. Διωγμοῦ κινηθέντος μεγάλου, πᾶσα ἡλικία τῶν ἀνθρώπων τῶν ὁμολογούντων τὸν Κύριον διὰ βασάνων διαφόρων καὶ ποικίλων θανάτων ἐξεκόπτετο. Ἐπεὶ δὲ καὶ ἐν Ἀμινσῷ τῇ πόλει πᾶς ὁ τὸν Χριστὸν κηρύττων ὑπὸ τοῦ ἄρχοντος τῆς πόλεως, εἰδωλολάτρου ὄντος, ἐφονεύετο, ἑπτὰ γυναῖκες χριστιαναὶ ζηλώσασαι ἔστησαν ἔμπροσθεν αὐτοῦ καὶ χριστιανὰς ἑαυτὰς ὡμολόγησαν, αὐτόν τε ἤλεγξαν παρρησίᾳ, ὠμὸν καὶ ἄδικον ἀποκαλέσασαι καὶ

1. — [1] *bis scriptum in* S. — [2] ὢν S. — [3] μέρος S.

SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. 2 (Ἀνανία). — **Da** : 1. 2. — **Db** : 1. — **K** : 1. 2. — MART. 18. **N** : 1. — Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ (Mart. 16^2). — **Bb** : 1. 3. — **Bc** : 1. 3. — **C** : 1. — **Cd** : deest. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. 2 (Ἀνανία). — **Rb** : 1. 2 (Ἀνανίου). — **Rc** : 1. 2 (Ἀνανία). — **Mc** : 1. — Τροφίμου καὶ Εὐκαρπίωνος τῶν ἐν Νικομηδείᾳ ἀθλησάντων. Τοῦ διωγμοῦ τῶν χριστιανῶν ἐν Νικομηδείᾳ παφλάζοντος, πάντας τοὺς χριστιανοὺς οἱ συλλαμβάνοντες ἐν ταῖς φυλακαῖς κατεῖχον. Εἶθ' οὕτως ἐπανακρίναντες μετὰ πολλῶν ἐξετάσεων καὶ ποικίλων τιμωριῶν τοὺς ἐμμένοντας τῇ ὁμολογίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τοῦ ζῆν ἀπήλλασσον. Οἱ μάρτυρες οὖν Τρόφιμος καὶ Εὐκαρπίων, δυνατοί τε ὄντες καὶ τολμηροὶ καὶ στρατευόμενοι, διῶκται καὶ τέλειοι ἐχθροὶ ἐτύγχανον συλλέγοντες τοὺς χριστιανοὺς καὶ ταῖς φυλακαῖς ἐμβάλλοντες, ὡς πᾶσαν ἐξουσίαν λαβόντες κατ' αὐτῶν. Οὓς γὰρ ἤθελον ἐτιμώρουν, τινὰς δὲ καὶ περιεποιοῦντό. Ποτε δὲ αὐτῶν ἀπερχομένων πρὸς τὸ κατασχεῖν τινάς, εἶδον πυρκαϊὰν μεγάλην ῥοιζηδὸν κατερχομένην ἐκ τοῦ οὐρανοῦ πρὸς αὐτοὺς καὶ φωνῆς ἐκεῖθεν ἤκουσαν λεγούσης· « Ἵνα τί σπεύδετε τοῖς ἐμοῖς ἐπαπειλούμενοι δούλοις; μὴ πλανᾶσθε, οὐδὲ γὰρ » δυνήσεταί τις κατακυριεῦσαι τῶν εἰς ἐμὲ πεπιστευκότων, μᾶλλον δὲ προσκολλήθητε τούτοις καὶ » κερδανεῖτε τὴν τῶν οὐρανῶν βασιλείαν. » Αὐτῆς τε τῆς φωνῆς ὡς ἤκουσαν οἱ ὠμοὶ καὶ θρασεῖς καὶ κατὰ τῶν τοῦ Χριστοῦ δούλων ἀλαζονευόμενοι, ἔπεσον χαμαί, μήτε τὴν θέαν ὑποφέροντες, μήτε τὴν βροντῶσαν ἐκείνην φωνὴν ὑπενεγκόντες. Τοῦτο δὲ μόνον κείμενοι ἔλεγον· « Ἀληθῶς μέγας ἐστὶν ὁ » Θεός, ὁ φανεὶς ἡμῖν σήμερον· καὶ μακάριοί ἐσμεν καὶ ἡμεῖς, ἐὰν αὐτοῦ γενώμεθα δοῦλοι. » Καὶ ὡς ταῦτα μετὰ φόβου ἔλεγον, σχισθεῖσα ἡ πυρίνη ἐκείνη νεφέλη ἔστη ἔνθεν καὶ ἔνθεν· καὶ αὖθις ἑτέρα φωνὴ ἐξ αὐτῆς ἦλθε λέγουσα· « Ἀνάστητε, καὶ μεταμεληθεῖσιν ἀφέονται ὑμῖν αἱ ἁμαρτίαι. » Καὶ ἀναστάντες εἶδον μέσον τῆς νεφέλης καθήμενόν τινα λευχείμονα καὶ πάνυ εὐειδῆ καὶ πλῆθος παρεστώτων αὐτῷ πολύ· καὶ ἐπὶ τῇ θέᾳ καταπλαγέντες· « Δέξαι καὶ ἡμᾶς » ὡς ἐξ ἑνὸς ἀνεβόησαν στόματος, « ὅτι » πολλὰ ἡμῖν τὰ ἐσφαλμένα καὶ ἄμετρα ἐκτὸς ὧν εἰς σὲ τὸν μόνον ἀληθινὸν Θεὸν καὶ τοὺς σοὺς δούλους » πεπαρῳνήκαμεν. » Ταῦτα τούτων εἰπόντων, εὐθέως ἡ νεφέλη εἰς ἓν γενομένη ἀνῆλθεν εἰς τὸν οὐρανόν. Οὗτοι δὲ πολλὰ κλαύσαντες ὑπέστρεψαν καὶ ὅσους εἶχον ἐγκεκλεισμένους, πάντα φόβον καὶ δειλίαν ἀποθέμενοι ὡς ἀδελφοὺς ἠσπάζοντο καταπροσκυνοῦντες καὶ τὰ δεσμὰ αὐτῶν λύοντες παρεκελεύοντο οἴκαδε πορεύεσθαι. Ταῦτα μεμαθηκὼς ὁ ἄρχων, οὐ μικρῶς ἐχαλέπαινε κατ' αὐτῶν καὶ παραστὰς ἐπυνθάνετο τὴν αἰτίαν μαθεῖν βουλόμενος. Ὡς δὲ πᾶσαν τὴν ὀπτασίαν οὗτοι λεπτομερῶς ἐξηγήσαντο, προσέταξεν ἀναρτηθῆναι αὐτοὺς ἐν τῷ ξύλῳ. Καὶ τούτου γενομένου τὰς πλευρὰς αὐτῶν χειράγραις κατέξαινον. Εἶθ' οὕτως τριχῶν ὑφάσμασι κελεύει κατατρίβεσθαι τὰς πληγάς. Οἱ δὲ ἅγιοι γενναίως ταῖς βασάνοις ἐγκαρτεροῦντες προσηύχοντο εὐφραινόμενοι καὶ τῷ Θεῷ εὐχαριστοῦντες· ὅθεν καὶ τὸν ἄρχοντα εἰς μεγάλην ὀργὴν ἐκ τούτου κινήσαντες, κάμινον ἐκκαῆναι μέσον τῆς πόλεως προστάττει καὶ ἐν αὐτῇ τοὺς ἁγίους ἀπορριφῆναι. Καὶ τούτου γενομένου, οἱ ἅγιοι τῆς καμίνου ἐπιβεβηκότες τὸν

Mart. 18. ἐχθρὸν τῆς ἀληθείας. Ταῦτα εἰποῦσαι εἰς ὀργὴν ἐκίνησαν τὸν τύραννον. Καὶ πρῶτον μὲν ἐκδυθεῖσαι ἐτύφθησαν μετὰ ῥάβδων· ἔπειτα τοὺς μαστοὺς ξίφει ἐτμήθησαν, καὶ τρίτον κρεμασθεῖσαι ἐξέσθησαν τοσοῦτον, ἕως οὗ ἐφάνησαν τὰ ἔγκατα αὐτῶν. Καὶ τελευταῖον εἰς κάμινον πυρὸς μεγάλην | f. 182. ἐμβληθεῖσαι παρέδωκαν τὰς ἑαυτῶν ψυχὰς τῷ Κυρίῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

Mart. 19. **1.** Μνήμη τοῦ ἐν ἁγίοις[1] Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως. Οὗτος[2] διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ[3] ἀρετὴν καὶ τὴν ἄκραν σύνεσιν καὶ εὐλάβειαν, διάκονος προχειρίζεται τῆς μεγάλης ἐκκλησίας καὶ σακελλάριος ὑπὸ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἐν θαύμασι μεγίστου Ἰωάννου, τοῦ ἐπικαλουμένου[4] νηστευτοῦ, ἐπὶ τῆς βασιλείας τοῦ ἀοιδίμου καὶ μακαρίου Μαυρικίου. Καὶ μετὰ τελευτὴν αὐτοῦ τε Ἰωάννου καὶ τοῦ μετ' αὐτὸν ἀρχιερατεύσαντος Κυριακοῦ προχειρίζεται πατριάρχης Κωνσταντινουπόλεως[5]. Ἔτη δὲ τρία καὶ μῆνας δύο τὸν θρόνον ταύτης διϊθύνας καὶ πολλὰ κατὰ τῶν αἱρέσεων ἀγωνισάμενος καὶ τὰ ὀρθόδοξα κρατύνας καὶ τὸ ποίμνιον καλῶς καὶ θεαρέστως ποιμάνας[6] ἐν εἰρήνῃ ἐκοιμήθη.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Δαρείας. Οὗτοι ὑπῆρχον ἐπὶ Νουμεριανοῦ τοῦ[1] βασιλέως[2]· ὁ μὲν Χρύσανθος πατρὸς συγκλητικοῦ ὀνόματι Πολέμωνος Ἀλεξανδρέως, ἡ δὲ Δαρεία ἐξ Ἀθηνῶν. Ἐπεὶ δὲ ὁ Χρύσανθος παρά τινος χριστιανοῦ ἐμυήθη τὰ θεῖα[3] καὶ βαπτισθεὶς τὸν Χριστὸν ἐκήρυττε παρρησίᾳ[4], παρὰ τοῦ πατρὸς καθείργνυται. Ὡς δὲ οὐκ ἐνεδίδου, ἀλλ' ἄτρεπτος ἦν καὶ ἀσάλευτος, ἁρμόζει[5] αὐτῷ <ὁ πατὴρ[6]> κόρην εὐπρόσωπον καὶ ὡραίαν ἐξ Ἀθηνῶν μεταπεμψάμενος, Δαρείαν ὀνόματι, ὥστε τῷ ἔρωτι ταύτης[7] μεταστῆναι αὐτὸν τῆς τῶν χριστιανῶν πίστεως. Ἡ δὲ ἀντὶ τοῦ πεῖσαι μᾶλλον[8] ἐπείσθη· καὶ τὴν πατρῴαν δυσσέβειαν ἐξομοσαμένη, τὸ ἅγιον δέχεται βάπτισμα, καὶ διεφυλάχθη ἀμφοτέρων ἡ παρθενία ἄφθορος[9]. Ὅθεν διαβληθέντες πρὸς Κελερῖνον τὸν ὕπαρχον[10] εἰς ἐξέτασιν ἐκδίδονται Κλαυδίῳ τῷ τριβούνῳ. Ὁ δὲ πολλαῖς βασάνων ἰδέαις τούτους τιμωρησάμενος, ἐπεὶ περιγενομένους αὐτοὺς καὶ τῶν αἰκισμῶν ἀνωτέρους ἑώρα, μεταβαλόμενος ἐπίστευσε τῷ Χριστῷ[11] ἅμα τῇ γυναικὶ αὐτοῦ Ἱλαρίᾳ καὶ τοῖς δυσὶν υἱοῖς[12] Ἰάσωνι καὶ Μαύρῳ καὶ τοῖς ὑπ' αὐτὸν στρατιώταις, οἳ καὶ ὕστερον τὸν τῆς μαρτυρίας ἐκομίσαντο στέφανον κατὰ τὴν ἐννεακαιδεκάτην τοῦ μαρτίου μηνός· ὁ μὲν Κλαύδιος λίθῳ προσδεθεὶς[13] καὶ ῥιφεὶς ἐν τῷ[14] βυθῷ, οἱ δ' αὐτοῦ υἱοὶ[15] σὺν τοῖς στρατιώταις τὰς κεφαλὰς ἀπετμήθησαν. Ὁ δὲ ἅγιος Χρύσανθος καὶ[16] Δαρεία ἐν βόθρῳ ἐβλήθησαν· καὶ ἄνωθεν γῆς ἐπιχεθείσης[17] αὐτοῖς[14] κατεχώσθησαν, ἔνθα καὶ τὸ μακάριον τέλος ἐδέξαντο.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἀναιρεθέντων ὑπὸ τῶν | βαρβάρων f. 182v. Αἰθιόπων[1] ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα. Οὗτοι οἱ ἅγιοι πατέρες ἐκ διαφόρων τόπων συναθροισθέντες καὶ τῇ μονῇ τοῦ ὁσίου πατρὸς ἡμῶν προσκαθεζόμενοι Σάβα[2], ἐν ἀσκήσει πολλῇ καὶ καλῇ πολιτείᾳ τὸν Θεὸν ἐθεράπευον. Ἀλλ' ὁ βασκαίνων καὶ φθονῶν διάβολος καὶ μάλιστα τοῖς ἐναρέτοις, ἐξήγειρεν ἐπ' αὐτοὺς τοὺς ἀθέους Αἰθίοπας ἐλπίζοντας πλούτου περιουσίαν εὑρεῖν[3]. Ὡς δὲ ἀπελθόντες οὐδὲν εὗρον, τὸν θυμὸν αὐτῶν ἐξέχεον ἐπ'[4] αὐτούς, τοὺς μὲν ἀποκεφαλίσαντες, τοὺς δὲ διχοτομήσαντες, τοὺς[5] δὲ κατακεντήσαντες καὶ τὰ ἔγκατα[6] αὐτῶν ἐκχέαντες καὶ διαφόρως ἀνελόντες. Οἱ δὲ ὅσιοι εὐχαριστοῦντες παρέδωκαν τὰς ἁγίας αὐτῶν ψυχὰς τῷ Κυρίῳ, ἀπολαύοντες τὴν αἰώνιον καὶ μακαρίαν ζωὴν τῆς βασιλείας τῶν οὐρανῶν, δι' ἣν τούς τε ἀγῶνας τῆς ἀσκήσεως καὶ τὸ μαρτύριον τῆς ἀθλήσεως προθύμως ὑπέμειναν.

4. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου διακόνου τῆς Ῥωμαίων ἐκκλησίας.

1. — [1] πατρὸς ἡμῶν *add.* Mc *ad d. 21 Martii.* — [2] ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Θ. *add.* Mc. — [3] αὐτῷ Mc. — [4] *om.* Mc. — [5] πατρ. Κπ. δείκνυται Mc. — [6] *corr., prius* ποιμένας S.

2. — [1] *om.* Mc. — [2] ἦν δὲ *add.* Mc. — [3] τ. θ. ἐμ. Mc. — [4] π. τ. Χ. ἐκ. Mc. — [5] ἁρμόζεται S, Mc. — [6] *om.* S, Mc. — [7] πρὸς αὐτὴν ἔρωτι Mc. — [8] μ. ἀ. τ. π. Mc. — [9] ἄτρωτος Mc. — [10] ἔπαρχον Mc. — [11] εἰς Χριστὸν Mc. — [12] αὐτῶν *add.* Mc. — [13] δεθεὶς Mc. — [14] *om.* Mc. — [15] δὲ υἱοὶ αὐτοῦ Mc. — [16] ἡ *add.* Mc. — [17] ἐπιτεθείσης Mc.

3. — [1] *om.* Mc, *ad d. 20 Martii.* — [2] Σ. προσκ. Mc, προκ. Σ. S. — [3] λαβεῖν Mc. — [4] παρ' Mc. — [5] ἄλλους Mc. — [6] αἵματα Mc.

Mart. 18. στέφανον τοῦ μαρτυρίου ἐν αὐτῇ ἀνεδήσαντο. — Τῆς ἀδελφῆς τοῦ Λαζάρου Μαρίας, ἥτις τοὺς πόδας τοῦ Χριστοῦ νάρδου ἀλείψασα ταῖς θριξὶν ἐξέμασσε. — Καὶ τῶν ἁγίων μυρίων. — **Mv** : 1. — Οἱ ἅγιοι μύριοι τὰς αὐχένας τμηθέντες τ. — Τροφίμου καὶ Εὐκαρπίωνος. — Μαρίας. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῆς βαιοφόρου. — **Mr** : 1.

Mart. 19. SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2. — **D** : 2. 1 : Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἐν ἁγίοις Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως. — **Da** : 2. 1. — **Db** : Ἀνίνα (Mart. 18[2]). — 2. 1. — **K** : 2. — **N** : 2. — Μαρίνου (Mart. 17[2]). — **Bb** : 3. 2. — **Bc** : 3. — **C** : 2. 3. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν (Mart. 18[3]). — Θερφούθης καὶ τῆς ἀδελφῆς αὐτῆς (April. 5[3]). — **Cd** : deest. — **Ce** : 2. 3. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — Δερφούθης. — **Cg** : 2. 3. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — Θερφούθης. — **R** : 2. — **Ra** : 2. 1 (ἀνακομιδή). — **Rb** : deest. — **Rc** : 2. 1 (ἀνακομιδή). — **Mc** : 2. — Κλαύδιος ὁ τριβοῦνος ἐν τῇ θαλάσσῃ βληθεὶς τ. — Ἱλαρία ἡ τούτου σύζυγος ξ. τ. — Ἰάσων καὶ Μαῦρος οἱ τούτων υἱοὶ ξ. τ. — Παγχαρίου (Mai 25[2]). — **Mv** : 2. — Κλαύδιος. — Ἱλαρία. — Ἰάσων καὶ Μαῦρος οἱ υἱοὶ αὐτῶν ξ. τ. — Παγχαρίου. — Διόδωρος πρεσβύτερος καὶ Μαριανὸς διάκονος σπηλαίῳ ἐγκλεισθέντες τ. — **Mr** : 2.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Νικήτα ἐπισκόπου Ἀπολλωνιάδος. Οὗτος[1] ὑπῆρχεν ἐν τῷ καιρῷ τῶν εἰκονομάχων[2] οὐ μόνον πιστὸς καὶ εὐλαβὴς καὶ ὀρθοδοξότατος, ἀλλὰ καὶ ἐλεήμων καὶ συμπαθής[3], πολὺς τὴν γνῶσιν, πλείων τὸν λόγον. Ὅθεν ἀναγκασθεὶς ἀρνήσασθαι τὴν προσκύνησιν τῆς πανσέπτου εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς παναχράντου αὐτοῦ μητρὸς καὶ τῶν ἱερῶν καὶ θείων ἀγγέλων καὶ πάντων τῶν ἁγίων, καὶ μὴ πεισθείς, ἐξορίαις καταδικάζεται καὶ πειρασμοῖς ἀνεικάστοις καθυποβάλλεται· ἐφ' οἷς δεινῶς νοσήσας παρέθετο τὴν ἁγίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ[4].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Φωτεινῆς τῆς Σαμαρείτιδος, ἥτινι προσωμίλησεν ὁ Κύριος ἐν τῷ φρέατι, καὶ τῶν σὺν αὐτῇ Ἰωσῆ καὶ Βίκτωρος τῶν υἱῶν αὐτῆς καὶ Σεβαστιανοῦ δουκὸς καὶ Ἀνατολίου καὶ τῶν γνησίων αὐτῆς Mart. 20. αὐταδέλφων Φωτοῦς, Φωτίδος[1], Παρασκευῆς καὶ Κυριακῆς. Αὕτη ἦν ἐν τοῖς χρόνοις Νέρωνος. Μετὰ δὲ τὸ τέλος τῶν ἁγίων Πέτρου καὶ Παύλου ὑπῆρχε σὺν τῷ υἱῷ αὐτῆς Ἰωσῆ ἐν Καρθαγένῃ τῇ πόλει τῆς Ἀφρικῆς, κηρύττουσα τὸν Χριστόν. Ὁ δὲ υἱὸς αὐτῆς Βίκτωρ κατὰ τῶν Ἀβάρων ἀνδραγαθήσας, γέγονε στρατηλάτης καὶ προσετάγη τοὺς ἐν τῇ Γαλλίᾳ[2] χριστιανοὺς φονεύειν. Ἐπεὶ δὲ οὐκ ἐφόνευε, ἀλλ' ἐδίδασκεν μᾶλλον τῷ Χριστῷ προσέρχεσθαι καὶ πολλοὺς πρὸς τὴν πίστιν ἐχειραγώγει, ὡς καὶ αὐτὸν τὸν δοῦκα Σεβαστιανὸν ποιῆσαι πιστεῦσαι Χριστῷ, παρασταλεὶς ἤχθη δέσμιος μετὰ τῶν λοιπῶν καὶ πα|ρέστη[3] τῷ βασιλεῖ. f. 183. Ὁ δὲ διαφόρως ἐτιμωρήσατο αὐτούς, τῶν μὲν ὀφθαλμοὺς ἐξορύξας, τοὺς δὲ εἰς φυλακὴν ἐμβαλὼν ἑρπετῶν ἰοβόλων γέμουσαν· ἐν ᾗ ὤφθη ὁ Κύριος

1. — [1] ὁ ἐν ἁγίοις καὶ θεοφόρος πατὴρ ἡμῶν καὶ ὁμολογητὴς *add.* Mc. — [2] ἐν τῷ κ. τ. εἰκ. ὑπῆρχεν ἐπίσκοπος Ἀπολλωνιάδος Mc. — [3] καὶ *add.* Mc. — [4] εἰς χεῖρας Θεοῦ Mc.

2. — [1] Φώτιδος S. — [2] S, D, Γαλιλαίᾳ *al. v. c.* Bc. — [3] πα|παρέστη S.

SYNAXARIA SELECTA. **H** : Ἄθλησις τῶν ἁγίων ἑπτὰ γυναικῶν ἐν Ἀμισῷ (Mart. 18[3]). — **P** : Τῶν Mart. 20. ἁγίων ἑπτὰ μαρτύρων γυναικῶν. — **D** : 2 : Φωτεινῆς τῆς Σαμαρείτιδος, ἥτινι προσωμίλησεν ὁ Κύριος ἐν τῷ φρέατι, καὶ τῶν σὺν αὐτῇ Ἰωσῆ καὶ Βίκτωρος τῶν υἱῶν αὐτῆς καὶ Σεβαστιανοῦ δουκός, Ἀνατολίου, Φωτοῦς, Φωτίδος, Παρασκευῆς καὶ Κυριακῆς τῶν γνησίων αὐτῆς αὐταδέλφων. Αὕτη ἡ Σαμαρεῖτις περιῆν καὶ ἐν τοῖς χρόνοις Νέρωνος. Μετὰ δὲ τὴν τελείωσιν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου ἦν ἡ μακαρία αὕτη σὺν τῷ υἱῷ αὐτῆς Ἰωσῆ ἐν Καρθαγένῃ πόλει τῆς Ἀφρικῆς, κηρύττουσα τὸν Χριστόν. Ὁ δὲ υἱὸς αὐτῆς Βίκτωρ ὁ πρῶτος εὐδοκιμήσας ἐν τῷ πολέμῳ τῶν Ἀβάρων, ζώννυται στρατηλάτης, καὶ ἐν τῇ Γαλλίᾳ ἐκπέμπεται, κελευσθεὶς ἅπαντας τοὺς ἐν ταῖς πόλεσιν ἐκείναις εὑρισκομένους χριστιανοὺς τιμωρεῖσθαι. Ὁ δὲ οὐ μόνον οὐκ ἐκόλαζε τοὺς εἰς Χριστὸν πιστεύοντας, ἀλλὰ καὶ παντοίως ἐτίμα καὶ ἐδίδασκεν· ὅθεν καὶ τὸν δοῦκα Σεβαστιανὸν μεθ' ἑτέρων πολλῶν πρὸς τὴν εἰς Χριστὸν μετάγει πίστιν. Ταῦτα μαθὼν ὁ βασιλεὺς ἀμφοτέρους τῷ αὐτοῦ βήματι παρεστήσατο. Καὶ ἐρωτηθέντες τὰς χεῖρας συντρίβονται μὴ εἴξαντες, καὶ πέλυκι τῶν ὤμων ἐκκόπτονται. Θεοῦ δὲ προνοίᾳ ἀβλαβεῖς διαμείναντες, τῇ φρουρᾷ ἀπορρίπτονται σὺν Ἰωσῆ τῷ ἀδελφῷ Βίκτωρος. Τὴν δὲ μακαρίαν Φωτεινήν, ἐπεὶ παρεγένετο ἐν τῷ παλατίῳ, ἔλαβεν· ἥτις Δομνίναν τὴν παῖδα τοῦ βασιλέως καὶ τὰς θεραπαίνας αὐτῆς κατηχήσασα τῷ ἁγίῳ βαπτίσματι ἐτελείωσεν· ὅπερ ὁ βασιλεὺς γνοὺς καμίνῳ τοὺς ἁγίους ἀπορριφῆναι προσέταξεν. Οἱ ἀβλαβεῖς ἐκεῖθεν ἐξελθόντες ἀναιρετικὰ φάρμακα ποτίζονται καὶ ἀσινεῖς ἐκ τῆς τούτων βλάβης δειχθέντες πολλοὺς ἐπισπῶνται πρὸς τὴν εἰς Χριστὸν πίστιν, καὶ αὐτὸν τὸν τὰ φάρμακα κερασάμενον· ὃς βαπτισθεὶς διὰ ξίφους τελειοῦται. Τότε θυμωθεὶς ὁ βασιλεὺς κελεύει μόλιβδον λυθέντα τῇ ἁγίᾳ Φωτεινῇ ἐκχέαι διὰ τοῦ στόματος, τοῖς δὲ λοιποῖς διὰ τῶν ἀκοῶν. Εἶτα ξέονται σιδηροῖς ὄνυξιν καὶ τέφραν μετ' ὄξους κατὰ τῶν μυκτήρων δέχονται· καὶ σιδήρῳ τοὺς ὀφθαλμοὺς ἐξορύττονται καὶ φρουρᾷ ζοφώδει ἐγκλείονται, ἐν ᾗ ὑπῆρχε πᾶν ἑρπετὸν ἰοβόλον. Τούτων ἐκεῖσε βληθέντων, ἀπονεκροῦνται μὲν τὰ ἑρπετά, εὐωδία δὲ ἀναδίδοται, φῶς δὲ μέγα περιλάμπει. Καὶ Χριστὸς ὁ τούτων χορηγὸς παραγίνεται <ἅμα[1]> Πέτρῳ καὶ Παύλῳ τοῖς ἀποστόλοις, ἐφεπομένους ἔχων καὶ ἁγίων ἀγγέλων πληθύν· καὶ ἐνισχύσας αὐτοὺς καὶ τό· « Εἰρήνη ὑμῖν » καὶ τό· « Μακάριοι οἱ εἰς ἐμὲ » πιστεύσαντες » ἐπειπὼν ἀπῆλθεν ἀπ' αὐτῶν. Οἱ δέ· « Δόξα σοι, Κύριε, δόξα σοι ὁ Θεὸς ἡμῶν » εἶπον. Τριῶν δὲ παρῳχηκότων ἐνιαυτῶν καὶ τοῦ βασιλέως πυθομένου ἔτι ζῆν αὐτούς, ἐξαγαγὼν τῆς φυλακῆς σταυροῖ αὐτοὺς κατὰ κεφαλῆς καὶ βουνεύροις αἰκίζει τὰ σώματα αὐτῶν ἐπὶ τρισὶν ἡμέραις. Ἄγγελος δὲ θεῖος τοὺς τούτων ἰάσατο μώλωπας· καὶ τῶν δεσμῶν ἀπέλυσεν. Καὶ αὐτίκα ἡ ἁγία Φωτεινὴ τὴν τῆς σαρκὸς δορὰν ἀποσύρεται καὶ ἐν ξηρῷ φρέατι ῥίπτεται. Φωτεινὸς δὲ καὶ Χριστόδουλος καὶ Σεβαστιανὸς ὁμοίως ἐκδαρέντες καὶ τὰ μόρια τμηθέντες ἐν παλαιῷ βαλανείῳ ἐγκλείονται· ὡσαύτως καὶ αἱ ἅγιαι γυναῖκες πρότερον ἐκδαρεῖσαι τοὺς μαστοὺς τέμνονται. Ἡ δὲ ἁγία Φωτὶς μετὰ τὸ ἐκδαρῆναι δυσὶ δένδροις, βίᾳ κλιθεῖσι καὶ ὑφ' ἓν ἐλθοῦσι, χερσὶ καὶ ποσὶ προσδεθεῖσα ἀφίεται· ὧν[2] πρὸς τὴν ἰδίαν ἀποκλινάντων στάσιν ἑκατέροις μερίζεται. Οἱ δὲ λοιποὶ τῇ τοῦ ξίφους ὑπάγονται τιμωρίᾳ. Ἡ δὲ ἁγία Φωτεινὴ ἡμέρας πλείστας διαρκέσασα ἐν τῷ ξηρῷ φρέατι ἀνεπαύσατο ἐν Κυρίῳ. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — **Da** : Τῶν ἁγίων μαρτύρων καὶ πατέρων τῶν ἀναιρεθέντων ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα ὑπὸ τῶν Μαύρων (Mart. 19[3]). — 1. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — 2. — **Db** : 2. — **K** : 2. — Τῶν ὁσίων πατέρων. — Τοῦ ὁσίου Γερασίμου (Mart. 4[5]). — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — **N** : Τῶν ὁσίων

[1] *om.* D. — [2] ἃ D.

Mart. 20. μετὰ Πέτρου καὶ Παύλου ἐνισχύων αὐτούς. Καὶ μετὰ τριετίαν ἐξαγαγὼν κρεμᾷ ἐπὶ ξύλου κατὰ κεφαλῆς καὶ ξέει· εἶτα ἐξέδειραν οἱ δήμιοι πάντων τὰ δέρματα, καὶ τῶν ἀνδρῶν τὰ αἰδοῖα κόψαντες δέδωκαν τοῖς κυσί. Τὴν δὲ ἁγίαν Φωτίδα[4], μετὰ τὸ ἐκδεῖραι, δύο δένδρα κλίναντες προσέδησαν, εἶτα ἀπέλυσαν καὶ διέσχισαν αὐτὴν εἰς δύο· οἱ δὲ λοιποὶ πάντες ξίφει ἐτελειώθησαν. Ἡ δὲ ἁγία Φωτεινὴ διαρκέσασα ἐν τῇ φυλακῇ ἡμέρας πλείστας καὶ τῷ Θεῷ εὐχαριστήσασα ἐν εἰρήνῃ ἀνεπαύσατο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ′.

Mart. 21. **1.** Τοῦ ὁσίου πατρὸς ἡμῶν Βηρύλλου[1] ἐπισκόπου Κατάνης, μαθητοῦ γενομένου τοῦ ἁγίου ἀποστόλου Πέτρου[2]. Οὗτος ἐξ Ἀντιοχείας ἕλκων τὸ γένος, τῷ ἀποστόλῳ[3] μαθητευθεὶς καὶ ἐν τῇ δύσει γενόμενος, ἐπίσκοπος Κατάνης ὑπ' αὐτοῦ προχειρίζεται. Καλῶς δὲ καὶ θεοφιλῶς ποιμάνας τὸ ἑαυτοῦ ποίμνιον, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐχειραγώγησε πίστιν[4]· καὶ θαύματα παντοῖα κατειργάσατο, ἐξ ὧν ἑνὸς ἀναγκαῖον ἐπιμνησθῆναι[5]. Πηγὴ ἦν κατὰ τὸν τόπον ἐκεῖνον, πικρότατον ἔχουσα ὕδωρ[6], οὗ τὴν πικρίαν προσευξάμενος τῷ Θεῷ μετέβαλεν εἰς γλυκύτητα. Ὅπερ ἰδών τις ἕλλην ἄκρος εἰδωλολάτρης[7] ἐπίστευσε τῷ Χριστῷ, καὶ σὺν ἐκείνῳ ἕτεροι πολλοί. Ἐν τούτοις εἰς βαθὺ γῆρας ἐλάσας καὶ τὸν ἁγίοις πρέποντα ὕπνον ἀναπαυσάμενος κατατίθεται[8] ἐν τῇ αὐτῇ νήσῳ ἐντίμως, ἰάματα παρέχων τοῖς αὐτῷ μετὰ πίστεως προσιοῦσι μέχρι τῆς σήμερον.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φιλήμονος καὶ Δομνίνου[1]. Οὗτοι ὑπῆρχον ἐκ τῆς μεγαλοδόξου πόλεως Ῥώμης· ἐπὶ δὲ τῶν καιρῶν τοῦ διωγμοῦ ἀπιόντες ἐν Ἰταλίᾳ[2], κἀκεῖ κηρύττοντες τὸν Χριστὸν καὶ πολλοὺς τῶν ἀπίστων[3] ἐπιστρέφοντες[4] ἐπὶ τὴν τοῦ Χριστοῦ πίστιν ἐβάπτιζον. Διὰ τοῦτο ὑπὸ τῶν εἰδωλολατρῶν κρατηθέντες καὶ παραδοθέντες[5] τῷ τῆς χώρας[6] ἄρχοντι[7], μήτε κολακείαις μαλακισθέντες μήτε δώρων[8] ὑποσχέσεσι, μόνον δὲ τὸν Χριστὸν ἐπικαλούμενοι καὶ Θεὸν ἀνακηρύττοντες, γυμνοὶ ταθέντες ἐπὶ γῆς ἐκ τεσσάρων, ἀφειδῶς τύπτονται καὶ εἰς φυλακὴν ἀπορρίπτονται· ἔπειτα[9] ἐκβληθέντες τὴν διὰ ξίφους δέχονται τελευτήν[10].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ′.

Mart. 22. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Βασιλείου πρεσβυτέρου τῆς Ἀγκυρανῶν ἐκκλησίας. Οὗτος ὑπῆρχεν ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου καὶ Σατορνίνου ἡγεμόνος Ἀγκύρας[1]. Διαβληθεὶς δὲ παρέστη τῷ ἡ|γεμόνι, καὶ ἐρωτηθεὶς ἐπὶ ξύλου (f. 183v.) ἀναρτᾶται καὶ τὰς πλευρὰς ξέεται καὶ τῇ εἱρκτῇ

— [4] Φωτεῖδα S.

1. — [1] Βυρίλλου S, Κυρίλλου Mc, *cf.* Synaxaria selecta. — [2] (μαθητοῦ - Πέτρου) *om.* Mc. — [3] Παύλῳ *add.* Mc. — [4] π. ἐχ. Mc. — [5] ἐπιμν. δέον Mc. — [6] ὕδωρ ἔχουσα Mc. — [7] τὴν εἰδωλολατρίαν μετέχων Mc. — [8] κατετέθη Mc.

2. — [1] *al.* Δόμνου, *cf. Mart. 26*[7]. — [2] Ἰτταλία S. — [3] τῶν ἀπίστων *om.* Mc. — [4] ἐπιστρέφων S. — [5] *om.* Mc. — [6] προσαχθέντες *add.* Mc. — [7] καὶ *add.* Mc. — [8] δωρεῶν Mc. — [9] καὶ τῆς φυλακῆς Mc. — [10] ξίφει τελειοῦνται Mc.

1. — [1] πρεσβύτερος ὢν τῆς ἐν Ἀγκύρᾳ ἁγίας ἐκκλησίας *add.* Mc.

Mart. 20. πατέρων. — Τῶν ἁγίων γυναικῶν. — 2. — **Bb** : 1. — Θωμᾶ (Mart. 19[1]). — 2. — **Bc** : 2. — Θωμᾶ. — **C** : 1. — Θωμᾶ. — 2. — **Cd** : deest. — **Ce** : 1. — Θωμᾶ. — 2. — **Cg** : 1. — Θωμᾶ. — 2. — **R** : Τῶν ἁγίων πατέρων. — 1. 2. — Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἐν ἁγίοις Θωμᾶ... Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ. — **Ra** : Γερασίμου. — Ἀρχελάου, Κυρίλλου καὶ Φωτίου (Mart. 4[4]). — Πιονίου (Mart. 11[3]). — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — **Rb** : deest. — **Rc** : Γερασίμου. — 2. — **Mc** : Τῶν ὁσίων πατέρων (Mart. 19[3]). — Γερασίμου. — Τῶν ἁγίων μαρτύρων γυναικῶν. — 1. — Ῥοδιανὸς ξ. τ. — Ἀκύλας ὁ ἔπαρχος ξ. τ. — Λολλίων πυγμαῖς βαλλόμενος τ. — Μανουὴλ ξ. τ. — **Mv** : Τῶν ἁγίων ἀββάδων. — Γερασίμου. — 1. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — Ῥοδιανός. — Ἀκύλας. — Λωλίων. — Ἐμμανουήλ. — **Mr** : Τῶν ἁγίων ἀββάδων.

Mart. 21. SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2 : Φιλήμονος καὶ Δομνίνου Σαλονικέου. — **D** : Ἰακώβου (Mart. 24[2]). — 2. — **Da** : Ἰακώβου. — 1 (Βηρύλλου). — **Db** : Ἰακώβου. — 1 (Βιρύλλου). — **K** : Ἰακώβου. — 1 (Βηρίλλου). — **N** : Ἰακώβου. — 1 (Βηρύλλου). — Νικήτα (Mart. 20[1]). — **Bb** : Ἰακώβου. — 1. — **Bc** : Βενεδίκτου ἀρχιμανδρίτου Ῥώμης (Mart. 14[1]). — Ἰακώβου τοῦ νέου. — 1. — **C** : 2. — Ἰακώβου. — Καλλινίκης καὶ Βασιλίσσης (Mart. 22[2]). — 1 (Βηρύλλου). — **Cd** : deest. — **Ce** : 2. — Ἰακώβου. — Καλλινίκης καὶ Βασιλίσσης. — 1 (Βυρίλλου). — **Cg** : 2. — Ἰακώβου. — Καλλινίκης καὶ Βασιλίσσης. — 1 (Βηρύλλου). — **R** : Ἰακώβου. — 1. — **Ra** : 1. — Ἀρτέμωνος (Mart. 24[1]). — Καλλινίκου καὶ Βασιλίσσης. — **Rb** : deest. — **Rc** : 1. — Ἰακώβου. — 2 : Φιλήμονος καὶ Δομνίνου. Οὗτοι ὑπῆρχον ἐκ πόλεως Θεσσαλονίκης. — Καλλινίκου καὶ Βασιλίσσης. — **Mc** : Ἰακώβου. — 1 (Κυρίλλου). — 2. — Θωμᾶ (Mart. 19[1]). — Σεραπίων ὁ ἐλεήμων ὁ ὑπάρχων ἀπὸ Σιδῶνος ἐν εἰρήνῃ τ. — Μνήμη τῆς καταχεάσης γυναικὸς τὸ μύρον εἰς τὴν κεφαλὴν τοῦ Χριστοῦ ἐν οἰκίᾳ Σίμωνος. — **Mv** : Ἰακώβου. — Θωμᾶ. — 2. — 1 (Κυρίλλου). — Σεραπίων. — Ἡ ἐν Κυρίῳ πάσχα τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ γυναικός. — **Mr** : Ἰακώβου.

Mart. 22. SYNAXARIA SELECTA. **H** : Θωμᾶ τοῦ πάλαι ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ (Mart. 19[1]). — Βυρίλλου ἐπισκόπου Κατάνης (Mart. 21[1]). — 2. — **P** : 2. 1 (perperam Βασιλίσσης). — Κυρίλλου (Mart. 21[1]). — Θωμᾶ. — **D** : 1. — Θωμᾶ τοῦ πάλαι... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις κτλ. — Κυρίλλου. — 2. — **Da** : 1. 2 (Καλλινίκου...). —

ἐναπορρίπτεται· καὶ αὖθις τῆς φυλακῆς ἐκβληθεὶς εὐτόνως ἐπὶ πολὺ ξέεται καὶ σιδήροις πεδηθεὶς τῇ φρουρᾷ κατακλείεται. Μεθ' ἡμέρας δέ τινας τῷ ἀποστάτῃ[2], διερχομένῳ κατὰ τὴν τῶν Ἀγκυρανῶν, προσάγεται δεδεμένος ὁ ἅγιος, καὶ ἐρωτηθεὶς τῷ κόμητι Φραβεντίῳ[3] λωροτομηθῆναι δίδοται[4]· ὃ καὶ θᾶττον ἐπληροῦτο. Καὶ δὴ πολλῶν αὐτῷ λώρων ἀποσυρέντων καὶ τῶν ὄπισθεν ἔμπροσθεν καὶ τῶν ἔμπροσθεν ὄπισθεν[5] κατὰ τῶν ὤμων τοῦ μάρτυρος ἐκκρεμαμένων λώρων, ἕνα[6] ἀπο- Mart. 22.

— [2] ἀποστάτῳ S. — [3] Βραβεντίῳ Mc. — [4] ἐκδίδοται Mc. — [5] κ. τ. ἔμπ. ὄπ. καὶ τ. ὄπ. ἔμπ. Mc. — [6] ἕνα λῶρον Mc.

Mart. 22. Κοίμησις τοῦ ἁγίου Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως. — **Db** : 1. 2. — Κοίμησις τοῦ ἐν ἁγίοις Θωμᾶ. — **K** : 1. 2 (Καλλινίκου...). — Κοίμησις Θωμᾶ. — **N** : 1. — Θωμᾶ. — 2. — **Bb** : Ἀρτέμωνος (Mart. 24[1]). — Δομετίου (Mart. 24[3]). — Τῶν ἁγίων λε′ μαρτύρων τῶν ἐν Καισαρείᾳ (Mart. 24[4]). — **Bc** : Ἀρτέμωνος. — 1. — **C** : Ἀρτέμωνος. — **Cd** : deest. — **Ce** : Ἀρτέμωνος. — **Cg** : Ἀρτέμωνος. — **R** : 1. — **Ra** : 1. — Κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θωμᾶ. — **Rb** : deest. — **Rc** : 1. — **Mc** : 1. — Δροσίδος θυγατρὸς Τραϊανοῦ[1] τοῦ βασιλέως. Ὁ βασιλεὺς Τραϊανὸς καθ' ἑκάστην τοῦ ζῆν ὑπεξάγων τοὺς τὸν Χριστὸν ὁμολογοῦντας, τὰ τούτων τίμια λείψανα ἐν ἀσέμνοις καὶ βεβήλοις τόποις ἀπέρριπτε. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον ἦσαν γυναῖκές τινες ἐν ἀσκητηρίῳ τινὶ τὰς ἐντολὰς τοῦ Θεοῦ τηροῦσαι καὶ ἔργον μετὰ τῶν ἄλλων ἀπαραίτητον ἔχουσαι, αἱ καὶ κανονικαὶ ἐγχωρίως λεγόμεναι, τὰ τῶν ἁγίων λείψανα μύροις καὶ ὀθονίοις περιστέλλειν καὶ ἀποτίθεσθαι ἐν τῷ αὐτῶν ἀσκητηρίῳ. Τοῦτο μεμαθηκυῖα ἡ τοῦ βασιλέως Τραϊανοῦ θυγάτηρ, Δροσὶς οὕτω καλουμένη, προσῆλθε ταῖς αὐταῖς γυναιξίν, ἔχουσα μεθ' ἑαυτῆς καὶ ἐσθῆτα πολύτιμον· καὶ τῶν κουβικουλαρίων ὕπνῳ βαθεῖ συσχεθέντων, ἠξίου συναπελθεῖν αὐταῖς εἰς ἀνάληψιν σώματος ἁγίου. Ἀδριανὸς δέ τις σύμβουλος τοῦ βασιλέως καὶ μνήστωρ τῆς Δροσίδος· « Αὐτοκράτορ δέσποτα, λέγει τῷ βασιλεῖ, κέλευσον στῆναι στρατιώτας εἰς φυλακὴν τῶν » βιοθανῶν, ἵνα γνῶμεν, τίνες εἰσὶν οἱ τὰ σώματα αὐτῶν ἀποσυλοῦντες. » Ὁ δέ· « Ἐπίτρεψον[2] τοῦτο » γενέσθαι, » φησί. Καὶ ἐπαγρυπνήσαντες οἱ φύλακες ἐκράτησαν τὰς πέντε κανονικὰς γυναῖκας ἅμα τῇ θυγατρὶ τοῦ βασιλέως Δροσίδι, καὶ πρωΐας ἀναγαγόντες παρέστησαν αὐτὰς τῷ βασιλεῖ. Ἰδὼν δὲ ὁ βασιλεὺς τὴν Δροσίδα ἐξέστη· καὶ ταύτην μὲν προσέταξε φυλάττειν ἐν ἀσφαλείᾳ, εἴ πως μετάμελος γένηται. Ἕνεκα δὲ τῶν πέντε κανονικῶν γυναικῶν, ἐκέλευσε κατασκευασθῆναι χώνην μεγάλην καὶ ἐμβληθῆναι ἐν αὐτῇ τὰς ἱερὰς γυναῖκας, καὶ σὺν αὐταῖς χαλκὸν ἱκανόν, ἐφ' ᾧ διὰ τῆς ἀναλύσεως ἀμφοτέρων ἀναμιγῆναι τὸν χαλκὸν μετὰ τοῦ χοὸς τῶν ἁγίων γυναικῶν· καὶ διὰ τοῦ τοιούτου χαλκοῦ κατασκευασθῆναι πυθμένας τῶν χαλκείων τοῦ ἐκ καινῆς ἀνεγερθέντος δημοσίου λουτροῦ, τοῦ ἐν τῇ ἑορτῇ τῶν Ἀπολλωνίων ὀφείλοντος ἀναφθῆναι καὶ ἐγκαινισθῆναι εἰς θεραπείαν καὶ ἀνάπαυσιν τῶν ὁμοφρόνων αὐτοῦ εἰδωλολατρῶν. Τούτων δὲ γενομένων καὶ τῶν τοῦ Χριστοῦ μαρτύρων χωνευθεισῶν, κατεσκευάσθησαν τὰ χαλκεῖα. Καὶ ἀνάψαντες τὸ λοετρὸν ἐκήρυξαν πανταχοῦ λέγοντες· « Ὅσοι φίλοι » τῶν εὐμενῶν θεῶν ἡμῶν ὑπάρχετε, εἰσέλθετε εἰς τὰ τοῦ δημοσίου λοετροῦ ἐγκαίνια· » καὶ εὐθέως συνέτρεχον ἅπαντες. Ὁ πρῶτος οὖν ὁρμήσας ἐν χρῷ τῆς πρώτης θύρας τοῦ λοετροῦ γενησόμενος, χαμαὶ πεσὼν τὴν ψυχὴν ἀπέρρηξεν, ὡσαύτως καὶ ὅσοι μετ' ἐκεῖνον προσήγγισαν· οὐδεὶς γὰρ τὴν πρώτην θύραν εἰσελθεῖν ἠδυνήθη. Τοῦτο μεμαθηκὼς ὁ βασιλεὺς τοὺς τῶν θεῶν αὐτοῦ ἱερεῖς προσκαλεσάμενος· « Εἴπατέ μοι, φησί, τί τοῦτο; μὴ ἄρα παρὰ τῶν χριστιανῶν μαγεία τις γέγονεν; » Οἱ δὲ εἶπον· « Οὐχί, βασιλεῦ, ἀλλὰ τὰ γενόμενα χαλκεῖα ἐκ τῶν λειψάνων τῶν κανονικῶν ἐκείνων γυναικῶν » τοῦτο πεποιήκασι· κέλευσον οὖν ἕτερα χαλκεῖα γενέσθαι καὶ οὕτως ἕξει τὸ ἐνεργόν. » Καὶ τούτου γενομένου, λέγει ὁ Ἀδριανὸς τῷ βασιλεῖ· « Κέλευσον, βασιλεῦ, τοὺς προτέρους πυθμένας τῶν χαλκείων » ἀναχωνευθῆναι καὶ γενέσθαι ἐξ αὐτῶν στήλας γυναικείας γυμνὰς τῶν πέντε κανονικῶν ἐκείνων, καὶ » πρὸς ὄνειδος καὶ ἀτιμίαν αὐτῶν ἐν τῷ δημοσίῳ λοετρῷ τῆς βασιλείας σου τὰς αὐτὰς στῆναι. » Καὶ εὐθὺς προσέταξεν ὁ βασιλεὺς καὶ γεγόνασι. Καὶ μετὰ τὸ στῆναι ταύτας, εἶδεν ὁ αὐτὸς καθ' ὕπνους πέντε ἀμνάδας ἀσπίλους νεμομένας ἐν παραδείσῳ καὶ ποιμένα φοβερὸν ποιμαίνοντα αὐτὰς καὶ λέγοντα τῷ βασιλεῖ· « Παρανομώτατε καὶ ἀσεβέστατε βασιλεῦ, ἃς σὺ ἐνόμισας ἐξ ἀτιμίας ἱστᾶν, ὁ καλὸς καὶ » ἀγαθὸς ποιμὴν ἀπὸ σοῦ ἀποσπάσας τέθεικεν ἐν τόπῳ, εἰς ὃν μέλλει καὶ Δροσὶς ἡ ἄσπιλος ἀμνὰς καί » σου θυγάτηρ ἐλθεῖν. » Ἔξυπνος δὲ γενόμενος ἐμάνη ὁ δυσσεβής, ὅτι καὶ μετὰ θάνατον αἱ ἅγιαι γυναῖκες κατῄσχυναν τὰς βουλὰς αὐτοῦ. Καὶ κελεύει δύο κλιβάνους ἀναφθῆναι ἐξ ἑκατέρου μέρους τῆς πόλεως καὶ πυροῦσθαι ἐφ' ἑκάστης ἡμέρας. Προστίθησι δὲ καὶ ἐπιγραφὴν ἐν τοῖς κλιβάνοις, τόπον βασιλικοῦ προστάγματος ἐπέχουσαν καὶ περιέχουσαν οὕτως· « Ἄνδρες Γαλιλαῖοι, οἱ τὸν ἐσταυρωμένον » προσκυνοῦντες, ῥύσασθε ἑαυτοὺς μὲν πλείστων βασάνων, ἡμᾶς δὲ κόπων· καὶ ἕκαστος ὑμῶν βαλέτω » ἑαυτὸν ἐν οἵῳδ' ἂν κλιβάνῳ ἀκωλύτως ἀρέσῃ[3]. » Τοῦ τοιούτου οὖν διακωδωνισθέντος προστάγματος, ἀκούσασα ἡ τοῦ Θεοῦ δούλη Δροσίς, ὅτι ἕκαστος τῶν χριστιανῶν πόθῳ τοῦ Θεοῦ καὶ πίστει ῥίπτουσιν ἑαυτοὺς ἐν τοῖς κλιβάνοις, ἀνατείνασα τὸ ὄμμα εἰς οὐρανοὺς εἶπε· « Δέσποτα κύριε Ἰησοῦ Χριστέ, » υἱὲ τοῦ Θεοῦ, εἰ σὸν θέλημά ἐστι σωθῆναί με καὶ ἐκφυγεῖν τὴν μανιώδη θρησκείαν Τραϊανοῦ τοῦ » ἐμοῦ πατρός, αὐτός με συνέργησον κουφισθῆναι τοῦ νυμφῶνος Ἀδριανοῦ τοῦ δυσσεβοῦς καὶ εἰς » τὸν οὐρανὸν ἀνελθεῖν, ὅπου αἱ πέντε κανονικαὶ αἱ ἐμὲ ὁδηγήσασαι εἰς τὸν φόβον σου· κοίμησον δὲ » καὶ βαθεῖ ὕπνῳ τοὺς ἐμὲ φυλάσσοντας, ἵνα δυνηθῶ ἐκφυγεῖν. » Ταῦτα εἰποῦσα καὶ τὸ βασιλικὸν σχῆμα ἀποθεμένη, ἐξῆλθεν ἀψοφητὶ μηδενὸς νοήσαντος. Ἀπερχομένη δὲ ἐφ' ᾧ ῥῖψαι ἑαυτὴν εἰς ἓν

[1] Τραϊνοῦ Mc. — [2] ἐπίτρεψε Mc. — [3] ἀρεσθῇ Mc.

Mart. 22. σπάσας ὁ ἀδάμας ἔρριψε κατὰ πρόσωπον [7] τοῦ τυράννου. Ὁ δὲ πυρωθείσαις σούβλαις κατακαῦσαι [8] αὐτὸν ἐκέλευσε καὶ διατρῆσαι τὴν κοιλίαν [9] καὶ τὰ νῶτα καὶ πάσας τὰς ἁρμονίας· οὗ γενομένου τὸ πνεῦμα τῷ Θεῷ ὁ ἅγιος μάρτυς παρέθετο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Καλλινίκης καὶ Βασιλίσσης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Mart. 23. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος [1] Νίκωνος καὶ τῶν σὺν αὐτῷ [2] ἐννενήκοντα ἐννέα μαρτύρων. Οὗτος [3] ὑπῆρχε κατὰ τοὺς καιροὺς Κυντιανοῦ [4] ἡγεμόνος, ἐκ τῆς τῶν [5] Νεαπολιτῶν χώρας ὁρμώμενος, ὡραῖος τῷ κάλλει καὶ τῇ ὄψει λαμπρός [6], μητρὸς μὲν [7] χριστιανῆς, πατρὸς δὲ ἕλληνος. Στρατευθεὶς δὲ καὶ εἰς ἀνάγκην πολέμου εὑρεθεὶς [8] καὶ βαθὺ στενάξας καὶ εἰπών [5]· « Κύριε Ἰησοῦ Χριστέ, » ὁ Θεὸς τῆς μητρός μου [9], βοήθει μοι [10] », καὶ τῷ τιμίῳ σταυρῷ τειχισάμενος, μέσον τῶν πολεμίων εἰσελαύνει [11]. Καὶ οὓς μὲν μαχαίρᾳ παίων, οὓς δὲ δόρατι βάλλων, οὐ πρότερον ἀνῆκεν, ἕως οὗ πάντας ἐτροπώσατο καὶ φυγάδας ἐποίησε. Πάντων δὲ ἐπὶ τούτῳ ἐκπλαγέντων [12], μετὰ πάντων καὶ αὐτὸς οἴκοι καταλαμβάνει· καὶ τῇ μητρὶ τὰ τοῦ σκοποῦ προσαναθεὶς [13] ἐπὶ τὰ μέρη Κωνσταντινουπόλεως ἔπλεε. Φθάσας δέ τινα νῆσον καλουμένην Χίον, προσβάλλει τῷ ταύτης ὄρει· καὶ ἐπιμείνας ἡμέρας ἑπτὰ [14] νηστείᾳ καὶ προσευχῇ προσκαρτερῶν [15], εὐαγγελίζεται παρὰ θείου ἀγγέλου κατελθεῖν ἐπὶ τὸν αἰγιαλὸν μετὰ τῆς ῥάβδου, ἧς παρέσχεν [16] αὐτῷ ὁ φανείς. Καὶ ἐλθὼν ἐπὶ [17] τὸν αἰγιαλὸν καὶ εὑρὼν πλοῖον, ἀνῆλθεν ἐπ' [18] αὐτῷ, καὶ διὰ δύο ἡμερῶν κατέλαβε τὸ τοῦ Γάνου ὄρος. Καὶ κατὰ συγκυρίαν παρέστη αὐτῷ ἐπίσκοπος ἐν σχήματι μοναχοῦ, καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς ἀπήγαγεν εἰς ὃ κατῴκει σπήλαιον· καὶ κατηχήσας αὐτὸν εἰς τὸ τῆς ἁγίας Τριάδος ἐβάπτισεν ὄνομα. Καὶ μεταδοὺς αὐτῷ τῶν θείων [19] μυστηρίων [20], μετὰ τρεῖς χρόνους χειροτονεῖ αὐτὸν πρεσβύτερον, ἔπειτα καὶ [21] ἐπίσκοπον. Πάντων δὲ τῶν συνελθόντων μο|ναχῶν τὴν προστασίαν [22] δεξάμενος [23], f. 184. εἰς Μιτυλήνην ἔρχεται μετὰ πάντων, ἐπιγνοὺς τῷ Πνεύματι ὅτι ὑπὸ ἐθνῶν μέλλει ἀφανισθῆναι ὁ Γάνος· ὃ καὶ γέγονεν [24]· ἐκεῖθεν πρὸς Ἰταλίαν [25] ἀπαίρει. Καὶ τὴν μητέρα θεασάμενος καὶ θανοῦσαν κηδεύσας, τὴν Σικελίαν καταλαμβάνει [26] καὶ τὸ τοῦ Ταυρομενίου ὄρος οἰκεῖ μετὰ καὶ ἄλλων ἐννέα. Ὁ δὲ ἡγεμὼν τὰ κατὰ τὸν ἅγιον μαθὼν αὐτίκα παρέστησεν ἅπαντας ἐνώπιον αὐτοῦ· καὶ ἐρωτηθέντες ἐπ' ἐδάφους τείνονται καὶ πληγαῖς κατακόπτονται καὶ τελευταῖον τελειοῦνται τῷ ξίφει. Ὁ δὲ ἅγιος Νίκων τείνεται ἐκ τεσσάρων καὶ λαμπάσιν ὑποκαίεται καὶ ὑποζυγίοις ἀγρίοις δεσμεῖται καὶ κατὰ γῆν σύρεται καὶ κατὰ κρημνοῦ ὠθεῖται καὶ τὸ στόμα λίθοις τύπτεται καὶ τὴν γλῶτταν ἐκτέμνεται· τὸ δὲ τελευταῖον ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται [27].

— [7] τοῦ προσώπου Mc. — [8] κατακεντῆσαι Mc. — [9] αὐτοῦ *add.* Mc.

1. — [1] μάρτυρος Mc. — [2] ἑκατὸν *add.* Mc. — [3] ὁ ἅγιος Ν. *add.* Mc. — [4] Κυντιλιανοῦ Mc. — [5] *om.* Mc. — [6] καὶ φοβερὸς ἐν πολεμοῖς *add.* Mc. — [7] ὑπάρχων *add.* Mc. — [8] (στρατευθεὶς - εὑρεθείς) πολεμοῦ δέ ποτε συγκροτηθέντος μεγάλου καὶ σφοδροῦ ἀγῶνος ἐνστάντος τῶν τῆς μητρὸς παραινέσεων ὁ μακάριος μνησθεὶς Mc. — [9] (ὁ - μου) *om.* Mc. — [10] προσειπὼν *add.* Mc. — [11] εἰσήει Mc. — [12] ἐπεὶ κατὰ νοῦν αὐτοῖς τὰ τοῦ πολέμου προέβη *add.* Mc. — [13] ἀναθεὶς Mc, — [14] ἑ. ἡ. Mc. — [15] νηστείαις καὶ προσευχαῖς καρτερῶν Mc. — [16] κατεῖχεν Mc. — [17] (αὐτῷ - ἐπὶ) ὁ φ. δοὺς αὐτῷ καὶ καταλαβὼν Mc. — [18] ἐν Mc. — [19] καὶ τῶν ἁγίων Mc. — [20] καὶ *add.* Mc. — [21] (ἑ. κ.) εἶτα Mc. — [22] ἀναδεξάμενος Mc. — [23] ἑκατὸν ἐννενήκοντα ὄντων τὸν ἀριθμὸν *add.* Mc. — [24] (ἐπεὶ - γέγονεν) *om.* Mc. — [25] Ἰτταλίαν S. — [26] (καὶ τὴν - καταλαμβάνει) *om.* Mc. — [27] τμηθεὶς ἀπῆλθε πρὸς Κύριον Mc.

Mart. 22. τῶν κλιβάνων διενοεῖτο καθ' ἑαυτὴν λέγουσα· « Πῶς ἀπέρχομαι πρὸς Θεὸν μὴ ἔχουσα ἔνδυμα γάμου, » βάπτισμα μὴ λαβοῦσα καὶ διὰ τοῦτο ἀκάθαρτος οὖσα· ἀλλά, βασιλεῦ τῶν βασιλευόντων, κύριε Ἰησοῦ » Χριστέ, ἰδοὺ κατέλιπον τὴν βασιλείαν μου διὰ σέ, ἵνα με καταστήσῃς θυρωρὸν τῆς βασιλείας σου. Σὺ » οὖν ὁ δι' ἡμᾶς βαπτισθείς, βάπτισόν με ἐν Πνεύματι ἁγίῳ. » Καὶ ὡς ταῦτα εἶπεν, ἐκβαλοῦσα ὅπερ ἐβάσταζε μύρον ἐκ τοῦ κοιτῶνος αὐτῆς, καὶ ῥίψασα ἑαυτὴν εἰς ἕν τῶν χειμαρροειδῶν λάκκων, ἐβαπτίσατο εἰποῦσα· « Βαπτίζεται ἡ δούλη τοῦ Θεοῦ Δροσὶς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ » ἁγίου Πνεύματος. » Καὶ φυλάξασα ἑαυτὴν ἡμέρας ἑπτὰ μετελάμβανε τροφῆς ἀγγελικῆς. Φιλόχριστοι δέ τινες εὑρόντες καὶ παραμείναντες ἔμαθον παρ' αὐτῆς οὑτωσὶ τὰ καθ' ἑαυτὴν διηγησαμένης. Τῇ δὲ ὀγδόῃ ἡμέρᾳ προσευξαμένη ἐφ' ᾧ τι ἄρα διαπράξασθαι, πρὸς Κύριον ἐξεδήμησεν. — 2. — Ἡ ἐν μεταλήψει τοῦ νομικοῦ πάσχα τελετὴ τοῦ μυστικοῦ δείπνου... Στίχοι εἰς τὸν νιπτῆρα... Στίχοι εἰς τὴν προδοσίαν. — **Mv** : 1. 2. — Τελετὴ τοῦ μυστικοῦ δείπνου... Εἰς τὸν ἱερὸν νιπτῆρα... Εἰς τὴν ὑπερφυᾶ προσευχὴν... Εἰς τὴν προδοσίαν. — **Mr** : 1.

Mart. 23. SYNAXARIA SELECTA. **H** : Δομετίου καὶ Πελαγίας καὶ Ἀκύλα ἐπάρχου καὶ Θεοδοσίας (Mart. 24[3]). — **P** : Δομετίου κτλ. — **D** : 1. — Δομετίου κτλ. — **Da** : 1. — Δομετίου κτλ. — **Db** : 1. — Δομετίου κτλ. — **K** : 1, mutil. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — Δομετίου κτλ. — **C** : Δομετίου κτλ. — Βασιλείου (Mart. 22[1]). — **Cd** : deest. — **Ce** : Δομετίου κτλ. — Βασιλείου. — **Cg** : Δομετίου κτλ. — Βασιλείου. — **R** : 1. — **Ra** : 1. — Δομετίου κτλ. — **Rb** : deest. — **Rc** : 1. — Δομετίου κτλ. — **Mc** : 1. — Δομετίων ξ. τ. (cf. Mart. 24[3]). — Ἡ ἐν τῷ Κυρίῳ πάσχα σταύρωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — Τοῦ συσταυρωθέντος τῷ Χριστῷ δικαίου λῃστοῦ. — Ἡ ἀποκαθήλωσις τοῦ Χριστοῦ. — Ἡ παρὰ τοῦ Ἰωσὴφ ταφὴ τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. — **Mv** : 1. — Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ (Mart. 11[4]). — Δομετίων ξ. τ. — Σταύρωσις. — Τοῦ... δικαίου λῃστοῦ. — Ἡ ἀποκαθήλωσις. — Ταφή. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρτέμωνος ἐπισκόπου Σελευκείας τῆς Πισιδίας [1]. Οὗτος ὁ μακάριος τὴν Σελεύκειαν πατρίδα καὶ πόλιν ἔσχεν [2], ὡς ἐν αὐτῇ καὶ γεννηθεὶς καὶ τραφείς [3]. Τοῦ δὲ μακαρίου Παύλου [4] τὰ ἐκεῖσε καταλαβόντος, οὐκ ἦν τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι· ἀλλά γε οὗτος [5] ὁ ἀπόστολος [6] ποιμένα καὶ διδάσκαλον τοῦ λαοῦ αὐτοῦ [7] προεστήσατο. Θεαρέστως δὲ τὴν ἐγχειρισθεῖσαν αὐτῷ ποίμνην ἰθύνων, γέγονε πᾶσι τοῖς χρείαν ἔχουσι λιμὴν σωτήριος, χηρῶν, ὀρφανῶν, πτωχῶν προνοητής, ὡσαύτως [8] ἰατρὸς ψυχῶν καὶ σωμάτων· ἐν τούτοις καλῶς πολιτευσάμενος ἐν γήρει [9] πίονι καταλύει τὸν βίον.

Mart. 24. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν [1] Ἰακώβου. Ὃς [2] ἐξ ἁπαλῶν ὀνύχων τὸν ἀσκητικὸν ὑπελθὼν βίον, νηστείᾳ καὶ [3] τῇ λοιπῇ κακοπαθείᾳ ἑαυτὸν ἐκάθαρεν [4]· ὅθεν ἐπὶ τὸν θρόνον ἀνάγεται τῆς ἐπισκοπῆς [5], πολλοὺς διωγμοὺς ὑπομείνας καὶ ἐξορίας, ὡς [6] τοὺς εἰκονομάχους ἐκτρεπόμενος. Ἐν τούτοις ἐγκαρτερῶν καὶ [7] λιμῷ καὶ δίψει προσπαλαίων, τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται [8].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Δομετίου καὶ Πελαγίας καὶ Ἀκύλα ἐπάρχου καὶ Θεοδοσίας [1].

4. Καὶ τῶν ἁγίων ὀκτὼ μαρτύρων τῶν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

Mart. 25. **1.** Ἡ [1] ἀνάμνησις τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, ὅτε τὸ ἀπ' αἰῶνος ἄρρητον καὶ ἀπόκρυφον [2] καὶ ἀγγέλοις ἄγνωστον μυστήριον τῆς θείας τοῦ υἱοῦ τοῦ Θεοῦ [3] ἐνανθρωπήσεως ὁ ἀρχιστράτηγος Γαβριὴλ μυηθείς, ἀπεστάλη πρὸς τὴν πανάχραντον καὶ ὑπεράμωμον Μαρίαν ἐν πόλει Ναζαρέτ, μηνῦσαι αὐτῇ τὸ τοῦ Θεοῦ καὶ πατρὸς βούλημα, εὐδοκίᾳ καὶ συνεργείᾳ τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν, | καὶ f. 184v. εἶπεν αὐτῇ· « Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. » Luc. 1, 28.

1. — [1] τῆς Π. *om.* Mc. — [2] ἔσχε καὶ πόλιν Mc. — [3] ἀνατραφεὶς Mc. — [4] τοῦ ἀποστόλου *add.* Mc. — [5] τοῦτον Mc. — [6] ὁ ἀπ. *om.* Mc. — [7] *om.* Mc. — [8] καὶ Mc. — [9] γήρα Mc.

2. — [1] καὶ ὁμολογητοῦ *add.* Mc *ad d. 21 Martii.* — [2] οὗτος Mc. — [3] ν. κ. *om.* Mc. — [4] ἐκάθηρεν Mc. — [5] τὸν ἐπ. θρ. ἀν. Mc. — [6] καὶ *add.* Mc. — [7] καρτερῶν τῷ Mc. — [8] παρέθετο Mc.

3. — [1] *corr., prius* Θεοδωσίας S.

1. — [1] *praeit lemma* : ὁ εὐαγγελισμὸς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας Mc. — [2] καὶ ἀπ. *om.* Mc. — [3] τοῦ υἱοῦ τ. Θ. *om.* Mc.

Mart. 24. SYNAXARIA SELECTA. **H** : 4. — Τῇ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας ἡ παραμονὴ τοῦ εὐαγγελισμοῦ. — **P** : 4. — **D** : 1. 4. — **Da** : 1. — **Db** : 1. — **K** : deest. — **N** : Ἀγαπίου κτλ. (Mart. 15[1]). — 1. — **Bb** : Βασιλείου (Mart. 22[1]). — **Bc** : 4 : Τριάκοντα πέντε μαρτύρων τῶν ἐν Καισαρείᾳ. Καὶ οὗτοι οἱ ἅγιοι τριάκοντα πέντε μάρτυρες τοῦ Χριστοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ὑπάρχοντες, ἐπειδὴ δόγμα κατεπέμφθη παρὰ τοῦ ἀσεβοῦς καὶ παρανόμου Ἰουλιανοῦ κελεύοντος τὸν μὲν Χριστὸν ἀθετεῖσθαι, τοὺς δὲ ἑλλήνων θεοὺς προσκυνεῖσθαι, οὐ μόνον οὐκ ἐπείσθησαν τοῦτο ποιῆσαι, ἀλλὰ καὶ παρρησιασάμενοι μεγάλῃ φωνῇ ἀνὰ πᾶσαν τὴν πόλιν περιιόντες ἔλεγον· « Χριστὸς μὲν μόνος ὡς Θεὸς ἀληθινὸς τιμάσθω » τε καὶ σεβέσθω· θεοὶ δὲ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν ἀπολέσθωσαν μετὰ τῶν σεβομέ» νων αὐτούς. » Κρατηθέντες οὖν ὑπὸ τῶν εἰδωλολατρῶν παρεδόθησαν φυλακῇ καὶ καταμηνυθέντες τῷ ἀποστάτῃ τοῦ Χριστοῦ Ἰουλιανῷ παρανόμῳ προστάξει ἐκείνου τὰς κεφαλὰς προθύμως ἀπετμήθησαν, ἀναδραμόντες πρὸς Χριστόν, ὃν ἐκ βρέφους ἐπιποθήσαντες οὐκ ἠρνήσαντο· καὶ ἔλαβον γέρας ἀθανασίας. — **C** : 4 (τῶν ἁγίων ν' μαρτύρων). — Νίκωνος (Mart. 23[1]). — **Cd** : deest. — **Ce** : 4 (ν' μαρτύρων). — Νίκωνος. — Σεβήρου ἐπισκόπου Κατάνης. — **Cg** : 4 (ν' μαρτύρων). — Νίκωνος. — **R** : Σεβήρου ἐπισκόπου Κατάνης. — Ἀλεξάνδρων δύο καὶ Διονυσίων δύο καὶ τῆς συνοδίας αὐτῶν (Mart. 15[1], cf. Mart. 24[4]). — 1. — **Ra** : Ζαχαρίου μόναχοῦ καὶ ἐγκλείστου γεγονότος καὶ δουλεύσαντος τῷ Θεῷ ἀπερισπάστως. — Γεωργίου τοῦ νεοφανοῦς (Mart. 11[4]). — **Rb** : deest. — **Rc** : Ζαχαρίου. — 1. — **Mc** : 1. — Ἀρτέμωνος (April. 12[2]). — Ζαχαρίας. — 4. — Ὁ ὅσιος Μαρτῖνος ὁ Θηβαῖος ἐν εἰρήνῃ τ. — Ἡ παρὰ τῆς κουστωδίας ἀσφάλεια τοῦ ἁγίου τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — **Mv** : 2. 1. — Τοῦ ἁγίου μάρτυρος Ἀρτέμωνος πρεσβυτέρου. — Ζαχαρίας. — 4. — Νικάνδρου τοῦ Αἰγυπτίου (Mart. 15[2]). — Μαρτῖνος ὁ Θηβαῖος. — Ἡ ... ἀσφάλεια τοῦ ἁγίου τάφου. — **Mr** : Προεορτία τοῦ εὐαγγελισμοῦ.

Mart. 25. SYNAXARIA SELECTA. **H** : 1. — **P** : Ὁ εὐαγγελισμὸς τῆς παναχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐν τοῖς Χαλκοπρατείοις. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : deest. — **N** : 1. — **Bb** : 1. — Ἡ σύναξις Γαβριὴλ τοῦ ἀρχαγγέλου (Mart. 26[1]). — **Bc** : 1. — **C** : 1. — **Cd** : deest. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : deest. — **Rc** : 1. — **Mc** : 1. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα ἀνάστασις τοῦ Χριστοῦ. — **Mv** : 1. — Ἀνάστασις. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛ'.

Mart. 26.

1. Τῇ ἐπαύριον τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ σύναξιν ἐπιτελοῦμεν τοῦ ἱεροῦ καὶ θείου Γαβριὴλ τοῦ ἀρχαγγέλου[1] ἐξ ἀρχῆς καὶ ἄνωθεν παραδεδομένην ὡς τῷ θείῳ καὶ ὑπερφυεῖ[2] καὶ ἀρρήτῳ μυστηρίῳ ὑπουργήσαντος[3].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων[1] μαρτύρων τῶν ἐν Γοτθίᾳ μαρτυρησάντων. Εἰσὶ δὲ πρεσβύτεροι δύο Ἀαθούσης καὶ Οὐήρικας μετὰ δύο υἱῶν αὐτῶν καὶ θυγατέρων δύο, καὶ Ἀρπύλας μονάζων· λαϊκοὶ δὲ Ἀβίππας, Κώνστας, Ἁγίας, Οὐΐας, Ἠγάθραξ, Ἰσκόης, Σίλας, Σίδιτζας, Σουηρίλας, Σουΐμπλας, Θέρθας, Φίλγας, καὶ γυναῖκες αἱ συντελειωθεῖσαι αὐτοῖς Ἄννα, Ἁλᾶς, Βάρκα, Μωϊκῶ, Μαμίκα, Οὐϊκώ, Ἀνιμαΐς[2]. Οὗτοι ὑπῆρχον ἐπὶ Οὐϊγγουρίχου[3] βασιλέως τῶν[4] Γότθων καὶ Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος καὶ Γρατιανοῦ βασιλέων Ῥωμαίων· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ὑπὸ τοῦ Οὐϊγγουρίχου[3] διὰ πυρὸς τὸν τοῦ μαρτυρίου στέφανον ἔλαβον, ἐμπρήσαντος τὴν τῶν χριστιανῶν ἐκκλησίαν, ἐν ᾗ συγκατεφλέχθησαν οἱ ἅγιοι μάρτυρες· ὅτε συνέβη καὶ ἄνθρωπόν τινα τῇ αὐτῇ[4] ἐκκλησίᾳ κομίζοντα προσφορὰν κατασχεθῆναι καὶ τὸν Χριστὸν ὁμολογήσαντα αὐτὸν γενέσθαι προσφορὰν ὁλοκαυτωθέντα διὰ πυρός.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Μανουήλ, Σαβίνου, Κοδράτου καὶ Θεοδοσίου. Οὗτοι ὑπῆρχον ἐκ τῆς χώρας τῶν ἀνατολικῶν[1]· ὁρῶντες

1. — [1] τοῦ ἀρχαγγέλου *om.* Mc. — [2] καὶ ὑπ. *om.* Mc. — [3] καθυπουργήσαντος Mc.
2. — [1] κϛ' *add.* Mc. — [2] (εἰσὶ δὲ - Ἀνιμαΐς) *om.* Mc; *nomina ita leguntur in* D : Βαθούσης καὶ Οὐήρκας μετὰ β' υἱῶν αὐτῶν καὶ θυγατέρων β' καὶ Ἀρπύλα μονάζοντος, λαϊκοὶ δὲ Ἀβίππας, Ἁγίας Ῥυΐας, Ἠγάθραξ, Ἠσκόης, Σίλας, Σιγήτζας, Σουηρίλας, Σουήμβλας, Θέρθας, Φίλγας, καὶ ἐκ τῶν γυναικῶν Ἄννα, Ἀλάς, Βάρην, Μωϊκῶ, Καμίκα, Οὐηκῶ καὶ Ἀνημαΐς. — [3] Ἰουγγουρίχου Mc. — [4] *om.* Mc.
3. — [1] μαρτύρων Κοδράτου, Θ. (Θεοδωσίου S) καὶ Μ. τῶν ἐν τῇ ἀνατολῇ Mc.

Mart. 26.

SYNAXARIA SELECTA. **H** : 2. 3. 6. — **P** : 2. 3. 6. — **D** : 1. 2. 3. 6. — **Da** : 1. 2. 3 (om. Θεοδοσίου). — 6. — **Db** : 1. 2. 3. 6. — **K** : deest. — **N** : 1. 2. 3 (Μανουὴλ καὶ Θεοδοσίου). — 7. 6. — **Bb** : 2. 7. — Καλλινίκου καὶ Βασιλίσσης (Mart. 22[2]). — **Bc** : 2. 7. — Καλλινίκου καὶ Βασιλίσσης. — **C** : 2. 7 (... Δόμνας). — **Cd** : 2. 7 (... Δόμνας). — **Ce** : 2. 7 (... Δόμνου). — **Cg** : 2. 7 (... Δόμνας). — **R** : 1. 2. — **Ra** : 1. 2. 3 (... Θεοδοσίας). — 6. — Ἰωάννου ἀρχιεπισκόπου Ἱεροσολύμων. — **Rb** : deest. — **Rc** : 1. 2. — **Mc** : 1. 2. 3. 4. — Διήγησις πάνυ ὠφέλιμος Μάλχου μοναχοῦ αἰχμαλωτισθέντος. Ἀπὸ τριάκοντα μιλίων Ἀντιοχείας τῆς ἐν Συρίᾳ, χωρίον ἦν καλούμενον Μαρώνεια. Ἐν τούτῳ γεννηθεὶς καὶ ἀνατραφεὶς ὁ Μάλχος ἦν σεβόμενος τὸν Θεόν. Καὶ οἱ μὲν γονεῖς αὐτοῦ ἔσπευδον συναφθῆναι τοῦτον γυναικί· αὐτὸς δὲ φυγεῖν ἐμελέτα καὶ μονάσαι. Τοίνυν καὶ ἀπελθὼν ἐν Βεροίᾳ[1], ἐμόνασε παρά τισιν ἀνδράσι μοναχοῖς. Ἀγωνισάμενος δὲ εὐηρέστησε τῷ Θεῷ· καὶ τελευτήσαντος τοῦ πατρὸς διενοεῖτο ὑποστρέψαι οἴκαδε πρὸς τὴν μητέρα λογισμοῦ γενόμενος, ὡς ἀναπαυθείσης τῆς μητρὸς ἐν αὐτῷ μετὰ τὴν τελευτὴν αὐτῆς κύριος γεγονὼς πάντων τῶν προσόντων αὐτῇ, οἰκονομῆσαί τινα μὲν τούτων εἰς διανομὰς πενήτων, τινὰ δὲ εἰς ἀνοικοδομὴν ἰδίου μοναστηρίου. Τοῦτον μὲν τὸν λογισμὸν τῷ πατρικῷ νόμῳ ἑπόμενος καὶ ἀναθεὶς τῷ ἡγουμένῳ, παρ' αὐτοῦ διεκωλύετο εἰς πέρας ἀγαγεῖν τὸν σκοπὸν ὡς ἀσύμφορον, πλέον δὲ καὶ δαιμονιώδη τὸν τοιοῦτον λογισμὸν εἶναι διαβεβαιουμένου. Τέλος οὖν μὴ θελήσας ὁ Μάλχος πεισθῆναι τῷ πατρί, ἔξεισι τῆς μονῆς· καὶ καταλαβὼν τὴν Ἔδεσαν καὶ τὴν τῶν Σαρακηνῶν ὑφορώμενος ἔφοδον προσεδέχετο συνοδοιπόρους. Καὶ τούτων συναχθέντων εἰς ἑβδομήκοντα ἐπορεύετο ἀδεῶς. Ὡς δὲ παρ' ἐλπίδα πλῆθος ἐφάνη Σαρακηνῶν ἀθρόως τούτοις ἐπιτεθέντων, ἅπαντες κατεσχέθησαν· καὶ ὁ εἰς οἰκεῖον λάχος λαβὼν τὸν Μάλχον Αἰθίοψ σὺν μιᾷ γυναικὶ αἰχμαλώτῳ, καμήλῳ δρομαίᾳ ἀμφοτέρους ἐποχεῖσθαι διετάξατο. Δρόμῳ οὖν ὀξυτάτῳ τῆς καμήλου πορευομένης, ὁ Μάλχος, κινδυνεύων ἅμα τῇ γυναικὶ κατακρημνισθῆναι, τὴν γυναῖκα συμπεριλαβών, κἀκείνη τὸν Μάλχον, ἐπέκειντο στερρῶς διὰ τῆς συμπλοκῆς τῇ καμήλῳ. Οὐ τοῦτο δὲ μόνον ἐπισυνέβη τῷ μοναχῷ, ἀλλὰ καὶ μετὰ τῶν ἄλλων καὶ κρέα καμήλου καὶ μὴ θέλοντι φαγεῖν καὶ τοῦ κυρίου τοῦ τότε λαχόντος οἴκαδε διασωθέντος προσελθεῖν τῇ κυρίᾳ αὐτοῦ δουλικῶς ὑπείκειν τε εἰς ὑδάτων μετακομιδείας καὶ ῥυπασμάτων ἐκφορήσεις, καὶ τελευταῖον τὴν τῶν προβάτων νομὴν ἐπιλέξασθαι εἰς ἀπαλλαγὴν τῶν ἐν τῇ οἰκίᾳ τρυχόντων ἀνιαρῶν. Καὶ ταῦτα μὲν τὰ τῆς παρακοῆς βλαστήματα. Τέως δὲ τὴν τῶν προβάτων νομὴν ἐγχειρισθεὶς ἐκουφίσθη μικρὸν τῶν φορτικῶν ἐπιταγμάτων. Παρηγορεῖτο γὰρ καὶ διὰ παραδειγμάτων στρέφων ἐπὶ λογισμὸν τὸν προπάτορα Ἰακὼβ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ αὐτὸν τὸν ἐν προφήταις μέγαν καὶ ἐν βασιλεῦσιν ἀοίδιμον Δαβὶδ διὰ τοῦ ποιμαίνειν πάρεργον τὴν βασιλείαν εὑράμενον. Εὐαρεστήσαντος οὖν τῷ κυρίῳ αὐτοῦ ἐπί τε τῇ τῶν ποιμνίων ἐπιμελείᾳ καὶ τῇ τῶν τυρῶν ἐργασίᾳ, τῇ τῶν εἰδῶν παραφυλακῇ τε καὶ παραδόσει τῶν τοιούτων πάνυ καθαρᾷ καὶ ἀδόλῳ, διαπράττεσθαί τι εἰς φιλοτιμίαν αὐτοῦ καὶ ἀντάμειψιν διενοεῖτο ὁ Αἰθίοψ, ἕνεκεν ἧς πρὸς αὐτὸν ἐνεδείξατο πίστεως καὶ δουλώσεως. Τὸ δὲ ἦν δοῦναι αὐτῷ εἰς γυναῖκα τὴν αἰχμαλωτισθεῖσαν αὐτῷ. Καὶ ἐπεὶ προσκληθεὶς ὁ Μάλχος ἤκουσε, παρὰ μὲν τὴν ἀρχὴν ἀναβολαῖς ἐχρῆτο, καὶ τὸν μοναστὴν προεβάλετο βίον, καὶ μὴ ἐλευθέραν εἶναι τὴν γυναῖκα ἀλλὰ συνεζευγμένην ἀνδρί, καὶ οὐ δίκαιον τὴν γυναῖκα τοῦ ἀνδρὸς τοιουτοτρόπως διαζυγῆναι. Ἐκεῖνος δὲ τὴν σπάθην γυμνώσας θάνατον ἠπείλησεν. Ὅθεν φοβηθεὶς παρέλαβεν ὁ Μάλχος καὶ μὴ βουλόμενος τὴν γυναῖκα, κρεῖσσον δὲ καθ' ἑαυτὸν λογισάμενος αὐτὸς ἑαυτὸν διαχειρίσασθαι ἢ τῇ

[1] Βυρία Mc.

δὲ καθ' ἑκάστην ἡμέραν[2] τοὺς χριστιανοὺς ἀναιρουμένους ὑπὸ τῶν εἰδωλολατρῶν[3], ἀπελθόντες ἑκουσίως ἑαυτοὺς ἐκδόντες τῷ τῆς χώρας ἄρχοντι, ἐξετάζοντι[4] τότε πολλοὺς τῶν χριστιανῶν, ἔστησαν ἔμπροσθεν αὐτοῦ καὶ ἑαυτοὺς χριστιανοὺς ὁμολογήσαντες, κρατηθέντες ἐνεβλήθησαν εἰς φυλακήν· καὶ μετά τινας ἡμέρας ἐκβληθέντες, ἐπὶ ξύλων[5] κρεμασθέντες γυμνοὶ καὶ τὰς πλευρὰς ξεσθέντες[6] καὶ[7] τῶν ξύλων καταβιβασθέντες καὶ ἐπὶ τριβόλων συρέντες, τέλος ἀπεκεφαλίσθησαν[8].

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν[1] Στεφάνου ἡγουμένου Τριγλείας[2] τοῦ ὁμολογητοῦ[3]. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἀρμενίου ἐκ βρέφους τὸν ἀσκητικὸν ἑλόμενος βίον. Διὰ δὲ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν ἱκετείᾳ καὶ παρακλήσει τῶν μοναχῶν ἡγούμενος καταστὰς τῆς μονῆς Τριγλείας[2], καὶ πολλοὺς τῇ ἀσκητικῇ πολιτείᾳ τελειώσας, ὕστερον ὑπὸ τοῦ ῥηθέντος δυσσεβοῦς Λέοντος, διωγμὸν κινήσαντος κατὰ τῶν προσκυνούντων τὰς ἁγίας καὶ σεπτὰς[4] εἰκόνας, καὶ αὐτὸς | προσκληθεὶς καὶ καταναγκασθεὶς ἀρνήσασθαι[5] τὴν προσκύνησιν[6] καὶ ὑπογράψαι[3] κατὰ τῆς ὀρθοδόξου πίστεως[7] καὶ μὴ πεισθεὶς ἀλλὰ μᾶλλον δυσσεβεῖς ἀποκαλέσας[8] τοὺς εἰς τοῦτο αὐτὸν[9] καταναγκάζοντας[10], πλεῖστα τιμωρηθεὶς καὶ φυλακαῖς προσομιλήσας καὶ ἐξορίαις ταλαιπωρηθεὶς καὶ[3] νοσήσας[3], πρὸς Κύριον, δι' ὃν τοὺς πολλοὺς πόνους[11] ὑπέστη, ἐξεδήμησεν.

Mart. 26.

f. 185.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἀβραὰμ τοῦ εἰς τὸ Λάτρος.

6. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ Ξυλινίτου.

7. Καὶ τῶν ἁγίων Φιλήμονος καὶ Δόμνου[1].

— [2] *om.* Mc. — [3] συνέθεντο ἀλλήλους παρρησιάσασθαι εὐσέβειαν ἵνα κληρονόμοι γένωνται τῆς βασιλείας τῶν οὐρανῶν καὶ δὴ *add.* Mc. — [4] Mc, ἐξετάζονται S. — [5] ξύλου Mc. — [6] ἐξέσθησαν τὰς πλευρὰς Mc. — [7] ἐκ *add.* Mc. — [8] τὰς κεφαλὰς ἀπετμήθησαν Mc.
4. — [1] καὶ ὁμολογητοῦ *add.* Mc. — [2] Τριγλίας Mc. — [3] *om.* Mc. — [4] σεπτὰς καὶ ἁγ. Mc. — [5] τὸν Χριστὸν καὶ *add.* Mc. — [6] τῶν ἁγίων εἰκόνων *add.* Mc. — [7] ὑπογράψαι *add.* Mc. — [8] ἀποκαλέσαι S. — [9] αὐτὸ S. — [10] ἀναγκάζοντας Mc. — [11] ἀγῶνας Mc.
7. — [1] *al.* Δομνίνου, *cf. Mart.* 21[2] *et* Synaxaria selecta.

γυναικὶ συμμιγῆναι. Ὡς οὖν τὸ ἀφόρητον τοῦτο τῆς τοῦ Μάλχου λύπης καὶ ἀδημονίας ἡ γυνὴ κατενόει, δεδοικυῖα μήπως δαιμονικῇ συνεργείᾳ τοιοῦτόν τι ἀτόπημα γένηται, θαυμασία οὖσα καὶ σώφρων συνεβούλευσε τῷ Μάλχῳ εἶναι μὲν ἀμφοτέρους καὶ ἀδιαιρέτους διὰ τὸν φόβον καὶ τὸ ἀνύποπτον, φυλάττειν δὲ ἑαυτοὺς ἁγνοὺς καὶ καθαροὺς ἐν τῷ λεληθότι· « Κἀκ τούτου λήψεται πάντως, φησί, καὶ ὁ κύριος » ἡμῶν ἐντελῆ πληροφορίαν ὡς οὐ δολιευσόμεθα αὐτῷ. » Ἤρεσεν ἡ βουλὴ τῷ Μάλχῳ, ἀλλ' εἰς ἔννοιαν οὗτος ἐλθὼν ἧς εἶχεν ἐν τῷ μοναστηρίῳ διαγωγῆς φυγεῖν ἐμελέτα· καὶ τοῦτο γνοῦσα ἡ γυνὴ παρεκάλει συνακολουθῆσαι αὐτῷ, καὶ ἐν παρθενῶνι ἀποκαταστῆσαι· ὁ δὲ ὑπέσχετο. Ποταμοῦ δὲ μεγίστου τούτοις παρακειμένου καὶ τὴν φυγὴν μὴ ἄνετον αὐτοὺς κεκτῆσθαι παρασκευάζοντος, ἀσκοὺς ἀπὸ δερμάτων κατασκευάσαντες καὶ φυσήσαντες καὶ ἀσφαλῶς δήσαντες, ἑκάτερος ἕνα τούτων λαβόντες καὶ τὸν ποταμὸν νυκτὸς εἰσδύντες, τοῖς ἀσκοῖς μὲν ὡς ναυσὶ χρησάμενοι, ὡς πηδαλίοις δὲ τοῖς ποσί, τῇ πέραθεν προσωρμίσθησαν· καὶ τῷ Θεῷ εὐχαριστήσαντες, οὐ νυκτὸς μόνον ὥδευον ἀλλὰ καὶ ἡλίῳ καυσούμενοι· καὶ τῶν ὄπισθεν μὴ ἐπιλανθανόμενοι πυκνὰ περιεστρέφοντο. Καὶ τοῦτο ποιοῦντες τὸν κύριον αὐτῶν ἑώρων Αἰθίοπα μετὰ δούλου ἑνὸς καμήλους δρομαίας ἐποχουμένους, γυμνά τε τὰ ξίφη κατέχοντας. Ὡς οὖν ἤδη τὸ θήραμα πλησίον εἶχον, οἱ φυγάδες ἀπηλλοιώθησαν, καὶ ὡσεὶ νεκροὶ γεγόνασι. Κατ' οἰκονομίαν δὲ Θεοῦ σπήλαιον ὑπὸ γῆν βαθύτατον φανὲν πρὸ ὀφθαλμῶν τούτους ὑπεδέξατο. Εἰσελθόντες οὖν ἐν αὐτῷ ἀσπίδας εὗρον καὶ ὄφεις, ἑρπετά τε ἰοβόλα καὶ ἕτερα διάφορα καὶ θηρία οὐκ ὀλίγα διὰ τὴν σφοδρὰν ἡλιοκαΐαν τῷ σπηλαίῳ προσφεύγοντα. Καὶ ἰδόντες ἐφοβήθησαν μέν, διὰ τὸν φόβον δὲ τοῦ Αἰθίοπος ἑαυτοὺς τῷ σημείῳ τοῦ σταυροῦ κατασφραγίσαντες ἔστησαν ἐν ἑνὶ μέρει τοῦ σπηλαίου προσδοκῶντες κατάβρωμα τοῖς θηρίοις γενέσθαι. Ἀποβάντες δὲ τῶν καμήλων οἱ διώκοντες καὶ δήσαντες ἐν χρῷ τοῦ σπηλαίου, ὁ μὲν δοῦλος προσελθεῖν ἐν τῷ σπηλαίῳ προσετάγη πρὸς τὸ ἐξαγαγεῖν αὐτούς. Ὁ δὲ τούτου κύριος τὴν σπάθην λαβὼν ἔστη παρὰ τῇ εἰσόδῳ τοῦ σπηλαίου, ἐφ' ᾧ ἐξιόντας διαχειρίσασθαι· καὶ τοῦ δούλου εἰσελθόντος, λέαινα ἀθρόον εἰσπηδήσασα καὶ τοῦ φάρυγγος δραξαμένη ἀπέπνιξε. Καὶ τοῦτον ἐνδακοῦσα εἵλκυσεν εἰς τὸν φωλεὸν αὐτῆς. Καὶ οἱ μὲν φυγάδες ἰδόντες ἐδόξασαν τὸν Θεόν. Ὁ δὲ Αἰθίοψ ὑπολαβὼν ὅτι ἀνθίστανται τῷ δούλῳ καὶ οὐ πείθονται ἐξελθεῖν, κρατῶν τὴν μάχαιραν γυμνὴν εἰσῆλθε καὶ αὐτός. Ἐκπηδήσασα δ' αὖθις ἡ λέαινα ἐπάταξε παραυτίκα καὶ αὐτόν. Οἱ δὲ φυγάδες εὐχαριστοῦντες ἐπὶ τῷ παραδόξῳ τούτῳ τῷ Θεῷ, προσεκαρτέρουν ἐλπίζοντες καὶ οὐκ εἰς μακρὰν αὐτοὺς ὑπὸ τῆς λεαίνης καταβρωθῆναι. Ἡ δὲ λαβοῦσα τὸν σκύμνον αὐτῆς ἐξῆλθε τοῦ σπηλαίου. Τότε καὶ οὗτοι ἐξιόντες εὗρον τὰς καμήλους δεδεμένας μετὰ καὶ βρωμάτων καὶ πομάτων ὧν ἐπεφέροντο· καὶ φαγόντες καὶ εὐφρανθέντες τῷ Θεῷ ηὐχαρίστησαν. Καὶ ἐπιβάντες τοῖς καμήλοις, διὰ δέκα ἡμερῶν τὴν ἔρημον διῆλθον καὶ κατέλαβον εἰς κάστρον. Κἀκεῖθεν ὁ τοῦ κάστρου ἄρχων ἀπέστειλε πρὸς δοῦκαν Μεσοποταμίας τούτους· κἀκεῖνος τὰς καμήλους ἐξωνησάμενος καὶ φιλοφρόνως δεξιωσάμενος καὶ εὐφράνας ἀπέστειλεν οἴκαδε χαίροντας. Τότε ὁ μοναχὸς Μάλχος ποιήσας τὸ ἱκανὸν καὶ ἔν τινι παρθενῶνι τὴν γυναῖκα κατατάξας, αὐτὸς ἀπελθὼν ἐν τῇ μονῇ ἐξ ἧς ἐξῆλθε, τοῦ ἐν αὐτῇ πατρὸς ἤδη τελευτήσαντος, ἀπήγγειλε τοῖς ἀδελφοῖς πάντα τὰ συμβάντα αὐτῷ. Καὶ ἔκτοτε μαθὼν ὅπερ ἐπόθει, ἦν προσεδρεύων τῷ μοναστηρίῳ, καὶ τῷ Θεῷ εὐχαριστῶν τῷ ῥυσαμένῳ αὐτὸν ἐκ τηλικούτου θανάτου καὶ τῶν κινδύνων. Διαβιοὺς οὖν ἔκτοτε χρόνους ἱκανοὺς καὶ τῷ Θεῷ εὐχαρίστως δουλεύσας ἀπῄει πρὸς τὰς αἰωνίους μονάς. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

Mart. 27.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ματρώνης ἐκ πόλεως Θεσσαλονίκης[1]. Αὕτη θεράπαινα ὑπῆρχεν ἰουδαίας τινὸς γυναικὸς Παυτίλης καλουμένης[2], γαμετῆς στρατοπεδάρχου[3] ἐν τῇ Θεσσαλονικέων πόλει. Ἀκολουθοῦσα δὲ μέχρι τῆς συναγωγῆς τῇ κυρίᾳ αὐτῆς, ἐνδότερον οὐ προσῄει, ἀλλ' ὑπέστρεφεν ἐν τῇ τῶν χριστιανῶν ἐκκλησίᾳ. Φωραθεῖσα οὖν τύπτεται ἀφειδῶς καὶ φρουρᾷ κατακλείεται καὶ ἐπὶ τέσσαρσιν ἡμέραις ἀπόσιτος διαμένει· εἶτα ἐξάγεται καὶ μάστιξι καταξαίνεται[4] καὶ πάλιν[5] ἐγκλεισθεῖσα καὶ πολυημερεύσασα τῇ εἱρκτῇ, ἐν αὐτῇ παρέθετο τῷ Θεῷ τὴν ψυχήν[6]. Ταύτης φασὶν τὸ ἅγιον λείψανον[7] τὴν Παυτίλαν[8] ἀπὸ τοῦ τείχους ῥῖψαι[9] κάτω καὶ[10] τὴν ἀξίαν δοῦναι δίκην ὀλισθήσασαν καὶ καταπεσοῦσαν[11] εἰς τὸ ὑπολήνιον, ἐν ᾧ ἄνωθεν ἐκθλιβόμενον[10] τὸ γλεῦκος ἐχεῖτο, κἀκεῖ[12] τὸν βίον καταστρέψαι[13]. Ὕστερον δὲ Ἀλέξανδρος ὁ ἐπίσκοπος τῆς πόλεως Θεσσαλονίκης τὸ σῶμα τῆς ἁγίας μάρτυρος Ματρώνης ἔνδον τοῦ τοίχους, ἐκκλησίαν κτίσας ἐκεῖσε ἀπέθετο τὴν μακαρίαν καὶ ἀοίδιμον ὁσίως καὶ εὐσεβῶς.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κηρύκου τοῦ ἐν τῷ Ἄπρῳ.

3. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου ἐπισκόπου Κορίνθου, ἀδελφοῦ χρηματίσαντος[1] Πέτρου ἐπισκόπου Ἄργους τοῦ σημειοφόρου.

4. Καὶ τοῦ ὁσίου[1] Ἱλαρίωνος[2], ἡγουμένου γενομένου[3] μονῆς τῆς Πελεκητῆς.

5. Καὶ τοῦ ἐν ἁγίοις[1] πατρὸς ἡμῶν Εὐτυχίου ἐπισκόπου[2].

6. Καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἡρωδίωνος ἑνὸς τῶν ἑβδομήκοντα[1]. Οὗτος ἀκολουθῶν τοῖς ἁγίοις ἀποστόλοις διηκόνει αὐτοῖς ἐν ἅπασιν, ὡς Χριστοῦ μαθητὴς τοῦ εἰπόντος· « Ὁ θέλων » εἶναι πρῶτος ἔστω πάντων διάκονος. » Μετὰ δὲ ταῦτα ἐχειροτονήθη ὑπ' αὐτῶν ἐπίσκοπος Νέων Πατρῶν· πολλοὺς δὲ τῶν ἑλλήνων τῇ διδαχῇ ἐπιστρέφων εἰς Χριστόν, φθονηθεὶς ὑπὸ Ἰουδαίων ἐπισυστάντων αὐτῷ μετὰ εἰδωλολατρῶν, πρῶτα μὲν τυφθεὶς ἰσχυρῶς καὶ λίθοις τὸ στόμα συντριβεὶς καὶ ξύλοις κατὰ κεφαλῆς κρουσθεὶς ὕστερον μαχαίρᾳ ἀποσφάττεται· καὶ οὕτως παραδέδωκε τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ. Marc. 9, 35.

7. | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου[1] Ἀκακίου ἐπισκόπου Μελιτηνῆς τοῦ ὁμολογητοῦ. Οὗτος[2] ἦν ἐπὶ Δεκίου τοῦ παρανόμου βασιλέως· καὶ[3] κηρύσ- f. 185v.

1. — [1] τῆς ἐν Θ. Mc. — [2] ὀνομαζομένης Mc. — [3] τινος *add.* Mc. — [4] (καὶ ἐπὶ - καταξαίνεται) *om.* Mc. — [5] ἐξαχθεῖσα καὶ τυφθεῖσα καὶ *add.* Mc. — [6] τὴν ψ. τ. Θ. Mc. — [7] ἐντίμως κηδευθὲν ὕστερον *add.* Mc. — [8] Παυτίλλαν S. — [9] πρότερον ῥύψασαν Mc. — [10] *om.* Mc. — [11] ὀλισθήσασα γὰρ καὶ καταπεσοῦσα Mc. — [12] ἐκθλιβόμενον Mc. — [13] κἀκεῖ ἀπέστρεψεν *et hic des.* Mc.

3. — [1] γεγονότος Mc.

4. — [1] πατρὸς ἡμῶν *add.* Mc *ad d. Martii 28.* — [2] τοῦ νέου *add.* Mc. — [3] γεγονότος τῆς Mc.

5. — [1] τοῦ ὁσίου Mc. — [2] *om.* Mc.

6. — [1] *cetera desunt* Mc.

7. — [1] ὁσίου πατρὸς ἡμῶν Mc *ad d. Martii 31.* — [2] Ἀκάκιος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ τοῦ Χριστοῦ ὁμολογητὴς Mc. — [3] *om.* Mc.

Mart. 27.

SYNAXARIA SELECTA. **H** : Ἰωάννου καὶ Βαραχίου τοῦ Πέρσου (Mart. 29[1]). — **P** : Ἰωάννου καὶ Βαρουχίου. — **D** : 1. — Ἰωάννου καὶ Βαρουχίου. — **Da** : 1. — **Db** : 1. 2. — Ἰωάννου καὶ Βαραχησίου. — **K** : deest. — **N** : 1. — Φιλητοῦ τοῦ συγκλητικοῦ καὶ Λυδίας τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων Μακεδονίου[1] καὶ Θεοπρεπίου, Κρονίδου[2] κομενταρησίου καὶ Ἀμφιλοχίου δουκός. Οὗτοι ἦσαν ἐπὶ τοῦ βασιλέως Ἀδριανοῦ. Καὶ παραστάντος αὐτῷ τοῦ Φιλητοῦ, ἐπεὶ μὴ ἀντιστῆναι τῇ τούτου σοφίᾳ πρὸς ἰσχύος εἶχε, τῷ δουκὶ αὐτὸν Ἀμφιλοχίῳ παρέδωκε σὺν τοῖς τέκνοις καὶ τῇ γυναικί. Ὃς ἐπὶ ξύλου ἀμφοτέρους κρεμάσας καὶ ἰσχυρῶς ξέσας ἐμβάλλει εἰς φυλακὴν ἅμα τῷ κομενταρησίῳ Κρονίδῃ πιστεύσαντι. Νύκτωρ δὲ ψαλλόντων καὶ εὐχομένων, ἄγγελοι αὐτοῖς ἐπέστησαν πρὸς τοὺς ἀγῶνας παραθαρρύνοντες. Καὶ παραστάντες αὖθις τῷ δουκί, ἐν λέβητι πυρωθέντι ἐλαίου καὶ ῥητίνης μεστῷ βάλλονται· ὃν τῇ σφραγῖδι τοῦ ζωοποιοῦ σταυροῦ ψυχρὸν ἀπέδειξαν. Καὶ τοῦτο ἑωρακὼς ὁ δοὺξ ἐπίστευσε τῷ Χριστῷ· καὶ γυμνωθεὶς ἑαυτὸν ἐνέβαλεν ἐν τῷ λέβητι· « Κύριε Ἰησοῦ Χριστέ, λέγων, βοήθει μοι τῷ » πολλὰ δεινὰ ἐνδειξαμένῳ τοῖς δούλοις σου. » Καὶ φωνὴ πρὸς αὐτὸν ἐγένετο· « Εἰσηκούσθης, » ἀνάβαινε ὧδε. » Καὶ ἀνηγγέλη τοῦτο τῷ βασιλεῖ. Ὁ δὲ λέβητα πλήρη ἐλαίου μέγιστον ἐκκαῆναι ἐπὶ ἡμέρας προστάξας ἑπτά, ἐν τούτῳ πάντας ἐνέβαλε· καὶ φυλαχθέντας ἀβλαβεῖς θεασάμενος ἀνεχώρησε καταισχυνόμενος. Εὐξάμενοι δὲ οἱ ἅγιοι τὰς ἑαυτῶν ψυχὰς ἀπέδωκαν τῷ Θεῷ (Mart. 29[3]). — Στεφάνου ἡγουμένου (Mart. 26[4]). — 2. — Ἰωάννου καὶ Βαραχίου. — **Bb** : Φιλητοῦ. — Μανουὴλ καὶ Θεοδοσίου (cf. Mart. 26[3]). — Κοδράτου (cf. Mart. 26[3]). — Στεφάνου (Mart. 26[4]). — **Bc** : Φιλητοῦ. — Μανουὴλ καὶ Θεοδοσίου. — Κοδράτου. — Στεφάνου. — **C** : Φιλητοῦ κτλ. — **Cd** : Φιλητοῦ κτλ. — **Ce** : Φιλητοῦ κτλ. — **Cg** : Φιλητοῦ κτλ. — **R** : 1. 2. — Ἰωνᾶ καὶ Βαραχησίου. — **Ra** : 1 : Ματρώνης ἐκ πόλεως ὁρμωμένης Θεσσαλονίκης. Αὕτη θεράπαινα ὑπῆρχεν Παυτίλης τινὸς ἰουδαίας, γυναικὸς στρατοπεδάρχου ἐν τῇ Θεσσαλονικέων πόλει· ἥτις καὶ τοὺς πλοκάμους ἔπλεκε τῆς κυρίας αὐτῆς. Καὶ ἀκολουθοῦσα αὐτῇ μέχρι τῆς συναγωγῆς τῶν ἰουδαίων ἔνδοθεν οὐ προσῄει, ἀλλ' ὑπέστρεφεν ἐν τῇ τῶν χριστιανῶν ἐκκλησίᾳ. Καὶ διαβάλλεται τῇ ἑαυτῆς κυρίᾳ ὡς χριστιανὴ καὶ τύπτεται ὑπὸ τεσσάρων ἀνδρῶν ἀφειδῶς καὶ τῇ φρουρᾷ κατακλείεται. Μέχρις ἡμερῶν δεκατεσσάρων ἄσιτος διαμείνασα ἐξάγεται καὶ μάστιξι καταξαίνεται καὶ πάλιν ἐγκλεισθεῖσα καὶ πολυημερεύσασα[3] τῇ εἱρκτῇ ἐν αὐτῇ παρέ-

[1] Μακεδόνος S *ad d. Mart. 29.* — [2] *al.* Κρονίδους. — [3] ἐγκλεισθῆσαν κ. πολυημερεύσασαν Ra.

σων[4] τὸν Χριστὸν ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν. Καὶ δεθεὶς προσήχθη Μαρκιανῷ τῷ τῆς χώρας ὑπάρχῳ[5], καὶ παραστὰς ὡμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ καὶ περὶ τῶν χερουβὶμ καὶ τῶν σεραφὶμ <διεξήει[6]·> ἐστηλίτευσε δὲ καὶ ἐχλεύασε τὴν τῶν εἰδώλων ματαιότητα[7] καὶ τοὺς θεοὺς τῶν ἑλλήνων καὶ τὴν[8] πλάνην αὐτῶν· ὅθεν βασανισθεὶς ἰσχυρῶς[9] τῇ φυλακῇ πρωσομιλεῖ[10]. Τὰ δὲ περὶ αὐτοῦ ὑπομνήματα Μαρκιανὸς ἀνήνεγκε[11] Δεκίῳ τῷ βασιλεῖ, ὅστις ἐκέλευσεν ἀπολυθῆναι τὸν ἅγιον ἀνύβριστον καὶ ἀτιμώρητον. Καὶ οὕτως ἀπολυθεὶς[12] τὰ στίγματα τοῦ Χριστοῦ περιφέρων ἐν[8] τῇ σαρκὶ αὐτοῦ καὶ πολλοὺς φωταγωγήσας, ἐν εἰρήνῃ ἀνεπαύσατο. Mart. 27.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

Mart. 28.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος καὶ ὁμολογητοῦ ἐπισκόπου Μάρκου Ἀρεθουσιῶν καὶ Κυρίλλου διακόνου ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου. Πλατύναντος τοῦ χριστιανισμοῦ, Μάρκος ὁ ἐπίσκοπος Ἀρεθουσιῶν εἰδωλικὸν ναὸν καταβαλὼν ἐκκλησίαν ἔκτισεν. Ἐπεὶ δὲ ὁ μέγας Κωνσταντῖνος ἐτελεύτησε καὶ ὁ τούτου υἱὸς Κωνστάντιος, Ἰουλιανὸς δὲ ὁ ἀποστάτης συγχωρήσει Θεοῦ τῆς βασιλείας ἐκράτησεν, ἀναθαρρήσαντες οἱ εἰδωλολάτραι ἐζήτουν τὸν ἅγιον Μάρκον διὰ τὴν παρ' αὐτοῦ τολμηθεῖσαν καθαίρεσιν τοῦ ναοῦ. Ὁ δὲ διὰ τὴν κελεύουσαν ἐντολὴν ἀνεχώρησεν μικρόν, ἐπειδή τινας ἑλκομένους ἐπύθετο δι' αὐτόν, ἐπανῆκε καὶ τοῖς μιαιφόνοις προύδωκεν ἑαυτόν. Οἱ δὲ λαβόντες καὶ γυμνώσαντες καὶ σχοινίοις τοὺς πόδας δήσαντες, ἔσυρον ἐπὶ τὴν γῆν τύπτοντες καὶ εἰς ὑπονόμους ἐμβάλλοντες δυσώδεις. Εἶτα ἐξαγαγόντες καὶ τοῖς παισὶ παραδόντες ταῖς γραφίσι κεντᾶν, καὶ μέλιτι καὶ γάρῳ χρίσαντες ἐκρέμασαν εἰς ὕψος, θέρους ὄντος καὶ καύματος, πρὸς τὸ βρωθῆναι ὑπὸ μελισσῶν καὶ σφηκῶν[1]. Καὶ ὁ θεσπέσιος πρεσβύτης πάσχων ἐκαρτέρει. Ὡς δὲ ἐπεζήτουν αὐτὸν χρήματα εἰς ἀνοικοδομὴν τοῦ καταβληθέντος ναοῦ, ἔφησεν ὅτι· « Οὐδὲ ὀβολὸν ἕνα καταβαλῶ ὑμῖν » ἕνεκεν τούτου »· ἰδόντες αὐτὸν ἀνένδοτον ὄντα, μεταβληθέντες ἀπέλυσαν τῆς τιμωρίας καὶ τοῦ

— [4] δὲ *add.* Mc. — [5] ἄρχοντι Mc. — [6] Mc, *om.* S. — [7] (τὴν - ματαιότητα) *om.* Mc. — [8] πᾶσαν Mc. — [9] ἰ. βασ. Mc. — [10] ἐν φρουρᾷ κατεκλείσθη Mc. — [11] προσήγαγε Mc. — [12] καὶ *add.* Mc. — [13] καὶ ἀγαγὼν εἰς τὴν ποίμνην τοῦ Χριστοῦ καὶ ἐν θαύμασι διαπρέψας *add.* Mc.

1. — [1] σφιγκῶν S.

Mart. 27.

θετο τῷ Θεῷ τὴν ψυχήν. Ταύτης ἡ Παυτίλα τὸ λείψανον διά τινος Στρατονίκου ἐν δέρει ἐγκλείσασα ῥίπτει κάτω ἀπὸ τοῦ τείχους· ὅπερ οἱ χριστιανοὶ λαβόντες κατέθεντο πλησίον τῆς λεωφόρου. Μετὰ δὲ τὸ παρελθεῖν τὸν διωγμόν, Ἀλέξανδρος ὁ ἐπίσκοπος οἶκον εὐκτήριον δειμάμενος ἔνδον τῆς πόλεως, τὸ ἅγιον αὐτῆς λείψανον κατέθηκε· Παυτίλα δὲ καὶ ὁ ταύτης ἀνὴρ εἰς ἐσχάτην πενίαν καταντήσαντες, εἰσελθούσης δὲ Παυτίλης ἐν τῷ ὑποληνίῳ τῶν σταφυλῶν ἐκθλιβόμενον οἶνον καταμαθεῖν, ὀλισθήσασα ἐπὶ κεφαλὴν κατενεχθεῖσα καὶ ὅλῳ τῷ σώματι συντριβεῖσα ἀπέρρηξε τὴν ψυχήν. — **Rb** : deest. — **Rc** 1. — **Mc** : 1. 2. — Φιλητοῦ κτλ. — Ἰωάννης καὶ Βαρούχιος ξ. τ. — Ὁ προφήτης Ἀνανίας ἐν εἰρήνῃ τ. — 3. 5. 6. — **Mv** : 1. 2. — Φιλητοῦ κτλ. — Ἰωνᾶς καὶ Βαραχήσιος. — Ὁ προφήτης Ἀνίνας ἐν εἰρήνῃ τ. — 3. 5. 6. — **Mr** : 1.

Mart. 28.

SYNAXARIA SELECTA. **H** : Ματρώνης τῆς ἐν Θεσσαλονίκῃ (Mart. 27[1]). — **P** : Ματρώνης. — Ἡρωδίωνος (Mart. 27[6]). — Εὐτυχίου (Mart. 27[5]). — **D** : Φιλητοῦ κτλ. (Mart. 29[3]). — Τοῦ ἁγίου ἀποστόλου Ἡρωδιανοῦ (Mart. 27[6]). — Εὐτυχίου. — **Da** : Φιλητοῦ. — Ἰωνᾶ καὶ Βαραχησίου (Mart. 29[1]). — Ἱλαρίωνος ἡγουμένου μονῆς Πελεκητῆς (Mart. 27[4]). — Ἡρωδίωνος καὶ Εὐτυχίου ἐπισκόπου. — **Db** : Φιλητοῦ. — Ἰωνᾶ καὶ Βαραχησίου. — Ἱλαρίωνος. — Ἡρωδίωνος καὶ Εὐτυχίου. — **K** : mutil. Φιλητοῦ. — Ἰωνᾶ καὶ Βαραχησίου. — Ἱλαρίωνος. — Ἡρωδίωνος. — Εὐτυχίου. — **N** : Ἡρωδίωνος. — 1 : Τῶν ἁγίων ἱερομαρτύρων τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ μισοχρίστου ὑπὸ τῶν εἰδωλολατρῶν παθόντων, Μάρκου Ἀρεθουσιῶν ἐπισκόπου καὶ Κυρίλλου διακόνου καὶ ἑτέρων πολλῶν. Οὗτος ὁ ἅγιος Μάρκος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου. Διαλαμψάσης δὲ τῆς εὐσεβείας ἐπὶ τῶν χρόνων αὐτοῦ καὶ τῶν εὐσεβῶν πρὸς τὴν καθαίρεσιν τῶν εἰδωλικῶν ναῶν καὶ βωμῶν τετραμμένων, οὓς ὁ κατὰ Θεὸν ζῆλος πρὸς τοῦτο ἠρέθιζε, μετὰ τῶν ἄλλων καὶ ὁ μακάριος οὗτος εἰδωλικόν τι καταβαλὼν[1] τέμενος ἐκκλησίαν ἐδείματο. Τῶν πραγμάτων δὲ μεταπεσόντων καὶ τῆς ἐννόμου βασιλείας μετατεθείσης εἰς Ἰουλιανὸν τὸν παράνομον, οἱ τοῖς εἰδώλοις προστετηκότες παρρησιασάμενοι, τὸν ἅγιον ἐζήτουν διὰ τὴν παρ' αὐτοῦ τολμηθεῖσαν καθαίρεσιν τοῦ ναοῦ. Αὐτὸς δὲ διὰ τὴν κελεύουσαν ἐντολὴν ἀναχωρήσας μικρόν, ἐπειδή τινας ἑλκομένους ἐπύθετο δι' αὐτόν, ἐπανῆκε καὶ τοῖς μιαιφόνοις προύδωκεν ἑαυτόν. Οἱ δὲ λαβόντες καὶ γυμνώσαντες καὶ παντὶ τῷ σώματι πληγὰς ἐπιθέντες καὶ εἰς ὑπονόμους ἐμβαλόντες δυσώδεις, εἶτα ἐξαγαγόντες καὶ τοῖς παισὶ παραδόντες ταῖς γραφίσι κεντᾶν καὶ γάρῳ διάβροχον ποιήσαντες καὶ ἐπιχρίσαντες μέλιτι ἐν ἀκμῇ θέρους μετέωρον ἐν καλωδίοις ἀνήρτησαν, ἵνα ὁμοῦ γυμνῇ τῇ κεφαλῇ καὶ ὅλῳ τῷ σώματι ἐν σταθηρᾷ μεσημβρίᾳ τὰς ἀκτῖνας τοῦ ἡλίου δεχόμενος φλέγοιτο καὶ σφηξὶ καὶ μελίτταις οἷς ἐπεκέχριστο εἴη τροφή. Καὶ ταῦτα ἐδρᾶτο καὶ ὁ θεσπέσιος πρεσβύτης πάσχων ἐκαρτέρει ὑπὲρ τοῦ μὴ προέσθαι τι τοῖς βασανισταῖς εἰς ἀνοικοδομὴν αὖθις τῶν καθαιρεθέντων ναῶν, καίτοι ὀλίγου ὄντος τοῦ ζητουμένου· καὶ μέντοι τῇ ἐνστάσει νικήσας καὶ τῇ πράξει νικᾷ. Ὡς γὰρ εἶδον τὸ νεανικὸν καὶ ῥωμαλέον τοῦ θαυμαστοῦ γέροντος, αὐτόν τε καθεῖλον οἷς ἀπῃώρητο, καὶ μεταβαλλόμενοι καὶ αὐτῷ διδασκάλῳ χρησάμενοι μετέμαθον τὴν εὐσέβειαν. Καὶ ταῦτα μὲν περὶ τοῦ θείου Μάρκου.

[1] καταλαβὼν N.

Mart. 28. λοιποῦ εἶχον αὐτὸν ὡς διδάσκαλον, εἰς θαῦμα θέντες τὴν αὐτοῦ ὑπομονὴν καὶ συγγνώμην ἐξαιτησάμενοι. Εἶτα ἐπιβιοὺς ὀλίγον ἐν βαθυτάτῳ γήρᾳ ἐκοιμήθη. Καλὸν ἂν εἴη εἰς ἔνδειξιν τῆς τῶν ἀσεβῶν ὠμότητος καὶ τὸ [2] ἐν Φοινίκῃ τολμηθὲν κατὰ Κυρίλλου τοῦ λευΐτου διεξελθεῖν. Ἐπεὶ δὲ καὶ αὐτὸς f. 186. ἦν | κατὰ τὸν καιρὸν τοῦ μεγάλου Κωνσταντίνου, πάμπολλα τῶν εἰδώλων συνέτριψε· <καὶ[3]> κρατηθεὶς ἐπὶ τοῦ αὐτοῦ παραβάτου Ἰουλιανοῦ παρὰ τῶν εἰδωλολατρῶν βίαιον ὑπέστη θάνατον. Τὴν γὰρ γαστέρα αὐτοῦ διαρρήξαντες, τὸ ἧπαρ αὐτοῦ κατέφαγον καὶ τοῦ αἵματος ὡς κύνες ἀπερρόφησαν. Καὶ παραυτίκα ἔπεσον οἱ ὀδόντες αὐτῶν καὶ αἱ γλῶσσαι αὐτῶν ἐσάπησαν <καὶ[3]> οἱ ὀφθαλμοὶ αὐτῶν ἐτυφλώθησαν. Ὁ δὲ μάρτυς τελειωθεὶς ἀνῆλθε χαίρων ἐν τοῖς οὐρανοῖς. Κατ᾽ ἐκείνην δὲ τὴν ἡμέραν καὶ ἐν Ἀσκάλωνι[4] τῇ πόλει καὶ ἐν Γάζῃ οἱ εἰδωλολάτραι κρατήσαντες πλῆθος χριστιανῶν παρθένων, γυναικῶν καὶ μοναζουσῶν καὶ ἱερωμένων ἀνδρῶν, καὶ τὰς γαστέρας αὐτῶν μαχαίραις διατεμόντες[5] ἔβαλον κριθὰς καὶ προέθηκαν τοῖς χοίροις εἰς βρῶσιν[6]. Καὶ τὰ μὲν σώματα τοιαύτας ὑπέμειναν τιμωρίας, αἱ δὲ ψυχαὶ αὐτῶν ἐναπετέθησαν εἰς χεῖρας Θεοῦ ζῶντος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ΄.

Mart. 29. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰωνᾶ καὶ Βαραχησίου[1]. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος[2] κατὰ τοὺς χρόνους Σαβωρίου τοῦ βασιλέως Περσῶν[3] καὶ Κωνσταντίνου βασιλέως Ῥωμαίων τοῦ μεγάλου[4]. Μοναχοὶ δὲ ὄντες καὶ τὸ ἑαυτῶν μοναστήριον καταλιπόντες, ἦλθον ἐν κώμῃ Μαρβιαβὼχ[5] καλουμένῃ[6]· καὶ ἐν αὐτῇ κατακλείστους εὑρόντες τοὺς ἁγίους ἐννέα μάρτυρας Ζανιθᾶν, Λάζαρον, Μαρουθᾶν[7], Ναρσῆν, Ἠλίαν, Μάρην, Ἄβιβον, Σιμιάθην καὶ Σώβαν[8], παρεθάρρυναν[9] αὐτοὺς τελειωθῆναι ἐν τῇ εἰς Χριστὸν ὁμολογίᾳ[10]. Κατασχεθέντες δὲ ἤχθησαν πρὸς τοὺς τρεῖς ἄρχοντας τῶν Περσῶν[11] Μασδρὰθ καὶ[7] Σιρὼ καὶ Μαρμισῆ[12], οἳ καὶ κατηνάγκασαν αὐτοὺς ἀρνήσασθαι τὸν Χριστὸν καὶ[13] προσκυνῆσαι τὸν ἥλιον, τὸ πῦρ[14] καὶ[15] τὸ ὕδωρ· καὶ μὴ πεισθέντες δεσμεῖται

— [2] τῶν S. — [3] *supplevi, om.* S. — [4] Ἀσκάλλωνι S. — [5] διατεμὼν S. — [6] *in marg.* γρ. χοίροις εἰς βρῶσιν S.

1. — [1] καὶ τῶν σὺν αὐτοῖς *add.* Mc. — [2] *om.* Mc. — [3] Π. β. ἐκ πόλεως Περσίδος Mc. — [4] τ. μ. Ῥ. Mc. — [5] Μαρμιαβὼχ Mc. — [6] καλουμένην S. — [7] *om.* Mc. — [8] Σιμεήθην Σάβαν καὶ Σουλ[illegible]ᾶν Mc. — [9] παρεθάρρυνον Mc. — [10] αὐτοὺς τ. εἰς κ. ἐμμένειν ὁμ. καὶ τ. ἐν αὐτῇ Mc. — [11] τ. Π. *om.* Mc. — [12] Μαρμησί Mc. — [13] (οἱ καὶ κατενέγκασαν - Χ. καὶ) ὑφ᾽ ὧν παραινέσεις ἅμα καὶ ἀπειλὰς δεξάμενοι οὐ κατεδέξαντο Mc. — [14] τὸ π. ἢ τὸν ἥλιον Mc. — [15] ἢ Mc.

Mart. 28. Ὁ δὲ θαυμάσιος Κύριλλος λευΐτης ὢν καὶ αὐτὸς ἐν Φοινίκῃ πολλῶν ξοάνων, παρρησιασαμένης τῆς ἀληθείας, γεγονὼς καθαιρέτης καὶ διὰ τοῦτο κατασχεθεὶς οὐ μόνον ἄδικον καὶ βίαιον ὑπέστη θάνατον, ἀλλὰ καὶ τὴν γαστέρα ἀνατμηθεὶς ἐξενεχθέντων αὐτοῦ τῶν ἐγκάτων, ἐλεεινὸν τοῖς παροῦσιν ὤφθη θέαμα. Οὗ καί φασι τοὺς μιαιφόνους τῶν ἡπάτων ἐμφορηθέντας τῆς κατ᾽ ἀξίαν δίκης τυχεῖν, ἐκτιναχθέντων αὐτῶν τῶν ὀδόντων καὶ τῆς γλώττης διαρρυείσης καὶ τῆς ὀπτικῆς λωβηθείσης δυνάμεως. Τὰ δὲ ἐν Ἀσκάλωνι καὶ Γάζῃ γυναικῶν παρθένων καὶ ἱερωμένων ἀνδρῶν παθήματα, τὰς γαστέρας ἀναρραγέντων καὶ κατὰ τῶν ἐγκάτων δεξαμένων κριθὰς καὶ χοίροις προτεθέντων βοράν, τίς ἂν ἀξίως ἐκτραγῳδήσειε[2]; Ταῦτα τῆς ἀσεβοῦς βασιλείας καὶ τῶν ὑπ᾽ αὐτῇ ταττομένων τὰ δράματα· ἀλλὰ τοῖς μὲν περιέστη ἀντὶ τῶν ἐντεῦθεν παθῶν ἡ μακαριότης ἡ ἄληκτος, τῷ δὲ προασπιστῇ τῆς κακίας ἡ διὰ φλογὸς τιμωρία καὶ τὸ αἰωνίως αἰσχύνεσθαι. — Ἱλαρίωνος. — Θεοδωρήτου ἐπισκόπου Κύρου. — **Bb**: Ματρώνης. — Ἡρωδίωνος. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἡσυχίου Ἱεροσολύμων. — Εὐσταθίου ἐπισκόπου Βιθυνίας (Mart. 29[4]). — **Bc** : Ματρώνης. — Ἡρωδίωνος. — Ἡσυχίου. — Ἱλαρίωνος. — 1 (Μαρτίνου ἐπισκόπου Ἀρεθουσιῶν καὶ Κυρίλλου). — **C** : Ματρώνας. — Ἡρωδίωνος. — **Ce** : Ματρώνης (dies mensis 27 alia manu appositus). — Ἡρωδίωνος. — **Cd** : Ματρώνης. — Ἡρωδίωνος. — **Cg** : Ματρώνης. — Ἡρωδίωνος. — **R** : Ἱλαρίωνος. — Ἡρωδίωνος. — Σαραπίωνος καὶ Πολυαίνου τοῦ ἐν τῇ Ῥώμῃ (Aug. 18[2]). — **Ra** : 1. — **Rb** : deest. — **Rc** : Ἱλαρίωνος. — Κυρίλλου ἐπισκόπου Γορτύνης (Sept. 5[2]). — **Mc** : Ἱλαρίωνος τοῦ νέου. — Ζωσίμου ἐπισκόπου Συρρακούσης. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ζώσιμος γεννηθεὶς παρ᾽ εὐσεβῶν γονέων καὶ ἐπιμελῶς παιδευθείς, νήπιος ὢν ἐδόθη παρὰ τῶν γονέων ἐν τῇ μονῇ τῆς παρθένου Λουκίας... Des. : καί τις τῶν ἐκεῖσε τότε παρατυχόντων γυναῖκα ἔχων ἐν τῷ οἴκῳ αὐτοῦ αἱμορροοῦσαν λαβὼν λεπτὸν κράσπεδον ἐκ τῶν ἱματίων καὶ τῇ γυναικὶ ἐπιδοὺς τοῦ νοσήματος ἰατὴρ ἀναδείκνυται· ἔστη γὰρ εὐθέως ἡ ῥύσις τοῦ αἵματος (Ian. 21[3]). — **Mv** : Ἱλαρίωνος. — Ἡρωδίωνος. — Φιλητοῦ κτλ. — **Mr** : Ἱλαρίωνος τοῦ νέου ἡγουμένου τῆς Πελεκητῆς μονῆς τῶν ἁγίων ἀνδρῶν τῆς Βιθυνίας.

Mart. 29. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 1 (Ἰωνᾶ, Βαρουχησίου). — 2. — **D** : Μάρκου καὶ Κυρίλλου (Mart. 28[1]). — **Da** : Μάρκου καὶ Κυρίλλου. — 4. — **Db** : Μάρκου καὶ Κυρίλλου. — 4. — **K** : Μάρκου καὶ Κυρίλλου. — 4. — **N** : 1. 4. — **Bb** : 1. — Ἀκακίου (Mart. 27[7]). — **Bc** : 1. — Ἀκακίου. — 4. — **C** : 1. 2. — **Cd** : 1. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — **R** : Σωσθένους κτλ. (Dec. 8[3]). — **Ra** : 1. — **Rb** : deest. — **Rc** : Μάρκονος ἐπισκόπου καὶ Κυρίλλου διακόνου (Mart. 28[1]). — Ἑρμοῦ, Σαραπίωνος καὶ Πολυαίνου (Aug. 18[2]). — Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Ἰωάννου καὶ Γεωργίου (Aug. 18[5]). — **Mc** : Μάρκου, Κυρίλλου κτλ. Ἄρτι τῆς εὐσεβείας Θεοῦ χάριτι διαλαμψάσης καὶ τῆς εἰδωλικῆς πλάνης ἀμαυρωθείσης κατὰ τοὺς χρόνους τοῦ μεγάλου βασιλέως

— [2] ἐκταγῳδησε N.

Ἰωνᾶς[16] νόμῳ περσικῷ· οἱ γὰρ Πέρσαι ὃν τύψαι μέλλουσιν[17] εἰς γῆν καθίσαντες ἐν ἑνὶ ξύλῳ χεῖρας καὶ πόδας ἀποδεσμοῦσιν αὐτῷ[18]. Ὁ δὲ ὥσπερ τις λίθος ἀδάμας[7] ἀκίνητος δέχεται τὰς πληγάς· εἶτα[19] σχοινίοις διαλαβόντες ἔσυραν ἐπὶ[20] τὸ αἴθριον τῷ ψύχει καὶ[21] παγετῷ ταλαιπωρεῖσθαι καὶ καταπήγνυσθαι δι᾽ ὅλης ἐάσαντες τῆς νυκτὸς καὶ κατασφίγγουσιν αὐτὸν ἐν στυρακίῳ· εἶτα πρίζουσιν μέσον καὶ ῥίπτουσιν εἰς λάκκον, ἐν ᾧ τὸ τέλος ἐδέξατο. Ἀλλὰ πρῶτον μὲν[22] τέμνεται τοὺς δακτύλους τῶν χειρῶν καὶ τῶν ποδῶν καὶ τῆς κεφαλῆς τὸ δέρμα[23] ἀφαιρεῖται καὶ τὴν γλῶτταν τέμνεται καὶ ἐν χαλκίῳ πίσσης μεστῷ ἐμβάλλεται, ἐξ οὗ ἀβλαβὴς διεξῆλθεν· εἶθ᾽ οὕτως[24] ἐν κοχλίᾳ συντρίβουσιν αὐτοῦ τὰ ὀστᾶ, καὶ[25] οὕτω πρίζουσι f. 186v. μέσον[26]. Ὁ δὲ ἅγιος Βαραχήσιος | αὖθις εἰς ἐξέτασιν ἀχθεὶς γυμνὸς σύρεται ἐν ἀκάνθαις[27] καὶ περιπείρεται καλάμοις ὀξέσι καὶ ἐν τῷ κοχλίῳ[28] βληθεὶς καὶ ὅλον τὸ σῶμα συντριβεὶς καὶ κατὰ τοῦ λάρυγγος[29] πίσσαν καταχεθεὶς[30] βράζουσαν[31], ἀπέδωκε τὴν ψυχήν. Συγκατετέθησαν δὲ αὐτῶν τὰ λείψανα καὶ συνετάφησαν ἅμα μετὰ τῶν ἑτέρων[30] ἁγίων[30] ἐννέα μαρτύρων ὑπό τινος ἀνδρὸς Ἀβδηϊσώτα[32] καλουμένου, πεντακοσίων μηλιαρησίων Περσικῶν[33] ἀγορασθέντα[34], ἐκείνων μὲν τελειωθέντων κατὰ τὴν[30] εἰκοστὴν ἑβδόμην τοῦ μαρτίου μηνός, τοῦ δὲ ἁγίου Ἰωνᾶ[35] καὶ Βαραχησίου κατὰ τὴν εἰκοστὴν ἐνάτην. Mart. 29.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἰωάννου πατριάρχου Ἱεροσολύμων.

3. Καὶ ἄθλησις τῶν ἁγίων τοῦ[1] Χριστοῦ[1] μαρτύρων Φιλητοῦ[2] συγκλητικοῦ καὶ[1] Λυδίας τῆς αὐτοῦ γυναικὸς καὶ τῶν τέκνων αὐτῶν Μακεδόνος καὶ Θεοπρεπίου, Κρονίδου[3] κομενταρησίου καὶ Ἀμφιλοχίου δουκός. Οὗτοι ὑπῆρχον ἐπὶ Ἀδριανοῦ βασιλέως, χριστιανοὶ ὄντες καὶ καθ᾽ ἑκάστην τῷ Θεῷ λατρεύοντες. Συλληφθεὶς οὖν ὁ μακάριος Φιλητὸς παρέστη τῷ βασιλεῖ. Ὁ δὲ βασι-

— [16] (καὶ μὴ - Ἰωνᾶς) ὅθεν ἄγεται πρῶτον Ἰ. κ. δ. Mc. — [17] ὃν ἂν αἰκίσασθαι βουληθῶσιν Mc. — [18] αὐτοῦ Mc. — [19] ἔνθεν ἢ ἔνθεν ὑπὸ τοῦ δεσμοῦ μεταβαίνειν μὴ συγχωρούμενος τοῦτον οὖν ἐφ᾽ ἱκανὸν τραχείαις ῥάβδοις καὶ δυσμεταχειρίστοις τύψαντες καὶ Mc. — [20] διαδεθέντες ἔσυρον ὑπὸ Mc. — [21] ψ. κ. *om.* Mc. — [22] (καὶ κατασφ. - μὲν) τοῦ δὲ Βαραχησίου βώλους χαλκοὺς ἐκπυρώσαντες ὑποβάλλουσι ταῖς μασχάλαις εἶτα ἄμφω περὶ τοῖς βλεφάροις καὶ ταῖς ῥισὶ καὶ τοῖς ὠσὶ καὶ τοῖς λάρυγξι καταχέουσι μόλιβδον καὶ ὁ μὲν Β. προσδεθεὶς τοὺς πόδας κρεμᾶται κατὰ κεφαλῆς· ὁ δὲ ἅγιος Ἰωνᾶς Mc. — [23] ἔνθα ἡ τρίχωσις *add.* Mc. — [24] (εἶθ᾽ - οὕτως) καὶ μετὰ ταῦτα σφίγγουσιν αὐτὸν Mc. — [25] εἶθ᾽ Mc. — [26] καὶ ἐν λάκκω βαθυτάτῳ ἐν ᾧ τέλος ἐδέξατο *add.* Mc. — [27] ἀχθ. εἰς ἐ. ἐν ἀκ. σύρεται Mc. — [28] κοχλία Mc. — [29] φάρυγγος Mc. — [30] *om.* Mc. — [31] δεξάμενος *add.* Mc. — [32] Ἀβδιησώτου Mc. — [33] Π. μ. Mc. — [34] ἐξωνηθέντων Mc. — [35] Ἰωάννου Mc.

3. — [1] *om.* Mc *ad d. Martii 27.* — [2] τοῦ *add.* Mc. — [3] Κρονίδους Mc.

Κωνσταντίνου... Des. : τῷ δὲ ὑπασπιστῇ τῆς κακίας ἡ διὰ φλογὸς τιμωρία καὶ αἰωνίως αἰσχύνεσθαι. — 1. 4 : Εὐσταθίου ἐπισκόπου Κίου Βιθυνίας. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ ὁμολογητὴς Εὐστάθιος τὸν κόσμον ὥσπερ βαρὺ φορτίον ἐξ ἑαυτοῦ ἀποθέμενος γέγονε μοναχός... Ψήφῳ δὲ Θεοῦ ἀρχιεπίσκοπος Κίου γεγονὼς ἐκυβέρνα τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἐπὶ χρόνους ἱκανούς... Τοῦτόν τινες τῶν θεομάχων τῷ τότε δυσσεβῶς βασιλεύοντι καταμηνύσαντες, τί δεῖ καταλέγειν ἀπειλάς, ἐμπτυσμούς, φραγγελώσεις; τελευταῖον δὲ πάντων ῥοπάλοις ἀφειδῶς αὐτὸν τύψαντες διὰ τὴν προσκύνησιν καὶ τιμὴν τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἐξόριστον τῆς ἐπισκοπῆς πεποιήκασι. Καὶ οὕτως ἐν ἐξορίᾳ ἐπὶ χρόνους τινὰς διαρκέσας, θλιβόμενος, ὑστερούμενος, κακουχούμενος ἐν πείνῃ καὶ δίψῃ καὶ γυμνότητι, τῷ Θεῷ εὐχαριστῶν ἀπέπτη πρὸς τὰς αἰωνίους μονάς. — Ἰωάννου τοῦ ἐν τῷ φρέατι. Κατὰ τοὺς καιροὺς ἐκείνους ἦν τις γυνὴ πλουσία σφόδρα καὶ τὸν Θεὸν φοβουμένη. Αὕτη Ἰουλιανὴ καλουμένη καὶ νεωστὶ χηρεύσασα μετὰ δύο νηπίων Ἰωάννου καὶ Θεμιστίας, δόγματος δὲ ἐκπεμφθέντος κατὰ τῶν χριστιανῶν, λαβοῦσα τὰ δύο νήπια ἐν δωματίῳ τινὶ κατεκρύπτετο, ἀνατρέφουσα αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου καὶ γράμμασιν ἐκπαιδεύουσα. Κατὰ δὲ τὴν ὥραν τῆς εὐχῆς καταλιμπάνων ὁ παῖς τὴν μητέρα ἐν τῷ κυριακῷ μόνος ἀπήρχετο, καὶ προσευχόμενος ἐν κρυπτῷ ὑπέστρεφε· διὰ γὰρ τὸν φόβον πάντες οἱ χριστιανοὶ κατεκρύπτοντο. Κατὰ γοῦν τὸ εἰωθὸς ἀπελθόντος αὐτοῦ, εὗρεν αὐτόν τις τῶν φιλοθέων καὶ συνεβούλευσεν αὐτὸν μᾶλλον ἐν τῷ ὄρει ἀναδραμεῖν ἢ ἐκεῖσε ἀπερχόμενον ἐπιρρῖψαι ἑαυτὸν τοῖς βασανισταῖς. Ὁ δὲ λαβὼν τὴν συμβουλὴν λέγει τῇ μητρί· « Κυρία μου μήτηρ, εἴρηκέ » μοί τις τῶν φιλοθέων πρὸς αὐτὸν ἀπελθεῖν· ἐγὼ δὲ μᾶλλον μετὰ τῆς εὐχῆς σου ἔκρινα τοῦτο » ποιῆσαι. » Ἡ δὲ ἀπέλυσεν αὐτὸν δοκοῦσα τάχιον ὑποστρέψαι. Ἐκεῖνος δὲ ἀσπασάμενος τὴν μητέρα καὶ τὴν ἀδελφὴν ἀνῆλθεν εἰς τὴν ἔρημον πρὸς Αἰγύπτιόν τινα Φαρμουθέ· καὶ δεξάμενος τὰς εὐχὰς αὐτοῦ εἰσῆλθεν εἰς τὴν ἐσωτέραν ἔρημον. Καὶ εὑρὼν σπήλαιον μεμεστωμένον σκορπίων καὶ ὄφεων καὶ ἑρπετῶν παντοίων καὶ προσευξάμενος ἔρριψεν ἑαυτὸν ἄνωθεν κάτω. Ἄγγελος δὲ Κυρίου δεξάμενος αὐτὸν κατήγαγεν ἀβλαβῆ, εἴκοσι πήχεις ἔχοντος τοῦ σπηλαίου· καὶ ἐκτείνας τὰς χεῖρας σταυροειδῶς, ἔστη προσευξάμενος ἐπὶ ἡμέρας τεσσαράκοντα, μὴ φαγὼν μὴ πιὼν μὴ ὑπνώσας μηδοπωσοῦν τὰς χεῖρας καταγαγών. Καὶ τὰ μὲν θηρία καὶ ἑρπετὰ εὐθὺς ἀνεχώρησαν τοῦ σπηλαίου. Ἄγγελος δὲ ὁ τῷ Φαρμουθὲ κομίζων τὴν τροφὴν καθ᾽ ἑκάστην ἔφερε καὶ τῷ Ἰωάννῃ ἄρτον, καί φησι τῷ Φαρμουθέ· « Ἰδοὺ ὁ Κύριος ἀπέστειλέ σοι τὸν ἄρτον τοῦτον, ἵνα διακομίσῃς αὐτὸν τῷ ἀββᾷ Ἰωάννῃ τῷ ἐν τῷ » φρέατι. Διὰ γὰρ τὸ εἶναι αὐτὸν νέον τῇ ἡλικίᾳ, οὐκ ἠθέλησε δι᾽ ἀγγέλου δίδοσθαι αὐτῷ, ἵνα μὴ » φυσιωθῇ. » Ἀπελθόντος δὲ αὐτοῦ, ὁ[1] Φαρμουθὲ δέδωκεν αὐτῷ. Ὁ δὲ δεξάμενος καὶ τῷ Θεῷ εὐχαριστήσας ἔφαγε. Καὶ ἦν δοξάζων τὸν Θεὸν τὴν τροφὴν καθ᾽ ἑκάστην παρὰ τοῦ γέροντος κομιζόμενος ἐπί τινας χρόνους. Ὁ δὲ διάβολος μὴ φέρων ὁρᾶν τὰς κατὰ Θεὸν προκοπάς, μετασχηματισθεὶς εἰς ἕνα τῶν δούλων αὐτοῦ ἐλθὼν εἰς τὸν γέροντα ἠπάτησεν αὐτόν. Καὶ λαβὼν αὐτὸν ἔφερεν ἐν τῷ φρέατι ὑποτιθέμενον τῷ Ἰωάννῃ τὰ <μὴ[2]> καθήκοντα. Ὁ δὲ Ἰωάννης τὸν γέροντα διορθωσάμενος καὶ τὸν δαίμονα

[1] (αὐτοῦ ὁ) τοῦ Mc. — [2] *supplevi, om.* Mc.

Mart. 29. λεὺς μὴ δυνηθεὶς ἀντιστῆναι τῇ τοῦ μάρτυρος σοφίᾳ, παρέδωκεν αὐτὸν Ἀμφιλοχίῳ τῷ δουκί· ὃς αὐτίκα ξύλοις ἀναρτᾷ[4] ἀμφοτέρους καὶ εὐτόνως σπαθίζεσθαι[5] τὰ σώματα αὐτῶν προστάττει[6] καὶ τῇ εἱρκτῇ ἐναπορριφῆναι ἅμα Κρονίδῃ[7] κομενταρησίῳ πιστεύσαντι. Τῇ δὲ νυκτὶ ἐκείνῃ, ψαλλόντων αὐτῶν καὶ εὐχομένων, ἐγένετο αὐτοῖς[8] ἀγγέλων ἐπιστασία παραθαρρύνουσα[9] αὐτοὺς πρὸς τοὺς ἀγῶνας. Τῇ δὲ ἕωθεν παραστάντων τῶν ἁγίων ἔφη ὁ τύραννος· « Πολλαὶ ὑμῖν ἀπόκεινται[10] βάσανοι » καὶ τιμωρίαι· » καὶ εὐθέως ἐν λέβητι χαλκῷ ἐκπυρωθέντι[11] σφοδρῶς[12] ἐλαίου καὶ ῥητίνης μεστῷ βάλλονται· καὶ αὐτίκα ἐψυχράνθη ὁ λέβης. Τότε θαυμάσας ὁ δοὺξ ἐπὶ τῷ γεγονότι καὶ πιστεύσας εἰσῆλθε καὶ αὐτὸς εἰς τὸν λέβητα[13]· « Κύριε Ἰησοῦ » Χριστέ, ὁ Θεός[14], βοήθει μοι », προσειπὼν « τῷ » πολλὰ κακὰ διαπραξαμένῳ τοῖς δούλοις σου. » Καὶ ἦλθε[15] φωνὴ[16] πρὸς αὐτόν· « Ἤκουσα τῆς » δεήσεώς σου· ἀνάβαινε χαίρων εἰς οὐρα» νούς[17]. » Ταῦτα ἀκούσας ὁ βασιλεὺς καὶ[14] αἰσχυνθεὶς[14] ἀνέζευξεν ἀπὸ τῆς Ῥωμαίων καὶ κατέλαβε τὸ Ἰλλυρικόν, ἀπειλῆς γέμων καὶ θυμοῦ. Καὶ ἐκέλευσεν ἐν ἑπτὰ ἡμέραις[18] λέβητα ἐκκαῆναι μεμεστωμένον ἐλαίου καὶ βληθῆναι ἅπαντας ἐν αὐτῷ. Οὗ γενομένου ἀβλαβεῖς οἱ ἅγιοι ἐφυλάχθησαν καὶ πάλιν αἰσχυνθεὶς ὁ βασιλεὺς ὑπεχώρησε[19] τὴν ὁδὸν αὐτοῦ. Οἱ δὲ ἅγιοι μάρτυρες εὐξάμενοι καὶ[20] εὐχαριστήσαντες ἀπέδωκαν τὰς ἁγίας[14] ψυχὰς αὐτῶν τῷ Κυρίῳ, τοὺς στεφάνους τῆς μαρτυρίας ἀναδησάμενοι.

4. | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐσταθίου ἐπισκόπου Βιθυνίας. f. 187.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

Mart. 30. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ συγγραφέως[1] τῆς Κλίμακος. Οὗτος ἑξκαίδεκα χρόνων ὑπάρχων καὶ ἀγχίνους ὢν[2] τῇ ἐγκυκλίῳ σοφίᾳ[3] προσαγήοχεν ἑαυτὸν τῷ Θεῷ θῦμα ἱερώτατον[2] ἐν τῷ Σιναίῳ ὄρει ἀνελθὼν καὶ ἐν ὑποταγῇ διάγων[4]· εἶτα μετὰ ἐννεακαιδέκατον χρόνον ἀναστὰς ἔρχεται ἐπὶ τὸ τῆς ἡσυχίας[5] στάδιον, ἀπὸ σημείων πέντε τοῦ κυριακοῦ τὴν τῆς παλαίστρας μονίαν εἰληφώς[6], Θωλᾶς[7] ὄνομα τῷ χώρῳ. Τεσσαράκοντα δὲ ἔτη διαπεράνας ἐν διακαεῖ[8] ἔρωτι καὶ πυρὶ θείας ἀγάπης ἀεὶ πυρπολούμενος, ἤσθιε μὲν ἐκ πάντων ἃ ἀμέμπτως ἐφεῖται τῷ ἐπαγγέλματι· βραχὺ δὲ λίαν, καὶ ἐν τούτῳ, οἶμαι, τὸ τοῦ τύφου κέρας κλῶν πανσόφως. Ἀλλὰ τὴν τῶν δακρύων ἐκείνου πηγὴν τίς ἐξείπῃ λόγος[9]; Ὕπνου δὲ τοσούτου[10] μετελάμβανεν, ὅσον τὴν τοῦ νοὸς

— [4] ἀναντᾶ S. — [5] μαστίζεσθαι Mc. — [6] προστάσσει Mc. — [7] τῷ *add.* Mc. — [8] αὐτῷ S. — [9] παραθαρύνουσα Mc. — [10] ἐπίκεινται Mc. — [11] ἐκπυρρωθέντι S. — [12] σφ. ἐκ. Mc. — [13] καὶ *add.* Mc. — [14] *om.* Mc. — [15] (τῷ - ἦλθε) *om.* Mc. — [16] ἐγένετο *add.* Mc. — [17] (ἤκουσα - οὐρανούς) εἰσηκούσθης ἀνάβαινε ὧδε Mc. — [18] ἐπὶ ἑπτὰ ἡμέρας Mc. — [19] (οἱ - ὑπεχώρησε) διεφυλάχθησαν ὁ δὲ β. αἰσχύνης πλησθεὶς ὑπέστρεψε Mc. — [20] τῷ Θεῷ Mc.
1. — [1] *om.* Mc. — [2] καὶ *add.* Mc. — [3] ἐγγεγυμνασμένος *add. supra lin.* Mc. — [4] διῆγεν Mc. — [5] νηστείας Mc. — [6] τῇ... μονῇ ἀνειληφὼς Mc. — [7] Θολᾶς Mc. — [8] τῷ *add.* Mc. — [9] τίς ἂν λόγος ἐξείποι Mc. — [10] τοσοῦτον Mc.

Mart. 29. καταισχύνας ἀπεπέμψατο. Τότε πάλιν πλῆθος δαιμόνων συναγαγὼν ὁ διάβολος μετεσχημάτισεν αὐτοὺς ἔν τε τῷ τῆς μητρὸς σχήματι τῷ <τε[3]> τῆς ἀδελφῆς, φίλων, συγγενῶν, δούλων, δουλίδων καὶ ἑτέρων γνωστῶν· καὶ ἦλθον πάντες ἐν τῷ φρέατι ὀλοφυρόμενοι καὶ παρακαλοῦντες θεάσασθαι αὐτὸν ἢ κἂν λόγον μεταδοῦναι αὐτοῖς. Τοῦ δὲ ἁγίου κάτωθεν προσευχομένου καὶ λόγον αὐτοῖς τὸ σύνολον μὴ ποιοῦντος, ἄφαντοι γεγόνασι. Πληρώσαντος δὲ αὐτοῦ ἐν τῷ φρέατι χρόνους δέκα, καὶ πᾶσαν ἄσκησιν κατορθώσαντος καὶ τῷ Θεῷ γνησίως ἀρέσαντος, Χρύσιός τις μοναχὸς τριακονταετῆ χρόνον τελέσας ἐν τῇ ἐρήμῳ ὑπὸ θείου ἀγγέλου ὁδηγηθείς, ἀφίκετο κηδεῦσαι τὸν Ἰωάννην· καὶ τρεῖς ἡμέρας ἔξωθεν τοῦ σπηλαίου διατελέσας, παρεκάλει αὐτὸν ὁρκίσας κατὰ τῆς δυνάμεως τοῦ Θεοῦ μηδέν τι τῶν κατ' αὐτὸν ἀποκρύψαι, ἀλλ' ἐξειπεῖν ὡς ἔδοξε τῷ Θεῷ. Διὸ καὶ γέγονέ τι παραδοξότατον σημεῖον πᾶσαν ἐκπλῆττον ἀκοὴν καὶ ὅρασιν. Ὑψωθείσης γὰρ αὐτομάτως τῆς γῆς ἐκ τοῦ πυθμένος τοῦ λάκκου τῶν εἴκοσι πήχεων, συνῆλθον ἀμφότεροι. Καὶ ἐπεὶ τὸν τοῦ μοναχοῦ Χρυσίου ὅρκον οὐκ ἔδει παραλογίσασθαι, διηγησάμενος πάντα τὰ κατ' αὐτὸν φιλήματί τε ἁγίῳ κατασπασάμενος καὶ συνταξάμενος ὁ Ἰωάννης πρὸς Κύριον ἐξεδήμησε. Τότε ὁ Χρύσιος ἐπιθεὶς τὸ παλλίον αὐτοῦ τῷ Ἰωάννῃ καὶ τὴν παρακειμένην πλάκα τῷ στόματι τοῦ φρέατος καὶ τοὺς συνήθεις ψαλμοὺς ψάλλων ἐφύτευσεν ἐν ἐκείνῳ τῷ τόπῳ φοίνικα. Καὶ εὐθέως ὁ φοῖνιξ ῥιζωθεὶς καὶ αὐξήσας καὶ εἰς τέλειον δένδρον ἀποκαταστὰς καὶ ἀνθήσας γέγονε πλήρης καρπῶν. Καὶ τοῦτο ἰδὼν ὁ γέρων εὐχαριστίαν δέδωκε τῷ Θεῷ, λέγων ὅτι· « Τοὺς » ἀγαπῶντας καὶ εὐαρεστήσαντάς σοι οὕτως οἶδας δοξάζειν, καὶ τῆς βασιλείας σου κληρονόμους » ποιεῖν. » Καὶ ὡς ταῦτα διελογίζετο προσευχόμενος, ἁρπάσαν αὐτὸν τὸ πνεῦμα ἤγαγεν ἐν ᾧ τόπῳ διῆγε, καὶ προσκαλεσάμενος ἄνδρα εὐλαβῆ, ἅπερ εἶδε καὶ ἤκουσεν ἠξίωσε συγγράψασθαι. — Σωσθένους κτλ. — **Mv** : Μάρκου, Κυρίλλου κτλ. — 1. 4. — Σωσθένους κτλ. — **Mr** : Μάρκου, Κυρίλλου κτλ. — 1.

Mart. 30. SYNAXARIA SELECTA. **H** : Ἀκακίου (Mart. 27[7]). — Μάρκου Ἀρεθουσιῶν καὶ Κυρίλλου (Mart. 28[1]). — Κυριακοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Oct. 30[4]). — **P** : Ἀκακίου. — Μάρκου καὶ Κυρίλλου. — Κυριακοῦ. — 1. — **D** : Ἀκακίου. — 1. — Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυριακοῦ ἀρχιεπισκόπου. — **Da** : 1. — Ἀκακίου. — Ἰωάννου πατριάρχου Ἱεροσολύμων (Mart. 29[2]). — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : Μάρκου ... Κυρίλλου. — 1. — Τριάκοντα ὀκτὼ μαρτύρων (Mart. 31[4]). — Ἰωδάδ (Mart. 31[2]). — **Bc** : Μάρκου ... Κυρίλλου. — 1. — Τριάκοντα ὀκτὼ μαρτύρων. — Ἰωδάδ. — Ἰωάννου πατριάρχου Ἱεροσολύμων. — **C** : Ἀκακίου. — Μάρκου. — Κυρίλλου. — 1. — Τῶν ἁγίων λη' μαρτύ-

— [3] *supplevi, om.* Mc.

οὐσίαν τῇ ἀγρυπνίᾳ μὴ λυμήνασθαι· ὁ δὲ δρόμος αὐτοῦ προσευχὴ[11] ἦν ἀένναος καὶ πρὸς Θεὸν ἔρως ἀνείκαστος. Οὕτως οὖν τὴν[12] πᾶσαν ἀρετὴν ἐξασκήσας καὶ καλῶς πολιτευσάμενος, μεγίστων θεωριῶν γενόμενος ἀνάπλεως[13] καὶ τὸν μαθητὴν ὑπνοῦντα ἔν τινι τόπῳ ὑποκάτω πέτρας μεγίστης καὶ μέλλοντα ὑπ' αὐτῆς πιπτούσης ἤδη εἰς μέρη καὶ μέρη διαλυθῆναι[14], ἐν τῷ κελλίῳ ὢν καὶ θείῳ πνεύματι προγνούς[15], τοῦ τοιούτου θανάτου ἐρρύσατο ἐπιφανεὶς αὐτῷ καθ' ὕπνους καὶ διαναστήσας οὗ ἔμελλε παθεῖν πτώματος. Εἰς τοῦτο[16] οὖν ἀρετῆς ἀφικόμενος καὶ ἡγούμενος τοῦ ἁγίου ὄρους Σινᾶ χρηματίσας, κατέλιπε τὴν ἐπίκηρον ζωὴν καὶ πρὸς τὴν ἀΐδιον μετετέθη ἀνάπαυσιν, πρότερον σχεδιάσας τὴν πάνσοφον καὶ ψυχωφελῆ[17] βίβλον τῆς Κλίμακος[18] τῶν θείων καὶ πνευματικῶν ἀναβάσεων[19]. Mart. 30.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοφίλου καὶ τῶν σὺν αὐτῷ.

2. Καὶ τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ δικαίου[1] προφήτου Ἰωάδ. Οὗτος ἦν ἐκ τῆς Σαμαρείας· ὃν ἐπάταξεν ὁ λέων καὶ ἀπέθανεν, ὅτε ἀπεστάλη καὶ ἤλεγξε τὸν Ἱεροβοὰμ ἐπὶ[2] ταῖς δαμάλεσι. Προσέταξε γὰρ[3] αὐτῷ[4] ὁ Θεὸς ἀπελθεῖν μὲν[4] καὶ ἐλέγξαι, μὴ φαγεῖν δὲ ἄρτον μηδὲ[5] πιεῖν ὕδωρ, ἀλλ' ὑποστρέψαι ταχέως. Ἀπελθὼν δὲ καὶ εὑρὼν τὸν Ἱεροβοὰμ θύοντα ἐπεκάλεσεν[6] ἐν λόγῳ Κυρίου καὶ εἶπε· « Θυσιαστήριον, τάδε λέγει Κύριος· ἰδοὺ υἱὸς
III Reg. 13, 2. » τίκτεται τῷ οἴκῳ Ἰούδα, Ἰωσίας ὄνομα αὐτῷ· » καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν τού» των[7]. » Καὶ ἐκτείνας Ἱεροβοὰμ τὴν χεῖρα κρατῆσαι αὐτόν[8], ἐξηράνθη ἡ χεὶρ αὐτοῦ[9]. Καὶ παρακαλέσαντος | τοῦ Ἱεροβοὰμ καὶ τοῦ προφήτου δεηθέντος, ἀπεκατέστη[10] ἡ χεὶρ αὐτοῦ καθὼς τὸ πρότερον. Ὁ δὲ προφήτης ὑποστρέφων παρεπείσθη παρὰ ψευδοπροφήτου[11] συμφαγεῖν αὐτῷ ἄρτον. Καὶ διὰ τὴν παρακοὴν συνεχώρησεν αὐτῷ ὁ Θεὸς παταχθῆναι μὲν[12] καὶ ἀποκτανθῆναι ὑπὸ θηρίου[13] λέοντος, μὴ βρωθῆναι δέ· ἐτάφη γὰρ ἐν Βεθὴλ[14] ἐγγὺς τοῦ ψευδοπροφήτου Ἐνβὲ[15] τοῦ πλανήσαντος αὐτόν[4]. Mart. 31. f. 187v.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀβδᾶ ἐπισκόπου καὶ Βενιαμὶν διακόνου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ ἐν Περσίδι. Καὶ ἐπεὶ κατέλυσε τὸν ναὸν τοῦ πυρός,

— [11] πηγὴ προσευχῆς Mc. — [12] οὗτος τοίνυν Mc. — [13] (μεγίστων - ἀνάπλεως) *om.* Mc. — [14] (ἤδη - διαλυθῆναι) ἀναιρεθῆναι Mc. — [15] γνοὺς Mc. — [16] ἐν τούτῳ Mc. — [17] κ. ψ. *om.* Mc. — [18] τ. κ. *om.* Mc. — [19] ἥτις καὶ κλίμαξ ἐπονομάζεται Mc.
1. — [1] ἁγίου Mc. — [2] ἐν Mc. — [3] μὲν οὖν Mc. — [4] *om.* Mc. — [5] μὴ Mc. — [6] ἀπεκάλεσεν Mc. — [7] τόπων Mc. — [8] παρευθὺ *add.* Mc. — [9] ἡ χ. α. *om.* Mc. — [10] ἀποκατέστη Mc. — [11] τινος *add.* Mc. — [12] παρεχώρησεν ὁ Θ. π. μ. αὐτὸν Mc. — [13] θηρὸς Mc. — [14] καὶ ἐτάφη ἐν Βεθλεὲμ Mc. — [15] Ἐμβὲμ τοῦ καὶ τοῦτον Mc.

ρων. — Κυριακοῦ ἀρχιεπισκόπου. — **Cd** : Ἀκακίου. — Ἰωάννου Ἱεροσολύμων. — Μάρκου. — Κυρίλλου. — 1. — Τῶν ἁγίων λη' μαρτύρων. — Κυριακοῦ. — **Ce** : Ἀκακίου. — Μάρκου. — Κυρίλλου. — 1. — **Cg** : Ἀκακίου. — Μάρκου. — Κυρίλλου. — 1. — **R** : 1. — **Ra** : 1. — Ἀβδᾶ καὶ Βενιαμίν (Mart. 31[3]). — Τῶν ἁγίων τριάκοντα καὶ ὀκτὼ μαρτύρων. — Μενάνδρου (Mart. 31[5]). — Ἰωάβ (Mart. 31[2]). — Ἱλαρίωνος ἡγουμένου τῆς Πελεκητῆς (Mart. 27[4]). — Τοῦ ἁγίου ἀποστόλου Ῥοδίωνος. — **Rb** : deest. — **Rc** : Ὑπατίου ἐπισκόπου Γάγγρας (Nov. 14[2]). — Ἰακώβου υἱοῦ Ζεβεδαίου (Nov. 15[2]). — **Mc** : 1. — Κυριακὸς πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος Ἰωάννης πατριάρχης Ἱεροσολύμων ἐν εἰρήνῃ τ. — Ἡ ἁγία Εὐβούλη ἡ μήτηρ τοῦ ἁγίου Παντελεήμονος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Ἰωάδ (Mart. 31[2]). — Ζωσίμου ἐπισκόπου Συρακούσης (Ian. 21[3]). — Ἰωάννου τοῦ ἐν τῷ φρέατι. — Εὐσταθίου Βιθυνίας (Mart. 29[4]). — Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο' Σωσθένους, Ἀπολλῶ, Κηφᾶ, Καίσαρος καὶ Ἐπαφροδίτου (Dec. 8[3]). — Εὐβούλη ἡ μήτηρ τοῦ ἁγίου Παντελεήμονος ἐν εἰρήνῃ τ. — **Mr** : Μάρκου ... Κυρίλλου (Mart. 28[1]). Mart. 30.

Mart. 31. SYNAXARIA SELECTA. **H** : 3. 4. 5. 2. — **P** : 3. 4. — **D** : 3 : Ἀβδᾶ ἐπισκόπου καὶ Βενιαμὶν διακόνου. Ὁ ὅσιος ἐπίσκοπος Ἀβδᾶς θείῳ ζήλῳ διαθερμανθεὶς βασιλεύοντος Ἰσδιγέρδου[1] Περσῶν, Ῥωμαίων δὲ Θεοδοσίου τοῦ μικροῦ, πυρεῖον κατέλυσεν· πυρεῖα δὲ καλοῦσιν οἱ Πέρσαι τοὺς ναοὺς τοῦ πυρός, Θεὸν γὰρ τὸ πῦρ ὑπειλήφασιν. Εἰς ἀνάγκην δὲ καταστὰς ἢ τὸ πυρεῖον οἰκοδομῆσαι ἢ τὰς τῶν χριστιανῶν ἐκκλησίας καθαιρεθῆναι, αὐτὸς[2] ἐξ ἀνθρώπων γενέσθαι μᾶλλον[3] εἵλετο ἢ τὸ καταστραφὲν ἀναδείμασθαι, διὰ μὲν τῆς κατασκαφῆς τοῦ πυρείου τὸν διάπυρον αὐτοῦ ζῆλον, ὃν ἐκέκτητο πρὸς Θεόν, φανερὸν καθιστῶν, οἷς ἑώρα ἀντὶ τοῦ κτίστου τὰ κτίσματα σεβόμενα, τῷ δὲ τὸν θάνατον ἑλέσθαι τὸ τῆς ψυχῆς γενναῖον ἐπιδεικνύς· ἐντεῦθεν αὐτός τε διεχειρίσθη καὶ ὁ κατὰ τῶν χριστιανῶν ἤρξατο πόλεμος ἐπὶ τριάκοντα χρόνοις παραταθείς. Ἐν οἷς πολλῶν μὲν αἱ χεῖρες ἐτμήθησαν, πολλῶν δὲ τὰ ὦτα, ἄλλων δὲ αἱ κεφαλαὶ γυμναὶ τοῦ δέρματος μέχρι τῶν γενείων κατέστησαν· οἱ δὲ διαθλασθέντας καλάμους καὶ συσφιχθέντες ἐντὸς τοῦ σώματος διαδύντας ἐδέξαντο· εἶτα σχοινίοις εἱληθέντες καθ' ὅλου τοῦ σώματος ἀσφαλῶς, πικροτάτας ὑπέστησαν ἀλγηδόνας, τῶν καλάμων βίᾳ ἐξελκομένων. Πολλοὶ δὲ δεσμευθέντες χεῖρας καὶ πόδας ἐν βαθυτάτοις ἐρρίφησαν λάκκοις, ἐν οἷς μυῶν ἀγέλαι καὶ γαλῶν ἐναπεκλείσθησαν, τῆς εἰσόδου τῶν λάκκων ἀκριβῶς διησφαλισμένης. Καὶ συνέβαινε τῶν ἀθλητῶν τοὺς μῦς ἀπογεύεσθαι, μᾶλλον δὲ δαψιλῶς ἐμφορεῖσθαι ἀπορουμένης τροφῆς. Τοῦτο δὲ μακρὸν ὁμοῦ καὶ ὀδυνηρὸν ἐνεποίει τὸν θάνατον, δαπανωμένων κατὰ μικρόν. Καὶ ἄλλα δὲ εἰς ἔκπληξιν ἅμα καὶ τιμωρίαν ἐπενοήθη, δι' ὧν οὐκ ὀλίγοι κατὰ τῆς ἕδρας καὶ τῶν παιδογόνων μορίων εἰσωθήσεις καλάμων

[1] *corr., prius* Ἰδιγέρδου D. — [2] |||||| αὐτὸς D — [3] |||||| μᾶλλον D.

Mart. 31. ἐκρατήθη καὶ προσήχθη τῷ βασιλεῖ. Καὶ πρῶτον μὲν μετὰ πραότητος παρεκάλει αὐτὸν ἀνοικοδομῆσαι τὸν ναόν. Τοῦ δὲ ἀδύνατον εἶναι λέγοντος πάσας τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀποστείλας κατέστρεψε. Καὶ λαβόντος ἀρχὴν τοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ, πᾶσα ἡλικία διαφόροις τιμωρίαις ἐξεθερίζετο, ὧν πρῶτος μετὰ πολλὰς καὶ διαφόρους βασάνους ξίφει ἐτελειώθη ὁ ἱερώτατος Ἀβδᾶς. Ἔπειτα ἐν τριάκοντα ἔτεσι πολλοὶ μάρτυρες ἀπεδείχθησαν, ἐξ ὧν ἐστι καὶ Βενιαμὶν διάκονος. Ὃς καλάμους ὀξεῖς εἴκοσιν κατὰ τῶν χειρῶν καὶ τῶν ποδῶν δεξάμενος καὶ ἕτερον κάλαμον κατὰ τοῦ παιδογόνου μορίου, καὶ ῥάβδον παχεῖαν κλάδους μᾶλλον δὲ ὄζους ἔχουσαν πανταχόθεν κατὰ τῆς ἕδρας ἐνέβαλεν. Αὐτὸς δὲ γενναίως ταῦτα ὑπομείνας, εἴληφεν τοὺς τῆς ἀθλήσεως στεφάνους ἐν οὐρανοῖς ἐν Θεῷ· ἀμήν.

4. Τῇ [1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων λη´ μαρτύρων.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Μενάνδρου.

6. Καὶ τοῦ ὁσίου Στεφάνου τοῦ θαυματουργοῦ.

7. Καὶ τοῦ ὁσίου Βλασίου, τοῦ ἐκ πόλεως Ἀμορίου τὴν γέννησιν ἔχοντος.

4. — [1] *haec et reliqua litteris minutis in marg. add.* S.

Mart. 31. καὶ ῥάβδων ὑποστάντες πρὸς [4] τὴν ἀνώδυνον ζωὴν μετετάξαντο. Ὧν ἐστιν εἷς καὶ ὁ μακάριος διάκονος Βενιαμὶν κατὰ τῶν ὀνύχων εἴκοσι καλάμους ὀξεῖς ἐμπαγεὶς καὶ κατὰ τῶν φυσικῶν καὶ ἀναγκαίων μορίων τοῦ σώματος. — 4. 5. 2. — **Da** : 6. 1. 3 (καὶ ἄθλησις Βενιαμίν). — **Db** : Ἀκακίου ἐπισκόπου Μελιτηνῆς (Mart. 27[7]). — Ἰωάννου πατριάρχου Ἱεροσολύμων (Mart. 29[2]). — 6. 1. 3 (καὶ Ἀθηναίου Βενιαμήν). — **K** : Ἀκακίου. — Ἰωάννου ἐπισκόπου Ἱεροσολύμων. — 6. 1. 3 (Βενιαμίν solius). — **N** : 3. 2. 1. 5. 6. — **Bb** : 3. — **Bc** : 3. — **C** : 3. 5. 2. — **Cd** : 3. 5. 2. — **Ce** : 3. 5. 2. — **Cg** : 3. 5. 2. — **R** : 1. 2. — Τῶν ἁγίων μαρτύρων Ἰωνᾶ καὶ Βαραχισίου καὶ τοῦ ἁγίου ἱερομάρτυρος καὶ ὁμολογητοῦ Ἀκακίου Μελιτηνῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ (cf. Mart. 27[7], Mart. 29[1]). — Κυριακοῦ τοῦ φανερώσαντος τὸν τίμιον σταυρόν, τοῦ Ἰούδα ὀνομαζομένου τὸ πρότερον. — **Ra** : 1. — Σαβίνου (Mart. 12[3]). — Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. — **Rb** : deest. — **Rc** : 1. — Τῶν ἁγίων Μαχθησοί, Ἠσακίου καὶ Συμεῶνος (Mai 15[5]). — Ἡρακλείου, Παυλίνου καὶ Βενεδίμου (Mai 15[6]). — Ὁσίου ἐπισκόπου Κουδρούβης τῆς κατὰ Ἱσπανίαν (Aug. 27[3]). — Λιβερίου ἀρχιεπισκόπου Ῥώμης τοῦ ὁμολογητοῦ (Aug. 27[2]). — **Mc** : Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. — 2. — **Mv** : Ὑπατίου ἐπισκόπου Γαγγρῶν (Nov. 14[2]). — Ἀκακίου. — 3. — Καὶ ἕτεροι ἅγιοι πολλοὶ εἰς φυλακὴν βληθέντες καὶ ὑπὸ μυῶν καὶ γαλῶν συγκλεισθέντων αὐτοῖς βιβρωσκόμενοι ἐτελειώθησαν. — **Mr** : Ὑπατίου ἐπισκόπου Γαγγρῶν.

— [4] πάντα *corr. supra lin.* D.

ΜΗΝ ΑΠΡΙΛΛΙΟΣ

ἡμέρας ἔχει λ′, ἡ ἡμέρα ἔχει ὥρας ιγ′ καὶ ἡ νὺξ ὥρας ια′.

ΠΡΩΤΗ.

April. 1. **1.** Μνήμη τῆς ὁσίας [1] Μαρίας τῆς Αἰγυπτίας. Αὕτη ἐξ Αἰγύπτου ἦν [2], ἐν ἀκολασίᾳ δὲ [3] τὸ πρότερον ζήσασα καὶ πολλῶν ἀνθρώπων ψυχὰς διὰ τῆς κατὰ μίξιν ἡδονῆς πρὸς ὄλεθρον ἐκκαλεσαμένη [4] καὶ ἐπὶ χρόνοις δεκαεπτὰ τῇ ἀσελγείᾳ προσμείνασα διὰ τὸ εὐθὺς ἐκ παίδων πρὸς τὴν πονηρὰν πρᾶξιν ἐξολισθῆσαι [5], ὕστερον ἐπέδωκεν ἑαυτὴν πρὸς ἄκραν ἐγκράτειαν καὶ ἀρετήν [6]· καὶ τοσοῦτον ὑψώθη δι' ἀπαθείας, ὡς καὶ τοῖς ὕδασιν ἐπιβαίνειν καὶ πεζῇ διαπερᾶν, καὶ ἐν τῷ προσεύχεσθαι μετάρσιος φαίνεσθαι ἄνω εἰς τὸν ἀέρα ἱπταμένη [7]. Ἡ δὲ αἰτία τῆς μεταβολῆς ἐστιν αὕτη. Κατὰ τὸν καιρὸν τῆς τοῦ τιμίου ξύλου ὑψώσεως, πολλῶν ἁπανταχόθεν συντρεχόντων ἐν τοῖς Ἱεροσολύμοις, ἀκολάστοις νέοις καὶ αὕτη | συνεξωρμήθη. Κατὰ τὸν τόπον δὲ γενομένη [8] καὶ ἀοράτως τῆς τῶν σεπτῶν εἰσόδου καὶ ἐποπτείας κωλυομένη, τὴν Θεομήτορα παρθένον ἐγγυητὴν ἔθετο, εἰ τὴν εἴσοδον συγχωρηθείη, σωφροσύνην μὲν ἀνελέσθαι [9], μηκέτι δὲ βίῳ πονηρῷ καὶ ταῖς σαρκικαῖς δουλεύειν ἡδοναῖς καὶ ἐπιθυμίαις. Καὶ μέντοι τῆς εὐχῆς τυχοῦσα τὴν ὑπόσχεσιν [10] οὐκ ἐψεύσατο· ἀλλὰ περαιωθεῖσα τὸν Ἰορδάνην καὶ γενομένη κατὰ τὴν ἔρημον, ἐπὶ χρόνοις τεσσαράκοντα ἑπτὰ ἠγωνίσατο· καὶ [3] μηδένα μὲν [11] ἀνθρώπων τὸν <δὲ [12]> Θεὸν μόνον ἔχουσα θεατήν [13], τῆς ἀνθρωπίνης φύσεως ἀπανέστη [14], τὴν δὲ [3] ἀγγελικὴν ἐπὶ γῆς ἀγωγὴν καὶ πολιτείαν ἀνεκτήσατο [15]. Ὕστερον δὲ κατὰ θείαν πρόνοιαν ὤφθη Ζωσιμᾷ τῷ ἁγίῳ γέροντι εἰς τὰ ἐνδότερα τῆς ἐρήμου ἐκβαθύναντι· καὶ συντυχοῦσα καὶ τὰ κατ' αὐτὴν διηγησαμένη καὶ εἰς τὸν ἐπιόντα χρόνον τὸν Ἰορδάνην πεζῇ

f. 188.

1. — [1] μητρὸς ἡμῶν *add.* Mc. — [2] ἦν ἐξ A. Mc. — [3] *om.* Mc. — [4] ἐκκαλουμένη Mc. — [5] ἐξ. πρᾶξιν Mc. — [6] ἑαυτὴν ἐγκρατείᾳ καὶ ἀρετῇ Mc. — [7] (πεζῇ - ἱπταμένη) κατὰ γῆν εὐχομένην μετάρσιον αἴρεσθαι Mc. — [8] γενομένοι S. — [9] ἑλέσθαι Mc. — [10] ἐπαγγελίαν Mc. — [11] τῶν *add.* Mc. — [12] Mc, *om.* S. — [13] θ. ἔχουσα Mc. — [14] καὶ *add.* Mc. — [15] ἐκτήσατο *et hic des.* Mc.

April. 1. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — Τίτου (April. 2[1]). — Πολυκάρπου (April. 2[3]). — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Μακαρίου ἡγουμένου τῆς Πελεκητῆς. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Μακάριος ἐν Κωνσταντινουπόλει γεννηθεὶς καὶ νήπιος ἀπορφανισθεὶς ἀνάγεται παρὰ γνησίου αὐτοῦ θείου. Παραδοθεὶς δὲ εἰς τὴν τῶν ἱερῶν γραμμάτων παιδείαν, δεξιᾶς φύσεως ὢν καὶ ἐπιμέλειαν πολλὴν ἐπιδειξάμενος, συντόμως τὸ πᾶν τῆς γραφῆς διεξιὼν ἐπέγνω τὴν τῶν ἐπικήρων εὐτέλειαν καὶ ταχεῖαν φθορὰν καὶ τῶν οὐρανίων τὴν ἀϊδιότητα. Τούτου χάριν τῆς πόλεως ἐξιὼν κατήντησεν εἰς μοναστήριον Πελεκητὴν οὕτω προσαγορευόμενον· καὶ καταμίξας ἑαυτὸν τοῖς ἐκεῖσε μοναχοῖς, τὸ Χριστοφόρος ἀποβαλών, Μακάριος παρ' αὐτῶν ἐκεῖσε μετονομάζεται. Οὗτος μικροῦ δεῖν ἐν πάσαις ταῖς τοῦ κοινοβίου διακονίαις ὑπηρετήσας καὶ τὰς ἀρετὰς κατορθώσας ἐπὶ πολλῇ ταπεινώσει, γέγονεν ἀρχηγὸς ὁμοῦ τε καὶ θαυματουργὸς ἐξαίσιος· καὶ γὰρ ἀνίατα πάθη ἐθεράπευσεν ὁ Θεὸς δι' αὐτοῦ, καὶ ὑετὸν ἐξ οὐρανοῦ ἐπὶ γῆς δι' εὐχῆς κατήγαγε· καὶ μεγάλου καὶ ἐξακούστου γεγονότος ἐν ταῖς ἡμέραις ἐκείναις, πολὺ πλῆθος συνέρρεε πρὸς αὐτόν, οἱ μὲν ψυχικὰ ἐγκλήματα δι' αὐτοῦ ἀποσμηχόμενοι, οἱ δὲ σωματικῆς θεραπείας ἀπολαύοντες· ἕτεροι δὲ ψυχικῶς ὁμοῦ καὶ σωματικῶς ῥωννύμενοι ἐπορεύοντο οἴκαδε. Τῆς φήμης δὲ ταύτης Ταράσιος ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως κατήκοος γεγονώς, διὰ τὸν πατρίκιον αὐτὸν μετεστείλατο Παῦλον, πάλαι μὲν παρ' αὐτοῦ ἀπηγορευμένῃ νόσῳ κατεσχημένον [1] θεραπευθέντα, τότε δὲ τῆς συμβίου αὐτοῦ ὁμοίως παρὰ τῶν ἰατρῶν ἀπαγορευθείσης, παρ' αὐτοῦ δὲ ἀναρρωσθείσης. Τοῦτον οὖν εὐλογήσας ἱερουργὸν Κυρίου πεποίηκε, παρακοὴν γὰρ οὐκ ἐνόσει ὡς οἱ πολλοί, ἀλλ' ὑπακοὴν ἐπετήδευεν ὡς εἰς ζωὴν ἄγουσαν. Ἀπελθόντος δὲ πρὸς τὴν μονὴν αὐτοῦ, τὴν ταπείνωσιν ἣν εἶχε πολλαπλάσιον εἰργάσατο. Τότε ὁ σκανδαλουργὸς διάβολος βασιλέα τύραννον εἰς τὸ Βυζάντιον ἐμφυτεύσας, τὰς σεβασμίους εἰκόνας πυρὶ καὶ ὕδατι παρεδίδου· Λέων ἦν ὁ Ἀρμένιος οὗτος, ὃς τὸν ἁγιώτατον πατριάρχην Νικηφόρον ἐξορίᾳ παρέπεμψε, τοὺς ἀρχιερεῖς καὶ ἀρχιμανδρίτας ἐξορίαις τε καὶ φυλακαῖς καὶ δειναῖς κατῄκιζε μάστιξι. Τότε καὶ ὁ θαυμάσιος οὗτος ἀνὴρ εἷς ἦν ἐκ τῶν μνημονευθέντων ἁγίων πατέρων, ποικίλως βασανισθεὶς καὶ ἐν

[1] κατισχημένον Mc.

APRIL. 1.

διαπεραιώσασα καὶ τῶν θείων μυστηρίων παρὰ τοῦ ἁγίου Ζωσιμᾶ μεταλαβοῦσα, εἶτα εἰς τὸν ἑαυτῆς ὑποστρέψασα τόπον αὐθωρόν, ἐν ᾧ τὸν Ζωσιμᾶν συνέτυχεν, ἐκοιμήθη. Εἰς δὲ τὸν ἐπιόντα ἐνιαυτὸν ὁ Ζωσιμᾶς καταλαβὼν τὴν ἔρημον καὶ ἀπελθὼν εὗρε τὸ αὐτῆς[16] λείψανον <καὶ[17]> ἔθαψε, λέοντος τοῦ θηρὸς τοῖς ἐμπροσθίοις ποσὶ τὸν τῆς μακαρίας τάφον ὀρύξαντος προνοίᾳ Θεοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

APRIL. 2.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τίτου.

2. Καὶ ἄθλησις τοῦ ἁγίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ θαυματουργοῦ.

3. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πολυκάρπου καὶ τῆς συνοδίας αὐτοῦ.

4. Καὶ τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Ἀμφιανοῦ καὶ Αἰδεσίου τῶν αὐταδέλφων[1]. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους[2] Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ μητρὸς ἀδελφοὶ ἐκ χώρας Λυδίας[3]· κατὰ δὲ Βηρυτὸν[4] γενόμενοι[5] ὑπὸ τοῦ μάρτυρος Παμφίλου παιδαγωγηθέντες πρὸς[6] τὴν εὐσέβειαν, τῷ ἄρχοντι παρέστησαν Οὐρβανῷ. Ὧν Ἀμφιανὸς πρῶτος κηρύξας[7] τὸν Χριστὸν παρρησίᾳ, πληγαῖς[6] κατὰ τοῦ προσώπου τύπτεται καὶ τοῖς τῶν στρατιωτῶν ποσὶ λακτίζεται καὶ ἐλαίῳ χρισθεὶς τοὺς πόδας πυρὶ καταφλέγεται. Κα ἀναρτηθεὶς ὡράθη ὅλος[8] διῳδηκὼς καὶ ὑπὸ τῶν λακτισμάτων τὰς πλευρὰς διερρωγὼς καὶ τῷ πυρὶ τὰς τῶν ποδῶν σάρκας δαπανηθείς· ἐπιμένων δὲ τῇ εἰς Χριστὸν ὁμολογίᾳ, τῷ βυθῷ τῆς θαλάσσης ἐκδίδοται καὶ ἐν αὐτῷ τελειοῦται. Ὁ δὲ Αἰδέσιος ἐπέμφθη εἰς Ἀλεξάνδρειαν τὴν[9] κατ' Αἴγυπτον τοῖς τοῦ χαλκοῦ μετάλλοις[10] ταλαιπωρούμενος[11], ἐπειδὴ τὸν ἄρχοντα Ἱεροκλέα τιμωρούμενον τοὺς χριστιανοὺς ἐθεάσατο, ἀφειδήσας δὲ[6] αὐτοῦ[12], | αὐτοχειρὶ τοῦτον ἔτυψε· (f. 188v.) ὅθεν πολλὰ βασανισθεὶς καὶ αὐτὸς ἐν τῷ τῆς θαλάσσης βυθῷ ῥιφεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο[13].

— [16] ἑαυτῆς S. — [17] *supplevi, om.* S.

4. — [1] ἁγίων μαρτύρων καὶ αὐταδέλφων Ἀ. καὶ Α. Mc. — [2] καιροὺς Mc. — [3] (ἐκ - Λυδίας) ἀδελφοὶ γνήσιοι τῆς Λυδῶν ὁρμώμενοι χώρας Mc. — [4] Βηρρυτὸν S. — [5] καὶ *add.* Mc. — [6] *om.* Mc. — [7] κ. πρῶτος Mc. — [8] ὡρᾶτο ὅλως Mc. — [9] (ἐπέμφθη - τὴν) ἐν Ἀλεξανδρείᾳ τῇ Mc. — [10] μετάλοις S. — [11] ταλαιπωρουμένου S. — [12] ἑαυτοῦ Mc. — [13] (αὐτοχειρὶ - ἐκομίσατο) αὐτοχείρως τὸν ἄρχοντα ἔτυπτε, διὸ καὶ πολλαῖς βασάνοις ἐκδοθεὶς καὶ ἐν τῇ θαλάσσῃ ῥιφῆς τελειοῦται τὸν τοῦ μαρτυρίου στέφανον κομισάμενος Mc.

APRIL. 1.

φυλακῇ διάγειν μέχρι τέλους κατακριθεὶς διὰ τοῦ ἀλιτηρίου βασιλέως ἐκείνου. Βασιλεύσας δὲ μετ' ἐκεῖνον Μιχαὴλ ὁ Τραυλὸς καὶ αὐτὸς τῆς βδελυρᾶς θρησκείας αὐτοῦ ὑπάρχων, ἐξαγαγὼν τὸν ἅγιον τῆς φυλακῆς καὶ πολλὰ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων κολακεύσας καὶ ἀπειλήσας ἤνυε πλέον οὐδέν. Διὸ καὶ ἐν Ἀφουσίᾳ τῇ νήσῳ τοῦτον ἐξορίσας, ἐν ἀσφαλείᾳ ἐφύλαττεν. Ὁ δὲ ἅγιος πάντα γενναίως φέρων ηὐχαρίστει τῷ Θεῷ. Χρονίσας δὲ ἐν τῇ ἐξορίᾳ καὶ πλεῖστα ἀγωνισάμενος καὶ σημείων αὐτουργὸς ἐκεῖσε γενόμενος, ἀπῆλθε πρὸς Κύριον. — Οἱ ἅγιοι Βασιλείδης καὶ Γερόντιος ξ. τ. — Ὁ δίκαιος Ἄχαζ ἐν εἰρήνῃ τ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα νέα κυριακή, ὅτε τῶν θυρῶν κεκλεισμένων ἐπέστη τοῖς μαθηταῖς ὁ Χριστός. — **Mv** : 1. — Μακαρίου. — Γεροντίου καὶ Βασιλείδους. — Ἄχαζ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κτλ. — **Mr** : 1.

APRIL. 2.

SYNAXARIA SELECTA. **H** : 4. 3. — **P** : 4. 3. — **D** : 1. 3. 4. — **Da** : 1. 3. 4. — **Db** : 4. — **K** : 4. 1. 3. — **N** : 4. 3. 1. — **Bb** : 4. 3. — **Bc** : 4. 3. — **C** : 4. — **Cd** : 4. — **Ce** : 4. — **Cg** : 4 : Ἀπφιανοῦ καὶ Αἰδεσίου τῶν αὐταδέλφων. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Μαξιμινιανοῦ, ἐκ μητρὸς ἀδελφοί, ἐκ τῆς Λυδίας χώρας ὁρμώμενοι. Κατὰ δὲ Βηρυτὸν γενόμενοι ὑπὸ τοῦ μάρτυρος Παμφύλου διδαχθέντες τὸν χριστιανισμόν, τῷ ἄρχοντι παρέστησαν Οὐρβανῷ. Καὶ ὁ μὲν Ἀπφιανὸς κηρύξας τὸν Χριστὸν παρρησίᾳ, πληγαῖς κατὰ τοῦ προσώπου τύπτεται καὶ τοῖς τῶν στρατιωτῶν ποσὶ λακτίζεται καὶ ἐλαίῳ χρισθεὶς τοὺς πόδας πυρὶ καταφλέγεται καὶ κρεμασθεὶς ὠγκώθη καὶ διερράγη ἐκ τῶν λακτισμάτων. Ἐπιμένων δὲ τῇ εἰς Χριστὸν ὁμολογίᾳ, τῷ βυθῷ τῆς θαλάσσης ἐκδίδοται καὶ ἐν αὐτῷ τελειοῦται. Ὁ δὲ Αἰδέσιος ἐπέμφθη εἰς Ἀλεξάνδρειαν, καταδικασθεὶς τιμωρεῖσθαι ἐν τοῖς τοῦ χαλκοῦ μετάλλοις. Καὶ ἐπειδὴ τὸν ἄρχοντα Ἱεροκλέα τιμωροῦντα τοὺς χριστιανοὺς εἶδεν, αὐτοχειρὶ τὸν ἄρχοντα ἔτυψεν· ὅθεν πολλὰ βασανισθεὶς καὶ αὐτὸς ἐν τῷ τῆς θαλάσσης βυθῷ ῥιφεὶς τελειοῦται. — **R** : 4. 1. — Θεοδοσίας τῆς ἐν Καισαρείᾳ (Mai 29[1]). — **Ra** : 1. 4. 3. — **Rb** : 1. 3. 4. — **Rc** : 1. 3. 4. — **Mc** : 1 : Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τίτου. Οὗτος ὁ μακάριος καὶ ἅγιος πατὴρ ἡμῶν Τῖτος ἐκ νεαρᾶς ἡλικίας τὸν Χριστὸν ἀγαπήσας, ἀπελθὼν εἰς κοινόβιον ἀπετάξατο· καὶ τοσοῦτον ἐξέδωκεν ἑαυτὸν εἰς ταπείνωσιν καὶ ὑπακοὴν ὡς καὶ ὑπερβῆναι μὴ μόνον τὴν ἀδελφότητα ἀλλὰ καὶ πάντα ἄνθρωπον. Ποιμὴν δὲ τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων γεγονώς, τοσαύτην ἀγάπην καὶ πραότητα καὶ συμπάθειαν εἶχεν ὡς ἄλλος οὐδεὶς ἐν ἀνδράσι. Καθαρὸς δὲ τῇ ψυχῇ καὶ τῷ σώματι ἐκ νεαρᾶς ἡλικίας ἐφυλάχθη ὡς ἄγγελος Κυρίου. Διὸ καὶ θαυματουργὸς γενόμενος, στήλην[1] ἔμψυχον καὶ εἰκόνα ἀπαράγραπτον καταλιπὼν τοὺς μαθητὰς καὶ συνασκητὰς αὐτοῦ ἀπῆλθε πρὸς Κύριον. — 2. — Θεοδοσίας τῆς παρθένου. — 3. — **Mv** : 1. 4. — Τῆς ἁγίας παρθενομάρτυρος Θεοδώρας[2]. — 3. — **Mr** : 1.

[1] στύλην Mc. — [2] *lege* Θεοδοσίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

APRIL. 3.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν[1] Νικήτα ἡγουμένου[2] τοῦ Μηδικίου. Οὗτος ποθήσας τὴν ἐγκράτειαν καὶ παρθενίαν ηὐλίσθη ἐν ὄρεσι πάσης ἀρετῆς καὶ ἐτράφη ἐν πόλει τῆς ἡσυχίας[3] καὶ ὑψώθη ἀμφοτέρωθεν· λόγῳ δὲ θείῳ κυβερνώμενος, θεῖος οἰκονόμος ἐδείχθη καὶ πιστὸς ἱερεύς. Ἐξωσθεὶς δὲ τῆς ποίμνης[4] παρὰ τῶν εἰκονομάχων ὡς τῶν θείων εἰκόνων προσκυνητής, ἐξορίαις πικραῖς ὑποβάλλεται καὶ ἐν πᾶσιν εὐχάριστος ἀναφανεὶς καὶ δόκιμος ἀγωνιστὴς ἅπασαν ψυχόλεθρον ἀπάτην τῶν θεομάχων κατέπτυσε, καὶ πολλοὺς τῇ προτροπῇ καὶ ταῖς παραινέσεσιν αὐτοῦ μάρτυρας ἀπειργάσατο· ὅθεν καὶ διπλᾶς τὰς λαμπάδας ἀνάψας τῆς ὁμολογίας[5] καὶ[6] ἀσκήσεως, διπλοῦς καὶ τοὺς στεφάνους ἐκ χειρὸς Κυρίου ἐδέξατο[7] πρὸς αὐτὸν μεταστάς[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ ὑμνογράφου. Οὗτος ὑπῆρχεν ἐκ τῆς Σικελῶν ἐπαρχίας γεννητόρων Πλωτίνου[1] καὶ Ἀγάθης. Πορθηθείσης δὲ τῆς τούτου πατρίδος, σὺν μητρὶ καὶ ἀδελφοῖς διαφυλαχθεὶς ἦλθεν εἰς Πελοπόννησον[2]· ἐκεῖθεν ἀπάρας ἦλθεν εἰς Θεσσαλονίκην. Πεντεκαιδέκατον ἔτος ἄγων ἀποκείρεται ἔν τινι μοναστηρίῳ· καὶ ἦν διερχόμενος πᾶσαν τὴν θείαν γραφήν, ὅθεν καὶ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν δέχεται καὶ μετὰ Γρηγορίου τοῦ Δεκαπολίτου τὴν Κωνσταντινούπολιν[3] καταλαμβάνει. Ἐπεὶ δὲ ἡ τῶν εἰκονομάχων αἵρεσις αὖθις ἀνεφάνη, Λέοντος τοῦ δυσσεβοῦς Ἀρμενίου <βασιλεύοντος[4]>, παρεκάλεσαν τὸν ἅγιον Γρηγόριον οἱ ὀρθόδοξοι στεῖλαι εἰς Ῥώμην τὸν Ἰωσήφ, μηνύσοντα τοῖς ἐκεῖσε τὸ συμβάν. Καὶ ὁ μὲν ἐξέπλει, πλοῖα δὲ ἐπιστάντα βαρβαρικὰ δεσμώτην εἰς Κρήτην ἀπήγαγον. Ἐν μιᾷ δὲ τῶν νυκτῶν ἐπιστὰς αὐτῷ τις ἱεροπρεπὴς τὴν ἰδέαν· « Ἐκ Μύρων » ἐνταῦθα πάρειμι » ἔφη, καὶ βιβλίον κρατῶν διεκελεύετο τοῦτο λαβεῖν. Ὁ δὲ λαβὼν ἀνεγίνωσκε καὶ ἔψαλλε· « Τάχυνον ὁ οἰκτίρμων καὶ σπεῦσον » ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι » βουλόμενος. » Καὶ τὸ ᾀδόμενον ἔργον πρωΐας ἐγένετο· τότε γὰρ τοῦ τῆς αἱρέσεως προμάχου Θεοφίλου ἐξ ἀνθρώπων γενομένου, ἡ τοῦ Θεοῦ ἐκκλησία τῶν σεπτῶν εἰκονισμάτων | ἀπείληφε τὴν (f. 189.) εὐπρέπειαν· καὶ ὁ τίμιος Ἰωσὴφ ἐλευθερωθεὶς τῆς εἱρκτῆς πρὸς τὴν Κωνσταντινούπολιν διεσώζετο. Ἐν δὲ τοῖς ὁρίοις τῆς Θεσσαλονίκης γενόμενος, λείψανον εὑρὼν τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου[5]

1. — [1] καὶ ὁμολογητοῦ *add.* Mc. — [2] τῆς μονῆς *add.* Mc. — [3] ἐν πόλει τῆς ἡσ. ἀνετράφη Mc. — [4] τῆς ποίμνης οὖν ἐξωσθεὶς Mc. — [5] τῆς ὁμολογίας ἀνάψας Mc. — [6] τῆς *add.* Mc. — [7] δεξάμενος Mc. — [8] ἀνεπαύσατο *add.* Mc.

2. — [1] D, Ra, Πλουτίνου S, Rc. — [2] Πελοπόνησον S. — [3] τῇ Κωνσταντινουπόλει S. — [4] *om.* S. — [5] *in marg.* ἐν ἄλλοις συναξαρίοις λέγεται τοῦ Βαρθολομαίου λείψανον S, *et recte quidem.*

APRIL. 3.

SYNAXARIA SELECTA. **H** : Θεοδοσίας τῆς ἐκ Τύρου (Mai 29[1]). — Ἀγάπης, Εἰρήνης, Χιονίας (April. 16[1]). — 3 (Γαλύκου, Βυδινίου, Δίου). — 4 (Ἀλερίου). — 1. — **P** : Ἀγάπης, Εἰρήνης, Χιονίας. — 3 (τοῦ ἁγίου μάρτυρος Γλαυκοῦ Βιθυνίου). — 1. — **D** : 1. 2 : Ἰωσὴφ τοῦ ὑμνογράφου. Οὗτος τῆς Σικελῶν ἐπαρχίας ὑπῆρχεν, γεννητόρων Πλωτίνου καὶ Ἀγάθης, ἐπιεικὴς καὶ εὐσεβὴς τὸν τρόπον, τῇ μελέτῃ τῶν θείων γραφῶν σχολάζων. Ἁλούσης δὲ τῆς πατρίδος ὑπὸ τῶν Ἀγαρηνῶν, οὗτος σὺν μητρὶ καὶ ἀδελφοῖς πρὸς τὴν τοῦ Πέλοπος ἀνήχθη, κἀκεῖθεν πρὸς τὴν Θεσσαλονίκην, ἔνθα τὸν μοναστὴν ὑπέρχεται βίον καὶ πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀποδύεται. Κλίνη γὰρ αὐτῷ ἔδαφος κωδίῳ καλυπτόμενον, χιτὼν ἀφελής, τροφὴ ἄρτος βραχύς, ποτὸν ὕδωρ, στάσις πάννυχος, γονάτων κατάκλισις συνεχής, ὕμνοι ἐπὶ στόματος, ἐργόχειρον καλλιγραφία, ἡ ταύτης σχολὴ ἀνάγνωσις τῶν θείων γραφῶν. Ἐκ τούτων τοιοῦτος γέγονεν σεμνός, μέτριος, πρᾷος, ἁπλοῦς, ἀκέραιος καὶ τὰ τούτοις ἑπόμενα· τούτοις πλουτῶν, χειροτονεῖται πρεσβύτερος. Χρόνος οὐχὶ συχνὸς καὶ μετά τινος Γρηγορίου, ᾧ[1] τοῦ Δεκαπολίτου ἦν ἡ προσωνυμία, ἀνδρὸς ἐλλογίμου, τῇ Κωνσταντινουπόλει ἐπιδημεῖ[2]· μεθ' οὗ τῷ ναῷ τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα ἐγκλείεται, σκληραγωγίαις καὶ ἀσκητικοῖς ἱδρῶσιν ἐπαγαλλόμενοι. Ἐπεὶ δὲ ἡ χριστομάχος αἵρεσις ἀνεφύη τῶν εἰκονομάχων, καὶ ὁ μακάριος ὡς εἰς Ῥώμην ἀπέπλεεν, τοῦτό τινων εὐσεβῶν αὐτῷ ἀξιωσάντων, νῆες ἐπιστᾶσαι βαρβαρικαὶ δεσμώτην τῇ Κρητῶν ἀπήγαγον καὶ τῇ φυλακῇ ἐναπέθεντο. Πάντας ἐδίδασκε τὴν σωτήριον ὁδόν, καὶ πολλοὺς ἐκ τῶν τοῦ διαβόλου χειρῶν ἐλυτρώσατο. Ἔνθα ἱεροπρεπής ἀνήρ τις αὐτῷ ἐπιστὰς ἐκ Μύρων· « Ἐνταῦθα πάρειμι, ἔφη, ἀλλὰ » δέξαι ταύτην τὴν κεφαλίδα. » Ὁ δὲ λαβὼν ὁμοῦ τε ἀνεγίνωσκε καὶ ἔψαλλεν· « Τάχυνον, ὁ οἰκτίρμων, » καὶ σπεῦσον ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος. » Καὶ τὸ ᾀδόμενον ἔργον πρωΐας ἐγένετο. Ὅτε γὰρ τῆς αἱρέσεως πρόμαχος Θεόφιλος ἐξ ἀνθρώπων γενόμενος, ἡ τοῦ Θεοῦ ἐκκλησία τῶν σεπτῶν εἰκονισμάτων ἀπείληφε τὴν εὐπρέπειαν, καὶ ὁ τίμιος Ἰωσὴφ ἐλευθερωθεὶς τῆς εἱρκτῆς πρὸς τὴν Κωνσταντινούπολιν διεσώζετο. Ἐπεὶ δὲ λείψανον ἱερώτατον τοῦ μεγάλου ἀποστόλου Βαρθολομαίου παρά τινος λαβὼν εἶχε, καὶ ναὸν ἐπ' ὀνόματι τούτου σύναμα τῷ κλεινῷ Γρηγορίῳ ἐδείματο, ἐν φροντίδι πλείονι καθεστήκει, καὶ μελῳδήμασι τὰς αὐτοῦ πανηγύρεις κατακοσμεῖ, καὶ δάκρυσι καὶ στεναγμῷ ἠξίου τοῦ ποθουμένου τυχεῖν· καὶ ἐπέτυχεν. Ὁρᾷ γὰρ νύκτωρ ἄνδρα τινὰ φοβερὸν ἐν ἀποστολικῷ τῷ σχήματι ἀπὸ τῆς ἱερᾶς τραπέζης εὐαγγέλιον ἀράμενον καὶ τοῖς στέρνοις ἐπιθέντα καὶ εὐλογίας αὐτὸν ἀξιώσαντα. Τοῦτο δέ ἐστιν ἡ ἀπαρχὴ τοῦ θείου χαρίσματος· οὕτω γὰρ ἀπόνως καὶ μετ'[3] εὐκολίας τὰς ἱερὰς μελῳδίας τοῖς αἰτουμένοις παρεῖχεν, ὡς νομίζειν τινὰς μὴ ἐξ ἑαυτοῦ ταῦτα γεννᾶν,

[1] ὃς D. — [2] ἐπιδημῶν D. — [3] *corr. prius* μ *solum.*

April. 3. ἔλαβε, καὶ ναὸν ἐπ᾽ ὀνόματι τούτου ἐδομήσατο καὶ ἐν φροντίδι πλείονι καθεστήκει μελῳδήμασι τὰς αὐτοῦ πανηγύρεις κατακοσμῆσαι <καὶ[6]> σὺν δάκρυσι καὶ στεναγμοῖς ἠξίου τοῦ ποθουμένου τυχεῖν· τοιγαροῦν καὶ ἐπέτυχεν. Ὁρᾷ γὰρ νύκτωρ ἄνδρα τινὰ φοβερὸν ἐν ἀποστολικῷ τῷ σχήματι ἀπὸ τῆς ἱερᾶς τραπέζης εὐαγγέλιον ἀράμενον καὶ τοῖς στέρνοις αὐτοῦ ἐπιθέντα[7] καὶ εὐλογίας αὐτὸν ἀξιώσαντα. Καὶ ἔκτοτε ἔλαβε τὸ χάρισμα τῆς ὑμνῳδίας, καὶ οὕτως ἀπόνως καὶ μετ᾽ εὐκολίας τὰς ἱερὰς μελῳδίας ἅπασαν τὴν ἐκκλησίαν ἐφώτισεν ἐν ὕμνοις. Ἐντεῦθεν τοῖς ἁπάντων στόμασιν ᾄδεται καὶ πᾶσι ποθεινὸς καὶ ἐπέραστος οὐ μόνον ἰδιώταις καὶ ἄρχουσιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς βασιλεῦσι γίνεται. Καὶ πολλὰ ὑπὸ τῆς ὀρθοδόξου πίστεως ἀγωνιζόμενος, ἐξωρίσθη εἰς Χερσῶνα παρὰ τοῦ δυσσεβοῦς Ἀρμενίου[8], Βάρδα τοὔνομα καταδικασθείς, καλῶς γε τοῦτον διελεγξάμενος. Καὶ μετὰ τὴν τελεύτην αὐτοῦ ἀναρρυσθεὶς[9] ἐκ Χερσῶνος παρὰ τῆς βασιλίδος Θεοδώρας, τῆς ποιησάσης τὴν ὀρθοδοξίαν, καὶ τῶν ἱερῶν σκευῶν τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας φύλαξ γενόμενος, Ἰγνατίου πατριαρχοῦντος τοῦ θείου, οὗ μετὰ τὴν ἐκδημίαν παρὰ Φωτίου στέργεται καὶ ἐκθειάζεται· οὗτος γὰρ μετὰ τοῦτον πατριάρχης ἀναδείκνυται. Ἐν τούτοις καλῶς διαρκέσας καὶ ὁσίως καὶ ἀκάκως πολιτευσάμενος ἀνεπαύσατο ἐν Κυρίῳ. Λέγεται γὰρ <ὅτι[6]> ἡ ἁγία αὐτοῦ ψυχὴ ὀψικευομένη παρὰ τῶν ἁγίων μαρτύρων καὶ ἀγγέλων ἀνῆλθεν ἐν τοῖς οὐρανοῖς. Ἄνθρωπός τις ἔχων δοῦλον χρήσιμον, ἐπείπερ ὁ δοῦλος ἔφυγεν, ἀπελθὼν ὁ κύριος αὐτοῦ εἰς τὸν ἅγιον Θεόδωρον τὸν Φανερωτὴν παρεκάλει αὐτὸν φανερῶσαι τὸν δοῦλον αὐτοῦ. Προσμείνας δὲ ἱκανῶς καὶ μηδὲν μαθὼν ἐβούλετο ἀναχωρῆσαι. Ὄρθρου δὲ ὄντος καὶ λόγου ψυχωφελοῦς ἀναγινωσκομένου μικρὸν ἀφύπνωσε, καὶ ὁρᾷ τὸν μάρτυρα λέγοντα αὐτῷ[10]· « Ἵνα τί περίλυπος εἶ; τοῦ » ποιητοῦ Ἰωσὴφ κοιμηθέντος ταύτῃ τῇ νυκτὶ » ὀψικεύθη ἡ ψυχὴ αὐτοῦ παρὰ πάντων ἡμῶν, » οὓς κανόσιν καὶ ὕμνοις ἐτίμησεν, καὶ ἐσυνο» ψίσθη εἰς Θεόν. Καὶ νῦν πάρειμι πρὸς σέ. Τοῦ » λοιποῦ τοίνυν δηλώσοι[11]· ἄπελθε κατὰ τόνδε τὸν » τόπον — τοὔνομα προσειπὼν — καὶ εὑρήσεις » ὃν ἐπιζητεῖς οἰκέτην σου. »

3. | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Γαλύκου, Βιθυνίου καὶ Δίου[1]>. f. 189v.

4. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἠληρίου τοῦ θαυματουργοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ΄.

April. 4. 1. Ἄθλησις[1] τῶν ἁγίων μαρτύρων Θεοδούλου ἀναγνώστου[2] καὶ Ἀγαθόποδος διακόνου[1]. Τούτων ὁ μὲν Θεόδουλος νεώτερος ἦν, ὁ δὲ Ἀγαθόπους διάκονος[2], ἀμφότεροι δὲ ὑπῆρχον[3] ἐκ πόλεως Θεσσαλονίκης. Χριστιανοὶ δὲ ὄντες παρέστησαν[4] Φαυστίνῳ τῷ ἄρχοντι· καὶ μὴ πεισθέντες θῦσαι

— [6] *om.* S. — [7] ἐπιτεθέντα S. — [8] ὑπὸ *add.* S. — [9] ἀναρυσθεὶς S. — [10] αὐτὸν S. — [11] δηλώσει S.
3. — [1] *om. hic* S, *addunt* H, D, Da, Db, K, C, Cg, Rc, Mc *etc. et* S *ad diem Aprilis 29*.
1. — [1] *om.* Mc. — [2] τῆς πρεσβυτικῆς ἐπιβεβηκὼς ἡλικίας Mc. — [3] ὑπῆρχον δὲ ἀμφότεροι Mc. — [4] (χριστιανοὶ - παρέστησαν) διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν συμπαρέστησαν Mc.

April. 3. ἀλλ᾽ ἐκμανθάνειν ἀλλαχοῦ πρότερον καὶ ἀποστοματίζειν καὶ οὕτως τοῖς αἰτουμένοις παρέχειν. Τὸ δὲ μὴ τοιαύτην ἔχειν τὴν ὑπόθεσιν ἀλλ᾽ ἐκ θείου χαρίσματος, καθὰ προέφημεν, ταύτας προσφέρειν πεπίστευται. Ἐντεῦθεν τοῖς ἁπάντων στόμασιν ᾄδεται καὶ πᾶσι ποθεινὸς καὶ ἐπέραστος, οὐ μόνον ἰδιώταις καὶ ἄρχουσιν, ἀλλὰ καὶ αὐτοῖς βασιλεῦσι γίνεται· εἰ καὶ ὑπερορίᾳ παρὰ Βάρδα καταδικάζεται, καλῶς γε τοῦτον διελεγξάμενος[4], ἀλλ᾽ εὐθὺς ἀνακληθεὶς τῶν ἱερῶν σκευῶν τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας τὴν φυλακὴν πιστεύεται, Ἰγνατίου πατριαρχοῦντος τοῦ θείου. Οὗ μετὰ τὴν ἐκδημίαν παρὰ Φωτίου στέργεται καὶ ἐκθειάζεται· οὗτος γὰρ μετὰ τοῦτον πατριάρχης ἀναδείκνυται. — Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. — Θεοδοσίας τῆς παρθένου. — 3. 4 (Ἡλιροῦ). — **Da** : 1. 2. — Θεοδοσίας. — Ἀγάπης κτλ. — 3. 4 (Ἡριλίου). — **Db** : 1. 2. — Θεοδοσίας. — Ἀγάπης κτλ. — 3. 4 (Ἠλυρίου). — **K** : 1. 2. — Θεοδοσίας. — Ἀγάπης. — 3. 4 (Ἱλαρίου). — **N** : 1. 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ζωσιμᾶ τοῦ τὸ λείψανον τῆς ὁσίας Μαρίας ἐν τῇ ἐρήμῳ κηδεύσαντος. — **Bb** : Θεοδοσίας. — Εἰρήνης, Ἀγάπης καὶ Χιονίας. — **Bc** : Θεοδοσίας. — Εἰρήνης κτλ. — 1. 2. — **C** : Θεοδοσίας. — Εἰρήνης κτλ. — 1. 2. 3 (Γαλκίου, Βυθινίου καὶ Δίου). — 4 (Ἱλαρίου). — **Cd** : Θεοδοσίας. — Εἰρήνης κτλ. — 1. 2. — **Ce** : Θεοδοσίας. — Εἰρήνης κτλ. — 1. 2. — **Cg** : Θεοδοσίας τῆς παρθένου. Ἡ ἁγία μάρτυς Θεοδοσία ἦν ἀπὸ τῆς πόλεως Τύρου. Ὀκτωκαιδέκατον δὲ ἄγουσα τῆς ἡλικίας χρόνον παρίσταται Οὐρβανῷ τῷ ἄρχοντι Παλαιστίνης· καὶ ἐρωτηθεῖσα ὡμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ. Διὸ τιμωρεῖται κατὰ τῶν πλευρῶν καὶ τῶν μαζῶν καὶ μὴ πεισθεῖσα προσκυνῆσαι τοῖς εἰδώλοις, ἐρρίφη ἐν τῇ θαλάσσῃ· καὶ οὕτως παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ. — Εἰρήνης κτλ. — 1. 2. 3. 4 (Ἱλαρίου). — **R** : 1. 2. — **Ra** : 1. 2 (= D, et add. : τῇ δὲ τοιαύτῃ φυλακῇ ἀμέμπτως ὑπουργήσας καὶ ὕμνους ὅτι πλείστους ἐκθέμενος πάσης κατανύξεως καὶ ὠφελείας τῇ τοῦ ἁγίου Πνεύματος χάριτι, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν). — **Rb** : 1. 2. — **Rc** : 1. 2. 3. 4 (Ἱλαρίου). — **Mc** : 1. 2. — Ἐλπιδιφόρος ξ. τ. — 3 (Δίων κεράμῳ τὴν κεφαλὴν τρωθεὶς τ. — Βυθόνιος ἐν τῇ θαλάσσῃ βληθεὶς τ. — Γάλυκος ὑπὸ θηρίων δηχθεὶς τ.). — **Mv** : 1. 2. — Ἐλπιδιφόρου. — 3 (Δίου ... Βυθονίου ... Γαλίκου). — 4 : Ἰλλυριοῦ τοῦ ἐν τῷ ὄρει τοῦ Μυρσιωνᾶ[5]. — **Mr** : 1.

April. 4. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1 : Θεοδούλου καὶ Ἀγαθόποδος. Ὁρμώμενοι ἐκ πόλεως Θεσσαλονίκης, Καπίτωνα καὶ Μητρόδωρον ἔχοντες ἀδελφούς, καὶ ὁ μὲν Θεόδουλος νεώτερος ἦν

— [4] δὲ τοῦτο διελεγξαμένω D. — [5] *legendum* Μυρσινῶνος.

τοῖς εἰδώλοις, προσδεθέντες λίθοις τῷ βυθῷ τῆς θαλάσσης ῥίπτονται[5], καὶ οὕτως ἐν Χριστῷ τελειοῦνται. Ἐδηλώθη δὲ αὐτοῖς πρὸ τοῦ[6] τέλους δι᾽ ἀποκαλύψεως τὸ ἐσόμενον. Ἔδοξαν γὰρ ἀμφότεροι πλοίου ἐπιβεβηκέναι· οὗτινος ἐπὶ τοῦ[7] κλύδωνος διαλυθέντος[8] καὶ τῶν συμπλεόντων ἀπολωλότων, αὐτοὶ μόνοι διασωθῆναι τοῦ ναυαγίου καὶ πρὸς ὄρος ὑψηλὸν[9] ἀνελθεῖν, δηλοῦντος[10] τοῦ ὁράματος τὸ διὰ θαλάσσης πάθος καὶ τὴν πρὸς οὐρανοὺς[11] πορείαν αὐτῶν. Τοῦτο δὲ καὶ πρὸ τῆς κατασχέσεως τῷ ἁγίῳ Θεοδούλῳ διὰ τῆς περιβολῆς τοῦ δακτυλίου καθ᾽ ὕπνον[12] δεδήλωται· οἱονεί τινος ἀρραβῶνος[13] δοθέντος αὐτῷ τῆς μελλούσης ἕνεκεν μαρτυρείας. April. 4.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε΄.

1. Μνήμη τῆς ὁσίας καὶ θαυματουργοῦ μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ.

2. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Κλαυδιανοῦ, Διοδώρου καὶ τῶν σὺν αὐτοῖς.

3. Καὶ τῆς ἁγίας μάρτυρος Φερφούθης[1] τῆς ἀειπαρθένου[2] καὶ τῆς ἀδελφῆς αὐτῆς καὶ τῆς[3] παιδίσκης. Αὗται ὑπῆρχον ἐπὶ Σαβωρίου[4] βασιλέως ἐν Περσίδι[5], ἀδελφαὶ τυγχάνουσαι τοῦ ἁγίου Συμεὼν τοῦ ἐπισκόπου[6], μετὰ χιλίων ἑτέρων παρὰ Πέρσαις μαρτυρήσαντος. Τῆς οὖν βασιλίσσης ἔκ τινος συμβάσης νόσου μαλακιζομένης καὶ ἀρρωστούσης, εἰς διαβολὴν κατασκευῆς φαρμάκων κατέστησαν· ὅθεν συλληφθεῖσαι ἄγονται πρὸς Μαπτὰν[7] τὸν ἀρχιμάγον καὶ τὰς αἰτίας τῶν ἐγκαλουμένων ἀπολυόμεναι[8] χριστιανὰς ἔλεγον ἑαυτάς, χριστιανοῖς δὲ μὴ θεμιτὸν εἶναι τοιαῦτα δημιουργεῖν. Διπλῆν δὲ ἤδη δεξάμεναι τὴν κατηγορίαν[9], προστεθείσης τῇ φαρμακίᾳ τῆς θρησκείας, τὴν θανατηφόρον ψῆφον ἔλαβον· καὶ ἐκταθεῖσαι πάλοις κατὰ τοῦ[3] τραχήλου καὶ τῶν ποδῶν πρίοσι διῃρέθησαν καὶ ξύλοις ἀνεσκολοπίσθησαν μετὰ τὴν διαίρεσιν· καὶ διῆλθεν ἐπ᾽ αὐτῶν ἡ βασίλισσα[10]. Οὕτω γὰρ οἱ διαβάλλοντες εἶπον[11] μὴ ἂν ἄλλως ταύτην ὑγιασθῆναι[12], εἰ μὴ διὰ τῶν νεκρῶν σωμάτων τῶν ἁγίων[13] παρέλθοι. April. 5.

— [5] (προσδεθέντες - ῥίπτονται) ἀσάλευτον δὲ τὴν εἰς Χριστὸν πίστιν φυλάξαντες τῷ βυθῷ τ. θ. ἐκδίδονται Mc. — [6] *om.* Mc. — [7] (ἐπιβεβηκέναι - τοῦ) προβεβηκέναι νηὸς ἧς ἐκ τρικυμίας Mc. — [8] διαρεθείσης Mc. — [9] οὐρανόμηκες Mc. — [10] οἶμαι *add.* Mc. — [11] οὐρανὸν Mc. — [12] ὕπνους Mc. — [13] ἀραβῶνος S.
3. — [1] Mc *ad diem aprilis 4*, Φερφοῦθις S. — [2] τῆς ἀειπαρθένου *om.* Mc. — [3] *om.* Mc. — [4] Mc, Σαβώρου S. — [5] ἐν Περσίδη S, Περσῶν Mc. — [6] τοῦ *add.* Mc. — [7] Πάπαν Mc. — [8] ἀποδυόμεναι Mc. — [9] (διπλῆν - κατηγορίαν) τὴν κατηγορίαν διπλῆν ἤδη δεξάμεναι Mc. — [10] καὶ οὕτω τὴν ἴασιν ἔλαβεν Mc. — [11] εἶπον οἱ διαβάλλοντες Mc. — [12] ἰαθῆναι Mc. — [13] (τῶν ἁγίων) τούτων Mc.

April. 4. ἀναγνώστης, Ἀγαθόπους δὲ γηραιὸς διάκων. Ἄγονται τοίνυν διὰ τὴν εἰς Χριστὸν πίστιν Φαυστίνῳ ἄρχοντι Θεσσαλονίκης, καὶ τούτῳ μὴ πεισθέντες μετὰ πολλὰς βασάνους ῥίπτονται ἐν τῇ θαλάσσῃ· καὶ ῥιφθέντες[1] κηδεύονται ὑπὸ τῶν οἰκείων. — **D** : 1. — Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πλάτωνος ἡγουμένου τῶν Στουδίου. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — Θεοδοσίας τῆς παρθένου (Mai 29[1]). — Γαλύκου, Μιθυνίου καὶ Δίου (April. 3[3]). — Τοῦ ὁσίου Ἡλιρίου (April. 3[4]). — **Bb** : Νικήτα (April. 3[1]). — Ἰωσήφ (April. 3[2]). — **Bc** : 1. — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — Γεωργίου ἐν τῷ Μαλαίῳ (April. 5[5]). — Κλαυδιανοῦ, Διοδώρου κτλ. (April. 5[2]). — **Ra** : Γεωργίου. — 1. — **Rb** : 1. — **Rc** : Γεωργίου. — 1. — **Mc** : 1. — Φερφούθης (April. 5[3]). — Πούπλιος ἐν εἰρήνῃ τ. — Πλάτων καὶ ἕτεροι δύο ἐν εἰρήνῃ τ. — Ζωσιμᾶ τοῦ κηδεύσαντος τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν. — **Mv** : 1. — Φερβούθης. — Πουπλίου. — Πλάτωνος. — Οἱ ὅσιοι τρεῖς Θεώνας, Συμεὼν καὶ Φορβῖνος ἐν εἰρήνῃ τ. — Γεωργίου. — Ζωσιμᾶ. — **Mr** : Γεωργίου. — Ἰωσὴφ τοῦ ὑμνογράφου (April. 3[2]). — 1.

April. 5. SYNAXARIA SELECTA. **H** : 3. 4. 6. 7. — **P** : 3. 6. 7. — **D** : 3. 6. 7. 5. 2. 4. — **Da** : 5. 2. 3. 4. — **Db** : 5. 2. 3. 4. — **K** : 5. 2. 3. 4. — **N** : 5. 3. 2 (Κλαυδίου, Διοδώρου, Οὐΐκτωρος, Παπίου, Νικηφόρου, Οὐϊκτωρίνου καὶ Σεραπίωνος). — **Bb** : Ἀγαθόποδος καὶ Θεοδούλου (Aprii. 4[1]). — **Bc** : 3. — **C** : 4 (τῶν ἁγίων ρν΄...). — 6. 7. 3 (Θερμούθης). — **Cd** : 4. 6. 7. — **Ce** : 4. 6. 7. — **Cg** : 4. 6. 7. 3. — **R** : 5. 1. 3. 4. — **Ra** : 3. 2 (Κλαυδίου, Δ., Οὐϊκτουρίνου, κτλ.). — **Rb** : 5. 3. 4 (τῶν ἁγίων εἴκοσι μαρτύρων). — 7. — **Rc** : Θεοδούλου ἀναγνώστου καὶ Ἀγαθόποδος διακόνου (April. 4[1]). — 2 (Κλαυδίου, Δ., Οὐϊκτουρίνου κτλ.). — 3 (Θερφούμης). — **Mc** : 2 (Κλαυδιανοῦ καὶ τῆς συνοδίας αὐτοῦ). — 1 : Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ. Αὕτη ἡ ὁσία Θεοδώρα ἐκ νεαρᾶς ἡλικίας τὸν Χριστὸν ποθήσασα ἀπετάξατο· καὶ εἰς κοινόβιον ἐλθοῦσα ἀπεκάρη καὶ τὰς ἀρετὰς πάσας ἐφύλαξεν, ὑφ᾽ ἓν κατορθώσασα. Τοιαύτην δὲ ὑπακοὴν ἐκτήσατο καὶ τιμὴν πρὸς πάσας τὰς ἀδελφὰς καὶ πρὸς τὴν προεστῶσαν, ὅτι καὶ μετὰ θάνατον ἔδειξεν ὅτι ἦν ζῶσα. Καὶ γὰρ τὸν βίον αὐτῆς καθαρὸν καὶ ἀκίβδηλον φυλάξασα, ὡς ἔμψυχον στήλην αὐτὸν ταῖς ἀδελφαῖς κατέλιπε. Μετὰ δὲ χρόνον οὐκ ὀλίγον τῆς προεστώσης πρὸς Κύριον ἀπελθούσης, καὶ αὐτῆς καθαρᾶς καὶ πνευματικῆς οὔσης, γέγονε συνδρομὴ πρὸς τὴν κηδείαν αὐτῆς· ἦν γὰρ καὶ τῶν ἐπισήμων. Καὶ λαοῦ συναθροισθέντος εὐλαβῶν μοναχῶν καὶ ἐπισήμων ἀνδρῶν, γέγονε καθ᾽ εἱρμὸν ἡ ἀκολουθία. Καὶ ἀνοιχθέντος τοῦ τάφου ἐν ᾧ ἡ ὁσία Θεοδώρα ἐναπέκειτο ἐπὶ χρόνον πολὺν πρὸς τὸ κατατεθῆναι τὴν προεστῶσαν πλησίον αὐτῆς, θαῦμα ἐξαίσιον γέγονε, τοῖς μὲν ὁρῶσιν ἔκπληξιν φέρον, τοῖς δὲ ἀκούουσι κατάνυξιν. Τοῦ τόπου γὰρ ἐπιτηδείου πρὸς θεωρίαν τυγχάνοντος, πάντων βλεπόντων, ἡ πρὸ πολλοῦ νεκρὰ κειμένη Θεοδώρα τῇ μητρὶ ὥσπερ ζῶσα, ὢ τοῦ θαύματος, συνέσφιγξεν ἑαυτὴν τόπον δοῦσα.

[1] ῥιφθέντων P.

April. 5. f. 190. **4.** | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἑκατὸν εἴκοσι μαρτύρων τῶν ἐν Περσίδι τελειωθέντων.

5. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου τοῦ ἐν τῷ Μαλεῶν[1] ὄρει.

6. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Τερεντίου, Πομπίου, Μαξίμου, Ζήνωνος.

7. Καὶ τοῦ ἁγίου μάρτυρος Θέρμου καὶ τῆς ἀδελφῆς αὐτοῦ μετὰ τῆς παιδίσκης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛʹ.

April. 6. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐτυχίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὑπῆρχε κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ μεγάλου, ἐκ τῆς Φρυγίας ὁρμώμενος, χωρίου Θείας Κώμης. Τραφεὶς δὲ παρὰ Ἡσυχίῳ πρεσβυτέρῳ, πάππῳ αὐτοῦ, θαύματα ποιοῦντι δι᾽ ἀρετήν, ἐβαπτίσθη ἐν τῇ ἐκκλησίᾳ Αὐγουστουπόλεως[1] καὶ σκευοφύλαξ ἐγένετο τῆς αὐτῆς ἐκκλησίας· καὶ προσετέθη δι᾽ ἀρετὴν καὶ γνῶσιν αὐτοῦ παρὰ τοῦ τότε Ἀμασείας προέδρου, καὶ παρ᾽ αὐτοῦ γίνεται ἀναγνώστης, ὑποδιάκονος καὶ πρεσβύτερος. Τῆς δὲ πέμπτης συνόδου παρὰ Ἰουστινιανοῦ συγκροτουμένης, παρὰ τοῦ Ἀμασείας ἀπεστάλη εἰς τὸν τόπον αὐτοῦ· καὶ πολλὰ ἀνδραγαθήσας κατὰ τῶν αἱρετικῶν καὶ τούτους ἀποστομίσας, ἐξῆλθεν εἰς Ἀμάσειαν[2] εὐτυχῶς ὁ Εὐτύχιος. Καὶ μετὰ τελευτὴν τοῦ ἁγιωτάτου πατριάρχου Μηνᾶ ἐξ Ἀμασείας προκληθεὶς ἐγένετο πατριάρχης. Εἶτα τῆς αἱρέσεως τῶν ἀφθαρτοδοκητῶν[3] κρατούσης καὶ τοῦ βασιλέως ἀποκύψαντος τῇ αἱρέσει, αὐτὸς μὴ καταδεξάμενος καθαιρεῖται τοῦ θρόνου καὶ ἀπάγεται ἐν τῷ εἰς Ἀμάσειαν[4] μοναστηρίῳ, ποιήσας ἐν αὐτῷ τῇ ἀσκητικῇ καὶ ἡσυχίῳ διαγωγῇ ἔτη δώδεκα. Μετὰ δὲ θάνατον Ἰουστινιανοῦ κρατήσαντος Ἰουστίνου καὶ Τιβερίου τῆς βασιλείας, αὖθις ἐπὶ τὸν οἰκεῖον θρόνον ἀνάγεται καὶ τὸν ἐπικείμενον ὄλεθρον τῆς αἱρέσεως ἀφανίσας καὶ ἐπὶ χρόνοις εἴκοσι καὶ τέσσαρσιν καὶ μησὶν ἓξ μετὰ τὴν ἐκ τῆς ὑπερορίας ἐπάνοδον τὴν ἐκκλησίαν κατασχὼν πρὸς Κύριον ἐξεδήμησεν. Κατετέθη δὲ τὸ ἅγιον αὐτοῦ λείψανον ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων Ἀποστόλων τῶν μεγάλων, κατὰ τὴν κρηπῖδα τῆς ἁγίας τραπέζης, ἔνθα Ἀνδρέου καὶ Τιμοθέου καὶ Λουκᾶ τὰ ἅγια κατάκεινται λείψανα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

5. — [1] Μαλαιῶν S *ad diem Mai 12*, Μαλεῶ Mc *ibid.*
1. — [1] *corr.* Αὐγουστοπόλεως, *prius* Αὐγουστόλεως S. — [2] Ἀμάσσειαν S. — [3] αὐταρτοδοκιτῶν S. — [4] Ἀμάσιαν S.

April. 5. Τοῦτο τὸ ἐξαίσιον θεασάμενοι πάντες ἐκπληττόμενοι ἀνεβόων τό· «Κύριε ἐλέησον.» Ἔκτοτε δὲ καὶ μέχρι τοῦ νῦν σημεῖα πολλὰ ὁ Θεὸς ἐκεῖσε πεποίηκε διὰ τῆς ὁσίας ταύτης Θεοδώρας· δαιμονῶντας γὰρ διαφόρους ἰάσατο, τυφλοὺς ὠμμάτωσε καὶ ἀσθενεῖς ἀναριθμήτους ἐθεράπευσεν. — Θεοδώρας καὶ Διδύμου (Mai 27[2]). — 7 : Θέρμος π. τ. ... αἱ ἅγιαι δύο μάρτυρες Κυρία καὶ Δουλίδα ξ. τ. — 6 : Πομπήϊος ξ. τ. ... Ζήνων πίσσαν χρισθεὶς καὶ εἰς πῦρ βληθεὶς καὶ δόρατι τρωθεὶς τ. — Μάξιμος καὶ Τερέντιος ξ. τ. — Αἱ ἅγιαι κόραι αἱ ἀπὸ Λέσβου ξ. τ. — **Mv** : 2 (Κλαυδίου, Διοδώρου, Οὐΐκτωρος, Οὐϊκτωρίνου, Παππίου, Σαραπίονος καὶ Νικηφόρου). — 1. — Θεοδώρας καὶ Διδύμου. — 7 (Θέρμου ... κυρίας καὶ δούλης). — 6 (Πομπηΐου ... Ζήνωνος ... Μαξίμου καὶ Τερεντίου). — Τῶν ἁγίων πέντε μαρτύρων νεανίδων τῶν ἀπὸ Λέσβου. — **Mr** : 2 (Κλαυδίου ... καὶ Νικηφόρου).

April. 6. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Καὶ τῶν ἁγίων ρκʹ μαρτύρων τῶν ἐν Περσίδι (April. 5[4]). — **D** : 1 : Εὐτυχίου[1] ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ μέγας ἀρχιερεὺς κατὰ τοὺς χρόνους ἦν Ἰουστινιανοῦ τοῦ μεγάλου ἐκ τῆς Φρυγῶν χώρας ὁρμώμενος ἐκ χωρίου Θείας Κώμης προσαγορευομένου· τραφεὶς δὲ παρὰ Ἡσυχίῳ[2] τῷ πρεσβυτέρῳ, ὄντι αὐτοῦ πάππῳ, διὰ θεοφίλειαν θαύματα ἐκτελεῖν καταξιωθέντι· καὶ βαπτισθεὶς παρ᾽ αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ τῇ ἐν Αὐγουστουπόλει[3], ἐν ᾗ τὴν θείαν λειτουργίαν ὁ πάππος Εὐτυχίου[4] ἐπετέλει, καὶ τῶν ἱερῶν σκευῶν ἐποιεῖτο τὴν φυλακήν. Ἐπεὶ τὰ ἱερὰ ἐξεμελέτησε λόγια καὶ ἐπὶ βάθος γνώσεως προῆλθεν, μετεκλήθη παρὰ τοῦ Ἀμασείας[5] τηνικαῦτα προέδρου καὶ παρ᾽ αὐτοῦ τὰς τρίχας κείρεται ἐν τῷ ναῷ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Οὐρβικίου· εἶτα[6] διάκονος καὶ πρεσβύτερος χειροτονηθεὶς τὸ ἐν Ἀμασείᾳ συσταθὲν μοναστήριον παρὰ Μελετίου καὶ Σελεύκου τῶν ἀρχιερέων καταλαμβάνει, καὶ ἐν αὐτῷ τὸν μονήρη ὑποδύεται βίον· εἶτα καὶ ἀρχιμανδρίτης καθίσταται. Τῆς δὲ πέμπτης συνόδου παρὰ Ἰουστινιανοῦ τοῦ βασιλέως συγκροτουμένης καὶ τῶν πανταχόθεν ἀρχιερέων συγκαλουμένων, ἐπεὶ διά τινα συμβᾶσαν νόσον ὁ τῆς Ἀμασείας πρόεδρος τῆς ὁδοῦ κατατολμῆσαι ἀδύνατος ἦν, ὁ μακάριος Εὐτύχιος ἀποστέλλεται τὸν τόπον ἀναπληρώσων αὐτοῦ. Γενόμενος δὲ ἐν Κωνσταντινουπόλει καὶ τῆς αὐτοῦ ἀρετῆς καὶ συνέσεως πεῖραν δοὺς ἐν ταῖς καταντιθέσεσι τῶν αἱρετικῶν καὶ[7] ἀποκρίσεσι, καὶ λαμπρὸς φανεὶς ἐφ᾽ οἷς τοὺς αἱρετικοὺς διήλεγξεν καὶ γραφικαῖς ἀποδείξεσι δεῖν τοὺς αἱρετικοὺς πάντας καὶ μετὰ τελευτὴν ἀναθεματίζεσθαι πιστωσάμενος, εἰς πόθον αὐτοῦ τὸν βασιλέα[8] ἐκίνησεν, ὡς καὶ τὸν μακάριον Μηνᾶν τὸν πατριάρχην εἰπεῖν ἐκ θείας ἀποκαλύψεως, ὡς αὐτὸς εἴη ὁ τούτου διάδοχος, καὶ μετ᾽ οὐ πολὺ πρὸς Κύριον ἐκδημήσαντα, μεταπέμψασθαι τὸν βασιλέα ἐξ Ἀμασείας τὸν ὅσιον, καὶ ψήφῳ τῶν ἀρχιερέων καὶ παντὸς τοῦ τῆς ἐκκλησίας καὶ τοῦ τῆς πόλεως πληρώματος ἀναδεῖξαι ἀρχιερέα ταύτης τῆς λαμπρᾶς[9] μεγαλοπόλεως. Εἶτα τοῦ τῶν ζιζανίων σπορέως τὴν εὐστάθειαν καὶ κατάστασιν ὁρᾶν τῆς ἐκκλησίας μὴ φέροντος καὶ σαθροῖς δόγμασιν ὥσπερ τισὶ μηχαναῖς διασαλεῦσαι ταύτην πειρῶντος καὶ βλασφημεῖν τινας ἀναπείθοντος ὡς ἐν εὐσεβείας προσχήματι, ὅτι ἡ ἐκ τῆς ἁγίας παρθένου ἐν[10] τῷ Χριστῷ προσ-

[1] *in ras. hic et deinceps* D. — [2] S, Da, Εὐτυχίῳ D. — [3] Αὐγουστοπόλει D. — [4] Εὐτύχιος D, *prima manu*. — [5] Ἀμασίας D. — [6] εἶτα *corr. prius* εἶ D. — [7] καὶ *add. corr. supra lin.* D. — [8] (δεῖν ... καὶ μετὰ - βασιλέα) *corr. supra ras.* D. — [9] καὶ *add.* D, *sed corr. del.* — [10] ¦¦¦ ἐν D.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζʹ.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ σημειοφόρου[1] Γεωργίου ἐπισκόπου Μιτυλήνης. Οὗτος ἐξ ἁπαλῶν ὀνύχων τὸν Χριστὸν[2] ποθήσας, τὸν μοναστὴν ὑπέρχεται βίον· πᾶσαν δὲ ἀρετὴν ἐξασκήσας, τὴν[3] ταπεινοφροσύνην ὡς οὐδεὶς ἄλλος[4] f. 190v. ἐκτήσατο. Ἐλεήμων δὲ | πάνυ γενόμενος, εἰς τὸν θρόνον Μιτυλήνης ἀνάγεται· εἰς ὃν καλῶς διαπρέψας καὶ τοὺς εἰκονομάχους[5] τῷ περιόντι τῆς σοφίας καταπλήξας καὶ τὴν ἰδίαν πλάνην ἐπιγνῶναι τούτους ποιήσας καί, ἐν σώματι τελῶν, διὰ τῆς ὑπερβαλλούσης[6] ἐγκρατείας ἀγγέλοις ἁμιλληθεὶς τοῦ βίου μεθίσταται, μυρία θαύματα ἐργασάμενος. Προέγνω ἐκ θείας ἀποκαλύψεως τὴν ἑαυτοῦ τελευτὴν διὰ θείου ἀστέρος, ταύτην δηλώσαντος οὐ μόνον αὐτῷ[7] ἀλλὰ καὶ πάσῃ τῇ αὐτοῦ ποίμνῃ. Πηγὰς δὲ θαυμάτων ἐκ τῶν αὐτοῦ λειψάνων τοῖς ποθοῦσι χαρισάμενος, πᾶσίν ἐστιν ἀξιέραστος[8]. April. 7.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Καλλιοπίου. Οὗτος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως, υἱὸς Θεοκλείας τινὸς χριστιανῆς, ἐκ Πέργης τῆς Παμφυλίας. Τραφεὶς δὲ παρὰ τῇ μητρὶ εὐσεβῶς καὶ ταῖς θείαις ἐμμελετήσας γραφαῖς, διωγμοῦ ἐπικειμένου, αὐτόκλητος προσῆλθε, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα κηρύξας δεσμεῖται τὰς χεῖρας εἰς τὰ ὀπίσω καὶ μολιβδίσι τύπτεται καὶ ἐπὶ τροχοῦ κατατείνεται καὶ κάτωθεν πυρὶ ὑποκαίεται. Ἀγγέλου δὲ ἐπιστασίᾳ τούτων ἁπάντων ῥυσθεὶς ἐβλήθη παρὰ Μαξίμου τοῦ ἡγεμόνος ἐν τῇ φυλακῇ· καὶ ἐκβληθεὶς κατὰ τὴν ἡμέραν τὴν μεγάλην πέμπτην κατεκρίθη ἵνα σταυρωθῇ. Σταυρωθεὶς τοίνυν κατὰ κεφαλῆς — τοῦτο γὰρ

1. — [1] καὶ σημειοφόρου *om.* Mc. — [2] τὸν Χ. ἐξ ἁπαλῶν ὀνύχων Mc. — [3] *om.* Mc. — [4] ἄλλος οὐδεὶς Mc. — [5] εἰκονομάχας S. — [6] ὑπερβαλούσης Mc. — [7] (μύρια - αὐτῷ) διὰ θείου ἀστέρος τῆς ἐξόδου αὐτοῦ οὐ μόνον αὐτῷ μηνυθείσης Mc. — [8] πᾶσιν κτλ. *om.* Mc.

ληφθεῖσα σὰρξ πρὸ τοῦ πάθους ἄφθαρτος ἦν, καὶ τοῦ βασιλέως τῇ ἀσεβείᾳ τοῦ δόγματος ὑπαχθέντος, καθαιρεῖται τοῦ θρόνου καὶ ἀπελαύνεται ὁ μέγας Εὐτύχιος, τὸ δυσσεβὲς τοῦ προβλήματος ἐξελέγχων. Γενόμενος δὲ ἐν τῷ κατὰ τὴν Ἀμάσειαν μοναστηρίῳ — ἐκεῖσε γὰρ ὑπερώριστο — τῆς ἀσκητικῆς διαγωγῆς εἴχετο· καὶ πολλὰς θαυμάτων ἐνεργείας διαπραξάμενος, αὖθις ἐπὶ τὸν οἰκεῖον θρόνον ἀνάγεται, δωδέκατον ἤδη χρόνον ἐν τῇ ὑπερορίᾳ τελέσας, τοῦ μὲν Ἰουστινιανοῦ ἐξ ἀνθρώπων γενομένου, Ἰουστίνου δὲ καὶ Τιβερίου ἐπὶ τοῖς σκήπτροις ἀναχθέντων τῆς βασιλείας· λαμπρᾶς δὲ τῆς παρὰ τῶν ἐν τέλει τυχὼν δεξιώσεως καὶ τὸν ἐπικείμενον ὄλεθρον τοὺς ἀνθρώπους ἄρδην ἀναιροῦντα καὶ λυμαινόμενον, δι᾽ εὐχῆς αὖθις ἀναστείλας καὶ ἐπὶ χρόνοις κʹ καὶ τέσσαρσι καὶ μησὶν ἓξ μετὰ τὴν ἐκ τῆς ὑπερορίας κάθοδον τὴν ἐκκλησίαν κατασχὼν πρὸς Κύριον ἐξεδήμησεν, καὶ πρότερον τῷ βασιλεῖ Τιβερίῳ πρὸ τῆς ἀρχῆς προθεσπίσας[11] τὴν βασιλείαν καὶ ὕστερον, αὐτοῦ εἰς ἐπίσκεψιν παραγενομένῳ, περὶ τοῦ τέλους εἰπών· ὃ καὶ συνέβη. Μετὰ γὰρ τὴν τοῦ ἁγίου πρὸς Κύριον ἐκδημίαν τέσσαρας μῆνας ἐπιβιώσας, καὶ αὐτὸς ἀπανέστη τοῦ σώματος. Κατετέθη δὲ ὁ ἅγιος Εὐτύχιος ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων Ἀποστόλων κατὰ τὴν κρηπῖδα τῆς ἁγίας τραπέζης, ἔνθα Ἀνδρέου καὶ Τιμοθέου καὶ Λουκᾶ τὰ ἅγια κατάκεινται λείψανα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : Φερφούθης (April. 5[3]). — **Bc** : 1. — Τῶν ἁγίων ρνʹ μαρτύρων (April. 5[4]). — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — Ἀγάπη, Εἰρήνη, Χιονία (April. 16[1]). — Γαλύκου, Βιθυνίου, Δίου (April. 3[3]). — Ἱλαρίου (April. 3[4]). — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Οἱ ἅγιοι ρκʹ μάρτυρες. — Ἡ ἁγία Πλατωνὶς ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι δύο μάρτυρες οἱ ἐν Ἀσκάλωνι χωσθέντες ἄχρις ὀσφύος τ. — **Mv** : 1. — Τῶν ἁγίων ἑκατὸν εἴκοσι. — Πλατωνίδος. — Τῶν ἁγίων δύο μαρτύρων. — **Mr** : 1.

April. 7. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. — **P** : 2. 3. 4. — **D** : 1. 2. 3 et 4 : Καλλιοπίου καὶ τοῦ ἁγίου μάρτυρος Ῥουφίνου διακόνου καὶ τῆς ἁγίας μάρτυρος Ἀκυλίνης καὶ τῶν σὺν αὐτοῖς[1] μαρτυρησάντων διακοσίων. Ὧν ὁ ἅγιος μάρτυς Καλλιόπιος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως, υἱὸς γεγονὼς Θεοκλείας, τὴν εἰς Χριστὸν πίστιν δεδιδαγμένης· ὥρμητο δὲ ἐκ Πέργης τῆς Παμφυλίας. Τραφεὶς δὲ παρὰ τῇ μητρὶ εὐσεβῶς καὶ ταῖς θείαις ἐμμελετήσας γραφαῖς, ἐπικειμένου τοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ, ἑαυτὸν ἐπιρρώσας καὶ ἅμα παρὰ τῆς μητρὸς παραινέσεις πρὸς τὸ θαρρεῖν ὑπὲρ τοῦ κατὰ Χριστὸν μαρτυρίου δεξάμενος, αὐτόκλητος ἦλθε πρὸς τὸν ἡγεμόνα Μάξιμον· τὴν Πομπηιούπολιν, ἐφ᾽ ἧς ὁ ἡγεμὼν διέτριβεν, καταλαβὼν καὶ τὸ τοῦ Χριστοῦ ὄνομα ἀνακηρύξας, εἰς τοὐπίσω τὰς χεῖρας δεσμεῖται καὶ μολιβίσι τύπτεται καὶ ἐπὶ τροχοῦ κατατείνεται καὶ κάτωθεν πυρὶ ὑποκαίεται. Ἀγγέλου δὲ ἐπιστασίᾳ ὅ τε τροχὸς ἔστη καὶ διεψυχράνθη τὸ πῦρ, φευκτὸς δὲ τοῖς ὁρῶσι διασπαραχθέντων αὐτοῦ τῶν μελῶν ὁ ἅγιος φανείς, ἐβλήθη ἐν τῇ φυλακῇ, ἐν ᾗ ἡ μήτηρ αὐτοῦ συνελθοῦσα ἀπέματτεν τοὺς ἐκ τῶν τραυμάτων ἰχῶρας[2] αὐτοῦ καταρρέοντας. Διαδοῦσα γὰρ πτωχοῖς τὴν οὐσίαν καὶ τοὺς

— [11] προθεσπεσίσας D.
[1] αὐτῶν D. — [2] *corr. in ras.* D.

April. 7. ἠτήσατο ἡ μήτηρ τοῦ ἁγίου, ἵνα μὴ [1] ὁμοίως τῷ Χριστῷ καὶ Θεῷ κρεμασθῇ, καὶ πέντε χρυσίνους ὑπὲρ τούτου παρασχοῦσα τοῖς δημίοις — ἐπιγενομένης τῆς παρασκευῆς ἐπὶ ὥραν τρίτην τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Κατενεχθέντι δὲ αὐτῷ ἡ μήτηρ ἐπιχυθεῖσα καὶ λιποψυχήσασα ἀφῆκεν καὶ αὐτὴ τὴν ψυχήν· καὶ συγκατετέθη τῷ μάρτυρι παρὰ χριστιανῶν εὐσεβῶν καὶ πιστῶν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ῥουφίνου τοῦ θαυματουργοῦ.

4. Καὶ τῆς ἁγίας μάρτυρος Ἀκυλίνης καὶ τῶν σὺν αὐτῇ διακοσίων μαρτύρων [1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

April. 8. **1.** Μνήμη τῶν ἁγίων ἀποστόλων Ἡρωδίωνος [1], Ἀγάβου καὶ Ῥούφου. Τούτων ὁ μὲν Ἡρωδίων, οὗ ὁ μέγας ἀπόστολος μέμνηται Παῦλος, ἐπίσκοπος ἐν Πάτραις τῆς Ἀχαΐας ἐγένετο. Ὁ δὲ Ἄγαβος, ὃς τὴν ζώνην τοῦ μεγάλου Παύλου λαβὼν καὶ ἑαυτοῦ χεῖρας καὶ πόδας δεσμήσας,
Act. 21:11. προεφήτευσεν εἰπών· « Τάδε λέγει τὸ Πνεῦμα τὸ » ἅγιον· τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτως » δήσουσιν αὐτὸν ἐν Ἱερουσαλὴμ οἱ ἰουδαῖοι καὶ
f. 191. » μαστίξουσιν », ὃ καὶ γέγονεν. Οὐ γὰρ μόνον | αὐτὸν ἐδέσμευσαν ἀλλὰ καὶ ἀνελεῖν ἐπεχείρησαν. Οὗτος τοίνυν ὁ Ἄγαβος εἰς τὸ ἐπιλαχὸν αὐτῷ μέρος τῆς οἰκουμένης ἐκήρυξεν. Ὁ δὲ Ῥοῦφος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ ἅγιος Παῦλος μέμνηται, ἐπίσκοπος τῆς πόλεως Θηβῶν τῶν πρὸς τῇ Ἑλλάδι ἐγένετο· ὁμοίως καὶ οἱ λοιποὶ πανταχοῦ τῆς οἰκουμένης ἐκήρυξαν [2]. Ἀμφότεροι δὲ τὸν Χριστὸν Θεὸν ὁμολογοῦντες καὶ τοὺς ἀπίστους εἰς πίστιν μεταγαγόντες τὴν ἀληθινήν, ἐν μιᾷ ἡμέρᾳ διαφόρως ὑπὸ ἰουδαίων καὶ ἑλλήνων τιμωρηθέντες ἐτελειώθησαν.

2. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Κελεστίνου πάπα Ῥώμης. Ὃς ὑπῆρχεν [1] ἐπὶ Θεοδοσίου τοῦ ἐν βασιλεῦσιν [2] νέου, ἐν τῇ ἐκκλησίᾳ τῆς πρεσβυτέρας Ῥώμης διὰ βίου καὶ λόγου καλῶς ἀνηγμένος· διὸ [3] καὶ τῆς ἀρχιερατικῆς ἠξιώθη καθέδρας, Ζωσίμου τοῦ πάπα τὸν βίον ἀπολιπόντος. Ὃς τὸν μακάριον Βονιφάτιον, ὁ δὲ τὸν μέγαν διεδέξατο Ἰνοκέντιον. Ὁ δὲ Κελεστῖνος ὑπὲρ τῶν ἀποστολικῶν καὶ πατρικῶν παραδόσεων πάντα καὶ λέγων καὶ πράττων, συγκαθεῖλε τὸν ἀσεβῆ Νεστόριον, δι' ἐπιστολῆς τὰς θεομισεῖς αὐτοῦ βλασφημίας [4] ἀποκηρύξας καὶ τῷ μακαρίῳ Κυρίλλῳ συνεργὸς εἰς τὴν αὐτοῦ καθαίρεσιν γεγονὼς πολλά

2. — [1] μοι S.
1. — [1] Ἡροδίονος S. — [2] ὁ δὲ Ῥοῦφος οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ ἀπόστολος μέμνηται ἐπίσκοπος καὶ αὐτὸς Θηβῶν ἐγένετο *add.* S.
2. — [1] οὗτος ἦν Mc. — [2] ἐν β. *om.* Mc. — [3] δι' ὧν Mc. — [4] ἐλέγξας τε καὶ *add.* Mc.

April. 7. παῖδας καὶ τὰς παιδίσκας, τοὺς [3] σύμπαντας ὄντας πεντήκοντα καὶ διακοσίους, ἀπαλλάξασα τῆς δουλείας, συνῆν καὶ συνέψαλλεν τῷ ἁγίῳ. Φωτὸς δὲ περὶ τὴν φυλακὴν ἐν μέσῃ νυκτὶ γενομένου καὶ φωνῆς ἄνωθεν ἐνεχθείσης, δι' ἧς ἡ τοῦ μάρτυρος παρρησία καὶ ὁμολογία ἐμακαρίζετο, ἔτι μᾶλλον ἐπερρώσθη πρὸς τοὺς ἀγῶνας. Ὅθεν ἐπὶ τοῦ ἀνενδότου μένων, σταυρωθῆναι κατεδικάσθη· ἐκοινώνει δέ πως τῶν δεσποτικῶν παθῶν, οὐ τῷ τοῦ θανάτου μόνον τρόπῳ, ἀλλὰ καὶ τῷ καιρῷ, καθ' ὃν ταῦτα συνέβαινε, τῆς μεγάλης <πέμπτης [4]> ἐφισταμένης πρὸ τῆς σωτηρίου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως. Σταυρωθεὶς τοίνυν κατὰ κεφαλῆς, τοῦτο τῆς μητρὸς αἰτησαμένης καὶ πέντε χρυσίνους ὑπὲρ τούτου ἐπιδούσης τοῖς διώκταις, ἐπιγενομένης τῆς παρασκευῆς, περὶ τρίτην ὥραν τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν. Κατενεχθέντι δὲ αὐτῷ ἡ μήτηρ ἐπιχυθεῖσα καὶ λιποψυχήσασα ἀφῆκεν καὶ αὐτὴ τὴν ψυχήν· καὶ συγκατετέθη τῷ ἁγίῳ μάρτυρι παρὰ ἀνδρῶν εὐσεβῶν καὶ πιστῶν. — **Da** : 1. 2. 3. 4. — **Db** : 1. 2. 3. 4. — **K** : 1. 2. 3. 4. — **N** : 1. 2. 3. 4. — **Bb** : Εὐτυχίου (April. 6[1]). — Τῶν ἁγίων ρν' μαρτύρων (April. 5[4]). — **Bc** : 1. 2. 3 et 4. — **C** : 1. 2. 3. 4. — **Cd** : 1. 2. 3. 4. — **Ce** : 1. 2. — **Cg** : 1. 2. 3. 4. — **R** : deest. — **Ra** : 2. 3. 4. — **Rb** : 2. 3. 4. — **Rc** : 1. 3. 4. — **Mc** : 1. 2. 3. 4 : Ἡ ἁγία Ἀκυλίνα ἡ νέα τὰς χεῖρας ὀπίσω δεσμηθεῖσα καὶ τὴν κοιλίαν φλεχθεῖσα τ. Οἱ ἅγιοι διακόσιοι μάρτυρες οἱ ἐν Σινώπῃ ξ. τ. — **Mv** : 1. 2. 3. 4 : Ἀκυλίνη... Διακοσίων μαρτύρων. — **Mr** : 2. 1.

April. 8. SYNAXARIA SELECTA. **H** : 3. 2. — **P** : 3 : οὗτος ἦν ἐπὶ Ἀδριανοῦ βασιλέως... Des. : ἀπέδωκε τὴν ψυχήν. Καὶ χριστιανοὶ μυρίσαντες τὸ ἅγιον λείψανον αὐτόθεν ἐκήδευσαν καὶ κατέθηκαν ἐν τόπῳ λεγομένῳ Δαύλῳ. — 2. — **D** : 1 : Ἡ μνήμη τῶν ἁγίων ἀποστόλων Ἡρωδίωνος, Ἀγάβου, Ῥούφου, Φλέγοντος, Ἑρμοῦ καὶ τῶν σὺν αὐτοῖς. — 3. 2. — **Da** : 2. 1. — **Db** : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 3. 2. 1. — **Bb** : Γεωργίου ἐπισκόπου Μιτυλήνης (April. 7[1]). — Καλλιοπίου (April. 7[2]). — Ῥουφίνου καὶ τῆς συνοδίας (April. 7[3], [4]). — **Bc** : 3. 2. — **C** : 3 (Παυσολυπίου). — 2 (Κελευστίνου). — **Cd** : 3. 2. — **Ce** : 3. 2. — **Cg** : 3. 2. — **R** : deest. — **Ra** : 1. 2. 3. — **Rb** : 1. 2. — **Rc** : 1. 2. 3. — **Mc** : 1 : Ἡρωδίωνος, Ἀγάβου, Φλέγοντος καὶ τῶν λοιπῶν. Τούτων ὁ μὲν Ἡρωδίων, οὗ ὁ μέγας ἀπόστολος Παῦλος μέμνηται, τοῖς ἁγίοις ἀποστόλοις διηκόνει ἐν ἅπασι· μετὰ δὲ ταῦτα ὑπ' αὐτῶν χειροτονεῖται πρεσβύτερος, εἶτα ἐπίσκοπος Νέων Πατρῶν. Πολλοὺς δὲ τῶν ἑλλήνων διδάσκων καὶ ἐπιστρέφων εἰς τὴν τοῦ Χριστοῦ πίστιν, ὑπὸ Ἰουδαίων φθονηθεὶς ἐπισυστάντων αὐτῷ μετὰ εἰδωλολατρῶν, πρῶτον μὲν τυφθεὶς ἰσχυρῶς καὶ λίθοις τὸ στόμα συντριβεὶς καὶ ξύλοις κατὰ κεφαλῆς κρουσθείς, ὕστερον μαχαίρᾳ ἀποσφάττεται. Ὁ δὲ Ἄγαβος, ὃς τὴν ζώνην τοῦ ἁγίου Παύλου λαβὼν καὶ ἑαυτοῦ χεῖρας καὶ πόδας

— [3] *corr.* D ; *prius* τοῦ. — [4] *om.* D.

τε ἄλλα κατορθώματα μνήμης καὶ λόγου [5] ἄξια κατεργασάμενος ἐν εἰρήνῃ τῶν τῇδε ἀπανίσταται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Παυσιλύπου. Οὗτος ἦν κατὰ τοὺς χρόνους Ἀδριανοῦ τοῦ βασιλέως καὶ Πρίσκου ἐπάρχου τῆς Εὐρώπης [1]. Φωραθεὶς δὲ ὡς [2] τὸν Χριστὸν σεβόμενος, προσήχθη τῷ βασιλεῖ· καὶ χριστιανὸν ἑαυτὸν [3] ὁμολογήσας, τύπτεται ἀφειδῶς ῥάβδοις
April. 8. τριακοσίοις [4] καὶ [5] ἐκδίδοται Πραίκῳ τῷ ἐπάρχῳ. Ἐπιμένων δὲ <τῇ [6]> εἰς Χριστὸν ὁμολογίᾳ τὴν διὰ ξίφους ἀπόφασιν δέχεται· διασπάσας δὲ τὴν περιτεθεῖσαν αὐτῷ ἅλυσιν καὶ μικρὸν ὑπεκφυγὼν τοὺς κατέχοντας [7], τῇ γῇ προσερεισθεὶς καὶ εὐξάμενος τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐψυχίου τοῦ ἐν Καισαρείᾳ τῆς Καππαδοκίας [1]. Οὗτος ὑπάρχων τῆς Καππαδοκῶν [2] χώρας, βίον ἀνεπίληπτον καὶ γνώμην κεκτημένος [3], γυναῖκα νομίμως ἠγάγετο. Ζήλῳ δὲ θείῳ πυρωθεὶς καὶ χριστιανῶν τοὺς πλείονας προσλαβόμενος, καθεῖλεν ἐκ βάθρων τὸν
f. 191v. ναὸν τὸν ἐπι|λεγόμενον τῆς Τύχης [4], εἰς ὃν <ἦν [5]> πιστεύων [6] ὁ παραβάτης Ἰουλιανὸς καὶ σπονδὰς καθ' ἑκάστην προσφέρων. Καὶ [7] ἐπεὶ διεγνώσθη [8] τὸ γενόμενον, σχεδὸν πάντας τοὺς χριστιανοὺς ἐκέλευσε [9] τῶν ἰδίων στερηθῆναι καὶ [10] ἐξορίαις καὶ κακώσεσι [11] ποικίλαις παραδοθῆναι· τὸν δὲ μάρτυρα Εὐψύχιον ὡς αἴτιον γενόμενον τοῦ τοιούτου δράματος ξίφει καθυποβληθῆναι καὶ τὸ πέρας τοῦ βίου δέξασθαι.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος [1] Βαδίμου τοῦ ἀρχιμανδρίτου [2]. Οὗτος ἦν κατὰ τοὺς χρόνους Σαβωρίου τοῦ [3] βασιλέως Περσῶν, ἐκ πόλεως Βηθλαπάτης. Οὐδὲν δὲ ἡγησάμενος τὸ τοῦ γένους περιφανὲς καὶ τὸν προσόντα πλοῦτον, ταῦτα παριδὼν γέγονε μοναχός, εἶτα καὶ ἀρχιμανδρίτης. Συνελήφθη [4] δὲ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν μετὰ τῶν φοιτητῶν αὐτοῦ ἑπτὰ [5] καὶ ἐτέθη ἐν εἱρκτῇ μῆνας τέσσαρας· εἶτα ἐξαχθεὶς ἐκδίδοται πρὸς τὸ ἀποτμηθῆναι τὴν [3] κεφαλὴν [3] Νηρσᾷ τινι δημίῳ [6], πρότερον μὲν χριστιανῷ ὄντι, διὰ δὲ τὸν φόβον τῶν βασάνων τὸν Χριστὸν ἀρνησαμένῳ. Ὃν ἰδὼν ὁ ἅγιος ἐταλάνισε τῆς ἀρνήσεως· αὐτὸς δὲ τρομαλέᾳ χειρὶ τετράκις κατενεγκὼν τὸ ξίφος καὶ τοσαυτάκις πλήξας, οὕτως ἐν κρίσει πολλῇ
April. 9. τὸν ἅγιον παραδεδωκέναι τὸ πνεῦμα ἐποίησεν. Ὕστερον δὲ καὶ αὐτὸς διὰ ξίφους ἀπώλετο, πολλοῖς κακοῖς συσχεθεὶς ὡς τῇ ἀρνήσει προσμείνας.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων τῶν ἐν τῇ αἰχμαλωσίᾳ τελειωθέντων κατὰ [1] τὸ πεντηκοστὸν τρίτον ἔτος τῆς [2] βασιλείας Σαβωρίου. Ὁ αὐτὸς Σαβώριος [3] κατὰ τῆς Ῥωμαίων χώρας ἐλθών [4], ἦλθε καὶ πρὸς Βιζάβδην πόλιν οὕτω καλουμένην· φονεύσας δὲ τοὺς ἐν αὐτῇ [5] στρατιώτας καὶ τοὺς [6] ὅπλα κινεῖν δυναμένους, τὸν ἀπόλεμον ὄχλον σὺν γυναιξὶ καὶ γέρουσι καὶ παιδίοις [7] καὶ τὸν ἐπίσκοπον Ἡλιόδωρον καὶ Δοσὰν [8] καὶ Μαριὰβ πρεσβυτέρους καὶ πάντας τοὺς ἐν τῷ κλήρῳ περιεποιήσατο. Ἐν τῷ μέλλειν οὖν [9] τελευτᾶν τὸν ἐπίσκοπον Ἡλιόδωρον [10], Δοσὰν [8] τὸν πρεσβύτερον κεχειροτόνηκεν ἀντ' αὐτοῦ. Τῆς οὖν εἰωθυίας [11] δοξολογίας παρὰ τῆς ἐκκλησίας ἀναφερομένης τῷ Θεῷ, Ἀδερφάρ τις ἀρχίμαγος [12] τῷ Σαβωρίῳ ἀνήνεγκεν, ὅτι οἱ παρ' αὐτοῦ ἐαθέντες χριστιανοὶ Δοσάν [8] τινα προστησάμενοι τοῦ βασι-
f. 192. λέως καὶ τῆς θρησκείας αὐτοῦ κατα|βλασφημοῦσι. Προστάξαντος δὲ αὐτοῦ, ἤχθησαν ἄνδρες [13] τριακόσιοι· καὶ μὴ πεισθέντες προσκυνῆσαι [14] τῷ ἡλίῳ καὶ τῷ πυρί, τὰς κεφαλὰς ἀπετμήθησαν. Ἐξ ὧν πέντε καὶ εἴκοσιν φιλοψυχήσαντες ἐπ' ἀπωλείᾳ ἑαυτῶν τῷ βασιλεῖ προσέδραμον [15] καταπειθεῖς τούτῳ [16] γενόμενοι. Εἷς δέ τις ὀνόματι [17] Ἀβδιησοῦς [18] μὴ καιρίαν δεξάμενος τὴν πληγήν, οὐ συνανῃρέθη· ὃν ὕστερον ἀδεῶς [19] κηρύττοντα τὸν

— [5] λόγου καὶ μνήμης Mc.
3. — [1] (καὶ - Εὐρώπης) *om.* D. — [2] ὡς εἴη D, ὅτι S. — [3] καὶ ἑαυτὸν εἶναι χρ. D. — [4] *om.* D. — [5] εἶτα D. — [6] D, *om.* S. — [7] καὶ *add.* D.
1. — [1] τῆς Κ. *om.* Mc. — [2] ὃς ἐκ τῆς Κ. ὁρμώμενος Mc. — [3] καὶ ἀν. βίον κεκτ. Mc. — [4] τὸν τῆς Τ. λεγόμενον Mc. — [5] Mc, *om.* S. — [6] προστετηκὼς Mc. — [7] *om.* Mc. — [8] δὴ ἐγνώσθη Mc. — [9] ἐκέλευσε σχ. π. τ. χ. Mc. — [10] τ. ἰ. στ. κ. *om.* Mc. — [11] κολάσεσι Mc.
2. — [1] ὁσιομάρτυρος Mc. — [2] καὶ τῶν αὐτοῦ μαθητῶν *add.* Mc. — [3] *om.* Mc. — [4] συνελλήφθη S. — [5] μετὰ τῶν ἑπτὰ αὐτοῦ μαθητῶν Mc. — [6] τινὶ δημίῳ Νισὰρ καλουμένῳ Mc.
3. — [1] τὴν Περσίδα τοῦ βασιλέως Σαβωρίου Περσῶν κατὰ *add.* Mc. — [2] αὐτοῦ *add.* Mc. — [3] (Σαβωρίου - Σαβώριος) *om.* Mc. — [4] ἐλθόντος Mc. — [5] (ἦλθε - αὐτῇ) ἐπεὶ καὶ πόλιν τινα εἷλεν οὕτω καλουμένην Βυζάδην ἀνελὼν πρῶτον τοὺς δόξαντας ἐκεῖ Mc. — [6] τά Mc. — [7] παίδοις S, παισὶ Mc. — [8] Δησὰν Mc. — [9] οὖν μέλλειν Mc. — [10] ὁ ἐπίσκοπος Ἡλιόδωρος Mc. — [11] τῆς ε. δὲ Mc. — [12] (τῷ - ἀρχίμαγος) ὁ ἀρχιμάγειρος Ἀδεφὰρ Mc. — [13] ἄνδρες ἤχθησαν Mc. — [14] σέβας προσενεγκεῖν Mc. — [15] προσῆλθον τω βασιλεῖ Mc. — [16] ἐκείνῳ Mc. — [17] τοὔνομα Mc. — [18] Ἀβδιησός S. — [19] ἀνδρείως Mc.

Act. 21, 11. δεσμήσας προεφήτευσεν εἰπών· « Τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτως δήσουσιν αὐτὸν εἰς Ἱερου- » σαλὴμ οἱ ἰουδαῖοι καὶ μαστίξουσιν, » ὃ καὶ γέγονεν. Οὐ γὰρ μόνον αὐτὸν ἐδέσμησαν, ἀλλὰ καὶ ἀνελεῖν ἐπεχείρησαν. Οὗτος τοίνυν ὁ Ἄγαβος εἰς τὸ ἐπιλαχὸν αὐτῷ μέρος τῆς οἰκουμένης ἐκήρυξεν. Ὁ δὲ Ῥοῦφος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ ἀπόστολος μέμνηται, ἐπίσκοπος τῆς πόλεως Θηβῶν τῶν πρὸς τῇ Ἑλλάδι ἐγένετο. Ὁμοίως καὶ ὁ Φλέγων καὶ οἱ λοιποὶ πανταχοῦ τῆς οἰκουμένης κηρύττοντες τὸ εὐαγγέλιον καὶ τοὺς ἀπίστους πρὸς πίστιν μετάγοντες τὴν ἀληθινήν, ἐν μιᾷ ἡμέρᾳ διαφόρως τιμωρηθέντες ὑπὸ ἰουδαίων καὶ ἑλλήνων ἐτελειώθησαν. — 2. — **Mv** : 1. 2. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῶν μυροφόρων. — **Mr** : 1. (April. 8.)

April. 9. SYNAXARIA SELECTA. **H** : 2. 3. — **P** : 2. 3. — **D** : 1. 2. 3. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 2. 1. 3. — **Bb** : Παυσιλύπου (April. 8[3]). — Κελεστίνου (April. 8[2]). — **Bc** : 2. 3. 1. —

April. 9. λόγον τοῦ Θεοῦ παρρησίᾳ[20], ἀσεβής τις ἐπιθέμενος ἀνεῖλε μαχαίρᾳ οὐκ ἀηδῶς δεξάμενον τὴν σφαγήν· καὶ γὰρ ἐδυσφόρει καὶ ἔστενε τῶν συμμαρτύρων[21] ἀπολειφθείς.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀμφιανοῦ καὶ Αἰδεσίου τοῦ αὐταδέλφου αὐτοῦ, ἀθλησάντων ἐν Ἀλεξανδρείᾳ.

5. Καὶ τῆς ἁγίας μάρτυρος Ὑπομονῆς.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

April. 10. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Τερεντίου, Ἀφρικανοῦ, Μαξίμου, Πομπηΐου καὶ ἑτέρων τεσσαράκοντα[1] τῶν περὶ τὸν μακάριον Ζήνωνα καὶ[2] Ἀλέξανδρον καὶ Θεόδωρον. Οὗτοι[3] ὑπῆρχον ἐπὶ[2] Δεκίου τοῦ δυσσεβοῦς[2] βασιλέως καὶ Φουρτουνατιανοῦ[4] ἡγεμόνος· ὥρμηντο δὲ ἐξ Ἀφρικῆς. Καταφοιτήσαντος δὲ δόγματος δεῖν ἐξόμνυσθαι τὴν εἰς Χριστὸν πίστιν τοὺς ταύτης ἀντεχομένους ἢ[5] μὴ πειθομένους παντοίως κολάζεσθαι, ὁρῶντες οὗτοι οἱ τεσσαράκοντα πολλοὺς ὑποσκελιζομένους καὶ πρὸς τὴν πλάνην αὐτομολοῦντας, συνωμολόγησαν ἀλλήλοις ἐνστῆναι <καὶ[6]> τῇ τῆς ψυχῆς καὶ τοῦ σώματος γενναιότητι ὑπὲρ Χριστοῦ καλῶς ἀποχρήσασθαι, ἀναμνήσαντες ἀλλήλους τῶν τοῦ Κυρίου ῥημάτων, ἃ πρὸς τὸ μαρτύριον τοὺς πιστοὺς ἐπαλείφων[7] μὴ δεδοικέναι
Matth. 10, 28. ἔλεγεν[8] ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τῆς δὲ ψυχῆς λαβέσθαι μὴ δυναμένων. Ἐπεὶ δὲ[9] προσαχθέντες τῷ ἡγεμόνι Φουρτουνατιανῷ[10] περὶ τῆς τοῦ Χριστοῦ δυνάμεως καὶ τῆς ἀσθενείας τῶν παρὰ τοῖς Ἕλλησι τιμωμένων ξοάνων διεξῆλθον, τούτους μὲν ὁ ἡγεμὼν[11] ἐν τῇ φρουρᾷ βληθῆναι προσέταξεν[12], τοὺς δὲ[13] περὶ τὸν μακάριον Ζήνωνα καὶ Ἀλέξανδρον καὶ Θεόδωρον μεταστειλάμενος ἀποστῆναι τῆς τοῦ Χριστοῦ πίστεως παρῄνει[14]. Ἐνστάντων δὲ αὐτῶν καὶ τὸ τῆς πίστεως ἄτρεπτον ἐπιδειξαμένων ἐξ ὧν εἶπον καὶ ἔπαθον, νεύροις βοῶν καὶ ῥάβδοις ἀκανθώδεσι καὶ τραχείαις[15] ἐτύφθησαν ἐκ διαδοχῆς τῶν τυπτόντων ἐπὶ τοσοῦτον, ὥστε φανῆναι τὴν ἔνδον τῶν σπλάγχνων οἰκονομίαν· καὶ σουβλίοις πυρωθεῖσι τὰ ψύα αὐτῶν διετρώθη, καὶ κράματι | ὄξει[16] συντεθέντι καὶ ἅλατι (f. 192v.) καὶ τριχίνοις ὑπετρίβησαν[17] ὑφάσμασιν. Ἀπογνοὺς οὖν τὰ κατ' αὐτοὺς ὁ ἡγεμών, μᾶλλον δὲ καὶ[18] περιαλγὴς γενόμενος, οἷς διὰ προσευχῆς οἱ ἅγιοι ἐπὶ γῆς τὰ ξόανα ἤνεγκαν καὶ συνετρίβησαν, ἀποτμηθῆναι τὰς κεφαλὰς τούτων ἐκέλευσεν μηνὶ ἀπριλλίῳ πέμπτῃ[18]. Ἀχθέντες δὲ οἱ περὶ τὸν Τερέντιον καὶ παρρησιασάμενοι, αὖθις εἰς τὴν φυλακὴν ἐβλήθησαν[19], προσδεθέντες κλοιοῖς κατὰ τῶν τραχήλων καὶ πέδαις ὑποβληθέντες τοὺς πόδας καὶ τὰς χεῖρας[20] ἁλύσει δεθέντες[21]. Διήνεγκαν οὖν τὴν χαλεπὴν ταύτην τιμωρίαν, ὑποκειμένων αὐτοῖς τριβόλων σιδηρῶν[22], ἐπὶ πλείστας ἡμέρας ἀπόσιτοι διαμείναντες — εἰσαγωγὴ γὰρ ἄρτων[23] ἀπηγορεύθη παρὰ τοῦ ἡγεμόνος τοῖς δεσμοφύλαξιν. Αὐτοὶ δὲ θείας[24] ἀντιλήψεως τυχόντες παρὰ Θεοῦ, δι' ἐπιστασίας ἀγγέλου[25] τῶν δεσμῶν ἀποπεσόντων καὶ τροφῆς αὐτοῖς οὐρανόθεν χορηγηθείσης, αὖθις νεαροὶ τῷ ἡγεμόνι παρέστησαν· ξεσθέντες δὲ καὶ θηρίοις ὑποβληθέντες, ὧν οὐδὲν αὐτῶν ἥψατο, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

April. 11. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα ἐπισκόπου Περγάμου τῆς Ἀσίας, τοῦ καὶ μύρον ἀδιαλείπτως βλύζοντος. Οὗτος ἦν κατὰ τοὺς καιροὺς Δομετιανοῦ τοῦ βασιλέως, σύγχρονος[1] τῶν ἁγίων ἀποστόλων, ὅτε καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης ὁ θεολόγος εἰς Πάτμον τὴν νῆσον ἐξόριστος

— [20] τὸν Χριστὸν *add.* Mc. — [21] μαρτύρων Mc.

1. — [1] ἑτέρων λς' Mc. — [2] *om.* Mc. — [3] κατὰ τοὺς χρόνους *add.* Mc. — [4] Φουρτινιανοῦ Mc. — [5] (τὴν εἰς - ἢ) τὸν Χριστὸν καὶ τοὺς μὲν πειθομένους τιμῶν βασιλικῶν ἀξιοῦσθαι τοὺς δὲ Mc. — [6] Mc, *om.* S. — [7] ἐπαλείφουσι Mc. — [8] λέγοντος Mc. — [9] οὖν Mc. — [10] τῷ ἡγ. πρ. Φουρτινιανῷ Mc. — [11] ὁ ἡγ. *om.* Mc. — [12] εἰς ἐξέτασιν δὲ καταστάντας πρότερον *add.* Mc. — [13] *om.* Mc. — [14] καὶ προσελθεῖν τοῖς εἰδώλοις *add.* Mc. — [15] ῥάβδοις γ. ἀκ. κ. ν. βοῶν Mc. — [16] (ὥστε - αὐτῶν διατρήσας καὶ κρᾶμα ὄξυ *ita* S) ὡς διαδείκνυσθαι τὴν ἔνδον τῶν σπλάγχνων αὐτῶν οἰκονομίαν· εἶτα ὀβελίσκοις πυρωθεῖσι κατὰ τῶν νώτων ἐπάρησαν καταχεθέντες κράματι ὄξει Mc. — [17] ἐπενετρίβησαν Mc. — [18] (ἐπὶ - πέμπτῃ) κατήνεγκαν ἀποτμηθῆναι τὰς κεφαλὰς τούτων προσέταξεν Mc. — [19] ἐνεβλήθησαν Mc. — [20] τὰς χ. κ. τ. π. Mc. — [21] περιδεθέντες Mc. — [22] καὶ ἅμα ἐπὶ πλείστας Mc. — [23] σιτίων Mc. — [24] (α. δ. θ.) ἀλλ' ἐν αὐτοῖς δεινοῖς Mc. — [25] ἀγγέλων καὶ Mc.

1. — [1] σύχρονος S.

April. 9. **C** : 2. 3. 1. — **Cd** : 2. 3. 1. — **Ce** : 2. 3. 1. — **Cg** : 2. 3. 1. — **R** : 1. 2. — **Ra** : 1. 3. — **Rb** : 1. 3. — **Rc** : 1. — **Mc** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — Ἀβδιησοῦς μαχαίρᾳ τ. — **Mr** : 1.

April. 10. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Τοῦ προφήτου καὶ ἀποστόλου Ἀγάβου (April. 8[1]). — **D** : 1. — Ἀγάβου. — **Da** : 1. — Ἀγάβου. — **Db** : 1. — Ἀγάβου. — **K** : 1. — Ἀγάβου. — **N** : 1. — **Bb** : Βαδίμου (April. 9[2]). — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Περσίδι (April. 9[3]). — Εὐψυχίου (April. 9[1]). — **Bc** : 1. — Ἀγάβου. — **C** : 1. — Ἀγάβου. — **Cd** : 1. — Ἀγάβου[1]. — **Ce** : 1. — Ἀγάβου. — **Cg** : 1. — Ἀγάβου. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Ὁ προφήτης Ὀλδᾶ ἐν εἰρήνῃ τ. — Ἰακώβου καὶ Ἀζᾶ (April. 17[3]). — **Mv** : 1. — Τῆς ἁγίας προφήτιδος Ὀλδᾶ. — Ἰακώβου καὶ Ἀζᾶ. — **Mr** : 1.

April. 11. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. 2. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. — **N** : 1. — **Bb** : Τερεντίου, Ἀφρικανοῦ κτλ. (April. 10[1]). — Ἀγάβου (April. 8[1]). — **Bc** : 1. — **C** : 1. — **Cd** :

[1] Ἀγάθου Cd.

ἦν, ὡς ἡ ἐπιστολὴ ἡ περὶ αὐτοῦ γράφει, ἱερέα τοῦτον πιστὸν καὶ μάρτυρα καλῶν. Ὑπάρχων δὲ τῆς κατὰ Πέργαμον ἐκκλησίας ὁ ἅγιος Ἀντίπας ἐν πάνυ πρεσβυτικῇ ἡλικίᾳ καὶ γηραιᾷ ἐκρατήθη[2] παρὰ τῶν εἰδωλολατρῶν τῶν σεβομένων τοῖς εἰδώλοις, ἐμφανισάντων αὐτοῖς τῶν εἰδώλων[3] μὴ δύνασθαι τὸν τόπον κατοικεῖν διὰ τὸν Ἀντίπαν. Ὅθεν ἀχθεὶς πρὸς τὸν ἡγεμόνα καὶ αὐτοῦ καταναγκάζοντος θῦσαι τοῖς εἰδώλοις καὶ προβαλλομένου τὴν τῶν ἑλλήνων θρησκείαν ἀρχαίαν εἶναι καὶ τιμιωτέραν, νεοφανῆ δὲ τὴν τῶν χριστιανῶν, οὐκ ἔπεισεν ἀλλ' ἐκ παραδείγματος ἤλεγξεν τὴν τῶν ἑλλήνων θρησκείαν παλαιὰν μὲν οὖσαν, κακὴν δέ. Ἔφη γὰρ ὅτι ὁ Κάϊν παλαιὸς μὲν γέγονε καὶ πρῶτος ἄνθρωπος μετὰ τὸν πρωτόπλαστον, ἀλλὰ φονεὺς τοῦ ἀδελφοῦ. Τούτοις τῶν ἀπίστων πρὸς ὀργὴν ἀναρριπισθέντων, ὁ μάρτυς ἐν τῷ κατὰ τύπον βοὸς τεχνευθέντι χαλκουργήματι ἐπὶ πλεῖ- (April. 11.) στον | ἐκπυρωθέντι ἐμβάλλεται. (f. 193.) Πολλὰ δὲ ἐν αὐτῷ τῷ Θεῷ ἱκετεύσας καὶ τὴν μεγάλην αὐτοῦ δύναμιν ἐξυμνήσας, καὶ ὑπὲρ ὧν ἠξιώθη παθεῖν αὐτῷ[4] εὐχαριστήσας, καὶ τοὺς μεμνημένους αὐτοῦ[5] ἄλλων τε νοσημάτων καὶ τῆς ἀπαρηγορήτου τῶν ὀδόντων ὀδύνης ἀπαθεῖς φυλάττεσθαι ἐξαιτήσας καὶ ἐπευξάμενος αὐτοῖς ἁμαρτιῶν ἄφεσιν καὶ τῆς μελλούσης κρίσεως ἱλασμόν, καὶ μέντοι τυχὼν τῆς αἰτήσεως, πρὸς Κύριον ἐξεδήμησε· καὶ ἐτέθη ἐν τῇ κατὰ Πέργαμον ἐκκλησίᾳ μύρα καὶ ἰάσεις ἀεννάως πηγάζων. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου, πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Τρυφαίνης τῆς ἐν Κυζίκῳ[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

April. 12. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου[1] ἐπισκόπου Παρείου. Ὃς κατὰ Παῦλον τὸν θεῖον τὴν ζωὴν αὐτοῦ ἅπασαν ἐν διωγμοῖς καὶ θλίψεσιν καὶ στενοχωρίαις διήνυσε, τὰς μεταβάσεις ἀεὶ ποιούμενος διὰ τὸ μὴ συνελθεῖν τοῖς εἰκονομάχοις καὶ ὑπογράψαι εἰς τὴν κατάλυσιν τῶν ἁγίων εἰκόνων[2], τῶν πατρικῶν μὲν[3] δογμάτων καὶ[3] παραδόσεων[3] προϊστάμενος, καταγελῶν δὲ[4] τῶν κακοδόξων. Ἐν τούτοις ἐγκαρτερῶν ἀνεπαύσατο ἐν Κυρίῳ[5].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρτέμωνος[1]. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, πρεσβύτερος τῆς κατὰ Λαοδίκειαν ἐκκλησίας, γηραιὸς ὢν ἤδη καὶ ἐπανθοῦσαν ἔχων[2] τὴν πολιάν. Ὅστις[3] καὶ πρὸ τῆς μαρτυρίας αὐτοῦ εἰσελθὼν ἐν τῷ ναῷ τῶν εἰδώλων[4] μετὰ Σισιννίου τοῦ ἐπισκόπου κατέστρεψε τὰ εἴδωλα[5]. Κόμης δέ τις Πατρίκιος τοὔνομα μετὰ χρόνον ἐν τῇ πόλει παραγενόμενος καὶ τὸ τολμηθὲν μαθὼν καὶ πρὸς τὴν ἐκκλησίαν, ἐν ᾗ διῆγεν ὁ ἅγιος[6], ὁρμήσας[7], νόσῳ κατασχεθεὶς ἐσχέθη μὲν τῆς ὁρμῆς· δηλοῖ δὲ τῷ ἐπισκόπῳ ὑπὲρ αὐτοῦ εὔξασθαι, ὑποσχόμενος[8] ἀνδριάντι χρυσῷ τιμήσειν αὐτόν, εἰ τεύξεται τῆς ὑγείας. Τοῦ δὲ ἐπισκόπου πιστεῦσαι μᾶλλον[9] εἰς τὸν κύριον ἡμῶν[10] Ἰησοῦν Χριστὸν μηνύσαντος καὶ ἀπαλλαγῆναι τῆς νόσου, τοῦτο συνθέμενος ἀνερρώσθη· ἔμεινε δὲ ὅμως ἐν ἀπιστίᾳ. Συλλαβὼν δὲ[11] ὕστερον τὸν ἅγιον Ἀρτέμωνα θῦσαι τοῖς εἰδώλοις καταναγκάζει. Ὁ δὲ ἔφη· « Δεκαὲξ ἔτη » ἐποίησα ἀναγινώσκων τὰς βίβλους τοῦ Θεοῦ » καὶ τὴν ἁγίαν γραφήν, | καὶ εἰκοσιοκτὼ ἔτη διά- (f. 193v.) » κονος ἀναγινώσκων τὸ εὐαγγέλιον καὶ εἰκοσι- » πέντε ἔτη πρεσβύτερος διδάσκων τὸν λαὸν τὴν » εὐσέβειαν· καὶ νῦν εἰδώλοις οὐ θύω. » Ἀλλ'

— [2] δὲ *add.* S. — [3] τὰ εἴδωλα S. — [4] αὐτὰ S. — [5] αὐτοῦ S.

2. — [1] ἡ ἁγία Τ. ἡ ἐν Κυζίκῳ ἐν εἰρήνῃ τ. Mc.

1. — [1] ὁμολογητοῦ *add.* D. — [2] (διὰ - εἰκόνων) *om.* D. — [3] *om.* D. — [4] καὶ καταγελῶν D. — [5] (ἐν - κυρίῳ) *om.* D.

2. — [1] Ἀρτέμονος S, πρεσβυτέρου καὶ μάρτυρος *add.* D. — [2] *om.* D. — [3] εἴτις S, αὐτοῦ D. — [4] δὲ τῆς κατασχέσεως αὐτοῦ D. — [5] (κατέστρεψε - εἴδωλα) ἐν τῷ ναῷ τῶν εἰδώλων εἰσελθὼν τὸ τοῦ Ἀπόλλωνος κατέστρεψεν ἄγαλμα D. — [6] Σισίννιος ἐπίσκοπος *add.* D. — [7] εἰσελθεῖν *add. corr.* D. — [8] αὐτῷ *add.* D. — [9] αὐτὸν D. — [10] *om.* D. — [11] γὰρ D. —

---

1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 2. — Ὁ ὅσιος Φαρμούθιος ἐν εἰρήνῃ τ. — Μνήμη τοῦ ὁσίου Ἰωάννου μαθητοῦ τοῦ ἁγίου Γρηγορίου Δεκαπολίτου. — **Mv** : 1. 2. — Φαρμουθίου. — Ἰωάννου. — **Mr** : 1. (April. 11.)

April. 12. SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2. — **D** : 2. 1. — **Da** : 1. 3. — **Db** : 1. 3. — Μαρτίνου πάπα Ῥώμης (April. 13[1]). — **K** : 1. 3. — **N** : 2. 1. — **Bb** : Ἀντίπα (April. 11[1]). — **Bc** : 2. — **C** : 2, in marg. : Ζήτει τὸ συναξάριον τοῦ Γότθου εἰς ιε' τοῦ αὐτοῦ μηνός (April. 17[4]). — **Cd** : 2. — **Ce** : Κρίσκεντος (April. 15[1]). — **Cg** : 1. — **R** : 3. 2. — **Ra** : 1. — Τρυφαίνης (April. 11[2]). — Σάβα (April. 17[4]). — **Rb** : 1. — Σάβα. — **Rc** : Σάβα. — 1 (Βασιλείου ἐπισκόπου Καρείου). — **Mc** : 1. 4. — Ἀνθούσης θυγατρὸς τοῦ βασιλέως Κωνσταντίνου τοῦ Κοπρωνύμου. Αὕτη ὑπὸ τοῦ πατρὸς αὐτῆς πολλάκις ἀναγκασθεῖσα ζυγῆναι ἀνδρί, οὐκ ἐπείσθη· διὸ μετὰ τὸ ἀποβιῶσαι αὐτὸν ἀδείας λαβομένη, πάντα τὰ προσόντα αὐτῇ πένησι καὶ ἐκκλησίαις καὶ οἴκοις ἱεροῖς διανειμαμένη, πολλῶν ὀρφανῶν πατὴρ ἐγεγόνει καὶ χηρῶν προστάτης καὶ κηδεμών. Πολλαῖς δὲ παρακλήσεσι πολλάκις βιαζομένη ὑπὸ Εἰρήνης τῆς ὀρθοδόξου Αὐγούστης συνεῖναι αὐτῇ καὶ συμβασιλεύειν, οὐκ ἠνέσχετο. Ὁπόσας δὲ ἡμέρας διέτριβεν ἐν τῷ παλατίῳ, ἔξωθεν μὲν βασιλικὸν ἱμάτιον ἐπημφίεστο, ἔνδοθεν δὲ ῥάκος τρίχινον· τὸ ποτὸν αὐτῇ ὕδωρ, ἡ τροφὴ ἀσκητική, τὸ δάκρυον ἐν ὀφθαλμοῖς καὶ ὁ θεῖος ὕμνος ἀδιάλειπτος ἐπὶ στόματος. Ὅθεν καὶ τὸν μοναστὴν ὑπέρχεται βίον, διὰ χειρὸς τοῦ ἐν ἁγίοις Ταρασίου ἀποκειραμένη ἐν τῇ μονῇ τῶν Ὁμονοίας. Ἔκτοτε δὲ οὔτ' αὐτὴ τῆς μονῆς ἐξῆλθεν οὔτ' ἄλλη τῶν ἀδελφῶν. Οὐκ ἀπελείφθη ποτὲ τῆς ἐκκλησίας,

April. 12. οὖν [12] ἐξαπατήσειν αὐτὸν οἴεται· καὶ εἰσελθὼν ἐν τῷ ναῷ τοῦ Ἀσκληπιοῦ αὐτό τε τὸ ξόανον συνέτριψεν καὶ τοὺς δράκοντας συνέτριψεν ὑπερμεγέθεις ὄντας, φρικτὸν [13] θέαμα τοῖς ὁρῶσιν. Φασὶν γὰρ αὐτοὺς πήχεις εἴκοσι τὸ πλάτος ἔχειν, ἐκτείνεσθαι δὲ ἐπ' ὀγδοήκοντα. Ὅθεν τοῦ κόμητος ἀσχέτῳ ληφθέντος θυμῷ, τὰς σάρκας κατατέμνεται ὁ ἅγιος Ἀρτέμων καὶ ἐν ἐσχάρᾳ πυρωθείσῃ ὀπτᾶται. Ἔνθα καί φασιν ὅτι [14] μία τῶν συνεπομένων τῷ ἁγίῳ δορκάδων ἐλθοῦσα ἐκ Λαοδικείας [15] ἀνθρωπίνῃ φωνῇ ἡ ἔλαφος ἤλεγξε τὸν κόμητα ἀσεβοῦντα [16]· ἣν βαλεῖν βέλος ἐπ' αὐτήν [17] τις τῶν στρατιωτῶν [18] ταύτης μὲν ἀπέτυχε, τὸν δὲ σύνεδρον τοῦ κόμητος ἀνεῖλεν τελείως [19]. Εἶτα λέβητος ἐκκαέντος, ἐν ᾧ πίσσα καὶ ῥητίνη ὑπῆρχε, ἀοράτως ὁ κόμης ἀρθεὶς ἐν αὐτῷ ἐβλήθη· καὶ εὐθὺς ἐτάκη καὶ τὰς σάρκας κατερρευσεν. Ὁ δὲ ἅγιος μάρτυς, ἐν ᾧ ἵστατο, πηγῆς ὕδατος ἀναδοθείσης, ἐν αὐτῇ τοὺς πιστεύσαντας [20] ἐβάπτισε· καὶ πλείστας θαυμάτων ἐπιδείξεις ποιησάμενος καὶ ἐν τόπῳ τινὶ Βαλβίνῃ [21] καλουμένῳ γενόμενος τῆς Ἀσίας [22], τέλος τοῦ δρόμου τῆς μαρτυρίας εὕρατο πρὸς Κύριον ἐκδημήσας.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Δήμη καὶ Πρωτίωνος [1].

4. Καὶ ἡ ἀνακόμισις τῆς τιμίας ζώνης [1] τῆς ὑπεραγίας Θεοτόκου ἀπὸ τῆς ἐπισκοπῆς Ζήλας εἰς [2] τὴν βασιλίδα τῶν πόλεων, ἐν ἔτει ἑξακισχιλιοστῷ τετρακοσιοστῷ πεντηκοστῷ, ἐπὶ τῶν βασιλέων Κωνσταντίνου [3] καὶ Ῥωμανοῦ τῶν Πορφυρογεννήτων· μετὰ δὲ ταῦτα ὕστερον ἀπετέθη ἐν τῇ ἁγίᾳ σορῷ τῶν Χαλκοπρατείων, μηνὶ αὐγούστῳ λα' [4].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

April. 13. **1.** Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μαρτίνου πάπα Ῥώμης. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ ἐπιλεγομένου Πωγωνάτου· ὅστις Κωνσταντῖνος [1] ἐν Σικελίᾳ ἐν τῷ τῆς Δάφνης λουτρῷ ἀνῃρέθη λαβὼν πληγὴν κατὰ κεφαλῆς μετὰ κάδδου [2]. Διὰ γοῦν τὴν ὀρθόδοξον πίστιν ἀπὸ τῆς Ῥώμης ἀποστείλαντος τοῦ βασιλέως, ἤχθη βίᾳ [3] ὁ μακάριος οὗτος, πολλὰς κακώσεις κατὰ τὸν πλοῦν καὶ τὴν ἐπάνοδον ὑπομείνας. Ὁ γὰρ βασιλεὺς τῆς δόξης [4] τῶν μονοθελητῶν ὑπάρχων [5], ἐπεὶ ὁ ἐν ἁγίοις Μαρτῖνος Σέργιον καὶ Πύρρον καὶ Θεόδωρον [6] δημοσίοις ἀπεκήρυξε [7] γράμμασιν [8] καὶ ὅρον εὐσεβείας ἐξέθετο [9], μετὰ τῆς συνελθούσης αὐτῷ συνόδου ἀνατρέψας [10] τὴν τῶν μονοθελητῶν [11] (f. 194.)

— [12] (ἔφη - οὖν) ἅγιος παρανοίας αὐτοῦ καταγνοὺς θ... μετὰ τὸν τοσοῦτον χρόνον καθ' ὃν τὰ τῆς εὐσεβείας αὐτοῦ ἐστηρίχθη D. — [13] φρικτῶ S. — [14] *om.* D. — [15] (ἐλθοῦσα ἐκ Λ.) *om.* D. — [16] (ἡ - ἀσεβοῦντα) ἀσεβ. τὸν ἡγεμόνα διήλεγξεν D. — [17] ἐπ' αὐτὴν *om.* D. — [18] βουληθεὶς *add.* D. — [19] *om.* D. — [20] πιστεύοντας D. — [21] Βαλβήνι D. — [22] (τῆς Α.) *om.* D.

3. — [1] Προτίωνος S.

4. — [1] ἐν ἔτει ,ςυν ἀνεκομίσθη ἡ τιμία ζώνη Mc. — [2] ἐπὶ S. — [3] (τὴν - K.) ἐπὶ K. Mc. — [4] (μετὰ - λα') καὶ μετὰ ταῦτα κατετέθη ἐν τοῖς X. τῇ λα' τοῦ αὐγούστου μηνός Mc.

1. — [1] ἀνῃρέθη *add.* Mc *ad d. Mart. 14.* — [2] (ἀνῃρέθη - κάδδου) *om.* Mc. — [3] *om.* Mc. — [4] δυσσεβοῦς Mc. — [5] θρησκείας *add.* Mc. — [6] (ὁ - Θεόδωρον) τὸν ἐν ἁγίοις M. ἀκήκοε Mc. — [7] ἀποκηρύξαι Mc. — [8] γράμμασι Σέργιόν τε καὶ Πύρρον καὶ Θεόδωρον τοὺς ἐξάρχους τῆς τοιαύτης αἱρέσεως Mc. — [9] ἐκθεῖναι Mc. — [10] ἀνατρέποντα Mc. — [11] τ. μ. *om.* Mc.

April. 12. οὐ κατωλιγώρησε προσευχομένη, οὐ τῶν δακρύων ἐπαύσατο, ἡ ταπείνωσις αὐτῆς ἄμετρος, ἡ πρὸς τὰς τῶν ἀδελφῶν διακονίας σπουδὴ ὑπερβάλλουσα, ἡ περὶ τὴν ἐπικόσμησιν τοῦ ἱεροῦ ναοῦ καὶ εὐπρέπειαν ἐπιμέλεια ὑπερθαύμαστος, τἆλλα πάντα κρείττω λόγου καὶ θαύματος. Καὶ οὕτω τὸν παρόντα χρόνον τῆς ζωῆς ἐκμετρήσασα, μετὰ πολλοῦ τῆς ἀρετῆς πλούτου πρὸς τὰ ἄνω μεθίσταται (April. 18[5]). — 3 : οἱ ἅγιοι Πρωτίων καὶ Δήμης ξ. τ. — 2 : ὁ ἅγιος Ἀρτέμων ξ. τ. — Οἱ ἅγιοι τρεῖς ἀββάδες Μηνᾶς, Δαβὶδ καὶ Ἰωάννης τοξευόμενοι τ. — **Mv** : 1. 4. — Ἀνθούσης. — 3. 2. — Μηνᾶ, Δαβὶδ καὶ Ἰωάννου. — **Mr** : 1.

April. 13. SYNAXARIA SELECTA. **H** : Κρίσκεντος (April. 15[1]). — Ἐλευθερίου Πέρσου, Ζωΐλου Ῥωμαίου, Θεοδοσίου, Βασιλείδου, Γεροντίου (April. 14[2, 3, 4]). — **P** : Κρίσκεντος. — Ἐλευθερίου τοῦ Πέρσου καὶ Ζωΐλου Ῥωμαίου καὶ τῶν ἁγίων μαρτύρων Θεοδοσίου καὶ Βασιλίδος. — **D** : 1. — Κρίσκεντος. — Ἐλευθερίου τοῦ Πέρσου καὶ Ζωΐλου Ῥωμαίου καὶ τῶν ἁγίων μαρτύρων Θεοδοσίου καὶ Γεροντίου καὶ Βασιλίδος. — **Da** : 1. — Κρίσκεντος. — Ἐλευθερίου κτλ. — **Db** : Κρίσκεντος. — Ἐλευθερίου κτλ. — Συμεὼν ἀρχιεπισκόπου Περσίδος (April. 17[1]). — **K** : 1. — Κρίσκεντος. — Ἐλευθερίου κτλ. — **N** : Κρίσκεντος. — 1. — Ἐλευθερίου κτλ. — **Bb** : Ἀρτέμωνος (April. 12[2]). — **Bc** : Κρίσκεντος (April. 15[1]). — Βασιλείου (April. 12[1]). — Ἐλευθερίου τοῦ Πέρσου. Ἐλευθέριος ὁ τοῦ Χριστοῦ μάρτυς ὑπῆρχεν ἐκ τῆς χώρας Περσίδος. Χριστιανὸς δὲ ὢν καὶ τὸν Χριστὸν ἀγαπῶν, ἀπήρχετο πρὸς τὸν ἅγιον Συμεὼν τὸν ἐπίσκοπον, καὶ παρ' αὐτοῦ τελεώτερον ἐδιδάσκετο λόγον τῆς ἀληθείας. Καὶ ὑποστρέφων εἰς τὸν οἶκον αὐτοῦ, ἐδίδασκε καὶ αὐτὸς τοὺς προσερχομένους αὐτῷ τὰ περὶ τῆς οἰκονομίας τοῦ Χριστοῦ· ὅπως Θεὸς ὢν ἀπροσδεὴς ἠθέλησε γενέσθαι ἄνθρωπος, ἵνα σώσῃ τὸν ἄνθρωπον, μὴ τραπεὶς τὴν οὐσίαν μετὰ τὴν τῆς ἀνθρωπότητος ἕνωσιν, ἀλλὰ ὅλος Θεὸς ὢν ὅλος γενόμενος ἄνθρωπος. Διδάσκων δὲ ὁ ἅγιος Ἐλευθέριος οὕτως καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέφων καὶ βαπτίζων, ἐγνώσθη παρὰ τῶν πυρολατρῶν Περσῶν. Καὶ καταμηνυθεὶς τῷ βασιλεῖ, ἐκρατήθη καὶ παρέστη αὐτῷ. Ὁ δὲ βασιλεὺς ἐρωτήσας αὐτὸν καὶ ἰδὼν αὐτοῦ τὸ ἀμετάθετον, παρέδωκεν αὐτὸν τοῖς ἀρχιμάγοις, παραγγείλας αὐτοῖς πεῖσαι αὐτὸν ἀρνήσασθαι τὸν Χριστόν· οἱ δὲ πολλὰ βασανίσαντες, καὶ μὴ πείσαντες, ἀπεκεφάλισαν αὐτόν. — **C** : Κρίσκεντος. — Βασιλείου. — **Cd** : Κρίσκεντος. — Βασιλείου. — **Ce** : Βασιλείου. — **Cg** : Κρίσκεντος. — Βασιλείου. — **R** : 1. — **Ra** : Ἀρτέμωνος (April. 12[2]). — 1. — Ἐλευθερίου ... Ζώλου

αἵρεσιν [12], μεταστέλλεται αὐτὸν ὁ βασιλεὺς ἀπὸ Ῥώμης, ὥσπερ εἴρηται [13], καὶ ὥσπερ τινὶ τῶν κακούργων κλοιὰ αὐτῷ περιθεὶς [14] ἐν τῷ πραιτωρίῳ τούτον [15] καθεῖρξεν· εἶτα ὑπερόριον αὐτὸν πέμπει ἐν [16] Χερσῶνι τῇ πόλει [17], ἔνθα τὸ λειπόμενον τῆς ζωῆς ἀθλητικῶς διανύσας [18] ὁ ἅγιος πρὸς Κύριον ἐκδημεῖ. April. 13.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

April. 14. **1.** Ἄθλησις τῶν ἁγίων ἀποστόλων [1] Ἀριστάρχου, Πούδη καὶ Τροφίμου [2]. Οὗτοι ἐκ τῶν ἑβδομήκοντα ἀποστόλων ὑπάρχοντες [3], ἠκολούθουν [4] τῷ μεγάλῳ ἀποστόλῳ Παύλῳ κηρύττοντες καὶ συγκακοπαθοῦντες τῷ διδασκάλῳ ἐν πᾶσι τοῖς διωγμοῖς αὐτοῦ [5]· καὶ τέλος μετὰ τὸν ἐκείνου θάνατον καὶ αὐτοὶ τὰς ἱερὰς αὐτῶν κεφαλὰς [6] ὑπὸ Νέρωνος ἀπετμήθησαν [7]. Ταῦτα δὲ ὁ τρισμακάριος καὶ [6] πανόλβιος [6] Δωρόθεος ἐν Ῥώμῃ γεγονὼς διὰ ῥωμαϊκῆς διαλέκτου ἐν ὑπομνήμασι καταλέλοιπε· οὐ μόνον δὲ [8] περὶ τούτων ἀλλὰ καὶ περὶ τῶν λοιπῶν ἀποστόλων καὶ ἄλλων πολλῶν ἁγίων, ἔτι δὲ καὶ περὶ τῶν ἱερῶν προφητῶν ἱστόρησεν. Ἐγένετο γὰρ ὁ ἅγιος [9] δι' εὐφυΐαν πολλὴν [6]

— [12] ταύτην *add.* Mc. — [13] αὐτὸν ὡς εἴρ. ἀπὸ Ῥώμης Mc. — [14] περιθεὶς τούτῳ κλοιὰ Mc. — [15] *om.* Mc. — [16] τῇ *add.* Mc. — [17] τ. π. *om.* Mc, Χερσώνει τ. π. S. — [18] ἀνύσας Mc.

1. — [1] ἐκ τῶν ο' *add.* Mc. — [2] Τροφήμου S. — [3] ὄντες Mc. — [4] ἠκολούθησαν Mc. — [5] αὐτοῦ διωγμοῖς Mc. — [6] *om.* Mc. — [7] ἐτμήθησαν κεφαλὰς Mc. — [8] καὶ οὐ μόνον Mc. — [9] ἀοίδιμος Mc.

April. 13. κτλ. — **Rb** : Ἐλευθερίου ... Ζώλου. — **Rc** : 1. — Ἐλευθερίου κτλ. — **Mc** : Μαξίμου, Κυντιλιανοῦ καὶ Δάδα. Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν δυσσεβῶν, συσχεθέντες οἱ ἅγιοι οὗτοι ἐν χώρᾳ τῇ Ὀζηβίᾳ, παρεδόθησαν τοῖς ὑπάτοις Ταυρικίῳ καὶ Γαΐῳ κτλ. (April. 28[2]). — Ἐλευθέριος ὁ Πέρσης ξ. τ. — Θεοδόσιος ξ. τ. — Ζωΐλος ὁ Ῥωμαῖος ξύλῳ κρεμασθεὶς τ. — Ἀρδαλίωνος (April. 18[3]). — **Mv** : 1. — Μαξίμου κτλ. — Ἐλευθερίου. — Θεοδοσίου. — Ζωΐλου. — **Mr** : 1.

April. 14. SYNAXARIA SELECTA. **H** : Συμεὼν κτλ. (April. 17[1]). — Τῶν ἁγίων χιλίων μαρτύρων (April. 17[2]). — Ἰακώβου πρεσβυτέρου καὶ Ἀζᾶ διακόνου (April. 17[3]). — **P** : Συμεών. — Χιλίων μαρτύρων. — Ἰακώβου πρεσβυτέρου καὶ Ἀζᾶ. — Κυριακοῦ τοῦ φανερώσαντος τὸν τίμιον σταυρόν. — **D** : Συμεὼν ἀρχιεπισκόπου Περσίδος καὶ τῶν σὺν αὐτῷ, καὶ Ἀβδελᾶ πρεσβυτέρου, Γουσθαζὰτ καὶ ἑτέρων ὁμοῦ ρν' καὶ Φουσίκ. Ὁ ἅγιος Συμεὼν ὁ ἀρχιερεὺς καὶ μάρτυς καθ' ὃν ἐμαρτύρησε χρόνον ἦν ἐτῶν ριζ'· προεστὼς δὲ τῆς τῶν χριστιανῶν ἐκκλησίας τῆς ἐν ταῖς πόλεσι ταῖς κατὰ Σελεύκειαν Κτησιφῶντος [1] ὁμοῦ καὶ Σαλήκ, ὁρῶν τὰ παρὰ τῶν Περσῶν ἐν τοῖς χρόνοις Σαβωρίου κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν πιστευόντων εἰς τὸν Χριστὸν πραττόμενα, γράφει τῷ Σαβωρίῳ εἰδέναι ὅτι οἱ τῷ τοῦ Χριστοῦ τιμίῳ ἐξαγορασθέντες αἵματι, ὑποτελεῖς εἶναι καὶ ὑπόφοροι οὐκέτι αὐτῷ καταδέχονται, ἀλλ' αἱροῦνται μᾶλλον εὐκλεῶς ἀποθανεῖν ὑπὲρ Χριστοῦ τοῦ ὑπὲρ αὐτῶν τὸ ἴδιον αἷμα κενώσαντος ἢ παρανόμως δουλεύειν ἀτίμως καὶ δυσκλεῶς. Χαλεπήναντος δὲ ἐπὶ τούτῳ τοῦ βασιλέως, ἤχθη πρὸς αὐτὸν δυσὶν ἁλύσεσι δεσμευθείς· εἶτα τῇ εἱρκτῇ παραπεμφθεὶς ἐπιστρέφει πρὸς τὴν εἰς Χριστὸν πίστιν τὸν πραιπόσιτον Γουσθαζάτ, πάλαι μὲν ὄντα χριστιανόν, διὰ δὲ τὴν τοῦ βασιλέως ἀξίωσιν καὶ τὸν ἐπικείμενον φόβον νόμῳ Περσῶν τὸν ἥλιον προσκυνήσαντα. Ὃς συσχεθεὶς τὴν κεφαλὴν ἀπετμήθη ἀντὶ τῶν τροφείων — καὶ γὰρ αὐτὸς ἦν τὸν βασιλέα ἀπογαλακτισθέντα ἀναθρεψάμενος — τοῦτο μόνον αἰτήσας τὸ ποιῆσαι πᾶσι καταφανὲς ὅτι οὐ δι' ἀκολασίαν γλώσσης, ἀκρατὴς περὶ τὴν τῶν βασιλικῶν μυστηρίων γενόμενος φυλακήν, οὐδὲ δι' ἄλλο τι τῶν ἀπηγορευμένων ταύτην ἔδωκε δίκην, ἀλλὰ διὰ τὴν πρὸς Χριστὸν πίστιν, ἐξ ἧς πρότερον μαλακισθεὶς καταπέπτωκεν. Τοῦτο πυθόμενος ἐν τῇ φυλακῇ ὁ μακάριος Συμεὼν, ἐχάρη καὶ προσηύξατο καὶ αὐτὸς θᾶττον τῶν προηθληκότων ἁγίων βαδίσαι τὴν τρίβον. Λαβὼν δὲ τὴν διὰ ξίφους ἀπόφασιν μεθ' ἑτέρων τῶν σὺν αὐτῷ ρν' ὄντων τὸν ἀριθμόν, οὓς [2] τελειουμένους παρεθάρσυνεν, ἐτμήθη τὴν κεφαλήν· ἔνθα λέγεταί τινα τῶν ἀναιρουμένων δειλιάσαι πρὸς τὴν πληγήν· τὸν δὲ κουροπαλάτην [3] οὕτω καλούμενον Φουσίκ [4] παρεστῶτα αὐτῷ προσειπεῖν μηδὲν εἶναι δεινὸν ἀλλ' ἐπιμύσαντα τὰς ὄψεις προσδέξασθαι τὴν διὰ ξίφους τομὴν ταχυθάνατον οὖσαν· συλληφθέντα δὲ καὶ αὐτὸν καὶ εἰς τὸν Χριστὸν πιστεύειν ὁμολογήσαντα τὴν γλῶτταν τμηθῆναι καὶ τὸ δέρμα ἀφαιρεθῆναι καὶ οὕτω τὴν ψυχὴν ἀποδοῦναι. — Χιλίων μαρτύρων. — Ἰακώβου. — **Da** : Συμεών. — Χιλίων μαρτύρων. — Ἰακώβου. — **Db** : Χιλίων μαρτύρων. — Ἰακώβου. — **K** : Συμεών. — Χιλίων μαρτύρων. — Ἰακώβου. — **N** : Χιλίων μαρτύρων. — Ἰακώβου. — 1. — **Bb** : Κρίσκεντος (April. 15[1]). — Βασιλείου (April. 12[1]). — 2. — Μαρτίνου (April. 13[1]). — **Bc** : Συμεών. — Φασὶκ καὶ τῆς θυγατρὸς αὐτοῦ (April. 17[1]). — Χιλίων μαρτύρων. — Ἰακώβου. — **C** : Συμεών. — Φασὶκ τοῦ κουροπαλάτου. — 1 (In marg. : Ζήτει τῶν ἁγίων ἀποστόλων Ἀριστάρχου, Πούδη καὶ Τροφίμου ἔμπροσθεν.) — Χιλίων μαρτύρων. — Ἰακώβου. — **Cd** : Συμεών. — Φασίκ. — Χιλίων μαρτύρων. — Ἰακώβου. — **Ce** : Συμεών. — Φασίκ. — Χιλίων μαρτύρων. — Ἰακώβου. — **Cg** : Συμεών. — Φασίκ. — Χιλίων μαρτύρων. — Ἰακώβου. — **R** : 1. — Χιλίων μαρτύρων. — Ἰακώβου. — **Ra** : 1. — Ἰακώβου. — Εὐθυμίου τοῦ θαυματουργοῦ. — Κοσμᾶ ἐπισκόπου Χαλκηδόνος (April. 18[4]). — **Rb** : 1. — Συμεών. — **Rc** : 1. — Συμεών. — Χιλίων μαρτύρων. — **Mc** : Μαρτίνου (April. 13[1]). — Θωμαΐδος. Ἡ ἁγία αὕτη Θωμαῒς ἐν Ἀλεξανδρείᾳ γεννηθεῖσα καὶ ὑπὸ τῶν γεννητόρων αὐτῆς καλῶς ἀνατραφεῖσα καὶ παιδευθεῖσα, συνεζεύχθη ἀνδρί· καὶ ἦν ἐν τῇ τοῦ ἀνδρὸς οἰκίᾳ εὐνοϊκῶς διακειμένη καὶ καθ' ἑαυτὴν σωφρόνως καὶ κοσμίως διάγουσα. Ἐπεὶ δὲ διῆγε σὺν τοῖς ὁμοζύγοις καὶ ὁ κατὰ σάρκα πατὴρ τοῦ νεανίσκου, ὁ καὶ τὴν κόρην νύμφην ἐπ' αὐτῷ προσλα-

[1] Κτισιφῶντος D. — [2] ὃς D. — [3] κοροπαλάτην D. — [4] Φασίκ D, *hic tantum*.

April. 14. πολυμαθὴς καὶ πολυΐστωρ ὡς οὐκ ἄλλος τις.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἐλευθερίου τοῦ Πέρσου.

3. Καὶ Ζωΐλου Ῥωμαίου[1].

4. Καὶ τῶν ἁγίων μαρτύρων Θεοδοσίου, Βασιλίδου καὶ Γεροντίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

April. 15. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κρίσκεντος τοῦ ἐν Μύροις τῆς Λυκίας[1]. Οὗτος ἦν ἐκ πόλεως Μύρων τῆς Λυκίας, γένους ἐνδόξου, τὴν ἡλικίαν προβεβηκώς. Ὁρῶν δὲ τὴν ἀσέβειαν κομῶσαν καὶ τὴν τῶν δαιμόνων θρησκείαν[2] ἐπαιρομένην[3] καὶ πολλοὺς τῇ πλάνῃ δεδουλωμένους[4] καὶ σέβας τοῖς ἀψύχοις προσάγοντας, ἀπέχεσθαι παρῄνει τῆς ματαιότητος, προελθὼν μέσον αὐτῶν, καὶ πρὸς τὸν Θεὸν ἐπιστρέφειν τὸν παρὰ τοῖς χριστιανοῖς σεβαζόμενον[5] δημιουργὸν ὄντα[6] πνοῆς ἁπάσης καὶ ζωῆς χορηγόν. Τοῦ δὲ ἡγεμόνος κακοδαίμονα τὸν ἅγιον ὀνομάσαντος[7], ὅτι δὴ αὐθαιρέτως πρὸς τὰ δεινὰ χωρεῖν ἔγνωκε, τῆς ἐσχάτης μὲν οὖν[8] εὐκλείας καὶ εὐδαιμονίας φησὶν[9] τὸ πάσχειν ὑπὲρ Χριστοῦ. Ἐρωτώμενος δὲ τύχην καὶ πατρίδα καὶ ὄνομα, ¦ ἀντὶ πάντων χριστιανὸν ἑαυτὸν εἶναι f. 194v.

3. — [1] Ζωήλου Ῥωμαίων S.

1. — [1] τῆς Λ. *om.* Mc. — [2] (κομῶσαν - θρησκείαν) *om.* Mc. — [3] κρατυνομένην καὶ προχωροῦσαν Mc. — [4] καθυποκύπτοντας Mc. — [5] σεβόμενον Mc. — [6] καὶ *add.* Mc. — [7] (τοῦ δὲ - ὀνομάσαντος) ἐπεὶ οὖν εἰς μέσους αὐτοὺς παρελθὼν ἀνενδοιάστως καὶ εὐπαρρησιάστως τὰ τοιαῦτα παρῄνει ἰδὼν αὐτὸν ὁ ἡγεμὼν κακοδαίμονα προσωνόμασεν Mc. — [8] ὁ δὲ τῆς ἐσ. μὲν οὖν ἔφη Mc. — [9] φασὶν S.

April. 14. βόμενος, ἐν μιᾷ τῶν ἡμερῶν ἀποδημοῦντος τοῦ υἱοῦ αὐτοῦ ἐκ τῆς οἰκίας, ὁ τῶν ψυχῶν ὀλοθρευτὴς διάβολος αἰσχροὺς ἐνέβαλε τῷ γέροντι λογισμοὺς κατὰ τῆς νύμφης αὐτοῦ· καὶ ἐπειρᾶτο συμμιγῆναι τῇ κόρῃ, πάντα μηχανώμενος τρόπον, ὥστε εἰς τέλος ἀγαγεῖν τὴν ἐπιθυμίαν. Ὡς οὖν ἡ μακαρία Θωμαῒς πολλὰ νουθετοῦσα τὸν γέροντα καὶ παρακαλοῦσα ἤνυεν οὐδέν, πηρωθεὶς τὰς φρένας ὑπὸ τοῦ δαίμονος ὁ ἄθλιος ἐκεῖνος πρεσβύτης καὶ τὴν σπάθην τοῦ υἱοῦ λαβὼν καὶ πλήξας ταύτην καιρίως ἐδιχοτόμησε· καὶ ἡ μὲν ἀπέδωκε τὴν ψυχὴν καὶ μάρτυς ὑπὲρ σωφροσύνης ἐγένετο. Ὁ γέρων δὲ παραυτίκα τὰς ὄψεις ἀποβαλών, περιῄει τὴν οἰκίαν τυφλώττων. Παραγενόμενοι δέ τινες εἰς ἀναζήτησιν τοῦ υἱοῦ αὐτοῦ, εὗρον τὴν μακαρίαν χαμαὶ κειμένην νεκράν, τοῦ ἐδάφους ἔνθα ἔκειτο πλήρους ὄντος αἱμάτων· καὶ ὡς εἶδον ταῦτα καὶ τὸν γέροντα ἔνθεν κἀκεῖθεν περιφερόμενον, ἐπυνθάνοντο, τί τὸ ὁρώμενον. Τοῦ δὲ τὴν ἀλήθειαν ἀνακαλύψαντος καὶ αὐτόχειρα τοῦ φόνου ἑαυτὸν ἐλέγχοντος καὶ ἅμα δυσωποῦντος ἀπαχθῆναι παρ' αὐτῶν πρὸς τὸν ἄρχοντα καὶ τὴν κατ' αὐτοῦ παρ' ἐκείνου ἀπόφασιν δέξασθαι, πεισθέντες οὗτοι παρέστησαν αὐτὸν τῷ ἄρχοντι· καὶ τῆς ἀληθείας διαγνωσθείσης, τῇ προστάξει τούτου ἀπετμήθη ὁ γέρων τὴν κεφαλήν. Ταῦτα μαθὼν ὁ ἀββᾶς Δανιήλ, ὁ τῆς Σκήτεως, κατῆλθεν εἰς Ἀλεξάνδρειαν· καὶ λαβὼν τὸ τῆς ἁγίας λείψανον καὶ ἀναγαγὼν εἰς τὴν Σκῆτιν ἐν τῷ αὐτοῦ κατέθετο κοιμητηρίῳ, ὡς ὑπὲρ σωφροσύνης δι' αἵματος τελειωθείσης. Καί τις τῶν ἐν τῇ Σκήτει ἀδελφῶν ἔρωτι πορνείας βληθείς, προσῆλθε τῷ τάφῳ τῆς μακαρίας, καὶ χρίσας ἑαυτὸν ἐλαίῳ ἐκ τῆς φωταγωγοῦ καὶ λαβὼν καθ' ὕπνους εὐλογίαν ἀπὸ τῆς κόρης ἐπιφανείσης αὐτῷ, ἔξυπνος γεγονὼς ἀπηλλάγη τοῦ πάθους. Καὶ ἔκτοτε καὶ μέχρι τοῦ νῦν πάντες οἱ ἀδελφοὶ ἐν τοῖς πολέμοις τῆς σαρκὸς μεγάλην βοηθὸν τὴν μακαρίαν ταύτην εὑρίσκουσι. — **Mv** : 1. — Ἀρδαλίωνος τοῦ τιμίου[5] (April. 18[3]). — Θωμαΐδος. — **Mr** : 1.

April. 15. SYNAXARIA SELECTA. **H** : Σάβα τοῦ Γότθου (April. 17[4]). — Τῶν ἁγίων μαρτύρων Θεοδώρου καὶ Παυσιλύπου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ γηροκομείῳ τοῦ Μελοβίου. — Βασιλίσσης καὶ Ἀναστασίας (April. 17[7]). — **P** : Σάβα. — Τοῦ ἁγίου μάρτυρος Θεοδώρου. — Βασιλίσσης καὶ Ἀναστασίας. — **D** : Σάβα τοῦ Γότθου. Οὗτος ἦν κατὰ τοὺς χρόνους τῆς βασιλείας Οὐαλεντινιανοῦ τοῦ μεγάλου καὶ Οὐάλεντος, τὴν διατριβὴν ἔχων ἐν Γοτθίᾳ, ἔνθα γεγέννηται. Ἔτι δὲ νήπιος ὢν τὴν εἰς Χριστὸν πίστιν εἵλετο καὶ τοὺς τῶν εἰδώλων λατρευτὰς ἐμυκτήριζεν, καὶ τῶν εἰδωλοθύτων οὐ μόνον οὐ προσίετο ἀλλὰ καὶ τοὺς βουλομένους ἀπογεύσασθαι διεκώλυεν, τὴν εἰς Χριστὸν πίστιν τούτοις ὑποτιθέμενος, καὶ πολλοῖς πρόξενος σωτηρίας ἐγένετο. Ὅθεν συστάντες ἐπ' αὐτὸν οἱ τοῖς εἰδώλοις προσκείμενοι[1] τῆς πόλεως ἀπελαύνουσιν. Μετὰ δὲ χρόνον τινὰ ἔρευναν περὶ τῶν χριστιανῶν ποιούμενοι καί τινας ὡς κατέχοντας αὐτοὺς καὶ φυλάττοντας αἰτιώμενοι, προσελθόντα τὸν ἅγιον Σάβαν καὶ ἑαυτὸν προσαγγείλαντα αὖθις μυκτηρίσαντες ἀπεπέμψαντο. Ὕστερον δὲ Ἀθαναρίχου παραγενομένου συνελήφθη· καὶ φραγγελλωθεὶς καὶ τυφθεὶς καὶ τῷ ἄξωνι ἐκταθεὶς καὶ ἐπὶ τῶν δοκῶν τῆς οἰκίας μετεωρισθεὶς καὶ ἀπογεύσασθαι τῶν εἰδωλοθύτων μὴ πεισθείς, ἤχθη ἐπὶ τὸν ποταμὸν Μουσαῖον, <καὶ ἐν αὐτῷ ῥιφεὶς[2]> ἐπιτεθέντος αὐτῷ ξύλου κατὰ τοῦ τραχήλου, ἀπεπνίγη, ἔτος ἄγων τῆς ἡλικίας λη'. — Θεοδώρου καὶ Παυσολυπίου. Τελεῖται δὲ κτλ. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους ἐπισκόπου Ἀθηνῶν. — **Da** : Σάβα[3]. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **Db** : Σάβα. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **K** : Σάβα. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **N** : Σάβα. — Βασιλίσσης καὶ Ἀναστασίας. — **Bb** : Συμεὼν ... Φασίκ (April. 17[1]). — Χιλίων μαρτύρων καὶ Ἀζᾶ τοῦ εὐνούχου (April. 17[2]). — Ἰακώβου πρεσβυτέρου καὶ Ἄζη (April. 17[3]). — **Bc** : Σάβα. — Ἀριστάρχου, Πούδη καὶ Τροφίμου (April. 14[1]). — Βασιλίσσης καὶ Ἀναστασίας. — **C** : Σάβα. —

— [5] *lege* τοῦ μίμου.

[1] προκείμενοι D. — [2] *suppleci ex* Mc *ad d. Aprilis 18.* — [3] τοῦ ἁγίου μάρτυρος Ὁσίου τοῦ Γότθου Da.

April. 15. ἔλεγε. Καὶ μὴ καταδεξάμενος μηδὲ ἐν σχήματι σέβας τοῖς εἰδώλοις προσενεγκεῖν, καθὼς ὁ ἡγεμὼν συνεβούλευεν, ἀλλ' ἐπὶ πάντων τῷ Θεῷ ἐξομολογούμενος καὶ φάσκων μὴ δύνασθαι ἄλλο τι τὸ σῶμα ποιῆσαι παρὰ τὸ δοκοῦν τῇ ψυχῇ, παρ' αὐτῆς ἀγόμενον καὶ κινούμενον[10], πρῶτον μὲν ἀναρτηθεὶς τύπτεται[11], εἶτα[11] ξέεται· καὶ μετὰ τοῦτο καμίνου[11] πυρὸς[12] ἐξαφθείσης, ἐν αὐτῇ βληθεὶς[13], τοῦ[14] πυρὸς μηδὲ μέχρι τριχὸς αὐτοῦ[15] διαφθείραντος, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ις'.

April. 16. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Εἰρήνης, Ἀγάπης καὶ Χιονίας. Αὗται ἐκ πόλεως ὑπῆρχον Θεσσαλονίκης, κατὰ τοὺς χρόνους Μαξιμιανοῦ ἐν ὄρει τινὶ κρυπτόμεναι καὶ τὸν Θεὸν ταῖς ἀρεταῖς θεραπεύουσαι. Τὰ γὰρ οἰκεῖα κατέλιπον διὰ τὸν ἐπικείμενον κατὰ τῶν χριστιανῶν διωγμόν. Φωραθεῖσαι οὖν καὶ συλληφθεῖσαι, παρέστησαν τῷ ἄρχοντι Δουλκιτίῳ[1], ὅστις πολλὰ καταναγκάσας αὐτὰς θῦσαι τοῖς εἰδώλοις οὐκ ἔπεισεν. Ὅθεν ἡ μὲν ἁγία Ἀγάπη καὶ Χιονία πυρὶ τελειοῦνται. Τὴν δὲ ἁγίαν Εἰρήνην εὑρὼν ἔχουσαν ἱερὰ βιβλία, ἐν οἷς ἐμελέτων αἱ ἅγιαι, ἐκεῖνα μὲν κατέκαυσεν, αὐτὴν δὲ ἐν πορνείῳ ἐκέλευσεν ἀπενεχθῆναι· ἐν ᾧ Θεοῦ χάριτι ἄσπιλος διετηρήθη. Καὶ μὴ πειθομένην[2] δὲ ἀρνήσασθαι τὸν Χριστόν, καὶ αὐτὴν πυρὶ παρέδωκεν· καὶ οὕτως τὸν βίον μετήλλαξαν.

— [10] (καὶ μὴ - κινούμενον) καὶ ἐπεὶ τῶν τοῦ ἡγεμόνος συμβουλιῶν ἀλλὰ μὴν καὶ τῶν ἀπειλῶν οὐδαμῶς ὑπεστρέφετο Mc. — [11] *om.* Mc. — [12] πυρὰς Mc. — [13] βληθῆναι καταδικάζεται Mc. — [14] δὲ *add.* Mc. — [15] αὐτὸν Mc.

1. — [1] Δουλκητίω S. — [2] θομένην S.

April. 15. Ἀριστάρχου, Πούδη καὶ Τροφίμου. — Θεοδώρου καὶ Παυσιλυπίου. — **Cd** : Σάβα. — Ἀριστάρχου κτλ. — Θεοδώρου καὶ Παυσιλυπίου. — **Ce** : Σάβα. — Ἀριστάρχου κτλ. — **Cg** : Σάβα. — Ἀριστάρχου κτλ. — Θεοδώρου κτλ. — **R** : Γεωργίου ἐν τῷ Μαλαίῳ (April. 5[5], Mai 12[1]). — Σάβα. — **Ra** : 1. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **Rb** : 1. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **Rc** : 1. — **Mc** : Ἀριστάρχου κτλ. — 1. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδης. — Θεόδωρος πρεσβύτερος καὶ Παυσολύπιος ξ. τ. — **Mv** : 1. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — Θεοδώρου πρεσβυτέρου καὶ Παυσολυπίου. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τοῦ παραλύτου. — **Mr** : 1.

April. 16. SYNAXARIA SELECTA. **H** : Λεωνίδους, Χαριέσσης κτλ. (April. 17[5]). — Εἰρήνης (April. 17[6]). — **P** : Λεωνίδους κτλ. — **D** : Λεωνίδους κτλ. — Εἰρήνης. — **Da** : Λεωνίδους κτλ. — Εἰρήνης. — **Db** : Λεωνίδους κτλ. — Εἰρήνης. — **K** : Λεωνίδους κτλ. — **N** : Λεωνίδου. — 1. — Εἰρήνης. — Ἀδριανοῦ. — **Bb** : Σάβα (April. 17[4]). — Ἀριστάρχου κτλ. (April. 14[1]). — Βασιλίσσης καὶ Ἀναστασίας (April. 17[7]). — **Bc** : Λεωνίδους κτλ. — Εἰρήνης. — Ἀδριανοῦ. — **C** : Λεωνίδου κτλ. — Εἰρήνης. — Ἀρδιλίωνος (April. 18[3]). — **Cd** : Λεωνίδου κτλ. — Εἰρήνης. — Ἀρδιλίωνος. — **Ce** : Εἰρήνης. — Ἀρδαλίβονος. — **Cg** : Λεωνίδου κτλ. — Εἰρήνης. — Ἀρδιλίωνος. — **R** : Λεωνίδους κτλ. — **Ra** : 1. — **Rb** : 1. — Λεωνίδους κτλ. — **Rc** : 1. — Λεωνίδους κτλ. — **Mc** : 1. — Φήλικος[1] ἐπισκόπου, Ἰαννουαρίου πρεσβυτέρου, Φουρτουνάτου καὶ Σεπτιμίνου[2]. Τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἐξῆλθε δόγμα κατὰ πᾶσαν χώραν τοῦ καίεσθαι πάσας τὰς βίβλους τῶν χριστιανῶν. Τότε τοίνυν Μαγνιανός τις παμμίαρος ἀποσταλεὶς ἐν πόλει Τουβιουκᾶν[3] παρέστησε τὸν ἐπίσκοπον Φήλικα, Ἰαννουάριον τὸν πρεσβύτερον, Φουρτουνάτον καὶ Σεπτιμῖνον. Καὶ ὑπαναγνοὺς αὐτοῖς τὸ τοῦ βασιλέως δόγμα, τὰ παρ' αὐτοῖς ἀπῄτει βιβλία. Ὁ δὲ ἁγιώτατος ἐπίσκοπός φησι πρὸς αὐτόν· « Γέγραπται, ὦ
Matth. 7, 6. » ἡγεμών, μὴ δότε τὰ ἅγια τοῖς κυσὶ μηδὲ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων· καὶ μάτην » σπουδάζεις, κἂν βασιλικὰ προφέρῃς προστάγματα. » Ὁ ἄρχων εἶπεν· « Ἀφεὶς τὰ περιττὰ ταῦτα τὸ » θέλημα τῶν βασιλέων ἐκπλήρου, ἐπεὶ δέσμιόν σε ἀποστελῶ πρὸς τὸν ἀνθύπατον. » Καὶ ὁ ἅγιος· « Ὁποῖος, φησίν, εἰμὶ ἐν σοί, τοιοῦτος καὶ ἐν πᾶσι καὶ ἐν τῷ βασιλεῖ σου εὑρεθήσομαι. » Τότε τῇ φυλακῇ ἐγκλείσας τοῦτον ἀνεπιμέλητον εἴασεν ἐπὶ ἡμέρας τρεῖς. Εἶθ' οὕτως ἐξαγαγὼν ἐπανέκρινε. Καὶ δεσμεύσας αὐτόν, σὺν τοῖς μετ' αὐτοῦ ἀπέστειλε πρὸς τὸν ἀνθύπατον. Τούτους πάλιν ὁ ἀνθύπατος κατεξετάσας τῇ φυλακῇ καθεῖρξε· καὶ μεθ' ἡμέρας ἕνδεκα ἐξαγαγὼν δεσμίους ἀπέστειλε τῷ ἐπάρχῳ τῶν πραιτωρίων. Ὃς δεξάμενος καὶ πάμπολλα ἐκφοβήσας, μετὰ πολλῆς ἀσφαλείας ἐν δεινοτάτῃ φυλακῇ ἐναπέκλεισε. Μεθ' ἡμέρας οὖν ἑξκαίδεκα ἐξαγαγὼν καὶ ἐπανακρίνας, εἰσῆξεν αὐτοὺς ἐν πλοίῳ μετὰ ἵππων δεδεμένους ἐν τοῖς ποσὶ τῶν ἀλόγων. Οἱ δὲ ἅγιοι κυλιόμενοι ἐν τοῖς ποσὶ τῶν ζῴων ἀπόσιτοι ἡμέρας τέσσαρας καὶ ὕδατος ἄγευστοι τῷ Θεῷ ηὐχαρίστουν· καὶ φθάσαντες εἰς λιμένα πόλεώς τινος, ἐδεξιώθησαν κρυφίως παρὰ χριστιανῶν· ἐκεῖθεν κατέλαβον πόλιν Ταυρομένιον[4] καλουμένην, καὶ ἀποπλεύσαντες ἐν Λυκαονίᾳ[5] ἦλθον εἰς πόλιν Αἰλούρων[6]. Τότε ὁ δύστηνος ἐκεῖνος ἔπαρχος, λύσας τοὺς ἁγίους τῶν δεσμῶν, πραείᾳ τῇ φωνῇ τὰς ἐρωτήσεις πρὸς αὐτοὺς ἐποιεῖτο. Τῶν δὲ ἀντιλεγόντων καὶ διατεινομένων μήτε βίβλους προδοῦναι μήτε τοῖς εἰδώλοις θῦσαι, προσέταξεν αὐτοὺς μαχαίρᾳ ἀναιρεθῆναι· καὶ τὴν ἀπόφασιν λαβόντες προσηύξαντο· καὶ ἀποτμηθέντες τὰς κεφαλὰς πρὸς τὸν ποθούμενον ἀνῆλθον Χριστόν (Aug. 30[1]). — Λεωνίδου κτλ. — **Mv** : Φήλικος κτλ. — Λεωνίδους κτλ. — Εἰρήνης. — **Mr** : 1.

[1] Φίληκος Mc. — [2] Σεπτεμίνου Mc. — [3] τοῦ βιουκᾶν Mc, Thibiuca C.I.L. *VIII, 14289-91.* — [4] Ταυρομενὴν Mc. — [5] *legendum forte* Λευκανία, in partes Lucaniae *in Passione S. Felicis, n. 5,* Act. SS., *Oct. t. X, p. 627.* — [6] civitatem nomine Rulo, *ibid.*

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

April. 17.

1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν ἀρχιεπισκόπου Περσίδος καὶ τῶν σὺν αὐτῷ Ἀβδελᾶ πρεσβυτέρου, Γουσθαζὰτ καὶ Φουσὶκ [1] καὶ ἑτέρων ὁμοῦ ἑκατὸν πεντήκοντα. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Σαβωρίου βασιλέως Περσῶν· <καὶ ὁ μὲν Συμεὼν προεστὼς τῆς τῶν χριστιανῶν ἐκκλησίας τῆς ἐν ταῖς πόλεσι ταῖς κατὰ [2]> Κτησιφῶντα [3] καὶ Σαλήκ, ὁρῶν παρὰ τῶν Περσῶν τὰ παράνομα πραττόμενα, γράφει [4] τῷ βασιλεῖ ὅτι· « Ἡμεῖς δοῦλοι Χριστοῦ τοῦ Θεοῦ » ἡμῶν ὑπάρχοντες ὑποφόροι ὑμῶν εἶναι οὐ κατα» δεχόμεθα· ποίει οὖν ὃ βούλει. » Τότε ἀποστείλας ὁ Σαβώριος ἤγαγεν αὐτὸν δέσμιον μετὰ τῶν σὺν αὐτῷ [5]· καὶ εἰσελθὼν οὐ προσεκύνησεν τῷ βασιλεῖ, ὡς καὶ πρότερον. Καὶ εἶπεν ὁ βασιλεύς· « Διὰ τί οὐ προσεκύνησάς μοι; » Ὁ δέ φησιν· « Ὅτε εἴχομεν εἰρήνην, ἐποίουν τοῦτο· ὅτε δὲ » ἀπέστειλας ἀχθῆναί με δέσμιον, οὐ προσκυνῶ » σε. » Ἐξερχομένου δὲ αὐτοῦ πρὸς τὸ ἐγκλεισθῆναι, πραιπόσιτός τις καὶ μέγας τοῦ παλατίου,
f. 195. Γουσθαζὰτ ὀνόματι, | εὐνοῦχος [6] γέρων, ὃς καὶ τὸν βασιλέα ἀνέθρεψε, ἰδὼν τὸν ἐπίσκοπον ἠβουλήθη ἀσπάσασθαι αὐτόν· ὁ δὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ διὰ τὸ μὴ εἶναι χριστιανόν. Ὁ δὲ στενάξας εἶπεν· « Εἰ σὺ μὲν ἄνθρωπος ὢν ἀπε» στράφης με, ὁ Θεὸς ὃν ἠρνησάμην πῶς ἀγα» πήσει με; » καὶ εὐθέως ἐπέστρεψεν ἐπὶ τὸν Κύριον, καὶ σὺν τῷ ἐπισκόπῳ ἀπεκεφαλίσθη. Ἔνθα λέγεταί τινα τῶν ἀναιρουμένων δειλιάσαι πρὸς τὴν πληγήν· τὸν δὲ κουροπαλάτην, οὕτω λεγόμενον Φουσίκ [7], παρεστῶτα αὐτῷ προσειπεῖν μηδὲν εἶναι δεινόν, ἀλλ' ἐπιμύσαντα τὰς ὄψεις προσδέξασθαι τὴν διὰ τοῦ ξίφους τομὴν ταχυθάνατον οὖσαν· συλληφθέντα δὲ καὶ αὐτὸν καὶ εἰς τὸν Χριστὸν πιστεύειν ὁμολογήσαντα τὴν γλῶτταν τμηθῆναι καὶ τὸ δέρμα ὅλου τοῦ σώματος ἀφαιρεθῆναι, καὶ οὕτως τὴν ψυχὴν ἀποδοῦναι. Εἶχε δὲ καὶ θυγατέραν ἀσκήτριαν χριστιανήν, καὶ ὁ βασιλεὺς κατηνάγκασεν ταύτην θῦσαι τοῖς εἰδώλοις· καὶ μὴ πεισθεῖσα καὶ διαφόροις τιμωρίαις ταύτην ὑποβαλών [8], ξίφει τὴν κεφαλὴν ἀπετμήθη.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων χιλίων μαρτύρων καὶ Ἀζὰτ τοῦ εὐνούχου. Τῆς σωτηριώδους ἑορτῆς ἐπιστάσης τῆς ἁγίας καὶ μεγάλης παρασκευῆς, ἑώρταζον καὶ οἱ ἐν Περσίδι χριστιανοὶ καὶ ἐδοξολόγουν εὐχαριστοῦντες Χριστῷ, τῷ δι' ἡμᾶς ὑπομείναντι τὰ σωτήρια πάθη. Κρατηθέντος οὖν τοῦ ἁγίου Συμεὼν τοῦ ἐπισκόπου καὶ ἀναιρεθέντος, καὶ μετ' ἐκεῖνον [1] φονευθέντων καὶ ἄλλων πολλῶν, — καὶ γὰρ ἀπὸ τῆς μεγάλης παρασκευῆς μέχρι δεκάτης ἡμέρας πᾶς χριστιανὸς ὁ κρατούμενος ἐφονεύετο — ἐκρατήθησαν καὶ οὗτοι οἱ ἅγιοι, καὶ μετ' αὐτῶν Ἀζὰτ ὁ εὐνοῦχος, πλούσιος μὲν ὢν καὶ πρῶτος τοῦ παλατίου ἀγαπώμενός τε πλεῖστα καὶ τιμώμενος ὑπὸ τοῦ Σαβωρίου. Καὶ παραστάντος ἐνώπιον τοῦ βασιλέως καὶ ὁμολογήσαντος τὸν Χριστὸν παρρησίᾳ, ἀνῃρέθησαν ἅπαντες. Μεταμεληθεὶς δὲ ὁ Σαβώριος ἐπὶ τῷ θανάτῳ τοῦ ἁγίου Ἀζάτ [2], ἐνομοθέτησεν ἔκτοτε μὴ φονεύεσθαι χριστιανούς· καὶ ἐφυλάχθη ἕως καιροῦ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰακώβου πρεσβυτέρου καὶ Ἀζᾶ διακόνου. Οὗτοι κατὰ τοὺς χρόνους ἦσαν Σαβωρίου τοῦ βασιλέως [1], ὁ μὲν Ἰάκωβος ἀπὸ κώμης λεγομένης Φαργαθᾶ, Ἀζᾶς δὲ ἀπὸ κώμης Βηθνηρῆ [2]. Συλληφθέντες δὲ
f. 195v. καὶ παρα|στάντες τῷ ἀρχιμάγῳ Ἀρχωγαιχάρ [3], διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν σίναπι [4] μετ' ὄξους τοῖς μυκτῆρσιν ἐδέξαντο· εἶτα τύπτονται καὶ μετεωρίζονται γυμνοὶ ὑπὸ τὸ αἴθριον τῷ νυκτερινῷ ψύχει καταπηγνύμενοι. Καὶ μὴ πεισθέντες θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρὶ τὰς κεφαλὰς ἀποτέμνονται [5]. Κατελθόντος δὲ τοῦ δημίου εἰς τὴν παρακειμένην λίμνην καὶ τὸ ξίφος πλύναντος, μετεβλήθη τὸ ἐν αὐτῇ ὕδωρ εἰς αἷμα καὶ διήρκεσεν ἐπὶ πολύ· εἶτα ἐξηράνθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σάβα τοῦ Γότθου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Οὐαλεντινιανοῦ, ἐκ τῆς χώρας δὲ τῶν Γότθων. Ἐκ παιδόθεν χριστιανὸς ὤν, οὐ μόνον ἀπεστρέφετο τὰ εἰδωλόθυτα βρώματα, ἀλλὰ καὶ τοὺς βουλομένους αὐτῶν ἀπογεύεσθαι διεκώλυεν· ἀντὶ δὲ αὐτῶν τὴν εἰς Χριστὸν πίστιν παρατιθέμενος, πολλοὺς ἐπιστρέφων ἐβάπτιζεν. Ἐπισυστάντες οὖν ἐπ' αὐτὸν οἱ εἰδωλολάτραι βίᾳ τῆς πόλεως ἀπήλασαν. Μετὰ δὲ χρόνον τινὰ Ἀθαναρίχου τοῦ ἄρχοντος τῶν Γότθων διωγμὸν κινήσαντος κατὰ χριστιανῶν καὶ πάντας τοὺς τὸν Χριστὸν Θεὸν κηρύττοντας λυμαινομένου, ἐκρατήθη καὶ αὐτὸς καὶ ἐν τῷ τῆς ἁμάξης ἄξωνι προσδεθεὶς ἐπὶ τῶν δοκῶν τῆς οἰκίας ἐκρεμάσθη.

1. — [1] *al. et infra* Φασίκ, *cf.* Synaxaria selecta *ad d. Aprilis 14.* — [2] (καὶ - κατὰ) *om.* S, *supplevi, cf.* D *ad d. Aprilis 14.* — [3] Κτησιφῶν S. — [4] πράττοντα γράφειν S. — [5] δ. μετὰ τῶν σὺν αὐτῷ Bc *ad d. Aprilis 14*; αὐτοὺς δέσμιον μετ' αὐτῶν καὶ τοῖς λοιποῖς S. — [6] εὐνοῦχον S. — [7] Φασίκ S *hic tantum.* — [8] ὑποβαλλὼν S.
2. — [1] ἐκείνων S. — [2] Ἀζᾶ *hic* S.
3. — [1] Περσῶν *add.* D *ad d. Aprilis 14.* — [2] Βιθνηρῆ D. — [3] Ἀχοσγὰρ D. — [4] σίνιπι S, D. — [5] *hic des.* D.

April. 17.

SYNAXARIA SELECTA. **H** : Ἀρδαλίωνος (April. 18[3]). — Ἀγαπητοῦ... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις (April. 18[2]). — **P** : Ἀρδαλίωνος. — Ἀγαπητοῦ. — **D** : Ἀρδαλίωνος. — Ἀγαπητοῦ. — Ἀνθούσης (April. 18[5]). — Εὐθυμίου τοῦ θαυματουργοῦ (April. 18[6]). — **Da** : Ἀγαπητοῦ. — Ἀρδαλίωνος. — Ἀνθούσης. — 6. — **Db** : Ἀγαπητοῦ. — Ἀρδαλίωνος. — Ἀνθούσης. — Εὐθυμίου. — **K** : Ἀγαπητοῦ. — Ἀρδαλίωνος. — Ἀνθούσης. — Εὐθυμίου. — **N** : Ἀκακίου (April. 18[1]). — Ἀρδαλίωνος. — Ἀγαπητοῦ. — Ἀνθούσης. — **Bb** : 5. 6. — Ἀδριανοῦ. — **Bc** : Ἀρδαλίωνος. — Ἀγαπητοῦ. — Ἀνθούσης. — **C** : Ἀγαπητοῦ (Des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις

Καὶ ἀπογεύσασθαι τῶν εἰδωλοθύτων μὴ πεισθείς, ἤχθη ἐπὶ τὸν ποταμὸν Μουσαῖον, προσδεθέντος αὐτῷ ξύλου μεγίστου [1] κατὰ τοῦ τραχήλου· καὶ ἐν αὐτῷ ῥιφεὶς ἀπεπνίγη, ἔτος ἄγων τῆς ἡλικίας τριακοστὸν ὄγδοον.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Λεωνίδου, Χαριέσσης [1], Νουνεχίας, Βασιλίσσης, Νίκης, Γαλήνης, Κάλλιδος καὶ Θεοδώρας. Οὗτοι [2] ὑπῆρχον ἐκ τῆς χώρας [3] Ἑλλάδος. Καὶ ὁ μὲν Λεωνίδης ἐν τῇ ἁγίᾳ ἑορτῇ τῆς ἀναστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πολλοῦ λαοῦ αἰνῶν καὶ δοξολογῶν τὸν Θεὸν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ ἑορτάζων ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν· καὶ δεσμευθεὶς ἤχθη εἰς Κόρινθον [4]. Ἡ δὲ Χαρίεσσα καὶ [5] Νουνεχία καὶ ἡ μήτηρ τῆς Νουνεχίας Βασίλισσα καὶ Νίκη καὶ Γαλήνη καὶ Κάλλις καὶ Θεοδώρα ἤχθησαν καὶ αὗται [6] εἰς Κόρινθον πρὸς Βενοῦστον τὸν ἡγε-
f. 196. μόνα [7]· ὃς τὸν ἅγιον Λεωνίδην εὑρὼν ἑδραῖον | καὶ ἀμετακίνητον τῆς εἰς Χριστὸν πίστεως [8], κρεμάσας [9] ἀφειδῶς προσέταξε ξέεσθαι· εἶτα μετὰ τῶν σὺν αὐτῷ [10] τῷ βυθῷ τῆς θαλάσσης ἐκδοθῆναι ἐκέλευσεν. Ἔνθα λέγεται τὴν μακαρίαν Χαρίεσσαν ᾄδειν προφωνοῦσαν ὥσπερ ποτὲ τὴν Μαριὰμ ἐπὶ τῇ καταποντώσει τῶν Αἰγυπτίων [11]· « Ἓν μίλιον » ἔδραμον, Κύριε, καὶ στράτευμά με ἐδίωξε [12], » Κύριε· καὶ οὐκ ἠρνησάμην σε, Κύριε, σῶσόν » μου τὸ πνεῦμα· » τοὺς δὲ λοιποὺς συνεπακούοντας καὶ συμψάλλοντας φθάσαι μέχρι τῆς θαλάσσης καὶ ἐν πλοίῳ ἐπιβάντας τῆς ᾠδῆς παρατεινομένης ἀναχθῆναι ἐπὶ σταδίους τριάκοντα· εἶτα προσδεθέντας λίθοις ἐξωσθῆναι τοῖς ὕδασι, γενέσθαι δὲ τὴν μαρτυρίαν αὐτῶν πρὸ μιᾶς τοῦ πάσχα ἡμέρας [13].

April. 17.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Εἰρήνης. Ἥτις κατὰ τὸν καιρὸν τοῦ ἁγίου πάσχα ἐν τῇ χώρᾳ τῆς Ἑλλάδος, ὅτε καὶ ὁ ἅγιος Λεωνίδης μετὰ τῶν σὺν αὐτῷ ἐμαρτύρησεν, ἐν ἰδίῳ εὐκτηρίῳ μετὰ τῶν τότε χριστιανῶν τῷ Θεῷ δοξολογοῦσα κατεμηνύθη τῷ ἄρχοντι καὶ κρατηθεῖσα ἐβλήθη ἐν τῇ φρουρᾷ· εἶτα ἐξαχθεῖσα καὶ τὴν γλῶτταν ἐκκοπεῖσα καὶ τοὺς ὀδόντας ἐκριζωθεῖσα τὴν κεφαλὴν ἀπετμήθη.

7. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων γυναικῶν Βασιλίσσης καὶ Ἀναστασίας. Αὗται ὑπῆρχον ἐκ τῆς μεγαλοπόλεως Ῥώμης εὐγενεῖς καὶ πλούσιαι [1], μαθήτριαι δὲ γεγονυῖαι τῶν ἁγίων ἀποστόλων. Αἵτινες [2] μετὰ τὴν [2] τελευτὴν [3] τούτων τὰ τίμια αὐτῶν λείψανα ἀνελόμεναι [2] νυκτὸς [4] καὶ κηδεύσασαι διεγνώσθησαν· καὶ τῷ δυσσεβεῖ Νέρωνι καταμηνυθεῖσαι καὶ πρὸς αὐτὸν εἰσαχθεῖσαι [5], τότε μὲν εἰς φυλακὴν παρεπέμφθησαν. Ὕστερον δὲ ἐκβληθεῖσαι καὶ μὴ πεισθῆναι τῷ τοῦ βασιλέως κελεύσματι <βουλόμεναι [6]> ἀλλὰ ἀμετακίνητοι [7] σταθεῖσαι τῇ τοῦ Χριστοῦ πίστει, ἀναρτῶνται καὶ ξέονται καὶ λαμπάσι καταφλέγονται, τοὺς μαστούς τε καὶ τὰς γλώσσας ἀποτέμνονται [8], καὶ τέλος μαχαίραις [2] τὰς σφῶν [2] κεφαλὰς ἀφαιροῦνται [9]· καὶ οὕτως τοὺς στεφάνους τῆς ἀθλήσεως ἔλαβον.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

April. 18.

1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ὁμολογητοῦ Ἀκακίου [1] ἐπισκόπου Μελιτινῆς. Οὗτος ἦν κατὰ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως, τὴν εἰς Χριστὸν πίστιν διδάσκων. Συσχεθεὶς δὲ προσήχθη
f. 196v. Μαρκιανῷ ὑπάτῳ, καὶ περὶ ὧν κηρύττει ἐρωτηθεὶς | διεξῆλθε τὴν καθ' ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν καὶ τὰ μυθώδη τῶν ἑλλήνων διήλεγξεν [2]· ὅθεν βασάνους [3] δέχεται <καὶ [4]> τῇ φρουρᾷ κατακλείεται. Ἀνήγγειλε δὲ περὶ τούτου ὁ Μαρκιανὸς τῷ Δεκίῳ καὶ τὰ κατὰ τὴν ἐξέτασιν ὑπομνήματα ἀποστείλας.

4. — [1] ξύλῳ μεγίστῳ S.
5. — [1] Χαριέσης *hic* S. — [2] Λ., Χ., Νίκης, Γαλήνης, Καλλίδους, Νουνεχίας, Βασιλίσσης καὶ Θεοδώρας οὗτοι οἱ ἅγιοι Mc *ad d. Aprilis 16.* — [3] *om.* Mc. — [4] (ἐν τῇ - Κόρινθον) συνελήφθη ἐν Τροιζῆνι ἐξάρχων πνευματικοῦ χοροῦ ἐν ταῖς ἑορτασίμοις ἡμέραις τῆς ἁγίας τοῦ Χριστοῦ ἀναστάσεως καὶ εἰς Κόρινθον ἤχθη Mc. — [5] ἡ *add.* Mc. — [6] Θεοδώρα καὶ Καλλὶς ἐκ τῆς Ἑλλάδος οὖσαι καὶ αὐταὶ ἤχθησαν Mc. — [7] τὸν ἡγ. Β. Mc. — [8] εὑρὼν ἀσάλευτον ἔχοντα τὴν εἰς Χ. π. Mc. — [9] κρεμᾶσαι S. — [10] αὐτῶν S. — [11] καὶ λέγειν *add.* Mc. — [12] μοι ἐδ. S, με κατεδίωξε Mc. — [13] ἡμέρας τ. π. Mc.
7. — [1] εὐγενῶν καὶ πλουσίων *sic* Mc *ad d. Aprilis 15.* — [2] *om.* Mc. — [3] δὲ *add.* Mc. — [4] λαμβάνουσαι *add.* Mc. — [5] (καὶ - εἰσαχθεῖσαι) *om.* Mc. — [6] *supplevi, om.* S. — [7] ἀμετακίνηται S. — [8] (ἐκβληθεῖσαι - ἀποτέμνονται) ἐξαχθεῖσαι καὶ τῇ εἰς Χ. ὁμολογίᾳ ἐμμένειν εἰποῦσαι ἀναρτῶνται τοὺς μαστοὺς δὲ καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἅμα καὶ τὰς γλῶσσας ἐκτέμνονται Mc. — [9] *hic des.* Mc.
1. — [1] οὗτος προεγράφη μαρτίου κζ'· ἐτέθη διπλῶς *in marg.* S. — [2] διήλλεγξεν S. — [3] βασάνοις S. — [4] *om.* S.

April. 17.

κτλ.). — Ἀνθούσης. — **Ce** : Ἀγαπητοῦ. — Ἀνθούσης. — **Cg** : Ἀγαπητοῦ. — Ἀνθούσης. — **R** : Ἀκακίου. — Ἀρδαλίωνος. — **Ra** : 1. — **Rb** : Ἀκακίου. — **Rc** : Ἀκακίου. — Ἀγαπίου πάππου τῆς πρεσβυτέρας Ῥώμης (April. 18[2]). — Ἀρδαλίωνος. — **Mc** : 1. — Ἀδριανοῦ. — Ἀγαπητοῦ. — **Mv** : 1. — Ἀδριανοῦ. — Ἀγαπητοῦ. — **Mr** : 1.

April. 18.

SYNAXARIA SELECTA. **H** : Βίκτωρος, Ζωτικοῦ, Ζήνωνος, Ἀκινδύνου καὶ Σευηριανοῦ (April. 20[5]). — Γεωργίου ἐπισκόπου Ἀντιοχείας (April. 20[4]). — Τρύφωνος ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (April. 20[3]). — **P** : Βίκτωρος κτλ. — Γεωργίου. — **D** : 4 : Κοσμᾶ ἐπισκόπου Χαλκηδόνος. Οὗτος ἐκ σπαργάνων καθάρας ἑαυτὸν ἐν ἀσκητικοῖς ἀγῶσιν καὶ τῷ τῆς ἀσκήσεως γάλακτι τραφεὶς καὶ γενόμενος Θεοῦ κατοικητήριον, τῇ θείᾳ ἱερωσύνῃ καλῶς ἐκοσμήθη, ποιμὴν θεοπρόβλητος καταστάς· ὅθεν ἐνστερνισάμενος Θεοῦ τὰ ὅπλα πρὸς ὀχυρωμάτων καθαίρεσιν, πάντων τῶν τὴν Χριστοῦ εἰκόνα ἀθετούντων τὴν ὀφρὺν κατέβαλε καὶ ταύτην ἐτίμησε καὶ προσκυνεῖν ἐξεπαίδευσε, τῆς ὁμολογίας τὸ στέφος ἀναδησάμενος, καὶ ἣν ἐκ παιδὸς εἶχεν εὐλάβειαν μέχρι γήρως συνετήρησεν μηδαμῶς ὕπνῳ ἀμελείας κατασχεθείς, ἀλλὰ δυνάμει θείου Πνεύματος οἰακιζόμενος, πρὸς ἀπαθείας λιμένα

APRIL. 18. Προστάξαντος οὖν τοῦ Δεκίου, ἀφείθη ὁ ἅγιος τῆς εἱρκτῆς καὶ περιῄει τὰ στίγματα τοῦ Χριστοῦ φέρων ἐν τῇ σαρκὶ αὐτοῦ. Πολλοὺς δὲ τὴν εἰς Χριστὸν πίστιν παιδεύσας καὶ ἐν θαύμασι καὶ διδασκαλίαις καλῶς διαπρέψας, ἀνεπαύσατο ἐν εἰρήνῃ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις [1] πατρὸς ἡμῶν Ἀγαπητοῦ πάπα Ῥώμης. Οὗτος ὁ μακάριος [2] ὑπῆρχε [3] κατὰ τοὺς χρόνους [4] Ἰουστινιανοῦ τοῦ βασιλέως, δι' ἀσκήσεως καὶ ἀρετῆς τραφεὶς καὶ ἀναχθεὶς πρὸς τὸ τῆς ἀρχιερωσύνης [5] ἀξίωμα. Ἀπάρας δὲ πρὸς [6] τὴν [3] Κωνσταντινούπολιν, ὡς ἐντευξόμενος τῷ βασιλεῖ Ἰουστινιανῷ, εὐθὺς κατὰ τὴν πορείαν τῆς οἰκείας ἀρετῆς καὶ πρὸς τὸν Θεὸν παρρησίας ἀπόδειξιν ἔδωκε. Κατὰ γὰρ τὴν Ἑλλάδα γενόμενος, δυσὶ πάθεσι κατεχόμενον ἄνθρωπον [6] καὶ μήτε λέγειν ὅλως μήτε βαδίζειν <δυνάμενον [7]> ἀλλ' ἐκ [8] γεννέσεως ἄλαλον ὄντα καὶ μόλις ἕρποντα κρατήσας τῆς χειρὸς ἀρτίπουν ἐποίησε καὶ τοῦ δεσποτικοῦ σώματος ἐν [3] τῷ αὐτοῦ στόματι ἐμβαλὼν εὔλαλον ἔδειξεν [9]. Ἀλλὰ καὶ ἐν [10] τῇ Χρυσῇ γενόμενος πόρτῃ [11], ἐπιβαλὼν τὴν χεῖρα τυφλῷ τινι προσελθόντι τὴν ὀπτικὴν ἐχαρίσατο δύναμιν. Οὗτος [12] ἀξίως τῆς ἑαυτοῦ ἀρετῆς παρὰ τῶν ἐν τέλει καὶ τῆς συγκλήτου καὶ αὐτοῦ τοῦ βασιλέως προσδεχθεὶς καὶ πάσης τῆς πόλεως, καὶ Ἄνθιμον τὸν ἐπίσκοπον Τραπεζοῦντος κακῶς ἐπιβάντα τῆς ἐν Κωνσταντινουπόλει καθέδρας ἐξοστρακίσας ὡς τὰ τοῦ Εὐτυχοῦς καὶ Σευήρου [13] φρονοῦντα [14] καὶ τῷ ἀναθέματι παραδούς, καὶ τὸν εὐλαβέστατον πρεσβύτερον Μηνᾶν τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας βίῳ καὶ λόγῳ διαπρέποντα καὶ φρονήματος ὄντα τοῦ κατὰ τὴν [3] πίστιν ὀρθοῦ χειροτονήσας καὶ τῷ θρόνῳ ἐγκαθιδρύσας, μετὰ χρόνον τινὰ πρὸς Κύριον ἐξεδήμησεν [15]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρδαλίωνος τοῦ μίμου. Οὗτος κατὰ τοὺς χρόνους ἦν Μαξιμιανοῦ τοῦ βασιλέως, ἐν τοῖς θεάτροις μιμούμενος καὶ τὰ ἑτέρων ὑποκρινόμενος πάθη καὶ δράματα. Καί ποτε δόξαν αὐτῷ | τὴν κατὰ (f. 197.) τὸ μαρτύριον ἔνστασιν τῶν χριστιανῶν ὑποκρίνασθαι, ἀναρτηθεὶς ὡς τοῖς θεοῖς μὴ προσάγων σπονδάς [1], ἐξέετο. Ὡς οὖν ἐπ' αὐτῷ κρότος παρὰ τῶν θεατῶν ἦν, ἐπαινούντων αὐτοῦ τὴν ὑπόκρισιν ἅμα καὶ καρτερίαν, ἀνακραγὼν μέγα καὶ σιγὴν ἐπιτάξας τῷ δήμῳ, χριστιανὸν ἐν ἀληθείᾳ [2] ἑαυτὸν ἀνεκήρυξεν. Ὅθεν τοῦ ἄρχοντος πολλὰ παραινέσαντος αὐτῷ μεταθέσθαι τὴν γνώμην, τοῦτο ποιῆσαι μὴ βουληθεὶς ἀλλ' ἐπιμένων τῇ εἰς Χριστὸν πίστει, πυρᾶς ἐξαφθείσης ἐν μέσῳ βληθεὶς τὸ μακάριον τέλος ἐδέξατο [3].

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κοσμᾶ ἐπισκόπου Χαλκηδόνος τοῦ ὁμολογητοῦ. Οὗτος γέγονε μὲν [1] ἐκ τῆς Κωνσταντινουπόλεως· ἐκ βρέφους δὲ [2] τὸν Θεὸν ἀγαπήσας,

2. — [1] τοῦ ὁσίου Mc *ad d. Aprilis 17.* — [2] ἐν ἁγίοις πατὴρ ἡμῶν Mc. — [3] *om.* Mc. — [4] ἦν *add.* Mc. — [5] ἱερωσύνης Mc. — [6] εὑρὼν *add.* Mc. — [7] Mc, *om.* S. — [8] ἐξ αὐτῆς Mc. — [9] ἀπέδειξεν Mc. — [10] κἀν Mc. — [11] πόρτῃ γ. Mc. — [12] οὕτως Mc. — [13] Σεβήρου Mc. — [14] φρονοῦντος S. — [15] *hic des.* Mc.
3. — [1] θυσίαν Mc *ad d. Aprilis 13.* — [2] ἐν ἀλ. *om.* Mc. — [3] (τοῦτο - ἐδέξατο) μὴ ὑπακούσας ἀλλ' ἀμεταθέτως λοιπὸν τῇ εἰς Χριστὸν ἐπιμένων πίστει πυρᾶς ἐν μέσῳ βληθεὶς τελειοῦται Mc.
4. — [1] δὲ S. — [2] μὲν S.

APRIL. 18. κατήντησε σὺν Αὐξεντίῳ τῷ σοφῷ, μεθ' οὗ καὶ τοὺς ἀγῶνας διήνυσε καλῶς, σαββατίσας πρὸς τὴν οὐράνιον κατάπαυσιν· ὅθεν καὶ τῶν ἀποστόλων ἐν οἴκῳ ἁγίῳ τὸ θεῖον αὐτοῦ σῶμα ἀπετέθη. — Βίκτωρος κτλ. — Γεωργίου. — Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Τρύφωνος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — **Da** : 4. — **Db** : 4. — **K** : 4. — **N** : 4. — Βίκτωρος κτλ. — Γεωργίου. — Ἰωάννου (April. 19[2]). — Τρύφωνος. — **Bb** : 3. 2. 5. — **Bc** : 4. — Ἰωάννου. — Βίκτωρος κτλ. — Γεωργίου. — **C** : 4. — Ἡ κοίμησις τοῦ ἁγίου Ἰωάννου τοῦ Παλαιολαυρίτου (April. 19[2]). — Ζωτικοῦ, Βίκτωρος κτλ. (April. 20[5]). — Γεωργίου. — **Ce** : 4. — Ἰωάννου. — **Cg** : 4. — Ἰωάννου. — Γεωργίου. — **R** : Ἰακώβου πρεσβυτέρου καὶ Ἀζῆ διακόνου (April. 17[3]). — **Ra** : 1. 2. — Τῶν ἁγίων χιλίων μαρτύρων (April. 17[2]). — **Rb** : Ἰωάννου. — Ἰακώβου πρεσβυτέρου καὶ Ἀζᾶ. — 6. — Βίκτωρος κτλ. — Γεωργίου. — 4. — **Rc** : Ἰωάννου. — Ἰακώβου καὶ Ἀζᾶ. — 6. — Βίκτωρος κτλ. — Γεωργίου. — 4. — **Mc** : Σάβα τοῦ Γότθου (April. 17[4]). — 4. — Ἀθανασίας τῆς θαυματουργοῦ. Αὕτη ἡ ἀοίδιμος ἡ τῆς ἀθανασίας ἐπώνυμος γεννᾶται ἐν νήσῳ τινὶ Αἰγίνῃ ὀνομαζομένῃ παρ' εὐσεβῶν καὶ εὐπατριδῶν γονέων. Μαθοῦσα δὲ τὸ ψαλτήριον καὶ πᾶσαν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἔσπευδε τῷ Θεῷ ἑαυτὴν ἀφιερῶσαι· οἱ δὲ γονεῖς ἔζευξαν αὐτὴν ἀνδρὶ καὶ μὴ θέλουσαν. Μεθ' ἡμέρας δὲ ἑξκαίδεκα τοῦ συνοικεσίου, βαρβάρων ἐπελθόντων, ἐξελθὼν ὁ ἀνὴρ ἐσφάγη μαχαίρᾳ. Τότε ἡ ὁσία ἀνακαινισθεῖσα εἰς τὸν πρώην λογισμὸν ἠγωνία, πῶς ἂν δυνηθείη διακρούσασθαι τοὺς γεννήτορας· καὶ ὡς ἐν τούτοις ἠσχόλει τὸν λογισμόν, ἔφθασε πρόσταγμα βασιλικὸν ἵνα τὰς ἐν ἀγαμίᾳ πάσας καὶ ἐν χηρείᾳ οὔσας ἐκεῖσε γυναῖκας συζεύξωσιν ἐθνικοῖς· ὅθεν πάλιν καὶ μὴ θέλουσα ἦλθεν εἰς δεύτερον συνοικέσιον. Ἀλλὰ καὶ τῆς ἰδίας σωτηρίας ἀεὶ φροντίδα ποιουμένη, ἐσχόλαζεν εἰς εὐχὰς καὶ δεήσεις, καὶ ἀφειδῶς τὸν πλοῦτον τοῖς πένησι διεσκόρπιζε. Μετὰ δὲ χρόνον τινὰ πείθει τὸν σύζυγον μοναχὸν γενέσθαι, εἰ καὶ βάρβαρος ἦν· ὃς καὶ μετὰ χρόνον τινὰ ὁσίως διαπρέψας πρὸς Κύριον ἐξεδήμησεν. Ἔκτοτε δὲ ἐλευθερίας τυχοῦσα, διένειμε πάντα τὸν πλοῦτον αὐτῆς. Καὶ προσλαβομένη καὶ ἑτέρας γυναῖκας ἀφίκετο εἰς ἀσκητήριον, καὶ μονάσασα σὺν αὐταῖς ἠγωνίζετο σφόδρα. Τυροῦ γὰρ καὶ ἰχθύος οὐχ ἥπτετο, εἰ μὴ κατὰ τὸ ἅγιον πάσχα, καὶ μόνον καὶ ἐν ταῖς τοῦ δωδεκαημέρου ἡμέραις. Ἄρτον δὲ καὶ ὕδωρ μετὰ τὴν ἐννάτην προσίετο καὶ ταῦτα μετ' ἐγκρατείας· ταῖς δὲ ἁγίαις τρισὶ τεσσαρακοσταῖς τοῦ ἐνιαυτοῦ, οὔτε ἄρτου οὔτε ὕδατος μετελάμβανεν εἰ μὴ λεπτολάχανά που ἐποιεῖτο τροφήν· καὶ ταῦτα δι' ἡμερῶν δύο. Μετὰ δὲ χρόνους τέσσαρας προεχειρίσθη ἄρχειν τοῦ ἀσκητηρίου καὶ ἔκτοτε τὴν ἐσχατιὰν τῶν μοναζουσῶν ἁπασῶν προέκρινε μετέρχεσθαι, ὡς

ἀφῆκε τὸν κόσμον, καὶ ἀπελθὼν γέγονε μοναχός. Ἀσκητικοῖς ἀγῶσιν ἑαυτὸν ἐκκαθάρας καὶ Θεοῦ γενόμενος κατοικητήριον, ἐχειροτονήθη Χαλκηδόνος ἐπίσκοπος κατὰ τὸν καιρὸν τῶν δυσσεβῶν εἰκονομάχων· ὅθεν καὶ πολλοὺς ἀγῶνας ἐνεδείξατο ὑπὲρ τῆς ὀρθοδόξου πίστεως. Ἀναγκαζόμενος γὰρ ὑπὸ τῶν κρατούντων ἀρνήσασθαι τὴν προσκύνησιν τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων καὶ μὴ πειθόμενος, ἐξωρίζετο καὶ πλείστους ὑπέμεινε πειρασμούς. Καὶ πάλιν ἀνακαλούμενος καὶ βιαζόμενος συνθέσθαι τῇ αἱρέσει αὐτῶν καὶ μηδὲ ἀνεχόμενος τοῦτο ἀκοῦσαι, μυρίαις συμφοραῖς περιέπιπτεν ἅμα τῷ ὁσίῳ Αὐξεντίῳ· μεθ' οὗ καὶ τοὺς ἀγῶνας διήνυσε καλῶς σαββατίσας πρὸς τὴν οὐράνιον κατάπαυσιν· ὅθεν καὶ τῶν ἀποστόλων ἐν οἴκῳ ἁγίῳ τὸ σῶμα αὐτοῦ ἀπετέθη.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Ἀνθούσης θυγατρὸς γενομένης Κωνσταντίνου βασιλέως τοῦ Κοπρωνύμου. Ἥτις ὑπὸ τοῦ πατρὸς πολλάκις ἀναγκασθεῖσα ζευχθῆναι ἀνδρὶ οὐκ ἐπείσθη· διὸ μετὰ τὸ ἀποβιῶναι αὐτὸν ἀδείας λαβομένη [1] πάντα τὰ προσόντα αὐτῇ πένησι καὶ ἐκκλησίαις καὶ εὐαγέσιν οἴκοις διανειμαμένη, πολλῶν ὀρφανῶν μήτηρ ἐγεγόνει καὶ χηρῶν καὶ ὀρφανῶν προασπιστής· (APRIL. 18.) πολλαῖς δὲ παρακλήσεσιν πολλάκις βιαζομένη [2] ὑπὸ Εἰρήνης τῆς εὐσεβεστάτης [3] Αὐγούστης συνεῖναι αὐτῇ καὶ συμβασιλεύειν, οὐδαμῶς ἠνέσχετο [4]. Ὁπόσας δὲ διέτριβεν ἡμέρας ἐν τῷ παλατίῳ, ἔξωθεν μὲν βασιλικὸν ἱμάτιον ἦν αὐτῇ τὸ φορούμενον, ἔνδοθεν δὲ τρίχινον ῥάκος, ἡ δὲ τροφὴ ἅπασα [5] ἀσκητικὴ | (f. 197v.) καὶ τὸ ποτὸν ὕδωρ, τὸ δάκρυον ἐν ὀφθαλμοῖς καὶ ὁ ὕμνος ἐπὶ στόματος· ὅθεν τὸν μοναστὴν ὑποδύεται [6] βίον διὰ χειρὸς τοῦ ἐν ἁγίοις Ταρασίου ἀποκειραμένη ἐν τῇ μονῇ τῆς Εὐμενίας [7]. Ἔκτοτε δὲ οὔτ' αὐτὴ τῆς μονῆς ἐξῆλθεν οὔτ' [8] ἄλλη τῶν ἀδελφῶν, οὐκ ἀπελείφθη τῆς ἐκκλησίας, οὐκ ἠτόνησεν, οὐ κατωλιγώρησεν προσευχομένη· οἱ ὀφθαλμοὶ αὐτῆς οὐδέποτε τῶν δακρύων ἐσκάλησαν [9], ἡ ταπείνωσις αὐτῇ ἄμετρος [10] ἦν, πάσαις [11] ταῖς ἀδελφαῖς διηκόνει, τὴν ἐκκλησίαν ἐκόσμει, ὕδωρ ἐκόμιζε, ἐν τῇ τραπέζῃ παρίστατο καὶ διηκόνει. Οὕτως οὖν πάντα τὸν χρόνον τῆς ζωῆς αὐτῆς ποιοῦσα, μετὰ τῶν τῆς ἀρετῆς φορτίων πρὸς [12] Θεὸν μεθίστατο [13], χρόνων οὖσα πεντήκοντα δύο.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ θαυματουργοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐν Πέργῃ τῆς Παμφυλίας. Οὗτος διὰ τὸ στηλιτεῦσαι τὴν τῶν εἰδώλων πλάνην <καὶ [1]> ναοὺς καὶ ξόανα καταστρέψαι, ἐπὶ ἐσχάρας πυρακτωθείσης (APRIL. 19.) ἁπλωθεὶς κατακαίεται καὶ κρηπῖσι τοὺς πόδας ἡλωθεὶς ἅρματι τῶν ἵππων προσδεθεὶς ἐλαύνεται·

5. — [1] λ. ἀ. D *ad d. Aprilis 17.* — [2] (πολλαῖς - βιαζομένη) πολλάκις παρακληθεῖσα D. — [3] ὀρθοδόξου D. — [4] ἠνίχετο D. — [5] *om.* D. — [6] ὑπέρχεται D. — [7] μονῇ τὰ Ὁμονοίας D. — [8] οὔτε ... οὔτε D. — [9] ἐστάλησαν S, D. — [10] ἀμέτρητος D. — [11] γὰρ *add.* D. — [12] τὸν *add.* D. — [13] μεθίσταται D.
1. — [1] *add.* D *ad d. Aprilis 21, om.* S.

APRIL. 18. οὐδὲ διαγινώσκεσθαι αὐτὴν πρωτεύουσαν. Ἐν δὲ τῷ καθεύδειν αὐτὴν οὐκ ἐπὶ πλευροῦ ἀλλ' ἐφ' ἑνὶ προσκλινομένη λίθῳ, εἰς τοῦτο αὐτῇ εὐτρεπισθέντι, μικρὸν τοῦ ὕπνου μετελάμβανε. Μετὰ δὲ παραδρομὴν ἑτέρων ἐτῶν τεσσάρων, ἔρωτι τρωθεῖσα ἡσυχίας, μεθ' ὧν εἰς τὸ ἀσκητήριον ἀφίκετο ἐξελθοῦσα, Ματθαίῳ τινὶ ἱεροπρεπεῖ συνεργῷ πρὸς τοῦτο χρησαμένη, τὸν τῆς ἡσυχίας τόπον κατέλαβεν. Ἐκεῖσε οὖν ἐφ' ἱκανὸν τοὺς τῆς ἡσυχίας καρποὺς δρεψαμένη, τοῦ δηλωθέντος Ματθαίου τὴν σωματικὴν χορηγοῦντος χρείαν διὰ τοῦ ἐργοχείρου αὐτῶν, ἐπὶ τὸ Βυζάντιον χρείας κατεπειγούσης καὶ βίας τινὸς ᾤχετο, συνεργὸν αὖθις ἔχουσα Ἰγνάτιόν τινα εὐνοῦχον πρεσβύτερον, παντοίαις κατάκομον ἀρεταῖς, ὡς τοῦ προμνημονευθέντος Ματθαίου πρὸς Κύριον ἐκδημήσαντος. Ἡ δὲ τῇ ἡσυχίᾳ σχολάσασα ἔμεινεν ἐπὶ χρόνοις ἑπτὰ θλιβομένη ἀεὶ καὶ φροντίζουσα περὶ τοῦ ἀσκητηρίου αὐτῆς. Ὀπτασίας οὖν περὶ τούτου γενομένης, αὐτὴ ἀπάρασα εὐθὺς ἐκεῖθεν κατέλαβε τὸ ἀσκητήριον. Καὶ ἀσπασαμένη τὰς ἀδελφὰς σὺν τῷ πρεσβυτέρῳ, συνδιῆγε ταύταις νουθετοῦσα καὶ διδάσκουσα τὰ πρὸς κτῆσιν ἀρετῶν θείων καὶ ἐκπλήρωσιν τῶν τοῦ Χριστοῦ ἐντολῶν. Εἶτα μετὰ βραχὺ τὴν πρὸς Θεὸν ἀνάλυσιν αὐτῆς προγνοῦσα πρὸ δυοκαίδεκα ἡμερῶν καὶ αὐταῖς ἀδελφαῖς ἀναγγείλασα, ηὐχαρίστησε μὲν τῷ Κυρίῳ, ἐπισυνάξασα δὲ καὶ τὰς ἀδελφάς, προεχειρίσατο τὴν μέλλουσαν ἀντ' αὐτῆς ἄρχειν τῶν λοιπῶν. Καὶ τῇ τελευταίᾳ ἡμέρᾳ, καθ' ἣν ἔμελλεν ἀπαίρειν πρὸς Κύριον, τῇ τοῦ ψαλτηρίου μελῳδίᾳ τῷ Θεῷ προσανέχουσα καὶ πρὸς ἐκπλήρωσιν τούτου μὴ ἐξαρκέσασα, τὸ λεῖπον δὲ ταῖς ἀδελφαῖς ἀναθεμένη καὶ ὑπὲρ αὐτῶν προσευξαμένη, πρὸς Κύριον ἐξεδήμησε. Οὐκ ὀλίγοι δὲ δαιμονῶντες καὶ νοσοῦντες ἰάθησαν κατὰ τὸν τῆς κηδείας καιρόν. Ἀλλὰ καὶ μετὰ τὴν κατάθεσιν τοῦ ἱεροῦ ταύτης λειψάνου ὅσοι τῷ τάφῳ προσέδραμον, τυφλοί τε καὶ ἕτεροι ποικίλοις πάθεσι συνεχόμενοι, τάχος τὴν ῥῶσιν ἐδέξαντο. Προεῖπε δὲ καὶ ταῖς ἀδελφαῖς ὅτι· « Ὃ ὀφείλω ἀπολαβεῖν, ἐν τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἀπολήψομαι· » ὅθεν καὶ εἶδον δύο τῶν μοναζουσῶν ἄνδρας ἀστραπηβόλους δύο ἑκατέρωθεν τῆς ὁσίας ἱσταμένους ἔξωθεν τῶν ἁγίων θυρῶν τοῦ θυσιαστηρίου κατέχοντάς τε πορφύραν βασιλικὴν ἀπὸ χρυσοῦ καὶ λίθων τιμίων καὶ μαργάρων καὶ ἐνδύοντας ταύτην. Εἰς ἀνάμνησιν οὖν ἐλθοῦσαι τοῦ διορατικοῦ λόγου τῆς ἁγίας καὶ τὴν ἔκβασιν διὰ τῆς ὀπτασίας ἰδοῦσαι, τῷ Θεῷ ηὐχαρίστησαν τῷ οὕτως δοξάζοντι τοὺς ἀγαπῶντας αὐτόν. — **Mv** : Σάβα. — 4. — Ἀθανασίας. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα τετρὰς τῆς μεσοπεντηκοστῆς. — **Mr** : Ἰωάννου.

APRIL. 19. SYNAXARIA SELECTA. **H** : vacat. — **P** : τῶν ἁγίων μαρτύρων Χριστοφόρου καὶ Θεωνᾶ καὶ Ἀντωνίου (April. 20[5]). — **D** : 2 : Ἰωάννου πρεσβυτέρου τοῦ Παλαιολαυρίτου. Οὗτος ἐξ ἁπαλῶν

APRIL. 19. ἐκεῖθέν τε χάριτι Θεοῦ περισωθεὶς ἐν καμίνῳ πυρὸς ἀπορρίπτεται ἅμα Σωκράτει καὶ Διονυσίῳ, καὶ ἀβλαβὴς διαμείνας τῇ εἱρκτῇ ἐναποτίθεται[2]. Καὶ τῇ ἔωθεν σταυρῷ προσπαγεὶς βέλεσι τιτρώσκεται καὶ μέχρι τριῶν διαρκέσας ἡμερῶν τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἰωάννου μαθητοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου. Οὗτος ἐξ ἁπαλῶν ὀνύχων τὸν Χριστὸν ἀγαπήσας ἀπῆλθε πρὸς τὸν μέγαν Γρηγόριον τὸν Δεκαπολίτην· καὶ γενόμενος ὑπ' ἐκείνου μοναχός, τοῦ λοιποῦ συνῆν αὐτῷ ἀγωνιζόμενος ἐν πᾶσι καὶ τὸν Θεὸν θεραπεύων. Οὕτω δὲ γέγονεν εἰς ὑπακοὴν περιβόητος καὶ εἰς ὑποταγὴν πειθήνιος καὶ ἑτοιμότατος θεραπευτής, ὡς καὶ τὸν μέγαν Γρηγόριον ἐπ' αὐτῷ χαίρειν καὶ τὸν Θεὸν δοξάζειν. Μετὰ δὲ τὴν τελείωσιν τοῦ ἁγίου Γρηγορίου, ἀπῆλθεν εἰς ξένην χώραν ἄγνωστον διὰ τὸν ξενιτεύσαντα Κύριον καὶ ἐπὶ ξένης[1] τεχθέντα, καὶ ἠγωνίζετο· εἶτα καταλαβὼν τοὺς ἁγίους τόπους ἀπῆλθεν εἰς τὴν τοῦ ἁγίου Χαρίτωνος λαύραν, καὶ ἐπέδωκεν ἑαυτὸν εἰς πλείους ἀγῶνας τῶν ἀρετῶν· καὶ οὕτως ἐν εἰρήνῃ ἀνεπαύσατο.

f. 198.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

APRIL. 20. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ. Οὗτος ἦν τῆς Κωνσταντινουπόλεως γέννημα καὶ θρέμμα· πλουσίων δὲ γονέων ὑπάρχων υἱὸς κατέλιπε γονεῖς, πλοῦτον καὶ δόξαν· καὶ ἀπελθὼν ἐν τῇ μονῇ τοῦ Τριχινᾶ γέγονε μοναχὸς καὶ[1] πάσῃ κακουχίᾳ καὶ σκληραγωγίᾳ ἑαυτὸν ὑπέβαλλε[2] καὶ κρύει καὶ παγετῷ πηγνύμενος, ὡς νεκρὸς φαίνεσθαι τοῖς πᾶσιν· δι' ὅλης γὰρ νυκτὸς καὶ ἡμέρας ἵστατο αἴθριος προσευχόμενος. Τριχίνοις καὶ ἁδροῖς ὑφάσμασι τὸ σαρκίον ἐκάλυπτεν[3]· ὅθεν καὶ Τριχινᾶς ἐκ τούτου μετωνομάσθη. Ἦν δὲ ἀνυπόδετος παντελῶς καὶ τὴν κεφαλὴν εἶχεν ἀπερικάλυπτον[4]· διὰ τοῦτο καὶ τὴν τῶν δαιμόνων ἀπεγύμνου ἀπάτην, κατ' αὐτῶν λαβὼν ἐξουσίαν· <καὶ[5]> πολλὰ θαύματα[6] ἀπεργασάμενος πρὸς Κύριον μεθίσταται[7] καὶ μύρον εὐῶδες ὁ τάφος αὐτοῦ ἀναπηγάζει πᾶσι τοῖς προστρέχουσι πόθῳ <καὶ[8]> τὴν σωτηρίαν κομιζομένοις[9].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ἰαννουαρίου καὶ τῶν σὺν αὐτῷ Δησιδερίου[1], Πρόκλου, Σόσσου[2], Φέστου[3], Εὐτυχοῦς καὶ Ἀκουτίωνος[4].

— [2] ἀποτίθεται D.
2. — [1] *corr.* ξένοις S.
1. — [1] (ἦν τῆς - καὶ) *om.* Mc. — [2] ὑποβαλὼν Mc. — [3] (ὡς - ἐκάλυπτεν) τριχίνοις Mc. — [4] (Τρ. - ἀπεκάλυπτον) Τριχινᾶ μετέσχεν ὀνόματος Mc. — [5] *supplevi, om.* S. — [6] θαῦμα S. — [7] (κατ' αὐτῶν - μεθίσταται) *om.* Mc. — [8] *supplevi, om.* S. — [9] (προστρέχουσι - κομιζομένοις) τοῖς προσιοῦσιν ἁμαρτιῶν καὶ νοσημάτων δυσωδίαν ἀποτρεπόμενον Mc.
2. — [1] Δισιδερίου S, *cf. Sept. 19*[3]. — [2] Σόσου S. — [3] Φεύστου S, *al.* Φαύστου. — [4] *al.* Ἀκουστίου.

APRIL. 19. ὀνύχων θείῳ πόθῳ τρωθεὶς τῷ Θεῷ προσεκολλήθη· καὶ καταλιπὼν τρυφὴν καὶ περιφάνειαν βίου καὶ ἀποξενωθεὶς πατρίδος καὶ τῶν οἰκείων καὶ τὸν σταυρὸν ἀράμενος, ἦλθεν εἰς χώραν ξένην καὶ ἄγνωστον διὰ τὸν ξενιτεύσαντα Κύριον καὶ ἐπὶ ξένης τεχθέντα· καὶ καταλαβὼν τοὺς σεβασμίους τόπους, ἐν τῇ τοῦ μακαρίου Χαρίτωνος ἐπιδημεῖ μάνδρᾳ, κἀκεῖσε πρὸς τοὺς ἀγῶνας ἀποδυσάμενος καὶ καλῶς τελέσας πᾶσαν ἰδέαν ἀρετῆς, τῶν τῇδε μετέστη. — Χριστοφόρου, Θεωνᾶ καὶ Ἀντωνίνου. — **Da** : 2. — **Db** : 2. — **K** : 2. — **N** : 1. — Χριστοφόρου κτλ. — 2. — **Bb** : Κοσμᾶ (April. 18[4]). — 2. — Βίκτωρος κτλ. (April. 20[5]). — Γεωργίου (April. 20[4]). — **Bc** : Χριστοφόρου κτλ. (April. 20[5]). — **C** : vacat. — **Ce** : 2. — **Cg** : Χριστοφόρου κτλ. — **R** : 1. — Βίκτωρος κτλ. — Γεωργίου. — Τρύφωνος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ (April. 20[3]). — **Ra** : Παφνουτίου (Sept. 25[4]). — 1 : Θεοδώρου ἐκ Πέργης τῆς Παμφυλίας. Ὃς ὑπῆρχεν ἐπὶ Ἀντωνίνου, καὶ πρεσβύτερος ὑπάρχων πρὸ χρόνων ἑβδομήκοντα παρὰ τὸν ἅγιον Θεόδωρον τὸν ἐν Ἀμασείᾳ μαρτυρήσαντα καὶ ἐν Εὐχαΐτοις. Οὗτος διὰ τὸ νέον τῆς ἡλικίας εἰς τήρωνας ἐστρατεύθη· ἦν γὰρ τῇ ἡλικίᾳ εὐμήκης, τὴν ὄψιν ἀγαθὸς καὶ χριστιανός. Ὅθεν διαβληθεὶς τύπτεται παρὰ Θεοδότου ἡγεμόνος καὶ ἐπὶ ἐσχάρας πεπυρακτωμένης ἐμβάλλεται καὶ πώλοις ἀγρίοις συνδεθεὶς σύρεται καὶ εἰς κάμινον πυρακτωθεῖσαν μετὰ τῶν συνεπομένων αὐτῷ στρατιωτῶν Σωκράτους καὶ Διονυσίου ἀπορρίπτεται· οἵτινες ἔνδον τῆς καμίνου λόγχαις κατεσφάγησαν. Ἀλλὰ καὶ ἡ μήτηρ τούτου Φιλίππα τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ ἅγιος Θεόδωρος ἄφλεκτος ἐξελθὼν τῆς καμίνου καὶ σταυρῷ προσπαγεὶς καὶ διαρκέσας ἐπὶ ἡμέρας τρεῖς, ἐν ἀγαλλιάσει τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. — Χριστοφόρου κτλ. — **Rb** : 1. — Χριστοφόρου κτλ. — 2. — **Rc** : 1. — Χριστοφόρου κτλ. — 2. — **Mc** : 2. — Βίκτωρος κτλ. — Οἱ πιστεύσαντες στρατιῶται Σωκράτης καὶ Διωνᾶς λόγχαις νυγέντες τ. — Τρύφωνος. — **Mv** : 1. — Φιλίππα ἡ μήτηρ τοῦ ἁγίου Θεοδώρου ξ. τ. — Σωκράτης καὶ Διονύσιος. — Γεωργίου. — Τρύφωνος ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Τελεῖται δὲ κτλ. — **Mr** : Τοῦ ἁγίου ἱερομάρτυρος Παφνουτίου. — 2.

APRIL. 20. SYNAXARIA SELECTA. **H** : Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ (April. 21[1]). — Παφνουτίου μοναχοῦ (April. 21[3]). — Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας. — **P** : Ἀναστασίου τοῦ Σινᾶ ὄρους. — Παφνουτίου. — Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας. — **D** : 1. — Ἀναστασίου ἐν τῷ Σινᾷ ὄρει. — Παφνουτίου. — Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — Ἀναστασίου (April. 21[1]). — Μαξίμου (April. 21[2]). — **Bb** : 5 (Χριστοφόρου κτλ.). — Ἰωάννου πρεσβυτέρου τοῦ Παλαιολαυρίτου (April. 19[2]). — **Bc** : 1. — Ἀναστασίου τοῦ Σινᾶ ὄρους. — **C** : 1. — Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ. — Παφνουτίου. — Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας. — **Ce** : 1. —

3. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Τρύφωνος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου ἐπισκόπου Ἀντιοχείας τῆς Πισιδίας τοῦ ὁμολογητοῦ. Οὗτος ἦν ἐπὶ τῶν χρόνων τῶν εἰκονομάχων, ἐκ βρέφους τῷ Θεῷ ἀνατεθειμένος καὶ διὰ τὴν ὑπεροχὴν τῆς αὐτοῦ ἀρετῆς ἐπίσκοπος χειροτονηθεὶς Ἀντιοχείας. Ἐπεὶ δὲ τῇ τοῦ διαβόλου πονηρᾷ συμβουλῇ ἡ τῶν εἰκονομάχων αἵρεσις ἐκινήθη καὶ γράμματα πανταχοῦ ἐπέμπετο διὰ τάχους τοὺς ἐπισκόπους ἅπαντας τὴν Κωνσταντινούπολιν καταλαβεῖν, παρεγένετο καὶ αὐτός· καὶ μὴ πεισθεὶς σύμφρων τοῖς αἱρεσιάρχαις γενέσθαι καὶ ἀρνήσασθαι τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν, ἐξορίᾳ καὶ κακουχίᾳ θανὼν πρὸς τὸν Θεὸν ἐπεδήμησεν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Βίκτωρος, Ζωτικοῦ, Ζήνωνος[1], Ἀκινδύνου, Καισαρείου[2], Σευηριανοῦ[3], Χριστοφόρου, Θεωνᾶ καὶ Ἀντωνίνου. Οὗτοι πάντες ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως[4] τὸν τοῦ μαρτυ-

f. 198v. ρίου ἀγῶνα διήνυσαν, ὅτε | καὶ ὁ πολύαθλος καὶ[5] μεγαλομάρτυς[6] τοῦ Χριστοῦ καὶ[5] μέγιστος[5] Γεώργιος συλληφθεὶς ἐτιμωρεῖτο καὶ τιμωρούμενος τὰ παράδοξα καὶ[5] φρικτὰ[5] ἐτέλει ἐκεῖνα τέρατα καὶ σημεῖα[7]. Ὁ μὲν γὰρ[5] Βίκτωρ, Ἀκίνδυνος, Ζωτικός, Ζήνων καὶ Σευηριανὸς ἰδόντες τὸν ἅγιον ἐν τῷ μεγίστῳ ὀργάνῳ τῷ[8] τροχῷ βληθέντα καὶ μηδὲν ἀδικηθέντα, μιᾷ φωνῇ χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν καὶ ξίφει τὰς ἱερὰς αὐτῶν[9] κεφαλὰς ἀπετμήθησαν. Ὁ δέ γε[5] Χριστοφόρος, Θεωνᾶς καὶ Ἀντωνῖνος δορυφόροι ὄντες τοῦ δυσσεβοῦς[5] βασιλέως καὶ παριστάμενοι αὐτῷ ἐν μιᾷ τῶν ἡμερῶν τὸν μεγαλομάρτυρα ἀπηνῶς ἐτάζοντι καὶ δι' αὐτοῦ[10] τὴν τοῦ νεκροῦ ἕλληνος ἀνάστασιν διὰ τῆς προσκλήσεως τοῦ Θεοῦ[11] ἀπαιτοῦντι, ταύτην ἰδόντες ὡς τάχος διὰ προσευχῆς τοῦ ἁγίου γεγενημένην, παραυτίκα ῥίψαντες τὰ ὅπλα καὶ τὰς ζώνας[12] αὐτῶν ἐνώπιον τοῦ βασιλέως καὶ παντὸς τοῦ θεάτρου τὸν Χριστὸν ὡμολόγησαν Θεὸν μόνον εἶναι ἀληθινόν. Διά τοι τοῦτο κρατηθέντες καὶ ἁλύσεσι πεδηθέντες τῇ εἱρκτῇ ἐνεκλείσθησαν. Μεθ' ἡμέρας δέ τινας[13] παραστάντες τῷ τυράννῳ, κρεμασθέντες ξέονται καὶ τὰς πλευρὰς λαμπάσι καταφλέγονται, καὶ τέλος ἐν[14] πυρὶ βληθέντες τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσαντο[15].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

APRIL. 21. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ ὄρει[1]. Οὗτος ὁ ἅγιος[2] πατὴρ ἡμῶν καταλιπὼν[3] κόσμον καὶ τὰ ἐν κόσμῳ καὶ τὸν σταυρὸν αὐτοῦ[4] ἀναλαβὼν κατὰ τὴν κυριακὴν ἐντολήν, ἀποκειράμενος προθύμως ἠκολούθησε τῷ Χριστῷ. Μειζόνων δὲ ἀγώνων τῆς[5] ἀρετῆς ἐραστὴς γεγονώς, παραγίνεται εἰς Ἱεροσόλυμα[6] καὶ τοὺς σεβασμίους τόπους πιστῶς προσκυνήσας κατασπασάμενος[7] εἰς τὸ Σινᾶ ὄρος ἀνέρχεται κἀκεῖσε μοναχοὺς εὑρὼν ἄκρως τὴν ἀσκητικὴν[8] πολιτείαν μετιόντας, ἔμεινε μετ' αὐτῶν[9] ὑποτασσόμενος αὐτοῖς καὶ ὑπηρετῶν. Ταπεινόφρων δὲ ἄγαν ἀποκαταστὰς ἐδέξατο χαρίσματα γνώσεως καὶ σοφίας πολλῆς. Καὶ βίους πατέρων ἁγίων[10] συγγραψάμενος καὶ ψυχωφελεῖς λόγους συνθείς, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου[1] πατρὸς ἡμῶν Μαξίμου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ἐκ τῆς πρεσβυτέρας[2] ὥρμητο |

f. 199. Ῥώμης, <γονέων[3]> υἱὸς γεγονὼς πλουσίων καὶ εὐγενῶν. Κατά τινα δὲ χρείαν τὴν Ῥώμην ἀφεὶς

5. — [1] Ζίνωνος S. — [2] Καισαρίου Mc. — [3] Σεβηριανοῦ Mc. — [4] δυσσεβοῦς Mc. — [5] *om.* Mc. — [6] μάρτυς Mc. — [7] (τέρατα καὶ σ.) καὶ Mc. — [8] τῷ μ. ὀ. τῷ *om.* Mc. — [9] ἱερὰς αὐτῶν *om.* Mc. — [10] δι' αὐτοῦ *om.* Mc. — [11] (διὰ - Θεοῦ) *om.* Mc. — [12] (ταῦτα - ζώνας) ἦν καὶ ὡς τάχος διὰ πρασευχῆς ὁ ἅγιος ἀπειργάσατο ἐπεὶ τὸ τεράστιον τοῦτο εἶδον παραυτίκα ῥίψαντες τ. ζ. κ. τ. ὅπλα Mc. — [13] (εἶναι - τινας) ἀληθινὸν εἶναι ὅθεν κρατηθέντες τῇ φυλακῇ ἐνεκλείσθησαν εἶτα μεθ' ἡμέρας Mc. — [14] *om.* Mc. — [15] ἐκομίσαντο Mc.
1. — [1] Ἀ. τοῦ Σιναΐτου Mc, *ad d. Aprilis 20.* — [2] ἐν ἁγίοις Mc. — [3] τὸν *add.* Mc. — [4] *om.* Mc. — [5] καὶ Mc. — [6] εἰς Ἱ. παραγίνεται Mc. — [7] καὶ Mc. — [8] ἀγωγὴν καὶ *add.* Mc. — [9] ἐκείνων Mc. — [10] ἁγίων πατέρων Mc.
2. — [1] ἐν ἁγίοις Mc *ad d. Aprilis 20.* — [2] παλαιᾶς Mc. — [3] *supplevi, om.* S, Mc.

APRIL. 20. Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ. — **Cg** : 1. — Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ. — Παφνουτίου. — Ἀναστασίου ἐπισκόπου. — **R** : 1. — **Ra** : 1. — Ἰωάννου τοῦ Παλαιολαυρίτου. — **Rb** : Παφνουτίου. — Ἀναστασίου (April. 21[1]). — **Rc** : Παφνουτίου (Sept. 25[4]). — 1. — Τοῦ ὁσίου Ἀναστασίου. — **Mc** : 1. — Ὁ ὅσιος Παφνούτιος ὁ Ἱεροσολυμίτης ἐν εἰρήνῃ τ. (April. 21[3]). — Ἀλεξάνδρας τῆς βασιλίσσης (April. 21[5]). — Ἀναστασίου Σιναΐτου. — Μαξίμου. — Ἀπολλὼ κτλ. (April. 21[5]). — **Mv** : 1. 5. — Ἰωάννου τοῦ Παλαιολαυρίτου. — Παφνουτίου. — Τοῦ ἁγίου ἱερομάρτυρος Ἀναστασίου Ἀντιοχείας. — Τοῦ ἁγίου ἀποστόλου Ζακχαίου (April. 21[4]). — **Mr** : 1.

APRIL. 21. SYNAXARIA SELECTA. **H** : 2. 4. 5. — **P** : 2. 5. — **D** : Θεοδώρου τοῦ ἐν Πέργῃ (April. 19[1]). — 2. 4. 5. — **Da** : Θεοδώρου. — **Db** : Θεοδώρου. — **K** : Θεοδώρου. — **N** : Ἰαννουαρίου (April. 20[2]). — 5. — **Bb** : Θεοδώρου τοῦ Τριχινᾶ (April. 20[1]). — 1. — **Bc** : 5 (Ἀλεξάνδρας). — Μιχαίου (April. 22[3]). — 2 (Μαξιμιανοῦ). — 5 (Ἰσαακίου καὶ τῶν σὺν αὐτῷ). — **C** : 5 (Ἀλεξάνδρας). — Μιχαίου. — 2 (Μαξιμιανοῦ). — 5 (Ἀπολλὼ, Ἰσακίου καὶ Κοδράτου). — **Ce** : 5 (Ἀλεξάνδρας. — Ἀπολλὼ κτλ.). — **Cg** : 5 (Ἀλεξάνδρας). — 2. 5 (Ἀπολλὼ κτλ.). — **R** : Ἰαννουαρίου κτλ. — 2. 4. 5. — **Ra** : Ἰαννουαρίου κτλ. — 5. — Ἀνθούσης (April. 18[5]). — **Rb** : 2. — Ἰαννουαρίου κτλ. — Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου. — 4. 5. — Ἀνθούσης. — **Rc** : Δωρήου καὶ Δωροπιανοῦ[1] (April. 29[3]). — Ἀνθούσης. — **Mc** : Ἰαν-

April. 21. ἐπὶ[4] Κωνσταντινούπολιν παρεγένετο. Βίου δὲ καταστάσει καὶ ἀκριβείᾳ διαλάμψας καὶ εὐφυὴς καὶ πολυμαθὴς[5] ἀναγνωρισθεὶς χειροτονεῖται πρεσβύτερος παρὰ Σισιννίου[6] τοῦ ἀοιδίμου[7] πατριάρχου. Διαρκέσας δὲ μέχρι τῆς[7] καθαιρέσεως[7] Νεστορίου τοῦ αἱρετικοῦ, τοῦ τὸν ἁγιώτατον Σισίννιον διαδεξαμένου, ψήφῳ τοῦ βασιλέως καὶ τοῦ κλήρου[8] παντὸς[9] πατριάρχης προχειρίζεται Κωνσταντινουπόλεως· καὶ καλῶς ποιμάνας τὸ ὑπ' αὐτὸν[10] ποίμνιον ἐπὶ ἔτη δύο καὶ μῆνας πέντε, καὶ τὴν ἐκκλησίαν ἐκ τῶν σκανδάλων διατηρήσας, ἐν εἰρήνῃ[11] ἀνεπαύσατο[12]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παφνουτίου μοναχοῦ.

4. Καὶ τοῦ ἁγίου ἀποστόλου Ζακχαίου.

5. Καὶ τῶν ἁγίων μαρτύρων Ἰσαακίου, Ἀπολλὼ καὶ Κοδράτου. Οὗτοι οἱ ἅγιοι μάρτυρες θεράποντες ὑπῆρχον τῆς βασιλίσσης Ἀλεξάνδρας. Καὶ ἰδόντες αὐτὴν καταφρονήσασαν δόξης προσκαίρου καὶ βασιλείας φθαρτῆς καὶ βασιλέως θνητοῦ, καὶ προσδραμοῦσαν τῷ Χριστῷ, αὐτοὶ παρρησιασάμενοι ἤλεγξαν τὸν βασιλέα, παράνομον αὐτὸν εἰπόντες, θηριώδη καὶ ὠμόν, ὡς μηδὲ τὴν οἰκείαν γυναῖκα μεθ' ἧς ἐτεκνοποίησεν ἐλεήσαντα. Τότε ὀργισθεὶς ὁ βασιλεὺς προσέταξε τοῖς δημίοις κρατῆσαι αὐτοὺς καὶ τῇ φυλακῇ παραδοῦναι. Καὶ τούτου γενομένου, αὐτὸς δι' ὅλης τῆς νυκτὸς ἐσκέπτετο τὸν κατ' αὐτῶν θάνατον, καὶ τῇ ἕωθεν τῆς φυλακῆς ἐξάγων αὐτοὺς τὰς κεφαλὰς ἀπέτεμεν. Ἡ δὲ ἁγία βασίλισσα Ἀλεξάνδρα καὶ κυρία αὐτῶν ἦν γυνὴ Διοκλητιανοῦ τοῦ βασιλέως. Ἰδοῦσα καὶ αὐτὴ τὸν ἅγιον μεγαλομάρτυρα Γεώργιον τιμωρούμενον καὶ μετὰ κοντοῦ κατὰ τῆς γαστρὸς πληγέντα καὶ μηδὲν ἀδικηθέντα, εἶτα ἐν τροχῷ παμμεγέθει ὀξέσι βέλεσι διηρμοσμένῳ[1], καὶ αὐτὸν προσδεθέντα ἐν τῷ ὀργάνῳ καὶ διὰ τοῦ κατωφεροῦς ἀπολυθέντα καὶ τὸ σῶμα εἰς πολλὰ κατατμηθέντα καὶ πάλιν διασωθέντα σῶον, καὶ αὖθις ἐμφανισθέντα πάλιν τῷ βασιλεῖ θύοντι τοῖς εἰδώλοις, καὶ τῇ παραδόξῳ θέᾳ ταύτῃ πολλοὺς παρασκευάσαντα ἐλθεῖν τῷ Χριστῷ καὶ πιστεῦσαι, οἵτινες[2] καὶ τὰς κεφαλὰς ἀφῃρέθησαν ἔξω τῆς πόλεως, οἱ δὲ καὶ ἀπεκλείσθησαν | ἐν φυλακαῖς, (f. 199v.) καταλιποῦσα τὴν δόξαν τῆς βασιλείας, ἐπίστευσε τῷ Χριστῷ καὶ ὡμολόγησεν ἐνώπιον τοῦ βασιλέως ἑαυτὴν χριστιανήν. Προστάξει οὖν τοῦ Διοκλητιανοῦ εἶχεν ταύτην ἡ φυλακή· καὶ αὖθις ἀποφάσεως γενομένης κατὰ τοῦ μεγαλάθλου Γεωργίου, παρεῖναι[3] <κελεύει[4]> καὶ τὴν Ἀλεξάνδραν εἰς τὸ ἀποτμηθῆναι τὰς κεφαλὰς ἄμφω. Τοῦτο μαθοῦσα ἡ τοῦ Χριστοῦ μάρτυς Ἀλεξάνδρα ἔτι οὖσα ἐν τῇ φρουρᾷ, προσευξαμένη κυρίῳ τῷ Θεῷ, παρέδωκε τὴν ἁγίαν ταύτης ψυχὴν εἰς χεῖρας Θεοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

April. 22. 1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου τοῦ θαυματουργοῦ, ἐπισκόπου γενομένου Ἀναστασιουπόλεως, τοῦ Συκεώτου[1]. Οὗτος ὑπῆρχε μὲν ἐκ τῆς Γαλατῶν χώρας, ἐκ χωρίου λεγομένου Συκεοῦς[2], ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ παλαιοῦ. Ἐγεννήθη δὲ ἐν τῷ πανδοχείῳ τῆς μητρὸς αὐτοῦ Μαρίας, διὰ κάλλος τοῦ προσώπου αὐτῆς ἐπισπασαμένης πρὸς τὴν αὐτοῦ γέννησιν Κοσμᾶν τινα τῶν βασιλικῶν ταχυδρόμων, ἐξ οὗ γενέσθαι φασὶν τὸν ὅσιον. Κατὰ γὰρ τὴν νύκτα ᾗ συνῆλθεν ἡ τοῦτον τεκοῦσα τῷ ἀνδρὶ[3], ἔδοξεν ὄναρ ἰδεῖν ἀστέρα ἐξ οὐρανοῦ καταφοιτήσαντα ὑπὸ τὴν αὐτῆς γενέσθαι γαστέρα, ὅπερ ἐδήλου τὴν ὕστερον λαμπρότητα τοῦ παιδός. Τοσοῦτον γὰρ ἐκ βρέφους ἐγένετο ἐνάρετος, ὡς καὶ τὸν ἅγιον Γεώργιον φίλον κτήσασθαι, ἐμφανῶς συλ-

— [4] εἰς Mc. — [5] καὶ *add.* S. — [6] Σισινίου S, Mc. — [7] *om.* Mc. — [8] τοῦ κλήρου *om.* Mc. — [9] τοῦ λαοῦ *add.* Mc. — [10] τὸ ἑαυτοῦ Mc. — [11] ἐν εἰρ. *om.* Mc. — [12] ἐν κυρίῳ *add.* Mc.
5. — [1] διηρμοσμένον S. — [2] αἵτινες S. — [3] παρεῖν τὲ S. — [4] *supplevi, om.* S.
1. — [1] Σικεώτου S. — [2] Σικεοῦς S. — [3] τἀνδρὶ S.

April. 21. νουαρίου ἐπισκόπου, Προκούλου, Σόσσου, Φέστου τῶν διακόνων, Δεισιδερίου ἀναγνώστου, Εὐτυχίου καὶ Ἀκουτίωνος. — Θεοδώρου τοῦ ἐν Πέργῃ. Ἐπὶ τῆς βασιλείας Ἀντωνίνου, ἡγεμονεύοντος Θεοδώρου ἐν Πέργῃ τῆς Παμφυλίας, μετὰ πολλῆς σπουδῆς ἐποίουν συλλογὴν νέων εὐειδῶν καὶ ὡραίων εἰς τάξιν τυράννων. Τότε οὖν σὺν ἑτέροις ἱκανοῖς καὶ ὁ μακάριος οὗτος Θεόδωρος κρατηθεὶς ἤχθη τῷ ἡγεμόνι καὶ ἐπιτεθείσης κτλ. Des. : καὶ οἱ μὲν στρατιῶται ἐλογχεύθησαν· ἡ δὲ ἁγία Φιλίππα ξίφει τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ ἅγιος Θεόδωρος καθηλωθεὶς ἐν τῷ σταυρῷ ἐν τρισὶν ἡμέραις ἀπηώρητο ζῶν, εἶθ' οὕτως ἀπῆλθε πρὸς Κύριον. Τότε τινὲς τῶν εὐσεβῶν τὰ τῶν ἁγίων λείψανα μύροις καὶ ὀθονίοις περιστείλαντες, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο. — Ἡ ἁγία Φιλίππα ἡ μήτηρ τοῦ ἁγίου Θεοδώρου ξ. τ. — Ἰαννουαρίου κτλ. — 5 (Ἀλεξάνδρας). — 5 (Ἀπολλὼ κτλ.). — 2. 1. — **Mv** : Ἰαννουαρίου κτλ. — 5 (Ἀλεξάνδρας). — 5 (Ἀπολλὼ κτλ.). — 2. 1. — **Mr** : Ἰαννουαρίου κτλ.

April. 22. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. 2. — **D** : 1 : Θεοδώρου θαυματουργοῦ ἐπισκόπου Ἀναστασιουπόλεως. Οὗτος ὥρμητο ἐκ τῆς Γαλατῶν χώρας ἐκ χωρίου λεγομένου Συκεοῦς[1], κατὰ τοὺς χρόνους γεννηθεὶς Ἰουστινιανοῦ τοῦ βασιλέως τοῦ πάλαι, δοκῶν μὲν ἔχειν οὐκ ἐπαινούμενον τὸν τῆς γεννήσεως τρόπον, ἀνέγγυον ὄντα καὶ σκότιον[2]. Φασὶ γὰρ ὄψει καλαμυρίᾳ[3] τὴν αὐτοῦ μητέρα Μαρίαν[4] τὸ ὄνομα, ὥρᾳ καὶ χάρισι διαλάμπουσαν, ἐφελκύσασθαι Κοσμᾶν τινα τῶν βασιλικῶν ταχυδρό-

[1] *lege* Διοδώρου καὶ Ῥοδοπιανοῦ.
[1] Σικεοῦς D. — [2] σκύτιον D. — [3] *ita* D, *forte legendum* καλλιμόρφῳ. — [4] Μαρία D.

λαλοῦντα αὐτῷ καὶ συμβαδίζοντα, καὶ ταῖς κρείττοσι[4] προσάγειν ἐπιθυμίαις καὶ ὅλως ἐρᾶν τῷ μεγαλομάρτυρι θεῖόν τινα καὶ θαυμαστὸν ἔρωτα. Καὶ πρῶτον[5] μὲν τῷ τῶν μοναχῶν καταλέγεται τάγματι καὶ ἀρχιμανδρίτης καθίσταται· διὰ δὲ τῆς εἰς ἄκρον ἀρετῆς καὶ τῆς τῶν μυρίων θαυμάτων ἐργασίας ἐπὶ τὸ μέγα τῆς ἀρχιερωσύνης ὕψος ἀνάγεται καὶ τὴν ἐκκλησίαν Ἀναστασιουπόλεως ἐγχειρίζεται. Καὶ βασιλεῦσι καὶ ἀρχιερεῦσι θαυμαστὸς φανεὶς καὶ αἰδέσιμος καὶ προθεσπίσας πολλοὺς περὶ τῶν μελλόντων, καταλύει τὸν βίον μειδιάματι σεμνῷ τοὺς παραληψομένους αὐτὸν ἀγγέλους δεξιωσάμενος. Λέγεται δὲ αὐτῷ μικρὸν πρὸ τῆς τελευτῆς ὄναρ ἐπιστῆναι τὸν ἔνδοξον μεγαλομάρτυρα Γεώργιον ἐγχειρίζοντα βακτηρίαν, καὶ αὖθις ἐποχούμενον ἵππον καὶ ἐπισυρόμενον ἕτερον, εἰς ὃν ἐκέλευεν ἐπιβῆναι τὸν ὅσιον, τὴν ἐκεῖθεν πορείαν διὰ (f. 200.) τῶν θαυμάτων | προφαίνοντα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου Ναθαναήλ. Ὃς[1] ἦν ἀπὸ Κανᾶ πόλεως τῆς Γαλιλαίας, ἔνθα ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κληθεὶς εἰς γάμον[2] μετὰ τῆς παναχράντου αὐτοῦ μητρὸς τὸ πρῶτον θαῦμα ἐποίησε, τὸ ὕδωρ εἰς οἶνον μεταβαλών. Προσεδέχετο δὲ καὶ αὐτὸς[3] τὴν παρουσίαν τοῦ Χριστοῦ ὡς νομομαθής. Ὃν εὑρὼν Φίλιππος ὁ ἀπὸ Βηθσαϊδὰ καὶ γινώσκων[4] ὅτι προσδέχεται τὴν παρουσίαν[5] τοῦ Χριστοῦ, μετὰ περιχαρείας εἶπεν αὐτῷ· «Ὃν ἔγραψε Μωσῆς (Io. 1, 46.) » ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν, Ἰησοῦν » τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ[6].» Ἀπελθὼν οὖν καὶ ἰδὼν τὸν Χριστὸν καὶ[7] πιστεύσας ἐπ' αὐτῷ[8] ἠκολούθει αὐτῷ· καὶ μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν καὶ[7] ἀνάληψιν[7] κηρύττων αὐτὸν ὡς Θεόν, ἐτελειώθη.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου προφήτου Μιχαίου. Οὗτος εἷς τῶν ἑξκαίδεκα προφητῶν ἦν ἐκ φυλῆς Ἐφραΐμ. Διελέγχων δὲ τὸν βασιλέα Ἀχαὰβ ἐπὶ πολλαῖς καὶ διαφόροις παρανομίαις, ἐμισεῖτο μὲν παρ' αὐτοῦ, οὐκ ἐφονεύετο δέ, φοβουμένου τὸν Θεὸν καὶ αἰδουμένου τὴν ἀρετὴν τοῦ προφήτου. Ὅμως ὁ προφήτης φοβούμενος ὑπεχώρει καὶ διέτριβεν ἐν τοῖς ὄρεσι τὸ πλεῖον τοῦ χρόνου, ἵνα μὴ συχνῶς ἐμφανιζόμενος τῷ βασιλεῖ καὶ διελέγχων αὐτόν, πρὸς φόνον τὸν θυμὸν αὐτοῦ καθοπλίσῃ. Μετὰ δὲ τελευτὴν Ἀχαὰβ ἐλέγξας τὸν υἱὸν αὐτοῦ Ἰωρὰμ ἐπὶ ταῖς ὁμοίαις παρανομίαις, νέον ὄντα καὶ μὴ ὑπομεμενηκότα τὸν ἔλεγχον τοῦ προφήτου, ἐκρατήθη· καὶ ἀναιρεθεὶς ἐρρίφη ἐν τῷ σύνεγγυς κρημνῷ, καὶ ὑπὸ τῶν συγγενῶν[1] αὐτοῦ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐντίμως.

— [4] κρείττεσσι S. — [5] πρώτω S.
2. — [1] ἀνάμνησις τῆς πρὸς Χριστὸν ἀναγνωρίσεως τοῦ ἁγίου ἀποστόλου Ν. ὅς ἐστι Σίμων ὁ Ζηλώτης οὗτος Mc. — [2] ἔνθα ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν εἰς γ. κ. Mc. — [3] ἦν δὲ καὶ αὐτὸς προσδεχόμενος Mc. — [4] εἰδὼς Mc. — [5] παρρουσίαν S. — [6] ΝαΖέτ S. — [7] *om.* Mc. — [8] ἐπίστευσεν αὐτῶ καὶ ἠκολούθει Mc.
3. — [1] συγκενῶν S.

μων· ἐξ οὗ φασι γενέσθαι τὸν ὅσιον, ἀποκρύψαντα δὲ τοῖς μετὰ τὴν γέννησιν, εἴ τι πρὸς αὐτῆς ἄδοξον ἦν καὶ ἐπίψογον. Εὐθὺς μὲν γὰρ κατὰ τὴν νύκτα, ᾗ[5] συνῆλθεν ἡ τοῦτον τεκοῦσα τῷ ἀνδρί[6], ἔδοξεν ὄναρ ἀστέρα καταφοιτήσαντα ὑπὸ τὴν αὐτῆς γενέσθαι γαστέρα, ὅπερ ἐδήλου τὴν ὕστερον λαμπρότητα τοῦ ἀνδρός. Ἀλλ' αὐτὸς οὐκ εἰκάζειν τοῦτο μᾶλλον ἢ πιστεύειν τοὺς τότε πεποίηκεν, παρασχὼν ἑαυτὸν[7] ἐκ πρώτης ἡλικίας Θεῷ προσφιλῆ καὶ τῷ ἁγίῳ μάρτυρι Γεωργίῳ, ὡς δοκεῖν αὐτῷ συνεῖναι καὶ διαπαιδαγωγεῖν καὶ ταῖς κρείττοσι προσάγειν ἐπιθυμίαις, καὶ ὅλως ἐρᾶν αὐτοῦ θεῖόν τινα καὶ θαυμαστὸν ἔρωτα. Οὕτως οὖν ταῖς κατὰ μέρος ἀναβάσεσι προσαγόμενος, πρῶτον μὲν τῷ τῶν μοναχῶν καταλέγεται τάγματι καὶ ἀρχιμανδρίτης καθίσταται· εἶτα δι' ὧν ἔδει τοὺς εἰς τὸ ἀκρότατον τῆς ἀρετῆς βαδίζειν ἐπειγομένους διελθὼν καὶ ἀπόδειξιν τῆς τελείας ἀρετῆς καὶ πρὸς Θεὸν οἰκειώσεως τὴν τῶν θαυμάτων πλουτήσας ἐνέργειαν, ἐπὶ τὸ μέγα τῆς ἀρχιερωσύνης ὕψος ἀνάγεται καὶ τὴν ἐκκλησίαν Ἀναστασιουπόλεως ἐγχειρίζεται· ἔνθα πολλοὺς τὴν θεογνωσίαν παιδεύσας καὶ ἃ προσήκει πράττειν ὑφηγησάμενος καὶ πανταχοῦ διὰ τῶν θαυμάτων τὸ ὁμόφυλον θεραπεύσας καὶ ταῖς μεγάλαις παραδοξοποιΐαις, ἃς οὐ ῥᾴδιον γραφῇ παραδοῦναι, πάντας ἐκπλήξας καὶ βασιλεῦσι καὶ ἀρχιερεῦσι θαυμαστὸς φανεὶς καὶ ποθούμενος, καὶ προθεσπίσας πολλοὺς περὶ τῶν μελλόντων, καταλύει τὸν βίον μειδιάματι σεμνῷ τοὺς παραληψομένους αὐτὸν ἀγγέλους δεξιωσάμενος. Λέγεται δὲ αὐτῷ μικρὸν πρὸ τῆς τελευτῆς ὄναρ ἐπιστῆναι τὸν ἔνδοξον μάρτυρα Γεώργιον ἐγχειρίζοντα βακτηρίαν· καὶ αὖθις ἐποχούμενον ἵππῳ καὶ ἐπισυρόμενον ἕτερον, εἰς ὃν ἐκέλευσεν ἐπιβῆναι τὸν ὅσιον, τὴν ἐκεῖθεν πορείαν διὰ τῶν θεαμάτων προφαίνοντα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τῷ ὄντι ἐν τῷ Δευτέρῳ. — 2. — **Da** : 1. 2. — **Db** : 1. — **K** : 1. — **N** : 1. 2. — **Bb** : Ἀλεξάνδρας (April. 21[5]). — 3. — Μαξιμιανοῦ πατριάρχου Κωνσταντινουπόλεως (April. 21[2]). — Ἰσαακίου καὶ τῶν σὺν αὐτῷ (April. 21[5]). — 1. 2. — **C** : 1. 2. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — **R** : 1. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. 2. — **Mc** : 1. — Ὁ ἅγιος μάρτυς Νέαρχος π. τ. — 2. — Ἀπελλοῦς, Λουκᾶ καὶ Κλήμεντος. Ἀπελλῆς οὗτός ἐστιν οὐχ ὁ Ἡρακλείας ἐπίσκοπος, ἀλλ' ὁ γεγονὼς πρῶτος ἐπίσκοπος Σμύρνης καὶ πολλὰ κοπιάσας ἐν τῷ κηρύγματι, καὶ Λουκᾶς οὐχ ὁ τὰς πράξεις τῶν ἀποστόλων συγγραψάμενος, ἀλλ' ὁ Λαοδικείας τῆς ἐν Συρίᾳ ἐπίσκοπος, Κλήμης δὲ ὁ ἐξ ἐθνῶν προσελθὼν καὶ πιστεύσας καὶ ἐν Σάρδει γεγονὼς ἐπίσκοπος. Οὗτοι πολλοὺς εἰς θεογνωσίαν ἐπιστρέψαντες καὶ βαπτίσαντες καὶ τῷ Κυρίῳ προσαγαγόντες, πειρασμοῖς οὐκ ὀλίγοις περιπεσόντες πρὸς Κύριον ἐξεδήμησαν. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῆς Σαμαρείτιδος. — **Mv** : 1. — Νέαρχος. — 2. — Ἀπελλοῦς, Λουκᾶ καὶ Κλήμεντος. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κτλ. — **Mr** : 1.

— [5] ἦν D. — [6] τ' ἀνδρὶ D. — [7] ἑαυτῷ D.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

April. 23. **1.** Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου. Οὗτος[1] ὁ ἔνδοξος καὶ θαυμαστὸς καὶ μέγας μάρτυς Γεώργιος ἦν κατὰ τοὺς χρόνους[2] Διοκλητιανοῦ τοῦ βασιλέως, ἐκ χώρας τῆς Καππαδοκῶν, γένους ἐπισήμου καὶ[3] λαμπροῦ[3], ἐν ταῖς τῶν τριβούνων στρατείαις διαπρέψας· ἐν ᾧ δὲ ἀθλεῖν ἔμελλε, κόμης ἦν τὴν ἀξίαν[4]. Τοῦ οὖν βασιλέως κατὰ τῶν χριστιανῶν ὠδίνοντος[5] πόλεμον καὶ δόγμα ἐξενεγκόντος τοὺς μὲν ἐξομνυμένους τὸν Χριστὸν καὶ ἀθετοῦντας τιμῶν | (f. 200v.) βασιλικῶν ἀξιοῦσθαι, τοῖς δὲ μὴ πειθομένοις θάνατον εἶναι τὴν ζημίαν, αὐτὸς παρὼν ὁ ἅγιος χριστιανὸν ἑαυτὸν ἀνεκήρυξε, τὴν τῶν εἰδώλων ματαιότητα καὶ ἀσθένειαν διελέγχων καὶ μυκτηρίζων τοὺς πιστεύοντας ἐπ' αὐτοῖς. Ἐπεὶ δὲ οὔτε κολακείαις οὔτε ὑποσχέσεσι τοῦ τυράννου, ἃς πολλὰς ἐποιεῖτο, ἐπεστρέφετο ἀλλὰ δῆλος ἦν πάντων ὑπερορῶν, πρῶτον μὲν κοντῷ κατὰ τῆς γαστρὸς διελαύνεται· τοῦ δὲ τῆς μὲν[6] σαρκὸς ἁψαμένου, ὥστε καὶ πολὺ αἷμα καταρρεῦσαι, ἀποστραφείσης δὲ τῆς αἰχμῆς, διέμεινεν ὁ ἅγιος ἀβλαβής· εἶτα ἐν τροχῷ ἀκμαῖς σιδήρων διηρμοσμένῳ δεθείς, κατὰ πρανοῦς τοῦ πεδίου ἀφίεται, καὶ τὸ σῶμα εἰς πολλὰ μερισθεὶς αὖθις ὑγιὴς καθίσταται θείου[7] ἀγγέλου ἐπιστασίᾳ. Ἐμφανισθεὶς δὲ τῷ βασιλεῖ καὶ Μαγνητίῳ τῷ[8] συνέδρῳ[8] θύουσιν, ἐπὶ τῷ σῶος φανῆναι[9] πολλοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπεσπάσατο[10], οἵ, τοῦ βασιλέως προστάξαντος, ἔξω τῆς πόλεως τὰς κεφαλὰς ἀπετμήθησαν. Προσῆλθε δὲ τῷ Χριστῷ καὶ[8] ἡ βασίλισσα Ἀλεξάνδρα[11] καὶ τοῦ τυράννου ἐνώπιον Θεὸν εἶναι[8] αὐτὸν ὡμολόγησεν. Ἐπίστευσαν δὲ καὶ ἕτεροι πολλοὶ τῷ Χριστῷ, ἀβλαβῆ τὸν ἅγιον μάρτυρα ἐξελθόντα μετὰ τρεῖς ἡμέρας ἐκ τοῦ λάκκου τῆς ἀσβέστου ἰδόντες, ἐν ᾧ, προστάξαντος τοῦ βασιλέως, ἐβλήθη. Μετὰ ταῦτα κρηπῖσι σιδηροῦς ἥλους ἐχούσαις[12] τοὺς πόδας ἁρμόζεται καὶ τρέχειν καταναγκάζεται, καὶ προσέτι ξηροῖς νεύροις βοῶν τύπτεται ἀφειδῶς. Ἐπιζητήσαντος δὲ τοῦ Μαγνεντίου[13] σημεῖον, εἰ ἀνασταίη τις τῶν κειμένων ἐν τῇ φαινομένῃ σορῷ τῶν πρὸ πολλοῦ τὸν βίον λιπόντων, εὐξαμένου τοῦ ἁγίου, προῆλθέ[14] τις ἀρθέντος τοῦ ἐπὶ τὸν[15] τάφον[16]

1. — [1] *om.* D. — [2] κ. τ. χ. ἦν D. — [3] *om.* D. — [4] τάξιν D. — [5] ὠδίνοντα D. — [6] τῆς *add.* S. — [7] θίου D. — [8] *om.* D. — [9] ὁ ἅγιος *add.* D. — [10] ἐπεσπάσατο πίστιν D. — [11] Ἀλεξανδρία D *et* S *ante corr.* — [12] ἔχουσι D. — [13] *in ras.* D. — [14] προσῆλθεν D. — [15] τῷ D. — [16] ταφῷ D.

καλύμματος καὶ τὸν ἅγιον προσεκύνησε, καὶ ἐδόξασε τὴν θεότητα τοῦ Χριστοῦ. Καὶ τοῦ βασιλέως διερωτήσαντος, τίς τέ ἐστι καὶ πότε τὸν βίον ἀπέλιπε, τῶν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ βιωσάντων εἶπεν εἶναι, καὶ διὰ τὴν πρὸς τὰ εἴδωλα πλάνην ἐν τοσούτοις ἤδη χρόνοις πυρὶ κατακαίεσθαι. Ἐφ' ᾧ πολλῶν εἰς τὸν Χριστὸν πιστευσάντων[17] ἀεὶ προστιθεμένων[18] τῇ πίστει, ἐν οἷς ἦν καὶ Γλυκέριος, οὗ τὸν βοῦν τελευτήσαντα ὁ ἅγιος ἤγειρε· | (f. 201.) τῷ δὲ τοιούτῳ θαύματι ὁ Γλυκέριος τὴν εἰς Χριστὸν πίστιν βεβαιωθεὶς τὸν διὰ τοῦ μαρτυρίου στέφανον ἐκομίσατο, ξίφεσιν ὑπὸ τῶν ἀπίστων κατὰ μέρος διατμηθείς. Πολλῶν οὖν ἐπὶ τούτοις τῷ Χριστῷ προσερχομένων καὶ ἔτι διὰ τὸ τὸν ἅγιον μάρτυρα Γεώργιον εἰσελθόντα ἐν τῷ ναῷ τῶν εἰδώλων ἑνὶ τῶν ξοάνων εἰπεῖν προστάξαι, εἰ αὐτὸ εἴη θεὸς καὶ αὐτὸ δεῖ προσκυνεῖν· τὸν δὲ ἐν αὐτῷ δαίμονα ἀνολοφυράμενον ἀποκρίνασθαι[19], ὡς μόνος ἐστὶ Θεὸς ὁ Χριστός· καὶ ἐν[20] τούτῳ ταραχθέντα πάντα τὰ εἴδωλα καταπεσεῖν καὶ συντριβῆναι· μηκέτι ἐνεγκεῖν τοὺς λατρευτὰς τῶν δαιμόνων, ἀλλὰ κρατήσαντας τὸν ἅγιον ἐνεγκεῖν πρὸς τὸν βασιλέα καὶ θᾶττον τὴν κατ' αὐτοῦ ἀπόφασιν ἐξαιτήσασθαι. Τοῦ δὲ βασιλέως προστάξαντος αὐτόν τε καὶ τὴν βασίλισσαν Ἀλεξάνδραν[21] διὰ ξίφους ἀναιρεθῆναι, ὁ μὲν ἅγιος τὴν κεφαλὴν ἀπετμήθη· ἐκείνη δὲ εὐξαμένη τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Δευτέρῳ[22]. (April. 23.)

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

1. Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Ἐλισάβετ[1] τῆς θαυματουργοῦ. Ἥτις[2] ἐν ἁπαλῷ τῷ σώματι ἀσκητικοὺς πόνους[3] ὑπελθοῦσα χάριν ἰαμάτων παρὰ Χριστοῦ[4] ἐκομίσατο, ὅθεν καὶ[5] παντοῖα νοσήματα ἰάσατο[6]. Ταύτης ἡ γέννησις διὰ θείας ἀποκαλύψεως ἐδηλώθη, καὶ σκεῦος ἐκλογῆς ἔσεσθαι προηγγέλθη. Αὕτη μονοχίτων οὖσα τῷ κρύει καὶ τῷ παγετῷ κατεπήγνυτο[7], ὕδατι τὸ σῶμα διὰ βίου παντὸς οὐκ ἀπέπλυνε, ὡς Μωϋσῆς καὶ Ἠλίας[8] τεσσαράκοντα ἡμέρας νῆστις διετέλεσεν ἐπὶ τρισὶν ἔτεσι. Τὴν μὲν καρδίαν ἔσχε πρὸς τὸν ἐν οὐρανοῖς κατοικοῦντα Θεόν· τοῖς δὲ σωματικοῖς ὀφθαλμοῖς οὐδ' ὅλως εἶδεν οὐρανοῦ κάλλος καὶ[9] μέγεθος. Ὄφιν μέγιστον καὶ δεινὸν προσευχῇ ἐθα- (April. 24.)

— [17] καὶ *add.* D. — [18] προτιθεμένων S. — [19] ἀποκριθῆναι D. — [20] ἐπὶ D. — [21] Ἀλεξάνδρειαν D, *et* S *ante corr.* — [22] ἕωθεν ἀπὸ τῆς μεγάλης ἐκκλησίας τῆς λιτῆς ἐν τῷ φόρῳ ἀνερχομένης καὶ μετὰ τὰς ἐκεῖσε συνήθεις εὐχὰς παραγενομένης ἐν τῇ εἰρημένῃ συνάξει *add.* D.

1. — [1] τῆς ἁγίας Ἐ. Mc. — [2] αὕτη Mc. — [3] πόνους ἀ. Mc. — [4] Θεοῦ Mc. — [5] (ὅθεν καὶ) δι' ἧς Mc. — [6] (v. i.) ἐξιᾶτο v. Mc. — [7] διεπήγνυτο Mc. — [8] (ὡς - Ἠλίας) *om.* Mc. — [9] (τὴν μὲν - κάλλος καὶ) τῇ πρὸς Θεὸν ἀδολεσχοῦσα ἀμετεωρίστῳ νεύσει καὶ θεωρίᾳ τοῖς σωματικοῖς ὀφθ. οὐδ' ὅλως εἶδεν οὐρανοῦ κάλλος ἢ Mc.

April. 23. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1 : Γεωργίου. Ὁ ἔνδοξος καὶ θαυμαστὸς καὶ μέγας Γεώργιος κατὰ τοὺς χρόνους ἦν Διοκλητιανοῦ ... ἐν τῷ Δευτέρῳ. Πολλῶν δὲ ὄντων καὶ σχεδὸν ἀριθμοῦ κρειττόνων τῶν θαυμάτων καὶ τεραστίων, οἷς ὁ ἀγαθὸς δεσπότης Θεὸς τὸν μεγαλομάρτυρα τοῦτον ἐξαιρέτως ἐδόξασεν, ἀναγκαῖον ἂν εἴη ἑνὸς ἢ δύο ἐκ τούτων ἐπιμνησθῆναι καὶ ὡς ἥδυσμά τι χαρίεν παραθεῖναι ταῖς τῶν φιλοθέων ψυχαῖς, καὶ οὕτω καταπαῦσαι τὸν λόγον. Ἐν τοῖς μέρεσι τῆς Συρίας πόλις ἐστὶν ἥτις ὀνομάζεται Ῥάβλιον· ἐν ταύτῃ οὖν ναὸς ᾠκοδόμητο τῷ μεγαλομάρτυρι Γεωργίῳ. Διὰ δὲ τὸ μὴ εἶναι κατὰ χώραν τόπον λατομίων εἰς κατασκευὴν κιόνων, συνήχθησαν ἀπὸ μακροῦ διαστήματος οἱ ἐν τῷ ναῷ στησόμενοι κίονες. Καὶ ἐπεὶ συνδρομὴ ἦν καὶ συνέλευσις οὐ μικρὰ ἐπὶ τῇ τῶν κιόνων εὑρέσει καὶ μετακομιδῇ, γυνή τις θεοφιλὴς καὶ πίστιν ὅτι θερμὴν εἰς τὸν ἅγιον Γεώργιον τρέφουσα, ἐξωνήσατο καὶ αὐτὴ ἕνα κίονα ὅμοιον τοῖς εὐτρεπισθεῖσι· καὶ καταγαγοῦσα αὐτὸν ἐν τῷ αἰγιαλῷ ἐδέετο τοῦ τὴν φροντίδα τῶν λοιπῶν κιόνων ἀναδεξαμένου ἀνακομισθῆναι μετὰ τῶν ἄλλων καὶ τὸν ἐξωνηθέντα παρ' αὐτῆς κίονα· ὁ δὲ οὐκ ἐπείσθη ἀλλὰ τοὺς ἰδίους μόνους ἐν σχεδίᾳ θείς, ἀπέπλευσε. Τότε ἐξ ἀθυμίας ἡ γυνὴ τῇ γῇ ἑαυτὴν καταβαλοῦσα ἀπωδύρετο καὶ τὸν ἅγιον παρεκάλει εὐοδωθῆναι αὐτὴν ἐπὶ τῇ τοῦ κίονος μετακομιδῇ. Ὡς οὖν οὕτως εἶχε περιπαθῶς, ἔδοξε τὸν ἅγιον ὄναρ ἐλθεῖν ἐν σχήματι στρατηλάτου καὶ ἀναστῆσαι αὐτὴν καὶ εἰπεῖν· « Τίς σου ἡ θλίψις, ὦ γύναι; φράσον ἡμῖν· » τὴν δὲ διασαφῆσαι τὸ τῆς ἀθυμίας αἴτιον· καὶ τὸν ἅγιον καταβάντα τοῦ ἵππου εἰπεῖν πρὸς τὴν γυναῖκα· « Ποῦ θέλεις στῆναι τὸν κίονα; » τὴν δέ· « Εἰς » τὰ δεξιὰ μέρη τοῦ ναοῦ » ἀποκρίνασθαι· καὶ τὸν ἅγιον εὐθέως τῷ δακτύλῳ αὐτοῦ διεγχαράξαι τῷ κίονι· « Δεξιὸς στήτω δεύτερος στύλος τῆς χήρας· » καὶ κουφίσαντος τὸ πρὸς τὴν θάλασσαν μέρος τοῦ κίονος, εἰπεῖν τῇ γυναικί· « Βοήθησον καὶ αὐτή· » καὶ κουφισθέντα τὸν κίονα δι' ἀμφοτέρων ἐμβληθῆναι τῇ θαλάσσῃ καὶ τῇ τοῦ ἁγίου κυβερνήσει προκαταλαβεῖν καὶ εὑρεθῆναι πρωΐας κείμενον ἐν τῷ αἰγιαλῷ τοῦ λιμένος. Ὃν ἰδὼν ὁ βασιλικὸς ἐξεπλάγη· καὶ μᾶλλον, ὡς εἶδε καὶ τὴν γραφὴν διοριζομένην καὶ τὸν τόπον, ἐν ᾧ σταθῆναι ὀφείλει. Εὐχαριστήσας οὖν τῷ Θεῷ ἐζήτει καὶ παρὰ τοῦ ἁγίου τὸ τῆς ἀπειθείας συγχωρηθῆναί οἱ ἁμάρτημα· καὶ λαβὼν δι' ὀπτασίας καὶ οὗτος τὴν ἀπὸ τοῦ ἁγίου συμπάθειαν, ἔστησε μετὰ τῶν ἄλλων καὶ τὸν τῆς χήρας κίονα, εἰς ὃν τόπον ἡ ἐγχαραχθεῖσα τοῦ ἁγίου γραφὴ παρεκελεύσατο· ὃς καὶ ἵσταται μέχρι τοῦ παρόντος εἰς μνήμην τῆς γυναικὸς ἄληκτον καὶ τοῦ μαρτυρικοῦ θαύματος ἔκπληξιν. Τὸ δὲ γενόμενον ἐν Μιτυλήνῃ πᾶσαν ἀκοὴν καὶ ἔννοιαν καταπλήττει. Ἐν ταύτῃ γὰρ τῇ νήσῳ ναός ἐστι τοῦ μεγαλομάρτυρος Γεωργίου ἐνδοξότατος καὶ περιφανής· εἴωθεν οὖν κατ' ἐνιαυτὸν ἐν τῇ μνήμῃ τοῦ ἁγίου πλῆθος λαοῦ οὐκ ὀλίγον συνέρχεσθαι καὶ πανηγυρίζειν. Οἱ τῆς Κρήτης οὖν Ἀγαρηνοὶ τοῦτο μεμαθηκότες ἐπέθεντο τοῖς ἐν τῇ νήσῳ πρὸς ἑσπέραν, ἐν τῷ καιρῷ τῆς παννυχίδος· καὶ ὅσους μὲν ἐντὸς τοῦ ναοῦ εὗρον, δήσαντες κατέσχον· ἀπὸ δὲ τῶν ἔξωθέν τινας, ὡς τῶν πλειόνων φυγῇ χρησαμένων· καὶ τέως τοὺς κατασχεθέντας ἀπήγαγον ἐν τῇ Κρήτῃ. Ἐν οἷς καὶ νεανίσκος τις ἦν, ὃς ἀπεχαρίσθη τῷ ἀμηρᾷ παρὰ τοῦ κατασχόντος αὐτὸν Ἀγαρηνοῦ. (April. 23.) Χρόνου δὲ παραδραμόντος καὶ τῆς ἑορτῆς ἐπιστάσης τοῦ μεγαλομάρτυρος Γεωργίου, ὁ μὲν νεανίσκος ἦν ἐξυπηρετῶν τῷ ἀμηρᾷ, οἱ δὲ τούτου γονεῖς μηδὲν ἐπὶ τῇ πίστει παρακλαπέντες μηδὲ ἀγνωμονήσαντες ἕνεκεν τῆς τοῦ υἱοῦ αὐτῶν ἀπωλείας, ἀλλ' ἐπὶ Κύριον τὰς ἐλπίδας θέμενοι καὶ τῷ ἁγίῳ εὐχαριστοῦντες καὶ τὴν ἑορτὴν τοῦ ἁγίου τελέσαντες συνήθως, ἐξῆλθον ἐφ' ᾧ τοὺς προσκληθέντας εἰς ἑστίασιν ἀνακλῖναι. Ἀλλ' ἡ μήτηρ τοῦ νεανίσκου ἐναπολειφθεῖσα ἐν τῷ ναῷ, ἐπὶ τοῦ ἐδάφους ἑαυτὴν ἔρριψεν ἐξοχλοῦσα καὶ δυσωποῦσα τὸν ἅγιον ἀναρρύσασθαι τὸν υἱὸν αὐτῆς ἀπὸ τῆς αἰχμαλωσίας τρόποις οἷς οἶδε, τῇ παντοδυνάμῳ καὶ θείᾳ χάριτι. Καὶ ὁ ταχὺς εἰς ἀντίληψιν τὰ τῆς γυναικὸς μὴ παριδὼν δάκρυα, ἀπτέρῳ τάχει τὴν Κρήτην καταλαβὼν ἐπανασῴζει τοῖς οἰκείοις τὸν παῖδα. Ἐπεὶ γὰρ ἐκείνῃ τε τὰ τῆς εὐχῆς ἐν τῷ ναῷ τέλος εἶχε καὶ τῆς τραπέζης ἀρθείσης ὁ ἀνὴρ τὴν τοῦ ἁγίου ἀντίληψιν καὶ βοήθειαν ὡς ἔθος εὐφημήσας προυβάλετο καὶ οἱ τὸν ἄκρατον ἐγχέοντες ἕτοιμοι παρειστήκεισαν, τότε δὴ θείᾳ νεύσει τερατούργημα γίνεται ὑπερφυὲς καὶ παράδοξον καὶ τοῖς ἀμυήτοις τῶν τοῦ Θεοῦ παραδόξων ἔργων σχεδὸν ἄπιστον· ἀλλ' εἰ πρὸς τὸν Ἀββακοὺμ ἀπιδών τις ἐννοήσει, ὅπως δι' ἀγγέλου ἁρπαγεὶς μιᾷ καιροῦ ῥοπῇ ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα εὑρέθη, οὐδὲ τῷ παρόντι ἂν οἶμαι διαπιστήσειε θαύματι. Ἀλλ' ἐπειδὴ οἱ δαιτυμόνες, ὡς ἔφημεν, ἐπὶ τῇ πρὸς τὸν ἅγιον εὐχαριστίᾳ κρατήρων μετασχεῖν ἔμελλον, αὐτῇ δὴ ταύτῃ τῇ ὥρᾳ καὶ ὁ νεανίσκος κατὰ τὴν Κρήτην ὢν καὶ ἐγχέων οἶνον εἰς κύλικα καὶ τῷ ἀμηρᾷ πόσιν ἑτοιμάζων ἤδη προσενεγκεῖν, ὢ καινοτάτου καὶ ὑπερφυοῦς θαύματος, ὢ πολλῆς σου, Χριστὲ σῶτερ, περὶ τὸν μεγαλομάρτυρα χάριτος, εὑρέθη ἐν Μιτυλήνῃ ἐν χειρὶ τὴν κύλικα φέρων καὶ τῇ μητρὶ τὸν οἶνον ἐπιδιδούς. Τοῦτον οὖν πάντες οἱ ἐν τῇ τραπέζῃ θεασάμενοι ἐξεπλάγησαν· ἐρωτήσαντες δέ, ποῦ καὶ πόθεν καὶ πῶς εὑρέθη μέσον αὐτῶν, ταῦτα ἤκουον ἀποκρινομένου· « Τοῦτο γάρ, ἔφη, τὸ ποτή» ριον οἴνου γεμίσας πρὸς τὸ δοῦναι τῷ ἀμηρᾷ ἐν Κρήτῃ, αἴφνης παρὰ ἀνδρὸς ἁρπαγεὶς ἐνδοξοτάτου » καὶ ἐπικαθίσας τῷ ἵππῳ αὐτοῦ, ἐν μιᾷ μὲν χειρὶ κατέχων τὴν κύλικα, ἐν δὲ τῇ ἄλλῃ τὴν ὀσφὺν αὐτοῦ, » εὑρέθην ὡς ὁρᾶτε μέσον ὑμῶν ». Ταῦτα ἀκούοντες κἀκεῖνον βλέποντες ἐξίσταντο ἐκπληττόμενοι ἐπὶ τῷ παραδόξῳ θεάματι καὶ ἀναστάντες ἀπὸ τῆς τραπέζης, δι' ὅλης τῆς νυκτὸς ὕμνους εὐχαριστηρίους τῷ παντοκράτορι Θεῷ ἀπεδίδουν καὶ τῷ αὐτοῦ ἐνδόξῳ θεράποντι. — Οὐαλέριος ξ. τ. — Ἀνατόλιος ξ. τ. — Πρωτολέων ξ. τ. — Ἀθανάσιος ὁ ἀπὸ μάγων ξ. τ. — Γλυκέριος ὁ γεωργὸς ξ. τ. — **Mv** : 1. — Ἐκ τῶν πολλῶν θαυμάτων τοῦ ἁγίου <Γεωργίου>. — Οὐαλλερίου. — Ἀνατολίου καὶ Πρωτολέοντος στρατηλατῶν. — Ἀθανασίου. — Γλυκερίου. — Οἱ ἅγιοι Δονάτος καὶ Θερινὸς ξ. τ. (April. 24[4]). — **Mr** : 1.

April. 24. SYNAXARIA SELECTA. **H** : 3. 4. 1. 5. — **P** : 3. — Τοῦ ἁγίου ἀδελφοῦ τοῦ Κυρίου Ἰωσήφ, Συμεών, Μάρθας καὶ Μαρίας (cf. Iun. 6[8]). — 4. 5. — **D** : 2. 3. 4. 1. 5. — **Da** : 2. 1. 3. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Χαλκηδόνι. — 4. — **Db** : 2. 1. 3. — **K** : 2. 1. 3. — Τῶν ἁγίων μαρτύρων ἐν Χαλκη-

APRIL. 24. νάτωσεν, ἄρτου ἐπὶ πλείστους χρόνους[10] δὲ μετέλαβεν, ἐλαίου οὐδὲ μικρὸν ἀπεγεύσατο[11]· ὑποδήματα τοῖς ποσὶν οὐκ ἐκτήσατο. Ἐν τούτοις τοῖς θεαρέστοις κατορθώμασιν ἀνεπαύσατο ἐν Κυρίῳ, πολλῶν θαυμάτων χάριν μέχρι καὶ τήμερον τοῖς μετὰ πίστεως αὐτῇ προσερχομένοις[12] παρέχουσα· χοῦς γὰρ ἐκ τῆς σοροῦ αὐτῆς λαμβανόμενος πᾶσαν νόσον θεραπεύει[13].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σάβα τοῦ στρατηλάτου. Οὗτος ἦν[1] κατὰ τοὺς χρόνους[2] Αὐρηλιανοῦ[3] τοῦ βασιλέως, | (f. 201v.) ἐν Ῥώμῃ τὴν τοῦ στρατηλάτου διέπων ἀρχήν· ἦν δὲ τὸ γένος Γότθος. Ἔχων δὲ τὴν εἰς Χριστὸν πίστιν τοὺς ἐν ταῖς φυλακαῖς ἁγίους ἐπεσκέπτετο, καὶ βίου καθαρότητι καὶ ἀσκήσει[4] τὰ πονηρὰ[5] ἐφυγάδευε πνεύματα. Διαβληθεὶς δὲ[6] ἤχθη πρὸς τὸν βασιλέα· καὶ ῥίψας τὴν ζώνην τὸν Χριστὸν ὡμολόγησε[7]. Κρεμασθεὶς οὖν ξέεται καὶ λαμπάσι καίεται· ἔνθα[8] παραδόξως σωθεὶς ἄνδρας ἑβδομήκοντα πρὸς τὴν τοῦ Χριστοῦ[9] ἐπεσπάσατο πίστιν[10]· οἳ καὶ τὰς κεφαλὰς ἀπετμήθησαν. Εἰς δὲ ἑτέραν ἐξέτασιν ὁ ἅγιος προσαχθεὶς ἤδη, τοῦ Χριστοῦ ἐνισχύσαντος αὐτὸν καὶ θαρσοποιήσαντος, ἐν τῇ φρουρᾷ, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο[11]. Ἐπέπρεπε δὲ αὐτῷ ἐν[10] τῇ τῆς ἡλικίας ἀκμῇ λευκότης σώματος καὶ παρειῶν ἐρύθημα, καὶ ἐν[10] τῇ κεφαλῇ καὶ τῷ πώγωνι οἱονεὶ χρυσίζουσαι τρίχες καὶ διαλάμπουσαι. Αἱ δὲ τῶν ὀφθαλμῶν βολαὶ τὸ[10] βλοσυρὸν καὶ καταπληκτικὸν[12] ἔχουσαι, τὸν ἄνδρα καὶ στρατιώτην ἄκρως ὑπέφαινον.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πασικράτους καὶ Βαλεντίωνος. Οὗτοι ὑπῆρχον ἐκ Δοροστόλου[1] τῆς Μυσίας ἐν λεγεῶνί τινι στρατευόμενοι, Αὐλοζάνου ἐπαρχοῦντος, χριστιανοὶ ὄντες. Θεωροῦντες οὖν τοὺς εἰδωλολάτρας λίθοις προσκυνοῦντας ἀψύχοις, ἐζήλωσαν καὶ παρρησίᾳ τὸν Χριστὸν Θεὸν ὡμολόγησαν μόνον· τὰ δὲ εἴδωλα ἄψυχον ὕλην εἶναί φασιν. <Ὅθεν[2]> συσχεθέντες ἤχθησαν πρὸς τὸν ἡγεμόνα· καὶ ὑποδειχθέντος τοῦ Ἀπόλλωνος, ἵνα θύσωσι[3], προσεγγίσαντος ὁ Πασικράτης τοῦτο κατέπτυσε. Προσδεθεὶς[5] οὖν ἀλύσεσι, τίθεται ἐν τῇ φρουρᾷ· καὶ προσελθὼν αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ, ὁ πρὸ μικροῦ διὰ φόβον τὸν Χριστὸν ἀρνησάμενος, συνεβούλευε θῦσαι καὶ ἀπαλλαγῆναι τῶν βασάνων. Ὁ δὲ ἀπώσατο, ἀνάξιον αὐτὸν εἰπὼν τῆς αὐτοῦ συγγενείας. Ἐρωτηθέντος δὲ καὶ τοῦ ἁγίου Βαλεντίωνος καὶ τὰ ὅμοια φρονεῖν τῷ Πασικράτει[5] <εἰπόντος[6]>, τὴν διὰ ξίφους ἀπόφασιν ἀμφότεροι ἔλαβον· ἔνθα συμπροπέμψαι φασὶν τὴν μητέρα τὸν ἅγιον Πασικράτην παραθαρρύνουσαν καὶ ὑποσχεῖν τὸν αὐχένα τῷ ξίφει κελεύουσαν. Ὑπῆρχον δέ, ὅτε τὰς κεφαλὰς ἀπετμήθησαν, ὁ μὲν ἅγιος Πασικράτης ἐτῶν δύο καὶ εἴκοσιν, ὁ δὲ ἅγιος Βαλεντίων τριάκοντα.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσεβίου, Νέωνος, Λεοντίου, Λογγίνου, Χριστοφόρου, Δημητρίου, | (f. 202.) Δανάβου, Δονάτου[1], Θερίνου, Νεστάβου, Νίκης καὶ τῆς συνοδίας αὐτῶν[2]. Μετὰ τὴν τελευτὴν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου προσέταξεν ὁ δυσσεβὴς Διοκλητιανὸς πάντας τοὺς εὑρισκομένους χριστιανοὺς καὶ μάλιστα[3] τοὺς δι' αὐτὸν εἰς φυλακὰς ἀποκλεισθέντας ἢ θύοντας τοῖς ψευδωνύμοις θεοῖς ἀπολύεσθαι[4], ἢ τοῦτο μὴ ποιοῦντας ἰσχυρῶς βασανίζεσθαι καὶ τελευταῖον τῇ τοῦ θανάτου παραπέμπεσθαι ψήφῳ. Ἐπεὶ καὶ οὗτοι οἱ ἅγιοι, τὰ παρὰ τοῦ μεγαλομάρτυρος Γεωργίου θεασάμενοι ἐξαίσια θαύματα ἐπίστευσαν τῷ Χριστῷ, καὶ τούτους κατεῖχεν ἡ φυλακή. Εἶθ' οὕτως ἐξενεχθέντες καὶ ἐνώπιον τοῦ τυράννου τὸν Χριστὸν ὡμολόγουν Θεὸν εἶναι ἀληθινόν, γυμνωθέντες καὶ ἐκ τεσσάρων δεσμευθέντες ἐτύφθησαν ἀφειδῶς· ἔπειτα κρεμασθέντες ἐξέσθησαν, ἕως αἱ σάρκες αὐτῶν ἐπὶ τὴν γῆν κατέρρευσαν καὶ τὴν ἔνδοθεν οἰκονομίαν ἀναφανῆναι ἔξωθεν. Τέλος τὰς τιμίας αὐτῶν κεφαλὰς ἀπετμήθησαν καὶ τὰς μακαρίας αὐτῶν ψυχὰς εἰς χεῖρας Θεοῦ ζῶντος ἐναπέθεντο[5].

5. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου ἐν τῷ Κυπαρισσίῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

APRIL. 25. **1.** Ἄθλησις τοῦ ἁγίου καὶ[1] πανευφήμου[1] ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου. Ὁ πανεύφημος ἀπόστολος Μάρκος πάσῃ τῇ[1] Αἰγύπτῳ καὶ Λιβύῃ[2] καὶ Βαρβαρικῇ[3] καὶ Πενταπόλει κατὰ τοὺς

— [10] χρόνοις ἐπὶ π. ἄρτου Mc. — [11] ὅλως ἐλαίου οὐκ ἐγεύσατο Mc. — [12] (κατορθώμασιν - προσερχομένοις) ἔργοις διαλάμψασα ἐν Κυρίῳ ἡ ἀοίδιμος ἀνεπαύσατο πολλῶν θαυμάτων μέχρι καὶ τήμερον τοῖς μ. π. προσερχομένοις αὐτῇ χάριν Mc. — [13] φυγαδεύει Mc.

2. — [1] *om.* Mc. — [2] καιροὺς Mc — [3] Αὐριλιανοῦ S, Αὐριλλιανοῦ Mc. — [4] (τοὺς - ἀσκήσει) τῶν ἐν ταῖς εἱρκταῖς ἁγίων ἐπεμελεῖτο, διὰ δὲ βίου καθαρότητα καὶ ἀρετῆς ἄσκησιν Mc. — [5] ἀπὸ τῶν ἀνθρώπων *add.* Mc — [6] ποτε ὡς χριστιανὸς *add.* Mc. — [7] (τ. Χ. ὡ.) ὡ. τ. Χ. Mc. — [8] (ξέεται - ἔνθα) καίεται ταῖς λαμπάσι καὶ ἐν λέβητι πίσσης μεστῷ πυρωθέντι ἐμβάλλεται καὶ Mc. — [9] εἰς Χριστὸν πίστιν μετεκαλέσατο Mc. — [10] *om.* Mc. — [11] (ἀπετμήθησαν - ἐκομίσατο) ἀποτμηθέντες διὰ Χριστὸν ἐστεφανώθησαν· ὁ δὲ ἅγιος εἰς δευτέραν ἐξέτασιν εἰσαχθεὶς ἐνισχύσαντος αὐτὸν δι' ἐπιφανείας τοῦ Χ. ἐν τῇ φρουρᾷ καὶ θαρσοποιήσαντος τὸν τοῦ μ. στ. ἐκομίσατο Mc. — [12] τι καὶ κατάπληκτον Mc.

3. — [1] Ῥοδοστόλου S. — [2] *supplevi, om.* S. — [3] θύσωσοι S. — [4] πρὸς δὲ θέντος S. — [5] Παυσικράτει S *et deinceps.* — [6] *supplevi, om.* S.

4. — [1] Δανάτου S. — [2] οὗτοι S. — [3] μάλλιστα S. — [4] ἀπολλύεσθαι S. — [5] ἐναπετέθησαν S.

1. — [1] *om.* Mc. — [2] *corr., prius* Λυβύη S. — [3] S, D, Mc, *l.* Μαρμαρικῇ *ut in Passione* Act. SS., *April. t. III, p. XLVI, n. 1.*

APRIL. 24. δόνι. — 4. — **N** : 2. 3. 1. 4. — Τῶν ἁγίων ... ἐν Χαλκηδόνι. — **Bb** : 3. 4. 1. — **Be** : 3. 4. 1. — **C** : 3. 1. 4. — **Ce** : 3. 1. — **Cg** : 3. 1. 4. — **R** : 2. — **Ra** : 2. 1. — **Rb** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Χαλκηδόνι. — 4. — **Rc** : 2. 1. 3 (Πασικράτους καὶ Βαλεντίνου). — **Mc** : 2. — Οἱ διὰ τοῦ ἁγίου Σάβα πιστεύσαντες ο' στρατιῶται ξ. τ. — 1. 3. — **Mv** : 2. — Τῶν ... ο' στρατιωτῶν. — 1. 3. 4. — **Mr** : 1. 2.

APRIL. 25. SYNAXARIA SELECTA. **H** : 1. 2. — Σάβα τοῦ στρατηλάτου (April. 24²). — 3. — **P** : Σάβα τοῦ στρατηλάτου, ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει, στρατηλάτης τὴν τάξιν, τὸ γένος Γότθος,

χρόνους Τιβερίου Καίσαρος τὸν[4] Χριστοῦ λόγον ἀνεκήρυξε[5]. Συνεγράψατο δὲ καὶ τὸ ἅγιον εὐαγγέλιον, Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων ἐξηγουμένου αὐτό. Καὶ ἐν Κυρήνῃ[6] τῆς Πενταπόλεως γενόμενος πολλὰ κατειργάσατο θαύματα· εἶτα εἰς τὴν κατὰ Φάρον Ἀλεξάνδρειαν ἦλθεν καὶ ἐκεῖθεν εἰς τὴν Πεντάπολιν, πανταχοῦ θαυματουργῶν καὶ τὰς τοῦ Χριστοῦ ἐκκλησίας κατακοσμῶν χειροτονίαις ἐπισκόπων καὶ τῶν[7] λοιπῶν κληρικῶν· ὕστερον δὲ αὖθις εἰς Ἀλεξάνδρειαν ἐλθὼν καί τινας τῶν ἀδελφῶν παρὰ θάλασσαν ἐν τοῖς Βουκόλου[8] εὑρών, συνῆν αὐτοῖς τὸν λόγον τοῦ Χριστοῦ εὐαγγελιζόμενος[9] καὶ κηρύττων. Ἔνθα ἐπελθόντες αὐτῷ οἱ τῶν εἰδώλων θεραπευταὶ[10] μὴ φέροντες ὁρᾶν τὴν εἰς Χριστὸν πίστιν εὐοδουμένην[11], σχοινίοις αὐτὸν[7] διαλαβόντες ἔσυραν[12]. Προσπίπτουσαι δὲ ταῖς πέτραις αἱ σάρκες αὐτοῦ κατεξαίνοντο, καὶ τὸ αἷμα τὴν γῆν ἐφοίνισσεν[13]. Τεθέντι δὲ[14] ἐν τῇ[7] φυλακῇ ὤφθη ὁ Κύριος προϋποφαίνων τὴν | (f. 202v.) μέλλουσαν αὐτὸν διαδέχεσθαι δόξαν[15]. Μεθ' ἡμέραν δὲ πάλιν σύροντες αὐτὸν[16] κατὰ τῆς πλατείας, ἐν τῷ σπαράττεσθαι καὶ περιδρύπτεσθαι[17] ταῖς πέτραις· τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε[18] καὶ εἰς τὸν εἰρημένον τόπον τὰ Βουκόλου ἀπενεγκόντες ἔθαψαν ἢ μᾶλλον ἔρριψαν. Τὴν δὲ κατὰ τὴν ἰδέαν[19] διάθεσιν ἦν[20] οὕτως· οὔτε πρὸς ὄγκον καὶ μέγεθος ἄμετρον τὸ σῶμα τετύπωτο, οὐδ' αὖ παντελῶς ταπεινός τις ἦν καὶ συνεσταλμένος, ἀλλ' ἐπέπρεπεν αὐτῷ καὶ συνεπεκόσμει ἐν τῷ μετρίῳ τῆς ἡλικίας ἐπανθοῦσα[21] πολιά, ῥὶς ἐπ' εὐθείας ἠγμένη μακρότερον καὶ οὐ[22] διὰ σιμότητα ἠκρωτηριασμένην καὶ κολοβὴν ὥσπερ τὴν ὄψιν προφαίνουσα[23], ὀφρύες συννεύουσαι, καὶ πώγων βαθύς, καὶ κεφαλῆς ψιλότης[24] καὶ χροίας κρᾶσις ἀρίστη. Προσῆν δὲ αὐτῷ καὶ τὸ συμπαθὲς ἄγαν καὶ τὸ πρὸς τοὺς ἐντυγχάνοντας εὐπροσήγορον, ὡς ἀντιλάμπειν ταῖς τοῦ σώματος χάρισι τὰς τῆς ψυχῆς ἀρετάς. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ[25] αὐτοῦ[7] ἀποστολείῳ, τῷ ὄντι πλησίον τοῦ Ταύρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ σεπτοῦ ἀποστολείου τοῦ ἁγίου καὶ πανευφήμου κορυφαίου τῶν ἀποστόλων Πέτρου, τοῦ συγκειμένου τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

3. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μακεδονίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚϚ'.

APRIL. 26. **1.** Ἄθλησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ[1] ἱερομάρτυρος[1] Βασιλέως ἐπισκόπου τῆς ἐν Ἀμασείᾳ μητροπόλεως[2]. Ὁ ἔνδοξος τοῦ Χριστοῦ μάρτυς Βασιλεὺς ἦν ἐπίσκοπος[3] τῆς ἐν Ἀμασείᾳ μητροπόλεως κατὰ τοὺς χρόνους Λικινίου[4]· ὃς ἐξεπέμφθη παρὰ τοῦ μεγάλου Κωνσταντίνου, ἐπὶ Κωνσταντίνῃ τῇ ἀδελφῇ αὐτοῦ γαμβρὸς ὢν[5], κατὰ Μαξιμίνου ἐπαναστάντος καί τινα μέρη τῶν[1] κατ'[6] ἀνατολὴν κατασχόντος καὶ τυραννήσαντος. Γενόμενος δὲ κατὰ τὴν Νικομήδειαν ὁ Λικίνιος, ἐπεὶ τὰ τῆς ἐπαναστάσεως λέλυτο, τοῦ τυράννου ἀπογνόντος[7] τὴν διὰ μάχης ἀντίστασιν καὶ τὸν κατὰ χεῖρα κίνδυνον ἐκφυγόντος, αὐτὸς ἐν Νικομηδείᾳ τοῖς εἰδώλοις προσῆγε θυσίας[8] καὶ τὸν ἅγιον ἱερομάρτυρα[9] Βασιλέα ἐξ Ἀμασείας μετὰ κόρης τινὸς προσαγορευομένης Γλαφύρας[10] ἀχθῆναι προσέταξεν. Ἡ[11] γὰρ Γλαφύρα θεράπαινα οὖσα[12] Κωνσταντίνης τῆς γαμετῆς Λικινίου, ἐπεὶ τὸν Λικίνιον ἐπιμα|(f. 203.)νέντα αὐτῇ καὶ ἐπιλυττήσαντα[13] ᾔσθετο[14], τοῦτο ἀναθεμένη τῇ κυρίᾳ αὐτῆς καὶ[15] μετὰ χρημάτων παρ' αὐτῆς κατὰ ἀνατολὰς στέλλεται καὶ τόπους ἐκ τόπων ἀμείψασα, εἰς τὴν Ἀμάσειαν[16] καταντᾷ. Τοῦτο πυθόμενος ὁ Λικίνιος, καὶ ὅτι τὸ ἐπιφερόμενον παρ' αὐτῆς χρυσίον εἰς ἀνοικοδομὴν ἐκκλησίας τῷ ἐπισκόπῳ ἐπέδωκεν[17], ἀμφοτέρους συλληφθῆναι καὶ πρὸς αὐτὸν ἀχθῆναι

— [4] τοῦ *add.* Mc. — [5] ἀνεκήρυττε Mc. — [6] Κυρίνη S. — [7] *om.* Mc. — [8] Βουκόλοις ἐλθὼν καὶ Mc. — [9] τ. τ. Χ. εὐαγγ. λόγον Mc. — [10] προσκυνηταὶ Mc. — [11] (μὴ - εὐοδουμένην) *om.* Mc. — [12] διελόντες ἔσυρον Mc. — [13] ἐφοίνισεν S, τὴν γῆν ἐφοίνισον αἵματι· εἶτα Mc. — [14] αὐτῷ Mc. — [15] καὶ *add.* Mc. — [16] (δὲ - αὐτὸν) δήσαντες αὐτὸν ἔσυραν Mc. — [17] περιδρύφθεσθαι S, περιθρύπτεσθαι Mc. — [18] παρέθετο Mc. — [19] (καὶ εἰς - ἰδέαν) κατὰ δὲ τὴν τῆς ἰδέας Mc. — [20] εἶχεν Mc. — [21] (οὔτε - ἐπανθοῦσα) ὁ μὲν τοῦ σώματος ὄγκος σύμμετρος αὐτῷ ἐπίσης μεγέθος τε ἄμετρον καὶ βραχύτητος ταπεινότητα ὑπεκλίνων· ἔπρεπε δὲ τῷ μετρίῳ τῆς ἡλικίας καὶ ἐπανθοῦσα σύμμετρος Mc. — [22] ἐν S. — [23] (καὶ οὐ - προφαίνουσα) *om.* Mc. — [24] (καὶ πωγ. - ψιλότης) *om.* Mc. — [25] πανσέπτῳ Mc.

3. — [1] ὁ ἅγιος Μ. πατριάρχης Κπ. ἐν εἰρήνῃ τ. Mc.

1. — [1] *om.* Mc. — [2] ἐπισκόπου Ἀμασείας Mc. — [3] (ὁ - ἐπίσκοπος) οὗτος ἐπ. ἦν Mc. — [4] Λικιννίου S. — [5] ὢν γ. Mc. — [6] κατὰ τὴν Mc. — [7] τὰ καθ' ἑαυτὸν καὶ *add.* Mc. — [8] θυσίας τ. εἰδ. πρ. Mc. — [9] *om.* Mc. — [10] Γλ. πρ. Mc. — [11] αὕτη Mc. — [12] οὖσα θ. Mc. — [13] λυττήσαντα Mc. — [14] ἐθεάσατο Mc. — [15] *om.* Mc. — [16] Ἀμάσιαν *hic* S. — [17] δέδωκεν Mc.

APRIL. 25. λη' ἐτῶν ὑπάρχων, λευκὸς ὑπὲρ χιόνα τῷ σώματι, ῥοδινὸς τῷ προσώπῳ, ἡ δὲ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ἦν ὡς τὸ χρυσίον, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ[1]... — 1. 3. 2. — **D** : 1. 2. 3. — **Da** : 1. 3. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — Σάβα τοῦ στρατηλάτου. — **Be** : 1. — Σάβα. — **C** : 1. — Σάβα. — **Ce** : 1. — Σάβα. — **Cg** : 1. — Σάβα. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 3. — Ἡ ἁγία μάρτυς Νίκη ξ. τ. (cf. April. 24⁴). — Οἱ ἅγιοι ὀκτὼ μάρτυρες καὶ ἀναχωρηταὶ ξ. τ. — **Mv** : 1. 2. 3. — Νίκης. — Τῶν ὁσίων πατέρων ὀκτὼ καὶ ἀναχωρητῶν μαρτύρων. — **Mr** : 1.

APRIL. 26. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — Πουπλίου. — **Be** : 1. — Πουπλίου. Στρατιώτης ἦν οὗτος ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Πούπλιος, στρατευόμενος ὑπὸ τῷ βασιλεῖ Λικινίῳ καὶ ἀγαπώμενος ὑπ' ἐκείνου διὰ τὸ πολλάκις ἐν πολλοῖς ἀνδραγαθῆσαι πολέμοις. Ὅτε δὲ δέσμιος ἤχθη ἐξ Ἀμασείας ὁ ἅγιος ἱερομάρτυς Βασιλεὺς καὶ σταθεὶς ἔμπροσθεν τοῦ Λικινίου ἤλεγξεν ἀνδρείως αὐτόν τε καὶ τὴν πλάνην τῶν ἀκαθάρτων δαιμόνων

[1] *ita mutil. des. in cod.*

April. 26. προσέταξεν. Ἀλλ᾽ ἡ μὲν Γλαφύρα τὸν βίον ἔφθη λιποῦσα· ὁ δὲ μακάριος ἐπίσκοπος Βασιλεὺς ἐν Νικομηδείᾳ πρὸς τὸν τύραννον ἤχθη καὶ τὴν διὰ ξίφους ἀπόφασιν δέχεται, ἀντειπὼν αὐτῷ καὶ ἱκανῶς τῆς ταλαιπωρίας τῶν νομιζομένων[18] θεῶν καὶ τῆς αὐτοῦ[19] ματαιότητος καταπτύσας. Τέμνεται οὖν τὸν αὐχένα καὶ ἐν πλοίῳ βληθεὶς καθ᾽ ἑκάτερον μέρος τῆς νηὸς ἥ τε κεφαλὴ καὶ τὸ σῶμα τῇ θαλάσσῃ ἐκδίδοται[20]· ἃ συνῆλθε[21] κατὰ τὴν φυσικὴν ἁρμονίαν. Καὶ εὑρέθη ὕστερον σῶος ὁ ἅγιος ἐν τῷ κατὰ Σινώπην[22] κόλπῳ, ἁλιέων τινῶν σαγήνην καθιέντων καὶ πρὸς τὴν χέρσον ἑλκυσάντων αὐτόν, καθὼς ἐπιστὰς ἄγγελος Ἐλπιδιφόρῳ τῷ πρώτως ὑποδεξαμένῳ ἐν Νικομηδείᾳ τὸν ἅγιον εἶπεν[23]. Ὃς παραγενόμενος ἅμα Θεοτίμῳ καὶ Παρθενίῳ τοῖς διακόνοις, οἳ[24] ἐξ Ἀμασείας τῷ ἁγίῳ συμπαρεγένοντο, ἐξελκυσθέντα[25] αὐτὸν ὑπὸ τῆς σαγήνης λαβόντες[26] καὶ[26] μύροις καὶ ᾠδαῖς τιμήσαντες τῇ Ἀμασείᾳ[27] παρέπεμψαν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις[28] ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ΄.

April. 27. **1.** Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν τοῦ συγγενοῦς τοῦ Κυρίου. Τοῦτον αὐτὸς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ὡς συγγενῆ προσλαβόμενος καὶ ἀδελφὸν ὀνομάζεσθαι καταδεξάμενος, ἱερέα ἔχρισε τοῦ κηρύττειν αὐτοῦ τὴν ἔνθεον[1] ἐπὶ γῆς παρουσίαν[2]· ὅθεν μυρίοις πόνοις[3] καὶ ἱδρῶσι παλαίσας ὡς ποιμὴν καὶ οὐχ ὡς μισθωτός, — τὸν θρόνον γὰρ τῶν Ἱεροσολύμων κατεκόσμει[4] — καὶ ναὸν ἑαυτὸν τοῦ ἁγίου ἀπεργασάμενος Πνεύματος[5] καὶ τοὺς βωμοὺς τῶν εἰδώλων καταστρεψάμενος[6] καὶ τοὺς πλανω-

— [18] τιμωμένων αὐτῷ ψευδωνύμων Mc. — [19] τούτου *add.* Mc. — [20] ἐκδίδονται Mc. — [21] αὖθις *add.* Mc. — [22] Συνώπην Mc. — [23] ὑπ. τὸν ἅγιον ἐν Ν. δεδήλωκεν Mc. — [24] ὃς S. — [25] ἑλκυσθέντα Mc. — [26] *om.* Mc. — [27] εἰς τὴν Ἀ. Mc. — [28] ἡ δὲ τούτου σύναξις τελ. Mc.

1. — [1] ἔνσαρκον Mc. — [2] παρρουσίαν S. — [3] π. μ. Mc. — [4] τὸν τῶν Ἱ. θρόνον ἐκόσμει Mc. — [5] παναγίου πν. ἐργασάμενος Mc. — [6] τῶν εἰδ. κ. βωμοὺς Mc.

April. 26. καὶ διεξῆλθε τὰ περὶ τῆς οἰκονομίας τοῦ ἀληθινοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ῥίψας τὰ ὅπλα καὶ τὴν ζώνην, ἣν περιεβέβλητο, ὡμολόγησεν ἑαυτὸν χριστιανὸν καὶ τοῦ ἐπουρανίου Θεοῦ δοῦλον καὶ στρατιώτην. Ὀργισθεὶς οὖν ὁ βασιλεὺς καὶ ἀλλοιώσας τὸ πρόσωπον αὐτοῦ τῷ πολλῷ θυμῷ, πρῶτον μὲν διὰ κολακείας ἐσπούδαζεν μεταθεῖναι αὐτὸν τῆς τοιαύτης γνώμης· ὡς δὲ οὐκ ἔπεισεν, ἰσχυρῶς βασανίσας, μαχαίρᾳ τὴν κεφαλὴν αὐτοῦ ἀπέτεμεν (April. 28[3]). — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Νέστωρ ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Γλαφύρα. — Ἰούστα. — Ὁ ὅσιος Νέστωρ τοὺς γονεῖς καταλιπὼν καὶ μονάσας ἐν εἰρήνῃ τ. — **Mr** : 1.

April. 27. SYNAXARIA SELECTA. **H** : Ποπλίωνος (April. 28[3]). — Εὐλογίου ξενοδόχου (April. 28[4]). — Ἰάσωνος (April. 28[1]). — Ἐγκαίνια τῆς ἁγίας Εἰρήνης (April. 28[5]). — **P** : Ποπλίωνος. — Εὐλογίου. — Ἰάσωνος. — Ἐγκαίνια τῆς ἁγίας Εἰρήνης. — **D** : 1. — Πουπλίωνος. — Εὐλογίου. — **Da** : 1. — Πουπλίωνος. — Εὐλογίου. — **Db** : 1. — Πουπλίωνος. — Εὐλογίου. — **K** : 1. — **N** : 1. — Πουπλίωνος. — Εὐλογίου. — **Bb** : Σωσιπάτρου καὶ Ἰάσωνος (April. 28[1]). — Κερκύρας (April. 28[1]). — Σατορνίνου κτλ. (April. 28[1]). — **Bc** : Σωσιπάτρου καὶ Ἰάσωνος. — Κερκύρας. — Σατορνίνου κτλ. — **C** : Πουπλίωνος. — Εὐλογίου. — Ἰάσωνος ἐπισκόπου Ταρσοῦ καὶ Σωσιπάτρου. — 1 (in marg. manu rec.). — **Ce** : Ποπλίωνος. — Εὐλογίου. — Ἰάσωνος καὶ Σωσιπάτρου. — **Cg** : Πουπλίωνος. — Εὐλογίου. — Ἰάσωνος καὶ Σωσιπάτρου. — **R** : 1. — **Ra** : 1. — Ζωσιμᾶ. — Πουπλίωνος. — Εὐλογίου. — Βιταλίου, Ζήνωνος, Εὐσεβίου, Νέωνος καὶ Νεστάβου (April. 24[4]). — Σίμωνος τοῦ Κανανίτου ἑνὸς τῶν ιβ΄ (Mai 10[1]). — Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως. — Κλήμεντος τοῦ ποιητοῦ καὶ ὑμνογράφου τῶν κανόνων (Mai 27[3]). — **Rb**: 1. — Ζωσιμᾶ τοῦ εὐλαβοῦς μοναχοῦ. — Πουπλίωνος. — Εὐλογίου. — **Rc**: 1. — Ζωσιμᾶ. — Πουπλίωνος. — **Mc** : 1. — Ἰωάννου ἡγουμένου τῆς τῶν Καθαρῶν. Οὗτος ὁ μακάριος Ἰωάννης γεννᾶται εἰς Εἰρηνόπολιν, μίαν οὖσαν τῆς Δεκαπόλεως, παρὰ χριστιανῶν καὶ θεοφιλῶν γονέων Θεοδώρου καὶ Γρηγορίας. Ἐνναετὴς δὲ γενόμενος, ζήλῳ θείῳ κινηθεὶς ἀπῆλθεν εἰς κοινόβιον· καὶ μοναχὸς γενόμενος καὶ σπουδαῖος ἄγαν ἀναφανεὶς καὶ ταπεινὸς καὶ ὑπήκοος, ἠγαπήθη παρὰ τοῦ διδασκάλου αὐτοῦ. Καὶ ἀπελθὼν σὺν αὐτῷ ἐν τῇ δευτέρᾳ συνόδῳ τῇ ἐν Νικαίᾳ, εἶτα ἐν Κωνσταντινουπόλει, ἐπεὶ ὁ τούτου καθηγητὴς γέγονεν ἀρχιμανδρίτης Δαλμάτου, ἀποκαθίσταται καὶ οὗτος εἰς ἱερέα· ἐκεῖθεν δὲ ἀποστέλλεται ὑπὸ Νικηφόρου τοῦ βασιλέως ἡγούμενος ἐν τῇ μονῇ τῶν Καθαρῶν. Καὶ ἀποστολικῶς τὴν τοῦ Χριστοῦ ποίμνην ἐπὶ χρόνους δέκα καὶ μικρόν τι πλέον διακυβερνήσας, πειρασμοῦ παγκοσμίου μελετωμένου ὑπὸ τοῦ τῆς εἰρήνης ἐχθροῦ, ἀπεκαλύφθη περὶ τούτου τῷ μακαρίῳ· καὶ ἐπισυλλέξας πᾶσαν τὴν ἀδελφότητα ἐνουθέτησε καὶ τὰ εἰκότα παρῄνεσεν. Εἶτα πρὸς αὐτοὺς ἔφη· « Γρηγορεῖτε, πατέρες καὶ ἀδελφοί, ἵνα μὴ συληθῆτε ὑπὸ τοῦ διαβόλου καὶ » ἀρνήσθε προσκυνεῖν τὰς θείας εἰκόνας. » Καὶ ὡς ταῦτα ἔλεγεν, ἐλθόντες τινὲς ἀπηγριωμένοι τοῦ εἰκονομάχου Λέοντος ὑπηρέται, πᾶσαν τὴν ποίμνην διεσκόρπισαν καὶ τὰ ἐν αὐτῇ ἁρπάσαντες διενείμαντο καὶ τὸν ποιμένα σιδηροδέσμιον λαβόντες πρὸς τὸ Βυζάντιον εἷλκον. Ὅθεν καὶ ἐλθὼν πρὸς τὸν βασιλέα ὁ ἅγιος, καὶ ἀλιτήριον καὶ ἄθεον αὐτὸν καὶ ἄθλιον ἀποκαλέσας καὶ ἄλλα πλείω, ὅσα γε αὐτὸν ἀκοῦσαι ἐχρῆν, ἀνενδοιάστως, κατονομάσας καὶ τῇ παρρησίᾳ τῶν ῥημάτων καταβροντήσας, πρὸς ὀργὴν διεγείρει· καὶ γοῦν τὰς ὄψεις τοῦ μακαρίου σφοδρῶς τοῖς βουνεύροις ἔτυψεν. Ὁ δὲ ταῦτα πάσχων διὰ τὸν Χριστὸν ἔχαιρεν· εἶτα φυλακισθεὶς ἐν τῷ μετοχίῳ αὐτοῦ μῆνας τρεῖς, ἐξορίζεται εἰς φρούριόν τι

μένους[7] πρὸς φῶς[8] καθοδηγήσας καὶ πολυώδυνα καὶ ποικίλα κολαστήρια ὑπομείνας διὰ τὴν εὐσέβειαν[9], σταυρῷ προσεπάγη ἐτῶν ἤδη γεγονὼς ἑκατὸν[10] εἴκοσι, κἀκεῖθεν[11] εἰς[12] οὐρανοὺς πρὸς τὸν ποθούμενον αὐτῷ σωτῆρα ἐπανῆλθε[13]. Οὗτος δὲ[14] ὁ μακάριος[15] διπλῆν τὴν κλῆσιν ἐπλούτησε. Σίμων γὰρ καὶ Συμεὼν ἐκαλεῖτο, καὶ ἀδελφὸς Ἰακώβου καὶ αὐτοῦ[16] τοῦ Χριστοῦ ἐχρημάτισε. April. 27.

f. 203v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ΄.

April. 28. **1.** Ἄθλησις τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα[1] Ἰάσωνος καὶ Σωσιπάτρου. Ὧν[2] ὁ μὲν Ἰάσων Ταρσεὺς ἦν, ὃς καὶ πρώτως ζωγρεῖται πρὸς[3] εὐσέβειαν· Σωσίπατρος δὲ ἐξ Ἀχαΐας ὁρμώμενος, μετὰ ταῦτα τὴν εἰς Χριστὸν πίστιν ἐδέξατο, ἀμφότεροι[4] μαθηταὶ χρηματίσαντες Παύλου τοῦ ἀποστόλου. Καὶ[5] ὁ μὲν Ἰάσων τῆς οἰκείας[6] πόλεως διδάσκαλος καθίσταται, ὁ δὲ Σωσίπατρος τῆς Ἰκονιέων ἐκκλησίας τοὺς οἴακας δέχεται· οἵτινες τὰς ἐκκλησίας αὐτῶν[7] ποιμάναντες καὶ[5] πληθύναντες[5], τὴν ἑσπέραν καταλαμβάνουσι καὶ τῇ Κερκυραίων[8] ἐπιδημήσαντες νήσῳ ναὸν περικαλλῆ ἀνεγείρουσι Στεφάνῳ τῷ πρωτομάρτυρι· ἔνθα τῷ Θεῷ λειτουργοῦντες πολλοὺς πρὸς τὴν εἰς[9] Χριστὸν πίστιν ἐπεσπάσαντο. Διαβληθέντες δὲ Κερκυλίνῳ τῷ βασιλεῖ[10], φρουρᾷ ἐγκλείονται, ἐν ᾗ ἑπτὰ λῃσταρχοι ὑπῆρχον[11] ἐγκεκλεισμένοι, ὧν αἱ προσηγορίαι Σατορνῖνος[12], Ἰακίσχολος, Φαυστιανιανός, Ἰανουάριος, Μαρσάλιος, Εὐφράσιος καὶ Μάμιος[13]· οὓς δι᾽ ὧν εἶπον καὶ πεποίηκαν πρὸς τὴν εἰς Χριστὸν μετενέγκαντες πίστιν[14] πρόβατα ἀντὶ λύκων εἰργάσαντο. Οἳ καὶ μετὰ ταῦτα ἐν λέβησι μεμεστωμένοις πίσσης καὶ θείου καὶ κηροῦ βληθέντες, τῆς μαρτυρίας τοὺς στεφάνους παρὰ Χριστοῦ ἐκομίσαντο. Καὶ ὁ δεσμοφύλαξ δὲ πιστεύσας ὡσαύτως εἰς Χριστόν[15], τὴν εὐώνυμον χεῖρα καὶ τοὺς δύο πόδας ἐκκοπεὶς τέμνεται καὶ τὸν αὐχένα, τὸ τοῦ Χριστοῦ ἐπικαλούμενος ὄνομα. Τοὺς δὲ

— [7] πεπλανημένους Mc. — [8] τὸ φ. τῆς ἀληθείας *add.* Mc. — [9] ὑπὲρ τῆς εὐσεβείας ὕστερον Mc. — [10] πρὸς τοῖς *add.* Mc. — [11] δι᾽ οὗ Mc. — [12] πρὸς Mc. — [13] ἀνελήλυθεν Mc. — [14] οὖν Mc. — [15] ἅγιος Mc. — [16] *om.* Mc.

1. — [1] ἐκ τῶν ο΄ *om.* Mc. — [2] τούτων Mc. — [3] τὴν *add.* Mc. — [4] δὲ *add.* Mc. — [5] *om.* Mc. — [6] ἰδίας Mc. — [7] ἀποστολικῶς καὶ θεαρέστως *add.* Mc. — [8] Κυρηναίων Mc. — [9] εἰς τὴν πρὸς Mc. — [10] ἐν *add.* Mc. — [11] ὑπ. ἑπτὰ λ. Mc. — [12] Σατωρνῖνος S. — [13] Φαυστιανὸς ... Μάμμινος Mc. — [14] (πεποίηκαν - πίστιν) πεποιήκασι πρὸς τὴν εὐσέβειαν μετηγάγοντο καὶ πρόβατα Mc. — [15] (μετὰ - Χριστὸν) ἐμβληθέντες λέβησι πεπληρωμένοις π. κ. θ. κ. κ. τοὺς τῆς μαρτυρίας στεφάνους ἐκομίσαντο· ἀλλὰ καὶ ὁ δεσμοφύλαξ πιστεύσας εἰς Χ. Mc.

April. 27. λεγόμενον Πενταδάκτυλον ἐν τῇ χώρᾳ τῆς Κάμπης. Καὶ τοὺς πόδας αὐτοῦ ἁλύσεσι σιδηραῖς πεδήσαντες, ἐπὶ μησὶν ὀκτωκαίδεκα σκοτεινῇ φυλακῇ ἐναπέθεντο τοῦτον φυλάσσοντες. Εἶτα πάλιν εἰσαχθεὶς ἐν τῇ πόλει παρέστη τῷ τυράννῳ γυμνὸς εἰς θρίαμβον· καὶ μετὰ πολλοὺς τοὺς λόγους παρεδόθη τῷ τότε ἀναξίως πατριαρχοῦντι Ἰωάννῃ· ὃς καὶ πάνδεινα κακὰ ἐνδειξάμενος εἰς αὐτὸν ἐπὶ πολὺν χρόνον λιμαγχονήσας, ἀνήγαγεν αὐτὸν πρὸς τὸν βασιλέα. Ὁ δὲ εἰς τὸν Κριόταυρον κάστρον τῶν Βουκελλαρίων ἐν δυσὶ χρόνοις στενοτάτῃ τινὶ καὶ ζοφερᾷ ὀπῇ κατακλείσας, ἐταρίχευεν ὑποπιέζων τρόπῳ παντί. Τοῦ δὲ ἁγίου πάντα εὐχαρίστως φέροντος, οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἐσφάγη ὁ ἀλιτήριος βασιλεύς· καὶ κρατήσας Μιχαὴλ ἀντ᾽ αὐτοῦ τοὺς ἐν ἐξορίᾳ ἀνεκαλεῖτο. Καὶ ἀφίκετο ὁ ἅγιος μέχρι τῆς Χαλκηδόνος μὴ συγχωρηθεὶς ἐν τῇ πόλει εἰσελθεῖν. Βασιλεύσαντος δὲ Θεοφίλου, ἠθέλησε προσκαθίσαι ἐν ναῷ τινι μεθ᾽ ἑτέρων πατέρων· εἶτα κρατηθεὶς σὺν τοῖς ἄλλοις παρὰ τοῦ τότε πατριαρχεύοντος καὶ πλεῖστα χαλεπὰ πεπονθὼς ἐξορίζεται ἐν τῇ νήσῳ τῆς Ἀφουσίας· καὶ πληρώσας χρόνους δύο καὶ ἥμισυ, εἶδέ τινα ὀπτασίαν, καὶ ἀπαγγείλας τοῖς σὺν αὐτῷ τὴν μετάθεσιν αὐτοῦ, μετὰ τρεῖς ἡμέρας ἀπῆλθε πρὸς Κύριον.— Ἀριστάρχου, Μάρκου καὶ Ζήνωνος. Ὁ θεῖος οὗτος Ἀρίσταρχος ἐκ τῶν ἑβδομήκοντά ἐστιν, οὗ μέμνηται Παῦλος πρὸς Ῥωμαίους ἐπιστέλλων. Ἐπίσκοπος δὲ γέγονεν Ἀπαμείας τῆς ἐν Συρίᾳ ὑπὸ τῶν πρωτοθρόνων, αὐτὸς πρώτως ὑπὸ τῶν Χριστὸν Θεὸν ἐκεῖσε κηρύξας. Μάρκος δὲ οὗτός ἐστιν, ὃν Ἰωάννην ἔλεγον ἐν συνηθείᾳ, οὗ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι μέμνηται. Ὃς δὴ καὶ αὐτὸς ὑπὸ τῶν ἁγίων ἀποστόλων ἐχειροτονήθη ἐπίσκοπος ἐν Βιβλοπόλει. Ζήνων δέ ἐστιν, ὃν ἐν τῇ πρὸς Ῥωμαίους ὁ ἀπόστολος Παῦλος νομικὸν γράφει· καὶ ἐπίσκοπος πρῶτος ἐν Διοσπόλει γεγονὼς ὑπὸ τοῦ Πέτρου, ἐδίδασκε κηρύττων τὸν Χριστόν. Οὗτοι οὖν πολλὰς κακώσεις ὑπομείναντες ἔν τε οἰκοδομαῖς ἐκκλησιῶν, εἰδώλων καθαιρέσεσι, θαυμάτων τε οὐκ ὀλίγων καὶ ἰάσεων αὐτουργοὶ γεγονότες πρὸς Κύριον ἐξεδήμησαν. — Ποπλίων. — Εὐλόγιος. — Λολλίων ὁ νέος κατὰ γῆς συρόμενος τ. — **Mv** : 1. — Ἰωάννου. — Ἀριστάρχου κτλ. — Πουπλίωνος. — Εὐλογίου. — Ἀωλίωνος. — **Mr** : 1.

April. 28. SYNAXARIA SELECTA. **H** : 2. — Βιταλίου, Εὐσεβίου, Νέωνος, Νεστάβου (April. 24[4]). — Σίμωνος τοῦ Κανανίτου (Mai 10[1]). — Εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου Βασιλέως ἐπισκόπου Ἀμασείας. — Κλήμεντος τοῦ ποιητοῦ (Mai 27[3]). — **P** : 2. — Βιταλίου κτλ. — Σίμωνος. — Εὕρεσις τοῦ λειψάνου κτλ. — Κλήμεντος. — **D** : 1. 2. — Βιταλίου κτλ. — Σίμωνος. — Εὕρεσις τῶν λειψάνων κτλ. — Κλήμεντος. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 2. — Ζήνωνος κτλ. — Μέμνονος τοῦ θαυματουργοῦ (April. 29[1]). — **Bc** : 2. — Ζήνωνος καὶ τῆς συνοδίας αὐτοῦ. Ζήνων, ὁ τοῦ Χριστοῦ μάρτυς, ἅμα τοῖς ἁγίοις Εὐσεβίῳ[1], Νέωνι καὶ Βιταλίῳ ὑπῆρχον μὲν ἐκ τῆς νήσου Κερκύρας· κατηχισθέντες δὲ ὑπὸ τῶν ἁγίων ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου, ἐπίστευσαν τῷ Χριστῷ· καὶ διαβληθέντες Κερκυλίνῳ τῷ τῆς νήσου βασιλεῖ, ἐκρατήθησαν· καὶ δεθέντες ὑπὸ τῶν εἰδωλολατρῶν ἁλύσεσι βαρείαις, παρέστησαν ἐνώπιον αὐτοῦ. Καὶ ἐρωτηθέντες καὶ ὁμολογήσαντες τὸν Χριστόν, γυμνωθέντες τῶν ἱματίων αὐτῶν,

[1] Εὐσεβείῳ Bc.

April. 28. ἁγίους Ἰάσωνα καὶ Σωσίπατρον τῆς φυλακῆς ὁ[16] βασιλεὺς[16] ἐξαγαγών, Καρπιανῷ τῷ ἐπάρχῳ τιμωρεῖσθαι ἐκδίδωσιν. Ὃς[17] τούτους ἐρωτήσας, τῇ εἱρκτῇ δεσμεύσας παρέπεμψε. Ἰδοῦσα δὲ αὐτοὺς οὕτω[18] δεδεμένους Κέρκυρα[19], ἡ τοῦ βασιλέως θυγάτηρ καὶ μαθοῦσα, ὅτι διὰ τὸν Χριστὸν ταῦτα πάσχουσι, καὶ αὐτὴ χριστιανὴν ἑαυτὴν ἀνηγόρευσεν καὶ τὸν κόσμον ὃν ἐφόρει περιελομένη[20] πένησιν αὐτίκα διένειμεν. Τοῦτο μαθὼν ὁ πατὴρ αὐτῆς, ἐπεὶ μὴ δυνηθείη[21] ταύτην τοῦ σκοποῦ μεταθεῖναι[22], εἱρκτῇ κατακλείει καὶ Αἰθίοπί τινι ἀσώτῳ εἰς διαφθορὰν ἐκδίδωσιν. Ὁ δὲ ὡς μόνον τῇ θύρᾳ τῆς φυλακῆς προσήγγισεν, ὑπὸ θηρίου διασπαράττεται[23], ἡ δὲ τοῦτο αἰσθομένη, ἰᾶται[24] τοῦτον καὶ τοῦ θηρὸς λυτροῦται, καὶ δι' ὧν πρὸς αὐτὸν διεξῄει[25], τῷ Χριστῷ στρατεύσασα, χριστιανὸν ἀπειργάσατο. Καὶ « Μέγας ὁ Θεὸς τῶν χριστια» νῶν » τρανῶς ὁ Αἰθίοψ ἀνεβόησε, καὶ αὐτίκα δεινῶς ὑπὸ τοῦ τυράννου[26] τιμωρηθεὶς τοῦ βίου μεθίσταται[27]· περὶ δὲ[16] τὴν φρουρὰν ξύλα ἐνέγκαντες[28] οἱ στρατιῶται ὑφῆψαν τῇ μάρτυρι, κατακαῦσαι ταύτην πειρώμενοι. Τούτου δὲ[29] γενομένου, | f. 204. ἄφλεκτος διαμείνασα ἡ ἁγία, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐξεκαλέσατο[30] πίστιν· διὰ τοῦτο ξύλῳ ἀναρτᾶται καὶ καπνῷ πνιγηρῷ ὑποβάλλεται καὶ βέλεσι κατατιτρώσκεται ἐπὶ τοσοῦτον, ἕως τὸ πνεῦμα αὐτῆς τῷ Θεῷ παρέθετο. Μετὰ ταῦτα διωγμὸν κατὰ τῶν πιστευσάντων Χριστῷ κινήσας ὁ βασιλεύς, κἀκείνων ἐν[31] τῷ παρακειμένῳ νησιδίῳ διαφυγόντων, αὐτὸς τιμωρησόμενος[32] τούτους ἀπέπλεε. Καὶ δὴ μέσον τοῦ πελάγους γενόμενος, ὡς ὁ πάλαι Φαραὼ τῇ θαλάσσῃ κατεποντίσθη· καὶ ὁ μὲν τοῦ Κυρίου λαὸς εὐχαριστηρίους ὕμνους τῷ σεσωκότι Θεῷ προσῆγεν[33], Ἰάσων δὲ καὶ Σωσίπατρος τῆς φυλακῆς ἀπολυθέντες ἐδίδασκον ἀκωλύτως τὸν λόγον τοῦ Θεοῦ. Ἐπεὶ δὲ ἀνέστη βασιλεὺς ἕτερος[34] καὶ τὰ περὶ τῶν ἁγίων ἔμαθε[35], κελεύει ἐνεχθῆναι[36] βούτην σιδηρᾶν καὶ βληθῆναι πίσσαν ἐν αὐτῇ καὶ ῥητίνην καὶ κηρόν, καὶ ἐκπυρωθῆναι σφοδρῶς καὶ τοὺς ἁγίους ἐν αὐτῇ ἐμβληθῆναι. Τούτου δὲ[37] γενομένου καὶ τῶν ἁγίων ἀφλέκτων διαφυλαχθέντων[38], πολλοὶ τῶν ἀπίστων οἱ μὲν κατεφλέχθησαν, οἱ δὲ τῷ Χριστῷ ἐπίστευσαν. Ὁ δὲ βασιλεὺς λίθον τοῦ ἰδίου ἐξαρτήσας τραχήλου ἐθρήνει· « Ὁ Θεός, λέγων, Ἰάσωνος καὶ Σωσι» πάτρου, ἐλέησόν με τὸν ἁμαρτωλόν[39]. » Τότε ὁ μακάριος Ἰάσων ἀθροίσας πάντας τοὺς πιστεύσαντας[40] καὶ διδάξας τὸν λόγον τῆς ἀληθείας, παρόντος καὶ τοῦ βασιλέως, καὶ κατηχήσας αὐτὸν ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἐπονομάσας τὸν βασιλέα[41] Σεβαστιανόν. Οὐ μετὰ πολλὰς δὲ ἡμέρας ὁ υἱὸς τοῦ βασιλέως νόσῳ περιπεσὼν ἐτελεύτησεν. Ὁ δὲ ἀπόστολος προσευξάμενος ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Πολλὰ οὖν ἔκτοτε[42] λόγου καὶ μνήμης ἄξια κατεργασάμενος[43] θαύματα καὶ ναοὺς ἀνεγείρας[44] ἅμα τῷ βασιλεῖ περικαλλεῖς καὶ πάντα καλῶς καὶ ὁσίως τελέσας[45] καὶ το τοῦ Χριστοῦ ποίμνιον[46] ἐπαυξήσας, ἐν γήρει πίονι καταλύει τὸν βίον καὶ πρὸς τὸν ποθούμενον[47] διαβαίνει.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Δάδα καὶ Κυντιλλιανοῦ. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Μαξιμιανοῦ καὶ Μαξιμίνου καὶ Γαβινίου[1] καὶ Ταρκυΐνου τῶν ὑπάτων· ὥρμηντο δὲ ἐκ πόλεως Δοροστόλου[2] τῆς δευτέρας Μυσίας. Τούτων δὲ ὁ ἅγιος Μάξιμος ἀναγνώστης ἦν τῆς καθολικῆς ἐκκλησίας, καλῶς τὰς θείας ἐξησκημένος γραφὰς[3] καὶ διδασκαλίαις τοὺς σὺν[4] αὐτῷ ἁγίους νουθετῶν καὶ πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπιβεβαιῶν | f. 204v. καὶ στηρίζων· διά τοι τοῦτο[5] καὶ πρὸς τοὺς ὑπάτους διαβληθεὶς ἤχθη[6] μετὰ Δάδα καὶ Κυντιλλιανοῦ εἰς ἐξέτασιν. Μεθ'[5] ὧν τὸ ἀνένδοτον[7] τῆς γνώμης ἐπιδειξάμενος, καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσας[8], πρῶτον μὲν ἐν τῇ φυλακῇ μετὰ τῶν συνάθλων ἐμβάλλεται[9], ἔνθα ὑπὸ θείου ἀγγέλου ἐνεπλήσθησαν θάρσους. Ἔπειτα[10] ἀχθέντες σφοδραῖς κατεξάνθησαν μάστιξι, γυμνοὶ κατὰ τῆς γῆς ἐκταθέντες καὶ οὕτως

— [16] *om.* Mc. — [17] οὓς S. — [18] οὕτως Mc. — [19] Κερκύρα Mc. — [20] (ταῦτα - περιελομένη) πάσχουσι ταῦτα χριστιανὴ καὶ αὐτὴ ἑαυτὴν ἀνηγόρευσε· καὶ ὃν ἐφ. κ. περιελοῦσα Mc. — [21] δυνηθεὶς S, ἠδυνήθη Mc. — [22] ἐν *add.* Mc. — [23] διασπαρέττεται S. — [24] ἰάσατο Mc. — [25] ἐλυτρώσατο καὶ δι' ὧν ἐδίδαξε τοῦτον Mc. — [26] (καὶ μέγας - τυράννου) ὃς ὑπὸ τοῦ τ. δ. αὐτίκα Mc. — [27] εἶτα *add.* Mc. — [28] ἐνεγκόντες Mc. — [29] καὶ τούτου Mc. — [30] ἐπεσπάσατο Mc. — [31] (τῶν - ἐν) τῶν χριστιανῶν τοῦ βασιλέως κινήσαντος κἀκείνων ἔν τινι Mc. — [32] ἐκεῖσε *add.* Mc. — [33] σώζοντι προσῆγον Θ. Mc. — [34] ἕτερος β. Mc. — [35] κατὰ τοὺς ἁγίους ἤκουε Mc. — [36] ἀχθῆναι Mc. — [37] βληθῆναι ἐν αὐτῇ τοὺς ἁγ. οὗ Mc. — [38] φυλαχθέντων ἀφ. Mc. — [39] τ. ἁ. *om.* Mc. — [40] πιστεύοντας Mc. — [41] τοῦτον Mc. — [42] ἀλλὰ καὶ ἔκτοτε πολλὰ Mc. — [43] κατειργασάμενος Mc. — [44] ἀναγείρας Mc. — [45] (πάντα - τελέσας) πᾶσι πάντα κοσμήσας Mc. — [46] ὄνομα Mc. — [47] π. τ. β. ἀπολιπὼν πρὸς τὸν π. Θεὸν Mc.

2. — [1] Γαβηνίου D. — [2] *om.* D, Ῥοδοστόλου S. — [3] ἐξησκημμένος γρ. S, καὶ τοῖς ἐντυγχάνουσι πάντας ὑπανοίγων καὶ ἐξαπλῶν *add.* D. — [4] D, ἐν S. — [5] *om.* D. — [6] πρὸς αὐτοὺς *add.* D. — [7] ἀμετάτρεπτον D. — [8] (τῆς - ὁμολογήσας) ἐφ' οἷς εἶπεν ἐπιδειξάμενος καὶ στερρῶς λόγου δυνάμει τῆς πλάνης καταδραμὼν καὶ τὸν Χριστὸν Θεὸν εἶναι δημιουργὸν πάντων ὁμολογήσας συμφρονούντων αὐτῷ καὶ συνεπαινούντων τῶν ἁγίων τὰ παρ' αὐτοῦ λεγόμενα D. — [9] (μετὰ - ἐμβάλλεται) ἐβλήθησαν D. — [10] δὲ *add.* D.

April. 28. καὶ ἐπὶ τὴν γῆν ἁπλωθέντες, καὶ δεθέντες χεῖρας καὶ πόδας σχοινίοις, ἐτύφθησαν ῥάβδοις. Ἐπὶ πολλαῖς τε ὥραις καταναγκασθέντες ἀρνήσασθαι μὲν τὸν Χριστὸν θῦσαι δὲ τοῖς εἰδώλοις, μὴ πεισθέντες δὲ μηδὲ μέχρι λόγου θῦσαι τοῖς δαίμοσιν, ἀπεκλείσθησαν εἰς φυλακὴν ὡσεὶ νεκροί. Καὶ μετὰ ταῦτα καμίνου μεγάλης ἀναφθείσης, τῆς φυλακῆς ἐκβληθέντες καὶ ἐν αὐτῇ ἐμβληθέντες, ἐτελειώθησαν (cf. April. 24⁴). — Μέμνονος. — **C** : 2. 1 (in marg. : Ζήτει τοῦ ἀποστόλου Ἰάσωνος ὄπισθεν φύλλ. α'). — Σίμωνος τοῦ Κανανίτου, ὃς ἐπεκλήθη Ἰούδας ὁ τοῦ Κλωπᾶ. — Εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως ἐπισκόπου Ἀμασείας. — Κλήμεντος τοῦ ποιητοῦ. — **Ce** : 2. — Σίμωνος. — Εὕρεσις κτλ. — Κλήμεντος. — **Cg** : 2. — Σίμωνος. — Εὕρεσις ... Βασιλείου. — Κλήμεντος. — **R** : 1. — Σίμωνος. — 2. 5. — Κλήμεντος. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Οἱ διὰ τοῦ ἁγίου Ἰάσωνος πιστεύσαντες τῷ Χριστῷ ἑπτὰ λῃσταὶ ἐν λέβητι πίσσης βληθέντες τ. — Κερκύρα, ἡ τοῦ βασιλέως θυγάτηρ, βέλεσι τρωθεῖσα τ. — Εὐσέβιος π. τ. — Ζήνων καὶ Βιτάλιος. — Νέων π. τ. — Εὐόδου καὶ

τοὺς αὐχένας ἐτμήθησαν, προστάξει τῶν ὑπάτων ἀπενεχθέντες ἐν τῷ αὐτῶν κτήματι οὕτω λεγομένῳ Ὀζοβίᾳ, ἔνθα διάγοντες συνελήφθησαν. Τὴν μέντοι τοῦ ἁγίου Μαξίμου κεφαλὴν πρὸ τῆς τελειώσεως σιδηρῷ στεφάνῳ διαλαβόντες, ἥλους ὀξεῖς ἔχοντι, κατὰ τὴν τῶν ὑπάτων πρόσταξιν· « Ὅτι » δή, φασίν, πολλὰ κατὰ τῶν θεῶν ἐβλασφή» μησεν », οὕτως ἀπέτεμον. Ἐπανήχθησαν δὲ τὰ τίμια[11] λείψανα αὐτῶν ἐν Κωνσταντινουπόλει καὶ κατετέθησαν[12] ἐν τῷ ναῷ τῆς ὑπεραγίας[13] Θεοτόκου ἐν τοῖς Βιγλεντίου, ἐν[14] ᾗ καὶ ἡ σύναξις αὐτῶν τελεῖται. April. 28.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πουπλίωνος.

4. Καὶ μνήμη Εὐλογίου τοῦ ξενοδόχου, ἐν τῷ ἁγίῳ Μωκίῳ.

5. Καὶ τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης τῆς ἀρχαίας καὶ νέας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μέμνονος τοῦ θαυματουργοῦ. Οὗτος[1] ἐξ ἁπαλῶν ὀνύχων τῷ Θεῷ ἑαυτὸν ἀνέθηκε, δοχεῖον καθαρὸν τοῦ ἁγίου γενόμενος Πνεύματος[2]. Ὑποτάξας γὰρ τὴν σάρκα τῷ πνεύματι καὶ ἄρξας παθῶν σαρκικῶν καὶ σκληραγωγίᾳ βιαίᾳ καὶ ἐπιπόνῳ κατατήξας ἑαυτόν[3], ἐγένετο καὶ μοναστῶν ἀρχηγός. Καὶ βίον ἀγγελικὸν βιώσας, τὴν τῶν θαυμάτων χάριν ἐπλούτησε τοῦ θεραπεύειν πάθη[4] ἀνίατα. Ὅθεν καὶ ῥείθροις δακρύων τὴν ψυχὴν ἀποσμήξας, ὕδατα ἐν αὐχμηρῷ[5] τόπῳ βλύσαι παρεσκεύασεν· καὶ βυθῷ θαλάσσης μόνον ἐπιφανεὶς πλωτῆρας χειμαζομένους πολλάκις διεσώσατο[6], ἀλλὰ καὶ ἀκρὶς μόνῃ αὐτοῦ ἐπικλήσει φυγαδεύεται. Ἐν τούτοις καλῶς βιώσας πρὸς Κύριον ἐξεδήμησεν. April. 29.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἐννέα τοῦ Χριστοῦ μαρτύρων τῶν ἐν Κυζίκῳ, Θεόγνιδος[1], Ῥούφου, Ἀντιπάτρου, Θεοστίχου[2], Ἀρτεμᾶ, Μάγνου, Θεοδότου, Θαυμασίου καὶ Φιλήμονος[3]. Οὗτοι οἱ θειότατοι μάρτυρες ἐκ διαφόρων χωρῶν ἀθροισθέντες καὶ ἐν Κυζίκῳ καταχθέντες καὶ ἐρωτηθέντες, γνώμης ἀνδρειότητι τὸν ἄρχοντα κατῄσχυναν[4] καὶ τῆς τῶν εἰδώλων πλάνης[5] κατέπτυσαν. Καὶ ποικίλαις μηχαναῖς | f. 205. αἰκισμῶν ὑποβληθέντες, οὐκ ἐπέθυσαν ἀλλὰ καὶ μᾶλλον ζῶσαν θυσίαν ἑαυτοὺς τῷ ζῶντι Θεῷ ἀνέθηκαν, διὰ ξίφους τὰς κεφαλὰς ἀφαιρεθέντες· διὸ καὶ ἰατρεῖον ἄμισθον παθῶν ἀνιάτων ἐδείχθησαν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ[1] μαρτύρων Διοδώρου καὶ Ῥοδοπιανοῦ διακόνου, μαρτυρησάντων ἐν Ἀφροδισίᾳ[2] τῆς Καρίας. Οὗτοι κατὰ τοὺς καιροὺς ὑπῆρχον Διοκλητιανοῦ τοῦ βασιλέως· καὶ διὰ τὴν εἰς Χριστὸν πίστιν ὑπὸ τῶν ἰδίων πολιτῶν[3] καὶ συμφυλετῶν ὕβρεις πολλὰς καὶ αἰκίας ὑπομείναντες καὶ μάστι-

— [11] *om.* D. — [12] ἀπετέθησαν D. — [13] παναγίας D. — [14] ἐν κτλ. *om.* D.

1. — [1] ὃς D. — [2] καθαρὸν τ. ἁ. Π. γ. D. — [3] *om.* D. — [4] ἐπλούτησε χ. τ. πάθη ἀνίατα θ. D. — [5] τινι *add.* D. — [6] βυθοῦ θ. πλωτῆρας χ. φανεὶς π. διέσωσεν D.

2. — [1] Θεόγνι D. — [2] Mc, Θεοστύχου D, Θεοστοίχου S. — [3] *hic des.* Mc. — [4] καταγέλασεν D. — [5] τὴν τῶν ἑλλήνων πλάνην D.

3. — [1] τ. Χ. *om.* D. — [2] Ἀφροδησίᾳ D. — [3] συμπολιτῶν D.

Ὀνησιφόρου. Οὗτοι ἐκ τῶν ἑβδομήκοντά εἰσιν, ὧν καὶ Παῦλος ὁ ἀπόστολος ἐν ταῖς ἐπιστολαῖς μέμνηται. Καὶ ὁ μὲν Ὀνησιφόρος ἐπίσκοπος γέγονε Κολοφῶνος, ὁ δὲ Εὔοδος ὑπὸ τοῦ Πέτρου εἰς Ἀντιόχειαν ἐνθρονίζεται. Ἀμφότεροι δὲ πειρασμοῖς οὐκ ὀλίγοις περιπεσόντες καὶ πρὸς τὴν εἰς Χριστὸν πίστιν πολλοὺς ἐπιστρέψαντες, καὶ αὐτοὶ πρὸς τὸν ποθούμενον Κύριον ἔδραμον. — **Mv** : Μέμνωνος τοῦ θαυματουργοῦ. — Τῶν ἁγίων ἐννέα μαρτύρων (April. 29²). — Διήγησις περὶ τοῦ γενομένου θαύματος ἐν Ἀφρικῇ ἐν τῇ πόλει Καρταγένῃ. — Πατρικίου ἐπισκόπου Προύσης, καὶ περὶ κρίσεως. — **Mr** : 1. April. 28.

April. 29. SYNAXARIA SELECTA. **H** : 3. 9. 2. — **P** : 3. — **D** : 1. 2. 3. — **Da** : 1. 2. 3. 8. 9 (Κυντιανοῦ καὶ Τατίκου). — **Db** : 1. 2. 3. 8. 9. — **K** : 1. 2. 3. 8. 9. — **N** : 1. 2. 3. 8. 9 (... καὶ Τατίκου). — **Bb** : Σίμωνος. — 2. 8. 9 (Κυντιανοῦ). — 3. — **Bc** : Σίμωνος. — 2. — **C** : 3. 1. 9 (Κυντινιανοῦ καὶ Ἀττικοῦ). — 2. — **Ce** : 3 (... Δωροπιανοῦ). — 1. 9. — **Cg** : 3. 1. 9. — **R** : 1. 2. — **Ra** : deest. — **Rb** : 2. 3. 9 (Κυντινιανοῦ καὶ Ταττίκου). — **Rc** : 2. — **Mc** : 1. 2. — Διήγησις περὶ τοῦ γενομένου θαύματος ἐν Ἀφρικῇ πόλει Καρταγένῃ. Ἐν τοῖς χρόνοις Ἡρακλείου τοῦ βασιλέως καὶ Νικήτα πατρικίου θαῦμα γέγονε τοιοῦτον ἐν Ἀφρικῇ. Ταξεώτης τις ἦν ἐν πόλει Καρταγένῃ· φθορᾶς δὲ θανασίμου ἐνσκηψάσης τῇ πόλει, ἀπῄει ἐν τῷ ἰδίῳ προαστείῳ μετὰ τῆς γυναικὸς αὐτοῦ, ὡς δῆθεν φεύγων τὸν θάνατον. Ἀλλ' ὁ διάβολος ῥίψας αὐτὸν εἰς ἁμαρτίαν, παρεσκεύασε μοιχεῦσαι τὴν γυναῖκα τοῦ γεωργοῦ αὐτοῦ· εἶτα κρουσθεὶς ἐπὶ τοῦ βουβῶνος, ἐτελεύτησε. Καὶ μετὰ τρεῖς ὥρας ἤρξατο κράζειν ἐκ τοῦ τάφου· « Ἐλεήσατέ με. » Καὶ ἀνοίξαντες εὗρον αὐτὸν ζῶντα καὶ οὐκ ἠδύνατο λαλῆσαι. Θαλάσσιος δὲ ὁ πάπας Ἀφρικῆς παρεμυθήσατο αὐτόν, καὶ μετὰ τέσσαρας ἡμέρας διηγήσατο οὕτως ὅτι· « Ἐν τῷ μέλλειν τὴν ψυχήν μου ἐξελθεῖν, » ἑώρων Αἰθίοπάς τινας φοβεροὺς ἐπανισταμένους μοι· καὶ μετὰ ταῦτα εἶδον νεανίσκους δύο ὡραίους » ἐλθόντας· ἐφ' οἷς ἐχάρη ἡ ψυχή μου. Καὶ λαβόντες με οἱ νεανίσκοι ἀνέβαινον ἐν τῷ οὐρανῷ. Τὰ γοῦν » τελώνια τῶν Αἰθιόπων ἐξήταζον πᾶσαν ἁμαρτίαν μου, ἄλλο τοῦ ψεύδους, ἄλλο τοῦ φθόνου, ἄλλο τῆς » πλεονεξίας. Ἀντετίθουν δὲ οἱ ἄγγελοι τὰς ἀγαθάς μου πράξεις. Ὅτε δὲ ἀνέβημεν εἰς τὴν πύλην τοῦ » οὐρανοῦ, συνήντησεν ἡμῖν τὸ τῆς πορνείας τάγμα καὶ προεβάλλοντο τὴν πρὸ βραχέος πραχθεῖσάν » μοι μοιχείαν. Καὶ νικήσαντες κατέσπασάν με εἰς τὰ κατώτερα μέρη τῆς γῆς, ἔνθα αἱ τῶν ἁμαρτωλῶν » ψυχαὶ κολάζονται, περὶ ὧν ἀδυνατεῖ γλῶσσα διηγήσασθαι. Θρηνοῦντι δέ μοι ἐφάνησαν οἱ δύο

April. 29. γας, ἐν Ἀφροδισίᾳ κατὰ[4] τὴν ἀγορὰν ὑπ᾽ αὐτῶν λιθολευστούμενοι τῷ Κυρίῳ τὰ ἑαυτῶν παρέδωκαν πνεύματα.

4. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας Θεοδοσίας τῆς παρθένου.

5. Καὶ τῶν ἁγίων μαρτύρων Γαλίκου[1], Βιθυνίου καὶ Δίου.

6. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἡληρίου[1] τοῦ θαυματουργοῦ.

7. Καὶ τοῦ ἁγίου μάρτυρος Ἑρμαίου τοῦ ἐν τῷ Σιρμίῳ.

8. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξιβίου.

9. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Κυντιανοῦ καὶ Ἀττικοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ΄.

April. 30. **1.** Ἄθλησις τοῦ ἁγίου καὶ[1] ἐνδόξου[1] ἀποστόλου Ἰακώβου υἱοῦ[1] Ζεβεδαίου[1], ἀδελφοῦ δὲ[2] Ἰωάννου εὐαγγελιστοῦ[1] τοῦ θεολόγου. Οὗτος[3] μετὰ[4] τὴν τοῦ Ἀνδρέου καὶ Πέτρου κλῆσιν ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου εἰς μαθητείαν σὺν τῷ ἀδελφῷ Ἰωάννῃ[1] προσκαλεῖται[5]· οἳ καὶ εὐθέως τόν τε πατέρα καὶ τὸ πλοῖον καὶ ἁπλῶς ἅπαντα[6] καταλιπόντες ἠκολούθησαν αὐτῷ[7]· καὶ τοσοῦτον αὐτοὺς ἠγάπησεν, ὡς τῷ μὲν τὸ στῆθος ἑαυτοῦ[8] δεδωκέναι, τῷ δὲ πιεῖν τὸ ποτήριον[9] ὃ αὐτὸς ἔπιε. Καὶ αὐτοὶ τοσοῦτον αὐτὸν πάλιν ἠγάπησαν καὶ τοσοῦτον ὑπὲρ αὐτοῦ τὸν ζῆλον[10] ἐπεδείξαντο, ὥστε

— [4] (ἐν - κατὰ) καὶ τέλος κατὰ τὰ D.
5. — [1] *al.* Γαλύκου S, *cf. April.* 3³.
6. — [1] *al.* Κληρίου S, *cf. April.* 3⁴.
1. — [1] *om.* Mc. — [2] τοῦ ἁγίου Mc. — [3] υἱὸς μὲν ἦν Ζεβεδαίου ἀδελφὸς δὲ Ἰωάννου τοῦ θεολόγου *add.* Mc. — [4] δὲ *add.* Mc. — [5] προσεκλήθη Mc. — [6] πάντα Mc. — [7] αὐτῷ ἠκ. Mc. — [8] αὐτοῦ Mc. — [9] ποτ. πιεῖν Mc. — [10] ζῆλον ὑπὲρ αὐτοῦ Mc.

πῦρ ἀπ᾽ οὐρανοῦ θελῆσαι κατενεγκεῖν καὶ ἀναλῶσαι τοὺς μὴ πιστεύοντας· καὶ τάχα ἂν τοῦτο ἔδρασαν, εἰ μὴ[11] ἡ αὐτοαγαθότης ὁ Χριστὸς τούτους[12] τοῦτο ποιῆσαι διεκώλυσε. Διὰ ταῦτα αὐτούς τε καὶ τὸν κορυφαῖον Πέτρον[12] ἀεί ποτε ἐν ταῖς προσευχαῖς καὶ ταῖς ἄλλαις[13] οἰκονομίαις παρελάμβανε, τὰ ὑψηλότερα καὶ μυστικώτερα τῶν δογμάτων μυσταγωγῶν καὶ[12] κοινωνῶν[12]. Τοῦτον[14] τὸν μακάριον Ἰάκωβον μετὰ τὸ πάθος καὶ τὴν ἀνάληψιν τοῦ κυρίου[15] καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μὴ φέρων ὁρᾶν ὁ Ἡρώδης παρρησιαζόμενον καὶ τὸ σωτήριον[16] κήρυγμα καταγγέλλοντα, τὰς χεῖρας ἐπιβαλὼν ἀνεῖλε μαχαίρᾳ, δεύτερον μάρτυρα μετὰ Στέφανον τῷ δεσπότῃ παραπέμψας Χριστῷ, ᾧ[17] πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

— [11] (καὶ - μὴ) εἰ καὶ Mc. — [12] *om.* Mc. — [13] κρείττοσιν *add.* Mc. — [14] οὖν *add.* Mc. — [15] ἡμῶν *add.* Mc. — [16] θεῖον Mc. — [17] ᾧ κτλ. *om.* Mc.

April. 29. » νεανίσκοι, οἷς κλαίων ἔλεγον· Ἐλεήσατέ με καὶ ἵνα μετανοήσω. Τότε λέγει ὁ εἷς τῷ ἑτέρῳ· Ἀντιφωνεῖς » αὐτῷ ἵνα μετανοήσῃ; Ὁ δὲ λέγει· Ἀντιφωνῶ. Τότε ἀναγαγόντες με εἰσήγαγον ἐν τῷ τάφῳ καὶ εἶδον » τὸ σῶμά μου ὡς πηλὸν καὶ βόρβορον καὶ οὐκ ἤθελον εἰσελθεῖν ἐν αὐτῷ. Οἱ δὲ εἶπόν μοι· Ἀδύνατόν » ἐστιν ἄλλως μετανοῆσαί σε εἰ μὴ διὰ τοῦ σώματος, μεθ᾽ οὗ ἥμαρτες. Τότε οὖν εἰσῆλθον, καὶ τοῦ » σώματος ψυχωθέντος, βοᾶν ἠρξάμην. » Ταῦτα εἰπὼν καὶ τεσσαράκοντα ἡμέρας ἐπιβιοὺς ἄσιτος, κλαίων καὶ ὀδυρόμενος, πάλιν ἐκοιμήθη. — Διήγησις τοῦ ἁγίου ἱερομάρτυρος Πατρικίου ἐπισκόπου Προύσης περὶ κρίσεως καὶ τόπων κολαστικῶν. Ὁ ἅγιος ἱερομάρτυς οὗτος Πατρίκιος ἔφη, ὅτι δύο τόπους ἡτοίμασεν ὁ Θεός, ἕνα πολλῶν ἀγαθῶν κτλ. Des. : περὶ τῆς μελλούσης διὰ πυρὸς γενήσεσθαι ὑπὸ Θεοῦ κρίσεως. — **Mv** : Ἰάσωνος καὶ Σωσιπάτρου (April. 28¹). — Τῶν ἁγίων ἑπτὰ μαρτύρων λῃστῶν οἱ διὰ τοῦ ἀποστόλου Ἰάσωνος πιστεύσαντες... — Κερκύρας. — Ζήνωνος καὶ Βιταλίου π. τ. — Εὐσέβιος π. τ. — **Mr** : 2. 1.

April. 30. SYNAXARIA SELECTA. **H** : Ἰακώβου τοῦ ἀδελφοθέου... Des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ αὐτοῦ ναῷ τῷ ὄντι ἔνδοθεν τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις (Oct. 23¹). — **P** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — **D** : Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου. Οὗτος ὁ ἅγιος Ἰάκωβος ἦν υἱὸς Ἰωσὴφ ἀδελφὸς δὲ τοῦ Κυρίου διὰ τὴν τοῦ Ἰωσὴφ πρὸς τὴν ἁγίαν Θεοτόκον μνηστείαν· ἐκαλεῖτο δὲ τὸ πρότερον Ὀβλίας, ὃ ἑρμηνεύεται περιοχὴ παθῶν, Ἰάκωβος δὲ πτερνιστής. Ἐχειροτονήθη δὲ ὑπὸ τοῦ Κυρίου ἐπίσκοπος Ἱεροσολύμων· διὰ δὲ τὴν ἄκραν ἐγκράτειαν — καὶ γὰρ εὐθὺς ἦν ὁ ἅγιος ἐξ αὐτῆς τῆς γεννήσεως μήτε οἶνον μήτε σίκερα πεπωκώς, μήτε ἔμψυχόν τι φαγών, μήτε ἔλαιον, μήτε βαλανείῳ ἀπολούσας καὶ θεραπεύσας τὸ σῶμα — καὶ παρ᾽ αὐτοῖς τοῖς Ἰουδαίοις αἰδέσιμος ὢν καὶ τὸν δίκαιον εἶχε προσηγορίαν. Γενομένης δὲ ζητήσεως παρὰ τοῖς ἀποστόλοις, εἰ δεῖ[1] τοὺς ἐξ ἐθνῶν προσερχομένους τῷ λόγῳ τῆς χάριτος τὴν ἐν τῷ νόμῳ ἀκρίβειαν παρὰ τοῦ Θεοῦ τῷ Μωϋσεῖ νομοθετηθεῖσαν φυλάττειν, ἀπεκρίθη ὁ μέγας Ἰάκωβος, μετὰ τοῦ κορυφαίου Πέτρου τὸν τοῦ Θεοῦ λόγον καταγγείλας, ὅτι· « Συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν τῷ ὀνόματι αὐτοῦ· καὶ
Act. 15, 19.20. » τοῦτο συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν. » Καὶ μετ᾽ ὀλίγον φασίν· « Κρίνω ἐγὼ μὴ παρενοχλεῖν » τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι πρὸς τὸν Θεόν, ἀλλ᾽ ἐπιστεῖλαι αὐτοῖς ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων » εἰδώλων καὶ τῆς πορνείας καὶ τοῦ αἵματος καὶ τοῦ πνικτοῦ. » Καὶ ὁ λόγος ἔργον ἐγένετο καὶ κατὰ τὸν τύπον τοῦτον οἱ ἀπόστολοι ἔγραψαν, οἷον Ἰάκωβος ἔκρινεν. Τινὲς οὖν συστραφέντες ἐπ᾽ αὐτὸν τῶν ἐκ τῶν ἑπτὰ αἱρέσεων, ὧν κατῆρχεν ὁ Ἄνανος, ὅτε ὑπὸ τοῦ Φήστου[2] δέσμιος ὁ Παῦλος ἐπικαλεσάμενος Καίσαρα εἰς Ῥώμην ἐπέμφθη, ἠνάγκαζον ἀρνήσασθαι τὸν Χριστόν, εἰς τὸ μέσον αὐτὸν ἀγαγόντες καὶ πρὸς αὐτὸν ἔλεγον· « Εἰπὲ ἡμῖν, δίκαιε, τίς ἐστιν ἡ θύρα τοῦ Ἰησοῦ; » Ὁ δὲ πρὸς αὐτούς· « Οὗτός » ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ Ἰησοῦς ὁ Χριστός. » Καὶ ἀναγαγόντες αὐτὸν ἐπὶ τὸ τοῦ ἱεροῦ πτερύγιον, ὥστε τῷ πλήθει γενέσθαι κατήκοον, καὶ πάλιν ἐρωτήσαντες· « Τίς ἐστιν ἡ θύρα τοῦ Ἰησοῦ; » τοῦ δὲ τὸν Χριστὸν ἀποφηναμένου, ὃς ἐκ δεξιῶν κάθηται τοῦ Θεοῦ καὶ μέλλει κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἀνακραγόντες μέγα ὅτι « Καὶ ὁ δίκαιος πεπλάνηται » ὦσαν αὐτὸν ἐκ τοῦ μετεώρου καὶ λίθους ἔβαλλον κατ᾽ αὐτοῦ, ὑπὲρ αὐτῶν προσευχόμενον καὶ δι᾽ αὐτὸν ἁμαρτίαν συγχωρηθῆναι αὐτοῖς ἐξαιτούμενον. Ἔνθα τις τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ[3] τοῖς λοιποῖς παύσασθαι παρεγγυήσας, ὅτι δὴ ὑπὲρ αὐτῶν ὁ δίκαιος εὔχεται, αὐτὸς ξύλον ἀπό τινος κναφείου λαβών, ἐν ᾧ συνέκναπτον καὶ συνέθλιβον τὰ ἱμάτια, καὶ κατὰ τῆς κεφαλῆς πατάξας τὸν ἅγιον, τέλος αὐτῷ ἐπήνεγκεν τῆς προσκαίρου ζωῆς κατὰ τὰς ἡμέρας

[1] δὴ D. — [2] Φίστου D. — [3] Ῥιχὰμ D.

τοῦ πάσχα· ἀπὸ γὰρ τῆς πρώτης ἡμέρας ἕως τῆς ν΄ πάσχα λέγεται, καὶ διὰ τοῦτο παρῆσαν Ἰουδαίων ὄχλος πανταχόθεν διὰ τὴν ἑορτὴν ἀθροισθέντες. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ αὐτοῦ ναῷ, τῷ ὄντι ἔνδοθεν τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις· τὴν δὲ ἀκολουθίαν πᾶσαν ζήτει μετὰ τὴν Χριστοῦ γέννησιν ἐρχομένην κυριακήν. Τινὲς δὲ τὴν τούτου μνήμην τῇ κγ΄ τοῦ ὀκτωβρίου[4] μηνὸς τελοῦσιν. — 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — Περὶ τοῦ γενομένου θαύματος ἐν τῇ Ἀφρικῇ. — Περὶ τοῦ πυρὸς τοῦ ὑποκάτω τῆς γῆς καὶ τῶν θερμῶν ὑδάτων. — **Bc** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — **C** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — 1 (in marg. : ζήτει τὸ συναξάριον τοῦ ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου, νοεμβρίου ιε΄). — Θαῦμα γενόμενον ἐν Ἀφρικῇ. — Περὶ τοῦ πυρὸς κτλ. — **Ce** : 1 (ζήτει νοεμβρίου ιε΄). — Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — **Cg** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — Θαῦμα γενόμενον ἐν Ἀφρικῇ τῇ πόλει Καρταγένης. Ἐν τοῖς χρόνοις Ἡρακλείου τοῦ βασιλέως κτλ. Des. : κλαίων καὶ ὀδυρόμενος καὶ ἄσιτος διαμένων πάλιν ἐκοιμήθη. — Περὶ τοῦ πυρὸς τοῦ ὑποκάτω τῆς γῆς καὶ τῶν θερμῶν ὑδάτων, ἐκ τοῦ λόγου τοῦ ἁγίου Πατρικίου τοῦ ἐπισκόπου, καὶ πάλιν περὶ τοῦ ἐκ τῆς γῆς ἀναδιδομένου πυρὸς ἐν διαφόροις τόποις καὶ τοῦ κολαστικοῦ, ἐκ τοῦ λόγου τοῦ ἁγίου Πιονίου. Ὁ μὲν ἅγιος ἱερομάρτυς Πατρίκιος λέγει, ὅτι δύο τόπους ἡτοίμασεν ὁ Θεός, ἕνα πολλῶν ἀγαθῶν, ὧν οἱ δίκαιοι ἀπολαύουσι, καὶ ἕνα σκότους καὶ πυρός, ἔνθα οἱ ἁμαρτωλοὶ κολασθήσονται· καὶ ὅτι τὸ πῦρ οὐ μόνον εἰς πᾶσαν τὴν γῆν κατεκερμάτισεν ὁ Θεὸς ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ πῦρ καὶ ὕδωρ· <ἄλλο γὰρ τὸ ἐπάνω τῆς γῆς ὕδωρ[5],> ὅπερ λέγεται θάλασσα, καὶ ἄλλο τὸ ὑποκάτω τῆς γῆς τὸ λεγόμενον ἄβυσσος, ἐξ οὗ ὥσπερ σίφωνες ἀναπέμπονται αἱ πηγαὶ πρὸς ζωὴν ἡμετέραν. Ἐκ δὲ τοῦ πυρὸς τὰ θερμὰ ὕδατα ἀναπέμπονται, τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον· τὸ δὲ ὑποκάτω τῆς γῆς πῦρ ὥς φασι κολαστήριόν ἐστι ψυχῶν ἀσεβῶν, ὡς καὶ τὸ κατώτατον καὶ κεκρυσταλλωμένον ὕδωρ τάρταρος, ἔνθα οἱ λεγόμενοι θεοὶ τῶν ἑλλήνων καὶ οἱ αὐτῶν λατρευταὶ κολάζονται αἰωνίως. Ὁ δὲ ἅγιος Πιόνιος λέγει ὅτι· « Ἐγὼ τὴν Ἰουδαίων περιελθὼν καὶ » περάσας τὸν Ἰορδάνην, ἐθεασάμην γῆν μαρτυροῦσαν ὀργὴν Θεοῦ ἕως τοῦ νῦν, δι᾽ ἃς ἐποίουν οἱ ἀσε- » βεῖς ἁμαρτίας, ξενοκτονοῦντες καὶ εἰς αἰσχρὰ βιαζόμενοι· εἶδον καπνὸν εἰσέτι καὶ νῦν διαβαίνοντα καὶ » γῆν περιτεφρουμένην, ἄμοιρον παντὸς καρποῦ καὶ πάσης ὑγρᾶς οὐσίας. Ἐπεὶ δὲ τοῦτο μακρὰν θεά- » σασθαι τὸ ἄμοιρον ἐν Αἴτνῃ πῦρ, διὸ μαρτυρούμεθα περὶ τῆς μελλούσης διὰ πυρὸς γίνεσθαι κρίσεως » ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ λόγου αὐτοῦ. » Καὶ ταῦτα μὲν οἱ ἅγιοι. Εἴ τις δὲ ἀπιστοίη, κατανοησάτω τὴν Λίπαριν νῆσον, ἥπερ τοσοῦτον ἐκπυροῦται, ὡς καὶ τὴν θάλασσαν ποιεῖν κοχλάζειν καὶ τὰ εὑρεθέντα πλοῖα διαρρηγνύειν, διαλυομένης τῆς πίσσης· βροντῶν δὲ στερρῶν ἐκ τοῦ νησίου τούτου[6] γινομένων, τὴν Λίπαριν δονεῖσθαι καὶ τρέμειν καὶ ἀνέρχεσθαι ψάμμον ἐκ τῆς θαλάσσης πεπυρωμένην ἐκ τῶν κατωτάτων τῆς γῆς, καὶ αἴρεσθαι εἰς ὕψος ἄπειρον, καὶ ἀπάγεσθαι ὑπὸ τοῦ ἀνέμου, ὅπου συμβῇ ἐκπεσεῖν. Λέγουσι δὲ καὶ τοῦτο ὅτι· ἡνίκα τις ἀσεβὴς καὶ παράνομος ἀκουσθῇ ὅτι τὸν βίον ἀπέλιπε, τότε κἀκεῖνοι οἱ τόποι τὰς ἐκπυρώσεις καὶ τὰς βροντὰς ἔχουσιν, ὡς ἐν αὐτοῖς καταδικαζομένων τῶν ψυχῶν αὐτῶν. Διὰ δὲ τῶν τόπων τούτων κἀγὼ Γρηγόριος παρερχόμενος, μετὰ τὸ γενέσθαι τὴν ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίαν σύνοδον, ἤκουσα καὶ εἶδον τὰ τοιαῦτα θαυμάσια. Καὶ γενόμενος καὶ ἐν Νεαπόλει τὴν πορείαν ποιούμενος πρὸς τὴν πρεσβυτέραν Ῥώμην διὰ θαλάσσης, ἑώρακα ἐν τῇ αὐτῇ Νεαπόλει τὸ πρὸ ἓξ μιλίων τῆς πόλεως παρακείμενον φαραγγῶδες ὄρος βλύσαν τὸ θεῖον πῦρ ὥσπερ <ὕδωρ[7]> ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους καὶ κατελθὸν μέχρι μιλίων ἕξ· ὅπερ ἐπὶ ἓξ ἡμέραις κείμενον κατέφλεξε τὴν γῆν καὶ τοὺς λίθους καὶ τὰ ξύλα καὶ ἐποίησε πάντα τέφραν, ἕως οὗ Στέφανος, ὁ τηνικαῦτα ὁσιώτατος ἐπίσκοπος, μετὰ λιτῆς ἐξελθὼν καὶ πλησίον αὐτοῦ γενόμενος ἐδεήθη τοῦ Θεοῦ καὶ κατεπαύθη. Ἡνίκα δὲ ἐκαίετο, ἀνέβαινον ἐκ τῆς γῆς λίθοι παμμεγέθεις μέσον τοῦ πυρὸς καὶ ἐρρίπτοντο εἰς ὕψος ἄπειρον, καὶ ἦν τῇ ἡμέρᾳ στύλος καπνοῦ φαινόμενος ἕως τοῦ οὐρανοῦ καὶ τῇ νυκτὶ πυρός. Ταῦτα δὲ πάντα πρὸς μετάνοιαν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐνδείκνυσι, ὅπως τῶν τῆς πονηρίας ὁδῶν ἀναθέντες τὰς σωτηριώδεῖς καὶ ἀπλανεῖς τρίβους βαδίσαντες, τῆς τῶν οὐρανῶν βασιλείας ἐν μετουσίᾳ γενήσονται, ἧς πάντας ἡμᾶς ἐπιτυχεῖν γένοιτο[8]· ἀμήν. — **R** : 1 (des. : τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ... ἐν Χαλκοπρατείοις). — **Ra** : 1. — Διοδώρου καὶ Ῥοδοπιανοῦ (April. 29³). — Κυντιανοῦ καὶ Τατίκου (April. 29³). — Δάδα, Μαξίμου καὶ Γαβίνου (April. 29⁶). — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Ὁ ἅγιος Κλήμης ὁ ποιητὴς τῶν κανόνων ἐν.ε'ς ἰνη·τ. (Mai 27³). — Ἡ εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Βασιλείου ἐπισκόπου

— [4] ὀκτωμβρίου [illegible]. — [5] (ἄλλο - ὕδωρ) *supplevi ex* C. — [6] τούτων Cg. — [7] *supplevi ex* C. — [8] γενέσθαι Cg.

APRIL. 30. Ἀμασείας. — Δονάτου ἐπισκόπου Εὐροίας. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου Θεοδοσίου, ἐπίσκοπος ἐν πόλει καλουμένῃ Εὐροίᾳ κατὰ τὴν παλαιὰν Ἤπειρον. Ἔστι δὲ χωρίον τῆς αὐτῆς πόλεως Σωρεία καλούμενον, ἐν ᾧ ἦν πηγὴ ὕδατος· καὶ ὅσοι ἂν ἔπιον ἐξ αὐτῆς, πικρῷ θανάτῳ παρεδίδοντο. Μαθὼν δὲ τοῦτο ὁ ἁγιώτατος ἐπίσκοπος Δονάτος, ἀφίκετο πρὸς τὴν πηγὴν μετὰ τῶν συνόντων αὐτῷ κληρικῶν. Καὶ ἅμα τῷ καταλαβεῖν αὐτὸν βροντὴ γέγονε· καὶ εὐθέως ἐξελθὸν τὸ θανατηφόρον ἐκεῖνο ζῷον ἀπὸ τῆς πηγῆς, συνήντησε τῷ μακαρίῳ, καὶ τῷ οὐραίῳ αὐτοῦ ἐπειρᾶτο συμπεριλαβεῖν τοὺς πόδας τοῦ ὄνου, ἐν ᾧ ἐπωχεῖτο ὁ μακάριος. Ὁ δὲ περιστραφεὶς καὶ ἰδὼν τὸ θηρίον, τὸ φραγγέλιον, δι᾽ οὗ τὸ ὑποζύγιον ἔτυπτε, κατὰ τῶν νώτων τοῦ θηρὸς θέμενος, καιρίαν μάστιγα διὰ τούτου δέξασθαι τὸν θῆρα παρεσκεύασεν· ὃς καὶ παρευθὺ πεσὼν ἀπέψυξε. Τότε συλλέξαντες ξύλα οἱ τοῦ παραδόξου θαύματος ἐπόπται, κατέκαυσαν τὸ θηρίον· οὐδεὶς δὲ ἐτόλμα τοῦ ὕδατος ἅψασθαι. Ὁ δὲ ἅγιος εὐχὴν ποιήσας καὶ πρῶτος πιὼν ἐπέτρεψε καὶ αὐτοῖς ἀδεῶς πίνειν· ἐξ οὗ πάντες πιόντες καὶ ἐμφορηθέντες ἀβλαβεῖς εἰς τὰ ἴδια ἐπορεύοντο. Ταῦτα μαθὼν ὁ βασιλεὺς Θεοδόσιος μετεκαλέσατο πάντας τοὺς ἐκεῖσε ἐπισκόπους, καὶ ποῖός ἐστι Δονάτος ὁ ἐπίσκοπος ἐπυνθάνετο, ὁ τὸν δράκοντα θανατώσας διὰ τοῦ φραγγελίου. Οἱ δὲ ὑπέδειξαν αὐτὸν λέγοντες· « Οὗτός ἐστι, βασιλεῦ. » Καὶ ὁ βασιλεὺς κατασπασάμενος αὐτὸν ἀπήγαγε πρὸς τὴν βασίλισσαν· καὶ πεσόντες ἀμφότεροι ἐπελάβοντο τῶν ποδῶν αὐτοῦ ἐκλιπαροῦντες καὶ λέγοντες· « Δοῦλε τοῦ Θεοῦ, παρακλήθητι καὶ ποίησον μεθ᾽ ἡμῶν ἔλεος. Μονογενὲς γὰρ » θυγάτριον ἔχοντες ὑπὸ δεινοῦ πνεύματος ἐνοχλούμενον, μεγάλως τὴν ψυχὴν συντριβόμεθα. Εἰ οὖν » θεραπεύσεις αὐτήν, λάβε τὸ ἥμισυ τῆς οὐσίας αὐτῆς. » Ὁ δὲ ἅγιος ἔφη· « Θεαθήτω μοι ἡ παῖς. » Οἱ δὲ εἰσήγαγον τὸν ἅγιον πρὸς αὐτήν· καὶ ἐξετασθεὶς εὐθὺς ὁ δαίμων παρὰ τοῦ ἁγίου ἐδιώχθη ἀπὸ τῆς κόρης. Τότε τοῦ βασιλέως τὸ ὑποσχεθὲν εὐτρεπίζοντος, οὐ κατεδέξατο ὁ μακάριος. Ἰδὼν δὲ τὴν πρόθεσιν αὐτῶν τὴν ἀγαθήν, ᾐτήσατο τόπον τινὰ δοθῆναί οἱ, τῆς χώρας αὐτοῦ πλησίον κείμενον, ἐπιτήδειον ὄντα εἰς ναὸν Ὀμφάλιον οὕτω καλούμενον· οἱ δὲ ἀπεντεῦθεν δι᾽ ἐγγράφου προστάγματος ἐδωρήσαντο τὸν τόπον αὐτῷ. Ὁ μακάριος οὗτος καὶ νεκρὸν ἀνέστησε, κωλυόμενον ταφῆναι, εἰ μὴ τὸ ὀφειλόμενον τῷ δανειστῇ χρέος ἀποδῷ· μετὰ δὲ τὸ διαλεχθῆναι τῷ δανειστῇ περὶ τοῦ ζητήματος, διαρραγῆναι καὶ τὸ τούτου χειρόγραφον, καὶ αὐτὸν πάλιν κοιμηθῆναι προσέταξεν, ἄχρις ἂν ἡ κοινὴ πάντων ἀνάστασις γένηται. Ἐπεὶ δὲ καὶ ὑετὸς ἐπὶ γῆς οὐκ ἦν καὶ στεγανὸς ὁ οὐρανὸς πᾶσιν ἐφαίνετο, ὁ βασιλεύς· « Τίμιε πάτερ, » φησὶ πρὸς τὸν ἅγιον, « οὐ μικρῶς ἡ πόλις δι᾽ ὄχλου μοι γέγονεν ἀναβοῶσα » δυνατῶς ἔχειν σε ὑετὸν ἐξ οὐρανοῦ καταγαγεῖν· πλήρωσον οὖν καὶ τὴν τοιαύτην μου αἴτησιν. » Καὶ ὁ ἅγιος ἐξελθὼν αὐτίκα τῆς πόλεως, προσηύξατο· καὶ τοσοῦτος ὑετὸς εὐθέως ἐρρύη ἔνδον τε καὶ ἔξω τῆς πόλεως καὶ ἐπὶ τῶν πέριξ χωρῶν, ὡς κατακλυσμόν τινα δοκεῖν αὐτὸν ἄντικρυς. Ὁ δὲ βασιλεὺς ἐφρόντιζε τοῦ ἁγίου ἐπὶ τῷ λάβρῳ[9] τοῦ ὑετοῦ ὅτι μονοχίτων ἦν. Ἀλλὰ μετὰ μικρὸν ἐλθὼν εἰς τὰ βασίλεια ὁ μακάριος, εὑρέθη οὐδὲ βραχεῖάν τινα νοτίδα φέρων ἐν ἑαυτῷ. Καὶ ἦν θαυμαζόμενος ὑπὸ πάντων. Ἐτέρπετο δὲ καὶ ὁ βασιλεὺς ἐξαιρέτως τοῖς λόγοις αὐτοῦ, καὶ δοὺς αὐτῷ χρυσίον ἱκανὸν λόγῳ τῆς τοῦ ναοῦ οἰκοδομῆς καὶ ἄλλα τινὰ ἐπιτήδεια εἰς τὸν τούτου καλλωπισμόν, ἐξαπέστειλεν οἴκαδε. Ἀπελθὼν δὲ καὶ οἰκοδομήσας τὸν ναὸν καὶ τάφον αὐτοῦ εὐτρεπίσας καὶ εἰς τέλειον γῆρας ἐλάσας, ἀπῆλθε πρὸς Κύριον. — **Mv** : 1. — Κλήμεντος. — Τοῦ ἁγίου μάρτυρος Μαξίμου. — Ἡ εὕρεσις ... Βασιλέως. — Δονάτου. — **Mr** : 1.

— [9] λαύρου Mc.

---

f. 205v.

ΜΗΝ ΜΑΙΟΣ

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιδ καὶ ἡ νὺξ ὥρας ι.

ΕΙΣ ΤΗΝ Α'.

1. Ἄθλησις[1] τοῦ ἁγίου καὶ[2] ἐνδόξου[2] προφήτου Ἱερεμίου. Οὗτος ἐκ μήτρας ἡγιάσθη· ἦν δὲ ἐξ Ἀναβὼθ[3] χώρας τῆς Ἰουδαίας[4]. Ἐν δὲ Τάφναις[5] τῆς Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ, ἀποθνήσκει καὶ τίθεται ἐν τόπῳ τῆς οἰκήσεως Φαραώ, ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν αὐτόν, εὐεργετηθέντες ὑπ᾽ αὐτοῦ. Ηὔξατο γάρ, καὶ αἱ ὀλοθρεύουσαι αὐτοὺς ἀσπίδες ἀπέθανον καὶ οἱ ἐν τοῖς ὕδασι θῆρες, οὓς καλοῦσι μὲν Αἰγύπτιοι νεφὼθ ἕλληνες δὲ κροκοδείλους· καὶ ὅσοι εἰσὶ πιστοί, ἕως τῆς σήμερον, εὔχονται ἐν τῷ τόπῳ ἐκείνῳ καὶ λαμβάνοντες τὸν[2] χοῦν δήγματα ἀσπίδων θεραπεύουσιν. Φασὶν δὲ ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν[6] ἐπιστὰς τῷ τάφῳ τοῦ προφήτου καὶ μαθὼν τὰ κατ᾽ αὐτοῦ[7], εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λείψανα· καὶ ταῦτα πανταχοῦ τῆς πόλεως κατασπείρας καὶ κύκλῳ ταύτης αὐτὰ περιθεὶς τὰς μὲν ἀσπίδας ἐκεῖθεν ἀπεδίωξεν[8], ἀντεισήγαγε δὲ τοὺς ὄφεις τοὺς λεγομένους ἀργάλους[9], οὓς ἐκ τοῦ Ἄργους ἤνεγκεν, ἐκεῖθεν ἔχοντας τὴν προσηγορίαν. Δέδωκε δὲ ὁ προφήτης σημεῖον τοῖς ἱερεῦσιν Αἰγύπτου, ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν διὰ[10] σωτῆρος παιδίου[11] γεννωμένου ἐν φάτνῃ· καὶ διὰ τοῦτο ἕως[12] νῦν θεοποιοῦσι παρθένον λοχὸν[13] καὶ βρέφος ἐν φάτνῃ τιθέντες[14] προσκυνοῦσιν. Διά τοι καὶ Πτολεμαίῳ τῷ βασιλεῖ πυνθανομένῳ τὴν αἰτίαν ἔλεγον ὅτι· « Πατροπαράδοτόν ἐστι[15] μυστήριον » ὑπὸ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παραδοθέν, καὶ ἐκδεχόμεθα, φησίν[16], τὸ πέρας τοῦ » μυστηρίου. » Λέγεται δὲ περὶ τοῦ προφήτου ὅτι πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασε τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ, καὶ ἐποίησεν αὐτὰ ὑπὸ πέτρας καταποθῆναι. Καὶ εἶπε τοῖς παρεστῶσιν· « Ἀπεδήμησε Κύριος ἐν Σινᾷ εἰς τὸν οὐρανὸν καὶ » πάλιν ἐλεύσεται νομοθετῆσαι ἐν Σινᾷ ἐν δυνάμει· » καὶ σημεῖον ὑμῖν ἔσται τῆς παρουσίας αὐτοῦ, » ὅταν ξύλον πάντα τὰ ἔθνη προσκυνήσουσιν[17]. » Εἶπε δὲ ὅτι τὴν κιβωτὸν ταύτην οὐδεὶς ἐκβαλεῖ[18] εἰ μὴ Ἀαρὼν μόνος ὁ ἱερεύς, καὶ τὰς ἐν αὐτῇ πλάκας οὐδεὶς ἀναπτύξει οὐκέτι οὐχ ἱερέων οὐδὲ προφητῶν, εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς τοῦ Θεοῦ, καὶ ἐν τῇ ἀναστάσει πρώτη ἡ κιβωτὸς ἀναστήσεται καὶ ἐξελεύσεται καὶ τεθήσεται ἐν ὄρει Σινᾷ καὶ πάντες οἱ ἅγιοι πρὸς αὐτὴν συναχθήσονται, ἐκδεχόμενοι MAI 1.

1. — [1] *in marg. sup.* Ὦ Χριστέ S. — [2] *om.* Mc. — [3] S, Mc, *lege* Ἀναθὼθ, Ierem. *I, 1.* — [4] χώρας τ. Ἰ. *om.* Mc. — [5] Δάφναις Mc. — [6] βασιλεὺς Mc. — [7] αὐ...ν Mc. — [8] ἐδίωξεν Mc. — [9] ἀργαλοὺς Mc, *al.* ἄργολας NESTLE, Vitae proph. *p. 18.* — [10] παρὰ τοῦ Mc. — [11] ἐκ παρθένου *add.* Mc. — [12] τοῦ *add.* Mc. — [13] λεχὼ Mc. — [14] τεθέντες Mc. — [15] τὸ *add.* Mc. — [16] φασὶ Mc. — [17] προσκυνήσωσιν Mc. — [18] ἐκβαλλεῖ S.

SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 1. 2 : Βατά. Οὗτος ἦν ἐκ Περσίδος, ἐκ κώμης Βεργαμῶν, ἐπὶ Ἰασδὴχ ἀδελφοῦ Βαρζαναβᾶ, ἄρχων καὶ τελώνης Βατζιέως. — Καὶ τοῦ ἁγίου ἀποστόλου Φιλίππου, ἑνὸς τῶν ζ' (Oct. 11[1]). — Τοῦ ὁσίου Βάσσου. — 3 : καὶ ὅτε ἦλθον τὰ τίμια ξύλα. — **D** : 1. 2 : Βατά. Οὗτος ἦν ἐκ Περσίδος, ἐκ προγόνων τὴν εἰς Χριστὸν πίστιν μεμαθηκώς. Σχεδὸν δὲ περὶ τὰ τριάκοντα ὢν ἔτη τῆς ἡλικίας, ἀκούσας τοῦ Κυρίου διὰ τοῦ εὐαγγελίου λέγοντος· « Ὅστις οὐ καταλιμπάνει πατέρα ἢ μητέρα » ἢ γυναῖκα ἢ τέκνα ἢ ἀδελφοὺς ἢ κτήματα, οὐ δύναταί μου εἶναι μαθητής, » πλησθεὶς Πνεύματος ἁγίου καὶ ὅλος τοῦ θείου πόθου γεγονώς, καταλιπὼν πάντα ἐν μοναστηρίῳ ἀπετάξατο· τὸν δὲ σκληρὸν καὶ ἐπίπονον βίον ἑλόμενος, ὑπερέβαλεν πάντας νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ἐγκρατείᾳ, μηδὲ μιᾷ τῶν αἰσθήσεων θύραν δεδωκώς, ἀλλὰ πάσῃ φυλακῇ τηρῶν ἑαυτόν. Ἐπιθυμίαν δὲ εἶχεν τὸ διὰ μαρτυρίου τελειωθῆναι· ὅθεν κινηθέντος διωγμοῦ κατὰ τῶν χριστιανῶν καὶ πάντων τῶν σὺν αὐτῷ κατὰ τὴν κελεύουσαν ἐντολὴν μὴ ἀφειδεῖν ἑαυτῶν ἀναχωρησάντων, αὐτὸς ὑπέμεινεν τῷ περιόντι τῆς ἐπιθυμίας ποθῶν τὸ μαρτύριον· ἔνθα κατασχεθεὶς ἤδη τριακοστὸν ἔτος ἔχων ἐν τῇ ἀσκήσει, ἄγεται Ἰασδὶχ τῷ ἀδελφῷ τοῦ Βαρζαβανὰ ὄντι ἄρχοντι Νισίβεως[1]· προσκυνῆσαι δὲ τὸν ἥλιον κελευσθείς, οὐκ ἐπείσθη, ἀλλὰ παρρησίᾳ χριστιανὸν ἑαυτὸν ἐκήρυξεν. Ταθεὶς οὖν ὑπὸ δέκα στρατιωτῶν ἐξ ἑκατέρων τῶν χειρῶν τῇ βίᾳ τῆς τάσεως ἐξηρθρώθη τοὺς ὤμους· εἶτα τύπτεται ῥοπάλοις καὶ ὑπὸ εἴκοσι στρατιωτῶν κατὰ τῆς γῆς σύρεται, ἀπὸ τῶν σπερμογόνων μορίων δεθείς. Ἐπιμένων δὲ τῇ εἰς Χριστὸν πίστει, ὕπτιος τεθεὶς κατὰ τῆς γαστρὸς πολλὴν ἐπιφορὰν λίθων δέχεται· εἶθ᾽ οὕτως τὰ μετάφρενα καὶ τὰ ὑπὸ τοὺς μαζοὺς μέρη μαχαίραις κατατέμνεται· καὶ τότε ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται. — **Da** : 1. 2. — Σάβα ἐπισκόπου Δαφνουσίας (Mai 2[3]). — **Db** : 1. 2. — Σάβα. — **K** : 1. 2. — Σάβα. — **N** : 1. 2. — **Bb** : 1. 2. — MAI 1. Cf. Luc. 14.26.

[1] ΝιτζίβιοςD.

Mai 1. f. 206r. τὸν Κύριον καὶ τὸν ἐχθρὸν φεύγοντες ἀνελεῖν αὐτοὺς θέλοντα [19]. Ἐν δὲ τῇ πέτρᾳ ἐσφράγισε τῷ δακτύλῳ αὐτοῦ τὸ ὄνομα τοῦ Θεοῦ· καὶ ἐγένετο ὁ τύπος [20] ὡς γλυφὶς [21] σιδήρου καὶ νεφέλη φωτεινὴ ἐπεσκίασε τὸ ὄνομα, καὶ οὐδεὶς νοήσει τὸν τόπον οὐδὲ ἀναγνῶναι αὐτὸ δυνήσεται, ἕως τῆς ἡμέρας ἐκείνης. Ἔστι δὲ ἡ πέτρα ἐν τῇ ἐρήμῳ, ὅπου πρῶτον ἡ κιβωτὸς γέγονε μεταξὺ τῶν δύο ὀρέων, ἔνθα κεῖται Μωυσῆς καὶ Ἀαρών· καὶ ἐν νυκτὶ ὡς πῦρ [22] ἡ [23] νεφέλη γίνεται ἐπὶ τὸν τόπον [24] κατὰ τὸν τύπον τὸν ἀρχαῖον. Ἦν δὲ ὁ προφήτης Ἱερεμίας τῷ χρόνῳ προβεβηκώς, τὴν ἡλικίαν μικρός, εἰς ὀξὺ ἔχων καταλῆγον [25] τὸ γένειον. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου [26] Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ὁσιομάρτυρος Βατά. Οὗτος ἦν ἐκ Περσίδος ἐκ προγόνων τὸν Χριστὸν σεβόμενος· τριακονταέτης <δὲ [1]> γενόμενος καταλιπὼν πατέρα, μητέρα, γυναῖκα <καὶ [1]> πάντα τὰ ὑπάρχοντα αὐτοῦ σὺν τοῖς τέκνοις, ἀπελθὼν ἐγένετο μοναχός· καὶ ἀσκήσας καλῶς ἐπεθύμησε καὶ τοῦ διὰ μαρτυρίου τελειωθῆναι. Κινηθέντος οὖν διωγμοῦ κατὰ τῶν χριστιανῶν καὶ πάντων τῶν σὺν αὐτῷ μοναχῶν ἐκ τῆς μονῆς φυγόντων, αὐτὸς μόνος ὑπέμεινεν· ἔνθα παρεδόθη τῷ ἄρχοντι συλληφθεὶς Νισίβεως. Καὶ παρ᾽ ἐκείνου ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν προσκυνῆσαί τε τῷ ἡλίῳ, καὶ μὴ πεισθείς, ἀλλὰ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσας, ἐξετάθη ὑπὸ δέκα στρατιωτῶν ἐξ ἑκατέρων τῶν χειρῶν· καὶ ἐξαρθροῦται τοὺς ὤμους καὶ τὰς ἁρμονίας· ἔπειτα δεθεὶς ἀπὸ τῶν σπερμογόνων μορίων ἐσύρετο ῥοπάλοις τυπτόμενος. Καὶ μετὰ τοῦτο τυφθεὶς πάντα τὰ μέλη τοῦ σώματος μαχαίρᾳ τελειοῦται· καὶ τότε ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται.

3. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τῆς νέας ἐκκλησίας, τῆς ἐν τῷ παλατίῳ, ἀνερχομένου τοῦ πατριάρχου μετὰ τῆς λιτῆς, τὴν κατὰ τύπον λειτουργίαν ἐκεῖσε ἐκτελέσας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β΄.

Mai 2. **1.** Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας· οὗ [1] τὸν ἀγγελικὸν βίον καὶ τοὺς ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ἄθλους καὶ τὰς κατὰ τῶν κακοδόξων ἐνστάσεις καὶ τὰς ἐπὶ συχνῷ ἀδίκους ὑπερορίας καὶ τὰς ματαίας συκοφαντίας ἄλλαι τε ἱστορίαι καὶ γραφαὶ [2] διεξοδικώ|τερον <διεσάφησαν [3]>, καὶ ὁ θεολόγος [4] Γρηγόριος ἐν τῷ εἰς αὐτὸν ἐπιταφίῳ ἐκτίθεται [5]. f. 206v. Ἐπεκδιηγεῖσθαι δὲ τὰ εἰρημένα περιττὸν ἴσως καὶ οὐκ εὔκαιρον. Ἡ δὲ συνήθως γινομένη ἐπ᾽ αὐτῷ ἀκολουθία [6] ἐν τῇ ὀκτωκαιδεκάτῃ τοῦ ἰαννουαρίου προγέγραπται.

— [19] *corr. prius* θέλονται S. — [20] τόπος Mc. — [21] γλυφὴ Mc. — [22] (ὡς πῦρ) ὥσπερ Mc. — [23] *om.* Mc. — [24] ἐπὶ τ. τ. *om.* Mc. — [25] Mc, καταλήγειν S. — [26] τῶν ἀποστόλων Mc.

2. — [1] *supplevi, om.* S.

1. — [1] (μνήμη - οὗ) ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀ. τοῦ μεγάλου· τούτου Mc. — [2] συγγραφαὶ Mc. — [3] Mc, *om.* S. — [4] δὲ *add.* Mc. — [5] ὅθεν καὶ *add.* Mc. — [6] (ἡ - ἀκολουθία) ἃ δὲ ἔδει περὶ αὐτοῦ διὰ μετρίων δηλῶσαι Mc.

Mai 1. **Bc** : 1. 2. — **C** : 1. 2. — In marg. : τοῦ ἁγίου μάρτυρος Μαύρου καὶ τῶν σὺν αὐτῷ. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — Alia manu : τοῦ ἁγίου ἱερομάρτυρος Μαύρου καὶ τῶν σὺν αὐτῷ. — In marg. : ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου [2]. — **R** : 1. — **Ra** : 1. 2. — **Rb** : 1. — Σάβα. — Φιλίππου. — Βάσσου. — 3 : καὶ ὅτε ἦλθον τὰ τίμια ξύλα. — **Rc** : 1. — **Mc** : 1. 2. — Φιλοσόφου. Οὗτος ὁ μέγας μάρτυς τοῦ Χριστοῦ Φιλόσοφος ἐκ τῆς χώρας ὢν τῶν Ἀλεξανδρέων, ὡς ὁ μέγας ἐν ἀσκηταῖς Ἀντώνιος διηγήσατο, τοιόνδε τὸν τοῦ μαρτυρίου δρόμον τετέλεκε. Κῆπος ἦν τερπνότατος καὶ πάσης ἡδονῆς πλήρης, καὶ ἐν αὐτῷ κλίνης τεθείσης περικαλλοῦς, τῇ τοῦ δυσσεβοῦς τυράννου κελεύσει τίθεται ἐπὶ ταύτης ὕπτιος ὁ Φιλόσοφος περιηγκωνισμένος τὰς χεῖρας καὶ τοὺς πόδας ἅμα δεδεσμημένος· εἶτα γύναιον εὐπρεπὲς μὲν τὴν ὄψιν, δυσειδὲς δὲ τὴν ψυχὴν καὶ ἀκόλαστον εἰσάγεται ἐκεῖ κειμένῳ τῷ μάρτυρι, λόγοις ἀσέμνοις, ἐπαφαῖς ἀναιδέσι καὶ πᾶσιν αἰσχροῖς καὶ θελκτικοῖς τρόποις πρὸς ἡδονὴν τοῦτον φαύλην ἐρεθίζειν πειρώμενον. Ὁ δὲ γενναῖος ἐκεῖνος οὐκ ἔχων ὅπως ἂν ἀπώσαιτο τὴν μιαρὰν καὶ ἀναίσχυντον, ἀλλὰ τοὺς μὲν ὀφθαλμοὺς αὐτοῦ μύσας, τὴν δὲ ὄσφρησιν καὶ ἀκοὴν μὴ δυνάμενος συστεῖλαι τῷ κωλύματι τῶν δεσμῶν, ναὶ μὴν καὶ ταῖς ἁφαῖς τυραννούμενος, τί ποιεῖ καὶ οἵαν μηχανὴν ἐφευρίσκει πρὸς ἀποσόβησιν τοσούτου κακοῦ καὶ οὕτω μυσαρᾶς ἐπινοίας; Τὴν ἰδίαν γλῶσσαν τοῖς ὀδοῦσι κόψας καὶ διαμασσησάμενος, τῇ ὄψει τῆς μαινάδος προσπτύει· καὶ οὕτω τοῖς αἵμασι τὸ πρόσωπον αὐτῆς καὶ τοὺς χιτῶνας καταβρέξας καὶ ἀχρειώσας ἀπεκρούσατο τὴν ἀκόλαστον. Οὕτως οὖν γενναιοτάτως πάνυ καὶ θαυμαστῶς ἀγωνισάμενος ὁ ἀοίδιμος καὶ μὴ ἡττηθεὶς τῇ ἐπινοίᾳ τῶν δυσσεβῶν, ἀπετμήθη τέλος τὴν κεφαλὴν καὶ πρὸς τὴν ἐν οὐρανοῖς εὐφροσύνην καὶ ἀπόλαυσιν μεταβέβηκε. — Ἡ ὁσία Ἰσιδώρα ἐν εἰρήνῃ τ. — 3. — Ὁ ὅσιος Σάβας ἐν συκῇ κρεμασθεὶς ἀπὸ τῶν χειρῶν τ. — **Mv** : 1. 2. — **Mr** : 1.

Mai 2. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 2. 1. — **D** : 1 : Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας. Οὗτος ὁ ἅγιος πατρίδα μὲν ἔσχε τὴν Αἴγυπτον ἤτοι τὴν Ἀλεξάνδρειαν, πατέρας δὲ πλούτῳ κομῶντας καὶ ἀρετῇ· παρ᾽ οἷς ἐκτρεφόμενος παῖς ὢν ἔτι κομιδῇ, ἅμα παισὶν ἀθύρουσιν ἐπί τινα τῆς θαλάσσης ἀκτὴν παραγίνεται. Des. : καὶ οὕτω μετὰ τοὺς πολλοὺς ἄθλους καὶ τὰς μακρὰς ὑπερορίας ἐπὶ δύο καὶ σαράκοντα χρόνους τοῖς διωγμοῖς ἐγκαρτερήσας ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον. —

— [2] τοῦ ὠνει στοὺς λομβοῦ *add., et rursus alia manu* τοῦ ,ςχϥ΄ ἔτει Cg.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἑσπέρου καὶ Ζωῆς τῆς συμβίου αὐτοῦ καὶ τῶν τέκνων αὐτοῦ Κυριακοῦ καὶ Θεοδούλου. Οὗτοι οἱ ἅγιοι Ἕσπερος καὶ Ζωὴ ὑπῆρχον ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως ἐκ τῆς χώρας Ἰταλίας, δοῦλοι δὲ πλουσίου τινὸς Κατάλου καὶ Τετραδίας τῆς γυναικὸς αὐτοῦ. Ἀνατραφέντες οὖν χριστιανικῶς Κυριακὸς καὶ Θεόδουλος ὑπὸ τῶν γονέων αὐτῶν, ἐν μιᾷ εἶπον αὐτοῖς· « Διὰ τί δουλεύομεν τοῖς ἀσεβέσι » τούτοις καὶ οὐ τῷ Χριστῷ, μήποτε συναπολώ» μεθα αὐτοῖς; » Οὕτως ἀκούσασα ἡ μήτηρ αὐτῶν εἶπεν· « Ἀντίστητε τῷ ἀγοράσαντι ἡμῶν τὰ σώ» ματα, καὶ μαρτυρήσωμεν ὑπὲρ τοῦ Χριστοῦ. » Τότε παραγενόμενοι πρὸς τὸν Κάταλον, τὸν μὲν κύριον Ἰησοῦν Χριστὸν δεσπότην τῶν ἑαυτῶν ψυχῶν εἶπον, τύχῃ δέ τινι τὴν τῶν σωμάτων ἔχειν αὐτὸν κυριότητα, εἶναι δὲ προτιμοτέραν ἐπ᾽ αὐτοῖς τὴν τοῦ Χριστοῦ ἐξουσίαν· πειθαρχεῖν δεῖ φασιν Θεῷ μᾶλλον ἢ ἀνθρώποις. Mai 2. Ἐκπλαγέντος οὖν ἐπὶ τοῦτο τοῦ Κατάλου, τέως μὲν πέμπονται μετὰ τῆς μητρὸς ἐν τῷ Τριτωνίῳ πρὸς Ἕσπερον τὸν πατέρα αὐτῶν· ὕστερον δὲ ἀγαγὼν τόν τε πατέρα καὶ τὴν μητέρα σὺν τοῖς τέκνοις, τυφθῆναι καὶ βασανισθῆναι σφοδρῶς, διὰ τὸ μὴ εἰσακοῦσαι τελεῖν τὰ τοῦ γενεθλίου τοῦ παιδὸς Κατάλου καὶ ἅψασθαι οἴνων καὶ κρεῶν ὧν αὐτὸς μετέσχεν, <ἐκέλευσε [1]>· καὶ προστάξας ἐκκαυθῆναι κλίβανον καὶ τοὺς ἁγίους ἐμβληθῆναι, ἐν ᾧ γενόμενοι τὰς ἑαυτῶν ψυχὰς ἀπέδωκαν τῷ Κυρίῳ. Ἕωθεν δὲ ἀνοίξαντες εὗρον τοὺς ἁγίους ἐν σχήματι καθευδόντων κατὰ ἀνατολὰς τετραμμένους. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σάβα ἐπισκόπου Δαφνουσίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ΄.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Τιμοθέου ἀναγνώστου [1] καὶ Μαύρας τῆς συζύγου αὐτοῦ. Οὗτος ἦν ἐν τῷ τῶν κληρικῶν τάγματι [2], τῶν ἱερῶν βίβλων ὑφηγητής, ἐκ κώμης Πεναπέων. Ἄρτι πρὸς κοινωνίαν γάμου τὴν Μαύραν ἀγόμενος, οὔπω διαγενομένων εἴκοσιν ἡμερῶν, διαβληθεὶς ἄγεται [3] Mai 3. πρὸς τὸν ἡγεμόνα Θηβαΐδος Ἀρριανόν [4]· οὗ προστάξαντος ἐνεγκεῖν αὐτῷ τὰς βίβλους | εἰς τὸ f. 207. κατακαῦσαι, τοῦ δὲ ἁγίου μὴ εἴξαντος [5], σίδηρα πεπυρωμένα ἐνέβαλον αὐτοῦ τοῖς ὠσίν· ὑφ᾽ ὧν αἱ

2. — [1] *supplevi, om.* S.

1. — [1] *om.* D. — [2] σχήματι D. — [3] δὲ *add.* D. — [4] Ἀρειανὸν D. — [5] (εἰς - εἴξαντος) ἃς τοῖς χριστιανοῖς ὑπαναγινώσκει· τοῦτο μὲν οὐκ ἐποίησεν, ἀντέφη δὲ τῷ ἡγεμόνι τὰς βίβλους τέκνα ἡγεῖσθαι αὐτοῦ, ὑφ᾽ ὧν στηρίζεσθαι καὶ ὑπὸ τῶν ἀγγέλων φρουρεῖσθαι τῆς τῶν γεγραμμένων δυνάμεις καλούσης αὐτοὺς εἰς βοήθειαν, μηδένα δὲ ἑκόντα τὰ ἴδια τέκνα ἐκδιδόναι εἰς θάνατον· ὅθεν D.

Mai 2. 2 : Ἑσπέρου καὶ Ζωῆς τῆς συμβίου αὐτοῦ, ἀποίκων ὄντων Ῥωμαίων, οἳ ἐκ Παμφυλίας τούτους ὠνήσαντο, ἐλεύθεροι δὲ τὰς ψυχὰς <ἦσαν [1]>· ὅθεν οὐδὲ τῷ σώματι ἐπὶ πολὺ δουλεύειν ἠνέσχοντο ἀσεβέσι δεσπόταις καὶ ἀντὶ τοῦ ποιητοῦ καὶ πάντων δημιουργοῦ τιμῶσι καὶ προσκυνοῦσι τὰ εἴδωλα. Τοῦ γὰρ Κυριακοῦ καὶ Θεοδούλου τῶν τέκνων αὐτῶν πρὸς τὴν ἰδίαν μητέρα μηκέτι συνοικεῖν τοῖς ἀσεβέσιν ἀλλ᾽ ἐξ αὐτῶν χωρίζεσθαι, ἵνα μὴ αὐτοῖς συναπόλωνται, διεξελθόντων, τῆς δὲ ὅτι « Οἱ κύριοι » ἡμῶν <εἰσιν [1]> », εἰπούσης, τῶν δὲ τῷ τοῦ Χριστοῦ αἵματι ἐλευθερωθῆναι λεγόντων, ἤδη τῆς μητρὸς συνειπούσης αὐτοῖς ἐπιρρωσθέντες, παραγενόμενοι πρὸς τὸν Κάταλον, τὸν μὲν κύριον Ἰησοῦν Χριστὸν δεσπότην τῶν ἑαυτῶν εἶπον ψυχῶν, τύχῃ δέ τινι τὴν τῶν σωμάτων αὐτὸν ἔχειν κυριότητα· εἶναι δὲ προτιμοτέραν ἐπ᾽ αὐτοῖς τὴν τοῦ Χριστοῦ ἐξουσίαν· « Πειθαρχεῖν γὰρ δεῖ, φησίν, μᾶλλον Θεῷ ἢ » ἀνθρώποις. » Ἐκπλαγέντος οὖν ἐπὶ τοῦτο τοῦ Κατάλου, τέως μὲν πέμπονται μετὰ τῆς μητρὸς ἐν τῷ Τριτωνίῳ πρὸς Ἕσπερον τὸν πατέρα αὐτῶν. Ὕστερον δὲ γενέθλια τεχθέντος παιδὸς τελῶν ὁ Κάταλος, ἐκ τῶν παρεσκευασμένων [2] οἶνον καὶ κρέας αὐτοῖς ἔγνωκεν ἀποστεῖλαι, πειρώμενος εἰ μεταλήψονται τῶν εἰδωλοθύτων· ἀντὶ δὲ τοῦ μεταλαβεῖν αὐτῶν, τοῖς κυσὶ βαλούσης ταῦτα τῆς μητρὸς αὐτῶν Ζωῆς, ὡς ὁ Κάταλος ἐπύθετο, τὴν ὀργὴν ἀνάψας πρῶτον μὲν τὰ νήπια κρεμασθῆναι κελεύει καὶ σιδηροῖς ὄνυξι ξέεσθαι, οἷς ὑπεφώνουν καὶ παρεθάρσυνον οἱ μὲν γεννήτορες μὴ ἐνδοῦναι, ἀλλὰ καρτερεῖν μέχρι τέλους καὶ πρὸς τὸν τοῦ μαρτυρίου στέφανον ἀποβλέπειν. Ἔπειτα δὲ κατενεχθῆναι καὶ μετὰ τῆς μητρὸς τυφθῆναι σφοδρῶς, εἶτα ἐκκαυθῆναι κλίβανον, καὶ τοὺς ἁγίους ἐμβληθῆναι· ἐν ᾧ γενόμενοι τὰς ἑαυτῶν ψυχὰς ἀπέδωκαν τῷ Θεῷ. Ἕωθεν δὲ φωνῶν ἐν τῷ κλιβάνῳ ἐξηχουμένων [3] ὥσπερ ψαλλόντων τινῶν, ἀνοίξαντες οὐδένα εὗρον εἰ μὴ τοὺς ἁγίους ἐν σχήματι καθευδόντων [4] κατ᾽ ἀνατολὰς τετραμμένους [5]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Δευτέρῳ. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 2. 1. — Τιμοθέου καὶ Μαύρας (Mai 3¹). — **Bc** : 2. 1. — **C** : 2 (Ἑσπερίου...). — 1. — **Ce** : 2. 1. — **Cg** : 2 (Ἑσπέρου...). — 1. — Τῆς ἁγίας μάρτυρος Οὐλίβας (alia manu). — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. 2. — **Rc** : 2. — Πέτρου τοῦ θαυματουργοῦ (Mai 3²). — **Mc** : 1. 2. — Σιλβανοῦ (Mai 4²). — Οἱ ἅγιοι μ΄ μάρτυρες ξ. τ. — Ὁ ὅσιος Ἰορδάνης ὁ θαυματουργὸς ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — **Mr** : 1 : μνήμη τῆς ἀνακομιδῆς τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου.

Mai 3. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. 2 : Πέτρου τοῦ θαυματουργοῦ ἐπισκόπου Ἄργους. Οὗτος τὴν Κωνσταντινούπολιν πατρίδα ἔσχεν, πατέρων δὲ ἔφυ θεοφιλῶν καὶ τὸν μονήρη βίον ἑλομένων πανοικεσίᾳ. Καὶ τῶν μὲν ἀδελφῶν προαποκειραμένων Παύλου τε καὶ Διονυσίου, κατὰ ζῆλον ἐκείνων καὶ μίμησιν καὶ αὐτὸς ἅμα Πλάτωνι τῷ ἀδελφῷ ὑπέδυ τὸν ἀσκητικὸν ἀγῶνα· καὶ τοσοῦτον

[1] *supplevi, om.* D. — [2] παράσκευασμένων D. — [3] ἐξηγουμένων D. — [4] καθοδευόντων D. — [5] τεταμμένους D.

Mai 3.

τῶν ὀφθαλμῶν αὐτοῦ κόραι διατακεῖσαι ἐξέπεσον[6]. Εἶτα δεσμοῦσιν ἐπὶ τροχοῦ τοὺς ἀστραγάλους αὐτοῦ καὶ κημὸν ὑποβαλόντες τῷ στόματι αὐτοῦ[7], κρεμοῦσι[8] κατὰ κεφαλῆς λίθον αὐτοῦ τῷ τραχήλῳ προσδήσαντες. Ὡς δὲ τούτοις οὐκ ἐνεδίδου, τὴν γαμετὴν αὐτοῦ Μαύραν ἀπατήσας ὁ ἡγεμὼν ἔπεισε[9] διὰ κολακείας τῇ θεραπείᾳ τῶν εἰδώλων προσαγαγεῖν αὐτὸν[10]· ἥτις οὐ μόνον οὐκ ἔπεισεν, ἀλλὰ καὶ μᾶλλον ἐπείσθη ταῖς παραινέσεσι τοῦ ἁγίου, καὶ τοῦ ἡγεμόνος ἐνώπιον χριστιανὴν ἑαυτὴν ὡμολόγησεν. Τίλλεται οὖν τὰς τρίχας τῆς κεφαλῆς καὶ τοὺς δακτύλους τέμνεται καὶ βαπτίζεται[11] θερμῷ ὕδατι, ἐν ᾧ μείνασα ἄφλεκτος ὑπόνοιαν παρέσχε τῷ ἡγεμόνι, ὡς οὐ θερμὸν ἀλλὰ ψυχρὸν ἦν τὸ ὕδωρ, ἔνθα ἐβλήθη· ὅθεν ἐξ αὐτοῦ ἐπιρραντισθῆναι κατὰ τῆς ἑαυτοῦ χειρὸς ἐκέλευσεν[12]. Τῆς δὲ ἁγίας τῇ χειρὶ λαβούσης ἀπὸ τοῦ λέβητος καὶ ἐπιβαλλούσης αὐτῷ, ἀπερρύη[13] τὸ δέρμα ἀπὸ τῆς χειρὸς τοῦ ἡγεμόνος, ἔνθα τὸ θερμὸν ἐπεχέθη[14]. Σταυροῦνται οὖν μετὰ ταῦτα ἀμφότεροι· καὶ ἐπιμείναντες ἡμέρας ἐννέα τῇ ἀναρτήσει, ἐν αἷς ἐκ διαδοχῆς ἀλλήλοις[15] παραινοῦντες ἐγκαρτερεῖν καὶ μὴ ἐνδοῦναι συνεβούλευον, τῷ Κυρίῳ τὰ ἑαυτῶν παρέδωκαν πνεύματα. Λέγεται δὲ ὡς ἐν ἐκστάσει ἐλθεῖν[16] τὸν διάβολον τῇ ἁγίᾳ μάρτυρι ἐπὶ[17] τῷ σταυρῷ ἠρτημένῃ[18] καὶ ὀρέγειν ποτήριον μέλιτος καὶ γάλακτος ἔμπλεων[10], πιεῖν προτρεπόμενον, τὴν δὲ δι' εὐχῆς ἀπώσασθαι· καὶ πάλιν ἐπὶ ποταμὸν ἀγαγεῖν, ῥέοντα τοὺς προοφθέντας[19] χυμούς, καὶ πιεῖν ἐπιτρέπειν[20], τὴν δὲ ἀντειπεῖν· « Οὐκ ἐξ αὐτῶν πίομαι, ἀλλ' ἐκ τοῦ ποτηρίου οὗ[21] » μοι ὁ Χριστὸς καὶ Θεός μου[22] ἐκεράσατο », καὶ τὸν μὲν διάβολον ἡττημένον ἀπελθεῖν, ἄγγελον δὲ τοῦ Θεοῦ δόξαι τὴν ἁγίαν παραστάντα[23] εἰς τὸν οὐρανὸν ἀγαγεῖν τῆς χειρὸς λαβόμενον καὶ ὑποδεῖξαι[24] αὐτῇ θρόνον καὶ λευκὴν στολὴν[25] ἐπ' αὐτῷ καὶ στέφανον καὶ εἰπεῖν ἑτοιμασθῆναι ταῦτα αὐτῇ[26]· εἶτα πρὸς ὑψηλότερον τόπον ἀγαγεῖν[27] καὶ πάλιν ὑποδεῖξαι θρόνον ἕτερον καὶ διαπρεπῆ στολὴν καὶ στέφανον, καὶ προσειπεῖν ὅτι· « Ταῦτα » τῷ ἀνδρί σου ἀπεκληρώθησαν· τὴν δὲ κατὰ τὸν » τόπον διαφορὰν τοῦτο δηλοῦν ὅτι πρόξενός σοι » τῆς σωτηρίας καὶ τοῦ στεφάνου ἐκεῖνος[28] γεγέ» νηται. » Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πέραν ἐν Ἰουστινιαναῖς.

f. 207v.

2. | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου ἐπισκόπου Ἄργους τοῦ θαυματουργοῦ. Οὗτος τὴν Κωνσταντινούπολιν πατρίδα ἔσχε· πατέρων δὲ ἔφυ θεοφιλῶν καὶ τὸν μονήρη βίον ἑλομένων πανοικεσίᾳ. Καὶ τῶν ἀδελφῶν προαποκειραμένων Παύλου τε καὶ Διονυσίου, κατὰ ζῆλον ἐκείνων καὶ μίμησιν καὶ αὐτὸς ἅμα Πλάτωνι τῷ ἀδελφῷ ὑπέδυ τὸν ἀσκητικὸν ἀγῶνα καὶ τοσοῦτον ἠγωνίσατο, ὅσον οὐκ ἔστιν εἰπεῖν. Οὐ μόνον ἀγρυπνίᾳ καὶ μελέτῃ τῶν θείων γραφῶν πάντας ἐνίκησεν ἀλλὰ καὶ ἐλεημοσύνῃ τῇ πρὸς τοὺς πένητας καὶ συμπαθείᾳ. Διὰ δὲ τὴν εἰς ἄκραν ἀρετὴν αὐτοῦ καταναγκασθεὶς γενέσθαι Κορίνθου ἀρχιεπίσκοπος, οὐκ ἐπείσθη διὰ ταπείνωσιν καὶ εὐλάβειαν, καὶ χειροτονηθέντι Παύλῳ τῷ ἀδελφῷ αὐτοῦ συγκατῆλθε καὶ παρακλήσει τῶν Ἀργείων καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ἐχειροτονήθη Ἄργους ἐπίσκοπος. Καὶ οὕτως ἐσπούδασεν εἰς ἐλεημοσύνην,

— [6] ἐξέπεσαν D. — [7] ὑποβάλλοντες τῷ σ. α. S, ὑπ. τ. αὐτοῦ σ. D. — [8] κρεμνοῦσι D. — [9] κοσμησαμένην *add.* D. — [10] αὐτῷ S. *om.* D. — [11] ἐν *add.* D. — [12] ὅθεν ἐπ. αὐτῷ κατὰ τῆς χ. κελεύσας D. — [13] συναπερρύει D. — [14] ἐπεχύθη D. — [15] ἀλλήλους D. — [16] προσελθεῖν D. — [17] ἔτι D. — [18] ἠρτημένην D. — [19] προοφθέντα D. — [20] ἐπιτρέπτειν S, ἐπιτρέπων D. — [21] ὃν D. — [22] (ὁ Χ. κ. Θ. μου) Χριστὸς D. — [23] δόξας τ. ά. π. S, παραστάντα δόξαι τὴν ἁγίαν D. — [24] D, λαβομένην καὶ ὑποδείξας S. — [25] στ. λ. D. — [26] αὐτὴν D. — [27] ἀναγεῖν D. — [28] ἐκείνου D.

Mai 3.

ἐφιλονείκησεν ὑπερβαλέσθαι τῷ φερεπόνῳ τοὺς ἥλικας, ὡς ἀρχετύπῳ τούτῳ χρήσασθαι αὐτούς τε καὶ τοὺς ἄλλους καὶ πᾶν εἴ τι τῶν ἐκείνῳ[1] προσόντων καλῶν μετεγγράφειν καὶ μεθαρμόζειν τὸν οἰκεῖον βίον· ὃν καὶ τῆς ἀρετῆς καὶ λογιότητος ἀγασθεὶς ὁ τότε ἀρχιερεὺς — Νικόλαος δὲ ἦν ὁ Ἰταλός — διὰ σπουδῆς εἶχεν ἀρχιερωσύνῃ τιμῆσαι. Ὁ δὲ τοῖς τότε τελουμένοις ἀπαρεσκόμενος ἀνένδοτος ἦν· Παῦλον δὲ τὸν ἀδελφὸν ὑπελθὼν παραινέσεσι πείθει καὶ ἀρχιερέα καθίστησι τῇ ἐκκλησίᾳ Κορίνθου. Πέτρος δὲ τὴν βίαν ἀποδιδράσκων συγκατῄει τῷ ἀδελφῷ ἐν Κορίνθῳ καὶ ἡσύχως χρόνον διῆγε συχνόν. Ἀλλ' οὐκ εἰς τέλος ἀπώνατο τοῦ σκοποῦ· τῷ γὰρ ἀποβιῶναι τὸν τῶν Ἀργείων πρόεδρον ἧκον αὐτοί τε Ἀργεῖοι καὶ Ναύπλιοι, μακρὰν ἱκετηρίαν πρὸς Παῦλον ποιούμενοι δοθῆναι αὐτοῖς ἀρχιερέα τὸν ἀδελφόν· ὃς καταναγκαζόμενος ἐπὶ τοσοῦτον ἀνένευσεν, ὡς καὶ φυγῇ χρήσασθαι χρόνῳ ἐφ' ἱκανῷ. Ὡς δ' ἐπανῆκεν, ἐπὶ μᾶλλον διενοχλεῖτο, κατὰ μικρὸν δὲ τοῖς ἐκείνων δάκρυσι καὶ δεήσεσιν ὑπενδούς, τὴν προστασίαν αὐτῶν ἀνεδέξατο. Ὡς δὲ πιστῶν ἔργων ἐγένετο, ἐπεμελήθη μὲν τῆς εὐταξίας τοῦ ἱεροῦ, ἐπεμελήθη δὲ καὶ τῆς ὑπ' αὐτὸν ἐφορείας, ἐπὶ τοσοῦτον δ' ἐξέτεινε τὴν χεῖρα πρὸς ἔλεον, ὡς μηδ' αὐτοῦ φείδεσθαι τοῦ χιτῶνος, ὀρφανοὺς ἀποτρέφων, χήρας ἐπαρκῶν, πτωχοῖς καὶ ἀναπήροις τὸ σῶμα χορηγῶν καὶ πᾶσι τοῖς ἐλέου χρῄζουσι ἱλαρῶς κατακενῶν τὸν ἔλεον, ὡς καί ποτε λιμοῦ τὴν[2] Πέλοπος κατατρύχοντος πολλὰς διαθρέψαι μυριάδας, τῇ δὲ ἀφειδείᾳ τῆς χειρὸς ὑπολειφθέντος[3] ἐν πίθῳ ἀλεύρου ὀλίγου, εὑρεθῆναι πλήρη τὸν πίθον καὶ ἐφ' ἱκανῷ ἐπαρκέσαι χρόνῳ τοῖς δεομένοις καὶ αὐτοῖς τοῖς περὶ αὐτόν, αἰχμαλώτους τε λύτρῳ[4] ἀναρρύεσθαι· καὶ τοὺς ὑπὸ στερεωτέρας ἑλκομένους χειρὸς τῆς ἐκείνων βίας ἐλευθερῶν, κόρην τε παρθένον δαιμονῶσαν ἰάσασθαι καὶ τὸ τῆς[5] Πέλοπος πάθος προειπεῖν δι' αἰνίγματος[6] καὶ αὐτὸ δὲ γνῶναι τὸ πέρας τῆς ἑαυτοῦ τελευτῆς. Ἤδη γὰρ γεγονὼς ἔτη ο'[7] μετὰ μυρίους ἱδρῶτας τῆς ἀρετῆς τὴν μακαρίαν ψυχὴν[8] διαθείς, καὶ μετὰ τέλος δήλους δείκνυσι τὰς ἐνεργείας, μύρα προχέων ἐκ τῆς ἁγίας σοροῦ καὶ δαίμονας ἀπελαύνων καὶ νόσους παντοίας ἰώμενος καὶ ὑποφαίνων τὴν μακαριότητα τῶν[9] ἐκεῖθεν αὐτὸν ἐκδεξαμένων[10] γερῶν ἐκ Θεοῦ. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. —

[1] ἐκείνων D. — [2] τὴν [illegible]ν D. — [3] ὑπολειφθέντι D. — [4] λύτρον D. — [5] τοῦ D. — [6] αἰνίματος D. — [7] ὅς καὶ *add.* D. — [8] τῶν μακαρίων ψυχῶν D. — [9] τὴν D. — [10] ἐνδεξομένην D.

ὡς μηδὲν καθεκάστην συγχωρεῖν εὑρίσκεσθαι ἐν τῷ κελλίῳ αὐτοῦ πλὴν τοῦ χιτῶνος ὃν ἐφόρει, καὶ μηδ' ἐκείνου φείδεσθαι πτωχοῦ προσελθόντος· ὡς καί ποτε λιμοῦ τὴν Πέλοπος κατατρύχοντος, πολλὰς διαθρέψαι μυριάδας, τῇ δε ἀφειδείᾳ τῆς χειρὸς ὑπολειφθέντος ἐν πίθῳ ἀλεύρου ὀλίγου, εὑρεθῆναι πλήρη τὸν πίθον καὶ ἐφ' ἱκανὸν ἐπαρκέσαι χρόνον τοῖς δεομένοις καὶ αὐτοῖς τοῖς περὶ αὐτόν· αἰχμαλώτους δὲ λύτρῳ[1] ἀναρρύεσθαι καὶ τοὺς ὑπὸ στερεωτέρας ἑλκομένους χειρὸς τῆς ἐκείνων βίας ἐλευθεροῦν, κόρην τε παρθένον δαιμονῶσαν ἰάσασθαι καὶ τὸ τῆς τοῦ Πέλοπος πάθος προειπεῖν δι' αἰνίγματος, καὶ αὐτὸ δὲ γνῶναι τὸ πέρας τῆς ἑαυτοῦ τελευτῆς. Ἤδη γὰρ γεγονὼς ἐτῶν ἑβδομήκοντα καὶ μετὰ μυρίους ἱδρῶτας τῆς ἀρετῆς τὴν μακαρίαν ψυχὴν διαθείς, | καὶ μετὰ τέλος διαδήλους δείκνυσι τὰς ἐνεργείας, μύρα προχέων ἐκ τῆς ἁγίας σοροῦ καὶ δαίμονας ἀπελαύνων καὶ νόσους παντοίας ἰώμενος καὶ ὑποφαίνων τὴν[2] μακαριότητα τῶν ἐκεῖθεν αὐτὸν[3] διαδεξαμένων γερῶν ἐκ Θεοῦ.

Mai 3. f. 208.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Mai 4.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος[1] Εἰρήνης. Αὕτη θυγάτηρ ἦν μονογενὴς[2] Λικινίου βασιλίσκου καὶ Λικινίας[3] μητρός, ἐκ πόλεως Μαγεδών, Πηνελόπη παρὰ τῶν γονέων πρότερον ὀνομασθεῖσα. Οὖσα δὲ τῷ σώματι διαπρεπὴς καὶ τῷ κάλλει τὰς κατ' αὐτὴν ὑπερβάλλουσα, ἐφ' ὑψηλοῦ πύργου διῆγεν, ὃν ὁ πατὴρ αὐτῇ[4] ᾠκοδόμησε, μετὰ παιδισκαρίων εὐμόρφων δεκατριῶν, πολὺν καὶ ἄφθονον εἰς ὑπηρεσίαν ἔχουσα πλοῦτον καὶ θρόνον καὶ τράπεζαν καὶ λυχνίαν κατασκευασθέντα πάντα χρυσᾶ[5]. Ἦν δὲ ὅτε <ἐν[6]> τῷ πύργῳ παρὰ τοῦ πατρὸς ἐτέθη, χρόνων ἕξ, ἐν αὐτῷ διαγαγοῦσα ἑτέρους χρόνους ἕξ[7] παρὰ Ἀμπελιανοῦ[8] γέροντός τινος παιδαγωγουμένη, ὃν πρὸς αὐτὴν ἔταξεν ὁ Λικίνιος[9]. Ἐν μιᾷ οὖν ὁρᾷ καθ' ὕπνους[10] περιστερὰν εἰσελθοῦσαν ἐπιφερομένην κάρφος ἐλαίας, καὶ[11] παρὰ τὴν τράπεζαν ἔθηκεν, καὶ ἀετὸν ἐπικομιζόμενον[12] στέφανον ἐξ ἀνθέων καὶ ἐπὶ τῆς τραπέζης θέντα αὐτόν· εἶτα αὖθις δι' ἄλλης θυρίδος εἰσελθόντα[13] κόρακα καὶ ὄφιν ἐπιθέντα τῇ τραπέζῃ. Ἀπορούσης δὲ[14] αὐτῆς καὶ διαλογιζομένης, τί ἄρα τὰ ὀφθέντα δηλοῦσιν[15], ὁ γέρων Ἀμπελιανὸς αὐτῇ διεσάφησε τὴν μὲν περιστερὰν[16] παιδευτήριον γνώμης εἶναι, τὸ δὲ κάρφος τῆς ἐλαίας σφραγῖδα πραγμάτων καὶ ἀνοικτήριον βαπτίσματος· τὸν δὲ ἀετὸν βασιλέα ἐν ὄρνισιν ὄντα[17], διὰ τοῦ στεφάνου τὴν ἐπὶ τοῖς ἐκλεκτοῖς αὐτῇ καὶ καλοῖς[18] προσημαίνειν νίκην, τὸν δὲ κόρακα διὰ τοῦ ὄφεως θλίψιν καὶ ταλαιπωρίαν ὑποφαίνειν[19]· καὶ ὅλως αὐτῇ δι' ὧν ἡρμήνευσε τὸν ἀγῶνα τοῦ μαρτυρίου παρέστησεν, ὃν διὰ τὸν Θεὸν[20] ἔμελλεν ἐξανύειν. Τὰ δὲ ἐντεῦθεν παράδοξα πάντα περὶ αὐτῆς λέγεται. Τεθῆναι[21] γάρ φασιν αὐτῇ[22] ὄνομα καὶ κληθῆναι[23] ὑπὸ ἀγγέλου ἀντὶ Πηνελόπης Εἰρήνην, καὶ τὰ περὶ Χριστοῦ μυηθῆναι· καὶ ὅτι ἔσονται τῶν σωθησομένων ὑπ' αὐτῆς ψυχῶν πολλαὶ μυριάδες, πρὸς[24] τοῦ ἀγγέλου λεχθῆναι, καὶ ὡς[25] ἐπιστήσεται αὐτῇ ὁ τοῦ Παύλου μαθητὴς Τιμόθεος καὶ βαπτίσει αὐτήν. Τούτου δὲ γενομένου[26], τὰ τοῦ πατρὸς συντρίψασα εἴδωλα κάτω ἔβαλεν· ἐξετάζεται δὲ πρῶτον μὲν[27] ὑπὸ[28] τοῦ ἰδίου πατρός, ὃς ἵπποις αὐτὴν συμπατηθῆναι | ἐκέλευσεν. Ὧν ἑνὸς[29] ἀντὶ τοῦ δρᾶσαι ταύτην[27] τι δεινὸν[30] τὴν δεξιὰν χεῖρα τοῦ βασιλέως συντρίψαντος[31] καὶ αὐτὸν θανατώσαντος[32] καὶ ἀνθρωπίνῃ φωνῇ τὴν ἁγίαν[33] μάρτυρα[27] μακαρίσαντος[34], αὐτή τε[35] τῶν δεσμῶν ἐλύθη καὶ παρακληθεῖσα ὑπὸ τῶν παρόντων[36] δι' εὐχῆς τὸν πατέρα ἀνέστησεν, ὃς μετὰ τρισχιλίων

f. 208v.

2. — [1] λύτρων S. — [2] διὰ *add.* S. — [3] αὐτῶν S.

1. — [1] μεγαλομάρτυρος Mc *ad d. Martii 4.* — [2] μονογεννὴς S. — [3] Λικιννίου ... Λικιννίας S. — [4] αὐτῆς Mc. — [5] χρυσιῶ Mc. — [6] Mc, *om.* S. — [7] (ἐν ᾧ *ita* S - ἕξ) *om.* Mc. — [8] Ἀπελλιανοῦ Mc. — [9] (ὃν - Λικίνιος) *om.* Mc. — [10] καθ' ὕπνους *om.* Mc. — [11] ὃ Mc. — [12] ἀκανθῶν *add.* Mc. — [13] εἶτα εἰσ. δι' ἄλλης θ. Mc. — [14] οὖν Mc. — [15] τὰ ὁραθέντα σημαίνειν βούλονται Mc. — [16] λέγων *add.* Mc. — [17] ὄντα ἐν ὁ. Mc. — [18] αὐτῇ *add.* Mc. — [19] ὑπεμφαίνειν Mc. — [20] δ. τ. Θ. *om.* Mc. — [21] ὀνομασθῆναι Mc. — [22] αὐτὴν Mc. — [23] ὄ. κ. κλ. *om.* Mc. — [24] (καὶ ὅτι - πρός) καὶ ὡς πολλαὶ τῶν δι' αὐτῆς σωθησομένων ἔσονται χιλιάδες Mc. — [25] ὅτι Mc. — [26] τελεσθέντος Mc. — [27] *om.* Mc. — [28] παρὰ Mc. — [29] εἷς Mc. — [30] τὸν μάρτυρα *add.* Mc. — [31] συνέτριψε Mc. — [32] ἐθανάτωσε Mc. — [33] ὥς φασιν Mc. — [34] ἐμακάρισεν Mc. — [35] δὲ Mc. — [36] καὶ ὑπὸ παρόντων παρακληθεῖσα Mc.

Mai 2.

N : 1. 2. — **Bb** : 2. — **Bc** : 1. 2. — **C** : 1. 2. — **Cd** : 1. 2. — **Cg** : 1. 2. — **R** : 1. — Σιλβανοῦ (Mai 4[2]). — **Ra** : 1. — **Rb** : 1. — Ἱλαρίου τοῦ θαυματουργοῦ (Mai 4[4]). — **Rc** : 1. — **Mc** : 1 : Τιμοθέου καὶ Μαύρας. Διωγμοῦ κατὰ χριστιανῶν κινηθέντος, κρατηθεὶς σὺν τοῖς ἄλλοις καὶ ὁ θεῖος Τιμόθεος καὶ τῷ δυσσεβεῖ παραδοθεὶς ἡγεμόνι, παρρησιάζεται λαμπρῶς τὴν εὐσέβειαν καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν... Des. : σταυρωθέντες οὖν ἐκρέμαντο νυχθήμερα ἐννέα, ἀλλήλους ὁρῶντες καὶ ὑπαλείφοντες πρὸς τοὺς στεφάνους τῆς νίκης· τῇ δὲ δεκάτῃ ἡμέρᾳ τῷ Θεῷ παρέθεντο τὰς ψυχάς. — 2. — Οἱ ἅγιοι κζ' μάρτυρες π. τ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα ἀνάληψις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — **Mv** : 1. — Διοδώρου καὶ Ῥοδοπιανοῦ διακόνου (April. 29[3]). — **Mr** : 1.

Mai 4.

SYNAXARIA SELECTA. **H** : 2. 3. — Νικηφόρου ἡγουμένου Μηδικίου (Mai 5[2]). — 5. 6. 7. — **P** : 2. 5. 3. — Ἀνδρέου Κρήτος. — **D** : 4. 2. 3. — Νικηφόρου. — 6. 7 : συνεορτάζεται δὲ καὶ τὰ ἐγκαίνια τῆς ἐν τῇ τοιαύτῃ μονῇ ἐκκλησίας. — **Da** : Νικήτα πρεσβυτέρου καὶ ἡγουμένου μονῆς τοῦ Μηδικίου (April. 3[1]). — 4. 2. 3. — **Db** : Νικήτα. — 4 (Ἱλαρίου). — 2. 3. — **K** : Νικήτα. — 4 (Ἱλαρίου). — 2. 3. — **N** : Νικηφόρου. — 2. 3. — **Bb** : 2. 3. — Νικήτα τοῦ Μηδικιώτου. — 4 (Ἱλαρίου). — **Bc** : 2. 3. — Νικηφόρου ἡγουμένου. — 4 (Ἱλαρίου). — **C** : 2. 3. — Νικήτα. — 4 (Ἱλαρίου). — 5. 6. — **Cd** : 2. 3. —

Mai 4. ἀνδρῶν καὶ τῆς αὐτοῦ γαμετῆς, τῆς δὲ ἁγίας Εἰρήνης μητρός, εἰς τὸν σωτῆρα[37] Χριστὸν ἐπίστευσεν καὶ τὸ εἰς αὐτὸν ἐδέξατο[38] βάπτισμα· καὶ τὴν βασιλείαν καταλιπὼν ἐν τῷ πύργῳ, ὃν τῇ θυγατρὶ ᾠκοδόμησε, τοῦ λοιποῦ κατεβίωσε. Διαδεξαμένου δὲ τὴν βασιλείαν Σεδεκίου, αὖθις ἡ ἁγία ὑπὲρ τοῦ θῦσαι τοῖς εἰδώλοις εἰς ἀνάγκην καθίσταται καὶ μὴ πεισθεῖσα εἰς λάκκον βαθύτατον κατὰ κεφαλῆς ἐξωθεῖται[39], ἐν ᾧ ἰοβόλων ἑρπετῶν παντοῖα ἐτύγχανον γένη[40]. Ἐκεῖθεν δὲ ἀβλαβὴς μετὰ τεσσαρεσκαίδεκα ἡμέρας ἐξελθοῦσα πρίζεται[41] τοὺς πόδας καὶ αὖθις ὑπὸ ἀγγέλου καθίσταται ὑγιής· εἶτα ἐν τροχῷ δεσμεῖται. Τοῦ δὲ ὕδατος κατασταλέντος, ὃ καταφερόμενον τὸν τροχὸν ἐκίνει[42], ἡ ἁγία φυλάττεται ἀβλαβής. Ἐπὶ δὲ τῷ τοιούτῳ θαύματι προσῆλθον τῇ πίστει τοῦ[43] Χριστοῦ χιλιάδες ὀκτὼ ψυχῶν λογικῶν[44]. Τοῦ δὲ βασιλέως Σεδεκίου ἐκπεσόντος τῆς βασιλείας, Σαβὼρ δὲ τοῦ υἱοῦ αὐτοῦ κατὰ τῶν ἐκβαλόντων στρατευσαμένου, ὑπαντήσασα αὐτῷ πρὸ τῆς πόλεως ἡ ἁγία Εἰρήνη, αὐτόν τε καὶ τὸν μετ' αὐτοῦ πάντα[43] στρατὸν τυφλώσει δι' εὐχῆς καὶ ἀορασίᾳ ἐπάταξε· καὶ πάλιν εὐξαμένη βλέπειν ἐποίησε. Καθηλοῦται οὖν τὰς πτέρνας ἥλοις, καὶ σάκκος αὐτῇ ψάμμου μεστὸς ἐπιτίθεται καὶ ἐπὶ τρισὶ μιλίοις ἐλαύνεται. Τῆς δὲ[45] γῆς διχῇ διαιρεθείσης καὶ τοῖς[46] λαγόσιν αὐτῆς τοὺς ὑπηρέτας τοῦ τυράννου[47] καὶ ἐκ τῶν ἀπίστων ὑποδεξαμένης ἄνδρας[48] χιλιάδας δέκα, προσῆλθον[49] ἕτεροι τῇ πίστει τῇ εἰς Χριστὸν ἄνδρες ἕτεροι ὡσεὶ τριάκοντα χιλιάδες. Ἔτι δὲ ἐπιμένοντα τὸν βασιλέα τῇ ἀπιστίᾳ[50] προσελθὼν ἐπάταξεν ἄγγελος· ἐν ἀδείᾳ δὲ τῆς μάρτυρος γενομένης καὶ διὰ τῆς πόλεως φοιτώσης, πολλαὶ παραδοξοποιΐαι ἐνηργοῦντο δι' αὐτῆς. Ἐλθοῦσα δὲ κατὰ τὸν πύργον[51], ἐν ᾧ ὁ πατὴρ αὐτῆς ἦν μετὰ Τιμοθέου τοῦ πρεσβυτέρου, πέντε μυριάδας ψυχῶν λογικῶν τῇ διδασκαλίᾳ[52] προσελθεῖν τῷ Χριστῷ παρεσκεύασεν, καὶ σὺν αὐταῖς τοὺς τεταγμένους ἐν τῷ πύργῳ ἄνδρας τριακοντατρεῖς, οἳ πάντες τὴν ἐν Χριστῷ σφραγῖδα καὶ τὸ βάπτισμα ἔλαβον. Εἰς δὲ τὴν πόλιν Καλλίνικον[53], ἔνθα Νουμεριανὸς | ἦν ὁ βασιλεὺς συγγενὴς
f. 209. ὢν τῶν πρώην βασιλέων, καταντήσασα καὶ αὐτῷ κατὰ πρόσωπον[54] ὀφθεῖσα καὶ τῷ Χριστῷ[55] ὁμολογήσασα, ἐν τρισὶ χαλκοῖς βουσὶν ἐκπυρωθεῖσιν ἐμβάλλεται, ἀφ' ἑνὸς πρὸς τὸν δεύτερον, εἶτα πρὸς τὸν τρίτον μετατεθεῖσα[56]. Τοῦ δὲ τρίτου βοὸς ἐν ᾧ ἦν ἡ ἁγία[57] παραδόξως κινηθέντος καὶ περιπατήσαντος, εἶτα διαρραγέντος καὶ τῆς ἁγίας ἀφλέκτου προελθούσης[58], προσῆλθον τῷ Χριστῷ καὶ ἐπίστευσαν μυριάδες δέκα. Εἶτα τοῦ[59] βασιλέως[59] τὸν βίον καταστρέψαντος καὶ ἐν τῷ τελευτᾶν ἐντειλαμένου[60] τῷ ἐπάρχῳ μὴ παριδεῖν αὐτὴν ἀλλὰ τιμωρήσασθαι[61], τοῦ δὲ σιδήροις αὐτὴν καταδήσαντος καὶ πυρκαϊὰν ἐκ[59] ξύλων[59] κάτωθεν αὐτῆς ὑφάψαντος[62], διέμεινεν ἡ ἁγία ἀβλαβής, ἀγγέλου τὸ πῦρ κατασβέσαντος καὶ τὰ περικείμενα αὐτῇ δεσμὰ διαρρήξαντος, ὥστε θαυμάσαντα τὸν ἔπαρχον μετὰ τῶν συνόντων αὐτῷ πιστεῦσαι καὶ προσελθεῖν τῷ Χριστῷ. Τῆς δὲ περὶ αὐτὴν[63] φήμης διαδοθείσης, Σαβὼρ ὁ τῶν Περσῶν βασιλεὺς ξίφει τὸν αὐχένα αὐτῆς τμηθῆναι[64] ἐκέλευσε· καὶ τούτου γενομένου, ἐν μνήματι τίθεται καὶ αὖθις ὑπὸ ἀγγέλου ἀνίσταται, μακαρίσαντος αὐτὴν ἐφ' οἷς ὑπὲρ Χριστοῦ ἤθλησεν καὶ τοὺς δι' αὐτῆς πιστεύσαντας καὶ τοὺς εἰς τὸν ἔπειτα χρόνον μνησθησομένους αὐτῆς[65]. Μετὰ δὲ τὴν διὰ ξίφους τομὴν καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, λέγεται κλάδον ἐλαίας ἐν τῇ χειρὶ κατέχουσα[66] εἰσελθεῖν εἰς τὴν πόλιν Μεσημβρίας καὶ ὀφθῆναι τῷ βασιλεῖ· καὶ τὸν βασιλέα ἰδόντα[59] πιστεῦσαι τῷ Χριστῷ καὶ βαπτισθῆναι ὑπὸ Τιμοθέου τοῦ πρεσβυτέρου, μετὰ πλήθους μυριάδων ἑκατὸν δέκα· εἶτα τὴν ἁγίαν ἀφικέσθαι[67] ἐν τῇ πόλει αὐτῆς Μαγεδὼν παρὰ τοὺς γονεῖς αὐτῆς· καὶ τὸν μὲν πατέρα τὸν βίον ἤδη λιπόντα ἀποδακρῦσαι[68], συντάξασθαι δὲ τῇ μητρὶ καὶ ὑπὸ νεφέλης[69] ἀναληφθεῖσαν καταστῆναι[70] εἰς Ἔφεσον καὶ διάγειν ἐν αὐτῇ, ἐπιτελοῦσαν θαύματα πλεῖστα καὶ τιμωμένην ἴσα τῶν ἀποστόλων ἑνός[71]· μετὰ ταῦτα δὲ καταλαβεῖν Ἀμπελιανόν, ὃν ἐπέστησεν αὐτῇ διδάσκαλον τῶν ἱερῶν γραμμάτων ὁ πατὴρ ἐν τῷ πύργῳ, τὴν δὲ ἁγίαν[72] τοῖς ἐν Ἐφέσῳ συνταξαμένην καὶ μόνους ἓξ ἄνδρας παραλαβοῦσαν[73] καὶ τὸν Ἀμπελιανὸν ἐξελθεῖν ἔξω τῆς πόλεως· καὶ καινὴν εὑροῦσαν λάρνακα, ἐν ᾗ οὔπω οὐδεὶς[74] κατετέθη, καὶ ἐν αὐτῇ εἰσελθοῦσαν[75], προστάξαι

— [37] (τῆς - σωτῆρα) τῆς μητρὸς τῆς ἁγίας εἰς Mc. — [38] ἐπίστευσαν ... ἐδέξαντο Mc. — [39] ὠθεῖται Mc. — [40] καὶ ἑρπετῶν ἐτ. γ. παντοῖα Mc. — [41] πρίεται Mc. — [42] ὃ τ. τρ. ἐκίνει κ. Mc. — [43] om. Mc. — [44] ψ. λ. χ. ὀκτὼ Mc. — [45] εἶτα τῆς Mc. — [46] ταῖς Mc. — [47] τῶν τυράννων Mc. — [48] ὡσεὶ add. Mc. — [49] εὐθὺς add. Mc. — [50] (τῇ εἰς - ἀπιστίᾳ) ἄνδρες ὡσεὶ χ. τρ. ἔτι δὲ ἐπ. τῇ ἀπ. τὸν βασιλέα Mc. — [51] ἐν τῷ πύργῳ Mc. — [52] μυριάδες ... διδασκαλία S, μυριάδων πληθὺν διὰ τῆς διδασκαλίας Mc. — [53] ἐλθοῦσα add. Mc. — [54] βασιλέων καὶ κατὰ προσ. αὐτῷ Mc. — [55] παραστᾶσα καὶ τὸν Χριστόν Mc. — [56] μετενεχθεῖσα Mc. — [57] ἡ ἁγία ἦν Mc. — [58] ἐξελθούσης Mc. — [59] om. Mc. — [60] ἐντειλάμενος S. — [61] ἐπάρχῳ ποικίλως τιμωρήσασθαι τὴν ἁγίαν Mc. — [62] ὑπανάψαντος Mc. — [63] αὐτῆς Mc. — [64] αὐτῆς τὸν αὐχ. ἀποτμηθῆναι Mc. — [65] (ὑπὸ - αὐτῆς) θείᾳ νεύσει ἀνίσταται Mc. — [66] κατέχουσαν Mc. — [67] ὑπὸ τοῦ πρ. Τ. σὺν μυριάσι δέκα καὶ ὀνόμασιν ἑκατὸν εἶτα ἀφ. τὴν ἁγίαν Mc. — [68] πατέρα εὑρεῖν ἀπολιπόντα τὸν βίον Mc. — [69] νέφους Mc. — [70] ἀποκαταστῆναι Mc. — [71] (ἴσα - ἑνὸς) ὡς ἕνα τῶν ἀπ. Mc. — [72] Ἀπελλιανὸν τὸν πάλαι αὐτῆς διδάσκαλον εἶτα Mc. — [73] ἓξ μεθ' ἑαυτῆς συμπαραλαβοῦσαν Mc. — [74] τις Mc. — [75] εἰσελθοῦσα S.

Mai 4. Νικήτα. — 4 (Ἱλαρίωνος). — 5. 6. — **Cg** : 2 : Σιλβανοῦ. Οὗτος ἦν ἐκ τῆς τῶν Γαζαίων[1] χώρας πρότερον γεγονὼς στρατιώτης, διὰ δὲ τὸν ἐνάρετον αὐτοῦ βίον ὕστερον ἱερωσύνης καταξιοῦται, γενόμενος πρεσβύτερος, εἶτα ἐπίσκοπος ἐν τῇ τοῦ Χριστοῦ γεγήρακε ἐκκλησίᾳ. Οὕτω διδάσκων τὸν λόγον τοῦ Θεοῦ, ὑπὸ τῶν εἰδωλολατρῶν κρατηθεὶς ἄγεται μέσον τοῦ δήμου τῶν Καισαρέων[2], ὑφ' ὧν μαστίζεται, εἶτα ξέεται, ἔπειτα μετάλλοις[3] καταδικάζεται· καὶ πολλὰ πειρασθεὶς ἐν αὐτοῖς, τέλος ξίφει τὴν κεφαλὴν ἐκτέμνεται σὺν ἑτέροις σαράκοντα μάρτυσι· καὶ οὕτως παρέδωκαν τῷ Κυρίῳ τὰς ἑαυτῶν ψυχάς. — 3 : Ὀλβιανοῦ ἐπισκόπου καὶ τῶν μαθητῶν αὐτοῦ. Οὗτος ἐπίσκοπος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως,

[1] Γαζέων Cg. — [2] Καισαραίων Cg. — [3] μετ' ἄλλοις Cg.

μέχρι τεσσάρων ἡμερῶν μηδένα κινῆσαι τὸν ἐπικείμενον λίθον. Ὃν ἐπιθεὶς αὐτῇ Ἀμπελιανὸς ὁ
f. 209v. διδάσκαλος καὶ πάλιν ἐλθών, | ἡμερῶν δύο διαγενομένων, αὐτόν τε τὸν λίθον εὗρεν ἠρμένον καὶ τὸ σῶμα τῆς μάρτυρος. Ταῦτα δὲ κατὰ μὲν ἀνθρωπίνους καὶ ταπεινοὺς λογισμοὺς ἴσως τισὶν[76] ἄπιστα δόξουσιν· τῷ Θεῷ δὲ πάντα δυνατὰ <τα> τοῖς[77] ἀνθρώποις ἀνέφικτα. Κατέστη δὲ εἰς ἐξέτασιν ἡ ἁγία πρῶτον ὑπὸ[78] τοῦ πατρὸς αὐτῆς Λικινίου, ἔπειτα ὑπὸ[79] Σεδεκίου καὶ Σαβωρίου καὶ Νουμεριανοῦ, υἱοῦ Σεβαστιανοῦ, καὶ ὑπὸ τοῦ ὑπάρχου Βαβώδωνος καὶ Σαβωρίου[80] τοῦ Περσῶν βασιλέως. Αἱ δὲ πόλεις, ἐν αἷς ἐμαρτύρησεν, εἰσὶ[81] Μαγεδὼν ἡ αὐτῆς πατρίς, καὶ[82] Καλλίνικος καὶ Κωνσταντίνα[83] καὶ Μεσημβρία· τὰ δὲ τοῦ μαρτυρίου αὐτῆς ὑπομνήματα συνεγράψατο Ἀμπελιανὸς ὁ ταύτης[84] διδάσκαλος[85].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Σιλβανοῦ ἐπισκόπου. Οὗτος ἦν ἐκ τῆς Γαζαίων[1] χώρας, στρατιώτης τὸ πρότερον γεγονώς· ὕστερον δὲ διὰ τὴν ὑψηλὴν αὐτοῦ πολιτείαν καὶ τὸν καθαρώτατον βίον ἱερωσύνης καταξιοῦται[2], διὰ τῶν ἀκολούθων βαθμῶν ἐπὶ τὴν ἀρχιερωσύνην ἐλθών. Μέχρι δὲ γήρως τῇ διδασκαλίᾳ κατὰ τὴν τοῦ Χριστοῦ[3] ἐκκλησίαν σχολάζων, ὑπὸ τῶν ἀπίστων μέσον τοῦ δήμου τῶν Καισαρέων μαστίζεται, εἶτα ξέεται καὶ τοῖς μετάλλοις ἐπὶ[4] χρόνον πολὺν πονεῖν καταδικάζεται· μετὰ ταῦτα δὲ τὴν κεφαλὴν ἀποτέμνεται σὺν ἑτέροις τεσσαράκοντα μάρτυσιν, ὧν οἱ μὲν ἐξ Αἰγύπτου, οἱ δὲ ἐκ Παλαιστίνης ὑπῆρχον[5].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος[1] Ὀλβιανοῦ ἐπισκόπου καὶ τῶν αὐτοῦ μαθητῶν. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἡγεμονεύοντος τῆς Ἀσίας Ἰουλίου Σέξτου[2] Αἰλιανοῦ. Ἀγριππίνου <δὲ[3]> καὶ Κλημεντίου τῶν νεωκόρων θυσίαν ἐπιτελούντων τῇ Ἥρῃ[4], ἠναγκάζετο[5] καὶ ὁ[6] Ὀλβιανὸς ὁ ἅγιος[7] ἐπίσκοπος θῦσαι. Ὁ δὲ πολλαῖς ἀντιθέσεσι καὶ λόγοις[7] τὴν κατὰ Χριστὸν πίστιν ἐξυμνῶν καὶ ἀποσεμνύνων[8], τὴν δὲ εἰς τὰ εἴδωλα[9] κακίζων καὶ διαβάλλων[10], πρῶτον μὲν ὀβελίσκοις πεπυρωμένοις τὸν νῶτον καὶ τὰ
Mai 4. σπλάγχνα διακαίεται. Ὡς δὲ οὐκ ἐνεδίδου οὐδὲ θῦσαι τῷ ἡλίῳ ἐπείθετο, ἀνενεχθέντος[11] περὶ αὐτοῦ τῷ ἀνθυπάτῳ καὶ προστάξαντος[12], ῥάβδοις ἀφειδῶς[7] τύπτεται, εἶθ' οὕτως μετ' αὐτῶν διὰ πυρὸς τελειοῦται· πολλὰ δὲ καὶ ἐν τῷ περιεῖναι τῷ βίῳ ὁ ἅγιος ἐπιτελέσας θαύματα, ἔτι καὶ μετὰ τὴν ὁσίαν κοίμησιν, ἔνθα κατάκειται τὸ τίμιον αὐτοῦ λείψανον ἐνεργεῖ, ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ[13].

f. 210. **4.** | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος[1] τοῦ θαυματουργοῦ. Ὃς ἐκ νεότητος[2] τὸν σταυρὸν Χριστοῦ[3] ἐπ' ὤμων ἀράμενος τῷ σταυρωθέντι κατηκολούθησεν καὶ τὰ πάθη τῆς σαρκὸς ὑποτάξας τῷ πνεύματι, τοῦ ἰατρεύειν παντοῖα νοσήματα καὶ φυγαδεύειν δαίμονας ἐξ ἀνθρώπων ἐπλούτησεν· ὅθεν οἰκίσκῳ[4] στενωτάτῳ ἑαυτὸν κατακλείσας καὶ ἔξω παντὸς θορύβου γενόμενος καὶ ἀπαθείᾳ λαμπρυνθείς, τὸ θεῖον τῆς ἱερωσύνης ἐδέξατο ἀξίωμα[5]. Οὗτος πηγὴν χαλάζης ἔστησε καὶ τὰ λυμαινόμενα ζῷα τὰ φυόμενα σπέρματα[6] διεκώλυσε, καὶ γῆν διψῶσαν ὄμβροις κατήρδευσε καὶ ῥοῦν ποτάμιον ὡς Ἐλισσαῖος διέρρηξε, καὶ ξηρὰν χεῖρα[7] ἰάσατο, καὶ τυφλοῖς[8] τὸ βλέπειν ἐχαρίσατο, καὶ χωλῶν καὶ παρειμένων τὰς βάσεις διώρθωσε[9], καὶ ἕτερα πλεῖστα ἐργασάμενος θαύματα ἀνεπαύσατο ἐν Κυρίῳ.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀφροδισίου, Μίλδα, Μακροβίου, Οὐαλεριανοῦ, Λεοντίου, Ἀντωνίου καὶ τοῦ πλήθους τῶν ἁγίων τῶν σὺν αὐτοῖς ἐν Σκυθοπόλει μαρτυρησάντων[1]. Τελεῖται δὲ ἡ αὐτῶν[2] σύναξις ἐν τῷ σεπτῷ[3] ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου[4] ἀποστόλου Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου, τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐν τοῖς Χαλκοπρατείοις[5].

6. Καὶ ἡ ἀνάμνησις τῆς ἀνακομιδῆς τῶν τιμίων[1] λειψάνων τοῦ ἁγίου καὶ δικαίου Λαζάρου καὶ φίλου τοῦ Χριστοῦ, καὶ τῆς μυροφόρου[2] Μαρίας τῆς Μαγδαληνῆς[3], γενομένης ἐπὶ Λέοντος τοῦ ἐν εὐσεβεῖ τῇ λήξει φιλοχρίστου βασιλέως[4]. Τελεῖται

— [76] τοῖς σὶν S. — [77] ταῦτα κ. ἀνθ. μὲν κ. τ. λογ. ἄπιστα ἴσως τισὶ δόξειε τ. Θεῷ δὲ π. δ. τὰ Mc, τὰ om. S. — [78] κατέστη οὖν ἡ ἁγία ἐξ. πρῶτον μὲν παρὰ Mc. — [79] ἐπὶ Mc. — [80] καὶ Σαβὼρ τοῦ υἱοῦ αὐτοῦ εἶτα ἐπὶ Νουμεριανοῦ υἱοῦ Σεβαστιανοῦ καὶ μετὰ τούτους ἐπὶ Σαβωρίου Mc. — [81] αὗται Mc. — [82] (αὐτῆς - καὶ) πατρὶς αὐτῆς Mc. — [83] Κωνσταντία Mc. — [84] αὐτῆς Mc. — [85] αἱ δὲ ψυχαὶ αἱ πιστεύσασαι δι' αὐτῆς εἰσι τὸν ἀριθμὸν χιλιάδες διακόσιαι ἐννενήκοντα δύο add. Mc.

2. — [1] Γαζέων S. — [2] ἀξιοῦται Mc *ad d. Mai 2.* — [3] (κατὰ - Χριστοῦ) τῆς τοῦ Θεοῦ Mc. — [4] *om.* Mc. — [5] ἐτύγχανον Mc.

3. — [1] μάρτυρος Mc. — [2] Ἰ. Σέξστου S, Ἰουλιανοῦ Σ. Mc. — [3] *om.* S, τοῦ δὲ Ἀ. Mc. — [4] Ῥέα Mc. — [5] παρ' αὐτῶν Mc. — [6] ἅγιος *add.* Mc. — [7] *om.* Mc. — [8] θειάζων Mc. — [9] (εἰς - εἴδωλα) τῶν εἰδώλων προσανεχόντων Mc. — [10] διαβάλων S. Mc. — [11] ἐπύθετο ἀνηνέχθη Mc. — [12] αὐτοῦ *add.* Mc. — [13] (μετ' αὐτῶν - δηλοῖ) τελειοῦται διὰ πυρὸς πολλὰ καὶ πρὸ τοῦ τέλους ἐπιτελέσας θαύματα καὶ μετὰ τὴν ὁσίαν αὖθις κοίμησιν αὐτοῦ ἐνεργῶν Mc.

4. — [1] Ἱλαρίου Mc. — [2] οὗτος ἐκ νεαρᾶς ἡλικίας Mc. — [3] κυρίου Mc. — [4] (τοῦ - οἰκίσκῳ) τὴν χάριν τῶν θαυμάτων ἀπειλήφει παρὰ Θεοῦ ἐν οἰκίσκῳ δὲ Mc. — [5] ἀξ. δέχεται Mc. — [6] (καὶ - σπέρματα) ζῷα λύμην ἐπάγοντα τοῖς φυομένοις σπέρμασι Mc. — [7] χεῖραν S. — [8] τυφλῷ Mc. — [9] (καὶ χωλῶν - διώρθωσε) *om.* Mc.

5. — [1] Ἀφ. Λ., Ἀντωνίνου, Μιλδᾶ, Οὐαλεριανοῦ καὶ Μακροβίου καὶ τῶν σὺν αὐτοῖς μ. ἐν Σ. Mc. — [2] τούτων Mc. — [3] πανσέπτῳ Mc. — [4] καὶ π. *om.* Mc. — [5] (ἀδελφοῦ - Χ.) ἀδελφοθέου τῷ ἐν τοῖς Χ. Mc.

6. — [1] *om.* Mc. — [2] ἁγίας Mc. — [3] Μαγδαλινῆς S. — [4] Λ. τοῦ φ. βασιλέως *et hic des.* Mc.

ἡγεμονεύοντος τῆς Ἀσίας Ἰουλίου Σέξτου Αἰλιανοῦ· τοῦ δὲ Ἀγριππίνου καὶ Κλημεντίου τῶν νεωκόρων θυσίαν ἐπιτελούντων τῇ Ἥρᾳ, κρατηθεὶς καὶ ὁ Ὀλβιανὸς ἠναγκάζετο παρ' αὐτῶν ἐπιθῦσαι τῷ βωμῷ· ὁ δὲ πολλαῖς ἀντιθέσεσι καὶ λόγοις τὴν κατὰ Χριστὸν πίστιν ἐξειπὼν καὶ ἀποσεμνύνων, τὴν δὲ εἰς τὰ εἴδωλα κακίζων καὶ διαβάλλων, πρῶτον μὲν ὀβελίσκοις πεπυρωμένοις τὰ σπλάγχνα καὶ τὸν νῶτον διακαίεται· ὡς δὲ οὐκ ἐνεδίδου οὐδὲ θῦσαι ἐπείθετο, ἀνενεχθέντος περὶ αὐτοῦ τῷ ἀνθυπάτῳ καὶ προστάξαντος, μετὰ τῶν μαθητῶν ῥάβδοις ἀφειδῶς τύπτεται, καὶ μετὰ ταῦτα διὰ πυρὸς τελειοῦνται. — Mai 4.
Νικήτα. — 4 (Ἱλαρίου). — **R** : 1. 3. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 3 (Ὀλβιανοῦ). — Ἱερομάρτυρος

Mai 4. δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ εὐαγεστάτῃ μονῇ τῇ παρὰ τοῦ αὐτοῦ βασιλέως ἐπ' ὀνόματι τοῦ ἁγίου συσταθείσῃ [5].

7. Συνεορτάζεται δὲ καὶ τὰ ἐγκαίνια τοῦ αὐτοῦ ναοῦ τοῦ ἁγίου Λαζάρου.

8. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Νεοφύτου, Γαΐου καὶ Γαϊανῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεβασμίῳ ναῷ τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Κοσμᾶ καὶ Δαμιανοῦ, τῷ ὄντι ἐν τοῖς Δαρείου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

Mai 5. 1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Πελαγίας τῆς ἐκ Ταρσοῦ. Αὕτη ἦν ἐπὶ Διοκλητιανοῦ [1] τοῦ βασιλέως. Ἀκούσασα δὲ περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ ζητοῦσα μαθεῖν ὁποία τίς ἐστιν, ὄναρ ἐθεάσατο τὸν ἐπίσκοπον βαπτίζοντα. Ἀπολυθεῖσα οὖν παρὰ τῆς μητρὸς ἀπελθεῖν πρὸς τὴν τροφόν, πρὸς τὸν ἐπίσκοπον παρεγένετο· ὃς ἐκ θείας προνοίας προσεδέξατο [2] αὐτὴν καὶ ἐβάπτισεν. Ὅπερ ὁ ἁρμοσάμενος αὐτὴν υἱὸς τοῦ βασιλέως ὡς ἤκουσεν, ὅλως [3] τοῦ πάθους γενόμενος διὰ τὸν ἔρωτα ἑαυτὸν

f. 210v. ἀνεῖλεν. Ὁ δὲ Διοκλητιανὸς μεταστειλάμενος | τὴν παρθένον καὶ μεταθεῖναι αὐτὴν ἀπὸ τῆς εἰς Χριστὸν πίστεως μὴ δυνηθείς, ταῦρον χαλκοῦν ἐκπυρώσας τὴν ἁγίαν Πελαγίαν ἐνέβαλεν [4], ἐν ᾧ ἅμα τὸ τέλος καὶ τὸν στέφανον τῆς ὁμολογίας ἐδέξατο [5]. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι πέραν πλησίον τοῦ ἁγίου μάρτυρος Κόνωνος.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικηφόρου ἡγουμένου [1] μονῆς τοῦ Μηδικίου. Οὗτος ὑπῆρχεν ἐπὶ τῶν χρόνων τῶν δυσσεβῶν βασιλέων καὶ [2] εἰκονομάχων. Ἐκ βρέφους δὲ ποθήσας τὸν Χριστὸν καὶ [3] ὁρῶν τὴν αἵρεσιν αὐξανομένην, καταλιπὼν [4] κόσμον καὶ τὰ ἐν κόσμῳ καὶ γενόμενος μοναχὸς ἀπῆλθεν εἰς τὴν ἔρημον [5]· καὶ ἡσύχαζεν προσευχαῖς καὶ νηστείαις σχολάζων καὶ [6] Θεῷ ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως προσευχόμενος. Γαληνισάσης [7] δὲ μικρὸν τῆς αἱρέσεως [8], ὑπὸ Λέοντος τοῦ θηριωνύμου καὶ δυσσεβοῦς βασιλέως πάλιν αὐξηθείσης [9], ἐξωσθεὶς τῆς ποίμνης ὡς προσκυνητὴς τῶν ἁγίων [10] εἰκόνων καὶ ταῖς τῶν [11] πατέρων ἐντολαῖς ἑπόμενος, καὶ [3] πικραῖς ἐξορίαις καθυποβληθεὶς [12] ἐν σκοτεινοτάτῃ φυλακῇ ἀπεκλείσθη, ἔνθα ὡς στερρὸς ἀθλητὴς τὴν ψυχώλεθρον ἀπάτην καταβαλὼν πρὸς Χριστόν, ὃν ἐπόθησεν [13], ἐξεδήμησεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀθανασίου ἐπισκόπου Κορίνθου, ὃς κεκοίμηται ἐπὶ τῶν βασιλέων Βασιλείου καὶ Κωνσταντίνου εὐσεβῶς καὶ ὁσίως.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛ'.

Mai 6. 1. Μνήμη τοῦ ὁσίου καὶ [1] δικαίου [2] Ἰώβ. Οὗτος ὑπῆρχεν ἐκ τῆς Αὐσίτιδος χώρας τῶν ὁρίων Ἰδουμαίας καὶ Ἀραβίας, τῶν Ἠσαῦ [3] υἱῶν υἱός, ὡς εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ. Ἦν δὲ πατρὸς Ζαρὲθ

— [5] συσταθεῖσα S.

1. — [1] ἐπὶ Δ. ὧν Mc *ad d. Mai 4.* — [2] ὑπεδέξατο Mc. — [3] (ὁρμασάμενος *ita* S - ὅλως) ὡς ἤκουσεν ὁ μνηστευσάμενος αὐτὸν υἱὸς τοῦ βασιλέως ὅλος Mc. — [4] ἁγίαν ἐμβληθῆναι τούτῳ προσέταξεν Mc. — [5] *hic des.* Mc.

2. — [1] τῆς *add.* Mc *ad d. Mai 4.* — [2] (οὗτος - καὶ) ὁ ὅσιος Ν. ὑπῆρχε μὲν ἐπὶ τῶν Mc. — [3] *om.* Mc. — [4] τὸν *add.* Mc. — [5] (εἰς - ἔρημον) ἐν τοῖς ὄρεσι Mc. — [6] τῷ Mc. — [7] γαληνιώσης Mc. — [8] πολλῇ παρακλήσει τῶν μοναχῶν προέστη τῆς Μηδικίου μονῆς· αὖθις δὲ τοῦ κακοῦ ἀναρριπισθέντος καὶ τῆς αἱρέσεως *add.* Mc. — [9] ὑπὸ τοῦ δυσσεβοῦς Λ. κρατυνθείσης Mc. — [10] πανσέπτων Mc. — [11] ἁγίων *add.* Mc. — [12] ὑποβληθεὶς Mc. — [13] πρὸς ὃν ἐπόθει Χριστὸν Mc.

1. — [1] *om.* D. — [2] καὶ προφήτου *add.* D. — [3] Ἰσαῦ D.

Mai 4. Ὀλβιανοῦ. — 5. 8. — **Mc** : Πελαγίας τῆς ἐκ Ταρσοῦ (Mai 5[1]). — 3. 4. — Νικηφόρου. — 5. 6. — **Mv** : Πελαγίας. — Νικήτα. — Ἰωάννου πρεσβυτέρου (April. 19[2]). — 4. — **Mr** : Πελαγίας.

Mai 5. SYNAXARIA SELECTA. **H** : Νεοφύτου, Γαΐου καὶ Γαϊανῆς (Mai 4[8]). — Βαρβάρου (Mai 8[3]). — 1. — Τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κύρου. — Εἰρήνης (Mai 4[1]). — **P** : Εἰρήνης. — Νεοφύτου κτλ. — Βαρβάρου. — 1. — **D** : Εἰρήνης. — 1. — Νεοφύτου κτλ. — Βαρβάρου. — Τὰ ἐγκαίνια ... ἐν τοῖς Κύρου. — **Da** : Εἰρήνης. — Ἀφροδισίου, Μέλδου, Μακροβίου, Οὐαλεριανοῦ, Λεοντίου, Ἀντωνίου κτλ. (Mai 4[5]). — Νεοφύτου ... Τελεῖται δὲ ἡ αὐτῶν σύναξις κτλ. (Mai 4[8]). — 1. — Βαρβάρου. — **Db** : Εἰρήνης. — Ἀφροδισίου κτλ. — Νεοφύτου κτλ. — 1. — Βαρβάρου. — **K** : Εἰρήνης. — Ἀφροδισίου κτλ. — 1. — Νεοφύτου κτλ. — **N** : Εἰρήνης. — Ἱλαρίου τοῦ θαυματουργοῦ (Mai 4[4]). — Νεοφύτου κτλ. — 1. — Τῆς ἀνακομιδῆς τῶν λειψάνων τοῦ δικαίου Λαζάρου καὶ Μαρίας τῆς Μαγδαληνῆς καὶ μυροφόρου (Mai 4[6]). — Τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου [1] ἐπισκόπου Μαδυτῶν. Οὗτος ὑπῆρχεν ἐκ τῆς Εὐρώπης [2] τῶν Ἐπιβάτων χώρας, τῶν ὁρίων Σηλυμβρίας [3] καὶ Θρᾴκης, γονέων ἐκφὺς γεηπόνων καὶ ἐν αὐταρκείᾳ βιούντων [4] ἐν πᾶσι· ἦν δὲ ἐκ πατρὸς Νικήτα καὶ μητρὸς ὀνόματι [5]... — **Bb** : Εἰρήνης. — **Bc** : Εἰρήνης. — **C** : Νεοφύτου κτλ. — Εἰρήνης. — **Ce** : Νεοφύτου κτλ. — Εἰρήνης. — **Cg** : Νεοφύτου κτλ. — Εἰρήνης (et in marg. sup. : Ζήτει ἕτερον συναξάριον εἰς τὸ τέλος τοῦ βιβλίου τῆς ἁγίας Εἰρήνης). — Τοῦ ὁσίου πατρὸς ἡμῶν Λέοντος τοῦ Ἀφρικανοῦ [6] (alia manu). — **R** : 1. — Ἀφροδισίου κτλ. — Νεοφύτου κτλ. — 2. — **Ra** : 1. — Ὀλβιανοῦ (Mai 4[3]). — **Rb** : 1. 2. — Ἀφροδισίου κτλ. — **Rc** : Εἰρήνης. — **Mc** : Εἰρήνης. — **Mv** : Εἰρήνης. — Νεοφύτου ... Τελεῖται δὲ ἡ αὐτῶν σύναξις κτλ. — Τὰ ἐγκαίνια ... ἐν τοῖς Κύρου. — **Mr** : Εἰρήνης.

Mai 6. SYNAXARIA SELECTA. **H** : 1. — Παχωμίου, Ἱλαρίωνος καὶ Μάμαντος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις πέραν (cf. Mai 7[4]). — 2. — **P** : 1. 2 (Δημητρίου, Δάναδος, Δανάτου, Θερινοῦ, Νικήτα). —

[1] (τοῦ - Εὐθυμίου) *haec et quae sequuntur pleraque in ras.* N. — [2] Εὐρόπης N. — [3] Συλλημβρίας N. — [4] αὐτῶν *add.* N. — [5] *des. mutil.* N. — [6] Ἀφρίκ Cg.

καὶ μητρὸς Βοσώρας [4] καὶ προϋπῆρχεν αὐτῷ ὄνομα Ἰωβάβ. Προεφήτευσε δὲ ἔτη τεσσαράκοντα πέντε, προλαβὼν [5] τὴν ἔλευσιν τοῦ Χριστοῦ ἔτη χίλια ἐννακόσια εἴκοσι πέντε. Τοῦτον ἐξῃτήσατο ὁ διάβολος μαρτυρηθέντα ὑπὸ Κυρίου δίκαιον καὶ ἄμεμπτον καὶ πάντων τῶν ἐπὶ γῆς ὑπερέχοντα· πάντων [6] τῶν ὑπαρχόντων γυμνώσας καὶ πληγαῖς φευκταῖς καὶ ἀπαρηγορήτοις ταλαιπωρήσας, ἀπήλθεν κατῃσχυμμένος [7], ἐν ταῖς τῶν πειρασμῶν προσβολαῖς [8] ἀκάμπτου καὶ ἀνενδότου τοῦ δικαίου φανέντος. Τοῦτον ἐπὶ τέλει τῶν ἄθλων ἀνεκήρυξεν ἄνωθεν ὁ Θεός, καὶ ἐν διπλῷ πάντα [9] ἀφαιρεθέντα αὐτῷ ἀπέδωκε [10]· τὰ δὲ κατὰ μέρος διεξοδικῶς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Ἔζησε δὲ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα, ὡς εἶναι τὸν ἅπαντα [11] χρόνον αὐτοῦ ἔτη διακόσια τεσσαράκοντα [12] ὀκτώ. Mai 6.

2. | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Δημητρίου, Δάνακτος, Δονάτου, Θερίνου, Μεσερεήρα [1] καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι ἐν τῷ Δευτέρῳ. f. 211.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀκακίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, Καππαδόκης τὸ γένος, ἀριθμοῦ τῶν Μαρτησίων. Προσαχθεὶς δὲ Φίρμῳ [1] τῷ ἄρχοντι, ὡμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ· πλεῖστα δὲ [2] παρ' αὐτοῦ βασανισθεὶς πέμπεται Βιβιανῷ ἑτέρῳ ἄρχοντι, ὃς αὐτὸν ἤγαγεν μεθ' ἑτέρων δεσμωτῶν ἐν [3] Βυζαντίῳ [4], δειναῖς δὲ μάστιξι καὶ στρέβλαις συγκόψας αὐτὸν ἐν τῇ [5] φυλακῇ κατέθετο [6], ἔνθα ἐπιστάντες ἄγγελοι κατέστησαν αὐτὸν ὑγιῆ. Μετὰ τοῦτο πέμπεται Φαλκιλλιανῷ ἑτέρῳ ἄρχοντι [7]· οὗ προστάξαντος ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται [8]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Ἑπτασκάλῳ.

2. Καὶ τὰ ἐγκαίνια τοῦ αὐτοῦ ναοῦ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τοῦ ἐν οὐρανῷ φανέντος [1] σημείου τοῦ τιμίου καὶ [2] ζωοποιοῦ [2] σταυροῦ [3], ἐπὶ Κωνσταντίου βασιλέως υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου [4] καὶ Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων τοῦ κατηχητοῦ. Ἐν αὐτῇ [5] τῇ ἁγίᾳ πόλει [6] ἐν ταῖς ἡμέραις τῆς ἁγίας πεντηκοστῆς, μηνὶ μαΐῳ ἑβδόμῃ [7], ὥρᾳ τρίτῃ τῆς ἡμέρας, ἐφάνη ὁ τίμιος καὶ [2] ζωοποιὸς [2] σταυρὸς συνεστὼς ἐκ φωτός, ὁρῶντος παντὸς τοῦ λαοῦ, ὑπεράνω τοῦ ἁγίου Γολγοθᾶ, ἐκτεταμένος μέχρι τοῦ ἁγίου [2] ὄρους τῶν ἐλαιῶν· ὅστις [8] τῇ λαμπρότητι τῶν μαρμαρυγῶν τὰς ἡλιακὰς ἀκτῖνας ἐκάλυψεν, ὅθεν πᾶσα ἡλικία νέων τε καὶ γερόντων σὺν νηπίοις τε καὶ θηλάζουσιν εἰς τὴν ἁγίαν ἐκκλησίαν κατέλαβον [9] καὶ ἐν ἀμέτρῳ χαρᾷ δόξαν καὶ εὐχαριστίαν μετὰ κατανύξεως τῷ Θεῷ ἀνέπεμψαν ἐπὶ τῷ παραδόξῳ τούτῳ θαύματι [10]. Περὶ τούτου δὲ καὶ ὁ ἅγιος Κύριλλος πρὸς Κωνστάντιον ἔγραψεν ὑποστηρίζων αὐτὸν ἐν τῇ ὀρθοδόξῳ πίστει. Mai 7.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παχωμίου. Οὗτος συλληφθεὶς ἐν τῷ σφοδροτάτῳ καιρῷ τοῦ διωγμοῦ ἀπεκλείσθη ἐν τῇ φρουρᾷ. Μήπω δὲ ἐπιστάμενος ἀκριβῶς τὸ τῆς πίστεως δόγμα, καλῶς παρεκάλει τὸν Θεὸν διδάξαι

— [4] Βοσόρρας D. — [5] προέλαβεν δὲ D. — [6] δὲ *add.* D. — [7] κατησχυμένος S. — [8] πρὸς βαλαῖς D. — [9] τὰ *add.* D. — [10] ἀπέδωκεν αὐτῷ D. — [11] σύμπαντα D. — [12] καὶ *add.* D.

2. — [1] Θερινοῦ, Μεσερέηρα D, Θ. Μεσηρᾶ Da.

1. — [1] Φήρμῳ S. — [2] καὶ πλεῖστα ὑπὲρ τούτου Mc. — [3] τῷ *add.* Mc. — [4] καὶ *add.* Mc. — [5] τῇ *om.* Mc. — [6] κατέθεντο S, ἔτεθο Mc. — [7] διαπέμπεται πρὸς Φαλκιανὸν ἕτερον ἄρχοντα Mc. — [8] *hic des.* Mc.

3. — [1] ὀφθέντος Mc. — [2] *om.* Mc. — [3] ἐν τῇ ἁγίᾳ πόλει *add.* Mc. — [4] (υἱοῦ - Κ.) *om.* Mc. — [5] (τοῦ - αὐτῇ) *om.* Mc. — [6] Ἱερουσαλὴμ *add.* Mc. — [7] ἑβδ. μαΐου Mc. — [8] ὃς Mc. — [9] εἰσῆλθον Mc. — [10] θεάματι *et hic des.* Mc.

Mai 6. Παχωμίου καὶ Ἱλαρίωνος καὶ τοῦ ὁσίου Μάμαντος πέραν ἐν Ὀχείαις [1]. — **D** : 1. — Παχωμίου, Ἱλαρίωνος καὶ Μάμαντος. — 2. — **Da** : 1. — Παχωμίου κτλ. — 2. — **Db** : 1. — Παχωμίου κτλ. — 2. — **K** : 1. — Παχωμίου κτλ. — 2. — **N** : 1. 2. — **Bb** : 1. — Παχωμίου. — **Bc** : 1. — Παχωμίου. — **C** : 1. — Τῶν ὁσίων πατέρων ἡμῶν Παχωμίου, Ἱλαρίωνος καὶ Μάμαντος. — 2. — **Cd** : 1. — **Cg** : 1. — Παχωμίου κτλ. — 2. — **R** : 1. — **Ra** : 1. — Παχωμίου κτλ... πέραν ἐν Ὀχείαις. — 2 (... Θερίνου, Νικήτα). — **Rb** : 1. 2 (... Θερίνου, Νικήτα, Μεσερεήρα). — Τῶν ἁγίων μαρτύρων Ἐπισκόπου καὶ Γορδιανοῦ. Οὗτοι ... διὰ τὸ τὸν Χριστὸν ὁμολογεῖν κατεσχέθησαν, <καὶ [2]> ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν (cf. Mai 9[3]). — **Rc** : 1. — Πελαγίας (Mai 5[1]). — **Mc** : 1. — Παχώμιος καὶ Ἱλαρίων ἐν εἰρήνῃ τ. — 2 : Δημητρίων τοξευόμενος τ... Δάναξ, Θηριανὸς καὶ Μεσῖρος ξ. τ... Δονάτος τοξευόμενος τ. — Βάρβαρος ξ. τ. (Mai 8[3]). — **Mv** : 1. — Τοῦ ἁγίου ἀποστόλου Παρμενᾶ ἑνὸς τῶν ἑπτὰ διακόνων. — Εὐθαλίας. — Κοΐντου τοῦ θαυματουργοῦ. — Τρωαδίου. — Ἡ κοίμησις τῶν ἁγίων Ἀνδρονίκου καὶ Ἀθανασίας (Mart. 2[4]). — Θεοδωρήτου Ἀντιοχείας. — Θεοδότου τοῦ ἐπισκόπου Κυρηνίας τῆς Κύπρου. — **Mr** : 1.

Mai 7. SYNAXARIA SELECTA. **H** : 3. 2. — **P** : 3. — Ἡ μετάθεσις τῶν λειψάνων τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου. — **D** : 3. 2. — **Da** : 3. — **Db** : 3. 2. — **K** : 3. 2. — **N** : 3. — **Bb** : 3. — **Bc** : 3. 1. — **C** : 3. — **Cd** : 3. — **Cg** : 3. — **R** : 3. 1. — **Ra** : 3. 1. — **Rb** : 3. 1. — Τρυφαίνης (Mai 9[5]). — Καὶ ὁ ῥοδισμὸς τοῦ ἁγίου Τιμοθέου τοῦ πατριάρχου (Mai 9[6]). — Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἡσυχίου τοῦ ὁμολογητοῦ. Οὗτος ἦν ἀνὴρ ἀγαθὸς καὶ πρᾶος καὶ φερωνύμως ὄντως κληθεὶς Ἡσύχιος. — Ἀλεξάνδρου καὶ Κολούθου καὶ Βαρβάρου (Mai 14[3]). — **Rc** : 3. — Μάρκου τοῦ ἐρημίτου. — Τοῦ ὁσίου Θαλαττίου. — Τοῦ ἁγίου Νικοστράτου καὶ Ἀντιόχου συναθλητοῦ τοῦ ἁγίου μάρτυρος Προκοπίου. — Μελετίου

[1] αἰνοχίαις P. — [2] *om.* Rb.

Mai 7. αὐτόν. Καὶ πρὸς αὐτὸν πεμφθεὶς ἄγγελος Κυρίου ἐδίδαξεν αὐτὸν πᾶσαν τὴν ἀλήθειαν καὶ τὸ εὐσεβὲς δόγμα. Παυσαμένου τοίνυν τοῦ διωγμοῦ καὶ τῆς εἱρκτῆς λυθείς, ἀναχωρῶν ἐν ταῖς ἐρήμοις ἡσύχαζε, f. 211v. καὶ το|σοῦτον ὑψώθη, ὥστε ἀγγέλους[1] προσομιλῆσαι καὶ παρ' ἐκείνου μαθεῖν τὸ σχῆμα τῶν μοναχῶν καὶ τοὺς τύπους. Ἐξ ἐκείνου γὰρ ἐδόθη καὶ ἐτυπώθη τὸ ἀγγελικὸν ἐπάγγελμα τῆς μοναδικῆς πολιτείας· καὶ πολλὰ μοναστήρια μετὰ ταῦτα ἀνεγείρας εἰς δοξολογίαν Θεοῦ καὶ θαυματοποιήσας καὶ τὸν Θεὸν ἐν ἅπασι μέχρι γήρως ὁσίως καὶ εὐαρέστως θεραπεύσας, χαίρων πρὸς αὐτὸν ἐξεδήμησε.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

Mai 8. **1.** Μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ ἐπιστηθίου ἠγαπημένου παρθένου Ἰωάννου τοῦ θεολόγου, ἤγουν ὁ ῥοδισμὸς καὶ ἡ τρύγησις τοῦ μάννα. Ἐκ τοῦ ἐγκωμίου Σωφρονίου Ἱεροσολύμων εἰς τὸν θεολόγον μανθάνομεν, ὅτι ὁ πατὴρ τοῦ θεολόγου ὁ Ζεβεδαῖος ἦν, ἡ δὲ μήτηρ[1] Σαλώμη, θυγάτηρ Ἰωσὴφ[2] τοῦ μνηστευσαμένου τὴν παναγίαν[3] Θεοτόκον. Ὁ γὰρ Ἰωσὴφ υἱοὺς εἶχε[4] τέσσαρας, Ἰάκωβον, Συμεών, Ἰούδαν καὶ Ἰωσῆν[5], καὶ θυγατέρας τρεῖς, τήν τε Ἐσθὴρ καὶ[6] τὴν Μάρθαν καὶ τὴν Σαλώμην, ἥτις ἦν γυνὴ Ζεβεδαίου, μήτηρ δὲ Ἰωάννου. Ἐντεῦθεν ὁ σωτὴρ ἡμῶν[6] θεῖος ἦν Ἰωάννου, ὡς ἀδελφὸς Σαλώμης τῆς θυγατρὸς Ἰωσήφ. Ὅτι μὲν[7] τὸν ἅγιον Πέτρον ὁ Κύριος ἐβάπτισεν οἰκείαις χερσί, καὶ[8] Πέτρος Ἀνδρέαν καὶ Ἀνδρέας Ἰάκωβον καὶ Ἰωάννην, Ἰωάννης δὲ καὶ Ἰάκωβος τοὺς λοιποὺς ἀποστόλους. Ὅτι πάντων φυγόντων, Ἰωάννης ὡς ἀγαπητὸς[9] ἐν τῇ παραδόσει καὶ ἐν τῷ σταυρῷ παρῆν, καὶ εἰς τὸν τάφον πρῶτον τοῦ Πέτρου[10] ἦλθεν, καὶ[6] ὅτι τὴν παναγίαν Θεοτόκον ἔλαβεν εἰς τὰ ἴδια ὁ θεολόγος. Ὅτι οὗτος ἐπὶ τῆς γῆς τρεῖς μητέρας ἔσχηκε· πρώτην τὴν Σαλώμην, ἐξ ἧς καὶ γεγέννηται· δευτέραν, ὅτι βροντῆς υἱὸς ἐχρημάτισε παρὰ τοῦ Κυρίου· τρίτην τὴν παναγίαν Μαρίαν τὴν θεοτόκον, κατὰ τὸ ῥηθὲν αὐτῷ ὑπὸ τοῦ Κυρίου[11]· Io. 19, 27. « Ἰδοὺ ἡ μήτηρ σου. » Ὅτι τὴν ἁγίαν Θεοτόκον Πέτρος καὶ Ἰωάννης ἐβάπτισαν, καὶ[12] μέχρι τῆς κοιμήσεως τῆς παναγίας Θεοτόκου συνῆν αὐτῇ ὁ θεολόγος καὶ μετὰ τὴν κοίμησιν αὐτῆς ἦλθεν εἰς Ἔφεσον καὶ[12] τὸν ναὸν τῆς Ἀρτέμιδος[13] διὰ προσευχῆς κατέβαλεν, καὶ τεσσαράκοντα μυριάδας ψυχῶν[6] ἀνδρῶν τε καὶ γυναικῶν λατρευόντων τῇ Ἀρτέμιδι τῆς πλάνης ἀπήλλαξε καὶ μετήγαγε πρὸς τὸ φῶς[14] τῆς θεογνωσίας. Ὅτι Λίβατον[15] καλεῖται τὸ ὄρος, ἐν ᾧ ἵσταται ὁ ναὸς τοῦ ἁγίου[16] Ἰωάννου τοῦ θεολόγου, ἐκ δὲ δύσεως[17] ὁ ἅγιος Τιμόθεος, Μαρία δὲ ἡ Μαγδαληνὴ[18] καὶ οἱ ἑπτὰ παῖδες ἐν τῷ πλησίον Χειλετῶν[6] ὄρει· ἡ δὲ ἁγία Ἑρμιόνη θυγάτηρ Φιλίππου, μία οὖσα τῶν προφητίδων τῶν τεσσάρων θυγατέρων αὐτοῦ, κεῖται εἰς τὸ πλησίον ὄρος· Φίλιππος δὲ ὁ εἷς τῶν ἑπτὰ διακόνων[19] καὶ f. 212. Ἄ|δαυκτος[20] ὁ μάρτυς καὶ ἡ τούτου θυγάτηρ Καλλισθένη καὶ ἕτεροι μάρτυρες ἐπίσκοποι γεγονότες, Ἀρίστων τύραννος, καὶ Ἀριστόβουλος, καὶ Παῦλος, ὁ τῆς ἐρήμου πολίτης, ἐκεῖσε κατάκεινται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις[21] ἐν τῷ σεπτῷ αὐτοῦ ἀποστολείῳ, τῷ ὄντι ἐν τῷ Ἑβδόμῳ.

4. — [1] ἀγγέλου S.

1. — [1] εὐαγγελιστοῦ Ἰ. τ. θ. ὅτε ἡ τοῦ ἱεροῦ χοὸς ἤτοι τοῦ μάννα ἀνάδοσις γίνεται ἐκ τοῦ τάφου αὐτοῦ. Ὁ ἐν ἁγίοις πατριάρχης Ἱερ. Σ. ἐγκωμιαστικὸν λόγον εἰς τὸν μέγιστον θ. Ἰ. συγγραψάμενος διέξεισι ὅτι πατὴρ μὲν ἦν αὐτῷ ὁ Ζ. μήτηρ δὲ Mc. — [2] οὖσα *add.* Mc. — [3] παρθένον καὶ *add.* Mc. — [4] ἔσχε Mc. — [5] Ἰωσῆ Mc. — [6] *om.* Mc. — [7] ἔτι τέ φησιν ὡς μόνον Mc. — [8] οἰκείαις χ. ὁ κύριος ἐβάπτισεν, ὁ δὲ Mc. — [9] καὶ *add.* Mc. — [10] τάφον Π. πρῶτος Mc. — [11] ἔσχηκε τὴν κατὰ φύσιν ἐξ ἧς ἐγεννήθη ἤτοι τὴν Σαλώμην τὴν βροντὴν ὡς υἱὸς βροντῆς ὀνομασθεὶς ὑπὸ τοῦ Κυρίου καὶ τρίτην τὴν πανάγιαν Θ. κατὰ τ. ῥ. αὐτῷ παρὰ τ. Κ. ἐν τῷ σταυρῷ Mc. — [12] ὅτι Mc. — [13] ὁ θεολόγος *add.* Mc. — [14] π. τ. φ. μετήγαγε Mc. — [15] Ἠλίβατον Mc, Λιβάτον D. — [16] ἠγαπημένου Mc. — [17] κεῖται *add.* Mc. — [18] Μαγδαλινῆς S. — [19] μία οὖσα τῶν δ' προφητίδων θ. τ. ἁγίου ἀποστόλου Φιλίππου τοῦ ἑνὸς τῶν ἑπτὰ διακόνων καὶ μὴν Mc. — [20] Ἄδαυτος S. — [21] ἡ δὲ σ. τοῦ ἀποστόλου τελεῖται Mc.

Mai 7. τοῦ στρατηλάτου κτλ. (Mai 24²). — **Mc** : 3. 1. — Γαϊανός, Γάϊος καὶ Νεόφυτος ξ. τ. (Mai 4⁸). — Ἡ ἐν τῷ Κυρίῳ πάσχα μνήμη τῶν ἁγίων τιη' πατέρων τῶν ἐν Νικαίᾳ. — **Mv** : 3. 1. — Κοδράτου καὶ τῶν σὺν αὐτῷ (Mai 9⁴). — Ἰωάννου τοῦ Ψυχαΐτου (Mai 24³). — Τοῦ ἁγίου μάρτυρος Μαξίμου (Mai 14²). — **Mr** : 3. 1.

Mai 8. SYNAXARIA SELECTA. **H** : 1. — Ἀκακίου... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγίῳ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι ἐν τῷ Ἑπτασκάλῳ (Mai 7¹). — **P** : Ἀκακίου. — 1. — **D** : 1. — Ἀκακίου... Τελεῖται δὲ κτλ. — 3 : Ἀρσενίου. Οὗτος ἦν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου, τῷ γένει Ῥωμαῖος, πατὴρ γενόμενος Ὀνωρίου[1] καὶ Ἀρκαδίου τῶν βασιλέων. Καταλιπὼν δὲ τὴν Ῥώμην — πολλαὶ δὲ λέγονται αἰτίαι τῆς ἀναχωρήσεως αὐτοῦ· ἀληθεστέρα δὲ πασῶν ἡ δι' εὐχῆς αὐτῷ ἐκ τῶν οὐρανῶν ἐνεχθεῖσα φωνή, — ὥρμησεν εἰς Ἀλεξάνδρειαν καὶ ἀπετάξατο ἐν τῇ Σκήτει[2], πολλοὺς ἀσκητικοὺς ἀγῶνας ἐπιδειξάμενος· τὸν δὲ τῆς ἀναχωρήσεως χρόνον ἐν ἡσυχίᾳ καὶ προσευχῇ καὶ κλαυθμῷ διετέλεσεν. Ἐν οἷς καὶ τοῦτο λέγεται περὶ αὐτοῦ, ταῖς χερσὶν ἐργαζόμενον ῥάκος ἔχειν ἐπὶ τῶν γονάτων διὰ τὸ ἀκατάπαυστον δάκρυον· αἵ τε γὰρ τρίχες τῶν ὀφθαλμῶν αὐτοῦ ἐξέπεσον ἀπὸ τοῦ κλαυθμοῦ. Μακρὸς δὲ ἦν, ἀλλ' ἐκυρτώθη ἀπὸ τοῦ γήρους· τὸ δὲ εἶδος ἀγγελικόν, πολιὸς τὴν τρίχα, ἀστεῖος τῷ σώματι, ξηρὸς δὲ ἦν· εἶχεν δὲ τὸν πώγωνα βαθὺν ἕως τῆς κοιλίας φθάνοντα. Ὁ δὲ πᾶς τῆς ζωῆς αὐτοῦ χρόνος ἔτη ἐνενήκοντα πέντε· ἐποίησεν δὲ εἰς τὸ παλάτιον ἔτη σαράκοντα, καὶ ἐν Σκήτει ἔτη σαράκοντα, καὶ δέκα εἰς Τρώην, καὶ τρία εἰς τὸν Κάνωπον· καὶ αὖθις ὑπέστρεψεν εἰς Τρώην ποιήσας ἔτη δύο. Καὶ ἐκοιμήθη ἐν εἰρήνῃ, εἰκόνα ἀρχέτυπον τὸν ἑαυτοῦ βίον καταλιπὼν ἡσυχίας[3] ἀκριβοῦς καὶ προσευχῆς καθαρᾶς καὶ ἀπερισπάστου. — Ἑτέρου ποιητοῦ διήγησις εἰς τὸν αὐτὸν ἅγιον. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Ἀρσέ-

[1] Ονορίου D. — [2] Σκήτη D. — [3] ἡσυχίους D.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ σύναξις τῆς ἁγίας κόνεως, ἥτις ἐκ τοῦ τάφου αὐτοῦ ἀναπέμπεται. Ὁ φιλάνθρωπος καὶ πανάγαθος Θεὸς ἡμῶν οὐ μόνον τοὺς ὑπὲρ αὐτοῦ προθύμως ἀγωνισαμένους ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους, προφήτας τε καὶ μάρτυρας καὶ πάντας τοὺς εὐαρεστήσαντας αὐτῷ βασιλείας οὐρανῶν καὶ τῶν αἰωνίων ἠξίωσεν ἀγαθῶν, ἀλλὰ καὶ τόπους, ἐν οἷς ἢ διέτριψαν ἢ ἐτάφησαν, πλήρεις χαρίτων ἀποδείξας πολλοῖς ἐλάμπρυνε θαύμασι. Καὶ γὰρ καὶ ὁ τάφος, ἐν ᾧ ὁ μέγας ἀπόστολος καὶ εὐαγγελιστὴς Ἰωάννης μέλλων μετατεθῆναι ἐτάφη, κόνιν ἁγίαν, ἣν οἱ ἐγχώριοι μάννα προσαγορεύουσιν, ἐπινεύσει Πνεύματος ἁγίου κατὰ τὴν ὀγδόην ἡμέραν τοῦ μαΐου μηνὸς ἐτησίως ἐξαίφνης ἀναβρύει καὶ ἀναδίδωσιν· ἣν οἱ προσερχόμενοι λαμβάνοντες χρῶνται αὐτῇ εἰς παντοίων παθῶν ἀπολύτρωσιν, εἰς θεράπειαν ψυχῶν, εἰς ῥῶσιν σώματος, Θεὸν δοξολογοῦντες καὶ τὸν αὐτοῦ θεράποντα καὶ θεολόγον Ἰωάννην γεραίροντες.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρσενίου τοῦ μεγάλου ἀναχωρητοῦ τῆς ἐρήμου. Ἀρσένιος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἦν μὲν ἐκ τῆς παλαιᾶς Ῥώμης, διάκονος τῆς ἁγιωτάτης Mai 8. τοῦ Θεοῦ ἐκκλησίας. Διὰ δὲ τὸ τῆς ἀρετῆς ἀπαράμιλλον καὶ τὸ τῆς γνώσεως ὑπερβάλλον ἐξελέγη παρὰ Θεοδοσίου τοῦ μεγάλου βασιλέως ἐπὶ τὸ ἐκδιδάσκειν τοὺς παῖδας αὐτοῦ, τόν τε Ἀρκάδιον καὶ Ὀνώριον, οὐ μόνον τὴν ἀνθρωπίνην σοφίαν ἀλλὰ καὶ ἀρετὴν τὴν κατὰ Θεόν. Οὕτω δὲ ἐτιμᾶτο[1] παρὰ τοῦ βασιλέως, ὡς καὶ βασιλοπάτωρ καλεῖσθαι. Ἀλλ' ἐκεῖνος τοὺς θορύβους μισῶν καὶ τὸ μετὰ τῶν κάτω κρατούντων συναναστρέφεσθαι, τὴν δὲ ἡσυχίαν ἀγαπῶν καὶ τὸν ἄνω βασιλέα ποθῶν, παρεκάλει ὁδηγηθῆναι εἰς ὁδὸν τὴν σωτήριον. Ἦλθεν οὖν αὐτῷ φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα ἐκ τρίτου· « Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώ- » πους καὶ σώζου, » καὶ παραυτίκα τὰ λαμπρὰ ἱμάτια μεταμφιασάμενος καὶ πενιχρὰ περιβαλόμενος, ἀπῆλθεν εἰς Αἴγυπτον καὶ ἡσύχαζεν· καὶ ἀγωνισάμενος εἰς ἀρετήν, ὡς οὐδεὶς ἄλλος, ἐν βαθεῖ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν, ἐτῶν ὑπάρχων ἑκατὸν πέντε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος | f. 212v. Βαρβάρου.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Νικομᾶ.

6. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ταρασίου τοῦ ἐν Λυκαονίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

Mai 9. **1.** Ἄθλησις τοῦ ἁγίου προφήτου Ἠσαΐου. Ὁ ἅγιος Ἠσαΐας ὁ μεγαλοφωνότατος προφήτης ἦν ἀπὸ Ἱερουσαλήμ, θεῖος δὲ ὑπῆρχε τοῦ βασιλέως Μανασσῆ υἱοῦ Ἐζεκίου. Ἐλέγχων δὲ αὐτὸν ἐπὶ ταῖς ἀνομίαις αὐτοῦ, ἐπρίσθη εἰς δύο μετὰ ξυλίνου πρίονος καὶ ἐτέθη ὑποκάτω δρυὸς Ἀρωὴλ[1] ἐχόμενα[2] τῆς διαβάσεως τῶν ὑδάτων, ὧν ἀπώλεσεν Ἐζεκίας ὁ βασιλεὺς χώσας αὐτὰ διὰ τοὺς πολεμίους. Καὶ ὁ Θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ ἐποίησε διὰ τὸν προφήτην, ὅτε πρὸ τοῦ ἀποθανεῖν ὀλιγωρήσας ηὔξατο πιεῖν ὕδωρ, καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ ζῶν ὕδωρ· διὰ τοῦτο ἐκλήθη Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. Ἔστι δὲ ὁ τάφος Ἠσαΐου τοῦ προφήτου ἐχό-

3. — [1] ἐτιμεῖτο S.

1. — [1] *al.* Ῥωγὴλ Nestle, Vitae proph., *pp. 16, 17.* — [2] πλησίον *add.* S.

Mai 8. νιος ἦν τῆς μεγάλης πόλεως Ῥωμαίων γέννημα καὶ θρέμμα, ἐξ ἁπαλῶν τῶν ὀνύχων καθαρὸν τηρηθὲν τῷ Θεῷ ἐνδιαίτημα· καὶ πάσῃ ἀρετῇ καὶ σοφίᾳ θείᾳ τε καὶ ἀνθρωπίνῃ πλήρης ὑπάρχων· ὅθεν καὶ τὴν τοῦ διακόνου ψήφῳ Θεοῦ χειροτονίαν δέχεται. Τοῦ δὲ μεγάλου Θεοδοσίου τὴν τῶν Ῥωμαίων βασιλείαν τότε ἰθύνοντος καὶ ἐπιζητοῦντος ἄνδρα πνευματικὸν καὶ λόγιον καὶ ἱκανὸν ῥυθμίσαι καὶ διδάξαι Ἀρκάδιον καὶ Ὀνώριον τοὺς υἱοὺς αὐτοῦ· καὶ μαθὼν περὶ τούτου μόλις ἴσχυσεν αὐτοῦ ἐγκρατὴς γενέσθαι. Ἐπεὶ δὲ ὑπερβαλλούσαις τιμαῖς ἐν τοῖς βασιλείοις ἐτιμᾶτό τε καὶ ἐδοξάζετο, ὑπερβαλλόντως ἠνιᾶτο μισόδοξος ὤν. Καὶ δὴ θείας ἀκούει φωνῆς προτρεπούσης αὐτὸν τοὺς ἀνθρώπους φεύγειν. Ὁ δὲ μὴ μελλήσας, ἔξεισι τῶν βασιλείων, τὴν ἐσθῆτα ἀλλαξάμενος καὶ τὴν Ἀλεξάνδρειαν καταλαμβάνει· ἐκεῖθεν εἰς Σκῆτιν[4] ἔρχεται, ἔνθα πολλοὺς ἱδρῶτας ἀσκητικοὺς κατεβάλετο. Ἐξαιρέτως δὲ τὴν ἡσυχίαν καὶ τὴν ταπεινοφροσύνην μετήρχετο, παρ' ὅλον δὲ τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἐργαζόμενος καὶ δακρύων ἑνὶ ῥακίῳ τὰ ἑαυτοῦ ἀπέματτε δάκρυα <καὶ[5]> τοῦ ὕπνου κατεκράτησεν, <καὶ[5]> μεγάλας ἑτέρας ἀρετὰς κατειργάσατο. Οὗτος ἐγγύς που τῶν ἑκατὸν ἐτῶν γενόμενος, μετὰ μεγάλου τῶν ἀρετῶν σωροῦ πρὸς τὸν Θεὸν διαβαίνει, πάμπολλα διδάξας καὶ νουθετήσας τοὺς περὶ αὐτόν. — **Da** : 1. — Ἀκακίου. — 3. — **Db** : 1. — Ἀκακίου. — 3. — **K** : 1. — Ἀκακίου. — 3. — **N** : 1. 3. — **Bb** : Ἀκακίου. — 1. 2. 3. — **Bc** : 1 et 2. 3. — **C** : Ἀκακίου. — 1. 3. — **Ce** : Ἀκακίου. — 1. 3. — **Cg** : Ἀκακίου. — 1. 3. — Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου (alia manu). — **R** : 1. 3. — **Ra** : 1. 3. — **Rb** : 1. 3. — **Rc** : 1. — Ἀκακίου. — 3. — **Mc** : 1. 2. 3. — Ὁλόκληρος σπεῖρα στρατιωτικὴ ξ. τ. — **Mv** : 1. 2. 3. — **Mr** : 1.

Mai 9. SYNAXARIA SELECTA. **H** : 1. 2. 3 des. : τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στρατονίκου. — 4. 5. 6. — **P** : 1. 2. 3. 4. — **D** : 1 : Ἠσαΐου. Ὁ ἅγιος Ἠσαΐας ὁ μεγαλοφωνότατος προφήτης ἦν ἀπὸ Ἱερουσαλὴμ... Des. : διὰ τοῦτο ὁ Θεὸς ἐπηράσατο εἰς δουλείαν ἔσεσθαι τὸ σπέρμα αὐτοῦ τοῖς ἐχθροῖς αὐτοῦ καὶ ἄκαρπον αὐτὸν ἐποίησεν ὁ Θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Λαυρεντίου. — 2. 3, des. : τὸ δὲ λείψανον τοῦ ἁγίου Ἐπιμάχου ὁ φιλόχριστος βασιλεὺς Κωνσταντῖνος ἐν Κωνσταντινουπόλει εἰσαγαγὼν μετὰ τιμῆς

— [4] Κήτην D. — [5] *supplevi*, *om.* D.

Mai 9. μενα τοῦ τάφου τῶν βασιλέων Δαβὶδ καὶ Σολομῶντος, ὄπισθεν τοῦ τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς νῶτον. Σολομὼν γὰρ ἐποίησε τοὺς τάφους, τοῦ Δαβὶδ διαγράψαντος, κατὰ ἀνατολὰς Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαὼν μήκοθεν τῆς πόλεως σταδίους εἴκοσι· καὶ ἐποίησε σκολιὰν σύνθετον ἀνυπονόητον τὴν εἴσοδον τοῖς πολλοῖς καὶ ἔστιν ἕως σήμερον τοῖς πολλοῖς ἀγνοουμένη τῶν ἱερέων καὶ ὅλῳ τῷ λαῷ. Ἐκεῖ εἶχεν ὁ βασιλεὺς τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα· καὶ ἐπειδὴ ὁ βασιλεὺς Ἐζεκίας ἔδειξε τὸ μυστήριον τοῦ Δαβὶδ καὶ τοῦ Σολομῶντος τοῖς ἔθνεσιν τοῖς Βαβυλωνίοις καὶ ἐμίανεν ὀστᾶ τοῦ τόπου τῶν πατέρων αὐτοῦ, διὰ τοῦτο ὁ Θεὸς ἐπηράσατο εἰς δουλείαν ἔσεσθαι τὸ σπέρμα αὐτοῦ τοῖς ἐχθροῖς αὐτοῦ καὶ ἄκαρπον αὐτὸν ἐποίησεν ὁ Θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης. Ἦν δὲ κατὰ τὸν τύπον τοῦ σώματος μακρὰν ἔχων τὴν ὑπήνην καὶ εἰς ὀξὺ καταλήγουσαν ἄρτι παρεγγίσας ἐν γέρουσι· ὕστερον δὲ μετακομισθὲν τὸ ἅγιον λείψανον αὐτοῦ ἐτέθη ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τοῦ ἁγίου Λαυρεντίου πλησίον Βλαχερνῶν, ἐν ᾧ καὶ ἡ σύναξις αὐτοῦ ἐπιτελεῖται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος[1] Χριστοφόρου. Περὶ τούτου τοῦ ἐνδόξου καὶ μεγαλομάρτυρος[2] τερατώδη <λέγεταί[3]> τινα καὶ παράδοξα, ὅτι τε[4] κυνοπρόσωπος ἦν[5] ἐκ τῆς χώρας τῶν τοὺς ἀνθρώπους κατεσθιόντων[6] καὶ ὅτι πρότερον ἀνθρώπους ἤσθιεν, ὕστερον δὲ μετὰ τὸ πιστεῦσαι Χριστῷ μετεμορφώθη. Οὐκ ἔστι δὲ τοῦτο, οὐκ ἔστιν· ἀλλά τινες αὐτὸν οὕτως ὑπενόησαν διὰ τὸ ἐθνικὸν καὶ ἄγριον καὶ φοβερόν. Ὅμως δὲ ἦν ἐπὶ τῆς βασιλείας Δεκίου· καὶ[7] κατασχεθεὶς f. 213. ἐν πολέμῳ ὑπὸ κόμητός τινος | καὶ ἀνθρωπίνως φθέγξασθαι μὴ δυνάμενος, προσηύξατο τῷ Θεῷ καὶ ἐπέμφθη αὐτῷ ἄγγελος παρὰ Κυρίου λέγων· « Ῥέπρεβε[8], ἀνδρίζου· » τοῦτο γὰρ ἦν αὐτῷ πρότερον ὄνομα, — καὶ[9] ἀψάμενος αὐτοῦ τῶν χειλέων ὁ ἄγγελος λαλεῖν αὐτὸν παρεσκεύασεν· καὶ[10] εἰσελθὼν ἐν τῇ πόλει διήλεγχε τοὺς τῶν χριστιανῶν διώκτας καὶ τὸν Χριστὸν μεγαλοφώνως ἐκήρυττε[11]. Τύπτεται οὖν ὑπὸ Βακχείου τινός, πρὸς ὃν ἀποκριθεὶς εἶπεν, ὡς ὑπὸ τῆς τοῦ Χριστοῦ ἐντολῆς ταπεινούμενος καταδέχεται[12]· εἰ γὰρ δοίη κίνησιν τῷ θυμῷ, οὔτε τὸν Βακχεῖον αὐτὸν[4] ὑποστήσεσθαι οὔθ' ὅλως τὴν τοῦ βασιλέως ἰσχὺν μηδὲν οὖσαν καὶ διεφθαρμένην[13]. Διακοσίων γὰρ στρατιωτῶν πεμφθέντων ἐπ' αὐτὸν καὶ τοὺς σὺν αὐτῷ[14], διά τε τὸ φοβερὸν καὶ ἐξηλλαγμένον[15] τοῦ εἴδους τῆς θέας καὶ τὴν αὐτοῦ ἰσχὺν ἀνυπέρβλητον καταλαβόντων αὐτὸν τῇ χειρὶ ῥάβδον[16] κατέχοντα, ἥτις παραδόξως ξηρὰ οὖσα ἐβλάστησεν, καὶ πρὸς τὸν βασιλέα ἀγόντων, ἐπεὶ ἄγγελος ὀφθεὶς καὶ[17] ἄρτων ἐπιλειπόντων τοῖς στρατιώταις εἰς πλῆθος αὐτοὺς αὖθις[18] κατέστησεν, τῷ παραδόξῳ τοῦ θαύματος[19] ἐκπλαγέντες οἱ στρατιῶται ἐπίστευσαν τῷ Χριστῷ[20] καὶ βαπτίζονται ἅμα τῷ ἁγίῳ[21] Χριστοφόρῳ ὑπὸ τοῦ ἁγίου ἱερομάρτυρος[22] Βαβύλα ἐν Ἀντιοχείᾳ γενόμενοι, ἔνθα ἀντὶ Ῥεπρέβου Χριστοφόρος ἐκλήθη· εἶτα προσαχθεὶς τῷ βασιλεῖ, καὶ κατιδὼν αὐτὸν καὶ ἐκπλαγεὶς[23] ὕπτιος εἰς τὰ ὀπίσω κατέπεσε <διὰ τὸ[24]> μὴ δύνασθαι ἀτενίσαι πρὸς αὐτόν· καὶ πάλιν ἀνενέγκας δόλῳ μετελθεῖν αὐτὸν καὶ κολακείαις μαλάξαι[25] <ἐπειρᾶτο[24]>, ὅθεν καὶ προσκαλεσάμενος δύο γυναῖκας τὴν ὄψιν διαπρεπεῖς, ἀκολάστους δὲ καὶ πρὸς μῖξιν ἑτοίμους καὶ δεινὰς[26] ὑποθερμᾶναι καὶ ἐρεθίσαι καὶ ἀνεγεῖραι ἀνδρῶν νέων ἀκαθέκτους καὶ λυσσώδεις ὁρμάς, ὄνομα δὲ τῇ μὲν Καλλινίκη τῇ δὲ Ἀκυλίνα, ἵνα ἀποστήσωσι τὸν μάρτυρα τῆς πίστεως· αὐτὸς μὲν αὐτὰς κατηχήσας τῆς θρησκείας τῶν εἰδώλων μετέστησεν[27]· αἳ[28] τοῦ βασιλέως ἐνώπιον τὸν

2. — [1] μεγαλομάρτυρος Mc. — [2] καὶ περὶ τούτου τοῦ ἐνδοξοτάτου μάρτυρος Mc. — [3] Mc, *om.* S. — [4] *om.* Mc. — [5] καὶ *add.* Mc. — [6] ὁρμώμενος *add.* Mc. — [7] (πρότερον - καὶ) *om.* Mc. — [8] Ῥέπρεζε *hic* S. — [9] ὅτι *add.* Mc. — [10] ὅτι *add.* S. — [11] (καὶ τὸν - ἐκήρυττε) *om.* Mc. — [12] κατέχεται Mc. — [13] ὑποσταλήσεται ... διεφθ. κ. μ. οὖσαν ὅθεν καὶ Mc. — [14] διακ. στρ. ἐπ' αὐτὸν σταλέντων Mc. — [15] ἐξηλαγμένον S. — [16] (τῆς θέας - ῥάβδον) καὶ τὸ τῆς ἰσχύος αὐτοῦ ἀνυπέρβλητον καὶ καταλαβόντων αὐτὸν ῥάβδον τῇ χειρὶ Mc. — [17] (ἄγγελος - καὶ) πρὸ τοῦ τῷ βασιλεῖ παραστῆναι ἤδη τῶν Mc. — [18] πλῆθος αὐτοῖς αὐτοὺς Mc. — [19] (τ. θ.) θαύματι Mc. — [20] ἐπ. τ. Χ. οἱ στρ. Mc. — [21] *om.* Mc. — [22] μάρτυρος Mc. — [23] (εἶτα - ἐκπλαγείς) ὁ γοῦν β. ἰδὼν αὐτὸν καὶ καταπλαγεὶς Mc. — [24] *supplevi, om.* S. — [25] (μὴ - μαλάξαι) καὶ πάλιν ἀνενεγκὼν δ. μ. α. κ. κ. μ. καὶ κατ' ὀλίγον τοῦ Χριστοῦ ἀποστῆσαι ἀλλὰ μὴ φανερῶς καὶ ἰταμῶς ἐδοκίμαζεν Mc. — [26] δεινῶς S. — [27] (δὲ καὶ - μετέστησεν) σφόδρα τὸν τρόπον καὶ δεινὰς πρὸς μῖξιν διερεθίσαι ἀνδρῶν μαλακωτέρων καὶ φιληδόνων ἀκαθέκτους ὁρμὰς ὧν τῇ μὲν πρώτῃ ὄνομα Κ. τῇ δευτέρᾳ δὲ Ἀ. εἰσελθεῖν πρὸς αὐτὸν κελεύει καὶ παντοίαις χρήσασθαι μηχαναῖς ὥστε τοῦτον ὑπαγαγεῖν τῷ ἑαυτῶν ἔρωτι ὡς ἂν ἐν συνηθείᾳ πρὸς ταύτας καὶ ἀγάπῃ γενόμενος πεισθείη ἀποστῆναι μὲν τοῦ Χριστοῦ θυσίας δὲ εἰδώλοις προσενεγκεῖν ἃς ὁ ἅγιος κ. τ. θ. τ. ε. ἀπέστησεν Mc. — [28] δὴ καὶ *add.* Mc.

Mai 9. ἐν τῷ αὐτοῦ παλατίῳ κατέθηκεν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στρατονίκου. — 4 : Κοδράτου καὶ τῆς συνοδίας αὐτοῦ. Οὗτος ἦν καὶ οἱ σὺν αὐτῷ κατὰ τοὺς χρόνους Δεκίου καὶ Οὐαλεριανοῦ[1] τῶν βασιλέων ἐν τῇ Νικομηδέων πόλει. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν πρὸς Περίνιον τὸν ἀνθύπατον ἤχθησαν. Πατρίδα οὖν καὶ γένος καὶ ὄνομα ἐρωτηθέντες, ὑπὲρ πάντων ὁ ἅγιος Κοδράτος ἀπεκρίνατο· « Χριστιανοὶ λεγόμεθα, τοῦτό ἐστιν ἡμῖν τὸ θαυμαστὸν ὄνομα· εἰ δὲ βούλει τὴν » περικειμένην ἡμῖν ἀξίαν γνῶναι, δοῦλοί ἐσμεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πόλιν ἔχομεν τὴν » ἄνω Ἱερουσαλήμ. » Ὡς δὲ οὔτε ἀπειλαῖς οὔτε ὑποσχέσεσι χαυνούμενον τὸν ἅγιον ὁ ἀνθύπατος ἑώρα ἀλλὰ δυνάμει λόγων αὐτὸν καταπαλαίοντα καὶ τὰ εἴδωλα στηλιτεύοντα, θυμοῦ πλησθεὶς ἁπλωθῆναι αὐτὸν ἐν σανίσιν ἐκέλευσεν καὶ τυφθῆναι βουνεύροις, καὶ ἔτι ἐπιμένοντα τῇ ἐνστάσει[2] τύπτεσθαι καὶ ἐν τῷ δεσμωτηρίῳ ἁπλωθῆναι ἐπὶ ὀστράκου καὶ λίθον ἐπιτεθῆναι τῷ στήθει αὐτοῦ, εἶτα ἀχθῆναι ἐν τῇ Νικαιέων[3] πόλει, ἐν ᾗ γενόμενος ὁ ἀνθύπατος παρέστησε τὸν ἅγιον αὖθις εἰς ἐξέτασιν καὶ τοὺς μετ' αὐτοῦ καὶ πάλιν τὰς ὑπὲρ πάντων ἀποκρίσεις ὁ Κοδράτος ἐποιεῖτο· ἔνθα πολλοὺς τῶν χριστιανῶν φόβῳ τῶν τιμωριῶν αὐτομολήσαντας ἰδὼν καὶ ἐπιθύσαντας τοῖς εἰδώλοις αὐτούς τε πρὸς τὴν εἰς Χριστὸν πίστιν μετέστρεψεν, τῆς φοβερᾶς ἀναμνήσας ἡμέρας καὶ παραινέσας[4] ἐπιστραφῆναι καὶ μὴ ἐναπομεῖναι τῇ

[1] Οὐαλλεριανοῦ D. — [2] ἐν ||||| στάσει D. — [3] Νικαέων D. — [4] *corr. prima manu.. prius* παραινέσεις.

Χριστὸν ὡμολόγουν καί, δεινῶς ταύτας τιμωρήσας, τὸν ἀγῶνα ἐτελειώθησαν καὶ[29] τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο. Ἐπὶ τούτοις εἰς ὀργὴν ἐξαφθέντος τοῦ βασιλέως[30], κατὰ[31] τῶν διακοσίων στρατιωτῶν τῶν[32] πιστευσάντων καὶ βαπτισθέντων ἅμα τῷ[33] ἁγίῳ[34] τὴν ἀπόφασιν ἔδωκεν· καὶ εἰσελθόντος τοῦ ἁγίου, ἅπαντες πρὸς αὐτὸν[35] προσεκύνησαν, εἶθ' οὕτως τὰς αὐχένας ἐτμήθησαν καὶ πυρὶ παρεδόθησαν[36]. Τὸν δὲ ἅγιον Χριστοφόρον ἐν ὀργάνῳ[37] χαλκῷ κελεύει καθηλωθῆναι καὶ πυρκαϊὰν γενέσθαι κάτωθεν[38]· καὶ τούτου γενομένου, διέμεινεν[39] ὁ ἅγιος ἀβλαβής, ἐξ οὗ[40] ἄνδρα τινὰ λέγων καθορᾶν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου[41] μήκει μέγιστον καὶ κάλλει κάλλιστον περι- f. 213v. βεβλημένον λευκὰ[42] | ἱμάτια[43], οὗ ὑπὲρ κεφαλῆς ἀκτινολαμπροφεγγοφωτοστόλιστος[44] ἔκειτο[45] στέφανος· περιπόλους[46] δὲ κύκλῳ[33] καὶ στρατιώτας ἐξηρτημένον· πρὸς οὓς μέλανές τινες καὶ δυσειδεῖς συμβαλόντες[47] κρατεῖν ἔδοξαν αὐτῶν καὶ κατατροποῦσθαι[48]· ἐπιστραφῆναι δὲ τὸν ἀκτινολαμπῆ καὶ φοβερὸν ὄντως[49] ἐκεῖνον ἄρχοντα ἐν θυμῷ καὶ συνταράξαι καὶ[33] συντρῖψαι[33] καὶ συμπατῆσαι πᾶσαν[33] τὴν τῶν ἐναντίων[50] δύναμιν· τὴν[33] νίκην[33] καὶ[33] τὸ κράτος λαβεῖν. Οἱ ὄχλοι δὲ ταῦτα ἀκούσαντες ἅμα τὸν ἅγιον ἀβλαβῆ ἐξελθόντα τοῦ πυρός, ἐπίστευσαν καὶ προσῆλθον τῷ Χριστῷ καὶ τὰ βραβεῖα τῆς νίκης μετείληφαν ξιφοκοπτόμενοι[51] ὑπὸ τῶν τοῦ βασιλέως ὑπηρετῶν[52]. Ὁ δὲ ἅγιος Χριστοφόρος[33] δεσμεῖται λίθον[53] ἐπὶ τοῦ τραχήλου καὶ ἐν φρέατι ῥίπτεται· ἐκεῖθεν δὲ ὑπὸ ἀγγέλων[54] ἀνελκυσθεὶς χαλκοῦν ἱμάτιον πεπυρωμένον ἐνδύεται καὶ τελευταῖον ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις[55] ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι πλησίον τοῦ ἁγίου μάρτυρος Πολυεύκτου, καὶ ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μεγαλομάρτυρος[56] Γεωργίου ἐν τῷ Κυπαρισσίῳ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου καὶ Γορδιανοῦ[1]. Οὗτοι Ῥωμαῖοι ὄντες διὰ <τὸ[2]> τὸν Χριστὸν ὁμολογεῖν κατεσχέθησαν, καὶ ἀναγκασθέντες παρὰ τοῦ ἄρχοντος ἀρνήσασθαι τὸν Χριστὸν οὐκ ἐπείσθησαν· ὅθεν πολλαῖς βασάνοις ὑποβληθέντες ὕστερον τὰς κεφαλὰς ἀπετμήθησαν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Κοδράτου καὶ τῆς συνοδίας αὐτοῦ. Οὗτος ἦν καὶ οἱ σὺν αὐτῷ κατὰ τοὺς χρόνους Δεκίου καὶ Οὐαλεριανοῦ τῶν βασιλέων ἐν τῇ Νικομηδέων πόλει· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ἤχθη πρὸς Περίνιον τὸν ἀνθύπατον· καὶ ἐρωτηθεὶς ὡμολόγησε τὸν Χριστὸν καὶ ἁπλωθεὶς ἐτύφθη βουνεύροις ἐφ' ἱκανόν, ὥστε αἱμάτων πληρῶσαι[1] τὴν γῆν. <Εἶτα[2]> κατεῖχε τοῦτον ἡ φυλακή, γυμνὸν ἐπ' ὀστράκου τεθῆναι <τοῦ ἀνθυπάτου κελεύσαντος καὶ[3]> λίθον ἐπιτεθῆναι τῷ στήθει αὐτοῦ, εἶτα ἀχθῆναι ἐν τῇ Νικαιέων[4] πόλει καὶ τιμωρηθῆναι σφοδρῶς· ἐν ᾗ καὶ πολλοὺς ποιήσας πιστεῦσαι τῷ Χριστῷ, ὧν οἱ μὲν[5] καὶ τὰς κεφαλὰς ἐτμήθησαν, ἕτεροι δὲ τῷ πυρὶ παρεδόθησαν. Ὁ δὲ ἅγιος αἰτήσας εἰσελθεῖν ἐν τῷ ναῷ τῶν εἰδώλων τὰ ἐν αὐτῷ ἅπαντα συνέτριψε ξόανα· ὅθεν κρεμασθεὶς ξέεται καὶ μαστιζόμενος ἀπὸ πόλεως[6] εἰς πόλιν εἰς τὴν Ἀπαμέων[7] πόλιν εἰσέρχεται· καὶ βληθεὶς ἐν σάκκῳ ἐτύφθη σφοδρῶς. Εἶτα ἀχθεὶς εἰς Καισάρειαν, ὡς ἐκεῖσε τοῦ ἀνθυπάτου τὴν πορείαν ποιουμένου, πάλιν τύπτεται βουνεύροις· ἔνθα Σατορνίλος καὶ Ῥουφῖνος τὸν Χριστὸν ὁμολογήσαντες | ξεσθέντες τὰς f. 214.

— [29] (τὸν Χριστὸν - καὶ) χριστιανὰς ἑαυτὰς ἀνειποῦσαι δειναῖς μάστιξιν ὑπεβλήθησαν καὶ ταῖς βασάνοις ἐγκαρτεροῦσαι Mc. — [30] (εἰς - βασιλέως) τοῦ β. εἰς ὀργὴν ἐξαφθέντος Mc. — [31] καὶ τὸν ἅγιον εἰς τὸ τοῦ προσώπου σχῆμα ἀλλόκοτα ἐξυβρίσαντος τοῦ δὲ δεκτικὸν αὐτὸν τῆς ἐνεργείας τοῦ διαβόλου καλέσαντος, τοῦτο γὰρ ἔφη σημαίνειν τὸ Δέκιος ὄνομα ὁ βασιλεὺς κατὰ Mc. — [32] ἐπὶ συλλήψει τοῦ ἁγίου ἀποσταλέντων καὶ *add.* Mc. — [33] *om.* Mc. — [34] αὐτῷ Mc. — [35] (ἔδωκεν - αὐτὸν) δέδωκε καὶ ἐπεὶ προσῆλθον ἐνώπιον αὐτοῦ πάντες καὶ τὸν ἅγιον Mc. — [36] (εἶθ' - παρεδόθησαν) ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν Mc. — [37] τινι *add.* Mc. — [38] κελεύει καυθῆναι Mc. — [39] ἔμεινεν Mc. — [40] (ἐξ οὗ) μὴ μόνον μηδὲν ἐκ τοῦ πυρὸς πάσχων καὶ τῆς καθηλώσεως ἀλλὰ καὶ ὡς ἐν ἀνέσει ξένα καὶ παράδοξά τινα διηγούμενος Mc. — [41] (καθορᾶν - ἡλίου) ὁρᾶν τῷ Mc. — [42] λευκὰ περιβ. Mc. — [43] καὶ ταῖς αὐτοῦ μαρμαρυγαῖς τὸν ἥλιον ἀποκρύπτοντα *add.* Mc. — [44] λαμπρὸς Mc. — [45] ἐπέκειτο Mc. — [46] προσπόλους Mc. — [47] συμβαλλόντες S. — [48] ὑπερισχύειν Mc. — [49] εἶτα ἐπιστραφέντα τὸν φοβερὸν Mc. — [50] ἐκείνων *add.* Mc. — [51] (οἱ - ξιφοκοπτόμενοι) τοὺς δὲ ὄχλους ταῦτα ἀκούσαντας καὶ ἅμα ἰδόντας τὸν ἅγιον ἀλώβητον παντάπασι διαφυλαχθέντα πιστεῦσαι καὶ προσελθεῖν τῷ Χριστῷ καὶ τὸν ἅγιον ἐξελκῦσαι τοῦ πυρὸς καὶ τῆς καθηλώσεως· ἀλλ' οὗτοι μὲν Mc. — [52] κατεκόπησαν *add.* Mc. — [53] λίθῳ Mc. — [54] ἀγγέλου Mc. — [55] ἡ δὲ τούτου σύναξις τ. Mc. — [56] μάρτυρος Mc.

3. — [1] *hic des.* Mc. — [2] *supplevi, om.* S.

4. — [1] πληρώσας S. — [2] *suppl., om.* S. — [3] (τοῦ - καὶ) *om.* S. — [4] Νικααίων S. — [5] (ὧν - μὲν) ἐν ᾗ S. — [6] πόλιν S. — [8] Ἀπαμαίων S.

Mai 9. ἀπωλείᾳ· οἳ διὰ πυρὸς τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο. Καὶ αἰτήσας εἰσελθεῖν ἐν τῷ ναῷ τῶν εἰδώλων, τὰ ἐν αὐτῷ πάντα συνέτριψε ξόανα· ὅθεν κρεμασθεὶς ξέεται καὶ ἀχθεὶς ἐν τῇ Ἀπαμέων πόλει καὶ ἐν σάκκῳ βληθεὶς τύπτεται σφοδρῶς· εἶτα ἀχθεὶς εἰς Καισάρειαν, διὰ τῶν τοιούτων πόλεων πορείαν[5] ποιουμένου τοῦ ἀνθυπάτου, πάλιν τύπτεται βουνεύροις· ἔνθα Σατορνίλος καὶ Ῥουφῖνος τὸν Χριστὸν ὁμολογήσαντες, κρεμασθέντες ξέονται καὶ τὰς κεφαλὰς ἀφαιροῦνται. Εἰς δὲ τὴν Ἀπολλωνιάδα ἐλθὼν ὁ ἀνθύπατος συνεπαγόμενος καὶ τὸν ἅγιον, θύειν αὐτὸν τοῖς εἰδώλοις κατηνάγκαζεν[6]. Τοῦ δὲ μὴ πεισθέντος, ἅλμην ὄξει συγκραθεῖσαν καταχέει αὐτοῦ ταῖς πληγαῖς καὶ τριχίνοις ὑφάσμασι κατατρίβει καὶ σίδηρα πυρωθέντα ἐπάγει αὐτοῦ ταῖς πλευραῖς. Διαβὰς δὲ τὸν Ῥύνδακον καὶ τὴν Ἑρμούπολιν καταλαβών, τοῦ ἁγίου μηκέτι τοῖς ποσὶ χρήσασθαι δυναμένου ἀλλ' ἐφ' ἁμάξης[7] φερομένου, καὶ εἰ ἔγνωκεν ἀρνήσασθαι τὸν Χριστὸν ἐρωτηθέντος, ἐπεὶ τῇ πίστει ὠχύρωτο καὶ τὸν Χριστὸν ὡμολόγησεν, ἐπὶ ἐσχάρας πυρὸς ἁπλωθῆναι κατεδικάσθη, ἄνωθεν πίσσης καὶ ἐλαίου ἐπισταζομένων. Τοῦ δὲ τρυφὴν καὶ ἀνάπαυσιν τὴν τοιαύτην τιμωρίαν ἡγεῖσθαι λέγοντος, ὁρῶν ὁ ἀνθύπατος τὸ πῦρ μὴ ἁπτόμενον, ἐξήνεγκε κατ' αὐτοῦ τὴν διὰ ξίφους ἀπόφασιν· καὶ τμηθεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τῆς Ξηροκίρκου. — 5. 6. — **Da** : 1. 2. 3. 4. 5. 6. — **Db** : 1. 2. 3. 4. 5. 6. — **K** : 1. 2. 3. 4. 5. 6. — **N** : 1. 2. 3. 4. 5. 6. — **Bb** : 1. 2. 3. 4. —

— [5] *corr. rec. in marg.* D. — [6] κατηνάκαζεν *ita corr. prima manu, prius* κατέναζεν D. — [7] ἐπαμάξης D.

Mai 9. κεφαλὰς ἀφαιροῦνται. Ἔπειτα τὴν Ἀπολλωνιάδα τοῦ δυσσεβοῦς διερχομένου, κατήρχετο δέσμιος καὶ ὁ ἅγιος· ὡς δὲ ἀνένδοτον εἶδεν αὐτὸν ὀξάλμη ἐγχέας αὐτοῦ ταῖς πληγαῖς τριχίνοις ῥάκεσι κατατρίβει, καὶ σίδηρα πυρωθέντα ἐπάγει αὐτοῦ ταῖς πλευραῖς. Διαβὰς δὲ τὸν Ῥύνδακα[7] καὶ τὴν Ἑρμούπολιν καταλαβὼν καὶ μὴ πεισθεὶς θῦσαι, ἐπὶ ἐσχάρας πεπυρακτωμένης ἁπλοῦται. <Καὶ[8]> ἄνωθεν πίσσης καὶ ἐλαίου ἐπισταζομένου, ὁρῶν ὁ δυσσεβὴς ἀνθύπατος τὸ πῦρ αὐτὸν μὴ ἁπτόμενον, ἐξήνεγκε κατ' αὐτοῦ τὴν διὰ ξίφους ἀπόφασιν· καὶ τμηθεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις πλησίον τῆς Ξηροκίρκου.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Τρυφαίνης.

6. Καὶ ὁ ῥοδισμὸς τοῦ ἁγίου Τιμοθέου τοῦ πατριάρχου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Mai 10. **1.** Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ. Οὗτός ἐστι Σίμων, ὁ καὶ Ναθαναὴλ ὀνομαζόμενος καὶ χρηματίσας νυμφίος ἐν τῷ γενομένῳ γάμῳ[1] ἐν Κανᾷ, παρ' οὗ[2] προσκληθεὶς ὁ Χριστὸς ἅμα τοῖς αὐτοῦ μαθηταῖς[3] τὸ ὕδωρ εἰς οἶνον μετέβαλεν· ὅθεν ὁ νυμφίος τὸν γάμον καὶ τὸν οἶκον[4] καταλιπὼν τῷ φίλῳ καὶ θαυματοποιῷ καὶ[5] νυμφαγωγῷ καὶ νυμφίῳ[6] τῶν καθαρῶν ψυχῶν Χριστῷ ἠκολούθησεν. Εἷς δὲ τῶν ἑβδομήκοντα ὑπάρχων καὶ τοῖς ἀποστόλοις ἐν τῷ ὑπερῴῳ συνὼν, ὅτε πυρίνων ἐν εἴδει γλωσσῶν τὸ ἅγιον[7] Πνεῦμα ἐπεφοίτησε, καὶ τούτου πλησθεὶς[8] τὴν γῆν ἅπασαν σχεδὸν εἰπεῖν διαδραμὼν πᾶσαν[7] κατέφλεξε τῆς πολυθεΐας ἀπάτην[9]. Μαυριτανίαν γὰρ πᾶσαν καὶ τὴν τῶν Ἄφρων χώραν καὶ[7] Λιβύην[7] διελθὼν ἐκήρυξε τὸν Χριστόν· ὕστερον δὲ ἐν Βρεττανίᾳ[10] γενόμενος καὶ πολλοὺς τῷ λόγῳ τοῦ εὐαγγελίου φωτίσας, ὑπὸ τῶν ἀπίστων σταυρωθεὶς[11] καὶ τελειωθεὶς θάπτεται ἐκεῖ. Ὡς δὲ ζῆλον διάπυρον ζηλῶν Θεῷ παντοκράτορι, κλῆσιν τὸν τρόπον ἐκτήσατο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀλφειοῦ, Φιλαδέλφου, Κυρίνου[1] καὶ τῶν σὺν αὐτοῖς. Οὗτοι ὑπῆρχον τῆς τῶν Βασκάνων[2] χώρας πόλεως Πρεφεκτῶν, εὐγενεῖς καὶ περιουσίᾳ λαμπροί, υἱοὶ Βιταλίου ἄρχοντος. Μαθόντες δὲ τὴν εὐσέβειαν παρὰ Ὀνησίμου τινὸς ἁγιωτάτου ἀνδρὸς καὶ βαπτισθέντες ἐκήρυττον τὸν Χριστόν. Ἐρωτῶνται δὲ πρῶτον παρὰ Ἀνηγγελίωνος[3], ἐκ Ῥώμης μετὰ γραμμάτων βασιλικῶν κατὰ τῶν χριστιανῶν ἐκπεμφθέντος, καὶ παρ' αὐτοῦ | ἀποστέλλονται ἐν Ῥώμῃ πρὸς Λικίνιον[4]. f. 214v. Ὁ δὲ τούτους Βαλλεριανῷ εἰς ἐξέτασιν δίδωσιν, παρ' οὗ ἐν Ποτιόλοις πρὸς τὸν ἡγεμόνα Διομήδην ἐκπέμπονται, ὃς αὐτοὺς πρὸς Τέρτυλλον ἀποστέλλει, τὴν τῆς Σικελίας ἀρχὴν διέποντα. Καὶ βασάνων πλείστων πεῖραν καὶ καρτερίαν ἐνεγκόντες, τέλος ἐπὶ τοῦ Τερτύλλου τὸν μακάριον στέφανον ἐκομίσαντο· ὁ μὲν Ἀλφειὸς τὴν γλῶτταν τμηθείς, ἐν ἐσχάρᾳ δὲ ὁ Φιλάδελφος ὀπτηθείς, ὁ δὲ Κυρῖνος τηγάνῳ πυρωθέντι βληθείς. Ὁ δὲ Ὀνήσιμος[5] καὶ Ἔρασμος σὺν ἑτέροις τεσσαρεσκαίδεκα, βασάνων πολλῶν καὶ αὐτοὺς[6] τιμωρησάντων, ὁ μὲν ἅγιος Ὀνήσιμος λίθον μέγιστον κατὰ τοῦ στήθους δεξάμενος ἀφῆκε τὸ πνεῦμα, ὁ δὲ Ἔρασμος καὶ οἱ σὺν αὐτῷ ιδ' τοὺς αὐχένας αὐτῶν ἐτμήθησαν.

— [7] Ῥούνδακα S. — [8] *supplevi, om.* S

1. — [1] τῷ γ. τῷ γενομένῳ Mc. — [2] ἔνθα Mc. — [3] (ἅμα - μαθηταῖς) *om.* Mc. — [4] κ. τ. οἶκον *om.* Mc. — [5] φ. κ. θ. κ. *om.* Mc. — [6] Χριστῷ *add.* Mc. — [7] *om.* Mc. — [8] καὶ *add.* Mc. — [9] τὴν τῆς π. ἀπάτην κατέφλεγε Mc. — [10] Βρετανία S. — [11] σταυροῦται Mc.

2. — [1] *al.* Κυπρίνου *cf.* Synaxaria selecta. — [2] Βασκόνων *in Passione*, Act. SS. *Mai t. II, p. 774.* — [3] Ἀνιγγελίωνος S, Νιγελλίωνος *in Passione, p. 773.* — [4] Λικίννιον S. — [5] Ὀνίσημος S. — [6] αὐτῶν S.

Mai 9. **Bc** : 1. 2. 3. 4. — **C** : 1. 2. 3. 4. — Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου (in marg.). — **Ce** : 1. 2. 3. 4. — **Cg** : 1. 2. 3. 4. — Νικολάου (alia manu). — **R** : 1. 2. — **Ra** : 1 : Ἡσαΐα. Οὗτος ὁ μεγαλοφωνότατος προφήτης ἦν υἱὸς Ἀμὼς ἀπὸ Ἱερουσαλήμ, καὶ προεφήτευσε μετὰ τοῦ Ὡσηὲ ἔτη ἑκατον τρισκαίδεκα... Des. : καὶ ἐμίανεν ὀστᾶ τῶν πατέρων· διὰ τοῦτο ὁ Θεὸς ἐποίησεν εἰς δουλείαν ἀπελθεῖν τὸ σπέρμα αὐτοῦ καὶ ἄκαρπον αὐτὸν ἐποίησεν ὁ Θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης. — 2. 3 (Γορδιανοῦ). — **Rb** : 1. 2. — **Rc** : 1. — **Mc** : 1. 2. 3. — Ῥουφῖνος καὶ Σατορνῖνος ξ. τ. — Αἱ διὰ τοῦ ἁγίου μάρτυρος Χριστοφόρου πιστεύσασαι δύο γυναῖκες Καλλινίκη καὶ Ἀκυλίνα σούβλαις ἀπὸ ποδῶν ἕως τῶν ὤμων διαπαρεῖσαι τ. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1. 2.

Mai 10. SYNAXARIA SELECTA. **H** : 1. 2. 4. 3. — Τοῦ ἁγίου μάρτυρος Διοσκορίδους (Mai 11). — **P** : 2. 3. 1. — **D** : 1. 2. 4 : Ἡσυχίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως πρῶτος τοῦ παλατίου τυγχάνων. Προστάξαντος δὲ τοῦ Μαξιμιανοῦ τοὺς ἐν στρατείᾳ χριστιανοὺς λύσαντας τὰς ζώνας ἰδιωτεύειν καὶ πολλῶν τῶν ἀκλεῆ μᾶλλον ἑλομένων βίον ἢ τὴν ἐν ἀπωλείᾳ τιμήν, μεθ' ὧν ἦν καὶ ὁ ἅγιος Ἡσύχιος, καὶ τούτου μὴ λαθόντος τὸν βασιλέα, ἐκέλευσεν αὐτὸν ἀποδυθῆναι τὰ ἱμάτια, ἃ περιεβέβλητο ὄντα πολυτελῆ, ἐνδυθῆναι δὲ κολόβιον ἐξ ἐρίου καὶ μετὰ τῶν γυναικῶν συνδιάγειν. Καὶ τούτου γενομένου, προσκαλεσάμενος αὐτὸν ὁ βασιλεύς, εἰ οὐκ αἰσχύνεται ἐπυνθάνετο, ἐκ τῆς τῶν μαγίστρων τιμῆς εἰς τὴν ἄτιμον ταύτην κατενεχθεὶς ἀγωγήν, μηδὲ γὰρ δύνασθαι τοὺς χριστιανοὺς ἐπὶ ταῖς πρότερον μεγίσταις οὕτω τιμαῖς καὶ ἀρχαῖς καταστῆσαι αὐτόν. Τοῦ δὲ τὴν παροῦσαν τιμὴν πρόσκαιρον εἶναι εἰπόντος, τὴν[1] δὲ Χριστοῦ αἰωνίαν καὶ ἀπέραντον, λίθον[2] μυλικὸν δεθῆναι τῷ τραχήλῳ αὐτοῦ ὁ βασιλεὺς προσέταξεν

[1] τοῦ D. — [2] δὲ *add.* D.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἡσυχίου τοῦ ὁμολογητοῦ. Οὗτος ὥρμητο ἐκ τῆς Ἀδραπηνῶν πόλεως, χώρας τῶν Ἀρμενιακῶν. Ἦν δὲ ἀνὴρ ἀγαθὸς καὶ πρᾶος καὶ φερωνύμως ἔχων τὸν τρόπον τῇ κλήσει κατάλληλον. Δεηθεὶς οὖν τοῦ Κυρίου ὑποδεῖξαι αὐτῷ τόπον, ἐν ᾧ καταμόνας γενόμενος δουλεύσει καὶ εὐαρεστήσει αὐτῷ, ἀπεκαλύφθη αὐτῷ ἐλθεῖν τὰ πρὸς θάλασσαν μέρη εἰς τὸ ὄρος τὸ ἐπιλεγόμενον Μαιῶνος· ἔνθα γενόμενος ἐπὶ ὄρει ὑψηλῷ, δαίμονες εἰσελθόντες εἰς δύο ἀνθρώπους Ἰωάννην καὶ Ἱλαρίωνα, παρεσκεύασαν ἀπαντῆσαι καὶ ἐρωτῆσαι αὐτόν, ποῦ πορεύεται· καὶ μαθόντες εἶπον γέμειν τὸν τόπον θηρίων καὶ λῃστῶν. Ὁ δὲ εἶπεν· « Ἐγὼ θανάτου ἄξια ἔπραξα καὶ φεύγων τὸν » θάνατον ἀπέρχομαι. » Καὶ ἀποκριθέντες εἶπον· « Τῶν ἀνθρώπων τὸν θάνατον φοβῇ καὶ τῶν » θηρίων οὐ φοβῇ. » Τότε γνοὺς τὴν τῶν δαιμόνων ἐπίθεσιν, σφραγίσας αὐτοὺς ἐδίωξεν ἐκ τῶν ἀνθρώπων. Αὐτὸς δὲ ἀπελθὼν ἐκεῖθεν ἐπὶ τὸ ὕδωρ καὶ πλησίον εὐκτήριον τοῦ ἁγίου Ἀνδρέου κατασκευάσας καὶ τὸ λειπόμενον τῆς ζωῆς ἐν ἀσκήσει καὶ καρτερίᾳ καλῶς διανύσας καὶ πολλὰς θαυμάτων ἐνεργείας πεποιηκὼς πρὸς Κύριον ἐξεδήμησε. Mai 10. Τὸ δὲ τίμιον καὶ ἅγιον λείψανον αὐτοῦ ἀνακομισθὲν ἐτέθη ἐν Ἀμασείᾳ τῇ πόλει.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἡσυχίου[1]. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, πρῶτος τοῦ παλατίου καὶ τὴν ἀξίαν μάγιστρος. Ἐν Ἀντιοχείᾳ δὲ διατρίβων ὁ Μαξιμιανὸς προσέταξε χριστιανοὺς μὴ στρατεύεσθαι, ἀλλὰ λύειν τὰς ζώνας καὶ ἰδιωτεύειν. Εἷς τούτων γεγονὼς καὶ ὁ μέγας Ἡσύχιος, καὶ τοῦτο γνοὺς ὁ βασιλεὺς ἐγύμνωσεν αὐτὸν τὰ πολυτελῆ ἱμάτια, καὶ ἐνδύσας κολόβιον τρίχινον μετὰ τῶν γυναικῶν κατέκρινε διάγειν. Ὁ δὲ εἶπεν | ὅτι· « Ἡ παροῦσα f. 215. » τιμὴ πρόσκαιρός ἐστιν, ὦ βασιλεῦ. » Τότε λίθον μυλικὸν προσδήσας αὐτοῦ τῷ τραχήλῳ, ἠκόντισεν ἐν τῷ Ὀρόντῃ[2] ποταμῷ, ἔνθα τὸ μακάριον τέλος ἐδέξατο <μηνὶ μαρτίῳ τετάρτῃ[3]·> ἐν ᾧ καὶ προεγράφη διεξοδικώτερον.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

1. Ἡ ἀνάμνησις εὐδοκίᾳ Θεοῦ πνευματικῶς ἐπιτελεῖται τοῦ γενεθλίου ταύτης τῆς θεοφυλάκτου καὶ[1] βασιλίδος[1] πόλεως τῆς ἐξαιρέτως ἀνακειμένης τῇ προστασίᾳ[2] τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ὑπ' αὐτῆς διὰ παντὸς σωζομένης[3], ὅτε τὴν τοῦ Βύζαντος πόλιν ὁ μέγας ἐν βασιλεῦσι καὶ[1] χριστιανικώτατος Κωνσταντῖνος[4] παραλαβὼν καὶ κτίσας πολλῷ[5] μείζονα καὶ εἰς τὸ αὐτοῦ[6] ὄνομα τὴν κλῆσιν αὐτῆς[7] μεταμείψας[8], ἀντὶ Βυζαντίου Κωνσταντινούπολιν ὠνόμασε[9]. Μετὰ τὸ συμπληρῶσαι τό τε τεῖχος[10] καὶ τὰς ἐν αὐτῇ οἰκήσεις καὶ τὰς[1] ἱερὰς ἐκκλησίας, ἀναθεὶς ταύτην τῇ ὑπερενδόξῳ δεσποίνῃ ἡμῶν Θεοτόκῳ καὶ ἀειπαρθένῳ[11], κατεξαίρετον εὐχαριστῶν ἅμα[12] τῷ ἁγιωτάτῳ πατριάρχῃ καὶ τῷ κλήρῳ καὶ τῷ λαῷ λιτανεύσας ἀνῆλθεν ἐν τῷ φόρῳ, ἐν ᾧ τὴν αὐτοῦ στήλην οἱ πολῖται ἀνέστησαν φέρουσαν τοὺς ἁγίους τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἥλους[13] ἐν τῇ κεφαλῇ, οὗ κάτωθεν[14] κεῖνται οἱ δώδεκα κόφινοι τῶν περισσευσάντων κλασμάτων τῶν ἄρτων[15]· ἔκτοτε οὖν παραλαβοῦσα ἡ ἐκκλησία ἑορτάζει ἕως Mai 11. τοῦ νῦν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μωκίου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐξ Εὐρώπης, πρεσβύτερος ὑπάρχων ἐν Ἀμφιπόλει τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας· γεννήτορες δὲ αὐτῷ Εὐφράτιος καὶ Εὐσταθία εὐγενεῖς πάνυ καὶ πλούσιοι ἐκ τῆς πρεσβυτέρας Ῥώμης ὁρμώμενοι. Ὁ δὲ ἅγιος Μώκιος ἀεὶ τῇ διδασκαλίᾳ προσέχων καὶ τὸν Χριστὸν καταγγέλλων καὶ ἀπέχεσθαι τῆς πλάνης τῶν εἰδώλων παρεγγυῶν, ἐπεὶ θυσίας τελουμένης παρὰ Λαοδικίου[1] ἀνθυπάτου τῷ Διονύσῳ[2] καὶ τῶν εἰδωλολατρῶν συνηγμένων[3] προσελθὼν ἀνέτρεψε τὸν βωμόν[4], κατασχεθεὶς τὸν Χριστὸν ὡμολόγησε· καὶ[5] πρῶτον μὲν κρεμασθεὶς ξέεται ἀπὸ τῶν κροτάφων τάς τε σιαγόνας καὶ τὰς πλευράς· ἔπειτα δὲ ἐξαφθείσης καμίνου καὶ[6] πίσσης καὶ στυπείου καὶ κληματίδων, ὡς ἐπὶ ἑπτὰ πήχεις[7] ὑψοῦσθαι τὴν φλόγα, μέσον ἐμβάλλεται[8]· ἡ δὲ φλὸξ τοῦτον ὑπολαβοῦσα[9] σῶον ἐφύλαξε, καὶ ὡρᾶτο[10] μέσον αὐτῆς ἐμπεριπατῶν μεθ' ἑτέρων

4. — [1] *in marg.* ἕτερος S. — [2] Ὀρῶντι S. — [3] (μ. μ. τ.) *supplevi, om.* S.

1. — [1] *om.* Mc. — [2] πρ. ἀνακειμένης Mc. — [3] (τῆς - σωζομένης) τῆς ὑπεραγίας δ. ἡμ. θεοτόκου Mc. — [4] Κ. ὁ χριστιανικώτατος Mc. — [5] παρ. ἔκτισε πολλῷ πλέον Mc. — [6] αὐτῆς S. — [7] αὐτοῦ S. — [8] μετήμειψει τὴν κλ. αὐτῆς Mc. — [9] ὀνομάσας Mc. — [10] τά τε τείχη αὐτῆς Mc. — [11] τῇ ἀειπαρθ. Θ. Mc. — [12] διετέλεσεν ἅμα τε Mc. — [13] τοὺς ἁγ. ἥλους τοῦ Χ. καὶ Θ. ἡμῶν Mc. — [14] κάτω Mc. — [15] τῶν ἄρτων *om.* Mc.

2. — [1] Λαοδικείου S, Λ. τοῦ Mc. — [2] τοῦ Διονύσου S. — [3] ζήλου πλησθεὶς *add.* Mc. — [4] καὶ *add.* Mc. — [5] *om.* Mc. — [6] (τάς τε - καὶ) μέχρι καὶ τῶν πλευρῶν εἶτα καμίνου ἐξ. ἐκ Mc. — [7] ἐπὶ μέγα Mc. — [8] ἐμβάλεται S, βάλλεται Mc. — [9] αὐτὸν δεξαμένη Mc. — [10] ἑωρᾶτο Mc.

καὶ μέσον τοῦ ποταμοῦ τοῦ οὕτω λεγομένου Ὀρόντου ῥιφῆναι, ἐν ᾧ τὸ μακάριον ἐδέξατο τέλος. — Mai 10. 3. — **Da** : 1. 2. 4. — **Db** : 1. 2. 4. — **K** : 1. 2. 4. — **N** : 1. 2. 4. 3. — **Bb** : 4. 3. 1. 2. — **Bc** : 4. 3. 1. 2. — **C** : 4. 3. 1. 2. — **Ce** : 4. 3. 1. 2. — **Cg** : 4. 3. 1. 2. — **R** : 1. — Ἐπιμάχου καὶ Γορδιανοῦ ... τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στρατονίκου. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — Τοῦ ἁγίου μάρτυρος Ἀβδᾶ. — **Rc** : 1. — **Mc** : 1. — Κοδράτου (Mai 9[4]). — 2 (Ἀλφειοῦ, Φιλαδέλφου καὶ Κυπρίνου). — 3. 4 : ὁ ἅγιος Ἡσύχιος ὁ συγκλητικὸς ἐν ποταμῷ ῥιφεὶς τ. — Ὁ ὅσιος Λαυρέντιος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2 (Ἀλφειοῦ, Φιλαδέλφου καὶ Κυρίλλου). — 4. 3. — **Mr** : 1.

Mai 11. SYNAXARIA SELECTA. **H** : deest. — **P** : 2. 3. 1. — **D** : 1. 2. 3 (Διοσκορίδους). — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **K** : 1. 3. — **N** : 1. 2. 3. — **Bb** : 1. 2. 3. — **Bc** : 1. 2. 3. — **C** : 1. 3. — **Ce** : 1. 2. 3. —

Mai 11. f. 215v.

ἀνδρῶν ἐνδόξων τριῶν, ὧν [11] ἑνὸς τὸ πρόσωπον ὑπὲρ τὰς αὐγὰς ἤστραπτε τοῦ πυρός [12], καὶ ἐξῆλθεν ὁ ἅγιος ὑγιής, μηδὲ μέχρι τριχὸς | ἁψαμένης αὐτοῦ τῆς φλογός· ἥτις ἐπιχυθεῖσα τὸν [13] ἀνθύπατον καὶ ἐκ τῶν μετ' αὐτοῦ ἄνδρας ἐννέα κατέφλεξεν, ὡς μηδὲ βραχύ τι μέρος τοῦ σώματος [14] αὐτῶν μαρανθείσης τῆς φλογὸς εὑρεθῆναι. Καὶ τότε μὲν ἐβλήθη ἐν τῇ εἱρκτῇ [15] ὑπὸ τοῦ πρίγκιπος [16] Θαλασσίου ὁ μακάριος μάρτυς [17], ὕστερον δὲ Μαξίμου τοῦ ἀνθυπάτου καταλαβόντος, κατέστη ὁ ἅγιος [18] εἰς ἐξέτασιν καὶ μὴ πεισθεὶς ἀρνήσασθαι τὸν Χριστὸν ἀλλὰ μᾶλλον [19] κηρύξας λαμπρῶς, ἐν δυσὶ τροχοῖς δεσμεῖται [20], ὑφ' ὧν συμπατεῖται καὶ κατατέμνεται. Παραδόξως δὲ ἐκ τούτων ῥυσθεὶς θηρίοις ἀφίεται [21]· ἀβλαβὴς δὲ [22] ἐξ αὐτῶν διαμείνας, τοῦ δήμου ἐπιβοῶντος αὐτὸν ἀπολύεσθαι, πέμπεται πρὸς Φιλιππήσιον [23] ἐν Περίνθῳ πόλει [24] τῆς Θρᾴκης, ἡ νῦν Ἡράκλεια λέγεται [25], κἀκεῖθεν ἐπὶ τὸ Βυζάντιον στέλλεται, ἔνθα τὴν διὰ ξίφους λαβὼν ἀπόφασιν τὴν κεφαλὴν ἀφαιρεῖται. Καὶ τότε μὲν πρὸ μιλίου ἑνὸς τῆς πόλεως τίθεται· ὕστερον δὲ ἀνοικοδομηθέντος αὐτῷ ναοῦ παρὰ τοῦ μεγάλου Κωνσταντίνου, τῷ μεγέθει τῆς κατασκευῆς καὶ τῷ βάρει τῆς οἰκοδομῆς πολυτελοῦς καὶ ὑπερηφάνου [26], ἐν αὐτῷ μετετέθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Διοσκορίδου [1]. Οὗτος ὥρμητο ἀπὸ τῆς Σμυρναίων μητροπόλεως· καὶ προσαχθεὶς τῷ ταύτης ἄρχοντι καὶ χριστιανὸν ἑαυτὸν ἀνακηρύξας, δέσμιος ἐν τῇ φυλακῇ τίθεται καὶ πάλιν ἐρωτηθεὶς καὶ τῇ εἰς Χριστὸν ἐπιμένων πίστει, προστάξαντος τοῦ ἄρχοντος, ἀναιρεῖται.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ.

Mai 12.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου τοῦ ἐν τῷ Μαλαιῶν [1] ὄρει [2].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου ἀρχιεπισκόπου Κωνσταντίας τῆς Κύπρου. Οὗτος ὁ μέγας καὶ θαυματουργὸς Ἐπιφάνιος [1] χώρας γέγονε τῆς [2] Φοινίκης ἐκ περιοικίδος Ἐλευθεροπόλεως [3], ἐξ αὐτουργῶν καὶ τὰ ταπεινὰ πραττόντων γονέων. Τραφεὶς δὲ ἐν οἰκίᾳ μικρᾷ, οἵαν εἰκὸς πενήτων ἀνθρώπων καὶ γεωργῶν [4] ὑπάρχειν, αὐτὸς τῇ κατὰ Θεὸν ἐξέλαμψεν ἀρετῇ καὶ εἰς τὸ ἀκρότατον ὕψος τῆς κατ' εὐσέβειαν πολιτείας προήχθη. Τῶν γὰρ γεννητόρων αὐτοῦ τῇ τοῦ νόμου ἐναπομεινάντων [5] λατρείᾳ καὶ τῇ σκιᾷ, κατιδεῖν δὲ τὸ τῆς χάριτος φῶς μὴ δυνηθέντων [6], αὐτὸς πρὸς τὴν ἐν Χριστῷ ἀλήθειαν ἔδραμε μικρᾶς δραξάμενος ἀφορμῆς, Κλεοβίου τινὸς ἰασαμένου αὐτοῦ τὴν συντριβὴν τοῦ μηροῦ, | f. 216. ἣν ὑπέστη — ἀτάκτως τοῦ ὑποζυγίου ἐν ᾧ ἐπωχεῖτο σκιρτήσαντος — καὶ αὐτὸ τὸ ὑποζύγιον θανατώσαντος [7]. Λουκιανῷ τινι μονάζοντι ἐντυχών, ὃν κατεῖδε τῷ αἰτήσαντι πένητι τὸ τριβώνιον ἐπιδόντα, αὐτὸν δὲ ἄνωθεν λευκὴν ἀμφιασθέντα στολήν, εὐθὺς τῇ τῶν χριστιανῶν προσέρχεται πίστει καὶ τὸ ἅγιον βάπτισμα παρὰ τοῦ ἐπισκόπου δέχεται· ἔπειτα γέγονε μοναχός [8]. Τὰ δὲ ἐντεῦθεν δυσέφικτον ἐν ἐπιτόμῳ πάντα περιλαβεῖν, ἀφεῖναι δὲ τὰς ἡνίας τῷ μήκει τοῦ λόγου καὶ τῷ πλάτει τῆς κατ' αὐτὸν ἱστορίας, ἶσόν ἐστιν τῷ κοτύλῃ μικρᾷ τὴν θάλασσαν ἐξαντλεῖν καὶ πειρᾶσθαι μετρεῖν [9]. Τῆς δὲ ἀρχιερατικῆς τάξεως ἐπιβὰς πολλοὺς πειρασμοὺς ὑπὸ τῶν κακοδόξων ὑπέστη· τὴν δὲ ἀλήθειαν ἐν τοῖς λόγοις κρατύνας, τοὺς αἱρετικοὺς τῆς ἐκκλησίας ἀπήλασε. <Καὶ [10]> ἐπεδήμησε τῇ Κωνσταντινουπόλει· καὶ καταναγκασθεὶς ὑπὸ τῆς Εὐδοξίας ὑπογράψαι εἰς τὴν ἐξορίαν τοῦ Χρυσοστόμου, οὐκ ἐπείσθη· ἀπειλούσης δὲ αὐτῆς ὡς, εἰ μὴ τοῦτο ποιήσει, τὰ εἰδωλεῖα ἀνοίξει, πεισθεὶς ὑπέγραψε. Καὶ μαθὼν τοῦτο ὁ Χρυσόστομος ἔγραψε πρὸς αὐτόν· « Ἀδελφὲ Ἐπιφάνιε, ἀκήκοα, » ὡς τῇ ἐμῇ συνήνεσας ἐξορίᾳ· ἴσθι δὲ καὶ αὐτός, » ὡς οὐ μὴ καθίσῃς ἔτι ἐπὶ τοῦ θρόνου σου. » Ὁ δὲ ἀντέγραψε πρὸς αὐτόν· « Ἀθλητὰ Ἰωάννης, » παίου καὶ νίκα· » ὅπερ καὶ γέγονεν. Ἀπὸ Κωνσταντινουπόλεως <γὰρ [10]> ἐπανιὼν ἐπὶ τὴν Κύπρον, κατὰ τὸν πλοῦν τὸ πνεῦμα τῷ Θεῷ παρέθετο, ὡς ὁ μέγας αὐτῷ Ἰωάννης ἔγραψεν· τὸν δέ φασιν ἀντιγράψαι καὶ αὐτὸς ἐκείνῳ [11] τὰ ὅμοια. Ζήσας δὲ ἔτη πρὸς τοὺς ἑκατὸν δεκαπέντε μῆνας τρεῖς <πρὸς Κύριον ἐξεδήμησεν [12].> Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ οἴκῳ τῷ ὄντι ἔνδον τοῦ ἁγίου Φιλήμονος [13].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἡρακλείου, υἱὸς Ἰουστινιανοῦ πατρικίου, ἀνδρὸς περιφανοῦς καὶ περιβοήτου [1], πλείστας ἀρχὰς πράξαντος δημοσίας, ὃν ἐθαύμασε μὲν καὶ ἠγάσθη διὰ τὴν εὐσέβειαν πᾶς ὁ τῶν ἐν τέλει κατάλογος. Δι' αὐτὸ δὲ τοῦτο ὁ τοῦ Ἡρακλείου ἔγγονος ζηλοτυπήσας ἀπέκτεινεν, ὅτι δή φησιν ἐπιθέσθαι τῇ βασιλείᾳ βεβούλευται· τὸν δὲ μακάριον Γερμανὸν εὐνούχισε, καὶ τῷ κλήρῳ τῆς μεγάλης ἐκκλησίας ἐνέταξε. Καὶ ἐπιδοὺς ἑαυτὸν τῇ μελέτῃ τῶν θείων γραφῶν ὀξύτητι φύσεως καὶ πόνοις ἐνδελεχέσιν ἐπὶ πλεῖστον προελθὼν σοφίας καὶ γνώσεως, | f. 216v. καὶ τὸν βίον ῥυθμίσας καλῶς, πρῶτον μὲν χειροτονεῖται τῆς ἐν Κυζίκῳ ἐκκλησίας ἐπίσκοπος, οὐ σχεδιάσας τοὺς βαθμοὺς ἀλλ' ἀκολουθίᾳ καὶ τάξει ἐπὶ τὸ τέλειον προελθών· ἔπειτα δὲ τῶν ἐκκλησιῶν ἔμφρονος ἐπιστασίας δεομένων καὶ ἀνδρὸς λόγῳ καὶ πράξει κατηρτισμένου, ἀπὸ τῆς Κυζίκου πρὸς τὴν μεγάλην τῆς Κωνσταντινουπόλεως καθέδραν ἀνάγεται· ἔνθα ἀπείρους λαοὺς τῇ διδασκαλίᾳ φωτίσας καὶ τὰ βαθύτερα καὶ ἀσαφῆ τῆς γραφῆς ἑρμηνεύσας καὶ πανηγυρικοῖς καὶ ἐγκωμιαστικοῖς λόγοις τὴν ἐκκλησίαν φαιδρύνας καὶ μελῳδίαις καὶ ᾄσμασι τὸ ἐν ταῖς ἀγρυπνίαις σκληρόν τε καὶ σύντονον καταθέλξας. Διήρκεσε δὲ μέχρι τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου· ὃν ἰδὼν τὰς ἁγίας εἰκόνας ἀποστρεφόμενον καὶ λυττῶντα καὶ μήτε λόγοις γραφικαῖς μήτε παραινέσεσι δυνηθεὶς πεῖσαι αὐτὸν ἀποστῆναι τῆς αἱρέσεως, ἀλλὰ βλασφημεῖν κατὰ τοῦ Θεοῦ καὶ τῶν ἁγίων καὶ ἱερῶν εἰκόνων ἐνυβρίζειν, θεὶς τὸ ὠμοφόριον αὐτοῦ ἐπὶ

— [11] τριῶν ἐνδ. ἀνδρῶν ὧν τοῦ Mc. — [12] ὑπὲρ αὐγ. τ. τ. π. ἤστραπτε Mc. — [13] (ἁψαμένης - τὸν) ἁψαμένου αὐτοῦ τοῦ πυρὸς ἐπιχυθεῖσα δὲ ἀθρόον ἡ φλὸξ τόν τε Mc. — [14] τῶν σωμάτων Mc. — [15] ἐνεβλήθη τῇ φυλακῇ ὁ ἅγιος Mc. — [16] ὑπὸ π. Mc, πρίγκυπος S. — [17] ὁ μ. μ. *om.* Mc. — [18] ὁ ἅγ. *om.* Mc. — [19] μᾶλον S. — [20] παρρησίᾳ ἀνακηρύξας ἐν δυσὶ δεσμεῖται τ. Mc. — [21] εἰς βορὰν *add.* Mc. — [22] καὶ *add.* Mc. — [23] Φιλιππίσιον S. — [24] πόλιν S. — [25] καλεῖται Mc. — [26] Κωνστ. πάνυ μεγίστου καὶ περιφανεστάτου Mc.

3. — [1] Διοσκορίδους D.

1. — [1] Μαλεῶ Mc, Μαλεῶν S *ad d. April. 5.* — [2] ὁ ἅγιος Γ. ὁ ἐν τῷ Μ. ἐν εἰρήνῃ τ. Mc.

2. — [1] υἱὸς Ἰούδα *in marg.* S. — [2] *om.* D. — [3] Ἐλευθερουπόλεως S. — [4] γεοπόνων D. — [5] ἀπομεινάντων D. — [6] δυνηθέντες D. — [7] τοῦτο γὰρ γενομένου ἀμφιδοξίαι τινὲς καὶ διαλογισμοὶ ἔσχον αὐτὸν καὶ οὐ πάνυ τῇ τοῦ νόμου προσῆχε δουλείᾳ ὕστερον δὲ *add.* D. — [8] ἔπ. γ. μ. *om.* D. — [9] *quae abhinc habet* D *lege inter* Synaxaria selecta.

— [10] *supplevi, om.* S. — [11] ἐκεῖνον S. — [12] π. Κ. ἐξ. *supplevi, om.* S. — [13] *corr., prius* Φηλήμονος S.

3. — [1] ὃς *add.* S.

Mai 11. **Cg** : 1. 2. 3. — **R** : 1. 2. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 2. — **Mc** : 2. 1. 3 (Διόσκορος). — **Mv** : 1. 3 (Διοσκορίδους). — **Mr** : 1. 2.

Mai 12. SYNAXARIA SELECTA. **H** : 2. — Γλυκερίας (Mai 13[1]). — Νικηφόρου πρεσβυτέρου μονῆς Ἀφάψεως (Mai 13[2]). — **P** : 2. — Γλυκερίας. — **D** : 2, des. : Τοσοῦτον δὲ μόνον εἰπεῖν ἀναγκαῖον, ὅτι ἐν κομιδῇ νέᾳ τῇ ἡλικίᾳ τῇ κατὰ Χριστὸν πίστει ἐκ τῆς Ἰουδαϊκῆς θρησκείας ἄρτι παραγγείλας τῶν [1] χρόνῳ ταύτην καταδεξαμένων εὐθὺς εἰς φυλακὴν ἀσφαλέστερος ἦν· καὶ μονάσας ὁσίως πάντας τοὺς κατ' αὐτὸν ὑπερήλασεν ἐγκρατείᾳ καὶ ἀγῶσι καὶ πόνοις ἀσκητικοῖς. Εἰς δὲ τὸ τέλειον τῆς ἀρχιερωσύνης γενόμενος, κατάλληλον ἔσχε τοῖς προβεβιωμένοις τὴν πρᾶξιν, ἀναλόγως ἐφ' ἑκάστου τοῦ βίου [2] τοῖς οὖσι προστιθέντος τὸ ἁρμόζον [3] τῇ τάξει καὶ πρόσφορον, ἐν μὲν τοῖς φθάσασιν ἀσκητικὴν ἀγωγὴν καὶ πλῆθος θαυμάτων καὶ δι' αὐτῶν τῶν προσερχομένων οὐχ ἧττον ψυχῶν ἢ θεραπείαν σωμάτων, ἐν δὲ τοῖς ἔμπροσθεν αὐτά τε ταῦτα καὶ διδασκαλίαν ὀρθὴν καὶ συγγραμμάτων πλῆθος, δι' ὧν πολλοὺς πειρασμοὺς παρὰ τῶν κακοδόξων ὑπέστη, δι' ὧν πᾶσα γλῶσσα πονηρὰ κατὰ Θεοῦ λαλήσασα βλάσφημα ἐξεκόπη καὶ ἐκκλησία πᾶσα τὴν ὀρθόδοξον περὶ Θεοῦ κηρύττει πίστιν καὶ ὑπὸ τῆς ἀληθείας κρατύνεται. Ζήσας δὲ ἔτη πρὸς τοῖς ἑκατὸν πέντε καὶ δέκα, τριῶν δὲ ὄντων μηνῶν, ὡς αὐτὸς Ἀρκαδίῳ τῷ βασιλεῖ πυθομένῳ εἶπεν, ἀπὸ Κωνσταντινουπόλεως [4] ἐπανιὼν κατὰ τὸν ἔκπλουν τῷ Κυρίῳ τὸ πνεῦμα παρέθετο, ὡς ὁ μέγας αὐτῷ Ἰωάννης ἔγραψεν ὁ Χρυσόστομος, μηκέτι αὐτὸν τὸν οἰκεῖον θρόνον ἰδεῖν, ὅτι δὴ τῇ κατ' αὐτοῦ ὑπερορίᾳ συνήνεσεν. Τὸν δέ φασιν ἀντιγράψαι, μηδὲ αὐτὸν τὸν τόπον, πρὸς ὃν ἀπέσταλται ὑπερόριος, φθάσαι κατιδεῖν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ οἴκῳ τῷ ὄντι ἔνδον τοῦ ἁγίου Φιλήμονος [5]. — 3 : Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γερμανὸς υἱὸς ὑπῆρχεν Ἰουστινιανοῦ πατρικίου, ἀνδρὸς περιφανοῦς καὶ περιβοήτου καὶ κατὰ τοὺς χρόνους Ἡρακλείου τοῦ βασιλέως πλείστας ἀρχὰς πράξαντος δημοσίας. Ὃν ἐθαύμασε μὲν καὶ ἠγάσθη διὰ τὴν εὐσέβειαν ὁ τῶν ἐν τέλει κατάλογος. Δι' αὐτὸ δὲ τοῦτο ὁ τοῦ Ἡρακλείου ἔγγονος ζηλοτυπήσας ἀπέκτεινεν ὡς ἐπιθέσθαι τῇ βασιλείᾳ βουλόμενον· καὶ Γερμανὸν τὸν αὐτοῦ υἱόν, ἐν ᾧ καθῆκεν τὰ σπερμογόνα τεμέσθαι μόρια, ἤδη τὴν ἡλικίαν ἀλλάξαντα καὶ τραχύτερον ὄντα εὐνούχισεν καὶ τῷ κλήρῳ τῆς ἁγιωτάτης ἐκκλησίας κατέλεξεν. Ὁ δὲ ὡς ἑρμαίῳ χρησάμενος τῷ συμβάντι ὑπέθηκεν ἑαυτὸν τῇ τῶν θείων γραφῶν ἀσχολίᾳ τε καὶ μελέτῃ, τάχει δὲ φύσεως καὶ πόνοις ἐνδελεχέσιν ἐπὶ πλεῖστον προελθὼν γνώσεως καὶ τὸν βίον ῥυθμίσας [6] καλῶς πρῶτον μὲν χειροτονεῖται τῆς ἐν Κυζίκῳ [7] ἐκκλησίας ἐπίσκοπος, οὐ σχεδιάσας [8] τοὺς βαθμοὺς ἀλλ' ἀκολουθίᾳ καὶ τάξει ἐπὶ τὸ τέλειον προελθών, ἔπειτα δὲ τῶν ἐκκλησιῶν ἔμφρονος ἐπιστασίας δεομένων καὶ ἀνδρὸς λόγῳ [9] καὶ πράξει κατηρτισμένου, ἀπὸ τῆς Κυζίκου πρὸς τὴν μεγάλην τῆς Κωνσταντινουπόλεως καθέδραν ἀνάγεται. Ἔνθα πολλαῖς διδασκαλίαις τὸν λαὸν καταρτίσας καὶ τὰ βαθύτερα καὶ ἀσαφῆ [10] τῆς γραφῆς ἑρμηνεύσας καὶ πανηγυρικοῖς καὶ ἐγκωμιαστικοῖς λόγοις τὰς τῶν πιστῶν ἐκκλησίας φαιδρύνας καὶ μελῳδίαις καὶ ᾄσμασι τὸ ἐν ταῖς ἀγρυπνίαις σκληρόν τε καὶ σύντονον καταθέλξας. Ἐπεὶ Λέων ὁ Ἴσαυρος — μέχρι τοῦτον [11] γὰρ ὁ ὅσιος παρέτεινεν — τὴν ἔννομον μοναρχίαν εἰς τυραννικὴν ἐξουσίαν μεταγαγὼν κατὰ Θεοῦ πρῶτον ὑβρίζειν [12] ἤρξατο καὶ τὰς ἱερὰς εἰκόνας, αἳ τὸν ἐν σαρκὶ Θεὸν ὑπογράφουσιν, τῆς ἐκκλησίας καθελεῖν ἐπεχείρησεν, καὶ οὔτε νουθεσίαις [13] οὔτε κρείττοσιν ἀποδείξεσιν ὡς δεῖν προσκυνεῖσθαι ταύτας καὶ τιμᾶσθαι ἐπείθετο, ἀλλὰ καὶ τὰς συνταχθείσας βίβλους ὑπὸ τοῦ ἁγίου, δι' ὧν τὸ κράτος τῆς ὀρθοδοξίας ἐδείκνυτο καὶ τῶν κακοδόξων ἡ ματαιότης ἐστηλιτεύετο, κατέκαυσεν, συνειδὼς ὁ ἅγιος Γερμανός, ὅτι κωφῷ τινι καὶ ἀνοήτῳ παραινῶν καὶ τῇ μέθῃ τῆς ἀσεβείας βακχεύοντι καὶ ἀνανῆψαι μὴ βουλομένῳ μάταια πονεῖ καὶ ἀνήνυτα, θεὶς ἐπὶ τῆς ἱερᾶς τραπέζης τὸ ὠμοφόριον αὐτοῦ, ἐν τῷ ἰδίῳ γενόμενος οἴκῳ τὴν ἡσυχίαν ἠσπάσατο καὶ ἐν γήρει καλῷ τὸν βίον ἐτέλεσεν, τοῖς ἐνενήκοντα χρόνοις προσεπιβὰς καὶ παρ' αὐτὴν τὴν ἐκφορὰν τοὺς προσεγγίσαντας αὐτοῦ τῷ λειψάνῳ παντοίων ἀπαλλάξας παθῶν καὶ μετὰ τὴν τούτου κατάθεσιν τοῖς πιστοῖς ἰάματα βρύων· κατετέθη [14] δὲ ἐν τῷ εὐαγεῖ μοναστηρίῳ τῆς Χώρας. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — Νικηφόρου. — **Da** : 2. 3. — Τοῦ ὁσίου Νικηφόρου πρεσβυτέρου καὶ Μιχαὴλ [15] τῆς Ἀφάψεως. — **Db** : 1. 3. — Τοῦ ὁσίου Νικηφόρου πρεσβυτέρου καὶ μοναχοῦ τῆς Ἀφάψεως. — **K** : 2. 3. — Νικηφόρου. — **N** : 2. 3. — **Bb** : 2. 3. — **Bc** : 2. 3. — **C** : 2. 3. —

[1] τῷ D. — [2] τὸν βίον D. — [3] ἁρμάζων D. — [4] Κωνσταντινούπολιν D.

— [5] Φιλίμωνος D. — [6] ῥυσθμήσας D. — [7] Κυζήκῳ D. — [8] χεδιάσας D. — [9] ἀνδρῶν λόγου D. — [10] *corr., prius* σαφῆ D. — [11] *corr., prius* τούτῳ D. — [12] *corr., prius* ὑβρίζει D. — [13] νουθεσίας D. — [14] κατέθη D. — [15] *lege* μοναχοῦ.

Mai 12. τῆς ἁγίας τραπέζης καὶ ἐν τῷ ἰδίῳ γενόμενος οἴκῳ τὴν ἡσυχίαν ἠσπάσατο. Καὶ ἐν γήρᾳ καλῷ τὸν βίον κατέλυσε, τοῖς ἐνενήκοντα χρόνοις προσεπιβὰς καὶ παρ᾽ αὐτὴν τὴν ἐκφορὰν προσεγγίσαντας αὐτοῦ τῷ λειψάνῳ παντοίων ἀπαλλάξας παθῶν καὶ μετὰ τὴν τούτου ἀπόθεσιν τοῖς πιστοῖς καθεκάστην ἰάματα βρύων. Κατετέθη δὲ ἐν τῷ εὐαγεῖ μοναστηρίῳ τῆς Χώρας, καὶ τελεῖται ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ΄.

Mai 13. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Γλυκερίας. Αὕτη ἦν ἐν τοῖς χρόνοις Ἀντωνίνου τοῦ βασιλέως καὶ Σαβίνου ἡγεμόνος ἐν Τραϊανουπόλει. Θύοντος οὖν τοῦ ἡγεμόνος τοῖς εἰδώλοις, αὕτη ἐπὶ τοῦ μετώπου αὐτῆς τὸν τίμιον σταυρὸν ἐπιγράψασα ἦλθε πρὸς τὸν ἡγεμόνα, χριστιανὴν ἑαυτὴν καὶ δούλην τοῦ Χριστοῦ ὀνομάσασα. Καὶ τοῦ ἡγεμόνος παραινοῦντος αὐτὴν θῦσαι, εἰσελθοῦσα εἰς τὸν βωμὸν τῶν ξοάνων συνέτριψεν αὐτὰ εὐξαμένη τῷ Χριστῷ. Διὰ τοῦτο κρεμασθεῖσα ἐκ τριχῶν ἐξέσθη σιδήροις· καὶ ταύτην ἐνεῖχεν ἡ φυλακή. Καμίνου δὲ ἐξαφθείσης ἐβλήθη ἐν αὐτῇ· καὶ τοῦ πυρὸς ὑπὸ θείας δρόσου σβεσθέντος ἐξῆλθεν ἀβλαβής, εἶτα ἐξεδάρη τὴν κεφαλήν. Εἰσαχθεῖσα πάλιν ἐν τῇ φρουρᾷ, ὑπὸ θείου ἀγγέλου ὑγιὴς καθίσταται· ἥτις καὶ παρασκευάσασα τῷ δεσμοφύλακι πιστεῦσαι[1] τῷ Χριστῷ, αὐτίκα τὴν κεφαλὴν μαρτυρικῶς ἀφῃρέθη. | (f. 217.) Καὶ πρὸς τὸν ἡγεμόνα ἀχθεῖσα θηρίοις ἐκδίδοται· ὧν ἑνὸς ἀψαμένου αὐτῆς, ὡς μικρόν τι δεῖγμα[2] γενέσθαι οὐ πληγὴν[3] οὐδὲ μώλωπα, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν· καὶ κατετέθη ἐν Ἡρακλείᾳ τῆς Θρᾴκης.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου <Νικηφόρου[1]> πρεσβυτέρου μονῆς τῆς Ἀφάψεως[2].

3. Καὶ μνήμη τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου ἐν τοῖς Διακονίσσης.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ ἐκ Ῥώμης στρατιώτης ὑπὸ τὴν τάξιν Τιβεριανοῦ κόμητος. Τοῦ οὖν κόμητος σὺν τῷ οἰκείῳ αὐτοῦ τάγματι θύοντος τοῖς εἰδώλοις, οὐ κατεδέξατο θῦσαι ὁ ἅγιος Ἀλέξανδρος, ἀλλὰ καὶ τὸν κόμητα καὶ τοὺς τοῦτο ποιοῦντας ὡς ἐξεστηκότας καὶ μαινομένους καὶ πεπλανημένους καὶ τῶν κατὰ φύσιν ἐκπεπτωκότας φρενῶν καὶ δαιμόνων λατρευτὰς καὶ οὐχὶ τοῦ δημιουργοῦ Θεοῦ τοῦ κυρίου

1. — [1] ἐπίστευσαι S. — [2] *corr., prius* δήγματι S. — [3] πληγὴ S.
2. — [1] D, C *et celeri, om.* S. — [2] ὁ ὅσιος Ν. ἐπίσκοπος Ἐφάψεως ἐν εἰρήνῃ τ. Mc.

Mai 12. Τοῦ ὁσίου Φιλίππου (in marg. et add.: Ζήτει τὸ συναξάριον εἰς τὸ τέλος τοῦ <βιβλίου>). — **Ce** : 2. 3. — Γλυκερίας. — **Cg** : 2. 3. — Γλυκερίας. — Νικηφόρου. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλίππου τοῦ Ἀργυρίου (alia manu). — **R** : 2. — **Ra** : 2. 3. — **Rb** : 2. — **Rc** : 2. — **Mc** : 2. 3. 1. — **Mv** : 2. 3. — Παρμενᾶ ἑνὸς τῶν ἑπτὰ διακόνων. — Εὐθαλίας. — Κοΐντου τοῦ θαυματουργοῦ. — Τρωαδίου. — Ἀνδρωνίκου καὶ Ἀθανασίας (Mart. 2[4]). — Θεοδωρήτου πρεσβυτέρου Ἀντιοχείας (Mart. 2[7]). — Θεοδότου ἐπισκόπου Κυρηνίας τῆς Κύπρου. — **Mr** : 2. 3.

Mai 13. SYNAXARIA SELECTA. **H** : 3. 4. — **P** : 4. — Μεθοδίου ἐπισκόπου Πατάρων (Iun. 20[3]). — 3. — Πολυβίου μαθητοῦ τοῦ ἁγίου Ἐπιφανίου. — **D** : 1 : Γλυκερίας. Αὕτη ἦν ἐπὶ τοῖς χρόνοις Ἀντωνίνου τοῦ βασιλέως καὶ Σαβίνου ἡγεμόνος ἐν Τραϊανουπόλει. Θύοντος οὖν τοῦ ἡγεμόνος τοῖς εἰδώλοις αὕτη ἐπιγράψασα ἐπὶ τοῦ μετώπου αὐτῆς τὸν τίμιον σταυρόν, ἦλθεν πρὸς τὸν ἡγεμόνα χριστιανὴν ἑαυτὴν καὶ δούλην Χριστοῦ ὀνομάζουσα· τοῦ δὲ ἡγεμόνος παραινοῦντος αὐτῇ θῦσαι, εἰσελθοῦσα ἐν τῷ ναῷ καὶ εὐξαμένη τῷ Χριστῷ, κατέβαλεν τὸ τοῦ Διὸς εἴδωλον καὶ συνέτριψεν. Οἱ δὲ συνόντες ἕλληνες λίθοις ἀφιέντες οὐκ ἐξικνοῦντο αὐτῆς. Κρεμᾶται[1] οὖν ἐκ τριχῶν καὶ ξέεται, εἶτα ἐν εἱρκτῇ βληθεῖσα ἀπόσιτος διαμένειν κελεύεται ἐπὶ ἡμέρας πολλάς, ἔνθα δι᾽ ἀγγέλου δεχομένη τροφήν, οὐδὲν ἔπασχεν ὧν ὑπενόει ὁ ἡγεμὼν διὰ λιμοῦ αὐτὴν ὑποστῆναι· καὶ θαῦμα ἔλαβεν τόν τε ἡγεμόνα καὶ τοὺς σὺν αὐτῷ, εὑρόντες πίνακα καὶ ἄρτους καὶ γάλα καὶ ὕδωρ, ἀκριβῶς τοῦ δεσμωτηρίου ἠσφαλισμένου. Μετὰ ταῦτα ἐμβάλλεται καμίνῳ πυρός· κατενεχθείσης δὲ ἄνωθεν δρόσου, τὸ πῦρ ἐσβέσθη καὶ τῆς καμίνου ἐξέρχεται ἀβλαβής· ἐπὶ τούτοις λωροτομεῖται[2] τὴν κεφαλὴν μέχρι τοῦ μετώπου καὶ δεσμεῖται χεῖρας καὶ πόδας. Καὶ ὑποστρωθέντων λίθων ἐν τῇ φυλακῇ ἐπιτίθεται· ἔνθα ἐπιστασίᾳ ἀγγέλου λυθεῖσα τῶν δεσμῶν καὶ ὑγιασθεῖσα τὴν κεφαλὴν τόν τε δεσμοφύλακα ἐξέπληξε Λαοδίκιον, ὃς ὁμολογήσας τὸν Χριστὸν ἐτμήθη τὴν κεφαλήν, καὶ πρὸς τὸν ἡγεμόνα ἀχθεῖσα θηρίοις ἐκδίδοται, ὧν ἑνὸς ἀψαμένου αὐτῆς, ὡς μικρόν τι δεῖγμα γενέσθαι οὐ πληγὴν οὐδὲ μώλωπα, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν· καὶ κατετέθη ἐν Ἡρακλείᾳ τῆς Θρᾴκης. — 3 : μνήμη τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου ἐν τοῖς Διακονίσσης[3]. — 4 : Ἀλεξάνδρου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Ῥώμῃ στρατιώτης ὑπὸ τὴν τάξιν Τιβεριανοῦ κόμητος. Τοῦ οὖν κόμητος σὺν τῷ[4] οἰκείῳ τάγματι θύοντος τοῖς εἰδώλοις, οὐ κατεδέξατο θῦσαι ὁ ἅγιος Ἀλέξανδρος ἀλλὰ καὶ τοὺς τοῦτο ποιοῦντας ὡς ἐξεστηκότας καὶ μαινομένους καὶ τῶν κατὰ φύσιν ἐκπεπτωκότας φρενῶν, ὅτι δὴ δαίμοσι λατρεύουσι τὸν δημιουργὸν Θεὸν καταλείψαντες, ἐμυκτήριζεν. Ἄγεται οὖν διὰ τοῦτο πρὸς τὸν βασιλέα Μαξιμιανόν, πρὸ τῆς ἀγωγῆς ἀγγέλου πρὸς τὸ μαρτύριον αὐτὸν ἐπαλείψαντος καὶ θάρσος ἐνθέντος. Ἐπεὶ δὲ ὁ βασιλεὺς μεταθεῖναι τοῦτον ἀπὸ τῆς εἰς Χριστὸν πίστεως ἐπιχειρήσας ἄπρακτος ἔμεινεν, τοῦ ἁγίου μάρτυρος κατὰ τὸν μέγαν[5] πρωτομάρτυρα Στέφανον εἰς οὐρανοὺς ἀτενίσαντος, οὓς εἶδεν ἀνεῳγμένους καὶ τὸν Υἱὸν καθήμενον ἐκ δεξιῶν Πατρός, καὶ φαιδρυνθέντος

[1] κρεμμᾶται D. — [2] *corr. prius* δωροτομεῖται. — [3] διακονίσης D. — [4] τῷ ||||, *prius* αὐτῷ D. — [5] μέγα D.

Ἰησοῦ Χριστοῦ λατρευτὰς τούτους ἐκάλεσε. Ἄγεται οὖν διὰ τοῦτο πρὸς τὸν βασιλέα Μαξιμιανόν. Εἰσαχθέντος δέ, ἄγγελος θεῖος ἵστατο παραθαρρύνων τὸν μάρτυρα· καὶ τὸν Χριστὸν ὁμολογήσας ἐτύφθη σφοδρῶς. Τοῦ δὲ ἁγίου μάρτυρος κατὰ τὸν μέγαν[1] πρωτομάρτυρα Στέφανον εἰς οὐρανοὺς ἀτενίσαντος, οὓς εἶδεν ἀνεῳγμένους καὶ τὸν Υἱὸν καθήμενον ἐκ δεξιῶν τοῦ Πατρός, καὶ λαμπρυνθέντος[2] τὸ πρόσωπον καὶ λάμψαντος[3], — καὶ γὰρ πρώην ἦν ὡραῖος τὴν ὄψιν ἀγγέλῳ προσεοικώς, — μὴ δυναμένου τοῦ δυσσεβοῦς ἀτενίσαι αὐτόν, οὐκέτι αὐτὸν εἰς ἐξέτασιν ἤγαγεν, τὰ κατ᾽ αὐτὸν ἀπογνούς, ἀλλὰ παραδοὺς Τιβερίῳ καὶ Σεβαστιανῷ ἐπάρχῳ τιμωρεῖσθαι κατὰ τὴν ὁδὸν ἀπὸ Ῥώμης μέχρι Βυζαντίου, τὸν κατὰ τῶν χριστιανῶν πόλεμον αὐτοῖς ἐγχειρίσας[4]. Καὶ πρῶτον μὲν τῷ πυρὶ τὰς πλευρὰς κατεφλέχθη· παρηκολούθει δὲ τῷ ἁγίῳ ἡ μήτηρ αὐτοῦ Ποιμενία, προθυμοποιούσης αὐτόν. Καταλαβὼν δὲ τὴν Φιλιππούπολιν, εἰς ἀπάντησιν αὐτοῦ τῶν ἐν τῇ πόλει χριστιανῶν ἐξελθόντων καὶ τὰ δεσμὰ καταφιλούντων αὐτοῦ, ηὐχαρίστησε τῷ Θεῷ. Ἀχθεὶς δὲ εἰς Βέροιαν, ἐν τόπῳ λεγομένῳ Παρεμβολαῖς, εἰς ἐξέτασιν καταστὰς τύπτεται σφοδρῶς, ἀγγέλου αὐτὸν ἐνισχύοντος. Λείποντος δὲ ὕδατος, διὰ προσευχῆς ὁ ἅγιος ὕδωρ ἐξήνεγκεν, πολλοὺς πιστεῦσαι τῷ Χριστῷ <ποιήσας[5]> καὶ διερχόμενος ἐν Δριζιπάρῳ πόλει τῆς Θρᾴκης, ἐν τῷ παραρρέοντι γενόμενος ποταμῷ τὴν διὰ ξίφους ἀπόφασιν δέχεται. (Mai 13.) Τοῦ δὲ μέλλοντος αὐτὸν ἐκτέμνειν δημίου ἀναδυομένου τὴν πρόσταξιν διὰ τὸ καθορᾶν ἀγγελικὰς δυνάμεις περὶ τὸν ἅγιον καὶ μὴ τολμῶντος τὴν ἐπιχείρησιν, μικρὸν | (f. 217v.) ἀποστῆναι αὐτοῦ διὰ προσευχῆς τοὺς φρουροῦντας ἀγγέλους ποιήσας, τέμνεται τὸν αὐχένα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν Κεντουκέλλαις.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σεργίου τοῦ ὁμολογητοῦ. Ὃς γένους ὑπάρχων ἐνδόξου καὶ μεγάλου, ἐν Κωνσταντινουπόλει γεννηθείς, προσκυνητὴς τῶν θείων καὶ σεπτῶν εἰκόνων <ἐγνωρίζετο[1].> Παρίσταται οὖν τῷ διώκτῃ καὶ ἀθέῳ βασιλεῖ Θεοφίλῳ· καὶ σχοινίοις δεσμεῖται περιαυχένιος, καὶ ἐπὶ τῆς ἀγορᾶς ἄγεται καὶ περιάγεται ὡς κακοῦργος· εἶτα φυλακῇ παρεδόθη. Καὶ στερηθεὶς πλούτου πλείστου πανοικὶ σύναμα τῇ γυναικὶ Εἰρήνῃ καὶ τοῖς τέκνοις ὑπερορίζεται· ἔνθα πολλὰς θλίψεις καὶ ποικίλους πειρασμοὺς ὑπομείνας πρὸς Κύριον ἐξεδήμησεν.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παυσικάκου ἐπισκόπου Συνάδων. Οὗτος ὁ μακάριος πατρίδα μὲν ἔσχε πόλιν Ἀπάμειαν, γεννήτορας δὲ τῶν ἐπισήμων καὶ εὐγενῶν καὶ τῆς ἀληθοῦς πίστεως ἡμῶν τῶν χριστιανῶν τροφίμους. Ἰατρὸς δὲ ὢν τὴν τέχνην, περιήρχετο τὰς κώμας καὶ τὰς πόλεις ἀναργύρως θεραπεύων πάντας, ψυχὰς ὁμοῦ καὶ σώματα, καὶ κατὰ δαιμόνων

4. — [1] μέγα S. — [2] λαμπρυνθεὶς S. — [3] (καὶ λάμψαντος) ἔλαμψεν S. — [4] ἐνεχειρίσας S. — [5] *supplevi, om.* S.
5. — [1] *om.* S, *supplevi ex* Mc.

Mai 13. τὸ πρόσωπον καὶ λάμψαντος ἢ πρόσθεν — καὶ γὰρ ἦν ὡραῖος πάνυ καὶ τὴν ὄψιν ἀγγέλῳ προσεοικώς — οὐκέτι αὐτὸν εἰς ἐξέτασιν ἤγαγεν τὰ κατ᾽ αὐτὸν ἀπογνούς, ἀλλὰ παραδοὺς Τιβεριανῷ, ὃν ἐπάρχοντα ἀπὸ Ῥώμης μέχρι τοῦ Βυζαντίου κατέστησεν, τὸν κατὰ τῶν χριστιανῶν πόλεμον αὐτῷ ἐγχειρίσας, ἐκέλευσεν κατὰ τὴν ὁδὸν τὸν ἅγιον παντοίως αἰκίσασθαι καὶ μὴ πεισθέντα θῦσαι τοῦ βίου ἐξαγαγεῖν. Ὁ δὲ τῆς ὁδοῦ ἀρξάμενος εἰς ἐξέτασιν τὸν ἅγιον καθιστᾷ καὶ μὴ πειθομένου λαμπάσι πυρὸς τὰς πλευρὰς ὑποκαίει· ἔνθα ὑπὸ ἀγγέλου ἐνισχυθεὶς εὐκόλως δέχεται καὶ μετὰ ῥᾳστώνης τὴν ἐπὶ τῶν ὑποστρωθέντων τριβόλων κατάκλισιν καὶ διὰ τῶν μελεΐνων[6] ῥάβδων ἐπιφορὰν τῶν πληγῶν. Παρηκολούθει δὲ τῷ ἁγίῳ ἡ μήτηρ αὐτοῦ Ποιμενία περιπαθὴς οὖσα καὶ δεδοικυῖα τὸ μέλλον. Καταλαβὼν[7] δὲ τὴν Φιλιππούπολιν, εἰς ἀπάντησιν αὐτοῦ τῶν ἐν αὐτῇ χριστιανῶν ἐξελθόντων τὰ δεσμὰ καταφιλούντων αὐτοῦ, ηὐχαρίστησε τῷ Θεῷ, ὅτι κατηξιώθη κηρῦξαι τὸν Χριστὸν ἐν αὐτῇ. Ἐν δὲ τῷ τόπῳ τῷ λεγομένῳ Παρεμβολαῖς εἰς ἐξέτασιν καταστὰς τύπτεται σφοδρῶς καὶ ἐν Βεροίᾳ γενόμενος, ἐπιλιπόντος τοῦ ὕδατος διὰ προσευχῆς ὕδωρ ἐξενεχθῆναι πεποίηκεν· ἔνθα λέγεται τὸ ἐκπυρωθὲν ἔλαιον, ὃ καταχέαι τοῖς νώτοις αὐτοῦ οἱ δήμιοι ἔμελλον, ἀνατραπέντος τοῦ ἀγγείου[8] ἐν ᾧ ἐκπυροῦτο, ἐκχυθὲν πολλοὺς καταφλέξαι τῶν ὑπηρετῶν τοῦ τυράννου. Μετὰ τοῦτο ῥοπάλοις τύπτεται ὁ ἅγιος καὶ τῇ εἰς Χριστὸν ἐπιμένων πίστει αὖθις τύπτεται. Φθάσας δὲ μέχρι Δριζιπάρων[9] καὶ ἐν τῷ παραρρέοντι γενόμενος ποταμῷ τὴν διὰ τοῦ ξίφους ἀπόφασιν δέχεται. Τοῦ δὲ μέλλοντος αὐτὸν ἐκτέμνειν δημίου ἀναδυομένου τὴν πρᾶξιν, διὰ τὸ καθορᾶν ἀγγελικὰς δυνάμεις περὶ τὸν ἅγιον, καὶ μὴ τολμῶντος τὴν ἐπιχείρησιν, μικρὸν ἀποστῆναι αὐτοῦ διὰ προσευχῆς τοὺς φρουροῦντας αὐτὸν ἀγγέλους ποιήσας τέμνεται τὸν αὐχένα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν Κεντουκέλλαις[10]. — 6, ita des.: καὶ Μαυρικίῳ τῷ βασιλεῖ τοῦ συνέχοντος πάθους ἐλευθερώσας, τὸ ἐτήσιον τέλος, ὅπερ ἐστὶ χρυσίου λίτρα μία τῆς πόλεως αὐτῷ μετὰ σφραγῖδος χρυσῆς καὶ ἐγγράφου ἐπιδόσεως τὸν βασιλέα πείθει δωρήσασθαι. Ἐπανιὼν δὲ πρὸς τὰ Σύναδα καὶ ἐν τῷ Σόλωνι γενόμενος, ὕδωρ εὐχῇ μόνῃ ἀναβλύσαι πεποίηκεν, τὸ δίψος τῶν συνοιδοπόρων παραμυθούμενος. Οὗτος οὖν καλῶς καὶ θεοφιλῶς πολιτευσάμενος καὶ πολλοῖς σωτὴρ γενόμενος, μεταλλάττει τὸν βίον καὶ πρὸς τὰ ποθούμενα διαβαίνει. — **Da** : 1. 4. 5. 6. — **Db** : 1. 4. 5. 6. — **K** : 1. 4. 5. 6. — **N** : 3. 4. 1. 5. — **Bb** : 1. 4. 5. 6. — **Bc** : 1. 4. 5. 6. — **C** : 1. 2. 3. 4. 5. — **Ce** : 1. 4. 5. 6. — **Cg** : 3. 4. 5. 6. — **R** : 4. 5. — **Ra** : 1. — **Rb** : 1. 4 : Ἀλεξάνδρου τοῦ Ῥωμαίου ἐν ταῖς Κέλλαις, ἐπισκόπου Τιβεριανῶν. — **Rc** : 1. — **Mc** : 1. — Λαοδίκιος ὁ δεσμοφύλαξ ξ. τ. — 5 : Σεργίου τοῦ ὁμολογητοῦ. Οὗτος γένους ὑπάρχων

— [6] μηλεΐνων D. — [7] *corr., prius* καταβὼν D. — [8] ἀγγίου *corr., prius* ἁγίου (?) D. — [9] Δριζηπάρων D. — [10] Κεντουκέλλας D.

Mai 13. στρατεύεται καὶ φυγάδας ἀποτελεῖ γενόμενος μοναχός. Καὶ τοσοῦτον ἠγωνίσατο, ὡς καὶ χαρισμάτων μεγάλων καὶ πολλῶν ἀξιωθῆναι. Διὰ δὲ τὴν ἀρετὴν αὐτοῦ τῷ προέδρῳ Κωνσταντινουπόλεως γνωρισθεὶς — οὗτος δὲ ἦν Κυριακὸς ὁ θαυμάσιος — καὶ μὴ βουλόμενος χειροτονεῖται Συνάδων ἐπίσκοπος ἐπὶ τῆς βασιλείας Μαυρικίου, ὃν καὶ ἐθεράπευσε ἀπὸ τοῦ σφοδροτάτου νοσήματος. Καὶ καλῶς τὸ ποίμνιον αὐτοῦ ἰθύνας, ἔζησε μέχρι τῆς βασιλείας τοῦ δυσσεβοῦς Λέοντος τοῦ εἰκονομάχου καὶ ἐν βαθεῖ γήρᾳ πρὸς Κύριον ἐξεδήμησε.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

Mai 14. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰσιδώρου· Οὗτος ἦν κατὰ τοὺς χρόνους Δεκίου τοῦ[1] βασιλέως[1], ἀπὸ Ἀλεξανδρείας τῆς πόλεως· στρατευόμενος δὲ τὴν Ὀπτίωνος τάξιν ἐπεῖχε. Κατάρας δὲ ἐν Χίῳ τῇ νήσῳ μετὰ[2] στρατιωτικῶν πλοίων, ὧν ἐναυάρχει Νουμέριος, διεβλήθη[3] ὑπὸ Ἰουλίου κεντυρίωνος· «Ὅτι, φησί[1], σέβεται τὸν Χριστὸν καὶ » τοῖς παρ' ἡμῖν θεοῖς[4] οὐ προσάγει σπονδάς. » Τοῦ δὲ ἁγίου[5] διαπρυσίως ὁμολογήσαντος τὸν Χριστόν, ὁ Νουμέριος τὸ ἀμετάθετον αὐτοῦ κατιδὼν προσέταξε τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι[6]· καὶ οὕτω τὸν τοῦ μαρτυρίου στέφανον εἴληφεν[7].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Μαξίμου[1]. Οὗτος παρρησίᾳ τὸν Χριστὸν κηρύξας καὶ πολλοὺς χει|ραγωγήσας πρὸς τὴν εὐσέβειαν f. 218. καὶ πολλὰς ὕβρεις καὶ πληγὰς παρὰ τῶν ἀπίστων ὑπομείνας, ἔσχατον λίθοις βληθεὶς καὶ οἱονεὶ στεφανωθεὶς ὑπ' αὐτῶν πρὸς Κύριον ἐξεδήμησε.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀλεξάνδρου, Κολούθου καὶ Βαρβάρου[1]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης τῆς πρὸς θάλασσαν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

Mai 15. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παχωμίου, ἥτις καὶ προεγράφη τῷ ἐνεστῶτι μηνὶ ἑβδόμῃ[1], καὶ Θεοδώρου τοῦ ἡγιασμένου. Ὁ ὅσιος πατὴρ ἡμῶν Παχώμιος ἦν ἐξ Αἰγύπτου Θηβαΐδος τῆς κάτω[2], κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ μεγάλου βασιλέως[3]. Ὑπῆρχε δὲ υἱὸς γονέων προσκυνούντων καὶ σεβομένων τὰ εἴδωλα· μεθ' ὧν ἀπερχόμενος ἐν τῷ εἰδωλείῳ ἤκουσε τοῦ νεωκόρου πρὸς τοὺς αὐτοῦ γεννήτορας λέγοντος· « Ἄρατε τὸν τῶν θεῶν ἐχθρὸν τῶν[4] ἐντεῦθεν, καὶ » ἀπελάσατε », τοῦ δαιμονίου, ὡς ἔοικεν, ᾧ τὰς θυσίας προσῆγον, προδεδοικότος τὴν ἐσομένην[4] αὐτῷ[5] ἀρετήν· ἀλλὰ καὶ τοῦ οἴνου τῆς σπονδῆς ὁ[4] ὅσιος[4] πιὼν εὐθέως ἐξήμεσε. Συμπροϊούσης δὲ τῆς ἡλικίας, τοῖς στρατιωτικοῖς καταλόγοις ἐτάχθη καὶ ἐν βραχεῖ[6] τὴν στρατείαν καταλείψας

1. — [1] *om.* Mc. — [2] τῶν *add.* Mc. — [3] καταμηνύεται Mc. — [4] (π. ἡ. θ.) τοῖς εἰδώλοις Mc. — [5] ὁ δὲ ἅγιος S, τοῦ δὲ Mc. — [6] ἀποτ. τὴν κ. Mc. — [7] τῷ ... στεφάνῳ κεκόσμηται Mc.
2. — [1] (μνήμη - Μαξίμου) *in marg. corr.* S.
3. — [1] A. B. καὶ Ἀκολούθου *et hic des.* Mc.
1. — [1] (ἥτις - ἑβδόμη) *om.* Mc. — [2] ἐκ τῆς κ. Θ. Mc. — [3] τοῦ μ. β. Κ. Mc. — [4] *om.* Mc. — [5] αὐτοῦ Mc. — [6] ἐντάττεται ἐν βραχεῖ δὲ Mc.

Mai 13. ἐνδόξου καὶ μεγάλου, μέγας καὶ τὴν ψυχὴν ἐγνωρίζετο. Παρίσταται οὖν τῷ δυσσεβεῖ βασιλεῖ Θεοφίλῳ διὰ τὸ τὰς ἁγίας εἰκόνας προσκυνεῖν καὶ σχοῖνος αὐτῷ δεσμεῖται περιαυχένιος, καὶ αὐτῆς ἀγορᾶς πληθούσης περιάγεται καὶ προπηλακισμοὺς καὶ ὕβρεις ὑφίσταται καὶ τῶν προσόντων πάντων στερεῖται, καὶ φυλακῇ προσταλαιπωρεῖ, καὶ πανοικὶ σύναμα γυναικὶ καὶ τέκνοις ὑπερορίζεται καὶ τὰ ἐκ τῆς ἀλλοτρίας ὑποφέρει κακά, καὶ θλίψεσι ποικίλαις προσομιλεῖ, ὅθεν κληθεὶς παρὰ Χριστοῦ ἄπεισιν ἀποληψόμενος παρ' αὐτοῦ τὰ γέρα τῆς ὁμολογίας ἐπάξια. — 2. — Τελεῖται τὰ ἐγκαίνια τοῦ ἐν τῇ νήσῳ τῆς ἁγίας Γλυκερίας πανσέπτου ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τῆς Παντανάσσης. — 6. — **Mv** : 1. 5. 6. — **Mr** : 1.

Mai 14. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 1. — Παχωμίου καὶ Θεοδώρου ἡγιασμένου[1] (Mai 15[1]). — 2. — **D** : 1. 2. 3. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 1. 2. 3. — Παυσικάκου (Mai 13[6]). — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. 2. 3. — **Ce** : 1. 2. — **Cg** : 1. 2. 3. — **R** : 1. — Θεοδώρου τοῦ ἡγιασμένου (Mai 15[1]). — **Ra** : 1. 2. 3. — **Rb** : 1. 2. 3. — Τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Διακονίσσης (Mai 13[3]). — Πολυβίου μαθητοῦ τοῦ ἁγίου Ἐπιφανίου. — Βαχθισόη, Ἰσακίου καὶ Συμεῶνος (Mai 15[5]). — Ἡρακλείου, Παυλίνου καὶ Βενεδίμου (Mai 15[6]). — Ἡ ἀνάδειξις τῆς ἀχειροποιήτου εἰκόνος ἐν Καμουλιαναῖς (Mai 15[4]). — Νικολάου (Mai 15[7]). — **Rc** : 1. — **Mc** : 1. — Ἀλεξάνδρου (Mai 13[4]). — 3. — **Mv** : 1. 2. — Θεράποντος (Mai 26[2]). — **Mr** : 1.

Mai 15. SYNAXARIA SELECTA. **H** : 1. 5. 6. 4. 7, des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις πέραν ἐν Γαλακρίναις, ἐν τῇ αὐτοῦ μονῇ. — **P** : Ζαχαρίου τοῦ ἐν τοῖς ις' (Mai 16[3]). — Τῶν ἁγίων μαρτύρων Πέτρου καὶ Διονυσίου καὶ Χριστίνης παρθένου, Ἀνδρέου καὶ Παύλου ἐν Ἀθήναις (Mai 18[1]). — 5. 6. 4. — **D** : 1 : Παχωμίου. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Παχώμιος ἦν ἐξ Αἰγύπτου Θηβαΐδος τῆς κάτω, κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ μεγάλου βασιλέως· Ὑπῆρχεν δὲ υἱὸς γονέων προσκυνούντων καὶ σεβομένων τὰ εἴδωλα· μεθ' ὧν ἀπερχόμενος ἐν τῷ εἰδωλείῳ, ἤκουσε τοῦ νεωκόρου πρὸς τοὺς αὐτοῦ γεννήτορας λέγοντος· « Ἄρατε τὸν τῶν θεῶν ἐχθρὸν τῶν ἐντεῦθεν καὶ ἀπελάσατε, » τοῦ δαιμονίου, ὡς

[1] ἡγιουμένου P.

κατέρχεται[7] εἰς τὴν ἄνω Θηβαΐδα· καὶ ἅμα τό τε εἰς Χριστὸν[8] δέχεται βάπτισμα καὶ τὸν μονήρη βίον ἐνδύεται[9] καὶ πρὸς τὴν ἔρημον ἀποτρέχει, ἔνθα κατά τινα τόπον[10] τῆς Ταβεννησίας[11], ἄνωθεν αὐτῷ φωνῆς[12] ἐνεχθείσης, δι' ἧς ἡ εὐφυΐα τοῦ τόπου ἐδηλοῦτο[13] καὶ τὸ πλῆθος τῶν συνελευσομένων, ἐπήξατο μοναστήριον. Τῷ χρόνῳ οὖν πολλῶν ἐν αὐτῷ συνδραμόντων[14], προσῆλθε καὶ Θεόδωρος ὁ ἡγιασμένος καὶ γενόμενος αὐτοῦ μαθητὴς[15] καὶ ζηλωτὴς[16], ἔν τῷ κατ' ἀρετὴν βίῳ καὶ τοῖς θαύμασιν αὐτῷ συνεξέλαμψε· καὶ τοσοῦτον[17] δι' ἀπαθείας ἀνήχθη πρὸς θεωρίαν[18], ὡς καὶ τὰς ἀνόδους τῶν μακαρίων ψυχῶν νοερῶς[19] καθορᾶν καὶ τὰ πόρρωθεν διεστῶτα προβλέπειν καὶ περὶ τῶν μελλόντων προλέγειν. Πρὸ δὲ τῆς ἐκ τοῦ βίου τοῦ ὁσίου[20] ἀναλύσεως ἀριθμηθὲν τὸ τῶν μοναχῶν πλῆθος, ὃ προσῆλθεν αὐτῷ μόνῳ κατὰ τὴν ἔρημον τὴν ἀρχὴν[21] ἐξελθόντι, εὑρέθη ἀνδρῶν χιλίων τετρακοσίων, ᾧ καὶ δῆλον ὅτι[22] θεῖός τις ἦν[23] καὶ τὴν ἀρετὴν ἀπρόσιτος· οὐ γὰρ τρυφῆς ἡγουμένης οὐδὲ τῆς κατὰ σάρκα ἡδυπαθείας, αἷς οἱ πολλοὶ χαίροντες προσίασιν ἀπανιστάμενοι τῶν οἰκείων, ἀλλ' ἐγκρατείας καὶ τῶν κατ' ἄσκησιν πόνων, τοὺς τρόπους θαυμάζοντες f. 218v. τοῦ ἀνδρὸς | καὶ τὴν ἀγγελικὴν ἐν σώματι διαγωγήν, καθόσον οἷόν τε ζηλοῦν καὶ μιμεῖσθαι ποθοῦντες αὐτοῦ[24]. Τελειωθεὶς δὲ ἐν Χριστῷ ἐν αὐτῇ τῇ Mai 15. μονῇ κατατίθεται[25].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀχιλλίου μητροπολίτου Λαρίσσης τοῦ[1] θαυματουργοῦ[1]. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, ἐξ εὐσεβῶν γεννητόρων φὺς καὶ ἀναδοθεὶς[2], δι' ὧν εὐσέβειαν ἄκραν καὶ θεοσέβειαν[3] μετὰ τῶν ἔξωθεν μαθημάτων καὶ τὴν ἀνωτάτω φιλοσοφίαν[4] ἐκπαιδεύεται, πάσαις δὲ ταῖς κατὰ Θεὸν πολιτείαις[5] ἑαυτὸν κατακοσμήσας, ἀρχιερεὺς τῆς δευτέρας Θετταλίας ἐν τῇ Λαρισσαίων[6] παρὰ πάντων τῶν τὴν Ἑλλάδα κατοικούντων ἀναγορεύεται. Καὶ ἐν τῇ κατὰ Νίκαιαν μεγάλῃ συνόδῳ γενόμενος[7] τὸν Ἄρειον καὶ τοὺς σὺν αὐτῷ καθελὼν ἀναθέματι παραπέμψας ἐθαυμαστώθη[8]· αὖθις εἰς Λάρισσαν ἔρχεται καὶ ναοὺς εἰδωλικοὺς πλείστους καταστρεψάμενος καὶ δαίμονας ἐξ ἀνθρώπων διώξας καὶ ἄλλα πάμπολλα θαύματα κατεργασάμενος[9] ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπεν[10], εὐκτηρίους οἴκους ἐκ βάθρων αὐτῶν ἀνεγείρας καὶ παντοίως κατακοσμήσας.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου πέραν ἐν τῷ Περιτειχίσματι.

4. Καὶ ἡ ἀνάδειξις τῆς ἀχειροποιήτου εἰκόνος ἐν Καμουλιαναῖς φανερωθείσης ἐν τοῖς χρόνοις Θεοδοσίου.

— [7] καταλιπὼν ἀπέρχεται Mc. — [8] (ε. Χ.) θεῖον Mc. — [9] ὑπέρχεται Mc. — [10] (ἔνθα - τόπον) καὶ τῷ θείῳ Παλάμωνι ὑποταγεὶς πρότερον καὶ ἱκανῶς παρ' αὐτοῦ πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἐγγυμνασθεὶς μετὰ τοῦτο ποιμὴν αὐτὸς καὶ διδάσκαλος παρὰ Θεοῦ ἑτέρων καθίσταται· ἔν τινι γὰρ Mc. — [11] Ταβενησίας τόπῳ ἔνθα ἦν ὁ ὅσιος διατρίβων Mc. — [12] φ. αὐτῷ Mc. — [13] (δι - ἐδηλοῦτο) καὶ τὸ θεῖον βούλημα διασημηνάσης καὶ ἅμα τήν τε τοῦ τόπου εὐφυΐαν δηλωσάσης Mc. — [14] (ἐπήξατο - συνδραμόντων) καὶ ὅπῃ χρὴ αὐτὸν οἰκοδομῆσαι τὸ μοναστήριον ἐπεὶ κατὰ τὸ κεκελευσμένον αὐτῷ διεπράξατο πολλῶν τῷ χρόνῳ ἐκεῖσε πρὸς αὐτὸν συνδραμόντων καὶ ὑπ' αὐτῷ καθηγεμόνι τὴν σωτήριον τῆς ἀρετῆς ὁδὸν μετιόντων Mc. — [15] ἅμα *add.* Mc. — [16] τοῖς *add.* S. — [17] τοσούτῳ S. — [18] (π. θ.) καὶ θεωρίας Mc. — [19] *om.* Mc. — [20] ἁγίου Mc. — [21] τὴν ἀρχὴν κ. τ. ἔρημον Mc. — [22] ἐξ οὗ δῆλον ὅπως Mc. — [23] ὁ ἀνὴρ Mc. — [24] (οὐ γὰρ - αὐτοῦ) ἧς ἕνεκα τοσούτους ἔσχεν ἐραστάς τε καὶ μιμητὰς καθόσον οἷόν τε ἦν· ἐν Χριστῷ δὲ Mc. — [25] κατατίθενται S.
2. — [1] *om.* Mc. — [2] ἐξ εὐγενῶν φὺς καὶ εὐσ. γεννητόρων Mc. — [3] ὧν θεοσέβιαν ἄκραν καὶ Mc. — [4] σοφίαν κάλλιστα Mc. — [5] Mc, φιλοσοφίαις S. — [6] πόλει *add.* Mc. — [7] γενόμενος πρώτῃ καὶ μεγάλῃ συνόδῳ καὶ Mc. — [8] (ἀναθέματι - ἐθαυμάστωθη) *om.* Mc. — [9] ἐργασάμενος Mc. — [10] *hic des.* Mc.

ἔοικεν[1], ᾧ τὰς θυσίας προσῆγον, προδεδοικότος τὴν ἐσομένην αὐτῷ ἀρετήν· ἀλλὰ καὶ τοῦ οἴνου τῆς Mai 15. σπονδῆς ὁ ὅσιος πιὼν εὐθέως ἐξήμεσεν. Συμπροϊούσης δὲ τῆς ἡλικίας, τοῖς στρατιωτικοῖς[2] καταλόγοις ἐτάχθη καὶ ἐν βραχεῖ τὴν στρατείαν καταλείψας, ἀπέρχεται εἰς τὴν ἄνω Θηβαΐδα, καὶ ἅμα τότε τὸ εἰς Χριστὸν δέχεται βάπτισμα καὶ τὸν μονήρη βίον ἐνδύεται καὶ πρὸς τὴν ἔρημον ἀποτρέχει· ἔνθα κατά τινα τόπον τῆς Ταβεννησίας[3], ἄνωθεν αὐτῷ φωνῆς ἐνεχθείσης, δι' ἧς ἡ εὐφυΐα ἐδηλοῦτο τοῦ τόπου καὶ τὸ πλῆθος τῶν συνελευσομένων, ἐπήξατο μοναστήριον. Τῷ χρόνῳ οὖν πολλῶν ἐν αὐτῷ συνδραμόντων, προσῆλθεν καὶ Θεόδωρος, ὁ ἡγιασμένος, καὶ γενόμενος αὐτοῦ μαθητὴς καὶ ζηλωτὴς ἔν τε τῷ κατ' ἀρετὴν βίῳ καὶ τοῖς θαύμασιν αὐτῷ συνεξέλαμψεν· καὶ τοσοῦτον δι' ἀπαθείας πρὸς θεωρίας ἀνήχθησαν ὕψος, ὡς καὶ τὰς ἀνόδους τῶν[4] μακαρίων ψυχῶν νοερῶς καθορᾶν καὶ τὰ πόρρωθεν διεστῶτα προβλέπειν καὶ περὶ τῶν μελλόντων προλέγειν. Πρὸ δὲ τῆς ἐκ τοῦ βίου τοῦ ἁγίου ἀναλύσεως ἀριθμηθὲν τὸ τῶν μοναχῶν πλῆθος, ὃ προσῆλθεν τῷ ἁγίῳ μόνῳ κατὰ τὴν ἔρημον τὴν ἀρχὴν ἐξελθόντι, εὑρεθῆναι ἀνδρῶν χιλίων τετρακοσίων· ᾧ καὶ δῆλον ὅτι θεῖός τις ἦν καὶ τὴν ἀρετὴν ἀπρόσιτος ὁ ἀνήρ· οὐ γὰρ τρυφῆς ἡγουμένης οὐδὲ τῆς κατὰ σάρκα ἡδυπαθείας, αἷς οἱ πολλοὶ χαίροντες προσίασιν ἀπανιστάμενοι τῶν οἰκείων, ἀλλ' ἐγκρατείας καὶ τῶν κατ' ἄσκησιν πόνων, τοὺς τρόπους θαυμάζοντες τοῦ ἀνδρὸς καὶ τὴν ἀγγελικὴν διαγωγὴν ζηλοῦντες αὐτοῦ. Τελειωθεὶς δὲ ἐν Χριστῷ κατὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ μαΐου μηνὸς ἐν αὐτῇ τῇ μονῇ κατατίθεται. — Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ ἡγιασμένου. Οὗτος ὁ μακάριος μελετήσας τὸν τοῦ Θεοῦ νόμον καὶ ὅλος καθαρὸς γενόμενος καὶ σκεῦος εὔχρηστον καὶ ἡγιασμένον δειχθεὶς τῆς ἀληθοῦς καὶ μεγίστης προσηγορίας καταξιοῦται, ὁμόσκηνος καὶ ὁμότροπος Παχωμίῳ τῷ[4] μεγάλῳ χρηματίσας. Ὅθεν σκηνώματα Αἰθιόπων, κατὰ τὸν θεῖον φάναι Δαβίδ, εἰς τέλος καταπτοήσας καὶ ὡς ἐν[4] ἐκστάσει τὰς τούτων κεφαλὰς διακόψας μετὰ τῶν τῆς ἀρετῆς ἱδρώτων ἐπὶ τὰ βραβεῖα διαβαίνει, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐξ ἀνθρώπων ἀποδιώξας. — 2. 5. 6. 4. 7 (τελεῖται δὲ κτλ.). — **Da** : 1. 2. — Ἀβδᾶ καὶ Ἀβδιησοῦ (Mai 16[2]). — Πέτρου κτλ. — 5. 6. 4. 7 (τελεῖται δὲ κτλ.). — **Db** : 1. 2. — Ἀβδᾶ καὶ Ἀβδιησοῦ. — Πέτρου. — 5. 6. 4. 7. — **K** : 2.

[1] ἔοκεν D. — [2] *corr.*, *prius* στρατικοῖς D. — [3] Ταβενησίας D. — [4] *corr. supra lin.* D.

Mai 15. **5.** Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Βαχθισόη, Ἰσακίου καὶ Συμεῶνος. Οὗτοι τὸν Χριστὸν ὁμολογοῦντες ἐν Περσίδι ἐπὶ Σαβώρου βασιλέως[1] κατασχεθέντες προσήχθησαν τῷ ἄρχοντι· καὶ ἐνώπιον αὐτοῦ χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν[2], πολλὰς δὲ καὶ διαφόρους[3] ὑποστάντες βασάνους καὶ μὴ πεισθέντες τῷ ἄρχοντι σὺν ἑτέροις μαθηταῖς αὐτῶν πυρὶ παραδίδονται καὶ τὸν στέφανον τοῦ μαρτυρίου κομίζονται.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἡρακλείου, Παυλίνου καὶ Βενεδίμου[1]. Οὗτοι ὑπῆρχον ἐξ Ἀθηνῶν· κηρύττοντες δὲ τὸν λόγον τῆς ἀληθείας καὶ τοὺς εἰδωλολάτρας προτρεπόμενοι ἀποστρέψαι τῆς τῶν εἰδώλων ματαιότητος, διὰ τοῦτο κρατηθέντες τῷ τῶν Ἀθηνῶν ἄρχοντι παραδίδονται· καὶ τυφθέντες ἰσχυρῶς καὶ πολλαῖς ἄλλαις τιμωρίαις καθυποβληθέντες, ὕστερον εἰς κάμινον ἀπορριφέντες ἐτελειώθησαν.

7. Καὶ ἡ κοίμησις τοῦ ἐν ἁγίοις πατριάρχου Κωνσταντινουπόλεως Νικολάου.

f. 219.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚ΄.

Mai 16. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου ἐπισκόπου Μιτυλήνης[1]. Οὗτος ἐκ βρέφους τὸν Χριστὸν ἀγαπήσας, τὸν μονήρη βίον ἐνδύεται καὶ τῷ τῆς ταπεινώσεως ὕψει τὰς ἐπάρσεις τῶν δαιμόνων κατέβαλεν, ἐλεήμων ὑπὲρ μέτρον γενόμενος, καθ' ἡμέραν τοῖς πεινῶσι διδοὺς τὸν ἄρτον αὐτοῦ. Ἐπεὶ δὲ ἡ κατ' αὐτὸν ἀρετὴ ἐγνώσθη, παρακλήσει πολλῇ τοῦ λαοῦ καὶ μὴ βουλόμενος ἐπίσκοπος ἐχειροτονήθη Μιτυλήνης. Πάσης κακοδοξίας ἀντίμαχος καὶ ὀρθοδοξίας ὑπέρμαχος ὢν ἐρρύσατο αὐτὴν ἐκ πολλῶν αἱρέσεων· καὶ καλῶς διακυβερνήσας αὐτὴν προέγνω τὴν ἑαυτοῦ μετάστασιν· θανὼν <δὲ[2]> καὶ ταφεὶς τὴν θήκην αὐτοῦ παρεσκεύασεν ἀναβλύζειν ἰάματα καὶ παντοίων νοσημάτων καὶ παθημάτων ἄριστος ἰατὴρ ἀναδειχθεὶς τοῖς προσιοῦσιν αὐτῷ μετὰ πίστεως.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀβδὰ καὶ Ἀβδιησοῦ ἐπισκόπων καὶ πρεσβυτέρων δεκαέξ, διακόνων θ' καὶ μοναζόντων ἓξ καὶ παρθένων ἑπτά, ἀπὸ πατρίδος Χασχαρᾶ. Ὁ ἅγιος Ἀβδιησοῦς ἐπίσκοπος ὢν ἐν Περσίδι τῆς πόλεως Βηθχασχάρ, διαβληθεὶς ὑπὸ τοῦ ἰδίου ἀνεψιοῦ τῷ βασιλεῖ Περσῶν συλληφθεὶς ἤχθη πρὸς αὐτὸν μετὰ καὶ ἑτέρων χριστιανῶν λθ'· καὶ ἐρωτηθεὶς καὶ τὸν Χριστὸν ὁμολογήσας ἀποστέλλεται μετὰ τῶν σὺν αὐτῷ τριάκοντα ἐννέα πρὸς Ἀρσὴθ τὸν τοῦ βασιλέως ἀδελφόν, ὅπως ὑπ' ἐκείνου τιμωρηθῶσιν. Ἐλθὼν δὲ λόγοις θεοσόφοις ἐκεῖνον[1] ἐλέγξας ἐξέπληξε· διὰ τοῦτο δεθέντες[2] σχοινίοις καὶ συσφιχθέντες[3] μέσον ξύλων συνετρίβησαν τὰ ὀστᾶ οἱ ἅγιοι, ὥστε ἀπὸ τῆς σφόδρα βίας ἐκπιεσθέντες, τῶν ὀστῶν αὐτῶν ψόφον ἀποτελούντων. Καὶ τούτου γενομένου τῆς ἡμέρας ἑπτάκις, εἶτα ἐρρίφησαν ἐν τῇ φυλακῇ ὡσεὶ νεκροί, μὴ μετασχόντες[4] τροφῆν τὸ καθόλου, τοῦ τυράννου προστάξαντος. Γυνὴ δέ τις ἐκ τῆς θυρίδος τούτους διηκόνει ἄρτῳ καὶ ὕδατι· <ὧν μεταλαμβάνοντες[5]> ἐδόξαζον τὸν Θεόν. Εἶθ' οὕτως κρατηθεὶς καὶ Ἀβδᾶς ὁ ἐπίσκοπος μετὰ ἀνδρῶν εἴκοσι καὶ ὀκτὼ πρεσβυτέρων καὶ διακόνων καὶ παρθένων ἁγίων γυναικῶν ἀπεκλείσθη ἐν τῇ φυλακῇ. Εἶτα ἐκβληθέντες τύπτονται καὶ λίθοις τὰ στόματα

5. — [1] (ἐπὶ - βασιλέως) *om.* D. — [2] ἀνεγόρευσαν D. — [3] καὶ δ. *om.* D.
6. — [1] *hic des.* Mc.
1. — [1] Μιτυλίνης S. — [2] *supplevi, om.* S.
2. — [1] ἐκεῖνος S. — [2] δεθεὶς S. — [3] συσφιγγεὶς S. — [4] μετασχὼν S. — [5] *supplevi ex* D, *om.* S.

Mai 15. 1. — Ἀβδᾶ καὶ Ἀβδιησοῦ. — Πέτρου κτλ. — 5. 6. 4. 7. — **N** : 1. 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀναστασίου[5] τοῦ ἐν τῷ Λάτρῳ, πλησίον τῆς μονῆς τοῦ ἁγίου Παύλου κειμένου (in marg. man. rec.). — **Bb** : 1. 2. 6. — Πέτρου κτλ. — 5. — **Be** : 1. 2. 6. — Πέτρου κτλ. — 5. — **C** : 1. 2. 6. 3. — Πέτρου κτλ. — 5. 4. 7. — **Ce** : 1. — Πέτρου κτλ. — **Cg** : 1. 2. 6. 3. — Πέτρου κτλ. — 5. 4. 7. — **R** : 1 (Παχωμίου solius). — 2. — **Ra** : 1. — **Rb** : 1. 2. — **Rc** : 1 (Θεοδώρου solius). — **Mc** : 1. 2. — Πέτρος ὁ ἀπὸ Λαμψάκου ἐν τροχαντῆρσι βληθεὶς τ. — Παύλου, Ἀνδρέου καὶ Διονυσίου, οἱ λιθοβοληθέντες τ. — 6. — **Mv** : 1 (Παχωμίου). — 2. — **Mr** : 1 (Παχωμίου). — 2.

Mai 16. SYNAXARIA SELECTA. **H** : 2. 9. 3. 4. 5. 8. — **P** : 2. 3. 4. 5. — **D** : 2 : Ἀβδᾶ καὶ Ἀβδιησοῦ... Ὁ ἅγιος Ἀβδιησοῦς ἐπίσκοπος ὢν ... ἐπιμένοντας αὐτοὺς τῇ τῶν χριστιανῶν πίστει καὶ μὴ πειθομένους διαγνοὺς προσέταξεν δεσμευθῆναι αὐτοὺς σχοινίοις καὶ ξύλα περιτεθῆναι κατὰ παντὸς του σώματος αὐτῶν, καὶ ἔξωθεν δ' εἰληθῆναι αὐτοὺς ἑτέροις σχοινίοις καὶ σφοδρῶς περισφιχθῆναι· καὶ τούτου γενομένου τῆς ἡμέρας ἑπτάκις, ἐπὶ τοσοῦτον πιεσθέντες οἱ ἅγιοι συνεστάλησαν, ὥστε ἔνδοθεν ὑπὸ τῆς βίας συνθλώμενα καὶ καταθραυόμενα τὰ ὀστᾶ αὐτῶν ψόφον ἀποτελεῖν· εἶτα τίθενται ἐν φυλακῇ καὶ ἀποσταλέντων αὐτοῖς βρωμάτων ἐκ τῶν θυσιῶν, οὐ μόνον οὐ μετέλαβον ἀλλ' οὐδὲ προσέσχον αὐτοῖς· ὅθεν ἄσιτοι ἐν τῇ φυλακῇ προσμένειν κελεύονται. Γυνὴ δέ τις διὰ θυρίδος ἄρτους καὶ ὕδωρ ἐπεδίδου αὐτοῖς· ὧν μεταλαμβάνοντες ἐδόξαζον τὸν Θεόν. Εἶτα κατασχεθέντος καὶ Ἀβδᾶ τοῦ ἁγιωτάτου ἐπισκόπου πόλεως Χασχάρ, προαποκαλυφθέντος παρὰ τοῦ Κυρίου αὐτῷ τοῦ κατὰ τὸ μαρτύριον ἀγῶνος καὶ ὅτι νικήσας στεφανωθήσεται, καὶ μετ' αὐτοῦ συλληφθέντων ἀνδρῶν εἴκοσι καὶ ὀκτὼ πρεσβυτέρων καὶ διακόνων καὶ ἀειπαρθένων καὶ ἀποσταλέντων παρὰ τοῦ βασιλέως Μαυπτῇ τῷ ἀρχιερεῖ, οὗ κατενώπιον τῇ πίστει τῇ[1] εἰς Χριστὸν μέχρις αἵματος ἐμμένειν βεβαιωσάμενοι πρῶτον μὲν τύπτονται, εἶτα λίθοις τὰ στόματα θλάττονται, μετὰ ταῦτα δὲ τὰς κεφαλὰς ἀφαιροῦνται μηνὶ μαΐῳ ιε'· καὶ μεθ' ἡμέραν ἀχθεὶς ὁ

— [5] σταφίου N.
[1] *supra lin. corr.* D.

θλάττονται· μετὰ ταῦτα δὲ τὰς κεφαλὰς ἀφαιροῦνται. Καὶ μεθ' ἡμέραν ἀχθεὶς ὁ ἅγιος Ἀβδιησοῦς[7] σὺν αὐτοῖς καὶ αὐτὸς τὴν κεφαλὴν ἀποτέμνεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἰούδα, ἀδελφοῦ τοῦ ἁγίου ἀποστόλου Ἰακώβου.

4. Καὶ ἄθλησις τῶν ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα ἀναιρεθέντων μοναχῶν[1].

5. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀλεξάνδρου Ἱεροσολύμων.

f. 219v. **6.** | Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Θεογνίου, Ἀγαπίου καὶ Πιστοῦ.

7. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νεαδίου.

8. Καὶ μνήμη τῆς ἁγίας μάρτυρος Εὐφημίας πλησίον τοῦ Νεωρίου λιμένος εἰς τὴν ἁγίαν Δύναμιν.

9. Καὶ τοῦ ἁγίου προφήτου Ζαχαρίου, οὗ ἐγράφη τῇ ὀγδόῃ τοῦ φευρουαρίου. Οὗτος εἷς[1] ἦν <ἐν[2]> τοῖς ἑξκαίδεκα προφήταις, ἐκ γένους Λευὶ υἱὸς Βαραχίου· ἐγεννήθη δὲ ἐν Γαλαάδ. Ἦλθε δὲ ἀπὸ τῆς Χαλδαίων γῆς ἤδη προβεβηκώς, καὶ ἐκεῖ ὢν πολλὰ τῷ λαῷ προεφήτευσεν καὶ τέρατα πολλὰ ἔδωκεν εἰς ἀπόδειξιν. Οὗτος εἶπε τῷ Ἰωσεδὲκ ὅτι· « Γεννήσεις[3] υἱὸν καὶ ἐν Ἱερουσαλὴμ » ἱερατεύσει τῷ Κυρίῳ εἰς τύπον τοῦ ἀληθινοῦ » ἀρχιερέως », καὶ ὑπὲρ[4] τῆς λειτουργίας αὐτοῦ προεφήτευσε, ἣν ποιήσει ἐν Ἱερουσαλήμ, καὶ εὐλόγησεν αὐτὸν σφόδρα. Οὗτος καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ εὐλόγησε λέγων ὅτι· « Γεννήσεις υἱὸν » καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ζοροβάβελ. » Καὶ ἐπὶ Κύρου τοῦ βασιλέως Περσῶν τέρας ἔδωκεν εἰς νῖκος περὶ Κροίσου[5] τοῦ Λυδῶν βασιλέως, καὶ περὶ τοῦ Ἀστυάγους τοῦ τῶν Μήδων βασιλέως. Καὶ[6] τὰ περὶ τῆς πορθήσεως Ἱερουσαλὴμ καὶ περὶ τοῦ τέλους Ἰσραὴλ καὶ ἀρχῆς ἐθνῶν καὶ τέλους καὶ τοῦ ναοῦ ἕως θεμελίων καταστροφῆς καὶ ἀργείας προφητῶν καὶ ἱερέων καὶ σαββάτων καὶ διπλῆς κρίσεως ἐξέθετο· καὶ ἕτερα πολλὰ προφητεύσας ἐκοιμήθη ἐν γήρᾳ μακρῷ, καὶ ἐτάφη ἐγγὺς Ἀγγαίου τοῦ προφήτου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ, τῷ ὄντι ἐν τοῖς Ἀρεοβίνδου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ΄.

Mai 17. **1.** Μνήμη τοῦ ἁγίου ἀποστόλου Ἀνδρονίκου ἑνὸς τῶν ἑβδομήκοντα καὶ Ἰουνίας[1]. Οὗτος ὁ τοῦ Κυρίου μαθητὴς καὶ ἀπόστολος πᾶσαν τὴν οἰκουμένην ὡς ὑπόπτερός τις διαδραμών, τὴν πλάνην ἐκ βαράθρων ἀνέσπασε[2] τὸν Χριστὸν κηρύττων[3], συνεπομένην ἔχων καὶ τὴν ὑπερθαύμαστον Ἰουνίαν τῷ κόσμῳ ἤδη νεκρωθέντα καὶ τῷ Χριστῷ μόνῳ ζῶντα[4]. Ὅθεν πολλοὺς πρὸς θεογνωσίαν ἑλκύσαντες εἰδωλικοὺς οἴκους κατέστρεφον[5], ἐκκλησίας δὲ θείας πανταχοῦ οἰκοδομήσαντες[6] καὶ πνεύματα ἀκάθαρτα ἐξ ἀνθρώπων ἀποδιώξαντες[7] καὶ πάθη ἀνίατα θεραπεύσαντες[8] τὸ κοινὸν χρέος ὡς ἄνθρωποι τῇ φύσει ὄντες ἀποτιννύουσι[9]. Τούτων καὶ ὁ μέγας[10] Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ μέμνηται[11]· « Ἀσπάσασθε, » Rom. 16, 7. λέγων, « Ἀνδρόνικον καὶ Ἰουνίαν. »

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σολόχωνος καὶ τῶν σὺν αὐτῷ. Οὗτος ἦν κατὰ

— [7] Αὐδιησοῦς S.
4. — [1] οἱ ἅγιοι ἀββάδες οἱ ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα ξίφει τ. Mc.
9. — [1] Ζαχαρίου οὗτος ἦν ἐν D. — [2] D, *om.* S. — [3] γεννήσει D. — [4] περὶ D. — [5] Κρύσου S, Κρύσσου D. — [6] περὶ τῆς λειτουργίας αὐτοῦ προεφήτευσεν ἣν ποιήσει κύριος ὁ Θεὸς ἐπὶ Ἱερουσαλὴμ καὶ εὐλόγησεν αὐτὸν σφόδρα *add.* D.
1. — [1] τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο' Ἀ. καὶ Ἰουνία Mc. — [2] βάθρων ἀνέσπα Mc. — [3] καὶ εὐαγγελιζόμενος *add.* Mc. — [4] Χ. μονάζοντα Mc. — [5] κατέστρεψαν Mc. — [6] δὲ οἰκοδομοῦντες Mc. — [7] ἀποδιώκοντες Mc. — [8] θεραπεύοντες Mc. — [9] (τῇ - ἀποτιννύουσι) ἀποδόντες πρὸς τὴν ἐν οὐρανοῖς ζωὴν μεταβαίνουσι Mc. — [10] ἀπόστολος *add.* Mc. — [11] μέμνηται ἐν τῇ πρὸς Ῥ. ἐπιστολῇ Mc.

ἅγιος Ἀβδιησοῦς[2] καὶ αὐτὸς τὴν κεφαλὴν ἀποτέμνεται. — 9. 1 : Γεωργίου μητροπολίτου Μιτυλήνης[3]. Ὃς ἐξ ἁπαλῶν ὀνύχων τὸν μοναστὴν ὑπέδυ βίον, ταπείνωσιν ἄκραν ἀσκήσας καὶ πραότητα Mai 16. κατορθώσας· ὅθεν οἶκον ἑαυτὸν τῆς ἁγίας κατασκευάσας Τριάδος, μητροπολίτης τῆς κατὰ Μιτυλήνην ἐκκλησίας ἀναδείκνυται. Ἐλεήμων δὲ ὑπὲρ τὸ μέτρον γενόμενος, δαψιλῶς τοῖς πεινῶσιν ἐπήρκεσεν· πάσης δὲ κακοδοξίας ἀντίμαχος καὶ ὑπέρμαχος ὀρθοδοξίας γενόμενος καὶ τὸν δρόμον καλῶς καὶ θεοφιλῶς τελέσας, πρὸς Κύριον ἐξεδήμησεν, πηγὴν θαυμάτων τὴν θείαν αὐτοῦ σορὸν καὶ μετὰ θάνατον καταλείψας τοῖς πόθῳ πρὸς αὐτὸν καταφεύγουσιν. — 3. 4. 5. 8. — **Da** : 1. — **Db** : 1. 3. 4. 5. 8. — **K** : 1. 3. 4. 5. 8. — **N** : 1. 2. — Ἀνάδειξις τῆς ἀχειροποιήτου εἰκόνος ἐν Καμουλιαναῖς (Mai 15[4]). — Νικολάου (Mai 15[7]). — 3. 4. 5 (Ἀλεξάνδρου ἐπισκόπου Μιτυλήνης). — 8. — **Bb** : 2. 1. — **Be** : 2. 1. — **C** : 2. 3. 4. 5. 8. 1. — **Ce** : 2. 1. — **Cg** : 2. 3. 4. 5. 8. 1. — **R** : 9. — **Ra** : 7 : Νεαδίου τοῦ θαυματουργοῦ. — 1. — Θεοδώρου τοῦ ἡγιασμένου (Mai 15[1]). — 4. 5. 8. — **Rb** : 7. 1. 3. 4. 5. 8. 2. — Ἡρακλείου, Παυλίνου καὶ Βενεδήμου (Mai 15[6]). — **Rc** : 9. 1. 3. 5. 8. — **Mc** : 5. 2. — Βαχθισόη, Ἰσαακίου καὶ Συμεὼν (Mai 15[5]). — 4. — Ὁ ἐν Βλαχέρναις ἅγιος Πέτρος βουνεύροις τυπτόμενος τ. — Νικόλαος πατριάρχης. — **Mv** : 4. 5. 8. 2. — Βαχθισοῦ κτλ. — **Mr** : Θεοδώρου τοῦ ἡγιασμένου.

SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2. — **D** : 2. 1. — Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως Mai 17. ἀδελφοῦ χρηματίσαντος Λέοντος βασιλέως (Mai 18[3]). — **Da** : 1. 2. — Στεφάνου. — **Db** : 1. 2. — Στεφάνου. — Τεκούσης, Ἀλεξάνδρας κτλ. (Mai 18[2]). — Ἐπαφροδίτου ἑνὸς τῶν ο' (Mai 18[4]). — Τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ (Mai 18[5]). — Θεοδωρήτου πρεσβυτέρου (Mai 18[7]). — Θεοδώρου πάπα Ῥώμης (Mai 18[7]). — Μνήμη τοῦ ὁσίου Μαρτινιανοῦ ἐν τοῖς Ἀρεοβίνδου (Mai 18[8]). — Πατρικίου

— [2] Ἀβδιησοῦν D. — [3] Μιτυλίνης D.

Mai 17. f. 220. τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως, Αἰγύπτιος τὸ γένος, στρατιώτης τὴν τάξιν, τεταγμένος | ὑπὸ Καμπανῷ τριβούνῳ μετὰ τρισχιλίων ἑτέρων στρατιωτῶν. Σὺν τῷ Καμπανῷ κατὰ τὴν τοῦ βασιλέως πρόσταξιν ἐξ Αἰγύπτου τὴν Χαλκηδόνα καταλαβών, κελεύσαντος [1] δὲ τοὺς ταξιάρχας καταναγκάζειν τοὺς ὑπ' αὐτοὺς θύειν τοῖς εἰδώλοις καὶ ἑκάστου [2] τὸ ἴδιον τάγμα προσάγοντος ταῖς θυσίαις, ὁ Καμπανὸς τὴν ὑπ' αὐτὸν λεγεῶνα ἠνάγκαζε τὸ πρόσταγμα τοῦ βασιλέως ποιεῖν. Πάντων δὲ εἰξάντων, τρεῖς μόνοι ἀντέστησαν, Σολόχων καὶ Παμφαμὴρ καὶ Παμφαλὼν [3], χριστιανοὺς ἑαυτοὺς ἀνακηρύττοντες. Καὶ [4] ἐπὶ τοσοῦτον αἰκίζονται, ὡς ἐξοιδῆσαι τοὺς αὐτῶν νώτους καὶ τὴν κεφαλὴν ὑπεράραι, καὶ ἐν αὐτῷ τῷ μαστιγοῦσθαι ἀποδοῦναι τῷ Κυρίῳ τὰ πνεύματα τόν τε Παμφαμὴρ καὶ Παμφαλών. Ὁ δὲ ἅγιος Σολόχων μικρὸν ἐνισχύσας, παρρησίᾳ τὸν Χριστὸν ἐπεκαλεῖτο καὶ Καμπανὸν τὸν τύραννον [5] εἰς ἀπόνοιαν [6] ἔσκωπτε, τὰ ἄψυχα θεοὺς ὀνομάζοντα [7], ὥστε ὀργισθέντα [8] τὸν ἄρχοντα κελεῦσαι [9] σπάθῃ τὸ στόμα διανοιγῆναι αὐτοῦ καὶ οἶνον τῶν σπονδῶν διαχεθῆναι [10] αὐτῷ. Ὁ δὲ ἅγιος δακὼν τὸν σίδηρον καὶ ἀποκόψας [11] ἐξ αὐτοῦ μέρος, ἅμα δὲ καὶ τὰ [12] περικείμενα δεσμὰ διαρρήξας, ἔστη ἐνώπιον τοῦ τυράννου ὀρθὸς τὴν τοῦ Χριστοῦ θεότητα μεγαλύνων καὶ τὴν τοῦ ἄρχοντος κακοδαιμονίαν χλευάζων· ἔνθα καὶ φωνὴ ἄνωθεν ἠνέχθη [13] αὐτὸν ἐνεπισχύουσα [14] καὶ πρὸς τὸ μαρτύριον ἐπαλείφουσα· ἔνθα πολλαῖς βασάνοις τιμωρηθεὶς καὶ μαστιχθεὶς καὶ τυφθεὶς ἀφειδῶς καὶ κρεμασθεὶς μετὰ λίθου ἀπὸ [15] ἕκτης ἕως δωδεκάτης ὥρας [16], ἐπεὶ τὸν Χριστὸν [17] διαπρυσίως ἐκήρυττεν, δρεπάνῳ τὸ σχοινίον τεμὼν αὐτὸς κάτωθεν σὺν τῷ λίθῳ ὄρθιος ἵστατο [18]. Ἤδη δὲ βαθείας οὔσης ἑσπέρας, θυμῷ ἀσχέτῳ ληφθεὶς ὁ Καμπανός [19], λαβὼν κάλαμον γραφέως ἐπὶ [20] τὸ οὖς τοῦ ἁγίου ἐνέπηξε καὶ συνωθήσας εἰς [21] τὸ ἐνδότερον ἤλασε· καὶ αὐτὸς δὲ σὺν τοῖς στρατιώταις ἀπῆλθε δώσων τὸ σιτομέτριον [22]. Οἱ δὲ [23] χριστιανοὶ τὸν ἅγιον ἄραντες ἐπὶ κλίνης διὰ τὸ πᾶν μέλος λελύσθαι αὐτοῦ, ἐν οἰκίᾳ χήρας τινὸς ἀπέθεντο· ἔνθα ἄρτου μεταλαβὼν καὶ τοῖς παροῦσι [24] χριστιανοῖς εὐχῆς [25] μεταδούς, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐξάμενος [25] τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Mai 18. f. 220v. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Πέτρου καὶ Διονυσίου καὶ Χριστίνης παρθένου, καὶ τῶν σὺν αὐτοῖς Ἀνδρέου καὶ Παύλου [1]. Ὁ ἅγιος μάρτυς [2] Πέτρος ἦν ἐκ Λαμψάκου τῆς πόλεως· ἀχθεὶς δὲ Δέκνῳ [3] τῷ ἄρχοντι τῆς Ἀβυδηνῶν πόλεως καὶ θῦσαι προσταχθεὶς τῇ Ἀφροδίτῃ καὶ μὴ πεισθεὶς ἀλλὰ τὸν Χριστὸν ὁμολογήσας, δεσμοῖς καὶ ξύλοις καὶ τροχαντῆρσιν ὅλον τὸ σῶμα συντρίβεται καὶ τὴν ψυχὴν παραδίδωσιν [4]. Παῦλος δὲ καὶ Ἀνδρέας ἐκ Μεσοποταμίας ὄντες ἅμα τῷ ἄρχοντι Δέκνῳ, ὑφ' ᾧ [5] ἐστρατεύοντο, τὰς Ἀθήνας καταλαμβάνουσι. Συλληφθέντες δὲ ἐν αὐταῖς Διονύσιος καὶ Χριστίνα τῇ αὐτῶν πιστεύονται φυλακῇ [6]· τὴν δὲ [7] ἁγίαν Χριστίναν, παρθένον οὖσαν καὶ εὐπρεπῆ καὶ γάμων [8] ἔχουσαν ὥραν, ἐκκαλοῦνται πρὸς μῖξιν. Τῆς δὲ μὴ πεισθείσης, ἀντὶ τοῦ ταύτην [2] βιάσασθαι, μεταβληθέντες αὐτοὶ [9] ταῖς παραινέσεσι τῆς ἁγίας, ἐπίστευσαν τῷ Χριστῷ [10]· ὅθεν αὐτοὶ [11] μὲν καὶ ὁ [12] Διονύσιος, προστάξαντος τοῦ ἄρχοντος, νιφάσι τῶν λίθων [13] κατεχώσθησαν καὶ τὸ μακάριον τέλος ἔλαβον. Ἡ δὲ ἁγία Χριστίνα ἐπιπεσοῦσα αὐτοῖς τὴν κεφαλὴν ἀπετμήθη [14].

2. — [1] τοῦ βασιλέως *add.* D. — [2] ἕκαστον D. — [3] Παμφυλῶν D. — [4] οὐδ' ἂν ἤτοι πάθοιεν ἀρνήσασθαι τὸν Χριστὸν ἀλλὰ μέχρι τέλους ἐπιμεῖναι τῇ εἰς αὐτὸν πίστει διαβεβαιούμενοι· ταῦτα δὲ εἰπόντες *add.* D. — [5] ἄρχοντα D. — [6] ἀπόνvοιαν S. — [7] ὀνομάζοντος S. — [8] ὀργισθῆναι S, ὅθεν ὁ. τα D. — [9] κελεύσει S, κελεύσας D. — [10] ἐγχεθῆναι D. — [11] ἀπορρήξας D. — [12] *supra lin. corr.* D. — [13] ἐνέχθη S. — [14] αὐτῷ συνεπισχύουσα D. — [15] (ἔνθα - ἀπὸ) μετὰ ταῦτα ἐν τῷ γυμνασίῳ ὀστράκου τραχέως διασπαρέντος δεθεὶς ὁ ἅγιος τοὺς πόδας ἐσύρθη ἑπτάκοις ἐπάνω αὐτοῦ· καὶ ἐν τῷ κατατρίβεσθαι τὰς πληγὰς ὑπὸ τοῦ ὀστράκου πικρὰς ὑφιστάμενος ἀλγηδόνας εἶτα σχοινίῳ τὴν δεξιὰν χεῖρα διαλειφθεὶς τῶν δοκῶν τῆς οἰκείας ἐξαρτᾶται, λιθῷ τὸν ἀριστερὸν πόδα βαρούμενος ἀπὸ δὲ D. — [16] κρεμάμενος *add.* D. — [17] ἀρνήσασθαι οὐκ ἐπείθετο D. — [18] (διαπρυσίως - ἵστατο) δρεπάνῳ διατμηθέντος τοὺς σχοίνους ἐπὶ τῆς γῆς ἔστη ὀρθὸς D. — [19] *corr.* D, *prius* Καμπός. — [20] βίᾳ εἰς D. — [21] καὶ πρὸς D. — [22] αὐτὸς μὲν τὸ σιτ. δώσω τοῖς στρ. ἀπ. D. — [23] παρόντες *add.* D. — [24] παρεστῶσι D. — [25] *om.* D.

1. — [1] Πέτρου, Παύλου, Ἀ. Δ. καὶ Χ. τῆς παρθένου οὗτος Mc. — [2] *om.* Mc. — [3] τῷ ἄρχοντι Δεκίῳ Mc. — [4] (καὶ - παραδ.) *om.* Mc. — [5] Mc, ὃν S. — [6] σ. δὲ ἐν. αὐτ. Διονύσιον καὶ Χριστίνης τὴν α. π. φυλακὴν S, συλληφθέντος οὖν ὑπ' αὐτῶν Διονυσίου καὶ Χριστίνης Mc. — [7] μὲν Mc. — [8] γάμου Mc.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδότου καὶ τῶν σὺν αὐτῷ ἁγίων ἑπτὰ παρθένων καὶ γυναικῶν, <ὧν τὰ ὀνόματα [1]> Τεκοῦσα, Ἀλεξανδρία, Κλαυδία, Φαεινή, Εὐφρασία, Ματρῶνα, Ἰουλία καὶ Θεοδότη. Αὗται ὑπῆρχον ἐξ Ἀγκύρας τῆς Γαλατίας. Ὁ δὲ ἅγιος Θεόδοτος γαμετῇ προσομιλήσας, οὐ τῇ περὶ ταύτην ἀσχολίᾳ τῆς θεοσεβείας ἠμέλει, ἀλλ' ἐν σχήματι ἐμπορικῆς μεταπωλικῆς σῖτον ὠνούμενος καὶ ἄρτους φυρῶν τῷ τε Θεῷ προσῆγεν καὶ τοῖς δεομένοις ἐπεχορήγει, διὰ τὸ τὸν μιαρὸν Θεότεκνον τὸν ἄρχοντα προστάξαι ἐκ τῶν εἰδωλοθύτων τὰ εἰς τροφὴν τοῖς χριστιανοῖς παρασκευαζόμενα ἐπιρραίνεσθαι. Ἀλλὰ καὶ ἐν ταῖς φυλακαῖς εἰσιὼν τοὺς καθειργμένους πιστοὺς ἐπεστήριζε καὶ μετεδίδου τούτοις τροφῆς, ἐξ ὧν ἦσαν καὶ αἱ ἅγιαι ὀκτὼ παρθένοι, ὧν μία, ἡ λεγομένη Τεκοῦσα, ὑπῆρχεν αὐτοῦ θεία· αἵτινες λίθοις προσδεθεῖσαι ἐναπερρίφησαν τῇ παρακειμένῃ λίμνῃ. Καὶ λαβὼν ὁ Θεόδοτος τὰ λείψανα αὐτῶν ἐντίμως ἐκήδευσε, καὶ διαφανεὶς ἐκρατήθη· καὶ τιμωρηθεὶς πολλὰ καὶ ξεσθεὶς καὶ ὀξάλμῃ μετ' ὀστράκου [2] συντριβεὶς καὶ πάλιν ξεσθεὶς καὶ τὰς σιαγόνας συνθλασθεὶς τὴν διὰ ξίφους ὑφίσταται ἐκτομήν. Τὰ δὲ λείψανα τῶν παρθένων ὁ παράνομος ἄρχων ἐξενεγκὼν πυρὶ παραδίδωσι.

Mai 18. f. 221. **3.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη [1] Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως, ἀδελφοῦ χρηματίσαντος Λέοντος τοῦ βασιλέως. Οὗτος υἱός | γεγονὼς [2] τοῦ ἀοιδίμου Βασιλείου βασιλέως Ῥωμαίων, διὰ δὲ τὸ ἁπλοῦν τοῦ ἤθους καὶ [3] τὴν λοιπὴν σύνεσιν καὶ κατάστασιν ἔτι νέος ὢν ψήφῳ βασιλικῇ [4] καὶ διὰ [5] τῆς ἱερᾶς συνόδου εὐδοκίᾳ Θεοῦ καὶ κρίσει χειροτονεῖται πατριάρχης [6] Κωνσταντινουπόλεως. Ἐγκαθιδρυθεὶς δὲ τῷ μεγάλῳ καὶ ἱερῷ θρόνῳ καὶ τὴν ὅλην φροντίδα τῶν ἐκκλησιῶν ἀναδεξάμενος, ἄγρυπνος ἐφάνη φύλαξ καὶ ποιμὴν ἀληθινός, ἄγων τὰ ἴδια πρόβατα ἐπὶ νομὰς τῆς ὀρθοδόξου πίστεως, χήραις καὶ ὀρφανοῖς ἐπαρκῶν [7], πτωχοὺς ἐλεῶν, ἀδικουμένους ἐκ χειρῶν [8] στερεωτέρων ῥυόμενος καὶ τὸν Θεὸν θεραπεύων ἐν ἅπασιν. Οὕτω δὲ ποιῶν καὶ τὴν σάρκα τήκων τῇ ἐγκρατείᾳ [9], ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας πρὸς Χριστὸν ἐξεδήμησεν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἐπαφροδίτου ἑνὸς τῶν ἑβδομήκοντα.

5. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ [1].

6. Καὶ Θεοδωρήτου [1] πρεσβυτέρου.

7. Καὶ ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου πάπα Ῥώμης.

8. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτινιανοῦ ἐν τοῖς Ἀρεοβίνδου [1].

9. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων κληρικῶν καὶ λαϊκῶν, οὓς Οὐάλης ὁ ἀσεβὴς ἐν πλοίῳ ἐμβαλὼν τῷ πυρὶ κατέκαυσε πλησίον Δακυμίζης.

— [9] *corr.* S, αὐτὴ Mc. — [10] (παρ. - Χριστῷ) προσῆλθον καὶ τ. Χ. ἐπίστευσαν Mc. — [11] αὐτὴ Mc. — [12] *om.* Mc. — [13] τοῦ τυράννου λ. νιφάσι Mc. — [14] καὶ οὕτω τὸ μακάριον τέλος ἀπέλαβον οἱ δὲ λοιποὶ τὰς κεφαλὰς ἀπετμήθησαν Mc.

2. — [1] *supplevi ex* D, *om.* S. — [2] ἐστράκου S.

3. — [1] τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν *add.* Mc. — [2] Mc, οἱ υἱοὶ δὲ γεγονότες S. — [3] Mc, κατὰ S. — [4] τοῦ βασιλέως Mc. — [5] *om.* Mc. — [6] εὐδ. καὶ κρ. Θ. πατρ. χειροτονεῖται Κπ. Mc. — [7] καὶ *add.* Mc. — [8] χειρὸς Mc. — [9] (καὶ - ἐγκρατείᾳ) *om.* Mc.

5. — [1] ὁ ἅγιος Ἰ. ἐν ἀκάνθαις βάτου συρόμενος τ. Mc.

6. — [1] Θεοδορίτου S.

8. — [1] Ἀρεοβίνδα D.

Mai 17. ἐπισκόπου Προύσης (Mai 19[1]). — **K** : 1. 2. — Στεφάνου. — **N** : Πέτρου κτλ. (Mai 18[1]). — 2. — **Bb** : 1. 2. — Στεφάνου. — **Bc** : 1. 2. — Στεφάνου. — **C** : 1. 2. — Στεφάνου. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — Στεφάνου. — **R** : 1. — Γεωργίου μητροπολίτου Μιτυλίνης (Mai 16[1]). — **Ra** : Βαχθισόη κτλ. (Mai 15[5]). — Ἡρακλεία κτλ. (Mai 15[6]). — Ἡ ἀνάδειξις τῆς ἀχειροποιήτου εἰκόνος ἐν Καμουλιαναῖς (Mai 15[4]). — Νικολάου (Mai 15[7]). — **Rb** : 1. 2. — Στεφάνου. — **Rc** : 1. — Ἐπαφροδίτου. — Ἰουλιανοῦ. — Θεοδωρήτου. — Θεοδώρου. — Μαρτινιανοῦ ἐν τοῖς Ἀρεοβίνδου. — **Mc** : 1. 2. — **Mv** : 1. 2. — Ἡρακλείου κτλ. (Mai 15[6]). — Ἡ ἀνάδειξις τῆς ἀχειροποιήτου εἰκόνος τῆς ἐν Καμουλιαναῖς. — Ἀλεξάνδρων δύο, Διονυσίων δύο, Ἀγαπίου, Τιμολάου, Ῥωμύλου καὶ Πλησίου (Mart. 15[1]). — **Mr** : 1.

Mai 18. SYNAXARIA SELECTA. **H** : 2. 4. 5. 6. 7. 8. — **P** : 2. 4. 5. 6. 7. 8. — **D** : 2 : Τῶν ἁγίων ἑπτὰ παρθένων καὶ Θεοδότου μάρτυρος ἐν Ἀγκύρᾳ. Οὗτος καὶ αἱ ἅγιαι ἑπτὰ παρθένοι καὶ μάρτυρες, ὧν τὰ ὀνόματα Τεκοῦσα, Ἀλεξανδρία [1], Κλαυδία, Φαεινή, Εὐφρασία, Ματρῶνα, Ἰουλία, ὑπῆρχον ἐξ Ἀγκύρας τῆς Γαλατίας [2]· ὁ δὲ ἅγιος Θεόδοτος γαμετῇ προσομιλήσας, οὐ τῇ περὶ ταύτην ἀσχολίᾳ τῆς θεοσεβείας ἠμέλει, ἀλλ' ἐν σχήματι ἐμπορικῆς μεταπωλικῆς σῖτον ὠνούμενος καὶ ἄρτους φυρῶν τῷ τε Θεῷ προσῆγεν καὶ τοῖς δεομένοις ἐπεχορήγει διὰ τὸ τὸν μιαρὸν Θεότεκνον τὸν ἄρχοντα προστάξαι ἐκ τῶν εἰδωλοθύτων τὰ εἰς τροφὴν τοῖς χριστιανοῖς παρασκευαζόμενα ἐπιρραίνεσθαι. Ἀλλὰ καὶ ἐν ταῖς φυλακαῖς εἰσιὼν τοὺς καθειργμένους πιστοὺς ἐπεστήριζεν καὶ μετεδίδου τούτοις τροφήν. Δόξαν δέ ποτε, καταλαμβάνει τὰς εἰρημένας ἑπτὰ παρθένους, ὧν μία, ἡ οὕτω καλουμένη Τεκοῦσα, θεία ὑπῆρχεν αὐτοῦ. Αἳ καὶ προσαχθεῖσαι τῷ ἄρχοντι καὶ μὴ βουληθεῖσαι θῦσαι, ἐξεδόθησαν πρὸς ὕβριν καὶ τῇ τοῦ Χριστοῦ χάριτι διεφυλάχθησαν ἄφθοροι· εἶτα λίθοις προσεδέθησαν καὶ τῷ τῆς λίμνης βυθῷ ἀπερρίφησαν. Ὧν τὰ ἅγια λείψανα ἀνελόμενος μετὰ τῶν ἐκεῖσε ὄντων χριστιανῶν ἐντίμως ἐκήδευσεν· καὶ ἐπὶ τούτῳ διαβληθεὶς καὶ φανερὸν ἑαυτὸν τοῖς ζητοῦσι ποιήσας, παρέστη Θεοτέκνῳ τῷ ἄρχοντι· καὶ τὸν Χριστὸν ὁμολογήσας καὶ Θεὸν εἰπών, κρεμασθεὶς ξέεται καὶ ἅλμην μετ' ὄξους τοῖς ξεσθεῖσι μέλεσιν ἐπιδέχεται καὶ λίθοις τὰς σιαγόνας συνθλᾶται, καὶ αὖθις ἀναρτηθεὶς ξέεται καὶ ὀστράκῳ πυρωθέντι ἐπιτίθεται καὶ πάλιν ξέεται καὶ οὕτω τὴν διὰ ξίφους ὑφίσταται ἐκτομήν. Τὰ δὲ λείψανα τῶν παρθένων ὁ παράνομος ἄρχων ἐξενεγκὼν πυρὶ παραδίδωσιν. — 4. 5. 6. 7. 8 (... ἐν τοῖς Ἀρεοβίνδα). — **Da** : 2. 4. 5. 6 (Θεοδώρου). — 7. 8. — **Db** : Φιλεταίρου (Mai 19[3]). — **K** : 2. 4. 5. 6. 7. 8. — **N** : Ἀνδρονίκου καὶ Ἰουνίας (Mai 17[1]). — 2. 4. 5. 6. 7. 8. — **Bb** : 2. 4. — **Bc** : 2. — **C** : 2 (Ματρώνας, Ἀλεξάνδρας, Κλαυδίας, Φαεινῆς, Εὐφρασίας, Ματρώνας, Ἰουλίττας καὶ Θεοδότης καὶ Θεοδότου μητρός). — 4. 5. 6. 7. — **Ce** : 2. — **Cg** : 2. 4. 5. 6. 7. — **R** : 1. 4. 6. 5. 7. 8. — **Ra** : 1. 4. 5. 6. 7. 8. — Κολούθου (Mai 19[2]). — **Rb** : 1. 2. 4. 5. 6. 7. 8 (Μαρτιανοῦ). — **Rc** : 1. 2. — **Mc** : 2. — Εὐφρασίας, ἥτις ἐν τῷ βυθῷ ῥιφεῖσα τ. — 1. 3. 4 : Ἐπαφροδίτου. Οὗτος, εἷς ὢν τῶν ἑβδομήκοντα, ἐπίσκοπος γέγονεν ἐν Κύπρῳ τῇ λεγομένῃ Ἀδριακῇ καὶ πολλοὺς ἐκεῖσε τῇ εὐσεβεῖ πίστει προσαγαγὼν καὶ τῷ Θεῷ οἰκειώσας, ἐν εἰρήνῃ πρὸς ὃν ἐπόθει Χριστὸν μεθίσταται. — 5. — **Mv** : 1 (Πέτρου, Διονυσίου, Χριστίνης παρθένου, Ἀνδρέου, Παύλου, Βενεδίμου, Παυλίνου καὶ Ἡρακλείου). — 2 (Τεκούσης, Ἀλεξανδρείας, Κλαυδίας, Φαεινῆς, Εὐφρασίας, Ματρώνας, Ἰουλίας καὶ Θεοδότης, καὶ τῶν ἁγίων μαρτύρων Ἀμφιανοῦ καὶ Αἰδεσίου τοῦ Πολυκάρπου). — **Mr** : 1 (... Παύλου, Βενεδίμου, Παυλίνου καὶ Ἡρακλείου).

[1] Ἀλεξανδρεία D. — [2] Γαλατείας D.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ΄.

Mai 19. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πατρικίου ἐπισκόπου Προύσης καὶ τῶν σὺν αὐτῷ ἁγίων Ἀκακίου, Μενάνδρου καὶ Πολυαίνου. Οὗτος[1] ἦν ἐπίσκοπος Προύσης· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν ἐγκληθεὶς παρέστη Ἰουλίῳ τῷ ὑπατικῷ. Τοῦ δὲ ὑπατικοῦ παντοίως πείθειν αὐτὸν ἐπιχειροῦντος καὶ τὴν τῶν θερμῶν ὑδάτων προβαλλομένου[2] ἀνάδοσιν, ὡς προνοίᾳ τῶν θεῶν ἐκπυροῦνται καὶ ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων ἐκχέονται, ὁ ἅγιος μάρτυς ἀντέφησεν ἐπ' εὐεργεσίᾳ μὲν τὰ θερμὰ ἀναδίδοσθαι, τῇ δὲ δυνάμει τοῦ κυρίου[3] Ἰησοῦ Χριστοῦ, τάξαντος δύο τόπους τὸν μὲν ἀγαθῶν ἔμπλεων, ἔνθα οἱ δίκαιοι ἀναπαύσονται, τὸν δὲ σκότους καὶ πυρός, ἔνθα κατακριθήσονται οἱ ἁμαρτωλοὶ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν· καὶ ὅτι τὸ πῦρ εἰς πᾶσαν κτίσιν[4] ἐνέθηκεν ὁ Θεὸς καὶ τοῖς ἄλλοις στοιχείοις συνέμιξε[5] καὶ ἔστιν μὲν ὑπεράνω τοῦ στερεώματος[6] πῦρ καὶ ὕδωρ, ἔστι δὲ καὶ ὑποκάτω τῆς γῆς, ἐξ οὗ ἀναδιδόασιν αἱ πηγαί, αἱ μὲν πλησιάζουσαι τῷ πυρὶ θερμόν, αἱ δὲ πολὺ τούτου[7] ἀπέχουσαι ψυχρόν· καὶ ὅτι τὸ ὑποκάτω τῆς γῆς πῦρ κολαστήριόν ἐστι ψυχῶν ἀσεβῶν, τὸ δὲ κατώτατον ὕδωρ εἰς κρύσταλον πεπηγὸς Τάρταρος ὀνομάζεται, ἔνθα οἱ
f. 221v. θεοὶ ἔλαχον τῶν | ἑλλήνων ἐκείνων οἰκεῖν. Καὶ τοιαῦτα πολλὰ ἕτερα εἰπών, προστάξαντος τοῦ ἄρχοντος, μέσον[8] τῶν ἀναδιδομένων ἐβλήθη θερμῶν. Τῶν[9] δὲ τοὺς βάλλοντας μᾶλλον ἢ τὸν βληθέντα βλαψάντων, ἐξῆλθεν ὁ ἅγιος ἀβλαβής[10], τὴν διὰ ξίφους ἀπόφασιν δεξάμενος μετὰ Ἀκακίου καὶ Μενάνδρου καὶ Πολυαίνου τῶν πρεσβυτέρων[11]. Τελεῖται δὲ ἡ αὐτῶν[12] σύναξις ἐν τῷ οἴκῳ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου[13] ἐν τοῖς Κύρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Κολούθου[1]. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ Θηβαΐδος τῆς Αἰγύπτου ἐν Ἑρμουπόλει καὶ[2] διὰ[3] τὴν εἰς Χριστὸν ὁμολογίαν Ἀρριανῷ τῷ ἡγεμόνι προσήχθη[4] καὶ μήτε κολακείαις δελεασθεὶς μήτε τὰς ἀπειλὰς αὐτοῦ[2] καταπτήξας, πρῶτον μὲν μεγέθει λίθου τὸν αὐχένα βαρύνεται, εἶτα τὴν διὰ πυρὸς λαμβάνει ἀπόφασιν· καὶ ἐν αὐτῷ βληθεὶς τελειοῦται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Φιλεταίρου[1]. Ὃς ἦν γέννημα καὶ θρέμμα τῆς Νικομηδέων πόλεως, υἱὸς Τατιανοῦ[2] τοῦ ἀπὸ ἐπάρχων, ἀνὴρ εὐμεγέθης καὶ ὡραῖος, λευκὸς ὡσεὶ χιὼν καὶ τὴν τρίχα τῆς κεφαλῆς καὶ τῆς γενειάδος ἔχων ἐπιλάμπουσαν ὡσεὶ χρυσοῦν[3]. Παραστὰς οὖν τῷ Διοκλητιανῷ καὶ πολλὰ[4] περὶ τῆς εἰς Χριστὸν πίστεως διαλεχθεὶς εἰς κάμινον πυρὸς ἐμβάλλεται[5] καὶ ἐπὶ πολὺ ἐν[6] αὐτῇ[6] διαμείνας[7] ἀβλαβὴς διαφυλαχθεὶς[8] ἀπολύεται, τὸ θαῦμα τοῦ Διοκλητιανοῦ ὑπερθαυμάσαντος. Μαξιμιανοῦ δὲ μετὰ τὸν μόρον Διοκλητιανοῦ τοῦ πενθεροῦ αὐτοῦ τῆς βασιλείας[9] κρατήσαντος, μετακαλεῖται ὁ ἅγιος[10] καὶ αὐτίκα τέσσαρσι πάλοις δεσμεῖται καὶ τείνεται καὶ ῥοπάλοις τύπτεται· καὶ τοῦ μαγγάνου λυθεὶς ἐπὶ ξύλου κρεμᾶται καὶ σπαθίζεται· εἶτα θηρίοις ἐκδίδοται, πάσης δὲ βασάνου[11] ἀνώτερος γενόμενος, εἰς ἔκπληξιν ἅπαντας ἤγαγε. Διὸ τοῦ βασιλέως ἀχανοῦς μείναντος, τῷ ὑπάρχῳ παραδίδοται. Ὑποσχομένου δὲ τοῦ ἁγίου θύειν καὶ πάντων ἐπὶ τῇ θέᾳ συνδραμόντων, τῇ εὐχῇ τοῦ μάρτυρος πάντα τὰ εἴδωλα συντρίβονται[12], καὶ πῦρ ἐπὶ τοῦ τόπου φανὲν ἐπὶ πολὺ φόβον ἐνεποίησεν[13]· ὅθεν ἅπας ὁ ὄχλος πρὸς τὴν τοῦ Χριστοῦ[14] πίστιν μεθαρμόζεται. Μετὰ ταῦτα προσάγονται τῷ τυράννῳ γυναῖκες παρθένοι ἑξήκοντα, μεθ' ὧν καὶ Θεοτίμα ἡ ἀδελφὴ τοῦ μάρτυρος. Μία δὲ αὐτῶν, Κυριακὴ τοὔνομα, ἐξυβρίσασα τὸν βασιλέα τύπτεται ἀνηλεῶς ἐπὶ τῶν ὄψεων, καὶ ῥάβδοις τὸ σῶμα καταξαίνεται, καὶ τετράκις κρεμασ|θεῖσα τῆς μιᾶς χειρὸς f. 222. σπαθίζεται· καὶ ἔτι ζῶσα πυρὶ ἀπορρίπτεται καὶ τὸ πνεῦμα Θεῷ παρατίθησιν[15]. Ὁ δὲ ἅγιος Φιλέταιρος αὖθις τῷ βασιλεῖ παραστὰς σίδηρα βαρέα[16] περιαυχένια περιβάλλεται, καὶ τὰς χεῖρας δεσμευθεὶς ἐν Προικοννήσῳ[17] πέμπεται τέμνειν λίθους, κόρακος σιδηροῦ ἐπικειμένου αὐτοῦ τῷ νώτῳ. Ἐκέλευσε δὲ καὶ τὰς παρθένους τὰ αὐτὰ πονεῖν. Τοῦ δὲ ἁγίου παρερχομένου διὰ Νικαίας, πάντα τὰ ἐν τῷ ἐκεῖσε ναῷ εἴδωλα συνετρίβησαν[18], καὶ αὐτὸς ὁ ναὸς κατέπεσε καὶ μεγάλα θαυμάσια ἐτελέσθησαν. Πλησίον δὲ γενομένων αὐτῶν τοῦ ποταμοῦ, ὅστις ὀνομάζεται Μαλεών, αἰφνίδιον ἀφανεῖς ἐγένοντο αἱ παρθένοι ἐξ ὀφθαλμῶν αὐτῶν ἔκτοτε καὶ νῦν. Ὁ δὲ μακάριος Φιλέταιρος τὸν χῶρον, ὃς Πωκετὸς[19] καλεῖται, καταλαβών, ἐν ᾧ ὑπῆρχεν ὁ τοῦ Θεοῦ θεράπων Εὐβίωτος, καὶ παρ' αὐτῷ μείνας ἑπτὰ ἡμέρας[20] ἐτελειώθη ἐν Κυρίῳ. Ἐπίστευσε δὲ καὶ ὁ κόμης καὶ οἱ αὐτοῦ ἑταῖροι· καὶ βαπτισθέντες καὶ τὰ ἐκεῖσε συντρίψαντες[21] εἴδωλα, μετὰ ἕνδεκα ἡμέρας τῆς κοιμήσεως αὐτοῦ ἐν εἰρήνῃ τῷ Θεῷ τὰ πνεύματα αὐτῶν παρατίθενται.

1. — [1] ὁ ἅγιος Πατρίκιος *add.* D. — [2] προβαλλόμενος S. — [3] ἡμῶν *add.* D. — [4] ἔκτισιν S, τὴν κ. D. — [5] ἐνέμιξεν D. — [6] τῶν οὐρανῶν D. — [7] τοῦτο S. — [8] μέων D. — [9] τῷ S. — [10] καὶ *add.* D. — [11] (τῶν πρ.) τὴν κεφαλὴν ἀπετμήθη D. — [12] αὐτοῦ D. — [13] τῷ ὄντι *add.* D.

2. — [1] Ἀκολούθου Mc. — [2] *om.* Mc. — [3] δὲ *add.* Mc. — [4] πρ. τῷ ἡγεμόνι Ἀ. Mc.

3. — [1] Φιλετέρου D. — [2] Ταττιανοῦ S. — [3] (ἀνὴρ - χρυσοῦν) *om.* D. — [4] αὐτῷ *add.* D. — [5] βάλλεται D. — [6] *om.* D. — [7] καὶ *add.* D. — [8] εὑρεθεὶς D. — [9] Μ. δὲ τὴν βασιλείαν μετὰ τ. μ. Δ. D. — [10] τὸν ἅγιον D. — [11] πάντων δὲ τῶν βασάνων D. — [12] συντρίβεται D. — [13] ἐποίησεν D. — [14] εἰς Χριστὸν D. — [15] παρατίθεται D. — [16] βαρεία D. — [17] Προικονίσῳ D. — [18] συνετρίβη D. — [19] ποκετὸς D. — [20] ἡμ. ἑπτὰ D. — [21] συντρίψαντος S.

Mai 19. SYNAXARIA SELECTA. **H** : 1. 2 (Φιλεόρτου). — **P** : 1. 2 (Ἀκολούθου). — **D** : 1. 3 (Φιλετέρου). — Τοῦ ἁγίου μάρτυρος Φιλεόρτου. — **Da** : 1. 3. 2. — **Db** : 2. — **K** : 1. 3. 2. — **N** : 1. 2. 3. — **Bb** : 1. 2. — **Bc** : 1. 2. 3. — **C** : 1. 2 (Κολλόθου). — 3 (Φιλαρέτου). — **Ce** : 1. 3 (Φιλαρέτου). — **Cg** : 1. 2 (Κολλούθου). — 3 (Φιλαρέτου). — **R** : 1. 3. 2 (Ἀκολούθου). — **Ra** : 1. — Ἀσκλᾶ (Mai 20²). — Μάρκου τοῦ ἐρημίτου (cf. Sept. 28²). — Θαλασσίου (Mai 20³). — Νικοστράτου (Mai 20⁴). — Ἀντιόχου (Mai 20⁵). — **Rb** : 1. 3. — **Rc** : 1. 2. — **Mc** : 1. 2. 3 : Κυριακὴ π. τ. ... Θεοτίμα ξ. τ. — **Mv** : 1. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ΄.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θαλελαίου. Οὗτος ἦν ἐπὶ Νουμεριανοῦ τοῦ βασιλέως, ὁρμώμενος ἐκ τοῦ Λιβάνου, πατρὸς Βεροκκίου[1] καὶ Ῥωμυλίας μητρός[2]. Ἐν μελέτῃ δὲ γενόμενος τῆς ἰατρικῆς τέχνης[3], συνεσχέθη ἐν Ἀναζαρβῷ τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας ἐν ἐλαιῶνι κρυπτόμενος, καὶ προσάγεται Θεοδώρῳ τῷ ἄρχοντι[4], ὅς, μὴ πειθομένου[5] αὐτοῦ θῦσαι τοῖς εἰδώλοις, προσέταξε τρυπηθῆναι τοὺς ἀστραγάλους αὐτοῦ καὶ σχοινίοις κατὰ κεφαλῆς ἀναρτηθῆναι αὐτόν. Τοῦτο οὖν δόξαντες[6] οἱ ὑπηρέται ποιεῖν, ἔκ τινος θείας δυνάμεως τὰς φρένας ἀλλοιωθέντες, ξύλον ἀντὶ τοῦ ἁγίου τρυπήσαντες ἀπῃώρησαν. Τύπτονται οὖν ὡς κατὰ τοῦ ἄρχοντος παίξαντες· δύο δὲ ἐξ αὐτῶν Ἀλέξανδρος[7] καὶ Ἀστέριος[8] τὸ παράδοξον ἰδόντες, ἐπίστευσαν τῷ Χριστῷ καὶ τὰς κεφαλὰς ἀποτέμνονται[9]. Ἀπορηθεὶς δὲ[10] ὁ ἡγεμὼν ἐπεχείρησε δι' ἑαυτοῦ τοὺς ἀστραγάλους τρυπῆσαι τοῦ ἁγίου· καὶ ἐν ᾧ ἔμελλε τοῦ θρόνου ἐξαναστῆναι, ἐκολλήθη ὁ θρόνος[11] τοῖς ὀπίσω[12] αὐτοῦ καὶ οὐκ ἠδύνατο ἐξαναστῆναι[13]. Ὃν κατοικτειρήσας ὁ ἅγιος[14] καὶ προσευξάμενος, διαστῆναι ἐξ αὐτοῦ τὸν θρόνον ἐποίησε. Ἐπὶ δὲ τοιούτῳ θαύματι πολλῶν |
f. 222v. τῷ Χριστῷ πιστευσάντων, ἔμεινεν ὁ τύραννος πεπωρωμένος τῇ ἀπιστίᾳ· καὶ πάλιν ἐπεχείρησε τοῦ[15] διατρυπῆσαι[16] τοὺς ἀστραγάλους τοῦ ἁγίου, καὶ εὐθέως αἱ χεῖρες αὐτοῦ ἐξηράνθησαν[17]. Εἶτα τυχὼν διὰ τοῦ ἁγίου αὖθις ἰάσεως, ἐκέλευσεν αὐτὸν ῥιφῆναι ἐν τῇ θαλάσσῃ· ἐξ ἧς ἐξῆλθεν[18] ἀβλαβής, λευκὴν ἐσθῆτα φορῶν. Μετὰ ταῦτα θηρίοις ἐν τῷ σταδίῳ ἀφίεται· καὶ ἀλώβητος διαμείνας ἐν Ἐδέσῃ[19] τῆς[20] Αἰγαίων πόλεως ξίφει τὴν κεφαλὴν ἀποτέμνεται. Τελεῖται ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι ἔνδον τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου. Mai 20.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀσκλᾶ. Οὗτος ἦν ἐκ Θηβαΐδος τῆς Αἰγύπτου. Καὶ διὰ τὴν εἰς Χριστὸν πίστιν διαβληθεὶς ἄγεται πρὸς Ἀρριανὸν τὸν ἡγεμόνα· καὶ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσας, κρεμασθεὶς ξέεται τὰς πλευρὰς[1] καὶ ἐν[2] τῇ φυλακῇ τίθεται. Τοῦ δὲ ἡγεμόνος πλοίῳ παρερχομένου[3] τὸν ποταμόν, προσηύξατο ὁ ἅγιος μὴ ἐξελθεῖν αὐτὸν ἐπὶ τὴν ξηράν, πρὶν ἂν ἐγγράφως ὁμολογήσει τὴν θεότητα τοῦ Χριστοῦ[4]. Ἐπεὶ οὖν[2] κατεσχέθη, γνοὺς ὁ ἅγιος ἀποστέλλει πρὸς αὐτὸν μὴ ἂν ἄλλως λέγων δύνασθαι αὐτὸν[5] ἐπὶ τῆς ξηρᾶς ἐξελθεῖν[6], εἰ μὴ ἐγγράφως τὸν Χριστὸν ὁμολογήσει Θεόν. Ὁ δὲ αἰτήσας χάρτην, γράφει μέγαν εἶναι τὸν τῶν χριστιανῶν Θεὸν καὶ πλὴν αὐτοῦ μὴ εἶναι ἕτερον. Καὶ εὐθέως τοῦ πλοίου πρὸς τὴν γῆν εὐθυπορήσαντος, ἐξελθὼν[7] ἄγει τὸν ἅγιον[8] καὶ λαμπάσι πυρὸς καταφλέγει αὐτοῦ τὰς[9] πλευράς· εἶτα λίθῳ προσδήσας ἐμβάλλει ἐν[2] τῷ ποταμῷ· ἐν ᾧ καὶ τὸν στέφανον τῆς εἰς Χριστὸν ὁμολογίας ἐδέξατο[10].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θαλασσίου[1].

4. Καὶ τοῦ ἁγίου μάρτυρος Νικοστράτου.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Ἀντιόχου συναθλητοῦ τοῦ ἁγίου μάρτυρος Προκοπίου.

6. Καὶ τὰ ἐγκαίνια τοῦ εὐκτηρίου τῶν ἁγίων πάντων ἐν τῷ ξενῶνι τῶν Εὐβούλου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ΄.

1. Μνήμη τῶν ἐν εὐσεβεῖ τῇ λήξει γενομένων πρώτων βασιλέων ἡμῶν Κωνσταντίνου καὶ Ἑλένης. Οὗτος ὁ μακάριος καὶ ἀοίδιμος[1] ἐν βασιλεῦσι Κωνσταντῖνος υἱὸς γέγονε Κώνσταντος τοῦ Χλωροῦ καὶ Ἑλένης τῆς τιμίας. Ὁ γὰρ Κώνστας θυγατριδοῦς γέγονε Κλαυδίου τοῦ προβε- Mai 21.

1. — [1] Βεροκίου Mc. — [2] μητρὸς Ῥ. Mc. — [3] τῆς ἰατρικῆς ἐπιστήμης γενόμενος Mc. — [4] καὶ τῷ ἀρχ. Θ. προσάγεται Mc. — [5] πειθόμενος Mc. — [6] μέλλοντες Mc. — [7] Ἀστέριος Mc. — [8] Ἀλέξανδρος Mc. — [9] ἀπετμήθησαν Mc. — [10] ἀπορήσας οὖν Mc. — [11] ἐκωλήθη ὁ θ. S, ὁ θρόνος ἐκ. Mc. — [12] ὀπισθίοις Mc. — [13] στῆναι Mc. — [14] ὁ ἅγ. κατ. Mc. — [15] *om.* Mc. — [16] τρυπῆσαι Mc. — [17] ἐξ. αἱ χ. αὐτοῦ Mc. — [18] ὁ ἅγιος *add.* Mc. — [19] Ἐδέσσῃ Mc. — [20] τῶν Mc.

2. — [1] τὰς πλ. ξ. κρεμασθεὶς Mc. — [2] *om.* Mc. — [3] παρερχομένῳ Mc. — [4] τὴν θ. τ. Χ. ὁμολογήσῃ καὶ Mc. — [5] δ. α. λέγων Mc. — [6] τὴν ξηρὰν ἐλθεῖν Mc. — [7] ἐξελθεῖν S. — [8] τὸν ἅγ. ἄγει Mc. — [9] τὰς τούτου Mc. — [10] ἐν ᾧ καὶ τὸν μ. ἐδ. στέφανον Mc.

3. — [1] ὁ ὅσιος Θ. ἐν εἰρήνῃ τ. Mc.

1. — [1] τῶν ἁγ. καὶ θεοσέπτων μεγάλων β. Κ. καὶ Ἑ. ὁ μέγας καὶ μακάριος οὗτος Mc.

SYNAXARIA SELECTA. **H** : 1. 2. — Μάρκου ἐρημίτου (cf. Sept. 28²). — 3. 6. — **P** : 1. 2. — Μάρκου. — 3. 6. — **D** : 1. 2. — Μάρκου τοῦ ἐρημίτου. — 3. 6. — **Da** : 1. 2. — Μάρκου. — 3. 6. 4 et 5 : Νικοστράτου Ἀντιοχίας συναθλητοῦ τοῦ ἁγίου μάρτυρος Προκοπίου. — **Db** : 1. 2. — **K** : 1. 2. — Μάρκου. — 3. 4. 5. — **N** : 1. 2. 3. — **Bb** : Φιλεταίρου (Mai 19³). — **Bc** : 1. 2 (Ἀσκάλωνος). — **C** : 1. 2. — **Ce** : 1. 2 (Ῥοσακλᾶ). — **Cg** : 1. 2. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — Μάρκου. — 3. 4. 5. — Σοφίης τῆς ἰητρίνης. — Τοῦ ἁγίου μάρτυρος Μαρκέλλου καὶ Κοδράτου (Mai 22⁴). — Ἀλφαίου ἀδελφοῦ τοῦ Κυρίου καὶ τῶν υἱῶν αὐτοῦ (Mai 26⁴). — Ἰουδᾶ τοῦ Ζηλωτοῦ (Mai 22²). — Ἀβερκίου καὶ Ἑλένης (Mai 26⁵). — Κρίσκεντος, Παύλου καὶ Διοσκορίδους (Mai 28²). — Ναταλίου καὶ Σαλωνᾶ Ῥωμαίων (Mai 28³). — Ἄθλησις τῆς ἁγίας μάρτυρος Σελικονίδους (Mai 28¹). — **Rc** : 1. — **Mc** : 1. 2. — Οἱ ἀπὸ δημίων Ἀστέριος καὶ Ἀλέξανδρος ξ. τ. — 3. — Μάρκος ὁ ἀναχωρητὴς ἐν εἰρήνῃ τ. — **Mv** : 1. — **Mr** : 1. Mai 20.

SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Τοῦ ἁγίου μάρτυρος Μάρκου τοῦ μετὰ τῶν ἁγίων Καλυτηνῶν[1] (Sept. 28²). — Καὶ τοῦ ἁγίου Ἡρακλείου. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : Mai 21.

[1] Καλυτνίου P.

Mai 21. βασιλευκότος ἐν τῇ[2] Ῥώμῃ πρὸ τῆς τοῦ[2] Διοκλητιανοῦ καὶ Καρίνου βασιλείας. Οὗτος ὁ Κώνστας παρὰ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τοῦ Ἑρκουλίου προσληφθεὶς | [f. 223] αὐτῶν κοινωνὸς εἶναι τῆς βασιλείας μετὰ Μαξιμιανοῦ τοῦ Γαλερίου[3], τῶν ἄλλων[4] ἁπάντων[5] τὸν κατὰ τῶν χριστιανῶν διωγμὸν σφοδρῶς ἀναρριπιζόντων, μόνος οὗτος πραότητι καὶ συμπαθείᾳ χρώμενος, μᾶλλον τοῖς ὑπὲρ τῆς τοῦ Χριστοῦ πίστεως ἀγωνιζομένοις ἐχρῆτο καὶ συμβούλοις[6] καὶ κοινωνοῖς τῶν βασιλικῶν πραγμάτων[7]. Οὗτος καὶ Κωνσταντῖνον τὸν ἀγαπητὸν υἱόν, τὸν μετὰ ταῦτα πρῶτον τοῖς χριστιανοῖς χρηματίσαντα βασιλέα, τὴν εὐσέβειαν διδάξας διάδοχον τῆς ἑαυτοῦ βασιλείας κατέλιπεν ἐν[8] ταῖς Βρεττανικαῖς νήσοις· καὶ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ ἐβασίλευσε κατὰ τὸ πεντακισχιλιοστὸν ὀκτακοσιοστὸν ὀκτωκαιδέκατον ἔτος ἀπὸ κτίσεως κόσμου, ἀπὸ δὲ τῆς ἐν σαρκὶ ἐπιδημίας τοῦ σωτῆρος ἡμῶν Θεοῦ τριακοσιοστὸν ὀκτωκαιδέκατον, τριακοστὸς δεύτερος βασιλεὺς ἀπὸ Αὐγούστου γενόμενος[9]. Ὃς ἀναμαθὼν τὰ κατὰ τὴν Ῥώμην γινόμενα[10] ἔτι ὢν ἐν Βρεττανίαις παρὰ Μαξεντίου τοῦ υἱοῦ Ἑρκουλίου ἔκπτυστα[11] καὶ ἀποτρόπαια καὶ ἐναγῆ καὶ[2] βέβηλα[2], ζήλῳ θείῳ κινούμενος ὥρμησε κατ' αὐτοῦ, τὸν Χριστὸν ἐπικαλεσάμενος σύμμαχον· ἄνωθεν τὴν προσαγωγὴν κατὰ Παῦλον τὸν μέγαν τῆς πίστεως ἔσχηκεν[12]. Οὗπερ ἰδὼν ὁ Θεὸς τὸ καθαρὸν τῆς ψυχῆς, πρῶτον μὲν κατὰ τοὺς ὕπνους αὐτῷ ἐνεφάνισεν ἑαυτόν, ἔπειτα κατὰ τὸ μέσον τῆς ἡμέρας δι' ἀστέρων τὸ σημεῖον τοῦ σταυροῦ ἐγχαράξας γεγραμμένον, ἐξενεχθείσης αὐτῷ φωνῆς[13] « Ἐν τούτῳ νίκα. » Καὶ μετὰ τὴν κλῆσιν εὐθὺς διενοήθη ἡ τοῦ καλέσαντος ἀξία· πάλιν αὐτῷ τε καὶ τοῖς ἀξίοις ὁ φιλάνθρωπος Θεὸς ἐμφανίσαι ἠξίωσε[14]. Διὸ θαρρήσας τῷ τύπῳ τοῦ τιμίου σταυροῦ ὁπλοποιήσας τε[15] αὐτὸν διὰ χρυσοῦ, ἀνελθὼν[16] ἐν τῇ Ῥώμῃ αὐτόν τε τὸν ἀλιτήριον Μαξέντιον κατέβαλεν ἐν τῷ ποταμῷ Τιβέρει ἀποπνιγέντα παρὰ τὴν Μουλβίαν[17] γέφυραν[18], καὶ τοὺς Ῥωμαίων πολίτας τῆς τούτου τυραννίδος ἠλευθέρωσε. Οὕτω τε ἀπάρας ἀπὸ τῆς Ῥωμαίων πόλεως, κατὰ τὴν ὁδὸν ἐρχόμενος ἐβουλεύετο[19] κτίσαι πόλιν ἐπὶ τῷ ἰδίῳ ὀνόματι[20]· καὶ οἷον ἀπαρχὴν τῆς αὐτοῦ πίστεως ἀνατίθησι τῷ Θεῷ[21]. Ζητήσας δὲ τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀκρίβειαν, τοὺς πανταχόθεν[22] ἀρχιερεῖς κατὰ τὴν Νίκαιαν ἤθροισε, δι' ὧν ἡ ὀρθόδοξος πίστις ἀνεκηρύχθη καὶ τῷ Πατρὶ ὁμοούσιος ὁ Υἱὸς ἐγνωρίσθη, Ἀρείου καὶ τῶν σὺν αὐτῷ μετὰ τῆς βλασφημίας παραπεμφθέντων τῷ ἀναθέματι. Οὐ μὴν | [f. 223v] ἀλλὰ καὶ τὴν μητέρα αὐτοῦ Ἑλένην κατὰ ζήτησιν τῶν τιμίων ξύλων, ἐν οἷς Χριστὸς ὁ Θεὸς ἡμῶν ἐπάγη σαρκί, ἀποστείλας εἰς τὰ[15] Ἱεροσόλυμα, δι' αὐτῆς ταῦτα ἀνεκομίσατο, τὰ μὲν ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις[23] καταθεμένης, τὰ δὲ πρὸς τὴν βασιλίδα πόλιν ἀναγαγούσης· ἥτις τὴν Κωνσταντινούπολιν καταλαβοῦσα τὸν βίον κατέλυσεν. Ὁ δὲ μέγας Κωνσταντῖνος ἐγκαινίοις καὶ πανηγύρεσι καὶ περικαλλέσι ναοῖς[24] τὴν πόλιν φαιδρύνας καὶ μικρὸν ἐπιβὰς τοῦ τεσσαρακοστοῦ δευτέρου χρόνου[25], ἐν ᾧ καλῶς τῇ βασιλείᾳ κατῆρξε[26], τῆς κατὰ τῶν Περσῶν ἐγκρατείας ἁψάμενος καὶ ἔν τινι τῶν κατὰ τὴν Νικομήδειαν ἀγρῶν γενόμενος, πρὸς Κύριον ἐκδημεῖ· καὶ πρὸς τὴν αὐτοῦ ἐπανάγεται πόλιν, προπομπαῖς καὶ ὑπαντήσεσι μεγαλοπρεπῶς δεξιούμενος, καὶ ἐν τῷ ἱερῷ σηκῷ τῶν ἁγίων ἀποστόλων, τῷ ὑπ' αὐτοῦ ἀνοικοδομηθέντι[27], ἐναποτίθεται[28]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς[29] μεγάλοις[29], καὶ ἐν τῷ θείῳ αὐτοῦ ναῷ ἐν τῇ κινστέρνῃ τῆς Βώνου, τοῦ πατριάρχου ἐκεῖσε μετὰ τῆς λιτῆς παραγενομένου, τὴν συνήθη λειτουργίαν καὶ θείαν μυσταγωγίαν ἐπιτελοῦντος[30].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Mai 22. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Βασιλίσκου. Οὗτος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ, χωρίου Χουμιάλων τῆς ἐνορίας Ἀμασείας, ἀνεψιὸς τοῦ ἁγίου καὶ ἐν μάρτυσι μεγίστου Θεοδώρου[1] τοῦ τήρωνος. Προαθλήσας δὲ μετὰ τοῦ ἁγίου Εὐτροπίου καὶ Κλεονίκου, οἳ ἦσαν συστρατιῶται τοῦ ἁγίου Θεοδώρου, κατελείφθη ἐν τῇ φυλακῇ, ἐκείνων τὸ ὑπὲρ Χριστοῦ τελειωσάντων μαρτύριον. Ἐπιθυμίαν δὲ ἔχων τὸν τῆς ἀθλήσεως δρόμον τελέσαι καὶ ὑπὲρ τούτου δεόμενος τοῦ Θεοῦ, καταξιοῦται τῆς τοῦ Κυρίου ἐπιφανείας. Καὶ δὴ μετὰ τῶν στρατιωτῶν ἀπελθόντων ἐν τῷ οἴκῳ αὐτοῦ[2], τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς ἀσπασάμενος καὶ τῇ εἰς Χριστὸν πίστει ἐμμένειν αὐτοῖς[3] παραινέσας ὅσον οὔπω συνελήφθη ὑπὸ τῶν ἀποσταλέντων αὐτῷ[4] στρατιωτῶν παρὰ Ἀγρίππα[5] τοῦ ἡγεμόνος· <οἳ[6]> δεσμήσαντες αὐτὸν καὶ κρηπῖδας σιδηρᾶς ἔνδοθεν ἥλοις πεπυκνωμένας[7] ὑποδήσαντες, ἤλαυνον τὴν εὐθὺ Κομάνων ὁδόν. Καταλαβόντες δὲ τὸ χωρίον Δακῶν, ηὐλίσθησαν παρά τινι γυναικὶ καλουμένῃ Τραϊανῇ· καὶ προσεδέθη ὁ ἅγιος πλατάνῳ ξηρᾷ εἰς τοὐπίσω τὰς χεῖρας περιηγμένος· καὶ εὐξάμενος νεοθαλῆ καὶ κομῶ|[f. 224]σαν τὴν πλάτανον ἔδειξεν, καὶ πηγὴ ὕδατος ἐκ τῶν τῆς γῆς ἀνεδόθη λαγόνων, ἔνθα ὁ ἅγιος ἵστατο. Ἰδόντας δὲ τοῦτο τοὺς στρατιώτας ἅμα τῇ γυναικί, παρ' ᾗ κατέλυον, πιστεῦσαί φασιν τῷ Χριστῷ καὶ λῦσαι τὸν ἅγιον τῶν δεσμῶν· καταλαβόντα δὲ αὐτὸν[8] τὴν πόλιν Κόμανα[9] παραστῆναι[10] τῷ ἡγεμόνι, καὶ μὴ πεισθέντα[11] θῦσαι ἀλλὰ διὰ προσευχῆς ἐξ οὐρανοῦ πῦρ καταγαγόντα[12], δι' οὗ ὅ τε τῶν εἰδώλων ναὸς καὶ ἡ[13] ἀνδριὰς τοῦ Ἀπόλλωνος κατεφλέχθη, ἀσχέτῳ θυμῷ ληφθῆναι τὸν ἡγεμόνα καὶ προστάξαι ξίφει τὴν αὐτοῦ ἀποτμηθῆναι κεφαλὴν καὶ ἐν τῷ ποταμῷ τὸ σῶμα αὐτοῦ ῥιφῆναι[14]. Οὗ γενομένου τὸν τῆς μαρτυρίας στέφανον ἀνεδήσατο[15]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι πλησίον τοῦ Στροβιλίου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ἰούδα τοῦ Ζηλωτοῦ.

3. Καὶ τῆς ἁγίας μάρτυρος Σοφίας τῆς ἰατρίνης.

4. Καὶ τῶν ἁγίων μαρτύρων Μαρκέλλου καὶ Κοδράτου.

5. Καὶ μνήμη τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἐν Σοφιαναῖς.

— [2] *om.* Mc. — [3] (οὗτος - Γαλλερίου) καὶ ἦν οὗτος ὁ Κ. κοινωνὸς τῆς βασιλείας Μαξιμιανῷ τῷ καὶ Ἑρκουλίῳ καὶ Διοκλητιανῷ μετὰ Γαλερίου τοῦ Μαξιμιανοῦ Mc. — [4] οὖν *add.* Mc. — [5] βασιλέων *add.* Mc. — [6] τοῖς ὑπὲρ Χ. μᾶλλον ἀγ. συμβ. ἐχρῆτο Mc. — [7] προσταγμάτων Mc. — [8] κατέλιπε τῆς αὐτοῦ βασιλείας διάδοχον Mc. — [9] (καὶ ἐν - γενόμενος) *om.* Mc. — [10] παρὰ Μαξεντίου *add.* Mc. — [11] ἔμπτυστα Mc. — [12] (ἄνωθεν - ἔσχηκεν) *om.* Mc. — [13] (γεγραμμένον - φωνῆς) ἐγγεγραμμένον Mc. — [14] (καὶ μετὰ - ἠξίωσε) *om.* Mc. — [15] *om.* Mc. — [16] καὶ ἐλθὼν Mc. — [17] Βουλβίαν S. — [18] (παρὰ - γέφυραν) *om.* Mc. — [19] ἐβούλετο Mc. — [20] ὑπὸ τοῦ Θεοῦ προτραπεὶς κτίζει τὴν θεοφρούρητον Κωνσταντινούπολιν *in marg.* S. ἐν τῷ Ἰλίῳ ἔνθα τὸν πόλεμον τῶν Τρώων μετὰ τῶν Ἑλλήνων φασὶ γενέσθαι, ὑπὸ δὲ θείου χρησμοῦ κωλύεται, μᾶλλον δὲ ἐν τῷ Βυζαντίῳ ὑπὸ Θεοῦ προτραπεὶς τὴν ἑαυτοῦ πόλιν κτίσαι· διὸ τῷ θείῳ ἐπακολουθήσας θελήματι κτίζει τὴν θεοφρούρητον ταύτην πόλιν ἐπὶ τῷ ἰδίῳ ὀνόματι *add.* Mc. — [21] ἀπ. τῷ Θ. ἀνατ. Mc. — [22] πανταχότι Mc. — [23] ἁγίοις τόποις Mc. — [24] (καὶ π. ν.) *om.* Mc. — [25] ἔτους Mc. — [26] τῆς βασιλείας κατῆρχε Mc. — [27] (τῷ - οἰκοδ.) *om.* Mc. — [28] ἐβασίλευσε δὲ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ κατὰ τὸ πεντακισχιλιοστὸν ὀκτωκαιδέκατον ἔτος ἀπὸ κτίσεως κόσμου ἀπὸ δὲ τῆς ἐν σαρκὶ ἐπιδημίας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τριακοστὸν ὀκτωκαιδέκατον ἔτος· τριακοστὸς δεύτερος βασιλεὺς ἀπὸ Αὐγούστου γενόμενος *add.* Mc. — [29] *om.* Mc. — [30] (κινστέρνῃ - ἐπιτελοῦντος) μονῇ τῆς Κινστέρνης ἐνδόξως ἄγαν καὶ μεγαλοπρεπῶς Mc.

1. — [1] τοῦ μάρτυρος Θ. D.

— [2] (καὶ δὴ - αὐτοῦ) παρεγγυόντος αὐτῷ συντάξασθαι τοὺς οἰκείους καὶ ἐν Κομάνοις γενόμενον μαρτυρεῖν καὶ δὴ μετὰ τῶν στρατιωτῶν ἀπελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ D. — [3] αὐτοὺς D. — [4] *om.* D. — [5] Ἀγρίπα D. — [6] *supplevi, om.* S, D. — [7] πεπυκνωμένους D. — [8] καταλαβόντων δὲ αὐτῶν D. — [9] Κόμαναν S, Κομάνων D. — [10] παραστῆσαι D. — [11] D, πεισθεὶς S. — [12] D, καταγαγόντος S. — [13] ὁ D. — [14] ῥιφῆναι αὐτοῦ D. — [15] (οὗ - ἀνεδήσατο) *om.* D.

Mai 21. 1. — **Bb** : Θαλελαίου (Mai 20[1]). — Ἀσκάλωνος (Mai 20[2]). — Μάρκου τοῦ ἐρημίτου καὶ τῶν λοιπῶν. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Μαξιμιανὸς πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. — **Mv** : 1.

Mai 22. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 4 (Μαρκέλλου). — **P** : 1. 3. 2. — **D** : 1. 2. 3. 4. — **Da** : 1. 3. 4. — **Db** : 1. — Μάρκου τοῦ ἐρημίτου (cf. Sept. 28[2]). — Θαλασσίου (Mai 20[1]). — Τοῦ ὁσίου Νικοστράτου (Mai 20[4]). — Ἀντιόχου συναθλητοῦ τοῦ ἁγίου μάρτυρος Προκοπίου (Mai 20[5]). — 3. 4. — **K** : 1. 3. 4. — **N** : 1. — **Bb** : Κωνσταντίνου καὶ Ἑλένης (Mai 21[1]). — **Bc** : 1. 2. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : deest. — **Ra** : 1. 3. 4. — **Rb** : 1. — **Rc** : Τοῦ ἁγίου Κλήμεντος τοῦ Πισίτου. — 1. — **Mc** : 1 : Βασιλίσκου ἀνεψιοῦ τοῦ ἁγίου Θεοδώρου τοῦ τήρωνος. Κατὰ τοὺς καιροὺς Μαξιμιανοῦ τοῦ βασιλέως, ἀπεστάλη ἐν τῇ ἀνατολῇ κατὰ τῶν χριστιανῶν ἀντὶ Ἀσκληπιοδότου Ἀγρίππας[1]· καὶ φθάσας ἐν Κομάνοις ἐποιεῖτο τὰς ἐξετάσεις. Τότε ὁ ἅγιος Βασιλίσκος ἐγκεκλεισμένος ὢν ἐν τῇ φυλακῇ, ἀπελύθη παρὰ τῶν στρατιωτῶν καὶ ἀπῆλθε σὺν αὐτοῖς ἐν τῷ οἴκῳ, καὶ συνταξάμενος τοῖς προσγενέσιν αὐτοῦ ἅπασι καὶ λόγους εὐσεβείας κατηχήσας, ἔμεινε σὺν αὐτοῖς. Ζητηθέντος δὲ τοῦ ἁγίου καὶ μὴ εὑρεθέντος, παροξυνθεὶς ὁ ἡγεμὼν ἐκέλευσε δυσὶν ἁλύσεσιν αὐτὸν δήσαντες καὶ ὑποδήμασιν ὀξεῖς ἥλους ἔχουσι μετὰ πολλῆς τάσεως καὶ ἐπείξεως παραστῆσαι τῷ δικαστηρίῳ. Οὗ γενομένου καὶ τοῦ ἁγίου βιαίως ἑλκομένου παρὰ τῶν ἀποσταλέντων, οἱ τῶν ὑποδημάτων ἧλοι καὶ ἄχρις αὐτῶν ὀστῶν τοῦ μάρτυρος ἐνεπάγησαν, ὡς καὶ τὴν ὁδὸν ἅπασαν, ἣν διώδευσεν ἑλκόμενος, τῷ αἵματι φοινιχθῆναι. Οἱ καὶ φθάσαντες ἔν τινι χωρίῳ τὸν μὲν ἅγιον ἐν πλατάνῳ ξηρᾷ δήσαντες ἐπὶ δεῖπνον ἐτράπησαν. Ὁ δὲ προσηύξατο καὶ ἡ πλάτανος ἀνεκαινίσθη καὶ παραχρῆμα θάλλουσα ἑωρᾶτο καὶ κομῶσα τοῖς φύλλοις· ἀλλὰ καὶ πηγὴ ὕδατος ἐξῆλθεν ἐκ τῆς ῥίζης αὐτῆς, ἣ καὶ μέχρι τοῦ νῦν ἀέναα βλυστάνει τὰ νάματα. Καὶ σεισμὸς σφοδρὸς γέγονεν, ὥστε ἀναπηδῆσαι πάντας ἐκ τῆς τραπέζης καὶ τοῦ οἰκήματος ἐξελθεῖν καὶ ἰδεῖν τὸ παράδοξον τοῦ θαύματος, τήν τε πηγὴν βρύουσαν καὶ τὸ δένδρον θάλλον. Ἔκθαμβοι οὖν οἱ στρατιῶται γενόμενοι, εὐθέως ἐπίστευσαν τῷ Χριστῷ, καὶ λύσαντες τὸν ἅγιον τρισκαίδεκα ὄντες τὸν ἀριθμὸν καὶ τοὺς ἥλους ἀνασπάσαντες ἐκ τῶν ποδῶν αὐτοῦ, προσπίπτουσιν αὐτῷ βαπτισθῆναι αἰτούμενοι ἅμα τῇ ὑποδεξαμένῃ αὐτοὺς γυναικὶ καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτῆς. Προσήνεγκαν δὲ καὶ ἀσθενεῖς πολλοὺς καὶ δαιμονιῶντας· καὶ πάντας τῇ χάριτι τοῦ Χριστοῦ ἐθεράπευσε καὶ ἐβάπτισε. Παραστάντος δὲ καὶ τῷ ἡγεμόνι τοῦ ἁγίου· « Ἵνα τί, » φησὶ πρὸς αὐτόν, « ἀνόητε, οὐ θύεις τοῖς θεοῖς; » Καὶ ὁ ἅγιος· « Ἐγώ, ὦ ἡγεμών, οὐ » παύσομαι θύειν τῷ Θεῷ. » Περιχαρὴς δὲ γενόμενος ὁ ἄρχων ἐπὶ τούτῳ ἀνέλαβε τὸν ἅγιον ἐκ τῆς χειρὸς καὶ ἀσπασάμενος αὐτὸν ἀπῆλθεν εἰς τὸν ναὸν τῶν εἰδώλων σὺν αὐτῷ. Καὶ τοῦ ἁγίου τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἄραντος καὶ προσευξαμένου, εὐθέως πῦρ ἐξ οὐρανοῦ κατελθὸν ἐνέπρησε τὸν ναὸν καὶ τοὺς ἐν αὐτῷ θεούς, καὶ εἰς λεπτὰ συνέτριψεν. Ἰδὼν δὲ ὁ ἡγεμών, φυγὰς ᾤχετο. Καὶ μετὰ τοῦτο τὸν ἅγιον παραστησάμενός φησιν· « Ἀπονενοημένε καὶ ἱερόσυλε, διὰ τί ἀνθ' ἧς ὤφειλες προσαγαγεῖν » θυσίας τοῖς θεοῖς, ταῖς μυσαραῖς σου γοητείαις ἐνέπρησάς τε τὸν ναὸν καὶ τοὺς θεοὺς ἡμῶν εἰς χοῦν » ἐλέπτυνας; » Ὁ ἅγιος εἶπεν· « Ἃ ἐποίησα οὐκ ἀρνοῦμαι, τὰς χεῖράς μου ἐκτείνας εἰς οὐρανόν, καθὼς » αὐτὸς μαρτυρεῖς, τὸν ἐν οὐρανοῖς ἐπεκαλεσάμην Θεόν. Κἀκεῖθεν πῦρ κατιὸν κατέκαυσε λίθους καὶ » ξύλα καὶ τοὺς θεοὺς ὑμῶν ἐλέπτυνεν εἰς χοῦν, ἵνα μὴ ἀπατᾶσθε. » Ἐπὶ τούτοις ὁ ἄρχων τῷ θυμῷ ὑπερζέσας, ἐκέλευσε ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι, τὸ δὲ σῶμα αὐτοῦ ῥιφῆναι ἐν τῷ ποταμῷ. Καὶ λαβόντες αὐτὸν οἱ στρατιῶται ἐξήγαγον ἔξω τῆς πόλεως καὶ ἀπέτεμον τὴν μακαρίαν αὐτοῦ κεφαλήν. Τινὲς δὲ τῶν χριστιανῶν τριάκοντα χρυσίνους δεδωκότες ἔλαβον τὸ σῶμα τοῦ ἁγίου. Μαρῖνος δὲ ὁ ἐν Κομάνοις εὐσεβέστατος ναὸν ἐκεῖσε ἄξιον τῷ ἁγίῳ δειμάμενος, ἐν αὐτῷ τὸ λείψανον αὐτοῦ πρεπόντως τιμήσας κατέθετο, ἐν ᾧ καὶ ἰάσεις πολλαὶ καὶ θαύματα γίνονται. — Μνήμη τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου τῆς καθελούσης τὸν δυσσεβῆ Μακεδόνιον. — 4 : Μάρκελλος μόλιβδον ζέοντα ποτισθεὶς τ. ... Κοδρᾶτος ὑπὸ ἵππων συρόμενος τ. — **Mv** : 1. — **Mr** : 1.

[1] Ἀγρίππας Mc.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Mai 23. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μιχαὴλ ἐπισκόπου Συνάδων. Οὗτος ὁ ἀγγελώνυμος Μιχαὴλ διὰ βίου τελείου ἑαυτὸν ἐκκαθάρας, ἐκ μητρικῶν ἀγκαλῶν γεγονὼς ἀνάθημα τῷ Θεῷ, ὤφθη ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου· καὶ ὑπ' αὐτοῦ δυναμούμενος, τῶν θεομάχων πᾶσαν κατέσβεσε γλωσσαλγίαν, αἱρετιζόντων ἄθεα στόματα φιμώσας κατὰ τῆς[1] θείας αὐτοῦ[2] μορφώσεως ἀνοιγόμενα. Μὴ φέρων γὰρ τῆς γλώσσης αὐτοῦ ὁ θὴρ ὁ δυσώνυμος τὸ θεῖον ῥεῦμα, ὅτιπερ ἑστὼς ὁ μακάριος ἔμπροσθεν τοῦ βήματος αὐτοῦ οὐ κατεπλάγη τὰς μάστιγας καὶ ἀπειλάς, οὐκ ἐχαυνώθη τὸν νοῦν, ἀλλ' ἐλευθέρᾳ τῇ φωνῇ ἐξεβόησε· « Τὴν » ἄχραντον καὶ θείαν εἰκόνα σέβω καὶ προσκυνῶ » τοῦ σωτῆρος ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ καὶ » τῆς παναγίας αὐτοῦ μητρός· τὸ δὲ σὸν δόγμα » διαπτύω καὶ εἰς οὐδὲν λογίζομαι. » Ὁ δὲ αἰσχύνης ὑποπλησθεὶς καὶ τῷ θυμῷ ὑπερζέσας, ἐξορίᾳ αὐτὸν μακρᾷ καταδικάζει· αὐτὸς δὲ διατηρῶν τὸ κατ' εἰκόνα ἀρρύπωτον καὶ ἀκηλίδωτον καὶ διωκόμενος <εἰς[3]> τόπον ἐκ τόπου, θλίψεις πολλὰς ὑπομείνας καὶ πικρίας, εἰς εὐρύχωρον πλάτος κατήντησε. Οὕτως τὸν δρόμον τελέσας καὶ διπλοῖς στεφάνοις κοσμούμενος, προσετέθη τοῖς ἀρχιερεῦσιν ὁ ἀρχιερεὺς καὶ τοῖς μάρτυσιν ὁ μάρτυς, τὰ γέρα τῶν ἀγώνων ληψόμενος.

f. 224v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Mai 24. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ[1] ἐν τῷ θαυμαστῷ ὄρει. Οὗτος ἦν[2] κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ μεγάλου[3]· γεγέννηται δὲ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἐκ πατρὸς Ἰωάννου ἐξ[4] Ἐδέσης τῆς πόλεως[5] ὁρμωμένου καὶ Μάρθας μητρὸς ἐν αὐτῇ[4] τῇ[4] Ἀντιοχείᾳ τραφείσης. Τὰ δὲ ἐντεῦθεν θαυμαστὰ πάντα τὰ μὲν συμβῆναι τὰ δὲ ποιῆσαι αὐτὸν λέγεται καὶ κρείττονα ἢ κατὰ ἄνθρωπον ἐν γαστρὶ σύλληψις δι' εὐχῆς, καὶ πρὸ τῆς συλλήψεως παρὰ τοῦ Προδρόμου καὶ βαπτιστοῦ μαρτυρίαι, τὴν ἐσομένην τοῦ παιδὸς ἀρετὴν καὶ τελείωσιν τῇ μητρὶ προμηνύοντες[6]· καὶ ὅτι γεννηθεὶς ἀπέσχετο παράπαν[7] τοῦ εὐωνύμου μαστοῦ, τοῦ συμβόλου δηλοῦντος, ὅτι τοσαύτην[8] ἐνέξει[9] τὴν πρὸς τὰ δεξιὰ ὁρμὴν ὁ παῖς καὶ πορείαν καὶ τῆς ἀριστερᾶς καὶ χείρονος ἀμέθεκτον πράξεως· καὶ ὅτι τοῦ ἕκτου τῆς ἡλικίας χρόνου ἐπιβάς, ἐν ᾧ διὰ τὸ ἀτελὲς τῆς αἰσθήσεως ῥᾳθυμεῖν τὸ νέον εἴωθεν καὶ σχολάζειν[10] καὶ πρὸς τὰ τυχόντα ῥᾳδίως ἐκφέρεσθαι, αὐτὸς τῶν ἐν ποσὶ[11] πάντων ὑπεριδὼν τὸ ὄρος κατέλαβε, καὶ εὐθὺς τῷ χρόνῳ συνεθιζόμενος[12] σκληρᾶς ἀγωγῆς καὶ διαίτης ἐλάβετο. Καὶ θεοφανείας συχνὰς ἐθεάσατο καὶ ἀγγελοφανείας, τὸ πρακτέον ὑφηγουμένας καὶ τῇ παραθέσει τῶν ἀμεινόνων τε καὶ χειρόνων τὰ μὲν ἑλεῖν τὰ δὲ προτρεπομένας[13] φυγεῖν. Καὶ ὅτι ἐν σώματι τὰ τοῦ σώματος ὑπερβὰς οὐκέτι ἀνθρωπίνῃ τροφῇ, ἀμβροσίᾳ δὲ οὐρανόθεν[14] χορηγουμένῃ τρεφόμενος μέχρι τῆς ἐν Χριστῷ διήρκεσεν ἀναλήψεως[15]. Ἀλλὰ ταῦτα μὲν καὶ τὸ τῶν θαυμάτων ἄπειρον πλῆθος ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ διεξοδικῶς[16]. Ἐκεῖνο δὲ μόνον ὑποσημήνασθαι[17] ἄξιον, ὅτι ἐν νεαρᾷ τῇ ἡλικίᾳ τὸν κόσμον καταλιπὼν πρῶτον μὲν ἀνεστήλωσεν ἑαυτὸν ἐν τῇ μονῇ, εἰς[18] ἣν ἀπὸ τοῦ ὄρους κατῆλθεν, ἐν ᾧ πρώτως[19] ἐπέβη χρόνους ἕξ, κἀκεῖ[20] ἐπὶ τὸν στῦλον[21] μεταβὰς[22] ἔστη χρόνους δεκαοκτώ· ἐν δὲ τῷ θαυμαστῷ ὄρει γενόμενος ἔν τινι τόπῳ, διὰ ξηρῶν λίθων ἀνεστηκότι[23], διεκαρτέρησεν ἔτη[24] δέκα. Εἰς δὲ τὸν μικρὸν στῦλον ἀναβὰς πέντε καὶ[25] τεσσαράκοντα

1. — [1] τὰς S. — [2] αὐτὰ S. — [3] *om.* S.

1. — [1] τῷ Mc. — [2] ὁ ὅσιος πατὴρ ἡμῶν Σ. *add.* Mc. — [3] πάλαι Mc. — [4] *om.* Mc. — [5] τῆς π. Ἐδέσσης Mc. — [6] προμηνύοντος S, Mc. — [7] πάμπαν Mc. — [8] τοσαῦτον S, σύντομον Mc. — [9] ἕξει Mc. — [10] ἀτελὲς τῆς ἡλικίας τὸ νέον εἴωθε ῥαθυμεῖν Mc. — [11] παισὶ Mc. — [12] τ. χ. σὺν θιζόμενος S, τῆς χρόνῳ ἐθιζομένης Mc. — [13] ἑλεῖν προτρεπομένους τὰ δὲ Mc. — [14] καὶ ἄνωθεν Mc. — [15] ἀναλύσεως Mc. — [16] διεξοδικώτερον Mc. — [17] ἐπισημήνασθαι Mc. — [18] οἷς S. — [19] πρῶτος S. — [20] κἀκεῖθεν Mc. — [21] στῆλον S. — [22] ἀναβὰς Mc. — [23] ὑπερανεστηκότη Mc. — [24] χρόνους Mc. — [25] πρὸς τοῖς Mc.

Mai 23. SYNAXARIA SELECTA. **H** : Μνήμη τῆς ... Θεοτόκου ἐν Σοφιαναῖς (Mai 22[5]). — 1. — **P** : Συμεὼν ἐν τῷ θαυμαστῷ ὄρει (Mai 24[1]). — 1. — **D** : Τῆς παναγίας δεσποίνης ἡμῶν Θεοτόκου ἐν Σοφιαναῖς. — 1 : Μιχαὴλ ἐπισκόπου Συνάδων τοῦ ὁμολογητοῦ. Οὗτος ἐκ μητρικῶν ἀγκαλῶν γεγονὼς ἀνάθημα τῷ Θεῷ καὶ διὰ βίου τελείου ἑαυτὸν ἐκκαθάρας, εἰς τὸν θρόνον Συνάδων ἀνάγεται. Ὃς τῶν θεομάχων πᾶσαν κατασβέσας τὴν γλωσσαλγίαν καὶ ἀνὰ κράτος αὐτοὺς τρεψάμενος, ἔμπροσθεν τοῦ τυραννικοῦ βήματος ἑστὼς τό· « Ἀνάθεμα εἴ τις οὐ προσκυνεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν » εἰκόνι περιγραπτόν » ἐξεβόησεν, καὶ αὐτίκα ὑπερορίᾳ καταδικάζεται· ὅθεν τόπον ἐκ τόπου διαμείβων καὶ διπλοῖς στεφάνοις κοσμηθεὶς πρὸς Κύριον ἐξεδήμησεν, τὸν καλὸν δρόμον τελέσας. — **Da** : 1. — **Db** : 1. — Συμεών. — **K** : 1. — **N** : Μελετίου τοῦ στρατηλάτου (Mai 24[2]). — 1. — **Bb** : Βασιλίσκου (Mai 22[1]). — Ἰούδα (Mai 22[2]). — **Bc** : Συμεών. — 1. — **C** : Συμεών. — 1. — **Ce** : Θεοτόκου ἐν Σοφιαναῖς. — Συμεών. — 1. — **Cg** : Συμεών. — 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Ἰωάννου τοῦ Ψυχαΐτου (Mai 24[3]). — Ἡ ἁγία μυροφόρος Μαρία ἐν εἰρήνῃ τ. — Σαλωνᾶς ξ. τ. — Σέλευκος πρίονι τμηθεὶς τ. — **Mv** : 1. — **Mr** : 1.

Mai 24. SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2. — **D** : 1. 3. 2. — **Da** : 1. 3. 2. — **Db** : 3. 2. — **K** : 1. 3. 2. — **N** : 1. 3. — **Bb** : 1. — Μιχαὴλ ἐπισκόπου Συνάδων (Mai 23[1]). — **Bc** : 2 (Μελετίου κτλ. ... Σαραπίωνος καὶ τῶν σὺν αὐτῷ). — **C** : 2 (Μελετίου κτλ. — Σαραπίωνος κτλ. — 1 (in marg. : Ζήτει τὸ

διήνυσε χρόνους[26], ὡς εἶναι τὸν σύμπαντα χρόνον τῆς αὐτοῦ βιοτῆς ἔτη πέντε καὶ ὀγδοήκοντα, τούτων δὲ αὐτῶν τὰ ἐννέα καὶ ἑβδομήκοντα τῇ ὑπὲρ ἄνθρωπον διατελέσας ἀσκήσει καὶ καρτερίᾳ· καὶ f. 225. ἀναπαυσάμενος πρὸς τὴν τῶν | ἀγγέλων μετετάξατο δόξαν τε καὶ κατάστασιν[27].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ[1] Χριστοῦ[1] μαρτύρων Μελετίου τοῦ στρατηλάτου καὶ Ἰωάννου καὶ Στεφάνου κομήτων[2] καὶ τοῦ πλήθους τῶν[3] σὺν αὐτοῖς μαρτυρησάντων[1] μυρίων χιλίων διακοσίων ὀκτὼ σὺν γυναιξὶ καὶ τέκνοις[4]. Οὗτοι οἱ ἅγιοι[5] ὑπῆρχον κατὰ τοὺς χρόνους Ἀντωνίνου τοῦ βασιλέως[6]. Ὁ δὲ τρόπος τῆς ὑπὲρ Χριστοῦ αὐτῶν[7] μαρτυρίας[8] γέγονεν οὕτως· τὴν μέλλουσαν ὡς ἔοικεν καταστροφὴν αὐτῶν καὶ ἐξουδένωσιν ἤδη ἐγγίζουσαν οἱ δαίμονες προορῶντες καὶ ταύτην ἔσεσθαι διὰ τοῦ ἁγίου Μελετίου ἀνδρὸς περιφανοῦς καὶ διαφερόντως τῆς κατὰ Χριστὸν εὐσεβείας ἐξηρτημένου ὑπειληφότες[9], πρὸς ἀλλήλους ἀπωλοφύροντο, ὁ μὲν λέγων εἰς[10] ὕψος ἀναβὰς ἀγγέλους ἰδεῖν πεμπομένους πρὸς τοῦ ἀρχιστρατήγου Μιχαὴλ καὶ διεξιόντας[11] πρὸς αὐτοὺς ἀκοῦσαι ἀπελθεῖν πρὸς Μελέτιον τὸν στρατηλάτην ἀντιλαβέσθαι αὐτοῦ εἰς τὸν κατὰ τῶν ἐχθρῶν πόλεμον καὶ αὐτὸν καὶ τοὺς σὺν αὐτῷ διασώσασθαι· ὁ δὲ ἄλλος[12] ἄλλο τι, δι' ὧν ἐδηλοῦτο ἡ ταχινὴ αὐτῶν καθαίρεσις καὶ ἀπώλεια· πάντας[13] δὲ τὸν ὄλεθρον[14] αὐτῶν[15] σημαίνειν καὶ τὸ μηκέτι δύνασθαι τοῖς γλυπτοῖς καὶ ξοάνοις καὶ χαλκοτύποις σχήμασι παραμένειν ἤδη συντριβησομένοις[16] ὑπὸ Μελετίου, εἰ μή τις ἔσται παρ' ἡμῶν ἀλκὴ καὶ βοήθεια, τὰς τοῦ Μελετίου παρατάξεις καὶ ἐνέδρας συγκόπτουσα· ὅθεν ὑποδύντες εἰς κύνας κατὰ[17] τῶν παριόντων ἐχώρουν. Τοῦτο δὲ ὁ ἅγιος Μελέτιος γνοὺς λαβὼν μεθ' ἑαυτοῦ στρατιώτας καὶ συνεργοὺς ἔχων ἀγγέλους, τοὺς κύνας ἐνέκρωσεν, ὧν οἱ δαίμονες ὑπέδυσαν τὰς μορφάς· καὶ τούτων ἀναρρήξαντες τὰς γαστέρας ἐμφανεῖς[18] κατέστησαν πᾶσιν τὰς ἐν αὐτοῖς[19] κρυπτομένας τῶν δαιμόνων μορφὰς ἐν σχήματι ἀσπίδων καὶ ὄφεων, ὧν[20] τοὺς τύπους ὑπέδυσαν. Ἀλλὰ καὶ τὰ ἐν τῷ ναῷ τῶν ἀσεβῶν ἐνιδρυμένα ξόανα καὶ γλυπτὰ πάντα διὰ προσευχῆς ὁ ἅγιος κατέβαλε Μελέτιος. Τούτου δὲ γενομένου, ὁ ἡγεμὼν Μάξιμος ἀποστείλας στρατιώτας, κατέσχεν αὐτὸν καὶ τοὺς σὺν αὐτῷ. Καὶ ἐπεὶ προσήχθησαν τῷ ἡγεμόνι καὶ θῦσαι τοῖς εἰδώλοις προτραπέντες οὐκ ἐπείσθησαν, πρῶτον μὲν ξύλοις σκληροῖς τύπτονται ἐπὶ ὥρας ἱκανάς, εἶτα ξέονται τὰς πλευρὰς καὶ σιδηραῖς σφύραις τοὺς ἀστραγάλους πλήσσονται καὶ καθηλοῦνται ξύλοις τοὺς πόδας. Τὸ δὲ ὄμμα πρὸς τὸν Κύριον ἔχοντες καὶ τῶν πληγῶν | μὴ δοκοῦντες αἰσθάνεσθαι[21], ὀγκίνοις τὰς πλευρὰς διορύττονται[22] καὶ πάλιν σιδηραῖς σφύραις τοὺς ἀστραγάλους πλήσσονται· εἶτα τὰ μέτωπα τύπτονται, ἐν οἷς τὴν τοῦ Χριστοῦ[23] σφραγῖδα ἐποίουν. Πολλὰς δὲ καὶ ἄλλας ὑποστάντες βασάνους, ὧν ἑκάστη ἀφόρητον εἶχε τὴν ἀλγηδόνα καὶ τὸν πάσχοντα κατήπειγε πρὸς τὸν θάνατον, ὁ μὲν ἅγιος Μελέτιος ἐν πεύκῃ κρεμασθεὶς καὶ καθηλωθεὶς τέλος τῶν καμάτων εὗρε καὶ ἀρχήν, πέρας μὴ ἔχουσαν τῆς ἐν Χριστῷ δόξης καὶ ἀναπαύσεως· Στέφανος δὲ καὶ Ἰωάννης τὰς κεφαλὰς ἀποτέμνονται. Σαραπίων δὲ ὁ ἐξ Αἰγύπτου ἄρτι[20] παραγενόμενος[24] καὶ πιστεύσας τῷ Χριστῷ διὰ τὰ παρὰ τῶν ἁγίων γενόμενα θαύματα καὶ βαπτισθεὶς καὶ ὑπὸ ἀγγέλου τὴν χειροτονίαν δεξάμενος τοῦ ἐπισκόπου[25], ἅμα[26] Καλλινίκῳ τῷ μάγῳ, ὃς κατὰ τοῦ ἁγίου κεράσας φάρμακα θανατῶσαι αὐτὸν οὐκ ἴσχυσε καὶ διὰ τοῦτο ἐπίστευσε τῷ Χριστῷ, ἀφαιροῦνται ξίφει τὰς κεφαλάς. Ὁ δὲ Φῆστος[27] καὶ Φαῦστος καὶ Μάρκελλος καὶ Θεόδωρος, Μελετίων τε[28] καὶ Σέργιος καὶ Μαρκελλῖνος καὶ Φῆλιξ[29] καὶ Φωτεινὸς καὶ Θεοδωρίσκος καὶ Μερκούριος καὶ Δίδυμος[30], ὧν οἱ μὲν ἦσαν κόμητες, οἱ δὲ τριβοῦνοι, οἱ δὲ πρίγκιπες, ἐν καμίνῳ βληθέντες τὸν μαρτυρικὸν ἐκομίσαντο στέφανον. Οἱ δὲ σὺν τῷ ἁγίῳ Μελετίῳ στρατιῶται[31] τὰς κεφαλὰς ἀπετμήθησαν. Σωσάννα δὲ καὶ Μαρκιανὴ καὶ Παλλαδία[32] αἱ τῶν ἁγίων μαρτύρων γυναῖκες[33] μετὰ τῶν νηπίων αὐτῶν ξύλοις, προστάξαντος τοῦ ἡγεμόνος, παρὰ τῶν δημίων συνεκόπησαν· οἳ εὐθέως μετὰ τὴν <εἰς[34]> αὐτὰς παρανομίαν ἀποψῦξαι λέγονται. Ἀλλὰ καὶ Κυριακὸς καὶ Χριστιανὸς οὕτω καλούμενος ἐν[20] πάνυ μικρᾷ τῇ ἡλικίᾳ καὶ ἀτελεῖ παρὰ τοῦ ἡγεμόνος ἐρωτηθέντες, τίς ἐστι τῶν θεῶν μείζων, ὁ Ζεὺς ἢ ὁ Χριστός, καὶ τὸν Χριστὸν εἰπόντες[35], τὰς κεφαλὰς ἀπετμήθησαν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Πλάτωνος, τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Ἰωάννου τοῦ Ψυχαΐτου[1]. Οὗτος ὁ[2] μακάριος[2] Ἰωάννου καὶ Ἡλιοῦ[3] ἐκ νηπίου[4] τοὺς τρόπους μιμρύμενος, ἄκρᾳ σκληραγωγίᾳ τὸν βίον ἑαυτοῦ[5] ῥυθμίσας, τοὺς πολέμους τῶν δαιμόνων ἐνίκησεν ἀνδρικώτατα ταῖς τῶν δακρύων πηγαῖς τὴν | ψυχὴν προκαθαρθεὶς καὶ f. 226.

— [26] χρ. δ. Mc. — [27] (τούτων - κατάστασιν) τῇ ὑπὲρ ἄνθρωπον οὖν ἐγκαρτερήσας διὰ τέλους ἀσκήσει καὶ πολιτείᾳ πρὸς τὴν ὑπερκόσμιον ζωὴν μετετάξατο Mc.

2. — [1] *om.* D. — [2] κόμητος D. — [3] τοῦ D. — [4] παιδίοις D. — [5] ὁ ἅγιος Σ. καὶ Μ. καὶ Ἰ. D. — [6] ἐκ τῆς Γαλατῶν χώρας ὁρμώμενοι *add.* D. — [7] *om.* D. — [8] αὐτῶν *add.* D. — [9] νομήσαντες D. — [10] τὸ *add.* D. — [11] διεξιόντος S. — [12] οἱ δὲ ἄλλοι D. — [13] D, πάντα S. — [14] *om.* D. — [15] ἑαυτῶν D. — [16] συντριβομέναις D. — [17] κὰ S. — [18] ἐμφανῆ D. — [19] αὐταῖς D. — [20] *om.* D. — [21] αἰθάνεσθαι D. — [22] διορύττοντες S. — [23] σταυροῦ D. — [24] ἐλθὼν D. — [25] τ. ἐ. δ. D. — [26] τῷ *add.* D. — [27] Φίστος S. — [28] καὶ Μ. D. — [29] Φίληξ S, Φίλιξ D. — [30] Δύδιμος S. — [31] πάντες *add.* D. — [32] Παλαδία S, D. — [33] γαμεταὶ D. — [34] D, *om.* S. — [35] ἐπειπόντες D.

3. — [1] Ψηχαήτου D. — [2] *om.* D. — [3] Ἰ. καὶ Ἡ. *om.* D. — [4] Ἰ. καὶ Ἡ. *hic add.* D. — [5] αὐτοῦ D.

συναξάριον τοῦ ἁγίου Συμεὼν εἰς κγ' τοῦ αὐτοῦ μηνός). — Ἀγριππίνης. — Θεράποντος (Mai 26[3]). — Mai 24.
Ce : 2. — **Cg** : 2. — Θεράποντος (Mai 26[2]). — Θεράποντος (Mai 26[3]). — **R** : 1. 3. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 2 (Ἰωάννου, Στεφάνου, Σεραπίωνος, Καλλινίκου κομήτων καὶ τριβούνων ιβ', γυναικῶν τριῶν Μαρκιανῆς, Παλλαδίας καὶ Σωσάννης καὶ νηπίων δύο καὶ τοῦ λοιποῦ

Mai 24. παννύχοις[6] στάσεσι τὸν Θεὸν ἱλασκόμενος καὶ ἰκμάδας[7] προχέων δακρύων, ποταμοὺς ἐξήρανε τῶν αἱρέσεων· τοῦ Χριστοῦ[8] τὸ ὁμοίωμα προσκυνῶν ὡς σεβάσμιον καὶ τῶν ἀσεβῶν τὰ βουλεύματα καταστρεψάμενος ἠρίστευσεν[9], ἐξορίας πικρὰς καὶ φυλακὰς καρτερῶς ὑπομείνας[10] καὶ νόμων[11] προϊστάμενος καὶ[12] πατρικῶν[13] παραδόσεων, νόμων[14] βασιλικῶν κατέπτυσεν· ὅθεν καὶ[15] ἀθλήσας καρτερῶς καὶ αὐτὸς τὸν ἶσον τοῖς ἁγίοις ἀγῶνα[16], ὁμοίως καὶ τὸν στέφανον ἤρατο[17], νοσούντων σώματα καὶ ψυχὰς θεραπεύων, ὡς τῶν θαυμάτων τὴν χάριν ἐκ Θεοῦ δεξάμενος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ΄.

Mai 25. **1.** Ἡ τρίτη εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου, ἥτις πρὸ πολλοῦ ἀποκρυβεῖσα νῦν ἀνεδόθη ἐκ τῶν τῆς γῆς κόλπων ὡς χρυσὸς ἐκ μετάλλων, οὐ στάμνῳ συγκλειομένη ὡς τὸ πρότερον, ἀργυρέῳ δὲ σκεύει καὶ ἐν[1] ἱερῷ τόπῳ κειμένη καὶ δι᾽ ἱερουργοῦ μηνυθεῖσα. Ταύτην οὖν ἐκ Κομάνων κομισθεῖσαν ἡ περιφανὴς τῶν πόλεων ἅμα τῷ πιστοτάτῳ βασιλεῖ καὶ ποιμενάρχῃ σὺν τῷ πιστῷ λαῷ ἀσμενέστατα δέχεται καὶ πιστῶς προσκυνήσασα ἐν ἱερῷ τόπῳ ἀποτίθεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Παγχαρίου. Ὃς ἐγένετο τῆς Ῥωμαίων πόλεως γέννημα καὶ θρέμμα, εὐσεβῶν καὶ πιστῶν γονέων υἱός. Τιμώμενος δὲ παρὰ πολὺ ταῖς πρώταις τιμαῖς παρὰ τῶν ἀτίμων καὶ αἰσχίστων βασιλέων καὶ οἰκεῖος ὤν, τῆς οἰκείας ὁδοῦ ἐκτραπεὶς τὰ βασιλέως θρησκεύειν εἵλετο, παρ᾽ αὐτοῦ[1] τὸ ἐπίσημον ποριζόμενος. Τοῦ δράματος δὲ δήλου γενομένου τῇ μητρὶ αὐτοῦ, ἐπιστολὴ[2] μητρόθεν αὐτῷ ἐξεπέμφθη, ἀποστῆναι τῆς εἰδωλολατρείας καὶ προσελθεῖν τῷ τῆς εὐσεβείας φωτί[3], ὑπομνήσασα τὴν κόλασιν καὶ τὴν γέενναν καὶ τὰς κολάσεις καὶ τὸ ἄσβεστον πῦρ, τὰ ἐκδεχόμενα τοὺς τὸν Χριστὸν ἀρνησαμένους. Ὑφ᾽ ὧν καταυγασθεὶς καὶ ἀνανήψας μικρὸν ἐκ τοῦ ζόφου καὶ εἰς ἑαυτὸν ἐπανελθὼν αὐτίκα πρὸς τὴν θεογνωσίαν μετέστη, τὴν μετάνοιαν ἐνστερνισάμενος. Ταῦτα μαθὼν ὁ βασιλεὺς δειναῖς μάστιξι καὶ τιμω-

— [6] πανύχοις S. — [7] λιβάδας D. — [8] δὲ *add.* D. — [9] (καὶ - ἠρίστευσεν) *om.* D. — [10] ὑπέμεινεν D. — [11] θείων *add.* D. — [12] *om.* D. — [13] μητρικῶν D. — [14] νομίμων D. — [15] νομίμως D. — [16] (καρτερῶς - ἀγῶνα) *om.* D. — [17] *hic des.* D.

1. — [1] *om.* D.

2. — [1] αὐτῷ S. — [2] ἐπιστολὴν S. — [3] τὸ ... φῶς S.

Mai 24. πλήθους τῶν σὺν αὐτοῖς μαρτυρησάντων ὡσεὶ χιλιάδων ἕνδεκα ἀριθμουμένων καὶ διακοσίων εἴκοσιν). — **Mv** : 1. — **Mr** : 1.

Mai 25. SYNAXARIA SELECTA. **H** : Θεράποντος... τελεῖται δὲ ἡ αὐτοῦ σύναξις... πλησίον τῆς Ἐλαίας (Mai 26²). — **P** : Θεράποντος ἐπισκόπου γεγονότος τῆς Κύπρου (cf. Mai 26²). — 1. — **D** : 1. 2 : Παγχαρίου. Οὗτος τῆς Ῥώμης πόλεως γέννημα καὶ θρέμμα γενόμενος, πιστῶν γονέων βλαστὸς ἔφυ. Ταῖς πρώταις δὲ τιμαῖς παρὰ τῶν ἀτίμων καὶ αἰσχίστων βασιλέων τιμώμενος, τῆς εὐθείας ἐκτραπεὶς καὶ τοῦ κρείττονος ἀπορραγεὶς τὰ βασιλέως μᾶλλον θρησκεύειν εἵλετο, χαίρειν τῇ καθαρᾷ πίστει τοῦ Χριστοῦ προσειπών. Τούτου δὲ τοῦ δράματος δήλου γενομένου, ἐπιστολαὶ μητρόθεν αὐτῷ ἐξεπέμποντο ἀνακαλούμεναι αὐτῷ πρὸς τὸ τῆς εὐσεβείας φῶς καὶ ὑποδεικνύουσαι τὰ μέλλοντα διαδέχεσθαι τοὺς ἀρνησαμένους τὸν Χριστὸν κολαστήρια, καὶ τὸ τῆς γεέννης ἄσβεστον πῦρ· ὑφ᾽ ὧν καταυγασθεὶς καὶ ἀνανήψας μικρὸν ἐκ τοῦ ζόφου καὶ τῆς ἐπικειμένης αὐτῷ ἀχλύος, εἰς ἑαυτὸν ἐπανῆλθεν· καὶ αὐτίκα πρὸς τὴν θεογνωσίαν μετέστη τὴν μετάνοιαν ἐνστερνισάμενος. Ταῦτα μαθὼν ὁ βασιλεὺς καὶ τῷ θυμῷ ὑπερζέσας, παρίστησιν αὐτὸν διὰ τῆς τάξεως καὶ μαστίζει ξηροῖς βουνεύροις σφοδρῶς τὰ νῶτα· καὶ μετὰ ταῦτα πομπεύει διὰ τῆς ἀγορᾶς περιαυχενίους[1] αὐτῷ δεσμοὺς[2] ἐπιθείς, ἔπειτα ὑπερορίζει αὐτὸν κατὰ τὴν Νικομήδειαν, ἐν ᾗ μυρίας θλίψεις ὑποστὰς καὶ τὴν κάραν ξίφει τμηθεὶς εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα ἐναπέθετο. — 2. — Θεράποντος (Mai 26²). — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : Μελετίου (Mai 24²). — Σαραπίωνος (Mai 24²). — **Bc** : Θεράποντος (Mai 26²). — Ἰωάννου τοῦ Ψυχαΐτου (Mai 24³). — Θεράποντος (Mai 26³). — **C** : Ἰωάννου τοῦ Ψυχαΐτου. — 2. 1 (in margine). — **Ce** : Θεράποντος (Mai 26³). — Ἰωάννου τοῦ Ψυχαΐτου. — **Cg** : Ἰωάννου. — 2. — **R** : 1. 2. — **Ra** : 1. — Ἰωάννου. — **Rb** : 1. — Θεράποντος (Mai 26²). — **Rc** : 1. — Θεράποντος (Mai 26²). — **Mc** : 1. — Μάρθας τῆς μητρὸς τοῦ ἁγίου Συμεὼν τοῦ θαυμαστορίτου. Αὕτη ἡ ἀοίδιμος μήτηρ ἦν τοῦ ἁγίου Συμεών, τοῦ ἐν τῷ θαυμαστῷ ὄρει· καὶ ἀεὶ τῷ Θεῷ σχολάζουσα ἐν ταῖς ἐκκλησίαις, ἐξ ἐπαγγελίας γεννᾷ τὸν ἅγιον Συμεών. Ἄσκησιν δὲ καὶ στάσιν ἐν προσευχαῖς εἶχε πολλὴν ἐν τῷ βίῳ αὐτῆς· οὐδεὶς γὰρ ἐθεάσατο ταύτην ποτὲ ἐν τῷ κυριακῷ καθεσθεῖσαν ἢ τινι προσομιλήσασαν τὸ σύνολον· ὡσαύτως πολλῇ καὶ τῇ ἀγάπῃ κεκόσμητο καὶ τῇ ἐλεημοσύνῃ καὶ ταπεινώσει πόδας ἀόκνως πάντων νίπτουσα, ξένους ὑποδεχομένη, γυμνοὺς ἐνδύουσα, πτωχοὺς τρέφουσα, σινδόνας τοῖς μὴ εὐποροῦσιν εἰς τὸ βάπτισμα ἐπιδιδοῦσα καὶ ἐντάφια δὲ ἄλλοις ἐνδύματα. Προγνοῦσα δὲ τὴν ἑαυτῆς μετάθεσιν πρὸ τριῶν μηνῶν, ἀπῆλθε συντάξασθαι πρὸς τὸν ὅσιον. Ὁ δὲ τῷ ἁγίῳ Πνεύματι προεγνωκὼς φησι πρὸς αὐτήν· « Τείχισόν με ταῖς εὐχαῖς σου, ὦ μῆτερ, ὅτι πρὸς Κύριον ἐκδημεῖς. » Ἡ δὲ πρὸς αὐτόν· « Τοῦτο, ὦ » τέκνον, κἀγὼ μυηθεῖσα, ἦλθον κομίσασθαι τὰς εὐχάς σου. » Καὶ ἀλλήλοις ἐπευξάμενοι καὶ εὐφρανθέντες ἐν Κυρίῳ διῃρέθησαν. Μεταστᾶσα οὖν ἡ ὁσία, ἐτάφη ἐν Δάφνῃ. Καὶ μετακομισθεῖσα παρὰ τοῦ ἁγίου ἐτέθη πλησίον τοῦ στύλου. Καὶ τοῦ ἁγίου ποιήσαντος εὐχὴν ὑπὲρ αὐτῆς, ἐθαυματούργει ὁ τάφος

[1] περιαυχενίοις D. — [2] δεσμοῖς D.

ρίαις <αὐτὸν καθυποβάλλει· ὡς δὲ μηδὲν ἤνυσαν[4]> καὶ κολάσεις καὶ φυλακαὶ καὶ πάμπολλαι κακώσεις περὶ τὸν ἅγιον· ἔπειτα ὑπερορίζει αὐτὸν κατὰ τὴν Νικομήδειαν, ἐν ᾗ μυρίας θλίψεις ὑποστὰς καὶ τὴν κάραν ξίφει τμηθεὶς εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα ἐναπέθετο. Mai 25.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛ΄.

1. Μνήμη τοῦ ἁγίου ἀποστόλου Κάρπου ἑνὸς Mai 26.
f. 226ᵛ. τῶν ἑβδομήκοντα. | Οὗτος ὁ τοῦ Κυρίου ἀπόστολος τοῖς ἑβδομήκοντα μαθηταῖς καὶ ἀποστόλοις ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου συναριθμηθεὶς[1] καὶ τῷ μεγάλῳ Παύλῳ διακονῶν ἐν τῷ κηρύγματι[2] καὶ τὰς θείας αὐτοῦ ἐπιστολὰς τοῖς πρὸς οὓς ἐπέμποντο διαπορθμεύων, πολλοὺς τῶν ἑλλήνων τὴν Τριάδα σέβειν ἐδίδαξε· ὅθεν καὶ θείᾳ ἐλλάμψει[3] τοῦ παρακλήτου[4] καταυγασθεὶς τὴν διάνοιαν ὥσπερ ἄδυτος ἀστὴρ ἐξ ἀνατολῶν ὁρμήσας, πᾶσαν τὴν οἰκουμένην ταῖς θείαις αὐτοῦ διδασκαλίαις κατεφώτισε, θαυμάσια μέγιστα καθ᾽ ἑκάστην τελῶν. Ὕστερον ὑπὸ τοῦ μεγάλου διδασκάλου καὶ κήρυκος τῆς ἀληθείας ἐπίσκοπος τῆς ἐν Θρᾴκῃ Βεροίας προεχειρίσθη· ὅθεν τοὺς Ἰουδαίους ἐλέγξας καὶ διδάξας, ὅτι ὁ παρ᾽ αὐτῶν σταυρωθεὶς Χριστὸς Θεός ἐστιν ἀληθινὸς καὶ ποιητὴς τῶν ἁπάντων, θυμῷ συσχεθέντες, ὑπ᾽ αὐτῶν ὠμῶς καὶ ἀνηλεῶς ἀνῃρέθη, παραδοὺς τὴν ἁγίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Κυρίου[5], <ὃς[6]> θαυματουργεῖ[7] καθ᾽ ἑκάστην ἐν τοῖς αὐτοῦ λειψάνοις[8], πάθη παντοῖα καθαίρων καὶ ἀκάθαρτα πνεύματα ἀποδιώκων.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ[1] ἁγίου ἱερομάρτυρος Θεράποντος. Οὗτος ὁ ἅγιος ὅθεν[2] ὥρμητο ἢ[3] ἐκ τίνων ἔφυ ἢ καθ᾽ οὓς ἐγένετο χρόνους ἢ τίσι παραταξάμενος[4] καὶ[5] νικήσας[5] τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο[6], οὐκ ἔχομεν εἰπεῖν, τῶν ὑπομνημάτων αὐτοῦ συνδιαφθαρέντων[7] τῷ χρόνῳ. Ὅτι μὲν[8] τὸν μονήρη βίον εἵλετο, δηλοῦσιν αἱ εἰκόνες αὐτοῦ, ἐπὶ τοιαύτης ἰδέας καὶ σχήματος αὐτὸν ἀναγράφουσαι· ὅτι δὲ ἐπίσκοπος κατὰ τὴν Κυπρίων γέγονε νῆσον[9] καὶ ὅτι τῷ Χριστῷ προσήχθη δι᾽ αἵματος καὶ τὸν ἀθλητικὸν ἀγῶνα διήνυσεν, ἐξ ἀρχαίας φήμης κατὰ διαδοχὴν παρειλήφαμεν καὶ ἀγράφως παρὰ τῶν προγενεστέρων διδαχθέντες πιστεύομεν[10]. Ἀνηνέχθη δὲ τὸ τίμιον αὐτοῦ λείψανον πρὸς τὴν βασιλίδα πόλιν[11], τῶν Ἀγαρηνῶν ἐπιθέσθαι τῇ Κυπρίων νήσῳ καὶ ληΐσασθαι ταύτην βουλευσαμένων[12], αὐτοῦ τοῦ ἁγίου δι᾽ ἐπιφανείας τῷ προσμοναρίῳ αὐτοῦ φησίν· « Τάχος ἀναστὰς λάβε μου τὸ » λείψανον <καὶ[13]> ἀποκόμισον εἰς Κωνσταντι- » νούπολιν· μέλλουσι γὰρ οἱ ἐχθροὶ τοῦ σταυροῦ » τοῦ Χριστοῦ τῇ νήσῳ ταύτῃ ἐπιβῆναι καὶ τοὺς » τόπους τούτους διερημῶσαι. » Καὶ τάχος τὸ προσταχθὲν ἐπλήρου· καὶ νῦν, ἔνθα ἀπόκειται, πηγὰς θαυμάτων ἀναβλύζει ἑκάστοτε[14]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ[15], τῷ ὄντι πλησίον τῆς Ἐλαίας.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου ἁγίου ἱερο-

— [4] (αὐτὸν - ἤνυσαν) *supplevi, om.* S.

1. — [1] (ὁ τοῦ - συναριθμηθεὶς) *om.* D. — [2] τοῦ εὐαγγελίου *add.* D. — [3] ἐλάμψει S. — [4] τῇ τοῦ π. θ. ἐ. D. — [5] (ὕστερον - Κυρίου) καὶ ἀποσοβῶν πνεύματα πονηρώτατα πολλὰς δὲ πόλεις καὶ λαοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐφελκόμενος καὶ διὰ τοῦ ἁγίου βαπτίσματος τοὺς πιστοὺς τῶν ἀπίστων διερῶν πολλοὺς ὑπ᾽ αὐτῶν διωγμοὺς ὑπέστη· καὶ ἀναπαυσάμενος γλυκύτατον ὕπνον D. — [6] *supplevi, om.* S, D. — [7] θαυματουργεῖν S. — [8] ὁ κύριος *add.* D.

2. — [1] ἑτέρου Mc *ad diem Mai 27.* — [2] οὗτος πόθεν μὲν Mc. — [3] καὶ Mc. — [4] πρὸς τίνας ἀντιταξάμενος Mc. — [5] *om.* Mc. — [6] ἀνεδήσατο Mc. — [7] διαφθαρέντων Mc. — [8] δὲ Mc. — [9] ν. ἐγένετο Mc. — [10] (καὶ - πιστεύομεν) *om.* Mc. — [11] εἰς Κωνσταντινούπολιν Mc. — [12] αὐτὴν διασκεψαμένων Mc. — [13] *supplevi, om.* S. — [14] (τῷ πρ. - ἑκάστοτε) μετατεθῆναι τὸ αὐτοῦ προστάξαντος λείψανον καὶ νῦν ἔνθα ἀπόκειται θαυμάτων ἀναβλύζει ἀεννάους πηγάς Mc. — [15] μαρτυρίῳ αὐτοῦ Mc.

αὐτῆς εἰς δόξαν Θεοῦ. — Εὐτροπίας (Oct. 30⁷). — Κελεστῖνος σιδήρῳ τὰς πτέρνας περιπαρεὶς τ. — 2. — Ὁ ὅσιος Ὀλβιανὸς ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος ἀπόστολος Ἀλφαῖος ἐν εἰρήνῃ τ. (Mai 26⁴). — **Mv** : 1. 2. — **Mr** : 1. Mai 25.

SYNAXARIA SELECTA. **H** : 4. 5 (Ἀβελκίου ...). — **P** : 4. 5 (Ἀβερκίου ...). — **D** : 1. 4. 5 (Ἀβερκίου ...). — **Da** : 1. 4. 5. — **Db** : 1. 4. 5. — **K** : 1. — Ἰούδα ἀδελφοῦ Ἰακώβου (Mai 16³). — 5. — **N** : 1. 4 (Ἀλφαίου καὶ Ἰούδα καὶ τῶν λοιπῶν). — 5 (Ἀβερκίου ...). — **Bb** : 2. — Ἰωάννου τοῦ Ψυχαΐτου (Mai 24³). — 3. — Παγχαρίου (Mai 25²). — Ἡ τρίτη εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου (Mai 25¹). — **Bc** : 1. — **C** : 4. 5 (Ἀβερκίου καὶ Ἑλένου). — 1. — **Ce** : 4. 5 (Ἀβερκίου καὶ Ἑλένης). — 1. — **Cg** : 4. 5 (Ἀβερκίου καὶ Ἑλένου). — 1. — **R** : 1. 4. 5 (Ἀβερκίου ...). — **Ra** : 1. 4. — Ἰούδα τοῦ Ζηλωτοῦ (Mai 22²). — 5 (Ἀβερκίου ...). — Τῶν ἁγίων πατέρων τῶν ἐν τῇ πρώτῃ[1] συνόδῳ τῇ κατὰ Νίκαιαν ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν κηρυξάντων καὶ τὸν δυσσεβῆ Ἄρειον τὸν τῆς αἱρέσεως ἀρχηγὸν καθελόντων (Mai 29³). — Ἀλεξάνδρου πάπα Ἀλεξανδρείας, ὃς πρὸ[2] τῆς συνόδου πρεσβύτερον[3] ὄντα τὸν Ἄρειον τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας ἀπεκήρυξεν καὶ πάσης ἐκκλησίας ἀπέρρηξε καὶ ἀπεκώλυσε[4] (Mai 29⁴). — **Rb** : 1. — Ἰωάννου τοῦ Ψυχαΐτου. — Σεργίου καὶ Βάκχου πέραν ἐν Ῥουφινιαναῖς (Mai 27⁴). — Παύλου κτλ. (Mai 27⁵). — **Rc** : 1. — **Mc** : 1. — Τιμοθέου τοῦ ἐν τῇ Προύσῃ. Ἐν ταῖς ἡμέραις Ἰουλιανοῦ τοῦ παραβάτου, κυπάρισσός[5] τις ἵστατο ἰθυτενὴς καὶ τερπνὴ ἐν λεωφόρῳ τινὶ μέσον κειμένη τῶν θερμῶν τῆς πόλεως Προύσης. Δράκων δὲ μέγιστος ἐκ τοῦ σπηλαίου ἐξερχόμενος ἐκεῖ που ἔγγιστα ὄντος, συχνότερον προσήδρευε τῇ κυπαρίσσῳ, καὶ ἦν ὁ τοιοῦτος τόπος φόβου μεστὸς καὶ μικροῦ δεῖν καὶ ἀδιόδευτος. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον βασίλισσά τις πιστὴ οἰκοῦσα εἰς Ἀπολλωνιάδα, ἦλθε πρὸς τὸ θέμα τῆς Προύσης. Καὶ μαθόντες τοῦτο οἱ πλησίον ὄντες ἀδελφοί, εὐλογίας τινὰς ἀπεστάλκασι διὰ

[1] πρώτῳ Ra. — [2] πρὸς Ra. — [3] πρεσβυτέραν Ra. — [4] ἀπεκήρυξαν ... ἀπεκώλυσαν Ra. — [5] κυπάριττος *hic* Mc.

Mai 26. f. 227. μάρτυρος[1] Θεράποντος. | Ὅς[2] ἦν ἱερεὺς κατὰ τὴν μητρόπολιν Σάρδεις[3]· καὶ διὰ τὴν ἀρίστην αὐτοῦ πολιτείαν κρατηθεὶς παρὰ τοῦ ἄρχοντος Οὐαλεριανοῦ[4] τοὺς χριστιανοὺς διδάσκων, δεσμεῖται καὶ ποινὰς ὑφίσταται. Μετὰ ταῦτα ἄγεται δέσμιος εἰς Συναὸν καὶ Ἄγκυραν[5] καὶ ἐπὶ τοῦ Ἀστελῆ καλουμένου ποταμοῦ ὕπτιος ἐπ' ἐδάφους ἁπλωθεὶς καταξαίνεται ῥάβδοις τὰς σάρκας· καὶ πιανθεῖσα ἡ γῆ[6] τῷ αἵματι αὐτοῦ φυτὸν βαλάνου ἀνέδωκε μέγιστον λίαν· ὃ μέχρι τῆς σήμερον δείκνυται[7] ἀείφυλλον ὄν, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενον[8]· ἔπειτα ἄγεται ἐκεῖθεν[9] ἐπὶ[10] τὸ θέμα τῶν Θρᾳκησίων παρὰ τὸν ποταμὸν Ἕρμον, ἐν ᾧ ἡ ἐπισκοπὴ ἡ λεγομένη Σάταλα, ὑπὸ τὴν μητρόπολιν Σάρδεις[11] τελοῦσα, καὶ πολλαῖς ὑποβληθεὶς αἰκίαις[12] ἔσχατον τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ἀλφαίου, ἀδελφοῦ τοῦ Κυρίου, καὶ τῶν υἱῶν αὐτοῦ.

5. Καὶ τῶν ἁγίων μαρτύρων Ἀβενίου[1] καὶ Ἑλένης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

Mai 27. 1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἑλλαδίου. Οὗτος ὁ ἅγιος ἐκκαθάρας ἑαυτὸν ἀπὸ πάσης κηλῖδος καὶ δοχεῖον ἑαυτὸν ἀπεργασάμενος τοῦ ἁγίου Πνεύματος, χρίεται ψήφῳ Θεοῦ ἀρχιερεὺς καὶ τοὺς οἴακας πιστευθεὶς τῆς τοῦ Θεοῦ ἐκκλησίας, ὡς ποιμὴν τῆς ἑαυτοῦ ποίμνης τοὺς λυκώδεις[1] τῶν ἀνθρώπων ἀπείργων[2], ὡς δὲ κυβερνήτης ἐπιστήμων ταύτην κυβερνήσας. Διὰ τοῦτο οὖν δέσμιον οἱ τύραννοι παρεστήσαντο· αὐτὸς δὲ τομῶς χωρήσας πρὸς τὰ σκάμματα καὶ παρρησιασάμενος τὴν εὐσέβειαν, πλείσταις βασάνοις καθυποβάλλεται καὶ τὸ σῶμα σφοδρῶς καταξανθεὶς θείας χάριτος ἠξιώθη. Ὁ γὰρ Χριστὸς καὶ Θεὸς ἡμῶν ἐποφθεὶς αὐτῷ τὴν ἐκ τῶν μωλώπων ἅπασαν κάκωσιν ἐξιάσατο καὶ προθυμότερον ἴσχυσεν· μετὰ ταῦτα ὀργῆς πλησθέντες οἱ τύραννοι τῷ πυρὶ τὸν ἅγιον ἀπορρίπτουσιν. Ὁ δὲ ἄφλεκτος διαμείνας πολλοὺς ἐπεσπάσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν· ἔπειτα σφοδρότατα αἰκισθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Θεοδώρας καὶ Διδύμου[1]. Αὕτη ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Εὐστρατίου ἡγεμόνος Ἀλεξανδρείας τῆς κατ' Αἴγυπτον[2]. Προσαχθεῖσα δὲ[3] καὶ τὸν Χριστὸν ὁμολογήσασα[4], ἐν οἰκήματι πορνῶν ἐκτίθεται[5]. Εὐξαμένη οὖν[6] ἄσπιλον ἑαυτὴν διαφυλαχθῆναι, θεόθεν κινηθεὶς Δίδυμός τις[7] οὕτω καλούμενος τὴν εἰς Χριστὸν πίστιν ἔχων ἐν στρατιωτικῷ σχήματι ἐπῆλθεν[8] αὐτῇ· ἡ δὲ ὥσπερ[9] εἰκὸς περὶ τοῦ σώματος | δείσασα ταῖς γωνίαις (f. 227v) τῆς οἰκίας προσέφυγε. Θαρρεῖν δὲ[7] αὐτῇ παρακελευσάμενος, ὡς μηδὲν πεισομένην[10] ὧν ὑποπτεύει, τὴν μὲν στρατιωτικὴν ἐσθῆτα αὐτῇ περιέθηκε[11] καὶ ἐξελθεῖν τοῦ δωματίου ἐκέλευσεν· αὐτὸς δὲ τὴν γυναικείαν στολὴν ἐνδυσάμενος καὶ μίτρᾳ τὴν κεφαλὴν ἀναδήσας, ἀντ' αὐτῆς ἐκαθέζετο. Ὡς δὲ εἰσελθόντος τινὸς ἀκολάστου καὶ ἀσελγοῦς καὶ ἐν γυναικείῳ σχήματι τὸν ἄνδρα κατανοήσαντος, πάντα φανερὰ τῷ ἡγεμόνι κατέστησεν, ἀχθεὶς ὁ ἅγιος Δίδυμος τὸν διὰ ξίφους καὶ πυρὸς καταψηφίζεται θάνατον[12]· τμηθεὶς δὲ καὶ ὁλοκαυτωθεὶς τοῖς χοροῖς τῶν μαρτύρων συνηριθμήθη. Καὶ μετὰ τοῦτο κατασχεθεῖσα καὶ[7] ἡ ἁγία Θεοδώρα ξίφει[7]

3. — [1] μνήμη τοῦ ἁγίου μάρτυρος Mc *ad diem Mai 27*. — [2] οὗτος Mc. — [3] Σάρδις S, κατὰ τὴν Σάρδεων μητρόπολιν Mc. — [4] Οὐαλλεριανοῦ S, ὑπὸ τοῦ ἄρχ. O. ὡς Mc. — [5] Συναὼν καὶ Ἄγκυρα S, |||||| ναὸν τῆς Ἀγκύρας Mc. — [6] γῆ πιανθεῖσα Mc. — [7] *om.* Mc. — [8] πάσης νόσου καὶ μαλακίας ἀναδείκνυται θεραπευτικόν Mc. !— [9] εἶτα ἐκ. ἄγεται Mc. — [10] ὑπὸ S. — [11] Σάρδις S, Σάρδεων Mc. — [12] αἰκίαις ὑπ. Mc.

5. — [1] *al.* Ἀβερκίου, *cf.* Synaxaria selecta.

1. — [1] λυκώδους S. — [2] ἀπεῖργειν S.

2. — [1] Διδύμου καὶ Θ. D. — [2] ἡγεμονεύοντος τῆς Ἀλεξανδρέων πόλεως D. — [3] τῷ ἡγεμόνι *add.* D. — [4] καὶ πολλαῖς παραινέσεσι καὶ ἀπειλαῖς ἀρνήσασθαι αὐτὴν καὶ θῦσαι τοῖς εἰδώλοις μὴ ἀνασχομένη *add.* D. — [5] ἐξετέθη D. — [6] τῆς δὲ εὐξαμένης D. — [7] *om.* D. — [8] D, ἦλθεν S. — [9] ὡς D. — [10] πεῖσε S. — [11] παρέθηκεν D. — [12] (κ. θάνατον) πυρὸς τοῦ βίου κελεύεται ἐξελθεῖν D.

Mai 26. Τιμοθέου τῇ βασιλίσσῃ. Καταλαβόντος δὲ τὴν κυπάρισσον[6], ἀνέστη ὁ δράκων ὑπαντῆσαι αὐτῷ. Ὁ δὲ προσευξάμενος μετέβαλε τὰς εὐλογίας εἰς τὸ πτερύγιον τοῦ παλλίου αὐτοῦ καὶ τὸ ἱερὸν ἅπλωμα αὐτοῦ εἰς ἓν συσφίγξας ἐν τῇ χειρί, ἐσφενδόνησε κατὰ τοῦ θηρίου· καὶ οὕτως ἀπῆλθε, καὶ δοὺς τὰς εὐλογίας ὑπέστρεψε. Καὶ εὑρὼν τὸ θηρίον νεκρὸν ἐδόξασε τὸν Θεόν. Καὶ λαβὼν τὸ ἱερὸν ἐκεῖνο ὕφασμα ὑπέστρεψεν ἐν τῇ μονῇ αὐτοῦ. Τούτου οὖν τοῦ θαύματος πανταχοῦ ἐξηχηθέντος, ἐσέβοντο τὸν μακάριον ὅσα καὶ οἰκεῖον Θεοῦ θεράποντα. Ὅπερ ἀκούσας ὁ δυσσεβὴς βασιλεύς, ἀποστείλας πρὸς αὐτόν, ἠνάγκαζεν ἀρνήσασθαι τὸν Χριστόν. Ὁ δὲ ἀληθινὸν Θεὸν ὁμολογῶν τὸν Χριστόν, τὴν κεφαλὴν ἀπετμήθη (Iun. 10[1]). — 5: Ἀβέρκιος ὁ τοῦ ἁγίου ἀποστόλου Ἀλφαίου υἱὸς ἐν μελισσῶνι γυμνὸς ἁπλωθεὶς καὶ δακνόμενος ὑπ' αὐτῶν τ. ... Ἑλένη ἡ ἀδελφὴ αὐτοῦ λιθοβοληθεῖσα τ. — **Mv** : 1. 4. 5. — **Mr** : 1.

Mai 27. SYNAXARIA SELECTA. **H** : 1. 2. 4. 5. 6. des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Γεωργίου ἐν τῇ μονῇ ... Σικεοῦς. — **P** : 2. 5. — **D** : Θεράποντος (Mai 26[3]). — 2. 4. 5 (... Εὐσεβιώτου ...). — 6. — **Da** : Θεράποντος (Mai 26[2]). — Θεράποντος (Mai 26[3]). — 2. 4. 5 (deest Ἀλυπίου). — 6. — **Db** : Θεράποντος. — Θεράποντος. — 2. 4. 5. — **K** : Θεράποντος. — Θεράποντος. — 2. 4. 5. — **N** : 1. — Ἑλικωνίδος (Mai 28[1]). — 3. — Ἀτάλου καὶ Σαλωνᾶ Ῥωμαίων (Mai 28[3]). — Εὐτυχίου τοῦ ἐν Μιλήτῳ. — **Bb** : Κάρπου ἑνὸς τῶν ο' (Mai 26[1]). — **Bc** : 2. — **C** : 2. 4. 5. 6. — **Ce** : 2. 4. 5. 6. — **Cd** :

— [6] κυπάριττον Mc.

ἀναιρεῖται[13] ἐν τῷ παρακειμένῳ ποταμῷ ῥιφεῖσα· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κλήμεντος τοῦ ὁμολογητοῦ καὶ ποιητοῦ τῶν κανόνων.

4. Καὶ μνήμη τῶν ἁγίων Σεργίου καὶ Βάκχου πέραν ἐν Ῥουφινιαναῖς.

Mai 27. 5. Καὶ τῶν ἁγίων μαρτύρων Ἀλυπίου, Εὐβιώτου, Παύλου καὶ τῆς ἀδελφῆς αὐτοῦ Ἰουλιανῆς.

6. Καὶ τοῦ ἐν ἁγίοις Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως.

7. Καὶ τοῦ ὁσίου Εὐτυχοῦς τοῦ ὁμολογητοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἑλικωνίδος[1]. Αὕτη ὑπῆρχεν ἐπὶ Γορδιανοῦ καὶ Φιλίππου τῶν βασιλέων, ἐκ πόλεως Θεσσαλονικέων. Συσχεθεῖσα δὲ καὶ πρὸς τὸν ἡγεμόνα Περίνιον δοῦκα Κορίνθου ἀχθεῖσα, καὶ τὸν Χριστὸν ὁμολογήσασα δεσμεῖται τοὺς πόδας ἐν ζυγῷ βοῶν καὶ πτερνίζεται· λυθέντος δὲ μολίβδου καὶ ἀσφάλτου καὶ πίσσης, ἐν αὐτοῖς ἐμβληθεῖσα ἀβλαβὴς διεξέρχεται. Εἶτα ξυρᾶται τὴν κεφαλὴν καὶ πῦρ καθ' ὅλου τοῦ σώματος δέχεται καὶ ἐν τῷ ναῷ τῶν εἰδώλων εἰσελθοῦσα τὸ τῆς Ἀθηνᾶς ξόανον καὶ τοῦ Διὸς καὶ τοῦ Ἀσκληπιοῦ δι' εὐχῆς κατέρραξεν εἰς τὴν γῆν· εἶτα τέμνεται τοὺς μασθούς. Καὶ διαδεξαμένου τὸν Περίνιον Ἰουστίνου τοῦ ἀνθυπάτου, ἀχθεῖσα πρὸς αὐτὸν ἐν καμίνῳ ῥίπτεται· τῆς δὲ φλογὸς μὴ ἁψαμένης αὐτῆς, ἐκ τῶν στρατιωτῶν <δὲ[2]> ἑβδομήκοντα ἄνδρας λυμηναμένης, ἐν κραββάτῳ χαλκῷ πυρωθέντι ἡ ἁγία ἁπλοῦται. Ἐπιφανέντες δὲ οἱ ἀρχάγγελοι Μιχαὴλ καὶ Γαβριὴλ τὰς ἐκτηκομένας καὶ διαρρεούσας αὐτῆς σάρκας ὑγίωσαν· ἔπειτα θηρίοις ἐκδίδοται, ὧν οὐδὲν αὐτῆς ἁψαμένων[3] ἀλλ' ἐκ τῶν ὑπηρετῶν ἀνελόντων ἄνδρας ἑκατὸν εἴκοσι, τότε τὴν διὰ ξίφους ἀπόφασιν δέχεται· καὶ τμηθεῖσα πρὸς Κύριον στεφανοφόρος ἀνέρχεται. (Mai 28.)

2. | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Κρίσκεντος, Παύλου καὶ Διοσκορίδου. (f. 228.) Οὗτοι ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ διατρίβοντες, πολλοὺς τῷ Χριστῷ προσάγοντες καὶ βαπτίζοντες τῇ ἑαυτῶν διδασκαλίᾳ, διεγνώσθησαν τῷ τῆς Ῥώμης ἐπάρχῳ· καὶ συλληφθέντες κατεῖχε τούτους τὸ δεσμωτήριον. Πολλοὺς δὲ τῶν δεσμωτῶν καὶ ἐν τῇ φυλακῇ τῇ πρὸς Χριστὸν πίστει προσαγαγόντες, ἐξαχθέντες ἐτύφθησαν σφοδρῶς· ἔπειτα εἰς κάμινον πυρὸς ἐμβληθέντες ἐτελειώθησαν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Ναταλίου καὶ Σαρωνᾶ[1] Ῥωμαίων.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

Mai 29. 1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Θεοδοσίας τῆς παρθένου, πέμπτῳ ἔτει τοῦ καθ' ἡμᾶς διωγμοῦ ἀθλησάσης ἐν Καισαρείᾳ. Αὕτη ἡ ἱερὰ καὶ παναγία κόρη Τυρία ἦν τὸ γένος· ὀκτωκαιδέκατον δὲ ἔτος ἄγουσα τῆς ἡλικίας, δέσμιος σὺν ὁμολογηταῖς Θεοῦ μέλλουσι δίκας διδόναι, ἄρτι προκαθεζομέ-

— [13] παρ' αὐτῶν ἀνερρεῖται *et hic des.* D.

1. — [1] Ἑλλικωνίδος S. — [2] *supplevi, om.* S. — [3] ἁψαμένου S.

3. — [1] Σαλωνᾶ D, C.

Mai 27. 2. 4. 5. 6. — **R** : 1. 4. 5. — **Ra** : 3. 2. 4. 5. — **Rb** : 3. 1. 2. — **Rc** : Θεράποντος. — 1. — **Mc** : Θεράποντος. — Θεράποντος. — 5 : Ἀλύπιος λίθῳ τὴν κεφαλὴν συντριβεὶς τ. ... Εὐσεβιώτης π. τ. — **Mv** : 1. — **Mr** : 1.

Mai 28. SYNAXARIA SELECTA. **H** : 1. 2. 3 (... Σαλωνᾶ). — **P** : 1. 2. 3 (... Σαλονᾶ). — **D** : Ἑλλαδίου. Ὃς ἐκκαθάρας ἑαυτὸν δι' ἀπαθείας, χρίεται ψήφῳ Θεοῦ ἀρχιερεὺς καὶ ποιμαίνει καὶ κυβερνᾷ[1] τὴν τοῦ Θεοῦ ἐκκλησίαν· καὶ ὡς μὲν ποιμὴν τοὺς λύκους τῶν ἀνθρώπων ἀποδιώκει τῆς ποίμνης, ὡς δὲ κυβερνήτης ἄβατον καὶ ἀνεπηρέαστον κακῶν ἁπάντων διαφυλάττει. Ἐπεὶ δὲ καὶ δέσμιος τοῖς τυράννοις παρίσταται, μᾶλλον ἐπιστημόνως διέλαμψεν, στηλιτεύσας πᾶσαν ἄθεον πλάνην· ὅθεν πλείσταις[2] βασάνοις ὑποβληθεὶς καὶ τὸ σῶμα σφοδρῶς καταξανθείς, ἐποφθεὶς αὐτῷ ὁ σωτὴρ καὶ Θεὸς τὴν ἐκ τῶν μωλώπων κάκωσιν ἐξιάσατο καὶ εἰς τὸ ἑξῆς προθυμότερον ἐποίησεν. Μετὰ ταῦτα πυρὶ ἀπορρίπτεται καὶ ἄφλεκτος διαμείνας πολλοὺς ἐπεσπάσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν· ἔπειτα σφοδρῶς αἰκισθεὶς τῷ Θεῷ τὸ πνεῦμα παρέθετο (Mai 27[1]). — 1. 2. 3 (... Σαλωνᾶ). — **Da** : Ἑλλαδίου. — 1. 2. 3 (... Σαλωνᾶ). — **Db** : Ἑλλαδίου. — 1. 3 (... Σαλωνᾶ). — **K** : Ἑλλαδίου. — 1. 2. 3 (Καταλίου καὶ Ἑαλῶ). — **N** : Θεράποντος (Mai 26[2]). — Θεοδώρας καὶ Διδύμου (Mai 27[2]). — Θεράποντος (Mai 26[3]). — Σεργίου καὶ Βάκχου (Mai 27[4]). — Ἀλυπίου καὶ Εὐβιωτάτου (Mai 27[5]). — **Bb** : Θεοδώρας καὶ Διδύμου. — **Bc** : 1. — Ἑλλαδίου. — 2. — **C** : 1 (Ἑλκονίδος). — 2. 3 (... Σαλωνᾶ). — Ἑλλαδίου. — Θεράποντος (in marg. et add. ζήτει ὄπισθεν...). — **Ce** : 1. 2. — Ἑλλαδίου. — **Cg** : 1. 2. 3. — Ἑλλαδίου. — **R** : Θεράποντος (Mai 26[2]). — Θεράποντος (Mai 26[3]). — **Ra** : Θεράποντος. — Θεράποντος. — **Rb** : Εὐτυχίου τοῦ ἐν Μελίτῳ. — 1 (Σελικωνίδους). — **Rc** : Τοῦ ἁγίου μάρτυρος Νικήτα. — 1 (Ἑλικωνίδους). — **Mc** : Ἑλλαδίου (Mai 27[1]). — 1. 2. — Τῶν ἁγίων πατέρων ... ἐν Νικαίᾳ (Mai 29[3]). — Ἀνδρέας ὁ διὰ Χριστὸν σαλὸς ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Ἰωάννου τοῦ Ψυχαΐτου (Mai 24[3]). — **Mr** : Τοῦ ἁγίου ἱερομάρτυρος Εὐτυχοῦς ἐπισκόπου Μελιτηνῆς.

Mai 29. SYNAXARIA SELECTA. **H** : 3. 2. 1. — **P** : 3. 1. 2. — Τοῦ ὁσίου Ἰσαακίου ὁμολογητοῦ (Mai 30[4]). — **D** : 1. 3. 4. 2. — **Da** : 1. 2. 3. 4. — **Db** : 1. 2. — Κρίσκεντος κτλ (Mai 28[2]). — 3. 4. — **K** : 1. 2. 3. — **N** :

[1] κυβερνῆ D. — [2] *corr., prius* πλεῖσται D.

Mai 29. νων τῶν δικάστῶν, ἤχθη [1] Οὐρβανῷ τῷ ἄρχοντι· ὃς θύειν αὐτῇ τοῖς εἰδώλοις προστάττει. Ἐπεὶ δὲ ἀνένευε, δεινὰς κατὰ τῶν πλευρῶν καὶ κατὰ τῶν μαζῶν ἐπιθεὶς αὐτῇ βασάνους, μέχρις ὀστέων τε αὐτῶν ἤδη καὶ τῶν εἴσω σπλάγχνων ὁ ἀνηλεὴς ἐχώρει ἐπιμόνως τὴν παῖδα τιμωρούμενος σιγῇ τὰς βασάνους δεχομένην· ἔτι δὲ ἐμπνέουσαν ἠρώτα θύειν παρακελευόμενος. Ἡ δὲ διάρασα τὸ στόμα καὶ τοῖς ὀφθαλμοῖς ἀτενὲς ἐμβλέψασα, ὑπομειδιῶντι τῷ προσώπῳ· « Τί δὴ πλανᾷ », φησίν, » ἄνθρωπε; οὐκ οἶδας ὅτι τῆς τῶν τοῦ Θεοῦ » μαρτύρων κοινωνίας τυχεῖν ἠξιώθην; » Ὁ δὲ ἐπειδὴ συνεῖδεν ἑαυτὸν γελώμενον ὑπὸ τῆς κόρης, μείζοσιν ἢ πρῶτον αἰκίζει ταύτην βασάνοις· εἶθ' οὕτως τοῖς θαλαττίοις ἀκοντίζει ταύτην βυθοῖς, ἐν οἷς τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ὀλβιανοῦ ἐπισκόπου πόλεως Ἄνεων. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ ἐν ὑπατείᾳ Ἀλεξάνδρου καὶ Μαξίμου, καὶ ἤχθη πρὸς Ἰούλιον καὶ Αἰλιανὸν ἡγεμόνας. Ὑπὸ τούτων ἐρωτώμενος ὁ πανίερος οὗτος ποιμὴν καὶ μὴ πειθόμενος, γυμνοῦται τῶν ἱματίων καὶ ὀβελίσκοις πεπυρακτωμένοις τὰ σπλάγχνα διαπείρεται καὶ κατακαίεται· εἶτα φρουρεῖται καὶ διὰ δευτέρας προόδου πολλὰ παρακληθεὶς καὶ μὴ ἐνδοὺς πάλιν γυμνοῦται καὶ τὰς σάρκας ξέεται σφοδρῶς· πυρᾶς τε ἐξαφθείσης μεγίστης καὶ εἰς ὕψος ἀρθείσης πολύ, ἀκοντίζεται ἐκεῖ. f. 228v. Καὶ | τὴν εὐχὴν τελέσας ἐκεῖσε τὸ πνεῦμα τῷ Θεῷ παρατίθησιν, ὁλοκαύτωμα διὰ πυρὸς γενόμενος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Προκοπίου, τῷ ὄντι πλησίον τῆς Χελώνης.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων τῶν ἐν τῇ πρώτῃ συνόδῳ, τῇ κατὰ Νίκαιαν, ὁμοούσιον τῷ Θεῷ καὶ πατρὶ τὸν Υἱὸν κηρυξάντων καὶ τὸν δυσσεβῆ Ἄρειον, τὸν τῆς αἱρέσεως ἀρχηγόν, καθελόντων. Μετὰ Πέτρον τὸν ἁγιώτατον πατριάρχην Ἀλεξανδρείας ἐχειροτονήθη Ἀχιλλᾶς [1] καὶ μετὰ τοῦτον Ἀλέξανδρος. Ἐπὶ τούτου πρεσβύτερός τις τῆς ἐκκλησίας, Ἄρειος λεγόμενος, τὴν τῶν θείων γραφῶν πεπιστευμένος ἐξήγησιν, ἰδὼν τὸν Ἀλέξανδρον ὅτι προεκρίθη εἰς πατριαρχείαν καθὼς διετάξατο ὁ ἅγιος Πέτρος, ἐφθόνησε· καὶ κατ' ἐκείνου μὴ δυνάμενος κινῆσαι κατηγορίαν, κατὰ τῆς ὀρθῆς πίστεως τὴν γλῶσσαν καθώπλισε, βλασφημῶν τὸν υἱὸν τοῦ Θεοῦ καὶ λέγων αὐτὸν κτίσμα εἶναι καὶ οὐχ ὁμοούσιον τῷ Πατρί. Ἐξεβλήθη οὖν διὰ ταῦτα τῆς ἐκκλησίας, καὶ ποιῶν παρασυναγωγὰς ἔσχιζε τὴν ἐκκλησίαν. Μαθὼν δὲ ταῦτα ὁ ἐν ἁγίοις βασιλεῦσι μέγας Κωνσταντῖνος, συγκαλέσας τὴν ἁγίαν σύνοδον εἰς Νίκαιαν καὶ καταδικάσας αὐτὸν ἐξώρισε, τούς τε ἁγίους ἐπισκόπους φιλοφρονησάμενος ἀπέλυσεν ἕκαστον εἰς τὰ ἴδια.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Ἀλεξάνδρου πάπα Ἀλεξανδρείας. Ὃς πρὸ τῆς συνόδου πρεσβύτερον ὄντα τὸν Ἄρειον τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας [1] ἀπεκήρυξε, καὶ πάσης ἐκκλησίας ἀπεῖρξε [2] καὶ ἀπεκώλυσεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

Mai 30. **1.** Μνήμη τοῦ ἁγίου Εὐτυχοῦς μαθητοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου. Οὗτος χάριτος Θεοῦ πλησθεὶς καὶ τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον εὑρὼν καὶ βαπτισθεὶς ὑπ' αὐτοῦ καὶ τομῶς [1] πρὸς τὸ [2] κήρυγμα χωρήσας [3] καὶ ναοὺς τῶν εἰδώλων καὶ ξόανα [4] καταστρεψάμενος, δεσμὰ καὶ μάστιγας παρὰ τῶν ἀσεβῶν [5] ὑπομένει· καὶ συχνὸν [6] χρόνον τῇ φυλακῇ προσκακοπαθεῖ, ἐν ᾗ ἄρτον ἐξ οὐρανοῦ δέχεται. Ἐκεῖθεν [7] δὲ [8] ἐξαχθεὶς φλογὶ πυρὸς ἀπορρίπτεται [9] καὶ θηρίοις εἰς [7]

1. — [1] ἤρχθη S.
3. — [1] Ἀχιλᾶς S.
4. — [1] ἐκκλησίαν D. — [2] ἀπέρρηξε D.
1. — [1] αὐτίκα καὶ θαρραλέως *add.* Mc. — [2] θεῖον *add.* Mc. — [3] χ. κήρυγμα Mc. — [4] ν. τ.ἑλλήνων σὺν τοῖς ἐν αὐτοῖς ξοάνοις Mc. — [5] (παρὰ - ἀσεβῶν) *om.* Mc. — [6] συγχνὸν S. — [7] *om.* Mc. — [8] εἶτα Mc. — [9] ῥίπτεται Mc.

Mai 29. 1. 2. 3. 4. — **Bb** : Ἑλικόνιδος (Mai 28¹). — Ἀλφαίου (Mai 26⁴). — Ἑλλαδίου (Mai 27¹). — Κρίσκεντος κτλ. — **Bc** : 3. 1. 2. — **C** : 3. 1. 2. — **Ce** : 3. 1. — **Cg** : 3. 1 : Θεοδοσίας τῆς παρθένου. Αὕτη ὑπῆρχεν ἀπὸ Τύρου τῆς πόλεως· δεκαοκτὼ δὲ ἐτῶν οὖσα δέσμιος ἤχθη προκαθεζομένοις τοῖς διώκταις, ὧν πρῶτος ἦν Οὐρβανὸς ὁ ἄρχων, ὃς παραυτίκα προστάττει θῦσαι τοῖς εἰδώλοις. Ἐπεὶ δὲ οὐκ ἐπείσθη, τύπτεται κατὰ τῶν μαζῶν καὶ κατὰ τῶν πλευρῶν καὶ συντρίβεται τὰ ὀστᾶ· καὶ φανεροῦνται τὰ σπλάγχνα αὐτῆς. Ἡ δὲ μαστιζομένη σιγῇ τὰς βασάνους ὑπέφερεν· ἔτι δὲ ἐμπνέουσαν ἠρώτα ὁ ἄρχων, εἰ τοῖς θεοῖς προσκυνήσει. Ἡ δὲ διανοίξασα τὸ στόμα καὶ τοῖς ὀφθαλμοῖς ἀτενὲς ἐμβλέψασα ὑπομειδιῶντι τῷ προσώπῳ εἶπε· « Πλανᾷ, ὦ ἄνθρωπε, οὐκ οἶδας ὅτι τῆς τοῦ Κυρίου μαρτύρων κοινωνίας » ἠξιώθην; » Ὁ δὲ ἐπειδὴ εἶδεν ἑαυτὸν γελώμενον ὑπὸ τῆς κόρης, ἐπὶ πλέον βασανίζει· εἶτα ἀπορρίπτει αὐτὴν ἐν τῇ θαλάσσῃ, ἐν ᾗ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. — 2. — **R** : 1. 2. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. — **Mc** : 1. 4. — Θεοδοσίας τῆς Κωνσταντινουπολιτίσσης (Iul. 18³). — Ὑπατίου τοῦ ἐν Ῥουφινιαναῖς (Iun. 17²). — **Mv** : 1. — Θεοδοσίας τῆς Κωνσταντινουπολιτίσσης. — 2. — **Mr** : 1.

Mai 30. SYNAXARIA SELECTA. **H** : 4. 2. — **P** : 4. 2. — Καὶ τὰ ἐγκαίνια τῆς ἁγίας Εὐφημίας ἐν Δεξιοκρατιαναῖς, πλησίον τοῦ ἁγίου Λαυρεντίου. — **D** : 4 : Ἰσακίου πρεσβυτέρου μοναχοῦ καὶ ὁμολογητοῦ. Οὗτος ἦν ἐξ ἀνατολῆς· ἐλθὼν δὲ εἰς τὸ Βυζάντιον κατὰ τοὺς καιροὺς Οὐάλεντος τοῦ ἀρειανοῦ, ἐπεὶ κατὰ τῶν Γότθων ὁ Οὐάλης ἐχώρει καὶ πόλεμον συνεκίνησεν, ὑπήντησεν αὐτῷ ὁ μακάριος Ἰσάκιος συμβουλεύων ἅμα καὶ παρακαλῶν ἀνοῖξαι τὰς τῶν ὀρθοδόξων ἐκκλησίας. Μὴ πεισθέντος δὲ τοῦ βασι-

βορὰν [10] δίδοται [11]· ὧν ἐν ἀνθρωπίνῃ φωνῇ φθεγξάμενον πάντας ἐξέπληξε. Πάντων δὲ [12] ἀνώτερος γενόμενος, τὴν ἰδίαν πατρίδα Σεβαστὴν καταλαμβάνει, θεῖον ἄγγελον προπορευόμενον αὐτοῦ καὶ ἐνισχύοντα αὐτὸν ἔχων· ἐν ᾗ [13] πλήρης ἡμερῶν γενόμενος ἀνεπαύσατο ἐν Κυρίῳ [14].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσεβίου [1], Ῥωμανοῦ, f. 229. | Μελετίου [2], Χαραλάμπους [3], Χριστίνης καὶ τοῦ πλήθους τῶν ἁγίων τῶν ἐν Νικομηδείᾳ καυθέντων. Τελεῖται δὲ ἡ αὐτῶν [4] σύναξις ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας μάρτυρος Εὐφημίας, τῷ ὄντι πλησίον τοῦ ἁγίου μάρτυρος Λαυρεντίου [5] ἐν τῷ Πετρίῳ.

3. Καὶ τῆς ἁγίας μάρτυρος Ἱεραΐδος.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαακίου πρεσβυτέρου, τοῦ ὁμολογητοῦ. Οὗτος ὥρμητο ἐξ ἀνατολῶν, ἐκ βρέφους τὸν τοῦ Κυρίου ζυγὸν ἑλόμενος· ὃς συναντήσας τῷ βασιλεῖ Οὐάλεντι κινήσαντι κατὰ τῶν Γότθων <καὶ στρατόπεδα [1]> τρακτευσαμένῳ [2], αὖθις [3] δὲ ἐν Κωνσταντινουπόλει εἰσιοντι [4] εἶπεν· « Ἄνοιξον » τοῖς ὀρθοδόξοις τὰς ἐκκλησίας, ὦ βασιλεῦ, εἰ » βούλει ἐκ τοῦ πολέμου ζῶν ὑποστρέψαι. » Ὀργισθεὶς οὖν ὁ βασιλεὺς προσέταξε τηρεῖσθαι τὸν ἅγιον ἐν τῇ φρουρᾷ, ἕως οὗ ὑποστρέψας [5] τιμωρήσει αὐτόν. Ὁ δὲ ἅγιός φησιν· « Εἰ σὺ » ὑποστρέψεις, οὐ λελάληκεν ἐν ἐμοὶ ὁ Θεός· » — ὑπῆρχε γὰρ ὁ ἅγιος διαβόητος καὶ μέγας σημειοφόρος — « φεύγων γὰρ ἀπὸ προσώπου » τῶν ἐχθρῶν σου, διὰ πυρὸς δέξῃ τὴν κατα- » στροφὴν τοῦ βίου σου· » ὃ δὴ καὶ γέγονε, τῷ προφητικῷ ῥητῷ τοῦ ἁγίου εἰς πέρας. Τὸν <γὰρ [6]> πόλεμον ἐλθὼν συνάψαι καὶ τραπείς, ἐν ἀχυρῶνι προσφυγὼν ἐκάη, ἐν αὐτῇ τῶν Γότθων ἐμπρησάντων αὐτόν· <καὶ [6]> ἀπέρρηξε τὴν πονηρὰν ψυχήν. Ὁ δὲ ἅγιος πλεῖστα θαυματουργήσας καὶ πολλοὺς ἐκ κινδύνων ψυχοφθόρων διασώσας, ἐν εἰρήνῃ ὁσίως ἀνεπαύσατο ἐν Κυρίῳ. Mai 30.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἑρμείου [1]. Οὗτος ἦν ἐπὶ Ἀντωνίνου τοῦ βασιλέως, ἐν τῇ πόλει Κομάνων, στρατιώτης τὴν τάξιν [2], τὴν ἡλικίαν ἤδη προβεβηκὼς καὶ λευκὴν ἔχων τῷ χρόνῳ τὴν τρίχα. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν συλληφθεὶς καὶ Σεβαστιανῷ τῷ δουκὶ προσαχθεὶς καὶ θῦσαι [3] μὴ βουληθείς, πρῶτον μὲν θλᾶται [4] τὰς σιαγόνας καὶ ἀφαιρεῖται τὴν δορὰν τοῦ προσώπου [5], τοὺς ὀδόντας ἐκριζοῦται, ἔπειτα εἰς κάμινον ἐμβάλλεται· ἀβλαβὴς δὲ ἐξελθὼν δηλητήρια φάρμακα διαφθαρῆναι κελεύεται· ἃ καταφαγὼν καὶ ἀβλαβὴς [6] διαμείνας τὸν Mai 31.

— [10] *om.* Mc. — [11] ἐκδίδοται Mc. — [12] τῶν κακούντων καὶ κολαζόντων *add.* Mc. — [13] ὧ Mc. — [14] ἐν Κ. ἀνεπαύσατο Mc.
2. — [1] Εὐσεβείου Mc. — [2] Τελετίου D, C. — [3] καὶ *add.* D. — [4] αὐτοῦ D. — [5] Λαβρεντίου S.
4. — [1] κ. σ. *supplevi, om.* S. — [2] ἐκστρατευσάμενος S, *cf. Vita S. Isaaci,* Act. SS., *Mai t. VII, p. 250.* — [3] *correxi,* αὐτὸς S. — [4] μέλλοντος *add.* S. — [5] ὑποστρέψε S. — [6] *supplevi, om.* S.
1. — [1] Ἑρμία D. — [2] τὸν στρατιωτικὸν βίον μετελθὼν D. — [3] τοῖς εἰδώλοις *add.* D. — [4] θλάττεται D. — [5] τοῦ πρ. τὸ δέρμα καὶ D. — [6] (εἰς - ἀβλαβὴς) ἀναφθείσης καμίνου μέσον ἐμβάλλεται· ἀβλαβὴς δὲ ἐκ τοῦ πυρὸς ἐξελθὼν δηλητηρίοις φαρμάκοις διαφθαρῆναι κελεύεται, ἃ καταφαγὼν καὶ ἀπαθὴς D.

Mai 30. λέως ἀλλὰ ἀποστραφέντος, πάλιν προφθάσας τὸ αὐτὸ παρῄνει, ἀνοῖξαι λέγων καὶ ἀποδοθῆναι τὰς ἐκκλησίας τοῖς ὀρθοδόξοις, εἰ μὴ μέλλοι ἀπὸ προσώπου τῶν ἐχθρῶν ἐν πολέμῳ φυγὼν ἀπολέσθαι κακῶς. Αὐτοῦ δὲ διὰ τὴν παρρησίαν χαλεπήναντος καὶ κελεύσαντος αὐτὸν μαστιγωθέντα ῥιφῆναι ἐπ' ἀκανθῶν, πάλιν προφθάσας ὁ ἅγιος ἐν τῷ λεγομένῳ Τρίτῳ, ἐπελάβετο τοῦ χαλινοῦ διαρρήδην τὸν ὄλεθρον προσημαίνων αὐτῷ, εἰ μὴ τὰς ἐκκλησίας τοῖς χριστιανοῖς ἀποδῷ. Ὅθεν ὀργισθεὶς παρέδωκεν αὐτὸν Σατορνίνῳ καὶ Βίκτωρι, φυλάξαι τοῦτον παρακελευσάμενος μέχρι τῆς ἐν εἰρήνῃ αὐτοῦ ἐπανελεύσεως. Ἔνθα δή <φασιν [1]> τὸν ἅγιον εἰπεῖν· « Εἰ σὺ ἐν εἰρήνῃ ὑποστρέψεις, οὐ λελάληκεν ἐν ἐμοὶ ὁ » Θεός· φεύξῃ γὰρ ἐξ ἐναντίας τῶν ἐχθρῶν σου καὶ καταληφθεὶς διὰ πυρὸς δέξῃ τὴν τοῦ βίου κατα- » στροφήν. » Ἐπεὶ δὲ συμβαλὼν [2] καὶ ἡττηθεὶς ἐν ἀχυρῶνι καταπέφευγεν ἅμα τῷ πραιποσίτῳ, ὃς τὴν αὐτὴν κακοδοξίαν νοσῶν ἀεὶ τὸν βασιλέα κατὰ τῶν ὀρθοδόξων ἐκίνει καὶ ἀνηρέθιζεν, καὶ ἐν αὐτῷ τῷ κατὰ τῶν Γότθων πυρὶ παρεδόθη, ἐπεὶ τῇ προρρήσει ὁ ὅσιος καὶ τῇ παρρησίᾳ καὶ τῇ ὀρθοδόξῳ ὁμολογίᾳ ἐμεγαλύνθη καὶ ἐν ταύτῃ τῇ βασιλίδι πόλει τὸ λειπόμενον τοῦ βίου ὁσίως [3] διαγαγὼν πρὸς Κύριον μετετέθη. — 2. 3. — **Da** : 4. 2. — **Db** : 4. 2. des. : ἡ σύναξις αὐτῶν ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας παρθενομάρτυρος Ἡραΐδος. — **K** : 4. 2. 3. — **N** : 4. 2. 3. — **Bb** : 4. — **Bc** : 4. 2. — **C** : 4. 2. — **Ce** : 4. 2. — **Cg** : 4. 2. — **R** : 4. — **Ra** : 1. 4. — **Rb** : 1. 4. — **Rc** : 4. — **Mc** : 4. 1. — Νατάλιος ξ. τ. — Βαρλαὰμ ἐν εἰρήνῃ τ. — 2 : Ῥωμανὸς καὶ Μελέτιος ξ. τ. — Εὔπλος βύρσῃ βοὸς ἑλιχθεὶς καὶ ἐν ἡλίῳ τεθεὶς τ. — **Mv** : 4. — **Mr** : 4.

Mai 31. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1 (Ἑρμία). — **N** : 1. — **Bb** : 1. — Εὐσεβίου κτλ. (Mai 30²). — **Bc** : 1. — **C** : 1. — **Ce** : 1 (Ἑρμεία). — **Cg** : 1 : Ἑρμείου. Οὗτος ἦν ἐπὶ Ἀντωνίνου τοῦ βασιλέως, ἐν πόλει Κομάνων τὸν στρατιωτικὸν βίον μετελθών, τὴν ἡλικίαν ἤδη προβεβηκὼς καὶ λευκὴν ἔχων [1] τὴν τρίχα τῷ χρόνῳ. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν κρατηθεὶς καὶ θῦσαι τοῖς εἰδώλοις μὴ βουληθείς, πρῶτον μὲν σιαγόνας συντρίβεται καὶ τοῦ προσώπου τὸ δέρμα ἐκδέρεται καὶ τοὺς ὀδόντας ἐκριζοῦται· ἔπειτα ἀναφθείσης καμίνου, ἐμβάλλεται. Ἀβλαβὴς δὲ ἐκ τοῦ πυρὸς ἐξελθών, δηλητηρίοις φαρμάκοις διαφθαρῆναι κελεύεται, ἅτινα καὶ καταπιὼν καὶ ἀπαθὴς

[1] *supplevi, om.* D. — [2] ἐμββαλὼν D. — [3] ὁ ὅσιος D.
[1] ἔχοντος Cg.

Mai 31. ταῦτα κεράσαντα πρὸς τὴν πίστιν ἐφέλκεται· ὃς τὸν Χριστὸν ὁμολογήσας τὸν αὐχένα ἐτμήθη[7]. Ὁ δὲ ἅγιος ἐκσπᾶται τὰ νεῦρα παντὸς τοῦ σώματος καὶ ἐκπυρωθέντι ἐλαίῳ ἐμβάλλεται[8]· εἶτα ἐκκεντᾶται τοὺς ὀφθαλμοὺς καὶ ἐπὶ τρισὶν ἡμέραις κρεμᾶται κατὰ κεφαλῆς· ἔπειτα[9] τὸν αὐχένα τμηθεὶς ἐφίπταται καὶ ἀνατρέχει πρὸς οὐρανούς[10].

— [7] τὴν κεφαλὴν ἀποτέμνεται D. — [8] ἐν πυρωθέντι ἐλ. ἐμβάλεται D. — [9] καὶ εἶθ' οὕτως D. — [10] *ad calcem* τέλος τοῦ μαΐου S.

Mai 31. διαμείνας, τὸν ταῦτα κεράσαντα πρὸς τὴν πίστιν ἐπισπᾶται· ὃς τὸν Χριστὸν ὁμολογήσας τὴν κεφαλὴν ἀποτέμνεται. Ὁ δὲ ἅγιος ἐκσπᾶται τὰ νεῦρα πάντα τοῦ σώματος καὶ ἐν πυρωθέντι ἐλαίῳ ἐμβάλλεται· εἶτα ἐκκεντᾶται τοὺς ὀφθαλμοὺς καὶ ἐπὶ τρισὶν ἡμέραις κρεμᾶται κατὰ τῆς κεφαλῆς· εἶτα τὴν κεφαλὴν ἀποτμηθεὶς πρὸς τὸν Θεὸν ἐπορεύθη. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1 (Ἑρμεία). — **Rc** : 1. — **Mc** : 1. — Ἰωάννου ἐπισκόπου Γοτθίας (Iun. 26²). — Ὁ τῷ ἁγίῳ Ἑρμείᾳ κεράσας φάρμακον μάγος πιστεύσας τῷ Χριστῷ ξ. τ. — Εὐσέβιος καὶ Χαραλάμπης π. τ. — **Mv** : 1. — **Mr** : 1.

f. 229r.

ΜΗΝ ΙΟΥΝΙΟΣ

ἔχει ἡμέρας λ', ἡ ἡμέρα ἔχει ὥρας ιε' καὶ ἡ νὺξ ὥρας θ'.

ΠΡΩΤΗ.

Iun. 1. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰουστίνου, Χαρίτωνος, Χαριτοῦς, Εὐελπίστου, Ἱέρακος, Παίωνος καὶ Λιβεριανοῦ. Οὗτοι ἠθλησάν[1] ἐν Ῥώμῃ ἐπὶ Ῥουστικοῦ τοῦ ἐπάρχου, καὶ μετὰ πολλὰς βασάνους τὰς κεφαλὰς ἐτμήθησαν[2]. Λέγεται δὲ πρὸ τῆς ἐκτομῆς[3] εἰπεῖν τῷ ἁγίῳ Ἰουστίνῳ τὸν ἔπαρχον[4]· «Ἦ οἴεσθε[5] » εἰς οὐρανοὺς ἀνελθεῖν ἀγαθά τινα ληψόμε» νοι[6]; » τὸν δὲ μὴ οἴεσθαι εἰπεῖν, ἀλλ'· « Ἀκριβῶς » πεπληροφόρημαι, ὡς χρηστῶν τινῶν ἀντιδό» σεις καὶ φιλοφροσύνας τῆς τῶν οὐρανῶν βασι» λείας ληψόμεθα. » Καὶ οὕτω τὰς κεφαλὰς ἀπετμήθησαν[7].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουστίνου τοῦ φιλοσόφου. Οὗτος ἦν ἀπὸ Φλαυΐας Νεαπόλεως[1] τῆς Συρίας, υἱὸς Πρίσκου

1. — [1] ἐμαρτύρησαν D. — [2] ἀπετμήθησαν D. — [3] τὸν ἔπαρχον *add.* D. — [4] *om.* D. — [5] οἱ εἴεσθαι S, οἵ [illegible] εται ἀναιρεθεὶς D. — [6] λειψόμενος D. — [7] (ἀκριβῶς - ἀπετμήθησαν) πληροφορίαν ἔχειν ὡς αὐτίκα αὐτὸν χρηστῶν τινῶν ἀντιδόσεις καὶ φιλοφροσύναι ἐκδέξονται καὶ οὕτω τὴν κάραν τμηθῆναι D.
2. — [1] Νέας πόλεως D.

Iun. 1. SYNAXARIA SELECTA. **H** : 2. 1. — Ἑρμύλου καὶ Στρατονίκου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἀρχαγγέλου Μιχαὴλ τῷ ὄντι ἐν τῇ Ὀξείᾳ καὶ ἐν Φιρμουπόλει καὶ ἐν τοῖς Σπουδαίου, πλησίον τοῦ Ὀρφανοτροφείου (Iun. 2⁴). — 3. — **P** : Ἄθλησις τῶν ἁγίων μαρτύρων, ὧν ὁ ἀριθμὸς μύριοι, τῶν ἐν Ἀντιοχείᾳ (Iun. 2⁶). — 2. 1. — Ἑρμύλου καὶ Στρατονίκου. — **D** : 2. 1. — Ἑρμύλου καὶ Στρατονίκου. — 3. — **Da** : 2. 1. — Ἑρμύλου καὶ Στρατονίκου. — 3. — **Db** : 2. 1. — Ἑρμύλου καὶ Στρατονίκου. — 3. — **K** : 2. 1. — Ἑρμύλου καὶ Στρατονίκου. — **N** : 2. 1. 3. — **Bb** : 2. 1. — Ἑρμύλου καὶ Στρατονίκου. — **Bc** : 2. 1. — **C** : 2. 1 (... Παίονος καὶ Ἀβελεριανοῦ). — Ἑρμύλου καὶ Στρατονίκου. — **Ce** : 2. 1 (... Λεβεριανοῦ). — Ἑρμύλου καὶ Στρατονίκου. — **Cg** : 2. 1 (... Ἀβελεριανοῦ). — **R** : 2. 1. — **Ra** : 1. 2. — **Rb** : 2. 1. — **Rc** : 2. 1. — **Mc** : 2. 1. — Διήγησις ὠφέλιμος περὶ γεωργοῦ τινος Μετρίου λεγομένου. Ἐν τῷ θέματι τῆς Παφλαγονίας γεωργός τις ἦν ἐν αὐταρκείᾳ διαβιῶν Μέτριος οὕτω λεγόμενος· καὶ βλέπων τοὺς γείτονας αὐτοῦ ἄρρενας παῖδας ἔχοντας καὶ σὺν τῇ τῶν παιδογόνων μορίων ἐκκοπῇ ἐπιμελουμένους καὶ ἐκπαιδεύοντας καὶ πρὸς τὴν βασιλεύουσαν ἐκπέμποντας πόλιν, ζήλῳ τρωθεὶς ὡς ἄνθρωπος· « Κύριε, φησίν, εἰ ἄξιός εἰμι, δώρησαι κἀμοὶ ἄρρενα παῖδα, ἵνα χρήσωμαι κἀγὼ » ὡς πάντες εἰς βακτηρίαν τοῦ γήρως μου καὶ δοξάσω τὸ ὄνομά σου τὸ ἅγιον. » Καὶ ὡς ταῦτα προσηύξατο πρὸς τὸν Θεόν, ἔφθασεν ἡ κατ' ἔτος ἐγχωρίως γινομένη πανήγυρις καὶ ἐπιθεὶς τῇ ἁμάξῃ αὐτοῦ τὰ χρειώδη, κατέλαβε τὴν πανήγυριν· καὶ τὰ μὲν πωλήσας τὰ δὲ ἀνταλλάξας ὧν ἐπεφέρετο, ἐξῆλθε τῆς πανηγύρεως. Καὶ ἐλθὼν ἐπὶ χλόην τινὰ καὶ ὕδωρ, τοὺς βόας ἀνέπαυσε. Περιβλεψάμενος δὲ χαμαὶ ὁρᾷ ἐν τῇ γῇ κείμενον προχείριον μεστὸν χρυσίου χιλίων πεντακοσίων νομισμάτων, καὶ λαβὼν αὐτὸ ἔθετο ἐν τῇ ἁμάξῃ καὶ ἐπορεύετο τὴν ὁδὸν αὐτοῦ. Καὶ διασωθεὶς ἐν τῷ οἴκῳ αὐτοῦ ἀπέθετο αὐτὸ ἐν τόπῳ ἀσφαλεῖ, μὴ θαρρήσας τινὶ περὶ αὐτοῦ μηδὲ αὐτὸς ἀνοίξας αὐτὸ ἐφ' ᾧ διαγνῶναι, τί τὸ ποσὸν τούτου ἢ ποιόν. Τοῦ χρόνου οὖν παραρρυέντος καὶ τῆς συνήθους πανηγύρεως ἐπιστάσης, λαβὼν πάλιν ὁ γεωργὸς κατὰ τὸ εἰωθὸς τὴν ἅμαξαν πεφορτισμένην, ἐπιθεὶς αὐτῇ καὶ τὸ χρυσίον ὡς ἦν ἐσφραγισμένον, ἐπορεύθη εἰς τὴν πανήγυριν, καὶ εἰσελθὼν ἐν σπουδῇ πωλήσας καὶ ἀνταλλάξας ἃ εἶχε κατὰ συνήθειαν, λαβὼν τὰ χρειώδη ἐξῆλθε πρὸ παντὸς ἄλλου τῆς τοιαύτης πανηγύρεως. Καὶ καθεσθεὶς ἐπὶ τῆς πεδιάδος αὖθις ἐκείνης, ἐστοχάζετο τοὺς διερχομένους. Τότε ὁ τὸ χρυσίον ἀπολωλεκὼς ἐλθὼν ἐν τῷ τόπῳ καὶ ἀποβλέψας πρὸς αὐτὸν ἔνθα ἐπιλαθόμενος κατέλιπε τὸ χρυσίον, ἐστέναξεν ἐκ βάθους καρδίας. Καὶ εἶπεν ὁ γεωργὸς πρὸς αὐτόν· « Τίς εἶ, κύριέ μου ἀδελφέ, καὶ τίς ὁ πόνος τοῦ τοιούτου » στεναγμοῦ; » Ὁ δὲ ἀπὸ ὀδύνης καρδίας οὐκ ἠδύνατο λαλῆσαι αὐτῷ, καὶ βιασάμενος αὐτὸν ὁ γεωργὸς μόλις ἔπεισεν εἰπεῖν πρὸς αὐτόν· « Τί μοι τὸ ὄφελος, ἀδελφέ, εἰπεῖν σοι τὰ κατ' ἐμέ; » Καὶ ὁ γεωργός· « Ἴσως κἂν λόγῳ ὠφελήσομέν σε, » φησί. Τότε πάλιν στενάξας ἐκεῖνος ἐκ βάθους, φησὶ πρὸς τὸν γεωργόν· « Ἐγώ, ἀδελφέ, πραγματευτὴς γενόμενος δόκιμος, εἶχον χίλια νομίσματα, καὶ λαβὼν καὶ ξένα » ἐποίησα πραγματείαν πολλὴν καὶ κατὰ τὸν πέρυσι καιρὸν ἐλθὼν εἰς ταύτην τὴν πανήγυριν πωλήσας » πάντα, ἔβαλον εἰς ἀληθινὸν προχείριον χίλια πεντακόσια νομίσματα, καὶ ἀσφαλισάμενος αὐτὰ μετὰ » σειραδίου σηρικοῦ ἐξῆλθον τῆς πανηγύρεως. Καὶ ἐλθὼν ἐνθάδε ἀπώλεσα ταῦτα καὶ ἀπὸ μεγάλου

Iun. 1. τοῦ Βακχίου. Ἐλθὼν δὲ ἐν Ῥώμῃ, Ἀντωνίνῳ τῷ βασιλεῖ κατὰ τῆς πλάνης τῶν εἰδώλων ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας λίβελλον ἐπιδέδωκε, τὴν μὲν κρατύνων, τὴν δὲ καθαιρῶν γραφικαῖς καὶ λογικαῖς ἀποδείξεσι· φθονηθεὶς δὲ ὑπὸ τοῦ φιλοσόφου Κρίσκεντος ἀναιρεῖται.

3. Τῇ αὐτῇ ἡμέρᾳ[1] μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ὑπατίου ἐπισκόπου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Iun. 2. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ δυσσεβοῦς Κοπρωνύμου, γέννημα καὶ θρέμμα τῆς βασιλίδος τῶν πόλεων· πατέρες δὲ αὐτῷ ἐξ εὐπατριδῶν καὶ περιωνύμων, Θεόδωρος καὶ Εὐδοκία. Οὗτος ὁ Θεόδωρος γέγονεν ὑπογραφεὺς τῶν βασιλικῶν ἐνταλμάτων· καὶ διαβληθεὶς ὡς προσκυνητὴς τῶν θείων εἰκόνων, μάστιξι καταξαίνεται καὶ ἐπὶ Μύλασσα[1] στέλλεται τὸ δεινότατον φρούριον. Καὶ μετὰ ταῦτα ἀνακληθεὶς καὶ μὴ εἴξας τοῖς βασιλικοῖς προστάγμασιν, πάλιν ὑπὸ τὴν Νίκαιαν ὑπερορίζεται, κἀκεῖσε διαρκέσας χρόνους ἓξ ἐν κακώσει πολλῇ τὸν βίον ἀπολείπει. Ὁ δὲ τούτου παῖς ὁ τίμιος Νικηφόρος τοῖς τῆς ὀρθοδοξίας σπαργάνοις ἐξ αὐτῆς λοχίας ἐνειλίσσεται καὶ εὐσεβείας γάλακτι ἐκτρέφεται καὶ τὸ νηπιῶδες παραμειψάμενος καὶ καλῶς παιδευθεὶς εἰς τοὺς ὑπογραφεῖς κατατάττεται. Ἔπειτα ὡς σκύβαλα πάντα καὶ ὡς ἀράχνην λογισάμενος, ἀναχωρεῖ τῆς πόλεως καὶ τὴν Προποντίδα τοῦ ἄστεος κατα|λαμβάνει, κἀκεῖσε μόνος μόνῳ Θεῷ προσεῖχε, πλείστοις πόνοις καὶ ταλαιπωρίαις προσομιλῶν. Ἐπεὶ δὲ Ταράσιος ὁ μέγας ἀρχιερεὺς ἀπεβίω, Νικηφόρος οὗτος ὑπὸ Νικηφόρου ἄνακτος βιασθεὶς καὶ παρακληθεὶς τὸν θρόνον ὑπέρχεται Κωνσταντινουπόλεως. Καὶ μετὰ μικρὸν τοῦ οὖν βασιλέως ἀναπαυσαμένου καὶ Σταυρακίου τοῦ υἱοῦ αὐτοῦ διαδεξαμένου τὴν βασιλείαν καὶ αὐτοῦ πάλιν τάχιον ἀποβιοῦντος, Μιχαὴλ ὁ εὐσεβέστατος τῆς βασιλείας τὰ σκῆπτρα δέχεται· τοῦτον δὲ καθελὼν τῆς βασιλείας Λέων ὁ θηριώνυμος καὶ ταύτης f. 230.

3. — [1] (τ. α. ἡ.) καὶ D.
1. — [1] Μύλασσον S.

Iun. 1. » πλούτου κατήντησα εἰς ἐσχάτην πτωχείαν. Σὺ δὲ ῥακενδύτης ὤν, τί με δύνασαι ὠφελῆσαι; » Τότε ὁ γεωργὸς στοχασάμενος ἐκ τῶν λόγων αὐτοῦ, ὅτι αὐτός ἐστιν ἐν ἀληθείᾳ ὁ τὸν χρυσὸν ἀπολέσας, λαβὼν τὸ προχείριον ἀπὸ τῆς ἁμάξης, ὑπέδειξεν αὐτῷ λέγων· « Τοῦτό ἐστιν ὅπερ ἀπώλεσας; » Ὁ δὲ ἰδὼν ἐξ ἀπροσδοκήτου καὶ μάλιστα ἀπὸ τοιούτου προσώπου, ἐξ ἄκρας περιχαρείας ἔπεσε χαμαὶ ὡσεὶ νεκρός. Καὶ λαβὼν ὁ γεωργὸς ὕδωρ ἀπὸ τῆς πηγῆς, κατέχεεν εἰς τὴν ὄψιν αὐτοῦ· καὶ μετὰ μικρὸν κρατήσας αὐτὸν τῆς χειρὸς ἀνέστησε καί φησιν· « Εἰπέ, ἀδελφέ, εἰ ἐν ἀληθείᾳ σόν ἐστι τὸ προχείριον τοῦτο. » Ὁ δὲ περίδακρυς γενόμενος ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ λέγων· « Ναί, ἄγγελε τοῦ Θεοῦ, ἐμόν ἐστι » καὶ οὐκ ἔλυσας αὐτό· οὕτως γὰρ εἶχον αὐτὸ ἐσφραγισμένον. » Ὁ δὲ ἔφη· « Λῦσον νῦν αὐτὸ ἐνώπιόν » μου, κύριέ μου· καὶ εἰ τοσαῦτα ἔχει, πιστεύω ὅτι σόν ἐστι. » Τότε καθίσαντες ἀμφότεροι ἔλυσαν αὐτό· καὶ μετρήσαντες εὗρον χίλια πεντακόσια νομίσματα. Καὶ πολλὰ βιασάμενος ὁ πραγματευτὴς τὸν γεωργὸν τὰ πεντακόσια λαβεῖν, πεῖσαι οὐκ ἴσχυσεν. Ἀλλὰ καὶ ὅρκοις φρικτοῖς ὁρκίσαντος τοῦ πραγματευτοῦ, ὁπωσοῦν μικρόν τι λαβεῖν, οὐ κατεδέξατο. Ἀναστάντες οὖν ἀμφότεροι καὶ τῷ Θεῷ εὐχαριστήσαντες καὶ ἀλλήλους ἀσπασάμενοι, ἀπῆλθον ἕκαστος οἴκαδε χαίροντες. Καὶ τῇ νυκτὶ ἐκείνῃ πεσὼν εἰς τὸ κλινίδιον αὐτοῦ ὁ γεωργὸς ὕπνωσε, καὶ ἐλθὼν ἄγγελος λαμπροφανής φησι πρὸς αὐτόν· « Ἐπειδὴ » οὕτως ἐποίησας, ἰδοὺ κεχάρισταί σοι παιδίον ἄρρεν καὶ ποιήσεις αὐτὸ ὡς βούλει καὶ μετὰ τὸ » ἀπογαλακτισθῆναι αὐτὸ καὶ εἰσαχθῆναι ἐν τῇ βασιλευούσῃ τῶν πόλεων δοξασθήσεται ἐπὶ τῆς γῆς καὶ » ἐμπλησθήσεται ἅπαν σου τὸ γένος παντὸς ἀγαθοῦ. » Ἔξυπνος δὲ γενόμενος ὁ ἀνὴρ ἐδόξασε τὸν Θεόν. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ γεννηθέντος τοῦ παιδός, ἐπέστη πάλιν ὁ ἄγγελος καί φησι· « Κωνσταν» τῖνος κληθήσεται τὸ παιδίον. » Οὕτω δὲ κληθέντα καὶ ἀπαγαλακτισθέντα καὶ μικρόν τι τοῖς ἱεροῖς ἐκπαιδευθέντα γράμμασιν, ἡ βασίλισσα καὶ δεσπότις τούτου τῷ βασιλεῖ Λέοντι αὐτὸν οἰκειώσασα τῷ τοῦ Βασιλείου υἱῷ, ἐπὶ τοσοῦτον δοξασθῆναι πεποίηκεν, ὡς καὶ πατρίκιον καὶ παρακοιμώμενον γενέσθαι, τούς τε γεννήτορας καὶ ἅπαν τὸ γένος αὐτοῦ μυρίων ἐμπλῆσαι ἀγαθῶν. — Νέων ξ. τ. — Πύρρος ἐπίσκοπος ἐν εἰρήνῃ τ. (Iun. 2[2]). — **Mv** : 2. 1 (... Πέωνος καὶ Βαλεριανοῦ). — Φίρμου τοῦ μάρτυρος. — Τοῦ ἁγίου μάρτυρος Θεσπεσίου. — Ἑρμύλου καὶ Στρατονίκου. — 3. — **Mr** : 2. 1.

Iun. 2. SYNAXARIA SELECTA. **H** : 1. 2 (... Γερασίμου καὶ Ἐρασίμου). — 3. — **P** : 1. 2 (τοῦ ὁσίου Γερασίμου). — 3 : Ἀκακίου καὶ τῆς συνοδίας αὐτοῦ. — 2 (τοῦ ὁσίου Ἐράσμου καὶ τοῦ ἁγίου Πύρου ἐπισκόπου). — **D** : 1. 2 (... Πύρου). — 3. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1 (... Πύρου). — 2. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. 2 : Κύπρου ἐπισκόπου, Γερασίμου καὶ Ἐράσμου. — 3. — **Ce** : 2. — **Cg** : 1. 2 (... Κύπρου). — 3. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Ἀλεξάνδρου πατριάρχου Κωνσταντινουπόλεως. Οὗτος ὁ μακάριος πάσης ἀρετῆς ἦν πεπληρωμένος· ἦν δὲ πρωτοπρεσβύτερος τοῦ ἁγίου Μητροφάνους τοῦ πατριάρχου Κωνσταντινουπόλεως. Καὶ ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ συνόδῳ οὗτος ἐξῆλθεν ἀντὶ τοῦ ἁγίου, ὡς γηραιοῦ καὶ ἀδυνάτου ὄντος, καὶ πολλὰ ἠγωνίσατο ἐν τῇ συνόδῳ. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς συνόδου, τῇ τοῦ βασιλέως παρακλήσει πάντες οἱ πατέρες εἰσῆλθον ἐν τῇ πόλει πρὸς τὸ εὐλογῆσαι αὐτήν. Καὶ ἐλθὼν ἄγγελος Κυρίου φησὶ τῷ μακαρίῳ Μητροφάνει· « Ἐπειδὴ

ἐγκρατὴς γενόμενος, κατὰ τῶν ἁγίων εἰκόνων χωρεῖ καὶ κατὰ τῆς εὐσεβοῦς ἡμῶν πίστεως. Ὅσα δὲ καὶ ὁποῖα ὁ σεβάσμιος πατὴρ ἡμῶν Νικηφόρος πρὸς τὸν ἀσεβῆ καὶ ἀλιτήριον διεξῆλθε παρρησιασάμενος[2], ἀδύνατον καὶ λέγειν καὶ γράφειν. Ὁ δὲ θεομισὴς παραυτὰ καθελὼν αὐτὸν τοῦ θρόνου καὶ ὑπερορίσας, τῇ εἱρκτῇ ἐναπορρίψας, μηδεμιᾶς παραμυθίας παρὰ οἱουδήποτε προστάττει τοῦτον μεταλαχεῖν· καὶ οὕτω διήρκεσεν ὁ γεννάδας ταλαιπωρούμενος, μέχρις ἂν ὁ δείλαιος οὗτος τὴν ψυχὴν ἐναπέρρηξεν, ὑπὸ τῶν οἰκείων μαχαίραις μεληδὸν κατακοπεὶς ἐν τῷ τοῦ Φάρου ναῷ. Ὁ δὲ μακάριος οὗτος χρονίαις ταλαιπωρίαις καταπονηθεὶς ἑβδομηκοστόν που χρόνον[3] πληρώσας εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα παρέθετο, ἐννέα μὲν ἐν τῇ ἀρχιερωσύνῃ διατελέσας χρόνους, τρεισκαίδεκα δὲ ἐν τῇ ἐξορίᾳ. Ἦν δὲ κατὰ πάντα ὅμοιος Κυρίλλῳ, τῷ τῆς Ἀλεξανδρείας, ἐκτὸς τοῦ οὔλου τῆς κεφαλῆς καὶ τῆς γενειάδος καὶ τοῦ μιξαιπολίου· πολιὸς γὰρ <ἦν[4]> εἰς ἄκραν καὶ τετανόθριξ καὶ οὔτε προπῖπτον τὸ διάφραγμα τῶν μυκτήρων οὔτε παχέα ἔχων τὰ χείλη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων τῶν μεγάλων, ἔνθα τὸ τίμιον αὐτοῦ κατάκειται λείψανον. Iun. 2.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Πύρρου[1] ἐπισκόπου, Γερασίμου καὶ Ἐράσμου.

3. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀκακίου.

4. Καὶ τῶν ἁγίων Ἑρμύλου[1] καὶ Στρατονίκου ἐν τῇ Ὀξείᾳ.

5. Καὶ τοῦ ὁσίου Ἀττάλου.

6. Καὶ τῶν ἁγίων μυρίων τῶν ἀθλησάντων ἐν Ἀντιοχείᾳ ἐπὶ τῆς βασιλείας τοῦ δυσσεβοῦς Δεκίου.

7. | Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου καὶ πολυάθλου Ἐράσμου. f. 230v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Λουκιλλιανοῦ[1] καὶ τῶν σὺν αὐτῷ[2] νηπίων Κλαυδίου, Ὑπατίου, Παύλου καὶ Διονυσίου καὶ[3] Παύλης[3]. Οὗτος ὁ ἅγιος μάρτυς Λουκιλλιανὸς ἦν κατὰ τοὺς χρόνους Αὐρηλιανοῦ[4] τοῦ[3] βασιλέως, πρότερον ἱερεὺς τῶν εἰδώλων ὑπάρχων, τὴν οἴκησιν ἔχων οὐ πόρρω τῆς πόλεως Νικομηδείας, γηραιὸς τὴν ἡλικίαν. Μεταβληθεὶς <δὲ[5]> πρὸς τὴν εἰς Χριστὸν πίστιν καὶ προσαχθεὶς Σιλβανῷ τῷ κόμητι καὶ μὴ πεισθεὶς ἀρνήσασθαι τὸν Χριστὸν καὶ τὴν προτέραν ἀνελέσθαι[6] θρησκείαν, θλᾶται[7] τὰς σιαγόνας καὶ τύπτεται ῥάβδοις καὶ κατὰ κεφαλῆς κρεμᾶται[8]· εἶτα εἰσαχθεὶς[9] ἐν τῇ φυλακῇ κἀκεῖ τέσσαρα παιδία προστεθέντα διὰ τὴν εἰς Χριστὸν πίστιν[10] εὑρών, μετ᾽ αὐτῶν αὖθις τῷ κόμητι ἐμφανίζεται· καὶ ἐπιμένων τῇ εἰς Χριστὸν πίστει εἰς κάμινον πυρὸς μετὰ τῶν παίδων ἐμβάλλεται. Ἄνωθεν δὲ ἐπιχεθέντος ὄμβρου καὶ τῆς φλογὸς σβεσθείσης, ἐξέρχονται ἀβλαβεῖς[11]· καὶ δεξάμενος ἅμα τοῖς παισὶ τὴν ἀπόφασιν, ἤχθη εἰς τὸ Βυζάν- Iun. 3.

— [2] παρησιασάμενος S. — [3] ἑβδομικοστόπου χρόνου S. — [4] *supplevi, om.* S.
2. — [1] Πύρου D.
4. — [1] Ἑρμήλου S.
1. — [1] Λουκιλιανοῦ S, καὶ Παύλης *hic add.* D. — [2] αὐτοῖς D. — [3] *om.* D. — [4] Αὐριλιάνοῦ S, Αὐριλλιανοῦ D. — [5] (πρότερον - μεταβληθεὶς) ἱ. τ. εἰδώλων τὸ πρότερον γηραιὸς τὴν ἡλ. καὶ τὴν τρίχαλευκός τὴν οἴκησιν ἔχων οὐ πόρρω τῆς π. Νικομήδους μετατεθεὶς δὲ D. — [6] ἑλέσθαι D. — [7] θλάττεται D. — [8] κρεμνᾶται D. — [9] βληθεὶς D. — [10] παιδία τέσσαρα διὰ τὴν εἰς Χ. π. τεθέντα D. — [11] ἐξέρχεται ἀβλαβὴς D.

Iun. 2. » τῷ Θεῷ πρεπόντως σὺ εὐηρέστησας, ἰδοὺ μετὰ δεκάτην ἡμέραν λαμβάνεις τὸν στέφανον ἐκ Θεοῦ· τὸν » δὲ θρόνον τῆς ἐκκλησίας ἀντὶ σοῦ Ἀλέξανδρος ὁ συλλειτουργός σου κατακοσμήσει. » Τότε οἱ ἅγιοι πατέρες οἱ τῆς συνόδου μετὰ τοῦ μακαρίου Μητροφάνους εὐφρανθέντες καὶ τοῦτον κηδεύσαντες, τὸν ἁγιώτατον τοῦτον Ἀλέξανδρον ἐνεθρόνισαν πατριάρχην. Τοῦ βασιλέως δὲ Κωνσταντίνου ἀποθανόντος, ἐκράτησεν ὁ τούτου υἱὸς Κωνστάντιος. Καὶ ἐπεὶ τοῦ δυσσεβοῦς ἀντεποιεῖτο Ἀρείου, κατήπειγε τὸν μακάριον Ἀλέξανδρον δέξασθαι αὐτὸν εἰς κοινωνίαν· ὁ δὲ οὐκ ἐπείσθη, ἀλλὰ ἀταράχως τοῦ Θεοῦ καὶ περὶ τούτου δεηθείς, εὐθυμῶν ἦν. Ἄρειος δὲ τότε λῃστρικῶς μετὰ βασιλικῆς αὐθεντίας πρὸς τὴν τοῦ Θεοῦ ἐκκλησίαν ἐρχόμενος, ἐνύγη κατὰ τὴν γαστέρα καὶ κενώσας πᾶσαν τὴν οὐσίαν αὐτοῦ ἀπέψυξεν. Ὁ δὲ μακάριος Ἀλέξανδρος ποιμάνας τὴν τοῦ Θεοῦ ἐκκλησίαν ἐπὶ χρόνοις τρισὶ πρὸς τοῖς εἴκοσιν, ἀπῆλθε πρὸς Κύριον. — Οἱ ἅγιοι λη' μάρτυρες ἐν λουτρῷ βληθέντες καὶ τῆς θύρας φραγείσης τ. — Μήτηρ μετὰ τῶν τριῶν τέκνων αὐτῆς ξ. τ. — **Mv** : 1. — **Mr** : 1.

Iun. 3. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1 : Λουκιλλιανοῦ, Παύλης καὶ τῶν σὺν αὐτοῖς δ' νηπίων Κλαυδίου, Ὑπατίου, Παύλου, Διονυσίου ἐπὶ Αὐρηλιανοῦ βασιλέως· ἱερεὺς τῶν εἰδώλων, πολιὸς τὴν τρίχα, τὴν οἴκησιν ἔχων ἀπὸ μιλίων β' τῆς Νικομηδέων πόλεως, ἐπὶ Σιλβανοῦ κόμητος. — Ἀχιλλᾶ[1] ἐπισκόπου Ἀλεξανδρείας. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1 (Λουκιλλιανοῦ. — Παύλης). — **Bc** : 1 (Λουκιλλιακοῦ. — Παύλης). — **C** : 1 (Λουκιλλιανοῦ. — Παύλης). — **Ce** : 1. — **Cg** : 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ (alia manu, et alia iterum : ζήτει τὸ συναξάριον τοῦ ἁγίου Κόνωνος εἰς τὴν ς' τοῦ μαρτίου μηνός). — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — Ἀχιλλᾶ[2] πάπα Ῥώμης καὶ Ἀλεξανδρείας. — **Rc** : 1. — **Mc** : 1. — Ἀθανασίου τοῦ θαυματουργοῦ. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀθανάσιος, ὁ τὴν ἐπονομαζομένην Τραϊανοῦ μονὴν τοῖς θαύμασι καταπλουτίσας, χώρας μὲν ἦν τῆς τῶν Κιβυρραιωτῶν, γονέων δὲ μετρίων. Οὗτος εἰς ἡλικίαν ἐλθὼν καὶ τὸν κόσμον βδελυξάμενος, ἐξῆλθεν εὐαγγελικῶς μονοχίτων· καὶ περιτρέχων ἐκ τόπου εἰς τόπον καὶ ἑνούμενος πνευματικοῖς ἀνδράσι

[1] Ἀχυλᾶ P. — [2] Ἀχιλᾶ Rb.

Iun. 3. τιον, τοῦτο τοῦ κόμητος προστάξαντος. Καὶ τὰ μὲν παιδία ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν· ὁ δὲ ἅγιος Λουκιλλιανὸς ἐν σταυρῷ ἀναρτηθεὶς καὶ [12] καθ' ὅλου τοῦ σώματος καὶ [13] τῶν ἀναγκαίων μορίων καθηλωθεὶς τῷ Θεῷ παρέθετο τὴν ψυχήν, τῆς ἁγίας παρθένου Παύλης συμπαρούσης καὶ κατὰ τὴν ὁδὸν τῶν μωλώπων αὐτῶν [14] ἐπιμελησαμένης καὶ ἐν τῷ τελειωθῆναι τὰ τῶν ἁγίων λείψανα [15] συναγαγούσης. Ἦν γὰρ ἐκ προγόνων πιστὴ καὶ τοῦτο τὸ [12] ἔργον ἐποιεῖτο ἐν ταῖς φυλακαῖς εἰσιέναι καὶ τοὺς ὑπὲρ Χριστοῦ πάσχοντας θεραπεύειν καὶ διατρέφειν. Ἥτις κατασχεθεῖσα ἤχθη πρὸς τὸν κόμητα, καὶ μὴ πεισθεῖσα θῦσαι τοῖς εἰδώλοις [16] πρῶτον μὲν γυμνωθεῖσα ἱμᾶσι τύπτεται, εἶτα ῥάβδοις· ἔνθα δὴ ταῖς ἐπιφοραῖς τῶν πληγῶν τὸ σῶμα διαλυθεῖσα, ἐπιστασίᾳ ἀγγέλου καθίσταται ὑγιὴς καὶ θαρσοποιεῖται πρὸς τὸ μαρτύριον. Καὶ πάλιν προσαχθεῖσα τῷ κόμητι κατὰ τοῦ στόματος τύπτεται εἰς αὐτὸν ἐξυβρίσασα· καὶ τεθεῖσα ἐν [17] φυλακῇ, πάλιν εἰς ἐξέτασιν ἄγεται καὶ ἐν καμίνῳ βληθεῖσα ἀβλαβὴς ἐξῆλθε καὶ ἄφλεκτος. Δεξαμένη δὲ τὴν διὰ ξίφους ἀπόφασιν καὶ τὸ Βυζάντιον φθάσασα κατὰ τὴν τοῦ κόμητος πρόσταξιν, καὶ γενομένη κατὰ | τὸν τόπον, ἔνθα ὁ (f. 231.) ἅγιος Λουκιλλιανὸς ἐτελειώθη σὺν τοῖς παισί, τὸν αὐχένα ἐτμήθη καὶ τὸν τῆς μαρτυρίας ἐκομίσατο στέφανον. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πλησίον τοῦ ναοῦ τοῦ ἀρχιστρατήγου [18] Μιχαὴλ ἐν τῇ Ὀξείᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Iun. 4. **1.** Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μητροφάνους πατριάρχου [1] Κωνσταντινουπόλεως. Ὃς [2] ἦν ἐν τοῖς χρόνοις τοῦ μεγάλου Κωνσταντίνου τοῦ βασιλέως [3], υἱὸς ὑπάρχων Δομετίου. Ὁ δὲ Δομέτιος ἀδελφὸς ἦν Πρόβου τοῦ βασιλέως, ἐγέννησε δὲ υἱοὺς δύο Πρόβον καὶ Μητροφάνην. Οὗτος λογισμῷ σώφρονι τὴν τῶν εἰδώλων θρησκείαν κατανοήσας ὡς πεπλανημένην καὶ ψευδῆ [4], προσῆλθε τῷ [5] Χριστῷ καὶ [6] ἐβαπτίσθη. Καὶ ἐλθὼν εἰς τὸ Βυζάντιον συνῆν Τίτῳ [7] τῷ ἐπισκόπῳ τοῦ Βυζαντίου, ἀνδρὶ ἁγίῳ καὶ θεοφόρῳ· ὃς αὐτὸν εἰς τὸν τῆς ἐκκλησίας ἐνέταξε κλῆρον. Μετὰ δὲ τὴν τοῦ ἐπισκόπου τελευτὴν ὁ Δομέτιος καθίσταται πρόεδρος [8]· τοῦτον [9] διαδέχεται Πρόβος ὁ υἱὸς αὐτοῦ [10]. Κατασχὼν δὲ τὴν ἐκκλησίαν ἔτη δώδεκα πρὸς Κύριον ἐκδημεῖ καὶ εὐθέως [11] Μητροφάνης ὁ τοῦ Πρόβου μὲν [12] ἀδελφὸς τοῦ δὲ Δομετίου υἱός, εἰς τὸν ἀρχιερατικὸν ἀνάγεται θρόνον. Ὃν εὑρὼν ὁ μέγας Κωνσταντῖνος ἐν τῷ Βυζαντίῳ [13] ἐπίσκοπον καὶ τὴν ἀρετὴν αὐτοῦ καὶ τὸ τῶν τρόπων [14] εὐθὲς καὶ τὴν προκειμένην [15] αὐτῷ ἁγιωσύνην κατανοήσας, οὐχ ἧττον λέγεται δι' αὐτὸν ἢ διὰ τὴν τῆς πόλεως θέσιν εὐφυῶς πρός τε κρᾶσιν ὡρῶν ἔχουσαν καὶ καρπῶν ἀφθονίαν καὶ θαλάσσῃ καὶ χέρσῳ δεξιουμένην [16] καὶ ἅμα προκαθημένην τῶν δύο τῆς οἰκουμένης [17] τμημάτων, τῆς τε Εὐρώπης καὶ τῆς Ἀσίας, ἐρασθῆναί τε τοῦ χωρίου καὶ φιλοτίμως διατεθῆναι περὶ αὐτὸ καὶ φείσασθαι μὲν οὐδενὸς ἀναλώματος. Ἀνεγεῖραι [18] δὲ πόλιν πάσας τὰς παρὰ ἀνθρώπων [19] γεγενημένας νικῶσαν καὶ τούτων ὑπερκειμένην, εἰς ἣν τὸ κράτος καὶ τὴν βασιλείαν ἐνέταξεν ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης ταύτην μεταγαγών· τῆς δὲ κατὰ Νίκαιαν πρώτης συνόδου συναθροισθείσης, ὁ μὲν μακάριος Μητροφάνης διὰ γῆρας καὶ νόσον ἀπελύθη [20]· καὶ γὰρ ἦν ἤδη κλινοπετὴς τῷ χρόνῳ τῆς φυσικῆς μαρανθείσης δυνάμεως· τὸν δὲ πρῶτον ἐν πρεσβυτέροις Ἀλέξανδρον ἄνδρα τίμιον ἐξαπέστειλεν, ὃν καὶ διάδοχον ἀπεφήνατο. Ἐπανελθόντος τοῦ βασιλέως (f. 231v.) μετὰ τῶν θεοφόρων καὶ τιμίων [21] | πατέρων καὶ τῆς συνόδου λυθείσης, ἐκ Θεοῦ λέγων ἀποκαλυφθῆναι αὐτῷ τόν [22] τε Ἀλέξανδρον καὶ τὸν μετ' αὐτὸν [23] Παῦλον ἐπιτηδείους ὄντας καὶ Θεῷ ἀρέσκοντας πρὸς τὴν τοιαύτην διακονίαν, κοιμηθεὶς δὲ καὶ ἀναπαυσάμενος ὁ μακάριος [24] πρὸς τὸν Θεὸν μετατίθεται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τῷ σεβασμίῳ αὐτοῦ οἴκῳ, τῷ ὄντι πλησίον τοῦ ἁγίου μεγαλομάρτυρος [25] Ἀκακίου ἐν τῷ Ἑπτασκάλῳ, ἔνθα τὸ ἅγιον καὶ τίμιον αὐτοῦ λείψανον κατάκειται [26].

Iun. 4. **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη [1] τοῦ ὁσίου [2] πατρὸς ἡμῶν Ἀνδρέου ἀρχιεπισκόπου Κρήτης τοῦ Ἱεροσολυμίτου [3]. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀνδρέας ἦν μὲν ἐκ πόλεως Δαμασκοῦ, εὐσεβῶν γονέων βλαστός· ἐπιδοὺς δὲ αὐτὸν τῇ μελέτῃ πᾶσαν τὴν ἐγκύκλιον γραφὴν τήν τε θείαν καὶ τὴν ἑλληνικὴν εἰς ἄκρον ἐξασκήσας καὶ πᾶσαν ἀρετὴν τὴν κατὰ Θεὸν κατορθώσας, προεχειρίσθη κληρικὸς τῆς ἁγίας πόλεως ὑπὸ Θεοδώρου τοῦ ἁγιωτάτου πατριάρχου. Τῆς δὲ οἰκουμενικῆς καὶ θείας συνόδου συναθροισθείσης ἐν Κωνσταντινουπόλει, μέρος καὶ αὐτὸς διέπων τὸν θρόνον τοῦ πατριάρχου ἀντ' αὐτοῦ ἀπεστάλη· εἶτα ἐγένετο διάκονος τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ μετὰ ταῦτα πρεσβύτερος καὶ ἐπίσκοπος Κρήτης ψήφῳ Θεοῦ καὶ τῆς ἱερᾶς πάσης συνόδου, χειροθεσίᾳ τοῦ ἁγιωτάτου πατριάρχου, πάμπολλα συγγράμματα καὶ ἐγκώμια εἰς τὸν Θεὸν [4] καὶ τὴν Θεομήτορα καὶ τὰς πανηγύρεις τῶν ἁγίων τῇ ἐκκλησίᾳ καταλελοιπὼς καὶ ὕμνοις [5] καὶ ᾠδαῖς [6] αὐτὴν καταλαμπρύνας. Καλῶς οὖν καὶ θεαρέστως τὸ ἑαυτοῦ ποίμνιον ἰθύνας, μετὰ ταῦτα ἔν τινι γενόμενος νήσῳ πρὸς Κύριον μετ' εἰρήνης ἐξεδήμησε.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

Iun. 5. **1.** Ἡ ἀνάμνησις [1] τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀνάγκης ἐν τῇ τῶν βαρβάρων ἐπιδρομῇ, ὅτε μέλλοντας πάντας ὑπ' αὐτῶν δικαίως αἰχμαλωτίζεσθαι καὶ φόνῳ μαχαίρας [2]

— [12] *om.* D. — [13] κατὰ *add.* D. — [14] αὐτοῦ D. — [15] λ. τῶν ἁγίων D. — [16] τ. εἰδ. θῦσαι D. — [17] τῇ *add.* D. — [18] ἀρχαγγέλου D.

1. — [1] ἀρχιεπισκόπου D. — [2] ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Μ. D. — [3] βασιλέως Κ. D. — [4] πεπλανημένη ἐστὶ καὶ ψευδὴς D. — [5] τῇ πίστει D. — [6] εἰς αὐτὸν *add.* D. — [7] συνηντή το S, σύνη ||¦|| τω *prius* τίτω D. — [8] τὴν τῆς ἀρχιερωσύνης χειροτονίαν δεξάμενος *add.* D. — [9] δὲ *add.* D. — [10] αὐτοῦ υἱός D. — [11] εὐθὺς D. — [12] *om.* D. — [13] Βιζαντίω D. — [14] καὶ τῶν τ. τὸ D. — [15] περικειμένην D. — [16] δεξιουμένης D. — [17] (καὶ - οἰκουμένης) *om.* D. — [18] D, ἀνεγείρας S. — [19] ἀνθρώποις D. — [20] ἀπελείφθη D. — [21] ἁγίων D. — [22] (α. τ.) αὐτὸν D. — [23] καὶ μετ' αὐτὸν τὸν D. — [24] ὁ μακ. *om.* D. — [25] μάρτυρος D. — [26] τίμιον κ. ἅγ. κατ. λείψανον D.

2. — [1] *om.* D. — [2] ἐν ἁγίοις D. — [3] Ἱερ. ἐπ. Κρήτης *et hic des.* D. — [4] θεῖον S. — [5] ὕμνους S. — [6] ᾠδὰς S.

1. — [1] καὶ μνήμη D. — [2] (ὑπ' - μαχαίρας) διαχειρίζεσθαι καὶ αἰχμαλωσία D.

Iun. 3. πάντων τὰς ἀρετὰς ἀνιμᾶτο. Συγκλητικὸς δέ τις μοναχὸς γεγονὼς ἰδίαν μονὴν ἔχων ἐν τῷ Σαγγάρει ποταμῷ καὶ μοναχοὺς σκληροὺς καὶ ἀπειθεῖς, ἀκηδιάσας ἐπ' αὐτοῖς, ἐξῆλθεν εἰς μακρὰν ἀπελθεῖν χώραν. Τούτῳ δὲ συναντήσας <καὶ [3]> ὡς ἐκ Θεοῦ πεμφθέντι αὐτῷ προσομιλήσας, ἔλαβεν αὐτὸν καὶ ὑπέστρεψε πάλιν εἰς τὴν ἑαυτοῦ μονήν. Οὗτος δὲ ὁ μακάριος πάσης χρηστοηθείας ὢν καὶ ἀρετῆς ἔμπλεως, πῇ μὲν βλεπόμενος παρ' αὐτῶν πῇ δὲ παρακαλῶν καὶ νουθετῶν αὐτοὺς μετέβαλεν εἰς τὸν τοῦ Θεοῦ φόβον. Αὐτὸς δὲ λαβὼν τὸ μέγα καὶ ἀγγελικὸν σχῆμα καὶ ἱερωθεὶς ἐλειτούργει, καλλιγραφῶν καὶ νηστεύων ἕως ἑσπέρας· καὶ πολλὰ πειρασθεὶς ὑπὸ τῶν δαιμόνων καθαρὰν ὑπακοὴν καὶ ἐξαγόρευσιν ἔχων, ἀπηλλάγη τῶν παθῶν γεγονὼς ἄνετος. Γράψας δὲ πλεῖστα βιβλία τῷ γέροντι, ὕστερον ἐβλάβη τοὺς ὀφθαλμούς· καὶ κλεισθεὶς ἐν τόπῳ τινὶ ἐστενωμένῳ παρεκάλει λέγων· « Κύριε, εἰ ἄξιός εἰμι, δώρησαί μοι ὡς ἐξ ἀρχῆς » τὸ φῶς· καὶ ὅσα ἂν ὑπὸ σοῦ ἐνδυναμούμενος γράφω, φάγονται πένητες καὶ πτωχοί. » Καὶ τυχὼν τῆς ἰάσεως καθεσθεὶς ἐπὶ χρόνοις εἰκοσιοκτὼ δέδωκε τοῖς πτωχοῖς ἐκ τοῦ ἐργοχείρου αὐτοῦ νομίσματα χρυσοῦ ἐννακόσια. Ἀεὶ δὲ ἀπρόϊτος ἦν, μὴ βλέπων ἢ προσομιλῶν τινι χωρὶς σαββάτου καὶ κυριακῆς. Εἰς γῆρας δὲ βαθὺ φθάσας ἀπῆλθε πρὸς Κύριον, ὑπὸ Ἀνδρέου καὶ Ἰωάννου τῶν μακαρίων ἀποστόλων ὁδηγούμενος, καθώς τις πνευματικὸς ἀνὴρ ἐθεάσατο. Εἶδε γὰρ ἀστραπηβόλους δύο φοβεροὺς ἐκ τῶν ἐνδοτέρων θαλάμων τοῦ βασιλέως Χριστοῦ ἐξελθόντας καὶ τοῖς ἀποστόλοις προστάξαντας τοῦτον μὲν ὑπ' ἐκείνων ὁδηγούμενον ὑποστρέψαι, λαβεῖν δὲ ἀντ' αὐτοῦ Ἀθανάσιον τὸν τοῦ Τραϊανοῦ. Διὸ καὶ παραυτίκα ἀποστείλας — οὐ γὰρ μήκοθεν ἦν — εὗρεν αὐτὸν ἤδη τελειωθέντα. Καὶ ζῶν μὲν ὁ μακάριος διαφόρους προρρήσεις ἐφθέγξατο, αἵτινες καὶ εἰς ἔκβασιν ἦλθον. Θαύματα δὲ πλεῖστα καὶ δυσαρίθμητα πεποίηκε μετὰ θάνατον, εἰς δόξαν τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν. — Ἱερία ἐν εἰρήνῃ τ. — Πάππος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — **Mr** :

Iun. 4. SYNAXARIA SELECTA. **H** : 1. 2. — Μαρίας καὶ Μάρθας (Iun. 6[8]). — **P** : 1. — Μαρίας καὶ Μάρθας. — **D** : 1. 2. — Τῶν ἁγίων μυροφόρων γυναικῶν Μαρίας καὶ Μάρθας. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — Τῶν ἁγίων μυροφόρων γυναικῶν. — **Bb** : 1. 2. — **Bc** : 1. — **C** : 1. 2. — Μάρθας καὶ Μαρίας. — **Ce** : 1. 2. — Μάρθας καὶ Μαρίας. — **Cg** : 1. 2. — Μάρθας καὶ Μαρίας. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Σοφίας τῆς ἀσκητρίας. Αὕτη ὥρμητο μὲν ἐκ πόλεως Αἴνου, γονέων εὐσεβῶν θυγάτηρ γεγενημένη καὶ κατὰ χώραν ἐπιφανῶν· συνήφθη δὲ παρ' αὐτῶν ἀνδρὶ καὶ γέγονε μήτηρ παίδων ἕξ. Μέσον δὲ οὖσα τῶν βιωτικῶν θορύβων, ἔδειξεν ἐξ ἔργων, ὡς οὐδὲν τὸ προσιστάμενον παντὶ βουλομένῳ καὶ ἐν ταῖς τοῦ βίου περικοπαῖς καὶ συγχύσεσι διὰ τῆς τῶν θεοφιλῶν πράξεων ἐργασίας τῷ Θεῷ εὐαρεστῆσαι. Οὐκ ἀφίστατο γὰρ τῶν ἐκκλησιῶν ἀλλὰ καὶ οἴκαδε διανυκτερεύουσα προσευχαῖς καὶ ἀγρυπνίαις ἐσχόλαζε· καὶ τοὺς παῖδας θανάτῳ ἀποβαλλομένη, ὀρφανῶν μήτηρ ἐγεγόνει καὶ χηρῶν ἀντίληψις καὶ βοήθεια καὶ προσαίταις τὰ ἀναγκαιότερα τῶν προσόντων αὐτῇ διανείμασα. Τὴν δίαιταν αὐτῆς ἔκτοτε ἀσκητικῶς διετέλει, ὕδατι χρωμένη ποτῷ, τὸ δάκρυον ἀέναον προϊεμένη τῶν ὀφθαλμῶν, τὴν ψαλμῳδίαν, τὴν εὐχήν, τὴν εὐχαριστίαν ἀδιαλείπτως ἐπὶ στόματος φέρουσα. Ἡ ταπείνωσις αὐτῆς ἄμετρος καὶ πρὸς τοὺς τυχόντας, ἡ πρὸς τοὺς καθ' ἑκάστην προσερχομένους ἐπιδεεῖς ἐλεημοσύνη ἱλαρὰ καὶ φιλότιμος καὶ σχεδὸν ὑπὲρ δύναμιν. Κρεῖσσον γὰρ ἐλογίζετο ἑαυτὴν στερεῖσθαι ἢ τὸν ἐπιδεῆ κενὸν ἀποπέμψασθαι καὶ ἔχαιρεν ἐν τῷ διδόναι μᾶλλον ἢ τῷ λαμβάνειν. Ἀπὸ γὰρ ἀγγείου οἰνηροῦ, εἰς διάδοσιν πενήτων ἀφορισθέντος, ἀμφοτέραις χερσὶν ἀντλοῦσα καὶ τοῖς ἐνδεέσι παρέχουσα, ἑώρα πρᾶγμα ἐξαίσιον, πεπληρωμένον ἀεὶ τὸ ἀγγεῖον εὑρίσκουσα καὶ μὴ τὴν οἱανδήτινα δεχόμενον ὕφεσιν. Καὶ μέχρις ἂν παρ' ἑαυτῇ τηροῦσα ἦν τὸ θαῦμα κεκρυμμένον καὶ ἀνεξάγγελτον, πλῆρες καὶ τὸ ἀγγεῖον ὡρᾶτο κατὰ τὸν καιρὸν τῆς ἀνοίξεως. Ὁπηνίκα δὲ τὰ μεγαλεῖα τοῦ Θεοῦ ἀνακηρύττουσά τινι τῶν ἑαυτῆς τὸ μυστήριον ἀπεκάλυψεν, οὐκέτι πλῆρες εὑρέθη ἀλλὰ ἐλλιπές· τοῦτο καὶ τῶν μυελῶν αὐτῆς καθήψατο. Προφάσεως δὲ ἔκτοτε δραξαμένη ἐπὶ τὴν ἄσκησιν πλέον ἑαυτὴν ἐπέτεινε τὸ ἀνάξιον προβαλλομένη, ὡς τῇ ὑπερβολῇ τῆς ἀσκήσεως καὶ εἰς ἄκραν ἔκτηξιν τοῦ σώματος ἐλθεῖν καὶ μηδὲ ἀναπνεῖν δύνασθαι. Οὕτως οὖν καλῶς ἀγωνισαμένη καὶ μηδόλως ἐμποδισθεῖσα ὑπὸ τῶν τοῦ βίου δυσχερῶν καὶ ἐπὶ χρόνοις τέσσαρσι [1] πρὸς τοῖς τριάκοντα διαβιοῦσα τόνδε τὸν τρόπον, ὡς εἶναι τὸν ὅλον τῆς ζωῆς αὐτῆς χρόνον ἔτη πεντήκοντα πρὸς τοῖς τρισὶ καὶ μικρόν τι πλέον, καὶ τελευταῖον ἀποκειραμένη πρὸς Κύριον ἐξεδήμησε. — Ὁ ὅσιος Ἰωάννης ὁ ἡγούμενος τῆς μονῆς τῆς Μοναγρίας ἐν σάκκῳ βληθεὶς καὶ εἰς θάλασσαν ῥιφεὶς τ. — Ὁ ὅσιος Ἀλώνιος ἐν εἰρήνῃ τ. — Μάρθα καὶ Μαρία ἀδελφαὶ τοῦ Λαζάρου ἐν εἰρήνῃ τ. (Iun. 6[8]). — **Mv** : 1. — **Mr** : 1.

Iun. 5. SYNAXARIA SELECTA. **H** : 3. — Δωροθέου (Iun. 6[1]). — Κόνωνος καὶ Χριστοφόρου (Iun. 6[5]). — Ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου Πέτρου (Iun. 6[6]). — Ἐπιφανίου (Iun. 6[7]). — 1. — **P** : 3. — Θεοδώρου.

— [3] *supplevi, om.* Mc.

[1] τέσαρσι Mc.

Iun. 5. παραδίδοσθαι ὁ οἰκτίρμων καὶ φιλάνθρωπος Θεὸς διὰ σπλάγχνα ἐλέους αὐτοῦ [3] παρ' ἐλπίδα πᾶσαν ἐλυτρώσατο [4] ἡμᾶς, πρεσβευούσης αὐτὸν ὑπὲρ ἡμῶν τῆς ἀχράντου καὶ παναγίας δεσποίνης ἡμῶν τὸν [5] τὸ ἀνθρώπινον γένος δι' αὐτῆς φυλαττόμενον.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος ἡγουμένου τοῦ νέου.

3. Καὶ ἄθλησις τῶν ἁγίων δέκα μαρτύρων Μαρκιανοῦ, | Νικάνδρου, Ἀπόλλωνος, Λεωνίδου, Ἀρείου, Γοργίου, Ὑπερεχίου, Σεληνιάδος, Εἰρήνης καὶ Πάμβωνος. Οὗτοι οἱ ἅγιοι μάρτυρες τὴν εἰς Χριστὸν πίστιν φυλάττοντες καὶ αὐτὸν παρρησίᾳ Θεὸν εἶναι ὁμολογοῦντες, ὑπὸ τοῦ ἐν Αἰγύπτῳ ἄρχοντος λιμῷ καὶ δίψει καὶ κρύει ταλαιπωρήσαντες, τὸν ἀγῶνα τοῦ μαρτυρίου ἐτέλεσαν. f. 232.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛ'.

Iun. 6. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος [1] Δωροθέου ἐπισκόπου Τύρου. Ὃς ἦν [2] κατὰ τοὺς χρόνους Λικινίου [3] καὶ Κωνσταντίνου· ἐπὶ δὲ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ διὰ τὸν ἐπικείμενον διωγμὸν καταλιπὼν [4] τὴν οἰκείαν [5] παροικίαν ἀπῆλθεν ἐν Ὀδυσσουπόλει [6] κἀκεῖ διεσώθη. Μετὰ δὲ τὴν αὐτῶν [7] καταστροφὴν κατέλαβε τὴν ἰδίαν πόλιν Τύρον· καὶ ἦν ἰθύνων τὴν αὐτοῦ [8] ἐκκλησίαν μέχρις Ἰουλιανοῦ τοῦ παραβάτου [9]. Τότε δὴ [10] πάλιν τὴν Ὀδυσσούπολιν κατέλαβε, ἔνθα συσχεθεὶς ὑπὸ τῶν τοῦ Ἰουλιανοῦ ἀρχόντων καὶ πολλὰς βασάνους ὑπομείνας ἐν βαθυτάτῳ γήρᾳ τὸν τῆς μαρτυρίας ἐκομίσατο στέφανον, ἐν αὐτῷ τῷ πάσχειν τὴν ψυχὴν τῷ Θεῷ παραθέμενος, ἤδη τυγχάνων χρόνων ἑκατὸν [11] ἑπτά. Κατέλιπε [12] δὲ διάφορα συγγράμματα ἐκκλησιαστικὰ καὶ ἱστορίας ῥωμαϊκοῖς καὶ ἑλληνικοῖς γράμμασιν· καὶ γὰρ ἦν ἑκατέρων ἔμπειρος τῶν γλωσσῶν, σπουδῇ καὶ [13] συντόνῳ καὶ τῇ τῆς [14] φύσεως ἐπιτηδειότητι.

— [3] (καὶ - αὐτοῦ) Θεὸς πρεσβείαις τῆς ἀχράντου Θεοτόκου D. — [4] *hic des.* D. — [5] τῆς S.

1. — [1] μάρτυρος D *ad diem Iunii 5.* — [2] (ἐπίσκοπος - ἦν) ὁ ἅγιος Δ. ἐπίσκοπος γέγονε Τύρου D. — [3] Λικιννίου S. — [4] κατὰ λοιπὸν S. — [5] ἰδίαν D. — [6] Ὀδυσσοπόλει S, D. — [7] τοῦ βίου *add.* D. — [8] *om.* D. — [9] τυράννου D. — [10] δὲ D.

— [11] καὶ *add.* D. — [12] καταλέλοιπεν D. — [13] τε D. — [14] (συντόνῳ - τῆς) συντόνου D.

Iun. 5. Οὗτος ἐπίσκοπος γεγονὼς Τύρου, ἀρχαῖος ἀνὴρ καὶ πνευματοφόρος (Iun. 6[1]). — Ἐπιφανίου. — Κόνωνος καὶ Χριστοφόρου τοῦ κυνοκεφάλου. — 1. — **D** : 3. — Δωροθέου. — Κόνωνος καὶ Χριστοφόρου. — Ἐγκαίνια τοῦ ἁγίου Πέτρου. — Ἐπιφανίου. — 1. — **Da** : 1. — **Db** : 1. 3. — **K** : 1. 3. — **N** : 1. 3 : Μαρκιανοῦ, Νικάνδρου, Ἀπόλλωνος, Λεωνίδου, Ἀρείου, Γοργίου, Ὑπερεχίου, Σεληνιάδος, Εἰρήνης καὶ Πάμβωνος. Οὗτοι οἱ ἅγιοι τὴν εἰς Χριστὸν πίστιν φυλάττοντες καὶ αὐτὸν παρρησίᾳ Θεὸν εἶναι ὁμολογοῦντες, ὑπὸ τοῦ ἐν Αἰγύπτῳ ἄρχοντος συνελήφθησαν· καὶ μὴ πεισθέντες σέβας ἀπονεῖμαι τοῖς εἰδώλοις πρῶτον ἐτύφθησαν, εἶτα τὰς πλευρὰς λαμπάσιν ἐκαύθησαν καὶ κρεμασθέντες σιδηροῖς ἐξέσθησαν ὄνυξι, καὶ εἰς φυλακὴν ἡμιθανεῖς ἀπερρίφησαν· ἐν ᾗ ἀγγέλου ἐπιφανέντος αὐτοῖς, ὡς μηδὲν παθόντες ἀποκατέστησαν. Καὶ μετὰ πολλὰς ἡμέρας τῷ δικαστῇ παραστάντες πάλιν τῶν ἀπίστων πολλοὺς τῷ θαύματι ἐπέστρεψαν πρὸς τὸν Κύριον· καὶ παραδοθέντες αὖθις εἱρκτῇ, λιμῷ καὶ κρύει καὶ δίψει ταλαιπωρήσαντες τὸν ἀγῶνα τοῦ μαρτυρίου ἐτέλεσαν. — Κυρίας κτλ. (Iun. 6[9]). — 2. — Ἀτάλου (Iun. 2[5]). — Τῶν ἁγίων ε' παρθένων (Iun. 6[2]). — Ἐσίας καὶ Σωσάννης (Iun. 6[3]). — **Bb** : 3. — **Bc** : 3. — **C** : 3. — **Ce** : 3. — **Cg** : 3. — **R** : Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας (Feb. 21[3]). — 3. 1. — **Ra** : 2. — Νικάνδρου καὶ Μαρκιανοῦ (Iun. 8[3]). — 3. 1. — **Rb** : 2. 3. 1. — **Rc** : Δωροθέου. — **Mc** : Δωροθέου. — 3. — Χριστοφόρος ὁ ἀπὸ Ῥώμης ξ. τ. — Κόνων ὁ ἀπὸ Ῥώμης ἐν τῇ θαλάσσῃ βληθεὶς τ. (Iun. 6[5]). — Αἰσία καὶ Σωσάννα. — 1. — Τῶν ἁγίων ε' παρθένων Παρθενίας, Μαρίας, Μάρθας καὶ τῶν σὺν αὐταῖς (cf. Iun. 6[2]). — Ζηναΐδος (Iun. 6[4]). — Ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου Πέτρου. — Ἐπιφανίου πατριάρχου Κωνσταντινουπόλεως. — **Mv** : Δωροθέου. — Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας. — 1. 3. — **Mr** : 1.

Iun. 6. SYNAXARIA SELECTA. **H** : 1. 2. 4. — **P** : 2. 4. — **D** : 2. 4. — Ἱλαρίωνος (Iun. 5[2]). — 3 (Ἐσίας καὶ Σωσάννης). — **Da** : 1. — Ἀττάλου τοῦ θαυματουργοῦ (Iun. 2[5]). — 4. — Ἱλαρίωνος. — 3 : Αἰσίας καὶ Σωσάννης μαθητριῶν Παγκρατίου ἐπισκόπου Ταυρομενίου. Τελεῖται δὲ κτλ. — **Db** : 1. — Ἀττάλου. — 4. — Ἱλαρίωνος. — 3. — **K** : 1. — Ἀττάλου. — 2. 4. — Ἱλαρίωνος. — 3 (Ἐσίας...). — **N** : 1. — **Bb** : 9. — **Bc** : 9. — **C** : 1. 2 : τῶν ἁγίων ε' παρθένων καὶ τῆς συνοδίας αὐτῶν. — 4. 9. — **Ce** : 1. 2. 4. 9. — **Cg** : 1. 2. 4. 9. — **R** : 1. — Ἀττάλου. — 2. 4. — Ἱλαρίωνος. — 3 (Αἰσίας...). — **Ra** : 1. — Ἀττάλου. — 2. 4 (Ζαναΐδος). — 3 (Ἐσίας...). — **Rb** : 1. — Ἀττάλου. — 2. 4 (Ζαναΐδος). — Ἄννης. — Ἱλαρίωνος. — 3 (Ἐσίας...). — **Rc** : 1. — Ἀνθίμου πρεσβυτέρου καὶ Στεφάνου καὶ τῆς ὁσιομάρτυρος Σεβαστιανῆς (Iun. 7[2], [3]). — **Mc** : Ἱλαρίωνος ἡγουμένου τῆς μονῆς τῶν Δαλμάτων. Οὗτος ὁ μακάριος Ἱλαρίων πατρὸς μὲν ἦν Πέτρου Καππαδόκου, μητρὸς δὲ Θεοδοσίας, εὐσεβῶν καὶ φιλοθέων ἀλλὰ καὶ γνωρίμων τῷ βασιλεῖ· ὁ γὰρ πατὴρ τὸν ἄρτον τῆς βασιλικῆς τραπέζης ἦν χορηγῶν. Γεννηθέντα δὲ τὸν ὅσιον καὶ ἀπογαλακτισθέντα ἐπιμελῶς ἐπαίδευον ἐν τοῖς ἱεροῖς γράμμασιν. Εἰκοσαετὴς δὲ γενόμενος καταλιπὼν εὐαγγελικῶς πατέρα καὶ μητέρα καὶ οἰκίαν καὶ πλοῦτον, γέγονε μοναχὸς ἐν τῇ μονῇ τοῦ Ξηροκοπίου ἐν τῷ Βυζαντίῳ· εἶθ' οὕτως ἐλθὼν ἐν τῇ μονῇ τοῦ Δαλμάτου, ἔλαβε τὸ ἀγγελικὸν καὶ ἅγιον μέγα σχῆμα, καὶ ἡσυχίαν καὶ ὑπακοὴν καὶ ταπείνωσιν πολλὴν μετιών, ἐδούλευε τῷ κήπῳ ὑπηρετῶν ἐπὶ χρόνοις δέκα· καὶ τὴν ψυχὴν λαμπρύνας ταῖς ἀρεταῖς, θαυματουργικοῦ χαρίσματος ἠξιώθη. Καὶ ἐπεὶ πνεῦμα ἀκάθαρτον ἐδίωξεν ἐκ νεανίσκου τινός, ὁ ἡγούμενος, ὑφ' ὃν διετέλει, ἱερουργὸν αὐτὸν πεποίηκε καὶ μὴ θέλοντα. Τελευτήσαντος δὲ τοῦ ἡγουμένου, μετὰ χρόνων τινῶν παραδρομὴν ἀποδράσας οὗτος καὶ εἰς τὸ Ὀψίκιον περάσας, ἐν τῇ μονῇ τῶν Καθαρῶν προσεφοίτησε. Τοῦτο οἱ μοναχοὶ μαθόντες ἀναφέρουσι Νικηφόρῳ τῷ πατριάρχῃ. Ὁ δὲ τῷ βασιλεῖ Νικηφόρῳ προσυπομνήσας, ἀπέστειλεν ἀγαγεῖν αὐτόν· καὶ

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων πέντε παρθένων Μαρίας, Μάρθας καὶ τῆς συνοδίας αὐτῶν.

3. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων γυναικῶν Εὐσεβείας [1] καὶ Σωσάννης, μαθητριῶν τοῦ ἁγίου [2] Παγκρατίου ἐπισκόπου Ταυρομενίου.

4. Καὶ τῆς ἁγίας μάρτυρος καὶ θαυματουργοῦ Ζηναΐδος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν οἴκῳ, τῷ ὄντι ἐν τοῖς Βασιλίσκου [1].

5. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Κόνωνος καὶ Χριστοφόρου.

6. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου Πέτρου.

7. Καὶ μνήμη Ἐπιφανίου πατριάρχου. Iun. 6.

8. Καὶ τῶν ἁγίων μυροφόρων γυναικῶν Μαρίας καὶ Μάρθας.

9. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Κυρίας, Βαλλερίας καὶ Μαρκίας. Αὗται ὑπῆρχον ἐκ πόλεως Καισαρείας Παλαιστίνης· διδαχθεῖσαι δὲ ὑπό τινος χριστιανοῦ προσῆλθον τῷ Χριστῷ καὶ τῷ ἁγίῳ βαπτίσματι ἐσημειώθησαν. Ἔκτοτε οὖν ἐν ἡσυχίᾳ καθήμεναι, ἔν τινι οἰκήματι διῆγον [1] ἐν εὐλαβείᾳ πολλῇ, νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ προσευχῇ προσκαρτεροῦσαι καὶ τὸν Θεὸν ἐξιλεούμεναι, ὅπως ἡ τῶν εἰδώλων πλάνη τελείως ἀφανισθῇ, | ἀναλάμψῃ δὲ τὰ χριστιανῶν εἰς πᾶσαν τὴν οἰκουμένην. Πλὴν ἀλλὰ καὶ οὕτω κρυπτόμεναι κατεμηνύθησαν τῷ τῆς χώρας ἄρχοντι· κἀκείνῳ προσαχθεῖσαι καὶ μὴ πεισθεῖσαι θῦσαι τοῖς εἰδώλοις, βασάνοις καθυποβληθεῖσαι δειναῖς, ἐν αὐταῖς ταῖς τιμωρίαις ἐτελειώθησαν. f. 232[v].

3. — [1] Ἐσίας D. — [2] τ. ἁγ. *om.* D.

4. — [1] D, Βασιλίσσης S.

9. — [1] διῆγεν S.

γοῦν τῇ προσταγῇ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου εἴξας, γέγονεν ἡγούμενος καὶ ἀρχιμανδρίτης, καθὼς ἦν ἐκεῖσε συνήθεια ἀπὸ συνόδου τυπωθεῖσα. Ἐν ὀκτὼ δὲ ἔτεσι τὴν τοῦ Χριστοῦ ποίμνην θεομιμήτως διακυβερνήσας, τοῦ θηριωνύμου Λέοντος τὰ σκῆπτρα τῆς βασιλείας κατασχόντος καὶ καθελόντος τὰς ἁγίας εἰκόνας, ἀχθεὶς καὶ οὗτος εἰς τὰ βασίλεια ἠναγκάζετο διὰ πιθανολογίας μὴ ἐπιστρέφεσθαι τῶν ἁγίων εἰκόνων. Ἀλλ' οὗτος ἐλέγξας αὐτὸν καὶ ἄθεον καὶ νέον παραβάτην ἀποκαλέσας, εἰς ὀργὴν οὐ μικρὰν αὐτὸν κεκίνηκε· καὶ τότε μὲν κολάσεις πολλὰς καὶ ἀφορήτους ἐπαπειλήσας αὐτῷ καθεῖρξε. Μετὰ καιρὸν δὲ πάλιν παραστήσας αὐτὸν καὶ τὰ αὐτὰ τοῖς προτέροις ἀκούσας, παραδέδωκε τὸ ὠμοφόριον αὐτοῦ τῷ πατριάρχῃ, τῷ αὐτοῦ ὁμόφρονι· κἀκεῖνος τὰ ὅμοια δράσας καὶ σκοτεινῇ φρουρᾷ κατακλείσας αὐτὸν ἐπὶ ἡμέρας ἱκανὰς ἐταρίχευε, μήτε ἄρτον μήτε ὕδωρ μήτε τι ἄλλο προστάξας δοθῆναι αὐτῷ. Τοῦτο οἱ μαθηταὶ μεμαθηκότες, ἦλθον πρὸς τὸν βασιλέα· « Ἀπόδος ἡμῖν τὸν ποιμένα, » λέγοντες, « ὦ βασιλεῦ, καὶ μετ' οὐ πολὺ ἐπαγγελλόμεθα τὸ σὸν περατωθῆναι θέλημα. » Ὁ δὲ ἀπατηθεὶς τῇ ὑποσχέσει αὐτῶν δέδωκε τὸν ἅγιον μετὰ σπουδῆς. Χρονοτριβήσαντος δὲ τοῦ ἁγίου ἐν τῇ μονῇ καὶ μικρὰν ἄνεσιν τῆς ταλαιπωρίας καὶ τοῦ λιμοῦ λαβόντος, ἐματαιοῦτο ὁ βασιλεὺς τὴν ὑπόσχεσιν προσδεχόμενος. Ἐπιγνοὺς δὲ ὅτι ἐνεπαίχθη, τοὺς μὲν μοναχοὺς ἠμύνατο, τὸν δὲ ἅγιον φρουρᾷ ἐναπέθετο. Εἶθ' οὕτως ἀποστείλας αὐτὸν ἐν τῇ μονῇ τοῦ Φονέως κατὰ τὸ Στενὸν ἐπὶ μησὶν ἓξ ἐκεῖσε καθεῖρξε, δεινοῦ καὶ ἀδυσωπήτου καὶ σκληροῦ τοῦ τῆς μονῆς ταύτης ὄντος ποιμένος. Πάλιν δὲ εἰς τὰ βασίλεια τὸν ἅγιον ἀχθέντα κολακείαις ἐπειρᾶτο ὁ θηριώνυμος ὑποσκελίσαι αὐτόν. Ἀλλ' εἰς μάτην πονῶν καὶ σοφιζόμενος τὰ τοιαῦτα ἐν τῇ μονῇ τοῦ Κυκλοβίου κρατεῖσθαι αὐτὸν καὶ κακουχεῖσθαι προσέταξε, καὶ μετὰ χρόνους δύο καὶ μῆνας ἓξ τῇ φυλακῇ τῶν νουμέρων καθεῖρξεν· εἶτα ἐξαγαγὼν ταύτης καὶ μαστίξας σφοδρῶς εἰς τὸ Προτίλιον κάστρον ἐξώρισε. Μαχαίραις δὲ τοῦ δυσσεβοῦς τούτου τὴν ψυχὴν ἀπορρήξαντος ἐν τῷ ναῷ, ἔνθα πρώτως τὴν ἁγίαν τοῦ Χριστοῦ εἰκόνα ἐξυβρίσας καθεῖλεν, ἐκράτησε τῆς βασιλείας Μιχαὴλ ὁ Τραυλός. Τότε ὁ ἅγιος ἀπολυθεὶς ἐξενίσθη παρὰ γυναικὸς εὐσεβοῦς καὶ πιστῆς ἐν ἰδίῳ αὐτῆς κτήματι, ἐπὶ χρόνοις ἑπτὰ τούτῳ διακονησαμένης. Θεοφίλου δὲ βασιλεύσαντος καὶ πάντας τοὺς ὁμολογητὰς συλλεξαμένου καὶ ἐν φυλακαῖς κατακλείσαντος, ὁ μακάριος Ἱλαρίων ἐξητάζετο, εἰ πείθεται τῷ βασιλικῷ προστάγματι. Καὶ ὃς ἐλέγξας μᾶλλον αὐτὸν ὡς ἄθεον καὶ ἀπατεῶνα, μάστιγας τούτου χάριν ἑκατὸν πρὸς ταῖς ἑπτακαίδεκα κατὰ νώτου δεξάμενος, ἐν Ἀφουσίᾳ τῇ νήσῳ ἐξωρίσθη. Λατομήσας δὲ ἐκεῖ κελλίον πάνυ στενότατον καὶ δι' εὐχῆς ἐν αὐτῷ ὕδωρ βλύσαι παρασκευάσας, προσέμεινεν ἐν αὐτῷ χρόνους ὀκτώ. Καὶ τοῦ Θεοφίλου τελευτήσαντος, ἡ τούτου σύζυγος Θεοδώρα πάντας τοὺς ἐν ἐξορίᾳ ὁμολογητὰς συναθροίσασα ἐν τῇ βασιλευούσῃ τὴν ὀρθοδοξίαν ἐκράτυνε διὰ τῆς τῶν ἁγίων εἰκόνων ἀναστηλώσεώς τε καὶ προσκυνήσεως. Ἀπολυθεὶς δὲ καὶ οὗτος ἀπέλαβε τὴν μονὴν αὐτοῦ, καὶ τρεῖς ἔκτοτε χρόνους ἐπιβιοὺς καὶ θεοφιλῶς καὶ σωτηρίως τοὺς μαθητὰς διϊθύνας, ἀπῆλθε πρὸς Κύριον ἐτῶν γεγονὼς ἑβδομήκοντα. — 9. — Γελασίου. Οὗτος ὁ τοῦ Χριστοῦ μάρτυς Γελάσιος, διωγμοῦ κατὰ χριστιανῶν κινουμένου, θείῳ ζήλῳ τὴν ψυχὴν διαθερμανθεὶς διένειμε τὴν οὐσίαν αὐτοῦ πᾶσαν πτωχοῖς. Καὶ ἀμφιασάμενος χιτῶνα λευκὸν ἔδραμε πρὸς τοὺς ἁγίους μάρτυρας· καὶ εὑρὼν αὐτοὺς διαφόροις κολάσεσι τιμωρουμένους, κατησπάζετο ὑπαλείφων καὶ τὰς τούτων εὐχὰς ἐξαιτούμενος. Κρατήσαντες δὲ τοῦτον οἱ δήμιοι παρέστησαν τῷ ἄρχοντι· ὃς καὶ ἀνακριθεὶς καὶ τὸν Χριστὸν ὁμολογήσας Θεὸν εἶναι ἀληθινόν, παρωράθη ὡς εὐτελής· καὶ μικρὸν μέντοι μαστιχθείς, τὴν κεφαλὴν ἀπετμήθη καὶ τοῦ ποθουμένου τέλους ἐπέτυχε. — **Mv** : Ἱλαρίωνος. — Ἀττάλου. — Τῶν ἁγίων πέντε παρθένων. — **Mr** : Ἱλαρίωνος. Iun. 6.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

Iun. 7. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδότου Ἀγκύρας. Οὗτος ἦν ἐν Ἀγκύρᾳ[1] τῆς Γαλατίας· διαβληθεὶς δὲ πρὸς Θεότεκνον[2] τὸν ἡγεμόνα, ὅτι τὰ σώματα τῶν ἁγίων παρθένων τὰ ῥιφέντα τῇ λίμνῃ αὐτὸς ἐξαγαγὼν ἔθαψεν, ἤχθη πρὸς αὐτὸν καὶ παρρησιασάμενος καὶ εἰπὼν ἑαυτὸν ἰδιώτην ὄντα βασιλέων[3] εἶναι δυνατώτερον διὰ τὴν εἰς[4] Χριστὸν ὁμολογίαν καὶ μηδὲν ἡγεῖσθαι τοὺς ἄρχοντας, τύπτεται σφοδρῶς· εἶτα κρεμᾶται[5] δὶς ἐπὶ ξύλου καὶ τὰς πλευρὰς ξέεται καὶ διορύττεται· καὶ πρὸς τούτοις τὴν κεφαλὴν ἀποτέμνεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη[1] τῶν ὁσίων πατέρων ἡμῶν[1] Ἀνθίμου[2] πρεσβυτέρου καὶ Στεφάνου τῶν Σπουδαίων, πλησίον τῶν Φλορεντίου[3].

3. Καὶ τῆς ὁσίας μητρὸς ἡμῶν[1] Σεβαστιανῆς τῆς θαυματουργοῦ[2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

Iun. 8. **1.** Μνήμη ἤτοι ἡ ἀνακομιδὴ[1] τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ στρατηλάτου[2]. Ὁ στρατηλάτης καὶ μέγας μάρτυς τοῦ[3] Χριστοῦ[3] Θεόδωρος ἦν κατὰ τοὺς χρόνους[4] Λικινίου[5] τοῦ βασιλέως, ἐκ μὲν πατρίδος ὢν τῶν Εὐχαΐτων[6], τὴν δὲ οἴκησιν ἐν τῇ ποντικῇ Ἡρακλείᾳ ποιούμενος, ἀνὴρ ὢν λόγιος καὶ ἐν τῷ νέῳ τῆς ἡλικίας πολλῶν σύνεσιν πρεσβυτέρων[7] ἀποκρύπτων[8]· γέγονε δὲ διά τε τὰς κατὰ πόλεμον ἀριστείας καὶ διὰ τὴν ἐν τοῖς λόγοις δόξαν καὶ αὐτοῖς τοῖς βασιλεῦσιν αἰδέσιμος. Ὅθεν καὶ τὴν αὐτοῦ οἰκείωσιν[9] καὶ φιλίαν ἐφιλοτιμοῦντο πάντες καρποῦσθαι· προσῆν γὰρ αὐτοῦ τῇ γλυκύτητι τῶν λόγων καὶ πιθανότητι εἴδους εὐπρέπεια καὶ χάρις ἐκ τοῦ ἀφανοῦς τὸ πρόσωπον περιλάμπουσα[10]. Μαθὼν δὲ περὶ αὐτοῦ ὁ Λικίνιος, ὅτι τὸν[11] τῶν χριστιανῶν Θεὸν σέβεται βδελύσσεται δὲ τοὺς θεοὺς τῶν ἑλλήνων καὶ ἐξουθενεῖ, ἀπέστειλεν ἐκ Νικομηδείας τῆς ἑαυτοῦ τάξεως δορυφόρους, προστάξας ἐντίμως ἀγαγεῖν αὐτόν[12]. Οὓς ὁ μακάριος ἀνταπέστειλεν εἰπὼν ὡς· « Χρὴ μᾶλλον τὸν βασιλέα μετὰ τῶν » μειζόνων αὐτοῦ θεῶν παραγενέσθαι[13], οἷς ἡμᾶς[14] » κελεύει προσαγαγεῖν τὰς θυσίας », πάνυ εὐφυῶς τὴν αὐτοῦ[15] ἐξαπατήσας ἄνοιαν· βουλόμενος, ὡς ἔοικεν, ἐν τῇ πόλει αὐτοῦ, ἐν ᾗ διέτριβε, καὶ συνάψαι[16] τοῖς ἐχθροῖς καὶ τούτους τροπώσασθαι,

1. — [1] Ἀγκύρας D. — [2] Θεόδοτον D. — [3] δὲ *add.* D. — [4] τὸν *add.* D. — [5] κρεμνᾶται D.
2. — [1] *om.* D. — [2] Ἀνθύμου S. — [3] Φλωρεντίου S.
3. — [1] (μ. ἡ.) μάρτυρος D. — [2] (τ. θ.) *om.* D.
1. — [1] (μνήμη - ἀνακ.) ἄθλησις D. — [2] τοῦ ἐν Εὐχαΐνοις *add.* D. — [3] *om.* D. — [4] κ. τ. χρ. ἦν D. — [5] Λικιννίου S, D. — [6] Εὐχαΐνων D. — [7] πρεσβ. σύνεσιν D. — [8] D, ἀποκρυπτόντων S. — [9] τε *add.* D. — [10] περιλάμπουσαν S. — [11] *corr. supra lin.* D. — [12] αὐτὸν ἀγαγεῖν D. — [13] παραγενέσθαι μετὰ τῶν μ. α. θεῶν D. — [14] ὑμᾶς S. — [15] αὐτῶν D. — [16] συνάψει S.

Iun. 7. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — Θεοτόκου ἐν τῷ Σωσθενείῳ (Iun. 8²). — Νικάνδρου καὶ Μαρκιανοῦ (Iun. 8³). — **P** : 1. 2. 3. — **D** : 1. 2. 3. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 1. 2. 3. — **Bb** : 1. — Νικάνδρου καὶ Μαρκιανοῦ. — Ὑπόμνησις τῆς τῶν βαρβάρων ἐπιδρομῆς (Iun. 5¹). — Δωροθέου (Iun. 6¹). — Ἀττάλου (Iun. 2⁵). — **Bc** : 1. — Νικάνδρου καὶ Μαρκιανοῦ. — **C** : 1. 2 : Ἀνθίμου πρεσβυτέρου, Φλορεντίου καὶ Στεφάνου. — 3. — **Ce** : 1. 2 (Ἀ. καὶ Στεφάνου). — 3. — **Cg** : 1. 2 (Ἀ., Φλορεντίου καὶ Σ.). — **R** : 1. — **Ra** : 1. 2. 3. — **Rb** : 1. 2. 3. — **Rc** : Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας (Ian. 18¹). — Δάνακτος (Ian. 16³). — **Mc** : 1. — Ποταμίνης. Ἐν ταῖς ἡμέραις Μαξιμιανοῦ τοῦ βασιλέως ἦν ἐν Ἀλεξανδρείᾳ τῇ πόλει ἡ ἁγία αὕτη, δούλη ἀκολάστου τινός, ὡραία πάνυ οὖσα τῷ εἴδει. Ταύτην πολλὰ βιασάμενος ὁ ταύτης δεσπότης πρὸς μίξιν αἰσχράν, οὐ συγκατανεύουσαν ὅλως ἔσχε· διὸ καὶ μανεὶς παρέδωκε ταύτην τῷ ἐκεῖσε ἄρχοντι εἰπών· « Αὕτη ἡ νεᾶνις δούλη μού ἐστι, καὶ οὐκ ἀνέχεται συμμιγῆναί μοι· διὰ τοῦτο παραδίδωμί σοι » αὐτήν, ἵνα διὰ κολακείας ἢ ἀπειλῶν πείσῃς συγκαταθέσθαι τῷ ἐμῷ θελήματι. Καὶ πάντως εἰ τοῦτο » γένηται, ἀνταμείψομαί σε κἀγὼ ἀξίως· εἰ δὲ οὐ πείθεται, κόλασον ὡς χριστιανήν, καὶ πικρῷ τελευταῖον » καταδίκασον θανάτῳ. » Ταύτην λαβὼν ὁ ἄρχων καὶ μὴ δυνηθεὶς πεῖσαι ἢ διὰ κολακειῶν ἢ διὰ διαφόρων τιμωριῶν, ἀπεφήνατο ἐν λέβητι βληθῆναι πίσσης παφλαζούσης. Ἡ δὲ ἁγία ὥρκισε τὸν ἄρχοντα εἰς ἣν ἐτίμα τοῦ βασιλέως κεφαλήν, εἰποῦσα· « Μὴ ἀθρόον τῷ λέβητι ἐμβληθῆναί με κελεύσῃς, ἀλλὰ κατὰ » μικρὸν διὰ μαγγάνου, ἵνα γνῷς καὶ αὐτὸς ὅσην ὑπομονὴν μέλλει μοι δωρήσασθαι ὁ Χριστός, ὃν σὺ » ἀγνοεῖς. » Ὁ δὲ διὰ τὸν ὅρκον ἐπὶ τρισὶν ὥραις προσέταξε τοῦτο γενέσθαι. Βληθεῖσα δὲ κατὰ μικρὸν ἡ ἁγία προσηύχετο τῷ Θεῷ καὶ διήρκεσε ζῶσα ἐκκαιομένη τῇ πίσσῃ ἐν ταῖς τοσαύταις ὥραις, μέχρις οὗ ἡ κεφαλὴ αὐτῆς ἐκαλύφθη ὑπὸ τοῦ βρασμοῦ τῆς πίσσης. Καὶ ἐθαύμασαν πάντες τὴν δύναμιν τοῦ Χριστοῦ καὶ τὴν ὑπομονὴν τῆς νεάνιδος· καὶ οὕτως τὸ μαρτύριον ἐκτελέσασα πρὸς Κύριον ἐξεδήμησε. — 3. 2. — Ταράσιος καὶ Ἰωάννης ξ. τ. — **Mv** : 1. — Ζηναΐδος (Iun. 6⁴). — Αἰσίας καὶ Σωσάνης ... Τελεῖται δὲ ἡ αὐτῶν σύναξις κτλ. (Iun. 6³). — Τοῦ ἁγίου μάρτυρος Λυκαρίωνος (cf. Feb. 9²). — Ταράσιος καὶ Ἰωάννης ξ. τ. — 2 (Στέφανος ... Ἄνθιμος). — 3. — **Mr** : 1.

Iun. 8. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 3. 1 (ἄθλησις τοῦ ἁγίου Θεοδώρου). — 2 (... ἐν Σωσθενείῳ τοῦ Πηγαδίου). — **D** : 2. 3. 1. — Sequitur : Ἑτέρου ποιητοῦ διήγησις εἰς τὸν ἅγιον. Μνήμη ἤτοι ἀνακομιδὴ τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ στρατηλάτου. Ὃς ἦν ἐπὶ Λικινίου, ἐν Εὐχαΐτοις μὲν γεγονὼς καὶ τὸ γένος ἐκεῖθεν ἕλκων· ἐν Ἡρακλείᾳ δὲ τῇ πρὸς Πόντον κειμένῃ τὰς διατριβὰς ποιούμενος, ὡραῖος τὸν σωματικὸν χαρακτῆρα καὶ τὴν ψυχὴν ὡραιότερος, λόγῳ καὶ γνώσει καὶ τῇ λοιπῇ σοφίᾳ Iun. 8.
κεκοσμημένος <ἦν[1]>· ὅθεν καί τινες αὐτὸν βρυορήτορα προσηγόρευον. Οὗτος δι' ἁπασῶν τῶν κολαστηρίων ὀργάνων διελθὼν καὶ ἀγωνισάμενος ἀνδρικώτατα καὶ τὸν μαρτυρικὸν ἀγῶνα ἐνδόξως διελθών, τὸ μὲν μακάριον αὐτοῦ πνεῦμα ἐν οὐρανίαις σκηναῖς αὐλίζεται, τὸ δὲ πολύαθλον σῶμα τῇδε καταλελοιπὼς τοῖς πιστῶς αὐτῷ προσιοῦσι τῶν ἰαμάτων ἀναβλύζει τὰ ῥεῖθρα· οὗτινος τιμίου καὶ ἁγίου σώματος τὴν μετακομιδὴν σήμερον ἑορτάζομεν. — **Da** : 1. 3. 2. — **Db** : 1. 3. — **K** : 1. 3. — **N** : 1. 3. — **Bb** : 1. — **Bc** : 1. — **C** : 3 (Νικάνδρου καὶ Γερμανοῦ). — 1. — **Ce** : 3. 1. — **Cg** : 3. 1. — **R** : 1. 3. —

[1] *supplevi, om.* D.

καὶ τοὺς τὸν τόπον[17] οἰκοῦντας θριαμβευομένους τοὺς | θεοὺς τῶν ἑλλήνων ἰδεῖν. Ὁ δὲ Λικίνιος ταῖς ἐλπίσιν ἐπαρθεὶς εἰ τούτου κρατήσειεν[18] καὶ νομίσας δι' αὐτοῦ ἅπαν τὸ τῶν χριστιανῶν γένος αἱρήσειν, ἀρετῇ καὶ δόξῃ τὸ[19] πρωτεῖον ἔχοντος, ἀπάρας ἐκ Νικομηδείας καταλαβεῖν ἠπείγετο[20] τὴν Ἡράκλειαν. Ἐν τούτῳ δὲ <ὁ ἅγιος[21]> καθείρξας[22] ἑαυτόν, τὴν τοῦ Θεοῦ ἀρωγὴν εἰς[23] συμμαχίαν ἐξεκαλεῖτο· ὄψεσι δὲ νυκτεριναῖς, ἐν αἷς ἔδοξεν οὐρανόθεν ἀκούειν φωνῆς συνεπισχυούσης αὐτόν, θάρσος λαβὼν ἐπεὶ τὸν Λικίνιον[24] ἤδη πλησιάζοντα τῇ πόλει[25] ἐπύθετο[26], ἵππῳ ἐπικαθίσας καὶ προσυπαντήσας τὰ εἰκότα τοῦτον ἐτίμησεν. Ὁ δὲ δεξιὰς αὐτῷ δοὺς καὶ κατασπασάμενος, εἰσελθὼν ἐν τῇ πόλει καὶ ἐφ' ὑψηλοῦ βήματος προκαθίσας, τὸν μακάριον προετρέπετο Θεόδωρον τοῖς ἑαυτοῦ θεοῖς θυσίας προσενεγκεῖν. Τοῦ δὲ ἁγίου τοὺς ἐπισήμους[27] θεοὺς ἐξαιτησαμένου, ὡς ἂν αὐτοὺς οἴκοι[28] πρότερον θεραπεύσας αὖθις δημοσίᾳ προσαγάγῃ[29] αὐτοῖς τὰς σπονδάς, ἐπικελεύσαντος[30] τοῦ βασιλέως τοὺς χρυσοῦς καὶ ἀργυροῦς ἔλαβε· καὶ[31] τὸ μέσον τῆς νυκτὸς συντρίψας αὐτοὺς καὶ λεπτύνας τοῖς ἐνδεέσι καὶ πένησι δέδωκε[32]. Μεθ' ἡμέραν δὲ τοῦ βασιλέως αὐτούς τε ἐπιζητοῦντος καὶ τὴν εἰς αὐτοὺς ἀπαιτοῦντος τιμήν, δῆλος ἦν ὁ ἅγιος παρακρουσάμενος μὲν τὸν βασιλέα, συντρίψας δὲ καὶ λεπτοποιήσας τὰ εἴδωλα, Μαξεντίου τοῦ κομενταρησίου εἰπόντος ἰδεῖν[33] τὴν κεφαλὴν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ὑπὸ πτωχοῦ τινος περιφερομένην. Ἐπὶ τούτοις φασὶν τὸν μάρτυρα εἰπεῖν γελάσαντα[34]· « Πῶς » ἄρα[35] οἱ θεοὶ ὑμῖν[36] δυνήσονται βοηθεῖν οἱ » μηδὲ[37] ἑαυτοῖς ἐπαμύνοντες; » Ὁ δὲ Λικίνιος μεγάλων ἐλπίδων ἀποσφαλεὶς πρῶτον μὲν ἐξηπορήθη καὶ γέγονεν ἐννεός, ἀνενέγκας δὲ τῆς ἀπάτης ἑαυτὸν κατεμέμφετο, εἶτα τοὺς ἑαυτοῦ θεοὺς ἀπεθρήνει. Μετὰ τοῦτο δὲ θυμοῦ καὶ μανίας πλησθεὶς ἀποδυθῆναι τὸν ἅγιον ἐκέλευσεν καὶ ἐκ τεσσάρων ταθῆναι καὶ νεύροις ξηροῖς[38] βοῶν κατὰ τὸν νῶτον ἑπτακοσίας αὐτῷ δοθῆναι πληγὰς καὶ πεντήκοντα κατὰ τῆς γαστρός, καὶ ταῖς ἐκ μολίβδου σφαίραις τὸν αὐτοῦ τένοντα[39] τύπτεσθαι, εἶτα ξεσθῆναι τὰς σάρκας, ὑποκαιομένων κάτωθεν λαμπάδων, καὶ ὀστράκοις τὰς ἡλκωμένας καὶ κεκαυμένας αὐτοῦ[40] πληγὰς ἀνατρίβεσθαι. Μετὰ δὲ τὸ ταῦτα στερρῶς ὑπομεῖναι, ἀπετέθη ὑπὸ τῶν δημίων ἐν τῇ φυλακῇ καὶ τοὺς πόδας ἐν | τῇ ποδοκάκῃ διησφαλίσθη· διαμείνας δὲ ἀπόσιτος ἐν αὐτῇ ἐπὶ πέντε ἡμέρας, αὖθις ἐξάγεται καὶ ἐν σταυρῷ καταπήγνυται χεῖρας καὶ πόδας, καὶ περόνην κατὰ τοῦ κρυφίου πόρου δέχεται, μέχρι τῶν ἐγκάτων ἐν τῷ διελαύνεσθαι φθάσασαν. Περιειστήκεισαν δὲ παῖδες[41] τοξεύοντες κατὰ τοῦ προσώπου καὶ τῶν ὀφθαλμῶν αὐτοῦ· ταῖς δὲ βολίσι συνεξέπεσον αἱ τοῦ ἁγίου[42] ἀπὸ τῶν ὀφθαλμῶν κόραι· ἕτεροι δὲ ἐγκαρσίοις[43] τομαῖς κατὰ τῶν κεκρυμμένων μερῶν διελάσαντες, τὰ σπερμογόνα συνεξέτεμον μέλη. Ἐν δὲ τῷ σταυρῷ τὴν νύκτα διαγαγών, νομίσαντος ἤδη τοῦ Λικινίου ὅτι τέθνηκε, ὑπὸ ἀγγέλου ἀπελύθη[44] τε τῶν ἥλων καὶ ὅλως γεγονὼς[45] ὑγιὴς[46] ἦν ψάλλων[47] καὶ εὐλογῶν τὸν Θεὸν καὶ ἐπιφθεγγόμενος· « Ὑψώσω σε, ὁ Ps. 144. 1.
» Θεός μου, ὁ βασιλεύς μου » καὶ τὰ ἑξῆς. Ἤδη δὲ τῆς ἡμέρας διαφαινούσης, οἱ ἀποσταλέντες παρὰ τοῦ Λικινίου τοῦ ἆραι τὸ σῶμα αὐτοῦ καὶ ῥῖψαι ἐν τῇ θαλάσσῃ, ὡς κατέλαβον τὸν ἅγιον ὑγιῆ, ἐπίστευσαν τῷ Χριστῷ[48]. Ἰδὼν δὲ ὁ Λικίνιος τὴν πόλιν θορυβουμένην[49] καὶ πάντας σχεδὸν τῇ εἰς Χριστὸν πίστει προσερχομένους, τὴν τοῦ ἁγίου κεφαλὴν ἐκέλευσε ξίφει τμηθῆναι· ἔνθα δὴ τὰ περισχόντα αὐτὸν τῶν χριστιανῶν πλήθη καὶ διακωλύοντα[50] τὴν ἀναίρεσιν μόλις ὁ ἅγιος καταπαύσας καὶ τῷ Χριστῷ ἐπευξάμενος καὶ τὸν αὐχένα ὑποθεὶς τῷ σιδήρῳ, τὸν δρόμον τοῦ μαρτυρίου ἐτέλεσεν. Μετετέθη δὲ ἀπὸ τῆς Ἡρακλείας ἐν τοῖς Εὐχαΐνοις πλησίον Εὐχαΐτων[51] ἐν τῷ γονικῷ αὐτοῦ κτήματι, καθὼς αὐτὸς ὁ μάρτυς Αὐγάρῳ τῷ ταχυγράφῳ αὐτοῦ πρὸ τῆς ἐκτομῆς παρεκελεύσατο· ὃς παρὰ πᾶσαν αὐτοῦ τὴν ἄθλησιν συνὼν αὐτῷ τὰς κατὰ μέρος πεύσεις καὶ ἀποκρίσεις[52], τὰ ποικίλα τῶν βασάνων εἴδη καὶ τὰς θεόθεν ἐπιφανείας καὶ ἀντιλήψεις πλατύτερον διεχάραξεν.

f. 233. f. 233v. Iun. 8.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἐν τῷ Σωσθενείῳ[1].

3. Καὶ ἄθλησις τῶν ἁγίων τοῦ[1] Χριστοῦ[1] μαρ-

— [17] τῷ τόπῳ D. — [18] τοῦτο κρατοίσειε S. — [19] *supra lin.* D. — [20] ὑπήγετο S. — [21] Da, *om.* S. — [22] ἐγκαθείρξας D. — [23] εἰ D. — [24] Λικίννειον D. — [25] τὴν πόλιν D. — [26] ἐπείθετο S. — [27] ἐπισημωτέρους D. — [28] οἴκει S, οἴκει|||| D. — [29] προσαγάγοι D. — [30] ἐπεικαλέσαντος D. — [31] κατὰ D. — [32] διαδέδωκεν D. — [33] εἰδέναι D. — [34] γ. εἰπεῖν D. — [35] ἑτέροις *add.* D. — [36] ἡμῶν D. — [37] εἰμὶ δὲ S. — [38] *om.* D. — [39] ταίνοντα *in marg.* S. — [40] αὐτοὺς S. — [41] καὶ D. — [42] αἱ τ. ἁγ. *om.* D. — [43] ἀναγκαρσίοις S, ἀνακαρσίοις D. — [44] ἀπὼν ἐλύθη D. — [45] δλος γέγονεν D. — [46] καὶ *add.* D. — [47] ψάλων S. — [48] ἄνδρες ὄντες πέντε καὶ ὀγδοήκοντα καὶ μετ' αὐτοὺς τριακόσιοι στρατιῶται ὧν ἐξηγεῖτο ὁ ἀνθύπατος Κένστος ἐπὶ τῇ ἀναιρέσει τῶν πρώην ἀποσταλέντες· καὶ αὐτοὶ ἐπίστευσαν τῷ Χριστῷ *add.* D. — [49] θορύβου μεστὴν D. — [50] τὰ πλήθη καὶ δι]ακολύοντα *corr.* D. — [51] πλησίον Εὐχαΐτων *om.* D. — [52] καὶ *add.* D.
2. — [1] Σωσθενίῳ D.
3. — [1] *om.* D.

Iun. 8. τύρων Νικάνδρου καὶ Μαρκιανοῦ. Οὗτοι στρατιωτικῆς τάξεως ὄντες διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ἐπὶ Μαξιμιανοῦ τοῦ ἡγεμόνος ἐξετάσθησαν καὶ φρουρᾷ ὑπεβλήθησαν· μετὰ τοῦτο δὲ πάλιν ἀναγκασθέντες ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθέντες τὰς κεφαλὰς ἀπετμήθησαν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

Iun. 9. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Ὀρέστου, Διομήδους καὶ Ῥόδωνος.

f. 234. **2.** | Καὶ ἡ σύναξις τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ Σωσθενείῳ[1].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀλεξάνδρου καὶ Ἀντωνίνης[1]. Ἡ ἁγία μάρτυς Ἀντωνῖνα ἦν ἀπὸ κώμης Κρωδάμων[2], σεμνῶς καὶ ὁσίως τὸν βίον διάγουσα[3]. Συλληφθεῖσα δὲ ὑπὸ Φήστου καὶ μὴ πεισθεῖσα ἀρνήσασθαι τὸν[4] Χριστὸν[5] ἐν οἰκήματι πορνικῷ ἀποτίθεται. Ἐπὶ[6] τρισὶν[7] ἡμέραις ἀπόσιτον[8] αὐτὴν διαμείνασαν περιΐσταται[9] φῶς ἐν νυκτί· καὶ βροντῆς[10] καταρραγείσης, αἱ τοῦ οἰκήματος θύραι διερράγησαν, καὶ φωνὴ πρὸς αὐτὴν[11] οὐρανόθεν γέγονεν προτρεπομένη[12] ἀναστῆναι καὶ τροφῆς μεταλαβεῖν[13]. Αἰτήσασα δὲ καὶ φαγοῦσα ἐξῆλθεν αὖθις παραστῆναι τῷ ἡγεμόνι· καὶ μὴ πεισθεῖσα θῦσαι τοῖς εἰδώλοις[14], πτερνίζεται καὶ σπαθίζεται καὶ πάλιν ἐπὶ τὸ πορνικὸν ἀπάγεται οἴκημα. Ἐν ᾧ δι' ἀποκαλύψεως ἀγγέλου ὁ Ἀλέξανδρος εἰσελθὼν καὶ διὰ τὸ νέον τῆς ἡλικίας — ἦν γὰρ ὡσεὶ χρόνων εἴκοσι τριῶν — δόξας ἐπὶ πρᾶξιν ἄσεμνον παραγενέσθαι, λαθὼν τὴν μὲν ἁγίαν τοῦ δωματίου ὑπεξήγαγε, τῷ χλανιδίῳ τὴν αὐτῆς[15] καλύψας κεφαλήν.

2. — [1] Σοσθενίω S, D, τῆς Προποντίδος *add.* Da.
3. — [1] Ἀντωνίνας D. — [2] Κοδράμων D. — [3] διαγαγοῦσα D. — [4] (καὶ μὴ - τὸν) *bis scripta dein del.* D. — [5] μηδὲ λατρεῦσαι τοῖς δαίμοσιν *add.* D. — [6] *om.* D. — [7] δὲ *add.* D. — [8] ἄσιτον D. — [9] περιήστραψεν D. — [10] D, φωνῆς S. — [11] ἑαυτὴν S. — [12] προτρεπομένην S. — [13] μετασχεῖν D. — [14] τ. εἰδ. θῦσαι D. — [15] ἑαυτῆς S.

Iun. 8. **Ra** : 2. 1. — **Rb** : 2. 1. — **Rc** : 1. — **Mc** : 1. — Μελάνεια ἐν εἰρήνῃ τ. — Ὁ ὅσιος Ἀτρὲ ἐν εἰρήνῃ τ. — 3 (Νίκανδρος ξ. τ. ... Μάρκος ξ. τ.). — Ναυκράτιος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. 3. — Τῆς ἁγίας μάρτυρος Καλλιόπης. — **Mr** : 1.

Iun. 9. SYNAXARIA SELECTA. **H** : 2. 3. 6. — **P** : 3. 6. 2. 4. — **D** : 3. — Πελαγίας τῆς ἀπὸ ἑταιρίδων (Oct. 8[1]). — 6. 5. 4. — Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας (Ian. 18[1]). — 2. — **Da** : 3. 5. 4. — Κυρίλλου. — 2 (... ἐν τῷ Σ. τῆς Προποντίδος). — 6. — **Db** : 3. 5. 4. — Κυρίλλου. — 2. 6. — **K** : 3. 5. 4. — Κυρίλλου. — 2. — **N** : Κυρίλλου. — 3. — Φουρτουνάτου ἑνὸς τῶν ο' (Iun. 15[4]). — 1. 5. 4. — **Bb** : 3. — **Bc** : 6. — **C** : 2. 3. — **Ce** : 2. 3. — **Cg** : 2. 3. — **R** : Ἡ ἀνακομιδὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου. — Γλυκερίου πρεσβυτέρου Νικομηδείας. — Φουρτουνάτου. — 6. — **Ra** : 1. 5. 4. — Θεοφανοῦς καὶ Πανσέμνης (Iun. 10[5]). — **Rb** : 2. 1. 5. 4. 6. — **Rc** : Νικάνδρου καὶ Μαρκιανοῦ (Iun. 8[3]). — Τῶν ἁγίων ι' μαρτύρων (Iun. 5[3]). — **Mc** : Κυρίλλου (τὸ δὲ συναξάριον τούτου ἐγράφη ἰαννουαρίῳ ιη'). — Θέκλης, Μαριάμνης, Μάρθας, Μαρίας καὶ Ἐννεείμ. Ἐν ταῖς ἡμέραις Σαβὼρ τοῦ βασιλέως Περσῶν, πλησίον τῆς κώμης Ἀζᾶ ἦν τις πρεσβύτερος Παῦλος τοὔνομα, πλούτῳ κομῶν, ἔχων μεθ' ἑαυτοῦ καὶ πέντε κανονικὰς παρθένους Θέκλαν, Μαριάμνην, Μάρθαν, Μαρίαν καὶ Ἐννεείμ. Αὗται τῇ αἴγλῃ τῶν ἀρετῶν κατεκοσμοῦντο καὶ ἐλαμπρύνοντο, ἱερουργοῦντος τοῦ Παύλου καὶ συμψάλλοντος αὐταῖς καὶ τὰ διδόμενα θησαυρίζοντος· ἐκεῖναι δὲ νυκτὸς καὶ ἡμέρας εἰργάζοντο τὰς τοῦ Θεοῦ ἐντολάς. Ὁ γοῦν μισόκαλος δαίμων μὴ φέρων τὴν κατὰ Θεὸν προκοπὴν ἐπιδιδοῦσαν καθ' ἑκάστην ὥραν[1], τί μηχανᾶται καὶ τί ποιεῖ; Παρασκευάζει μηνυθῆναι διά τινος Νιρσῆ τῷ ἀρχιμάγῳ τοῦ βασιλέως Περσῶν ὅτι· « Ἔστι τις » πρεσβύτερος χριστιανός, πλούτῳ βρίθων πολλῷ, καὶ εἰ βούλει ἀποκερδῆσαι τὸν πλοῦτον αὐτοῦ μετὰ » καὶ τῶν παρθένων, ὧν ἔχει μεθ' ἑαυτοῦ, παράστησον αὐτὸν κἀκείνας· ἐκείνων δὲ τὴν πίστιν αὐτῶν » μὴ ἀρνησαμένων, σὺ τοῦ πλούτου παντὸς ἔσῃ κύριος, κατασφάξας αὐτούς. » Ὁ δὲ εὐθέως παρέστησεν αὐτὸν μετὰ τῶν παρθένων καὶ αὐτῶν τῶν πραγμάτων. Τότε εἰσελθόντος τοῦ σατανᾶ ἐν τῇ καρδίᾳ τοῦ πρεσβυτέρου, εἶπε πρὸς τὸν ἀρχιμάγον· « Ἵνα τί ἔλαβες τὰ χρήματά μου, μηδέν σοι κακὸν » διαπραξαμένου; » Ὁ δὲ ἀποκριθεὶς εἶπε· « Διὰ τὸ εἶναί σε χριστιανὸν καὶ μὴ φυλάττειν τὰ » προστάγματα τοῦ βασιλέως. » Καὶ ὁ Παῦλος· « Καὶ τί μοι προστάσσεις ἵνα ποιήσω; » — « Ἐὰν » προσκυνήσῃς, εἶπε, τῷ ἡλίῳ καὶ φάγῃς αἷμα, λάβε τὰ σὰ καὶ πορεύθητι οἴκαδε. » Τότε ὁ ἄθλιος περιστραφεὶς καὶ ἰδὼν τὰ πράγματα κείμενα χαμαί, φησί· « Ποιῶ πάντα ὅσα ἂν εἴπῃς μοι. » Καὶ προσκυνήσας τῷ ἡλίῳ, ἔφαγε καὶ τὸ πεπηγὸς αἷμα τῶν θυσιῶν. Ὡς δὲ ὁ ἀρχιμάγος τοῦ σκοποῦ ἐξέπεσε· « Πεῖσον, φησί, καὶ τὰς μετὰ σοῦ παρθένους ποιῆσαι ὃ σὺ πεποίηκας, καὶ λαβεῖν καὶ ἄνδρας· » καὶ τότε λαβόντες τὸν πλοῦτον ὑμῶν, πορεύθητε ὅπῃ καὶ βούλεσθε. » Ὁ δέ, — ὢ μιαρότητος καὶ ἀναιδείας, — προσελθὼν ταῖς παρθένοις φησίν· « Ὁ ἄρχων λαβὼν τὰ χρήματα ἡμῶν, παρέστησε καὶ » ἡμᾶς ποιῆσαι τὸ θέλημα τοῦ βασιλέως προτρέπων καὶ οὕτως ἀντιστρέψαι ταῦτα πρὸς ἡμᾶς· καὶ » ἰδοὺ ἔφαγον τὸ αἷμα καὶ ἔπιον καὶ τῷ ἡλίῳ προσεκύνησα, καὶ προτρέπεται καὶ ὑμᾶς δι' ἐμοῦ τοῦτο » ποιῆσαι καὶ λαβεῖν τὰ ὑμέτερα καὶ ἀπελθεῖν οἴκαδε. » Αἱ δὲ παρθένοι πρότερον ἐμπτύσασαι εἰς τὸ πρόσωπον αὐτοῦ ὡς ἐκ συνθήματος· « Ἔρρε, μιαρώτατε, ἔφασαν, ὅτι ὅλως ἐτόλμησας τοῦτο ποιῆσαι » καὶ πρὸς ἡμᾶς εἰπεῖν· ἰδοὺ καὶ δεύτερος Ἰούδας, ἄθλιε, ἀπεφάνθης· ἐκεῖνος διὰ χρημάτων παραδοὺς » εἰς θάνατον τὸν δεσπότην καὶ διδάσκαλον καὶ ταῦτα κερδήσας ἀπήγξατο· καὶ σὺ ἰδοὺ διὰ χρήματα

[1] δρᾶν Mc.

αὐτὸς δὲ ἐκεῖσε διέμεινε. Μετ' ὀλίγον δὲ φανεροῦ γενομένου τοῦ πράγματος, στρατιωτῶν τινων εἰς τὸ ἐνυβρίσαι τὴν ἁγίαν παραγενομένων, ἤχθη πρὸς τὸν ἡγεμόνα[16] Ἀλέξανδρος. Καὶ πρῶτον μὲν σπαθίζεται· εἶτα, συσχεθείσης[17] τῆς ἁγίας, ἀμφότεροι τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν ἀποτέμνονται, καὶ οὕτως[18] ἐν βόθρῳ πυρὸς ὅλον τὸ σῶμα πίσσῃ ἐπιχρισθέντες ὑγρᾷ[19] ἐξωθοῦνται καὶ ἀπορρίπτονται· καὶ ἐν τούτῳ τὸ μακάριον δέχονται τέλος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ μονῇ τοῦ Μαξιμίνου, διακειμένῃ ἐν Κωνσταντινουπόλει, ἔνθα τὰ τίμια αὐτῶν κατάκεινται λείψανα. Iun. 9.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις[1] τοῦ ἁγίου ἱερομάρτυρος Ἀλεξάνδρου ἐπισκόπου Προύσης.

5. Καὶ[1] τῶν ἁγίων μαρτύρων Ἀνανίου καὶ Κοδράτου.

6. Καὶ τῆς ὁσίας Πελαγίας, ἥτις διὰ τὸ μὴ διαφθαρῆναι αὐτὴν ἐρρίφη πρὸς γῆν ἐκ τοῦ ὕψους. Ταύτην καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Iun. 10. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Τιμοθέου ἐπισκόπου Προύσης. Οὗτος ἦν ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου[1] τὴν λαχοῦσαν αὐτῷ ἐκκλησίαν ἰθύνων καλῶς καὶ τὸν ἐν ταύτῃ λαὸν ποιμαίνων πνευματικῶς. Βρύων δὲ παντοῖα θαύματα, τὸν f. 234v. δρά|κοντα τὸν μέγαν[2], ὃς τῇ τοῦ ἐμφωλεύοντος ἐν αὐτῷ τῷ[3] τόπῳ[3] κακίᾳ, φαμὲν δὴ τοῦ βροτοκτόνου καὶ ἀρχαίου δράκοντος, τούς τε παριόντας ἀνθρώπους ἀνῄρει καὶ τὰ κτήνη φυσήματι μόνῳ[3] ἐλυμαίνετο, καὶ ὅλως ἄβατον τὴν μεταξὺ[4] τῆς πόλεως Προύσης καὶ τῶν θερμῶν ὑδάτων ὁδὸν ἀπεδείκνυ, τῇ ἐπιβολῇ τοῦ τῶν ἱερῶν[5] ἄρτων καλύμματος[6] διέρρηξε καὶ ἐνέκρωσεν. Ἀπετμήθη δὲ τὴν ἱερὰν κάραν, Ἰουλιανοῦ τοῦ παραβάτου μαθόντος περὶ τῶν θαυμάτων ὧν ἐπετέλει καὶ ἀποστείλαντος καὶ ἀνελόντος αὐτόν. Τελεῖται δὲ ἡ

— [16] ὁ *add.* D. — [17] καὶ *add.* D. — [18] οὕτω D. — [19] πίσσης ... ὑγρᾶς S.
4. — [1] (τῇ - ἄθλησις) καὶ D.
5. — [1] καὶ τῇ αὐτῇ ἡμέρᾳ *add.* D.
1. — [1] τυράννου D. — [2] μέγα D. — [3] *om.* D. — [4] μαξὺ D. — [5] ἱερέων S. — [6] καλύματος D.

Iun. 9. » ἀπώλεσας τὴν ψυχήν σου. Καὶ οὐδὲ εἰς ἔννοιαν ἦλθέ σοι τὸ περὶ τοῦ πλουσίου ἐκείνου τοῦ ἔχοντος » χρήματα πολλὰ καὶ λέγοντος· Ψυχή, ἔχεις πολλὰ ἀγαθά· φάγε, πίε, εὐφραίνου. Ὃς καὶ ἤκουσεν· (Luc. 12, 19.) » Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας τίνι ἔσται; Λέγομεν » οὖν σοι ἐνώπιον τοῦ Θεοῦ ἱστάμεναι, ὅτι ἀμφότερα τὸ τοῦ πλουσίου καὶ τοῦ Ἰούδα ἐπὶ σοὶ πληρωθήσονται. » Καὶ πάλιν κατέπτυσαν αὐτοῦ ὡς ἀποστάτου. Τότε προστάξει τοῦ ἀρχιμάγου ἐτύφθησαν αἱ παρθένοι ἀφειδῶς ἐπὶ πολλαῖς ταῖς ὥραις. Τυπτόμεναι δὲ διὰ ῥάβδων· « Ἡμεῖς τὸν κύριον ἡμῶν » Ἰησοῦν Χριστόν, ἔλεγον, προσκυνοῦμεν, τοῖς δὲ προστάγμασι τοῦ βασιλέως οὐχ ὑπείκομεν· καὶ ὃ » θέλεις ποίει. » Καὶ ὁ ἀρχιμάγος πάντα τρόπον μηχανώμενος ἀποκερδῆσαι τὰ τοῦ Παύλου χρήματα, ἀπεφήνατο διὰ χειρὸς τοῦ Παύλου ξίφει ἀποτμηθῆναι τὰς κεφαλὰς τῶν ἁγίων παρθένων, σκοπήσας ὡς οὐ πεισθήσεται ὁ Παῦλος τοῦτο ποιῆσαι. Καὶ τούτου μὴ γενομένου ἀποκερδανεῖ πάντως τὰ πράγματα, συναναιρεθέντος καὶ τοῦ Παύλου ταῖς ἁγίαις παρθένοις. Ὁ δὲ ἄθλιος ἐκεῖνος ἅπαξ τῇ λύσσῃ τῆς φιλαργυρίας πωρωθεὶς τὴν ψυχήν, οὐδὲ τοῦτο παρῃτήσατο δρᾶσαι· ἀλλ' ἐπιστραφεὶς αὖθις καὶ ἰδὼν τὰ ἑαυτοῦ χρήματα· « Ποιῶ πάντα, ἔφη, ὅσα προστάξειας. » Καὶ λαβὼν τὸ ξίφος πλησίον τῶν παρθένων ἀφίκετο. Αἱ δὲ ἅγιαι ἰδοῦσαι αὐτὸν ἐξέστησαν, καὶ μιᾷ φωνῇ λέγουσι πρὸς αὐτόν· « Ἄθλιε, ποιμὴν ὢν » χθὲς ἡμῶν, νῦν ὡς ἄγριος λύκος ἐξῆλθες ἀποκτεῖναι ἡμᾶς; γνῶθι ὅτι τὸ παρὰ σοῦ ξίφος ζωὴ αἰώνιός » ἐστιν ἡμῖν, καὶ ἡμεῖς μὲν ἀπερχόμεθα πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, σὺ δέ, καθὼς προείπομεν, τὴν ψυχήν σου ἀπώλεσας σὺν τῷ πλούτῳ καὶ τάχιον τῷ τῆς ἀγχόνης σχοινίῳ πορεύσῃ πρὸς » τὸν συγχορόν[2] σου Ἰούδαν. » Ταῦτα καὶ ἕτερα λέξασαι πρὸς αὐτὸν καὶ προσευξάμεναι ἀπετμήθησαν τὰς κεφαλὰς ὑπ' αὐτοῦ. Τότε ὁ ἀρχιμάγος λέγει πρὸς αὐτόν· « Γνῶθι, Παῦλε, ὅτι ἐν οὐδενὶ τῶν ἀνθρώ- « πων τεθέαμαι τὴν προσοῦσάν σοι εὐφυΐαν[3] καὶ ἐπιτηδειότητα. Διὰ τοῦτο ἄνευ τοῦ βασιλέως » ἀπολῦσαί σε οὐ δύναμαι, ὅτι ἀναμαθὼν οὗτος τὰ περὶ σοῦ δι' ἐμοῦ ἀπαγγέλλοντος, εἰς μεγάλην σε » τιμὴν ἀποκαταστήσει· νῦν οὖν εὐφράνθητι μεθ' ἡμῶν καὶ μεῖνον ἐν κελλίῳ πλησίον ἡμῶν, καὶ πρωΐας » ἀναφέρομεν τὰ περὶ σοῦ. » Ὁ δὲ ἀπεκρίνατο· « Γενέσθω ὡς ἐκέλευσας. » Καὶ τῇ νυκτὶ ἐκείνῃ ἀποστείλας ὁ ἀρχιμάγος τοὺς δούλους αὐτοῦ σχοινίῳ ἀποπνῖξαι τὸν Παῦλον προσέταξε. Πρωΐας δὲ εἰσελθών, ὡς εὗρεν αὐτὸν κρεμάμενον, κατεδίκασεν ὡς ἑαυτὸν δῆθεν κρεμάσαντα. Καὶ προσέταξε καταβιβασθῆναι καὶ ῥιφῆναι βορὰν τοῖς κυσί. Καὶ οὕτω τοῦ ἀθλίου τούτου βιαίως τὴν ψυχὴν ἀπορρήξαντος, τὰ χρήματα αὐτοῦ πάντα ὁ ἀρχιμάγος ἑαυτῷ περιεποιήσατο, ὥστε πέρας λαβεῖν τὰ προρρηθέντα ὑπὸ τῶν ἁγίων γυναικῶν καὶ τὸν διπλοῦν αὐτὸν ἐλεεινῶς ὑποστῆναι θάνατον. — 4. 5 : Ἀνανίας ξ. τ. — Ὁ ἅγιος Κῦρος ἐν εἰρήνῃ τ. — Αἱ ἅγιαι τρεῖς μάρτυρες καὶ παρθένοι, αἱ ἀπὸ Χίου ξ. τ. — **Mv** : Κυρίλλου πάπα Ἀλεξανδρείας. — 6. — **Mr** : Κυρίλλου.

Iun. 10. SYNAXARIA SELECTA. **H** : 1. 3. 5. — **P** : 1. 5. — **D** : 1. 3. 5. — **Da** : 1. 3 (Ἀπόλλωνος). — 4 (Ἀλεξίνου). — 5. — **Db** : 1. 3. 4. 5. — **K** : 1. 5. 3. 4. — **N** : 1. 3. 5. — **Bb** : 1. 5. — Πελαγίας (Iun. 9[6]). — **Bc** : Ἀλεξάνδρου καὶ Ἀντωνίνης (Iun. 9[3]). — 1. — Κανίδους. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, Θεοδότου καὶ Θεοφανοῦς υἱός, τὰς οἰκήσεις ποιουμένων ἐν τῇ τῶν Καππαδοκῶν χώρᾳ, εὐλαβῶν ὄντων καὶ θεοφιλῶν. Λέγεται δὲ τὴν μητέρα αὐτοῦ παντοίας τροφῆς ἀπέχεσθαι

— [2] συγχολόν Mc. — [3] εὐφυΐαν Mc.

Iun. 10. αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι ἔνδον τοῦ εὐαγοῦς ξενῶνος ἐν τῷ Δευτέρῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βενιαμίν.

3. Καὶ μνήμη[1] τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀπολλὼ ἐπισκόπου[2].

4. Καὶ Ἀλεξίου ἐπισκόπου Βιθυνίας.

5. Καὶ μνήμη τῶν ὁσίων[1] καὶ[2] μακαρίων[2] Θεοφάνους καὶ Πανσέμνης. Ὁ ὅσιος Θεοφάνης ἐκ τῆς Ἀντιοχέων[3] πόλεως ἦν· γεννηθεὶς δὲ ἐξ ἀπίστων καὶ δυσσεβῶν γονέων ταχὺ πρὸς τὴν εἰς Χριστὸν[4] πίστιν καὶ εὐσέβειαν μετετέθη. Ἐν γὰρ τῷ πεντεκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας[5] γυναικὶ πρὸς γάμον ζευχθεὶς καὶ ἐπὶ τρισὶν ἔτεσιν αὐτῇ[6] συνδιαγαγών, ὡς εὐθὺς ἐξ ἀνθρώπων ἐκείνη γέγονεν, αὐτὸς προσῆλθε τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ[6] καὶ τὸ ἅγιον ἐδέξατο βάπτισμα. Καὶ πλησίον τῆς πόλεως στενότατον κελλίον οἰκοδομήσας, καθεῖρξεν ἑαυτὸν διὰ πάντων καθαιρόμενος[7] ἃ πρὸς τελείωσιν καὶ τὴν ἄκραν ἀρετὴν συντελεῖ. Μαθὼν δὲ περὶ δημοσίας τινὸς πόρνης, Πανσέμνης οὕτω καλουμένης[8], ὅτι πολλοῖς[9] αἰτία ἀπωλείας καθίσταται, εὐξάμενος καὶ παραθεὶς ἑαυτὸν τῷ Θεῷ τῆς κέλλης[10] ἐξῆλθε. Καὶ ἐν[2] τῷ ἰδίῳ οἴκῳ γενόμενος καὶ τὸ τρύχινον, ὃ ἠμφίεστο[11], ἀποβαλὼν καὶ περιβαλόμενος[12] ἐσθῆτα πολυτελῆ καὶ παρὰ τοῦ πατρὸς δέκα χρυσίου λίτρας λαβών, ὡς δὴ γυναῖκα ἑτέραν ἀγαγέσθαι βουλόμενος, πρὸς τὴν Πανσέμνην παρεγένετο. Καὶ συνεστιαθεὶς αὐτῇ ἐπεὶ[2] ἐπιτήδειος ἔδοξεν ὁ καιρὸς ἐν ᾧ συνελθεῖν[13] αὐτοὺς ἔδει[14], ἀνακλιθεὶς πόσος εἴη χρόνος παρ' αὐτῆς ἐπυνθάνετο, ἐξ οὗ τῇ τοιαύτῃ κατέστησεν ἑαυτὴν ἐργασίᾳ. Τῆς δὲ εἰπούσης[15] ἔτη δώδεκα, καὶ πολλῶν αὐτῇ[16] συνελθόντων μηδένα ὡραιότερον αὐτοῦ κατιδεῖν μηδὲ τρωθῆναι ἔρωτι τοσοῦτον ἑτέρου, αὖθις αὐτὸς[17] <φάναι[18]> νομίμως βούλεσθαι καὶ μετὰ γάμου σεμνοῦ ἐν τῷ οἴκῳ αὐτὴν συγκομίσαι, ἀλλὰ μὴ τῇ διαβαλλομένῃ καὶ αἰσχρᾷ πράξει συγκοινωνῆσαι· τῆς δὲ περιχαρῶς τὸ ῥηθὲν δεξαμένης, εἰ τοιαύτη τις οὖσα καταξιωθείη γάμων | ἐντίμων καὶ ζηλωτῶν, ἐπιδοῦναί τε f. 235. αὐτῇ τὸν μακάριον Θεοφάνην τὸ χρυσίον καὶ εἰπεῖν πορεύεσθαι αὐτὸν τὰ πρὸς ἀπαρτισμὸν τοῦ γάμου τελέσαι· καὶ πορευθέντα ἕτερον οἰκίσκον πλησίον τοῦ κελλίου αὐτοῦ οἰκοδομῆσαι[19], καὶ αὖθις πρὸς αὐτὴν παραγενέσθαι καὶ εἰπεῖν μὴ ἂν ἄλλως τὴν μετ' αὐτῆς συνοίκησιν ἔσεσθαι, εἰ μὴ τὰ τῶν χριστιανῶν τελεσθείη· τὴν δὲ δυσχεραίνειν τὸ πρῶτον μὲν[20] καὶ ἀναβάλλεσθαι, ὅμως δὲ τὸ βάπτισμα καταδέξασθαι· καὶ συνεχῶς ἐν ἑπτὰ ἡμέραις κατηχουμένην καὶ τὰ περὶ τῆς μελλούσης κρίσεως καὶ τῆς τῶν πρακτέων ἀμοιβῆς παρὰ τοῦ ὁσίου ἀκούσασαν[21] φωτισθῆναί τε τὴν διάνοιαν καὶ εἰς κατάνυξιν ἐλθεῖν τῇ τοῦ Χριστοῦ χάριτι, καὶ ἀπαλλάξαι μὲν τῆς δουλείας πάντα αὐτῆς τὰ ἀνδράποδα καὶ τὸν χρυσόν[22], ὃν ἐν τῇ τοῦ σώματος αἰσχρᾷ συνῆξεν ἐργασίᾳ, εὔχρηστα[23] σκεύη κατασκευάσασαν τῷ Θεῷ ἀναθέσθαι, εἰσελθεῖν τε[24] ἐν τῇ κέλλῃ[25], ἣν ὁ ὅσιος κατεσκεύασε Θεοφάνης, καὶ ἐπὶ τοσοῦτον προελθεῖν ἀρετῆς, ὡς καὶ δαίμονας ἀπελαύνειν καὶ παντοῖα νοσήματα θεραπεύειν· ἐπιβιώσασαν[26] δὲ ἐνιαυτὸν ἕνα καὶ μῆνας δύο πρὸς Κύριον ἐκδημῆσαι, ἅμα τῷ ὁσίῳ καὶ θαυματουργῷ Θεοφάνει[27].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Iun. 11. 1. Ἄθλησις τῶν ἁγίων καὶ[1] πανευφήμων[1] ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα. Ὧν ὁ μὲν Βαρθολομαῖος ἦν ἐκ[2] τῶν δώδεκα μαθητῶν· καὶ[3] Ἴνδοις τοῖς καλουμένοις εὐδαίμοσι[4] κηρύξας τὸ εὐαγγέλιον καὶ τὸ κατὰ Ματθαῖον[5] αὐτοῖς εὐαγγέλιον παραδούς[6], σταυρῷ προσηλωθεὶς[7] ἐν

3. — [1] *om.* D. — [2] γενομένου *add.* D.
5. — [1] ἁγίων D. — [2] *om.* D. — [3] Ἀντιόχου D. — [4] ἐν Χριστῷ D. — [5] χρόνῳ τῆς ἡλ. αὐτοῦ D. — [6] μετ' αὐτῆς D. — [7] καθαιρόμενοι S. — [8] οὕτω καλ. Πανσέμνου D. — [9] D, πολλῆς S. — [10] τοῦ κελλίου D. — [11] ἠμφίετο S, ἠμφίαστο D. — [12] περιβαλλόμενος S, ἀπ. καὶ ἀποδυσάμενος κ. π. D. — [13] συν(ελθεῖν) *in ras.* D. — [14] καὶ συνελθεῖν *add. sed postea del.* D. — [15] φαμένης D. — [16] *om.* D. — [17] αὐτὸν D. — [18] D, *om.* S. — [19] ἀνοικοδομῆσαι D. — [20] μὲν τὸ πρῶτον D. — [21] ἀκούουσαν D. — [22] πλοῦτον D. — [23] δὲ *add.* D. — [24] δὲ D. — [25] κέλλα S. — [26] ἐπιβιώσασα D. — [27] Θεοφάνη D.
1. — [1] *om.* D. — [2] εἷς *supra lin.* D. — [3] ὃς D. — [4] D, δαίμοσι S. — [5] ἅγιον *add.* D. — [6] τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν συγγράψας *add.* D. — [7] παραδοθεὶς D.

Iun. 10. παχυτέρας, καθ' ὃν καιρὸν τοῦτον ἐν γαστρὶ ἔφερε· τεχθέντα δὲ ἀπέχεσθαι τῆς ἀριστερᾶς θηλῆς παντελῶς· εἰ δέ ποτε δαψιλεστέρας τροφῆς ἐνεφορήθη ἡ μήτηρ, οὐδὲ τῆς δεξιᾶς θηλῆς ἥπτετο ὅλως. Βαπτισθεὶς οὖν καὶ ἀπογαλακτισθεὶς καὶ τὰ πρώτης ἡλικίας παραμειψάμενος, χαίρειν πᾶσιν εἰπών, τὸ ὄρος καταλαμβάνει. Καὶ μικρὸν ἄντρον ὑπεισελθὼν ἐν αὐτῷ ἑαυτὸν ἐγκαθείρξας, τῇ προσευχῇ καὶ τῇ νηστείᾳ σχολάζων καὶ ἅπαξ τῆς ἑβδομάδος βραχυτάτων ὠμῶν λαχάνων ἄνευ ἁλῶν ἀπογευόμενος, διήρκεσε χρόνοις τρισὶ καὶ ἑβδομήκοντα. Ἐπεὶ δὲ πάνυ ἦν κατάφορος ὁ τόπος ὕδασι καὶ τὸ ἄντρον ὑπὸ πολλῆς νοτίδος πολιορκούμενον, διεφθάρησαν αἱ τρίχες τῆς κεφαλῆς αὐτοῦ καὶ τοῦ πώγωνος. Οὕτως οὖν διαρκέσας ὁ μακάριος ἐπὶ πολὺ πρὸς Κύριον ἐξεδήμησεν. — **C** : 1. 3. 5 (... Πανσέμνου). — **Ce** : 1. 3. 5. (... Πανσέμνης). — **Cg** : 1. 3. 5 (... Πανσέμνου). — **R** : 1. — Τῶν ἁγίων Ἀνανίου καὶ Κοδράτου (Iun. 9[5]). — Τοῦ ἁγίου ἱερομάρτυρος Ἀλεξάνδρου. — Ἡ σύναξις τοῦ τιμίου ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ Σωσθενείῳ (Iun. 9[3]). — **Ra** : 1. — Πελαγίας. — **Rb** : 1. — Ἀλεξάνδρου καὶ Ἀντωνίνης. — **Rc** : Ὀνουφρίου (Iun. 12[1]). — **Mc** : 1. — Ἀλεξάνδρου καὶ Ἀντωνίνης. — 5. 2 : ὁ ἅγιος Βενιαμίν, πάλου τῷ ἀφεδρῶνι ἐμβληθέντος, τ. — **Mv** : Ἀλεξάνδρου καὶ Ἀντωνίνης. — 1. — Κανίδους. — 5. 3 (Ἀπόλλωνος). — 4. — **Mr** : Ἀλεξάνδρου καὶ Ἀντωνίνης.

Iun. 11. SYNAXARIA SELECTA. **H** : 1. — Σύναξις τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τοῖς Ἄδδα. — **P** : 1. — Ὀνουφρίου (Iun. 12[1]). — **D** : 1. — **Da** : 1. — Σύναξις τοῦ ἀρχαγγέλου Γαβριὴλ ἐν τοῖς Ἄδδα. — **Db** :

Ἀρβανουπόλει τελειοῦται ἐνδόξως καὶ ἐν μολιβδίνῃ[8] λάρνακι τεθεὶς τῇ θαλάσσῃ ἐναπορρίπτεται. Ὑπὸ δὲ θείας προνοίας μέχρι Σικελίας ἐν Λιπάρᾳ[9] τῇ νήσῳ κομισθεὶς καὶ φανερωθεὶς ἐκεῖσε θάπτεται. Ὁ δὲ Βαρνάβας, ὃς καὶ Ἰωσῆς ἐν ταῖς τῶν ἀποστόλων Πράξεσιν ἀναγράφεται καὶ[10] εἷς τῶν ἑβδομήκοντα ὑπάρχει[11], συνέκδημος Πέτρου χειροτονεῖται· — ἑρμηνεύεται δὲ τούτου[12] τὸ ὄνομα υἱὸς παρακλήσεως, — ἐκ φυλῆς μὲν Λευῒ ὁρμώμενος, κατὰ τὴν Κύπρον δὲ καὶ γεννηθεὶς καὶ τραφείς[13]. Οὗτος πρῶτος ἐν Ἱερουσαλὴμ καὶ ἐν Ῥώμῃ καὶ Ἀλεξανδρείᾳ ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· καὶ ἀπελθὼν ἐν Κύπρῳ[14], ὑπό τε ἰουδαίων καὶ ἑλλήνων λίθοις κτείνεται[15] καὶ πυρὶ παραδίδοται[16]. Ὃν[17] Μάρκος ὁ ἀπόστολος καὶ εὐαγγελιστὴς[18] συγκομίσας, ἔθετο ἐν σπηλαίῳ, καὶ ἐκπλεύσας εἰς Ἔφεσον πρὸς Παῦλον ἀνήγγειλε τὴν τελείωσιν Βαρνάβα· ἔκλαυσεν δὲ αὐτὸν ὁ Μάρκος ἐπὶ πολύ. Οὗτος λέγεται τεθάφθαι ἅμα | τῷ ὑπ' αὐτοῦ f. 235v. γραφέντι κατὰ Ματθαῖον εὐαγγελίῳ, καὶ ἐς ὕστερον εὑρεθέντι μετὰ τοῦ ἀποστολικοῦ σώματος· ὅθεν καὶ προνόμιον ἔλαβον οἱ πιστοὶ μὴ ὑποκεῖσθαι ὑπό τινα τῶν ἄλλων ἐπισκόπων ταύτην τὴν νῆσον ἀλλ' ὑπὸ τοῦ ἰδίου ἐπισκόπου χειροτονεῖσθαι[19]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων[20] Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Iun. 12. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου τοῦ[1] Αἰγυπτίου[1]. Οὗτος ἦν ἐξ Αἰγύπτου ἐν κοινοβίῳ διακειμένῳ ἐν Ἑρμουπόλει τῶν Θηβῶν[2]. Καὶ ἀκούσας Ἠλιοῦ καὶ Ἰωάννου τοῦ προδρόμου τὸν βίον, ἐξελθὼν τοῦ κοινοβίου ᾤκησε τὴν ἔρημον, ἐπὶ ἑξήκοντα ἔτη ἄνθρωπον μὴ ἑωρακώς. Ὃν εὑρὼν ὁ μοναχὸς Παφνούτιος εἰς τὰ ἐνδότατα τῆς ἐρήμου χωρήσας τοῦ εὐλογηθῆναι ὑπὸ ἁγίων ἀνδρῶν, τὸν ἀριθμὸν[3] δεκαεπτὰ[4] ἡμέρας διοδεύσας[5], καθίσας πλησίον αὐτοῦ, παρεκάλεσεν αὐτὸν τό τε ὄνομα αὐτοῦ[6] εἰπεῖν καὶ πάντα τὰ περὶ αὐτοῦ[7] ἐξηγήσασθαι. Ἃ καὶ μαθὼν ὕστερον τοῖς ἐν τῇ Σκήτει[8] μοναχοῖς ἀνήγγειλεν οὐ μόνον περὶ αὐτοῦ τοῦ θεοφόρου πατρὸς Ὀνουφρίου ἀλλὰ καὶ περὶ ἑτέρων, οὓς διοδεύων εὗρε κατὰ τὴν ἔρημον. Τότε δὲ ἐν τῷ παρεῖναι αὐτόν, τοῦ ὁσίου πρὸς Κύριον ἐκδημήσαντος, διελὼν τὸ ἑαυτοῦ τριβώνιον εἰς μέρη δύο, τὸ ἓν ἐπέβαλε τῷ τοῦ ἁγίου λειψάνῳ· καὶ γὰρ ἦν γυμνὸν θριξὶ μόναις λευκαῖς σκεπόμενον[9]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ εὐκτηρίῳ, τῷ ὄντι ἐν τῇ μονῇ τοῦ ἁγίου Ἀλυπίου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀντωνίνης[1]. Αὕτη ἦν ἐκ πόλεως Νικαίας τῆς κατὰ Βιθυνίαν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ καὶ Πρισκιλλιανοῦ ἄρχοντος. Πρὸς ὃν ἀχθεῖσα διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, τύπτεται μάστιξι κατὰ τῶν[2] μαστῶν, καὶ αὖθις[3] τίθεται ἐν φρουρᾷ. Καὶ[4] ἀχθεῖσα ἀναρτᾶται τῷ ξύλῳ καὶ τὰς πλευρὰς κατακαίεται[5] καὶ ἐπὶ πυρακτωθείσης ἐσχάρας ἁπλοῦται[6]· καὶ διελαύνεται σούβλαις πεπυρωμέναις τὰς χεῖρας, ἐξ ὧν

— [8] βολιβδίνῃ S, μολυβδίνῳ D. — [9] Σικελλίας ἐν Λιπάρῃ D. — [10] (ὃς - καὶ) *om.* D. — [11] ὑπάρχων D. — [12] D, τοῦτο S. — [13] (κατὰ - τραφεὶς) ὅθεν Μωσῆς καὶ Ἀαρὼν καὶ Σαμουὴλ γεννᾶται δὲ ἐν Κύπρῳ, ἐκεῖσε τῶν γονέων αὐτοῦ τὴν οἴκη(σιν) ἐχόντων D. — [14] εἰς Κύπρον D. — [15] ἐκτάνθη D. — [16] παρεδώθη D. — [17] ὁ *add.* D. — [18] (ὁ - εὐαγγ.) *om.* D. — [19] (οὗτος - χειροτ.) *om.* D. — [20] ἀποστόλου D.
1. — [1] *om.* D. — [2] Θηβαίων χώρας D. — [3] (τ. ἀ.) *om.* D. — [4] ἑπτὰ καὶ δέκα D. — [5] καὶ *add.* D. — [6] ἑαυτοῦ D — [7] αὐτὸν D. — [8] Σκήτη D. — [9] γυμνὸς ..... σκεπαζόμενος D.
2. — [1] Ἀντωνίνας D. — [2] *om.* D. — [3] τότε μὲν D. — [4] αὖθις δὲ D. — [5] κ. τὰς πλευρὰς D. — [6] τίθεται D.

Iun. 11. 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — Γαβριὴλ ἐν τοῖς Ἄδδα. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Θεόπεμπτος μετὰ καὶ ἑτέρων δ' ξ. τ. — Ζήνων ἐν εἰρήνῃ τ. (Iun. 12[4]). — Τριφύλλιος ἐπίσκοπος ἐν εἰρήνῃ τ. (Iun. 12[4]). — **Mv** : 1. — Γαβριὴλ ἐν τοῖς Ἄδδα. — **Mr** : 1.

Iun. 12. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 4. 5. — **P** : 2. 4. — **D** : 1. 2. 3. 4. 5. — **Da** : 1. 2. 3. 4 (... Τριφύλλου). — 5 (... ἐν τῇ Δαγούττᾳ). — **Db** : 1. 2. 3. 4. 5 (... Λίβαν ἐν τῇ Δαγουτίᾳ). — **K** : 1. 2. (Ἀντωνίας). — 3. 4 (... ἐπισκόπ. Λευκουσίας τῆς Κύπρου). — 5. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ Ἀθωνίτου (in marg. al. manu). — **N** : 1. 2. 4. 5 (... ἐν Δαγοῦτᾳ). — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. 2. — **Ce** : 1. 2. — **Cg** : 1 : Ὀνουφρίου τοῦ Αἰγυπτίου. Οὗτος ἦν ἐξ Αἰγύπτου ἐν κοινοβίῳ ἐν Ἑρμουπόλει[1] τῶν Θηβῶν· καὶ ἀκούσας Ἠλιοῦ καὶ Ἰωάννου τοῦ προδρόμου τὸν βίον, ἐξελθὼν τοῦ κοινοβίου ᾤκησε τὴν ἔρημον ἐπὶ ἑξήκοντα ἔτη, ἄνθρωπον τὸν[2] οἱονοῦν μὴ ἑωρακώς. Ὃν εὑρὼν ὁ μοναχὸς Παφνούτιος χωρήσας εἰς τὰ ἐνδότερα μέρη τῆς ἐρήμου τοῦ εὐλογηθῆναι ὑπὸ ἁγίων ἀνδρῶν καὶ διοδεύσας ἡμέρας δεκαεπτὰ καὶ καθίσας πλησίον αὐτοῦ, παρεκάλεσεν αὐτὸν τό τε ὄνομα εἰπεῖν καὶ πάντα τὰ περὶ ἑαυτὸν ἐξηγήσασθαι. Ὁ δὲ εἶπεν ὅτι· « Ὀγούφριος καλοῦμαι » καὶ ὅτι· « Τρεφόμεθα οἱ ἐν τῇ ἐρήμῳ πάντες ἐκ » βοτανῶν, τὴν δὲ ἁγίαν κοινωνίαν κομιζόμεθα ὑπὸ ἀγγέλου· ἐὰν δέ τις ἐπιθυμήσῃ ἄνθρωπον ἰδεῖν, » ἀναλαμβάνεται εἰς τὸν οὐρανὸν καὶ θεωρεῖ τὴν δόξαν τῶν δικαίων καὶ πάλιν κατέρχεται χαίρων. » Ἐλθὼν δὲ μετὰ τοῦ Παφνουτίου εἰς ἕτερον τόπον, εὗρεν καλύβην καὶ ἄρτον κείμενον, καὶ μετέλαβον τροφῆς ἀμφότεροι, τοῦ Παφνουτίου τὸν ὅσιον καταναγκάσαντος. Δειλιάσαντος δὲ τοῦ Παφνουτίου καὶ μέλλοντος ὑποχωρῆσαι εἶπε αὐτῷ· « Μεῖνον, τέκνον· σήμερον τελειοῦμαι καὶ σύστειλον τὸ λείψανόν » μου· καὶ ἀπελθὼν κήρυξον τοῖς ἐν Αἰγύπτῳ καὶ πᾶσι τοῖς πιστοῖς, ὅπως μνείαν ποιῶνται[3] ἡμῶν. »

[1] Ἑρμοπόλει Cg. — [2] τὸ Cg. — [3] ποιοῦνται Cg.

Iun. 12. εὐωδία ὥσπερ ἐκ στύρακος ἀνεπέμπετο. Διελαθεῖσα δὲ ὁμοίως καὶ τοὺς ἀστραγάλους ὀβελίσκοις ἐκκαυθεῖσιν, ἀπήχθη πάλιν ἐν τῇ φρουρᾷ [7] καὶ ἐν [8] δυσὶ χρόνοις ἐν αὐτῇ ταλαιπωρεῖν ἐαθεῖσα αὖθις
f. 236. ἐξάγεται· καὶ ἐν θαλάσσῃ | ῥιφεῖσα τὸν διὰ τοῦ μαρτυρίου [9] κομίζεται στέφανον.

3. Τῇ [1] αὐτῇ ἡμέρᾳ μνήμη [2] τοῦ ἁγίου Ἰωάννου τοῦ στρατιώτου.

4. Καὶ τῶν ὁσίων Ζήνωνος καὶ Τριφυλλίου ἐπισκόπου.

5. Καὶ τοῦ ὁσίου Ἰουλιανοῦ [1] τοῦ εἰς τὰ Λίβα ἐν τῇ Δαγούτῃ [2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

Iun. 13. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀκυλίνης. Αὕτη ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Βύβλου [1] τῆς Παλαιστίνης, θυγάτηρ περιφανοῦς τινος ἀνδρὸς Εὐτολμίου. Ἐβαπτίσθη δὲ ὑπὸ Εὐθαλίου [2] ἐπισκόπου οὖσα πενταετής· δεκαετὴς δὲ γενομένη τὰς συντρόφους καὶ ὁμήλικας κόρας πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐχειραγώγει καὶ ἀπέχεσθαι τῶν εἰδώλων ἐδίδασκεν· ὅθεν διαβάλλεται τῷ ἀνθυπάτῳ Οὐολοσιανῷ παρὰ Νικομήδους [3] τινός. Καὶ ἀχθεῖσα εἰς ἐρώτησιν ὁμολογεῖ τὸ ὄνομα τοῦ Χριστοῦ· διὸ τύπτεται καὶ σούβλαις σιδηραῖς πυρωθείσαις τὰς ἀκοὰς διελαύνεται ἐπὶ τοσοῦτον, ὡς καὶ αἱμάτων ῥύσιν ἐκ τῶν μυκτήρων γενέσθαι καὶ ὅλην τὴν κεφαλὴν ἔνδοθεν πυρωθῆναι. Εἶτα λαβοῦσα τὴν διὰ [2] ξίφους ἀπόφασιν καὶ τμηθεῖσα τὸν αὐχένα πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ, τῷ ὄντι ἐν τοῖς Φιλοξένου, πλησίον τοῦ Φόρου, καὶ ἐν τῷ Περιτειχίσματι.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐλογίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

3. Καὶ τοῦ ὁσίου Ἀντιπάτρου [1] ἐπισκόπου Βόστρων [2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

Iun. 14. **1.** Μνήμη ἤτοι [1] κοίμησις [1] τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἐλισσαίου. Οὗτος ἦν υἱὸς Σαφὰτ ἐξ Ἀβελμαοὺλ [2] ἐκ [3] γῆς τοῦ Ῥουβίμ [4]. Καὶ ἐπὶ τούτῳ γέγονε τέρας, ὅτι ἡνίκα ἐτέχθη ἐν Γαλγάλοις ἡ δάμαλις ἡ χρυσῆ, ἡ ἐν Σιλὼμ ὀξὺ ἐβόησε, ὥστε ἀκουσθῆναι [5] ἐν Ἱερουσαλήμ. Εἶπε δὲ ὁ

— [7] φυλακῇ D. — [8] ἐπὶ D. — [9] διὰ |||||||| μαρτυρίου D.
3. — [1] καὶ τῇ D. — [2] *om.* D.
5. — [1] (ὁσ. Ἰουλ.) ὁσιουλιανοῦ D. — [2] *al.* Δαγούττα, Δαγουτία, Δαγούλη, *etc. Cf.* Synaxaria selecta.
1. — [1] Βίβλου D. — [2] τοῦ *add.* D. — [3] Νικομήδου S.
3. — [1] Ἀντυπάτρου D. — [2] Βοστρῶν D.
1. — [1] *om.* D. — [2] Ἀελμοὺθ S, Ἀμελβοὺθ D, Ἀβελμαούλ, Ἀβελμούθ, Vit. proph., Nestle, *p. 32, 33.* — [3] τῆς *add.* D. — [4] Ῥουβεὶμ D. — [5] ἀκούσε ἡ καὶ D.

Iun. 12. Καὶ οὕτως τελειωθεὶς ἐτάφη ἐν πέτρας κοιλώματι, σκεπάσαντος αὐτὸν τοῦ Παφνουτίου τὸ ἥμισυ τοῦ χιτωνίου καὶ ὑποχωρήσαντος. — 2. — **R** : 1. 3. 4. 5. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : Τιμοθέου (Iun. 10[1]). — Ἀλεξάνδρου καὶ Ἀντωνίνης (Iun. 9[3]). — **Mc** : 1. 2. 5 : Ἰουλιανὸς ὁ ἐν τῇ Δαγούλῃ ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. 3. 4 (... Τρυφηλίου). — 5 (... ἐν τοῖς Δαγάτου). — **Mr** : 1. — Πέτρου τοῦ ἐν τῷ Ἄθῳ.

Iun. 13. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 1. 2. 3. — **D** : 1. 2. 3. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 1. 2 : τῶν ὁσίων πατέρων Ἀλεξίου καὶ Εὐλογίου ἀρχιεπισκόπων γενομένων Ἀλεξανδρείας. — 3. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. 2. 3. — **Ce** : 1. — **Cg** : 1. 2. 3. — **R** : 1. 2. 3. — **Ra** : 1. — Ἀντωνίνας (Iun. 12[2]). — Ἰωάννου (Iun. 12[3]). — Ζήνωνος καὶ Τριφυλλίου (Iun. 12[4]). — Ἰουλιανοῦ (Iun. 12[5]). — 2. 3. — **Rb** : 1. — Ἀντωνίνας. — **Rc** : 1. — Ἀντωνίνας. — **Mc** : 1. — Ἰακώβου. Οὗτος ὁ μακάριος Ἰάκωβος τὸν Χριστὸν ἀγαπήσας καὶ τὸν κόσμον μισήσας, ἀπετάξατο μηδενὸς διδασκάλου καὶ ὁδηγοῦ μετὰ τὴν ἀποταγὴν δεηθείς· ὅθεν καὶ φυσιωθεὶς μετὰ ταῦτα ὑπὸ τοῦ ἀντιδίκου ἡμῶν ἔλεγε· « Τίς μου κάλλιον ἐπίσταται τὴν ἐμὴν σωτηρίαν; » Διὸ καὶ ἀγῶνας πολλοὺς ἀφ' ἑαυτοῦ διελθὼν ἠπατήθη ὑπὸ τῶν δαιμόνων. Ἐλθὼν γὰρ τῆς εὐωνύμου τάξεως ἄγγελος, φησὶ πρὸς αὐτόν· « Τὸ κελλίον » σου καθαρὸν ποίησον καὶ λαμπρῶς φωταγωγήσας καὶ μύροις εὐωδιάσας εὐτρέπισον σεαυτόν. » Ἀρεσθεὶς γὰρ ὁ Χριστὸς τῇ σῇ ἀσκήσει, ἔρχεται τῇ νυκτὶ ταύτῃ χαριτάς σοι ἀπονεῖμαι. » Ὁ δὲ ἀπατηθεὶς καὶ τοῖς ῥηθεῖσι πιστεύσας ἐποίησε πάντα. Καὶ ἐλθόντος τοῦ ἀντιχρίστου ἐν φαντασίᾳ πολλῇ κατὰ τὸ μέσον τῆς νυκτός, ἀνοίξας ὁ Ἰάκωβος προσεκύνησεν αὐτῷ. Ὁ δὲ πατάξας τὸν Ἰάκωβον διὰ θείας ἐπινεύσεως εἰς τὸ μέτωπον εὐθὺς ἀπεστράφη. Πρωΐας δὲ θρηνῶν ἀπῆλθε πρός τινα γέροντα. Ὁ δὲ γέρων πρὸ τοῦ ἀκοῦσαί τι παρ' αὐτοῦ, φησὶ πρὸς αὐτόν· « Ἄπελθε τῶν ὧδε, χλεύη τοῦ διαβόλου. » Τοῦ δὲ κλαίοντος καὶ συνθρυπτομένου, ὀνειδίσας αὐτὸν πολλά, εἶτα κατηχήσας καὶ τὰ δέοντα ὑποθέμενος, ἀπέστειλεν αὐτὸν εἰς κοινόβιον. Ὃς καὶ ἀπελθὼν ἐδούλευσεν ἐν τῷ μαγειρείῳ ἐπὶ χρόνοις ἑπτὰ μετὰ πολλῆς ταπεινώσεως· εἶτα ἐκάθισεν ἐν τῷ κελλίῳ ἑτέρους χρόνους ἑπτὰ μετὰ ἐργοχείρου ἐμμέτρου καὶ ἀκριβοῦς κανόνος. Καὶ οὕτω τὴν τοῦ Θεοῦ ὁδὸν ἐπὶ πολλῇ διακρίσει μεμαθηκὼς καὶ θαυματουργὸς ἐξαίσιος γεγονὼς ἀπῆλθε πρὸς Κύριον. — 3. 2 : Εὐλόγιος πατριάρχης Ἀντιοχείας ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι μύριοι μάρτυρες ξ. τ. — Διόδωρος ὁ ἐξ Ἐμέσης σταυρωθεὶς τ. — **Mv** : 1. — Τῆς ὁσίας μητρὸς ἡμῶν Ἄννης καὶ τοῦ υἱοῦ αὐτῆς Ἰωάννου. — **Mr** : 1.

Iun. 14. SYNAXARIA SELECTA. **H** : 1. 3. 2. — **P** : 1. 2. 3. — **D** : 1. 3. 2 : Μεθοδίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ τὴν πλάνην τῆς αἱρέσεως τῶν εἰκονομάχων καθελόντος καὶ ἀποδιώξαντος

ἱερεὺς διὰ τῶν δήλων ὅτι προφήτης ἐτέχθη ἐν Ἱερουσαλὴμ σήμερον, ὃς καθελεῖ τὰ γλυπτὰ ἢ [6] συντρίψει [7] τὰ χωνευτά· πολλὰ δὲ τεράστια ἐποίησεν ὁ Θεὸς δι' [8] Ἐλισσαίου τοῦ προφήτου [9]. Θανὼν δὲ [10] ἐτάφη ἐν Σαμαρείᾳ ἐν Σεβαστουπόλει. Οὗτος προεφήτευσε περὶ τῆς τοῦ Κυρίου παρουσίας καὶ τὰ ὕδατα Ἱεριχὼ ἀτεκνοῦντα καὶ [11] ἁλμυρὰ ὄντα ἰάσατο [12]· « Τάδε λέγει Κύριος, » εἰπών [10], ἴαμαι τὰ ὕδατα ταῦτα », καὶ ἰάθησαν [13]. Ἀλλὰ [10] καὶ νεκροὺς ἤγειρεν καὶ λεπρὸν ὄντα Νεεμᾶν τὸν Σύρον ἐκαθάρισε τῆς λέπρας, καὶ Γιεζῆ τὸν [14] αὐτοῦ ὑπηρέτην λεπρὸν ἐποίησε γενέσθαι διὰ τὴν φιλαργυρίαν αὐτοῦ [10] καὶ τὴν παρακοήν. Καὶ νεκρὸς ὢν νεκρὸν ἤγειρε, καὶ τὰ Ἰορδά-
f. 236v. νεια ῥεῖθρα τῇ τοῦ Ἠλιοῦ μηλωτῇ | πατάξας διέρρηξε· καὶ περὶ τῆς τοῦ Κυρίου παρουσίας [15] προεφήτευσε [16]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μεθοδίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως [1]. Οὗτος ὁ ἅγιος τὴν πλάνην τῆς αἱρέσεως τῶν εἰκονομάχων σοφαῖς ἀποδείξεσι καὶ γραφικαῖς ῥήσεσι παντοίως ἀνατρέψας καὶ καθελών, καὶ τὴν ὀρθόδοξον πίστιν ταῖς τοῦ Θεοῦ ἐκκλησίαις βραβεύσας καὶ πολλὰς κακώσεις ὑπὸ τῶν αἱρετικῶν ἐν
Iun. 14. τῷ προσκυνεῖν τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ὑπομείνας ἀνεπαύσατο, αἰωνίως λύτρωσιν τῶν ἀνιαρῶν ἡμῖν ἐξαιτούμενος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ οἴκῳ, ἐν ᾧ τὸ τίμιον αὐτοῦ κατάκειται λείψανον, τῷ ὄντι ἔνδον τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων τῶν μεγάλων.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη [1] τοῦ ἁγίου ἱερομάρτυρος Κυρίλλου ἐπισκόπου Γορτύνης, τῆς ἐν τῇ [2] Κρήτῃ [3] νήσῳ. Οὗτος ἐξ ἀρχῆς [4] ὁσίως βιώσας καὶ ἀσκητικοὺς διανύσας ἀγῶνας ἐν τῷ ἑξηκοστῷ ὀγδόῳ [2] ἔτει τῆς ζωῆς αὐτοῦ ἐπίσκοπος τῆς ἐν Γορτύνῃ ἐκκλησίας [5] καθίσταται. Ἰθύνας δὲ καλῶς [2] τὴν τοιαύτην ἐκκλησίαν ἔτη πέντε καὶ εἴκοσι, κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν Ἀγριανῷ [6] τῷ ἡγεμόνι παρέστη· οὗ κατενώπιον [7] τὸν Χριστὸν κηρύξας καὶ πολλὰ κατὰ τῆς πλάνης τῶν εἰδώλων [8] διεξελθών, λαβὼν [9] διὰ τοῦ ξίφους ἀπόφασιν καὶ ἐν κημῷ τὸ στόμα δεθεὶς καὶ ἐν ἁμάξῃ τεθεὶς [10] — οὐ γὰρ ἠδύνατο βαδίζειν, πέντε καὶ ἐνενήκοντα ἐτῶν γεγονώς —, ἐπεὶ τὸν τόπον κατέλαβε τὸν οὕτω λεγόμενον Ῥαξόν, αὐτομάτων [11] τῶν βοῶν στάντων [12] διὰ τὸ ἐνεχθῆναι φωνὴν ἄνωθεν στῆναι κελεύουσαν, τὸν αὐχένα ὑποθεὶς τῷ ξίφει τὴν κεφαλὴν ἀπετμήθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

Iun. 15. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἀμώς. Οὗτος ἦν πατὴρ Ἡσαίου τοῦ προφήτου, καὶ ἐγεννήθη ἐν Θεκουὲ [1] ἐν γῇ Ζαβουλών· καὶ προεφήτευσεν ἔτη πεντήκοντα. Ἀμεσίας [2] δὲ ὁ ἱερεὺς Βεθὴλ [3], συχνῶς αὐτὸν τυμπανίσας ἐνήδρευσεν αὐτὸν καὶ ἐλοιδόρει. Εἰς τέλος δὲ ἀνεῖλεν αὐτὸν ὁ υἱὸς Ἀμεσίου ἐν ῥοπάλῳ πλήξας αὐτὸν κατὰ τοῦ κροτάφου, ὅτι ἤλεγχε περὶ τῆς ἐνέδρας τῶν δαμάλεων τῶν χρυσῶν. Ἦλθε δὲ ἔτι ἐμπνέων εἰς τὴν γῆν αὐτοῦ· καὶ μετὰ δύο ἡμέρας ἐκοιμήθη καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ. Τὸ δὲ Ἀμὼς ἑρμηνεύεται καρτερός [4], πιστός, δράκτης, λαός, σκληρός, στερεὸς ἢ ἰσχύς. Ἦν δὲ κομήτης,
f. 237. πρεσβύτης ἤδη, εἰς ὀξὺ ἔχων ἀπολῆγον τὸ γένειον, παρόμοιος τῷ εὐαγγελιστῇ Ἰωάννῃ τῷ θεολόγῳ [5].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου καὶ [1] ἐνδόξου μάρτυρος Δουλᾶ. Οὗτος ἦν ἐκ τοῦ Ζεφυρίου Πραιτωριάδος ἐπαρχίας τῆς Κιλικίας· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν [2] ἤχθη πρὸς τὸν ἡγεμόνα Μάξιμον καὶ τύπτεται ῥάβδοις. Διεξελθὼν δὲ τὰ κατὰ τὸν Ἀπόλλωνα καὶ τὴν Δάφνην ὅτι

— [6] καὶ D. — [7] συγκλάσει D. — [8] διὰ χειρὸς D. — [9] καὶ *add.* D. — [10] *om.* D. — [11] ἤγουν D. — [12] εἰπὼν *add.* D. — [13] ἕως τῆς σήμερον ἡμέρας *add.* D. — [14] τὸν Γηεζῆ τὸν ὑπ. D. — [15] παρρουσίας S. — [16] (καὶ τὰ - προεφήτευσε) *om.* D.
2. — [1] γέγονε μὲν ἀπὸ Σικελίας *in marg.* S.
3. — [1] ἄθλησις D. — [2] *om.* D. — [3] τῇ *add.* D. — [4] ἀρχὴν S. — [5] κατὰ Κρήτην D. — [6] Ἀγρηϊανῷ S. — [7] ἐνώπιον D. — [8] τῶν εἰδ. πλάνης D. — [9] τὴν *add.* D. — [10] (καὶ - τεθεὶς) *om.* D. — [11] αὐτομάτως D. — [12] σταθέντων D.
1. — [1] Θεκεὺ D. — [2] Ἀμασίας Vit. proph. Nestle, *p. 25.* — [3] Βαιθὴλ S. — [4] καρτερῶς S. — [5] (ἦν δὲ - θεολόγῳ) *om.* D.
2. — [1] *om.* D. — [2] δὲ τὸ σέβειν τὸν Χριστὸν D.

καὶ τὴν ὀρθόδοξον [1] αὖθις πίστιν ταῖς ἐκκλησίαις καταφυτεύσαντος. Τελεῖται δὲ κτλ. — **Da** : 1. 2. 3. — Iun. 14.
Db : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 1. 2. 3. — **Bb** : 1. 3. 2. — **Bc** : 1. 3. 2. — **C** : 1. 3. 2. — **Ce** : 1. 3. 2. — **Cg** : 1. 3. 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Γερασίμου [2] (in marg.). — **R** : 1. 2. — **Ra** : 1. 2. 3. — **Rb** : 2. 1. — **Rc** : 1. 2. 3. — **Mc** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mr** : 1. 2.

SYNAXARIA SELECTA. **H** : 2. — Τοῦ ἁγίου μάρτυρος Βονιφατίου (Dec. 19[1]). — **P** : 2. — Βονιφα- Iun. 15.
τίου. — 3. — **D** : 1. 2. — Βονιφατίου. Ὁ ἅγιος Βονιφάτιος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν Ῥώμῃ, συγκλητικῆς τινος ὀνόματι Ἀγλαΐδος, θυγατρὸς Ἀκακίου τοῦ ἀνθυπάτου, οἰκέτης. ... Des. : Ἡ δὲ κυρία αὐτοῦ Ἀγλαΐς δι' ἀγγέλου ἀποκαλυφθεῖσα ἅπαντα, προϋπαντήσασα ἐκήδευσεν αὐτὸν μεγαλοπρεπῶς πρὸ πεντήκοντα σταδίων τῆς πόλεως, ἀνεγείρασα αὐτῷ οἶκον εὐκτήριον. Μετετέθη δὲ ὕστερον καὶ κατετέθη μέσον τῆς πόλεως ἐν ναῷ μεγαλοπρεπεῖ, ἔνθα καθ' ἑκάστην πηγὰς ἰαμάτων προχέει. Οὗτος ὁ ἅγιος ἐγράφη καὶ εἰς τὴν ιθ' δεκεμβρίου, τινὲς γὰρ ἑορτάζουσιν αὐτὸν τότε. — 3. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. 4. — Φουρτουνάτου. Τούτου μέμνηται ὁ μέγας ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ οὕτως εἰπών· « Χαίρω ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ, Φουρτου- I Cor. 16, 17, 18.
» νάτου καὶ Ἀχαϊκοῦ ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ

[1] ὀρθόξον D. — [2] τοῦ κκ. *add.* Cg.

Iun. 15. ἐρασθεὶς αὐτῆς καὶ καταδιώξας, τῆς ἐπιθυμίας οὐκ ἐπέτυχεν[3], εἰς πλείονα θυμὸν τὸν ἡγεμόνα ἐκίνησεν[4]· ὅθεν πάλιν τύπτεται[5] κατὰ τῆς γαστρός, ὕπτιος ἐπιτεθεὶς ἐν ἐσχάρᾳ πυρός· καὶ[6] τὴν κεφαλὴν ἐλαίῳ διαβραχεὶς[7] ἄνθρακας πυρὸς ἐπ' αὐτὴν ἐπιδέχεται, καὶ σίνηπι κατὰ τῶν μυκτήρων ἐγχέεται, καὶ σιδήροις τὰ νῶτα χαράσσεται καὶ ὄξει[8] καὶ ὀστράκῳ κατατρύχεται καὶ τὰς σιαγόνας καὶ τὰ σκέλη συντρίβεται. Ἐρωτηθεὶς δὲ παρὰ τοῦ ἡγεμόνος περὶ τοῦ Χριστοῦ, πῶς ἐν σαρκὶ γεγονὼς Θεὸς νομίζεται, πᾶσαν τὴν καθ' ἡμᾶς οἰκονομίαν θαυμαστῶς[9] ἐν ἐπιτόμῳ διηγήσατο. Ἀχθεὶς δὲ[10] ἀπογεύσασθαι τῶν εἰδωλοθύτων[11], ὡς ἑκὼν οὐχ ὑπήκουσεν[12] ἀλλὰ τὴν ἐπενεχθεῖσαν[13] βίᾳ σπονδὴν τοῦ[14] αὐτοῦ στόματος[15] ἀπέπτυσεν, ἀναρτηθεὶς ξέεται ἐπὶ τοσοῦτον, ὥστε τὰ ὀστᾶ τῶν παρειῶν[16] αὐτοῦ γυμνωθῆναι καὶ τὰ ἔγκατα προελθεῖν· εἶτα ἐλασθεὶς ἕως εἰκοστοῦ μιλίου τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἡ[1] σύναξις τῆς ὑπεραγίας[2] Θεοτόκου, πέραν ἐν τοῖς Μαρινακίου[3].

4. Καὶ τοῦ ἁγίου ἀποστόλου Φουρτουνάτου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ις'.

Iun. 16. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τύχωνος ἐπισκόπου Ἀμαθούντων πόλεως τῆς Κύπρου. Οὗτος εὐσεβεῖς ἔχων καὶ φιλοχρίστους τὸ κατὰ σάρκα πατέρας, ἀφιερώθη τῷ Θεῷ παρ' αὐτῶν· καὶ τὰ ἱερὰ μεμαθηκὼς γράμματα καὶ ταῖς γραφαῖς ἱκανῶς ἐμμελετήσας[1], παρὰ Μνημονίου τοῦ[2] ἐπισκόπου[3] χειροτονεῖται διάκονος· ἐκείνου δὲ τὸν βίον ἀπολιπόντος, αὐτὸς εἰς τὸν τῆς ἐπισκοπῆς ἀνάγεται θρόνον[4] παρὰ[5] τοῦ μεγάλου Ἐπιφανίου[6]. Ἐπιστρέψας <δὲ[7]> πολλοὺς ἀπὸ τῆς τῶν εἰδώλων πλάνης[8] πρὸς τὴν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστιν καὶ πολλοὺς ναοὺς εἰδωλικοὺς καθελὼν[9] καὶ τὰ ἐν αὐτοῖς[10] εἴδωλα συντρίψας, πρὸς Κύριον μετετέθη, θαυματουργίας πλείστας[11] καὶ ἔτι τῷ βίῳ περιὼν καὶ μετὰ τὴν τελευτὴν ἐργασάμενος· ὧν ἓν ἢ δύο δείγματα[12] τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἐκθέσθαι ἐπάξιον[13]. Ὁ πατὴρ αὐτοῦ ἀρτοποιὸς ὑπάρχων ἐπέτρεψεν αὐτῷ ἔτι νηπίῳ ὄντι πιπράσκειν τοὺς ἄρτους· αὐτὸς δὲ τὴν τιμὴν τῶν πιπρασκομένων ἐδίδου πτωχοῖς[14]. Αἰσθομένου δὲ τοῦ πατρὸς καὶ χαλεπῶς φέροντος | — καὶ γὰρ ἦν αὐτῷ ἐκ τῆς τοιαύτης f. 237v. ἐργασίας ἡ τοῦ βίου παρασκευή, — τῷ Θεῷ τοὺς ἄρτους ἔφη δανείζειν καὶ γραμματεῖον παρ' αὐτοῦ παρέχειν[15] τῆς ἀπολήψεως. Καὶ εὐθὺς τῶν λόγων ἐναργὴς παρίστατο ἡ ἀπόδειξις, τῶν σιτοδοχείων[16] μᾶλλον[17] εὑρεθέντων πλήρης[18] ἢ ὅτε τὴν συγκομιδὴν τοῦ σίτου πρὸ τῆς ὁπωσοῦν ἐξαγωγῆς ὁ πατὴρ ἐποιήσατο. Καὶ τοῦτο μὲν τοσοῦτον ὂν ὅμως ἔχει λόγον τινὰ τὸ καὶ ἑτέρους τοιοῦτον[19] πεποιηκέναι, καὶ ὡς ἂν τὸ τῆς εὐποιΐας εἴη δαψιλὲς τοῦ Θεοῦ τὸν σῖτον ἐπιμετροῦντος καὶ ἐπιβάλλοντος. Ἐκεῖνο δὲ προφανῶς[20] εἰς δόξαν αὐτοῦ καὶ αἰτίαν ἢ σύγκρισιν μὴ δεχόμενον τὸ[21] τὴν ξηρὰν κληματίδα τῇ γῇ τὸν ἅγιον παραθέμενον εὐθὺς ῥιζωθῆναι, εἶτα βλαστῆσαι καὶ πρὸ και-

— [3] ἔτυχεν ἐξεκαλέσατο D. — [4] καὶ ὀργὴν D. — [5] [illegible] τύπτεται D. — [6] αὖθις ἐν ἑτέρα ἐξετάσει ἀχθεὶς *add.* D. — [7] ἐλ. τ. κ. διαβρέχεται καὶ D. — [8] ὄξυ D. — [9] *om.* D. — [10] εἰς τρίτην ἐξέτασιν καὶ *add.* D. — [11] τῶν εἰδ. ἀναγκαζόμενος ἀπογεύσασθαι D. — [12] ὑπήκουεν D. — [13] ἐπιχεθεῖσαν D. — [14] τῷ D. — [15] στόματι S, D. — [16] παραρειῶν D.

3. — [1] *om.* D. — [2] παναγίας δεσποίνης ἡμῶν D. — [3] Μαρανακίου D.

1. — [1] πρῶτον μὲν ὑπαναγινώσκειν τῷ λαῷ τὰ θεῖα ἐτάχθη λογία καὶ διδάγματα ἔπειτα δὲ διὰ τὴν ἐν πᾶσι δεξιότητα καὶ τοῦ βίου καθαρόν τε καὶ ἀνεπίληπτον *add.* D. — [2] ἁγιωτάτου *add.* D. — [3] Ἀμαθούντων *add.* D. — [4] καθέδραν D. — [5] πρὸς D. — [6] Ἐπιφανείου D. — [7] D, *om.* S. — [8] καὶ ματαιότητος *add.* D. — [9] καὶ ἀνατρέψας *add.* D. — [10] αὐτοὺς D. — [11] πολλὰς D. — [12] δεῖγμα D. — [13] ἐπάξια S. — [14] (ὁ πατὴρ - πτωχοῖς) ἔτι γὰρ ἐν ἀρχῇ τοῦ βίου παρὰ τοῦ ἰδίου πατρὸς ἄρτους τοῖς βουλομένοις ὠνεῖσθαι παρέχειν ταχθεὶς προῖκα τοῖς ἐνδεέσιν αὐτοὺς ἐπεδίδου D. — [15] παρέχει S, κατέχειν D. — [16] σιτόνων D. — [17] *om.* D. — [18] πλήρης εὑρεθ. μᾶλλον D. — [19] τοῦτο D. — [20] περιφανῶς D. — [21] τὸν S.

Iun. 15. » ὑμῶν. Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. » Οὕτως οὖν βεβιωκὼς καὶ ἐπαινεθεὶς καὶ πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἑλκύσας πίστιν ἐν εἰρήνῃ ἐκοιμήθη. — **Bb** : 2. — **Bc** : 2. — **C** : 2. — Τοῦ ἁγίου μάρτυρος Βίτου (in margine). — **Ce** : 2. 1. — Βίτου καὶ τῆς συνοδίας αὐτοῦ. — **Cg** : 2. 1. — **R** : 1. 2. — **Ra** : 4 : Φουρτουνάτου μαθητοῦ τοῦ ἁγίου Παύλου. — 2. — **Rb** : 4. 2. — **Rc** : 1. — Μεθοδίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Iun. 14[2]). — **Mc** : 1. 2. 3. — Ὁ ἅγιος ἀπόστολος Ἀχαϊκὸς λιμῷ καὶ δίψει τ. — Ὁ ἅγιος ἀπόστολος Στεφανᾶς ἐν εἰρήνῃ τ. — Ἱερώνυμος ἐν εἰρήνῃ τ. — Ἡ ἁγία Γραῦς ξ. τ. — **Mv** : 1. 2. 3. — **Mr** : 1.

Iun. 16. SYNAXARIA SELECTA. **H** : 1. — Ἀμώς (Iun. 15[1]). — **P** : 1. — **D** : 1. 2. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — Ἀμώς. — **Bc** : 1. — Ἀμώς. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1, ita des. : ἐξ ὧν δύο θαύματα διηγήσομαι. Ὁ πατὴρ αὐτοῦ ἀρτοποιὸς ὑπάρχων ἐπέτρεψεν αὐτῷ[1] ἔτι νηπίῳ ὄντι πιπράσκειν τοὺς ἄρτους· ὁ δὲ τούς τε ἄρτους καὶ τὴν τιμὴν τῶν πιπρασκομένων ἐδίδου τοῖς πτωχοῖς. Τοῦτο γνοὺς ὁ πατὴρ ὠργίσθη κατ' αὐτοῦ· ὁ δὲ ἔλεγε τῷ Θεῷ δανεῖσαι τὸν σῖτον καὶ πιττάκιον ἔχειν ἀποδείξεως τοῦ λαβεῖν αὐτὸν ἑκατονταπλασίονα. Καὶ ταῦτα εἰπὼν ἀπελθὼν μετὰ τοῦ πατρὸς εἰς τὸ ὡρεῖον εὑρίσκει αὐτὸ τοῦ σίτου ὑπερεκχυνόμενον· καὶ ἐδόξασαν τὸν Θεόν. Τῶν <δὲ[2]> ἐργατῶν τὰ ξηρὰ τῶν κλημάτων τεμνόντων καὶ τοῦ ἀμπελῶνος ἔξω ῥιπτόντων, λαβὼν ἐκ τῶν κλημάτων ἐφύτευσεν εὐξάμενος δοθῆναι αὐτῷ χαρίσματα τέσσαρα· ἰκμάδα ζωῆς, εὐφορίαν καρποῦ, σταφυλῆς ἡδύτητα καὶ πρώϊμον βλάστησιν· ὃ δὴ καὶ γέγονε. Τῆς οὖν μνήμης τοῦ ἁγίου ἑξκαιδεκάτῃ τοῦ μηνὸς ἰουνίου[3] γενομένης καὶ τῶν βοτρύων ἀώρων ὄντων, ἐκείνους μόνους ἔστιν ὁρᾶν ἐν τῇ θείᾳ λειτουργίᾳ περκάζειν

[1] αὐτὸν Cg. — [2] *supplevi ex* Ce, *om.* Cg. — [3] ἰουνίῳ Cg.

ροῦ· ποῦ γὰρ κατὰ τὴν ἑξκαιδεκάτην τοῦ ἰουνίου μηνός, ἐν ᾗ ἡ τοῦ ἁγίου μνήμη τελεῖται, ὥριμος βότρυς; Ἡ δὲ τέως τῷ καιρῷ προσφόρως[22] ἔχουσα τοὺς καρποὺς τῆς θείας[23] λειτουργίας ἀρχομένης περκάζοντας ἀποδείκνυσι, τελειουμένης δὲ τῆς θείας θυσίας, πεπείρους καὶ Iun. 16. τελεσφόρους καὶ εὐχρήστους πρὸς τὴν μετάληψιν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ[1] σύναξις τῆς ὑπεραγίας[2] Θεοτόκου πέραν ἐν Εὐδοκιαναῖς.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

1. Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων καὶ αὐταδέλφων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος, πατρὸς μὲν ἀρχιμάγου μητρὸς δὲ χριστιανῆς, διδαχθέντες τὴν εὐσέβειαν καὶ τὰ ἱερὰ γράμματα παρὰ Εὐνίκου τινὸς πρεσβυτέρου, ἀνδρὸς εὐλαβοῦς[1], ἀποσταλέντες δὲ[2] παρὰ Βαλτάνου βασιλέως Περσῶν καὶ τὰ πρὸς εἰρήνην πρεσβεύοντες κατὰ τοὺς χρόνους Ἰουλιανοῦ τοῦ παραβάτου· ὃν θύοντα τοῖς εἰδώλοις ἐν τῷ εἰδωλείῳ, τῷ λεγομένῳ Τριγόνῳ[3], πέραν[4] ἐν Χαλκηδόνι θεασάμενοι καὶ πολλοὺς τῇ αὐτοῦ πλάνῃ[5] ὑπαγομένους, αὐτοὶ[6] ὄντες θεοσεβεῖς καὶ τῷ Χριστῷ λατρεύοντες ὠλοφύροντο καὶ τὸν Χριστὸν καθικέτευον διαφυλαχθῆναι αὐτοὺς ἐν[2] τῇ πίστει τῇ εἰς αὐτὸν καὶ μὴ κοινωνῆσαι τοῖς εἰδωλολάτραις τῆς πλάνης. Διαβληθέντες[7] δὲ παρὰ Ἴνδικος κουβικουλαρίου[8] καὶ ἀχθέντες τῷ δυσσεβεῖ Ἰουλιανῷ, τύπτονται καὶ ἥλοις περονοῦνται τοὺς ἀστραγάλους καὶ λαμπάσι πυρὸς τὰς μασχάλας καταφλέγονται. Καὶ ταῦτα μὲν κοινῇ. Ἰδίᾳ δὲ ὁ ἅγιος Μανουὴλ ὑποσχέσεις δεξάμενος παρὰ τοῦ μιαροῦ βασιλέως Ἰουλιανοῦ καὶ παραινέσεις καὶ f. 238. μὴ | πεισθεὶς θυσίας προσενεγκεῖν τοῖς εἰδώλοις, καθηλοῦται τὴν κεφαλὴν καὶ ἀμφότερα τὰ νῶτα καὶ καλάμοις εἰληθεὶς[9] κατασφίγγεται καὶ ἑτέροις ὀξέσι κατακεντεῖται[10] καὶ οὕτως ἅμα τοῖς δυσὶν αὐτοῦ ἀδελφοῖς Σαβὲλ καὶ Ἰσμαὴλ ἐν τῷ πρὸς Θρᾴκην τείχει[11], τῷ λεγομένῳ[12] Κωνσταντίνου[13], ἐν τόπῳ κρημνώδει ἀπαχθεὶς σὺν αὐτοῖς τὴν Iun. 17. κεφαλὴν ἀπετμήθη. Τοῦ δὲ παραβάτου προστάξαντος κατακαυθῆναι τὰ σώματα αὐτῶν, εὐθέως ἐσχίσθη ἡ γῆ καὶ ἐδέξατο τὰ λείψανα τῶν ἁγίων. Πολλοὶ δὲ ἐκ τοῦ τοιούτου θαύματος ἐπίστευσαν τῷ Χριστῷ. Μετὰ δὲ ταῦτά τινων εὐλαβῶν ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποκαλυφθέντων, ἐτάφησαν τὰ ἅγια λείψανα παρ' αὐτῶν μετὰ μύρων καὶ θυμιαμάτων. Ὁ δὲ παράνομος Ἰουλιανὸς τηνικαῦτα ὑποστρέφων ἐκ τοῦ κατὰ Περσῶν πολέμου, οὐρανίᾳ ἐπλήγη πληγῇ καὶ τῷ αἰωνίῳ πυρὶ παρεπέμφθη[14]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πλησίον τοῦ ἁγίου προφήτου Ἐλισσαίου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ὑπατίου τοῦ ἐν Ῥουφινιαναῖς, πέραν τῆς θαλάσσης κειμένου. Τούτῳ[1] πατρὶς ὑπῆρχε[2] Φρυγία καὶ γονεῖς θεοσεβεῖς ἐπὶ τῶν χρόνων[3] Ὀνωρίου καὶ Ἀρκαδίου τῶν βασιλέων. Αὐτὸς δὲ ἐκ παίδων γράμμασιν ἱκανῶς[4] παιδευθεὶς καὶ τὸν ὀκτωκαιδέκατον χρόνον πληρώσας, πάντα καταλιπὼν τὸν μονήρη βίον ὑπέρχεται[5] ἐν τῇ μονῇ τῇ ἐν Ῥουφινιαναῖς· καὶ[6] πάσῃ ἀρετῇ κοσμηθεὶς τὴν τοῦ πρεσβυτέρου χειροτονίαν δέχεται. Ὁπόσα δὲ δι' αὐτοῦ θαύματα τελοῦνται, ἀδύνατον[7] γράφειν. Αὐτὸς δὲ πληρώσας τὸν ὀγδοηκοστὸν χρόνον μακαρίως ἐκοιμήθη[8].

— [22] προσφόρους D. — [23] ὑμνῳδίας καὶ *add.* D.

2. — [1] *om.* D. — [2] παναγίας δεσποίνης ἡμῶν D.

1. — [1] (πατρὸς - εὐλαβοῦς) *om.* D. — [2] *om.* D. — [3] Τρυγόνῳ S. — [4] (ἐν τῷ - πέραν) *om.* D. — [5] πλάνῃ αὐτοῦ D. — [6] αὐτὸ S. — [7] γνωσθέντες D. — [8] (παρὰ - κουβικ.) *om.* D. — [9] ἑλιχθεὶς D. — [10] κατακεντᾶται D. — [11] τύχῳ S. — [12] ἐπιλεγομένῳ D. — [13] Κωνσταντίνῳ S. — [14] (τοῦ δὲ παραβάτου - παρεπέμφθη) *om.* D.

2. — [1] ᾧτινι D. — [2] ὑπάρχει D. — [3] ἔπιτα χρόνοις D. — [4] ἐκ παιδόθεν γράμματα ἱκανὰ D. — [5] ὑπέδυ D. — [6] (ἐν τῇ - καὶ) *om.* D. — [7] ἀδύνατα D. — [8] ἐτελειώθη D.

ἀρχομένους, εἶτα καὶ γλυκαίνεσθαι, εἶτα ἀποθλίβεσθαι καὶ εἰς τὴν ἁγίαν κοινωνίαν ἐν τῷ ἀχράντῳ Iun. 16. αἵματι καὶ σώματι παραλαμβάνεσθαι. — **R** : 1. — Δουλᾶ (Iun. 15[2]). — **Ra** : 1. — **Rb** : 1. — **Rc** : Μεθοδίου (Iun. 14[2]). — Δουλᾶ (Iun. 15[2]). — **Mc** : 1. — Μάρκος ἐπίσκοπος Ἀπολλωνιάδος σὺν λίθοις κρεμασθεὶς τ. (Iun. 22[5]). — Οἱ ἅγιοι μάρτυρες οἱ ἐκ Νικομηδείας ξ. τ. — **Mv** : 1. — **Mr** : 1.

SYNAXARIA SELECTA. **H** : 1. — Ἀλεξίου ἀνθρώπου τοῦ Θεοῦ (Mart. 17[1]). — **P** : Ἀμώς Iun. 17. (Iun. 15[1]). — 1. — Ἀλεξίου. — **D** : 1. — Ἀλεξίου. — 2. — **Da** : 1. 2. — **Db** : 1. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. 2. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Φιλωνίδους. Οὗτος ὁ ἅγιος ἐν ταῖς ἡμέραις ἦν Διοκλητιανοῦ τοῦ βασιλέως ... ἔρριψεν ἑαυτὸν ὄρθιον κάτω· πρὶν ἢ δὲ τὸ σῶμα κατελθεῖν, τὸ πνεῦμα παρέθετο τῷ Θεῷ. Ὁδοιπορούντων δέ τινων πρὸ πολλοῦ τόπου τῆς πόλεως, ὤφθη τούτοις ὁ ἅγιος ἔμπροσθεν αὐτῶν τρέχων γυμνὸς καὶ τὴν κεφαλὴν ἐστεμμένος μύροις τε εὐώδεσι κατηλειμμένος καὶ βάϊον κατέχων ἐν τῇ χειρὶ αὐτοῦ καὶ βοῶν· « Εὐχαριστῶ σοι, Χριστέ μου, ὅτι ἐν σοὶ νενίκηκα καὶ ἀπὸ πύλης ἐπιγείου ἐπὶ τὰς πύλας τῶν οὐρανίων ἁψίδων ἀνήγαγές με. » Πλησίον δὲ γενομένων αὐτῶν τῆς πόλεως, ἀπέστη ἀπ' αὐτῶν· καὶ ἐλθόντες ἐπὶ τὸν τόπον, ἔνθα κατέκειτο τὸ λείψανον, ἐγνώρισαν αὐτόν. Ἐμβάλλεται δὲ ὑπὸ τῶν ἑλλήνων εἰς σάκκον καὶ ῥίπτεται εἰς τὴν θάλασσαν· καὶ αὖθις ταραχθεῖσα ἡ θάλασσα ἐξήγαγεν ἔξω τὸ ἅγιον σῶμα· ὅπερ εὑρόντες οἱ χριστιανοὶ ἀξίως ἐκήδευσαν. Ἀρίστων δὲ ὁ ἐπίσκοπος τότε κρατηθείς, καὶ οὐκ οἶδ' ὅπως ῥυσθείς, συνεγράψατο ταῦτα (Aug. 30[2]). — Ἰωσὴφ ὁ ἀναχωρητὴς ψάλλων ἐν εἰρήνῃ τ. — 2. — **Mv** : 1. — Ἰσαύρου καὶ τῶν σὺν αὐτῷ Ἰνοκεντίου, Φήλικος, Ἑρμείου καὶ Περεγρίνου (Iul. 7[2]). — Βασαρίωνος. — 2. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Iun. 18. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Λεοντίου καὶ τῶν σὺν αὐτῷ Ὑπάτου καὶ Θεοδούλου. Οὗτος τὴν μὲν γέννησιν ἔσχεν ἐξ Ἑλλάδος· μεγέθει δὲ σώματος συναυξηθεῖσαν ἔχων ἀλκήν[1] τε καὶ ῥώμην, τοῖς στρατιωτικοῖς καταλόγοις ἐτάχθη. Ἐν δὲ τῷ πολεμεῖν καὶ τοῖς ἐναντίοις συμπλέκεσθαι ἀνδρεῖος φανεὶς καὶ πολλάκις τρόπαια στήσας, δόξας δὲ καὶ σύνεσιν ἔχειν[2] καὶ λογισμὸν ἔμφρονα, τῇ στρατηγίδι στολῇ καὶ τοῖς παρασήμοις κατεκοσμήθη. Διατρίβων δὲ ἐν τῇ πόλει τῇ κατὰ τὴν Ἀφρικήν[3] ταῖς βασιλικαῖς σιτήσεσι καὶ φιλοφρο- f. 238v. σύναις | ἐδεξιοῦτο τοὺς πένητας καὶ γνησίως καὶ εἰλικρινῶς ἐλάτρευε τῷ Χριστῷ. Περὶ τούτου μαθὼν Ἀδριανός[4] ὁ ἡγεμὼν τῆς Φοινίκης, ὃς ἦν κατὰ τοὺς καιροὺς τοῦ[5] Οὐεσπασιανοῦ, ἀποστέλλει πρὸς αὐτὸν Ὕπατον τὸν τριβοῦνον μεθ' ἑτέρων δύο στρατιωτῶν, ὧν ὁ ἕτερος Θεόδουλος ἐκαλεῖτο. Ἐν δὲ τῷ πορεύεσθαι πυρετῷ λάβρῳ[6] ὁ Ὕπατος συσχεθεὶς ἄνωθεν ἐνεχθείσης φωνῆς ἤκουσεν ἀγγέλου ἐπιφανέντος αὐτῷ, εἰ μέλλει[7] τῆς νόσου ἀπαλλαγήσεσθαι, κελευούσης τρίτον ἐπικαλέσασθαι εἰς[8] βοήθειαν τὸν τοῦ Λεοντίου θεόν· τῆς δὲ φωνῆς ταύτης ἐν αἰσθήσει καὶ Θεόδουλος γέγονε[9]. Καὶ δὴ τυχὼν τῆς ἰάσεως ὁ τριβοῦνος ἐπεὶ κατέλαβε τὸν ἅγιον ἅμα τοῖς σὺν[5] αὐτῷ, τὸ μὲν πρῶτον ἀγνοῶν ὅστις ἐστὶν παρ' αὐτοῦ[10] ἐξενίσθη. Ἐπιζητῶν δὲ ὕστερον τὸν Λεόντιον καὶ φίλον αὐτὸν ἐν προφάσει καλῶν τῶν θεῶν[11], ἑαυτὸν μὲν εἶπεν ὁ ἅγιος εἶναι τὸν παρ' αὐτοῦ[12] ζητούμενον Λεόντιον, εἶναι δὲ τοῦ Χριστοῦ δοῦλον, τοὺς δὲ λεγομένους θεοὺς ἀποστρέφεσθαι καὶ βδελύττεσθαι· ἀκούσαντας δὲ ταῦτα τὸν τριβοῦνον καὶ τὸν Θεόδουλον προσπεσεῖν τῷ ἁγίῳ καὶ αἰτεῖσθαι παρ' αὐτοῦ τῆς ἐν Χριστῷ τυχεῖν οἰκειώσεως. Εὐξαμένου δὲ ὑπὲρ αὐτῶν τοῦ ἁγίου, κατελθεῖν ἐξ οὐρανοῦ νεφέλην[13] ὕδατος λέγεται καὶ φωτίσαι αὐτοὺς καὶ λευκὰς ἐνδῦσαι στολάς· ἐφ' ᾧ τοὺς ἀπίστους ταραχθέντας μηνῦσαι πάντα τῷ ἡγεμόνι Ἀδριανῷ. Ὁ δὲ τούτους παραστησάμενος, ἐπεὶ νουθετῶν ἀποστῆναι τῆς <εἰς[14]> Χριστόν[15] πίστεως οὐκ ἔπεισεν, τὸν μὲν ἅγιον Ὕπατον ἀναρτηθῆναι καὶ ξέεσθαι ἐκέλευσεν καὶ τὸν ἅγιον Θεόδουλον σπαθίζεσθαι[16] καὶ οὕτω τὰς κεφαλὰς αὐτῶν ἐκτμηθῆναι. Ὁ δὲ μεγαλομάρτυς Λεόντιος πρῶτον μὲν τύπτεται[17] βάκλοις, εἶτα ταῖς παρακλήσεσι τοῦ τυράννου καὶ κολακείαις μὴ προσσχὼν[18] ἀλλὰ καταγελάσας αὐτοῦ, ἁπλωθεὶς τύπτεται σφοδρῶς· εἶτα κρεμασθεὶς ἐπὶ πολὺ ξέεται καὶ λίθῳ τὸν τράχηλον βαρυνθεὶς[19] τότε μὲν ἐν τῇ φρουρᾷ τίθεται, ὕστερον δὲ πάλιν[5] τέτρασι πάλοις διαταθεὶς καὶ τυπτόμενος τῷ Θεῷ τὸ πνεῦμα παρέθετο[20]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις πέραν ἐν τῷ Καμαριδίῳ[21] καὶ ἐν τῷ εὐκτηρίῳ οἴκῳ αὐτοῦ, τῷ ὄντι ἔγγιστα τῆς πόρτης[22] τῆς Πηγῆς.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λεοντίου τοῦ ποιμένος, τοῦ κειμένου πέραν τοῦ ἄστεος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

Iun. 19. f. 239. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου Ἰούδα· | ὃς παρὰ μὲν τῷ Λουκᾷ ἔν τε τῷ κατ' αὐτὸν εὐαγγελίῳ καὶ ταῖς Πράξεσιν Ἰούδας ἐπονομάζεται, παρὰ δὲ τῷ Ματθαίῳ καὶ Μάρκῳ Θαδδαῖος καὶ Λεββαῖος, ἀδελφὸς κατὰ σάρκα χρηματίζων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς υἱὸς Ἰωσὴφ τοῦ μνήστορος, ἀδελφὸς δὲ γνήσιος Ἰακώβου τοῦ ἀδελφοθέου, ὁ καὶ τὴν φωτιστικὴν καὶ δογμάτων ἔμπλεον τοῦ Πνεύματος ἀνθρώποις ἅπασιν ἐπιστείλας ἐπιστολήν. Οὗτος παρ' αὐτοῦ τοῦ Χριστοῦ πεμφθεὶς ὡς ἀδελφὸς καὶ μυσταγωγός, πυρωθείς τε ταῖς αὐτοῦ λαμπρότησιν, ὡς ἄνθραξ πᾶσαν πλά-

1. — [1] συναυξηνθεῖσαν ἐχ. ὁλκήν S. — [2] ἔσχεν D. — [3] ||| Φρυγίαν (*partim in ras.*) καὶ D. — [4] Ἀνδριανὸς S, D. — [5] *om.* D. — [6] λαύρῳ D. — [7] μέλλοι D. — [8] πρὸς D. — [9] γέγονεν |||||| D. — [10] αὐτῷ D, ἐγν (*sic*) *add.* S. — [11] τὸν θεὸν S. — [12] αὐτῶν D. — [13] νεφέλη D. — [14] *supplevi, om.* S. — [15] τοῦ Χριστοῦ D. — [16] σπαθ. Θεόδουλον D. — [17] τύπτεσθαι S. — [18] προσχὼν S, D. — [19] βαρηθεὶς D. — [20] παρέδωκεν D. — [21] Καμαροδίῳ D. — [22] προ |||||| D.

Iun. 18. SYNAXARIA SELECTA. **H** : 1 (... Ὑπατίου ...). — **P** : 1 (... Ὑπάτου καὶ Θεοδούλου, Πουπλίου, Δομετιανοῦ). — **D** : 1. — **Da** : 1. — Ἰούδα (Iun. 19[1]). — **Db** : 1. — **K** : 1. — **N** : 1. 2 : Λεοντίου τοῦ ποιμένος τοῦ κειμένου πέραν τῆς πόλεως. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1 (... Ὑπατίου). — Τοῦ ὁσίου πατρὸς ἡμῶν Καλογήρου[1] (in marg. et add. : Ζήτει εἰς τὸ τέλος τοῦ βιβλίου). — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1 (Λεοντίου ... Ὕπατος καὶ Θεόδουλος οἱ συμμαρτυρήσαντες τῷ ἁγίῳ Λεοντίῳ ξ. τ.). — Ἔρασμος ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι δύο μάρτυρες οἱ ἐν Κύπρῳ τοὺς πόδας καταφλεχθέντες τ. — **Mv** : 1 (... Ὑπατίου). — Τοῦ ἁγίου μάρτυρος Αἰθερίου. — **Mr** : 1.

Iun. 19. SYNAXARIA SELECTA. **H** : 2. — Θαδδαίου. — Ζωσίμου (Iun. 20[1]). — **P** : Ζωσίμου. — Θαδδαίου. — 2. — **D** : 2. 1 : Ἰούδα. Ὃς ἦν ἀδελφὸς κατὰ σάρκα χρηματίζων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς υἱὸς Ἰωσὴφ τοῦ μνηστῆρος καὶ ἀδελφὸς Ἰακώβου τοῦ ἀδελφοθέου γνήσιος κατὰ φύσιν. Οὗτος παρ' αὐτοῦ τοῦ Χριστοῦ εἰς τὸν σύμπαντα κόσμον πεμφθεὶς τὴν σωτηρίαν καταγγέλλειν τοῖς ἔθνεσιν, καὶ πολλοὺς τόπους διαμειψάμενος καὶ πολλὰς πόλεις καὶ λαοὺς εἰς τὴν τοῦ Χριστοῦ χειραγωγήσας πίστιν, εἰς τὴν μέσην τῶν ποταμῶν παραγίνεται. Καὶ ἐκκλησίαν ἐκεῖσε καταφυτεύσας καὶ τοῖς ὁμόροις ἔθνεσι τὸ εὐαγγέλιον κηρύξας, τὴν Ἐδεσηνῶν καταλαμβάνει καὶ τῷ Αὐγάρῳ[1] περιτυχὼν καὶ

[1] Καλογένου (?) C.

[1] *corr.* D.

νην κατέφλεξε καὶ τοὺς πιστοὺς κατεφώτισεν. Ἕλκων γὰρ τοῦ σωτῆρος τὸν ζυγὸν καὶ τὴν αὔλακα τέμνων καὶ σπείρας εἰς πᾶσαν τὴν οἰκουμένην τὸν σπόρον τῆς εὐσεβείας, πολύχουν ἤνεγκε καρπόν· διὸ τῇ τε μέσῃ τῶν ποταμῶν κηρύξας τὸ εὐαγγέλιον καὶ τὰ ὅμορα ἔθνη καταφωτίσας τῷ λόγῳ, τῇ Ἐδεσηνῶν πόλει ἐνδημήσας καὶ πρὸς Αὔγαρον τοπάρχην πορευθεὶς τοῦ θεραπεῦσαι αὐτόν, ὕστερον κατέλαβεν ἐν Ἀρὰτ τῇ πόλει· καὶ ὑπὸ τῶν ἀπίστων ἀναρτηθεὶς καὶ τοξευθεὶς τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο. Iun. 19.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ[1] σύναξις τοῦ τιμίου ἀρχιστρατήγου[2] Μιχαὴλ πλησίον τοῦ ἁγίου Ἰουλιανοῦ ἐν τῷ Φόρῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Iun. 20. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ζωσίμου. Οὗτος ὑπῆρχε[1] στρατιώτης ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως, ἐξ Ἀπολλωνιάδος τῆς ἐν Σωζοπόλει. Ἡγεμονεύοντος δὲ τῆς ἐν Πισιδίᾳ Ἀντιοχείας[2] Δομετιανοῦ, ῥίψας αὐτοῦ τὰ ὅπλα[3] καὶ προσφυγὼν τῇ τοῦ Θεοῦ ἁγίᾳ[4] ἐκκλησίᾳ, τοῦ ἐν Χριστῷ κατηξιώθη βαπτίσματος· ὅθεν ἀχθεὶς πρὸς τὸν ἡγεμόνα καὶ τὸν Χριστόν[5] ὁμολογήσας, ἀναρτηθεὶς ξέεται καὶ μετὰ τοῦτο τύπτεται, ἐκ τεσσάρων ταθείς, εἶτα κραββάτῳ χαλκῷ πεπυρακτωμένῳ[6] ἐπιτίθεται. Μεταβληθέντος δὲ τοῦ πυρὸς εἰς δρόσον, πολλοὶ τῶν παρόντων καταπλαγέντες τῷ[7] θαύματι[7] προσῆλθον[8] τῷ Χριστῷ. Ὁ δὲ ἅγιος Ζώσιμος κρηπῖσι προσηλωθεὶς[9] καὶ πώλοις προσδεθεὶς συνδραμεῖν ἠναγκάσθη τῷ ἡγεμόνι, ἐπὶ τὴν Κονανέων[10] πόλιν ἐλαύνοντι. Ἐπὶ τρισὶν ἡμέραις ἄσιτος διαμένων, θεόθεν δύο παίδων ἐπιφανέντων αὐτῷ καὶ τοῦ μὲν ἄρτον[11] τοῦ δὲ[12] ἐν ἀγγείῳ ὕδωρ κομίζοντος[13], εὐχαριστήσας τῷ Θεῷ τούτων μετέλαβεν. Ἀχθεὶς δὲ εἰς ἐξέτασιν[14], πάλιν κρεμασθεὶς ξέεται καὶ λαμπάσι πυρὸς ὑποκαίεται καὶ οὕτως[15] τὸν αὐχένα τμηθεὶς τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον.

f. 239v. **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀσυγκρίτου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Ἰσιδώρου[1], ἔνδον τῆς ἐκκλησίας τῆς ἁγίας Εἰρήνης, τῆς πρὸς θάλασσαν[2].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου ἐπισκόπου Πατάρων. Οὗτος ὁ μακάριος ἐκ παιδὸς ἑαυτὸν τῷ Θεῷ[1] ἀναθεὶς σκεῦος τίμιον καὶ δοχεῖον[2] θείου Πνεύματος γέγονε· ὅθεν καὶ τῆς θείας ἱερωσύνης[3] ψήφῳ Θεοῦ ἐπιβὰς[4] καλῶς[5] καὶ θεοφιλῶς ἐποίμαινε τὸ ἑαυτοῦ ποίμνιον[6], λόγοις προσηνέσι καταφωτίσας τὸ τῆς ἐκκλησίας πλήρωμα· διὸ[7] καὶ τὴν Ὠριγένους ἀπάτην ἐπιπολάζουσαν ἰδών, ὡς ἄριστος ποιμὴν πυρὶ θείῳ ταύτην κατέφλεξεν, πᾶσαν τὴν ἀχλὺν καὶ σκοτόμαιναν ἐκμειώσας σοφίᾳ λόγων καὶ θείᾳ χάριτι. Ἡ δὲ τῶν λόγων αὐτοῦ ἀστραπὴ καὶ ἡ τῆς γνώσεως σάλπιγξ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθε. Ὅθεν μὴ φέρων ὁ ἐχθρὸς τὴν παρρησίαν καὶ ἔνστασιν τοῦ μεγάλου, ὁπλίζει τοὺς ἑαυτοῦ ὑπουργοὺς πρὸς τὴν τούτου ἀναίρεσιν. Ὁ δὲ καὶ πρὸ τῆς μαρτυρίας νέκρωσιν ζωηφόρον ἐνδυσάμενος ξίφει τε τὴν κεφαλὴν τμηθείς, πρὸς κρείττονα ζωὴν μετετέθη, πρῶτον μὲν ἱερουργῶν τὸν ἀμνὸν τοῦ Θεοῦ, ὕστερον δὲ θυόμενος προσήχθη τῷ Χριστῷ θυσία ζῶσα· ὅθεν καὶ διπλοῖς στεφάνοις κατεκοσμήθη ὁ γενναῖος πρόμαχος τῆς εὐσεβείας, αἵμασι μαρτυρικοῖς τὸ τέλος ἀπενεγκάμενος[8].

4. Τῇ αὐτῇ ἡμέρᾳ[1] μνήμη τοῦ ὁσίου πατρὸς[2] ἡμῶν[2] Ἰωσὴφ τοῦ ἀναχωρητοῦ.

5. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀσυγκρίτου καὶ τῶν σὺν αὐτῷ. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Ἰσιδώρου ἔνδον τῆς ἐκκλησίας τῆς ἁγίας Εἰρήνης, τῆς πρὸς θάλασσαν.

2. — [1] *om.* D. — [2] (τιμ. ἀρχ.) ἀρχαγγέλου D.

1. — [1] ἦν D *ad diem Iun. 19.* — [2] τῆς Ἀ. τῆς κατὰ Πισσιδήαν D. — [3] τὰ ὅπλα αὐτοῦ D. — [4] ἁγίᾳ τ. Θ. D. — [5] (τ. Χ.) ἑαυτὸν εἶναι χριστιανὸν D. — [6] πεπυρωμένῳ D. — [7] *om.* D. — [8] ἐπίστευσαν D. — [9] καθηλωθεὶς D. — [10] Κανανιτῶν S, Κανεοτῶν D, Bc, Κονανέων *in Passione*, Act. SS., *Iun. t. III, p. 816.* — [11] ἄρτῳ S, ὧν ὁ μὲν ἄρτον D. — [12] ὁ δὲ D. — [13] ἐκόμισεν D. — [14] καὶ *add.* D. — [15] οὕτω D.

2. — [1] Ἰσηδώρου D. — [2] *lege infra n. 5.*

3. — [1] οὗτος παιδόθεν τ. Θ. ἑαυτὸν D. — [2] τοῦ *add.* D. — [3] (τ. θ. ἱ.) ἱεράρχης D. — [4] γίνεται D. — [5] δὲ *add.* D. — [6] (ἐποίμανε - ποίμνιον) ἑαυτοῦ π. ποιμάνας καὶ D. — [7] *om.* D. — [8] (ἐπιπολάζουσαν - ἀπενεγκάμενος) διασκεδάσας καὶ τῇ τῶν λόγων ἀστραπῇ τὸν σύμπαντα κόσμον καταφωτίσας καὶ τοὺς αὐτοῦ ὑπουργοὺς καταβροντίσας ξίφει τὴν κεφαλὴν ὑπὸ τῶν εἰδωλολατρευτῶν τέμνεται καὶ πρὸς Θεὸν δι' αἵματος ἀνατρέχει D.

4. — [1] (τ. α. ἡ) καὶ D. — [2] *om.* D.

τοῦ συνέχοντος πάθους ἐλευθερώσας αὐτὸν ὑπὸ τῶν ἀπίστων ἀναρτηθεὶς καὶ τοξευθεὶς ἐν Ἀρὰτ τῇ πόλει θνήσκει. Ὃς ἔτι περιὼν ἅπασιν ἀνθρώποις θεόπνευστον καὶ πολλῶν δογμάτων ἔμπλεον ἐπιστολὴν ἐπιστείλας πλείους θανὼν ἢ ζῶν δι' αὐτῆς ἐπιστρέφει πρὸς θεοσέβειαν. — Ζωσίμου. — **Da** : Ζωσίμου. — 2. — **Db** : 1. — Ζωσίμου. — **K** : 1. — Ζωσίμου. — **N** : 1. — Ζωσίμου. — **Bb** : Ζωσίμου. — 1. — **Bc** : Ζωσίμου. — 1. — **C** : 2. — Θαδδαίου. — Ζωσίμου. — 1. — **Ce** : Θαδδαίου. — Ζωσιμᾶ. — 1. — **Cg** : 2. — Θαδδαίου. — Ζωσίμου. — 1. — **R** : 1. — Ζωσιμᾶ. — **Ra** : 1. — **Rb** : 1. — Μεθοδίου (Iun. 20[3]). — **Rc** : Ζωσίμου. — **Mc** : 1. — Ἰούδα τοῦ Ζηλωτοῦ. — Ζωσίμου. — Ἡ ἁγία μυροφόρος Μαρία μήτηρ τοῦ Ἰωσῆ ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος ἱερομάρτυς Ἀσύγκριτος μαχαίρᾳ ἀναιρεῖται (Iun. 20[2]). — **Mv** : 1. — Ζωσίμου. — Ζήνωνος. — **Mr** : 1. Iun. 19.

Iun. 20. SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2. 4. — **D** : 3. 2. 4. — **Da** : 3. 4 : τοῦ ὁσίου πατρὸς ἡμῶν ἀναχωρητοῦ. — 2. — **Db** : 3. — Ἰννᾶ κτλ. (Ian. 20[4]). — 4 (Ἰωάννου...). — 2. — **K** : 3. 4 : Κυριακοῦ τοῦ ἀναχωρητοῦ. — 2. — **N** : 3. — Ἰννᾶ κτλ. — 4. 6. 5. — **Bb** : 3. — **Bc** : 3. — **C** : 3. — (In marg. : Ζήτει τὸ συναξάριον τῶν ἁγίων Ἰννᾶ, Ῥημᾶ καὶ Πηννᾶ ἰαννουαρίῳ κ'). — **Ce** : 3. — **Cg** : 3. — **R** : 3. 4 :

Iun. 20. **6.** Καὶ ἡ εὕρεσις καὶ μετάθεσις τῶν χιτώνων καὶ περιβολαίων τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν Ἰωάννου καὶ Λουκᾶ, Ἀνδρέου καὶ Θωμᾶ, Ἐλισσαίου τοῦ προφήτου καὶ Λαζάρου μάρτυρος, ἅτινα κατετέθησαν ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων τῶν μεγάλων.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Iun. 21. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰουλιανοῦ τοῦ ἐν Αἰγύπτῳ καὶ τῶν μετ' αὐτοῦ τελειωθέντων. Οὗτος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Μαρκιανοῦ ἡγεμόνος, ἐν Ἀντινοουπόλει τῆς Αἰγύπτου μοναστήριον μέγα[1] συστησάμενος· ἐν ᾧ καθηγεῖτο ἀνδρῶν ὡσεὶ δώδεκα χιλιάδων. Κατασχεθεὶς δὲ καὶ παραστὰς τῷ ἡγεμόνι καὶ τὸν Χριστὸν ἐνώπιον αὐτοῦ Θεὸν ὁμολογήσας καὶ μυκτηρίσας τὰ εἴδωλα, ἐκμαίνει καὶ εἰς ὀργὴν τὸν ἡγε|μόνα κινεῖ· (f. 240.) ὅθεν πρῶτον μὲν τὸ μοναστήριον, ἔνθα διῆγεν ὁ ἅγιος, ἐμπρησθῆναι προσέταξεν· τὸ δὲ μετὰ τῶν ἐν αὐτῷ πάντων συγκατεκάη, καταφυγόντων ἐκεῖσε καὶ ἐπισκόπων καὶ πάντων τῶν τῆς χώρας ἱερέων καὶ κληρικῶν, οἳ διὰ πυρὸς τὸν τοῦ μαρτυρίου δρόμον ἐτέλεσαν· ἔνθα καὶ λέγεται μέχρι τοῦ νῦν κατὰ τὸν καιρὸν τῆς θείας ὑμνῳδίας νυκτί τε καὶ ἡμέρᾳ ψαλλόντων φωνὰς ἐξακούεσθαι καὶ θαυμάτων ἐνεργείας τοῖς τῷ τόπῳ παραγινομένοις ἐπιχορηγεῖσθαι. Τὸν δὲ ἅγιον Ἰουλιανὸν θῦσαι τοῖς εἰδώλοις μὴ βουληθέντα ἐκέλευσεν ἁπλωθέντα τύπτεσθαι καὶ σιδηροῖς δεσμοῖς ἐνσχεθέντα συνθλίβεσθαι ἐπὶ τοσοῦτον, ὥστε συντριβῆναι αὐτοῦ τὰ ὀστᾶ. Ἐν δὲ τῷ ταῦτα διαπονεῖσθαι εἷς τῶν ὑπηρετούντων ἐξεκόπη τὸν ὀφθαλμόν, ὃν ὀμματώσειν ὁ ἅγιος αὖθις ὑπέσχετο, εἰ πρὸς τὴν τοῦ Χριστοῦ πίστιν ἀπὸ τῆς[2] ἀπάτης τῶν εἰδώλων μεταβληθείη[3]· τοῦτο δὲ μᾶλλον ποιῆσαι τοὺς ἱερεῖς τῶν εἰδώλων ὁ ἡγεμὼν προσέταξε. Οἱ δὲ οὐ μόνον εὐξάμενοι[4] <οὐδὲν[5]> τὸν κάμνοντα ὤνησαν, ἀλλὰ καὶ φωνὴ ἐκ τῶν τοῦ ναοῦ ἀδύτων ἠκούσθη, ἀποστῆναι αὐτοὺς τοῦ Ἰουλιανοῦ συμβουλεύουσα· « Καὶ γάρ, φησίν, ἐξ οὗ παρ' ὑμῶν[6] » εἰς ἐξετάσεις κατέστη, πολλαπλασίαν ἡμεῖς[7] ἢ » αὐτὸς ὑφιστάμεθα τιμωρίαν. » Καὶ σὺν τῇ φωνῇ πάντα τὰ ξόανα ἐλεπτύνθη καὶ κόνις ἐγένετο. Ὁ δὲ Μαρκιανὸς μᾶλλον λυττήσας — οὐ γὰρ οἶδεν ἔμφρονι χρήσασθαι λογισμῷ τοῖς κακοῖς ἐμβαπτισθεῖσα ψυχή, — τοῦ μὲν στρατιώτου[8] διὰ προσευχῆς τοῦ ἁγίου ὑγιωθέντος τὸν ὀφθαλμὸν καὶ πιστεύσαντος τῷ Χριστῷ τὴν κάραν ἀποτμηθῆναι ἐκέλευσεν, ἐπιχεθῆναι δὲ τῷ ἁγίῳ, ἅτε δὴ ὡς ᾤετο μαγεύειν καὶ φαρμακεύειν εἰδότι, οὖρον κατὰ τῆς κεφαλῆς[9], ὅπερ ἀντὶ δυσωδίας εἰς βαλσάμου εὐοσμίαν μετεποιήθη. Ἐπὶ τούτοις προσέρχεται καὶ πιστεύει τῷ Χριστῷ Κέλσιος ὁ τοῦ ἡγεμόνος παῖς, δυνάμεις ἀγγελικὰς ἐπὶ τὸν ἅγιον κατιούσας ἰδὼν καὶ στεφανούσας αὐτὸν στεφάνῳ χρυσῷ καὶ περιπολούσας καὶ συνομιλούσας αὐτῷ· καὶ τὸν πατέρα ἀφεὶς συνῆν τῷ ἁγίῳ καὶ παρ' αὐτοῦ τὴν εὐσέβειαν ἐδιδάσκετο. Οὐ μόνον δὲ αὐτὸς ἀλλὰ καὶ εἴκοσι μετ' αὐτοῦ στρατιῶται ἐπίστευσαν καὶ παρρησίᾳ προσῆλθον τῷ Χριστῷ. Εἶτα διὰ προσευχῆς ὁ ἅγιος νεκρὸν | ἀνιστᾷ, (f. 240v.) αἰτησαμένου τοῦτο[10] τοῦ ἡγεμόνος· καὶ πάλιν εἰς ἐξέτασιν καθίσταται μετὰ τοῦ παιδὸς Κελσίου, ὃν ἀποσπάσαι τις τῶν στρατιωτῶν βουληθεὶς καὶ πρὸς τὸν πατέρα ἀγαγεῖν, εὐθὺς κατεσάπη τὴν χεῖρα. Μετὰ τοῦτο ἐν δυσώδει καὶ σκοτεινῇ καθείργνυται φυλακῇ ἅμα τῷ Κελσίῳ, ἥτις εὐθὺς φωτὸς ἐνεπλήσθη καὶ εὐωδίας, ὥστε τοὺς φυλάσσοντας εἴκοσι στρατιώτας, ἐν ἀφεγγεῖ οἰκήματι τὴν περιαστράπτουσαν αἴγλην ἰδόντας καὶ τὴν τῶν θυμιαμάτων ὀσμήν, εὐθὺς τὴν τοῦ Χριστοῦ ἐπικαλέσασθαι δύναμιν καὶ αὐτὸν ὁμολογῆσαι Θεὸν καὶ βαπτισθῆναι ὑπὸ Ἀντωνίου τοῦ[11] πρεσβυτέρου, ὃς ἦν παρὰ τῷ πρωτεύοντι τῆς πόλεως, ὄντι μὲν ἐξ αἵματος καὶ γένους βασιλικοῦ, σεβομένῳ[12] δὲ τὸν Χριστὸν μετὰ τῶν ἑπτὰ υἱῶν αὐτοῦ, ὄντων καὶ αὐτῶν ἐν ἐπιγνώσει[13] τοῦ Χριστοῦ. Οὗτοι ἐκ θείας ἐμφανείας τὸν πρεσβύτερον Ἀντώνιον λαβόντες εἰσῆλθον ἐν τῇ φυλακῇ καὶ συνῆσαν τῷ ἁγίῳ Ἰουλιανῷ· καὶ μετ' αὐτοῦ ἀπαγόμενοι ἅμα τοῖς εἴκοσι στρατιώταις ἐμβληθῆναι εἰς τοὺς λέβητας, βραζούσης ὄντας πίσ-

1. — [1] μέγαν S, μέγιστον D. — [2] (ἀπὸ τῆς) ἀποστεὶς D. — [3] μετακλιθείη D. — [4] *om.* D. — [5] D, *om.* S. — [6] ἡμῶν S. — [7] ὑμεῖς D. — [8] τοῦ *add.* D. — [9] ἐπέχεαν *add.* D. — [10] D, τούτου S. — [11] *om.* D. — [12] σεβομένου D. — [13] τῇ *add.* D.

Iun. 20. Κυριακοῦ τοῦ ἀναχωρητοῦ. — 2 (Ἀσυγκλήτου). — **Ra** : 1. 3. — **Rb** : 1. — Εὐστοχίου (Iun. 23³). — 4. 2. — **Rc** : 3. 4. 2. — Εὐστοχίου. — **Mc** : 3. 6. — Ἀριστοκλέους κτλ. (Iun. 23²). — **Mv** : 3. — **Mr** : 1.

Iun. 21. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. 2. — **Da** : 2. — **Db** : 2. — **K** : 2. — **N** : Εὐστοχίου (Iun. 23³). — **Bb** : 1. 2. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1 : Ἰουλιανοῦ τοῦ ἐν Αἰγύπτῳ[1] καὶ τῶν μετ' αὐτοῦ τελειωθέντων. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Μαρκιανοῦ ἡγεμόνος, ἐν Ἀντινοουπόλει τῆς Αἰγύπτου μονὴν μεγάλην συστησάμενος χιλιάδων[2] δέκα μοναζόντων. Κρατηθέντος δὲ παρὰ τοῦ ἡγεμόνος καὶ τὸν Χριστὸν ὁμολογήσαντος, ἐνεπρήσθη ἥ τε μάνδρα καὶ οἱ μονάζοντες ἅμα τοῖς ἐπισκόποις καὶ ἱερεῦσιν, ἐκεῖ πάντων καταφυγόντων· εἶτα ὁ ἅγιος τύπτεται ἰσχυρῶς καὶ συνθλᾶται τὰ ὀστᾶ· εἷς δὲ τῶν τυπτόντων ἀπώλεσεν τὸν ὀφθαλμόν, καὶ ἐποίησεν αὐτὸν ὁ ἅγιος ὑγιῆ. Τοῦ δὲ ἁγίου δεσμίου παρισταμένου, ὁρᾷ Κέλσιος ὁ υἱὸς τοῦ ἡγεμόνος ἀγγέλους παρισταμένους αὐτῷ, καὶ ἐπίστευσε τῷ Χριστῷ καὶ στρατιῶται εἴκοσι καὶ <σὺν αὐτῷ[3]> ἕτεροι ἑπτὰ ἀδελφοὶ βαπτισθέντες ὑπὸ Ἀντωνίου πρεσβυτέρου. Ἄγεται <οὖν[4]> Ἰουλιανὸς σὺν αὐτοῖς ἐμβληθῆναι εἰς λέβητας· καὶ ἐξεκομίζετο νεκρός, καὶ ἀνέστησεν αὐτὸν βοῶντα ὅτι· « Εὐξαμένου Ἰουλιανοῦ ἐσείσθη τὰ » καταχθόνια καὶ ἀνέστην ἐγώ· » ἐβαπτίσθη δὲ καὶ αὐτὸς ὑπὸ Ἀντωνίου. Ἐξελθόντων δὲ ἐκ τῶν λεβήτων ἀβλαβῶν, ἐπίστευσε καὶ ἡ τοῦ ἡγεμόνος γυνὴ καὶ ἐβαπτίσθη· εἶτα παραδίδονται τῷ πυρὶ οἱ

[1] Αἰγύπτου Cg. — [2] Ce, χιλιάδες Cg. — [3] Ce, *om.* Cg. — [4] *supplevi*, *om.* Ce, Cg.

σης[14] μεστούς, τοῦ τελεσθέντος παρὰ τοῦ ἁγίου μεγάλου θαύματος ἐγένοντο θεαταί. Ἐκκομιζόμενον γάρ τινα νεκρὸν διὰ προσευχῆς ὁ ἅγιος ἤγειρεν· ὃς ἀναστὰς ἐπίστευσε τῷ Χριστῷ καὶ τῷ ἁγίῳ χάριτας ὡμολόγει λέγων, ὅτι μέλλοντα αὐτὸν ἤδη τιμωρίαις παραδίδοσθαι καὶ κολάσεσιν ὑπὸ Αἰθιόπων τινῶν φοβερὸν βλεπόντων καὶ ἄγριον, ταῖς προσευχαῖς τοῦ ἁγίου ὁ Θεὸς οἰκτειρήσας ἐν τῇ χώρᾳ τῶν ζώντων αὖθις ἀποσταλῆναι προσέταξεν. Ἐβαπτίσθη οὖν καὶ αὐτὸς ὑπὸ Ἀντωνίου τοῦ πρεσβυτέρου, ἐπικληθεὶς Ἀναστάσιος. Ὁμοῦ δὲ[15] φθάσαντες τὸν τόπον, ἔνθα ἐπυροῦντο οἱ λέβητες, ἐνεβλήθησαν εἰς αὐτοὺς ὅ τε ἅγιος Ἰουλιανὸς καὶ Κέλσιος καὶ οἱ πιστεύσαντες εἴκοσι φύλακες καὶ οἱ ἑπτὰ τοῦ ἄρχοντος υἱοὶ καὶ ὁ πρεσβύτερος Ἀντώνιος καὶ ὁ ἐκ νεκρῶν Ἀναστάσιος. Ὡς δὲ τῶν λεβήτων ἐξῆλθον ἀβλαβεῖς, ἐπίστευσεν εἰς τὸν Χριστὸν ἡ τοῦ Κελσίου μήτηρ οὕτω καλουμένη Βασίλισσα· καὶ βαπτισθεῖσα ὑπὸ τοῦ πρεσβυτέρου Ἀντωνίου τὸν Κέλσιον ἔσχεν υἱὸν μὲν κατὰ σάρκα, πατέρα δὲ κατὰ πνεῦμα, μειζόνων μεταδιδόντα κατὰ τὴν ἀναγέννησιν ἢ παρ' αὐτῆς κατὰ τὴν γέννησιν ἔλαβεν· ὁ γὰρ αὐτὸς καὶ τῆς εἰς Χριστὸν πίστεως αὐτῇ πρόξενος καὶ ἀνάδοχος ἐκ τοῦ θείου βαπτίσματος γέγονεν. Ἄγονται οὖν αὖθις παρὰ τοῦ | (f. 241.) τυράννου οἱ ἅγιοι ἐν τῷ ναῷ τῶν εἰδώλων· καὶ σφραγίσαντες[16] ἑαυτοὺς τῷ τύπῳ τοῦ τιμίου σταυροῦ καὶ τὸ μὲν σῶμα ἐπὶ τὴν γῆν κλίναντες, τὸ δὲ τῆς καρδίας ὄμμα πρὸς τὸν οὐρανὸν ἀτενίσαντες, διὰ προσευχῆς πάντα τὰ εἴδωλα συνέτριψαν καὶ ὡσεὶ κόνιν εἰργάσαντο καὶ τὸν ναὸν ὑποβρύχιον γενέσθαι ἐποίησαν· ὅθεν καὶ τοῖς παριοῦσι μέχρι τοῦ νῦν πῦρ ὑποκαιόμενόν φασιν πόρρωθεν καταφαίνεσθαι. Καὶ τότε μὲν τῇ φυλακῇ παρεπέμφθησαν, ἔνθα παράδοξα ἐφάνη[17] τοῖς ἁγίοις κατ'[18] ἐκείνην τὴν νύκτα, τὴν ἐσομένην αὐτοῖς προμηνύοντα δόξαν καὶ τὰ ἀνέκφραστα καὶ ἄρρητα ἀγαθά· ὕστερον δὲ ἀχθέντες φακέλλοις παπύρων διαβρόχων ἐλαίῳ τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν προσδεθέντες ἀνήφθησαν. Ἐπεὶ δὲ οὐκ ἐλυμήνατο[19] αὐτοὺς τὸ πῦρ, τοῦ μὲν ἁγίου Ἰουλιανοῦ καὶ τοῦ παιδὸς Κελσίου τὸ δέρμα τῆς κεφαλῆς ἀπέδειραν καὶ ἀφείλοντο, τοὺς δὲ ὀφθαλμοὺς τοῦ πρεσβυτέρου Ἀντωνίου ὀγκίνοις ἐξώρυξαν, τὴν δὲ τοῦ παιδὸς Κελσίου μητέρα, θείᾳ χάριτι τῶν βασανιστῶν μὴ δυναμένων αὐτῇ προσεγγίσαι, ἀλλ' ἅμα τῷ προσπελάσαι ἀποτυφλουμένων[20], ἀπηώρησαν. Μετὰ ταῦτα δὲ θηρίοις αὐτοὺς παραδόντες, ἐπεὶ τὰ θηρία τούτων οὐχ ἥψαντο, ξίφει τὰς κεφαλὰς αὐτῶν μεθ' ἑτέρων ἀναμὶξ καταδίκων ἀπέτεμον. Ἀλλὰ τῶν ἁγίων ὕστερον ἐγνωρίσθη[21] λείψανα, τῶν αἱμάτων αὐτοῖς συμπαγέντων καὶ τῶν ψυχῶν ἐν εἴδει παρθένων ἐπικαθημένων αὐτοῖς· ἃ οἱ χριστιανοὶ ἀνελόμενοι ὕστερον παρὰ τὸ θυσιαστήριον τῆς καθολικῆς ἐκκλησίας κατέθηκαν, ἐξ ὧν πηγὴ ἀεννάως βλυστάνει, ῥῶσιν παρεχομένη τοῖς προσιοῦσι ψυχῆς τε καὶ σώματος. Τότε δὲ σεισμὸν ἐπιγενέσθαι φασὶν εὐθὺς μετὰ τὴν τῶν ἁγίων ἀναίρεσιν· ἐξ οὗ καταπεσεῖν μὲν τὸ πλεῖστον μέρος τῆς πόλεως, συγχωσθῆναι δὲ καὶ διαφθαρῆναι τόν τε ἡγεμόνα καὶ πολλοὺς τῶν ἑλλήνων. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πλησίον τοῦ Φόρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ. Οὗτος ἦν ἐκ[1] τῆς Ἀναζαρβέων[2] πόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας, υἱός τινος βουλευτοῦ[3], μητρὸς δὲ χριστιανῆς· παρ' ἧς τὴν κατὰ Χριστὸν εὐσέβειαν[4] μεμαθηκὼς καὶ τῇ μελέτῃ τῶν θείων γραφῶν σχολάσας, ἐν τῷ ὀκτωκαιδεκάτῳ χρόνῳ τῆς αὐτοῦ | (f. 241v.) ἡλικίας διαβληθείς, προσήχθη Μαρκιανῷ τῷ ἡγεμόνι. Καὶ μὴ καταδεξάμενος θῦσαι τοῖς εἰδώλοις, ἐν διαφόροις μέρεσι τοῦ σώματος τύπτεται. Εἶτα ἐν τῇ φρουρᾷ τεθεὶς καὶ τῇ μητρὶ συμβούλῳ χρησάμενος καὶ ἐμμένειν εἰπὼν καὶ[1] ἐναποθνήσκειν[5] τῇ εἰς Χριστὸν πίστει, καὶ[1] ἐν σάκκῳ βληθεὶς μεστῷ ψάμμου[6] καὶ ἑρπετῶν ἰοβόλων καὶ λοιπῶν ὄφεων[7], μέσον τοῦ πελάγους[8] ἀφίεται, καὶ οὕτως τὸν τοῦ μαρτυρίου στέφανον δέχεται[9]. Τοῦτον[10] καὶ ὁ τίμιος καὶ μέγας Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν.

— [14] πίσσης ὄντας D. — [15] πάντες *add.* D. — [16] κατασφραγίσαντες D. — [17] κατεφάνη D. — [18] *om.* D. — [19] ἐλυμήνα(το) *corr.* D. — [20] μόνον *add.* D. — [21] ἐγν. ὕστερον D.

2. — [1] *om.* D. — [2] D, Ἀναζαρβαίων S. — [3] (τῆς δευτέρας - βουλευτοῦ) πατρὸς μὲν ἕλληνος D. — [4] εὐσέβει(αν) *corr.* D. — [5] ἐναποθνήσκει D. — [6] ψάμμω D. — [7] (καὶ λ. ὄφ.) *om.* D. — [8] πέλαγος D. — [9] ἐκομίσατο D. — [10] τὸν τοῦ Χριστοῦ μάρτυρα *add.* D.

εἴκοσι δύο στρατιῶται καὶ οἱ ἑπτὰ ἀδελφοὶ καὶ ὁ ἀναστὰς ἐκ νεκρῶν καὶ μετονομασθεὶς Ἀναστάσιος. Ὁ δὲ Ἰουλιανὸς καὶ Ἀντώνιος ἠναγκάσθησαν εἰσελθεῖν ἐν τῷ εἰδωλείῳ καὶ προσκυνῆσαι τοῖς εἰδώλοις· καὶ προσευξάμενοι ἔρριψαν τὰ εἴδωλα καὶ πεποιήκασι κόνιν· εἶτα ἐκδαίρεται τὸ δέρμα τῆς κεφαλῆς Ἰουλιανός, ὁμοίως καὶ ὁ Κέλσιος. Ἡ δὲ μήτηρ Κελσίου ἐκελεύσθη κρεμασθῆναι· ἧτινι προσερχόμενοι οἱ στρατιῶται ἐτυφλοῦντο· εἶτα θηρίοις ῥιπτοῦνται καὶ διέμειναν ἀβλαβεῖς. Τότε ἀποτέμνονται τὰς κεφαλὰς καὶ παρέδωκαν τὰ πνεύματα τῷ Κυρίῳ. — **R** : 2 (des. : τοῦτον τὸν μάρτυρα καὶ ὁ τίμιος καὶ μέγας Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν). — **Ra** : 2. — Βασιλείου τοῦ ἡγουμένου μονῆς τῆς Πατελαρίας. — Τερεντίου ἐπισκόπου Ἰκονίου (Iun. 22⁴). — Καὶ Μάρκου ἀνεψιοῦ Βαρνάβα τοῦ ἀποστόλου, ἐπισκόπου γενομένου Ἀπολλωνιάδος (Iun. 22⁵). — Καὶ Ἰησοῦ τοῦ λεγομένου Ἰούστου ἐπισκόπου Ἐλευθεροπόλεως (Iun. 22⁶). — Καὶ Ἀρτεμᾶ ἐπισκόπου Λύστρας (Iun. 22⁷). — **Rb** : 2. — **Rc** : 2. — **Mc** : 2. 1. — Τῶν ἁγίων μαρτύρων τῶν συναθλησάντων τῷ ἁγίῳ Ἰουλιανῷ Ἀντωνίου, Ἀναστασίου, Κελσίου καὶ Βασιλίσσης τῆς αὐτοῦ μητρός, τῶν εἴκοσι δεσμοφυλάκων καὶ τῶν ἑπτὰ ἀδελφῶν, οἳ πάντες διὰ ξίφους ἐτελειώθησαν. — **Mv** : 2. — Ἀφροδισίου. — Τερεντίου. — Μάρκου ἐπισκόπου Ἀπολλωνιάδος ἀνεψιοῦ Βαρνάβα τοῦ ἀποστόλου ἐπιλεγομένου Ἰούστου. — **Mr** : 2. (Iun. 21.)

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Iun. 22. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Εὐσεβίου ἐπισκόπου Σαμοσάτων. Οὗτος ἦν ἐπὶ Κωνσταντίου τοῦ βασιλέως ζηλωτὴς διάπυρος [1] τῆς ὀρθοδόξου πίστεως· τοσοῦτον [2] δὲ αὐτῷ περιῆν ἀνδρεία ψυχῆς καὶ τῶν παρόντων ὑπεροψία καὶ διὰ σπουδῆς ἐποιεῖτο [3], ὅπως τὰ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας εἰς ἐπίδοσιν ἔλθοι, καίπερ τοῦ βασιλέως ἀντιδοξοῦντος, ὡς οὐχ ἕτερός τις [4]. Καί ποτε τοῦ Κωνσταντίου τὴν δεξιὰν αὐτοῦ χεῖρα τεμεῖν ἀπειλήσαντος, εἰ μὴ τὸ ὑπὲρ τοῦ μεγάλου Μελετίου ψήφισμα κατέχων αὐτὸς προτείνηται καὶ προδῷ, ἀμφοτέρας τὰς χεῖρας ἐπανέτεινε [5], ὡς ἡδέως τὴν αὐτῶν δεξόμενος ἐκτομὴν ἢ τὸ ζητούμενον προδοῦναι καὶ συμπροδοῦναι αὐτῷ τὴν εὐσέβειαν. Τοῦτον τὸν ὅσιον πατέρα ἡμῶν μετὰ Κωνστάντιον καὶ Ἰουλιανὸν Οὐάλης τὴν ἀρειανικὴν κακοπιστίαν νοσῶν τοῦ θρόνου ἐξήλασε καὶ διάγειν ὑπερόριον παρὰ τὸν Ἴστρον ποταμὸν [6] κατεδίκασεν. Μετὰ δὲ τὴν τοῦ Οὐάλεντος τελευτὴν πρὸς τὴν λαχοῦσαν ὁ ἅγιος πόλιν [7] ἐπανιὼν καὶ [6] μετὰ τοὺς πολλοὺς ἀγῶνας καὶ τὰς ἐπ' αὐτοῖς νίκας μαρτυρικῆς ἔτυχε τελευτῆς, γυναικὸς κακοδόξου καὶ τὰ [8] Ἀρείου φρονούσης κέραμον ἀπό τινος στέγους ἐπὶ τὴν κεφαλὴν τοῦ ἁγίου βαλούσης [9]· ἣν καὶ συγγνώμης ἠξίωσε, τὸν ἴδιον δεσπότην καὶ τὸν πρωτομάρτυρα μιμησάμενος [10] Στέφανον. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου Ἰωάννου πλησίον Ἀρκαδιανῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ [1] μαρτύρων Ζήνωνος καὶ Ζηνᾶ. Οὗτοι ὑπῆρχον ἐκ Φιλαδελφίας [2] τῆς Ἀραβίας, τῆς ἐν τῇ παλαιᾷ λεγομένῃ [3] Ἐμμάν, ὁ μὲν Ζήνων στρατιωτικῆς τάξεως ὤν, ὁ δὲ Ζηνᾶς οἰκέτης αὐτοῦ τυγχάνων [4]. Ἐπιθυμῶν δὲ τοῦ διὰ Χριστὸν μαρτυρίου τυχεῖν ὁ ἅγιος Ζήνων, πᾶσαν αὐτοῦ τὴν ὕπαρξιν f. 242. διανείμας πτωχοῖς καὶ τοὺς οἰκέτας ἐλευθερίᾳ τιμήσας [5], ἐπεὶ τὸν ἡγεμόνα Μάξιμον, ὃς ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἤκουσε πολλὴν πρόνοιαν <τῶν εἰδώλων [6]> ποιεῖσθαι, παρεγένετο πρὸς αὐτὸν μετὰ τοῦ οἰκέτου Ζηνᾶ. Ὁ γὰρ Ζηνᾶς οὗτος εὐγνώμων ὢν οὐχ ὑπέμεινεν τὸν ἑαυτοῦ καταλιπεῖν κύριον, ἀλλὰ μετ' αὐτοῦ ἐπορεύθη. Ἐμφανισθεὶς δὲ τῷ ἡγεμόνι ὁ ἅγιος Ζήνων, ὡς ἐπὶ ματαίοις σπουδάζοντα τοῦτον ταῖς λατρείαις τῶν εἰδώλων διήλεγχε· ὃν εὐθὺς τύπτεσθαι βουνεύροις προσέταξε. Ὁ δὲ τυπτόμενος, λὰξ ἐντείνας καὶ τοῦ βωμοῦ τυχὼν ἀνέτρεψεν αὐτὸν καὶ κατέβαλε. Ἐπὶ τοῦτο κρεμασθεὶς ξέεται ἀφειδῶς καὶ ὄξει καὶ ἅλατι τὰς πλευρὰς κατατρίβεται· εἶτα τίθεται ἐν τῷ δεσμωτηρίῳ ξύλοις τοὺς πόδας ἀσφαλισθεὶς ἐν κεντήμασιν τέτρασιν. Ἔνθα τοῦ οἰκέτου αὐτοῦ Ζηνᾶ εἰσελθόντος καὶ [7] παρακαλοῦντος μὴ ἐᾶσαι μηδὲ καταλιπεῖν αὐτόν, ὁ ἡγεμὼν καὶ [8] περὶ τούτου μαθὼν ἐκέλευσεν καὶ αὐτὸν συγκλεισθῆναι. Ἐπεὶ δὲ εἰς ἐρώτησιν ἀμφότεροι ἤχθησαν καὶ τὸν Χριστὸν ἀρνήσασθαι οὐ κατεδέξαντο, τύπτονται σφοδρῶς καὶ ὀβελίσκους πεπυρωμένους ὁ ἅγιος Ζήνων τοῖς στέρνοις καὶ τῇ καρδίᾳ ἐπιδέχεται· εἶτα ἀναρτῶνται ἐπὶ ξύλου ἱμᾶσι τὰς μασχάλας διαληφθέντες καὶ λίθοις τοὺς πόδας βαρούμενοι. Καὶ μετὰ ταῦτα ἐν βόθρῳ πυρὸς ἀκοντισθέντες, τῆς φλογὸς ἐλαίῳ καταρδευθείσης, ἐπεὶ παραδόξως ἀβλαβεῖς διέμειναν, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μεγαλομάρτυρος [8] Γεωργίου, τῷ [8] ὄντι [8] ἐν τῷ Κυπαρισσίῳ [9].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πομπιανοῦ, Γαλακτίωνος, Σατορνίνου [1] καὶ Ἰουλιανῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι πλησίον τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐν τῷ Πετρίῳ.

4. Καὶ [1] τοῦ ἁγίου ἱερομάρτυρος Τερεντίου ἐπισκόπου Ἰκονίου.

5. Καὶ Μάρκου ἀνεψιοῦ Βαρνάβα τοῦ [1] ἀποστόλου, ἐπισκόπου γενομένου Ἀπολλωνιάδος.

6. Καὶ Ἰησοῦ τοῦ λεγομένου Ἰούστου, ἐπισκόπου Ἐλευθεροπόλεως [1].

7. Καὶ Ἀρτεμᾶ ἐπισκόπου Λύστρας καὶ τῶν σὺν αὐτῷ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Iun. 23. **1.** Ἄθλησις τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος τοῦ Χριστοῦ Ἀγριππίνης. Ἥτις ἐξ ἁπαλῶν ὀνύχων τῷ Θεῷ ἑαυτὴν δίδωσιν, γέννημα καὶ θρέμμα τῆς περιδόξου πόλεως Ῥώμης | ὑπάρ- f. 242v. χουσα, καὶ ὥσπερ λειμὼν ἢ ῥόδον εὔοσμον κατευωδιάζουσα πιστῶν τὰς διανοίας καὶ τὸ δυσῶδες τῶν παθῶν ἀποδιώκουσα. Παρθενείᾳ γὰρ καὶ ἁγνείᾳ τὴν ψυχὴν ὡραΐσασα καὶ τῷ Χριστῷ μνηστευθεῖσα, θαρραλέως καὶ ἀνδρείως πρὸς τὸ μαρτύριον χωρεῖ καὶ διὰ τὸν ἔρωτα καὶ τὴν ἀγάπην τοῦ ἑαυτῆς νυμφίου Χριστοῦ πολλαῖς βασάνοις ἑαυτὴν ἐκδίδωσιν. Ῥάβδοις οὖν τὸ σῶμα τυπτομένη τὰ ὀστᾶ τῆς ἀσεβείας συνέτριψε, καὶ τοῦ χιτῶνος γυμνωθεῖσα τοῦ ἐχθροῦ τὴν γύμνωσιν ἐστηλίτευσε, καὶ δεσμῷ πεδηθεῖσα καὶ στρέβλαις καθυποβληθεῖσα, διὰ θείου τε ἀγγέλου λυθεῖσα, πᾶσαν ἀσέβειαν διέλυσεν· ὅθεν καὶ ἐν αὐταῖς ταῖς βασάνοις τὴν ἑαυτῆς ψυχὴν τῷ Θεῷ παραδίδοται. Βάσσα δὲ καὶ Παῦλα καὶ Ἀγαθονίκη λάθρα λαβοῦσα τὸ σῶμα τῆς μάρτυρος ἀπὸ τῆς Ῥωμαίων πόλεως, καὶ τόπον ἐκ τόπου διαμείβουσαι καὶ μακρὰ πελάγη τὴν Σικελῶν ἐπαρχίαν καταλαμβάνουσιν κἀκεῖσε τοῦτο διαναπαύουσιν. Ἐπεὶ δὲ ἡ Σικελία τοῦτο ἐδέξατο, παραυτίκα τῆς ζοφώδους τῶν δαιμόνων λυτροῦται δεινότητος· καὶ Ἀγαρηνοὶ δὲ συλῆσαι τολμήσαντες [1] τὸ φρούριον τοῦ ταύτης ναοῦ, ἀπωλείᾳ παντελεῖ παρεδόθησαν. Ἔκτοτε οὖν καὶ μέχρι τῆς σήμερον λεπροὶ καθαίρονται προσερχόμενοι πίστει, καὶ λοιπὴ πᾶσα νόσος τῇ ταύτης πρεσβείᾳ θεραπεύεται [2] καὶ δραπετεύει.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀριστοκλέους πρεσβυτέρου καὶ Δημητριανοῦ διακόνου καὶ Ἀθανασίου ἀναγνώστου. Ὧν [1] ὁ ἅγιος μάρτυς Ἀριστοκλῆς ὑπῆρχε [2] τὸ γένος Κύπριος, πόλεως Ταμασσοῦ [3], τῆς καθολικῆς ἐκκλησίας πρεσβύτερος. Κατὰ δὲ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως ἀνελθὼν ἐν τῷ ὄρει ἔν τινι σπηλαίῳ ἐκρύβη τὸν ἐπικείμενον διωγμὸν φοβηθείς· ἐν ᾧ εὐχόμενος φωτὶ περιηστράφθη ὑπὲρ τὸν ἥλιον· καὶ ἐνεχθείσης φωνῆς οὐρανόθεν, προετράπη ἀπελθεῖν ἐν Σαλαμῖνι [4] τῇ μητροπόλει κἀκεῖ διαγωνίσασθαι τὸ μαρτύριον. Πορευόμενος δὲ ἔφθασεν ἐν Λέδροις εἰς τὸν οἶκον τοῦ ἁγίου ἀποστόλου Βαρνάβα· καὶ καταλαβὼν ἐκεῖσε Δημητριανὸν τὸν διάκονον καὶ Ἀθανάσιον [5] ἀναγνώστην καὶ παρ' αὐτοῖς ξενισθεὶς καὶ τὴν αἰτίαν, δι' ἣν ἀφῖκται [6]; καὶ τὰ [7] τῆς ὀπτασίας αὐτοῖς ἀναθέμενος f. 243. κοινωνοὺς αὐτοὺς | τῆς πράξεως ἔλαβε, προθύμως αὐτῶν ὑπὲρ Χριστοῦ ἀθλεῖν [8] ἑλομένων. Παραγενόμενοι δὲ εἰς ἣν ἔσπευδον πόλιν, ἐν ἀπόπτῳ καὶ ὑψηλῷ ἔστησαν τόπῳ. Οὓς ἰδὼν ὁ ἡγεμὼν καὶ προσκαλεσάμενος καὶ παρ' αὐτῶν ἐκείνων ὡς εἶεν χριστιανοὶ μεμαθηκὼς [9] πρῶτον μὲν τὸν ἅγιον Ἀριστοκλέα μάστιξι καταξανθῆναι ἐκέλευσεν, εἶθ' οὕτως τὴν κεφαλὴν ξίφει τμηθῆναι [10]. Τὸν δὲ ἅγιον Δημητριανὸν καὶ Ἀθανάσιον τῇ τοῦ Χριστοῦ ὁμολογίᾳ ἐμμένοντας μετὰ τὰς πολλὰς βασάνους πυρὶ παραδοθῆναι [11] προσέταξεν· ἀπαθεῖς δὲ ἐν αὐτῷ φυλαχθέντας [12] διὰ ξίφους ἀναιρεθῆναι παρεκελεύσατο [13].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐστοχίου πρεσβυτέρου καὶ τῶν σὺν αὐτῷ. Οὗτος ὁ ἅγιος Εὐστόχιος [1] καὶ Γαϊανὸς ὁ ἀνεψιὸς αὐτοῦ καὶ τὰ [2] τέκνα αὐτοῦ Πρόβη, Λουλοὺς καὶ Οὐρβανὸς [3] ὑπῆρχον ἐκ πόλεως Οὐσάδων κατὰ τοὺς χρόνους Μαξιμιανοῦ [4] καὶ Ἀγρίππα ἡγεμόνος. Ὁ οὖν Εὐστόχιος ἱερεὺς ὢν τὸ πρότερον τῶν εἰδώλων, ἐν τῷ καθορᾶν τοὺς ἁγίους ὑπὲρ Χριστοῦ μαρτυροῦντας καὶ παράδοξα θαύματα κατεργαζομένους, κατέγνω τῆς οἰκείας θρησκείας· καὶ προσελθὼν Εὐδοξίῳ τῷ ἐπισκόπῳ Ἀντιοχείας, παρ' αὐτοῦ ἐβαπτίσθη καὶ τῆς τοῦ πρεσβυτέρου χειροτονίας κατηξιώθη. Ἐλθὼν δὲ εἰς κώμην καλουμένην Λύστραν [5] καὶ τὸν ἀνεψιὸν αὐτοῦ Γαϊανὸν μετὰ τῶν τριῶν παίδων αὐτοῦ εὑρὼν καὶ τὰ περὶ [6] Χριστοῦ παραθέμενος αὐτοῖς, ἐβάπτισεν αὐτοὺς καὶ πάντας τοὺς κατὰ γένος αὐτῷ διαφέροντας. Ὅθεν ἐπὶ τοῦτο συσχεθεὶς ἤχθη πρὸς τὸν ἡγεμόνα καὶ τὸν Χριστὸν ὁμολογήσας ἀνηρτήθη ἐπὶ τοῦ ξύλου καὶ ἐξέσθη σφοδρῶς· εἶτα παρεπέμφθησαν ἅμα ἐν Ἀγκύρᾳ πρὸς Ἀγριππῖνον [7] τὸν ἐκεῖσε ἡγεμονεύοντα [8], παρὰ δὲ τοῦ Ἀγριππίνου [9] εἰς ἐρώτησιν καταστάντες καὶ τὸν Χριστὸν ὁμολογήσαντες [10], πρῶτον μὲν κρεμᾶται [11] <ἡ ἁγία Πρόβη καὶ κατὰ τῶν μαστῶν δεινῶς ξέεται· καὶ μετὰ τοῦτο κρεμᾶται [12]> ἡ Λουλοὺς καὶ Οὐρβανὸς ἀπέναντι ἀλλήλων [13] καὶ κατὰ τῶν παρειῶν ξέονται· ὧν τὸ αἷμα Γαϊανὸς ὁ ἀνεψιὸς ὑποδεχόμενος [14], ἐτύφθη τὸν νῶτον καὶ τὴν γαστέρα. Ὁ δὲ ἅγιος Εὐστόχιος τὴν κεφαλὴν ἀπετμήθη καὶ μεθ' ἡμέραν [15] Γαϊανὸς ὁ ἀνεψιὸς αὐτοῦ. Τὰ δὲ νήπια κατενεχθέντα χαλκῷ προσεδέθησαν τροχῷ· ἐκεῖθεν δὲ ἀβλαβῆ διαφυλαχθέντα, παραδόξως τοῦ τροχοῦ τῆς κινήσεως παυσαμένου καὶ τοῦ πυρὸς σβεσθέντος, ξυρῶνται τὰς κεφαλὰς καὶ ἥλοις διελαύνονται· καὶ αἱ μὲν θήλειαι | τέμνον- f. 243v. ται τοὺς μαστούς, ὁ δὲ Οὐρβανὸς σπαθίζεται. Ἐπὶ τούτοις δὲ μὴ πεισθέντες ἀλλὰ διαπρυσίως [16] τὸν Χριστὸν κηρύττοντες [17] ξίφει [17] τὰς κεφαλὰς ἀποτέμνονται.

KB'. **1.** — [1] *om.* D. — [2] τοσούτῳ S. — [3] (καὶ - ἐποιεῖτο) ἐσπούδαζεν D. — [4] (καίπερ - τις) καὶ δεινὸν οὐδὲν ἡγεῖτο ὃ πάσχειν εἰκὸς τὸν ἐνιστάμενον καὶ ἀντιλέγοντα βασιλεῦσιν ἀντιδοξοῦσιν ἀλλὰ πάσης ἀπειλῆς κρείττων ἦν καὶ ἀνώτερος ὡς D. — [5] ἐπανατείνῃ S, ἐπανατεῖναι D. — [6] *om.* D. — [7] πόλιν ὁ ἅγιος D. — [8] τοῦ *add.* D. — [9] βαλλούσης D. — [10] μιμούμενος D.

2. — [1] τοῦ X. *om.* D. — [2] Φιλαδελφείας S. — [3] λεγομένης D. — [4] τ. αὐτοῦ D. — [5] ἐλευθέρους ἀφεὶς D. — [6] D, *om.* S. — [7] τὰ τοῦ δεσπότου καταφιλοῦντος δεσμὰ καὶ *add.* D. — [8] *om.* D. — [9] Κυπαρισσείῳ S.

3. — [1] Σατωρνίνου D.

4. — [1] τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις D.

5. — [1] *om.* D.

6. — [1] *corr.* D, Ἐλευθερουπόλεως S.

KΓ'. **1.** — [1] συλήσαντες τολμῆσαι S. — [2] θεραπεύει S.

2. — [1] *om.* D. — [2] ἦν D. — [3] Ταμασοῦ D. — [4] Σαλαμήνῃ S. — [5] τὸν *add.* D. — [6] ἀφίκεται S. — [7] *om.* D. — [8] θανεῖν D. — [9] (ἐκείνων - μεμαθηκὼς) τὰ περὶ αὐτῶν μαθὼν ὡς εἶεν χριστιανοὶ D. — [10] (ἐκέλευσεν - τμηθῆναι) κελεύσας καὶ ἀποκοπῆναι ξίφει τὴν κεφαλὴν D. — [11] δοθῆναι D. — [12] δὲ |||||| φυλαχθέντας D. — [13] παρακελεύσατο D.

3. — [1] αὐτῷ ὁ ἅ. Ε. ὁ πρεσβύτερος D. — [2] τρία *add.* D. — [3] Οὐρβάσιος *hic tantum* S, D. — [4] τοῦ βασιλέως *add.* D. — [5] Λύστρα D. — [6] τοῦ *add.* D. — [7] Κριππῖνον D. — [8] τοῦ Ἀγρίππα μέλλοντος μακρότερον στείλεσθαι *add.* D. — [9] Κριππίνου D. — [10] ἀρνήσασθαι μὴ καταδεξάμενοι D. — [11] κρεμνᾶται D. — [12] ἡ ἁγία - κρε[μ]νᾶται D, *om.* S. — [13] ἀλλήλων ἀπέναντι D. — [14] Γαιανὸς ἀποδεχόμενος D. — [15] D, ἡμέρας S. — [16] μεγαλοφώνως ἀνακαλούμενοι D. — [17] *om.* D.

Iun. 22. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 1. 2. 3. — **D** : 1. 2. 3. 4. 5. 6. 7. — **Da** : 1. 2. 4. 5. 6. 7. — **Db** : 1. 2. 4. 5. 6. 7. — **K** : 1. 2. 4. 5. 6. 7. — **N** : 1. 2. 3. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : Βασιλείου ἡγουμένου Πετελαρίας. — 1. 2. 4. 5. 6. 7. — **Ra** : 1. 2. — **Rb** : 1. — Βασιλείου. — 4 (Τερεντίου ἐπισκόπου γενομένου Ἀπολλωνιάδος). — 6. 7. — **Rc** : 1. 2. — Βασιλείου. — 4. 5. 6. 7. 3. — **Mc** : 1. 2. 3 : Πομπιανὸς ἐν θαλάσσῃ βληθεὶς τ... Γαλακτίων ἐν θαλάσσῃ βληθεὶς τ... Ἰουλιανὴ καὶ Σατορνῖνος ὁ υἱὸς αὐτῆς πυρὶ τ. — 4. 5. 6. 7. — **Mv** : 1. 2. — **Mr** : 1.

Iun. 23. SYNAXARIA SELECTA. **H** : 2. 3. — **P** : 2. 3. 1 : Ἀγριππίνης καὶ Βάσσης. — **D** : 2. 3. 1. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 1. 2. — **Bb** : Ζήνωνος καὶ Ζηνᾶ (Iun. 22[2]). — 2. — **Bc** : Ζήνωνος καὶ Ζηνᾶ. — 2. 3. — **C** : Ζήνωνος καὶ Ζηνᾶ. — 2. 3. — Πομπιανοῦ κτλ. (Iun. 22[3]). — 1 (in marg. ita : ζήτει τὸ συναξάριον τῆς ἁγίας Ἀγριππίνης μαΐῳ κδ'). — **Ce** : Ζήνωνος καὶ Ζηνᾶ. — 3. — **Cg** : Ζήνωνος καὶ Ζηνᾶ. — 2. 3. — Πομπιανοῦ κτλ. — **R** : 1. 2. 3. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. 2. — **Mc** : 1. 3 (... Λολλίας, Πρόβης καὶ Οὐρβανοῦ). — **Mv** : 1. 2. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔʹ.

Iun. 24. **1.** Τὸ γενέθλιον ἐπιτελοῦμεν τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Ὅς ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας μαρτυρεῖται ὑπὸ τοῦ[1] Χριστοῦ καὶ προφήτου περισσότερος, ὁ προσκιρτήσας ἀπὸ γαστρὸς καὶ τοῖς ἐν τῇ[1] γῇ τὴν τοῦ σωτῆρος κηρύξας παρουσίαν, καὶ προδραμὼν ἐν τῷ Ἅδῃ πρὸς τὸ τὴν ἀνάστασιν εὐαγγελίσασθαι. Οὗτος γέγονεν υἱὸς Ζαχαρίου τοῦ ἀρχιερέως καὶ Ἐλισάβετ τῆς στείρας, τεχθεὶς ἐξ ἐπαγγελίας, ὃς καὶ τὴν τοῦ πατρὸς σιωπὴν ἐν τῷ γεννᾶσθαι ἐπιλυσάμενος πάντα τὸν κόσμον χαρᾶς ἐπλήρωσεν· διὸ καὶ ἄγγελοι τοῖς ἀνθρώποις σήμερον συναγάλλονται καὶ πᾶσα κτίσις χαρᾶς καὶ εὐφροσύνης πεπλήρωται. Τελεῖται δὲ ἡ τούτου σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τοῖς Σφωρακίου[2].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρεντίου καὶ τῶν ἓξ[1] γνησίων[1] ἀδελφῶν αὐτοῦ. Οὗτος[1] ὁ ἅγιος Ὀρέντιος καὶ οἱ ἓξ ἀδελφοὶ αὐτοῦ Ἔρως, Φαρνάκιος, Φιρμῖνος, Φίρμος[2], Κυριακὸς καὶ Λογγῖνος ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν[1] βασιλέων[1] ὁρμώμενοι μὲν τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν, στρατευόμενοι δὲ μετὰ χιλίων διακοσίων τηρώνων ὑπὸ Ῥώδονα[3] κουβικουλάριον ἐν τῇ Ἀντιοχέων πόλει, οἳ καὶ ἦλθον ἐν τοῖς Θρᾳκῴοις μέρεσι ταχθέντες εἰς λεγεῶνα καλούμενον[4] Λεγεάνδρου. Ἐπαναστάσεως δὲ κατὰ τοὺς τότε χρόνους γεγενημένης τῶν Σκυθῶν διαβάντων τὸν Ἴστρον καὶ τὴν Θρᾴκην ληϊζομένων, ἄρτι μετὰ τὴν τελευτὴν Διοκλητιανοῦ Μαξιμιανὸς τὴν βασιλείαν κατασχὼν ἐν φροντίδι πολλῇ καὶ ἀμηχανίᾳ ἐγένετο[5], μάλιστα διὰ τὸ τὸν[6] Μαρμαρὼθ τὸν ἐξάρχοντα τῶν Σκυθῶν, μεγέθει σώματος καὶ ῥώμῃ τῶν πολλῶν διαφέροντα, προκαλεῖσθαι[7] αὐτὸν ἤ τινα τῶν μετ᾽ αὐτοῦ τοῦ διαγωνίσασθαι· καὶ παρ᾽ οἷς ἂν τὸ κρατεῖν γένηται, τούτοις[8] παραχωρῆσαι τοὺς ἑτέρους τῆς νίκης. Διὰ ταῦτα οὖν τοῦ βασιλέως ἐν πολλῇ ἀπορίᾳ καθεστηκότος, ὡς μηδενὸς θαρροῦντος ἀντεπεξιέναι καὶ συμπλέκεσθαι τῷ βαρβάρῳ, προετράπη ὁ ἅγιος Ὀρέντιος ἐξελθεῖν· πάσαις γὰρ ψήφοις ἐκρίθη ὡς εἴη ῥωμαλέος καὶ πολέμων ἔμπειρος καὶ δι᾽ εὐστροφίαν σώματος καὶ συντομίαν δεινὸς[9] ἐπιθέσθαι καὶ τὸν ἀντεπεξιόντα[10] καταβαλεῖν. Ὃς τὴν εἰς Χριστὸν πίστιν περιβαλλό- f. 244r. μενος καὶ πρὸς τὸν πόλεμον[11] ἐξελθὼν καὶ τῷ Σκύθῃ παραταξάμενος[12], ἀκοντίῳ τοῦτον διήλασε καὶ ξίφει αὐτοῦ τὴν κεφαλὴν ἐκτεμὼν τῷ βασιλεῖ προσεκόμισε καὶ τὸ τρόπαιον ἔστησε. Ἐφ᾽ οἷς τοῦ βασιλέως ὑπερθαυμάσαντος καὶ ἀγασθέντος καὶ διὰ τοῦτο ἐπινικίους ᾠδὰς[13] τοῖς εἰδώλοις ὑπᾴδοντος[14], αὐτὸς τῇ τοῦ Χριστοῦ συμμαχίᾳ καὶ δυνάμει περιγενέσθαι τοῦ ἀλαζόνος, οὐ τῇ τῶν ψευδωνύμων θεῶν βοηθείᾳ παρρησίᾳ καθωμολόγησεν. Ἀλλὰ τότε μὲν καρποῦσθαι τὰς βασιλικὰς συνεχωρήθη τιμάς, αἰδεσθέντος οἶμαι τοῦ βασιλέως τὸ τοῦ κατορθώματος μέγεθος καὶ τὴν ζώνην αὐτῷ προσπαρεχομένου τοῦ καταβληθέντος βαρβάρου πολυτελῆ καὶ πολυανάλωτον οὖσαν. Ὕστερον δὲ ἐπεὶ παραινῶν ἀποστῆναι τοῦ Χριστοῦ οὐκ ἔπειθεν, ἐκπέμπει αὐτὸν μετὰ τῶν ἓξ ἀδελφῶν ἐν τῇ κατὰ Ἀρμενίαν πόλει τῶν Σατάλων, ἐπιστείλας τῷ ἐκεῖσε δουκί, εἰ μὲν ἐξεταζόμενοι πεισθῶσι θῦσαι τοῖς θεοῖς[15], ἀναπέμψαι αὐτοὺς[16] πρὸς αὐτόν, εἰ δὲ οὐ πείθονται, ὑπερορίους ἐν ταῖς κατὰ Ἀβασγίαν καὶ Ζικχίαν[17] χώραις ποιῆσαι. Κατὰ οὖν[18] τοῦ βασιλέως πρόσταγμα ἀπαγομένων αὐτῶν καὶ τὴν οὕτω λεγομένην Καινὴν[19] Παρεμβολὴν φθασάντων, ὁ μὲν μακάριος Ἔρως ὁ τῶν ἀδελφῶν πρῶτος πρὸς Κύριον ἐξεδήμησεν, μηνὶ ἰουνίῳ κβʹ. Ὁ δὲ ἅγιος Ὀρέντιος τὸ Ῥοιζαῖον[20] καταλαβών, λίθον τῷ τραχήλῳ περιδεθεὶς[21] ἐρρίφη ἐν τῇ θαλάσσῃ· περὶ αὐτοῦ γὰρ τοῦτο ἐδέδοκτο. Ἐκεῖθεν δὲ δι᾽ ἐπιστασίας τοῦ ἀρχαγγέλου Ῥαφαὴλ ἀβλαβὴς ἐξῆλθε[22], κουφίσαντος αὐτὸν καὶ κατὰ τὴν ξηρὰν ἐπί τινος πέτρας στήσαντος, καὶ[23] εὐξάμενος ἀφῆκε τὸ πνεῦμα κἀκεῖσε ἐτάφη τῷ ἐνεστῶτι μηνὶ κδʹ. Ὁ δὲ ἅγιος Φαρνάκιος ἐν Κορδύλῃ[24] πρὸς Κύριον μετετέθη τῇ τρίτῃ τοῦ ἰουλίου. Τῇ δὲ ἑβδόμῃ Φίρμος καὶ Φιρμῖνος καταλαβόντες τὴν Ἄψαρον, τέλος εὕραντο τῆς προσκαίρου ζωῆς. Ὁ δὲ ἅγιος Κυριακὸς ἀπαχθεὶς εἰς τὴν τῶν Λαζῶν[25] χώραν, ἐν τόπῳ λεγομένῳ Ζιγάνεως ἀνεπαύσατο ἐν Κυρίῳ[26] τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνός· λοιπὸς δὴ τῶν ἑπτὰ ἀδελφῶν ὁ μακάριος Λογγῖνος, ὃς[27] ἐν τῷ παραπλέειν ἀπὸ τῆς Ζιγάνεως ἐπὶ τὴν Λαζικὴν[28] τρικυμίας ἐν τῇ θαλάσσῃ γεγενημένης καὶ μεγάλου κλύδωνος, εὐξάμενος τῷ Θεῷ τὸ πνεῦμα παρέθετο[29] καὶ κατετέθη εἰς Πιτυοῦντα[30] μεθ᾽ ἡμέρας τέσσαρας, ἐκεῖσε τοῦ πλοίου ὁρμήσαντος.

1. — [1] *om.* D. — [2] Φωρακίου S, Σπαρακίου τῆς λιτῆς ἀπὸ τῆς μεγάλης ἐκκλησίας ἐκεῖσε παραγινομένης D.
2. — [1] *om.* D. — [2] Φρίμος, Φιρμίνος D. — [3] Ῥώδωνα D. — [4] λεγόμενον D. — [5] γεγένητο D. — [6] *om.* D. — [7] προσκαλεῖσθαι S. — [8] τούτους S. — [9] (σώματος - δεινός) νεύματος δεινῶς D. — [10] ἀντεξιόντα D. — [11] (περιβ. - πόλεμον) πρῶτον ἐπενδυσάμενος D. — [12] Σκύθῃ παρατ(α)τώμενος D. — [13] (ὑπερθ. - ᾠδὰς) ἐπινικίους θυσίας D. — [14] ὑπάρχοντος S, προσάγοντος D. — [15] εἰδώλοις D. — [16] τούτους D. — [17] Ζιχίαν D. — [18] τὸ *add.* D. — [19] κενὴν D. — [20] ῥοίζεον S, ῥυζαῖον D. — [21] περιτεθείς D. — [22] ἐξελθὼν D. — [23] *om.* D. — [24] (κἀκεῖσε - Κορδήλοι *sic* S) καὶ ἐτάφη ἐκεῖ |||||| ἐν δὲ Κορδύλῃ ὁ ἅγιος Φαρνάκιος γενόμενος D. — [25] Ζαλῶν D. — [26] |||||| κυρίω D. — [27] ὡς D. — [28] Ζαλικὴν D. — [29] παρέδωκεν D. — [30] Ποτιοῦντα D.

Iun. 24. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 2. 1. — **D** : 1. 2. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 1. — **Bc** : 1. 2. — **C** : 1. 2. — **Ce** : 1. 2 (Ὀρεντίνου). — **Cg** : 1. 2. — **R** : 1. — Τερεντίου καὶ τῶν σὺν αὐτῷ (Iun. 22[4]). — **Ra** : 1. — **Rb** : 1. 2. — **Rc** : 1. — **Mc** : 1. 2. — **Mv** : 1. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕʹ.

1. Ἄθλησις τῆς ἁγίας ὁσιομάρτυρος καὶ[1] πολυάθλου[1] Φεβρωνίας. Αὕτη ἐκ νεαρᾶς ἡλικίας τὸν f. 244v. χρηστὸν τοῦ Κυρίου ζυγὸν | ἀραμένη καὶ ὁσίως βιοῦσα, τῆς κατ᾽ αὐτὴν μονῆς[2] ἐν τοῖς μεθορίοις Ῥωμαίων καὶ Περσῶν διακειμένης ἐν πόλει λεγομένῃ Νισίβει[3], ἥτις λέγεται Ἀντιόχεια τῆς Μυγδονίας, πάσας τὰς σὺν αὐτῇ μεθ᾽ ὧν ἦν ὑπερήλασεν ἔν τε ἀσκήσει καὶ συνέσει καὶ τῇ τῶν γραφῶν ἀναγνώσει. Ἐξῆρχε δὲ καὶ καθηγεῖτο πασῶν ἡ οὕτω καλουμένη Βρύαινα· κατὰ δὲ τοὺς καιροὺς Διοκλητιανοῦ Σελήνου[4] τοῦ ἡγεμόνος διώκοντος τοὺς χριστιανούς, αἱ μὲν λοιπαὶ τῶν μοναζουσῶν τοῦ μοναστηρίου ἐξῆλθον ἐκφυγεῖν τὸν ἐπικείμενον θάνατον σπεύδουσαι· ἡ δὲ μακαρία Φεβρωνία[5], νόσου τότε κατεχούσης αὐτήν, μὴ δυναμένη τῷ σώματι χρήσασθαι, ἐπί τινος κατέκειτο βάθρου, παρακαθεζομένων αὐτῇ τῆς τε Βρυαίνης καὶ τῆς οὕτω καλουμένης συγκλητικῆς Ἱερείας[6]. Ἐπεὶ δὲ παρῆσαν οἱ τοῦ Σελήνου στρατιῶται καὶ πελέκεσι τὰς θύρας καταράξαντες εἰσῆλθον, εὐθὺς μὲν σπασάμενοι τὰς μαχαίρας κατακόπτειν ἠβούλοντο τὴν Βρύαιναν· ἀλλὰ ταύτην μὲν παθεῖν τὰ ἀνήκεστα <παρῃτήσατο[7]> Πρῖμος ὁ τοῦ Λυσιμάχου ἀνεψιός, τοῖς χριστιανοῖς ἀεὶ ἐπιεικῶς καὶ συμπαθῶς προσφερόμενος. Τὴν δ᾽ οὖν[8] Φεβρωνίαν ἁρπάσαντες πρὸς τὸν ἡγεμόνα Σελῆνον ἦγον· ᾗ παρηκολούθει[9] Βρύαινα καὶ Ἱέρεια καὶ Θωμαῒς ἐπιστηρίζουσαι τῇ πίστει καὶ νουθετοῦσαι μὴ καταπλαγῆναι τὰς βασάνους μηδὲ τὴν εἰς Χριστὸν προδοῦναι εὐσέβειαν, μνησθεῖσαν Λιβύης καὶ Λεωνίδος[10] τῶν ἀδελφῶν καὶ τῆς παιδὸς Εὐτροπίας[11]. Ὧν Λιβύη[12] μὲν διὰ Χριστὸν ἐτμήθη τὴν κεφαλὴν καὶ Λεωνὶς παραδίδοται[13] πυρί. Τὸ δὲ παιδίον Εὐτροπία ἀκούσασα παρὰ τῆς μητρός· « Μὴ φύγῃς, τέκνον, » τὰς χεῖρας αὐτῆς ὀπίσω ποιήσασα τοῖς δημίοις τὸν αὐχένα ὑπέθηκε. Καὶ ἡ μὲν Βρύαινα μετὰ τὸ ἱκανῶς νουθετῆσαι αὐτὴν[14] ἐν τῷ μοναστηρίῳ ὑπέστρεψεν, ὀλολύζουσα καὶ θρηνοῦσα καὶ τὸ τοῦ τέλους ἄδηλον φοβουμένη[15] καὶ νίκην αὐτῇ κατὰ τοῦ διαβόλου τῷ Θεῷ[16] ἐξαιτοῦσα. Ἡ δὲ Θωμαῒς καὶ Ἱέρεια[17] ἀνδρικὸν[18] σχῆμα περιθέμεναι συνηκολούθουν τῇ ἁγίᾳ, μετὰ τῶν οἰκετῶν ἑαυτὰς καταμίξασαι. Ἐπεὶ δὲ ἤχθη, πρῶτον μὲν ὑπὸ[19] Λυσιμάχου τοῦ ἀνεψιοῦ τοῦ Σελήνου τό τε ὄνομα καὶ τὸ γένος καὶ τὴν θρησκείαν εἰπεῖν ἐρωτηθεῖσα καὶ ἀντὶ πάντων χριστιανὴν ἑαυτὴν ὀνομάσασα, ἐπὶ τὴν ἐξέτασιν τοῦ Σελήνου κατέστη. Ὃς αὐτὴν θωπείαις καὶ κολακείαις μεταθεῖναι ἀπὸ τῆς εἰς Χριστὸν πίστεως ἐπιχειρήσας καὶ μὴ δυνηθείς, ταθῆναι ἐκ τεσσάρων ἐκέ|λευσε (f. 245.) καὶ κάτωθεν μὲν πυρὶ ὑποκαίεσθαι, ἄνωθεν δὲ ὑπὸ στρατιωτῶν τύπτεσθαι. Ὑπὸ δὲ τῶν πληγῶν καὶ τοῦ πυρὸς ἐλαίῳ ἐρεθιζομένου καὶ ἀναφλεγομένου[20] διελύοντο καὶ κατέρρεον αἱ σάρκες αὐτῆς· εἶτα κρεμασθῆναι ταύτην καὶ σιδηροῖς ξέεσθαι πλήκτροις καὶ πυρὶ καταφλεχθῆναι προστάττει[21], καὶ μετὰ ταῦτα τὴν γλῶτταν τμηθῆναι, ἣν προύτεινεν εὐθαρσῶς, καὶ τοὺς ὀδόντας ἐκριζωθῆναι· εἶτα ξίφει τοὺς δύο ἀφαιρεθῆναι μαστοὺς καὶ κατὰ τῆς τομῆς πῦρ ἐπιχεθῆναι. Καὶ ἐπὶ τούτοις τοὺς πόδας καὶ τὰς χεῖρας ἐκκοπῆναι, καὶ ἐπὶ πᾶσι ξίφει διαιρεθῆναι τὴν κεφαλήν. Συγκοσμισθὲν δὲ τὸ τῆς ἁγίας σῶμα παρὰ τῶν χριστιανῶν, τοῦ Λυσιμάχου προστάξαντος, διὰ Φίρμου[22] τοῦ κόμητος ἀπήχθη ἐν τῇ μονῇ, στρατιωτῶν βαστασάντων αὐτὸ ἅμα τῷ Φίρμῳ· καὶ συνετέθη καθ᾽ ἕκαστον ἐν τάξει τῶν μελῶν, τῶν ὀδόντων αὐτῆς ἐν τῷ αὐτῆς[23] στήθει τεθέντων. Καὶ οὕτω μετὰ ψαλμῶν καὶ ὕμνων, συνδραμόντων ἐπισκόπων καὶ κληρικῶν ἅμα μοναχοῖς καὶ πλήθει πολλῷ τῶν

Iun. 25.

1. — [1] *om.* D. — [2] μονίοις S. — [3] Νίσιβης D. — [4] Σελίνου S. — [5] Φευρωνία D. — [6] καὶ τῆς συγκλ. καὶ Ἱερίας οὕτω καλ. D. — [7] D, *om.* S. — [8] τὴν οὖν D. — [9] παρηκολούθουν D. — [10] Λεονίδος D. — [11] Εὐτροπίης D. — [12] Λυβύη D. — [13] παρεδέδωται τῷ D. — [14] αὐτῇ S. — [15] δεδοικυῖα D. — [16] παρὰ τοῦ Θεοῦ D. — [17] Ἱερία D. — [18] ἀνδρικῷ S. — [19] ὑ S, ὑπὸ D. — [20] ἀναφλέγοντος D. — [21] *om.* D. — [22] Φύρμου S. — [23] ἑαυτῆς S, D.

Iun. 25. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 1. 2 (τῶν Σαρακηνῶν καὶ τῶν Ῥοῦν[1] ἡ ἔλευσις, καὶ λιτὴ ἐν Βλαχέρναις). — **D** : 1. 2. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 1. 2. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1 : Φεβρωνίας. Αὕτη ἦν μονάζουσα ἐν τῇ μονῇ τῆς ἁγίας Βρυαίνης ἐν πόλει λεγομένῃ Νισίβει[2], πάσας τὰς σὺν αὐτῇ ἐν τῇ ἀσκήσει νικήσασα. Κατὰ δὲ τοὺς καιροὺς Διοκλητιανοῦ, Σελήνου ἡγεμόνος τοὺς χριστιανοὺς διώκοντος, αἱ μὲν λοιπαὶ τοῦ μοναστηρίου μονάζουσαι ἐξῆλθον φυγοῦσαι· ἡ δὲ Φεβρωνία ἀσθενοῦσα κατέκειτο, παρακαθεζομένων αὐτῇ τῆς τε Βρυαίνης καὶ τῆς συγκλητικῆς Ἱερείας[3]. Ἐπεὶ δὲ παρῆσαν οἱ τοῦ Σελήνου στρατιῶται συντρίψαντες τὰς θύρας ἐσπάσαντο τὰς μαχαίρας καὶ κόπτειν ἐβούλοντο τὴν Βρυαίνην. Ἀλλὰ Πρῖμος, ὁ τοῦ Λυσιμάχου ἀνεψιός, ταύτην ἐρρύσατο· τὴν δὲ Φεβρωνίαν ἁρπάσαντες τῷ ἡγεμόνι παρέστησαν, παρακολουθούσης Βρυαίνης καὶ Θωμαΐδος καὶ ἐπιστηριζούσης τὴν ἁγίαν μνησθῆναι Λιβύης καὶ Λεονίδης καὶ Εὐτροπίης καὶ μὴ προδοῦναι τὴν πίστιν. Ἀλλὰ τούτων μὲν ὑποστρεψασῶν, ἡ ἁγία τῷ Λυσιμάχῳ παρέστη καὶ τῷ Σελήνῳ[4]· καὶ ταθεῖσα ἐκ τεσσάρων, ἐτύφθη ὑποκαιομένη πυρί· εἶτα ἐκρεμάσθη καὶ σιδήροις ἐξέσθη καὶ τὴν γλῶσσαν ἐτμήθη καὶ τοὺς ὀδόντας ἐξερριζώθη καὶ τοὺς μασθοὺς ἀφῃρέθη καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἐξεκόπη καὶ ξίφει διῃρέθη τὴν κεφαλήν· εἶτα συνεκομίσθη τεθέντος μέλους πρὸς μέλει[5] καὶ ἀπήχθη ἐν τῇ οἰκείᾳ μονῇ μετὰ ψαλμῶν καὶ ὕμνων. Αὕτη λέγεται, τῆς μνήμης αὐτῆς ἐνισταμένης, καθορᾶσθαι συμπαροῦσα καὶ συμψάλλουσα ταῖς παρθένοις καὶ τὸν ἑαυτῆς τόπον ἀναπληροῦσα μέχρι τῆς εὐχῆς· ἣν ἐπιχειρήσασάν ποτε τὴν Βρυαίνην κατασχεῖν εὐθέως ἀφανῆ γενέσθαι. Τὸν δὲ Λυσίμαχον βαρὺν ἡγησά-

[1] Ῥοῦν (?) *ita* P. — [2] Νισίβι Cg. — [3] Ἱερίας Cg. — [4] Σελίνῳ Cg. — [5] μέλος πρὸς μέλη Cg.

Iun. 25. χριστιανῶν, παννύχοις[24] ᾠδαῖς ἔτυχε τῆς ὀφειλομένης κηδείας. Τῆς οὖν μνήμης αὐτῆς ἐτησίως τελουμένης[25] ἐν τῇ μονῇ, λέγεται[26] ἡ μάρτυς κατὰ τὸ μεσονύκτιον καθορᾶσθαι συμπαροῦσα καὶ συμψάλλουσα ταῖς[27] παρθένοις καὶ τὸν ἑαυτῆς τόπον ἀναπληροῦσα μέχρι τρίτης εὐχῆς· ἣν ἐπιχειρήσασάν ποτε τὴν Βρύαιναν[28] κατασχεῖν, εὐθέως[29] ἀφανῆ γενέσθαι, τὴν ἐπιβολὴν μὴ ὑπομείνασαν τῆς χειρός. Τὸν δὲ Λυσίμαχον βαρεῖαν συμφορὰν[30] ἡγησάμενον τὸ συμβάν, διά τε τὸ ἐκ μητρὸς εἶναι χριστιανῆς καὶ διὰ τὸ ὠμῶς αὐτῇ καὶ θηριωδῶς τὸν Σέληνον χρήσασθαι καὶ διαφθεῖραι τὸ τῆς παρθένου ἐν νεότητι κάλλος, κρεῖττον ἢ κατὰ ἄνθρωπον ὄν, τότε μὲν ἀπόσιτον γενέσθαι καὶ τὸν τῆς μάρτυρος θάνατον κόψασθαι καὶ θρηνῆσαι πικρῶς· μικρὸν δὲ ὕστερον μετὰ Πρίμου προσελθεῖν τῷ Χριστῷ καὶ τὸ θεῖον δέξασθαι βάπτισμα. Τὸν δὲ Σέληνον ἔξω γενόμενον ἑαυτοῦ, ἀτενίσαι πρὸς τὸν οὐρανὸν καὶ ὥσπερ βοῦν τινα μυκησάμενον μέγα ἑνὶ τῶν κιόνων προσαράξαι τὴν κεφαλὴν καὶ οὕτως[31] κακῶς τὴν ψυχὴν ἀπορρῆξαι. Τελεῖται δὲ ἡ αὐτῆς ἁγία[32] σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῷ ὄντι ἐν τῇ Ὀξείᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τελεῖται τῆς ὑπὲρ λόγον καὶ πᾶσαν ἐλπίδα δωρηθείσης ἡμῖν[1] βοηθείας παρὰ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος | f. 245r. ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ τῶν πρεσβειῶν τῆς ἀσπόρως αὐτὸν τεκούσης παναγίας ἀχράντου ὑπερευλογημένης[1] δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, κατὰ τῶν διά τε γῆς καὶ θαλάσσης κυκλωσάντων τὴν καθ' ἡμᾶς βασιλίδα πόλιν ἀθέων[2] Σαρακηνῶν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚϚʹ.

Iun. 26. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Δαβὶδ τοῦ ἐν Θεσσαλονίκῃ. Οὗτος ὁ μακάριος ἐξ ἑῴας ἔχων τὴν γένεσιν, ὡς ἀστὴρ πολύφωτος τὴν ἑσπέραν κατηύγασεν. Ἐξ ἁπαλῶν γὰρ ὀνύχων ἐγκρατείᾳ καὶ ἁγνείᾳ τὰ πάθη τῆς σαρκὸς ὑποτάξας ὠράθη μετὰ σώματος ἄγγελος. Καλιάν τε πηξάμενος ἐν ἀμυγδαλῆς[1] φυτῷ, ὡς ὄρνις εὐκέλαδος πάντας μὲν τοὺς προσφοιτῶντας τῷ λόγῳ κατηύφρανε, αὐτὸς δὲ τὸν νοῦν αὐτοῦ εἰς ὕψος ἔνθεον ἀνεπτέρωσεν. Ὅθεν τῶν θαυμάτων ἐνέργειαν πλουτήσας, στύλος ὤφθη φωτοειδέστατος πάντας καταφωτίζων τοῖς θαύμασι· κρύει γὰρ πηγνύμενος καὶ τῷ θέρει καυσούμενος πρὸς ἀπάθειαν ἤλασε· καὶ ὡς φλέξας σαρκὸς τὰς ἡδονὰς ἐν χερσὶ τοὺς ἄνθρακας λαβών, πρὸ προσώπου τοῦ βασιλέως ἄφλεκτος ἔμεινεν. Διὸ πᾶσαν ἀνθρωπίνην <φύσιν[2]> τῷ βίῳ καὶ τοῖς θαύμασι καταπλήξας, πρὸς Κύριον, ὃν ἐκ βρέφους ἐπόθησε, μετετάξατο.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου γενομένου[1] Γοτθίας. Οὗτος ἦν ἐπὶ Κωνσταντίνου καὶ Λέοντος τοῦ Ἰσαύρου, ὁρμώμενος ἐκ τῆς τῶν Ταυροσκυθῶν χώρας, τῆς ὑπὸ τὴν ἐξουσίαν τῶν[1] Γότθων τελούσης, Λέοντος καὶ Φωτεινῆς[2] υἱὸς γεγονώς. Ἁγιασθεὶς δὲ ἐκ βρέφους ὡς Ἱερεμίας καὶ[3] Σαμουὴλ ὁ μέγας κατ' ἐπαγγελίαν γεννηθείς, εὐθὺς τῷ Θεῷ ἀνετέθη. Ἐπεὶ δὲ εἰς μέτρον καὶ τῆς πνευματικῆς καὶ[4] σωματικῆς ἔφθασεν ἡλικίας καὶ ἔδει αὐτὸν εἰς τὸν τῆς ἀρχιερωσύνης θρόνον ἀνελθεῖν, ὑπὸ τοῦ οἰκείου λαοῦ πρὸς τὸν καθολικὸν τῆς Ἰβηρίας[5]

— [24] πανύχοις S, ἐν π. D. — [25] (κηδείας - τελουμένης) *om.* D, *sed corr. supra lin.* καταθέσεως. — [26] λέγεσθαι S. — [27] τοῖς S. — [28] Βρυαίνην D. — [29] εὐθὺς D. — [30] *ex* Mc; βαρὺ συμφορώτατον S, D. — [31] οὕτω D. — [32] ἡ τῆς ἁγίας μάρτυρος Φεβρωνίας D.

2. — [1] *om.* D. — [2] Ἀγαρηνῶν ἢ *add. prius* S, *sed del.*

1. — [1] ἀμυγδάλοις S. — [2] *om.* S, *supplevi ex* D.

2. — [1] *om.* D. — [2] Φωτινῆς D. — [3] ὡς *add.* D. — [4] τῆς *add.* D. — [5] Ἰμηρίας S.

Iun. 25. μενον τὸν ἐκείνης θάνατον διὰ τὸ μητρὸς χριστιανῆς εἶναι καὶ διὰ τὸ ὠμῶς αὐτῇ χρήσασθαι τὸν Σέληνον, θρηνῆσαι[6] πικρῶς, μικρὸν δὲ ὕστερον προσελθεῖν τῷ Χριστῷ καὶ βαπτισθῆναι· τὸν δὲ Σέληνον ἔξω γενόμενον ἑαυτοῦ ἀτενίσαι πρὸς οὐρανὸν καὶ ὡς βοῦν μυκησάμενον ἑνὶ τῶν κιόνων προσράξαι τὴν κεφαλὴν καὶ τὴν ψυχὴν ἀπορρῆξαι. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Τῶν ἁγίων ὁσιομαρτύρων γυναικῶν Λεωνίδους, Λιβύης καὶ Εὐτροπίας, τῆς μὲν διὰ πυρός, τῶν δὲ διὰ ξίφους τελειωθεισῶν. — Σίμων ἐν εἰρήνῃ τ. — 2. — **Mv** : 1. — Ὀρεντίου κτλ. (Iun. 24[2]). — 2. — **Mr** : 1.

Iun. 26. SYNAXARIA SELECTA. **H** : 2. 3. 1. 4. — **P** : 2. 4 (Μάρκου καὶ Μαρκίας). — 3. 4 (Θεράποντος). — 1. 5. — **D** : 2. 1 : Δαβὶδ τοῦ ἐν Θεσσαλονίκῃ. Οὗτος ὁ ἅγιος ἐξ ἑῴας ἔχων τὴν γένεσιν εὐγενεστάτους καὶ τοὺς γεννησαμένους εἶχεν. Ἐξ ἁπαλῶν δὲ τῶν ὀνύχων τὴν ἁγνείαν[1] ποθήσας, δι' ἐγκρατείας τὰ πάθη ὑπέταξεν· ὅθεν καὶ ὡς ἄγγελος ἐπὶ γῆς μετὰ σώματος ἐβίωσεν· ὡς ὄρνις γὰρ εὐκέλαδος καλιὰν ἐν ἀμυγδαλῆς φυτῷ πηξάμενος, εἰς ὕψος θείων θεωριῶν ἀνηνέχθη. Οὗτος θαύματα πλεῖστα κατεργασάμενος καὶ δαίμονας ἐξ ἀνθρώπων ἀποδιώξας καὶ ἄνθρακας πυρὸς χερσὶ κρατήσας καὶ τῷ βασιλεῖ προσυπαντήσας καὶ πᾶσαν ἀνθρωπίνην φύσιν τῷ βίῳ καὶ τοῖς θαύμασι καταπλήξας πρὸς Κύριον ἐξεδήμησεν. — 3. 4 (om. Μακαρίου). — 5. — **Da** : 1. 2. 3. 4. — **Db** : 1. 2. 3. 4. — **K** : 1. 2. 3. 4. — **N** : 2. 1. 3 : Ῥούφου ἐπισκόπου γενομένου Θηβῶν. — 4 (Μάρκου καὶ Μαρκίας). — **Bb** : 2. — **Bc** : 2. — **C** : 2. 3. 4 (om. Μακαρίου). — 5. 1. — **Ce** : 2. 1. — **Cg** : 2. 3. 4. 5. 1. — **R** : 1. 2. 4 (Θεράποντος). — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. 3. 4 (om. Μακαρίου). — 5. 2. — **Mc** : 1. 3 : Ῥούφου. Οὗτος ὁ θεῖος Ῥοῦφος, οὗ καὶ ὁ μέγας ἀπόστολος Παῦλος πρὸς Ῥωμαίους γράφων ἐμνήσθη, ἐπίσκοπος ἐν πόλει Θηβῶν σφραγισθεὶς παρὰ τῶν κορυφαίων ἀποστόλων ἀπεστάλη κηρύσσειν καὶ πρὸς τὴν ἀληθῆ

— [6] θρηνῆ Cg.

[1] ἁγνεία D.

ἐπέμφθη, κἀκεῖθεν τὴν χειροτονίαν ἐδέξατο· ἐπεκράτει γὰρ ἐν τοῖς ῥωμαϊκοῖς μέρεσι ἡ τῶν εἰκονομάχων αἵρεσις. Μετὰ δὲ τὴν τελευτὴν Κωνσταντίνου καὶ Λέοντος, παρεγένετο πρὸς τὴν βασιλεύουσαν πόλιν· καὶ πολλὰ περὶ τῆς ὀρθοδόξου πίστεως πρὸς τὴν βασίλισσαν Εἰρήνην διελέχθη[6], καὶ[7] πάλιν εἰς τὴν ἰδίαν χώραν ὑπέστρεψε. Καὶ πολλοὺς[8] κινδύνους ὑποστὰς διὰ τὸ ἐκδοθῆναι ὑπὸ τοῦ ἰδίου λαοῦ τοῖς τῶν Χαζάρων ἄρχουσιν, ἐν Ἀμάστριδι τῇ κατὰ τὸν Πόντον φυγὰς[9] παραγενόμενος τὸν βίον μετήλλαξε καὶ πρὸς Κύριον ἐξεδήμησεν[10]. Iun. 26. Ἀπηνέχθη δὲ[11] τὸ τί|μιον αὐτοῦ f. 246. λείψανον ἐν πλοίῳ τεθὲν ἐν τῇ αὐτοῦ μονῇ[12] τῶν ἁγίων Ἀποστόλων καὶ ἐν αὐτῇ κατετέθη.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ῥούφου.

4. Καὶ τῶν ἁγίων μαρτύρων Θεράποντος, Μακαρίου[1], Μάρκου καὶ Μαρκίας.

5. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου Θεοδώρου ἐν τῷ Ῥησίῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖʹ.

Iun. 27. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σαμψὼν πρεσβυτέρου καὶ ξενοδόχου. Οὗτος ὑπῆρχε Ῥωμαῖος τῷ γένει καὶ συγγενὴς τοῦ μεγάλου ἐν βασιλεῦσι Κωνσταντίνου. Ὃς καὶ διασκορπίσας τὸν καταλειφθέντα αὐτῷ πλοῦτον ὑπὸ τῶν γονέων τοῖς πενομένοις καὶ πτωχοῖς τὴν βασιλεύουσαν κατέλαβε καὶ τοὺς εὐκτηρίους καὶ σεβασμίους οἴκους διαδραμὼν καὶ καταπολαύσας σεβασμίως, ἡσυχίας λαβόμενος, ταῖς θεοπνεύστοις γραφαῖς ἐντρύφα μόνῳ Θεῷ προσανέχων· ὅθεν κατάδηλος γενόμενος τῷ τιμιωτάτῳ πατριάρχῃ Μηνᾷ, χειροτονεῖται ὑπ' αὐτοῦ πρεσβύτερος, εἷς τῶν τοῦ κλήρου γενόμενος. Καὶ ἦν σωτήριος λιμὴν τοῖς πενομένοις καὶ ἀσθενέσι καὶ χρῄζουσι βοηθείας·

— [6] διελέγχθη S. — [7] *bis scriptum in* D. — [8] πολλὰς θλίψεις καὶ D. — [9] φυγῇ D. — [10] καὶ *add.* D. — [11] *om.* D. — [12] μονῇ αὐτοῦ D.

4. — [1] *om.* D.

Iun. 26. μετάγειν πάντας θεογνωσίαν. Τοῦτο δὴ καὶ προθυμότατα ἐκτελῶν καὶ εἴδωλα μὲν καὶ εἰδωλεῖα καταβάλλων καὶ ἀνατρέπων τῇ τοῦ Χριστοῦ δυνάμει, οἴκους δὲ θείους ἐγείρων καὶ ἁγιάζων καὶ πρεσβυτέρους ἐν αὐτοῖς καθιστῶν καὶ διακόνους, θαύματά τε καὶ σημεῖα πλεῖστα κατεργασάμενος καὶ πολλοὺς προσαγαγὼν τῷ Κυρίῳ, πρὸς αὐτὸν χαίρων μεθίσταται. — Τίμωνος. Οὗτος ὁ ἅγιος ἀπόστολος Τίμων διηκόνει καὶ αὐτὸς ἅμα τῷ πρωτομάρτυρι Στεφάνῳ καὶ ἀρχιδιακόνῳ, ὡς ἐν ταῖς Πράξεσιν ἀναγέγραπται. Ἐπεὶ δὲ καὶ ἐπίσκοπος προεβλήθη ἐν Βόστροις παρὰ τῶν ἁγίων ἀποστόλων καὶ ἐν τοῖς μέρεσι τῆς δεινῆς Ἀραβίας ἠγωνίσατο λίαν ὑπερβαλλόντως καὶ πολλοὺς πρὸς τὴν εὐσέβειαν ἐφειλκύσατο, ὑπὸ ἀπίστων ἑλλήνων ἀπηνῶν καὶ θηριογνωμόνων πρότερον τυφθεὶς οὐκ ὀλίγα, τελευταῖον διὰ πυρὸς πρὸς Κύριον ἐκδημεῖ. — Ἐπαινετοῦ. Καὶ οὗτος εἷς ἦν τῶν ἑβδομήκοντα, τὸ αὐτὸ κήρυγμα πιστευθεὶς καὶ μετὰ τῆς χάριτος καὶ δυνάμεως τοῦ λόγου καὶ τῶν θαυμάτων τὰ μεγάλα κατορθῶν καὶ διαπραττόμενος. Ἐπίσκοπος γὰρ ἐν Καρταγένῃ προχειρισθεὶς καὶ πολλὰ παθὼν παρὰ τῶν ἀπειθούντων τῷ λόγῳ καὶ πλείστους ἐκ τοῦ σκότους τῆς εἰδωλομανίας πρὸς τὸ φῶς μεταγαγὼν τῆς θεογνωσίας ἀπῆλθε πρὸς Κύριον. — **Mv** : 1. 2. — **Mr** : 1.

Iun. 27. SYNAXARIA SELECTA. **H** : Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας (Ian. 18[1]). — 1. — **P** : Κυρίλλου. — 1. — **D** : Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας. Οὗτος ὁ μέγας Κύριλλος ἐκ τῆς μεγαλοπόλεως ἔφυ Ἀλεξανδρείας ἀδελφιδοῦς ὑπάρχων Θεοφίλου... Des. : καλῶς τὴν λαχοῦσαν ἐκκλησίαν ποιμαίνων πρὸς Κύριον ἐξεδήμησεν. — 1 : Σαμψὼν τοῦ ξενοδόχου. Οὗτος Ῥωμαῖος ὢν καὶ πρὸς γένος τῷ μεγάλῳ βασιλεῖ Κωνσταντίνῳ γνωριζόμενος κτλ. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : Κυρίλλου. — Δαβίδ (Iun. 26[1]). — 1. — **Bc** : Κυρίλλου. — Δαβίδ. — 1. — **C** : Κυρίλλου. — 1. — **Ce** : Κυρίλλου. — 1. — **Cg** : Κυρίλλου. — 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Διήγησις Συνεσίου ἐπισκόπου Κυπρίνης περὶ Εὐαγρίου τινὸς φιλοσόφου. Ἐν Ἀλεξανδρείᾳ τῇ πόλει ἐπὶ τῶν ἡμερῶν Θεοφίλου ἀρχιεπισκόπου τῆς αὐτῆς πόλεως, Συνέσιός τις ἐπίσκοπος Κυπρίνης φιλόξενος καὶ φιλόθεος Εὐάγριόν τινα τοὔνομα φιλόσοφον μὲν ὄντα, ἕλληνα δὲ τὴν θρησκείαν καὶ ἐμμανῶς ἔχοντα περὶ τὴν εἰδωλολατρείαν, ἀναγνωρίσας ὡς ἐν τοῖς παιδευτηρίοις προσφιλεῖ αὐτῷ ὄντι, οὐκ ἐπαύσατο νουθετῶν, πειρώμενος μεταβαλεῖν αὐτὸν εἰς θεογνωσίαν· καὶ τέως ὀψέ ποτε ἔπεισε γενέσθαι χριστιανὸν καὶ βαπτίσας αὐτὸν πανοικὶ τὰ περὶ κρίσεως ἐδίδασκε καὶ ἀνταποδόσεως καὶ περὶ φιλοπτωχείας καὶ ἐλεημοσύνης· ἦν γὰρ ὁ Εὐάγριος ἔχων κτήματα πολλὰ καὶ χρυσίον οὐκ ὀλίγον, σκληρὸς δὲ καὶ ἀνελεήμων ἐπὶ τοσοῦτον, ὡς καὶ πλεῖστα καμὼν ὁ ἐπίσκοπος τὴν ἐν αὐτῷ μαλάξαι σκληρότητα οἱῳδήτινι τρόπῳ καὶ εἰς συμπάθειάν τινα μεταβαλεῖν οὐδ' ὅλως ἴσχυσε. Μόλις δέ ποτε τῶν τῆς διδασκαλίας λόγων τοῦ πανοσιωτάτου ἐπισκόπου ταῖς ῥανίσι κοιλανθείς φησι πρὸς αὐτόν· « Ἐγὼ » μὲν οἰκείαις χερσὶ διανεῖμαι χρυσὸν τοῖς πένησιν, ἐφ' ᾧ παρὰ τοῦ Χριστοῦ τοῦτον λήψεσθαι ἑκατονταπλάσιονα καὶ ζωὴν αἰώνιον, ὡς αὐτὸς διδάσκεις, ἀδυνάτως ἔχω· εἰ δ' αὐτὸς θαρρεῖς ἀληθῆ λέγων, » δέξαι χρυσοῦ λίτρας τριακοσίας καὶ ἐκθέμενος πρὸς μὲ ἰδιόγραφόν σου ὁμολογίαν τῆς τούτου » ἀπολήψεως διάνειμε ὡς βούλει· καὶ πάντως γνώσομαι, εἰ ἀπολήψομαι ταῦτα ὡς σὺ διδάσκεις. » Κατανεύσαντος οὖν τοῦ ἐπισκόπου πρὸς τοῦτο καὶ τοῦ χρυσίου διανεμηθέντος παρ' αὐτοῦ, λαβὼν τὸ τούτου ἰδιόγραφον ὁ Εὐάγριος εἶχεν ἐν ἀσφαλείᾳ. Διαβιοὺς δὲ μετὰ ταῦτα χρόνους τινὰς νόσῳ περιπεσὼν καὶ τὰ τελευταῖα πνέων, ἐπέσκηψε τοῖς τέκνοις αὐτοῦ μετὰ τὸ ἐνταφιασθῆναι τοῦτον βαλεῖν ἐν ταῖς χερσὶν

Iun. 27. καὶ τῆς ἰατρικῆς γὰρ ἐπιστήμης ἦν ἐν πείρᾳ. Αὐτὸς καὶ τὸν βασιλέα Ἰουστινιανὸν ἀνιάτῳ πάθει περιπεσόντα ἠλευθέρωσεν· ἐκ τούτου ὁ βασιλεὺς ὑπεραγασθεὶς τὴν ἀρετὴν τοῦ ἀνδρὸς καὶ σέβας αὐτῷ ἀπονέμων, τὸν μέγιστον οἶκον καὶ περιβόητον [1] ἀνεγείρας ξενῶνα κατεσκεύασεν καὶ σκευοφύλακα τῆς μεγάλης τοῦ Θεοῦ ἐκκλησίας τὸν ἅγιον τοῦτον κατέστησε. Ὁσίως δὲ καὶ καλῶς πολιτευσάμενος ἐκεῖ μὲν ἀνεπαύσατο· κατετέθη δὲ τὸ τίμιον αὐτοῦ λείψανον ἐν τῷ μεγίστῳ ναῷ τοῦ ἁγίου Μωκίου, καθ᾽ ἑκάστην βρύον ἰάματα εἰς δόξαν καὶ αἶνον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν αὐτῷ τῷ παρ᾽ αὐτοῦ εὐαγεῖ συσταθέντι ξενῶνι.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ′.

Iun. 28. **1.** Ἡ εὕρεσις τῶν τιμίων λειψάνων τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Κύρου καὶ Ἰωάννου. Οὗτοι οἱ μάρτυρες καὶ θαυματουργοὶ ἰατροὶ ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως. Ὧν ὁ μὲν Κῦρος ἐκ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως [1], ὁ δὲ Ἰωάννης [2] ἐξ Ἐδέσης [3] τῆς πόλεως. Οὗτοι ἑνωθέντες [4] διὰ τὸ ὁμότροπον περιερχόμενοι καὶ ἰατρεύοντες πᾶσαν | f. 246v. νόσον καὶ πᾶσαν μαλακίαν [5] καὶ πολλοὺς ἐπαλείφοντες [6] πρὸς τὸ μαρτύριον, δῆλοι [7] τῷ κατὰ τὸν τόπον ἄρχοντι γεγόνασιν· ὃς τούτους παραστησάμενος βασάνοις παντοίαις ὑπέβαλεν· εἶθ᾽ οὕτως ξίφει τὰς κεφαλὰς αὐτῶν ἔτεμε [8]. Τὰ δὲ τίμια τούτων λείψανα ὑπὸ τῶν πιστῶν τότε ἀποκρυβέντα [9] διὰ τὴν ἐπικρατοῦσαν ἀσέβειαν, ὕστερον ἐπὶ τῆς βασιλείας [10] Ἀρκαδίου, πατριαρχοῦντος ἐν Ἀλεξανδρείᾳ [11] Θεοφίλου,

1. — [1] περιβόητον |||||||||| S.

1. — [1] (ἐκ - μεγαλ.) Ἀλεξανδρεὺς D. — [2] Ἰωάννης δὲ D. — [3] Ἐδέσσης S. — [4] (τῆς - ἑν.) ἑνωθέντες δὲ D. — [5] (περιερχόμενοι - μαλακίαν) πολλὰς ἰάσεις τοῖς χρήζουσι μετεδίδουν D. — [6] ἐπήλειφον D. — [7] ἐπεὶ δὲ D. — [8] (γεγόνασιν - ἔτεμεν) γνωσθέντες ἤχθησαν βασάνοις πλείσταις ὑποβάλλονται καὶ τὰςκεφαλὰς ὕστερον ἀποτέμνονται D. — [9] κρυβέντα D. — [10] μὲν *add.* D. — [11] δὲ τῶν Ἀλεξανδρέων D.

Iun. 27. αὐτοῦ καὶ τὸ ἰδιόγραφον τοῦ ἐπισκόπου, εἶθ᾽ οὕτως τῷ λίθῳ σκεπάσαι. Τὸν χάρτην οὖν λαβόντες οἱ παῖδες ἐποίησαν ὡς προσετάγησαν. Καὶ μετὰ τρίτην ἡμέραν ἐπιφαίνεται τῷ ἐπισκόπῳ ὁ Εὐάγριος λέγων· « Ἐλθέ, κῦρι ἐπίσκοπε, εἰς τὸν τάφον μου καὶ λάβε σου τὸ ἰδιόγραφον· ἐγὼ γὰρ τὸ χρέος » ἀπολαβὼν ἀπὸ τοῦ Χριστοῦ κατὰ τὴν σὴν ὑπόσχεσιν, οὐκ ἔχω λόγον τινὰ πρὸς σέ, καὶ πρὸς » πληροφορίαν σου ἰδιοχείρως ἔγραψα τὸν παρὰ σοῦ δοθέντα μοι χάρτην. » Ἠγνόει δὲ ὁ ἐπίσκοπος, ὅτι συνετάφη αὐτῷ καὶ τὸ τούτου ἰδιόχειρον ἔγγραφον· καὶ πρωΐας προσκαλεσάμενος τοὺς παῖδας τοῦ Εὐαγρίου, ἐπυνθάνετο, εἰ συνετάφη τι τῷ πατρὶ τούτων. Οἱ δὲ μηδὲν ἕτερόν τι ἔλεγον συνταφῆναι πλὴν ὧν ἠμφίεστο. Καὶ ὁ ἐπίσκοπος· « Οὐδὲ γὰρ χάρτην τινὰ συνεθάψατε αὐτῷ; » Τότε οἱ παῖδες εἰς ἀνάμνησιν ἐλθόντες· « Ναί, δέσποτα, εἶπον, ἐν τῷ μέλλειν αὐτὸν τελευτᾶν δέδωκεν ἡμῖν χάρτην εἰπών· » Τοῦτον τὸν χάρτην μετὰ τὸ ἐνταφιασθῆναί με ταῖς χερσί μου ἐμβάλλετε, μηδενὸς γινώσκοντος. » Εὐθὺς οὖν ὁ ἐπίσκοπος ἅμα τοῖς υἱοῖς τοῦ Εὐαγρίου καὶ παντὶ τῷ κλήρῳ, συνόντων αὐτοῖς καὶ ἑτέρων πολλῶν φιλοθέων ἀνδρῶν, ἐπὶ τὸν τάφον παρεγένοντο. Καὶ τοῦτον ἀνοίξαντες εὗρον τὸν Εὐάγριον εὐσχημόνως κείμενον, ἔχοντα μηδ᾽ ὁτιοῦν ἀηδές, τὸν δὲ χάρτην ἐν ταῖς χερσὶν αὐτοῦ. Ὃν λαβὼν ὁ ἐπίσκοπος εἰς ἐπήκοον πάντων ἀνέγνωσεν ἔχοντα οὕτως· « Κἀγὼ Εὐάγριος φιλόσοφος σοὶ τῷ ὁσιω- » τάτῳ Συνεσίῳ ἐπισκόπῳ ἐν Κυρίῳ χαίρειν. Ἔλαβον τὸ χρέος κατὰ πάντα καὶ οὐκ ἔχω λόγον τινὰ » πρὸς σέ. Καὶ εὐχαριστῶ τῷ Θεῷ καὶ τῇ σῇ ἁγιότητι, ὅτι ἀπέλαβον ἑκατονταπλασίονα τὸν θησαυρὸν » καὶ ζωὴν αἰώνιον καθὼς ἐπηγγείλω μοι. » Οὕτω διαλαμβάνοντα τὸν χάρτην καὶ νεαρὰν ὡς τῆς χειρὸς τοῦ τεθνηκότος τὴν γραφὴν γνόντες καὶ μᾶλλον ἐκ τῶν παίδων ἐκείνου βεβαιωθέντες, ὅτι μόνα τοῦ ἐπισκόπου τὰ γράμματα ὁ χάρτης περιεῖχεν, ὅτε συνετάφη τῷ τούτων πατρί, καὶ ὅτι νεαρὰ τὰ γεγραμμένα ἐδείκνυντο, ἐξεθαμβήθησαν ἅπαντες ἐπὶ πολλὰς ὥρας κράζοντες τὸ « Κύριε ἐλέησον. » Διεβεβαιοῦτο δὲ ἡμῖν ὁ ταῦτα ἐξηγησάμενος, ὅτι τὸ ἔγγραφον εἰς τὸ σκευοφυλάκιον τῆς ἐπισκοπῆς κεῖται Κυπρίνης μέχρι τοῦ νῦν εἰς πληροφορίαν πολλῶν, τὸ μὲν χρέος δεικνύον ὡς παλαιόγραφον καὶ τῆς χειρὸς ὂν τοῦ ἐπισκόπου, τὴν δὲ μετὰ θάνατον τοῦ Εὐαγρίου γραφὴν νεαράν. — Ἡ ἁγία μυροφόρος Ἰωάννα ἐν εἰρήνῃ τ. — Λουκᾶς ὁ ἐρημίτης ἐν εἰρήνῃ τ. — Μάρκιος καὶ Μαρκία ξ. τ. (Iun. 26[4]). — **Mv** : 1. — Τοῦ ἁγίου μάρτυρος Ἀνέκτου. — **Mr** : 1.

Iun. 28. SYNAXARIA SELECTA. **H** : Κάρπου ἐπισκόπου καὶ Παπύλου διακόνου κτλ. (Oct. 13[1]). — 1. — **P** : Κάρπου κτλ. — 1. — Παύλου τοῦ ἰατροῦ. — **D** : Κάρπου ἐπισκόπου, Παπύλου διακόνου, Ἀγαθοδώρου καὶ Ἀγαθονίκης. Οὗτοι ὑπῆρχον κατὰ τοὺς καιροὺς Δεκίου καὶ Οὐαλεριανοῦ ἀνθυπάτου τῆς Ἀσίας... Des. : ἔνθα ἡ τοῦ ἁγίου Παπύλου ἀδελφὴ Ἀγαθονίκη εὐξαμένη συνεισῆλθεν αὐτοῖς· ἐπεὶ δὲ τὸ πῦρ, νεφῶν συνδραμόντων καὶ καταρραγέντος ὑετοῦ, κατεσβέσθη, ἄφλεκτοι μείναντες ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. — 1. — Τοῦ ὁσίου Παύλου τοῦ ἰατροῦ. — **Da** : 1. — Παύλου τοῦ ἰατροῦ. — Καὶ Ἀγαθοδώρου. — **Db** : 1. — Παύλου τοῦ ἰατροῦ. — Ἀγαθοδώρου καὶ Ἀγαθονίκης. — **K** : 1. — **N** : 1 : μνήμη τῆς καταθέσεως τῶν λειψάνων τῶν ἁγίων μαρτύρων Κύρου καὶ Ἰωάννου. Τὰ περὶ τῶν ἁγίων τούτων τρανότερον ἐν τῇ ἡμέρᾳ τῆς κοιμήσεως αὐτῶν διείληπται ἤγουν τῇ τριακοστῇ πρώτῃ τοῦ ἰαννουαρίου μηνός· νῦν δὲ περὶ τῶν τιμίων λειψάνων αὐτῶν ῥητέον, ὅτι διὰ τὴν ἐπικρατοῦσαν τῷ τότε ἀσέβειαν ἀποτμηθέντων τῶν ἁγίων, τὰ σώματα αὐτῶν ὑπὸ τῶν πιστῶν ὡς εἶχον τηνικαῦτα σπουδῆς καὶ γνώμης ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Μάρκου ἐτέθη, ὕστερον δὲ ἐπὶ τῆς βασιλείας Θεοδοσίου, πατριάρχου τῆς Ἀλεξανδρέων Θεοφίλου τυγχάνοντος καὶ τὴν ἐν Κανώβῳ κώμην, Μανουθὲ

εὑρέθησαν πάθη παντοῖα θεραπεύοντα· ὧν τὴν πανήγυριν πνευματικῶς ἑορτάζομεν σήμερον. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Σφωρακίου [12] καὶ εἰς Ἀρκαδιανάς.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου καὶ δικαίου καὶ μακαρίου Σεργίου μαγίστρου, τοῦ συστησαμένου τὴν μονὴν τῆς ὑπεραγίας Θεοτόκου τὴν οὕτως ἐπονομαζομένην τοῦ Νικητιάτου, τὴν ἐν τῷ κόλπῳ τῆς Νικομηδείας μεταξὺ τῶν δύο ἐμπορίων Καλοῦ Ἀγροῦ καὶ Δόρκωνος κειμένην. Οὗτος ἦν ἐκ τῆς Παφλαγόνων χώρας ἀπὸ χωρίου λεγομένου Νικήτια, ἔγγιστα πόλεως Ἀμάστριδος· διὸ καὶ τὴν ἐπωνυμίαν ἡ αὐτοῦ μονὴ ἔλαχεν. Ὁ δὲ τοιοῦτος ἀνὴρ ἀγαθὸς ὢν καὶ ἀγαθῶν γεννητόρων υἱὸς ἔσχε καὶ συγγενεῖς Θεοδώραν τὴν ἀοίδιμον βασίλισσαν καὶ τὸν ταύτης υἱὸν Μιχαὴλ τὸν βασιλέα· ὃς καὶ ζηλωτὴς διάπυρος τῆς ὀρθοδόξου πίστεως γέγονε καὶ πολλὰ ἠγωνίσατο εἰς τὸ τὴν ὀρθοδοξίαν γενέσθαι τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων. Τοῦ δὲ ῥωμαϊκοῦ στόλου κατελθόντος τῷ τότε χρόνῳ τῇ Κρήτῃ, αὐτὸς ἀπεστάλη παρὰ Μιχαὴλ τοῦ βασιλέως καὶ πάσης τῆς συγκλήτου, μόλις εἰς τοῦτο αὐτὸν πεισάντων, ἐξάρχειν καὶ κυριεύειν παντὸς τοῦ στρατοπέδου δι᾽ εὐφυΐαν καὶ τὸ ἱκανὸν εἶναι τῶν ῥωμαϊκῶν πραγμάτων προΐστασθαι. Ἐκεῖ δὲ αὐτοῦ ἀπελθόντος καὶ κοιμηθέντος, τότε μὲν κατετέθη τὸ ἱερὸν αὐτοῦ λείψανον ἐν τῇ κατὰ τὴν Κρήτην μονῇ, τῇ μέχρι τοῦ νῦν ἐπονομαζομένῃ τοῦ Μαγίστρου· ὕστερον δὲ ἀνεκομίσθη καὶ ἐτέθη ἐν τῇ παρ᾽ αὐτοῦ οἰκοδομηθείσῃ μονῇ κατὰ τὸν κόλπον τῆς Νικομηδείας. Iun. 28.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ′.

1. Ἄθλησις τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. Τούτοις τίνα ἐγκωμίων ὑπόθεσιν μείζονα ἄν τις ἐπινοήσειε παρὰ τὴν τοῦ Κυρίου μαρτυρίαν καὶ ἀνα|κήρυξιν (f. 247.), τὸν μὲν μακαρίσαντος καὶ πέτραν καλέσαντος, ἐφ᾽ ἧς ἱδρῦσαι τὴν ἐκκλησίαν φησί, τὸν δὲ σκεῦος ἐκλογῆς ἔσεσθαι προειπόντος, τοῦ βαστάσαι τὸ ἑαυτοῦ ὄνομα ἐνώπιον τυράννων καὶ βασιλέων. Ὑπῆρχε δὲ [1] ὁ μὲν ἅγιος Πέτρος ἀδελφὸς Ἀνδρέου τοῦ πρωτοκλήτου, ἐκ πόλεως ἀσήμου καὶ εὐτελοῦς τῆς Βηθσαϊδᾶ [2], υἱὸς Ἰωνᾶ ἐκ φυλῆς Συμεών, ἐπὶ Ὑρκανοῦ ἱερέως τῶν Ἰουδαίων [3], πενίᾳ συζῶν [4] ἐσχάτῃ καὶ ταῖς ἰδίαις χερσὶ τὸ ζῆν ποριζόμενος [5]. Αὐτοῦ δὲ [6] τελευτήσαντος, ὁ μὲν Σίμων μισθωσάμενος ἑαυτὸν ἔγημε τὴν θυγατέρα Ἀριστοβούλου, ἀδελφοῦ Βαρνάβα τοῦ ἀποστόλου, καὶ ἀπέτεκε παῖδας· ὁ δὲ Ἀνδρέας τῇ ἁγνείᾳ ἑαυτὸν ἐπέδωκε. Κατὰ δὲ τὸν καιρὸν ἐν ᾧ [7] ἐφρουρεῖτο [8] ὁ [9] Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ, ὁ Ἰησοῦς πρὸς τὴν λίμνην Γενησαρὲτ [10] ἀφικόμενος καὶ εὑρὼν Ἀνδρέαν καὶ Πέτρον καταρτίζοντας τὰ ἑαυτῶν δίκτυα, ἐκάλεσεν αὐτοὺς καὶ εὐθέως ἠκολούθησαν αὐτῷ· καὶ λοιπὸν ὁ Πέτρος κηρύξας τὸ εὐαγγέλιον πρότερον ἐν Ἰουδαίᾳ καὶ Ἀντιοχείᾳ, ἔπειτα καὶ [9] ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Καππαδοκίᾳ, Ἀσίᾳ τε καὶ Βιθυνίᾳ, κατῆλθε μέχρι Ῥώμης αὐτῆς· καὶ διὰ τὸ παρευδοκιμῆσαι αὐτὸν ἐν τοῖς θαύμασι τὸν Σίμωνα μάγον, αὐτόθι Νέρωνος ὑπάρχοντος, σταυρωθεὶς κατὰ κεφαλῆς, ὡς αὐτὸς ἐξῃτήσατο, οὕτως ἐτελειώθη. Ἦν δὲ τὴν ἰδέαν ὁ [11] τοῦ Κυρίου ἀπόστολος Πέτρος λευκός, ὕπωχρος, ἀναφάλας, οὖλος τὰς περιλειφθείσας τρίχας, ὑποφαίνων τοὺς ὀφθαλμοὺς αἱματώδεις καὶ οἰνώπους, τὴν κάραν καὶ τὸ γένειον πολιός, δασὺς τὴν ὑπήνην, τὴν ῥῖνα ἔχων μακράν, ἀνεσπακὼς τὰς ὀφρῦς, τὴν ἡλικίαν μέτριος, ἐπὶ τὸ ὀρθότερον ἠγμένος τὸ σχῆμα τοῦ σώματος, συνετός, ζήλῳ θείῳ ὀξέως κατὰ τῆς ἀδικίας κινούμενος, τοῖς μετανοοῦσι συγγνώμων καὶ εὐμετάβολος καὶ ταχὺ τὰς προτέρας ψήφους παρακινῶν ἀπτοήτως [12]. Ὁ δὲ ἅγιος [13] Παῦλος Ἑβραῖος μὲν ἦν καὶ αὐτὸς τὸ γένος, φυλῆς Βενιαμίν [14], Φαρισαῖος τὴν αἵρεσιν, μαθητευθεὶς ὑπὸ Γαμαλιὴλ καὶ εἰς ἄκρον τὸν Μωσέως πεπαιδευμένος νόμον, τὸν τῆς Κιλικίας ὀφθαλμὸν οἰκῶν τὴν Iun. 29.

— [12] Σπαρακίου S, D. *Cf. Sept.* 23[1].

1. — [1] (τούτοις - δὲ) τούτων D. — [2] Βησθαϊδᾶ S. — [3] (ἀδελφὸς - Ἰουδαίων) υἱὸς ὑπῆρχεν Ἰωνᾶ τινος ἑβραίου ἐκ φυλῆς Συμεὼν πόλεως ἀσήμου καὶ εὐτελοῦς τῆς Βιθσαϊδῶν ἀδελφὸν ἔχων Ἀνδρέαν τὸν πρωτόκλητον. D. — [4] συζόντα D. — [5] ποριζόμενοι D. — [6] τοῦ πατρὸς δὲ αὐτοῦ D. — [7] *corr.* D, ὃν S. — [8] καὶ φρουρεῖται D. — [9] *om.* D. — [10] Γεννησαρὲτ D. — [11] μέγας οὗτος *add.* D. — [12] (συνετός - ἀπτοήτως) *om.* D. — [13] μακάριος D. — [14] Βενιαμὴν D.

Iun. 28. καλουμένην, δαιμόνων οὖσαν κατοικητήριον, βουληθέντος ἐκκαθᾶραι [1] καὶ τῆς ἐξ αὐτῶν λύμης ἀπαλλάξαι, καὶ τῆς τελευτῆς κωλυσάσης, ὁ μετ᾽ αὐτὸν Κύριλλος τὸ παρ᾽ ἐκείνου μελετηθὲν εἰς ἔργον ἐξήγαγεν, ἀγγέλου κατ᾽ ὄψιν ἐπιφανέντος αὐτῷ καὶ τὰ λείψανα τῶν ἁγίων τῇ κώμῃ ταύτῃ ἐπισκήψαντος ἀποθησαυρίσαι· καὶ κατὰ τὴν ὄψιν ἐν αὐτῇ μετετέθησαν τῇ κώμῃ λαμπρῶς, τοῦ ἰουνίου τότε εἰκάδα πρὸς τῇ ὀγδόῃ ἄγοντος· καὶ νῦν εἰσιν ἐκεῖσε κατατεθειμένα εἰς ἀσφάλειαν τῶν ἐνοικούντων καὶ δόξαν Θεοῦ. — Κάρπου ἐπισκόπου, Παύλου διακόνου καὶ ἰατροῦ, Ἀγαθοδώρου καὶ Ἀγαθονίκης. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : Παύλου ἰατροῦ, Ἀγαθοδώρου καὶ Ἀγαθονίκης. — **Ra** : 1. — Ἰωσὴφ καὶ τῆς συνοδίας αὐτοῦ. — Παύλου τοῦ ἰατροῦ. — **Rb** : 1. — Ἰωσήφ. — Παύλου τοῦ ἰατροῦ. — **Rc** : 1. — Ἰωσήφ. — Παύλου. — **Mc** : 1. 2. — Μακεδόνιος τοὺς δακτύλους τῶν ποδῶν καὶ χειρῶν ἐκκοπεὶς τ. — Οὐλκιανὸς ἐν εἰρήνῃ τ. — Παῦλος ὁ ἰατρὸς ἐν εἰρήνῃ τ. — Μωσῆς ὁ ἀναχωρητὴς ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι ο′ μάρτυρες οἱ ἐν Σκυθοπόλει ξ. τ. — Μάγνος προσευχόμενος ἐξεδήμησε. — Οἱ ἅγιοι τρεῖς μάρτυρες οἱ ἐκ Γαλατίας ξ. τ. — **Mv** : 1. — Τοῦ ἁγίου μάρτυρος Παππίου. — **Mr** : 1.

Iun. 29. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. —

[1] ἐκκαθάραιτο N.

Iun. 29. Ταρσόν. Ὃς καὶ διάπυρος ἐραστὴς γενόμενος τοῦ νόμου, ἐπόρθει τὴν τοῦ Θεοῦ ἐκκλησίαν· τῇ αὐτοῦ γὰρ εὐδοκίᾳ καὶ προθέσει ἀναιρεῖται λίθοις Στέφανος ὁ πρωτομάρτυς. Ἐπιγνωσθεὶς δὲ παρὰ τοῦ f. 247v. Θεοῦ κατὰ τὴν ὁδὸν | μεσούσης ἡμέρας καὶ πηρωθεὶς τὰς ὄψεις, φωνῆς ἄνωθεν θείας αὐτῷ ἐνεχθείσης, πέμπεται πρὸς Ἀνανίαν ἀρχαῖον μαθητὴν οἰκοῦντα τὴν Δαμασκόν· ὃς κατηχήσας καὶ διδάξας αὐτὸν ἐβάπτισεν. Ἐπεὶ οὖν σκεῦος ἐκλογῆς ἐγένετο, καθάπερ ὑπόπτερός τις πᾶσαν τὴν οἰκουμένην[15] ἐπιδραμὼν ἐσαγήνευσε καὶ ἐν Ῥώμῃ καταντήσας καὶ διδάξας πολλούς, ἐκεῖσε τὸν βίον κατέλυσε, χρόνοις ὕστερον τὸν αὐχένα τμηθείς. Ἐκ δὲ τῆς πληγῆς ἀπορρεῦσαί[16] φασιν[17] αἷμα σὺν γάλακτι· εἰ δὲ καὶ ὕστερον ἐτελειώθη ὁ μακάριος Παῦλος τῷ χρόνῳ, ἀλλ' ἐν ἑνὶ τόπῳ ἐτέθη αὐτῶν τὰ λείψανα. Ἦν δὲ τὴν ἰδέαν ὁ μακάριος Παῦλος ὁ ἀπόστολος φαλακρὸς τὴν κεφαλὴν καὶ ψιλός, τρίπηχυς τῷ σώματι[18], χαροποιοὺς[19] ἔχων τοὺς ὀφθαλμούς, κάτω νεύων τὰς ὀφρῦς, λευκὸς τὴν ὄψιν, προφερής, εὖ μάλα τὸ γένειον καθεικώς, εὔκαμπῆ καὶ ἐπιπρέπουσαν ὅλῳ τῷ προσώπῳ τὴν ῥῖνα προφαίνων, ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος μέλασι καὶ λευκαῖς θριξὶν ἐγκοσμούμενος, ἀγκυλαῖος, εὔρωστος[20] ὅλον τὸ τοῦ σώματος μέγεθος, μικρὸς καὶ συνεσταλμένος, φρόνιμος, χαρίτων πλήρης, σεμνοῖς ἤθεσι καὶ λόγοις ἐπαγωγοῖς καὶ θείων θαυμάτων δυνάμει τοὺς προσιόντας χειρούμενος[21]· ἀμφότεροι δὲ οἱ κορυφαῖοι Πνεύματος ἁγίου καὶ θείας χάριτος ἔμπλεῳ[22]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις, ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, καὶ ἐν τῷ Ὀρφανοτροφείῳ καὶ ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Πέτρου[20], τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν πάσαις ταῖς κατὰ τόπον ἐκκλησίαις[23].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ΄.

Iun. 30. **1.** Ἡ σύναξις τῶν τιμίων ἀποστόλων καὶ δήλωσις, ὅπως καὶ ποῦ ἕκαστος αὐτῶν ἐκήρυξεν. Εἰ γὰρ καὶ μὴ ὁμοῦ πάντες κεκοίμηνται, ἐν ἄλλῳ δὲ καὶ ἄλλῳ καιρῷ, ἀλλ' οὖν ἑορτάζουσα ἡ ἐκκλησία δι' ὑπερβάλλουσαν τιμὴν τὴν τούτων μνήμην πάντων ὁμοῦ μνημονεύει. Ἔστι τοίνυν πρῶτος Πέτρος ὁ διάπυρος ἐραστὴς τοῦ Χριστοῦ. Ὃς[1] πρότερον μὲν ἐν Ἰουδαίᾳ, εἶτα ἐν Ἀντιοχείᾳ, ἔπειτα ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Καππαδοκίᾳ, Ἀσίᾳ τε[2] καὶ Βιθυνίᾳ κηρύξας, κατῆλθε μέχρι Ῥώμης αὐτῆς· καὶ διὰ τὸ παρευδοκιμῆσαι αὐτὸν ἐν τοῖς θαύμασιν εἰς τὸν Σίμωνα τὸν[3] μάγον, ὑπὸ Νέρωνος σταυρωθεὶς κατὰ κεφαλῆς τελειοῦται.

Δεύτερος Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς, τὸ f. 248. μέγα δοχεῖον τοῦ | παναγίου Πνεύματος. Ὃς[4] τῷ ζήλῳ καὶ τῇ εἰς Χριστὸν πίστει πάντας ὑπερβαλὼν τοὺς ἀποστόλους[5], ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ κηρύξας τὸν Χριστὸν καὶ καταλαβὼν τὴν Ῥωμαίων πόλιν, ὑπὸ Νέρωνος τὴν κεφαλὴν ἀπετμήθη.

Τρίτος Ἀνδρέας ὁ πρωτόκλητος καὶ ἀδελφὸς Πέτρου, κατὰ[6] πᾶσαν τὴν παράλιον Βιθυνίας τε καὶ Πόντου καὶ Ἀρμενίας τὸν Χριστὸν κηρύξας καὶ ὑποστρέψας διά τε Πόντου καὶ Βυζαντίδος κατῆλθε μέχρις Ἑλλάδος· καὶ ἐν Πάτραις τῆς Ἀχαΐας ὑπὸ Αἰγεάτου σταυρωθεὶς τελειοῦται.

Τέταρτος Ἰάκωβος[7], ὁ τοῦ Ζεβεδαίου. Ὃς ἐν πάσῃ τῇ Ἰουδαίᾳ τὸν Χριστὸν κηρύττων[8], ὑπὸ Ἡρῴδου τοῦ καὶ Ἀγρίππα διὰ τὸ εὐπαρρησίαστον αὐτοῦ μαχαίρᾳ ἀναιρεῖται.

Πέμπτος Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ θεολόγος[6] καὶ ἀδελφὸς Ἰακώβου, ὁ ἐπὶ τὸ στῆθος τοῦ Χριστοῦ ἀναπεσών. Ὃς[6] ἐν Ἀσίᾳ τὸν Χριστὸν κηρύξας καὶ ἐν Πάτμῳ τῇ[6] νήσῳ[6] ὑπὸ Δομετιανοῦ

— [15] τ. οἰκ. πᾶσαν D. — [16] ἀπορεῦσαι S. — [17] φησιν D. — [18] τρίπυχης τ. σ. *om.* D. — [19] χαρόπους S, χαρωποὺς D. — [20] *om.* D. — [21] (φρόνιμος - χειρούμενος) *om.* D. — [22] ἔμπλεοι D. — [23] (καὶ ἐν πάσαις - ἐκκλησίαις) *om.* D.

1. — [1] (εἰ γὰρ - ὃς) Πέτρος ὁ ἀπόστολος καὶ πρῶτος μαθητὴς D. — [2] (Ἀσίᾳ τε) *om.* D. — [3] *supra lin.* S, *om.* D. — [4] (τὸ σκεῦος - ὃς) ὁ πανεύφημος καὶ κορυφαῖος τῶν ἀποστόλων καὶ D. — [5] τοὺς ἀπ. ὑπερβαλὼν D. — [6] *om.* D. — [7] ἀπόστολος *add.* D. — [8] κηρύσσων D.

Iun. 29. **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — **Mv** : 1. — **Mr** : 1.

Iun. 30. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1 : τῶν ἁγίων ἀποστόλων Πέτρου, Παύλου, Ἀνδρέου, Σίμωνος, Θωμᾶ, Ἰακώβου, Μάρκου, Λουκᾶ, Ματθαίου, Ἰωάννου, Βαρθολομαίου καὶ Φιλίππου, ὅτι εἰς Ἀντιόχειαν πρῶτον ἐθέσπισαν καλεῖσθαι χριστιανούς, ὅτι εἰς ἕνα τάφον ἐν Ῥώμῃ κεῖνται Πέτρος καὶ Παῦλος. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1 : Τῶν ἁγίων καὶ ἐνδόξων ιβ΄ ἀποστόλων. Ὁ μακαριώτατος Δαβὶδ ὑπὸ τοῦ ἁγίου ἐνηχούμενος Πνεύματος τρανῶς τὴν ἁγίαν Τριάδα ἑνικῶς προεδογμάτισε... — Ἔστι τοίνυν πρῶτος ὁ μακάριος Πέτρος, ὁ διάπυρος Χριστοῦ ἐραστής· ὃς πρότερον μὲν ἐν Ἰουδαίᾳ, εἶτα ἐν Ἀντιοχείᾳ, ἔπειτα ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Καππαδοκίᾳ, Ἀσίᾳ τε καὶ Βιθυνίᾳ κηρύξας, κατῆλθε μεχρὶ Ῥώμης αὐτῆς· καὶ διὰ τὸ παρευδοκιμῆσαι αὐτὸν τοῖς θαύμασιν εἰς Σίμωνα τὸν μάγον ἐπαγγελλόμενον ἐλέγξαι τὸν Πέτρον μὴ θρησκεύοντα τῷ ὄντως Θεῷ, σταυροῦται κατὰ κεφαλῆς ὑπὸ Νέρωνος. Ἔλεγε γὰρ ὁ αὐτὸς Σίμων ὁ μάγος μετὰ μικρὸν ἀνέρχεσθαι εἰς τὸν οὐρανὸν καὶ παρρησίᾳ πάντων τὸν Πέτρον καταβαλεῖν. Τῆς οὖν τεταγμένης ἡμέρας καταλαβούσης καὶ τοῦ τότε κρατοῦντος Νέρωνος ἐπ' αὐτῇ τῇ θέᾳ μετὰ τῶν πολιτῶν παραγενομένου, διάδημα δάφνης τῇ ἑαυτοῦ κορυφῇ περιθεὶς ὁ Σίμων ἐπῳδαῖς τε δαιμόνων ὀχυρωθεὶς αἰθέριος τοῖς ὁρῶσιν ἐφαίνετο. Ὡς οὖν τὸ εὐεξαπάτητον συνεῖδεν ὁ Πέτρος τῆς ἀνθρωπίνης φύσεως καὶ εὐμετάβλητον· « Καιρὸς

ἐξορισθεὶς καὶ πολλὰ πλήθη προσαγαγὼν τῷ Χριστῷ, ὑποστρέψας ἐν Ἐφέσῳ ἐν εἰρήνῃ ἀνεπαύσατο πλήρης ἡμερῶν ὑπάρχων.

Ἕκτος Φίλιππος[9] ὁ[10] ἀπὸ Βηθσαϊδᾶ[11] τῆς Γαλιλαίας, συμπολίτης Ἀνδρέου καὶ Πέτρου. Ὃς ἔν τε[12] Ἀσίᾳ καὶ Ἱεραπόλει <τὸν Χριστὸν κηρύξας[13]> ὑπὸ τῶν ἑλλήνων σταυρωθεὶς τελειοῦται.

Ἕβδομος Θωμᾶς ὁ καὶ Δίδυμος. Ὃς[10] Πάρθοις καὶ Μήδοις, Πέρσαις καὶ Ἰνδοῖς τὸν Θεὸν Λόγον κηρύξας, ὑπ' αὐτῶν λόγχαις διατρηθεὶς ἀναιρεῖται.

Ὄγδοος Βαρθολομαῖος[14]. Ὃς Ἰνδοῖς τοῖς καλουμένοις εὐδαίμοσι κηρύξας τὸ[15] Χριστοῦ εὐαγγέλιον, σταυρῷ προσηλωθεὶς ἐν Ἀρβανουπόλει τελειοῦται.

Ἔνατος Ματθαῖος, ὁ καὶ Λευῒς καὶ ἀδελφὸς Ἰακώβου τοῦ Ἀλφαίου, ὁ τελώνης καὶ εὐαγγελιστής, ὁ καὶ ποιήσας δοχὴν μεγάλην τῷ Ἰησοῦ[16], ἐν Ἱεραπόλει τῆς Συρίας κηρύξας[17], ἐκοιμήθη[17] λίθοις βληθεὶς ὑπὸ τῶν διωκτῶν.

Δέκατος Ἰάκωβος Ἀλφαίου, ὁ καὶ ἀδελφὸς Ματθαίου, ἀμφότεροι <γὰρ[18]> τὸν Ἀλφαῖον ἔσχον πατέρα. Οὗτος τοῖς ἔθνεσι τὸν Χριστὸν κηρύξας, σπέρμα θεῖον ἐπωνυμίαν ἐπλούτησε· τομῶς δὲ πρὸς τὸ κήρυγμα χωρήσας καὶ τοὺς ἀπαιδεύτους δήμους διακατελέγχων, σταυρῷ ἀναρτᾶται καὶ τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται[19].

Ἑνδέκατος Σίμων ὁ Ζηλωτής, ὁ[17] ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, ὁ καὶ ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ Ναθαναὴλ ὀνομαζόμενος. Οὗτος[17] πᾶσαν τὴν Μαυριτανίαν καὶ τὴν τῶν Ἄφρων χώραν διελθών, ἔπειτα ἐν Βρεττανίᾳ ἀπελθὼν καὶ κηρύξας τὸν Χριστόν, σταυρωθεὶς ὑπ' αὐτῶν τελειοῦται.

Iun. 30. f. 248v. Δωδέκατος Ἰούδας Ἰακώβου | ὁ παρὰ[17] μὲν τοῦ[20] Λουκᾶ ἔν τε τῷ εὐαγγελίῳ καὶ ταῖς Πράξεσιν Ἰούδας ἐπονομαζόμενος, παρὰ δὲ Ματθαίου καὶ Μάρκου Θαδδαῖος καὶ Λεββαῖος καλούμενος, ἀδελφὸς κατὰ σάρκα χρηματίζων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὗτος[17] ἐν Μεσοποταμίᾳ[21] κηρύξας τὸ εὐαγγέλιον, ὕστερον ἐκοιμήθη ἐν Ἀραρὰτ[22] τῇ πόλει, ὑπὸ τῶν[17] ἀπίστων ἀναρτηθεὶς καὶ τοξευθείς.

Ματθίας ὁ ἀντὶ τοῦ προδότου Ἰούδα συγκαταριθμηθεὶς τοῖς ἀποστόλοις, ἐν τῇ Αἰθιοπίᾳ κηρύξας τὸ εὐαγγέλιον[23] καὶ πολλαῖς τιμωρίαις ὑπ' αὐτῶν αἰκισθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου καὶ υἱὸς Ἰωσὴφ τοῦ μνηστῆρος, πρῶτος ἐπίσκοπος Ἱεροσολύμων γενόμενος, ὑπὸ τῶν Ἰουδαίων ἀπὸ τοῦ[24] πτερυγίου[24] τοῦ ἱεροῦ κρημνισθεὶς καὶ ξύλῳ τῶν κναφέων τὴν κάραν κρουσθεὶς τελειοῦται.

Σίμων ὁ καὶ Συμεών, ὁ καὶ Κλεώπας[25], υἱὸς Ἰωσὴφ ἀδελφὸς δὲ Ἰακώβου καὶ[24] δεύτερος ἐπίσκοπος Ἱεροσολύμων. Οὗτος ἔζησεν ἔτη ἑκατὸν εἴκοσι, καὶ ὡς συγγενὴς τοῦ Κυρίου καὶ τῆς Ἰούδα φυλῆς κατακριθείς, ἰοβόλων θηρίων, σκορπίων καὶ ὄφεων καὶ ἑτέρων φαλαγγίων ἐκπιεσθέντων, τὸ ἐκθλιβὲν ἐκεῖθεν ὑγρὸν ὑπὸ Δομετιανοῦ βασιλέως Ῥωμαίων ἀναγκασθεὶς πιεῖν, πέπονθεν οὐδὲν βλαβερόν· ὕστερον δὲ ὑπὸ Τραϊανοῦ βασιλέως σταυρῷ παραδοθεὶς τελειοῦται.

Βαρνάβας ὁ καὶ Ἰωσῆς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ἐμφερόμενος[26], εἷς ἐστι τῶν ἑβδομήκοντα μαθητῶν. Οὗτος τὸ κατὰ Ματθαῖον εὐαγγέ-

— [9] Φήλιππος D. — [10] *om.* D. — [11] Βησθαΐδα S. — [12] (ὃς ἐν τε) καὶ αὐτὸς ἐν τῇ D. — [13] συμ Μαριὰμ τῇ ἀδελφῇ αὐτοῦ καὶ Βαρθολομαίου τ. Χ. κ. *add.* D. — [14] ὁ ἀπόστολος *add.* D. — [15] τοῦ D. — [16] ἐκοιμήθη *add.* D. — [17] *om.* D. — [18] D, *om.* S. — [19] (οὗτος - παρατίθεται) *om.* D. — [20] τῷ S. — [21] Μεσοποταμείᾳ S. — [22] Ἀράτω D. — [23] (κ. τ. εὐαγγ.) *om.* D. — [24] *om.* D. — [25] Κλεόπας D. — [26] *corr.* S, *prius* ἐκφερόμενος.

Iun. 30. » ἐπακοῆς ἐστιν, ἔφηκεν, ὅπως τῶν βλεπόντων τὸ δαιμονιῶδες τοῦτο μηχάνημα αἱ καρδίαι πρὸς σὲ » ἐπιστηριχθῶσι. » Καὶ πρὸς αὐτὸν ἀτενίσας τὸν Σίμωνα οὕτω πως ἔφησεν· « Ἐπεὶ τοῦ εἰρηκότος » ἐγὼ μαθητὴς « Ἐθεώρουν τὸν σατανᾶν ἐκ τοῦ οὐρανοῦ πεσόντα σὺν τῇ αὐτοῦ ἐξουσίᾳ », καὶ αὐτὸς ἐπὶ (Luc. 10, 18.) » πρόσωπον πάντων πεσὼν ἐπὶ τῆς γῆς καταρράγηθι. » Ὡς ἀπὸ πυρὸς δὲ τοῦ ἀποστόλου τῷ ῥήματι οἱ τοῦτον κουφίζοντες δαίμονες δραπετεύσαντες, ἐπὶ τῆς γῆς αὐτὸν καταφέρουσι καὶ τραυματίας ὅλος γενόμενος ὑπὸ τοῦ πλήθους λίθοις ἔμελλε βάλλεσθαι, εἰ μὴ Νέρων, ὁ πολλάκις ἀπατηθεὶς παρ' αὐτοῦ, τὸ σῶμα τούτου ταχέως συνέλεξεν. Ὡς δὲ τὸ πλῆθος ἅπαν πρὸς τὸν Θεὸν τοῦ Πέτρου ἐξέκλινε, τὸν Πέτρον ἀνελεῖν ὁ Νέρων ἐσκέψατο. Τοῦτο δὲ γνοὺς ὁ Πέτρος, Κλήμεντα τὸν μαθητὴν αὐτοῦ ἐπίσκοπον Ῥώμης κεχειροτόνηκε, τοῦ Λίνου πρὸς Κύριον ἐκδημήσαντος. Αὐτίκα γοῦν Ἀγρίππας τῇ Ῥώμῃ παρὼν καὶ δόλῳ τὸν τοῦ Χριστοῦ μαθητὴν κρατήσας, σταυρωθῆναι προσέταξεν ἀντιστρόφως, οὕτω τοῦ Πέτρου ἐπ' αὐτῷ γενέσθαι αἰτησαμένου. Ὃς καὶ ὑπὲρ τοῦ λαοῦ ἐν τῷ σταυρῷ προσευξάμενος τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο. Ἐφάνη δέ τινι, ὡς λέγεται, ὑπὸ δύο τινῶν ἀνδρῶν ἀποκαθηλοῦσθαι τὸ τίμιον σῶμα τοῦ ἀποστόλου ἀγνώστων παντελῶς, εἰπόντων ἐξ Ἱεροσολύμων παραγενέσθαι. Οὗτοι γοῦν ἅμα τῷ ἰλλουστρίῳ Μαρκέλλῳ τῷ καταλιπόντι Σίμωνα τὸν μάγον, προσελθόντι δὲ τῷ Χριστῷ καὶ τῷ Πέτρῳ ἀκολουθοῦντι, ἀμφότεροι ἀποκαθηλώσαντες τὸ τοῦ ἀποστόλου ἱερὸν σῶμα οἴνῳ τε σὺν γάλακτι λούσαντες καὶ διαφόροις μύροις εὐωδιάσαντες ἐν ἰδιοκτήτῳ κτήματι τοῦ Μαρκέλλου ὡς θησαυρὸν πολύτιμον ἐναπέθεντο. Νέρων δὲ ὡς τεθνάναι τὸν ἀπόστολον ἤκουσεν, ἐμυκτήρισε τὸν Ἀγρίππαν, ὡς μὴ πρότερον πολυειδῶς τοῦτον κολάσαντα. Ζητῶν δὲ καὶ τοὺς μαθητὰς αὐτοῦ, ἐφ' ᾧ τὸ λεῖπον τῆς ὀργῆς ἐν τούτοις ἀναπληρῶσαι, μαστίζοντά τινα αὐτὸν φοβερὸν καθ' ὕπνους ἐθεάσατο καὶ φοβηθεὶς κατέλιπε τὸ βούλημα· καὶ μὴ θέλων μηδὲ αὐτοὺς ἐκείνους τολμήσας διασεῖσαι τοὺς τῇ διδασκαλίᾳ τοῦ κορυφαίου στερεωθέντας, ἀδεῶς δὲ καὶ ἀκινδύνως τούτοις παραχωρῆσαι τὸν σταυρωθέντα Χριστὸν ὡς Θεὸν κηρύττειν ἀληθινόν· ὃν καὶ ἐλευθέρᾳ τῇ φωνῇ ἀνωμολόγουν τε καὶ ἐκήρυττον. — Δεύτερος Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς, ὃς τῷ διαπύρῳ ὑπὲρ Χριστοῦ ζήλῳ πάντας τοὺς ἀποστόλους ὑπερβαλών, ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ κηρύξας τὸν Χριστὸν καὶ καταλαβὼν τὴν

Iun. 30. λιον οἰκειοχείρως γράψας, ἐν τῇ τῆς Κύπρου νήσῳ τελειοῦται.

Μάρκος ὁ εὐαγγελιστής, ὁ χρηματίσας υἱὸς τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου καὶ ὑπ' αὐτοῦ τὸ εὐαγγέλιον συγγραψάμενος, Ἀλεξανδρεῦσι καὶ πάσῃ τῇ περιχώρῳ ἕως Πενταπόλεως ἐκήρυξε τὸ εὐαγγέλιον· ἐν δὲ Ἀλεξανδρείᾳ, τῇ κατ' Αἴγυπτον, συρεὶς καὶ τεφρωθεὶς ἐμαρτύρησε καὶ ἐτάφη ἐν αὐτῇ.

Λουκᾶς ὁ εὐαγγελιστὴς καὶ ἰατρός, ὁ καὶ συνέκδημος Παύλου, τὸ ἴδιον εὐαγγέλιον συγγραψάμενος, ὑπαγορεύσαντος αὐτῷ τοῦ μακαρίου Παύλου, ἔτι δὲ καὶ τὰς Πράξεις τῶν ἀποστόλων. Μετὰ δὲ τὸ αὐτὸν ἀποχωρῆσαι [27] ἀπὸ Ῥώμης, ἐγκαταλειφθέντος ἐκεῖσε τοῦ Παύλου, πᾶσαν τὴν Ἑλλάδα διδάξας, ἐν Θήβαις τῆς Βοιωτίας, ὥς φασιν, ὀγδοήκοντα γενόμενος ἐτῶν ἐν εἰρήνῃ τελειοῦται. Φασὶν δὲ αὐτὸν πρῶτον καὶ τὴν εἰκόνα Χριστοῦ τοῦ [28] Θεοῦ καὶ τῆς αὐτὸν τεκούσης καὶ τῶν κορυφαίων ἀποστόλων διὰ ζωγραφικῆς f. 249. τέχνης ζωγρα|φῆσαι κἀκεῖθεν εἰς πᾶσαν τὴν οἰκουμένην ἐξενεχθῆναι τὸ τοιοῦτον εὐσεβὲς καὶ πάντιμον ἔργον.

Φίλιππος ὁ ἐν ταῖς Πράξεσιν ἐμφερόμενος, ὁ ἐκ Καισαρείας τῆς Παλαιστίνης, καὶ γάμῳ προσομιλήσας καὶ τέσσαρας [29] ἔχων θυγατέρας προφήτιδας καὶ διάκονος κατασταθεὶς ὑπὸ τῶν ἀποστόλων καὶ τὸν Σίμωνα ὑποκριθέντα βαπτίσας, ἀλλὰ καὶ τὸν Αἰθίοπα [30] εὐνοῦχον ὁμοίως φωτίσας. Οὗτος ἐν Τράλλῃ [31] τῆς Ἀσίας κηρύξας σὺν ταῖς ἑαυτοῦ θυγατράσιν [32], ἐκεῖ τὸν βίον μετήλλαξεν.

Ἀνανίας ὁ [33] ἀπόστολος καὶ ἐπίσκοπος Δαμασκοῦ, ὃς καὶ Παῦλον ἐβάπτισε δι' ἀποκαλύψεως. Οὗτος τελῶν πολλὰς ἰάσεις ἐν Δαμασκῷ καὶ [34] Ἐλευθεροπόλει, ὑπὸ Λουκιανοῦ ἡγεμόνος τύπτεται βουνεύροις καὶ τὰς πλευρὰς ξέεται καὶ λαμπάσι πυρὸς καταφλέγεται καὶ ἐξωσθεὶς τῆς πόλεως λιθοβολεῖται.

Ἰωσὴφ ὁ καὶ Ἰοῦστος, ὁ καὶ Βαρσαβᾶς, ὁ καὶ σύμψηφος γενόμενος Ματθίου, καὶ αὐτὸς τῶν ἑβδομήκοντα μαθητῶν ὑπάρχων εἷς, ἐν εἰρήνῃ τελειοῦται [35].

Στέφανος ὁ πρωτομάρτυς, εἷς τῶν ἑπτὰ διακόνων καὶ τῶν ἑβδομήκοντα μαθητῶν, καθὼς ἐν ταῖς ἱεραῖς τῶν ἀποστόλων Πράξεσιν ἐμφέρεται, ὑπὸ Ἰουδαίων λιθοβολεῖται καὶ ἀναιρεῖται, συνευδοκοῦντος [36] καὶ Παύλου τῇ αὐτοῦ ἀναιρέσει, καὶ κατατίθεται ἐν Ἱερουσαλήμ [37]· εἶτα ἐν ταῖς ἡμέραις τοῦ μεγάλου Κωνσταντίνου ἀνακομίζεται τὸ λείψανον αὐτοῦ ἐν Κωνσταντινουπόλει καὶ ἀποτίθεται ἐν Κωνσταντιαναῖς.

Πρόχορος εἷς τῶν ἑπτὰ καὶ τῶν ἑβδομήκοντα μαθητῶν [38], γενόμενος [38] ἐπίσκοπος Νικομηδείας τῆς Βιθυνῶν ἐπαρχίας ἐν εἰρήνῃ τελειοῦται [39].

Τίμων [40] εἷς τῶν ἑπτὰ καὶ τῶν [38] ἑβδομήκοντα [41], ἐπίσκοπος Βοστρῶν τῆς Ἀραβίας, πυρὶ [42] ὑπὸ ἑλλήνων ἐκαύθη.

Παρμενᾶς εἷς τῶν ἑπτὰ καὶ <τῶν [43]> ἑβδομήκοντα ἐπ' ὄψεσιν τῶν ἀποστόλων ἐν εἰρήνῃ ἐκοιμήθη ἐπὶ [44] τῇ διακονίᾳ αὐτοῦ.

Νικόλαος ὁ προσήλυτος Ἀντιοχεύς [45], καὶ αὐτὸς εἷς [38] τῶν ἑπτὰ καὶ τῶν [38] ἑβδομήκοντα. Ὃς [46] ἑτεροδοξήσας [47] ἀπεβλήθη τῆς τῶν ἀποστόλων χορείας· ἐξ οὗ καὶ ἡ τῶν Νικολαϊτῶν αἵρεσις συνέστη [48].

— [27] ὑπαναχωρῆσαι D. — [28] τοῦ Χριστοῦ D. — [29] τέσσαρης D. — [30] Αἰθίοπον D. — [31] Τράλη D. — [32] θυγατέραις D. — [33] *om.* D. — [34] ἐν *add.* D. — [35] ἐν εἰρήνῃ τ. *om.* D. — [36] συνευδοκοῦντα D. — [37] ἐν Ἱερ. *om.* D. — [38] *om.* D. — [39] (ἐν εἰρ. τ.) γενόμενος D, *dein sequitur* Νικάνωρ κτλ. — [40] Τίμον καὶ αὐτὸς D. — [41] γέγονεν *add.* D. — [42] ὃς D. — [43] *om.* S, D. — [44] ἐτελειώθη ἐν D. — [45] ὁ πρ. Ἀ. *om.* D. — [46] *om.* D. — [47] *corr.* D, *prius* ἑτεροδοξίας. — [48] *hic des.* D.

Iun. 30. Ῥωμαίων πόλιν ὑπὸ Νέρωνος καὶ αὐτὸς τὴν κεφαλὴν ἀπετμήθη. Ὅπως δὲ καὶ ὅθεν ὁρμήσας εἰς Cf. Act. 21. Ῥώμην ἀφίκετο, ἀναγκαῖον οἶμαι ταῖς φιλοκάλοις ἀκοαῖς διηγήσασθαι. Μετὰ γὰρ τὸ τὴν Καισάρειαν τὸν Παῦλον καταλαβεῖν καὶ ξενισθῆναι ἐν τῷ τοῦ Φιλίππου οἴκῳ, ἑνὸς ὄντος τῶν ἑπτὰ διακόνων, ἡμερῶν τινων διελθουσῶν ἀφίκετο πρὸς αὐτοὺς ἀπὸ τῆς Ἰουδαίας προφήτης τοὔνομα Ἄγαβος καὶ λέγει τῷ Παύλῳ· « Σπεύδειν σε οἶδα εἰς Ἱεροσόλυμα ἀπελθεῖν· ἀλλὰ τάδε σοὶ λέγει Κύριος δι' ἐμοῦ· οἱ αἱμοχαρεῖς Ἰουδαῖοι χεῖράς σου καὶ πόδας δεσμεύσαντες ἔκδοτόν σε τοῖς ἔθνεσιν ἐπαφήσουσι. » Καὶ ὁ ἀπόστολος· « Ἐγώ, φησίν, οὐ μόνον δεσμευθῆναι ὑπὲρ Χριστοῦ ἑτοίμως ἔχω ἐν Ἱερουσαλήμ, ἀλλὰ καὶ ἀποθανεῖν. » Καὶ ἀπελθὼν ἐκεῖσε πρὸς Ἰάκωβον παρεγένετο· καὶ συνῆλθον πάντες οἱ πρεσβύτεροι καὶ ἀσπασάμενος τούτους ἐξηγεῖτο τὰ μεγαλεῖα τοῦ Θεοῦ, ἃ δι' αὐτοῦ τοῖς ἔθνεσιν ἐνεδείξατο. Μετὰ δέ τινας ἡμέρας τοῦτον κρατήσαντες ἐν τῷ ἱερῷ, ἔτυψαν ἀφειδῶς καὶ δεσμεύσαντες ἔθεντο ἐν φυλακῇ. Τῇ δὲ ἑξῆς ὁ χιλίαρχος ἐτάζων τοῦτον ἠρώτα, τίνα δοξάζει. Ὁ δὲ Παῦλος μέσον τοῦ συνεδρίου ἀπαρξάμενος πάντα τὰ καθ' ἑαυτὸν διεξῆλθε, γέννησιν, μεθηλικίωσιν, μάθησίν τε καὶ ζῆλον· τῇ ὑστεραίᾳ δὲ καὶ Θεοῦ ἀγαθοῦ ἐπιφάνειαν καὶ τὴν τῶν ὀφθαλμῶν αὐτοῦ πήρωσιν καὶ τὴν δι' οἶκτον ἀνάβλεψιν· καὶ Act. 22. ὅτι· « Ὃν ποτε, φησίν, ἀγνοῶν ἐδίωκον, τοῦτον ἐπιγνοὺς ἀληθῆ Θεὸν πᾶσιν ἀνακηρύττω. » Ταῦτα οὖν οἱ τοῦ συνεδρίου ἀκούσαντες, μεγίστην ἦραν φωνὴν πρὸς τὸν χιλίαρχον λέγοντες· « Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον. » Καὶ μαστίξαι τοῦτον τοῖς ἱμᾶσι βουληθέντων, ἀντέφησεν ὁ ἀπόστολος· « Ἔξεστιν ὑμῖν ἄνθρωπον Ῥωμαῖον ἀκατακρίτως μαστίζειν; » Ὅπερ ὁ χιλίαρχος ἀκούσας, δείσας ὅτι Ῥωμαῖός ἐστι, τοῦτον οὐκ ἐμάστιξεν, ἀλλὰ τῷ συνεδρίῳ παρέστησε, θέλων γνῶναι τὰ κατ' αὐτόν. Καὶ ὡς ὁμιλεῖν Act. 23. ἤρξατο τῷ λαῷ, ὁ ἀρχιερεὺς Ἀνανίας τοῖς παρεστῶσι, προσέταξε τύπτειν αὐτοῦ τὸ στόμα. Πρὸς ὃν ὁ Παῦλος· « Τύπτειν σὲ μέλλει ὁ Θεός, ἔφη, τοῖχε κεκονιαμένε. » Οἱ δὲ παρεστῶτες εἶπον· « Τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς; » Ὁ δὲ Παῦλος· « Οὐκ ᾔδειν, ἀδελφοί, ἔφη, ὅτι ἀρχιερεύς ἐστιν· ὁ γὰρ νόμος οὐ κακῶς ἐρεῖς ἄρχοντι τοῦ λαοῦ διακελεύεται. » Ὡς δὲ ἐπέγνω ὁ Παῦλος, ὅτι οἱ κατ' αὐτοῦ ἐπισυνηγμένοι ἐκ τῶν Φαρισαίων καὶ Σαδδουκαίων εἰσίν, ἔφησεν οὕτως· « Ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον κρίνομαι. » Καὶ ἐπὶ τούτῳ ἐσχίσθη τὸ

Τιμόθεος μαθητὴς Παύλου ἐν πάσῃ συνέκδημος Παύλῳ, εἷς ὢν τῶν ἑβδομήκοντα μαθητῶν, ἐπίσκοπος Ἐφέσου γέγονεν· ἐν αὐτῇ θανὼν ἐτάφη.

Τίτος καὶ αὐτὸς μαθητὴς γέγονε Παύλου. Ὃς Κρήτης γεγονὼς ἐπίσκοπος καὶ ἐν αὐτῇ κηρύξας ἐκοιμήθη.

f. 249v. | Νικάνωρ [49] εἷς [50] τῶν ἑπτὰ καὶ τῶν ἑβδομήκοντα [51] ἐν εἰρήνῃ ἐκοιμήθη.

Κρίσκης δὲ ἐν Γαλλίᾳ [52] ἐκήρυξε τὸ εὐαγγέλιον <καὶ [53]> ἐν αὐτῇ ἐκοιμήθη ἐν εἰρήνῃ.

Ἐπαινετός, ὃς καὶ ἐπίσκοπος Καρθαγένης [54] ἐγένετο.

Ἀνδρόνικος, ὃς καὶ ἐπίσκοπος Παννονίας [55] ἐγένετο.

Οὐρβανός, ὃς καὶ αὐτὸς ἐπίσκοπος Μακεδονίας ἐγένετο.

Στάχυς, ὃν καὶ Ἀνδρέας ὁ ἀπόστολος, τὴν Ποντικὴν διαπλέων θάλασσαν, ἐν Ἀργυροπόλει [56] τῆς Θρᾴκης ἐπίσκοπον τοῦ Βυζαντίου κατέστησεν.

Ἀπελλῆς [57], ὃς καὶ αὐτὸς ἐπίσκοπος Ἡρακλείας ἐγένετο.

Φύγελλος [58], ὃς τὰ Σίμωνος φρονήσας, ἐπίσκοπος Ἐφέσου ἐγένετο.

Ἑρμογένης, ὃς ἐν Μεγάροις καὶ αὐτὸς ἐπίσκοπος κατέστη.

Δημᾶς [59], οὗ ὁ ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ ἐπιστολῇ, ὅτι ἑτεροδοξήσαντες Φύγελλος [58] καὶ Ἑρμογένης ἀντέστησαν τῇ διδασκαλίᾳ αὐτοῦ· ὁ δὲ Δημᾶς [59] ἀγαπήσας τὸν νῦν αἰῶνα κατέλιπε τὸν λόγον καὶ ἐν Θεσσαλονίκῃ ἱερεὺς τῶν εἰδώλων ἐγένετο.

Iun. 30. Ἀπελλῆς [57], ὃς καὶ αὐτὸς ἐπίσκοπος Σμύρνης ἐγένετο πρὸ τοῦ ἁγίου Πολυκάρπου.

Ἀριστόβουλος, ὃς ἐπίσκοπος Βρεττανίας ἐγένετο.

Νάρκισσος [60], ὃς ἐπίσκοπος Ἀθηνῶν ἐγένετο.

Ἡρωδίων, ὃς ἐπίσκοπος Πατρῶν γέγονεν.

Ἄγαβος, ὃς καὶ προφητικοῦ χαρίσματος ἠξιώθη.

Ῥοῦφος, ὃς καὶ αὐτὸς ἐπίσκοπος Ἀθηνῶν γέγονε.

Ἀσύγκριτος, ὃς ἐπίσκοπος Οὐρκανίας [61] ἐγένετο.

Φλέγων, ὃς ἐπίσκοπος Μαράθων ἐγένετο.

Ἑρμῆς, ὃς ἐπίσκοπος Φιλιππουπόλεως ἐγένετο.

Πατρόβας, ὃς ἐπίσκοπος ἐν Ποτιόλοις [62] γέγονεν.

Λῖνος, ὃς μετὰ Πέτρον τὸν ἀπόστολον Ῥώμης ἐπίσκοπος ἐγένετο.

Γάϊος, ὃς ἐπίσκοπος Ἐφέσου ἐγένετο μετὰ Τιμόθεον.

Φιλόλογος, ὃς ἐπίσκοπος γέγονεν ὑπὸ Ἀνδρέου τοῦ ἀποστόλου ἐν Σινώπῃ.

Ὀλυμπᾶς.

Σωσίπατρος, ὃς ἐπίσκοπος Ἰκονίου γέγονεν.

Τέρτιος καὶ αὐτὸς δεύτερος ἐπίσκοπος Ἰκονίου.

Ἔραστος, ὃς καὶ οἰκονόμος τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας γέγονε καὶ ἐπίσκοπος μετέπειτα Πανεάδος [63].

Κούαρτος, ὃς ἐπίσκοπος Βηρυτοῦ γέγονε.

Ἀπολλῶς [64], ὃς ἐπίσκοπος Καισαρείας ἐγένετο.

Κηφᾶς, ὃς ἐπίσκοπος Κονίας ἐγένετο.

Σωσθένης, ὃς ἐπίσκοπος Κολοφωνίας [65] ἐγένετο.

— [49] Νικάνωρ D, *inter* Πρόχορος *et* Τίμων. — [50] καὶ αὐτὸς *add.* D. — [51] μαθητῶν γέγονεν *et des.* D. — [52] Dindorf, Chron. Pasch., *t. II, p. 122,* Γάλη S. — [53] *supplevi, om.* S. — [54] Καρτα(ρ)γένης S. — [55] Πανονίας S, *al.* Σπανίας, Dindorf, *p. 124.* — [56] Ἀργυρουπόλει S. — [57] Ἀπελὴς S. — [58] Φύγελος S. — [59] Διμᾶς S. — [60] Νάρκισος S. — [61] *al.* Οὐρβανίας, Ὑρκανίας Dindorf, *p. 124.* — [62] Dindorf, *p. 126,* Ποντιολία S. — [63] Πανίαδος S. — [64] Ἀπολλὸς S. — [65] Κολοφονίας S.

Iun. 30. πλῆθος. Ὁ γοῦν χιλίαρχος τοῦτον ἐκ τοῦ συνεδρίου ἁρπάσας ἵνα μὴ πρὸς ἀλλήλους δι' αὐτὸν μάχωνται, ἔθετο ἐν τῇ φυλακῇ. Ἔνθα ἐπιφανεὶς αὐτῷ ὁ Κύριος· « Θάρσει, Παῦλε, φησίν, ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ ἐν Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ ἐν τῇ Ῥώμῃ κηρύξαι. » Ἡμέρας δὲ γενομένης, ἐπεὶ βουλὴν συνεσκευάσαντο οἱ Ἰουδαῖοι, — οὐ μὴν ἀλλὰ καὶ ἀνάθεμα ἑαυτοῖς ἔθεντο μήτε φαγεῖν μήτε πιεῖν εἰ μὴ ἀποκτείνωσι τὸν Παῦλον, τοῦτο δὲ διὰ τοῦ παιδὸς τῆς ἀδελφῆς Παύλου δῆλον κατέστη τῷ χιλιάρχῳ, — ἐκέλευσε διὰ τῆς νυκτὸς ὁ χιλίαρχος ἀπελθεῖν αὐτὸν ἐν Καισαρείᾳ συνεργείᾳ διακοσίων στρατιωτῶν πρὸς Φήλικα [1] τὸν ἡγεμόνα, δι' ἐπιστολῆς δηλώσας τὰ κατ' αὐτοῦ. Οἱ δὲ Ἰουδαῖοι μὴ μελλήσαντες, κἀκεῖσε εἰς Καισάρειαν παρεγένοντο. Οὓς ἰδὼν ὁ Φῆλιξ θυμοῦ πνέοντας, τούτους μὲν ἀπεπέμψατο· τὸν δὲ Παῦλον καθεῖρξε δέσμιον ἐπὶ διετῆ χρόνον, ἕως τῆς αὐτοῦ διαδοχῆς. Ὁ δὲ ἀντ' αὐτοῦ προβληθεὶς — Φῆστος δὲ οὗτος ἦν — ἠνωχλεῖτο ὑπὸ τῶν Ἰουδαίων, ἵνα Παῦλον ἀνέλῃ. Πρὸς ὃν ὁ Παῦλος ἐφθέγξατο· « Εἰ μὲν ἄξιόν τι θανάτου πέπραχα, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ Cf. Act. 25. ἀθῷός εἰμι, οὐδείς με δύναται εἰς θάνατον δοῦναι· Καίσαρα ἐπικέκλημαι. » Καὶ ὁ ἡγεμών· « Εἰ Καίσαρα ἐπικαλῇ, ἐπὶ Καίσαρα πορεύσῃ. » Ἡμερῶν δὲ διαγενομένων, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν. Ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖσε, παρέστησεν αὐτοῖς τὸν Παῦλον. Τῶν δὲ τοῦτον ἐπανακρινάντων, πολλά τε τοῦ Παύλου ἀπολογησαμένου, ὁ βασιλεύς· « Οὐκ Act. 26. ἄξιόν τι θανάτου πέπραχεν ὁ ἄνθρωπος, ἀπεφήνατο, καὶ εἰ μὴ Καίσαρα ἐπεκαλεῖτο, ἠδύνατο ἂν ἀπολυθῆναι. » Τότε Ἰούλιός τις ἑκατόνταρχος παραλαβὼν αὐτὸν καί τινας συνδεσμώτας ἤγαγεν ἐπὶ Ῥώμην. Τὰ δὲ κατὰ τὴν ὁδὸν τῷ Παύλῳ συμβάντα αἱ Πράξεις τῶν ἀποστόλων ἱστοροῦσι σαφέστατα. Act. 27, 28. Φθάσαντος οὖν τοῦ Παύλου ἐν Ῥώμῃ, τινὲς τῶν ἀδελφῶν εὑρόντες αὐτὸν παρεκλήθησαν καὶ ἐχάρησαν οὐ μετρίως· ὡς δὲ καὶ τῷ Καίσαρι παρέστη καὶ οὐδὲν ἄξιον θανάτου πεπραχέναι ἐγνώσθη, ὡρίσθη ὡς ἀθῷον τοῦτον ἀπολυθῆναι. Ἔκτοτε οὖν ἐν ἰδιάζοντι τόπῳ γενόμενος εὐηγγελίζετο τοῖς προσιοῦσι τὸν κύριον Ἰησοῦν Χριστόν. Μετὰ δὲ χρόνον τινά, ἀποκαλύψεως αὐτῷ ἄνωθεν γενομένης, καταλιπὼν τὴν Ῥώμην τὴν Ἱσπανίαν κατέλαβε· καὶ πολλοὺς ἐκεῖσε βαπτίσας καὶ τοὺς νοσοῦντας ἰασάμενος ἱερεῖς τε

[1] Φίληκα Mc.

Iun. 30. Τυχικὸς καὶ αὐτὸς <ἐπίσκοπος Κολοφωνίας ἐγένετο [66]>.

Ἐπαφροδίτης, ὃς ἐπίσκοπος Ἀδριάκης ἐγένετο.

Καῖσαρ, ὃς ἐπίσκοπος Δυρραχίου ἐγένετο.

Μάρκος [67], ὁ ἀδελφὸς Βαρνάβα, ἐπίσκοπος Ἀπολλωνιάδος [68] ἐγένετο.

f. 250. Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, | ὃς καὶ ἐπίσκοπος γέγονεν Ἐλευθεροπόλεως [69].

Ἀρτεμᾶς, ὃς ἐπίσκοπος Λύστρας ἐγένετο.

Κλήμης, οὗ ὁ ἀπόστολος μέμνηται· « Μετὰ

Phil. 4, 3. » Κλήμεντος καὶ τῶν λοιπῶν » ὃς καὶ πρῶτος ἐξ ἑλλήνων ἐπίστευσε τῷ Χριστῷ καὶ μετέπειτα [70] ἐπίσκοπος Σαρδικῆς ἐγένετο.

Ὀνησιφόρος, ὃς ἐπίσκοπος Κορωνείας [71] ἐγένετο.

Τυχικός, ὃς καὶ αὐτὸς πρῶτος <ἐπίσκοπος> Χαλκηδόνος [72] τῆς ἐν Βιθυνίᾳ γέγονε.

Κάρπος, ὃς Βεροίας [73] τῆς Θρᾴκης ἐπίσκοπος γέγονε.

Εὔοδος, ὃς μετὰ Πέτρον τὸν ἀπόστολον ἐπίσκοπος γέγονεν Ἀντιοχείας.

Ἀρίσταρχος, ὃς ἐπίσκοπος Ἀπαμείας γέγονεν.

Μάρκος ὁ καὶ Ἰωάννης καλούμενος, οὗ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι μέμνηται, ὃς ἐπίσκοπος Βύβλου [74] γέγονεν.

Ζηνᾶς [75] ὁ νομικός, καὶ αὐτὸς ἐπίσκοπος Βύβλου [74].

Φιλήμων, ὃς ἐπίσκοπος Γάζης ἐγένετο.

Ἀρίσταρχος, Πούδης καὶ Τρόφιμος. Οὗτοι οἱ τρεῖς ἐν τοῖς διωγμοῖς τοῦ ἀποστόλου κακοπαθήσαντες, τέλος ἐν Ῥώμῃ σὺν τῷ ἀποστόλῳ ὑπὸ Νέρωνος τὰς κεφαλὰς ἀπετμήθησαν.

Λουκᾶς ἐπίσκοπος Ταρσοῦ ἐγένετο.

Ἰωάννης ἐπίσκοπος Λαοδικείας [76] τῆς Συρίας ἐγένετο.

Ὁ εὐνοῦχος Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων ἐν Ἀραβίᾳ τῇ εὐδαίμονι καὶ ἐν Ταπροβάνῃ [77] νήσῳ, τῇ ἐν τῇ Ἐρυθρᾷ [78], ἐκήρυξε τὸ εὐαγγέλιον· λόγος δὲ περιέχεται καὶ μεμαρτυρηκέναι αὐτὸν ἐκεῖ.

Σίλας.

Σιλουανὸς Θεσσαλῶν [79] ἐπίσκοπος γέγονε.

Ῥοδίων, ὃς ἐν Ῥώμῃ ἅμα Πέτρῳ τῷ ἀποστόλῳ ὑπὸ Νέρωνος τὴν κεφαλὴν ἀπετμήθη.

Ἰούδας δὲ ὁ προδότης, ὥς φησιν Παπίας ὁ Ἰωάννου μαθητὴς τοῦ εὐαγγελιστοῦ ἐν τῷ τετάρτῳ τῆς ἐξηγήσεως τῶν κυριακῶν λογίων [80], μέγα ἀσεβείας ὑπόδειγμα ἐν τούτῳ τῷ κόσμῳ περιεπάτησε, ὥστε μηδὲ ὁπόθεν ἅμαξα ῥᾳδίως διέρχεται ἐκεῖνος δύνασθαι διελθεῖν· ἀλλὰ μηδὲ αὐτὸν τὸν τῆς κεφαλῆς ὄγκον αὐτοῦ· τὰ μὲν γὰρ βλέφαρα τῶν ὀφθαλμῶν αὐτοῦ τοσοῦτον ἐξοιδῆσαι, ὥστε αὐτὸν καθόλου τὸ φῶς μὴ βλέπειν, τοὺς δὲ ὀφθαλμοὺς αὐτοῦ μηδὲ ὑπὸ ἰατροῦ διόπτρας ὀφθῆναι δύνασθαι· τοσοῦτον βάθος εἶχον ἀπὸ τῆς ἔξωθεν ἐπιφανείας. Τὸ δὲ αἰδοῖον αὐτοῦ πάσης μὲν ἀσχημοσύνης ἀηδέστερον καὶ μεῖζον φαίνεσθαι, φέρεσθαι δὲ δι' αὐτοῦ ἐξ ἅπαντος τοῦ σώματος ῥέοντας ἰχῶράς τε καὶ σκώληκας εἰς ὕβριν δι' αὐτῶν μόνων τῶν ἀναγκαίων. Μετὰ πολλὰς δὲ βασάνους καὶ τιμωρίας ἐν ἰδίῳ φησὶν χωρίῳ τελευτῆσαι καὶ τοῖς ἀπὸ τοῦδε ἔρημον καὶ ἀοίκητον ἐκεῖνο | f. 250v. τὸ χωρίον μέχρι τῆς νῦν γενέσθαι, ὥστε μὴ

— [66] Dindorf, *p. 126*, *om.* S. — [67] *al.* Μαρῖνος Dindorf, *p. 128*. — [68] Ἀπωλονιάδος S. — [69] Ἐλευθερουπόλεως S. — [70] μετάπειτα S. — [71] Κωρώνης S, Κορωνίας Dindorf, *p. 128*. — [72] πρῶτος Χαλκιδῶνος S. — [73] Βερροίας S. — [74] Βίβλου S. — [75] Μοζηνᾶς S. — [76] Λαοδικίας S. — [77] τῇ Προβανῇ S. — [78] ῥυθρᾷ S. — [79] Θεσαλῶν S. — [80] λόγων S.

Iun. 30. χρίσας καὶ τῇ πίστει πάντας ἐπιστηρίξας, εἰς Ῥώμην πάλιν ἀνέδραμεν. Ἔξω δὲ τῆς πόλεως τὸν τῆς διδασκαλίας λόγον ποιούμενος τὸ πλῆθος ἐπεισρεῖν αὐτῷ παρεσκεύασε. Καί τις οἰνοχόος τοῦ Καίσαρος ἀφ' ὑψηλοῦ προκύπτων καὶ τῇ διδασκαλίᾳ προσέχων κατακρημνισθεὶς εἰς τὴν γῆν ἀπέψυξεν. Ὡς δὲ εἰς ἀκοὰς Παύλου τὸ συμβὰν ἦλθε, πρὸς ἑαυτὸν ἀχθῆναι τὸν τεθνηκότα ἐκέλευσεν. Οὗ προσαχθέντος, τὰς χεῖρας αὐτῷ ἐπιθεὶς τῇ τοῦ Χριστοῦ ἐπικλήσει ζῶντα καὶ ὑγιῆ τοῖς πενθοῦσιν ἀπέδωκεν. Ὁ δὲ πιστεύσας τῷ Χριστῷ καὶ τὸ ἅγιον δεξάμενος βάπτισμα, ἀπέστη τοῦ Καίσαρος καὶ τῶν αὐτοῦ σεβασμάτων. Ἐπεὶ δὲ καὶ τῷ Καίσαρι ἐγνώσθη τὸ παρὰ τοῦ Παύλου γενόμενον τῷ οἰνοχόῳ αὐτοῦ, ἐκέλευσε παραστῆσαι τοῦτον τῷ αὐτοῦ βήματι· καὶ τούτου γενομένου, ὁ Καῖσαρ εἰ τὸν Χριστὸν ἐξόμνυται

Cf. Rom. 8, 39. ἐπυνθάνετο. Ὁ δέ· « Οὐδέν ἐστι τῶν ὄντων, φησίν, ὃ χωρίσαι μέ ποτε δύναται τῆς ἀγάπης τοῦ » Χριστοῦ. » Ταῦτα ἀκούσας ὁ Καῖσαρ, ἀπορίᾳ ληφθεὶς πάντας τοὺς διὰ Χριστὸν κατακλείστους ἐκέλευσε πυρὶ παραδοθῆναι, τὸν δὲ Παῦλον ἀποτμηθῆναι. Τοῦτον οὖν λαβόντες οἱ ὑπηρέται ἔξω τῆς πόλεως τὸ διατεταγμένον πληρῶσαι ἠπείγοντο. Καί τις γυνὴ ἐξ ἐπηρείας τοῦ δαίμονος τοῦ δεξιοῦ ὀφθαλμοῦ στερηθεῖσα, τοὔνομα Περπετοῦα, ἀπαγόμενον τὸν Παῦλον πρὸς τὸ τελειωθῆναι ἰδοῦσα, παθοῦσα τὴν καρδίαν ἐδάκρυσε· πρὸς ἣν ὁ Παῦλος ἀτενίσας· « Ὦ γύναι, ἔφη, τὸ σόν μοι πάρασχε » σουδάριον, ἕως ἂν ὑποστρέψας τοῦτο πάλιν παράσχω σοι. » Ἡ δὲ προθύμως τὸ ἐπιταχθὲν ἐπλήρωσεν· ὅπερ ὡς εἶδον οἱ ὑπηρέται, ἐπεγγελῶντες ἔλεγον τῇ γυναικί· « Μεῖνον, γραῦς, τὸν μὴ ὑποστρέφοντα. » Ἐπεὶ δὲ τὸν τῆς τελειώσεως τόπον κατέλαβε, σχηματίσαντες τὸν ἀπόστολον τῷ σουδαρίῳ τῆς γραός, τοὺς ὀφθαλμοὺς τούτου περικαλύπτουσι· καὶ τῆς τιμίας κάρας τῷ ξίφει ἀποτμηθείσης, γάλα ἀντὶ αἵματος εἰς τοὺς χιτῶνας τούτου κατέρρευσεν. Ἀοράτως δὲ καὶ τῇ γραΐδι τὸ σουδάριον ἀπεδόθη καὶ ἡ τοῦ ὀφθαλμοῦ σὺν αὐτῷ ἐπεδωρήθη ἀνάβλεψις. Ὑποστρέφοντες δὲ οἱ δήμιοι μετὰ τὴν τοῦ ἀποστόλου τελείωσιν, εὗρον τὴν γυναῖκα ἡμαγμένον κατέχουσαν τὸ σουδάριον καὶ τοῦτο θερμῶς κατασπαζομένην, τόν τε ἀνακαλυφθέντα ὀφθαλμὸν ἐπιδεικνύουσαν καί· « Ζῇ Κύριος, λέγουσαν, οὐκ ἔστι » Θεὸς ἕτερος ἢ ὁ ὑπὸ τοῦ Παύλου κηρυττόμενος. » Καὶ αὐτοὶ θαυμάσαντες τὸ γενόμενον, ἐπίστευσαν τῷ Χριστῷ· καὶ σὺν αὐτῇ πρὸς Νέρωνα παρεγένοντο τὰ μεγαλεῖα τοῦ Θεοῦ μεγαλοφώνως κηρύττοντες. Ἡττηθεὶς δὲ τῷ θυμῷ ὁ Νέρων, ἰδίαν ἑκάστῳ τούτων τὴν τιμωρίαν ἀπεφήνατο. Καὶ τοῦ μὲν πρώτου

δύνασθαί τινα μέχρι τῆς σήμερον ἐκεῖνον τὸν τόπον παρελθεῖν, ἐὰν μὴ τὰς ῥῖνας ταῖς χερσὶν ἐπιφράξοι· τοσαύτη διὰ τῆς σαρκὸς αὐτοῦ καὶ ἐπὶ γῆς κρίσις ἐχώρησε. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

Εἰσὶ δὲ καὶ γυναῖκες αἱ διακονοῦσαι [81] τῷ σωτῆρι Χριστῷ καὶ τοῖς ἀποστόλοις. Αὗται, αἳ καὶ μυροφόροι [82] προσαγορεύονται Μαρία ἡ Μαγδαλήνη [83] καὶ Σαλώμη γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρωδοῦ τοῦ Φιλίππου, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, Iun. 30. Μαρία Ἰακώβου τοῦ μικροῦ, μήτηρ Ἰούδα, γυνὴ ἀδελφοῦ τοῦ Κυρίου καὶ Ἰωσῆ μήτηρ, ἡ ἀναθρέψασα τὸν ἀδελφὸν τοῦ Κυρίου Ἰωσῆ υἱὸν Ἰωσὴφ καὶ Ἰωάννα. Ταύτην φασίν τινες γυναῖκα Πέτρου ὑπάρχειν· καὶ ἡ ἀδελφὴ τῆς μητρὸς τοῦ Κυρίου· Μαρία ἡ τοῦ Κλωπᾶ γυνὴ ἀδελφοῦ Ἰωσὴφ καὶ θυγάτηρ Ἰωσήφ. Αὗται αἱ ἀοίδιμαι μυροφόροι [82] ἑπτάκις τῆς νυκτὸς ἐκείνης ἦλθον εἰς τὸ σωτήριον μνῆμα καὶ τὸ πότε ἀνέστη ὁ Κύριος οὐκ ἔγνωσαν.

— [81] διηκονοῦσαι S. — [82] μυροφόραι S. — [83] Μαγδαλίνη S.

Iun. 30. τὴν κάραν ἐκέλευσεν ἀποτμηθῆναι, τὸν δὲ μετ' αὐτὸν δεύτερον διχάσαι ξίφει, καὶ τὸν τρίτον λίθοις ἀποκτανθῆναι· τὸ δὲ γραΐδιον τῇ φυλακῇ κατεδίκασεν. Ἣ καὶ προσελθοῦσα ἡ τοῦ Νέρωνος γαμετὴ μετὰ τῶν ἐντιμοτέρων τῆς πόλεως γυναικῶν, τήν τε ἀληθῆ πίστιν ὑπ' αὐτῆς ἀνεδιδάχθησαν καὶ τῷ ἁγίῳ βαπτίσματι ἐτελειώθησαν. Ἀλλ' οὐκ ἔλαθε τὸν Νέρωνα ταῦτα· καὶ τὴν μὲν Περπετοῦαν οὐκ ὀλίγα καταικισάμενος, ὕστατον μυλικὸν λίθον τῷ τραχήλῳ ταύτης προσδήσας τῷ βυθῷ κατηκόντισε· ταῖς δὲ λοιπαῖς γυναιξὶ τὸν διὰ ξίφους θάνατον ἐπήγαγεν. Αὐτὸς δὲ ὑπ' αὐτοῦ δὴ τοῦ ἰδίου λαοῦ μισηθείς, φυγῇ ἐχρήσατο, ἐν ταῖς ὕλαις τοῦ δάσους θανεῖν ἑλόμενος μᾶλλον ἢ ζῆν· πολλῷ δὲ δίψει καὶ λιμῷ ἐκεῖσε πιεσθεὶς χαλεπῶς κατέστρεψε τὴν ζωὴν ἐπ' αὐτοῦ τοῦ ἕλους κατάβρωμα τοῖς θηρίοις γεγονὼς ὁ παρανομώτατος. — Τρίτος Ἀνδρέας... Nomina diaconorum septem excipit clausula de Iuda, quae des.: τοιαῦτα κἂν τῷ παρόντι βίῳ τὸν Χριστοῦ προδότην διεδέξαντο κολαστήρια. — Ὁ ἅγιος ἱερομάρτυς Διομήδης ὁ ἐκ Ταρσοῦ ξ. τ. — Ἀσκληπιάδης ἐν θαλάσσῃ βληθεὶς τ. — **Mv** : 1. — **Mr** : 1.

ΜΗΝ ΙΟΥΛΙΟΣ

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιδ' καὶ ἡ νὺξ ὥρας ι'.

ΕΙΣ ΤΗΝ Α'.

Iul. 1. **1.** Ἄθλησις τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐν τῇ Ῥώμῃ τελειωθέντων. Οὗτοι ὑπῆρχον ἐπὶ Καρίνου τοῦ βασιλέως, ἰατροὶ τὴν τέχνην ὑπάρχοντες, ἀνθρώποις καὶ κτήνεσι παρέχοντες τὰς ἰάσεις καὶ μισθὸν τῆς ἰατρείας αἰτοῦντες τὴν εἰς Χριστὸν τῶν θεραπευομένων ὁμολογίαν καὶ πίστιν, καὶ μηδὲν ἕτερον κομιζόμενοι. Διαβληθέντες οὖν τῷ βασιλεῖ ὡς μαγικῇ τέχνῃ τὰς θαυματουργίας ποιοῦσιν, ἑτέρων δι' αὐτοὺς[1] ἀγομένων, παρέδωκαν ἑαυτούς, καὶ τὸν Χριστὸν κηρύξαντες μάλιστα[2] καὶ τὸν βασιλέα Καρῖνον τῆς δυσσεβείας ἀπήλλαξαν, ἰάσεως τῆς παρὰ τῶν ἁγίων τυχόντα. Ἐν γὰρ τῷ ἐρωτᾶν αὐτοὺς καὶ τὰ δεινότατα ἀπειλεῖν ἡ τοῦ προσώπου αὐτοῦ θέσις ἐκτραχηλισθεῖσα ἐπὶ τὸν νῶτον αὐτοῦ διεστράφη· καὶ ἐπὶ τούτῳ οἱ παρεστῶτες ἐπίστευσαν τῷ Χριστῷ· καὶ αὐτὸς ὁ βασιλεὺς μετὰ πάντων τῶν οἰκείων αὐτοῦ τὸν Χριστὸν[3] ὡμολόγησε καὶ τοὺς ἁγίους ἐντίμως ἐν[4] τοῖς ἰδίοις ἐξέπεμψεν. Ὕστερον δὲ ὁ ἐπιστατῶν αὐτῶν καὶ τῆς κατ' αὐτοὺς τέχνης φθονήσας αὐτοὺς[5] ἐπί τι ὄρος αὐτοὺς ἀνήγαγεν ὡς πρὸς συλλογὴν δῆθεν ἰατρικῶν βοτανῶν, καὶ ἐπιθέμενος λίθοις ἀνεῖλεν αὐτούς. f. 251. Τελεῖται δὲ | ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν οἴκῳ τῷ ὄντι εἰς τὰ Παυλίνου[6].

Δεῖ[7] εἰδέναι ὅτι τρεῖς συζυγίαι εἰσὶ Κοσμᾶς καὶ Δαμιανὸς προσαγορευόμενοι, οἱ ἐκ τῆς Ἀραβίας[8] τὰς κεφαλὰς ἀποτμηθέντες ἐπὶ Διοκλητιανοῦ, καὶ οὗτοι[4] οἱ ἐν τῇ Ῥώμῃ λίθοις φονευθέντες ἐπὶ Καρίνου τοῦ βασιλέως, καὶ οἱ τῆς Θεοδότης υἱοὶ ὁσίως κοιμηθέντες.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου πατρικίου γενομένου, τοῦ ἐν τοῖς Εὐάνδρου. Οὗτος ἦν ἐν τοῖς χρόνοις Εἰρήνης τῆς εὐσεβεστάτης Αὐγούστης καὶ Κωνσταντίνου τοῦ ταύτης υἱοῦ, γεννητόρων τυχὼν μεγάλων καὶ ἐνδόξων. Πατρίκιος γὰρ ἦν ὁ τοῦδε πατὴρ καὶ στρατηγός, Κωνσταντῖνος καλούμενος. Οὗτος οὖν ὁ μακάριος Πέτρος ἐξ ἁπαλῶν ὀνύχων τῇ τῶν γραμμάτων προσφοιτήσας σχολῇ καὶ τὰ κάλλιστα γραμματικῆς καὶ φιλοσοφίας συλλεξάμενος παρ' ἑαυτῷ τέθεικεν· εἶτα γυναικὶ ζευχθεὶς τιμᾶται πατρίκιος καὶ δομέστικος τῶν σχολῶν, τοῦ πατρὸς αὐτοῦ τὸν βίον ἀπολιπόντος. Νικηφόρος δὲ τῆς βασιλείας δραξάμενος, δομέστικον αὐτὸν τῶν ἱκανάτων προεστήσατο, ὅθεν καὶ ἐν Βουλγαρίᾳ τοῦτον ἠγάγετο. Τοῦ δὲ πολέμου συρραγέντος, τὰ μὲν πρῶτα ἀνὰ κράτος οἱ Ῥωμαῖοι τοὺς Βουλγάρους νικῶσι, τὰ δὲ μετὰ ταῦτα καλὸν παραδραμεῖν· τοῦ γὰρ μακαρίου μετὰ τῶν πεντήκοντα ἀρχόντων κρατηθέντος καὶ καθειρχθέντος πρὸς τὸ τιμωρηθῆναι, νύκτωρ ἐπιφανεὶς αὐτοῖς ὁ ἅγιος Ἰωάννης, ὁ ἐπὶ τὸ στῆθος τοῦ Χριστοῦ ἀναπεσών, ἐλυτρώσατο τῶν δεσμῶν μέχρι τῆς Ῥωμαίων ἐξαγαγὼν γῆς. Ὁ δὲ μακάριος οὗτος τὰ πάντα σκύβαλα ἡγησάμενος πρὸς τὸ ὄρος ἀνέδραμε τοῦ Ὀλύμπου· καὶ τὸν ἀγγελικὸν βίον ὑποδύς, ἅμα τῷ μεγάλῳ Ἰωαννικίῳ πᾶσαν ἀρετὴν ἐξήσκησεν. Πληρώσας δὲ ἐκεῖσε χρόνους τριάκοντα τέσσαρας, κατέλαβε τὴν βασιλεύουσαν· εἶτα ἐν τῷ παρ' αὐτοῦ δομηθέντι ναῷ τῷ Εὐάνδρου γενόμενος, ἐπεὶ καὶ ἡ γυνὴ αὐτοῦ τὸν βίον ἀπέλιπε καὶ ὁ υἱός, αὐτὸς πόρρωθεν καλύβην πηξάμενος ἐν αὐτῇ διήρκεσε χρόνους ὀκτώ, τρύχινα φορῶν καὶ σκέπων τὸ σῶμα, τοὺς πόδας δὲ παρ' ὅλον τὸν τῆς ἀσκήσεως χρόνον μὴ ὑποδησάμενος, νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ τῇ λοιπῇ ἐγκρατείᾳ ἑαυτὸν ἐκτήκων. Οὕτως οὖν καλῶς καὶ θεαρέστως πολιτευσάμενος ἀνεπαύ-

1. — [1] ἑαυτοὺς S. — [2] (καὶ τὸν - μάλιστα) ἀρνήσασθαι δὲ τὸν Χριστὸν μὴ πεισθέντες μᾶλλον D. — [3] Θεὸν *add.* D. — [4] *om.* D. — [5] αὐτοῖς D. — [6] τῆς λιτῆς ἔωθεν ἀπὸ τῆς ἁγιωτάτης ἐκκλησίας ἀπερχομένης ἐν τῷ φόρῳ καὶ μετὰ τὰς ἐκεῖσε συνήθεις εὐχὰς παραγινομένης ἐν τῇ εἰρημένῃ συνάξει ἐν ᾗ θεία λειτουργία καὶ μυσταγωγία ἐπιτελεῖται *add.* D. — [7] δὲ *add.* D. — [8] Ἀραβείας S.

Iul. 1. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. 2, ita des. : καὶ πᾶσαν ἀρετὴν ἐξασκήσας τὴν βασιλεύουσαν καταλαμβάνει καὶ ἐν τῷ παρ' αὐτοῦ δομηθέντι ναῷ τῶν Εὐάνδρου γενόμενος, ἐπεὶ καὶ ἡ γυνὴ αὐτοῦ καὶ ὁ υἱὸς τὸν βίον ἀπέλιπον, πόρρωθεν καλύβην πηξάμενος, ἐν αὐτῇ διήρκεσε χρόνους ὀκτώ, τρυχίνοις μὲν τὸ λοιπὸν σῶμα καλύπτων, ἀνυπόδετος δέ· καλῶς οὖν καὶ θεαρέστως πολιτευσάμενος ἀνεπαύσατο ἐν Κυρίῳ. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. 2. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 2. — Λέων ὁ ἐρημίτης γυμνὸς διάγων ἐν εἰρήνῃ ἐτελειώθη. — Οἱ ἅγιοι δισχίλιοι μάρτυρες ξ. τ. — Μαυ-

f. 251v. σατο ἐν Κυρίῳ, τὸ μὲν | πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ παραθέμενος, τὸ δὲ τίμιον σῶμα ἐνταῦθα κατελελοιπώς, ὅπερ παντοῖα πάθη ἰᾶται καὶ ἅπαν νόσημα δραπετεύειν παρασκευάζει. Λέγεται δὲ φορεῖν αὐτὸν ἀνδρότατον[1] ψιάθιον ἔνδοθεν τοῦ τρυχίνου, μεθ' οὗ καὶ συνετάφη. Iul. 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

1. Τὴν ἀνάμνησιν ποιούμεθα τῆς ἐν τῇ ἁγίᾳ σορῷ[1] καταθέσεως τῆς[2] τιμίας ἐσθῆτος τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, γενομένης ἐπὶ Λέοντος τοῦ μεγάλου[3] καὶ Βηρίνης τῆς τούτου γυναικός[4]. Πατρίκιοι γὰρ δύο Γάλβιος καὶ Κάνδιδος αὐτάδελφοι, συγγενεῖς Ἀρδαβουρίου καὶ Ἄσπαρος[5], πόθῳ τῆς προσκυνήσεως τῶν ἐν Ἱεροσολύμοις τόπων ἁγίων ἐξώρμησαν τοῦ Βυζαντίου <καὶ[6]> κατέλαβον τὴν Παλαιστίνην. Γενόμενοι δὲ ἐν τοῖς Γαλιλαίοις[7] τόποις, εὗρον ἔν τινι οἴκῳ Ἑβραίαν γυναῖκα γεγηρακυῖαν, πλήθη τε ἀσθενῶν ἐκεῖσε κατακειμένων, ἐν ἑτέρῳ δὲ ταμείῳ φώτων πολλῶν καὶ θυμιαμάτων προσαγωγήν. Καὶ μαθόντες ὅτιπερ ἡ τιμία ἐσθὴς τῆς θεομήτορος ἐκεῖ[8] τεταμίευται, καὶ συγχωρηθέντες παρὰ τοῦ γυναίου ἐν αὐτῇ τῇ θέσει παννύχιον[9] στάσιν ποιῆσαι, ἔλαβον τὰ μέτρα τῆς σοροῦ· ἐκ ξύλων δὲ ἦν. Καὶ ᾤχοντο ἐπὶ τὰ Ἱεροσόλυμα, καὶ κατασκευάσαντες ἑτέραν ὁμοίαν σορὸν καταλαμβάνουσιν αὖθις τὸ γύναιον καὶ λαθόντες ὑφείλοντο τὴν τιμίαν ἐσθῆτα καὶ προέπεμψαν διὰ τῶν οἰκείων ἀνθρώπων. Ὡς δὲ κατέλαβον τὴν βασιλεύουσαν πόλιν, ἀπέθεντο τὸ ἱερὸν θησαύρισμα ἐν ἰδίῳ προαστείῳ Βλαχέρναις[10] ἐπονομαζομένῳ, δειμάμενοι πρὸς τὸ λαθεῖν ἱερὸν ναὸν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Μάρκου. Μὴ ἰσχύσαντες δὲ ἐπὶ πολὺ[11] κρύπτειν, γνωρίζουσι τῷ βασιλεῖ τὸ μυστήριον. Ὁ δὲ βασιλεὺς χαρᾶς ἀφάτου[12] πλησθεὶς ᾠκοδόμησε τὸν ναόν, ἔνθα νῦν ἀπόκειται ἡ τιμία σορός, καὶ κατέθετο ἐν αὐτῇ τὸ τίμιον παλλίον[13], περιειλήσας[14] αὐτὸ πορφυρίδι ἐν ἠλεκτρίνῳ σορίῳ[15] καὶ σφραγῖσι βασιλικαῖς κατασφραγισάμενος· ὃ καὶ μέχρι[16] νῦν ὑπάρχει φυλακτήριον τῇ πόλει καὶ νόσων καὶ πολεμίων ἐλατήριον[17]. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν Βλαχέρναις. Iul. 2.

f. 252. | **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰουβεναλίου[1] πατριάρχου Ἱεροσολύμων. Ἰουβενάλιος ὁ ἐν ἁγίοις ἦν ἐν τοῖς χρόνοις Θεοδοσίου[2] τοῦ μικροῦ, ἀρχιερατεύσας μετὰ Κύριλλον τρίτος Ἱεροσολύμων, φθάσας ἕως τῆς βασιλείας Μαρκιανοῦ καὶ Λέοντος, παρὼν καὶ τῇ ἐν Ἐφέσῳ συνόδῳ μετὰ τῶν διακοσίων ἁγίων πατέρων καὶ διαλάμψας ἐν τοῖς δόγμασιν μετὰ Κυρίλλου τοῦ ἀοιδίμου πάπα Ἀλεξανδρείας, φθάσας καὶ ἕως τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου τῶν ἑξακοσίων τριάκοντα πατέρων, καὶ τιμηθεὶς παρὰ Μαρκιανοῦ βασιλέως διὰ τὴν ἀρετὴν αὐτοῦ. Καὶ ὅτι ταῦτα οὕτως ἔχει, ἐν τῇ Εὐθυμιακῇ ἱστορίᾳ ἐν τρίτῳ λόγῳ κεφαλαίῳ τεσσαρακοστῷ εὑρήσεις. Κτίσας δὲ τὰς Βλαχέρνας ὁ Μαρκιανὸς σὺν Πουλχερίᾳ, Ἰουβενάλιον ἠρώτα, εἰ περὶ τοῦ σώματος τῆς θεομήτορος οἶδε ποῦ ἐτέθη. Ὁ δὲ εἶπεν ἀπὸ γραφῆς μὲν μὴ εἰδέναι· « Ἀρχαῖος δὲ λόγος καὶ ἀληθὴς φέρεται » ὅτι μετὰ τὸ κηδευθῆναι ὑπὸ τῶν ἀποστόλων » ἠκούετο ἀγγελικὴ ὑμνῳδία ἕως τριῶν ἡμερῶν, » μετὰ δὲ τρίτην ἡμέραν ἑνὸς τῶν μαθητῶν ἀπολειφθέντος, ἠνοίγη ὁ τάφος καὶ οὐχ εὑρέθη τὸ » λείψανον εἰ μὴ τὰ ἐντάφια μόνα. » Καὶ παρεκάλεσε τὸν ἱεράρχην ὁ βασιλεὺς κἂν τὴν σορὸν μετὰ τῶν ἐνταφίων βουλλῶσαι[3] καὶ πέμψαι· ὃ δὴ καὶ γέγονεν. Ὁ δὲ ἅγιος Ἰουβενάλιος ἐπισκοπήσας τὰ πάντα ἔτη τριάκοντα ὀκτὼ ἐν εἰρήνῃ ἐκοιμήθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὑακίνθου. Οὗτος ἦν ἀπὸ τῆς[1] Καισαρείας τῆς πρώτης τῶν Καππαδοκῶν ἐπαρχίας. Κουβικουλάριος δὲ ὢν καὶ ὑπηρετῶν τῇ τραπέζῃ τοῦ βασιλέως Τραϊανοῦ, ἐν Ῥώμῃ διαβάλλεται τῷ βασιλεῖ ὡς τὸ τοῦ Χριστοῦ ἐπικαλούμενος ὄνομα. Ἀναγκασθεὶς οὖν[2] παρὰ τοῦ Iul. 3.

2. — [1] ἀνδρώτατον S.

1. — [1] ἡ ἀνάμνησις τῆς ἐν Βλαχέρναις D. — [2] *om.* D. — [3] βασιλέως D. — [4] (τ. τ. γυναικός) *om.* D. — [5] Ἄσπορος D. — [6] D, *om.* S. — [7] τῆς Γαλιλαίας D. — [8] ἐκεῖσε D. — [9] πανύχιον S. — [10] Βλαχέρναι D. — [11] πολλὴ S. — [12] *om.* D. — [13] παλίον S. — [14] περικλίσας D. — [15] (ἐν - σορίῳ) *om.* D. — [16] ὁ μέχρι καὶ D. — [17] (νόσων - ἐλατήριον) τῶν ἰαμάτων θησαύρισμα D.

2. — [1] Ἰουβενναλίου S. — [2] Θεοδωσίου S. — [3] βουλῶσαι S.

1. — [1] *om.* D. — [2] δὲ D.

ρίκιος μέλι χρισθεὶς καὶ ὑπὸ μελισσῶν κεντούμενος ἐτελειώθη. — Οἱ ἅγιοι κε' μάρτυρες οἱ ἐκ Νικομηδείας πυρὶ τ. — **Mv** : 1. — Βασιλείου τοῦ συστησαμένου τὴν μονὴν τοῦ Βαθέως Ῥύακος. — **Mr** : 1. Iul. 1.

Iul. 2. SYNAXARIA SELECTA. **H** : 1. — Κοΐντου (Mart. 2[1]). — **P** : 1. — Κοΐντου. — 2. — **D** : 1. — Κοΐντου. — 2. — **Da** : 1. — Κοΐντου. — 2. — **Db** : 1. — Κοΐντου. — 2. — **K** : 1. — Κοΐντου. — 2. — **N** : 1. — Τοῦ ἁγίου μάρτυρος Καλίστου. Οὗτος γεγέννηται μὲν καὶ πεπαίδευται τὴν εὐσέβειαν ἐν Φρυγίᾳ· καταλαβὼν δὲ τὴν Αἰολίδα κώμην... Des. : πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενος καὶ τοῖς πτωχοῖς ἐπαρκῶν πρὸς Κύριον ἐξεδήμησεν (= S, Mart. 2[1]). — 2. — **Bb** : 1. — Κοΐντου. — 2. — **Bc** : 1. — Ὑακίνθου. Ὁ τοῦ Χριστοῦ μάρτυς Ὑάκινθος ὑπῆρχε μὲν ἐκ χώρας Φρυγίας, ἐν ᾗ καὶ τὴν εὐσέβειαν ἐπαιδεύθη· ἀπελθὼν δὲ εἰς Κύμην τὴν πόλιν... (cf. Mart. 2[1]). — 2. — **C** : 1. — Κοΐντου. — **Ce** : 1. — Κοΐντου. — 2. — **Cg** : 1. — Κοΐντου. — **R** : 1. — Κοΐντου. — 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 2. — Κοΐντου. — **Mv** : 1. — Κοΐντου. — 2. — **Mr** : 1.

Iul. 3. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. — **P** : 2. 3. 4. — **D** : 1. 2. 4. — **Da** : 1. 3. 2. — **Db** : 1. 3. 2. 4. — **K** : 1. 3. 2. 4. — **N** : 1. 3. 2. 4 : Θεοδότου καὶ Θεοδότης. Οὗτοι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν

Iul. 3. βασιλέως μιαροφαγῆσαι, οὐχ εἵλετο τοῦτο ποιῆσαι, ἀλλὰ μᾶλλον τὸν Χριστὸν[3] ὡμολόγησε. Τύπτεται οὖν καθ' ὅλου τοῦ σώματος καὶ ἐν φυλακῇ βληθεὶς καὶ τῶν παρακειμένων εἰδωλοθύτων ἀπογεύσασθαι μὴ βουληθείς, ἀλλ' ἐπὶ τεσσαράκοντα ἡμέρας[4] ἀπόσιτος γεγονώς, εἰσαγωγῆς ἄρτων καθαρῶν ἀπαγορευθείσης παρὰ τοῦ βασιλέως τοῖς δεσμοφύλαξι, τὴν ψυχὴν τῷ Κυρίῳ παρέδωκε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τοῖς Τρωαδισίου ἐμβόλοις.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Μάρκου καὶ Μωκιανοῦ. | f. 252v. Οὗτοι ἀναγκασθέντες θῦσαι τοῖς εἰδώλοις ὑπὸ Μαξίμου τοῦ ἐπάρχου καὶ μὴ πεισθέντες, ἀλλὰ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσαντες[1], ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. Καὶ τῷ μὲν ἁγίῳ Μωκιανῷ τὴν ἐπὶ θάνατον ἀπαγομένῳ ἡ γυνὴ καὶ τὰ τέκνα κλαίοντα ἠκολούθει[2]· οἷς καὶ παρῄνει σιγᾶν. Τοῦ δὲ[3] ἁγίου Μάρκου ἐκτμηθεῖσαν τὴν κεφαλὴν παρεστῶσα ἡ γαμετὴ ταῖς χερσὶν ὑπεδέξατο[4]. Οἵτινες οὕτω μαρτυρικῶς τὸν βίον διανύσαντες τὴν ἑαυτῶν μαρτυρίαν ἐπλήρωσαν.

3. Τῇ[1] αὐτῇ ἡμέρᾳ μνήμη[2] τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀνατολίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος πρότερον μὲν πρεσβύτερος ἦν καὶ[2] ἀποκρισιάριος τῆς[3] Ἀλεξανδρέων ἐκκλησίας, ὕστερον[2] δὲ[2] χειροτονεῖται[4] ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως ἐν τελευταίοις χρόνοις Θεοδοσίου τοῦ μικροῦ, υἱοῦ Ἀρκαδίου, προβληθεὶς ὑπὸ Διοσκόρου ἐλπίσαντος αὐτὸν σύμφρονα τῆς οἰκείας ἕξειν κακοδοξίας. Ἀλλ' οὐδὲν τῆς κακουργίας ἀπώνατο· ἐν γὰρ τῇ γενομένῃ συνόδῳ ἐν Χαλκηδόνι αὐτὸν τὸν Διόσκορον καθεῖλεν[5] ὁ μακάριος[6], καὶ τὸ ὄνομα τοῦ ἐν ἁγίοις Φλαβιανοῦ,— ὃς ὑπὸ Διοσκόρου ἐν τῇ λῃστρικῇ κατ' Ἔφεσον δευτέρᾳ συνόδῳ καθῃρέθη[7] ἀδίκῳ θανάτῳ ὑπὸ τῶν αἱρετικῶν ἀναιρεθείς[8], — ἐν τοῖς[9] διπτύχοις ἐνέταξεν· ἀλλὰ[2] καὶ τὸ τίμιον αὐτοῦ λείψανον ἀνενεχθῆναι[10] ποιήσας ἐν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ[11] κατέθετο[12] καὶ ἐγκυκλίους ἐπιστολὰς πρὸς τοὺς κατὰ τόπον ἐπισκόπους τὴν ὀρθόδοξον πίστιν ἐξέθετο, προτρεπόμενος αὐτοὺς ἀναθεματίσαι τοὺς ἐξάρχους τῆς αἱρέσεως Νεστόριον καὶ Εὐτυχέα καὶ Διόσκορον καὶ πάντας τοὺς σύγχυσιν ἢ τροπὴν κατὰ τῆς θείας δογματίζοντας φύσεως. Οὗτος διεδέξατο τὸν ἅγιον[13] Φλαβιανὸν καὶ ἐπὶ χρόνους ὀκτὼ καὶ μησὶν ὀκτὼ[14] ὀρθοδόξως τὴν ἐκκλησίαν ποιμάνας, διάδοχον αὐτοῦ[15] κατέλιπε τὸν ἁγιώτατον Γεννάδιον.

4. Τῇ[1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοδότου καὶ Θεοδότης, Διομήδους, Εὐλαμπίου, Ἀσκληπιάδου καὶ Γολινδούχ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Iul. 4. **1.** Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀνδρέου Κρήτης τοῦ ἱεροσολυμίτου. Προεγράφη δ' τοῦ παρελθόντος μηνός.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδώρου ἐπισκόπου Κυρήνης[1] τῆς κατὰ Λιβύην. Οὗτος ὑπῆρχεν[2] ἐπὶ Διοκλητιανοῦ τοῦ

— [3] Θεὸν *add.* D. — [4] σαράκοντα ἡμέραις D.
2. — [1] ὁμολογοῦντες D. — [2] ἠκολούθουν D. — [3] *om.* D. — [4] *hic des.* D.
3. — [1] καὶ τῇ D. — [2] *om.* D. — [3] τῶν *add.* D. — [4] δὲ *add.* D. — [5] καθῆρεν D. — [6] Ἀνατόλιος *add.* D. — [7] καὶ *add.* D. — [8] ἀνηρέθη D. — [9] ἱεροῖς D. — [10] ἐνεχθῆναι D. — [11] ν. τ. ἁγ. ἀποστόλων D. — [12] κατέθηκεν D. — [13] μακάριον D. — [14] ὀκτὼ μησὶν D. — [15] ἑαυτοῦ D.
4. — [1] καὶ τῇ D.
2. — [1] Κυρίνης D. — [2] ἦν D.

Iul. 3. συλληφθέντες ἐπὶ τοῦ βασιλέως Τραϊανοῦ καὶ διαφόρως τιμωρηθέντες εἰς ἐκείνην τὴν φυλακὴν ἐβλήθησαν, ἐν ᾗ καὶ ὁ ἅγιος μάρτυς Ὑάκινθος ἐτύγχανε. Καὶ διδασκόμενοι ὑπ' ἐκείνου καὶ ἐπὶ πλέον τῇ εἰς Χριστὸν πίστει στηριζόμενοι κατεμηνύθησαν ὑπὸ τῶν τὴν φυλακὴν αὐτῶν ἐπιτετραμμένων στρατιωτῶν, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν παρέστησαν τῷ βασιλεῖ· καὶ πάλιν βιασθέντες τῶν θυσιῶν ἀπογεύσασθαι, ἐπὶ τῆς αὐτῆς ἔμειναν ἀπειθείας. Κρεμασθέντες γοῦν ἐξέσθησαν καὶ λαμπάσιν ἐφλέχθησαν· εἶτα τὸ διὰ ξίφους τέλος ἐδέξαντο. — 4 : Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Διομήδους, Εὐλαμπίου, Ἀσκληπιάδου καὶ Γολινδούχ. — **Bb** : 2. 3. 1. 4 (Θεοδότου καὶ Θεοδότης). — **Bc** : 2. 3. 1. 4 (Θεοδότου καὶ Θεοδότης). — **C** : Ἰουβεναλίου (Iul. 2[2]). — 2. 3. 1. 4 : Θεοδώρου καὶ Θεοδότης, Διομήδους, Εὐλαμπίου καὶ Ἀσκληπιοδότου. — **Ce** : 2. 3. 4. — **Cg** : Ἰουβεναλίου. — 2 : Μάρκου καὶ Μωκιανοῦ. Τούτοις παραινουμένοις ὑπὸ Μαξίμου ἐπάρχου καὶ Αὐλοζάνου θῦσαι τοῖς εἰδώλοις, παιδίον μικρὸν παρεστὼς τῷ βωμῷ[1] οὐ συνεχωρήθη· ὅπερ ἄραντες ἐπὶ τῶν ὤμων οἱ ἕλληνες ναρθηκίῳ δέδωκαν αὐτῷ ἑκατὸν πεντήκοντα μάστιγας. Ἔφη δὲ τὸ παιδίον τῷ ἄρχοντι· « Κακὰ γράμ-» ματα διδάσκεις, ἔπαρχε. » Ὡσαύτως καὶ Παῦλός τις τοὺς ἁγίους ἐπιρρωννύων καὶ ὁμολογῶν τὸν Χριστὸν ἐν φυλακῇ ἐβλήθη. Ἀπαγόμενοι δὲ τὴν ἐπὶ θάνατον <οἱ[2]> ἅγιοι Χριστὸν τὸν Θεὸν ἐπικαλούμενοι προσηύχοντο. Καὶ τῷ μὲν Μωκιανῷ ἠκολούθουν ἥ τε γυνὴ αὐτοῦ καὶ τὰ τέκνα κλαίοντα· οὓς καὶ κατεσίγαζεν ὁ ἅγιος. Τῷ δὲ Μάρκῳ παραστᾶσα ἡ γυνὴ κλαίουσα ἐδέξατο αὐτοῦ τμηθεῖσαν τὴν κεφαλήν· καὶ οὕτως ἀμφότεροι διὰ ξίφους τὸ τέλος δεξάμενοι τῷ δεσπότῃ Θεῷ στεφηφόροι παρέστησαν. — 3. 1. 4. — **R** : 1. 3. 2. 4. — **Ra** : 1. 2. 4 (Θεοδότου καὶ Θεοδότης). — Ἰουβεναλίου. — **Rb** : 1. 3. — **Rc** : 1. 3. — **Mc** : 1. 4. 2. 3. — **Mv** : 1. 3. 4. — **Mr** : 1.

Iul. 4. SYNAXARIA SELECTA. **H** : Ὑακίνθου (Iul. 3[1]). — 2. 4. 1 (Μάρκου καὶ Ἀνδρέου Ἱεροσολυμίτου). — Πίστεως, Ἐλπίδος, Ἀγάπης, Σοφίας (Sept. 17[1]). — **P** : Ὑακίνθου. — 2. 4. 1 : τῶν ὁσίων πατέρων ἡμῶν Μάρκου καὶ Ἀνδρέου Ἱεροσολυμίτου. — Μαρίας τῆς μητρὸς τοῦ ὁσίου Συμεὼν τοῦ στυλίτου. —

[1] βωμοῦ Cg. — [2] *supplevi, om.* Cg.

βασιλέως[3] πόλεως Κυρήνης, ἐξ ἧς Σίμων ὁ Κυρηναῖος[4]· γέγονε δὲ | f. 253. καλλιγράφος εἰς ἄκρον ἐξασκήσας τὴν τέχνην, καὶ ἐναπέθετο ταῖς ἁγίαις ἐκκλησίαις βίβλους πολλάς, ἃς αὐτὸς[5] ἰδίαις χερσὶν ἔγραψε. Διά τοι τοῦτο[6] καὶ ὑπὸ τοῦ οἰκείου υἱοῦ Λέοντος[7] διεβλήθη τῷ ἡγεμόνι Διγνιανῷ[8], ὡς, βίβλους τινὰς κατέχων, μεταπείθει πολλοὺς δι' αὐτῶν ἀπὸ τῆς τῶν εἰδώλων λατρείας πρὸς τὴν εἰς Χριστὸν πίστιν. Ἤχθη οὖν πρὸς τὸν ἡγεμόνα, ἑπομένων αὐτῷ πολλῶν χριστιανῶν· μεθ' ὧν ἦν καὶ ἡ ἁγία Λουκία[9] καὶ Ἀρόα οὕτω καλουμένη. Ὁ δὲ ἅγιος Θεόδωρος αἰτηθεὶς τὰς βίβλους καὶ μὴ παρασχὼν μηδὲ πεισθεὶς ἀρνήσασθαι τὸν Χριστὸν ῥάβδοις καὶ μολιβδίσιν ἐτύφθη σφοδρῶς· εἶτα τὸν βωμὸν λακτίσας καὶ ἀνατρέψας, ἀναρτηθεὶς ἐπὶ ξύλου ξέεται καθ' ὅλου τοῦ σώματος καὶ ὄξει καὶ ἅλατι καὶ τριχίνοις ῥάκεσι τὰς πλευρὰς[10] ἀνατρίβεται· εἶτα ξυρῷ τὴν γλῶσσαν[11] ἐκτέμνεται. Ἐν δὲ τῇ φυλακῇ ἀπαχθεὶς λαβὼν ὑπὸ τῶν ὁσίων γυναικῶν τὴν ἐκτμηθεῖσαν γλῶσσαν ἐν τῷ ἑαυτοῦ τέθεικε στήθει· ἔνθα περιστερὰ ἑωρᾶτο περιϊπταμένη τῷ ἁγίῳ καὶ ταὼς ἐπὶ τῆς θυρίδος[12] ἀναπτάς. Ταῦτα δὲ κατιδὼν καὶ[6] ὁ εἰδωλολάτρης Λούκιος ἐπίστευσε τῷ Χριστῷ. Ὁ δὲ ἅγιος ὑγιὴς γεγονώς, μικρὸν ὕστερον τὴν ψυχὴν ἀπέδωκε[13], ἅμα τῷ τὴν περιστερὰν ἀσπασαμένην αὐτὸν τοῦ οἰκήματος ἐξελθεῖν. Μαθὼν δὲ ταῦτα ὁ ἡγεμὼν καὶ ὅτι ὁ Λούκιος χριστιανὸς γέγονε, προσέταξεν ἀναιρεθῆναι τὰς ἁγίας Λουκίαν καὶ Ἀρόαν καὶ Κυπρίλλαν[14] καὶ ὅσοι ἐδέξαντο[15] τὴν παρὰ τοῦ ἁγίου Θεοδώρου σφραγῖδα· μετὰ ταῦτα βαπτισθεὶς ὁ Λούκιος πείθει καὶ τὸν ἡγεμόνα Διγνιανὸν[16] πιστεῦσαι τῷ Χριστῷ· οἳ καὶ ἐκπλεύσαντες ὁμοῦ ἀπὸ Κυρήνης[17] εἰς Κύπρον, εὗρον ἕτερον ἡγεμόνα κολάζοντα τοὺς ἐπικαλουμένους τῷ Χριστῷ[18]· καὶ λαθὼν ὁ Λούκιος τὸν Διγνιανόν[16], παρέδωκεν ἑαυτὸν τοῖς βασανισταῖς καὶ ἀνατρέψας τὸν βωμὸν[19] ξίφει τὴν κεφαλὴν τέμνεται, καὶ ὑπὸ τοῦ Διγνιανοῦ συγκομίζεται καὶ ταφῇ παραδίδοται. Τελεῖται δὲ ἡ τοῦ[20] ἁγίου Θεοδώρου σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Θεοδώρου[21] ἐν τῷ Ῥησίῳ. Iul. 4.

3. Κυπρίλλα δὲ ἡ μάρτυς ἐκ τῆς αὐτῆς πόλεως ἦν τῷ ἁγίῳ Θεοδώρῳ. Ἥτις ἀνδρὶ συνοικήσασα, ἐπὶ δύο ἔτεσι μεμένηκεν ἐν χηρείᾳ, ἔτει εἰκοστοστῷ τοῦ ἀνδρὸς αὐτῆς τελευτήσαντος. Παρακαλέσασα οὖν τοὺς γονεῖς αὐτῆς, ἀπῆλθε πρὸς τὸν ἅγιον Θεόδωρον τὸν ἐπίσκοπον, | f. 253v. κατάκλειστον ὄντα διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, χάριν ἰάσεως, — ἤλγει γὰρ σφόδρα τὴν κεφαλήν, — καὶ θεραπευθεῖσα διηκόνει αὐτῷ σὺν ταῖς ῥηθείσαις γυναιξί. Μετὰ δὲ τὴν τοῦ ἁγίου Θεοδώρου τελείωσιν, διαβληθεῖσα τῷ ἡγεμόνι, παρέστη αὐτῷ· καὶ μὴ πεισθεῖσα θῦσαι τοῖς εἰδώλοις, ἄνθρακας πυρὸς τῇ χειρὶ δεξαμένη καὶ λιβανωτὸν αὐτοῖς ἐπικείμενον, ἀναγκάζεται θυμιᾶσαι τοῖς εἰδώλοις. Ἡ δὲ[1] ἐβόα· « Οὐκ » ἔστιν τοῦτο ἑκούσιος θυσία,» καὶ κατεφλέχθη τὴν χεῖρα ὑπὸ τῶν δημίων κρατουμένην· μετὰ δὲ ταῦτα κρεμασθεῖσα ἐπὶ ξύλου ξέεται, καὶ ἀπὸ μὲν τῶν πληγῶν αἷμα, ἀπὸ δὲ τῶν μασθῶν γάλα ἔρρεε· καὶ οὕτως παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδότου καὶ Δονάτου[1] ἐπισκόπου Λιβύης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀστείου[1] ἐπισκόπου Δυρραχίου[2]. Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως καὶ Ἀγρικολάου ἡγεμόνος. Συσχεθεὶς[3] δὲ παρὰ τῶν πρώτων τῆς πόλεως καὶ θῦσαι Iul. 5.

— [3] ἐκ *add.* D. — [4] Κυριναῖος D. — [5] αὐτῶς D. — [6] *om.* D. — [7] τοὔνομα *add.* D. — [8] Διαγνιανῷ D. — [9] D, Bc, Γλουκία S. — [10] πληγὰς D. — [11] γλῶτταν D. — [12] θυρίδας S. — [13] ἀπ. τὴν ψυχὴν D. — [14] Κοπρίλλαν D. — [15] κατεδέξαντο D. — [16] Διγνιᾶν D. — [17] D, Κρήτης S. — [18] τὸν Χριστὸν D. — [19] (τοῖς - βωμὸν) τῷ ἡγεμόνι *corr. in ras.* D. — [20] αὐτοῦ D. — [21] τῷ ὄντι *add.* D.
3. — [1] εἰ δὲ S.
4. — [1] Δονάγου D.
1. — [1] D *ad d. Iulii 6,* Ἀστίου S. — [2] Δαραχίου D. — [3] κατασχεθεὶς D.

Iul. 4. **D** : 1 : Ἀνδρέου ἀρχιεπισκόπου Κρήτης τοῦ ἱεροσολυμίτου. Ὃς ἐκ πόλεως Δαμασκοῦ θεοφιλῶν γονέων φὺς πρὸς τὴν τῶν γραμμάτων ἐκδίδοται μάθησιν. Οὗτος Θεοδώρου πατριαρχοῦντος τῆς ἁγίας πόλεως κληρικὸς κείρεται καὶ ὑπογραφεὺς αὐτῷ καθίσταται. Καὶ τῆς ἕκτης συγκροτηθείσης συνόδου ἐν Κωνσταντινουπόλει, πρὸς αὐτοῦ ἀποστέλλεται τοῖς πραχθεῖσι συνευδοκῆσαι. Διὰ δὲ τὴν ἐνοῦσαν αὐτῷ γνῶσίν τε καὶ ἀρετὴν διάκονος τῆς μεγάλης ἐκκλησίας καθίσταται, καὶ μετ' ὀλίγον ὀρφανοτρόφος, εἶτα ἀρχιεπίσκοπος Κρήτης. Καὶ ἔν τινι γενόμενος νήσῳ καλουμένῃ Ἱερισσῷ τῇ πλησίον Μιτυλήνης[1] καταλύει τὸν βίον, πάμπολλα συγγράμματα τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ καταλείψας. — 2. 4 (... Δονάγου). — 1 : Μάρκου καὶ Ἀνδρέου Ἱεροσολύμων. — Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης καὶ τῆς μητρὸς αὐτῶν Σοφίας. — **Da** : 1. 2. 4. — Καὶ μνήμη τοῦ ὁσίου πατρὸς Μάρκου. — **Db** : 1. 2. 4. — Τοῦ ὁσίου Μάρκου. — **K** : 1. 2. 4. — Μάρκου. — **N** : 1. 2. 4. — Τῶν ὁσίων πατέρων Μάρκου καὶ Ἀνδρέου Ἱεροσολύμων. — **Bb** : 2. — Λαμπάδου (Iul. 5[3]). — **Bc** : 2. 1. — Τοῦ ὁσίου Λαμπάδου τοῦ ἐν Εἰρηνουπόλει. — **C** : 2. 4. 1 : Μάρκου καὶ Ἀνδρέου Ἱεροσολυμίτου. — **Ce** : 2. 4. 1. — **Cg** : 2. 4. 1. — **R** : 1. 2. — Μάρκου. — 4 (Θεοδώρου καὶ Δωράτου). — **Ra** : 1. — Ἁγνῆς (Iul. 5[2]). — **Rb** : 1. 4. — Μαρίας τῆς μητρὸς τοῦ ἁγίου Συμεῶνος τοῦ στυλίτου. — **Rc** : Μητροφάνους ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Iun. 4[1]). — **Mc** : 1. 2. — Ἀσκληπιὰς ἡ θαυματουργὸς ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος ἱερομάρτυς Θεόφιλος ξ. τ. — Μένιγνος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. 4. — Μαρίας. — **Mr** : 1.

SYNAXARIA SELECTA. **H** : Μάρθας μητρὸς τοῦ ἁγίου Συμεὼν τοῦ θαυμαστοορίτου. — 2. 4. 5. — **P** : Μάρθας. — Κυπρίλας μαρτυρησάσης ἐν τῷ Πολυδώρῳ (Iul. 4[3]). — 4. — **D** : 3. — Μάρθας μητρὸς Iul. 5.

[1] Μητυλήνης D.

Iul. 5. τοῖς εἰδώλοις μὴ πεισθείς, ἄγεται πρὸς τὸν Ἀγρικόλαον καὶ τύπτεται χερσὶ μολιβδίναις καὶ βουνεύροις. Ἐπιμένων δὲ τῇ εἰς Χριστὸν πίστει[4], ἐχρίσθη μέλιτι καὶ ἐπὶ ξύλου πλησίον τοῦ τείχους ἀνεσκολοπίσθη. Ἐν ὥρᾳ δὲ θέρους, ἡλίου φλέγοντος, ὑπὸ σφηκῶν καὶ μυῶν ἐνοχλούμενος καὶ κεντούμενος ἀπέδωκε τὴν ψυχήν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἁγνῆς. Αὕτη τὸν τρόπον[1] τῷ ὀνόματι κατάλληλον ἔχουσα, πολλὰς τῶν ἀκολάστων γυναικῶν ἀπέχεσθαι τῶν πονηρῶν ἔπειθε πράξεων καὶ πιστεύειν εἰς[2] Χριστόν. Διὰ ταῦτα οὖν ἀχθεῖσα πρὸς τὸν ἄρχοντα[3] ἢ τοῖς εἰδώλοις θῦσαι[4] ἢ εἰς πορνεῖον ἀπενεχθῆναι διηπειλήθη[5]· ἡ δὲ μηδ' ἕτερον τούτων ποιήσειν ἔφη[6], ἀλλ' ἐν τῷ Χριστῷ θαρρεῖν, ὅτι καὶ τὴν πίστιν τηρήσει καὶ τὴν ἁγνείαν οὐ μολυνθήσεται· πρὸς ταῦτα ὁ ἄρχων θυμωθεὶς πορνοβοσκῷ τινι τὴν μάρτυρα παραδίδωσι· ἥτις θείᾳ σκεπομένη χάριτι ἀνέπαφος τῶν προσιέναι βουλομένων καὶ ἄχραντος ἔμεινε, τὴν ὁρμὴν αὐτῶν καὶ σωματικὴν πύρωσιν εὐχῇ χαλινοῦσα καὶ ἀπομαραίνουσα. Εἷς δέ τις τῶν ἀκολάστων θρασύτερον αὐτῇ προσελθὼν τελέως ἐνεκρώθη καὶ πρὸς τοῖς
f. 254. ποσὶν αὐτῆς ἐρρίφη[7]. Ὡς δὲ τοῦτο ἔγνω ὁ | ἄρχων, μετάκλητον ποιησάμενος[8] ἐγεῖραι τὸν τεθνεῶτα ἠτήσατο. Καὶ τούτου γενομένου, γοητείας καὶ ἐπαοιδίας ὑπὸ τῶν ἀσεβῶν ἐγκλήματι περιάπτεται· ἣν ὁ ἄρχων, ὡς ὑπὸ πολλοῦ πλήθους τοιούτοις ἐγκλήμασι περιβληθεῖσαν[9], πυρὶ παραδοθῆναι προσέταξε[10]. Βληθεῖσα οὖν ἐν αὐτῷ, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο[11], καὶ οὕτως ἐπληρώθη αὐτῆς ἡ μαρτυρία.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς[1] ἡμῶν[1] Λαμπαδοῦ. Ὃς[2] ἐξ αὐτῶν τῶν σπαργάνων ἀσκητικαῖς ἀγωγαῖς ἑαυτὸν ἐκδοὺς καὶ δι' ἐγκρατείας καὶ συντόνου δεήσεως τὸ φρόνημα τῆς σαρκὸς καθυποτάξας τῷ πνεύματι, δίκην ἡλίου ἐξέλαμψε, καὶ τοὺς δαιμονικαῖς ἀπάταις καταζοφωθέντας ἐφώτισεν. Οὗτος[3] καὶ ἔτι τῷ βίῳ περιὼν θαύματα παράδοξα ἐξετέλεσε[4], καὶ πρὸς Κύριον ἐκδημήσας ἀεννάως τοῖς αἰτοῦσι ταῦτα παρέχει· καὶ μαρτυρεῖ τὸ σπήλαιον, ἔνθα κατάκειται[1] τὸ τίμιον αὐτοῦ καὶ ἅγιον[5] λείψανον.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βασιλείου καὶ τῶν σὺν αὐτῷ ἑβδομήκοντα μαρτύρων, τῶν ἐν Σκυθοπόλει μαρτυρησάντων.

5. Καὶ τὰ ἐγκαίνια τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ πλησίον τοῦ Φόρου.

6. Καὶ τοῦ ἁγίου μάρτυρος Στεφάνου τοῦ εἰς τὸ Ῥήγιον Καλαβρίας κειμένου καὶ τῶν σὺν αὐτῷ ἁγίων μαρτυρησάντων.

— [4] τῇ π. τῇ εἰς X. D.
2. — [1] καὶ *add.* D. — [2] τὸν *add.* D. — [3] προσετάχθη D. — [4] θ. τοῖς εἰδ. D. — [5] *om.* D. — [6] (ἡ - ἔφη) οὐδ' ἕτ. ἔφη π. D. — [7] (πρὸς ταῦτα - ἐρρίφη) παραδοθεῖσα δὲ πορνοβοσκῷ ἀνέπαφος ἔμεινεν καὶ τῶν προσιέναι βουλομένων ἄχραντος θείᾳ σκεπομένη χάριτι, ἥτις τὴν ὁρμὴν αὐτῶν καὶ πύρωσιν ἐχαλίνου καὶ ἀπεμάραινεν· τινὰ δὲ αὐτῶν θαρσυτέρων ἐνεχθέντα τελέως ἐνέκρωσεν καὶ πρὸς τοῖς ποσὶν ἔρριψε τῆς ἁγίας D. — [8] μετακαλεσάμενος αὐτὴν D. — [9] (γοητείας - περιβληθεῖσαν) τῶν ἀσεβῶν καὶ ἀπίστων γοητείας αὐτὴν τοιαῦτα δύνασθαι ἐνεργεῖν διαβαλλόντων D. — [10] ταύτην ὁ ἄρχων ἐκέλευσεν D. — [11] παρέδωκεν *et hic des.* D.
3. — [1] *om.* D. — [2] οὗτος ὁ ἅγιος D. — [3] ὁ ἅγιος καὶ *add.* D. — [4] ἐκτελέσας παράδοξα D. — [5] κατάκειται *add.* D.

Iul. 5. τοῦ ἁγίου Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. Αὕτη ἦν πᾶσαν ἀρετὴν μετιοῦσα, ἔν τε ἀσκήσει καὶ πρὸς τοὺς δεομένους φιλοφροσύνῃ καὶ θεραπείᾳ τοῦ θείου καὶ τιμῇ τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου. Ὅθεν καὶ πρὸ τῆς τοῦ σώματος ἐκδημίας περὶ τῶν ἀποκειμένων αὐτῇ αἰωνίων ἀγαθῶν ἐμυήθη, καὶ μεταστᾶσα ἐπεφάνη τοῖς προσεδρεύουσιν αὐτῆς τῷ ἁγίῳ λειψάνῳ, καὶ χάριν εἶπεν μεγάλην παρὰ Θεοῦ εἰληφέναι καὶ διαγωγὴν ἔχειν ἐν τῷ φωτὶ καὶ οὐχ ἕνεκεν[1] τοῦ υἱοῦ αὐτῆς δοξασθῆναι, ἀλλ' ὅτι τὸν Κύριον ὑπέμεινεν καὶ προσέσχεν αὐτῷ καὶ ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθη. — 2. 4. 5. — **Da** : 3 (Λαμπαδίου). — Μάρθας. — 2. — Κυπρίλλης (Iul. 4[3]). — 4. 5. — **Db** : 3. — Μάρθας. — 2. — Κυπρίλλης. — 4. 5. — **K** : 3. — Μάρθας. — 2. — Κυπρίλλης. — 4. 5. — **N** : Μάρθας (= D, sed des. : ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθη καὶ ὅτι τὴν τεκοῦσαν αὐτὸν[2] ἐξ ὅλης τῆς καρδίας ἠγάπησεν). — 2. 3. 4. 6. — Λουκίας[3]. Αὕτη πατέρων οὖσα χριστιανῶν ἐκ πόλεως Κυρήνης τῆς κατὰ Λιβύην ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων ἀνδρὶ ἐπὶ δυσὶ συνῴκησεν ἔτεσι· καὶ τὸν βίον λιπόντος αὐτοῦ, μεμένηκεν ἐν χηρείᾳ ἐπὶ ἔτη εἰκοσιοκτώ. Τοῦ δὲ ἐπισκόπου τῆς πόλεως Θεοδώρου διὰ τὴν εἰς Χριστὸν πίστιν ἐν φυλακῇ βληθέντος, προσῆλθεν αὐτῷ τὸ τῆς κεφαλῆς ἄλγος ἐξαιτουμένη θεραπευθῆναι· καὶ τυχοῦσα τῆς αἰτήσεως διηκόνει αὐτῷ σὺν Λουκίᾳ καὶ Ἀρόᾳ. Μετὰ δὲ τὴν αὐτοῦ τελείωσιν διαβάλλεται καὶ αὕτη τῷ ἡγεμόνι Διγνιανῷ· ὅθεν ἄνθρακας πυρὸς ἐπὶ τῆς χειρὸς δέχεται καὶ λιβανωτόν. Ἀλλ' ἐβόα μὴ εἶναι τοῦτο θυσίαν ἑκούσιον. Καταφλεχθεῖσα δὲ τούς τε δακτύλους καὶ τὴν χεῖρα, κατεχομένη ὑπὸ τῶν δημίων, ἐπὶ ξύλου ἀναρτηθεῖσα ξέεται, καὶ λιποψυχήσασα καὶ αἷμα μὲν ἀπὸ τῶν πληγῶν, γάλα δὲ ῥεύσασα τῶν μασθῶν, τὸ πνεῦμα τῷ Κυρίῳ ἀπέδωκεν (cf. Iul. 4[2]). — **Bb** : Μάρθας. — 2. — Κυπρίλλης. — **Bc** : Μάρθας. — 2. — Κυπρίλλης. — Ἱλαρίωνος τῆς Δαλμάτου. — **C** : Μάρθας. — 2. 6 : Στεφάνου μητροπολίτου Ῥηγίου τῆς Καλαβρίας. — 3. — **Ce** : Μάρθας. — 2. — Κυπρίλλης. — 6. 3. — **Cg** : Μάρθας. — 2. — Κυπρίλλης. — 6. 3. — **R** : Θεοδώρου (Iul. 4[2]). — 3. — Μάρθας. — 4. 5. 2. — Κυπρίλλας. — **Ra** : 1. 3. — Μάρθας. — **Rb** : 3. 4. — Τοῦ ὁσίου Μάρκου. — 5. — **Rc** : Στεφάνου πάπα Ῥώμης καὶ τῶν σὺν αὐτῷ (Sept. 7[3]). — 4. — Μάρκου. — 5. — **Mc** : Μάρθας. — Ἀθανασίου τοῦ ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθω ἀσκήσαντος καὶ τῶν ἐξ αὐτοῦ μαθητῶν, οἵτινες τελειοῦνται τοῦ ναοῦ ἐπικαταπεσόντος αὐτοῖς. — 3. — Μνήμη τοῦ θαύματος γενομένου παρὰ τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ τοῦ θαυματουργοῦ (Iul. 6[3]). — 2 : ἡ ἁγία μάρτυς Ἁγνὴ ἡ παρθένος π. τ. — **Mv** : Ἀθανασίου. — 3. 2. — Κυπρίλλης. — 4. 5. — Μάρθας. — **Mr** : Ἀθανασίου.

[1] *corr.*, ἕνεκε D. — [2] αὐτῶν N. — [3] *in rasura* N.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛʹ.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σισόη[1] τοῦ μεγάλου. Οὗτος ὁ μακάριος ἐκ βρέφους τὴν[2] ἀρετὴν[3] ἀγαπήσας καὶ τὸν τοῦ Κυρίου σταυρὸν ἐπ' ὤμων ἀράμενος, ἠκολούθησεν[4] αὐτῷ· καὶ τὰς παρατάξεις τῶν ἀοράτων ἐχθρῶν τροπωσάμενος, χαίρων ἐχώρησε πρὸς τὰ ἐπίπονα τῆς ἀσκήσεως· ταπεινόφρονι δὲ εἰς ἄκραν γενομένῳ[5], νεκροὺς ἀνιστᾶν αὐτῷ ὁ τῶν ὅλων ἐδωρήσατο[6] Κύριος. Ἐπεὶ οὖν ἀγγελικῶς ἐβίωσεν ὁ ἐν σώματι ἄσαρκος, καὶ καθὰ προείρηται τὰς ἐναντίας τροπωσάμενος φάλαγγας[7], πρὸς τὴν ἄϋλον ζωὴν μετετάξατο, ὅπου τῶν ἁγίων αἱ σκηναὶ ἡ <καὶ[8]> ἀΐδιος λαμπρότης, Χριστὸν ὑπὲρ ἡμῶν ἱλεούμενος.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Λουκίας τῆς παρθένου καὶ Ῥίξου[1] βικαρίου, καὶ ἄλλων πλείστων παθόντων ἐν Καμπανίᾳ. Αὕτη ἡ Λουκία[2] ἑτέρα ἐστὶν παρὰ τὴν ἐν Σικελίᾳ. Κατασχεθεῖσα δὲ παρὰ Ῥίξου βικαρίου[3] καὶ ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις καὶ ἀρνήσασθαι τὸν Χριστὸν οὐκ ἐπείσθη, ἀλλὰ μᾶλλον καὶ τὸν βικά-
f. 254ᵛ. ριον πρὸς | τὴν τοῦ Χριστοῦ ἐπέστρεψε πίστιν. Ὃς τιμῆς πλείστης[4] ἀξιώσας αὐτήν, ἐν ἡσύχῳ κατέστησεν οἴκῳ, ἐν ᾧ ἡ ἁγία τῇ νηστείᾳ καὶ προσευχῇ ἐκαρτέρει. Μετὰ δὲ χρόνους εἴκοσι[5] παρεκάλεσε τὸν βικάριον ἀπελθεῖν ἐν Καμπανίᾳ καὶ μαρτυρῆσαι ὑπὲρ Χριστοῦ. Ὁ δὲ καταλιπὼν γυναῖκα καὶ παῖδας καὶ πλοῦτον καὶ περιφάνειαν, συναπῆλθεν αὐτῇ· κἀκεῖ κρατηθέντες[6] ἅμα καὶ τὸν Χριστὸν ἐπὶ τοῦ ἐκεῖσε ἡγεμόνος ὁμολογήσαντες, ἀπετμήθησαν τὰς κεφαλάς[7], σὺν αὐτοῖς δὲ καὶ ἕτεροι, Ἀντωνῖνος, Λυκίας, Νέας, Σηρῖνος, Διόδωρος, Δίων, Ἀπολλώνιος, Ἄπαμος, Παπιανός, Κοτύιος, Ὀρωνός, Πάπικος, Σάτυρος, Βίκτωρ καὶ ἕτεροι ἐννέα.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ θαύματος τοῦ ἁγίου Φωκᾶ τοῦ θαυματουργοῦ καὶ μάρτυρος. Λέων ὁ Ποντιανὸς ἐξηγήσατο ὅτιπερ Σισιννάκιος[1] ὁ στιβαρὸς παραληφθεὶς ὑπὸ[2] Σαρακηνῶν ἐπὶ τοῦ Μάσαλβα[3] καὶ σιδηρωθεὶς καὶ ἐξαγκωνισθείς, κείμενος ἐπ' ἐδάφους ἐπεκαλέσατο λέγων· « Ἅγιε » μάρτυς Φωκᾶ, ἐλέησόν με καὶ λύτρωσαι τῆς » κατεχούσης ἀνάγκης καὶ τῶν δεσμῶν. » Ὑπνώσας οὖν ἐπὶ μικρόν, ὁρᾷ τὸν ἅγιον ἐν σχήματι πρεσβυτέρου λέγοντα αὐτῷ· « Ἀνάστα, ἀνάστα, » ἀναχώρησον. » Καὶ δὴ ἀφυπνισθεὶς καὶ εὑρὼν ἑαυτὸν λελυμένον τῶν[4] σιδήρων[4], εὐθέως ἐξέφυ-

1. — [1] Σησόη S, Σισώη D. — [2] τὸν D. — [3] Θεὸν D. — [4] ἠκολούθη D. — [5] ταπεινόφρων ... γενόμενος D. — [6] ἐδ. ὁ τῶν ὅλων κ. D. — [7] (καὶ καθὰ - φάλαγγας) *om.* D. — [8] *supplevi, om.* S, D.
2. — [1] Ῥήξου S. — [2] ἡ ἐν Καμπανίᾳ *add.* D. — [3] τοῦ μακαρίου D. — [4] *om.* D. — [5] χρόνον εἰκοστὸν D. — [6] κρατηθέντος S. — [7] τὰς κεφ. ἀπετμήθησαν *et hic des.* D.
3. — [1] Σισινάκιος Mc *ad d. Iul. 5*, ὅτι Σισίννιος ἐκεῖνος Bc. — [2] τῶν *add.* Mc. — [3] Μάλσαβα Mc. — [4] *om.* Mc.

Iul. 6. SYNAXARIA SELECTA. **H** : 2. — Ἀστείου ἐπισκόπου Δυρραχίου (Iul. 5[1]). — 4. — **P** : 2. — Ἀσθίωνος (Iul. 5[1]). — 4 : Ἀρχίππου, Φιλήμονος, πέραν ἐν τῷ Πτωχίῳ. — 5. — **D** : 1. 2. — Ἀστείου. — 4. 5. — **Da** : 1. 2. — Ἀστείου. — 4. 5. — Θωμᾶ τοῦ ἐν τῷ Μαλαίῳ (Iul. 7[1]). — **Db** : 1. 2. — Ἀστείου. — 4. 5. — **K** : 1. 2. — Ἀστείου. — 4. 5. — **N** : 1. 2. — Ἀστείου. — 5. — **Bb** : 1. 2. — Ἀστείου. — 3 : Τοῦ ἁγίου μάρτυρος Φωκᾶ καὶ μνήμη τοῦ θαύματος. — Ἰσαύρου (Iul. 7[2]). — **Bc** : 1. 2. — Ἀστείου. — 3. — Ἰσαύρου. — **C** : Βασιλείου (Iul. 5[4]). — 1. 2 (ἑτέρας Λουκίας καὶ Ῥίξου βικαρίου). — Ἀστερίου ἐπισκόπου Δυρραχίου (Iul. 5[1]). — 4. 3 : Τοῦ ἁγίου Φωκᾶ εἰς Λουρδὴν καὶ ἐν τῷ νέῳ Παλατίῳ εἰς τὸν ἅγιον Μάμαντα. — Ἰσαύρου καὶ τῶν σὺν αὐτῷ Βασιλείου, Ἰνοκεντίου[1], Ἑρμίου καὶ Περεγρίνου. — **Ce** : Βασιλείου. — 2. — Ἀστερίσκου (Iul. 5[1]). — 3 (... εἰς Λούρδη ἐν τῷ νέῳ Παλατίῳ καὶ εἰς τὸν ἅγιον Μάμαντα). — Ἰσαύρου κτλ. — **Cg** : Βασιλείου. — 2. — Ἀστείου[2] ἐπισκόπου Δυρραχίου. Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως καὶ Ἀγρικολάου ἡγεμόνος· ὅστις <ὑπὸ[3]> τῶν πρώτων τῆς πόλεως Νουμερίου, Νεάρχου, Ἀγλαΐδου καὶ Ἀρειανοῦ ἀναγκασθεὶς θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεὶς ἐβλήθη εἰς φυλακήν. Πρὸ δὲ τοῦ κατασχεθῆναι, εἶδεν ὄναρ ἑαυτὸν ἐπὶ πέτραν ἑστῶτα καὶ πισσελαίῳ κεχρισμένον, καὶ εἶπε τοῖς ἑαυτοῦ κληρικοῖς· « Δεῖ με, ἀδελφοί, παθεῖν ὑπὲρ τοῦ Χριστοῦ· ἀλλ' ὑμεῖς ἀπέλθατε ἕκαστος ὑμῶν, » ὅπου δύναται σωθῆναι. » Ἄγεται μετὰ τοῦτο τῷ Ἀγρικολάῳ καὶ τύπτεται πλουμβάτοις ἤγουν χερσὶ μολυβδίναις καὶ βουνεύροις· καὶ μὴ πεισθεὶς ἀρνήσασθαι τὸν Χριστόν, ἤλειψεν αὐτὸν μέλι καὶ ἐσταύρωσεν ἐπὶ ξύλου καὶ εἴασεν αὐτὸν ἐν τῷ καύματι πρὸ τῆς πόλεως, ὅπως ὑπὸ σφηκῶν καὶ μυῶν κατατρωθεὶς ἀποθάνῃ. Εὐξάμενος δὲ ὁ ἅγιος παρέδωκε τὴν ψυχήν· εἶτα ἀνεῖλον τὸ λείψανον αὐτοῦ οἱ χριστιανοὶ καὶ ἔθαψαν ἐντίμως ἐγείραντες αὐτῷ εὐκτήριον οἶκον. — 4. 3 : Φωκᾶ εἰς Λουρδὴν καὶ ἐν τῷ νέῳ Παλατίῳ εἰς τὸν ἅγιον Μάμαντα. Ἐξηγήσατο Λέων ὁ Ποντικὸς ὅτιπερ Σισιννάκις ὁ στιβαρὸς παραληφθεὶς ὑπὸ Σαρακηνῶν ἐπὶ τοῦ Μάλσαμα[4] καὶ σιδηρωθεὶς καὶ ἐξαγκωνισθεὶς κείμενος ἐπεκαλέσατο λέγων· « Ἅγιε μάρτυς Φωκᾶ, ἐλέησόν με καὶ λύτρωσαί με τῆς κατεχούσης ταύτης ἀνάγκης καὶ » τῶν δεσμῶν. » Καὶ ὑπνώσαντος αὐτοῦ, ὁρᾷ τὸν ἅγιον ἐν σχήματι πρεσβυτέρου λέγοντα αὐτῷ· « Ἀνάστα, ἀνάστα, ἀναχώρησον. » Καὶ διυπνισθεὶς εὗρεν ἑαυτὸν λελυμένον τῶν σιδήρων. Καὶ ἐξῆλθεν ἀβλαβὴς καὶ ἐλθὼν εἰς τὸν οἶκον αὐτοῦ ἦν ἀεὶ ἐπιτελῶν τὴν μνήμην τοῦ ἁγίου Φωκᾶ καὶ εὐχαριστῶν τῷ Θεῷ. Οὗτος ὁ ἅγιος χάριν ἔχει παρὰ Θεοῦ τοῦ προΐστασθαι ἐν πειρασμοῖς καὶ κινδύνοις ἐν γῇ καὶ ἐν θαλάσσῃ. Οὗ ταῖς πρεσβείαις καὶ ἡμᾶς λυτρώσηται κύριος ὁ Θεὸς ἀπὸ παντὸς κακοῦ· ἀμήν. — Ἰσαύρου. — **R** : 1. — Ἀστείου. — 4. 5. — **Ra** : 1. 2. 4. 5 (Ἀπολλωνίου καὶ Ἀλεξάνδρου). — **Rb** : Θωμᾶ ἐν τῷ Μαλαίῳ. — **Rc** : Ἀστείου. — 4. 5. — **Mc** : 1. — Ἀστείου. — Ἰσαύρου κτλ. — Περεγρίνου κτλ.

[1] Ἰουκεντίνου C. — [2] Ἀστ||||ιου Cg. — [3] *supplevi, om.* Cg. — [4] *al.* Μάσαλβα S.

Iul. 6. γεν[5] ἀβλαβής· καὶ καταλαβὼν τὸν ἴδιον οἶκον, ἦν ἀεὶ ἐπιτελῶν τὴν μνήμην τοῦ ἁγίου μάρτυρος Φωκᾶ καὶ εὐχαριστῶν τῷ Θεῷ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων[1] Ἀρχίππου καὶ Φιλήμονος[2]. Τελεῖται δὲ ἡ τούτων σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πέραν ἐν τῇ Ἐλαίᾳ.

5. Καὶ τῶν ἁγίων μαρτύρων Ἀπολλωνίου, Ἀλεξάνδρου, Ἐπιμάχου καὶ Ὀνησίμου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Ἑξακιονίῳ[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ΄.

Iul. 7. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἐν θαύμασι μεγίστου Θωμᾶ τοῦ ἐν τῷ Μαλέῳ[1]. Οὗτος εἰς μὲν τὸν πρότερον αὐτοῦ βίον ἐγένετο περιφανὴς καὶ περίβλεπτος πλούτῳ καὶ δυναστείᾳ, ἀλλὰ καὶ κατὰ βαρβάρων ἔστησεν ἄπειρα καὶ μέγιστα τρόπαια· ὕστερον δὲ ποθήσας Χριστὸν καὶ τοῦ βίου λιπὼν τὸ πικρὸν κλυδώνιον, ὑπέδυ τὸν ἐλαφρότατον τοῦ Κυρίου ζυγόν, καὶ τῷ τῶν μοναζόντων σχήματι προσῆλθε, τὴν πτωχείαν καὶ ταπείνωσιν τοῦ δεσπότου Χριστοῦ μιμησάμενος, καὶ στύλος πυρὸς ἐν νυκτὶ ὑπὸ Ἠλιοῦ τοῦ Θεσβίτου, οὗ καὶ τὸν βίον ἐμιμήσατο, ὁρᾶται φαινόμενος[2], | (f. 255.) καὶ πρός τι ὄρος ἀνῆλθε Μάλεων[3] λεγόμενον· ἐκεῖθέν τε ὡς ἀστὴρ ἀναφανεὶς καὶ αὐγάζων τὴν περίγειον καὶ τῇ προσευχῇ αὐτοῦ καὶ ἀγρυπνίᾳ ἐκμειῶν τὸ τῆς πονηρίας σκότος καὶ τὴν ἀχλὺν τῶν δαιμόνων, χάριν θαυμάτων ἔλαβεν· πηγήν τε ὕδατος διὰ προσευχῆς αὐτοῦ βλύσαι πεποίηκε καὶ τυφλοῖς τὸ βλέπειν καὶ χωλοῖς τὴν εὐδρομίαν παρέσχεν. Ἀλλὰ καὶ τὸν βίον λιπὼν καὶ τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος, οὐ παύεται καθ' ἑκάστην τοὺς αὐτῷ πίστει προσιόντας παντοίων παθῶν καὶ νόσων ἐκλυτρούμενος ἐκ τῶν βλυζόντων ναμάτων τῆς θείας λάρνακος.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰσαύρου καὶ τῶν σὺν αὐτῷ Βασιλείου, Ἰνοκεντίου, Φήλικος[1], <Ἑρμείου[2]> καὶ Περεγρίνου[3]. Ὁ ἅγιος Ἴσαυρος ὁ τῶν μυστηρίων τοῦ Χριστοῦ[4] διάκονος καὶ οἱ σὺν αὐτῷ γεγέννηνται ἐν Ἀθήναις κατὰ τοὺς καιροὺς Νουμεριανοῦ. Ἀπαναστάντες δὲ τῆς πατρίδος ἦλθον ἐν τῇ Ἀπολλωνιατῶν πόλει· κἀκεῖ δι' ἀποκαλύψεως θείου[5] ἀγγέλου εἰσῆλθον[6] ἔν τινι[5] σπηλαίῳ, ἐν ᾧ κατῴκουν[7] Φῆλιξ καὶ Περεγρῖνος καὶ Ἑρμείας[8] ὄντες χριστιανοί. Οἳ εὐσεβείας λόγοις παρὰ τοῦ ἁγίου Ἰσαύρου τρεφόμενοι, τροφὰς αὐτῷ σωματικὰς ἀντεκόμιζον· εἶτα κατ' ὀλίγον ταῖς τοῦ ἁγίου παραινέσεσι τὰ ὑπάρχοντα αὐτοῖς πτωχοῖς ἐπιδόντες συνῆσαν αὐτῷ. Οἱ δὲ συγγενεῖς αὐτῶν μεταγαγεῖν αὖθις αὐτοὺς εἰς τὰ ἴδια καὶ ἀποστῆσαι τοῦ ἁγίου ἐπιχειρήσαντες καὶ μὴ δυνηθέντες, διέβαλον αὐτοὺς Τριποντίῳ τῷ ἐπάρχῳ· ὃς συλλαβὼν αὐτοὺς καὶ τοῦ Χριστοῦ ἀποστῆσαι μὴ δυνηθείς, ξίφει τὰς κεφαλὰς αὐτῶν τμηθῆναι ἐκέλευσεν. Ἴσαυρος δὲ ὁ τοῦ Χριστοῦ διάκονος καὶ οἱ σὺν αὐτῷ ἀποστέλλονται παρὰ τοῦ ἐπάρχου πρὸς Ἀπολλώνιον τὸν υἱὸν αὐτοῦ· παρ' οὗ πυρὶ καὶ ὕδατι δοκιμασθέντες καὶ ἐν τῷ παραδόξως ἐκ τούτων σωθῆναι πολλοὺς μεταθέντες πρὸς τὴν πίστιν τὴν εἰς Χριστόν, ὧν ἦν Ῥοῦφος καὶ Ῥουφινιανὸς[9] οἱ αὐτάδελφοι, συγκλητικοὶ τῆς πόλεως ὄντες Ἀπολλωνίας, τελευταῖον τὴν ἀπόφασιν δεξάμενοι καὶ ἐπὶ πολὺ προσευξάμενοι, κλίναντες τὰς κεφαλὰς παρέδωκαν τὰς ψυχὰς τῷ Θεῷ.

3. Τῇ[1] αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Περεγρίνου καὶ τῶν σὺν αὐτῷ Λουκιανοῦ, Πομπηΐου, Ἡσυχίου[2], Σατορνίνου[3] καὶ Γερμανοῦ. Οὗτοι ὑπῆρχον ἐξ Ἰταλίας· κατὰ δὲ τοὺς καιροὺς Τραϊανοῦ διὰ τὸν ἐπικείμενον κατὰ τῶν χριστιανῶν διωγμὸν | (f. 255v.) ἐμβάντες εἰς πλοῖον, ἦλθον ἐν πόλει τοῦ Δυρραχίου[4]· καὶ ἐν αὐτῇ γενόμενοι[5] εἶδον τὸν ἅγιον Ἀστεῖον[6] ἐπὶ σταυροῦ κρεμάμενον, διάβροχον μέλιτι καὶ[7] ὑπὸ σφηκῶν καὶ μυῶν κεντούμενον, διὰ τὴν εἰς Χριστὸν πίστιν[8]. Μακαρίσαντες οὖν αὐτὸν συνελήφθησαν ὑπὸ τῶν ταξεωτῶν· καὶ χριστιανοὺς ἑαυτοὺς καταγγείλαντες, προστάξει τοῦ ἀνθυπάτου Ἀγρικολάου ἐν τῷ τοῦ Ἀδρία πελάγει ἐρρίφησαν· καὶ οὕτως τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο[9]. Ὧν τὰ λείψανα ἐκβαλοῦσα ἡ θάλασσα ἔκρυψεν ἐν τῇ ἄμμῳ. Ἐτῶν δὲ ἐνενήκοντα παρελθόντων, ἐμφανίζονται τῷ ἀρχιεπισκόπῳ Ἀλεξανδρείας· ὃς καὶ ἀνελόμενος αὐτὰ θάπτει ἐντίμως, ποιήσας ἐπ' αὐτοῖς εὐκτήριον οἶκον.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Εὐσταθίου, Πολυκάρπου καὶ Εὐαγγέλου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν Σιβωνίᾳ[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η΄.

Iul. 8. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Προκοπίου. Ὁ μέγας ἐν μάρτυσι Προκόπιος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως· ὥρμητο[1] δὲ ἐκ τῆς Αἰλιαίων[2] πόλεως[3], γεννηθεὶς ἐκ μὲν πατρὸς εὐσεβοῦς καὶ τὸν Χριστὸν ὁμολογοῦντος Χριστοφόρου ὀνόματι[4], ἐκ δὲ μητρὸς Θεοδοσίας τὰ εἴδωλα θρησκευούσης. Τοῦ οὖν πατρὸς αὐτοῦ τὸν βίον λιπόντος, ἡ μήτηρ <ἐν[5]> τῇ δυσσεβεῖ δόξῃ τῇ κατὰ τοῦ Χριστοῦ τὸν ἅγιον ἔτρεφε. Ἀνδρωθέντα δὲ ἤδη ἄγει αὐτὸν πρὸς Διοκλητιανὸν διατρίβοντα ἐν Ἀντιοχείᾳ[6]· καὶ δεήσεις ὑπὲρ αὐτοῦ ποιησαμένη καὶ συχνὰ μετρήσασα χρήματα, ἀναγορευθῆναι τὸν υἱὸν δοῦκα τῆς Ἀλεξανδρείας ἐποίησε. Εὐθὺς δὲ αὐτῷ καὶ ὁ κατὰ τῶν χριστιανῶν πόλεμος παρὰ τοῦ βασιλέως ἐνεχειρίσθη· ὃς ἐπὶ τὴν λαχοῦσαν διὰ νυκτὸς πορευόμενος — χαλεπὴ γὰρ ἡ δι' ἡμέρας πορεία διὰ τὸν ἐπιγινόμενον καύσωνα — ἐπεὶ ὡς ἀπὸ μιλίων τριάκοντα τῆς πόλεως γέγονεν Ἀπαμείας, συνεπομένων αὐτῷ καὶ τῶν δύο νουμέρων, ἐπιγεγονότος σεισμοῦ καὶ ἀστραπῶν, φωνῆς ἤκουσεν οὐρανόθεν καλούσης τε αὐτὸν ἐξ ὀνόματος Νεανίαν — τοῦτο γὰρ αὐτῷ τὸ πρότερον ὄνομα — καὶ τὴν πορείαν ὀνειδιζούσης καὶ θάνατον ἀπειλούσης[7], ὅτι δὴ[8] θεομαχήσων πορεύεται. Τοῦ δὲ ἁγίου εὐθὺς εὐγνωμοσύνῃ ψυχῆς Κύριον τὸν[9] καλοῦντα[9] ἀντικαλέσαντος[10] καὶ παρακαλέσαντος σαφέ|(f. 256.)στερον ἐμφανισθῆναι αὐτῷ, ὤφθη αὐτῷ σταυρὸς ἐν εἴδει κρυστάλλου[11] καὶ φωνὴ γέγονεν ἐκ τοῦ σταυροῦ λέγουσα· « Ἐγώ εἰμι ὁ ἐσταυρωμένος

— [5] ὑπεξέφυγεν Mc.
4. — [1] μαρτύρων *add.* D. — [2] Φηλήμονος D.
5. — [1] εἰς τὸ ἐξωκίωνιν D.
1. — [1] Μαλεῶν, Μαλαιῶν S *ad dd. April. 5, Mai 12*, Μαλεῶν D, Μαλεῶ Mc, B. — [2] *haec ita habet* Bc : οὕτως ἐγένετο περιφανέστερος, ὡς φαίνεσθαι ἐν νυκτὶ ὡς στύλος πυρὸς τῇ ἐπισκήψει τοῦ μεγάλου προφήτου Ἠλίου οὗ καὶ τὸν τρόπον ἐζήλωσεν. — [3] Μαλεὸν Mc.
2. — [1] Φίληκος S, Φίλικος D. — [2] D, *om.* S. — [3] Περεγγρίνου S. — [4] Χρ. μυστηρίων D. — [5] *om.* D. — [6] εἰσελθὼν D. — [7] προσώκουν D. — [8] Ἑρμίας S.
— [9] Ῥουφιανός D.
3. — [1] καὶ τῇ D. — [2] Ἡσχίου, Παπίου D. — [3] Σατορνίλου D. — [4] Δυραχίου D. — [5] εἰσελθόντες D. — [6] *corr. rec. supra lin.* D, Ἄστιον S. — [7] *om.* D. — [8] τὴν π. τὴν εἰς Χ. D. — [9] *hic des.* D.
4. — [1] Σιβωνίῳ D.
1. — [1] ὁρμᾶτο D. — [2] Ἐλιαίων D. — [3] ἤτοι Ἱερουσαλὴμ *add.* D. — [4] ὀν. χρ. D. — [5] D, *om.* S. — [6] Ἀντιοχίᾳ D. — [7] καὶ θ. ἀπ. καὶ τὴν π. ὀνειδ. D. — [8] δεῖ S, *om.* D. — [9] *om.* D. — [10] ἐπικαλεσάμενος D. — [11] κρυστάλου S.

Iul. 6. (Iul. 7[3]). — 4 et 5 : Φιλήμονος ἀρχιεπισκόπου καὶ Ὀνησίμου. — Βασιλείου (Iul. 5[4]). — Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου μάρτυρος Στεφάνου τοῦ εἰς τὸ Ῥήγιον Καλαβρίας (Iul. 5[6]). — 5 : Ἀπολλωνίου, ὅστις ἐν τῷ πλοίῳ βληθεὶς καὶ τοῦ πλοίου ἐν τῇ θαλάσσῃ πυρποληθέντος ἐτελειώθη... Ἀλεξανδρίων εἰς τροχὸν δεθεὶς καὶ κατὰ πρανοῦς ἀφεθεὶς τ... Ἐπίμαχος ξ. τ. Τελεῖται δὲ ἡ τούτων σύναξις εἰς τὸ Ἑξακιόνιον. — **Mv** : 1. 2. — Ἀστείου. — 4. 5. — **Mr** : 1.

Iul. 7. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. — **P** : 3. 2. 4. — Τῆς ἁγίας μάρτυρος Κυριακῆς. — **D** : 1 : Θωμᾶ τοῦ ἐν τῷ Μαλαιῷ. Οὗτος ἐν περιφανεῖ καὶ περιβλέπτῳ καὶ στρατιωτικῷ βίῳ πρότερον διαπρέψας καὶ πολλὰ καὶ μέγιστα κατὰ βαρβάρων... Des. : καὶ χωλοὺς ἀνορθώσας καὶ πηγὴν ὕδατος προσευξάμενος ἀναβλῦσαι ποιήσας καὶ ἕτερα θαύματα κατεργασάμενος ἀνεπαύσατο ἐν Κυρίῳ. — 2. 3. 4. — **Da** : 2. 3. 4. — Κυριακῆς. — **Db** : 1. 2. 3. 4 (des. : τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν Συμβόλοις). — **K** : 1. 2. 3. 4. — **N** : 2. 1. 3. 4. — **Bb** : 3. 1. — **Bc** : 3. 1. — **C** : 3. 1. — Τῆς ἁγίας καλλινίκου μάρτυρος Κυριακῆς (in marg.). — **Ce** : 3. 1. — **Cg** : 3. 1. — **R** : Κυριακῆς. — 2. 3. 1. 4. — **Ra** : 1. 3. — **Rb** : Σισόη (Iul. 6[1]). — Λουκίας (Iul. 6[2]). — **Rc** : Τοῦ ἁγίου μάρτυρος Ἀσκληπιάδου καὶ τῶν σὺν αὐτῷ (cf. Iul. 3[4]). — 2. — **Mc** : 1. — Κυριακῆς. Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ τοῦ βασιλέως Δωρόθεός τις χριστιανὸς σὺν Εὐσεβείᾳ τῇ γυναικὶ αὐτοῦ ἄτεκνοι ὄντες ἐδέοντο τοῦ Θεοῦ δοθῆναι αὐτοῖς καρπὸν ἐκ τῆς ὀσφύος αὐτῶν καὶ τῷ Θεῷ τοῦτον εἰ δοθείη προσενεγκεῖν ἐπηγγείλαντο. Γεννήσαντες οὖν παιδίον θῆλυ ἐν ἡμέρᾳ κυριακῇ, ἐπωνόμασαν αὐτὴν Κυριακήν· καὶ βαπτίσαντες καὶ παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἀνατρέφοντες ἐτήρουν παρθένον, ὡς τῷ Θεῷ ταύτην ἀναθέσθαι βουλόμενοι. Γενομένου δὲ διωγμοῦ, παρεδόθησαν Διοκλητιανῷ τῷ βασιλεῖ. Καὶ ἀνακρίνας οὗτος αὐτοὺς καὶ τυπτήσας τοὺς μὲν γονεῖς παρέπεμψεν Ἰούστῳ δουκὶ ἐν τοῖς μέρεσι τῆς Μελιτηνῆς[1], τὴν δὲ παῖδα Κυριακὴν Μαξιμιανῷ τῷ Καίσαρι ἐν Νικομηδείᾳ· ὃς καὶ ἐπανακρίνας ταύτην καὶ ἐν τῇ εἰς Χριστὸν πίστει στερεὰν εὑρὼν καὶ ἀκλόνητον, ῥίψας χαμαὶ ἔτυψεν ἀφειδῶς ἐπὶ πολλὰς τὰς ὥρας. Τῆς δὲ ἁγίας προσευχομένης, ἐμαίνετο ὁ δικαστὴς κατὰ τῶν ὑπηκόων καί φησιν ἡ ἁγία πρὸς αὐτόν· « Μὴ πλανῶ, Μαξιμιανέ, οὐδέποτέ μου κυριεύσεις » Θεοῦ βοηθοῦντός μοι. » Καὶ παρέπεμψεν αὐτὴν Ἱλαριανῷ τῷ ἄρχοντι Βιθυνίας. Ὁ δὲ ταύτην ἐπανακρίνας εἰσήγαγεν εἰς τὸ εἰδωλεῖον. Προσευξαμένης δὲ αὐτῆς γέγονε σεισμὸς μέγας· καὶ πεσόντα τὰ εἴδωλα τοῦ ναοῦ πάντα συνετρίβησαν καὶ ἐγένοντο ὡσεὶ χοῦς[2]. Καὶ εἰσελθὼν λαῖλαψ ἀνέμου ἐσκόρπισε τὸν χοῦν εἰς τὸν ἀέρα καὶ ἐλθοῦσα ἀστραπὴ πυρὸς κατέκαυσε τὸ πρόσωπον Ἱλαριανοῦ τοῦ ἄρχοντος, καὶ πεσὼν ἐκ τοῦ θρόνου ἐξέψυξεν. Ἐλθὼν δὲ ἕτερος ἄρχων διάδοχος αὐτοῦ καὶ μαθὼν πάντα κατεδίκασε τὴν ἁγίαν πυρίκαυστον γενέσθαι· καὶ ἀνάψαντες πυρκαϊὰν μεγάλην ἠκόντισαν τὴν ἁγίαν ἐν μέσῳ. Ἡ δὲ τὰς χεῖρας εἰς τὸ ὕψος πετάσασα, ηὔξατο ἐπὶ ὥρας πολλὰς πρὸς Θεόν. Καὶ τοῦ ἀέρος θερινοῦ καὶ καθαροῦ ὄντος, κατελθοῦσα νεφέλη ἐκ τοῦ οὐρανοῦ ἔσβεσε πᾶσαν τὴν δύναμιν τοῦ πυρός, μηδὲν τῆς μάρτυρος λωβηθείσης. Εἶτα ἀπολύσας αὐτὴν ἐν τῷ σταδίῳ καὶ θῆρας διαφόρους σὺν αὐτῇ, οὐδὲν οὐδὲ ἐν τούτῳ ἤνυσεν· ἐκυλίοντο γὰρ οἱ θῆρες παρὰ τοὺς πόδας αὐτῆς· ἐφ' ᾧ καὶ πολλοὶ ἐπίστευσαν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ἡ δὲ ἁγία ἐνεβλήθη εἰς τὴν φυλακήν· καὶ τῇ ἑξῆς προκαθίσας ὁ ἄρχων ἔδωκεν ἀπόφασιν κατ' αὐτῆς. Ἡ δὲ αἰτησαμένη προσεύξασθαι μετὰ τὸ ἔξω τῆς πόλεως ἐξαχθῆναι παρὰ τῶν μελλόντων ἀνελεῖν αὐτὴν δημίων, ἐπὶ ὥρας πολλὰς προσηύξατο. Εἶτα κατηχήσασα τοὺς συνακολουθήσαντας αὐτῇ χριστιανοὺς κατακλιθεῖσα πρὸς γῆν, ἐκοιμήθη ἐν εἰρήνῃ. Καὶ προσελθόντες οἱ στρατιῶται ὡς εὗρον αὐτὴν νεκράν, ἐξέστησαν. Γέγονε δὲ καὶ φωνὴ πρὸς αὐτούς· « Πορεύεσθε, ἀδελφοί, καὶ διηγεῖσθε πᾶσι τὰ μεγαλεῖα τοῦ Θεοῦ. » Οἱ δὲ ὑποστρέψαντες ἐδόξαζον τὸν Θεόν. — 4 : Εὐστάθιος π. τ... Εὐάγγελος ξ. τ. — **Mv** : 1. 3. — **Mr** : 1.

Iul. 8. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 1. 2. — **D** : 1. — **Da** : 1. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. 3. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. —

[1] Μελιτινῆς Mc.

— [2] χνοῦς Mc.

Iul. 8. » Ἰησοῦς [12], ὁ τοῦ Θεοῦ υἱός. » Ἐντεῦθεν ἅπαν τὸ τῆς οἰκονομίας μυστήριον παρὰ τοῦ Θεοῦ [13] διδαχθείς, βεβαίαν ἐπίγνωσιν τῆς πίστεως ἔλαβε· καὶ ὑποστρέψας ἐν τῇ Σκυθοπόλει, ἐπέτρεψε γενέσθαι κατὰ τὸν δειχθέντα τύπον αὐτῷ σταυρὸν ἐκ χρυσοῦ καὶ ἀργύρου συγκείμενον, ᾧ συνεξεφάνησαν ἅμα τῷ τελειωθῆναι εἰκόνες τρεῖς ἑβραΐων γράμμασιν, ὧν εἶεν [14] οἱ τύποι δηλοῦσαι, ἄνω μὲν Ἐμμανουήλ, ἑκατέρωθεν δὲ Μιχαὴλ καὶ Γαβριήλ. Περιπτυξάμενος οὖν αὐτόν τε τὸν σταυρὸν καὶ τὰς ἐν αὐτῷ εἰκόνας, εὐθὺς ἀνέζευξεν εἰς Ἱερουσαλήμ· καὶ κατὰ τῶν Σαρακηνῶν στήσας τρόπαια, οἳ ἐπόρθουν τὰς πέριξ χώρας καὶ ἐληΐζοντο, ἐπινικίους θυσίας τοῖς δαίμοσιν προσαγαγεῖν παρὰ τῆς μητρὸς προετρέπετο. Ὡς δὲ τῇ τοῦ Χριστοῦ δυνάμει τὴν κατὰ τῶν πολεμίων νίκην ἐπέγραφεν, ἤχθη πρὸς τὸν βασιλέα, διαβαλούσης [15] αὐτὸν τῆς μητρός. Ὁ δὲ Οὐλκίῳ τῷ τῆς Καισαρείας ἡγεμόνι ἐπέτρεψε τὴν κατὰ τοῦ ἁγίου ἐξέτασιν. Ἐτύφθη οὖν παρ' αὐτοῦ σφοδρῶς μὴ πεισθεὶς τοῖς εἰδώλοις θυσίας προσενεγκεῖν· καὶ ἐν τῷ δεσμωτηρίῳ ῥιφεὶς καὶ δόξας εἶναι ἡμιθανής, ἐπιστάντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῶν τε [12] δεσμῶν ἐλύθη καὶ Προκόπιος ἐπεκλήθη, τὴν ἐπὶ τῷ μαρτυρίῳ προκοπὴν αὐτῷ καὶ τελείωσιν δηλοῦντος τοῦ ὀνόματος, καὶ θάρσος κατὰ τῶν δεινῶν καὶ τῶν ἀπειλουμένων κολάσεων ἔλαβεν. Εἶτα ἄγεται ἐν τῷ ναῷ τῶν εἰδώλων καὶ διὰ προσευχῆς τὰ ἐκεῖσε [12] εἴδωλα κατέβαλεν· ἃ πεσόντα καὶ συντριβέντα καὶ παραδόξως εἰς ὕδωρ μεταποιηθέντα ἐξεχύθησαν διὰ τῶν θυρῶν τοῦ ναοῦ, ὥστε ἰδόντας τοὺς στρατιώτας τῶν δύο νουμέρων σὺν τοῖς δυσὶ τριβούνοις Νικοστράτῳ καὶ Ἀντιόχῳ πιστεῦσαι τῷ Χριστῷ καὶ παρὰ Λεοντίου τοῦ ἐπισκόπου τὸ [12] βάπτισμα δέξασθαι καὶ τὰς κεφαλὰς προστάξει τοῦ βασιλέως ἀποτμηθῆναι. Συνελήφθησαν δὲ καὶ δώδεκα γυναῖκες συγκλητικαὶ ἅμα Θεοδοσίᾳ τῇ τοῦ ἁγίου μητρὶ πιστεύσασαι καὶ αὐταὶ ἐπὶ τῷ γενομένῳ θαύματι· καὶ ἀφειδῶς αἰκισθεῖσαι καὶ τοὺς μαστοὺς ἐκκοπεῖσαι καὶ πυρωθείσαις σφαίραις τὰς μασχάλας διαφλεχθεῖσαι [16], ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν [17]. | Μετὰ ταῦτα Φλαβιανὸς τὴν ἡγεμονίαν δεξάμενος [18] καθιστᾷ τὸν ἅγιον εἰς ἐξέτασιν, καὶ μὴ πειθόμενον κελεύει Ἀρχελάῳ τινὶ ξίφει πλῆξαι αὐτόν· ὃς τὴν χεῖρα ἀνατείνας εὐθὺς ἐπὶ τὴν γῆν πεσὼν ἐξέπνευσεν. Εἶτα τείνεται [19] ὁ ἅγιος [20] σχοινίοις καὶ νεύροις ὠμοῖς ξέεται [21] καὶ ἐπ' ἀνθρακιᾶς καταφλέγεται [22] καὶ τοῖς καταφλεχθεῖσι μέλεσιν ὄξος ἐπιχέεται [23]. Δεξάμενος δὲ ἐν τῇ χειρὶ πῦρ καὶ λιβανωτὸν διεκαρτέρησε τὴν χεῖρα καταφλεγόμενος, ἵνα μὴ δόξῃ τοῖς ἀσεβέσι σκορπίσας τὸ πῦρ θυσίαν τοῖς εἰδώλοις προσενεγκεῖν· ἐπὶ πᾶσιν ἀναρτηθεὶς προσεδέθη [24] τὰς χεῖρας, καὶ εἰς κλίβανον ἐκπυρωθέντα μέλλων ἐμβληθῆναι ἐπεὶ τῇ τοῦ [12] Χριστοῦ [12] σφραγῖδι τοῦτον [25] κατέψυξε, τὴν διὰ τοῦ ξίφους ἀπόφασιν ἔλαβε, καὶ τμηθεὶς τὸν αὐχένα πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι πλησίον τῆς Χελώνης καὶ ἐν τῷ Κονδυλίῳ. f. 256v.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀβδᾶ καὶ Σάβα.

3. Καὶ ἄθλησις τοῦ ἁγίου Προκοπίου τοῦ ἐφορκιστοῦ, τοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

Iul. 9. **1.** Ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἱερομάρτυρος Παγκρατίου ἐπισκόπου Ταυρομενίου. Οὗτος ὑπῆρχεν ἐπὶ τῶν χρόνων τῶν [1] ἀποστόλων, ἕλκων τὸ γένος ἐκ τῶν ὁρίων Ἀντιοχείας. Οὗτος τὸ ἅγιον βάπτισμα ἐδέξατο [2] ἐν τῇ ἁγίᾳ Σιὼν ἅμα πατρὶ καὶ μητρί. Μετὰ δὲ τὴν τούτων ἀποβίωσιν καταλιπὼν ἅπαντα [3] τὰ προσόντα αὐτῷ, ἔρχεται ἐπὶ τὰ ὅρια Πόντου· καὶ ἐπί τι σπήλαιον εἰσδύς, καταμόνας ἦν ἀσκῶν καὶ ἑαυτῷ προσέχων καὶ μόνῳ Θεῷ [4] προσομιλῶν. Ὁ δὲ κορυφαῖος τῶν ἀποστόλων Πέτρος διερχόμενος τὰς πόλεις καὶ διδάσκων, κατέλαβε τὸν ἄνδρα ἐν τῷ Πόντῳ, καὶ ἀναλαβὼν αὐτὸν ἦλθεν εἰς Ἀντιόχειαν, εἶτα εἰς τὰ τῆς Κιλικίας μέρη. Ὅτε καὶ τῷ μεγάλῳ ἀποστόλῳ Παύλῳ περιτυχὼν ἅμα αὐτῷ χειροτονεῖ πρῶτον μὲν Κρίσκεντα εἰς Γαλατίαν, ἔπειτα [5] Μαρκιανὸν εἰς

— [12] *om.* D. — [13] π. τ. Θ. μυστήριον D. — [14] εἶναι D. — [15] διαβαλλούσης D. — [16] φλεχθεῖσαι D. — [17] ἐξεκόπησαν D. — [18] διαδεξάμενος D. — [19] τείνει D. — [20] ὁ ἅγιος *om.* D. — [21] καὶ κελεύει ξέεσθαι D. — [22] καταφλέγεσθαι D. — [23] ἐπιχέεσθαι D. — [24] λίθοις *add.* D. — [25] *hic abrumpitur* D.

1. — [1] ἁγίων *add.* Mc. — [2] ἐδ. δὲ τὸ ἅγιον βάπτισμα Mc. — [3] πάντα Mc. — [4] Θ. μόνῳ Mc. — [5] εἶτα Mc.

Iul. 8. **Rc** : 1. — **Mc** : 1. — Θεοδοσία ἡ τούτου μήτηρ ξ. τ. — Αἱ ἅγιαι ιβ' γυναῖκες αἱ συγκλητικαὶ ξ. τ. — Ἀντίοχος καὶ Νικόστρατος ξ. τ. — 2 : Ἀβδᾶς ξ. τ. — **Mc** : 1. — **Mr** : 1.

Iul. 9. SYNAXARIA SELECTA. **H** : 3. 2. — Πατερμουθίου, Κόπρη καὶ Ἀλεξάνδρου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ μονῇ τοῦ Ἄνθου; πλησίον τῆς Ξηροκίρκου (Dec. 17²). — **P** : 2. — Κυρίλλου ἀρχιεπισκόπου Κρήτης μητροπολίτου Γορτύνης, πρὸ ζ' εἰδῶν ἰουλίων ἐπὶ Μαξιμιανοῦ βασιλέως (Sept. 5, Iun. 14³). — Πατερμουθίου κτλ. — 1. — **D** : deest. — **Da** : 1. — Πατερμουθίου κτλ. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ μονῇ τῶν Ἄνθου πλησίον τῆς Ξυλοκέρκου. — Κυρίλλου ἀρχιεπισκόπου Γορτύνης. — 3. 2 : Ἰστέον ὅτι καὶ ὁ ἅγιος Ὀρέστης ἐν τῷ Βάτῳ καὶ ἐν ταύτῃ τῇ ἡμέρᾳ παρὰ πολλῶν μνημονεύεται καὶ νοεμβρίῳ θ'. — **Db** : 1. — Πατερμουθίου κτλ. — Κυρίλλου. — **K** : Πατερμουθίου κτλ. — Κυρίλλου. — **N** : 1. — Πατερμουθίου, Κόπρη καὶ Ἀλεξάνδρου. Οὗτοι κατὰ τοὺς χρόνους Ἰουλιανοῦ τοῦ παραβάτου ὑπῆρχον <ἐν [1]> τῇ κατ' Αἴγυπτον ἐρήμῳ τὸν ἀσκητικὸν καὶ μονήρη βίον μετερχόμενοι. Πρὸς δὲ τὸν κατὰ Περσῶν πόλεμον ὁ Ἰουλιανὸς ἀπιών, ἐπεὶ τὰ κατὰ τοὺς ἁγίους ἔμαθεν, ἐκέλευσε παραστῆναι αὐτούς· καὶ δὴ παραστάντων καὶ τὸν Χριστὸν ὁμολογησάντων, ἠρώτησε τὸν Πατερμούθιον, ἐν ποίῳ

[1] *om.* N.

Συράκουσαν [6], εἶτα τὸν ἅγιον Παγκράτιον εἰς τὸ Ταυρομένιον. Ὁ δὲ Παγκράτιος εἰσελθὼν ἐν τοῖς πλοίοις Λυκαονίδου καὶ Ῥωμύλου [7] τῶν ναυκλήρων, κατέλαβε τὴν πρὸς ἣν ἐπέμφθη [8] χώραν· σημείων δὲ πλείστων παρὰ τοῦ ἁγίου τελουμένων Παγκρατίου, τῇ τοῦ Χριστοῦ πίστει ἐκ προοιμίων οἱ ναύκληροι [9] προστίθενται καὶ τὰ σεβάσματα τῶν κατὰ τὴν [10] χώραν τοῦ τε Φάλκωνος καὶ Λύσωνος καὶ τῶν λοιπῶν δαιμόνων ἠφανίσθησαν. | Ὁ δὲ τοῦ τόπου ἡγεμών, ᾧ ὄνομα Βονιφάτιος [11], ἰδὼν τὰ γενόμενα [12] τεράστια καὶ ὑπερθαυμάσας, ἐπίστευσε [13] τῷ Χριστῷ καὶ σπουδὴν πολλὴν θέμενος ἐκκλησίαν ἐδείματο ἐν τριάκοντα μόναις ἡμέραις [14]. Ὁ δὲ Παγκράτιος ἦν θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τῇ τοῦ Χριστοῦ χάριτι· διὸ καὶ καθεκάστην προσετίθει [15] πλήθη πολλὰ τῷ Χριστῷ [10] καὶ [10] Θεῷ, καὶ ἐβαπτίζοντο [16]. Μόνοι δὲ οἱ Μοντανοὶ ἔμειναν ἐν τῇ ἀπιστίᾳ· οἵτινες καὶ [10] ἀπεχθῶς ἔχοντες πρὸς τὸν ἅγιον καιροῦ λαβόμενοι καὶ ἐπιθέμενοι αὐτῷ δόλῳ μετὰ καὶ Ἀρταγάλου τοῦ αὐτῶν ἀρχηγοῦ, ἔκτειναν καὶ πρὸς τὸν ποθούμενον αὐτῷ παρέπεμψαν Κύριον [17], καὶ οὕτως εὕρατο τῶν πολλῶν πόνων τὴν ἀντίδοσιν. f. 257.

Iul. 9. **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρέστου. Οὗτος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Τυάνων τῆς Καππαδοκῶν ἐπαρχίας, τὴν ἰατρικὴν τέχνην μετιών. Προσαχθεὶς δὲ Μαξίμῳ τῷ ἡγεμόνι καὶ ὁμολογήσας τὴν εἰς Χριστὸν πίστιν, ῥαβδίζεται ἐπὶ τοσοῦτον, ὥστε ἀνακαλυφθῆναι τὰ σπλάγχνα αὐτοῦ. Καὶ εἰσελθὼν ἐν τῷ ναῷ τῶν εἰδώλων καὶ τὴν ἐν Χριστῷ σφραγῖδα ποιήσας, κατέβαλε τὰ ἐν αὐτῷ εἴδωλα, ἃ καὶ πεσόντα εἰς χοῦν διελύθησαν. Εἶτα εἰς φυλακὴν βάλλεται καὶ μεθ' ἡμέρας ὀκτὼ ἐξαχθεὶς καθηλοῦται ἥλοις τὰς πτέρνας καὶ πρὸς τούτοις δεσμεῖται ἁλύσει τὰς χεῖρας καὶ ἐπὶ μιλίοις εἴκοσι καὶ τέσσαρσι σύρεται ὑφ' ἵππου, ἐν ᾧ τὸ τῆς ἁλύσεως ἔδησαν ἄκρον· καὶ συρόμενος ἀπέδωκε τὴν ψυχήν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου, πλησίον τῆς μεγάλης ἐκκλησίας.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐγκαινίων τοῦ σεβασμίου οἴκου τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ὄντος ἐν τῇ Πηγῇ.

— [6] Συρράκουσαν S, Mc. — [7] Ῥωμίλου Mc. — [8] ἀπεστάλη Mc. — [9] παρ' αὐτοῦ γινομένων εὐθὺς ἐκ προοιμίων οἱ ναύκληροι τῇ εἰς Χ. πίστει Mc. — [10] *om.* Mc. — [11] Βονηφάτιος S, Mc. — [12] γινόμενα Mc. — [13] καὶ αὐτὸς *add.* Mc. — [14] διὰ τριάκοντα ἡμερῶν Mc. — [15] προσετίθεντο Mc. — [16] τοῦ ἁγίου ἠξιοῦντο βαπτίσματος Mc. — [17] *hic des.* Mc.

Iul. 9. χρόνῳ τῆς ἡλικίας ἐστί. Τοῦ δὲ εἰπόντος ἐν πέμπτῳ καὶ ἑβδομηκοστῷ, ἀποστρέψας εἰς τὸν Κόπρην, τὰς τῶν ἐτῶν περιόδους, αἷς συνέζησεν, ἀπαριθμῆσαι ἐκέλευσεν. Εἰπόντος δὲ αὐτοῦ τεσσαράκοντα καὶ πέντε ὑπάρχειν, τότε τὸν μὲν πρεσβύτερον ἔξω γενέσθαι προσέταξε. Παντοίαις δὲ κολακείαις καὶ ἀπάταις χρησάμενος καὶ προσθεὶς ἀπειλάς, ἔπεισε τὸν Κόπρην ἀρνήσασθαι τὸν Χριστὸν καὶ σέβας τοῖς εἰδώλοις προσνεῖμαι. Τοῦτο γνοὺς ὁ ἅγιος Πατερμούθιος, ἐδέετο τοῦ Θεοῦ ἐπιστρέψαι αὐτὸν ἐκ τῆς πλάνης καὶ μὴ συγχωρῆσαι διακενῆς τὸν ἐν τῇ ἀσκήσει κάματον γενέσθαι αὐτοῦ. Ὡς δὲ εἰσήχθη αὖθις πρὸς τὸν Ἰουλιανὸν καὶ εἶδε τὸν Κόπρην ἐν ἱματίοις λαμπροῖς παρεστηκότα, ταλανίσας αὐτὸν καὶ τῆς προτέρας διαγωγῆς καὶ τῶν μακρῶν νηστειῶν καὶ ἀγρυπνιῶν καὶ σχεδὸν τῆς ἀσωμάτου ζωῆς ἀναμνήσας εἰς κατάνυξιν ἤγαγεν. Ὃς εὐθὺς εἰς τὸν οὐρανὸν ἀναβλέψας· « Οὐκέτι, εἶπεν, Ἰουλιανίτης εἰμὶ » ἀλλὰ δοῦλος ἀνάξιος τοῦ Χριστοῦ. » Ὁ δὲ τύραννος προσέταξε πυράγραν χαλκέως ἀνθρακωθεῖσαν τῇ γλώσσῃ προσενεχθῆναι αὐτοῦ· εἶτα εἰς ἐσχάραν [2] βληθῆναι πυρός. Εἰς ἣν ἀπαγόμενος ἐδειλίασεν· ἀλλὰ ταῖς τοῦ ἁγίου Πατερμουθίου παραινέσεσιν ἀναρρωσθεὶς εἰσῆλθεν ἅμα αὐτῷ εἰς τὴν τοῦ πυρὸς ἐσχάραν. Ταύτης δὲ ψυχρανθείσης, αὖθις ἀναφθῆναι προσέταξε κάμινον καὶ εἰσαχθῆναι αὐτούς. Διαμείναντες δὲ καὶ ἐν αὐτῇ ἀπαθεῖς, ἐξεκαλέσαντο πρὸς τὴν εἰς Χριστὸν πίστιν τὸν στρατιώτην Ἀλέξανδρον· ὃς ἐπὶ τῆς ἐσχάρας τοῦ πυρὸς ἀλωβήτους διαφυλαχθέντας τούτους ἰδὼν πρῶτος αὐτῶν ὑπέδυ τὴν κάμινον τὸ τοῦ Χριστοῦ ἐπικαλούμενος ὄνομα. Ἐξαχθέντες οὖν ἐκεῖθεν τοὺς αὐχένας ἐτμήθησαν. — Κυρίλλου ἀρχιεπισκόπου Γορτύνης τῆς κατὰ Κρήτην. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ· διὰ δὲ τρόπων καὶ ἠθῶν καὶ βίου καὶ λόγου κατάστασιν... Des. : ξίφει τὴν κεφαλὴν αὐτοῦ τμηθῆναι ἐκέλευσε· καὶ οὕτως τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο. — 2 (Ἰστέον κτλ.). — **Bb** : Κυρίλλου. — Πατερμουθίου κτλ. — 1. — **Bc** : Κυρίλλου. — Πατερμουθίου κτλ. — Βιάνωρος καὶ Σιλουανοῦ (Iul. 10²). — Ἀπολλωνίου (Iul. 10³). — Τῶν ἁγίων μυρίων πατέρων (Iul. 10⁴). — **C** : 3. — Κυρίλλου. — Πατερμουθίου κτλ. — 1. — **Ce** : 3. — Κυρίλλου. — Πατερμουθίου κτλ. — **Cg** : 3. — Κυρίλλου. — Πατερμουθίου κτλ. — 1 : Παγκρατίου ἐπισκόπου Ταυρομενίας. Οὗτος ὁ ἅγιος Ἀντιοχεὺς ὢν τὸ γένος παρὰ Πέτρου τοῦ ἀποστόλου πρὸς τὴν εἰς Χριστὸν πίστιν χειραγωγεῖται· παρ' οὗ καὶ χειροτονηθεὶς Ταυρομενίου ἐπίσκοπος ἀποστέλλεται. Ῥωμύλῳ δὲ καὶ Λυκαονίδῃ τοῖς ναυκλήροις περιτυχὼν καταλαμβάνει τὴν Σικελῶν [3] νῆσον· οὓς ἐκ προοιμίων πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπεσπάσατο. Ἐπεὶ καὶ τῇ νήσῳ ἐπέβη, τοῦ τε Φάλκωνος καὶ Λύσσωνος καὶ τῶν λοιπῶν δαιμόνων ἠφάνισε τὰ ἰνδάλματα καὶ τὸν ἐπὶ τοῦ τόπου ἡγεμόνα Βονιφάτιον [4] πιστεῦσαι Χριστῷ πεποίηκε καὶ ἐκκλησίας δείμασθαι. Πᾶσαν δὲ νόσον καὶ πᾶσαν μαλακίαν μετὰ ταῦτα ὁ μέγας Παγκράτιος θεραπεύων καὶ καθ' ἑκάστην προστιθέμενος πλήθη πολλὰ τῷ Θεῷ καὶ διὰ τοῦ ἁγίου βαπτίσματος τελειῶν, ἐπεὶ ὁ ἡγεμὼν Βονιφάτιος μὴ παρῆν, ὑπὸ τῶν Μοντανῶν [5] ἀναιρεῖται. — **R** : 1. — Πατερμουθίου κτλ. — Κυρίλλου. — **Ra** : 1. — Κυρίλλου. — Τῶν ἁγίων πατέρων (Iul. 10⁴). — Σύναξις Ἰωάννου (Iul. 10⁵). — **Rb** : 1. — Κυρίλλου. — **Rc** : 1. — Κυρίλλου. — **Mc** : 1. — Πατερμουθίου κτλ. — Βιάνωρος καὶ Σιλουανοῦ. — Ἀνδρέας καὶ Πρόβος π. τ. (Iul. 12³). — **Mv** : 1. — Πατερμουθίου κτλ. — Κυρίλλου. — **Mr** : 1.

— [2] χάραν N. — [3] Συκελῶν Cg. — [4] Βονηφάτιον Cg. — [5] μαντανῶν Cg.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Iul. 10. **1.** Ἄθλησις τῶν ἁγίων τεσσαράκοντα πέντε μαρτύρων τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας μαρτυρησάντων. Οὗτοι κατὰ τοὺς καιροὺς Λικινίου [1] τοῦ βασιλέως καὶ Λυσίου ἡγεμόνος ὡμολόγησαν τὸν Χριστόν· ἐξῆρχον δὲ αὐτῶν οἱ καὶ τῆς πόλεως ἦσαν πρῶτοι, Λεόντιος, Μαυρίκιος, Δανιήλ, Ἀντώνιος· διαφόροις δὲ ἐξετασθέντες βασάνοις [2], ὕστερον ἐν καμίνῳ πυρὸς [3] βληθέντες f. 257r. τέλος τοῦ δρόμου τῆς | ἀθλήσεως εὕραντο. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις εἰς τὴν ἁγίαν Ἀκυλίνην [4], πλησίον τοῦ Φόρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων [1] Βιάνωρος καὶ Σιλουανοῦ. Ὁ ἅγιος μάρτυς Βιάνωρ ἦν τῆς Πισιδῶν [2] ἐπαρχίας· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν κατεσχέθη ὑπὸ Σευηριανοῦ ἡγεμόνος τῆς Ἰσαύρων πόλεως τῆς Εὐφρατησίας· καὶ μὴ πεισθεὶς [3] ἀρνήσασθαι τὸν Χριστόν [4], σπαθίζεται δεινῶς κρεμασθείς, καὶ σφαίραις πυρὸς κατακαίεται καὶ τοὺς ὀδόντας καὶ τὰ ὦτα ἀφαιρεῖται. Σιλουανὸς δέ τις παρεστὼς καὶ τὴν καρτερίαν τοῦ ἁγίου βλέπων, ἐπίστευσεν εἰς τὸν Χριστὸν καὶ ἐξεκόπη παραυτίκα [5] τὴν γλῶτταν, καὶ μετὰ ταῦτα τὴν κεφαλήν. Ὁ δὲ ἅγιος Βιάνωρ ἐτρυπήθη τοὺς ἀστραγάλους καὶ τὸν δεξιὸν ὀφθαλμὸν ἐξωρύχθη καὶ τὸ δέρμα τῆς κεφαλῆς ἀφῃρέθη καὶ μετὰ τοῦτο τὸν αὐχένα ἐτμήθη.

3. Τῇ [1] αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀπολλωνίου. Οὗτος ἦν ἐκ τῆς [2] πόλεως Σάρδεων τῆς ἐν Λυδίᾳ· καὶ προσαχθεὶς [3] Περινίῳ τῷ ἄρχοντι ἐν τῷ Ἰκονίῳ ἐνδημοῦντι [2], ὡμολόγησεν ἑαυτὸν εἶναι χριστιανόν. Ἀναγκασθεὶς δὲ εἰς τὴν τύχην τοῦ βασιλέως ὀμόσαι, ἔφη μὴ εἶναι θεμιτὸν εἰς βασιλέα ὀμνύειν θνητόν, καὶ μάλιστα τὸν ποιητὴν καὶ δημιουργὸν τοῦ σύμπαντος μὴ ἐπιγινώσκοντα. Ἐπὶ τούτοις ἐν ξύλῳ [4] σταυροῦ ἀναρτηθεὶς τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται [5].

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων [1] μυρίων πατέρων [1] τῶν ἐν τοῖς σπηλαίοις [2], οὓς θανάτῳ πικρῷ παρέδωκεν ἐν καπνῷ καὶ πυρὶ [3] Θεόφιλος ὁ ἀρχιεπίσκοπος Ἀλεξανδρείας διὰ Ἰσίδωρον [4] τὸν πρεσβύτερον.

5. Καὶ ἡ [1] σύναξις τοῦ ἁγίου ἀποστόλου καὶ [1] εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου [2], ἐν τοῖς Βεάτου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Iul. 11. **1.** Μνήμη τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος τοῦ Χριστοῦ Εὐφημίας τῆς πανευφήμου, καὶ ἡ σύναξις τοῦ ὅρου τῆς πίστεως τῶν ἁγίων ἑξακοσίων τριάκοντα πατέρων, τῶν ἐν Χαλκηδόνι συνελθόντων. Ἰστέον οὖν ὅτι ἡ μὲν καλλίνικος μάρτυς ὑπῆρχε κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ καὶ Πρίσκου ἀνθυπάτου Εὐρώπης πόλεως Χαλκηδόνος, θυγάτηρ οὖσα Φιλόφρονος καὶ Θεοδωρησιανῆς. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν διαβληθεῖσα, τροχοῖς καὶ πυρὶ προσπαλαίσασα, ἔτι δὲ καὶ μηχαναῖς τισιν ἑτέρων κολαστηρίων, καὶ λέουσιν ἐκδοθεῖσα βορὰ καὶ ἀλώβητος μείνασα, ἐν αὐτῷ τῷ θεάτρῳ τὴν ψυχὴν τῷ Θεῷ παρα|τίθησι, f. 258. καὶ κατατίθεται ἐν λάρνακι ὑπὸ τῶν οἰκείων τῆς πίστεως. Μετὰ δὲ πλεῖστου χρόνου παραδρομήν, ὅτε καὶ τὰ τῆς εὐσεβείας ἦν ἐν πλατυσμῷ, Θεοδοσίου [1] υἱοῦ Ἀρκαδίου τὰ σκῆπτρα ἰθύνοντος, γέγονέ τι τοιόνδε τεράστιον. Εὐτυχής τις μοναχὸς καὶ πρεσβύτερος ἀρχηγὸς αἱρέσεως κατέστη λέγων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μιᾶς φύσεως εἶναι καὶ μιᾶς ἐνεργείας· ὃς καὶ καθαιρεῖται ὑπὸ Φλαβιανοῦ τῆς Κωνσταντινουπόλεως προέδρου

1. — [1] Λικιννίου S; D *initio mutil.* — [2] βασ. ἐξετασθέντες D. — [3] *om.* D. — [4] Κυλλίνη D.
2. — [1] τοῦ ἁγίου μάρτυρος D. — [2] Πισσιδῶν D. — [3] καὶ ἀναγκασθεὶς D. — [4] καὶ μὴ πεισθεὶς *add.* D. — [5] *om.* D.
3. — [1] καὶ τῇ D. — [2] *om.* D. — [3] ἀχθεὶς D. — [4] ξύλου D. — [5] παρέθετο D.
4. — [1] *om.* D. — [2] εἰς τὰ σπήλαιά D. — [3] (πικρῷ - πυρὶ) *om.* D. — [4] Ἡσίδωρον S.
5. — [1] *om.* D. — [2] καὶ θεολόγου Ἰωάννου D.
1. — [1] *corr.*, *prius* Θεοδωσίου S.

Iul. 10. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 4. 5. — **P** : 1. 2. 3. 4. — **D** : 1. 2. 3. 4. 5. — **Da** : 1. 2. 3. 4. 5. — **Db** : 1. 2. 3. 4. 5. — **K** : 1. 2. 3. 4. 5. — **N** : 1. 2. 3. 4. 5. — **Bb** : 1. 2 (Διάνωρος καὶ Σιλβανοῦ). — 3. — **Bc** : 1. — **C** : 1. 2. 3. — **Ce** : 1. 2. 3. — **Cg** : 1. 2. 3. — **R** : 1. 2. 4. 3. — **Ra** : 1. 2. 3. — **Rb** : 1. 4. 5. — **Rc** : 1. 2. 4. 5. — **Mc** : 1. 3. 4 : Τῶν ἁγίων ὁσιομαρτύρων τῶν ἐν τοῖς σπηλαίοις τοῖς ἐν Σκήτει, οὓς θανάτῳ πικρῷ παρέδωκε Θεόφιλος ὁ Ἀλεξανδρείας ἐπίσκοπος διὰ Ἰσίδωρον τὸν ἐπίσκοπον. Οὗτοι οἱ ἅγιοι ἀσκηταὶ καὶ μάρτυρες τοῦ Χριστοῦ εἰς τὰ σπήλαια καὶ εἰς τὰς καλύβας ἐν τῇ Σκήτει οἰκοῦντες καὶ τῇ ἐργασίᾳ τῶν τοῦ Θεοῦ ἐντολῶν ἀσχολούμενοι ὡσεὶ δέκα χιλιάδες ὑπῆρχον μικρόν τι πλέον ἢ ἔλασσον. Ἰσίδωρος δέ τις ἐξ αὐτῶν τὰ πρῶτα φέρων τῷ ἀρχιεπισκόπῳ ἀντεμάχετο περὶ ἐκκλησιαστικῶν ζητημάτων, ἐν οἷς αὐτὸς οὐκ οἶδ' ὅπως ἄλλως διέκειτο. Καὶ ἐπειδὴ ὁ Ἰσίδωρος τῷ πλήθει τῶν ἀσκητῶν θαρρῶν ἤλεγχεν αὐτόν, προφανῶς μὲν ἀμύνασθαι τοῦτον ὁ Θεόφιλος ᾐσχύνετο καὶ ἐδειλία, ὅτι γνωστὸς ἦν τοῖς πολλοῖς. Ἀποστείλας δὲ τοὺς ὁμόφρονας αὐτοῦ ἐνέπρησαν ἅπαντας τοὺς ἐν Σκήτει ἁγίους πατέρας καὶ θανάτῳ παρέδωκαν. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1.

Iul. 11. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 2. 3. 1. — **D** : 1 : Εὐφημίας, καὶ ἡ σύναξις τοῦ ὅρου τῆς πίστεως τῶν ἁγίων χλ' πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων ἐπὶ Μαρκιανοῦ καὶ Πουλχερίας. Οἳ τοὺς περὶ Εὐτυχέα καὶ Διόσκορον ἀναθεματίσαντες... Des. : ἐν αἷς ἐγκαρτερήσασα τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Τελεῖται δὲ κτλ. — 2. 3. — **Da** : 1. 3. 2. — **Db** : 1. 3. 2. — **K** : 1. 3. 2. — **N** : 1. 3. 2. — **Bb** : 2. 3. 1. — **Bc** : 2. 1. 3. — **C** : 2. 3. 1. — **Ce** : 2. 1. 3. — **Cg** : 2 : Μαρκιανοῦ. Ὁ ἅγιος

καὶ τῶν λοιπῶν ὀρθοδόξων. Ὁ δὲ Εὐτυχὴς χρησάμενος βοηθοῖς τοῖς τοῦ βασιλέως ἀθέοις εὐνούχοις οὐκ ἐπαύσατο στασιάζειν καὶ ἐνέδρας ποιεῖν, μέχρις οὗ Θεοδόσιος τῶν τῇδε μετέστη. Ἐπεὶ δὲ τὴν βασιλείαν διεδέξατο Μαρκιανός, κελεύει γενέσθαι σύνοδον· ὅθεν συνήχθησαν ἐπίσκοποι τὸν ἀριθμὸν ἑξακόσιοι τριάκοντα. Ἀμφότεροι δὲ κατασκευάσαντες τόμους δύο, τῶν τε ὀρθοδόξων καὶ τῶν ἑτεροδόξων, καὶ διανοίξαντες τὴν λάρνακα τῆς πανευφήμου, ἐπὶ τοῦ ταύτης στήθους σφραγίσαντες ἔθηκαν, καὶ μετὰ ῥητὰς ἡμέρας εὐξάμενοι καὶ ὑπανοίξαντες εἶδον καὶ ἐξέστησαν. Ἐθεάσαντο γὰρ τὸν μὲν τῶν αἱρετικῶν τόμον ὑπὸ τοὺς πόδας τῆς ἁγίας ἐρριμμένον, τὸν δὲ τῶν ὀρθοδόξων ταῖς τιμίαις αὐτῆς χερσὶ κατεχόμενον. Τούτου δὲ γενομένου, ἐξέστησαν ἅπαντες ἰδόντες τὸ τοιοῦτον θαῦμα· καὶ ἐπὶ πλεῖστον στηριχθέντες τῇ πίστει ἐδόξασαν τὸν Θεόν, τὸν ποιοῦντα καθ' ἑκάστην μεγάλα παράδοξα πρὸς ἐπιστροφὴν τῶν πολλῶν. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ, τῷ ὄντι ἐν τοῖς Ἀντιόχου, πλησίον τῶν Λαύσου.

2. Τῇ [1] αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρκιανοῦ. Οὗτος νέος ὢν προσήχθη Περινίῳ τῷ ἄρχοντι ἐν τῇ Ἰκονιέων πόλει· καὶ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ξέεται καὶ ἐπὶ ἐσχάρας πεπυρακτωμένης τίθεται καὶ μαχαίραις τὴν γλῶσσαν κατακεντεῖται, καὶ τὸ τελευταῖον [2] τὴν κεφαλὴν ἀποτέμνεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Κινδαίου [1] πρεσβυτέρου. Οὗτος [2] ἦν [3] ἀπὸ κώμης Iul. 11. λεγομένης Ταλμενίας, Σίδης [4] τῆς Παμφυλίας, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, τὸ γένος Οὐμαναδεύς. Ἀχθεὶς δὲ Στρατονίκῳ τῷ ἡγεμόνι, ὡμολόγησε τὸν Χριστόν· ὅθεν ὑποδύεται ὑποδήματα σιδηρᾶ μετὰ ἥλων, καὶ ἔδραμε κατὰ τὴν ἱερὰν πύλην. Ὑπαντήσας δὲ ἀνθρώπῳ φορτίον βαστάζοντι ξύλων, βουληθέντων τῶν ἑλλήνων δωρεὰν τὰ ξύλα ἁρπάσαι πρὸς τὸ κατακαῦσαι [5] τὸν μάρτυρα, δέδωκεν ὁ ἅγιος [6] τὸ τίμημα | φόλεις τριάκοντα· f. 258v. καὶ ἐπιχειρούντων ἑτέρων ἐπιθεῖναι [7] τὰ ξύλα, αὐτὸς ὁ ἅγιος ἐπὶ τὸν ἴδιον ὦμον ἐβάστασε. Καὶ ἐπιβὰς τῇ ἐξ αὐτῶν ἀναφθείσῃ πυρᾷ, ἣν ἐξ αὐτῆς νουθετῶν καὶ κατηχῶν πάντας εἰς τὴν τοῦ Χριστοῦ πίστιν, ἀβλαβὴς ἐκ τοῦ πυρὸς διαμένων, ὥστε καὶ τοῦ ἀέρος μετὰ ἀστραπῶν καὶ βροντῶν κλονουμένου [8] αἰθρίαν πολλὴν καὶ εὐωδίαν γενέσθαι· καὶ εὐξάμενος παρέδωκε τὸ πνεῦμα. Ὁ δὲ ἱερεὺς τῶν εἰδώλων ἰδὼν τὸ θαῦμα ἐπίστευσε [9] τῷ Χριστῷ· καὶ παραινέσας τῇ ἰδίᾳ γυναικὶ πέπεικε [10] καὶ αὐτὴν [11] πιστεῦσαι καὶ ἀποστεῖλαι τὴν θεράπαιναν αὐτῆς κηδεῦσαι τὸ λείψανον τοῦ ὁσίου [12] μύροις καὶ σινδόσι· καὶ οὕτως ἔτυχον ἀμφότεροι τοῦ ἁγίου βαπτίσματος. Ὀρέστης δέ τις τῷ γένει Οὐμαναδεύς, διάκονος τοῦ Χριστοῦ, λαβὼν τὰ λείψανα [13] μετὰ τῆς τιμίας κεφαλῆς τοῦ ἁγίου Κινδαίου, καὶ ἀρθεὶς κατὰ τὸν Ἀμβακούμ, διὰ μιᾶς ἡμέρας ἀπὸ τῆς Παμφυλίας ἧκεν ἐν Οὐμανάδοις [14] εἰς τὴν ἑαυτοῦ πατρίδα· καὶ στήσας τὴν σορόν, κατέθετο τὰ ἅγια λείψανα διὰ χειρῶν ἱερέων [15], καθὼς ἔθος ἐστὶ τοῖς ἁγίοις κατατίθεσθαι.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Iul. 12. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόκλου καὶ Ἱλαρίου. Οὗτοι ὑπῆρχον ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως καὶ Μαξίμου ἡγεμόνος ἐκ τῆς χώρας Καλίππων πλησίον Ἀγκύρας. Κατεσχέθη δὲ πρῶτον ὁ ἅγιος Πρόκλος, καὶ ἐνώπιον τοῦ βασιλέως ὁμολογήσας [1] τὸν Χριστὸν καὶ ἐκδοθεὶς Μαξίμῳ τῷ ἡγεμόνι ξέεται, εἶτα λαμπάσι πυρὸς τὴν γαστέρα καὶ τὰς πλευρὰς καταφλέγεται, καὶ πάλιν ἐπὶ ξύλου κρεμᾶται [2] καὶ λίθῳ βαρεῖται τοὺς πόδας. Μετὰ τοῦτο γὰρ [3] ἀπαγόμενος τοῦ τοξευθῆναι — οὕτω γὰρ αὐτῷ ἐψηφίσθη ὁ θάνατος — συναντᾷ τῷ ἀνεψιῷ Ἱλαρίῳ [4]· ὃς αὐτὸν ἀσπασάμενος κατεσχέθη ὑπὸ τῶν ἑλλήνων. Καὶ ὁ μὲν ἅγιος Πρόκλος ταῖς νιφάσι τῶν βελῶν [5] κατατρωθεὶς πρὸς Κύριον

2. — [1] καὶ τῇ D. — [2] (κ. τ. τελ.) εἶτα D.
3. — [1] Κινδέου D. — [2] ὁ ἅγιος μάρτυς Κινδέος D. — [3] πρεσβύτερος *add.* D. — [4] Σίδις D. — [5] καῦσαι D. — [6] ὁ ἅγιος δέδωκε D. — [7] ἐπιμεῖναι D. — [8] κλονουμένων S, D. — [9] αὐτὸς *add.* D. — [10] ἔπεισε D. — [11] αὐτῇ S. — [12] ἁγίου D. — [13] τὸ λείψανον D. — [14] Οὐμανάδης S. — [15] *hic des.* D.
1. — [1] ὡμολόγησε D. — [2] κρεμνᾶται D. — [3] δὲ D. — [4] τὸν ἴδιον ἀνεψιὸν Ἱλάριον D. — [5] μελῶν D.

Iul. 11. μάρτυς Μαρκιανὸς νέος ὢν ἐμαρτύρησεν ἐν τῇ Ἰκονιέων πόλει. Ὅστις ὑπὸ Περινίου ἄρχοντος ἐξέσθη τὰ νεῦρα καὶ τὰς παρειὰς καὶ ἤλεγξε θαρσαλέως τὴν ἀσέβειαν τῶν ἑλλήνων, ὁμολογῶν τὸν δεσπότην Θεὸν ἡμῶν. Μετὰ δὲ τοῦτο ἐπιτίθησιν αὐτὸν ἐπὶ ἐσχάρας πεπυρακτωμένης καὶ μαχαίραις τὴν γλῶσσαν αὐτοῦ κατακεντηθῆναι ἐκέλευσε· καὶ μετὰ τοῦτο λαβὼν τὴν ἀπόφασιν ἐτμήθη τὴν κεφαλήν. — 3. — Τῶν μυρίων τῶν εἰς τὰ σπήλαια (Iul. 10[4]). — 1. — **R** : 1. 3. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. 2. — **Mc** : 1. 3. — Λέων ὁ ἐν τῇ Μάνδρᾳ ἐν εἰρήνῃ τ. — Μαρκιανὸς μαχαίρᾳ τ. — Μαρτυροκλῆς τοξευθεὶς τ. — **Mv** : 1. — **Mr** : 1.

Iul. 12. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 4. — **P** : 1. 2 : Γολινδοὺχ τῆς καὶ Μαρίας. Αὕτη ἦν ἐκ Περσίδος, συνοικήσασα ἀνδρὶ ἀρχιμάγῳ, ἐπὶ βασιλέως Περσῶν μὲν Χοσρόου, Ῥωμαίων δὲ Μαυρικίου. Αὕτη ἐν ἐκστάσει γενομένη εἶδεν ὀπτασίαν, καὶ βαπτίζεται Γολινοοὺχ μετονομασθεῖσα Μαρία, καὶ καταδικάζεται παρά τε τοῦ ἀνδρὸς καὶ τοῦ βασιλέως εἰς τὸ Λήθης φρούριον ἐπὶ ἔτη ιη'· μετὰ τοῦτο βάλλεται ἐν λάκκῳ, ἐν ᾧ ἦν δράκων μέγας, μηδὲν ὑπ' αὐτοῦ βλαβεῖσα τὸ σύνολον. Ἀσίτου δὲ [1] ἐπὶ τοσοῦτον χρόνον ἐν τῷ λάκκῳ μενούσης, ἄγγελος ἁψάμενος τοῦ στόματος αὐτῆς ἔφη· « Ἀπὸ τοῦ νῦν οὐ κυριεύσει σου πεῖνα. » Καὶ ἔκτοτε οὐδαμῶς ὠχλήθη ὑπὸ πείνης, ἔμαθε δὲ ἐν τῇ φρουρᾷ συριστὶ τὸ

[1] τε P.

Iul. 12. ἐξεδήμησεν. Ὁ δὲ ἅγιος Ἱλάριος ἐρωτηθεὶς καὶ χριστιανὸν ἑαυτὸν ἀποκαλέσας, κρεμασθεὶς τύπτεται καὶ ἐπὶ μιλίοις τρισὶ σύρεται· εἶτα τὴν κεφαλὴν τμηθεὶς[6] κατετέθη μετὰ τοῦ ἁγίου Πρόκλου. Τελεῖται δὲ ἡ αὐτῶν[7] σύναξις ἐν τῇ μονῇ τῶν Ὑπατίας[8], πλησίον τῶν Ματρώνης.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Γολινδοὺχ τῆς μετονομασθείσης Μαρίας. Αὕτη ἦν ἐκ Περσίδος, συνοικήσασα ἀνδρὶ ἀρχιμάγῳ, ἐπὶ βασιλείας[1] Περσῶν μὲν Χοσρόου, Ῥωμαίων δὲ Μαυρικίου. Γενομένη δὲ ἐν ἐκστάσει, ὁρᾷ ἄγγε-
f. 259. λον Θεοῦ τόπον αὐτῇ σκότους | καὶ πυρὸς ὑποδεικνύοντα· ἐν ᾧ ἰδεῖν λέγεται[2] τοὺς προγόνους αὐτῆς τοῖς εἰδώλοις πιστεύοντας· καὶ ἕτερον φωτεινόν, ἐν ᾧ ἐχόρευον καὶ ἠγάλλοντο[3] οἱ τῷ Χριστῷ λατρεύοντες[4]. Εἰσελθεῖν δὲ βουλομένη ἐν αὐτῷ, ἐκωλύετο ὑπὸ τοῦ φαινομένου ἀγγέλου[5], ἀνεπίβατον εἶναι[6] τοῖς ἀπίστοις λέγοντος[7] τὸν τόπον τοῦτον. Αὐτίκα οὖν ἀνανήψασα βαπτίζεται[8] καὶ Μαρία μετονομάζεται. Διὰ[9] τοῦτο[9] καταδικάζεται[10] παρὰ τοῦ ἀνδρὸς καὶ τοῦ βασιλέως καὶ ἐκπέμπεται εἰς τὸ τῆς Λήθης φρούριον[11], διαγαγοῦσα ἐν αὐτῷ χρόνους[12] δεκαοκτώ, καὶ μὴ πεισθεῖσα εἰς λάκκον ἐμβάλλεται[13], ἐν ᾧ ἦν δράκων κατάπληξιν ἐμποιῶν[14] τοῖς προσιοῦσι. Χρόνον δὲ τετραμηναῖον[15] ἐν τῷ λάκκῳ[16] ποιήσασα, ἐξημέρωσέ τε αὐτόν[17], ὡς αὐτῇ ἐπικλίνεσθαι καὶ ἐπαναπαύεσθαι· καὶ ἄσιτος διαμείνασα, χάριν ἔλαβεν ἐκ Θεοῦ μηκέτι ὑπὸ πείνης ἐνοχλεῖσθαι[18] μηδὲ προσδεῖσθαι ἀνθρωπίνης τροφῆς. Εἶτα ἐκεῖθεν ἀνελκυσθεῖσα, τῷ τοῦ Χοσρόου υἱῷ καθίσταται εἰς ἐξέτασιν καὶ τύπτεται παρ' αὐτοῦ μάστιξι· ἐξ ὧν ὁ μασθὸς αὐτῆς διαρρήγνυται· καὶ ἐν σάκκῳ καμινιαίας[19] αἰθάλης πλήρει ἐμβληθεῖσα τὴν κεφαλὴν καὶ ἀσφαλισθεῖσα, ἔν τινι τόπῳ[20] καταμόνας προσρίπτεται. Διαφυλαχθεῖσα δὲ ἀβλαβὴς ἐτέθη ἐν οἰκήματι, ἔνθα προσετάχθησαν ἄνδρες ἀκόλαστοι εἰσελθόντες ἐνυβρίσαι τὸ σῶμα αὐτῆς. Οἱ δὲ εἰσερχόμενοι ταύτην οὐχ εὕρισκον κρυπτομένην παραδόξως ὑπό τινος ἀορασίας. Σφραγισθεῖσα οὖν τὸν τράχηλον καὶ ἀπαγομένη τμηθῆναι τὴν κεφαλήν, ἐρρύσθη ὑπὸ ἀγγέλου, ὃς ἀοράτως τὴν σφραγῖδα σῶαν ἐκ τοῦ τραχήλου αὐτῆς ἐκβαλὼν τῷ ἀπάγοντι δημίῳ δέδωκε[21] δεδοικότι ἀπολῦσαι αὐτήν. Τῆς δὲ δυσφορούσης ἐπὶ τῷ μὴ παθεῖν ὑπὲρ Χριστοῦ, ἐπιστὰς ὁ ἄγγελος ξίφος[22] κατέχων, πλήττει αὐτὴν κατὰ τοῦ αὐχένος· καὶ ἔδοξε τομὴν ἐργάσασθαι καὶ ἐκ τῆς τομῆς αἷμα ῥυῆναι, ἐξ οὗ τὰ περικείμενα αὐτῇ ἱμάτια ἐμολύνθησαν[23], ἃ καὶ ἰάσεις πολλὰς[24] εἰργάσαντο. Ἡ δὲ ἁγία παραγενομένη ἐν Ἱεροσολύμοις καὶ προσκυνήσασα τοὺς ἁγίους τόπους, παρέβαλε μοναστηρίοις τισί, ἐν οἷς ἡ τοῦ δυσσεβοῦς Σευήρου ἐπολιτεύετο αἵρεσις. Αἰτησαμένη δὲ παρὰ τοῦ Θεοῦ ἀποκαλυφθῆναι αὐτῇ, εἰ χρὴ προσελθεῖν τῇ κοινωνίᾳ αὐτῶν, ὁρᾷ ἄγγελον δύο κατέχοντα ποτήρια,

— [6] ἐκτμηθεὶς D. — [7] αὐτοῦ D. — [8] D, Ὑπατείας S.

2. — [1] βασιλέων D. — [2] ᾧ εἶδεν D. — [3] ἠγαλλιῶντο D. — [4] οἱ σεβόμενοι τὸν Χ. D. — [5] (ἐκ - ἀγγέλου) ἐν αὐτῷ διεκ||λύθη παρὰ τοῦ ἀγγ. D. — [6] λέγοντος *add.* D. — [7] λέγοντες S, καὶ μὴ εἰς Χριστὸν βαπτισθεῖσι D. — [8] (τοῦτον - βαπτίζεται) ὅθεν βαπτ. ἀνανήψασα D. — [9] *om.* D. — [10] οὖν *add.* D. — [11] καὶ *add.* D. — [12] ἔτη D. — [13] (καὶ - ἐμβάλλεται) μετὰ τοῦτο εἰς λ. βάλλεται D. — [14] ποιῶν D. — [15] τετραμινιαῖον D. — [16] μετὰ τοῦ θηρίου ποιήσασα *add.* D. — [17] αὐτῷ D. — [18] ὀχλῆσθαι D. — [19] καμιναίας D. — [20] τόπῳ τινὶ D. — [21] *om.* D. — [22] σπάθην D. — [23] ἐκμολύνθησαν D. — [24] μετὰ ταῦτα *add.* D.

Iul. 12. ψαλτήριον. Ὁρμίσδας[2] δὲ ὁ υἱὸς Χοσρόου, ταύτην ἐκβαλὼν ἐτύπτησεν, ὥστε μία μάστιξ κατὰ τοῦ μαστοῦ αὐτῆς ἐνεχθεῖσα τοῦτον διέρρηξεν, καὶ πάλιν ἡ θεία χάρις τοῦτον σῶον κατέστησεν. Ἄλλοτε πάλιν πλήσαντες σάκκον καμινιαίας αἰθάλης καὶ πυρός, ἐκεῖ τὴν κεφαλὴν αὐτῆς ἐμβαλόντες, εἰς τόπον τινὰ προσέρριψαν· κατακλείσαντες δὲ αὐτὴν ἐν φρουρᾷ ἀπέστειλαν ἄνδρας ἀσώτους πρὸς τὸ ἐμπαῖξαι αὐτὴν καὶ οὐκ ἔβλεπον αὐτήν. Βουλλωθεῖσα οὖν τὸν τράχηλον καὶ ἀπερχομένη τμηθῆναι τὴν κεφαλήν, εἰς τόπον μεμακρυσμένον πρὸς <τὸ[3]> τὴν βούλλαν πάλιν κατὰ τὸ ἔθος τῶν Περσῶν ἀποκομισθῆναι τῷ βασιλεῖ εἰς πίστωσιν[4]. Ἄγγελος γὰρ Κυρίου παραστὰς τῷ ἀπαγαγόντι αὐτὴν στρατιώτῃ ἅπαξ καὶ δὶς παρακελεύσατο ἀπολῦσαι αὐτήν· τοῦ δὲ διὰ τὴν βούλλαν μὴ θέλοντος[5], ὁ ἄγγελος ἀοράτως ἐκβαλὼν αὐτὴν τοῦ τραχήλου δέδωκε τῷ στρατιώτῃ, καὶ τότε ἀπέλυσεν αὐτήν. Ὡς δὲ ἐλυπεῖτο ὡς μὴ καταξιωθεῖσα τυχεῖν τὸ διὰ ξίφους μαρτύριον, ἐπιστὰς οὖν πάλιν ὁ ἄγγελος σπάθην κατέχων καὶ τὸν πόθον αὐτῆς πληροῦν ἐπαγγειλάμενος, πλήττει αὐτὴν κατὰ τοῦ τραχήλου, ὥστε καὶ τὴν τομὴν φαίνεσθαί καὶ τῷ αἵματι τὰ ἑαυτῆς βαφῆναι ἱμάτια, ἅτινα καὶ ἰάσεις ἐπετέλουν. Ἐλθοῦσα δὲ ἐπὶ τὰ Ἱεροσόλυμα καὶ προσκυνήσασα τοὺς ἁγίους τόπους παρέβαλε μοναστηρίοις, ἅτινα ἐνόσουν τὴν αἵρεσιν τοῦ δυσσεβοῦς Σευήρου. Ὡς δὲ εἶπεν ἑαυτὴν τῆς καθολικῆς ἐκκλησίας εἶναι, οὐκ ἐδέχθη εἰς τὴν αὐτῶν[6] κοινωνίαν· ᾔτησε δὲ παρὰ τοῦ Θεοῦ ἀποκαλυφθῆναι αὐτῇ, ποῦ ὀφείλει κοινωνῆσαι. Καὶ ὁρᾷ ἄγγελον τοῦ Θεοῦ δύο κατέχοντα ποτήρια, ἓν μὲν γέμον φωτός, τὸ δεύτερον σκότους· καὶ ἐρωτησάσης καὶ μαθούσης ὅτι· « Τὸ γέμον φωτὸς τῆς καθολικῆς ἐστιν ἐκκλησίας· καὶ τούτῳ πρόσελθε, τὸ δὲ ἕτερον ἔκκλινον ἀπ' » αὐτοῦ. » Ἀκούσασα δὲ ὅτι ὁ ἀπολύσας αὐτὴν στρατιώτης κατεσχέθη δι' αὐτὴν ἐν φρουρᾷ, ἐδυσφόρει καὶ τῷ ἁγίῳ Δομετιανῷ[7] τῷ μητροπολίτῃ Μελιτινῆς ἔφη ὅτιπερ· « Εἰ μὴ ἀπολυθῇ πάλιν, ὑποστρέφω » προθύμως καὶ ἑαυτὴν παραδίδω, ἵνα μὴ ἀντ' ἐμοῦ ἄλλος κρατῆται. » Ὁ δὲ μητροπολίτης ἀναγαγὼν Χοσρόῃ τῷ βασιλεῖ Περσῶν, πάραυτα ἐθέσπισεν ἀπολυθῆναι κἀκεῖνον καὶ πάντας τοὺς τοῦ γένους αὐτοῦ, ἀνεκτοὺς εἶναι καὶ τοὺς χριστιανούς. Ὁ δὲ μητροπολίτης ἠνάγκαζεν αὐτὴν εἰσελθεῖν εἰς Κωνσταντινούπολιν καὶ εὔξασθαι αὐτὴν τοῖς βασιλεῦσιν· ἡ δὲ ἔφη ἐγγὺς εἶναι τὴν μετάστασιν αὐτῆς. Ἐλθοῦσα τοίνυν ἀναμέσον τοῦ Νιτζιβίου καὶ τοῦ Δαρᾶς εἰς εὐκτήριον οἶκον τοῦ ἁγίου Σεργίου, εὐχαριστήσασα τῷ Θεῷ καὶ ὀλίγον νοσήσασα ἐκλείπειν <τε μέλλουσα[3]> ηὔξατο οὕτω· « Ὁ Θεὸς ὁ αἰώνιος »

— [2] Ὀρμίσδρας P. — [3] *om.* P. — [4] *nonnulla excidisse videntur.* — [5] θέλοντας P. — [6] ἑαυτῶν P. — [7] Δομιτιανῷ P.

ἓν μὲν σκότους μεστόν, ἓν δὲ φωτός, καὶ δηλοῦντα αὐτῇ ὅτι τὸ τοῦ φωτὸς τῆς καθολικῆς ἐκκλησίας ἐστί, τὸ δὲ τοῦ σκότους τῶν αἱρετικῶν. Παρακλη-
f. 259v. θεῖσα δὲ ὑπὸ τοῦ κατὰ καιρὸν ἀρχιερέως | παραγενέσθαι ἐν Κωνσταντινουπόλει καὶ τὰ ἀγαθὰ τοῖς βασιλεῦσιν ἐπεύξασθαι, εἶπεν ἐγγὺς εἶναι τὴν αὐτῆς μετάστασιν καὶ τὴν εἰς τὸ χρεὼν ἀνάλυσιν. Ἐλθοῦσα δὲ ἀνὰ μέσον τοῦ Νιτζίβιος[25] καὶ τοῦ Δαρᾶς εἰς τὸ εὐκτήριον τοῦ ἁγίου Σεργίου καὶ εὐχαριστήσασα τῷ Θεῷ καὶ νόσῳ μικρᾷ κατασχεθεῖσα καὶ μέλλουσα ἐκλιμπάνειν, ηὔξατο παντὶ τῷ κόσμῳ σωτηρίαν· καὶ οὕτως τὸ πνεῦμα τῷ Θεῷ[26] παρέδωκε. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Τρύφωνος, τῷ ὄντι πλησίον τῆς ἁγίας Εἰρήνης τῆς ἀρχαίας καὶ νέας.

3. Τῇ[1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων[2] Ἀνδρέου καὶ Πρόβου.

4. Καὶ τῆς ἁγίας Βερονίκης τῆς αἱμόρρου, ἥτις ἰάθη παρὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ.

Iul. 13. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σαραπίωνος. Οὗτος ἦν ἐν τοῖς χρόνοις Σευήρου τοῦ βασιλέως, ἀνὴρ θεοσεβὴς καὶ τὸν τρόπον χρηστός. Κατασχεθεὶς δὲ ὑπὸ Ἀκύλα ἄρχοντος καὶ ἐρωτηθεὶς ποίας τυγχάνει θρησκείας, ὡμολόγησε παρρησίᾳ σέβεσθαι τὸν Χριστόν· ὅθεν πυρὶ παραδοθεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο.

2. Τῇ[1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Μυρώπης. Αὕτη ὑπῆρχε[2] κατὰ τοὺς χρόνους Δεκίου, μητέρα κεκτημένη χριστιανήν· ἐποιεῖτο δὲ τὴν οἴκησιν ἐν τῇ Ἐφεσίων πόλει καὶ ἐν Χίῳ τῇ νήσῳ. Περιῄει δὲ ἐν Ἐφέσῳ καὶ τὰ ἐκ τῶν ἁγίων μαρτύρων καὶ ἀποστόλων προχεόμενα[3] μύρα ἀρυομένη[4] εἰκότως[5] ἐξ αὐτῶν καὶ τὴν ἐπωνυμίαν ἐκτήσατο. Καταλαβοῦσα δὲ ἐν Χίῳ τῇ νήσῳ ἐν τῷ κτήματι αὐτῆς καὶ εὑροῦσα τὸν ἅγιον Ἰσίδωρον[6] τελειωθέντα τῷ μαρτυρίῳ, ὄντα τὸ γένος Ἀλεξανδρέα, τὸν γενόμενον κατὰ τὴν τάξιν τῆς στρατείας ὀπτίωνα[7], τὸ λείψανον αὐτοῦ ἀνελομένη παρ' ἑαυτῇ ἔκρυψε. Πολλῶν δὲ ἀγομένων καὶ δεινὰ πασχόντων διὰ τὴν τοῦ λειψάνου ἀφαίρεσιν, αὐτὴ ἑαυτὴν ποιεῖται κατάδηλον, εἰληφέναι λέγουσα ὅπερ ἐπιζητοῦσι τοῦ ἁγίου λείψανον. Ἐγένετο[8] οὖν ἐπὶ τοῦ ἡγεμόνος Νουμεριανοῦ, ὃς τὸν μάρτυρα Ἰσίδωρον ἐτιμωρήσατο· καὶ χριστιανὴν ἑαυτὴν προσαγγείλασα[9] τύπτεται ῥοπάλοις σφοδρῶς καὶ ἐν τῷ δεσμωτηρίῳ βληθεῖσα[10], δι' ἐπιστασίας τοῦ ἁγίου μάρτυρος τῶν ἀποκειμένων αὐτῇ ἀγαθῶν τὴν ἐπαγγελίαν λαβοῦσα τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου[1] Ἀνδρέου τοῦ στρατιώτου, Ἡρακλείου, Φαύστου, Μηνᾶ καὶ τῆς συνοδίας αὐτῶν.

4. Καὶ μνήμη τοῦ ἁγίου μάρτυρος | Μάμαντος πέραν ἐν τῷ Σίγματι. f. 260.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

Iul. 14. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀκύλα τοῦ καὶ ἀποστόλου[1], οὗ τοὺς[2] ἐπαίνους ἐν ταῖς Πράξεσι Λουκᾶς ὁ θεηγόρος ἀνεγράψατο[3], ὡς τοῦ θείου Παύλου μαθητοῦ χρηματίσαντος καὶ ξεναγωγοῦ.

— [25] Νητζιβίος D; *cf. Ian. 13*[2]. — [26] Θ. τὸ πνεῦμα D.

3. — [1] καὶ τῇ D. — [2] μαρτύρων *add.* D.

4. — [1] (ἥτις - Χριστοῦ) *om.* D.

2. — [1] καὶ τῇ D. — [2] ἦν D. — [3] προερχόμενα D. — [4] ἀρρυομένη S. — [5] εἰκόνος D. — [6] Ἰσήδωρον S. — [7] ὀπτίονα D. — [8] ἄγεται D. — [9] ἀναγορεύσασα D. — [10] καὶ *add.* D.

3. — [1] τῶν ἁγίων μαρτύρων D.

1. — [1] ἱερομάρτυρος καὶ ἀποστόλου Ἀ. D *ad diem Iulii 13.* — [2] ταῖς S. — [3] *hic des.* D.

Iul. 12. καὶ τὰ ἑξῆς τῆς εὐχῆς· καὶ μετὰ τὸ πληρῶσαι τὴν εὐχὴν ἐκοιμήθη. Συγγράφεται δὲ τὸ μαρτύριον καὶ τὴν μνήμην αὐτῆς Εὐστράτιος πρεσβύτερος τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως, ὅστις καὶ τὸν βίον τοῦ ἐν ἁγίοις Εὐτυχίου συνεγράψατο. — 3. 4. — **D** : 1. 2. 3. 4. — **Da** : 2. 1. 3. 4. — **Db** : 2. 1. — **K** : 2. 1. — **N** : 1. 3. 4. 2. — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. 2. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — **R** : 1. 2. — **Ra** : 1. — Ἀνδρέου, Φαύστου, Μηνᾶ κτλ. (Iul. 13[3]). — Μάμαντος (Iul. 13[4]). — **Rb** : 1. — **Rc** : 1. 2. — **Mc** : 1. 2. — **Mv** : 1. — Σεραπίωνος (Iul. 13[1]). — Ἀνδρέου κτλ. — Μάμαντος πέραν ἐν τῷ Σίγματι (Iul. 13[4]). — **Mr** : 1.

Iul. 13. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 4. — **P** : 1. 2. 3. — **D** : Ἀκύλα (Iul. 14[1]). — 1. 2. 3. 4. — **Da** : Ἀκύλα. — 1. 2. 3. 4. — **Db** : Ἀκύλα. — 1. 2. 3. 4. — **K** : Ἀκύλα. — 1. 2. 3. 4. — **N** : Στεφάνου τοῦ Σαβαΐτου (Oct. 28[8]). — 1. 2. 3. 4. — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. 2. 3. 4. add.: Ζήτει τοῦ ἁγίου Θεοδ(ώρου) εἰς τὴν δ' τοῦ αὐτοῦ μηνός. — In marg.: τοῦ ἁγίου ἱερομάρτυρος Ἱππολύτου πάπα Ῥώμης. — **Ce** : 1. 2. — **Cg** : 1. 2. 3. — **R** : 1. — Ἀκύλα. — 2. 4. 3. — **Ra** : Μνήμην ἐπιτελοῦμεν τοῦ ἀρχαγγέλου Γαβριήλ. — 2. — Στεφάνου τοῦ Σαβαΐτου ἀνεψιοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ. — 1. — **Rb** : Ἡ σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ. — Στεφάνου. — 1. — **Mc** : Στεφάνου. — 1. — Βερονίκης τῆς αἱμορροούσης ἣν ὁ Κύριος ἰάσατο. Αὕτη ὥρμητο ἐκ πόλεως Πανεάδος· ἥτις καὶ παρὰ Χριστοῦ ἰαθεῖσα τὸν τούτου ἀνδριάντα καλῶς τεχνουργήσασα ἔστησε πρὸ τοῦ ταύτης οἴκου, ὑπὸ πάντων προσκυνεῖσθαι καὶ σέβεσθαι· καλῶς δὲ καὶ θεοφιλῶς πολιτευσαμένη τὸ ὑπόλοιπον τῆς ζωῆς αὐτῆς, ἐν εἰρήνῃ ἀνεπαύσατο (Iul. 12[4]). — Ὀνησίμου (Iul. 14[3]). — Σάρρα ἐν εἰρήνῃ τ. — 3. 4. — **Mv** : Γαβριήλ. — Στεφάνου. — Γολινδούχ (Iul. 12[2]). — **Mr** : Γαβριήλ. — Στεφάνου. — Τῆς δ' συνόδου (Iul. 16[4], ἐν κυριακῇ).

Iul. 14. SYNAXARIA SELECTA. **H** : 2. 3. — Ἐπιφανίου ἐπισκόπου Κύπρου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις

Iul. 14. **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰούστου. Οὗτος ἦν ἐκ τῆς πόλεως Ῥώμης, ἐν τοῖς νουμέροις στρατευόμενος ὑπὸ τριβοῦνον Κλαύδιον. Ὑποστρέφων δέ ποτε [1] ἀπὸ τῆς κοπῆς τῶν βαρβάρων καθ' ὧν ἐξῆλθε μετὰ τῶν στρατιωτῶν, οἷς [2] συνηριθμεῖτο, καὶ γενόμενος ἐν ἐκστάσει ὁρᾷ σταυρὸν κρυσταλλοειδῆ [3] καὶ ἐκεῖθεν φωνὴν ἐξιοῦσαν, παρ' ἧς ἐμυήθη τὸ τῆς εὐσεβείας μυστήριον. Καταλαβὼν οὖν [4] τὴν Ῥώμην, διένειμε τὴν ὕπαρξιν αὐτοῦ τοῖς πτωχοῖς, καὶ ἦν καθ' ἑαυτὸν τῇ εἰς Χριστὸν πίστει [5] ἀγαλλόμενος. Ὡς δὲ ἐγνώσθη [6] τὰ κατ' αὐτὸν τῷ τριβούνῳ [7], καὶ παραινεῖ [8] ἀποστῆσαι τῆς τοῦ Χριστοῦ πίστεως καὶ κατελεῆσαι τὴν ἑαυτοῦ [9] νεότητα· ὡς δὲ οὐ κατέπειθεν [10], ἀπέστειλεν αὐτὸν μετὰ καὶ [11] γραμμάτων πρὸς τὸν ἡγεμόνα Μαγνέντιον. Ὁ δὲ ἐρωτήσας αὐτὸν καὶ ἐπιμένοντα τῇ εἰς [12] Χριστὸν πίστει εὑρών, ἐκέλευσε [13] ταθέντα νεύροις ὠμοῖς τύπτεσθαι, εἶτα πυρακτωθεῖσαν περικεφαλαίαν ἐπιτεθῆναι αὐτοῦ τῇ κεφαλῇ καὶ σφαίρας σιδηρᾶς πυρωθείσας ὑποτιθέναι ταῖς μασχάλαις αὐτοῦ, καὶ σιδηρᾶς χεῖρας ταῖς χερσὶν ἐφαρμοσθῆναι αὐτοῦ· καὶ ἁπλωθῆναι αὐτὸν [14] εἰς ἐσχάραν πυρός. Ὡς δὲ ταῦτα ὁμοῦ [11] διεκαρτέρησε δοξάζων τὸν Θεόν, ἐν καμίνῳ βληθεὶς τὸ πνεῦμα παρέδωκε, μηδὲ μέχρι τριχὸς λυμηναμένου αὐτὸν τοῦ πυρός. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Ὀρφανοτροφείῳ.

3. Τῇ [1] αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ὀνησίμου [2]. Οὗτος ὁ [3] ἅγιος [3] ἕτερός ἐστι παρὰ τὸν μαθητὴν Παύλου τοῦ ἀποστόλου. Ἦν δὲ [4] ἐπὶ Διοκλητιανοῦ ἐκ Καισαρείας τῆς Παλαιστίνης, ἐκ κώμης Καρίνης. Λέγεται δὲ τοὺς τούτου [5] γονεῖς ὑπ' ἀγγέλου τὸ ἅγιον βάπτισμα δέξασθαι καὶ τὴν γέννησιν αὐτοῦ εὐαγγελισθῆναι, καὶ τὸ ὄνομα τοῦ παιδὸς χρηματισθῆναι [6]· τὸν [7] δὲ ἐν πάνυ ἁπαλῇ καὶ [8] νεαρᾷ [8] τῇ ἡλικίᾳ [8] ἐᾶσαι τοὺς γονεῖς καὶ παραγενέσθαι <ἔν τινι [9]> τῶν κατ' Ἔφεσον μοναστηρίων, ἐν ᾧ διῃτῶντο ἄνδρες ὀκτακόσιοι· τοὺς δὲ γεννήτορας τὴν αὐτοῦ [10] θρηνοῦντας ἀναχώρησιν, ἀποβαλεῖν [11] τὴν ὀπτικὴν [8] τῶν ὀφθαλμῶν δύναμιν [12]· διὰ δὲ | τὸν ἐπικείμενον διωγμὸν πάντων τὴν μονὴν καταλιπόντων, ἀναχωρῆσαι καὶ αὐτὸν καὶ εἰς τὸν οἶκον αὐτοῦ παραγενέσθαι, μὴ μέντοι δὲ ἀναγνωρισθῆναι τοῖς γονεῦσιν, ἀλλ' ἐν χάρτῃ βραχεῖ ἀπογραψάμενον τὰ κατ' αὐτόν, τοῦτον [13] μὲν ἐν τῇ θυρίδι καταλιπεῖν, αὐτὸν [14] δὲ ἐν Μαγνησίᾳ παραγενέσθαι [15] καὶ συστήσασθαι μοναστήριον καὶ μεταστείλασθαι τοὺς γονεῖς αὐτοῦ, καὶ δι' εὐχῆς τὴν ἀνάβλεψιν αὐτοῖς χαρίσασθαι, κἀκεῖ τὸ λειπόμενον τῆς ζωῆς ὁσίως διανύσαι καὶ πρὸς Κύριον ἐκδημῆσαι. f. 260v.

2. — [1] *om.* D. — [2] εἷς S. — [3] κρυσταλοειδῆ S. — [4] δὲ D. — [5] τῇ πίστει τῇ εἰς X. D. — [6] ἐμυνήθη D. — [7] ἄγει αὐτὸν *add.* D. — [8] παραινέσας D. — [9] τὴν *add.* D. — [10] ὡς οὐκ ἔπειθεν D. — [11] *om.* D. — [12] τὸν *add.* D. — [13] αὐτὸν *add.* D. — [14] καὶ ἁπ. αὐτὸν *om.* D.

3. — [1] καὶ τῇ D. — [2] Ὀνισίμου S. — [3] *om.* D. — [4] οὗτος *add.* D. — [5] λέγονται δὲ οἱ τούτου D. — [6] (ὑπ' - χρηματισθῆναι) χρηματισθῆναι ὑπὸ ἀγγέλου καὶ τὸ ἅγίον δέξασθαι βάπτισμα καὶ εὐαγγελισθῆναι τήν τε γέννησιν καὶ τὸ ὄνομα τοῦ παιδίου D. — [7] ὁ S, D. — [8] καὶ νεαρᾷ *add.* D. — [9] D, *om.* S. — [10] (τὴν αὐτοῦ) αὐτοῦ τὴν τοῦ παιδὸς D. — [11] ἀποβαλλεῖν S. — [12] τὴν ὀπτικὴν *add.* D. — [13] τοῦτο D. — [14] αὐτὸς D. — [15] παραγ. ἐν M. D.

Iul. 14. ἐν τῷ Στρατηγίῳ, πλησίον τοῦ ἁγίου μάρτυρος Φιλήμονος (Mai 12[2]). — **P** : 2. 3. 1 : Ἀκύλα καὶ Ἱλαρίου. — **D** : Ἰωσὴφ ἀρχιεπισκόπου Θεσσαλονίκης. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Θεοφίλου, υἱὸς Φωτεινοῦ καὶ Θεοκτίστης, καὶ αὐτάδελφος Θεοδώρου τοῦ Στουδίτου. Οὗτος ἆθλον τοῦ ὀρθοῦ βίου καὶ τῆς πρὸς Θεὸν ἀγάπης Θεσσαλονικέων [1] τὴν προεδρίαν πρὸς Θεοῦ λαμβάνει, κἀκεῖσε χρόνον οὐχὶ συχνὸν διατρίψας τὴν βασιλεύουσαν αὖθις καταλαμβάνει. Παραστὰς δὲ ἅμα ἀδελφῷ ἐνώπιον Θεοφίλου καὶ πολλὰ αὐτῷ ἀπὸ τῶν θείων γραφῶν κερασάμενοι φάρμακα, καὶ πείθοντες δεῖν τιμᾶσθαι καὶ προσκυνεῖσθαι τὰς σεπτὰς εἰκόνας, ὡς εἰς τὸ πρωτότυπον τῆς τιμῆς διαβαινούσης, ἕκαστος ἰδικὴν τὴν τιμωρίαν ὁρίζεται. Καὶ ὁ μὲν μακάριος Θεόδωρος ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ πέμπεται ὑπερόριος· ὁ δὲ ἀοίδιμος Ἰωσὴφ φυλακαῖς διαφόροις προσομιλήσας καὶ τῇ λοιπῇ κακοπαθείᾳ πυκτεύσας καὶ αὖθις ἐρωτηθεὶς καὶ στερρότερος εὑρεθεὶς δεινοτέραις καὶ σκοτεινοτέραις φυλακαῖς ἐκδίδοται· ἐν αἷς πλεῖστα προσταλαιπωρήσας ἀπαίρει πρὸς τὴν αἰώνιον λῆξιν (Iul. 15[4]). — 2. 3. — Ἐπιφανίου... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις... — 1 : Ἀκύλα καὶ Ἱλαρίου. — **Da** : Ἰωσήφ. — 2. 3. — Ἐπιφανίου. — 1 : Ἀκύλα καὶ Ἱλαρίου. — **Db** : Ἰωσήφ. — 2. 3. — **K** : Ἰωσήφ. — 2. 3. — **N** : 1. — Ἰωσήφ. — 2. 3. — Ἐπιφανίου. — 1 : Ἀκύλα καὶ Ἱλαρίου. — **Bb** : 2. 3. — Ἰωσήφ. — **Bc** : 2. 3. — Ἰωσήφ. — **C** : 2. 3. — Ἰωσήφ. — **Ce** : 2. — Ἰωσήφ. — **Cg** : Θεοδώρου ἐπισκόπου Κυρήνης τῆς κατὰ Λιβύην τοῦ Πενταπολίτου (Iul. 4[2]). — 2. 3. — Ἰωσήφ. — 1 : Ἀκύλα καὶ Ἱλαρίου. — **R** : 1. 2. — Ἰωσήφ. — 3. — **Ra** : 1. — Ἰωσήφ. — **Rb** : 2. — **Rc** : 1. — Ἰωσήφ. — 2. 3. — **Mc** : 1 : Ἀκύλα. Οὗτος ὁ ἅγιος ἀπόστολος μαθητὴς γέγονε τοῦ ἁγίου ἀποστόλου Παύλου· καὶ χειροτονηθεὶς ἐπίσκοπος ὑπ' αὐτοῦ ἀπεστάλη καὶ πολὺ πλῆθος ἐκ τῆς εἰδωλομανίας πρὸς τὴν ἀληθῆ θεογνωσίαν ἐπέστρεψε· καὶ ἐν διαφόροις τόποις ἀπελθὼν οἷά τις φωστὴρ πανταχοῦ τῇ ἀρετῇ ἐξέλαμψε καὶ τοῖς δόγμασιν. Εὑρὼν δὲ καὶ τὸν Ἀπολλὼ ἀτελείωτον τῇ πίστει ἐστήριξέ τε καὶ ἐβεβαίωσε· καὶ πολλοὺς κατηχήσας καὶ βαπτίσας καὶ εἴδωλα καταστρέψας καὶ ναοὺς ἐγείρας καὶ ἱερεῖς καταστήσας καὶ πειρασμοῖς πολλοῖς προσπαλαίσας κτείνεται ὑπὸ τῶν ἀπίστων καὶ πρὸς Κύριον ἀνελθὼν πρεσβεύει ὑπὲρ ἡμῶν. — 2. — Ἀκύλας καὶ Ἱλάριος λιθοβοληθέντες τ. — Πέτρος ὁ νέος ἐπίσκοπος Κρήτης τοὺς πόδας ἐκκοπεὶς τ. — Ἰωσὴφ ἀρχιεπίσκοπος Θεσσαλονίκης, ἀδελφὸς τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου ἐν εἰρήνῃ τ. — Ἡράκλειος ῥοπάλοις τυπτόμενος τ. — **Mv** : 1. 2. 3. — Ἰωσήφ. — **Mr** : 1. — Ἰωσήφ.

[1] Θεσσαλονικαίων D.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

1. Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Κηρύκου καὶ Ἰουλίττης. Αὕτη ἡ μάρτυς ὑπῆρχεν ἐπὶ [1] Διοκλητιανοῦ τοῦ [2] βασιλέως [2] ὁρμωμένη ἐξ [3] Ἰκονίου. Διὰ δὲ τὸν ἐπικρατοῦντα ἐκεῖσε διωγμὸν τὸν ἀοίδιμον Κήρυκον τριετῆ ὑπάρχοντα λαβοῦσα καὶ καταλαβοῦσα τὴν Σελεύκειαν [4], εὑροῦσα δὲ κἀκεῖ τὴν αὐτὴν κατὰ τῶν χριστιανῶν κίνησιν, ἔρχεται ἐν Ταρσῷ τῆς Κιλικίας, ἐν ᾗ Ἀλέξανδρός τις ἡγεμὼν ὠμὸς καὶ θηριώδης τὸν τρόπον τοὺς τὸν Χριστὸν ἐπικαλουμένους ἐτιμωρεῖτο· ὑφ' οὗ συλληφθεῖσα ᾐκίζετο, ἐκσπασθέντος ἐξ αὐτῆς τοῦ νηπίου. Ὁ κολακείαις ὁ ἡγεμὼν ἑλκύσαι [5] πρὸς αὐτὸν [6] μὴ δυνηθείς, ἀλλ' ἀτενὲς ὁρῶν [7] τῇ μητρὶ καὶ ὑποψελλιζούσῃ φωνῇ τὸ τοῦ Χριστοῦ ἀνακαλούμενον ὄνομα, λὰξ δὲ κατὰ τῆς πλευρᾶς τοῦ ἡγεμόνος ἐντεῖνον [8], ὡς εἶχεν, αὐτὸ κατὰ τῶν βαθμίδων τοῦ βήματος ἔρριψε· τῇ δὲ προσκρούσει συντριβὲν τὸ κρανίον ἀφῆκε τὴν ψυχήν. Ἡ δὲ μακαρία Ἰουλίττα [9] μετὰ πολλὰς [10] τὰς [10] βασάνους μὴ [10] πεισθεῖσα [10] ἀπετμήθη τὴν κεφαλήν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἀρχαγγέλου Μιχαὴλ [11] ἐν τοῖς Ἀδδᾶ.

Iul. 15. **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀβουδίμου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ· κατασχεθεὶς δὲ καὶ θῦσαι τοῖς εἰδώλοις μὴ ἀνασχόμενος, πάλοις ἐκταθεὶς μαστίζεται ὑπὸ ἐννέα στρατιωτῶν. Εἶτα ἀπογεύσασθαι τῶν εἰδωλοθύτων [1] μὴ πεισθείς, σιδηροῖς ὄνυξι ξέεται· καὶ μένων ἄκαμπτος καὶ ἀνένδοτος τὴν κεφαλὴν ἀφαιρεῖται.

3. Τῇ [1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν Χριστοῦ [2] μαρτύρων Παύλου καὶ Οὐαλεντίνης καὶ Θεῆς. Οὗτοι ἦσαν Αἰγύπτιοι· ἐπὶ δὲ τῆς πόλεως Διοκαισαρείας [3] ἀχθέντες, παρέστησαν Φιρμιλιανῷ τῷ ἄρχοντι· καὶ ὁμολο|γήσαντες τὸ ὄνομα τοῦ [4] Χριστοῦ, τοὺς ἀριστεροὺς πόδας διακαίονται, καὶ τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐξορύττονται. <Καὶ ὁ μὲν ἅγιος Παῦλος διὰ ξίφους τὴν κεφαλὴν τέμνεται [5]·> ἡ δὲ Οὐαλεντίνα καὶ Θεὴ ἐπὶ ξύλου τανυσθεῖσαι καὶ ξεσθεῖσαι διὰ σιδήρου καὶ πυρὸς ἀναιροῦνται. f. 261.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ ὁμολογητοῦ ἀρχιεπισκόπου Θεσσαλονίκης.

5. Καὶ τοῦ ἐν εὐσεβεῖ τῇ λήξει [1] γενομένου βασιλέως ἡμῶν Ἰουστινιανοῦ τοῦ νέου ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

1. — [1] κατὰ τοὺς χρόνους ἦν αὕτη D. — [2] *om.* D. — [3] ἀπὸ τοῦ D. — [4] (τὸν - Σελ.) καταλαμβάνει τὴν Σ. μετὰ τριετοῦς παιδὸς καλουμένου K. D. — [5] ἑλκύσας S. — [6] ἑαυτὸν D. — [7] ἐνορῶν D. — [8] ἐντεῖναν D. — [9] Ἠουλίττα S. — [10] *om.* D. — [11] τῷ ὄντι *add.* D.

2. — [1] D, εἰδώλων S.

3. — [1] καὶ τῇ D *ad diem Iulii 16.* — [2] ἁγίων D. — [3] D, Καισαρείας S. — [4] Θεοῦ Ἰησοῦ *add.* D. — [5] (καὶ ὁ - τέμνεται) D, *om.* S.

5. — [1] μνήμη D.

Iul. 15. SYNAXARIA SELECTA. **H** : 1. 2. 4. 5. — **P** : 1. 2 : Ἀβωδίμου νομέως τοῦ Ἰουλιανοῦ. Οὗτος ἦν ἐν Τενέδῳ τῇ νήσῳ, καὶ ἐπὶ Ἰουλιανοῦ κρατηθεὶς καὶ πολλὰ καταναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστόν, ὡμολόγησε παρρησίᾳ τὴν θεότητα αὐτοῦ. — 4. — **D** : 1. 2. 5. — **Da** : 1. 2. 5. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. 5. — **Bb** : 1. 2. — Ἀντιόχου καὶ Κυριακοῦ. — 3. — **Bc** : 1. 2. — Ἀντιόχου καὶ Κυριακοῦ. Ἀντίοχος ὁ τοῦ Χριστοῦ μάρτυς ἦν ἀπὸ Σεβαστείας, ἰατρὸς τὴν τέχνην. Περιερχόμενος δὲ τὰς πόλεις πάσας καὶ ἰατρεύων τοὺς ἐν ἀσθενείαις, ἐκρατήθη ὑπὸ Ἀδριανοῦ τοῦ ἡγεμόνος. Καὶ πολλὰς βασάνους ὑπομείνας πρότερον, ὕστερον εἰς λέβητα ἐμβληθεὶς καὶ μὴ φλεχθεὶς ἄγεται θηριομαχῆσαι· ᾧτινι προσέχαιρον τὰ θηρία, καὶ κινούμενα πρὸς τοῖς ποσὶν αὐτοῦ, κατεφίλουν αὐτόν· μία δὲ πάρδαλις ἀνθρωπίνῃ φωνῇ ἤλεγξε τὸν ἡγεμόνα. Εἶτα ηὔξατο ὁ ἅγιος καὶ διελύθησαν εἰς ψάμμον πάντα τὰ εἴδωλα. Καὶ μετὰ ταῦτα ἀπετμήθη τὴν κεφαλὴν καὶ ἔρρευσεν ἐκ τοῦ τραχήλου αὐτοῦ σὺν αἵματι γάλα. Κυριακὸς δὲ ὁ τὸν ἅγιον ἀποκεφαλίσας, ἰδὼν τὸ θαῦμα καὶ παρρησιασάμενος, ἑαυτὸν χριστιανὸν ἀνωμολόγησε· καὶ ἀνάθεμα εἰπὼν τοῖς εἰδώλοις Ἀδριανοῦ, ἐτμήθη καὶ αὐτὸς τὴν κεφαλὴν καὶ προσετέθη τῷ ἁγίῳ Ἀντιόχῳ. Καὶ οὕτω τελειωθέντες, ἀπέλαβον παρὰ τοῦ οὐρανίου καὶ μεγάλου Βασιλέως τὴν τῶν οὐρανῶν βασιλείαν. — 3. — **C** : 1. 2. — Τῆς ἁγίας μάρτυρος Δομινάτας (in marg.). — **Ce** : 1. 2 : Ἀβουδίμου [1]. Οὗτος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, ἐκ τῆς νήσου Τενέδου. Κρατηθεὶς δὲ καὶ πολλὰ καταναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν ὡμολόγησε παρρησίᾳ τὴν θεότητα αὐτοῦ· ὅθεν πασσάλων πηχθέντων εἰς μάστιγας, ἐξετάθη καὶ ὑπὸ ἐννέα στρατιωτῶν τύπτεται. Βιασαμένων δὲ αὐτῶν τῶν δημίων μιαρῶν ἀπογεύσασθαι θυσιῶν οὐκ ἐπείσθη· διὸ ξέουσιν αὐτὸν χερσὶ σιδηραῖς καὶ μετὰ πολλὰς ἑτέρας βασάνους μὴ πεισθέντα [2] ἀπεκεφάλισαν. Καὶ ἰδοὺ μέσης ἡμέρας ὀπτάνεται ὁ μάρτυς τῷ Διοκλητιανῷ μετὰ ἀγγέλων κατεχόντων ῥομφαίας καὶ φόβῳ οὐρανίῳ ἐξέπληξεν αὐτόν. Καί φησιν· «Ἴδε, Ἀβούδιμος ὁ τοῦ ἀληθινοῦ Θεοῦ ἄνθρωπος, ὃν σὺ νομίζεις τεθνάναι, ὃν ὁ » Θεὸς τῇ αὐτοῦ βοηθείᾳ δείκνυσί σοι ὅτι ἰσχύει κατὰ τῶν συνεργῶν σου τῶν δαιμόνων καὶ κατὰ » σοῦ.» Ὁ δὲ ἄνομος — ὢ ἀνοχῆς Θεοῦ, ἀνθ' ὧν ὤφειλε μεταβάλλεσθαι καὶ πιστεῦσαι τῷ Χριστῷ — μανεὶς τὸ σῶμα τοῦ μάρτυρος πυρὶ παραδέδωκε. — **Cg** : 1. 2. — **R** : 1. 2 (Ἀκουδαίμου). — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. 2. — Ὀνησιφόρου καὶ Πορφυρίου (Iul. 16[1]). — **Mc** : 1. — Λολλιανὸς ὑπὸ δημίων λακτιζόμενος τ. — 2. 5. — **Mv** : 1. 4. — Λωλιανοῦ. — 2. — **Mr** : 1.

[1] Ἀβουδήμου Ce. — [2] πεισθέντας Ce.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚ'.

Ιul. 16. **1.** Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου. Οὗτοι [1] ὑπῆρχον [2] πόλεως Ἰκονίου. Ὧν ὁ μὲν Ὀνησιφόρος ἐκ γένους [3] τῶν Ἀννικιόρων ὤν [4], συγγενὴς Τρυφαίνης τῆς βασιλίσσης ἐγνωρίζετο· μαθητευθεὶς δὲ Παύλῳ τῷ μεγάλῳ ἀποστόλῳ ἐν τῇ χώρᾳ ἐνδημήσαντι, πρῶτος τῇ Ἰκονιέων πόλει ἐμβαλόντι [5] τῷ ἀποστόλῳ προσυπαντήσας καὶ ἐν τῇ οἰκίᾳ δεξάμενος, βαπτισθείς τε ὑπ' αὐτοῦ πανοικὶ καὶ τοῖς τῆς διδασκαλίας αὐτοῦ λόγοις κατεντρυφῶν πολλοὺς ἠρέθιζε πρὸς τὴν τοῦ Χριστοῦ πίστιν ἐπαναστρέφειν· ὅθεν τὸν λόγον τοῦ ἀποστόλου τοῖς συνελθοῦσιν ἁπλοῦντος καὶ περὶ παρθενείας καὶ ἁγνείας δημηγοροῦντος, ἡ πρωτόμαρτυς Θέκλα ἐπίστευσε [6] καὶ τοὺς μεγίστους ἐκείνους ἄθλους διήνεγκε [7]. Διὸ ἥ τε πόλις ἅπασα καὶ αὐτὸς ὁ ἡγεμὼν δεινῶς χαλεπήναντες ἀπελαύνουσι [8] μετά γε τοῦ Παύλου καὶ τὸν Ὀνησιφόρον, ὃς μυηθεὶς ἄνωθεν τὴν ὑποχώρησιν αὐτοῦ, κατέλαβε τὸν Ἑλλήσποντον [9] ἐν τῷ Παρίῳ παρὰ θάλασσαν· κἀκεῖσε σκηνώσας καὶ τῶν πτωχῶν πολλὴν πρόνοιαν ποιούμενος, — εὔπορος γὰρ ὑπῆρχε [10], — θεοφιλῶς τὰ αὐτοῦ ᾠκονόμησε [11]. Ἀλλὰ καὶ τὸν Παῦλον ἐπὶ τὰ Ἱεροσόλυμα ἀπιόντα [12] πολλοῖς [13] χρήμασιν ἐφωδίασε, καὶ δέσμιον ἐκεῖθεν ἀγόμενον καὶ περιαγόμενον ὁ Ὀνησιφόρος ἐν πᾶσι θεραπεύων ἐπήρκει, ἐπακολουθῶν αὐτῷ μέχρι καὶ Ῥώμης αὐτῆς καὶ ἑλόμενος καὶ εἰς Ἱσπανίαν ἀκολουθῆσαι [14] αὐτῷ. Ὁ δὲ οὐκ ἠνέσχετο· καὶ λοιπὸν καταλαμβάνει τὸν Ἑλλήσποντον· καὶ εὑρὼν ἐκεῖσε Ἀδριανὸν [15] τὸν ἀνθύπατον καὶ μὴ πειθαρχήσας αὐτοῦ τοῖς λόγοις, φρουρεῖται· ἔπειτα τύπτεται σφοδρῶς, ἀλλαγέντων δεκατεσσάρων κεντυριώνων· καὶ ἐπὶ ἐσχάρας πεπυρακτωμένης ἐπιτεθεὶς [16] ἅμα Πορφυρίῳ δούλῳ αὐτοῦ ὑπάρχοντι καὶ παρρησιασαμένῳ τὴν εὐσέβειαν λίαν κατακαίεται [17] καὶ ἵπποις ἀγρίοις προσδεθεὶς καὶ ἐπὶ δεκα|τέσσαρα μίλια διαδραμὼν [18] τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται, συγκαμόντος αὐτῷ καὶ τοῦ μακαρίου Πορφυρίου ἐν πᾶσι [19] τοῖς κατὰ Θεὸν ἀγωνίσμασιν καὶ σὺν αὐτῷ πρὸς Κύριον ἐκδημήσαντος καὶ τοὺς ἀμαραντίνους στεφάνους ἀπολαβόντος [20]. f. 261v.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Πέτρου Κρήτης τοῦ μάρτυρος καὶ νέου.

3. Καὶ [1] ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντιόχου αὐταδέλφου χρηματίσαντος τοῦ ἁγίου μάρτυρος Πλάτωνος, δι' οὗ καὶ εἰς τὸν [2] Χριστὸν πεπίστευκεν. Οὗτος [3] ἦν ἐκ πόλεως Σεβαστείας, ἰατρὸς τὴν τέχνην, περιϊὼν [4] κατὰ τὰς πόλεις καὶ τοὺς ἐν ἀσθενείᾳ ἰώμενος [5]. Διερχόμενος οὖν τήν τε Γαλατικὴν καὶ Καππαδοκίαν καὶ παντοῖα νοσήματα θεραπεύων [6], συλλαμβάνεται παρὰ Ἀδριανοῦ ἡγεμόνος· καὶ εὐθέως κρεμασθεὶς ἐπὶ ξύλου ξέεται τὰς πλευρὰς καὶ λαμπάσι πυρὸς κατακαίεται. Ἐπεὶ δὲ οὐχ ἥπτοντο αὐτοῦ αἱ βάσανοι, τῇ φρουρᾷ ἀποτίθεται καὶ τῇ ἑξῆς [7] λέβητι ἐμβάλλεται καχλάζοντι

1. — [1] οἱ ἅγιοι *add.* D. — [2] τῆς *add.* D. — [3] γέννους S. — [4] Ἀνικιόρ ὢν *prima manu* D. — [5] ἐμβαλλόντι S. — [6] (μαθητευθεὶς - ἐπίστευσε) ἐνδημήσαντι δὲ τῷ ἀποστόλῳ Π. τῇ Ἰ. πόλει πρῶτος οἴκοι τοῦτον δέχεται καὶ αὐτῷ μαθητεύεται καὶ πανοικὶ βαπτίζεται ἔνθα τὸν περὶ παρθενίας λόγον ποιουμένου τοῦ Παύλου Θέκλα ἡ πρώταθλος ἀκούσασα Χριστῷ προσέρχεται D. — [7] διετέλεσεν D. — [8] ἡγεμὼν χαλεπήνας ἀπελαύνει D. — [9] Ἐλίσποντον *postea* Ἐλλίσποντον D. — [10] ἦν D. — [11] οἰκονομῶν S. — [12] τῷ Παυλῷ ... ἀπιόντι (*corr.*) D. — [13] αὐτὸν *add.* D. — [14] ἀκολουθῶν D. — [15] Ἀνδριανὸν S. — [16] *om.* D. — [17] (ὑπάρχοντι - κατακαίεται) τὴν εὐσέβειαν καὶ αὐτῷ παρρησιασαμένῳ D. — [18] (προσδεθεὶς - διαδραμὼν) συνδέδεται καὶ ἐπὶ μιλίοις ιδ' συρεὶς D. — [19] πάσαις S. — [20] (συγκαμόντος - ἀπολαυόντος *ita* S) ἐπὶ πᾶσι τοῖς κ. Θ. ἀγ. συγκαμόντος αὐτῷ *corr.*, *prius* αὐτοῦ) καὶ τοῦ πορφυρίου καὶ τὸ βραβεῖον τῆς ἀθλήσεως κομισαμένου D.

3. — [1] τῇ αὐτῇ ἡμέρᾳ D. — [2] *om.* D. — [3] ὁ ἅγιος Ἀντίοχος *add.* D. — [4] (περιϊὼν - οὖν) διερχομένου οὖν αὐτοῦ D. — [5] ἰωμένους S. — [6] θεραπεύοντος D. — [7] (ἐπεὶ - ἑξῆς) καὶ τῇ φρουρᾷ ἀπ. ἐκεῖθεν ἐξαχθεὶς D.

Ιul. 16. SYNAXARIA SELECTA. **H** : 3. — Παύλου, Οὐαλεντίνης καὶ Θεῆς (Iul. 15[3]). — 4. — **P** : 3. — Παύλου κτλ. — 4 : Τῇ μετ' αὐτῶν κυριακῇ τῶν ἁγίων πατέρων τῶν κατὰ Σεβήρου τῆς ε' συνόδου. — **D** : 1. 3. — Παύλου κτλ. — 4 : Μνήμη τῶν ἑξακοσίων τριάκοντα ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων τῇ τοῦ ἁγίου Πνεύματος χάριτι: καὶ βεβαιώσαντες τὸ τῆς πίστεως σύμβολον, τὸ ἐκτεθὲν ὑπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων τῶν κατὰ τὴν Νίκαιαν συνελθόντων, ὅπερ καὶ οἱ ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει συναθροισθέντες ἑκατὸν πεντήκοντα ἅγιοι πατέρες καὶ οἱ ἐν Ἐφέσῳ τὸ πρότερον σ', ἔτι δὲ καὶ οἱ ἑκατὸν ἑξήκοντα, οἱ ἐν τῇ ἁγίᾳ πέμπτῃ συνόδῳ συνελθόντες, ἐκύρωσαν, ὡσαύτως δὲ καὶ οἱ ἑκατὸν ἑβδομήκοντα ἐν τῇ ἕκτῃ συνόδῳ κατὰ ταύτην τὴν [1] θεοφύλακτον πόλιν παραγενόμενοι ἐπεκύρωσάν τε καὶ ἐπεσφράγισαν. Τελεῖται δὲ κτλ. — **Da** : 1. 3. 4. — **Db** : 1. 3. 4. — **K** : 1. 3. 4. — **N** : Ἀθηνογένους (Iul. 17[2]). — 1. 4. — **Bb** : 4. 1. — **Bc** : 4. 1. — Ἀθηνογένους. — **C** : 3. — Παύλου κτλ. — 4. 1. — Ἀθηνογένους. — **Ce** : 3. — Παύλου κτλ. — 1. — Ἀθηνογένους[2]. — **Cg** : 3. — Παύλου καὶ Οὐαλεντίνης καὶ Θεῆς. Οὗτοι ὑπῆρχον Αἰγύπτιοι τὸ γένος· εἰς δὲ τὴν πόλιν Διοκαισάρειαν ἀχθέντες παρέστησαν Φιρμιλιανῷ ἄρχοντι, Ἰουδαίων τε πλῆθος τὸν ἄρχοντα διήγειρε κατὰ τῶν ἁγίων. Ὅθεν ἐπερωτηθέντες καὶ ὁμολογήσαντες τὸ ὄνομα τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ, τοὺς ἀριστεροὺς πόδας κατεκάησαν καὶ τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐξορύττονται καὶ ξίφεσι καὶ πυρὶ τελειοῦνται καὶ μετ' αὐτῶν ἕτεροι πολλοὶ ἄνδρες καὶ γυναῖκες ὡμολόγησαν τὸ ὄνομα τοῦ Χριστοῦ. Καὶ ἡ μὲν ἁγία Θεὴ ἐπὶ τοῦ ξύλου τανυσθεῖσα ξέεται, ἡ δὲ ἀδελφὴ αὐτοῦ Οὐαλεντίνα τῷ δικαστῇ ἐπιθεμένῳ κατέστρεψε τὸν βωμὸν τῷ ποδὶ καὶ ξέεται <καὶ [3]> αὐτὴ ἀφειδῶς. Παῦλος δὲ ὁ ἅγιος μάρτυς τὴν διὰ

[1] *supra lin. corr.* D. — [2] Ἀνθηνογένους Ce, Cg. — [3] *om.* Cg, *supplevi ex* C.

καὶ μεστῷ ὑπάρχοντι παντὸς δραστηρίου ἐλαίου καὶ ἐν ἑπτὰ ἡμέραις ὑπὸ πυρὸς ἐκφλογουμένῳ· ὡς δὲ κἀκεῖθεν χάριτι Θεοῦ ἀπήμαντος ἐξῆλθε, θηρίοις ἐκδίδοται βορά· ἀλλὰ καὶ ἐκ τούτων ἀβλαβὴς διαμείνας [8], προσευχῇ πάντα τὰ εἴδωλα εἰς γῆν κατέρραξε καὶ κονιορτὸν ἀπετέλεσε. Ξίφει οὖν τὸν αὐχένα τέμνεται, ἐξ οὗ αἷμα σὺν γάλακτι ἔρρευσεν. Ὅπερ ἰδὼν Κυριακός, ὁ τὴν τοῦ ἁγίου ἀναίρεσιν ἐνεργήσας, παρρησίᾳ χριστιανὸν ἑαυτὸν ἀνωμολόγησε, καὶ ἀνάθεμα εἰπὼν Ἀδριανῷ καὶ τοῖς εἰδώλοις αὐτοῦ, ἀφαιρεῖται καὶ αὐτὸς τὴν κεφαλὴν καὶ προστίθεται τῷ ἁγίῳ Ἀντιόχῳ [9].

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν ἑξακοσίων τριάκοντα ἁγίων καὶ μακαρίων πατέρων τῶν κατὰ τὴν Χαλκηδονέων μητρόπολιν τῆς Βιθυνίας τῇ χάριτι τοῦ ἁγίου Πνεύματος συνελθόντων ἐπὶ Μαρκιανοῦ τοῦ εὐσεβοῦς βασιλέως, καὶ βεβαιωσάντων τὸ ἅγιον σύμβολον τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν κατὰ τὴν Νικαέων μητρόπολιν συνελθόντων· ὅπερ καὶ αἱ λοιπαὶ ἅγιαι σύνοδοι ἐκύρωσάν τε καὶ ἐπεσφράγισαν. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. Ιul. 16.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

Ιul. 17. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Μαρίνας [1]. Αὕτη ὑπῆρχεν ἐξ Ἀντιοχείας [2] τῆς Πισιδίας [3], θυγάτηρ Αἰδεσίου ἱερέως τῶν | εἰδώλων. (f. 262.) Προσαχθεῖσα δὲ Ὀλυβρίῳ τῷ ἐπάρχῳ καὶ θῦσαι τοῖς εἰδώλοις καὶ ἀρνήσασθαι τὸν Χριστὸν μὴ ἑλομένη, πολλὰς ὑπέστη βασάνους· καὶ βληθεῖσα ἐν τῇ φυλακῇ, τὸν ἐπαναστάντα αὐτῇ δράκοντα προσευξαμένη διέρρηξεν. Εἶτα ἀχθεῖσα ἐκεῖθεν καὶ ἐρωτηθεῖσα καὶ ἀσάλευτον τὴν εἰς Χριστὸν ὁμολογίαν φυλάττουσα τὴν κεφαλὴν ἀπετμήθη. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἔνδον τοῦ ἁγίου μάρτυρος Μηνᾶ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος [1] Ἀθηνογένους ἐπισκόπου γενομένου Πηδαχθόης. Οὗτος [2] ἦν ἀπὸ Σεβαστείας, ἐπὶ Διοκλητιανοῦ [3] βασιλέως [4]. Οὗτος ἀναρτηθεὶς [5] ὑπὸ Φηλιμάρχου ἡγεμόνος μετὰ δέκα μαθητῶν αὐτοῦ, πολλάς τε βασάνους [6] ἅμα αὐτοῖς ὑπομείνας, τὸ τέλος τῆς ὑπὲρ Χριστοῦ μαρτυρίας διὰ [7] ξίφους [7] ἐδέξατο. Λέγεται δὲ περὶ αὐτοῦ ὅτι πρὸ τῆς κατασχέσεως ἀπελθὼν εἰς τὸ μοναστήριον, τοὺς μαθητὰς αὐτοῦ οὐχ εὗρε, προκατεσχέθησαν γάρ· τὴν δὲ ὑπαντήσασαν αὐτῷ ἔλαφον, ἣν ἀνεθρέψατο ἐν τῇ μονῇ, εὐλόγησε καὶ ἐπηύξατο μὴ κυριευθῆναι ὑπὸ τῶν κυνηγετῶν τὸ σπέρμα αὐτῆς, ἀλλὰ καθ' ἕκαστον χρόνον ἄγειν [7] ἐν τῇ μνήμῃ αὐτοῦ αὐτήν τε καὶ τὰς ἐξ αὐτῆς μελλούσας φύεσθαι [8] μόσχον ἕνα· ὃ καὶ γέγονεν. Ὁρᾶται γὰρ μετὰ τὴν ἀνάγνωσιν τῶν ἁγίων εὐαγγελίων [9] ἐν τῇ ἐκκλησίᾳ εἰσερχομένη ἡ ἔλαφος καὶ τὸν νεαρὸν [10] αὐτῆς ἀνατιθεῖσα [11] τῷ ἁγίῳ καὶ πάλιν ἐξιοῦσα· ὃν θύοντες οἱ συνειλεγμένοι εὐωχοῦνται [12] εἰς δόξαν τοῦ ἁγίου μάρτυρος καὶ τιμήν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου [13] Γεωργίου, τῷ ὄντι [14] ἐν τῷ Κυπαρισσίῳ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ὁσίου Λαζάρου τοῦ ἐν τῷ Γαλλησίῳ [1].

— [8] (μεστῷ - διαμείνας) θηρίοις ἐκδίδωται καὶ ἐκ πάντων τῇ τοῦ Θ. χ. παραδόξως ῥυσθεὶς D. — [9] (ξίφει - Ἀντιόχῳ) διὸ καὶ τὴν κεφαλὴν ξ. τμηθεὶς ἀνεπαύσατο ἐν κυρίῳ D.

1. — [1] Μαρίνης D. — [2] Ἀντιοχίας D. — [3] Πισσιδίας D.

2. — [1] ἱερομάρτυρος D. — [2] (ἐπισκόπου - οὗτος) ὁ ἅγιος ἱερομάρτυς Ἀ. D. — [3] τοῦ *add.* D. — [4] ἐπίσκοπος γενόμενος Πηδαχθόης *add.* D. — [5] κρατηθεὶς D. — [6] αἰκισμῷ D. — [7] *om.* D. — [8] φυήσεσθαι D. — [9] τοῦ εὐαγγελίου D. — [10] τὸ νεαρὸν D. — [11] ἀνατεθεῖσα S. — [12] εὐωχοῦντο S. — [13] μάρτυρος *add.* D. — [14] τῷ ὄντι *om.* D.

3. — [1] Γαλλισίῳ S.

Ιul. 16. ξίφους ἀπόφασιν λαβὼν καὶ στὰς καὶ προσευξάμενος ὑπὲρ χριστιανῶν, ὑπὲρ Ἰουδαίων, ὑπὲρ Σαμαρειτῶν, ὑπὲρ Ἑλλήνων καὶ ὑπὲρ ἑτέρων ἐθνῶν ὅπως εἰς ἐπίγνωσιν Θεοῦ ἔλθωσιν καὶ παυθῇ ὁ κατὰ τῶν χριστιανῶν διωγμός, εἰς οἶκτον καὶ δάκρυα πάντας ἐκίνησε. Καὶ μετὰ ταῦτα ἐτμήθη τὴν κεφαλήν. — 4. 1. — Ἀθηνογένους. — **R** : Ἀθηνογένους. — 4. — **Ra** : 2. 3. — Παύλου κτλ. — **Rb** : Ἀθηνογένους. — 4. — **Rc** : 3. — Παύλου κτλ. — **Mc** : Ἀθηνογένους. — 3. 4. — Χιλιάδες ιε' ἁγίων μαρτύρων ἐν Πισιδίᾳ τ. — **Mv** : Ἀθηνογένους. — Ἀβουδίμου (Iul. 15[2]). — Τοῦ ἁγίου μάρτυρος Φαύστου (cf. Iul. 13[3]). — 4 : Κυριακῇ ... μνήμην ἐπιτελοῦμεν τῶν ἑξακοσίων τριάκοντα ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι. — **Mr** : Ἀθηνογένους.

Ιul. 17. SYNAXARIA SELECTA. **H** : 2. 1. — Ἄθλησις τοῦ ἁγίου Σπεράτου καὶ Βερονίκης. — **P** : 2. 1. — Σπεράτου καὶ Βερονίκης. — Θεοδ(οσίας) (Iul. 18[3]). — **D** : 2. 1. — Σπεράτου καὶ Βερονίκης. — **Da** : 2. 1. — **Db** : 2. 1. — **K** : 2. 1. — **N** : Ἀντιόχου (Iul. 16[3]). — Παύλου κτλ. (Iul. 15[3]). — **Bb** : 2. 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — Ἀντιόχου. — **Ra** : 1. 2. — **Rb** : 1. — Ἀντιόχου. — **Rc** : 1. — Μάμαντος καὶ Βασιλίσκου ἐν τοῖς Δαρείου (Iul. 30[3]). — Βενιαμήν, Βενίου καὶ Βινέου πλησίον τῶν παλατίων τοῦ Ἑβδόμου (Iul. 30[4]). — Μνήμη Κωνσταντίνου τοῦ νέου πατριάρχου Κωνσταντινουπόλεως καὶ τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου τοῦ νέου (Iul. 30[5]).— Τοῦ ἁγίου μάρτυρος Ἀκακίου (Iul. 21[5]). — Τῆς ὁσίας Ἀνθούσης τῆς συστησαμένης τὴν εὐαγεστάτην μονὴν τοῦ Μαντινέου (Iul. 27[2]). — Ἄθλησις τῶν ἁγίων Ἀπτίωνος καὶ Ἱερουσαλήμ (Iul. 26[6]). — **Mc** : 1. — Παύλου κτλ. — Σπέρατος καὶ Βερονίκη ξ. τ. — 3 : ὁ ὅσιος Λάζαρος ὁ ἐν τῷ Γαλλησίῳ ἐν εἰρήνῃ τ. — Ὀνησιφόρος καὶ Πορφύριος ὁ δοῦλος αὐτοῦ ἵπποις συρόμενοι τ. (Iul. 16[1]). — **Mv** : 1. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Iul. 18. **1**. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Αἰμιλιανοῦ. Οὗτος ὑπῆρχεν ἐκ Δωροστόλου πόλεως Μυσίας τῆς Θρᾴκης, δοῦλος τυγχάνων ἕλληνός τινος[1] κατὰ τοὺς χρόνους Ἰουλιανοῦ τοῦ παραβάτου καὶ Καπετωλίνου βικαρίου. Σεβόμενος δὲ τὸν Χριστὸν καὶ τὰ εἴδωλα μυσαττόμενος[2], εἰσῆλθεν εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ πάντα τὰ ἐν αὐτῷ ξόανα μετὰ τῆς σφαίρας, ἣν ἐν ταῖς χερσὶν εἶχε, συνέτριψεν. Ἀγομένων δὲ ἑτέρων ἐπὶ τῷ συμβάντι διὰ τὴν ἄγνοιαν καὶ αἰκιζομένων, αὐτὸς προσήγγειλεν ἑαυτόν· ὅθεν συλληφθεὶς ἐλέγχει τὴν τοῦ βικαρίου ἄνοιαν, ὅτι ἐπὶ ματαίοις πέποιθε τοῖς | f. 262v. εἰδώλοις. Τυφθεὶς δὲ βουνεύροις δεινῶς καὶ βληθεὶς ἐν πυρὶ καὶ ἄφλεκτος ἐν αὐτῷ διαμείνας, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι ἐν τῇ Ῥάβδῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὑακίνθου τοῦ ἐν Ἀμάστριδι. Οὗτος ἔφυ ἐκ γονέων εὐσεβῶν Θεοκλήτου καὶ Θεονίλλης[1], Ἡρακλείδου τῆς ἐν Ἀμάστριδι ἐκκλησίας προϊσταμένου. Τότε οὖν ὄνομα ἐξ ἐπιφανείας ἀγγέλου ἐδέξατο· καὶ τριετὴς γενόμενος τῇ τοῦ Χριστοῦ ἐπικλήσει παιδίον ἀνέστησεν τεθνεός[2]. Συμπροϊούσης δὲ αὐτῷ καὶ συναυξανομένης τῇ ἡλικίᾳ[3] τῆς ἀρετῆς, ἐπεὶ πρὸς πολιὰν ἔφθασε πολλὰς μεταξὺ θαυμάτων ἐνεργείας πεποιηκώς, ὁρῶν τοὺς εἰδωλολάτρας ἀνοήτως δένδρῳ[4] θρησκεύοντας — τοῦτο δὲ ἦν πτελέα ὑποτετριμμένη καὶ διάκουφος — ἐξέτεμεν αὐτό. Κατασχεθεὶς οὖν ἄγεται πρὸς Καστρίκιον[5] τὸν ἡγεμόνα καὶ πρὸς τοὺς τῆς πόλεως Ἀμάστριδος ἄρχοντας[6] καὶ τύπτεται σφοδρῶς καὶ ἐκριζοῦται τοὺς ὀδόντας καὶ σύρεται σχοινίοις διαληφθεὶς ἔξω τῆς πόλεως, καὶ καλάμοις ὀξέσι τιτρώσκεται· εἶτα βληθεὶς ἐν τῇ φυλακῇ τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Λέγεται δὲ παράδοξον καθ' ἕκαστον χρόνον ἐν τῇ μνήμῃ τελεῖσθαι[7] αὐτοῦ. Ὑπὸ γῆν γὰρ ὄντος τοῦ τάφου ἐν ᾧ τὸ τίμιον αὐτοῦ ἀπόκειται λείψανον, ὑμνῳδίας παρὰ τῶν συνελθόντων καὶ δεήσεως πρὸς τὸν Θεὸν γενομένης[8], ἀναδίδοται χοῦς, ὅνπερ ὁ ἐπίσκοπος ἔν τινι[9] σκεύει δεχόμενος ἱερῷ, τοῖς συνελθοῦσι διανέμει εἰς ψυχῶν καὶ σωμάτων θεραπείαν καὶ ἴασιν.

3. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας ὁσιομάρτυρος Θεοδοσίας. Αὕτη ἦν ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ Ἀδραμυττηνοῦ[1], γονέων εὐσεβῶν ἐκ τῆς θεοφυλάκτου καὶ[2] βασιλίδος τῶν πόλεων γέννημα καὶ θρέμμα. Ἑπταετὴς δὲ γενομένη, ἐτελεύτησεν ὁ πατὴρ αὐτῆς· ἡ δὲ μήτηρ λαβοῦσα τὴν παῖδα, ἀπέκειρεν αὐτὴν ἔν τινι τῶν τοῦ Βυζαντίου μοναστηρίων· εἶτα ἐτελεύτησε καὶ ἡ μήτηρ, καταλείψασα τῇ μακαρίᾳ τὴν πᾶσαν περιουσίαν. Ἡ δὲ ἐκ χρυσοῦ καὶ ἀργύρου τρεῖς ἁγίας εἰκόνας κατασκευάσασα, τοῦ Χριστοῦ, τῆς ὑπεραγίας Θεοτόκου καὶ τῆς ἁγίας μάρτυρος Ἀναστασίας, τὴν λοιπὴν περιουσίαν διένειμε πτωχοῖς καὶ ὀρφανοῖς. Μετὰ δέ τινα χρόνον, Λέοντος τοῦ δυσσεβοῦς τῆς βασιλείας δρα|ξαμένου, f. 263. Θεοδοσίου τοῦ εὐσεβεστάτου τῆς βασιλείας ὑποχωρήσαντος, εὐθέως ὁ ἀλιτήριος διὰ τὸ μὴ πειθαρχεῖν τοῖς ἀσεβέσι δόγμασι τὸν μέγαν ἐν πατριάρχαις Γερμανὸν τοῦτον μετὰ ῥοπάλων καὶ ξιφῶν τοῦ πατριαρχείου κατήνεγκε, καὶ τὴν ἁγίαν καὶ δεσποτικὴν εἰκόνα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τὴν ἱδρυμένην ἐπάνω τῶν πυλῶν, ἐν οἷσπερ διὰ τὸν χαρακτῆρα ἡ ἁγία λέγεται Χαλκῆ, ἔσπευσε κατενέγκαι καὶ πυρὶ παραδοῦναι. Καὶ ἐν ᾧ ταῦτα ἐτελεῖτο καὶ ὁ σπαθάριος ἦν ἐπὶ τῆς κλίμακος, μετὰ τῆς ἀξίνης βουλόμενος τὴν ἁγίαν εἰκόνα

1. — [1] *om.* D. — [2] λαθὼν *add.* D.
2. — [1] Θεονίλλας D. — [2] παῖδα ... τεθνεῶτα D. — [3] τῆς ἡλικίας S. — [4] δένδρον S. — [5] Καστρήσιον D. — [6] ἄρχοντας Ἀμ. D. — [7] συμβαίνειν D. — [8] γινομένης D. — [9] *om.* D.
3. — [1] Ἀτραμιτύνοῦ S. — [2] τῆς S.

Iul. 18. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 1. 2. 4. 5. — **D** : 1. 2. 3 : Θεοδοσίας. Αὕτη ἦν ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ Κοπρωνύμου, γονέων εὐσεβῶν καὶ πλουσίων, οἰκητόρων ταύτης τῆς θεοφυλάκτου Κωνσταντινουπόλεως. Ὧν τὸν βίον λιπόντων, τὴν τρίχα κειραμένη αὕτη τὸν μονήρη βίον ὑπέρχεται, ἅπαντα τὸν προσόντα αὐτῇ πλοῦτον πένησι διανείμασα. Ἐπεὶ δὲ ἀρετῇ καὶ ἀσκήσει τὰς κατ' αὐτὴν ὑπερήλασε καὶ ἔδει αὐτὴν καὶ τῷ τοῦ μαρτυρίου στεφάνῳ κατακοσμηθῆναι, τὸν ἐπὶ τῆς κλίμακος ἱστάμενον σπαθάριον καὶ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θείαν εἰκόνα ἐν τῇ τῆς Χαλκῆς πύλῃ καθαιροῦντα, τῆς κλίμακος δραξαμένη μεθ' ἑτέρων εὐσεβῶν γυναικῶν καὶ κατασείσασα κατήνεγκε καὶ τῷ θανάτῳ παρέπεμψε, καὶ τὸν ἀσεβῆ Ἀναστάσιον ἀραῖς καὶ ἀναθέμασι καθυπέβαλε· ξίφει αἱ μὲν ἄλλαι γυναῖκες κατεδικάσθησαν καὶ τὸ μαρτύριον συνεπέραναν· τὴν δὲ μακαρίαν εἷς τις τῶν στρατιωτῶν δραξάμενος καὶ πλησίον τοῦ Βοὸς ἀπενεγκάμενος, λαβόμενος κέρας κριοῦ καὶ μανιωδῶς κατὰ τοῦ αὐχένος ἐλάσας τὸν θάνατον αὐτῇ ἐπήνεγκε. Περὶ δὲ τῶν ἀπείρων θαυμάτων καθ' ἑκάστην δι' αὐτῆς ἐνεργουμένων ἔξεστι τῷ ἐρωτῶντι μανθάνειν. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῇ μονῇ τῶν Δεξιοκράτους, ἔνθα κατάκειται τὸ λείψανον αὐτῆς. — 4. 5. 6. — **Da** : 1. 2. 3. 4. 5. 6 : Στεφάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἐπισκόπου Κωνσταντινουπόλεως. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, ἔνθα τὸ λείψανον αὐτοῦ ἀπόκειται, τῆς λιτῆς ἀπὸ τῆς μεγάλης ἐκκλησίας ἐκεῖσε παραγινομένης. — **Db** : 1. 2. 3. 4 (... καὶ Μύρωνος). — 5. 6. — **K** : 1. 2. 3. 4. 5. 6. — **N** : 1. 2. 3. 6. 4. — **Bb** : 1. 2. 3. 5. — **Bc** : 1. 2. 3. — **C** : 1. 2. 3 (Θεοδότης). — 4 (... καὶ Μάρανος). — **Ce** : 1. 2. 3 (Θεοδότης). — **Cg** : 1. 2. 3 : Θεοδότης. Αὕτη ἦν ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ Καβαλλίνου, γονέων εὐσεβῶν ἐκ τῆς θεοφυλάκτου Κωνσταντινουπόλεως· ἑπταετοῦς δὲ γενομένης, ἐτελεύτησεν ὁ

καταβαλεῖν[3], ἡ μακαρία Θεοδοσία μεθ' ἑτέρων γυναικῶν εὐσεβῶν τῆς κλίμακος δραξάμεναι καὶ τὸν σπαθάριον τῇ γῇ προσρίψασαι, τῷ θανάτῳ παρέδοσαν· καὶ καταλαβοῦσαι τὸ πατριαρχεῖον ἐλιθοβόλουν τὸν δυσσεβῆ Ἀναστάσιον τὸν φατριάρχην[4]. Πάραυτα οὖν αἱ μὲν λοιπαὶ τῶν γυναικῶν ἀπεκεφαλίσθησαν· τὴν δὲ ἁγίαν ὠμός τις καὶ ἀπάνθρωπος ἕλκων δήμιος πρὸς τὸν Βοῦν λαβὼν κέρας ἀπέσφαξεν αὐτήν. Οὕτως οὖν καλῶς ἀγωνισάμεναι, εἰς χεῖρας Θεοῦ τὰ πνεύματα ἑαυτῶν παρέθεντο. Τελεῖται δὲ ἡ ταύτης σύναξις ἐν τῇ ἁγίᾳ μονῇ τοῦ σωτῆρος Χριστοῦ τοῦ Εὐεργέτου. Iul. 18.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρκέλλου καὶ Δασίου καὶ Μάρωνος[1].

5. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τῶν Καλλιστράτου.

6. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως, τοῦ ἐξ Ἀμασείας μετατεθέντος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

1. Μνήμη τῆς ὁσίας Μακρίνας[1] ἀδελφῆς τοῦ μεγάλου Βασιλείου. Αὕτη κάλλει σώματος καὶ τρόποις κοσμουμένη χρηστοῖς, ἀναλόγῳ συνεζεύχθη νυμφίῳ. Τῶν δὲ γάμων ἔτι κειμένων ἐν μνήστροις, ἐπεὶ ὁ ταύτην ἁρμοσάμενος ἐν ἀποδημίαις τὰ κοινὰ πράττων γέγονεν ἐξ ἀνθρώπων, ἡ μακαρία Μακρίνα, πολλῶν ἑτέρων ἀγαγέσθαι[2] αὐτὴν βουλομένων, τὴν χηρείαν καὶ τὰ ἐξ αὐτῆς εἵλετο ἀειδῆ τῶν ἐκ τοῦ γάμου[3] πειραθεῖσα τερπνῶν. Πάσης οὖν ἐπιμιξίας κοσμικῆς χωρίσασα ἑαυτήν, συνῆν τῇ μητρὶ καὶ[4] ταῖς[5] θείαις γραφαῖς σχολάζουσα καὶ ἐν τάξει δευτέρας μητρὸς[6] τοὺς μετ' αὐτὴν γεννηθέντας ἐκτρέφουσα. Δέκα γὰρ ὄντων τῶν πάντων παίδων, αὕτη τούτων τῆς γενέσεως καθηγεῖτο· ὁσίως δὲ καὶ ἐν ἀσκήσει βιώσασα καὶ τῷ ἀδελφῷ Γρηγορίῳ περὶ ψυχῆς συμφιλοσοφήσασα ἐν αὐταῖς ταῖς τελευταίαις[7] πνοαῖς, ἐξεδήμησεν πρὸς τὸν Κύριον. Iul. 19.

f. 263v. | **2**. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Δίου. Οὗτος ἦν κατὰ τοὺς καιροὺς Θεοδοσίου τοῦ μεγάλου ἐν Ἀντιοχείᾳ τῆς Συρίας[1], πολλὴν ἐπιδειξάμενος ἄσκησιν καὶ εἰς μεγίστην ἐπίδοσιν ἀρετῆς προελθών. Παρεγένετο δὲ ἐν Κωνσταντινουπόλει προτραπεὶς παρὰ τοῦ Θεοῦ δι' ἀποκαλύψεως· καὶ καταλαβὼν τὸν τόπον, ἔνθα νῦν τὸ εὐαγὲς αὐτοῦ ἵδρυται μοναστήριον, ἐξεκάθαρέ τε αὐτόν, καὶ τὴν ἑαυτοῦ ῥάβδον[2], ξηρὰν οὖσαν καὶ ἄνικμον, ἐπὶ τοῦ τόπου[3] κατέπηξεν· ἥτις τῇ ἐπικλήσει τῆς ἁγίας Τριάδος ῥιζωθεῖσα εἰς δένδρον ἐγένετο καὶ νῦν περίεστι, παρεχομένη[4] τοὺς καρποὺς τελεσφόρους. Προσῆλθε δὲ αὐτῷ καὶ ὁ βασιλεὺς Θεοδόσιος, — οὐ γὰρ ἦν καθόλου λαθεῖν τὴν κρυπτομένην τοῦ ἀνδρὸς[5] ἀρετήν, — καὶ θαυμάσας αὐτὸν ἱκανὰ παρέσχετο χρήματα, ἐξ ὧν ἡ σύστασις τοῦ μοναστηρίου ἐγένετο[6]. Ἀλλὰ καὶ ὁ μακαριώτατος πατριάρχης Ἀττικὸς βιασάμενος αὐτὸν πρεσβύτερον κεχειροτόνηκε· πολλὰ δὲ θαύματα τῇ δυνάμει καὶ ἐπικλήσει τοῦ Χριστοῦ ἐνεργήσας καὶ ἐκ τῶν λαγόνων τῆς γῆς κατὰ τὸν μέγαν Μωϋσῆν ὕδωρ ἐξαγαγὼν καὶ τὸν ἐν αὐτῷ δι' ἀπιστίαν ἀποπνιγέντα[7] ἀναστήσας, ἐπεὶ τελευτᾶν ἔμελλεν[8], ἤδη ἄπνους καὶ ἀκίνητος καθορώμενος καὶ τῶν παρόντων δάκρυσιν αὐτὸν ἐπιταφίοις δεξιουμένων καὶ τὰ περὶ τὴν ταφὴν ἐνεργούντων, — ἐν οἷς ἦν καὶ ὁ ἁγιώτατος πατριάρχης Ἀττικὸς καὶ Ἀλέξανδρος Ἀντιοχείας — ἀνανήψας ὡς ἐξ ὕπνου ὁ ὅσιος εἶπε προστεθῆναι παρὰ τοῦ Θεοῦ ἔτη δεκάπεντε τῇ αὐτοῦ ζωῇ. Ἐπιβιώσας οὖν τὸν εἰρημένον[9] τῶν χρόνων[10] ἀριθμόν, πρὸς Κύριον ἐξεδήμησεν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ εὐαγεστάτῃ μονῇ αὐτοῦ[11], τῇ οὔσῃ κατὰ τὴν μεγάλην πόλιν καὶ βασιλίδα.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου τοῦ νέου ὁμολογητοῦ.

4. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου μητροπολίτου Χαλκηδόνος τοῦ ὁμολογητοῦ.

— [3] καταβαλλὼν S. — [4] *ita* S; *cf. Vita S. Stephani iun.*, Anal. graec., *p. 444*.
4. — [1] D, N, Rc *et al.*, Ἰμάρωνος S.
1. — [1] Μακρίνης D. — [2] ἀγέσθαι D. — [3] μὴ *add.* D. — [4] *om.* D. — [5] τε *add.* D. — [6] μητρὸς δευτέρας D. — [7] τελευταίοις D.
2. — [1] ἐξ Ἀντιοχείας τῆς μεγάλης ὁρμώμενος D. — [2] ῥάβδον αὐτοῦ D. — [3] (ἐπὶ τ. τ.) τῷ τόπῳ D. — [4] καθῶραν *add.* D. — [5] (τ. ἀ.) αὐτοῦ D. — [6] γέγονεν D. — [7] ἄνθρωπον *add.* D. — [8] (τελ. ἔμ.) παρῆν ὡς ἐδόκη ἡ κυρία τῆς ἀναγκαίας ἀποδημίας D. — [9] τῶν εἰρημένων D. — [10] ἐτῶν D. — [11] αὐτοῦ μονῇ D.

πατὴρ... Des. : ἐλιθοβόλουν τὸν δυσσεβῆ Ἀναστάσιον τὸν πατριάρχην· καὶ πάραυτα οὖν αἱ μὲν λοιπαὶ τῶν γυναικῶν ἀπεκεφαλίσθησαν, τὴν δὲ ἁγίαν ὠμός τις καὶ ἀπάνθρωπος ἕλκων δήμιος πρὸς τὸν Βοῦν λαβὼν κέρας ἀπέσφαξεν αὐτήν· καὶ οὕτως ἐτελειώθη. — 4. — **R** : 1. 3. 4. 5. — **Ra** : 1. — Ὀνησίμου (Iul. 14[8]). — **Rb** : 1. 4. 3. 5. 6. — **Rc** : 1. 4. 5. 6. 3. — **Mc** : 1. 4 : ὁ ἅγιος ἱερομάρτυς Μάρκελλος ἐν πυρακτωθέντι κραββάτῳ ἀπλωθεὶς τ. — 2. — Παμβὼ ἐν εἰρήνῃ τ. — 4 : Δάσιος καὶ Μάρων ξ. τ. — **Mv** : 1. — Παύλου κτλ. (Iul. 15[3]). — **Mr** : 1. Iul. 18.

Iul. 19. SYNAXARIA SELECTA. **H** : 2. 3. — **P** : 2. 1. 3 : Γρηγορίου ἐπισκόπου Πανήδου τοῦ νέου ὁμολογητοῦ. — **D** : 2. 1. 3. — **Da** : 2. 1. 3. — Τὰ ἐγκαίνια τοῦ ἁγίου Φωκᾶ πέραν. — **Db** : 2. 1. 3. — **K** : 2. 1. — **N** : 2. 1. — **Bb** : 2. 1. — **Bc** : 2. 1. — **C** : 2. 1. — **Ce** : 2. 1. — **Cg** : 2. 1. — **R** : 2. 1. — **Ra** : 1. 3. 2. — **Rb** : 2. — **Rc** : 1. 2. — **Mc** : 2. 1. — Ἀπολλινάριος καὶ Βιτάλιος (Iul. 23[2]). — **Mv** : 1. 2. — **Mr** : 1. 2.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Iul. 20. — f. 264.

1. Ἡ πυρφόρος ἀνάβασις ὡς εἰς οὐρανοὺς Ἡλιοῦ τοῦ ἐν προφήταις μεγίστου[1]. Οὗτος ἦν υἱὸς Σωβὰκ[2] ἐκ Θέσβης[3], ἐκ γῆς Ἀράβων, ἐκ φυλῆς Ἀαρών, οἰκῶν ἐν Γαλαάδ, ὅτι ἡ Θέσβη[4] δόμα ἦν τοῖς ἱερεῦσι δεδομένη. Καὶ ὅτε ἔτεκεν αὐτὸν ἡ μήτηρ αὐτοῦ, εἶδε Σωβὰκ ὁ πατὴρ αὐτοῦ ὀπτασίαν, ὅτι ἄνδρες λευκοφανεῖς αὐτῷ προσηγόρευον, καὶ ὅτι ἐν πυρὶ αὐτὸν ἐσπαργάνουν καὶ | φλόγα πυρὸς ἐδίδουν αὐτῷ φαγεῖν. Καὶ ἐλθὼν εἰς Ἱερουσαλὴμ ἀνήγγειλε τοῖς ἱερεῦσι καὶ εἶπεν αὐτῷ ὁ χρηματισμός· « Μὴ δειλιάσῃς, ἄνθρωπε[5]· ἔσται » γὰρ ἡ οἴκησις τοῦ παιδίου φῶς· καὶ ὁ λόγος » αὐτῷ[6] ἀπόφασις, καὶ κρινεῖ τὸν Ἰσραὴλ ἐν » ῥομφαίᾳ καὶ[7] πυρί. » Οὗτος[5] οὖν[5] προεφήτευσεν[8] ἔτη εἰκοσιπέντε καὶ προέλαβε[8] τὴν ἔλευσιν τοῦ Χριστοῦ ἔτη ὀκτακόσια δεκαέξ. Οὗτός ἐστιν Ἠλίας, ὁ τὸ πῦρ ἐξ οὐρανοῦ τρίτον[9] κατενέγκας καὶ τὸν ὑετὸν τῇ ἰδίᾳ γλώττῃ βαστάσας καὶ νεκροὺς ἐγείρας καὶ πεντήκοντα δισσοὺς καταφλέξας καὶ ἐν τῷ Χωρὴβ ὄρει, ὡς ἀνθρώπῳ ἰδεῖν δυνατόν, Θεὸν ἰδὼν καὶ τὸν Ἰορδάνην τῇ μηλωτῇ σχίσας, καὶ ὡς[10] εἰς οὐρανὸν ἐν ἅρματι πυρὸς ἀναληφθείς. Συνεορτάζεται δὲ καὶ ἡ μνήμη τῶν ἁγίων προφητῶν καὶ ἱερέων Μωσέως[11], Ἀαρὼν καὶ Ἐλισσαίου, καὶ τελεῖται ἡ τοιαύτη σύναξις ἐν τῷ[12] αὐτοῦ προφητείῳ, τῷ ὄντι ἐν τῷ Πετρίῳ, καὶ[13] ἐν τῇ νέᾳ ἐκκλησίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Iul. 21. — f. 264v.

1. Μνήμη[1] τοῦ ἁγίου προφήτου Ἰεζεκιήλ. Οὗτος ἦν υἱὸς Βουζῆ ἐκ γῆς Ἀριρᾶ[2], <ἐκ[3]> τῶν ἱερέων· καὶ προεφήτευσεν ἔτη κ', προέλαβε δὲ τὴν σάρκωσιν τοῦ Χριστοῦ ἔτη τετρακόσια ἑβδομήκοντα ἑπτά. Καὶ ἐπὶ τῆς αἰχμαλωσίας ἀπελθὼν ἐν γῇ[4] Χαλδαίων καὶ πολλὰ προφητεύσας τοῖς ἐν τῇ Ἰουδαίᾳ καὶ τῷ λαῷ ἔδωκε τέρας ὥστε προσέχειν τῷ ποταμῷ Χοβὰρ[5]· ὅτε ἐκλείπει[6], ἐλπίζειν τὸ δρέπανον τῆς ἐρημώσεως καὶ ὅτε πλημμυρήσει[7], τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον· καὶ γὰρ ἐκεῖσε[8] κατῴκει ὁ ὅσιος, καὶ πολλοὶ πρὸς αὐτὸν συνανεστρέφοντο. Καί ποτε πλήθους συνόντος αὐτῷ, ἔδεισαν οἱ Χαλδαῖοι, μὴ ἀντάρωσι, καὶ ἐπῆλθον αὐτοῖς εἰς ἀναίρεσιν· καὶ ἐποίησεν αὐτοῖς[9] στῆναι τὸ ὕδωρ, ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν γενόμενοι, καὶ οἱ τολμήσαντες τῶν ἐχθρῶν ἐπιδιῶξαι κατεποντίσθησαν. Οὗτος διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλῆ τροφὴν[10] ἐξ ἰχθύων παρέσχετο καὶ πολλοῖς ἐκλείπουσιν ζωὴν ἐλθεῖν ἐκ Θεοῦ παρεκάλεσεν. Οὗτος, ἀπολλυμένου τοῦ[9] λαοῦ ὑπὸ τῶν ἐθνῶν, προσῆλθε τοῖς ἡγουμένοις καὶ διὰ τεραστείων φοβήσας αὐτοὺς[9] κατέπαυσε. Τότε ἔλεγεν ὁ Ἰεζεκιὴλ[11] ὅτι[12]· « Διαπεφωνήκαμεν· ἀπώλετο ἡ ἐλπὶς ἡμῶν. » Καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν ὅτι ἔσται ἐλπὶς τῷ Ἰσραὴλ καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι. Οὗτος ἐκεῖ ὢν | ἐδείκνυε τῷ λαῷ Ἰσραὴλ τὰ ἐν Ἱερουσαλὴμ καὶ τὰ ἐν τῷ ναῷ γινόμενα. Οὗτος ἡρπάγη ἐκεῖθεν καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ κατ' αὐτὴν τὴν ὥραν εἰς ἔλεγχον τῶν ἀπίστων. Οὗτος κατὰ τὸν Μωϋσῆν εἶδε τὸν τύπον τοῦ ναοῦ[13] τὸ τεῖχος πλατύ, καθὼς εἶπε καὶ ὁ Δανιὴλ ὅτι κτισθήσεται. Οὗτος ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν Δὰν καὶ τοῦ Γάδ, ὅτι ἠσέβουν εἰς τὸν Κύριον δοκοῦντες τὸν νόμον φυλάττειν· καὶ ἐποίησεν αὐτοῖς τέρας μέγα, ὅτι οἱ ὄφεις ἀνήλισκον τὰ βρέφη αὐτῶν καὶ πάντα τὰ κτήνη αὐτῶν, καὶ προείρηκεν, ὅτι δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ ἀλλ' ἐν Μήδοις[14] ἕως συντελείας πλάνης αὐτῶν· ὅθεν καὶ ἐξ αὐτῶν ἀνῃρέθη. Ἀντέκειντο γὰρ αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ· ἀπέκτενε δὲ αὐτὸν[15] ὁ ἡγούμενος τοῦ[16] Ἰσραὴλ[17] ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασιν. Καὶ ἔθαψαν αὐτὸν ὁ λαὸς ἐν ἀγρῷ Μεθούρ, ἐν τάφῳ ὃς ἦν[18] Ἀρφαξὰδ πάτρωνος[19] Ἀβραάμ· καί ἐστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι καὶ ὁ Ἀβραὰμ ἐν[20] Χεβρῶν[21] πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησε τὸν τάφον Σάρρας. Διπλοῦν δὲ λέγεται ὅτι εἰλητόν ἐστι καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου ὑπερῷον καί ἐστιν ἐπὶ γῆς

1. — [1] ἀνάβασις Ἡλιοῦ τοῦ προφήτου D. — [2] Σωμὰκ D. — [3] Θέσβις D, Θεσβῶν ***III Reg. 17. 1.*** — [4] Θέσβις D. — [5] *om.* D. — [6] αὐτοῦ D. — [7] ἐν *add.* D. — [8] δὲ *add.* D. — [9] τρίτον ἐξ οὐρανοῦ D. — [10] (πεντήκοντα - ὡς) *om.* D. — [11] καὶ *add.* D. — [12] ἁγιωτάτῳ *add.* D. — [13] καὶ κτλ. *om.* D.

1. — [1] *om.* D; *ad d. Iul 20.* — [2] ἐκ τῆς Ἀριρᾶ D. — [3] D, *om.* S. — [4] τῶν *add.* D. — [5] Χωβὰρ S, D. — [6] ἐκλείπειν S, ἐκλείποι D. — [7] πλημμυρήσοι D. — [8] ἐκεῖ D. — [9] *om.* D. — [10] τροφῇ S. — [11] Ἰσραὴλ S, D. — [12] τι S, D. — [13] λαοῦ S. — [14] ἔσονται *add.* D. — [15] *om.* D. — [16] λαοῦ *add.* D. — [17] ἐκεῖ *add.* D. — [18] ᾧ ἦν D. — [19] πρῶν D. — [20] οὐχ D. — [21] εὑρὼν D.

Iul. 20. SYNAXARIA SELECTA. **H**: 1. — Ἐζεκιήλ (Iul. 21[1]). — Γεωργίου καὶ Θεοδώρου (Iul. 2[3]). — Σύναξις τοῦ ἁγίου Ἐλευθερίου πλησίον τοῦ Ξηρολόφου. — **P**: 1. — **D**: 1. — Ἰεζεκιήλ. — Γεωργίου καὶ Θεοδώρου. — Ἐλευθερίου. — **Da**: 1, des.: καὶ τελεῖται ἡ τοιαύτη σύναξις ἐν τῷ αὐτοῦ προφητείῳ τῷ ὄντι ἐν τῷ Πετρίῳ καὶ ἐν τῇ νέᾳ ἐκκλησίᾳ, ἔνθα καὶ ἡ τιμία αὐτοῦ μηλωτὴ ἀπόκειται. — Γεωργίου καὶ Θεοδώρου. — Ἐλευθερίου. — **Db**: 1. — **K**: 1. — **N**: 1. — **Bb**: 1. — **Bc**: 1. — **C**: 1. — **Ce**: 1. — **Cg**: 1. — **R**: 1. — **Ra**: 1. — **Rb**: 1. 2. — **Rc**: 1. — **Mc**: 1. — **Mv**: 1. — **Mr**: 1.

Iul. 21. SYNAXARIA SELECTA. **H**: 2. 5. 6. 7. 8. — **P**: 2. 6. 7. — **D**: 2. 5. 6. 7. 8. — **Da**: 2. 1. 5. 6 et 7: Ἰούστου καὶ Τροφίμου καὶ Ματθαίου καὶ Θεοφίλου καὶ τῆς συνοδίας αὐτοῦ. — 8 (... ἐν τοῖς Ἁρμασίου πλησίον τοῦ ἁγίου Μηνᾶ). — **Db**: 2. 1. 5. 6 et 7. 8. — **K**: 2. 1. 5. 6 et 7. 8. — **N**: 1. 2. 5. 6. 7. 8. — **Bb**: 2. 1. — **Bc**: 2. 1. — **C**: 2. 1. 3. 4. 5. 6. 7. — **Ce**: 2. 1. — **Cg**: 2. 1. 3. 4. 5. 6. 7. — **R**: 1. 5. 6 et

ἐν πέτρᾳ ἐκτισμένον[22]. Ἦν δὲ κατὰ τὸν τύπον τοῦ σώματος ὁ προφήτης[23] προμήκης τὴν κεφαλὴν καὶ ἀσύμμετρος[24], σκληφρὸς[25] τὸ πρόσωπον, τὸ γένειον ψεδνὸν καὶ ἐπίμηκες ἔχων.

Iul. 21. — f. 265.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν[1] Συμεὼν τοῦ διὰ Χριστὸν σαλοῦ καὶ Ἰωάννου. Οὗτοι ὑπῆρχον ἀπὸ Συρίας ἐκ πόλεως Ἐδέσης[2], ἐπὶ τῆς[1] βασιλείας Ἰουστίνου τοῦ νέου. Ἐλθόντες δὲ εἰς τὴν ἁγίαν πόλιν καὶ προσκυνήσαντες τὴν ἁγίαν ὕψωσιν τοῦ τιμίου καὶ πανσέπτου σταυροῦ, οὐκέτι εἰς τὰ οἰκεῖα ὑπέστρεψαν, ἀλλὰ καταλαβόντες τὴν μονὴν τοῦ ἁγίου Γερασίμου παρὰ τοῦ θεοφόρου Νίκωνος[3], τηνικαῦτα[4] ἡγουμένου ὑπάρχοντος[5], εἰσεδέχθησαν· καὶ τὸ ἅγιον περιβαλόμενοι[6] σχῆμα πρὸ[7] τῆς συμπληρώσεως τῶν ἑπτὰ ἡμερῶν[8], ὧν ἔθος τοῖς ἀποτασσομένοις ἔνδον τοῦ ἱεροῦ ἐνδιατρίβειν, οὗτοι τοῦ μοναστηρίου ἐξῆλθον[9] καὶ τῇ ἐρήμῳ προσέβησαν, ἐν τεσσαράκοντα χρόνοις πᾶσαν ἄσκησιν καὶ σκληραγωγίαν ἐν αὐτῇ μετελθόντες. Ἔπειτα ὁ μὲν Ἰωάννης ὑπελείφθη ἐν τῇ ἐρήμῳ καὶ ἐν αὐτῇ κατέμεινεν[10]· ὁ δὲ Συμεὼν ὑπέστρεψεν εἰς τὴν ἁγίαν πόλιν καὶ προσκυνήσας τὸν ζωηφόρον τάφον τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν[11] καὶ ἐπευξάμενος διαλαθεῖν τοὺς[12] ἐν τῷ κόσμῳ | τὴν ἐργασίαν αὐτοῦ ἕως ἐν τῷδε τῷ κόσμῳ[13] περίεστιν, ἐν τῇ πόλει τῶν[14] Ἐμεσηνῶν παραγέγονε. Καὶ ὑποκριθεὶς μωρίαν, πολλὰ θαύματα ἐν τῇ προσποιήσει ταύτῃ εἰργάσατο, ἃ οὐδὲ παραυτίκα μὲν τοὺς ὀξυτέρους διέλαθε, διεγνώσθη δὲ πᾶσι μετὰ τὴν τελευτὴν αὐτοῦ, ἄλλου[15] ἄλλο τι διηγουμένου, ὧν ἕκαστος συνηπίστατο[16], καὶ πάντα εἰς κοινὴν[17] ὠφέλειαν καὶ διδασκαλίαν προτεθεικότων[18]· εἰ καὶ τὰ ἄλλα καὶ[19] τῶν θαυμάτων τῇ κατ' αὐτὸν συγγραφῇ εἰς μνήμην παρεχωρήθη, ἀλλ' οὖν ἀναγκαῖον ῥηθῆναι τὸ τελευταῖον. Ἐκφέροντες γὰρ αὐτὸν οὕτως, ὡς εἶχεν, ἄνδρες δύο ἀτημέλητον καὶ λουτρῶν καὶ θυμιαμάτων καὶ ψαλμῳδιῶν[20] ἄμοιρον καὶ πρός τι πολυάνδριον[21] ἀποφέροντες, ὡς ἐγένετο κατ' οἶκόν τινος Ἑβραίου, παρερχόμενον[22] τὸ τοῦ ὁσίου λείψανον, ὑπὸ τοσαύτης ἔδοξε δοξολογίας καὶ πλήθους ἀνθρώπων μέλους ἀνακινούντων ἡδὺ δορυφορεῖσθαί τε καὶ προπέμπεσθαι, ὡς[23] τόν ποτε Ἑβραῖον προκύψαντα[24] καὶ ὑπὸ δύο μόνον[25] τὸν ὅσιον ἐκφερόμενον πενιχρῶν ἀνθρώπων ἰδόντα εἰπεῖν· « Μακάριος εἶ, σαλέ, ὅτι μὴ ἔχων ἀνθρώ» πους ψάλλοντάς σοι ἔσχες ἐπουρανίους δυνά» μεις ἐν ὕμνοις τιμώσας σε. » Ὃς καὶ κατελθὼν ἰδίαις αὐτὸν χερσὶ[26] περιέστειλε καὶ ἐκήδευσε. Καὶ μεθ' ἡμέραν ἐλθὼν Ἰωάννης ὁ φίλος αὐτοῦ καὶ συνασκητὴς[27] εὗρεν ὅτι πρὸς Κύριον ἐξεδήμησεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Γεωργίου καὶ Θεοδώρου.

4. Καὶ σύναξις τοῦ ἁγίου Ἐλευθερίου πλησίον τοῦ Ξηρολόφου.

5. Καὶ σύναξις τοῦ ἁγίου μάρτυρος Ἀκακίου[1] ἐν τῷ Ἑπτασκάλῳ.

6. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰούστου καὶ Ματθαίου.

7. Καὶ τῶν ἁγίων ἱερομαρτύρων[1] Τροφίμου καὶ Θεοφίλου καὶ τῆς συνοδίας αὐτῶν.

8. Καὶ σύναξις τῆς ὑπεραγίας[1] δεσποίνης ἡμῶν[2] Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας[3] ἐν τοῖς Ἁρματίου[4].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Iul. 22. — Io. 20, 17. — f. 265v.

1. Μνήμη τῆς ἁγίας Μαρίας τῆς Μαγδαληνῆς[1], τῆς μυροφόρου, ἥτις προσελθοῦσα τῷ Χριστῷ ἠκολούθησεν[2] αὐτῷ. Αὕτη ἐκ τῶν Μαγδάλων ἦν, τῶν ὁρίων Συρίας· ἐνοχλουμένη[3] δὲ ὑπὸ ἑπτὰ δαιμόνων, τῇ τοῦ Θεοῦ χάριτι ἀπηλλάγη αὐτῶν· καὶ ἀκολουθήσασα αὐτῷ ἦν διακονοῦσα[4] αὐτῷ μέχρι τοῦ πάθους αὐτοῦ καὶ μυροφόρος γέγονε. Καὶ πρώτη τὴν ἀνάστασιν ἅμα τῇ ἄλλῃ Μαρίᾳ τῇ[5] θεοτόκῳ κατεῖδεν, ἡνίκα ὀψὲ σαββάτων εἶδεν τὸν[6] ἄγγελον, πρωῒας δὲ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, καὶ πάλιν αὐτὸν τὸν Κύριον, ὃν καὶ κηπουρὸν λογιζομένη, ἤκουσε παρ' αὐτοῦ· « Μή » μου ἅπτου. » | Μετὰ γοῦν[7] τὴν θείαν καὶ ἁγίαν τοῦ σωτῆρος Χριστοῦ ἀνάληψιν[8] γενομένη εἰς Ἔφεσον πρὸς τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον τὸν[9] εὐαγγελιστὴν[9] καὶ ἀπόστολον, ἐκεῖ ὁσίως κεκοίμηται, καὶ ἐτέθη πρὸς τῇ εἰσόδῳ[10] τοῦ σπηλαίου, ἐν ᾧ οἱ ἅγιοι καὶ[9] μακάριοι[9] ἑπτὰ

— [22] κεκτισμένον D. — [23] οὗτος *add.* D. — [24] σύμμετρος D. — [25] σηλιφρὸς S.

2. — [1] *om.* D. — [2] Αἰδέσσης S, Ἐδέσσης D. — [3] Νίκονος D. — [4] τοῦ ἐν αὐτῇ D. — [5] *om.* D. — [6] περιβαλλόμενοι S. — [7] πρὸς D. — [8] τῆς ἑβδόμης ἡμέρας D. — [9] (ὧν - ἐξῆλθον) ἐξ. τοῦ μοναστηρίου D. — [10] (τῇ ἐρήμῳ - κατέμεινεν) κατέλαβον τὴν ἔρ. καὶ μετὰ τὸ παρελθεῖν σαράκοντα χρόνους ὁ μὲν Ἰωάννης ὑπελήφθη ἐν τῇ ἐρήμω καὶ κατέμεινεν ἐν αὐτῇ D. — [11] τοῦ κυρίου ἡμῶν Ἰ. Χ. D. — [12] τοῖς D. — [13] (ἐν - κόσμῳ) *om.* D. — [14] τῇ D. — [15] ἄλλος S. — [16] συνεπίστατο D. — [17] κηνὴν D. — [18] προστεθηκότων D. — [19] δὲ D. — [20] καὶ (*corr.*) ψαλμωδίας D. — [21] *corr.*, *prius* πολυάνδρ D. — [22] παρερχόμενοι S, D. — [23] εἰς D. — [24] προκαλύψαντα D. — [25] μωρῶν D. — [26] χ. αὐτὸν D. — [27] καὶ σ. *om.* D.

5. — [1] ἐν τῷ μαρτυρίῳ αὐτοῦ *add.* D.

7. — [1] τοῦ ἁγίου ἱερομάρτυρος D.

8. — [1] ἁγίας ἀχράντου D. — [2] παρθένου καὶ *add.* D. — [3] καὶ ἀ. Μ. *om.* D. — [4] Ἁρμασίου πλησίον τοῦ ἁγίου μάρτυρος Μηνᾶ D.

1. — [1] Μαγδαλινῆς D. — [2] ἠκολούθη D. — [3] παρενοχλουμένη D. — [4] τῷ σωτῆρι διηκόνησεν D. — [5] ἤγουν D. — [6] τῶν D. — [7] οὖν D. — [8] ἀναλ. τοῦ σωτῆρος D. — [9] *om.* D. — [10] εἰσόδου D.

7. 8. 2. — **Ra**: 1. — **Rb**: 1. 2. — **Rc**: 2. 5. 6 et 7. — **Mc**: 2. 1. — Οἱ ἅγιοι τρεῖς μάρτυρες οἱ ἐν Μελιτινῇ κατὰ πετρῶν συρόμενοι τ. — 6: Οἱ ἅγιοι μάρτυρες Ἰοῦστος καὶ Ματθαῖος ξ. τ. — Ἰγνάτιος ὁ Στειριωνίτης (Iul. 26[4]). — Εὐγένιος (Aug. 23[3]). — **Mv**: 2. 5 (... ἐν τῷ Πακάλῳ). — 6 et 7. 8. — **Mr**: 2. (Iul. 21.)

Iul. 22. SYNAXARIA SELECTA. **H**: 1. 2. — **P**: 1. 2. — **D**: 1. 2. — **Da**: 1. 2. 3. — **Db**: 1. 2. 3. — **K**: 1. 2. 3. — **N**: 1. 3. 2. — **Bb**: 1. 2. 3. — **Bc**: 1. — **C**: 1. 2. 3. — **Ce**: 1. 2. — **Cg**: 1. 2. 3. — **R**: 1. 2. —

Iul. 22. κεκοίμηνται παῖδες. Ὕστερον δὲ ἐπὶ Λέοντος, τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου βασιλέως ἡμῶν, τὸ ταύτης ἅγιον ἀνακομισθὲν λείψανον ἐν τῇ ὑπ' αὐτοῦ συσταθείσῃ μονῇ τοῦ ἁγίου Λαζάρου κατετέθη[11]· ἐν ᾗ ἐτησίως καὶ ἡ σύναξις αὐτῆς τελεῖται[12]· καὶ ἐν τοῖς Κουράτορος, πλησίον τοῦ Ταύρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Φωκᾶ. Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως, ἀμέμπτῳ πολιτείᾳ καὶ παντοίαις ἀρεταῖς διαλάμπων. Προσηνέχθη οὖν Ἀφρικιανῷ τῷ ὑπάρχῳ καὶ ἐρωτηθεὶς παρ' αὐτοῦ, θεολογεῖ παρρησίᾳ καὶ διδάσκει τὴν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστιν. Ἐπιχειρήσας οὖν ὁ Ἀφρικιανὸς[1] εἴς τε τὸν Χριστὸν βλασφημῆσαι καὶ τὸν ἅγιον μάρτυρα κακῶσαι, σεισμοῦ γενομένου[2], ἐξαίφνης μετὰ τῶν ὑπ' αὐτῷ στρατιωτῶν καταπεσὼν ἄπνους[3] ἔκειτο· ἀλλὰ τοῦτον μὲν ἀνέστησεν ὁ ἅγιος, δεηθείσης τῆς αὐτοῦ γυναικός. Ἄγεται δὲ πρὸς τὸν βασιλέα Τραϊανὸν καὶ κηρύξας τὸν Χριστὸν ξέεται κρεμασθείς· καὶ μετὰ τοῦτο ἐμμένων ὁ[4] στερρὸς[5] τῇ ὁμολογίᾳ, εἰς ἄσβεστον βάλλεται· εἶτα ἐκεῖθεν ἀβλαβὴς ἐξελθὼν ἐν λουτρῷ σφοδρῶς[6] ἐκκαέντι[7] καθείργνυται. Καὶ εὐξάμενος καὶ ἐπιφθεγξάμενος τὸ ἀμήν, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἔνδον τοῦ[4] ναοῦ[4] τοῦ ἁγίου ἀποστόλου Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου[8], πλησίον τῆς μεγάλης ἐκκλησίας.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας ὁσιομάρτυρος[1] Μαρκέλλης. Ἥτις[2] ὅσον ἀπὸ τοῦ μὴ ἐμφέρεσθαι εἰς αὐτὴν μήτε κανόνα μήτε ὑπόμνημα[3], ἄγνωστος εἶναι ἐδόκει. Ἀλλ' οἱ τῆς νήσου Χίου οἰκήτορες καθὼς ἦν καὶ ἔκπαλαι[4] τῶν χρόνων καὶ ναὸν αὐτῇ σεβάσμιον ἐδομήσαντο καὶ σχέσιν ὅτι πλείστην εἰς αὐτὴν κέκτηνται, καὶ θαύματα πάμπολλα[5] παρ' αὐτῆς καθεκάστην[6] τελοῦνται. Ἓν δὲ ἐκ τῶν πολλῶν[7] φάσκουσιν ἐπιτελεῖσθαι καὶ[6] μέχρις σήμερον παράδοξον[6]· εὑρίσκεσθαι[8] γὰρ κάχληκας παρὰ τὸν αἰγιαλόν, ἔνθα ὁ ναὸς αὐτῆς ἵδρυται, αἱμάτων πεπηγότων πλήρεις· οὓς καὶ ἀποξέοντες καὶ τὰ ξύσματα[9] ἀγγείοις ἐμβάλλοντες, ἔχουσιν εἰς πᾶσαν θεραπείαν | ἑαυτῶν. Ἐντεῦθεν ἤδη πᾶσι κατέστη[10] γνώριμος ὁσία τε καὶ μάρτυς ὑπάρχουσα[11], τὸ μὲν ἀπὸ τῶν εὑρισκομένων τοῖς κάχληξιν αἱμάτων, τὸ δὲ ἀπὸ τῶν ἐμφανειῶν τῶν νυκτερινῶν[12], ὧν ἐμφανίζει τοῖς προσιοῦσι[13] χάριν ἰάσεως τῷ ἁγίῳ αὐτῆς ναῷ, φαινομένη μετὰ περιβολῆς μοναχῶν[14] καὶ ἀπὸ τοῦ ἐκεῖσε πελάγους πρὸς τὸν ναὸν βαδίζουσα. f. 266.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Iul. 23. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος[1] Ἀπολλωνίου ἐπισκόπου Ῥώμης.

2. Καὶ[1] τῶν ἁγίων ἱερομαρτύρων Ἀπολλιναρίου[2] καὶ Βιταλίου[3] ἐπισκόπων Ῥαβέννης[4].

3. Καὶ τοῦ ἁγίου μάρτυρος Εὐγενίου.

4. Καὶ τῶν ἁγίων ἑπτὰ μαρτύρων τῶν ἐν Χαλδίᾳ.

5. Καὶ σύναξις τοῦ ἁγίου προφήτου προδρόμου[1] καὶ βαπτιστοῦ Ἰωάννου ἐν τοῖς Ὀλυμπίου, πλησίον τοῦ ἁγίου Θωμᾶ, ἐν τοῖς Ἀνθεμίου.

6. Καὶ[1] ἄθλησις τῶν ἁγίων μαρτύρων Τροφίμου[2], Θεοφίλου καὶ τῶν σὺν αὐτοῖς δεκατριῶν, οἵτινες διὰ τὸ μὴ εἶξαι τῷ τοῦ Διοκλητιανοῦ θελήματι καὶ ἀρνήσασθαι τὸν Χριστόν, τὰς σάρκας ξέονται καὶ λίθοις βάλλονται· εἶτα τὰ σκέλη θλασθέντες ἐν πυρὶ ἀπορρίπτονται· καὶ ἀπήμαντοι διαφυλαχθέντες[3] τὰς κεφαλὰς ἀποτέμνονται.

— [11] κατέστη D. — [12] τελεῖται αὐτῆς D.
2. — [1] Ἀφρικανῶς D. — [2] ἐπιγενομένου D. — [3] (μετὰ - ἄπνους) καταπεσὼν μετὰ τῶν ὑπ' αὐτὸν στρατιωτῶν D. — [4] *om.* D. — [5] στερρῶς D. — [6] σφοδρῷ D. — [7] ἐκκαυθέντι D. — [8] ἀποστόλου καὶ εὐαγγελιστοῦ καὶ θεολόγου Ἰ. D.
3. — [1] μάρτυρος Mc. — [2] αὕτη Mc. — [3] ὑπομνήματα Mc. — [4] ἐκ παλαιῶν Mc. — [5] πολλὰ Mc. — [6] *om.* Mc. — [7] παράδοξον *add.* Mc. — [8] εὑρήκεσθαι S, εὑρίσκουσι Mc. — [9] ἀποξέσματα Mc. — [10] κατέστη πᾶσιν Mc. — [11] τυγχάνουσα Mc. — [12] ν. ἐμφανειῶν Mc. — [13] ἃς τοῖς πρ. πεποίηται Mc. — [14] μοναχικῆς Mc.
1. — [1] (ἄθλησις - μάρτυρος) καὶ D.
2. — [1] ἄθλησις *add.* D. — [2] Ἀπολιναρίου D. — [3] Βηταλίου S. — [4] Ῥαβένης S.
5. — [1] *om.* D.
6. — [1] τῇ αὐτῇ ἡμέρᾳ *add.* D. — [2] Τροφήμη D. — [3] φυλαχθέντες D.

Iul. 22. **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. 2. — **Mc** : 1. 3. — Τροφίμου καὶ Θεοφίλου καὶ ἑτέρων τρισκαίδεκα (Iul. 21[7]). — Ὁ ἅγιος ἱερομάρτυς Ἀπολλώνιος εἰς πῦρ βληθεὶς καὶ ὑπὸ δημίων τοξευόμενος τ. (Iul. 23[1]). — **Mv** : 1. — **Mr** : 1.

Iul. 23. SYNAXARIA SELECTA. **H** : 5. 2. 1. 3. — **P** : 2. 3. 1. — **D** : 5. 2. 1. 3. 6. — Ἀνάμνησις τῶν ἐν Βουλγάροις τελειωθέντων (Iul. 26[10]). — 7 : Ἄννης τῆς ἐν τῷ Λευκάτῃ. Αὕτη θεοφιλῶν γονέων καὶ πλουσίων ὑπάρχουσα μετὰ τὴν αὐτῶν ἀποβίωσιν πάντα τὰ προσόντα αὐτῇ χρήματα πτωχοῖς καὶ ἐκκλησίαις διανείμασα, ἀρετῆς μόνης ἐπεμελεῖτο. Ἀνὴρ δέ τις τὸ γένος Ἀγαρηνὸς ἄρτι τῇ τῶν Ῥωμαίων προσρυεὶς βασιλείᾳ, — Βασίλειος δὲ ὁ ἐκ Μακεδονίας τότε ταύτης τὰ σκῆπτρα διΐθυνεν — ᾐτήσατο ταύτην αὐτῷ ἐκδοθῆναι πρὸς γάμον· καὶ ἐπέτρεψε τοῦτο γενέσθαι. Τῆς δὲ μὴ ἀνασχομένης, πολλαῖς θλίψεσιν ὑπὸ τοῦ μιαροῦ ἐκείνου καθυποβάλλεται· ἡ δὲ μακαρία τὸ συμφέρον πρὸς Θεοῦ ἐξαιτησαμένη, τῆς παρούσης ζωῆς ὁ βιαστὸς ἐκεῖνος μνηστὴρ ἀπορρήγνυται, καὶ εἴς τινα τῆς Θεοτόκου ναὸν μετὰ ταῦτα εἰσελθοῦσα ἡ ἁγία καὶ χρόνον συχνὸν προσκαρτερήσασα καὶ νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ προσκακοπαθήσασα ἔτη η' καὶ μικρὸν ἀρρωστήσασα, τὴν τιμίαν ψυχὴν αὐτῆς εἰς χεῖρας Θεοῦ ἐπαφίησιν· ὅθεν μετὰ πολλοῦ χρόνου παραδρομὴν τῆς ταύτης ἀποβιώσεως ὀχλούμενοί

7. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Ἄννης τῆς ἐν τῷ Λευκάτῃ[1]. Αὕτη ὑπῆρχεν ἐν τοῖς χρόνοις[2] Θεοφίλου τοῦ δυσσεβοῦς[3], ἐκ γένους λαμπροῦ καὶ περιφανοῦς καὶ περιουσίαν κεκτημένου πολλήν. Ἧς ἡ μήτηρ πᾶσαν ἐπιμέλειαν ἐποιεῖτο εὐλαβῶς καὶ κοσμίως τυποῦσθαί τε αὐτὴν καὶ ἀνάγεσθαι· συνδιατρίψασα δὲ αὐτῇ[4] χρόνον οὐκ ὀλίγον ἡ[5] μήτηρ[5] — ὁ γὰρ πατὴρ τὸν τῇδε μετῆλθε βίον — καὶ καλῶς[6] τὰ κάλλιστα[7] οἴκοθέν τε καὶ παρὰ τῇ μητρὶ[8] συλλεξαμένη ἡ παῖς, τὸν ἀνθρώπινον καὶ ἡ μήτηρ ὑπεξίσταται βίον[9]· ἐγκρατὴς δὲ[5] ἡ μακαρία ὥσπερ[10] ἀρετῆς οὕτω δὴ καὶ πλούτου γενομένη τοῖς πτωχοῖς καὶ ἐνδεέσι τῶν χρειωδῶν μετεδίδου. Ἐν τούτοις τῆς ἀοιδίμου Ἄννης γνωριζομένης, ἀνήρ τις τὸ γένος Ἀγαρηνός, τὸν τρόπον οὐκ ἀγαθός, ἄρτι τῇ τῶν Ῥωμαίων προσρυεὶς βασιλείᾳ, — Βασίλειος δὲ ὁ Μακεδὼν τὸ τότε ταύτης <ἦν[11]> τὰ σκῆπτρα διϊθύνων[12] — ᾐτήσατο ταύτην τὴν[13] παῖδα[13] ἐκδοθῆναι αὐτῷ πρὸς γάμον. Ὁ δὲ βασιλεὺς ἐπέτρεψε τοῦτο γενέσθαι. Ἡ δὲ μὴ ἀνασχομένη τοῦτο ποιῆσαι, πολλαῖς θλίψεσιν ὑπὸ τοῦ μιαροῦ ἐκείνου καθυποβάλλεται· καὶ ὁ μὲν ὅπως λάβῃ ταύτην ἰσχυρίζετο[14], ἡ δὲ εὐχαῖς καὶ δάκρυσι τὸ θεῖον ἐκλιπαροῦσα, λύσιν ταχεῖαν τῶν πειρασμῶν[15] | ᾔτει γενέσθαι. f. 266v. Ἀκούει δὲ Θεὸς τὴν ἱκέτιν[16] καὶ τὸν βιαστὸν μνηστῆρα τῆς παρούσης στερίσκει[17] ζωῆς καὶ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ἐκπληροῖ[18]. Τί τὸ ἐντεῦθεν; ἀπανίσταται πάμπαν τῶν βιωτικῶν ἡ μακαρία, καὶ εἴς τινα τῆς Θεοτόκου ναὸν εἰσελθοῦσα, νηστείᾳ καὶ ἐγκρατείᾳ καὶ ἀγρυπνίᾳ[19] ἐκδίδωσιν ἑαυτήν. Iul. 23. Διὰ γὰρ δύο ἢ τριῶν ἡμερῶν νηστεύουσα τροφῆς μικρᾶς μετελάμβανεν, ἔστι δ' ὅτε καὶ διὰ πάσης τῆς ἑβδομάδος ἄσιτος διέμενε[20]· καὶ λοιπὸν[21] οὕτως αὐτῆς τὸ σῶμα[22] κατεμάρανεν, ὡς πάσας αὐτῇ τὰς σωματικὰς ἁρμονίας φαίνεσθαι· τῶν σαρκῶν γὰρ[13] αὐτῆς ὑπὸ τῆς ἄγαν σκληραγωγίας κατατακεισῶν[23] καὶ σχεδὸν ἀπονεκρωθεισῶν εὐχερῶς, καὶ ἣν παρὰ τοῦ πλάστου σύνθεσίν τε καὶ σύνδεσιν ἔσχον ἀκριβῶς παρεδείκνυον, τοῦ δέρματος μόνου τούτοις ἐπικειμένου[24]. Διαρκέσασα οὖν[25] ἐν τῇ τοιαύτῃ διαγωγῇ ἔτη πεντήκοντα, καὶ μικρὸν ἀρρωστήσασα[26] τὴν μὲν τιμίαν αὐτῆς ψυχὴν εἰς χεῖρας Θεοῦ ἐπαφίησι. Τὸ πολύπονον δὲ καὶ καρτερικὸν αὐτῆς[27] σῶμα παρὰ τῶν προσηκόντων αὐτῇ σορῷ κατατίθεται, ἔνθα καὶ πολλοὶ τῶν πρὸς γένος[28] αὐτῇ διαφερόντων κατέκειντο. Χρόνος ἔρρει[29] πολὺς καὶ ὀχλούμενοί τινες ὑπὸ πνευμάτων ἀκαθάρτων ἀνορύξαντες ἐξήνεγκαν[30] τὸ τίμιον καὶ[27] ἅγιον[27] λείψανον τῆς μακαρίας Ἄννης ἄσπιλον, ἄφθαρτον, πάσης εὐωδίας θείας τε καὶ ἀνθρωπίνης ἀπόζον. Ἔνθεν τε καὶ κατανοῆσαί τι τῶν θειοτέρων ἔξεστι τῷ βουλομένῳ, ὅτι πολλῶν σωμάτων συγκατακειμένων αὐτῷ, τὰ μὲν τὴν φυσικὴν ὑπέστη διάλυσιν, τὸ δὲ σῶον καὶ ὁλόκληρον διέμεινεν. Ἀληθῶς φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ Ps. 33, 21.

7. — [1] Λευκατίῳ Mc. — [2] ἐπὶ Mc. — [3] βασιλέως Mc. — [4] τῇ μητρὶ Mc. — [5] *om.* Mc. — [6] καλλῶς S. — [7] (τὸν - κάλλιστα) προαπῆλθε τοῦ βίου καὶ πᾶν εἴτι κάλλιστον Mc. — [8] τῆς μητρὸς Mc. — [9] (τὸν - βίον) ἐπεὶ καὶ ἡ μήτηρ τοῦ παρόντος βίου μετέστη Mc. — [10] τῆς *add.* Mc. — [11] *om.* S. — [12] Μ. ἦν τότε διιθύνων τὰ σκῆπτρα Mc. — [13] *om.* Mc. — [14] διισχυρίζετο Mc. — [15] ἐξητεῖτο τοῦ πειρασμοῦ Mc. — [16] (ᾔτει - ἱκετιν) ὅθεν ἐπακούει τῆς οἰκέτιδος ὁ Θεὸς Mc. — [17] θερίσκει S. — [18] (καὶ - ἐκπληροῖ) τῶν γὰρ φοβουμένων αὐτὸν οἶδε τὸ θέλημα ἐκπληροῦν Mc. — [19] ἀγ. καὶ ἐγκρατείᾳ Mc. — [20] διέμενεν ἄσιτος Mc. — [21] (καὶ λ.) τοιγαροῦν Mc. — [22] τὸ σῶμα αὐτῆς Mc. — [23] ἐκτακεισῶν Mc. — [24] (καὶ σχεδὸν - ἐπικειμένου) *om.* Mc. — [25] δὲ Mc. — [26] τι νοσήσασα Mc. — [27] *om.* Mc. — [28] γένους Mc. — [29] τὸ μετὰ ταῦτα παρερρύει Mc. — [30] ἐξήγαγον Mc.

τινες ὑπὸ πνευμάτων ἀκαθάρτων ἀνορύξαντες ἐξήνεγκαν τὸ τίμιον καὶ ἅγιον αὐτῆς λείψανον, μέσον τῶν πρὸς γένος αὐτῇ διαφερόντων καὶ πρώην καὶ μετὰ ταῦτα κατακείμενον σωμάτων, ἄσπιλον, ἄφθαρτον, πάσης εὐωδίας ἐνθέου[1] καὶ ἀνθρωπίνης ἀπόζον καὶ πᾶσαν νόσον ἐξ ἀνθρώπων ἀποδιῶκον. Iul. 23. — **Da** : 6. 2. 1. 3. 4. — Τῶν ἐν Βουλγάροις. — **Db** : 6. 2. 1. 3. 4 (... τῶν ἐν Χαλκηδόνι). — Τῶν ἐν Βουλγαρίᾳ. — 7. — **K** : 6. 2. 1. 3. — Τῶν ἐν Βουλγαρίᾳ. — 7. — **N** : 6. — Τῶν ἐν Βουλγαρίᾳ. — 2. 1. 3. 4. — **Bb** : 6. — Τῶν ἐν Βουλγαρίᾳ. — 7. — **Bc** : Φωκᾶ (Iul. 22[2]). — 6. — Τῶν ἐν Βουλγαρίᾳ. — 2. 1. 3. 7 : τῆς Σωσάννης τῆς ἐν Λευκάτῃ. — **C** : 7. 5 (... ἐντὸς Ὀλυμπίου). — 2 (Ἀπολιναρίου καὶ Βιταλίου ἐπισκόπου Ῥώμης). — 3. 6. — Τῶν ἐν Βουλγαρίᾳ. — **Ce** : 5 (... ἐν τῷ Σολυμπίῳ ...). — 2. 1. 3. 6. — Τῶν ἐν Βουλγαρίᾳ. — **Cg** : 7. 5 (... ἐντὸς Ὀλυμπίου ...). — 2. 1. 3. 6. — Ἡ ἀνάμνησις τῶν ἐν Βουλγαρίᾳ τελειωθέντων ἀδελφῶν ἡμῶν. Ἐπὶ Νικηφόρου τοῦ βασιλέως, τοῦ πατρὸς Σταυρακίου, ἐνάτῳ χρόνῳ τῆς αὐτοῦ βασιλείας, συνέβη πόλεμον συμβαλεῖν Ῥωμαίοις μετὰ Βουλγάρων. Καὶ δὴ τοῦ βασιλέως κατὰ κράτος νικήσαντος καὶ νίκην κατ' αὐτῶν περιφανεστάτην ἀραμένου, εἶτα τῇ νίκῃ ἐπαρθέντος καὶ τρυφαῖς καὶ πότοις σχολάζοντος, οἱ περιλειφθέντες Σκυθοβούλγαροι ἐν νυκτὶ τῷ ῥωμαϊκῷ ἐπιπεσόντες στρατεύματι, αὐτόν τε τὸν βασιλέα καὶ τὴν σύγκλητον πᾶσαν καὶ τὸν στρατὸν ἀφυλάκτους ὁρῶντες ὄντας ἐκράτησαν· καὶ πολὺν φόνον ἐν αὐτοῖς εἰργάσαντο μὴ φεισάμενοι μηδενὸς μηδ' αὐτοῦ τοῦ βασιλέως. Ἐντεῦθεν ὅσοι μὲν καιρίας πληγὰς ἐδέξαντο, αὐτίκα τοῦ βίου μετέστησαν· ὅσοι δὲ μὴ θανασίμους, δασυτέρων ὀρέων δραξάμενοι διεσώθησαν· ὅσοι δὲ ζῶντες ἐλήφθησαν, μὴ ἀνασχόμενοι τὸν Χριστὸν ἀρνήσασθαι — εἰς τοῦτο γὰρ ἠναγκάζοντο παρὰ τῶν ἀθέων, οὔπω γὰρ αὐτὸν ἐπέγνωσαν — πολυτρόποις καὶ χαλεπαῖς[2] βασάνοις καὶ θανάτοις ὑπεβλήθησαν, οἱ μὲν ξίφει τὰς κεφαλὰς ἐτμήθησαν, οἱ δὲ σχοινίοις τοὺς τραχήλους δεθέντες καὶ κρεμασθέντες ἐπνίγησαν, ἄλλοι μέλεσι κατατρωθέντες ἐξέψυξαν, ἕτεροι φρουραῖς καὶ λιμῷ καταδικασθέντες τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσαντο. — **R** : 6. 2 (... ἐπισκό[πων] Ῥώμης). — 3. 4 (... ἐν Χαλκηδόνι). — Τῶν ἐν Βουλγαρίᾳ. — 7. — **Ra** : 6. 2. 1. 3. 4 (... τῶν ἐν Χαλκηδόνι). — **Rb** : 6. 2. 1. 3. 4 (... ἐν Χαλκηδόνι). — Τῶν ἐν Βουλγαρίᾳ. — **Rc** : Ἰεζεκιήλ (Iul. 21[1]). — **Mc** : Ἡ ἀνακομιδὴ

[1] *corr., prius* θέου D. — [2] χαλεποῖς Cg.



Iul. 23. τῶν ἁγίων καὶ ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται[31]. Ὅθεν[32] δαίμονες ἀπηλάθησαν ἐξ ἀνθρώπων, τυφλοὶ ἀνέβλεψαν, χωλοὶ περιεπάτησαν, καὶ ἁπλῶς[33] πᾶσα νόσος[34], δι' ἣν ἄνθρωποι κακῶς πάσχειν πιστεύονται[35], καὶ τότε καὶ νῦν δραπετεύει. Οὕτως οἶδε[36] Θεὸς τοὺς δοξάζοντας αὐτὸν ἀντιδοξάζειν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Iul. 24. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Χριστίνης. Αὕτη ἦν ἐκ τῆς Τυρίων[1] πόλεως, Οὐρβανοῦ τινος στρατηλάτου θυγάτηρ. Ὃς ἐν πυργῷ ὑψηλῷ ἀναγαγὼν αὐτὴν καὶ τοὺς ἑαυτοῦ θεοὺς τοὺς ἐκ χρυσοῦ καὶ ἐξ[2] ἄλλης ὕλης κατασκευασθέντας[3] τιμίας[2] μένειν ἐκεῖσε προσετετάχει[4]. Κατανοήσασα δὲ ἡ ἁγία[5] ὅτι τὰ ἄψυχα ταῦτα οὐκ ἂν εἶεν θεοὶ τὰ ὑπὸ f. 267. χειρῶν ἀνθρώπων γινόμενα, | ἀπεῖδε διὰ τῆς θυρίδος εἰς τὸν οὐρανὸν καὶ ἐκ τῶν ποιημάτων τὸν δημιουργὸν ἐννοήσασα, συνέτριψε τὰ τοῦ πατρὸς εἴδωλα καὶ τοῖς πένησι διένειμεν. Διὰ ταῦτα πάσαις[6] τιμωρίαις παρὰ τοῦ πατρὸς ὑποβάλλεται, καὶ μετὰ τοῦτο βληθεῖσα ἄσιτος ἐν τῇ φυλακῇ, τροφῆς τε[2] ἀγγελικῆς μετέλαβε[7] καὶ τὰ ἐκ τῶν πληγῶν ἕλκη καθυγιάσθη[8]. Εἶτα ἐν θαλάσσῃ βάλλεται καὶ ὑπὸ τοῦ Κυρίου τὸ θεῖον δέχεται βάπτισμα[9] καὶ ὑπὸ θείου ἀγγέλου τῇ χέρσῳ ἐκδίδοται. Ἔπειτα[10] γνωσθεῖσα ζῆν, εἰς φρουρὰν κατακλείεται, τοῦ πατρὸς αὐτῆς τοῦτο προστάξαντος· ὃς αὐτῇ τῇ νυκτὶ ἐκρήγνυται τῆς ζωῆς. Δίων δέ τις τὴν ἀρχὴν ἀντ' αὐτοῦ εἰληφώς, εἰς ἐξέτασιν ἄγει τὴν μάρτυρα ὁ[11] ἀλιτήριος[11]. Ἡ δὲ τὸν Χριστὸν κηρύξασα σφοδρῶς αἰκίζεται, καὶ παράδοξα τελέσασα θαύματα ἐξεκαλέσατο πρὸς[12] πίστιν ἀνδρῶν χιλιάδας τρεῖς. Μετὰ δὲ τὸν Δίωνα Ἰουλιανός τις τὴν ἡγεμονίαν ἐκδεξάμενος[13] καμίνῳ πυρὸς ὑποβάλλει αὐτήν[14]. Φυλαχθεῖσαν δὲ ἀβλαβῆ ἑρπετοῖς ἰοβόλοις[15] καταδικάζει καὶ πρὸς τούτοις ἐκτμηθῆναι τοὺς αὐτῆς κελεύει[16] μαστούς, ἐξ ὧν ἀντὶ αἵματος γάλα ῥυῆναί φασιν. Εἶτα τὴν γλῶτταν περιαιρεῖ, καὶ τελευταῖον ὑπὸ τῶν στρατιωτῶν κατά τε τῆς καρδίας καὶ τῶν πλευρῶν πελτοῖς βληθεῖσα τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε[17]. Τελεῖται δὲ ἡ ταύτης[18] σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ νέῳ παλατίῳ καὶ ἐν Νύμφαις ταῖς μεγάλαις[19] καὶ ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Τρύφωνος, πλησίον τῆς ἁγίας Εἰρήνης τῆς ἀρχαίας καὶ νέας[20].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας καὶ ἀοιδίμου Εὐπραξίας. Αὕτη θυγάτηρ γέγονεν[1] Ἀντιγόνου τινὸς συγκλητικοῦ καὶ Εὐπραξίας μητρὸς ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, οὗ καὶ συγγενὴς ἐτύγχανεν. Ἀντιγόνου δὲ τελευτήσαντος, ἡ μήτηρ Εὐπραξίαν[2] τῷ βασιλεῖ Θεοδοσίῳ παρέθετο φροντίζειν αὐτῆς ὡς ὀρφανῆς· ὁ δὲ[3] συγκλητικῷ τινι ταύτην ἐμνηστεύσατο. Ἀπάρασα δὲ μετὰ τῆς μητρὸς[4] καὶ γενομένη ἐν Θήβαις ταῖς κατ' Αἴγυπτον καὶ εἰσελθοῦσα εἰς παρθενεῖον[5], ἐν ᾧ ὑπῆρχον γυναῖκες τὸν ἀριθμὸν ἑκατὸν τέσσαρες ἰσάγγελον βίον πολιτευόμεναι, ἐζήλωσε τὴν αὐτῶν[6] ἀρετὴν καὶ οὐκέτι τῆς μονῆς ἀποστῆναι ἠνείχετο[7]· ἦν δὲ τότε ἐτῶν[8] δώδεκα. Ἡ δὲ μήτηρ αὐτῆς ἐκεῖθεν[9] ἀπάρασα[10] περιῆλθε τὰ κατ' ἀνατολὴν αὐτῆς κτήματα, πολλὰς εὐποιΐας καὶ ἐπιδόσεις εἰς τοὺς | δεομένους (f. 267v.) ποιήσασα[11]. Μετὰ ταῦτα νοσήσασα ἐπέστρεψεν[12] εἰς τὴν μονήν, καὶ πᾶσαν τὴν κτίσιν αὐτῆς καὶ[13] περιουσίαν τῇ θυγατρὶ ἐπιτρέψασα, ἀνεπαύσατο[14]. Ἡ δὲ θυγάτηρ αὐτῆς Εὐπραξία πάντα τοῖς πένησι διανείμασα καὶ ταῖς τοῦ Θεοῦ ἐκκλησίαις καὶ τὸν ἀσκητικὸν[15] ἐπίπονον βίον διαφερόντως στέρξασα, ἐπὶ τοσοῦτον ἀρετῆς προῆλθε καὶ τὰς ἀνάγκας τοῦ σώματος ὑπέταξεν, ὡς ἐπὶ τεσσαράκοντα πέντε ἡμέρας ἀκλόνητος ἵστασθαι τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνουσα. Διὰ γοῦν[16] τὴν ὑπερβάλλουσαν ἀρετὴν χάριν θαυματουργιῶν δεξαμένη καὶ πολλοὺς ποικίλων νόσων καὶ χαλεπῶν ἀπαλλάξασα, πρὸς Κύριον ἐξεδήμησεν.

— [31] (ἔνθεν - συντριβήσεται) *om.* Mc. — [32] ὑφ' οὗ Mc. — [33] *om.* Mc. — [34] ἁπλῶς *add.* Mc. — [35] πάσχουσι Mc. — [36] εἶδε S.

1. — [1] Τύρων Mc. — [2] *om.* Mc. — [3] κατεσκευασμένους Mc. — [4] προσέταξε Mc. — [5] μακαρία Mc. — [6] καὶ πλείσταις Mc. — [7] μετελάμβανε Mc. — [8] ἰάθη Mc. — [9] β. δέχεται Mc. — [10] εἶτα Mc. — [11] *om.* Mc. — [12] τὴν *add.* Mc. — [13] διεδέξατο καὶ Mc. — [14] ἐμβάλλει τὴν ἁγίαν Mc. — [15] ἰοβ. ἑρπετοῖς βρωθῆναι Mc. — [16] |||||||| κελεύει S. — [17] παρέθετο Mc. — [18] αὐτῆς Mc. — [19] (καὶ - μεγάλαις) *om.* Mc. — [20] τῆς ἀρχ. καὶ νέας *om.* Mc.

2. — [1] ἦν D *ad d. Iulii 25.* — [2] Εὐπραξία S. — [3] ὅστις καὶ D. — [4] τῆς τῶν κτημάτων αὐτῶν ἕνεκεν ἐπισκέψεως *add.* D. — [5] ἐν μοναστηρίῳ D. — [6] ἑαυτῶν S. — [7] ἐπείσθη D. — [8] ἐτῶν τότε ὡσεὶ D. — [9] *om.* D. — [10] ἀπὸ τῆς μονῆς *add.* D. — [11] ποιοῦσα D. — [12] ἐπέτρεψεν S. — [13] τὴν *add.* D. — [14] ἐν κυρίῳ καὶ ἐτάφη ἐν τῇ μονῇ *add.* D. — [15] καὶ *add.* D.

Iul. 23. τοῦ λειψάνου τοῦ ἁγίου μάρτυρος Φωκᾶ τοῦ ἐκ Σινώπης (Iul. 22[2]). — 7. — **Mv** : Ἰεζεκιήλ. — 2. 1. 4 (... τῶν ἐν Καρχηδόνι). — Τῶν ἐν Βουλγαρίᾳ. — **Mr** : Φωκᾶ. — Ἰεζεκιήλ.

Iul. 24. SYNAXARIA SELECTA. **H** : 4 (Μενέου ...). — 1. — **P** : 1. — **D** : 4 (Μενέου ...). — 1 : Χριστίνης. Αὕτη ἦν ἐκ τῆς Τυρίων πόλεως, Οὐρβανοῦ τινος στρατηλάτου θυγάτηρ· ὃς ἐν πύργῳ ὑψηλῷ ἀναγαγὼν αὐτὴν καὶ τοὺς ἑαυτοῦ θεοὺς συνήγαγεν τοὺς ἐκ χρυσοῦ καὶ ἐξ ἄλλης ὕλης χαλκευθέντας τιμίας. Κατανοήσασα δὲ ἡ ἁγία ὅτι τὰ ἄψυχα οὐκ ἂν εἶεν[1] θεοὶ τὰ ὑπὸ χειρῶν ἀνθρώπων λεπτουργηθέντα, ἀπεῖδεν διὰ τῆς θυρίδος εἰς τὸν οὐρανὸν καὶ ἐκ τῶν ποιημάτων τὸν δημιουργὸν ἐννοήσασα, συνέτριψεν τὰ τοῦ πατρὸς εἴδωλα, καὶ τὸν περικείμενον αὐτοῖς χρυσὸν καὶ ἄργυρον τοῖς δεομένοις διένειμεν[2]. Ἐπὶ τούτῳ πάσῃ τιμωρίᾳ παρὰ τοῦ πατρὸς ὑποβάλλεται· καὶ μετὰ τοῦτο βληθεῖσα ἄσιτος ἐν τῇ φυλακῇ, τροφῆς τε μετέλαβεν, ἀγγέλων ἐπιφανέντων αὐτῇ, καὶ τὰ ἐκ τῶν πληγῶν τραύματα ὑγιωθεῖσα ῥίπτεται ἐν θαλάσσῃ, ἔνθα ὑπὸ τοῦ Κυρίου τὸ θεῖον δέχεται βάπτισμα· καὶ ἐπὶ τὴν χέρσον ἀνασώζεται, τοῦ ἀρχαγγέλου Μιχαὴλ χειραγωγοῦντος αὐτήν, εἶτα αὖθις παρὰ τοῦ πατρὸς ἐν τῷ δεσμωτηρίῳ εἰσάγεται. Ἀλλὰ τοῦ πατρὸς κατ' ἐκείνην τὴν νύκτα ὑπὸ ἀγγέλων ἐξετασθέντος καὶ κακῶς τὴν ψυχὴν ἀπορρήξαντος, Δίωνί τινι, ὃς τὴν ἀρχὴν διεδέξατο, εἰς ἐρώτησιν καθίσταται ἡ ἁγία· παρ' οὗ σφοδρῶς αἰκισθεῖσα καὶ παράδοξα τελέσασα θαύματα, ἐξεκαλέσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν χιλιάδας τρεῖς. Μετὰ δὲ τὸν Δίωνα Ἰουλιανός τις τὴν ἡγεμονίαν ἐκδεξάμενος, καμίνῳ πυρὸς ὑποβάλλει αὐτήν· φυλαχθεῖσαν δὲ ἀβλαβῆ, ἑρπετοῖς ἰοβόλοις καταδικάζει καὶ πρὸς τούτοις ἐκτμηθῆναι τοὺς αὐτῆς κελεύει μασθούς, ἐξ ὧν ἀντὶ αἵματος γάλα ῥυῆναί φασιν· εἶτα τὴν γλῶτταν περιαιρεῖ καὶ τελευταῖον ὑπὸ στρατιωτῶν κατά τε τῆς καρδίας καὶ τῆς πλευρᾶς διακοντισθεῖσα τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Τελεῖται δὲ κτλ. — **Da** : 1. — **Db** : 1. 4 (Ὑμενέου). — **K** : 1. 4. — **N** : 1. — Ἄννης τῆς ἐν τῷ Λευκάτῃ (Iul. 23[7]). — 4 (Μενέου ...). — **Bb** : 1. — Ἀπολλιναρίου καὶ Βιταλίου (Iul. 23[2]). — **Bc** : 1. — **C** : 4 (Μενέου ...). — 1. — Φαντίνου τοῦ θαυματουργοῦ (in marg.). — **Ce** : 4. 1. — **Cg** : 4. 1. — **R** : 1. 4. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 2. 3. 4 : Καπίτων ξ. τ. — Ὑμέναιος ξ. τ. — Ἑρμογένης τοὺς ὀδόντας ἐκριζωθεὶς τ. — **Mv** : 1. — **Mr** : 1.

[1] *corr.*, *prius* εἶ D. — [2] ||||| διένειμεν D.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας καὶ μακαρίας Ὀλυμπιάδος. Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου καὶ[1] Ἀρκαδίου καὶ Ὀνωρίου τῶν υἱῶν αὐτοῦ, θυγάτηρ ὑπάρχουσα Σεκούνδου[2] ἀπὸ κομήτων, ἐκγόνη δὲ Ἀβλαβίου τοῦ ἐπάρχου, νύμφη δὲ πρὸς ὀλίγον Νεβριδίου[3] τοῦ ἀπὸ ἐπάρχων, γυνὴ δὲ οὐδενός· ἔτι γὰρ παρθένος οὖσα, τοῦ λαχόντος Iul. 24. αὐτὴν πρὸς κοινωνίαν γάμου ἐξ ἀνθρώπων γενομένου, αὕτη παρθένος ἅμα καὶ χήρα διέμεινε· διατελέσασα δὲ τὸν ἅπαντα βίον ἐν νηστείαις καὶ προσευχῇ[4] καὶ ταῖς τῶν δεομένων εὐποιΐαις, καὶ πᾶσαν τὴν περιουσίαν αὐτῆς[5] κενώσασα εἰς θεραπείαν τῶν τοῦ Χριστοῦ ἀρχιερέων καὶ τὸν μακάριον Ἰωάννην τὸν[6] Χρυσόστομον διαφερόντως τιμήσασα[7], ἐπὶ τέλει τῷ τῆς ὁμολογίας κατεκοσμήθη στεφάνῳ, ὑπὲρ τῆς ἀληθείας ἐξορίαν ἄδικον ὑποστᾶσα· ἔνθα καὶ τὸ τοῦ βίου πέρας ἐδέξατο.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ὑμεναίου[1] καὶ Καπίτωνος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

1. Ἡ κοίμησις τῆς ἁγίας Ἄννης τῆς μητρὸς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν[1] θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Αὕτη ἡ προμήτωρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ[2] Χριστοῦ[2] κατὰ σάρκα γενομένη, ἦν ἐκ φυλῆς Λευΐ, θυγάτηρ Ματθὰν τοῦ ἱερέως καὶ Μαρίας τῆς αὐτοῦ γυναικός, ἀπὸ Βηθλεέμ τῆς Ἰουδαίας. Ὅστις Ματθὰν ὑπῆρχεν ἱερατεύων ἐπὶ τῆς βασιλείας Κλεοπάτρας καὶ Σαπώρου[3] βασιλέως Περσῶν, πρὸ τῆς βασιλείας Ἡρώδου τοῦ υἱοῦ Ἀντιπάτρου. Οὗτος οὖν ὁ f. 268. Ματθὰν ἔσχε θυγατέρας τρεῖς, | Μαρίαν, Σωβὴ[4] καὶ Ἄνναν· ἔγημε δὲ ἡ πρώτη ἐν Βηθλεὲμ καὶ ἔτεκε Σαλώμην τὴν Μαῖαν· ἔγημε δὲ καὶ ἡ δευτέρα καὶ αὕτη ἐν Βηθλεὲμ καὶ ἔτεκε τὴν Ἐλισάβετ· ἔγημε καὶ ἡ τρίτη εἰς τὴν γῆν τῆς Γαλιλαίας καὶ ἐγέννησε Μαρίαν[5] τὴν θεοτόκον, ὡς εἶναι τὴν Σαλώμην καὶ τὴν[2] Ἐλισάβετ καὶ τὴν ἁγίαν Μαρίαν τὴν θεοτόκον[6] θυγατέρας ἀδελφῶν τριῶν θηλειῶν. Iul. 25. Τελεῖται δὲ ἡ αὐτῆς[7] σύναξις ἐν τῷ Δευτέρῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἑκατὸν ἑξήκοντα πέντε πατέρων ἡμῶν τῶν ἐν τῇ πέμπτῃ συνελθόντων συνόδῳ. Τῷ ἑβδόμῳ ἔτει τῆς Ἰουστινιανοῦ[1] βασιλείας ἦν πατριάρχης Κωνσταντινουπόλεως Ἄνθιμος ὁ αἱρετικός[2], γεγονὼς Τραπεζοῦντος ἐπίσκοπος, μετατεθεὶς δὲ καὶ προχειρισθεὶς ἀρχιερεὺς Κωνσταντινουπόλεως· ἀλλ' αἱρετικὸς ὢν[3] ἐξεβλήθη παρὰ τῶν ὀρθοδόξων, καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ Μηνᾶς ὁ ἁγιώτατος, πρεσβύτερος ὢν τῆς ἐν Κωνσταντινουπόλει καὶ ξενοδόχος τῶν Σαμψών[4], ὑπὸ Ἀγαπητοῦ πάπα τῆς[5] μεγάλης[5] Ῥώμης. Ἐπὶ τούτου ἀναφανέντες Σεβῆρος[6] καὶ Πέτρος ἄνθρωποι πᾶσαν αἵρεσιν[7] ἑαυτοῖς περιφέροντες[8] ἐλύπουν τοὺς ὀρθοδόξους. Διάτοι τοῦτο συγκαλέσας[9] σύνοδον ἑκατὸν ἑξήκοντα πέντε πατέρων Ἰουστινιανὸς ὁ βασιλεὺς[10] ἐν Κωνσταντινουπόλει[11], ἀνεθεμάτισεν[12] αὐτούς τε

— [16] οὖν D.

3. — [1] τῶν υἱῶν αὐτοῦ *add.* D *ad d. Iulii 25.* — [2] Σελεύκου D, *et Vita*, Anal. Boll., *t. XV, p. 410.* — [3] Νευριδίου S, Βριδίου D. — [4] προσευχαῖς D. — [5] ἑαυτῆς D. — [6] Ἰ. τὸν *om.* D. — [7] καὶ τοῦ σώματος αὐτοῦ τῆς χρείαις διακονήσασα *add.* D.

4. — [1] Μενέου D.

1. — [1] Ἄννης μητρὸς τῆς ἁγίας D. — [2] *om.* D. — [3] Σαπώρη D. — [4] Σόβην D. — [5] Μαρίαμ D. — [6] τ. θ. *om.* D. — [7] αὐτῶν D.

2. — [1] μνήμη τῶν ἐν τῇ ἁγίᾳ πέμπτῃ συνόδῳ ρξε' ἁγίων πατέρων τῶν τὰ Ὠριγένους δόγματα καθελόντων ἐπὶ τῆς β. Ἰ. Mc. — [2] πρότερον *add.* Mc. — [3] ἐπεὶ αἱρετικὸς ἦν Mc. — [4] (καὶ - Σαμψών) ἐκκλησίας Mc. — [5] *om.* Mc. — [6] ἀναφθέντες Σ. Mc, ἀν. Σευῆρος, *corr.* Σεβῆρος S. — [7] ἐν *add.* Mc. — [8] καὶ συνιστῶντες καὶ βεβαιοῦντες καὶ τὰ Ὠριγένους βλάσφημα δόγματα *add.* Mc. — [9] καὶ συγκαλεσάμενος ὁ βασιλεὺς Ἰ. ἐν τῷ ἑβδόμῳ ἔτει τῆς αὐτοῦ βασιλείας Mc. — [10] Ἰ. ὁ β. *om.* Mc. — [11] ἅμα τῷ ἁγιωτάτῳ πατριάρχῃ Μηνᾷ *add.* Mc. — [12] ἀνεθεμάτισαν Mc.

Iul. 25. SYNAXARIA SELECTA. **H** : Εὐπραξίας (Iul. 24[2]). — Ὀλυμπιάδος (Iul. 24[3]). — 2. — Τοῦ ἁγίου μάρτυρος Ἑρμογένους. — 3. — **P** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 2. — **D** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 2. — Ἑρμογένους. — 3. — **Da** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 2. — Ἑρμογένους. — 3. — **Db** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 2. — Ἑρμογένους. — 3. — **K** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 2. — Ἑρμογένους. — 3. — **N** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 2. — **Bb** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 3. — **Bc** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 3. — **C** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 2. — Ἑρμογένους. — **Ce** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — **Cg** : 1. — Εὐπραξίας. — Ὀλυμπιάδος. — 2. — Ἑρμογένους. — **R** : 1. — Ὀλυμπιάδος. — **Ra** : 1. —

Iul. 25. καὶ τοὺς ὁμόφρονας αὐτῶν. Ἔκτοτε οὖν ἑορτάζουσα ἡ ἐκκλησία τὴν τοιαύτην ἀνάμνησιν δοξάζει τὸν Θεόν [13].

3. Τῇ αὐτῇ ἡμέρᾳ [1] σύναξις τῆς ἁγίας καὶ παναχράντου δεσποίνης ἡμῶν [2] Θεοτόκου πέραν ἐν τῷ Παγιδίῳ, πλησίον τοῦ νέου ἐμβόλου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚϚ΄.

Iul. 26. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος [1] Ἑρμολάου καὶ τῶν σὺν αὐτῷ [2] Ἑρμίππου τε καὶ Ἑρμοκράτους. Οὗτοι ὑπῆρχον ἐκ [3] τοῦ κλήρου τῆς Νικομηδείας ἁγίας ἐκκλησίας [4] πρεσβύτεροι, περιλειφθέντες ἐκ τῶν καυθέντων ἁγίων ἐν τῇ ἐκκλησίᾳ [5] ὑπὸ Μαξιμιανοῦ τοῦ τυράννου. Κρυπτόμενοι δὲ ἐν δωματίῳ τινί [6], ἐπεὶ ὁ ἅγιος Παντελεήμων συνελήφθη, καὶ παρὰ τίνος τὰ τῶν χριστιανῶν ἐμυήθη, πρὸς τοῦ Μαξιμιανοῦ ἐρωτώμενος ἐκεῖνος, μὴ εἰδὼς ψεύδεσθαι [7], παρ' Ἑρμολάου εἶπε τοῦ πρεσβυτέρου, αὐτίκα [8] πέμπονται οἱ τοῦτον ὡς [9] τὸν Μαξιμιανὸν ἄξοντες, καὶ σὺν αὐτῷ [10] καὶ τοὺς περὶ αὐτὸν οἱ στρατιῶται ἤγαγον [11]. Ἐρωτηθέντες οὖν οἱ [11] ἅγιοι [11] καὶ παρρησίᾳ τὸν Χριστὸν Θεὸν εἶναι ἀληθῆ [12] | (f. 268v.) καὶ προαιώνιον κηρύξαντες καὶ τὰ [13] μιαρὰ εἴδωλα καὶ τοὺς σεβομένους [14] αὐτὰ μυκτηρίσαντες, ξίφει τὰς κεφαλὰς ἀποτέμνονται, οὕτω περὶ τούτων δόξαν τῷ Μαξιμιανῷ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου πρεσβυτέρου τοῦ Παλαιολαυρίτου. Οὗτος ἐξ ἁπαλῶν ὀνύχων θείῳ πόθῳ τρωθεὶς τῷ Θεῷ προσεκολλήθη· καὶ καταλιπὼν τρυφὴν καὶ περιφάνειαν βίου καὶ ἀποξενωθεὶς πατρίδος καὶ τῶν οἰκείων, καὶ τὸν σταυρὸν ἀράμενος, ἦλθεν εἰς χώραν ξένην καὶ ἄγνωστον, διὰ τὸν ξενιτεύσαντα Κύριον καὶ ἐπὶ ξένης τεχθέντα· καὶ καταλαβὼν τοὺς σεβασμίους τόπους, ἐν τῇ τοῦ μακαρίου Χαρίτωνος ἐπιδημεῖ μάνδρᾳ, κἀκεῖσε πρὸς τοὺς ἀγῶνας ἀποδυσάμενος καὶ καλῶς τελέσας πᾶσαν ἰδέαν ἀρετῆς, τῶν τῇδε μετέστη.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ [1] μαρτύρων Σάγκτου, Ματούρου, Ἀττάλου καὶ Βλανδίνης καὶ τῶν λοιπῶν τῶν ἐν Βιέννῃ καὶ Λουγδούνῳ τῆς Γαλλίας μαρτυρησάντων [2], τὴν βασιλείαν ἰθύνοντος τῶν Ῥωμαίων [3] Μάρκου Ἀντωνίνου καὶ Λευκίου Βήρου ἐν τῇ τῶν Γάλλων [4] χώρᾳ, ἐν ᾗ καὶ πόλεις ἐπίσημοι Λουγδοῦνος καὶ Βίεννα [5], ἐν αἷς [6] ἠγωνίσαντο Σάγκτος μὲν ἀπὸ Βιέννης καὶ Μάτουρος, Ἄτταλος δὲ Περγαμηνὸς καὶ Βλανδίνα· ἄγονται οὖν [7] καὶ ἐρωτῶνται εἰπεῖν καὶ τὰ ὀνόματα καὶ τὴν τύχην καὶ τὴν πατρίδα. Οἱ δὲ « χριστιανοί ἐσμεν » ἀπεκρίναντο. Διὰ τοῦτο [8] βασάνοις ἐκδίδονται. Καὶ ὁ μὲν Σάγκτος χαλκᾶς λεπίδας πεπυρωμένας [9] κατὰ τῶν πλευρῶν δέχεται· ὁ δὲ Μάτουρος μετά γε τοῦ Σάγκτου θηρίοις ἐκδίδοται [10]· ὁ δὲ Ἄτταλος ἐπὶ σιδηρᾶς πυρωθείσης ἐνθρονίζεται καθέδρας. Ἡ δὲ Βλανδίνα τύπτεται πρωΐθεν [9] ἕως ἑσπέρας, καὶ

— [13] κύριον Mc.

3. — [1] (τ. α. ἡ.) καὶ D. — [2] (καὶ - ἡμῶν) παρθένου καὶ D.

1. — [1] ἱερομάρτυρος Mc. — [2] ἀθλησάντων *add.* Mc. — [3] (οὗτοι - ἐκ) ὁ ἅγιος Ἑ. καὶ οἱ σὺν αὐτῶ μάρτυρες Ερμιππός τε καὶ Ἑρμοκράτης Mc. — [4] ὑπῆρχον *add.* Mc. — [5] (ἐκ - ἐκκλησίᾳ) ἐξ ἐκείνων τῶν καταφλεχθέντων ἐν τῶ ναῶ Mc. — [6] τινὶ δωματίω Mc. — [7] Mc, ἐρωτώμενος S. — [8] παραυτίκα Mc. — [9] πρὸς Mc. — [10] ἦγον *add.* Mc. — [11] *om.* Mc. — [12] ἀληθινὸν εἶναι Mc. — [13] (καὶ πρ. - τὰ) εἶναι καὶ τοῦ παντὸς δημιουργὸν ἀνομολογήσαντες τὰ δὲ Mc. — [14] σέβοντας Mc.

3. — [1] τοῦ Χ. *om.* Mc *ad d. Iulii 25.* — [2] (καὶ - μαρτυρησάντων) *om.* Mc. — [3] β. Ῥ. ἰθύνοντος Mc. — [4] Γάλων Mc. — [5] Βίαινα Mc. — [6] (ἐν αἷς) οἱ εἰρημένοι μάρτυρες Mc. — [7] ἀχθέντες γὰρ Mc. — [8] (ἐρωτῶνται - τοῦτο) ἀνακριθέντες καὶ χριστιανοὺς ἑαυτοὺς ἀνομολογήσαντες ποικίλαις Mc. — [9] *om.* Mc. — [10] Σαγήτου θ. ἐκδίδονται S, καὶ οὕτως θηρίοις ἐκδίδοται μετὰ καὶ Ματούρου Mc.

Iul. 25. Εὐπραξίας. — **Rb** : 1. 2. — Ἑρμογένους. — 3. — **Rc** : 1. — **Mc** : 1. 2. — Σάγκτου κτλ. (Iul. 26[3]). — Τῶν ἐν Βουλγαρίᾳ τελειωθέντων (Iul. 26[10]). — Ἡ ἁγία Ἰερουσαλὴμ ξ. τ. (cf. Iul. 26[6]). — **Mv** : 1. 2. — **Mr** : 1.

Iul. 26. SYNAXARIA SELECTA. **H** : 9. 8. 1. 4. — **P** : 1. 8 : τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν πρεσβυτέρου γενομένου καὶ ἀρχιμανδρίτου Συμεὼν τοῦ στυλίτου, ἐπέκεινα τοῦ Ἀνάπλου. — 6. 10 : τῇ αὐτῇ ἡμέρᾳ ἐγένετο ὁ πόλεμος εἰς Βουλγαρίαν καὶ ὁ θάνατος Νικηφόρου τοῦ βασιλέως καὶ ἄλλων πολλῶν, ἰνδικτιῶνος δ΄, ἡμέρας ζ΄. — **D** : 9. 8. 1. 2. 5. 6. 4. — **Da** : 1. 2. 5. 6. 9. — **Db** : 1. 3. 2. 5. 6. — **K** : 1. 3. 2. 5. 6. — **N** : 1. 3. 2. 6 et 5 : Ἀππίωνος, Ἰερουσαλὴμ καὶ Μαυρικίου. — **Bb** : 1. 3. — **Bc** : 1. 3. 2. 5. — **C** : 1. 4 (... τοῦ Τειρωνίτου). — 3 (Σάκτου καὶ Μακτούρου, Ἀττάλου καὶ Βαλανδίνης...). — Τῆς ἁγίας ὁσιομάρτυρος Παρασκευῆς (in marg.). — **Ce** : 1. — **Cg** : 1. 4. 3. — **R** : deest. — **Ra** : 1. — Ὀλυμπιάδος (Iul. 24[3]). — **Rb** : 3. — **Rc** : 1. 8 : τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν πρεσβυτέρου γενομένου καὶ ἀρχιμανδρίτου Συμεὼν τοῦ στυλίτου, ἐπέκεινα τοῦ Ἀνάπλου. — 4 (... τοῦ Τζιρονίτου). — 9. 2. 6. — **Mc** : 1. — Ὡραιοζήλης. Αὕτη ἡ μακαρία οἵας μὲν χώρας ὥρμητο καὶ τίνες αὐτῇ γονεῖς, οὐχ εὕρηται παραδεδομένον· ὅτι δὲ ἐξ ἑλλήνων ἔφυ καὶ τῇ τῶν εἰδώλων πλάνῃ συντεθραμμένων, προϊὼν ὁ λόγος δηλώσει. Κατὰ γὰρ τοὺς καιροὺς τῶν θεοκηρύκων ἀποστόλων πάσῃ τῇ οἰκουμένῃ τοῦ κηρύγματος διαδοθέντος, ἠγρεύθη μετὰ τῶν ἄλλων καὶ ἡ σεμνοτάτη αὕτη Ὡραιοζήλη τῇ σαγήνῃ τῆς διδαχῆς τοῦ πρωτοκλήτου ἀποστόλου Ἀνδρέου, τοῦ βυθοῦ τῆς εἰδωλομανίας ἀναρρυσθεῖσα καὶ ὑπ' αὐτοῦ βαπτισθεῖσα καὶ φωτισθεῖσα τῷ θείῳ τῆς παλιγγενεσίας λουτρῷ· καὶ ἔν τινι εὐκτηρίῳ ἐπ' ὀνόματι τοῦ ἀρχιστρατήγου Μιχαὴλ τιμωμένῳ ἐνιδρυθεῖσα παρ' αὐτοῦ πολύχουν ἐκεῖ τὸν τῆς ἀρετῆς καὶ εὐσεβείας καρπὸν ὡς ἀγαθὴ γῆ καὶ πίων τὸν σπόρον τῆς διδασκαλίας ὑποδεξαμένη ἐκαρποφόρει. Καὶ τῶν τοῦ Χριστοῦ ἐντολῶν ἐργάτις οὐκ ἀγεννὴς ἀναδειχθεῖσα ἔσπευδε καὶ ἄλλοις μεταδοῦναι τῆς εὐσεβείας καὶ κῆρυξ τοῦ δεσπότου Χριστοῦ τῷ τρόπῳ τούτῳ χρηματίσαι καὶ ἰσαπόστολος. Πολὺ οὖν πλῆθος πρὸς αὐτὴν

οἱ μὲν βασανίζοντες παραλύονται [11], αὐτὴ δὲ [12] ἀνωτέρα τῶν βασάνων γίνεται [13]· καὶ ἐπὶ ξύλου κρεμασθεῖσα θηρίοις [14] εἰς βορὰν βάλλεται καὶ [15] εἱρκτῇ ἀπορρίπτεται [16] καὶ [17] εἰς σιδηροῦν σκεῦος βληθεῖσα ὑφ' ἵππων σύρεται καὶ [18] τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται. Ἔπειτα διαφόροις ὑποβληθέντες βασάνοις οἱ ἅγιοι [19] Θεῷ καὶ αὐτοὶ τὰς ψυχὰς ἀποδιδόασι δι' ἀγχόνης ἀποπνιγέντες ἐν τῇ [20] φυλακῇ· εἶτα κυσὶν εἰς βορὰν τὰ τούτων ῥίπτουσι σώματα [21]· ἄψαυστα δὲ [20] διαμείναντα πυρὶ παραδίδονται, καὶ τῷ Ῥοδανῷ ποταμῷ τὰ καταλειφθέντα λείψανα αὐτῶν [20] ἀκοντίζονται, καὶ οὕτως ἐπληρώθη ἡ αὐτῶν μαρτυρία [22].

f. 269. | **4.** Τῇ [1] αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰγνατίου τοῦ Στειρωνίτου [2].

5. Καὶ τοῦ ἁγίου Μαυρικίου.

6. Καὶ ἄθλησις τῶν ἁγίων Ἀππίωνος καὶ Ἰερουσαλήμ.

7. Καὶ ἄθλησις τῆς ἁγίας καὶ ἀειπαρθένου Κυριακῆς καὶ τῶν ταύτης γονέων Δωροθέου καὶ Εὐσεβείας [1].

8. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ ἀρχιμανδρίτου, τοῦ ἐν τῇ Μάνδρᾳ. Iul. 26.

9. Καὶ ἡ [1] σύναξις ἤτοι τὰ ἐγκαίνια τοῦ ἀρχαγγέλου Μιχαὴλ πέραν ἐν Χάλλαις [2].

10. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῶν ἐν Βουλγαρίᾳ [1] τελειωθέντων χριστιανῶν ἀδελφῶν ἡμῶν ἐπὶ Νικηφόρου τοῦ βασιλέως. Ὃς τῷ ἐννάτῳ χρόνῳ τῆς αὐτοῦ βασιλείας κατὰ Βουλγάρων ἐξελθὼν μετὰ πάντων τῶν Ῥωμαϊκῶν στρατευμάτων καὶ τῆς περὶ αὐτὸν ὅλης ἑταιρείας ἅμα καὶ τῷ υἱῷ Σταυρακίῳ καὶ Μιχαὴλ τῷ ἐπὶ θυγατρὶ γαμβρῷ, συμβαλὼν τούτοις καὶ κατὰ κράτος ἡττήσας καὶ τροπωσάμενος νίκην κατ' αὐτῶν περιφανεστάτην ἤρατο. Ἐπὶ τῇ τοιαύτῃ οὖν νίκῃ, τὴν φρένα κούφην ἔχων, ἐπαρθεὶς ἐκάθητο τρυφαῖς καὶ πότοις σχολάζων, τῶν πραγμάτων ἠμεληκώς. Τοῦτο τοὺς περιλειφθέντας Βουλγάρους ἀναθαρσῆσαι [2] ἐποίησε· καὶ μιᾷ [3] τῶν νυκτῶν [4] τοῖς Ῥωμαϊκοῖς ἐπιπεσόντες στρατεύμασιν αὐτόν τε βασιλέα ἅμα καὶ τῇ συγκλήτῳ πάσῃ, ἀφυλάκτοις οὖσι, κατέσχον καὶ πολὺν φόνον ἐν αὐτοῖς εἰργάσαντο, μὴ φεισάμενοι ὅσον τὸ εἰς αὐτοὺς ἧκον μηδενός, μηδ' αὐτοῦ τοῦ βασιλεύοντος. Ἐντεῦθεν [5]

— [11] παρελύοντο Mc. — [12] ἡ δὲ ἁγία Mc. — [13] ἐδείκνυτο Mc. — [14] μετὰ τοῦτο *add.* Mc. — [15] β. ῥίπτεται εἶτα ἐν Mc. — [16] βάλλεται Mc. — [17] τελευταῖον *add.* Mc. — [18] οὕτω Mc. — [19] παρατίθησιν οἱ δὲ ἅγιοι βασάνοις διαφόροις ὑποβληθέντες Mc. — [20] *om.* Mc. — [21] εἶτα τὰ τίμια αὐτῶν σώματα κυσὶν εἰς βορὰν ῥιφέντα καὶ Mc. — [22] (καὶ - μαρτυρία) *om.* Mc.

4. — [1] καὶ τῇ D. — [2] στειρωνείτου S.

7. — [1] Εὐσεβείας S.

9. — [1] καὶ ἡ *om.* D. — [2] Χάλαις D, Χάλλαις *corr.* S, *prius* Χάλδαις ?

10. — [1] Βουλγαρεία S, Βουλγάροις *corr.* D *ad d. Iulii 23.* — [2] ἀναφθαρσῆσαι S. — [3] (ἐξελθὼν - μιᾷ) ἐκστρατεύσας καὶ τούτους προσβαλὼν τὰ μὲν πρῶτα νίκην περιφανεστάτην κατ' αὐτῶν ἤρατο τὰ δὲ μετὰ ταῦτα οὐ σιγῆς μόνον ἀλλὰ θρήνων ἄξια ἐδρῶντο μιᾶ γὰρ D. — [4] ἄφνω D. — [5] (αὐτὸν - ἐντεῦθεν) κτείνουσι τὸν βασιλέα καὶ πολλοὺς ἄλλους τῶν ἐν τέλει καὶ D.

Iul. 26. συνέρρεε καθ' ἑκάστην ταῖς διδασκαλίαις ταύτης καὶ παραινέσεσι [1], πρός τε θεογνωσίαν ἀληθῆ καὶ ἀρετῆς ἄσκησιν καθοδηγούμενον καὶ μεταρρυθμιζόμενον καὶ τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενον, τῷ Χριστῷ δὲ προσοικειούμενον. Ὅθεν προσλαβοῦσα μεθ' ἑαυτῆς καὶ ἑτέρας παρθένους δύο, δι' αὐτῆς τὸν Χριστὸν ἐπεγνωκυίας Θεὸν προαιώνιον καὶ δημιουργὸν τοῦ παντός, ἀγαθὰς καὶ ταύτας συνοδοιπόρους τῆς πρὸς Θεὸν φερούσης ἐκέκτητο, ἄριστα τῷ λόγῳ ταύτης ἅμα καὶ βίῳ τυπουμένας πρὸς ἅπαν ἀρετῆς εἶδος καὶ πρὸς τὰ κρείττω καθ' ἑκάστην ἐπιδιδούσας συχναῖς καὶ θαυμασταῖς ἀναβάσεσιν. Ἀλλὰ ταῦτα μὲν ἄχρι τῶν τοῦ δυσσεβοῦς Δεκίου ἡμερῶν. Ἐπεὶ δὲ ὁ θεομισὴς οὗτος οὐ καλῶς τῇ βασιλείᾳ χρησάμενος τὸν κατὰ τῶν χριστιανῶν ἀνερρίπισε πόλεμον καὶ θεοὺς οἴμοι ψευδεῖς καὶ ματαίους αὐτός τε ἦν ἀναστηλῶν καὶ σέβων ὁ μάταιος καὶ τοὺς ἄλλους ὁμοίως τιμᾶν καὶ προσκυνεῖν ἀναγκάζων, μαθὼν που καὶ τὰ κατὰ τὴν μακαρίαν Ὡραιοζήλην τῷ ἑαυτοῦ ταύτην παριστᾷ βήματι καί· « Πόθεν, ὦ γύναιον, » φησί, τὰς ἀφορμὰς λαβὸν τὴν μὲν πατρῴαν θρησκείαν ἠθέτησας, τὸν δὲ ἐσταυρωμένον σέβουσα » Θεὸν ἐκεῖνον ἀνακηρύττεις καὶ λόγοις ψευδέσι καὶ ἀπιθάνοις τοὺς ἀνθρώπους ἀπατῶσα πείθεις » ἀνθρώπῳ θνητῷ ὡς Θεῷ προσανέχειν, δημιουργὸν αὐτὸν ἀνακηρύττουσα καὶ ποιητὴν τοῦ παντός; » Καὶ ἡ ἁγία· « Ὦ βασιλεῦ, ἔφη, τὸ μὲν σταυρωθῆναι τὸν παρ' ἐμοῦ κηρυττόμενον ὡς ἄνθρωπον μεμάθηκας· ὅπως δὲ ὡς Θεὸς ἀνέστη καὶ ὡς ἀρχηγὸς τῆς ζωῆς τὴν ἀΐδιον ἡμῖν ζωὴν ἐχαρίσατο, πῶς » οὐ γινώσκεις; Ἀλλὰ τὴν μὲν τοῦ ἐμοῦ Χριστοῦ δύναμιν καὶ μεγαλειότητα καὶ ὅπως Θεὸς ὢν προαιώνιος ἄνθρωπος γενέσθαι ἠθέλησε καὶ παθεῖν ὑπὲρ ἡμῶν καὶ σταυρωθῆναι κατεδέξατο, μακρὸν ἂν εἴη » καταλέγειν εἰς ὦτα μὴ ἀκουόντων. Τοῦτο δέ σοι πρῶτον καὶ τελευταῖον ἐρῶ, ὡς οὐδ' ἂν εἴ τι καὶ » πράξεις δυνηθείης ὅλως μετακινῆσαί με τῆς τοῦ Χριστοῦ μου ἀγάπης· μὴ γένοιτό μοι ἀρνήσασθαι τὸν » ἐμὲ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντα. Τοιγαροῦν ποίει ὃ βούλει· πρόκειταί σοι τὸ πήλινον » τουτὶ σῶμα· καῖε, τέμνε, τιμώρει, ὡσάν σοι βουλητὸν κέχρησο. » Ἐπὶ τούτοις ὁ δυσσεβὴς ἐκεῖνος τῷ θυμῷ ὑπερζέσας ἐκδυθεῖσαν τὴν ἁγίαν ἐκέλευσε ῥάβδοις αἰκίζεσθαι. Τῆς δὲ ἐπὶ πολλὰς ὥρας αἰκιζομένης καὶ πάντων ἐκπληττομένων τὴν τῆς Χριστοῦ μάρτυρος καρτερίαν καὶ γενναιότητα, ὁ βασιλεὺς ἐν ὅσῳ πυκνὰ περιστρεφόμενος ἦν καὶ πρὸς αὐτὴν ἀτενίζων καὶ τὴν αὐτῆς καραδοκῶν μεταμέλειαν, — ὢ τοῦ θαύματος — τὸ βλέπειν ἀποβαλὼν τυφλὸς ἐξαίφνης ὡρᾶτο καὶ γέλως τοῖς ὑπὸ χεῖρα. Καὶ εὐθὺς τὴν μὲν μάρτυρα καθειρχθῆναι προσέταξε· τὸν ὁδηγήσοντα δὲ ζητήσας καὶ τοῦ θρόνου ἐξαναστὰς πρὸς τὰ βασίλεια ᾤχετο. Ἀλλ' ἡ ἁγία πρὸς τὸν ποθούμενον ἀνελθεῖν σπεύδουσα, τῷ μισοθέῳ δεδήλωκε βασιλεῖ, ὡς· « Εἰ μὴ τῷ αἵματι τῆς ἐμῆς ἐκτμηθείσης κεφαλῆς χρίσῃς τοὺς ὀφθαλμούς, ἄλλως » οὐκ ἂν ἴδοις τὸ φῶς. » Καὶ ἅμα τῷ λόγῳ τὴν τιμίαν αὐτῆς κεφαλὴν ἀποτμηθῆναι κελεύει· ἧς τῷ

[1] παραινέσι Mc.

Iul. 26. ὅσοι μὲν καιρίας τὰς πληγὰς ἐδέξαντο, αὐτίκα τοῦ βίου μεθίσταντο[6]· ὅσοι δὲ μὴ θανασίμους πάνυ, κατὰ τῶν δασυτέρων χωρίων ἐχώρουν[7]· ὅσοι δὲ ζῶντες ἐλήφθησαν, μυρίαις αἰκίαις καὶ βασάνων ἰδέαις ἐπάλαισαν[8] μὴ ἀνασχόμενοι[9] τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξομόσασθαι καὶ τῇ Σκυθῶν προσελθεῖν θρησκείᾳ. Ὡς δὲ οἱ μὲν ἐπέκειντο τὸ ἑαυτῶν ἐφετὸν ποιῆσαι καὶ τὸν Χριστὸν ἐξαρνήσασθαι αὐτοὺς ἀναγκάζοντες, οἱ δὲ σφοδρῶς ἀντείχοντο καὶ θανεῖν μᾶλλον ἢ προδοῦναι τὴν εὐσέβειαν ἰσχυρίζοντο, πολυτρόποις καὶ χαλεπαῖς βασάνοις ὑπεβλήθησαν[10]. Οἱ μὲν γὰρ[11] αὐτῶν ξίφει τὰς κεφαλὰς ἐτμήθησαν, οἱ δὲ δι' ἀγχόνης τῆς παρούσης[12] ζωῆς ἐξερράγησαν, ἄλλοι βέλεσι κατατρωθέντες πυκνοῖς τῶν τῇδε μετέστησαν, ἕτεροι φρουραῖς καὶ λιμῷ[13] καταδικασθέντες οὕτω τὸν βίον κατέλυσαν, τὸν τοῦ μαρτυρίου στέφανον ἀναδησάμενοι.

f. 269v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

Iul. 27. **1.** Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος[1] Παντελεήμονος. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ τῆς πόλεως Νικομηδείας, πατρὸς μὲν Εὐστοργίου τινὸς ἕλληνος[2], μητρὸς δὲ Εὐβούλης, ἐκ προγόνων τὸν Χριστὸν σεβομένης. Ἐκπαιδεύεται[3] οὖν τὴν ἰατρικὴν τέχνην[4] παρὰ Εὐφροσύνου, δόξαν μεγίστην ἔχοντος[5], ὅτι δὴ ἐδόκει εἰς ἄκρον ἀφικέσθαι τῆς τέχνης· τὴν δὲ κατὰ Χριστὸν ἰατρικὴν[6] καὶ πίστιν παρὰ Ἑρμολάου τοῦ πρεσβυτέρου μανθάνει, δι' ἧς παῖδά τινα ὑπὸ δήγματος ἐχίδνης πληγέντα καὶ νεκρὸν κείμενον παρὰ τὴν ὁδὸν ἐξανέστησεν ἐπικαλεσάμενος τὸν Χριστόν. Βαπτίζεται οὖν παρὰ[7] Ἑρμολάου καὶ πρὸς τὴν εἰς Χριστὸν πίστιν χειραγωγεῖται[8]. Ὁ δὲ τρόπος τῆς μαρτυρίας αὐτοῦ οὗτος[9]. Προσελθών τις αὐτῷ τυφλὸς καὶ τυχὼν ἰάσεως καὶ ἐρωτηθεὶς[10] παρὰ τοῦ βασιλέως, τίς αὐτοῦ[11] τῆς θεραπείας αἴτιος γέγονε, τὸν Παντολέοντα εἶπεν — τοῦτο γὰρ τῷ ἁγίῳ τὸ πρότερον ὄνομα — ἐπικαλεσάμενον τὸν Χριστόν, εἰς ὃν καὶ αὐτὸς ἔφη πιστεύειν. Ἀλλ' ἐκεῖνος μὲν εὐθὺς τὴν κεφαλὴν ἀπετμήθη, ὁ δὲ Παντολέων ἀναρπασθεὶς ἤχθη πρὸς τὸν βασιλέα· καὶ μήτε ὑποσχέσεσι μήτε ἀπειλαῖς ἀπὸ τῆς εἰς Χριστὸν πίστεως σαλευθείς, τύπτεται δεινῶς καὶ λαμπάσι φλέγεται. Ἐμφανισθεὶς δὲ αὐτῷ ὁ Κύριος ἐν σχήματι Ἑρμολάου τοῦ πρεσβυτέρου, θαρρεῖν αὐτῷ παρακελεύεται, καὶ ἐν τῷ βράσματι τοῦ μολίβδου, ἔνθα ὁ ἅγιος ἐνεβλήθη, καὶ ἐν τῇ θαλάσσῃ, εἰς ἣν ἀπερρίφη, ἔδοξε συνελθεῖν μετ' αὐτοῦ. Διαμείνας δὲ ἐκ πάντων ἀβλαβής, θηρίοις ἐκδίδοται· ἐξ ὧν ἀσινὴς διαφυλαχθεὶς δεσμεῖται τροχῷ καθηλωθέντι μαχαίραις καὶ ἀφεθέντι ὑψόθεν κατὰ πρανοῦς· εἶτα δεξάμενος τὴν διὰ ξίφους ἀπόφασιν, ηὔξατο καὶ φωνὴ ἄνωθεν ἠνέχθη αὐτῷ πληροῦσά τε τὴν εὐχὴν καὶ ἀντὶ Παντολέοντος καλοῦσα Παντελεήμονα. Καὶ ἐν τῷ μέλλειν τὸν αὐχένα τέμνεσθαι, ἐκτείναντος τοῦ δημίου τὴν χεῖρα, ἀπεστράφη ὁ σίδηρος καὶ ἐτάκη ὡσεὶ κηρός· ἐπὶ δὲ τῷ τοιούτῳ θαύματι ἐπίστευσαν οἱ στρατιῶται τῷ Χριστῷ. Τότε ὁ ἅγιος μάρτυς ἑκουσίως τὸν αὐχένα προτείνας[12] ἐτμήθη τὴν κεφαλήν. Λέγεται δὲ ἀντὶ αἵματος γάλα ἐκχέαι καὶ τὸ φυτὸν τῆς ἐλαίας, ᾧ προσεδέθη, ἀθρόως[13] τελεσφορῆσαι καρπόν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἐπωνύμῳ αὐτοῦ[14] ἐκκλησίᾳ.

f. 270. | **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας[1] Ἀνθούσης τῆς συστησαμένης τὴν εὐαγεστάτην μονὴν[2] τοῦ Μαντινέου[3]. Ἥτις[4] ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου, πατέρων εὐσεβῶν, Στρατηγίου τε καὶ Φεβρωνίας. Ἐξ αὐτῶν δὲ

— [6] μεθίστανται D. — [7] ἐχ. χωρίων D. — [8] (καὶ - ἐπάλαισαν) καθυπεβλήθησαν D. — [9] γὰρ *add.* D. — [10] (καὶ τῇ - ὑπεβλήθησαν) *om.* D. — [11] *om.* D. — [12] παρρούσης S. — [13] λιμῷ τε καὶ δίψει D.

1. — [1] μάρτυρος D. — [2] ἕλληνος ὀνόματι E. D. — [3] παιδεύεται D. — [4] *om.* D. — [5] Εὐφροσύνῳ ... ἔχοντι D. — [6] τέχνην *add.* D. — [7] ὑπὸ D. — [8] καὶ χειραγωγεῖ τὸν πατέρα πρὸς τὴν π. τ. εἰς X. D. — [9] οὕτως γίνεται D. — [10] αὐτῷ *add.* S. — [11] αὐτῷ D. — [12] ἐκτείνας D. — [13] ἀθρόον D. — [14] *add.* ἁγίᾳ D.

2. — [1] ὁσίας μητρὸς ἡμῶν Mc. — [2] τῆς κειμένης ἐν τῇ εὐαγεστάτῃ μονῇ Mc. — [3] Μαντινίου Mc. — [4] αὕτη Mc.

Iul. 26. αἵματι χρίσας τοὺς ὀφθαλμοὺς εἶδεν αὐτίκα τὸ φῶς. Καὶ τοῦ ὑπερφυοῦς τοῦδε θαύματος τὴν μάρτυρα ὁ παμβέβηλος ἀμειβόμενος, μᾶλλον δὲ καὶ χριστιανοῖς φθονήσας καὶ ὑποπτεύσας, ὡς, εἴ γε τὸ σῶμα τῆς μακαρίας λάβοιεν, πολλοὺς ἂν τῶν ἑλλήνων διὰ τῶν ἐκ τούτου γινομένων θαυμάτων πρὸς τὴν εἰς Χριστὸν ἐπισπάσαιντο πίστιν, πυρὶ παραδοθῆναι τοῦτο προσέταξε· πλὴν ἀλλ' οὐδὲ οὕτως ὁ ματαιόφρων ἠδυνήθη τῆς ἐντεῦθεν εὐεργεσίας καὶ ὠφελείας τὸ τῶν εὐσεβῶν γένος ἀποστερῆσαι· ἀλλ' ὁ Θεὸς αὐτὴν μεγίστων ἐπιδείξεσι θαυμασίων ἐφανέρωσε καὶ ἐδόξασεν. Ἐν γὰρ τῷ μαρτυρείῳ αὐτῆς τῷ ἔγγιστά που τοῦ τῆς μεγαλομάρτυρος Ἀναστασίας κειμένῳ, ἐν ᾧ καὶ ἡ σύναξις αὐτῆς τελεῖται, παντοίων νοσημάτων ἐνεργεῖται ἰάματα· καὶ μαρτυρεῖ ὁ προσελθὼν παράλυτος καὶ συσφιχθείς, αἵ στειρεύουσαί τε γυναῖκες εἰς τεκνογονίαν ἐνδυναμούμεναι, καὶ αἱ τοῦ γάλακτος τὰς πηγὰς κατεξηραμένας καὶ λιθώδεις σχεδὸν φέρουσαι μετὰ πολλῆς τούτου δαψιλείας καὶ γονιμότητος οἴκαδε ὑποστρέφουσαι καὶ ἄλλα πλεῖστα καὶ ἐξαίσια θαύματα τοῖς πίστει προσιοῦσιν ἐπιτελούμενα. — **Mv** : Παρασκευῆς. — 1. 8. 4 (... τοῦ Τζηρονήτου). — 9 (... Γαβριὴλ πέραν ἐν Χάλδαις). — 3. 5. 6. — **Mr** : 1. — Παρασκευῆς.

Iul. 27. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1 : Ἀνθούσης τῆς συστησαμένης τὴν εὐαγεστάτην μονὴν τοῦ Μαντινέου. Αὕτη ἡ ἀοίδιμος Σισιννίου τοῦ μεγάλου τὴν ἀρετὴν ζηλώσασα πρὸς αὐτὸν παρεγένετο· ὃς τὰ κατ' αὐτὴν[1] προορῶν, ἀποκείρει καὶ τὸ τῶν μοναζουσῶν ἀμφιέννυσι σχῆμα καὶ ἐννακοσίων ψυχῶν προστασίαν ἀναδέξασθαι ταύτην[1] προαγγέλλει[1]· ἡ δὲ εἰς τοσοῦτον ἀρετῆς προῆλθεν, ὡς καὶ θαύματα ἐπιτελεῖν. Ἐπεὶ δὲ τὰ τῷ γέροντι ῥηθέντα τέλος λαμβάνειν ἤρξαντο, αὐτὸς μὲν τοῦ βίου τὸ

[1] *corr rec.* D.

τῶν μητρικῶν ὡς εἰπεῖν[5] ἀγκαλῶν ἡ[6] μακαρία[6] τὴν ἁγνείαν ποθοῦσα, ἐν ὄρεσι καὶ σπηλαίοις, κατὰ[6] τὸν[6] ἀπόστολον[6], διῃτᾶτο[7], πάντα μὲν τὰ βιωτικὰ μισοῦσά τε[6] καὶ ἀποστρεφομένη, μόνην δὲ τὴν ἡσυχίαν ἀσπαζομένη καὶ στέργουσα· κατ' αὐτὰς δὲ τὰς ἡμέρας μοναχοῦ τινος καὶ πρεσβυτέρου Σισιννίου[8] καλουμένου τοῖς τοῦ Μαντινέου χωρίοις ἐπιδημήσαντος καὶ πᾶσαν ἰδέαν ἀρετῆς[9] μετερχομένου, εἰς ζῆλον αὐτοῦ καὶ μίμησιν ἡ μακαρία διανίσταται. Καὶ πρῶτον μὲν ὑπ' αὐτοῦ τυποῦται καὶ κανονίζεται καὶ εἰς κλίβανον εἰς τέλος ἐκκαέντα πρὸς αὐτοῦ κελευσθεῖσα εἰσελθεῖν, ἀβλαβὴς ἐκεῖθεν ἐξέρχεται καὶ ἑτέρας ἀρετὰς ὑψηλοτέρας καὶ Θεῷ ἐγγιζούσας ἐκμανθάνει. Προηγγέλη[10] δὲ αὐτῇ καὶ μέγα[11] μοναστήριον συστήσασθαι[12] καὶ ἐνακοσίων ἀδελφῶν προστασίαν ἀναδέξασθαι· ἔπειτα κείρεται[13] τὴν κόμην καὶ ἐν τῷ νησυδρίῳ[14] τῆς πελαζούσης τῇ Περκιλὲ κώμῃ λίμνης πρὸς[15] τοῦ θαυματουργοῦ[16] ἐκείνου γέροντος οἰκεῖν ἐγκελεύεται. Ἐγκρατείᾳ δὲ μετὰ ταῦτα καὶ τῇ λοιπῇ σκληραγωγίᾳ σχολάζουσα ἡ μακαρία, τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος καταγώγιον ἑαυτὴν ἀπειργάσατο[17]· σιδήροις γὰρ ἑαυτὴν καταδήσασα καὶ τριχίνοις ὑφάσμασιν ἀμφιάσασα, ἔξω σαρκὸς καὶ κόσμου τοῖς γε νοῦν ἔχουσιν ἐγνωρίζετο. Καί ποτε τῷ μεγάλῳ Σισιννίῳ παραβαλοῦσα, νεὼν τῇ μητρὶ τῆς Θεομήτορος αὐτῇ[18] ἀνεγεῖραι κατεδυσώπει. Ὁ δὲ πάμπολλα τέως αὐτῇ νουθετήσας καὶ[18] διδάξας[18] καὶ τὰ μέλλοντα[19] σαφέστατα δηλώσας[20], ἀπέστειλεν ἀπελθεῖν, τῆς ἑαυτοῦ μεταστάσεως τὸν καιρὸν προσημάνας. Μέχρι δὲ τῶν τριάκοντα ἀδελφῶν τῇ ὁσίᾳ φοιτησασῶν[21] καὶ τοῦ εὐκτηρίου οἰκοδομηθέντος καὶ εἰς τέλος ἤδη τῶν ῥηθέντων τῷ γέροντι κατεπειγομένων[22] προελθεῖν, μεθίσταται τοῦ βίου ὁ θαυμαστὸς ἐκεῖνος καὶ[18] θεῖος[18] Σισίννιος. Πληθυνομένην δὲ τὴν ἀδελφότητα ἡ μεγάλη Ἄνθουσα βλέπουσα, δύο ναοὺς ἐξ αὐτῶν βάθρων[23] μεγίστους[24] ἀνέστησε τῇ τε θεομήτορι

f. 270v. καὶ τοῖς ἀποστόλοις· ὧν τὸν μὲν τῆς | θεομήτορος ταῖς μοναζούσαις ἀδελφαῖς[24], τὸν δὲ τῶν ἀποστόλων τοῖς μοναχοῖς ἀπεκλήρωσε. Πολλοὶ δὲ τοῖς τῆς μετανοίας κέντροις νυττόμενοι, καὶ πάλαι μὲν πρὸς τὸν ἅγιον Σισίννιον παρεγένοντο, νῦν δὲ[25] καὶ πρὸς τὴν μεγάλην[26] Ἄνθουσαν, ὑπ' αὐτῆς παιδαγωγούμενοί τε[24] καὶ τυπούμενοι. Πλήρης γὰρ ὀρθοδοξίας[27] καὶ δικαιοσύνης οὖσα[28] πᾶσαν νεωτεροποιὸν αἵρεσιν ἀπεστρέφετο· καὶ ἐκ τούτου περιβοήτου[29] γενομένης[30], μέχρι καὶ τῶν κρατούντων ἡ περὶ αὐτῆς φήμη διέδραμε. Κωνσταντῖνος δὲ[31] ὁ μισόχριστος καὶ εἰκονομάχος, ὡς ὁ λόγος ἐδήλωσε, τὴν τῶν Ῥωμαίων ἐτυράννει τότε[24] ἀρχήν, ὃς εἰς τὴν ἑαυτοῦ πλάνην μεταθεῖναι αὐτὴν διὰ σπουδῆς θέμενος, τῶν συμφρόνων ἕνα προσκαλεσάμενος· « Πορεύθητι, φησίν, κατὰ τήνδε τὴν » ἐπαρχίαν, καὶ τὴν Ἄνθουσαν[32] εἰς τὴν ἡμετέραν » δόξαν ἀποκλῖναι μετάπεισον. Καὶ εἰ μὲν πείθοιτο, » εὖ ἂν ἔχει[33]· εἰ δ' οὖν, ἀλλὰ[34] τιμωρησάμενος » αὐτὴν τοῖς ἡμετέροις νόμοις καὶ μὴ βουλομένην » ὑποκύψαι παρασκεύασον. » Ὁ δὲ πολλοὺς[35] ἄλλους μεθ' ἑαυτοῦ παραλαβὼν καὶ κατασχὼν[36] καὶ πάμπολλα[37] τῶν ἁγίων ἐκτυπωμάτων, ὅσα ἐν πίναξι καὶ ὅσα ἐν ῥάκεσι, συναγαγὼν καὶ[34] τὴν[38] μεγάλην μετά γε τοῦ ἀδελφιδοῦ, ὃς τῆς ἀνδρῴας μονῆς τότε τὴν προστασίαν[39] ἐγκεχειρισμένος ἦν[40], συλλαβὼν εἰς ἐξέτασιν ἄγει. Καὶ παραυτίκα[41] μάστιξι μὲν[34] ἐπὶ πολὺ ὁ ἀδελφιδοῦς[34] καταξαίνεται[42] καὶ ὑπὸ τῆς ἁγίας προθυμοποιεῖται τῇ ὁμολογίᾳ ἐμμένειν καὶ ταῖς βασάνοις ἐγκαρτερεῖν· ὃς ἐκλιμπάνειν μέλλων ἀπολύεται. Αὕτη δὲ ἐκ τεσσάρων τείνεται καὶ νεύροις ὠμοῖς μαστίζεται καὶ τὰς ἱερὰς εἰκόνας παμπόλλας[43] οὔσας ἀναφθείσας[44] κατὰ κεφαλῆς δέχεται, καὶ κατὰ τῶν πεδίλων ἄνθρακας πυρὸς τοὺς πόδας καυθησομένη[45]. Ὅθεν Χριστοῦ χάριτι ἀκατάφλεκτος[46] μείνασα ὑπερορίζεται· ἔπειτα τοῦ βασιλέως μετὰ παντὸς τοῦ στρατεύματος κατ' αὐτὴν δὴ[47] τὴν ἐπαρχίαν ἐκδημήσαντος, ὡς τὴν μεγάλην[48] ἑαυτῷ παραστησάμενος ἐξετάσοι[49], τῇ αὐτῆς εὐχῇ[50] ἀορασίᾳ τοῦτον

— [5] ὡς εἰπεῖν τῶν μητρικῶν Mc. — [6] *om.* Mc. — [7] διηττᾶτο S. — [8] Σισινίου Mc. — [9] ἀρετῆς ἰδέαν Mc. — [10] προεῖπε Mc. — [11] *om.* Mc. — [12] μέλλειν *add.* Mc. — [13] κεῖραι Mc. — [14] νησιδίῳ Mc. — [15] παρὰ Mc. — [16] θαυμαστοῦ Mc. — [17] (τῆς ἁγίας - ἀπειργάσατο) σκεῦος ἑαυτὴν ἱερὸν τοῦ θείου ἀπειργάσατο πνεύματος Mc. — [18] *om.* Mc. — [19] αὐτῇ *add.* Mc. — [20] προειπὼν Mc. — [21] προσελθουσῶν Mc. — [22] ἐπειγομένων Mc. — [23] βάθρων αὐτῶν Mc. — [24] *om.* Mc. — [25] (νῦν δὲ) μετὰ δὲ τοῦτον Mc. — [26] μακαρίαν Mc. — [27] θεοσεβείας Mc. — [28] καὶ τοῦ ὀρθοῦ τῆς πίστεως λόγου ὁλοτρόπως ἀντεχομένη *add.* Mc. — [29] περιβόητος S. — [30] αὐτῆς *add.* Mc. — [31] τότε *add.* Mc. — [32] Ἔνθουσαν S. — [33] ἔχοι Mc. — [34] *om.* Mc. — [35] καὶ *add.* Mc. — [36] κἀκεῖσε παραγενόμενος Mc. — [37] μὲν *add.* Mc. — [38] δὲ *add.* Mc. — [39] τὴν πρ. τότε Mc. — [40] διεῖπε Mc. — [41] ὁ μὲν ἀδελφιδοῦς *add.* Mc. — [42] καταξέεται Mc. — [43] παμπόλλους S. — [44] ἀνακαείσας Mc. — [45] τοὺς πόδας κ. *om.* Mc. — [46] ἄφλεκτος Mc. — [47] δεῖ S, *om.* Mc. — [48] ἁγίαν Mc. — [49] ἐξετάσει Mc. — [50] (τῇ - εὐχῇ) αὕτη τῇ πρὸς Θεὸν ἐντεύξει Mc.

Iul. 27. τέλος ἄξιον τῆς ἀρετῆς εὕρατο· αὐτὴ δέ, πολλῶν πρὸς αὐτὴν ἀνδρῶν τε καὶ γυναικῶν ἐρχομένων καὶ τὸν βίον ἀποτασσομένων, δύο μοναστήρια μέγιστα συστησαμένη καὶ ναοὺς μεγίστους ἅμα καὶ τερπνοτάτους ἀνεγείρασα ἐν τῇ λίμνῃ τῇ κατὰ τὸν χῶρον ἐκεῖνον, ὃ Μαντίνεον ἐπονομάζεται, τὴν προστασίαν αὐτῶν ἀνεδέξατο· ὅθεν τῆς φήμης αὐτῆς πανταχοῦ διαθρυλλουμένης, ἐπεὶ καὶ Κωνσταντῖνος ὁ μισόχριστος καὶ εἰκονομάχος βασιλεὺς τὰ περὶ αὐτῆς ἔγνω καὶ εἰς τὴν ἑαυτοῦ πλάνην ἐκκαλέσασθαι ταύτην περὶ πολλοῦ ἐποιεῖτο, δειναῖς κακώσεσι καὶ ποικίλαις ὑπὸ τοῦ πρὸς αὐτοῦ ἀποσταλέντος μαγιστριανοῦ ὑποβάλλεται. Τὸν τόπον γὰρ καταλαβὼν ἐκεῖνος τὴν ἁγίαν παρεστήσατο καὶ τὴν ἐκ τῶν ἁγίων εἰκόνων συμφορηθεῖσαν ἀνθρακιὰν κατὰ τῆς κεφαλῆς αὐτῆς ἐπιτίθησιν καὶ τοῖς ποσὶν ὡσαύτως καὶ ἐκ τεσσάρων τείνει καὶ νεύροις ὠμοῖς τὴν μικροῦ δεῖν ἄσαρκον ὁ δείλαιος καταξαίνει. Τούτων δὲ πάντων ἀνωτέρα φανεῖσα, ὑπερορίᾳ καταδικάζει. Ἐπεὶ δὲ εἰς τοσοῦτον ὕψος ἀρετῆς ἤρθη, ὡς καὶ τοῖς πολλοῖς πόνοις τὴν ὁμολογίαν κορωνίδα θεῖναι καὶ προρρήσεις δή τινας εἰπεῖν, αἳ καὶ τέλος εἰλήφασιν, καὶ μυρία θαύματα ἐργάσασθαι τὰ μὲν πρὸς σωφρονισμὸν τῶν ὧν ἔτυχεν ἢ προσομιλεῖν ἁπλῶς ἢ ἐπιτάσσειν, τὰ δὲ εἰς δόξαν Θεοῦ καὶ τιμήν· καὶ μικρὸν νοσήσασα κατὰ τὴν ἡμέραν τῆς ἀθλήσεως τοῦ ἁγίου μεγαλο-

Iul. 27. πεδησαμένη τὰ κατ' αὐτῆς πρὸς[51] αὐτοῦ[51] μελετώμενα εἰς πέρας διελθεῖν διεκώλυσε. Καὶ τῇ βασιλίδι δυστοκούσῃ καὶ μελλούσῃ[52] θνήσκειν[53] καλῶς ἔχειν[54] αὐτὴν καὶ ἓν ἄρρεν καὶ ἓν θῆλυ γεννῆσαι παιδίον πρὸς τοῦ βασιλέως ἐρωτηθεῖσα[55] ἐξεῖπε· f. 271. καὶ ἑκάστου τὴν βιοτὴν καὶ τὴν | διαγωγὴν προεμήνυσεν· ὅθεν ἡ βασιλὶς ταῦτα ἀκούσασα πλεῖστα ταῖς ὑπ' αὐτῇ[56] μοναῖς[57] χωρία καὶ ἀναθήματα καθιέρωσε καὶ ὁ τύραννος τῆς κατ' αὐτὴν[58] ἐγχειρήσεως ἀπέστη. Οὕτως οἶδεν ἀρετὴ θῆρας μὲν ἐξημεροῦν[59] πολεμίους δὲ φίλους ποιεῖν[60]. Ἔνθεν τοι πλεῖον[61] τῆς ὁσίας μεγαλυνθείσης καὶ τοῖς ἁπάντων στόμασὶν ᾀδομένης, πολλοὶ πρὸς αὐτὴν οἱ μὲν εὐχῆς χάριν ἐφοίτων, οἱ δὲ[62] ἀποτάξασθαι τῷ τῇδε βίῳ[63], οἱ δὲ ὧν ἕκαστος προείληπτο[64] νοσημάτων τῆς[61] θεραπείας τυχεῖν. Ἐν οἷς καί τις ἀνὴρ στρατιώτης τὴν τάξιν μετὰ γυναικὸς παρεγένετο μεταμείψας τὸ σχῆμα, παιδίον πρὸς[65] τῆς μεγάλης αἰτήσων καί τι καρποφορήσων, εἰ τοῦ σκοποῦ ἐπιτύχειεν[66]· παρ' ἧς τὰ ἐνθυμήματα τῆς καρδίας ἀκούσας καὶ διὸ παρεγένετο[67] πληροφορίαν δεξάμενος, χαίρων οἴκαδε ἀνθυπέστρεψεν. Εἰ δύναιτο δέ τις ἄμμον παράλιον καὶ σταγόνας ὑετοῦ καὶ βάθος θαλάσσης καὶ ὕψος οὐρανοῦ καὶ εὖρος γῆς διαγράψαι, δυνήσεται καὶ τὰ τῇ ὁσίᾳ καὶ μεγάλῃ Ἀνθούσῃ πραχθέντα καὶ πραχθησόμενα θαύματα γραφῇ παραδοῦναι. Ὅμως καὶ αὐτῇ ἀνθρώπῳ γε οὔσῃ ἔδει θανάτου γεύσασθαι καὶ ὑπνῶσαι ὕπνον τοῖς δικαίοις πρέποντα κατ' αὐτὴν δὴ τὴν ἡμέραν τῆς ἀθλήσεως τοῦ μεγαλομάρτυρος[68] Παντελεήμονος· τοῦτο γὰρ[69] αὐτῇ καὶ[70] δι' εὐχῆς ἦν[70] τὸ ἐν αὐτῇ[71] τελειωθῆναι[72]. Κατετέθη δὲ[70] ἐν τῷ κελλίῳ, ἐν ᾧ καὶ ἐβίωσε, θαύματα ἐκτελοῦσα[73] παράδοξα, εἰς δόξαν καὶ ἔπαινον Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν[74].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

Iul. 28. **1.** Μνήμη τῶν ἁγίων ἀποστόλων Προχόρου, Νικάνωρος καὶ Παρμενᾶ. Οὗτοι τῶν ἑπτὰ διακόνων ἦσαν. Ὧν ὁ μὲν Πρόχορος ἐπίσκοπος γενόμενος Νικομηδείας τῆς Βιθυνίας ἐν εἰρήνῃ ἀνεπαύσατο· ὁ δὲ Νικάνωρ τὸ εὐαγγέλιον κηρύσσων κατὰ ταύτην τὴν ἡμέραν ἀπέθανε, καθ' ἣν ὁ ἅγιος Στέφανος σὺν τοῖς χιλίοις ἄλλοις τῶν ἠλπικότων εἰς Χριστόν· ὁ δὲ Παρμενᾶς ἐπ' ὄψεσι τῶν ἀποστόλων ἀπέθανεν ἐν τῇ διακονίᾳ αὐτοῦ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ ναοῦ τῆς ὑπεραγίας[1] Θεοτόκου ἐν τοῖς Διακονίσσης[2].

3. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐσταθίου τοῦ ἐν Ἀγκύρᾳ. Οὗτος στρατιώτης ἦν· καὶ προσαχθεὶς[1] Κορνηλίῳ τῷ ἡγεμόνι Ἀγκύρας καὶ ἐρωτηθεὶς παρρησίᾳ ὡμολόγησε τὴν ἔνδοξον[2] ἐπιφάνειαν τοῦ κυρίου[3] ἡμῶν Ἰησοῦ[4] Χριστοῦ. Ὅθεν τύπτεται ἀφειδῶς καὶ τοὺς ἀστραγάλους 271v. τρυπηθεὶς | καὶ σχοινίοις περιληφθεὶς σύρεται ἀπὸ τῆς πόλεως Ἀγκύρας ἕως τοῦ Σαγγαρέως[5] ποταμοῦ, ἀκολουθοῦντος καὶ ὁρῶντος τοῦ ἡγεμόνος· ἐκεῖσε δὲ ἐν γλωσσοκόμῳ βληθεὶς ῥίπτεται ἐν τῷ ποταμῷ. Κατ' εὐδοκίαν δὲ[6] Θεοῦ ἐπιστὰς θεῖος[4] ἄγγελος ἐξήγαγε τὸ γλωσσόκομον ἐπὶ τὴν ξηρὰν καὶ εὑρέθη ἐν αὐτῇ[7] ὁ ἅγιος ἀβλαβὴς[8] ψάλλων· « Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου[9]. » Ps. 90, 1. Μαθὼν[10] δὲ τοῦτο ὁ ἡγεμὼν καὶ αἰσχυνθείς, σπασάμενος μάχαιραν ἀνεῖλεν ἑαυτόν. Ὁ δὲ ἅγιος μάρτυς εὐξάμενος καὶ μεταλαβὼν τῆς θείας δωρεᾶς διὰ τῆς ἐκπεμφθείσης αὐτῷ οὐρανόθεν περιστερᾶς, ταῖς χερσὶ τοῦ ἐπιφανέντος ἀγγέλου τὸ πνεῦμα παρέθετο, καὶ κατετέθη τὸ τίμιον αὐτοῦ λείψανον ἐν αὐτῇ τῇ πόλει Ἀγκύρᾳ[11].

4. Τῇ[1] αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀκακίου. Οὗτος ὁ ἅγιος ἦν κατὰ τοὺς χρόνους Λικινίου[2], νέος τὴν ἡλικίαν[3]. Ὥτινι προσαχθεὶς καὶ χριστιανὸν ἑαυτὸν ἀναγορεύσας, ξέεται κρεμασθείς· εἶτα παραδίδοται Τερεντίῳ ἐπάρχῳ, ὑφ' οὗ εἰς τήγανον πεπυρακτωμένον ἐμβάλλεται[4] πίσσης καὶ ἐλαίου καὶ στέατος ἀνάπλεων[5]· ἐν ᾧ παραδόξως ἀκατάφλεκτος διαμείνας, ἀποδημήσαντι τῷ ἡγεμόνι εἰς Ἀπάμειαν καὶ Ἀπολλωνίαν[6]

— [51] *om.* Mc. — [52] τῆς β. δυστοκούσης καὶ μελλούσης Mc. — [53] ἡ μακαρία πρὸς τοῦ βασιλέως ἐρωτηθεῖσα *add.* Mc. — [54] τε ἕξειν Mc. — [55] (ἓν - ἐρωτηθεῖσα) δύο τεκεῖν ἄρρεν τε καὶ θῆλυ Mc. — [56] αὐτὴν Mc. — [57] μοναχαῖς Mc. — [58] αὐτῆς Mc. — [59] ἡμεροῦν Mc. — [60] ἀποτελεῖν Mc. — [61] *om.* Mc. — [62] τοῦ *add.* Mc. — [63] (τῇδε βίῳ) κόσμῳ Mc. — [64] πεπείρατο Mc. — [65] παρὰ Mc. — [66] ἐπιτεύξεται Mc. — [67] καὶ οὗ χάριν παραγέγονε Mc. — [68] (εἰ δύναιτο - μεγαλ.) καὶ ἄλλα πάμπολλα ταύτῃ καὶ θαυμαστὰ διαπέπρακται καὶ κατώρθωται ἃ λόγῳ κατὰ μέρος διεξελθεῖν δυσεπιχείρητον καὶ δυσέφικτον· ἐπεὶ δὲ ἔδει καὶ ταύτην ὡς ἄνθρωπον τὸ κοινὸν ἀποτίσαι τῆς φύσεως ὄφλημα τὸν τῇδε καταλύσασα βίον ὕπνωσεν ὕπνον τὸν δικαίοις προσήκοντα κατ' αὐτὴν τὴν ἡμέραν τῆς τελειώσεως τοῦ ἁγίου Mc. — [69] ἦν *add.* Mc. — [70] *om.* Mc. — [71] κατὰ ταύτην τὴν ἡμέραν Mc. — [72] καὶ *add.* Mc. — [73] τελοῦσα Mc. — [74] δόξαν τοῦ σωτῆρος ἡμῶν Θεοῦ Mc.

2. — [1] ἁγίας D. — [2] διακονίσης D.

3. — [1] ἀχθεὶς D. — [2] ἔνσαρκον D. — [3] δεσπότου D. — [4] *om.* D. — [5] Σαγαρέως S, Σαγάριος D. — [6] τοῦ *add.* D. — [7] αὐτῷ D. — [8] καὶ *add.* D. — [9] ἐν σκέπῃ τοῦ οὐρανοῦ αὐλισθήσεται *add.* D. — [10] γνοὺς D. — [11] Ἀγκύρας D.

4. — [1] καὶ τῇ D. — [2] Λικιννίου S. — [3] (ὁ ἅγιος - ἡλικίαν) νέος ὢν τὴν ἡλικίαν κατὰ τοὺς χρ. γέγονεν Λ. τοῦ βασιλέως D. — [4] βάλλεται ἐκπυρωθέντα ὄντα D. — [5] ἔμπλεον D. — [6] Ἀπολλωνείαν S.

Iul. 27. μάρτυρος Παντελεήμονος τῶν τῇδε μεθίσταται καὶ πρὸς τὸν ποθούμενον Ἰησοῦν διαβαίνει. — 2. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 1. 2. — Ἰωάννου τοῦ Παλαιολαυρίτου (Iul. 26²). — **Bc** : 1. 2. — **C** : 1. 2. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Ὁ ὑπὸ τοῦ ἁγίου Παντελεήμονος ἰαθεὶς τυφλὸς πιστεύσας τῷ Χριστῷ τ. — 2. — Οἱ ἅγιοι γ' μάρτυρες οἱ ἐκ Θρᾴκης ἐν τῇ θαλάσσῃ τ. — Ὁ ὅσιος Μανουὴλ ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Ὁ ... ἰαθεὶς τυφλὸς ξ. τ.— **Mr** : 1.

Iul. 28. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. 5. — **P** : 3. 4. 2. 5 (Κυντιλιανοῦ ...). — **D** : 2. 3. 4. 5. — **Da** : 3. 4. 2. 5. — **Db** : 3. 4. — **K** : 3. 4. — **N** : 3. 4. 6. — **Bb** : 3. 1. 4. — **Bc** : 3. 4. 1. — **C** : 3. 4. — **Ce** : 3.

ἀκολουθεῖν ἀναγκάζεται· ἔνθα ἐν τῷ ναῷ τῶν εἰδώλων εἰσαχθεὶς τὰ ἐν αὐτῷ πάντα[7] συνέτριψε διὰ προσευχῆς εἴδωλα[8]. Μετὰ ταῦτα δὲ εἰς ἐξέτασιν καθίσταται τῷ τριβούνῳ Ζηλικινθίῳ, ὃς αὐτὸν ἐμμένοντα τῇ εἰς Χριστὸν πίστει τύπτει σφοδρῶς καὶ ἐπαφίησιν αὐτῷ λέοντα· ἀβλαβὴς δὲ ἐξ αὐτοῦ φυλαχθείς, πάλιν τύπτεται καὶ αὖθις ἐμβάλλεται εἰς κλίβανον ἀσφάλτου πυρωθέντα καὶ πίσσης[9]. Τοῦ δὲ ἁγίου ἀφλέκτου διαμείναντος[10] ἐν αὐτῷ, ἐπεὶ προσήγγιζεν[11] ὁ Ζηλικίνθιος[12] οἰηθεὶς ψυχρὸν εἶναι τὸν κλίβανον, εὐθὺς κατακαεὶς εἰς κόνιν ἐγένετο. Ἐγχειρίζεται δὲ τὴν κατὰ τοῦ ἁγίου ἐξέτασιν Ποσιδώνιος· ὃς αὐτῷ βάρος περιθεὶς σιδήρου[13] ἐν Μηλίτῳ[14] ἤγαγεν· ἔνθα ὁ ἅγιος, ἐν τῷ ναῷ τῶν εἰδώλων εἰσαχθείς, προσέταξε τοῖς Iul. 28. εἰδώλοις ἐκ τῶν ἀφιδρυμάτων πεσεῖν. Τὰ δὲ θᾶττον ἢ λόγος καταπεσόντα[15] συνετρίβησαν. Ἀχθεὶς δὲ[16] καὶ εἰς ἕτερον εἰδωλικὸν[17] ναὸν[18] καὶ τὰ ὅμοια δράσας τέμνεται[19] τὴν κεφαλήν, αἷμα καὶ γάλα τῆς τομῆς ἐκβλυσάσης[20]. Λεόντιος δέ τις πρεσβύτερος f. 272. λαβὼν τὸ σῶμα τοῦ ἁγίου καὶ μυρίσας | μετὰ[4] τῶν ὑπομνημάτων κατέθετο[21] εἰς τόπον κατάσκιον, πολιτευομένου τινὸς ὀνόματι Δορυμέδοντος ἐν Συνάδοις[22], ὃς ἐμαρτύρησε σὺν τῷ ἁγίῳ Τροφίμῳ.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Κυντιανοῦ, Δάδα[1], Μαξίμου καὶ Καλλινίκου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Βιγλεντίου.

6. Καὶ τῆς ὁσίας μητρὸς ἡμῶν Εἰρήνης τῆς ἐκ Καππαδοκῶν ὁρμωμένης, κειμένης δὲ ἐν τῇ μονῇ τῶν Χρυσοβαλάνου[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

Iul. 29. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Καλλινίκου τοῦ ἐν Γάγγρᾳ. Οὗτος ἔσχε[1] τὸ γένος ἐκ Κιλικίας. Ἦν δὲ ἀγαθὸς διαφερόντως στοιχειώσας ἑαυτὸν τῷ τοῦ Θεοῦ φόβῳ καὶ πολλοῖς διδάσκαλος γέγονε σωτηρίας. Καὶ τοῖς περὶ τὰ εἴδωλα μεμηνόσι παρῄνει ἀπέχεσθαι τῶν ματαίων καὶ τὸν ποιητὴν τοῦ παντὸς ἐπιγνῶναι Χριστόν· ὅθεν συλληφθεὶς ἄγεται πρὸς τὸν ἡγεμόνα Σακέρδωνα[2]. Ὑποβάλλεται οὖν παρ' αὐτοῦ παντοίαις βασάνοις καὶ κρηπῖσι σιδηραῖς ὀρθοὺς ἥλους ἐχούσαις ὑποδεθεὶς κελεύεται[3] τρέχειν ἔμπροσθεν τῶν[4] ἵππων μέχρι τῆς πόλεως Γάγγρας, ἀπεχούσης σταδίους ὀγδοήκοντα[5]. Διϊππεύσας οὖν τὰ ἑξήκοντα, ἐπειδὴ τῷ δίψει οἱ ἀπάγοντες αὐτὸν στρατιῶται συσχεθέντες οὐκέτι πρόσω βαίνειν ἠδύναντο, εὐξάμενος ἐκ πέτρας ἀνίκμου ἐξήγαγεν ὕδατα· ἅπερ εἰσέτι καὶ νῦν εἰς τὴν τοῦ Θεοῦ δόξαν καὶ τοῦ ἁγίου πηγάζουσι μάρτυρος. Φθάσας δὲ τὴν πόλιν Γάγγραν[6] ἐλαυνόμενος, ἐκκαυθείσης ἐκεῖσε καμίνου, ἐβλήθη ἐν αὐτῇ[7] καὶ τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις πλησίον τῆς Ἰουστινιανοῦ γεφύρας καὶ πλησίον τοῦ Πετρίου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Θεοδότης καὶ τῶν τέκνων αὐτῆς. Αὕτη ἦν ἐκ Νικαίας τῆς πόλεως, εὐσεβοῦσα καὶ ταῖς ἐντολαῖς σχολάζουσα τοῦ Θεοῦ καὶ τὰ τέκνα αὐτῆς τῇ θεογνωσίᾳ ἐκτρέφουσα, κατὰ τοὺς χρόνους ἐν οἷς ἦν καὶ[1] ἡ ἁγία μάρτυς Ἀναστασία. Συσχεθεῖσα δὲ παρὰ Λευκατίου τοῦ ἄρχοντος, ὃς αὐτὴν πρὸς γάμου κοινωνίαν ἀνάγεσθαι[2] βουληθεὶς οὐκ ἔπεισε, παρεπέμφθη Νικητίῳ τῷ ἄρχοντι Βιθυνίας· ὑφ' οὗ ἅμα τοῖς τρισὶν τέκνοις[3] αὐτῆς ἐν τῇ καμίνῳ τοῦ πυρὸς βληθεῖσα[4], τὸν στέφανον τοῦ μαρτυρίου[5] ἐκομίσατο. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι ἐν τῷ Κάμπῳ.

f. 272v. | **3.** Καὶ μνήμη τῶν ἐγκαινίων[1] τοῦ σεβασμίου[2] ναοῦ τῆς ὑπεραγίας[3] δεσποίνης ἡμῶν Θεοτόκου[4], πλησίον τῶν Προμούντου[5].

— [7] τὰ εἴδωλα *add.* D. — [8] (διὰ - εἴδωλα) *om.* D. — [9] πίσσῃ S, D. — [10] διαμένοντος D. — [11] προσήγγισεν D. — [12] *corr.* S, *prius* λικίνθιος. — [13] σιδήρων D. — [14] Μελήτῳ D. — [15] D, καταπεσεῖν S. — [16] οὖν D. — [17] *om.* D. — [18] τῶν εἰδώλων *add.* D. — [19] (τὰ - τέμνεται) τούτους διὰ προσευχῆς καταρράξας καὶ τὰ ἐν αὐταῖς καθελὼν καὶ λεπτύνας εἴδωλα τέλος ἐτμήθη D. — [20] (αἷμα - ἐκβλυσάσης) καὶ ἀπὸ τῆς τομῆς λέγεται ἐξελθεῖν αἷμα καὶ γάλα D. — [21] (μετὰ - κατέθετο) αὐτὸ καὶ τὰ ὑπομνήματα ἀποκρύψας τῇ περιστολῇ εἰσελθὼν ἐν Συνάδοις κατέθετο τὸ τοῦ ἁγίου λείψανον D. — [22] εἰ Συνάδοις S, *om.* D.

5. — [1] καὶ *add.* D.

6. — [1] *al.* Χρυσοβαλάντου, *cf.* Act. SS., *Iul. t. VI, p. 602.*

1. — [1] εἶχεν D. — [2] Σακέρδονα D, Σαρκεδώτη S. — [3] ἐκελεύσθη D. — [4] *om.* D. — [5] στάδια ἑβδομήκοντα D. — [6] ὑπὸ τῶν στρατιωτῶν *add.* D. — [7] D, αὐτῷ S.

2. — [1] οἷς καὶ ἦν D. — [2] ἀγάγεσθαι D. — [3] τῶν τριῶν τέκνων D. — [4] τῷ Θεῷ εὐηρέστησεν καὶ *add.* D. — [5] τοῦ μ. στέφανον D.

3. — [1] καὶ τὰ ἐγκαίνια D. — [2] *om.* D. — [3] ἁγίας D. — [4] καὶ ἀειπαρθένου Μαρίας *add.* D. — [5] Προμουντοῦ D.

---

4. — **Cg** : 3. 4. — **R** : 1. 3. 4. 2. 5. — **Ra** : 1. 3. — **Rb** : 1. 3. — **Rc** : 1. 3. — Ἀνθούσης (Iul. 27²). — Iul. 28. **Mc** : Τοῦ ἁγίου ἀποστόλου Τίμωνος. — 1. 4. 6. 2. — Δρόσις χώνῃ χρυσοῦ βληθεῖσα τ. — **Mv** : 1. 3. 4. 2. 5 (Κιντυλιανοῦ ...). — **Mr** : 1.

Iul. 29. SYNAXARIA SELECTA. **H** : 1. 2. — Τῆς ὁσίας Πελαγίας τῆς πόρνης. — 3. — **P** : 1. — Ἄθλησις τοῦ ἁγίου Ἀλεξάνδρου. — 2. — Πελαγίας. — **D** : 1. 2. — Πελαγίας. — 3. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 1. — **Bc** : 1. — Ἰωάννου μητροπολίτου Χαλκηδόνος. — **C** : 1. 2. — **Ce** : 1. — **Cg** : 1. 2. — **R** : 1. 2. — **Ra** : 1. — Ἀκακίου (Iul. 28⁴). — Κωνσταντίνου (Iul. 30⁵). — Θεοδοσίου τοῦ νέου (Iul. 30⁶). — **Rb** : 2. 1. — **Rc** : 1. — Ἀκακίου. — **Mc** : 1. — Εὐσταθίου τοῦ ἐν Ἀγκύρᾳ (Iul. 28³). — Ὁ ἅγιος ἀπόστολος Ἀρτεμᾶς ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος Κωνσταντῖνος πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι πατὴρ καὶ μήτηρ μετὰ δύο τέκνων π. τ. — **Mv** : 1. 2. — Μάμαντος καὶ Βασιλίσκου (Iul. 30³). — Βενιαμὶν καὶ Βηρίου (cf. Iul. 30⁴). — Ἰωάννου τοῦ στρατιώτου (Iul. 30²). — Κωνσταντίνου. — Θεοδοσίου τοῦ νέου. — **Mr** : 1. 2.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

Iul. 30.

1. Μνήμη τῶν ἁγίων ἀποστόλων Σίλα καὶ Σιλουανοῦ. Οὗτοι σὺν τῷ μεγάλῳ Παύλῳ τῷ λόγῳ τοῦ κηρύγματος διακονήσαντες, ὁ μὲν Κορίνθου ἐπίσκοπος γενόμενος, ὁ δὲ Θεσσαλονίκης ὁ Σιλουανός, καὶ καλῶς τὰ ὑπ' αὐτοὺς ποίμνια διϊθύναντες πρὸς Κύριον ἐξεδήμησαν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Ἰωάννου τοῦ στρατιώτου. Οὗτος ἦν ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου στρατευόμενος ἐν τῷ νουμέρῳ τῶν Ταϊφάλων [1]. Ἀποσταλεὶς οὖν μετὰ καὶ ἑτέρων χριστιανῶν [2] εἰς τὸν κατὰ τῶν χριστιανῶν διωγμόν, ὑπεκρίνετο μὲν τὸν κατ' αὐτῶν πόλεμον, καὶ ἦν τοῖς δρῶσι διώκτης. Συνεμάχει δὲ κρύφα αὐτοῖς, τοῖς μὲν πρὸ τοῦ συλληφθῆναι μηνύων φυγεῖν [3], τοῖς δὲ [4] μετὰ τὴν σύλληψιν λαθραίως [5] περινοῶν τὴν ἀπόδρασιν. Οὐ μόνον δὲ τὸ συμπαθὲς πρὸς τούτους ἐδείκνυ [6], ἀλλὰ καὶ τοῖς ἐνδεέσιν ἐχορήγει τὰ πρόσφορα, καὶ προσευχαῖς καὶ νηστείαις καὶ τῶν ἀσθενῶν ἐπισκέψεσι καὶ ταῖς τῶν θλιβομένων παραμυθίαις τὸν βίον αὐτοῦ [7] ἐπεκόσμει καὶ πρὸς τὸ σεμνότερον μετερρύθμιζεν· καὶ οὕτω θεαρέστως καὶ ὁσίως βιώσας, ἐν Κυρίῳ ἀνεπαύσατο· καὶ κατετέθη [8] ἐν [9] τόπῳ λεγομένῳ Πανδέκτῃ, ἔνθα καὶ οἱ ξένοι ἐτίθεντο [10]. Ἐγνωρίσθη δὲ ὕστερον γυναικί τινι δι' ἀποκαλύψεως· ὃς αὐτῇ ἐπιστὰς τήν τε ἐν τῷ βίῳ πρᾶξιν αὐτοῦ καὶ ὃ ἐπεκέκλητο ὄνομα διεσάφησε. Λέγεται δὲ οὗτος ὁ ἅγιος [11] καὶ ἄλλα μὲν θαύματα ποιεῖν [12], ἐξαιρέτως [13] δὲ τοὺς δρασμοὺς ἐπέχειν τῶν οἰκετῶν καὶ τὰ σκῦλα καταμηνύειν καὶ τοὺς φῶρας φανεροὺς καθιστᾶν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ [14] Ἰωάννου τοῦ [15] θεολόγου [15], πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μάμαντος καὶ Βασιλίσκου ἐν τοῖς Δαρείου [1].

4. Καὶ τῶν ἁγίων Βενιαμίν [1], Βενίου καὶ Βιναίου πλησίον τῶν παλατίων [2] τοῦ Ἑβδόμου.

5. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κωνσταντίνου τοῦ νέου πατριάρχου [1] Κωνσταντινουπόλεως.

6. Καὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου [1] βασιλέως Θεοδοσίου τοῦ νέου.

7. Τῇ αὐτῇ ἡμέρᾳ ἐξέρχεται ὁ τίμιος σταυρὸς ἀπὸ τοῦ παλατίου καὶ ἔρχεται πλησίον τῆς μεγάλης ἐκκλησίας· καὶ προϋπαντᾷ αὐτῷ [1] | ὁ δευτερεύων f. 273. τῶν πρεσβυτέρων ἀπὸ τῶν κηρουλαρείων μετὰ τοῦ θυμιατοῦ [2], καὶ εἰσάγει εἰς τὸ θυσιαστήριον τῆς ἁγίας καὶ μεγάλης ἐκκλησίας [3] καὶ προσκυνεῖ ὁ κλῆρος. Προτίθεται δὲ εἰς τὸν βαπτιστῆρα τὸν μικρόν, ἔνθα [4] καὶ ἁγιάζει ἐν τῇ ἀργυρᾷ κάλπῃ· εἶθ' οὕτως εἰς τὸ θυσιαστήριον [5]. Ἐκεῖθεν δὲ [6] ἐξελθὼν ἐν ἡμέραις δεκαπέντε καὶ νύκταις τοσαύταις τὴν πόλιν ἅπασαν περιελθὼν ἐν τῷ ἱερῷ παλατίῳ αὖθις ὑπὸ τῶν διαιταρίων καὶ τοῦ μεγάλου παπίου ἀποκομίζεται. Τοῦτο δὲ γίνεται διὰ τὸ τὰ νοσήματα [7] πλέον τῶν ἄλλων μηνῶν τοῖς ἀνθρώποις ἐπιγίνεσθαι ἐν ταῖς ἡμέραις ταύταις [8] καὶ τῇ περιπολεύσει αὐτοῦ τῇ ἀνὰ πᾶσαν τὴν πόλιν γενομένῃ καθαγιάζειν τόν τε ἀέρα καὶ τοὺς οἴκους καὶ στενωποὺς καὶ ἄμφοδα καὶ τοῖς νοσοῦσι [9] τὴν ὑγείαν παρέχειν [10], ὅθεν ἂν διέλθοι καὶ ὅποι προσψαύσοι [11].

2. — [1] D, ταυφάλων S. — [2] στρατιωτῶν D. — [3] φυγὴν D. — [4] καὶ *add.* D. — [5] κρύφα D. — [6] ἐδείκνυεν D. — [7] ἑαυτοῦ D. — [8] (ἀνεπαύσατο κ. κ.) κοιμηθεὶς ἐτέθη D. — [9] τῷ *add.* D. — [10] ἐτίθοντο D. — [11] δὲ *add.* D. — [12] οὗτος ὁ ἅγιος *hic add.* D. — [13] ἐξαίρετον D. — [14] καὶ θεολόγου *add.* D. — [15] *om.* D.
3. — [1] (ἐν τ. Δ.) τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ Ξηρωκίρκω D.
4. — [1] Βενιαμὴν D. — [2] παλατίου D.
5. — [1] ἀρχιεπισκόπου D.
6. — [1] ἡμῶν *add.* D.
7. — [1] αὐτῶν D. — [2] (ἀπὸ - θυμιατοῦ) *om.* D. — [3] (τῆς - ἐκκλησίας) *om.* D. — [4] (προτίθεται - ἔνθα) *om.* D. — [5] εἶθ' - θυσιαστήριον) εἰς τὸν μικρὸν βαπτιστῆρα D. — [6] τε D. — [7] τοῖς νοσήμασιν D. — [8] ἐν τῷ μηνὶ τούτω D. — [9] νοσοῦντας D. — [10] παρέχει D. — [11] προσψαύσει D.

Iul. 30. SYNAXARIA SELECTA. **H** : 2. 3 (... σύναξις ἐν τῇ Ξηροκίρκῳ). — 4. 5. 6. — **P** : 2. 3 : Μάμαντος καὶ Βασιλίσκου ἐν τῷ Ξηροκέρκῳ πόρτης. — 4 (... Μηναίου). — 5 : Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου γενομένου Κωνσταντινουπόλεως Ἰωάννου. — 6. — **D** : 2. 7. 3 (σύναξις ἐν τῇ Ξηροκίρκῳ). — 4. 5. 6. — **Da** : 2. 3. 4. 5. 6. — **Db** : 2. 3. 4 (Βενίου καὶ Βιναίου). — 5. 6. 7. — **K** : 2. 3. 4. 5. 6. — **N** : 2. 1 : Σίλα, Σιλουανοῦ, Κρίσκεντος, Ἐπαινετοῦ καὶ Ἀνδρονίκου. Τούτων ὁ μὲν Σίλας σὺν τῷ Παύλῳ διακονήσας τῷ λόγῳ τῆς ἀληθείας, ἐν Κορίνθῳ γέγονεν ἐπίσκοπος, καὶ Σιλουανὸς ὁμοίως τούτῳ διακονήσας τῆς Θεσσαλονικέων ἐκκλησίας τὴν προεδρίαν πιστεύεται. Ὁ δὲ Κρίσκης, οὗ ὁ
II. Tim. 4, 10. ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ μέμνηται ἐπιστολῇ, τῆς ἐν Γαλλίᾳ Καρχηδόνος ἐπίσκοπος ἐχρημάτισεν. Ὁ Ἐπαινετὸς δὲ τῆς Καρθαγένης, καὶ μέμνηται καὶ τούτου ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ,
Rom. 16, 5, 7. ἀγαπητὸν τοῦτον ὀνομάσας καὶ ἀπαρχὴν τῆς Ἀχαΐας εἰς Χριστόν. Ὁ δὲ Ἀνδρόνικος, οὗ καὶ αὐτοῦ μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, συγγενῆ καλέσας αὐτὸν καὶ συναιχμάλωτον, ἐπίσκοπος Παννονίας ἐγένετο. Διδάξαντες οὖν καὶ τὰς λαχούσας αὐτοῖς ἐκκλησίας ἰθύναντες ὡς ἐχρῆν, μετέβησαν πρὸς Κύριον. — 3. 4. 5. 6. — **Bb** : 2. 1. — **Bc** : 2. 1 (Κρίσκεντος, Ἐπαινετοῦ καὶ Ἀνδρονίκου). — **C** : 2. — Ἰουλίττας (Iul. 31[2]). — **Ce** : 2. — Ἰουλίττας. — **Cg** : 2. — **R** : 1. 2. 3. 4 (om. Βενιαμίν). — 5. 6. — **Ra** : 1. 2. — Θεοδότης (Iul. 29[2]). — **Rb** : 1 (Σιλουανοῦ, Ἐπαινετοῦ, Κρίσκεντος καὶ Ἀνδρονίκου). — 2. 3. 4. 5. 6. — **Rc** : 1 (... Ἐπαινετοῦ κτλ.). — 2. — **Mc** : 1. 2. 3 : Βασιλίσκος ὁ γέρων ξ. τ. ... Μάμας ἐν τῇ θαλάσσῃ βληθεὶς τ. — **Mv** : 1 (... Κρίσκεντος κτλ.). — Ἰουλίττας. — **Mr** : 1 (... Κρίσκεντος κτλ.).

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐδοκίμου τοῦ νέου. Οὗτος ὁ [1] μακάριος [1] ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Θεοφίλου τοῦ μισοχρίστου. Οὗ οἱ γεννήτορες σὺν τῇ τοῦ βίου περιφανείᾳ — πατρίκιοι [2] γὰρ ἦσαν — καὶ ὀρθόδοξοι [3] ἐγνωρίζοντο, Βασίλειος καὶ Εὐδοκία τούτων τὰ ὀνόματα, Καππαδόκαι τὴν γένεσιν. Διὸ καλῶς ὁ Εὐδόκιμος ὑπ' αὐτῶν ἀναγόμενος τὰ εἰς ἀρετήν, κανδιδάτος [4] ὑπὸ Θεοφίλου τιμᾶται καὶ στρατοπεδαρχεῖν τάσσεται πρῶτον μὲν κατὰ τὴν Καππαδοκῶν, ἔπειτα κατὰ [5] τὸ Χαρσιανόν, ζυγός τις δίκαιος ὢν καὶ κανὼν ἰσότητα πᾶσαν φυλάττων, ἐλεημοσύνας ὅτι πλείστας ἐκτελῶν καθ' ἑκάστην καὶ ἐν ἐκκλησίαις καλλιεργῶν τε καὶ καρποφορῶν, χήραις καὶ ὀρφανοῖς ἐπαρκῶν, καὶ ἁπλῶς πάσης ἀρετῆς ἰδέαν [6] μετερχόμενος. Οὕτως τοίνυν κατὰ Θεὸν πολιτευσάμενος, νόσῳ σωματικῇ κατασχεθεὶς τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο [7]. Οἱ δὲ προσήκοντες [8] τὴν αὐτοῦ κέλευσιν ἀποπληροῦντες, μετά γε τῶν ἐνδυμάτων καὶ ὑποδημάτων [9] θάπτουσιν αὐτόν [5], θαύμασι πολλοῖς ὑπὸ τοῦ Θεοῦ δοξασθέντα, ἃ νῦν ἀδυνατοῦμεν κατὰ μέρος λέγειν. Γέγονε δὲ ἡ τοῦ λειψάνου αὐτοῦ [10] πρὸς τὸ Βυζάντιον μετακομιδὴ ἰουλίου [11] ἕκτῃ, ἡ κοίμησις δὲ [12] αὐτοῦ ἰουλίου τριακοστῇ πρώτῃ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰουλίττας, ἥτις ὥρμητο ἐκ πόλεως Καισαρείας Καππαδοκίας, ἣν καὶ ὁ μέγας Βασίλειος | ἐγκωμίοις Iul. 31. f. 273v. ἐτίμησε. Τοίνυν δίκης αὐτῇ συνεστώσης πρός τινα πλεονεκτικὸν ἄνδρα καὶ βίαιον, ὃς τῆς [1] γῆς ταύτης τὸ πλεῖον ἀποτεμὼν καὶ ἀγροὺς καὶ κώμας καὶ βοσκήματα καὶ οἰκέτας καὶ πᾶσαν τὴν τοῦ βίου κατασκευὴν πρὸς ἑαυτὸν μετέστησε, καταφρονήσας τοῦ δικαίου καὶ αὐτοῦ τοῦ [1] Θεοῦ, συκοφάνταις καὶ ψευδομάρτυσι καὶ δωροδοκίαις τῶν δικαζόντων ἐπερειδόμενος. Ἀρχομένης γὰρ τῆς γυναικὸς ἀναδιδάσκειν τοῦ ἀνδρὸς τὴν τυραννίδα [2], παραυτὰ αὐτὸς διαβάλλει τὴν γυναῖκα πρὸς τὸν ἄρχοντα, ὡς εἴη χριστιανὴ καὶ οὐ δεῖ ταύτην τῶν κοινῶν μετέχειν ὡς μὴ λατρεύουσαν τοῖς τῶν βασιλέων θεοῖς· ἡ δέ, πρὸς μηδὲν ἰδοῦσα τῶν παρόντων, ἀλλὰ πάντων καταφρονήσασα· « Ἐρρέτω, εἶπεν [3], ὁ βίος καὶ ἡ τούτου δόξα· ἐγὼ » γὰρ τὸν τῶν ἁπάντων δημιουργὸν καὶ ποιητὴν » οὐκ ἀρνήσομαι. » Καὶ παραυτὰ ὁ ἄδικος κριτὴς πυρὶ ταύτην παρέδωκεν. Ἡ δὲ κάμινος περιέχουσα [4] τῆς ἁγίας τὸ σῶμα ὥσπερ τις θάλαμος φωτεινός, τὴν μὲν ψυχὴν ἐπὶ τὴν οὐράνιον χορείαν ἔπεμψε, τὸ δὲ τίμιον αὐτῆς σῶμα ἀκέραιον διεσώσατο τοῖς προσήκουσι καὶ [5] πᾶσι τοῖς πιστοῖς.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας [1] δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ [2] ἐν Βλαχέρναις, ἔνθα ἀπόκειται ἡ ἁγία [3] σορός.

1. — [1] *om.* D. — [2] πατρικίου D. — [3] ὀρθόξοι D. — [4] κανδιδάτα D. — [5] *om.* D. — [6] (ἐλεημοσύνας - ἰδέαν) καὶ πᾶσαν ἄλλην ἀρετὴν D. — [7] (τοίνυν - παρέθετο) οὖν αὐτοῦ καλῶς πολιτευομένου μεθίσταται τοῦ βίου D. — [8] αὐτῷ *add.* D. — [9] ὑποδήματα D. — [10] ἁγίου αὐτοῦ λειψάνου *add.* D. — [11] ἰουνίῳ D. — [12] ἡ δὲ κοίμησις D.
2. — [1] *om.* D. — [2] καὶ *add.* D. — [3] εἰπεῖν D. — [4] περισχοῦσα D. — [5] *om.* D.
3. — [1] ἁγίας ἀχράντου D. — [2] ὄντος *add.* D. — [3] παναγία D.

SYNAXARIA SELECTA. **H** : 3. — **P** : 3. 1 : Εὐδοκίμου τοῦ ἐν Ἑξακιονίῳ. — **D** : 3. 2. 1. — **Da** : Iul. 31. 3. 2. 1. — **Db** : 2. 1. — **K** : 2. 1. — **N** : 1. 2. — **Bb** : 2. 1. — **Bc** : 2. 1. — **C** : 1. — Θεοδοσίου βασιλέως τοῦ νέου (Iul. 30[6]). — Τὰ ἐγκαίνια τῆς Κωνσταντινουπόλεως (Iul. 30[7]). — Βενιαμίν, Βεναίου (Iul. 30[4]). — Μάμαντος καὶ Βασιλίσκου (Iul. 30[3]). — Κωνσταντίνου τοῦ νέου (Iul. 30[5]). — **Ce** : 1. — **Cg** : 1. 2. — Θεοδοσίου. — Τὰ ἐγκαίνια τῆς Κωνσταντινουπόλεως. — Βενιαμίν, Βεναίου. — Μάμαντος καὶ Βασιλίσκου. — Κωνσταντίνου. — **R** : 1. 2. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : Θεοδότης (Iul. 29[2]). — **Mc** : 1. 2. — Ὁ ἅγιος ἀπόστολος Τυχικὸς ἐν εἰρήνῃ τ. (Dec. 8[3]). — Ὁ ἅγιος ἀπόστολος Τρόφιμος ξ. τ. (April. 14[1]). — Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι ιβ' μάρτυρες οἱ Ῥωμαῖοι ξ. τ. — 3. — **Mv** : 1. 3. — Προεόρτια τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. — **Mr** : 1. — Προεόρτια.

ΜΗΝ ΑΥΓΟΥΣΤΟΣ

ἡμέρας ἔχει λα', ἡ ἡμέρα ἔχει ὥρας ιγ' καὶ ἡ νὺξ ὥρας ια'.

Α'.

Aug. 1. **1.** Ἄθλησις τῶν ἁγίων [1] Μακκαβαίων, Ἐλεαζάρου, Σολομωνίδος [2] καὶ τῶν ἑπτὰ παίδων αὐτῆς Ἀβίβου, Ἀντωνίνου, Γουρία, Ἐλεαζάρου, Εὐσεβωνᾶ, Σαμωνᾶ καὶ Μαρκέλλου [3]. Οὗτοι, Ἀντιόχου τοῦ υἱοῦ Σελεύκου τὸ τῶν Ἑβραίων ὅλον ἔθνος ἐξελθόντος καὶ ἀνδραποδισαμένου καὶ ἀναγκάζοντος τὰ πάτρια ἀρνήσασθαι ἔθη καὶ ἀπογεύσασθαι ὑείων κρεῶν, ἠπείθησαν τῷ τυράννῳ, τῶν πατρῴων ἀντεχόμενοι νόμων [4], ὅ τε πρεσβύτης Ἐλεάζαρος [5], διδάσκαλος ὢν τοῦ νόμου καὶ ἐξηγητής, καὶ οἱ ἑπτὰ παῖδες ὑπ' αὐτῷ παιδευόμενοι. Καὶ ὁ μὲν πρεσβύτης προσδεθεὶς εἰς τοὐπίσω τὰς χεῖρας, τύπτεται σφοδρῶς καὶ κατὰ τῶν μυκτήρων δριμεῖς καὶ δυσώδεις χυμοὺς δεξάμενος καὶ εἰς πῦρ
f. 274. ἐμβληθεὶς | καὶ εὐξάμενος τὸ ἑαυτοῦ αἷμα καὶ τὸν θάνατον ἀντὶ λύτρου προσδεχθῆναι ὑπὲρ τοῦ ἔθνους παντός, ἐξέπνευσεν. Οἱ δὲ γενναῖοι [2] παῖδες ἕκαστος κατὰ τὴν τάξιν τῆς ἐν τῷ βίῳ προόδου ἀχθέντες καὶ ἀθρεμβόλοις καὶ τροχοῖς, καταπέλταις [6] καὶ πυρί, ὡς καθ' ἕνα αὐτῶν ὁ τύραννος ἐδικαίωσεν, ἀγωνισάμενοι καὶ ταῖς βασάνοις ἐναποθανόντες, καὶ κύριον τὸν λογισμὸν καὶ αὐτοκράτορα δείξαντες τῶν παθῶν, τοὺς τῆς καρτερίας στεφάνους ἀνεδήσαντο [7]. Μεθ' ὧν καὶ ἡ αὐτῶν μήτηρ Σολομωνὶς ἐπεὶ τελειωθέντας τούτους εἶδε, μὴ ὑπομείνασα χειρὸς ἀνθρωπίνης ἐπιβολήν [8], τῇ ἐξαφθείσῃ πυρκαϊᾷ ἑαυτὴν ἐπέρριψε, καὶ οὕτως τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις, καὶ πέραν ἐν τῇ Ἐλαίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη [1] τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Πολυεύκτου, Θεοδώρου, Κηρύκου, Ἐλεαζάρου καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Βιγλεντίου, πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

3. Καὶ μνήμη τῶν ἁγίων μαρτύρων Μίνη καὶ Μινναίου [1]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Ἑβδόμῳ.

4. Καὶ βάπτισις τῶν τιμίων καὶ ἁγίων ξύλων.

5. Καὶ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ ἐννέα μαρτύρων, τῶν ἐν Σίδῃ τῆς Παμφυλίας ἀθλησάντων, Λεοντίου, Ἄττου, Ἀλεξάνδρου, Κινδαίου [1], Μνησιθέου [2], Κυριακοῦ, Μινναίου [3], Κατούνη καὶ Εὐκλέου. Οὗτοι ὑπῆρχον κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ βασιλέως καὶ ἡγεμόνος Φλαυΐου Ζωΐλου [4] τῆς Παμφυλίας, ἐκ προγόνων ὄντες χριστιανοί. Καὶ ὁ μὲν Μινναῖος [5] τέκτων ἦν, οἱ δὲ λοιποὶ γεωργοί. Μίαν δὲ γνώμην οἱ πάντες ἔχοντες καὶ βουλὴν καλὴν βουλευσάμενοι, πρὸς τὸν διὰ μαρτυρίου ἀγῶνα ἐχώρησαν, κοινῇ πάντα τὰ βιωτικὰ καταλιπόντες· καὶ καταλαβόντες τὸ ἱερὸν τῆς Ἀρτέμιδος διὰ μιᾶς νυκτὸς [6] πάντα τὰ ἐν αὐτῷ καταστρέφουσιν ἀφιδρύματα [7]. Διὰ τοῦτο κρατηθέντες καὶ [8] ἐρωτηθέντες [8] τύπτονται σφοδρῶς καὶ πυρὶ τὰς πλευρὰς [9] ἀνακαίονται καὶ ὄνυξι τὸ περίλοιπον ἀποσύρονται σῶμα μέχρι τῶν ὀστῶν [10], καὶ τὰς μασχάλας λαμπάσι πυρὸς κατακαίονται, καὶ ὀβελίσκοις τοὺς ὀφθαλμοὺς ἐκκεντοῦνται [11] καὶ τῇ εἱρκτῇ ἀπορρίπτονται, μήτε τροφῆς μήτε ποτοῦ μήτε τῆς οἱασοῦν ἐπιμελείας ἀξιωθῆναι τοῦ τυράννου προστάξαντος. | Χρόνος οὐ μεταξὺ πολὺς καὶ θηρίοις οἱ ἅγιοι εἰς βορὰν [12] ἐκδίδονται· τὰ δὲ τούτοις εἰρήνευον. Πάντων δὲ ἐπὶ τούτῳ ἐκπλαγέντων, καὶ « Μέγας ὁ Θεὸς τῶν » χριστιανῶν » βοησάντων, βρονταὶ αὐτίκα, ἀστραπαὶ καὶ ὑετοὶ λάβροι [13] χαλάζῃ σύμμικτοι ἐπὶ τὴν γῆν ἐφέροντο· μεθ' ὧν καὶ [14] φωνή τις θεία ἠκούετο τοὺς ἁγίους προσκαλουμένη· οἳ τῆς φίλης αὐτοῖς ἐπακούσαντες φωνῆς γεγήθεισαν. Τότε καὶ τοὺς αὐχένας ἐτμήθησαν, τοῦτο τοῦ ἡγεμόνος προστάξαντος· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία [15]. (Aug. 1.; f. 274v.)

1. — [1] μαρτύρων τῶν *add.* D. — [2] *om.* D. — [3] (αὐτῆς - Μαρκέλλου) καὶ τῆς τούτων μητρὸς Σ. D. — [4] νόμῳ S. — [5] Ἐλεάζαρ D. — [6] καὶ καταπ. καὶ τροχοῖς D. — [7] ἀνεδύσαντο S, ἀπέλαβον D. — [8] ἐπὶ βουλὴν D.
2. — [1] ἄθλησις D.
3. — [1] Μήνη καὶ Μηναίου D.

5. — [1] Κινδίου D. — [2] Μνησινθέου S. — [3] Μηνέου D. — [4] Φλαυΐλου Ζωήλου D. — [5] Μηνέας D. — [6] (ἔχοντες - νυκτὸς) διὰ μιᾶς νυκτὸς αὐτόν τε τὸν ναὸν τῆς Ἀ. καὶ D. — [7] ἀφ. καταστρέφουσιν D. — [8] *om.* D. — [9] πληγὰς D. — [10] (ἀποσύρονται - ὀστῶν) μέχρι τῶν ὀστῶν ἀποσύρονται δέρμα D. — [11] (καὶ - ἐκκεντοῦνται) *om.* D. — [12] (μήτε - βορὰν) ἐκεῖθεν ἐξελκυσθέντες θηρίοις D. — [13] λαῦροι S. — [14] (βρονταὶ - καὶ) *om.* D. — [15] (τῆς φίλης - μαρτυρία) τοῦ ἡγεμόνος προστάξαντος τὰς κεφαλὰς ἀποτέμνονται D.

Aug. 1. SYNAXARIA SELECTA. **H** : 1. — Πίστεως, Ἐλπίδος, Ἀγάπης καὶ Σοφίας (Sept. 17[1]). — 2. 3. 4. — **P** : 1. — Πίστεως κτλ. — 4. 2. 3. — **D** : 1. — Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης καὶ τῆς τούτων μητρὸς Σοφίας. <Αὕτη [1]> ἦν ἐξ Ἰταλίας [2], ἐπεδήμησεν δὲ ἐν τῇ Ῥώμῃ ἅμα τῶν τριῶν θυγατέρων αὐτῆς ἐν νηπιότητι τῆς ἡλικίας πολλὴν κεκτημένων τὴν κατ' ὄψιν εὐπρέπειαν, ὥστε λαβεῖν τὴν σφραγῖδα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τῶν θυγατέρων αὐτῆς. Ἦν δὲ ἡ μὲν πρώτη θυγάτηρ, Πίστις ὄνομα, ἐτῶν δώδεκα, ἡ δὲ Ἐλπὶς δέκα, ἡ δὲ Ἀγάπη ἐννέα. Ὅθεν καὶ ἐπὶ τῇ παρ' ἡλικίαν συνέσει φθονηθεῖσαι [3] ὑπὸ Ἀντιόχου τινὸς διαβάλλονται πρὸς τὸν βασιλέα Ἀδριανὸν καὶ παραστᾶσαι κατὰ τὴν τάξιν τῆς ἡλικίας ἐξετάζονται παρ' αὐτοῦ. Μήτε δὲ ὑποσχέσεσιν μήτε ἀπειλαῖς ἀποστῆναι τῆς τοῦ Χριστοῦ πίστεως καταδεξάμεναι, εἰς ὀργὴν καὶ μανίαν τὸν βασιλέα ἐκίνησαν. Ἐκέλευσεν οὖν ἀποδυθεῖσαν ῥαβδίζεσθαι τὴν Πίστιν οὕτω καλουμένην, πρώτην οὖσαν τῶν ἀδελφῶν· ὡς δὲ ἐπὶ πολὺ πάσχουσαν οὐδὲ σπίλον ἐγγινόμενον αὐτῇ ἐκ τῶν πληγῶν ἐνεώρα, τῷ σιδήρῳ μέρη τινὰ τοῦ σώματος αὐτῆς ἐκκοπῆναι προσέταξεν, ἐξ ὧν ἀντὶ αἵματος πηγαὶ κατέρρευσαν γάλακτος· εἶτα βληθῆναι εἰς ἐσχάραν πυρὸς καὶ μετὰ τοῦτο εἰς ἐκπυρωθέντα τήγανον, ἐν ᾧ πίσσα καὶ κηρίον καὶ ἄσφαλτος ἐκτακέντα βρασμὸν ἐνεποίουν καὶ εἰς ὕψος ἐφέροντο. Διαμείνασα δὲ ἐκ πάντων παραδόξως τῇ τοῦ Χριστοῦ χάριτι ἀβλαβὴς ἐτμήθη ξίφει τὸν αὐχένα καὶ πρὸς Κύριον ἐξεδήμησεν. Ἀχθεῖσα δὲ ἡ ἁγία Ἐλπὶς καὶ τυφθεῖσα βουνεύροις ὠμοῖς καὶ εἰς πῦρ βληθεῖσα καὶ ἀναρτηθεῖσα καὶ ξεσθεῖσα καὶ εἰς λέβητα ἐμβληθεῖσα ὑποκαέντα, ἐν ᾧ πίσσα καὶ στέαρ καὶ κηρίον καὶ ῥητίνη ὑπῆρχεν, ἃ ἐκχυθέντα πολλοὺς τῶν ἀπίστων κατέφλεξεν, ἐπεὶ τούτων οὐδὲν τῆς μάρτυρος ἥψατο, ξίφει τὴν κεφαλὴν ἀφῃρέθη. Ἡ δὲ Ἀγάπη, κολακεύοντος αὐτὴν τοῦ τυράννου καὶ ἐπιχειροῦντος ἀπὸ τῆς εἰς Χριστὸν μετάγειν πίστεως, εἰποῦσα πρὸς αὐτὸν ὅτι οἱ παρὰ τῶν αὐτῶν γεννηθέντες καὶ ἐπὶ τοῖς αὐτοῖς τραφέντες ἐπιδείκνυσθαι [4] τὴν ἴσην καρτερίαν ὀφείλουσιν καὶ τελευτῆς ὁμοίας τυχεῖν, ἀνεσκολοπίσθη καὶ μηχαναῖς τισιν ἐπὶ τὸ βιαιότερον ἐξετάσθη· εἶτα ὑπὸ πλειόνων ἐρραπίσθη σφοδρῶς, εἶτα εἰς κάμινον ἐνεβλήθη· καὶ μείνασα ἐν αὐτῇ ἀβλαβὴς ἀπετμήθη τὴν κάραν. Λέγεται δὲ τὴν μητέρα αὐτῶν περιπτυξαμένην τὰς παρθένους καὶ περιστείλασαν καὶ ἐπιθεμένην [5] ἐπὶ ἅρματος, ὡς ἀπὸ μιλίων τῆς πόλεως ιη' ταύτας ἐξαγαγεῖν καὶ ἐκεῖ αὐτὰς καταθέσθαι καὶ ἀναζεῦξαι, εὐχαριστηρίους ὕμνους ἀναπέμπουσαν τῷ Χριστῷ· τῇ δὲ τρίτῃ ἡμέρᾳ παραγενομένην, κατὰ τὸ χριστιανοῖς ἔθος προσαγαγεῖν ταῖς μάρτυσιν ἐπιταφίους τιμάς, πολλῶν αὐτῇ συνδραμόντων, ἐγκωμιάσαι τε αὐτὰς τῆς ὑπὲρ Χριστοῦ μαρτυρίας καὶ τὴν ἀρετὴν αὐτῶν ἐξυμνῆσαι καὶ ἐπιπεσοῦσαν τῷ τάφῳ αὐτῶν παραθέσθαι τῷ Θεῷ τὴν ψυχὴν καὶ παρὰ τῶν συνελθόντων μετὰ τῶν μαρτύρων καὶ θυγατέρων κατατεθῆναι. — 5. 2. 3. — **Da** : 1. 2. 5. — **Db** : 1. 5. — **K** : 1. 2. 5. — **N** : 1. 5. 2. 3. — **Bb** : 1. 5. — **Bc** : 1. 5. — **C** : 1. 5. 2. — **Ce** : 1. 5. — **Cg** : 1. 5. 2. — **R** : 1. 2 (Θεοδωσίου, Μυρίκου ...). — **Ra** : 1. 2. 4. 5. — **Rb** : 1. 2. 4. — **Rc** : 1. 2. 5. — **Mc** : 1. 4. 5. — Πάππας ὁ νέος εἰς σάκκον βληθεὶς καὶ θίβῃ ἐγκλεισθεὶς καὶ εἰς θάλασσαν ῥιφεὶς τ. — 2 : Ἐλεάζαρος πυρὶ τὴν κεφαλὴν φλεχθεὶς τ... Κήρυκος ξ. τ... Θεόδωρος ξ. τ... Πολύευκτος ἐν κοπρίᾳ χωσθεὶς τ. — **Mv** : 1. 5. — Πάπας ὁ νέος. — 3. 2 : καὶ τῶν λοιπῶν ἐν τῷ Βιγλεντίῳ κτλ. — **Mr** : 4 (πρόοδος ...). — 1.

[1] *supplevi, om.* D. — [2] Ἠταλίας D. — [3] φθονηθεῖσα D. — [4] ἐπιδείνυσθαι D. — [5] ἐπιθεμένη D.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Aug. 2. **1.** Ἡ ἀνακομιδὴ τοῦ τιμίου [1] λειψάνου τοῦ ἁγίου καὶ [1] ἐνδόξου [1] πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου. Ἔχει τοιάνδε τὴν διήγησιν [2]. Μετὰ πολλοῦ [3] χρόνου παραδρομὴν [4] καὶ [5] πολλῶν ἤδη τῶν [1] ἀθλητῶν διὰ Χριστὸν ἐν τοῖς ἀγῶσι τελειωθέντων [6], γαλήνη τὴν ταραχὴν διεδέξατο, καὶ πᾶσαι μὲν φυλακαὶ καὶ πᾶν δεσμωτήριον καὶ πᾶν κολαστήριον ὄργανον ἀνεῖτο [7] τῇ παρουσίᾳ τοῦ ἐν ἁγίοις Κωνσταντίνου τοῦ χριστιανικωτάτου καὶ [8] πρώτου [8] ἐν βασιλεῦσιν [9], εἰρήνης καὶ ἐλευθερίας τῆς οἰκουμένης πεπληρωμένης [10]. Τότε [11] καὶ ὁ πολυτίμητος [12] ὄλβος ἤτοι τὸ λείψανον τοῦ πρωτομάρτυρος [13] φανεροῦται. Ἀνὴρ γάρ τις οἰκῶν τὴν κώμην [14], ἐν ᾗ καὶ [8] ὁ μαργαρίτης ὑπὸ γῆν ἐκέκρυπτο, πρεσβύτερος τὴν ἡλικίαν καὶ τὸ ἀξίωμα, τὸν βίον [15] αἰδέσιμος, Λουκιανὸς [16] τοὔνομα, οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς καὶ τρὶς τούτῳ ἐπιφανεὶς ὁ πρωταθλος ἑαυτὸν καταδηλοῖ [17]. Ὁ δὲ πρεσβύτερος καταμηνύει τῷ ἀρχιεπισκόπῳ [18] Ἰωάννῃ τὰ τῆς ὀπτασίας. Ὁ δὲ χαρᾶς πλησθεὶς καὶ τὸν τόπον καταλαβὼν σὺν τῷ κλήρῳ [19] τῆς [8] πόλεως [8], καὶ ἀνορύξας [20] εὗρε τὴν σορόν. Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας καὶ εὐωδία πλείστη τοὺς παρόντας κατακοιμίζουσα [21]· καὶ φωναὶ οὐρανόθεν ῥηγνύμεναι [22] ἀγγέλων Θεοῦ τὸ « Δόξα ἐν ὑψίστοις » βοώντων « Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία [23], » εἰς δέκατον ἐξηκούοντο σημεῖον [24], ἀλλὰ καὶ θεραπεῖαι πλεῖσται τῶν ὑπὸ ποικίλων (Luc. 2, 14.)

1. — [1] *om.* Mc. — [2] (ἔχει - διήγησιν) *om.* Mc. — [3] πλείστου Mc. — [4] τῆς τοῦ ἁγίου διὰ Χριστὸν μαρτυρίας *add.* Mc. — [5] μετὰ *add.* Mc. — [6] τελειώσεως τῶν ὑπὲρ Χριστοῦ ἀγωνισαμένων Mc. — [7] (πᾶσαι - ἀνῆτο) πᾶν κολαστικὸν ὄργανον κατεπαύθη Mc. — [8] *om.* Mc. — [9] καὶ *add.* Mc. — [10] πᾶσα ἡ οἰκουμένη πεπλήρωτο Mc. — [11] τοίνυν *add.* Mc. — [12] οὗτος *add.* Mc. — [13] λέγω δὴ τὸ τοῦ θείου πρ. λ. Mc. — [14] τ. κ. οἰκῶν Mc. — [15] (τ. β.) καὶ τὸν τρόπον Mc. — [16] Mc, Λουκιλλιανὸς S. — [17] τρὶς δι' ἐπιφανείας ἐκδιδάσκεται τοῦ πρωτάθλου ὅπη χρὴ ζητήσαντα αὐτὸν ἐξευρεῖν Mc. — [18] ἐπισκόπῳ Mc. — [19] σ. τ. κ. καταλαβὼν Mc. — [20] ἀνοίξας Mc. — [21] ἐπλήρου Mc. — [22] ἐρρηγνύοντο Mc. — [23] ἄχρι καὶ *add.* Mc. — [24] σημεῖον ἐξακουόμεναι Mc.

Aug. 2. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. 5. 6. 7. 1. — **P** : 1 (... ἐν τῷ Ζεύγματι πλησίον Κωνσταντιαναῖς). — 2. 3. 7. 6. — **D** : mutil. 2. 3. 4. 5. 6 (Μαξιμιλλιανοῦ, Ἰαμβλίχου, Μαρτίνου, Ἰωάννου, Διονυσίου, Ἐξακουστοδιανοῦ καὶ Ἀντωνίνου). — 7. — **Da** : 1. 2. 3. 4. 5. 6. 7. — **Db** : 1. 2. 3. 4. 5. 6. 7. — **K** : 1. 2. 3. 4. 5. 6. 7. — **N** : 1. 2. 3. 7. — **Bb** : 2. 3. 1. — **Bc** : 2. 3. 1. — **C** : 2. 3. 6. 7. 1. — **Ce** : 2. 6. 7. 1. —

Aug. 2. f. 275. f. 275v.

παθῶν κεκρατημένων ἐνεργούμεναι[25], τὴν τοῦ πρωτομάρτυρος χάριν κηρύττουσαι. Αὐτίκα γοῦν ὁ τῶν Ἱεροσολύμων ἱεράρχης σὺν δυσὶν ἄλλοις παρατυχοῦσιν ἐπισκόποις καὶ τῷ κλήρῳ παντὶ καὶ λαῷ τὸ ἅγιον ἐκεῖνο σῶμα ἐν εὐφροσύνῃ καὶ χαρᾷ προσκυνήσαντες μετὰ φώτων καὶ ὕμνων | καὶ θυμιαμάτων καὶ τῆς πρεπούσης τιμῆς εἰς τὴν ἁγίαν κατέθεντο Σιών. Μετὰ ταῦτα δὲ ναὸς τῷ ἁγίῳ σεβάσμιος κατὰ τὴν πόλιν αὐτὴν οἰκοδομεῖται ὑπό τινος Ἀλεξάνδρου συγκλητικοῦ, ὃς πολλὰ τοῦ ἀρχιερέως δεηθεὶς ἐν αὐτῷ τὸ τίμιον λείψανον μετὰ πάσης μετέθηκε σεβασμιότητος. Οὔπω δὲ πλείους ἢ πέντε μετ' ἐκείνην διῆλθον τὴν μετάθεσιν[26] ἐνιαυτοὶ καὶ αὐτὸς ἀρρωστήσας τὴν ἐπὶ θανάτου[27] καὶ γλωσσόκομον μὲν ἑαυτῷ περσεῖνον τῷ τοῦ ἁγίου παρόμοιον κατασκευασάμενος, ἔγγιστα δὲ τούτου κατατεθῆναι διαθέμενος[28], κεκοίμηται. Μετὰ δὲ χρόνους ὀκτὼ τῆς Ἀλεξάνδρου τοῦ συγκλητικοῦ τελευτῆς, βασιλεύοντος Ῥωμαίων τοῦ μεγάλου καὶ ἁγίου Κωνσταντίνου καὶ ἱεραρχοῦντος Κωνσταντινουπόλεως Μητροφάνους, ἡ γαμετὴ Ἀλεξάνδρου τοῦ συγκλητικοῦ διά τε τὸν αὐτῆς πλοῦτον καὶ τὴν ὥραν τοῦ σώματος πρὸς γάμον αὖθις ἐλθεῖν ὑπὸ πολλῶν ἐνοχλουμένη[29], ὅπως μὴ τοῦτο πράξῃ καταναγκασθεῖσα, βουλὴν βουλεύεται τὸ σῶμα μὲν τοῦ ἀνδρὸς ἀναλαβεῖν, πρὸς τὸν πατέρα δὲ καὶ τὴν ἰδίαν πατρίδα[30] Κωνσταντινούπολιν ἀναδραμεῖν. Κυρίλλου δὲ τότε[31] τοῦ ἐν ἁγίοις τὸν θρόνον[32] Ἱεροσολύμων διέποντος, προσελθοῦσα[33] Ἰουλιανή — τοῦτο γὰρ αὐτῇ ὄνομα — παρεκάλει τὸ σκῆνος λαβεῖν τοῦ ἀνδρός. Αὐτοῦ δὲ μὴ ἐπιτρέποντος αὐτῇ, διὰ γραμμάτων σημάνασα τῷ πατρὶ καὶ σάκραν βασιλικὴν δεξαμένη, τοῦ ἀρχιερέως μὴ δυναμένου ἀντειπεῖν, θείᾳ τινὶ προνοίᾳ περιπλανηθεῖσα ἡ γυνὴ τὸ τοῦ ἀνδρὸς ἀφεῖσα γλωσσόκομον τὸ τοῦ ἁγίου περιεπλέκετο, γοερὰς ἀφιεῖσα φωνὰς καὶ δακρύων προχέουσα πηγάς. Τέλος ἀδείας δοθείσης αὐτῇ, τὸ ἱερὸν λείψανον ἐν λεκτικίῳ καταθεῖσα ἐπὶ ὄνῳ[34], οὕτω τὴν ὁδοιπορίαν[35] ἐποιεῖτο. Δι' ὅλης δὲ τῆς νυκτὸς ὕμνος ἀγγέλων κατ'[36] οὐρανὸν καὶ θεοπρεπὴς ἐξηκούετο δοξολογία καὶ ὀσμῆς εὐώδους ὡς μύρου πολλοῦ ἐκχυθέντος[37] τὰ ἐκεῖσε ἐπληροῦντο[38] καὶ τὰ πονηρὰ πνεύματα οἰμώζοντα « Οὐαὶ ἡμῖν » βοαῖς ἀνέκραζον συχναῖς « ὅτι Στέφανος μέσον » ἡμῶν παράγει μαστίζων ἡμᾶς. » Φθάσαντες δὲ τὴν[39] Ἀσκάλωνα πόλιν παράλιον καὶ εὑρόντες πλοῖον καὶ πεντήκοντα χρυσίνων αὐτὸ μισθωσάμενοι ἐξώρμησαν. Ὁπόσα δὲ θαύματα κατὰ τὴν ὁδοιπορίαν ταύτην καὶ σημεῖα | ἐτελέσθησαν[40], ἀδύνατον γράφειν τῇ[41] συντομίᾳ χρωμένους. Ὡς δὲ τὴν βασιλίδα κατέλαβον καὶ εἰς τὰς ἀκοὰς τοῦ βασιλέως ἐνηχήθη[42] τὸ μέγα τοῦτο δρᾶμα, — ἀνηνέχθη[43] δὲ αὐτῷ καὶ τὰ περὶ τῆς γυναικός, — αὐτίκα παραστᾶσα ἔμπροσθεν τοῦ βασιλέως ἀκριβῶς ἐξεῖπε[44] τὰ τῆς ὑποθέσεως ἐξ ἀρχῆς καὶ μέχρι τέλους παρακολουθήσαντα. Ταῦτα[45] <ὁ[46]> φιλευσεβέστατος βασιλεὺς ἀκηκοὼς[41] καὶ[41] χαρᾶς πλησθεὶς[47] καὶ ἀγαλλιάσεως, ἐκέλευσε[48] τῷ ἀρχιερεῖ μετὰ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τὴν ἀπαντὴν ποιῆσαι καὶ μετὰ τιμῆς πλείστης καὶ σεβάσματος τὸν ἅγιον εἰς τὰ βασίλεια ἀγαγεῖν. Πάντες μὲν οὖν[49] κατεῖδον τὰ τοῦ ἁγίου θαυμάσια[50], ὅσα κατὰ τὴν ἡμέραν ἐκείνην ἐτελέσθη· ἀλλ' ἀδύνατόν ἐστι ταῦτα καταλέγειν[51]. Πλὴν εἷλκον αἱ ἡμίονοι τὸ γλωσσόκομον[52], ἐν ᾧ ὁ θησαυρὸς ἦν, ἕως ἔφθασεν εἰς τόπον Κωνστανιανὰς καλούμενον· ἐκεῖ καὶ κατετέθη, μιᾶς[53] ἐξ αὐτῶν[54] ἀνθρωπίνῃ φωνῇ ἐξειπούσης[55]· « Τίνος χάριν[56] τύπτετε ἡμᾶς· » ἐνταῦθα δεῖ τὸν ἅγιον κατατεθῆναι. » Τούτων[57] τῶν φωνῶν ὁ ἀρχιερεὺς καὶ πᾶν τὸ σύστημα ἐπακούσας[58], μεγάλῃ τῇ φωνῇ τὸν αἶνον τῷ Θεῷ ἀπέδωκε[59]. Ἐξέστη ταῦτα γνοὺς καὶ ὁ πιστότατος βασιλεὺς καὶ παραχρῆμα ἐν τούτῳ[60] τῷ τόπῳ σεβάσμιον ἐγείρει τῷ πρωτάθλῳ ναόν, εἰς δόξαν καὶ αἶνον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι πλησίον Κωνσταντιανῶν[61].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις[1] τοῦ ἁγίου ἱερομάρτυρος[2] Στεφάνου πάπα Ῥώμης καὶ τῶν σὺν αὐτῷ. Οὗτος ἦν ἐπὶ Οὐαλερίου[3] καὶ Γαλιήνου[4] τῶν ὑπάτων ἐν τῇ Ῥωμαίων πόλει· καὶ κρυπτόμενος διὰ τὸν ἐπικείμενον διωγμόν, τοὺς πρὸς αὐτὸν παραγινομένους τὴν εἰς Χριστὸν πίστιν διδάσκων ἐβάπτιζεν, ἐξ ὧν πολλοὺς πρεσβυτέρους καὶ διακόνους καὶ ἀναγνώστας κατέστησεν. Ἐκ[5]

— [25] ἐγένοντο Mc. — [26] τὴν μ. διῆλθον Mc. — [27] τὴν ἐπὶ θάνατον νοσήσας Mc. — [28] (κ. δ.) καταθέμενος Mc. — [29] ὀχλουμένη Mc. — [30] τὴν *add.* Mc. — [31] *om.* Mc. — [32] τῶν *add.* Mc. — [33] Mc, προσελθὼν S. — [34] ἐπὶ ὄνω καταθεῖσα Mc. — [35] ὁδοι[*supra lin corr.* S. — [36] εἰς Mc. — [37] πάντα *add.* Mc. — [38] ἐπληροῦτο Mc. — [39] τὸν Mc. — [40] διετελέσθησαν Mc. — [41] *om.* Mc. — [42] ἠνέχθη Mc. — [43] ἠκούσθη Mc. — [44] ἐξήγγειλε Mc. — [45] ὅπως παρηκολούθησε τότε Mc. — [46] Mc, *om.* S. — [47] πλεισθεὶς Mc. — [48] ἐδήλωσε Mc. — [49] Mc, ἂν S. — [50] θαύματα Mc. — [51] (ἀλλ' - λέγειν) *om.* Mc. — [52] ἅρμα Mc. — [53] (ἐκεῖ - μιᾶς) περαιτέρω δὲ οὐ προήεσαν· ὡς δὲ πρὸς τὸ βαδίζειν ἠπείγοντο ταῖς μάστιξιν ἐλαυνόμεναι μία Mc. — [54] ὢ τοῦ θαύματος *add.* Mc. — [55] χρησαμένη Mc. — [56] ἔφη *add.* Mc. — [57] οὖν *add.* Mc. — [58] ἐπακούσαντες Mc. — [59] τ. κυρίω ἀνέπεμψαν Mc. — [60] αὐτῶ Mc. — [61] τῶ ἐν Κωνσταντιαναῖς Mc.

2. — [1] μνήμη Mc *ad d. Aug. 3.* — [2] μάρτυρος Mc. — [3] Οὐαλλερίου Mc. — [4] Γαληΐνου S, Mc. — [5] καὶ ἐκ Mc.

Aug. 2.

Cg : 2. 3 : Μαξίμου, Δάδα καὶ Κυντιανοῦ. Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν τῇ Δωροστόλῳ[1], ἐν τῇ χώρᾳ τῆς δευτέρας Μυσίας. Παραστάντες δὲ Ταρκινίῳ[2] ὑπάτῳ ἠναγκάσθησαν θῦσαι τοῖς εἰδώλοις· οἱ δὲ ἅγιοι οὐδαμῶς ἠνέσχοντο τοῦτο ποιῆσαι. Ὅθεν βάλλονται ἐν φρουρᾷ· καὶ τοῦ ἁγίου Μαξίμου ἐπαναγινώσκοντος τοῖς συμμάρτυσιν αὐτοῦ τὰς θείας γραφάς, ὑπνώσαντες ὁρῶσι τὸν διάβολον ὅπλα πολεμικὰ ἐζωσμένον καὶ κατ' αὐτῶν πολεμοῦντα. Καὶ διεγερθέντες εἶδον ἄγγελον Θεοῦ θάρσος αὐτοῖς ἐμποιοῦντα· διὸ τύπτονται δεινῶς καὶ λαβόντες τὴν διὰ τοῦ ξίφους ἀπόφασιν ἦλθον εἰς τὸν ἴδιον τόπον Ὀζοβίαν καλούμενον, κἀκεῖ τὰς κεφαλὰς ἀπετμήθησαν μηνὶ ἀπριλλίῳ κη'. Εὑρέθησαν δὲ τὰ τίμια λείψανα αὐτῶν δι' ἀγγέλου μηνὶ αὐγούστῳ β'· ἅτινα νῦν κατάκεινται ἐν τῷ

[1] Δωροστόλων Cg. — [2] Ταρκινίου Cg.

Aug. 2. f. 276.

τούτων τινὲς συσχεθέντες καὶ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσαντες[6] τὸν διὰ μαρτυρίου στέφανον ἐκομίσαντο· ὅθεν διὰ ταῦτα[7] ὁ μακάριος κρυπτόμενος[8] Στέφανος ἑαυτὸν κατέστησε φανερόν· καὶ ἀχθεὶς ἐν τῷ ναῷ τοῦ Ἄρεως, ὅλον διὰ προσευχῆς ἔσεισε καὶ μέρος τι καταπεσεῖν ἐποίησε. Φυγόντων δὲ τῶν στρατιωτῶν, αὐτὸς εἰς τὸν τάφον Λουκίλλης[9] τῆς μάρτυρος ἔρχεται, ἔνθα τὴν ἀναίμακτον θυσίαν ἐπιτελῶν ἀποτέμνεται τὸν τράχηλον[10], τῶν στρατιωτῶν ζητησάντων καὶ εὑρόντων αὐτόν[11].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἡ δι' ἀγγέλου[1] εὕρεσις τῶν τιμίων λειψάνων[2] Μαξίμου, | Δάδα καὶ Κυντιλιανοῦ[3]. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Δωροστόλῳ τῇ πόλει[4] τῆς δευτέρας Μυσίας. Παραστάντες δὲ Ταρκυΐνῳ[5] ὑπάτῳ καὶ μὴ θελήσαντες θῦσαι[6] τύπτονται, καὶ ἀχθέντες ἐν τῷ ἰδίῳ τόπῳ, Ὀζοβίᾳ καλουμένῳ, τὰς κεφαλὰς ἀποτέμνονται, ἀπριλλίου[7] εἰκοστῇ ὀγδόῃ. Ἀγνοηθέντες δὲ ἐπὶ χρόνους πολλοὺς[8], δι' ἀγγέλου ἀπεκαλύφθησαν τὰ τίμια τούτων λείψανα αὐγούστῳ δευτέρᾳ[9]· ἃ καὶ νῦν κατάκεινται ἐν τῷ[10] οἴκῳ τῆς[11] Θεοτόκου ἐν τοῖς Βιγλεντίου, ἔνθα καὶ ἡ αὐτῶν τελεῖται σύναξις[12].

4. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ τιμίου[1] θεολόγου πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

5. Καὶ μνήμη τοῦ ἁγίου Φωκᾶ.

6. Καὶ τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ.

7. Καὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου βασιλέως Ἰουστινιανοῦ[1] ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

Aug. 3. f. 276v.

1. Μνήμη τῶν ἁγίων πατέρων[1] ἡμῶν[1] Δαλμάτου, Φαύστου καὶ Ἰσαακίου[2]. Οὗτος[1] ὁ ἅγιος[3] Δαλμάτος ἐστρατεύετο ἐν τῇ δευτέρᾳ σχολῇ ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, ζῶν εὐσεβῶς καὶ θεαρέστως. Καὶ διὰ τὸν Θεὸν καταλιπὼν γυναῖκα καὶ τέκνα, καὶ[1] μόνον τὸν υἱὸν αὐτοῦ Φαῦστον μεθ' ἑαυτοῦ[4] παραλαβὼν ἔρχεται πρὸς τὸν ὅσιον Ἰσαάκιον, καὶ τὸν μοναστὴν ὑπελθὼν βίον εἰς ὕψος ἀρετῶν μέγιστον ἤρθη. Ὁ δὲ θαυμάσιος[5] οὗτος Ἰσαάκιος ἐκ σπαργάνων αὐτῶν τὴν ἔρημον ᾤκησεν, πᾶν εἶδος ἀρετῆς μετερχόμενος· ὅθεν καὶ ὁ λόγος[6] αὐτῷ λαμπρότατος ἦν τῷ βίῳ κατακοσμούμενος[7]. Οὗτος, ἐξερχομένου τοῦ βασιλέως Οὐάλεντος πρὸς[8] τὸν κατὰ[9] τῶν Βουλγάρων πόλεμον, προσελθών· « Τὰς ἐκκλησίας τοῖς ὀρθο» δόξοις ἄνοιξον, » εἶπεν, « ὦ βασιλεῦ, καὶ νική» σεις τὸν πόλεμον. » Ὡς δὲ οὐκ ἔπειθεν, ἀλλ' εἰς θυμὸν κινηθείς· « Ὑποστρέφοντός μου, » φησὶν ὁ βασιλεύς, « παρέξεις τούτων τὰς εὐθύνας. » — « Εἰ ἐπιστρέψεις, » εἶπεν ὁ ὅσιος, « οὐκ ἔστιν ἐν » ἐμοὶ κύριος ὁ Θεός· συνάψεις γὰρ τὸν πόλεμον » καὶ φεύξεις[10] ἔμπροσθεν τῶν ἐχθρῶν σου καὶ » ζῶν πυρὶ καταναλωθήσῃ, » ὃ καὶ γέγονεν. Ἐν ἀχυρῶνι γὰρ ἐγκλεισθεὶς κατεφλέχθη. Οὗτος, μέλλων ἐκδημεῖν τῶν τῇδε, τὸν ὅσιον Δαλμάτον ἡγούμενον προεστήσατο, Ἀττικοῦ τότε τῆς Κωνσταντινουπόλεως πατριαρχοῦντος. Αὐτὸς δὲ πρότερον διαπρέψας ἐν τῇ ἀσκήσει καὶ ἐπὶ τεσσαράκοντα[11] ἡμέρας ἀπόσιτος διαμείνας καὶ ἐν ἄλλαις | τοσαύταις ἐν ἐκστάσει γεγονὼς καὶ τοῖς βασιλεῦσι καὶ συγκλήτῳ καὶ τοῖς κατ' Ἔφεσον συνελθοῦσι πατράσιν αἰδέσιμος φανείς, οἵ[12] καὶ ἀρχιμανδρίτην αὐτὸν καὶ τοὺς μετ' αὐτὸν τῆς κατ' αὐτὸν μονῆς ἄρξοντας ἐψηφίσαντο[13] μέχρις αἰῶνας ὑπάρχειν, ἐν Χριστῷ κοιμηθεὶς κατατίθεται ἐν τῷ ἰδίῳ μοναστηρίῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Aug. 4.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ ὁμολογητοῦ, ἡγουμένου τῆς Πατελαραίας.

2. Καὶ μνήμη τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ τελειωθέντων ἐπὶ Δεκίου, ἀναστάντων δὲ ἐπὶ Θεοδοσίου.

3. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἐλευθε-

— [6] (καὶ - ὁμολογήσαντες) *om.* Mc. — [7] καὶ *add.* Mc. — [8] *om.* Mc. — [9] Λουκίας Mc. — [10] τὴν κεφαλὴν Mc. — [11] εὑρεθεὶς παρὰ τῶν ζητησάντων στρατιωτῶν Mc.

3. — [1] *om.* D. — [2] δι' ἀγγέλου γενομένη *add.* D. — [3] Κυντιλλιανοῦ D. — [4] ἐν τῇ χώρᾳ *add.* D. — [5] Ταρηνίω D. — [6] τοῖς εἰδώλοις *add.* D. — [7] μηνὶ ἀπριλλίω D. — [8] συχνοὺς D. — [9] μηνὶ αὐγουστῷ δευτέρᾳ τὰ τίμια αὐτῶν λ. D. — [10] εὐκτηρίω *add.* D. — [11] παναγίας ἀχράντου δεσποίνης ἡμῶν *add.* D. — [12] (ἔνθα - σύναξις) *om.* D.

4. — [1] *om.* D.

7. — [1] τοῦ μεγάλου *add.* D.

1. — [1] *om.* D. — [2] Ἰσακίου D. — [3] ὅσιος D. — [4] ἑαυτῶν D. — [5] θαυμαστὸς D. — [6] καὶ ὅλως D. — [7] κοσμούμενος D. — [8] κατὰ D. — [9] *om.* D. — [10] φεύξῃ D. — [11] σεράκοντα D. — [12] ἢ S. — [13] D, ἐψηφίσατο S.

Aug. 2.

οἴκῳ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Βιγλεντίου, ἰάσεις πλείστας ἐπιτελοῦντες οἱ ἅγιοι τοῖς πίστει προσιοῦσι τοῖς τιμίοις αὐτῶν λειψάνοις· ὧν ταῖς πρεσβείαις δῴη ἡμῖν Κύριος τὴν ἴασιν τῶν ψυχῶν καὶ τῶν σωμάτων. — 6. 7. 1. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 3. 4. — **Mr** : 1.

Aug. 3.

SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Τῆς ἁγίας καὶ οἰκουμενικῆς β' συνόδου τῶν ἁγίων τν' θεοφόρων πατέρων ἡμῶν. — Τὰ ἐγκαίνια τῆς ἁγίας Θεοτόκου ἐν Γοργιαναῖς. — Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Ἐφέσου Ἰωάννου τοῦ μοναχοῦ καὶ Ἰωάννου τοῦ νέου. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Στεφάνου (Aug. 2[2]). — Ἡ ἁγία μυροφόρος Σαλώμη ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος ἀπόστολος Κούαρτος ἐν εἰρήνῃ τ. (Nov. 10[1]). — Θεοκλητὼ ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Στεφάνου. — Ἰωάννου ἡγουμένου μονῆς τῆς Πατελαραίας (Aug 4[1].). — Σαλώμη. — Κούαρτος. — Θεοκλητοί. — **Mr** : 1.

Aug. 4.

SYNAXARIA SELECTA. **H** : 4. 5. 7. des. : τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἔξω τῆς Χρυσῆς πόρτης καὶ ἐν τῷ Ἑπτασκάλῳ καὶ ἐπέκεινα τοῦ Στενοῦ. — 6. — **P** : 6. — **D** : 3. 4. 5. 7 (τελεῖται δὲ κτλ.). —

Aug. 4. ρίου τοῦ κουβικουλαρίου. Οὗτος ὥρμητο ἐκ πόλεως Βυζαντίου, εἷς τῆς συγκλήτου βουλῆς γνωριζόμενος καὶ ἐν βασιλικαῖς αὐλαῖς ἀναστρεφόμενος, τῇ θέσει εὐνοῦχος, ποθεινός τε ἦν τοῖς πᾶσι καὶ αὐτῷ τῷ βασιλεῖ Μαξιμιανῷ ᾠκειωμένος. Ἐπεὶ δὲ ἦν εὐάρεστος [1] τῷ Θεῷ, ὡς πληρωτὴς τῶν θείων αὐτοῦ ἐντολῶν, ἀμύητος δὲ τοῦ ἁγίου καὶ θείου βαπτίσματος, τὸν βασιλέα κατασοφίζεται κτῆσιν χωρίου ποιήσασθαι μεταβολῆς ἕνεκα καὶ καθαροῦ ἀέρος· καὶ δὴ τυγχάνει τῆς αἰτήσεως. Ὁ δὲ σκηνὴν παρὰ τῷ Σαγγάρῳ ποταμῷ πηξάμενος καὶ οἰκοδομησάμενος ἔνδον τοῦ οἴκου ὑπόγαιον κρυπτὸν οἶκον Θεοῦ, καλλωπίσας [2] τε αὐτόν, ὡς ἔδει, καὶ καθιερώσας θυσιαστήριον χερσὶ τιμίων ἱερέων, καθαίρεται τῷ θείῳ βαπτίσματι καὶ τῷ μύρῳ χρίεται καὶ τῶν ἁγίων μυστηρίων μέτοχος γίνεται· καὶ λοιπὸν ἔκτοτε ἀπρόϊτος ἦν. Ἐπεὶ οὖν εἶδεν αὐτὸν ὁ βασιλεὺς μήτε τροφῆς [3] μήτε ποτοῦ μήτε ὁμιλίας μετέχοντα, ἐν ὑποψίᾳ κατέστη, καὶ ἤρξατο τὰ περὶ αὐτοῦ πολυπραγμονεῖν. Ὁ δὲ ἐρωτώμενος προεβάλλετο νοσηλείαν καὶ τὸ θορυβῶδες τοῦ ἄστεος καὶ τὰ λοιπά. Ἐνωτισθεὶς δὲ παρά τινων τῶν μισοχρίστων μὴ ἀληθεύειν τὸν Ἐλευθέριον, ἀναζεύξας ὁ βασιλεὺς κατέλαβε τὸν τόπον· καὶ καταμαθὼν ἅπαντα καὶ αὐτὸν ὀφθαλμοῖς ἑωρακὼς τὸν ναὸν καὶ τὴν εὐκοσμίαν τοῦ θυσιαστηρίου, καὶ εὑρὼν αὐτὸν τέλειον χριστιανόν, τῇ τοῦ ξίφους ὑπέβαλε τιμωρίᾳ.

4. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ [1] ἁγίου Προκοπίου πλησίον τῆς Χελώνης.

5. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θουθαήλ.

6. Καὶ μνήμη τῆς ἁγίας Μαρίας τῆς Μαγδαληνῆς [1].

| **7.** Τῇ αὐτῇ ἡμέρᾳ [1] τῆς ἁγίας Ἴας καὶ τῶν σὺν αὐτῇ. Αὕτη ἤθλησεν ἐπὶ Σαβωρίου βασιλέως Περσῶν, πρεσβυτάτην ἄγουσα τὴν ἡλικίαν· συνελήφθη δὲ μετὰ ἐννέα χιλιάδων χριστιανῶν αἰχμαλώτων, παρὰ δὲ τῶν ἀρχιμάγων διαφόροις βασάνοις καὶ πικραῖς τιμωρίαις ὑποβληθεῖσα [2] τὴν κεφαλὴν ἀποτέμνεται [3]. f. 277.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε΄.

Aug. 5. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐσιγνίου. Οὗτος ἦν τὸ γένος Ἀντιοχεύς, στρατιώτης γεγονὼς ἐπὶ Κώνσταντος τοῦ καλουμένου Χλωροῦ, πατρὸς τοῦ ἁγίου καὶ [1] μεγάλου [1] Κωνσταντίνου. Παρέτεινε δὲ ἐπὶ τῇ στρατείᾳ μέχρις Ἰουλιανοῦ τοῦ [1] παραβάτου [1] ἤδη δέκα καὶ ἑκατὸν [2] ἐτῶν

3. — [1] εὐάρεστος μὲν ἦν D. — [2] καλωπίσας S. — [3] ἀναστροφῆς D.
4. — [1] ναοῦ τοῦ *om.* D.
6. — [1] Μαγδαλινῆς D.
7. — [1] (τ. α. ἡμ.) καὶ D. — [2] ὑποβληθεὶς D. — [3] ἀπετμήθη· τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἔξω τῆς Χρυσῆς πόρτης καὶ ἐν τῷ Ἑπτασκάλῳ καὶ ἐπέκεινα τοῦ Στενοῦ D.
1. — [1] *om.* D. — [2] ρι΄ *corr.* D.

Aug. 4. 6. — Τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας. — **Da** : 3. 7. 4. 6. — **Db** : 3. 7. 6. — Εὐδοκίας. — **K** : 3. 7. 6. — Εὐδοκίας. — **N** : 3. 7. — Εὐδοκίας. — **Bb** : 3. 7. 4. — **Bc** : 7. 3. — **C** : 3. 5. 7. — **Ce** : 5. 7. 3. — **Cg** : 3. — **R** : Ἀνακομιδὴ τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας. — 3. 7. — **Ra** : Εὐδοκίας. — **Rb** : Εὐδοκίας. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Φωστηρίου. — 3. — Τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς δευτέρας τῶν ρνθ΄ θεοφόρων πατέρων. — Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἐπισκόπων γενομένων ἐν Ἐφέσῳ Ἰωάννου μοναχοῦ καὶ Ἰωάννου τοῦ νέου. — Τοῦ ἁγίου Παμφίλου καὶ Καπήτωνος. — **Rc** : Εὐδοκίας. — Φωστηρίου. — 3. — Δευτέρας συνόδου. — Ἰωάννου μοναχοῦ καὶ Ἰωάννου τοῦ νέου. — **Mc** : 2. — Ἀνακομιδὴ τῶν λειψάνων τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας. — 7 : Ἴας. Αὕτη ἡ ἁγία μάρτυς Ἴα Ῥωμαία ἦν ἐξ ἀνατολῶν ὁρμωμένη. Αἰχμαλωτισθεῖσα δὲ ὑπὸ τῶν Περσῶν, κατέλαβε τὴν χώραν αὐτῶν· καὶ πεπυκνωμένη οὖσα ταῖς θείαις γραφαῖς ἐδίδασκε καὶ ἐνουθέτει πάντας τοὺς αἰχμαλώτους, καὶ γνώριμος τοῖς ἐκεῖ γενομένη καὶ ταῖς τῶν Περσῶν γυναιξὶ συνήθης, ἐξ ὧν καὶ οὐκ ὀλίγας πρὸς θεογνωσίαν μετέβαλε. Διαβληθεῖσα καὶ χριστιανὴν ἑαυτὴν ἀνομολογήσασα τύπτεται βουνεύροις· καὶ ῥιφεῖσα ἐν τῇ φυλακῇ διετέλεσε μῆνας δύο. Μετὰ δὲ ταῦτα ἀνακριθεῖσα πάλιν καὶ τὸν Χριστὸν Θεὸν ἀληθινὸν ὁμολογήσασα, τύπτεται σφοδρῶς διὰ ῥάβδων ῥοιᾶς, ἕως ἂν αἱ σάρκες δαπανηθεῖσαι κατέπεσον καὶ οἱ τύπτοντες κατεφοινίχθησαν ὑπὸ τῶν αἱμάτων αὐτῆς· καὶ πάλιν ῥίψαντες αὐτὴν ἐν τῇ φυλακῇ κατησφαλίσαντο. Μετὰ δὲ παραδρομὴν μηνῶν ἓξ ἐξαγαγόντες αὐτὴν καὶ ἀνακρίναντες καὶ καλάμους σχίσαντες ἰσομήκεις τῇ ἡλικίᾳ αὐτῆς καὶ ἀπογυμνώσαντες ταύτην, διὰ τῶν καλάμων ἐσπαργάνωσαν καὶ σφίγξαντες μετὰ λεπτῆς σπάρτου σφοδρῶς ἐνέπηξαν τοῖς μέλεσι τῆς ὅλης σαρκός, καὶ ἕνα ἕνα κάλαμον βιαίως σύροντες οἱ ἀνηλεεῖς καὶ τὰς σάρκας ἀνασπῶντες δριμείας καὶ ὀδυνηρὰς ὀδύνας ἐνεποίουν τῇ μάρτυρι· εἶθ᾽ οὕτως κρεμάσαντες καὶ καλωδίοις τὸ ἅπαν σῶμα τῆς ἁγίας καλύψαντες καὶ διὰ ξύλων στρεβλώσαντες συνέτριψαν πάντα τὰ ὀστᾶ αὐτῆς. Καὶ ὡς εἶδον ταύτην ἡμιθανῆ καὶ ἄλαλον λοιπὸν γενομένην, μόλις κορεσθέντες τῆς ἀπηνείας, μᾶλλον δὲ ἀποκαμόντες πρὸς τὴν ὑπερθαύμαστον ἐκείνην καὶ ἀήττητον καρτερίαν, τὴν ἱερὰν αὐτῆς ἐκτέμνουσι κεφαλήν. — 3. — Ἐγκαίνια τοῦ περικαλλοῦς καὶ τοῦ θείου ναοῦ τῆς σεβασμίας μονῆς τοῦ Παντοκράτορος σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. — **Mv** : 2. — Ἀνακομιδὴ ... Εὐδοκίας. — 3. 5 : Θαθουὴλ ἐν μηλέᾳ κρεμασθεὶς τ. — 7. — **Mr** : 2. — Εὐδοκίας.

Aug. 5. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Ἴας, ἔξω τῆς Χρυσῆς πόρτης καὶ ἐν τῷ Ἑπτασκάλῳ καὶ ἐπέκεινα τοῦ Στενοῦ (Aug. 4[7]). — Τῆς ἁγίας μάρτυρος Χριστίνης. — Θουθαὴλ πλησίον τοῦ Παλατίου (Aug. 4[5]). — **D** : 1. — **Db** : 1. — **Dc** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — Τῶν ἁγίων μαρτύρων Θουθαὴλ καὶ Χριστίνης πλησίον τοῦ Παλατίου (cf. Aug. 4[5]). — Προκοπίου (Aug. 4[4]). — Τοῦ ὁσίου <Θεοδοσίου [1]> ἡγουμένου Ὀρώβου (Aug. 8[4]). — Τῶν ἁγίων μαρτύρων Ἐλευθερίου, Λεονίδους καὶ τῶν νηπίων (Aug. 8[5]). — Ἡ ἀνάμνησις ὅτε ἐγένετο ἡ ἔκλειψις τοῦ ἡλίου ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης (Aug. 8[7]). — **Rc** : 1. — Θουθαὴλ καὶ Χριστίνης πλησίον τοῦ Παλατίου. — Προκοπίου. — **Mc** : 1. — Καττίδιος καὶ Καττιδιανὸς λιθοβοληθέντες τ. — Νόννα ἡ μήτηρ τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου ἐν εἰρήνῃ τ. — Σόλεβ βέλει ἀπὸ τόξου βληθεὶς τ. — **Mv** : 1. — Καττίδιος, Καττιδιανός. — Νόννα. — Σόβελ. — Φάβιος. — **Mr** : Προεόρτια. — 1.

Aug. 6. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Ἐγκαίνια τοῦ ἁγίου μάρτυρος Βικεντίου ἐν τῷ Κάμπῳ. — **D** : 1 : Μεταμορφώσεως τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καθ᾽ ἣν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην παραλαβὼν καὶ ἐν τῷ Θαβωρίῳ ὄρει ἀναγαγὼν καὶ ἐν τῷ μεταμορφοῦσθαι Μωσῆν μὲν καὶ Ἠλίαν, τὸν μὲν ἐκ νεκρῶν, τὸν δὲ ἐκ ζώντων παραστησάμενος, Πέτρον δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην μὴ φέροντας ὁρᾶν τὴν ἀστράπτουσαν αἴγλην τοῦ προσώπου αὐτοῦ, πρηνεῖς ἐπὶ γῆς καταπεσεῖν, ὡς ἔστι ἐξοδικώτερον [1] περὶ τούτου ἀκοῦσαι τῆς θείας τῶν εὐαγγελίων φωνῆς. — **Da** : 1. — **Db** : 1 (ζήτει τῶν ἁγίων ἑπτὰ παίδων τῇ κβ΄ τοῦ ὀκτωβρίου). — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — **Mv** : 1. — **Mr** : 1.

Aug. 7. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 4. — **P** : 1. 2 (Εἰρήνης). — **D** : 4 : Μνήμην ἐπιτελοῦμεν ... καὶ ἀειπαρθένου Μαρίας. Σαρβάρου γάρ, τοῦ τῶν Περσῶν ἀρχιστρατήγου, μετὰ δυνάμεως βαρείας τὴν ἀνατολὴν πᾶσαν διελθόντος καὶ πᾶσαν ἑλόντος καὶ τὸν πορθμὸν Χαλκηδόνος [1] καταλαβόντος [2], καὶ Χαγάνου τοῦ τῶν Ἀβάρων ἀρχηγοῦ πᾶσαν τὴν Θρᾴκην ληϊσαμένου καὶ διά τε γῆς καὶ θαλάσσης τῇ θεοφυλάκτῳ

γεγονώς. Ἐν δὲ τῇ στρατείᾳ διαπρέψας [3] ἔτη ἑξήκοντα [4] κατέστη τῷ Ἰουλιανῷ εἰς ἐρώτησιν· καὶ διελέγξας αὐτὸν ὡς [3] τὴν πάτριον παραβάντα εὐσέβειαν καὶ τὴν τοῦ Θεοῦ τιμὴν μεταγαγόντα ἐπὶ τὰ εἴδωλα καὶ ἀναμνήσας αὐτὸν τῆς ἀρετῆς τοῦ μεγάλου Κωνσταντίνου καὶ ὅπως ἐξ ἐπιφανείας ἐπὶ τὴν πίστιν μετήχθη τὴν εἰς Χριστόν, τοῖς μὲν ἄλλοις συνετὸς ἔδοξε καὶ διὰ μακρῶν χρόνων πραγμάτων καὶ ἱστοριῶν ἔμπειρος. Ὁ δὲ Ἰουλιανὸς μυκτηρίσας αὐτόν, ξίφει τὴν κεφαλὴν αὐτοῦ τμηθῆναι προσέταξε· καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ ἐν Χριστῷ μαρτυρία [5]. Aug. 5.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ς΄.

1. Ἡ ἀνάμνησις τῆς θείας μεταμορφώσεως τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν ἡ ἁγία τοῦ Θεοῦ μεγάλη ἐκκλησία περιχαρῶς ἑορτάζει καὶ αἱ καθ᾽ ἑκάστην πόλιν καὶ χώραν ἅγιαι ἐκκλησίαι. Ἡ δὲ ὑπόθεσις τῆς ἑορτῆς ἐστιν αὕτη. Ἐπειδὴ πολλὰ περὶ κινδύνων ὁ Χριστὸς διελέχθη πρὸς τοὺς μαθητὰς καὶ θανάτου καὶ τοῦ πάθους αὐτοῦ καὶ τῆς τῶν μαθητῶν σφαγῆς, καὶ τὰ μὲν ἦν ἐν τῷ παρόντι βίῳ καὶ ἐν χερσί, τὰ δὲ ἀγαθὰ ἐν [1] ἐλπίσι, βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι καὶ δεῖξαι, τίς ποτέ ἐστιν ἡ δόξα ἐκείνη μεθ᾽ ἧς μέλλει παραγίνεσθαι, ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας μετ᾽ αὐτοῦ συλλαλοῦντες. Παραλαμβάνει δὲ τῶν ἄλλων τοὺς τρεῖς μόνους ὡς ὑπερέχοντας. Ὁ μὲν γὰρ Πέτρος ἐκ τοῦ σφόδρα φιλεῖν αὐτὸν ἐδήλου τὴν ὑπεροχήν· ὁ δὲ Ἰωάννης ἐκ τοῦ σφόδρα φιλεῖσθαι, ὁ δὲ Ἰάκωβος ἐκ τοῦ | δύνασθαι πιεῖν τὸ ποτήριον, ὅπερ καὶ ὁ Κύριος ἔπιε. Μωϋσῆν δὲ καὶ Ἠλίαν εἰς μέσον παράγει, τὰς οὐκ ὀρθὰς ὑπονοίας τὰς εἰς ἑαυτὸν παρὰ τοῖς πολλοῖς γινομένας διορθούμενος. Ἐπειδὴ γάρ [2] τινες μὲν αὐτὸν Ἠλίαν ἔλεγον, ἄλλοι δὲ Ἱερεμίαν, διὰ τοῦτο τοὺς κορυφαίους ἄγει, ἵνα τὸ μέσον ἐντεῦθεν ἴδωσιν τῶν δούλων καὶ τοῦ δεσπότου καὶ ἵνα μάθωσιν ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχει. Aug. 6. f. 277v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ΄.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Δομετίου. Οὗτος ἦν κατὰ τοὺς καιροὺς Κωνσταντίνου τοῦ μεγάλου, Πέρσης τὸ γένος. Κατηχηθεὶς δὲ ὑπὸ Ἀβάρου τινὸς χριστιανοῦ καὶ τὰ περὶ τοῦ Χριστοῦ μυηθείς, καταλιπὼν μετὰ τῆς πατρικῆς ἀσεβείας πᾶσαν τὴν ἐκ συγγενείας προσπάθειαν, ἦλθεν ἐν τοῖς μεθορίοις Ῥωμαίων τε καὶ Περσῶν, εἰς πόλιν λεγομένην Νίσιβιν [1]· καὶ εἰσελθὼν [2] ἐν μοναστηρίῳ καὶ τυχὼν τοῦ ἁγίου βαπτίσματος τὸ τῶν μοναχῶν ἔνδυμα περιεβάλετο [3]. Ἐπιδειξάμενος δὲ παντοίαν Aug. 7.

— [3] *om.* D. — [4] διανύσας *add.* D. — [5] (οὕτως - μαρτυρία) οὕτω τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο D.
1. — [1] ὧν S. — [2] *supra lin., corr.* S.
1. — [1] *corr., prius* Νισίβην S. — [2] εἰσῆλθεν D. — [3] περιεβάλλετο S.

---

[1] *om.* Rb.
[1] *corr. rec., prius* δικότερον D.
[1] Καλχηδόνος D. — [2] καταλαβόντα D.

Aug. 7. σπουδήν τε καὶ ἄσκησιν, φθόνον ἐξ ὑποθήκης τοῦ πονηροῦ δαίμονος παρὰ τῶν ἐν τῇ μονῇ μοναχῶν ἐπεσπάσατο. Ἀπέδρα οὖν ἐκεῖθεν καὶ ἦλθεν ἐν τῇ μονῇ[4] τῶν ἁγίων[5] Σεργίου καὶ Βάκχου ἐν Θεοδοσιουπόλει, καὶ κατηκολούθει τῇ πολιτείᾳ τοῦ ἀρχιμανδρίτου Οὐρβέλ[6], ὃς[7] λέγεται ἐπὶ ἑξήκοντα χρόνους[8] ἑψητοῦ μὴ μεταλαβεῖν, μήτε ἀνακλιθῆναι, μήτε καθίσαι, ἀλλ' ἐν βακτηρίᾳ στηριζόμενος[9] ἐκπληροῦν τὰς ἀνάγκας τῆς φύσεως. Παρ' αὐτοῦ οὖν ψηφισθεὶς χειροτονεῖται διάκονος· καὶ μέλλοντος αὐτὸν τοῦ ἀρχιμανδρίτου ἐπὶ τὴν τοῦ πρεσβυτέρου προβιβάσαι τιμήν, τοῦτο[10] γνοὺς ὁ ἅγιος Δομέτιος ἀνεχώρησεν· <καὶ[11]> ἐπί τινος ὄρους ἀνελθὼν καύσωνι καὶ κρύει καὶ ταῖς ἐπιγινομέναις[12] τῶν ὡρῶν προσεκαρτέρει κακώσεσιν. Εἶτα ἐν ἄντρῳ χειροποιήτῳ εἰσελθὼν καὶ ἐπί τινα χρόνον προσμείνας, θαυματουργίαις πλείσταις ἐν τῷ τοῦ Χριστοῦ ὀνόματι τοὺς προσφοιτῶντας ἐδεξιοῦτο[13] καὶ ἐκ τῆς τῶν εἰδώλων πλάνης εἰς τὴν εἰς Χριστὸν πίστιν μετήγαγεν. Ἐπεὶ δὲ τοῦτο ὁ παραβάτης Ἰουλιανὸς διερχόμενος ἔμαθεν, ἐκέλευσεν αὐτὸν λίθοις βληθῆναι. Οἱ δὲ παραγενόμενοι μετὰ τῶν δύο[14] μαθητῶν ψάλλοντα αὐτὸν ἐν τῇ τρίτῃ ὥρᾳ ὑμνῳδίαν[15] εὑρόντες, τῇ πυκνότητι τῶν βολῶν αὐτόν τε τὸν μακάριον Δομέτιον καὶ τοὺς σὺν αὐτῷ δύο κατέχωσαν. Τελεῖται δὲ ἡ
f. 278. αὐτοῦ σύ|ναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι πέραν ἐν Ἰουστινιαναῖς.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ[1] γενομένων βασιλισσῶν Πουλχερίας καὶ Εἰρήνης. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

3. Καὶ ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου[1] μάρτυρος Σώζοντος.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν[1] τῆς ὑπὲρ λόγον καὶ[2] πᾶσαν ἐλπίδα[3] δωρηθείσης ἡμῖν τελείας[4] βοηθείας παρὰ Χριστοῦ[5] τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν[6] κατὰ τῶν πανταχόθεν διά τε γῆς καὶ θαλάσσης κυκλωσάντων ἡμᾶς[7] ἀθέων ἐχθρῶν[8], μεσιτευσάσης τὴν σωτηρίαν τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως[9], τῆς ἀσπόρως αὐτὸν τεκούσης[10] παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Τοῦτο δὲ γέγονε κατὰ τοὺς καιροὺς[11] Ἡρακλείου τοῦ βασιλέως, ὅτε Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς Σάρβαρον τὸν αὐτοῦ στρατηλάτην μετὰ δυνάμεως βαρείας κατὰ τῆς θεοφυλάκτου ταύτης πόλεως ἐξέπεμψεν· ὃς πᾶσαν τὴν ἀνατολὴν ληϊσάμενος τὸν ἐν Χαλκηδόνι πορθμὸν κατέλαβε, προσδοκῶν καὶ τὴν ἐν πόλεσι μεγίστην ἑλεῖν. Ταῦτα ἰδὼν Ἡράκλειος, διὰ τοῦ[12] Εὐξείνου Πόντου τῇ Περσίδι προσέβαλε, πλείονα ἐν αὐτῇ ἐργασάμενος ἢ ὧν οἱ Πέρσαι τὴν Ῥωμαίων γῆν[13] διερχόμενοι[14], τοὺς[15] υἱοὺς αὐτοῦ ἐνταῦθα καταλιπὼν[16] μετά γε τοῦ[17] πατριάρχου καὶ Βώνου τοῦ θαυμασίου. Χαγάνος δὲ ὁ τῶν Ἀβάρων ἡγούμενος καὶ αὐτὸς τῶν ὁμόρων[18] ἐθνῶν παραλαβὼν[19] πλῆθος ὅτι[20] πολὺ[20] διά τε γῆς καὶ θαλάσσης καὶ[20] αὐτὸς[20] τὴν

— [4] εἰς τὸ μοναστήριον D. — [5] μαρτύρων *add.* D. — [6] D, Rc *et cod. Paris. 548*, Anal. Boll., *t. XIX*, *p. 303, 305*, Αὐεβέλ (?) S. — [7] ὡς D. — [8] χρόνοις D. — [9] D, στηριζόμενον S. — [10] *om.* D. — [11] D, *om.* S. — [12] ἐπιγενομέναις D. — [13] καὶ πρὸς θεοσέβειαν καὶ ἀρετὴν ἐπείληφεν καὶ πολλοὺς *add.* D. — [14] αὐτοῦ *add.* D. — [15] ὑμνωδία D.

2. — [1] λίξει D.

3. — [1] καὶ ἐνδόξου *om.* D.

4. — [1] ποιούμεθα καὶ Mc. — [2] παρὰ *add.* Mc. — [3] προσδοκίαν Mc. — [4] μεγίστης Mc. — [5] *om.* Mc. — [6] καὶ σωτῆρος ἡμῶν Ἰ. Χ. Mc. — [7] ἡμῖν S. — [8] βαρβάρων Mc. — [9] θεοφυλάκτῳ ταύτῃ βασιλίδι τῶν πόλεων Mc. — [10] (τῆς - τεκούσης) *om.* Mc. — [11] χρόνους Mc. — [12] τῆς S. — [13] ἢ ἐν τῇ τῶν Ῥωμαίων γῇ Mc. — [14] οἱ Πέρσαι *add.* Mc. — [15] δὲ *add.* Mc. — [16] κατέλιπε Mc. — [17] (γε τοῦ) Σεργίου Mc. — [18] ὁμορούντων Mc. — [19] προσλαβόμενος Mc. — [20] *om.* Mc.

Aug. 7. ταύτῃ καὶ βασιλίδι τῶν πόλεων προσβαλόντος, ἐπεὶ ὁ βασιλεὺς Ἡράκλειος διὰ τοῦ Εὐξείνου Πόντου τῇ Περσίδι προσέβαλε καὶ μυρία τρόπαια ἐν ὅλοις ἑπτὰ ἔτεσι ἐνστησάμενος[3] τὸν υἱὸν Κωνσταντῖνον καὶ Βῶνον τὸν θαυμάσιον ἐνταῦθα καταλέλοιπεν, ἐν ἀπορίᾳ μεγίστῃ τὰ καθ' ἡμᾶς ἦν. Ὅθεν πρέσβεις πρὸς Χαγάνον οἱ τὴν πόλιν οἰκοῦντες καὶ χρημάτων[4] πλήθη στείλαντες εἰρηνικὰς σπονδὰς ᾔτουν γενέσθαι· πᾶσαν γὰρ ἑλέπολιν καὶ τειχομαχίαν τῇ πόλει προσαγαγὼν δέος ἐνεποίει τοῖς ταύτης κατοίκοις, μὴ καὶ χειρὶ ταύτην ἕλῃ. Ὁ δὲ τὰ μὲν χρήματα ἔλαβεν, τοιαῦτα δὲ πρὸς τοὺς πρέσβεις ἔφασκεν· « Αὔριον τὴν » πόλιν ὑμῶν τῇ χειρί μου ὡς νοσσιὰν καταλήψομαι καὶ μονοχίτωνας ὑμᾶς ἐξελθεῖν ἐάσω· πλείω γὰρ » τούτου οὐ φιλανθρωπεύσομαι εἰς ὑμᾶς, » πολλὰ πρότερον κατὰ Χριστοῦ καὶ τῆς αὐτὸν τεκούσης βλασφημήσας. Ταῦτα οἱ τὴν πόλιν οἰκοῦντες ἀκούσαντες τὸν Θεὸν ἐλιτάνευον λύσιν τῶν δεινῶν
Ps. 78, 10. γενέσθαι, « Ἵνα μὴ εἴπωσι, φησί, τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν. » Ἀκούει Θεὸς τῶν ἐξ ὅλης ψυχῆς αἰτουμένων αὐτὸν καὶ τῇ ἐπαύριον, ἀνέμου μὲν σφοδροῦ καὶ λαίλαπος τῇ θαλάσσῃ προσβαλόντος καὶ ἀτάκτως διαταράξαντος, αὔτανδρα τῷ βυθῷ τὰ σκυθικὰ πλοῖα παρεπέμφθησαν· τοῖς[5] δὲ ἐν τῇ πόλει θάρσος ἡ Θεοτόκος ἐνθεῖσα κατὰ τῶν βλασφήμων Σκυθῶν ἐξέπεμψεν· καὶ τοσοῦτον ἐν αὐτοῖς τὸν φόνον εἰργάσαντο, ὅσον οὐδὲ ἀριθμῆσαί τις ῥᾳδίως δύναται. Ταῦτα οὕτω παρὰ τῆς δεσποίνης ἡμῶν Θεοτόκου πραχθέντα ἀπράκτους καὶ τοὺς Πέρσας ὑποστρέψαι πέπεικεν, καὶ τούτους κατῃσχυμμένους· τοιαύτας τὰς ἀντιλήψεις ἡ θεόπαις Μαρία τῇ ἑαυτῆς πόλει παρέχει· ταύτην πρέσβιν καὶ προστάτιν ὁ κεκτημένος οὐκ ἀποτύχῃ τῶν ἐλπίδων εἰς τὸν αἰῶνα· διὸ πανηγυριστέον. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ, τῷ ὄντι ἐν Βλαχέρναις. — 1. 2. 3. — **Da** : 4. 1. 2. 3. — **Db** : 4. 1. — **K** : 4. 1. — **N** : 4. 1. — Τῆς φανερώσεως τῶν ἑπτὰ παίδων (Aug. 4²). — 3. 2. — **Bb** : 4. — Μαρίνου (Aug. 8²). — 1. — **Bc** : 1. 4. 2. — **C** : 4. — **Ce** : 4. — **Cg** : 4 : Περὶ τῆς ἐλεύσεως τῶν Περσῶν καὶ τῶν ἀθέων βαρβάρων. Ἐν τοῖς χρόνοις Ἡρακλείου τοῦ μεγάλου βασιλέως Ῥωμαίων Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς ἀπέστειλε Σάρβαρον[6] τὸν στρατηγὸν μετὰ δυνάμεως βαρείας καὶ κατέστρεψε πᾶσαν

— [3] *corr.*, στησάμενος D. — [4] χρήματα D. — [5] τοὺς D. — [6] Σαράβαρον Cg. *Cf.* Sternbach, De Georgii Pisidae reliq., *p. 16*.

Κωνσταντίνου[21] προσέβαλεν, ὥστε ἐξ ἀνατολῶν μὲν τοὺς Πέρσας εἶναι, ἐκ δυσμῶν δὲ τοὺς Σκύθας. Καὶ αὐτὴν πάντοθεν περιβληθεῖσαν καὶ μέσον τῶν πολεμίων ἀποληφθεῖσαν οἳ τὰ ἑαυτῶν ποιοῦντες ἑλεῖν ἤλπιζον, πόλιν[22] τῷ σταυρῷ καὶ τοῖς πάθεσι Χριστοῦ σεμνυνομένην καὶ τῇ Θεοτόκῳ ὑπ' αὐτοῦ δῶρον δεδομένην· πᾶσαν οὖν ἑλέπολιν καὶ τειχομαχίαν τὴν μὲν δρῶντες τὴν[23] δὲ μελετῶντες διά τε γῆς καὶ θαλάσσης βαρβαρικώτερον τῇ πόλει προσάγονται[24]. Καὶ οἱ ἡμέτεροι ἦσαν γενναίως ἀνθιστάμενοι· Βῶνος δὲ τούτους[20] ἦν ὁ πρὸς τὴν μάχην[25] διεγείρων[26], καὶ πολὺς φόνος ἐξ ἑκατέρου μέρους ἐγένετο. Οὕτως οὖν δὶς[27] καὶ τετράκις συμβαλόντες καὶ τῇ[28] τῆς ὑπεραγίας Θεοτόκου[29]
f. 278v. συμμαχίᾳ ἄπρακτοι | διαμένοντες, εἰς θυμὸν ἐγείρονται[30] μέγιστον. Ὅθεν τοῦτο οἱ τὴν πόλιν οἰκοῦντες[31] διαγνόντες[32], πρέσβεις πρὸς Χαγάνον στείλαντες μετὰ καὶ[33] χρημάτων συχνῶν εἰρηνικὰς σπονδὰς ᾐτοῦντο γενέσθαι. Ὁ δὲ φιλάργυρος τὸν τρόπον καὶ τὴν γνώμην[34] ὤν, τὰ μὲν χρήματα ἔλαβε, τοὺς δὲ πρέσβεις ἀπράκτους ἀπέστειλεν[35]· « Αὔριον, φήσας, τὴν πόλιν ὑμῶν ὡς νοσσιὰν τῇ » χειρί μου καταλείψομαι καὶ πάντας μονοχίτωνας » ἐξελθεῖν ἐάσω, πλεῖον γὰρ τούτου οὐ φιλανθρω- » πεύσομαι πρὸς ὑμᾶς, » πολλὰ πρότερον κατὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ τῆς αὐτὸν τεκούσης βλασφημήσας. Ταῦτα οἱ τὴν πόλιν οἰκοῦντες ἀκούσαντες καὶ[36] ὅσον[37] ἱερατικὸν καὶ[33] ὅσον ἐν κλήρῳ συναγαγόντες ὅσον τε μοναδικὸν[38] λαϊκόν τε[33] καὶ συγκλητικόν, εἰς τοὺς θείους ναοὺς ἐλιτάνευον τὰς χεῖρας εἰς οὐρανοὺς[39] αἴροντες καί· « Κύριε ἐξ ἁγίου σου κατοικητηρίου[40] ἔπιδε, » λέγοντες[33], « ἐπὶ τῷ μιαρῷ Χαγάνῳ καὶ ἐπὶ πᾶσι « τοῖς ὑπ' αὐτοῦ τολμωμένοις, καὶ κατάβαλε αὐτὸν
Ps. 78, 10. » ὁ ὑπερασπιστὴς ἡμῶν, ὅπως μὴ εἴπῃ, ποῦ ἐστιν » ὁ Θεὸς αὐτῶν. » Καὶ οἱ μὲν ηὔχοντο[41] κλαίοντες καὶ τὴν νύκτα ἦσαν τῇ ἡμέρᾳ παραπέμποντες[42]. Ὁ δὲ[43] διά τε γῆς καὶ θαλάσσης ἐν μιᾷ ἔγνω συρρηγνύειν τὸν πόλεμον. Ὁ δ'[44] ὑπ' αὐτοῦ βλασφημούμενος Κύριος τῇ πρεσβείᾳ[45] τῆς αὐτὸν τεκούσης[46] ἀνέμους σφοδροὺς καὶ στροβίλους τῇ θαλάσσῃ ἐκπέμψας καὶ πᾶσαν διαταράξας, αὔτανδρα τῷ[33] βυθῷ[33] τὰ σκυθικὰ πλοῖα[47] παρέπεμψεν. Ἐνθεὶς δὲ καὶ τοῖς ἐν τῇ πόλει θάρσος, ὅσον τούτοις δέος[48], κατὰ τῶν βλασφήμων ἐξέπεμψε[49]. Καὶ τοσοῦτον φόνον ἐν τοῖς βαρβάροις εἰργάσατο[50], ὅσον οὐδὲ ἀριθμῆσαί τις ῥᾳδίως[33] δύναται. Ταῦτα οὐδὲ τοὺς[33] Πέρσας ἔλαθε[51] οὕτω[52] πραχθέντα· οἵ, χεῖρα τὸ δὴ λεγόμενον ἐπὶ στόματος[53] θέντες, ὑπέστρεψαν ἄπρακτοι. Ὁ δὲ ἱεράρχης καὶ ἅπαν τῆς ἐκκλησίας τὸ πλήρωμα σὺν
Exod. 15, 6. δάκρυσι χαριστήρια ᾖδον· « Ἡ δεξιά σου, Κύριε, » δεδόξασται ἐν ἰσχύϊ » λέγοντες, « ἡ δεξιά σου » χείρ, Κύριε, ἔθραυσεν ἐχθροὺς καὶ τῷ πλήθει τῆς
Cf. Ps. 117, 10. » δόξης σου συνέτριψας τοὺς ὑπεναντίους· πάντα » τὰ ἔθνη ἐκύκλωσαν ἡμᾶς, καὶ τῷ ὀνόματι Κυρίου » τοῦ Θεοῦ ἡμῶν[54] ἠμυνάμεθα ταῦτα. » Οὕτως ἡ παναγία καὶ ὑπεράμωμος Θεοτόκος ἡ τῶν χριστια-

— [21] Κωνσταντινουπόλει Mc. — [22] πόλει S. — [23] (καὶ αὐτὴν - τὴν) οἳ δὴ καὶ πάσας ἑλεπόλεις καὶ τειχομαχίας καὶ μηχανὰς τὰς μ. δ. τὰς Mc. — [24] ἐπετίθεντο Mc. — [25] θαρσοποιῶν καὶ *add.* Mc. — [26] αὐτοὺς *add.* Mc. — [27] τρὶς Mc. — [28] πρὸς ἡμᾶς *add.* Mc. — [29] τῆς θεομήτορος Mc. — [30] ἐγείροντες S, διαγείρονται Mc. — [31] οἱ τῆς πόλεως οἰκήτορες Mc. – [32] ἐπιγνόντες Mc. — [33] *om.* Mc. — [34] (τὸν - γνώμην) *om.* Mc. — [35] ἀπέπεμψεν Mc. — [36] (οἱ - καὶ) οὖν ἀκηκοότες οἱ ἐν τῇ πόλει αὐτίκα πᾶν Mc. — [37] ὅρον S. — [38] καὶ ὅσον *add.* Mc. — [39] οὐρανὸν Mc. — [40] (ἐξ - κατοικητηρίου) *om.* Mc. — [41] ἱκέτευον *add.* Mc. — [42] καὶ τ. ν. ἤ. τῆς ἡμέρας π. S, διὰ πάσης ἡμέρας καὶ νυκτὸς Mc. — [43] βάρβαρος *add.* Mc. — [44] ἀλλ ὅ γε Mc. — [45] ταῖς ὑπὲρ ἡμῶν πρεσβείαις Mc. — [46] ἐπικαμφθεὶς *add.* Mc. — [47] τῇ θαλάσσῃ *add.* Mc. — [48] (ὅσον - δέος) *om.* Mc. — [49] τούτους ἐξώρμησε Mc. — [50] εἰς τοὺς βαρβάρους εἰργάσαντο Mc. — [51] διέλαθεν Mc. — [52] Mc, τούτῳ *corr.* S, *prius* τοῦτο. — [53] χ. ἐπὶ στ. ὃ δὴ λέγεται Mc. — [54] (τοῦ - ἡμῶν) *om.* Mc.

Aug. 7. ῥωμαϊκὴν πολιτείαν, καὶ ἦλθε μέχρι Καλχηδόνος βουλόμενος ἑλεῖν καὶ Κωνσταντινούπολιν. Ταῦτα ἰδὼν Ἡράκλειος εἴασε[7] τὰ τέκνα αὐτοῦ Κωνσταντῖνον καὶ Ἡράκλειον Σεργίῳ τῷ πατριάρχῃ καὶ Βώνῳ[8] τῷ πατρικίῳ, καὶ ἐξῆλθε πλοὸς ἐπὶ Περσίδα. Τοῦτο μαθὼν ὁ τῶν Ἀβάρων δυνάστης, ὁ λεγόμενος Χαγάνος, ἦλθε καὶ αὐτὸς διὰ τῆς Θρᾴκης μετὰ ἀναριθμήτων ἐθνῶν κατὰ τῆς θεοφυλάκτου Κωνσταντινουπόλεως· καὶ κυκλώσαντες αὐτὴν τὴν μεγάλην πόλιν οἱ ἄθεοι Ἀβάρεις ἐπολιόρκουν ἐν ἰσχύϊ παραλαβεῖν αὐτὴν βουλόμενοι· ὁμοίως καὶ οἱ Πέρσαι κατέκαιον τὰ πέραν. Τῇ οὖν τρίτῃ ἡμέρᾳ τῶν πολεμίων Ἀβάρων ἐπικειμένων, ἀνοιχθείσης τῆς κατὰ τὴν Πηγὴν πόρτης, ἐξῆλθον στρατιῶται ἐκ τῆς πόλεως καὶ ἔκοψαν πλῆθος Ἀβάρων πολύ. Ποιήσαντες οὖν οἱ Ἀβάρεις πυργοκαστέλλους καὶ μαγγανικά, τοξοβολίστρας καὶ ἑλεπόλεις καὶ πλεῖστα ἕτερα μηχανουργήματα, ἐπολιόρκουν τὸ χερσαῖον. Ὁ οὖν πατριάρχης Σέργιος λαβὼν σεπτὰς καὶ ἁγίας εἰκόνας τῆς παναγίας Θεοτόκου βασταζούσης τὸν Κύριον καὶ τὴν ἀχειροποίητον τοῦ σωτῆρος, περιῄει λιτανεύων μετὰ τοῦ κλήρου αὐτοῦ καὶ τῶν μοναχῶν, ἐξαιτούμενοι τὴν παρὰ τοῦ Θεοῦ ταχίστην βοήθειαν. Καὶ βουληθέντων εἰρήνην ποιῆσαι, ὁ Χαγάνος οὐκ ἐδέξατο, ἀλλὰ τὰ μὲν δῶρα ἥρπασεν, τὴν δὲ εἰρήνην ἀπώσατο παρακελευσάμενος ἐξελθεῖν τῆς πόλεως μετὰ ἑνὸς χιτωνίσκου. Ἀλλὰ τῇ προσευχῇ πάντων καὶ τῇ βοηθείᾳ τῆς Θεοτόκου ἀναβράσασα ἡ θάλασσα κατεπόντισε πάντα τὰ μονόξυλα αὐτῶν· τοὺς δὲ πεζοὺς ἀνεῖλε μάχαιρα. Ἰδόντες δὲ οἱ Πέρσαι τὸ γενόμενον ὑπεχώρησαν. Τότε Ἡράκλειος τῇ Περσίδι παρεμβαλών, πολὺν πλοῦτον ἀναλαβὼν καὶ τὰ τίμια ξύλα, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα, κἀκεῖθεν εἰς Κωνσταντινούπολιν, ὑψώσας αὐτὰ[9] τῇ ιδ' τοῦ σεπτεμβρίου μηνός. — **R** : Δονάτου. — 1. — **Ra** : 1. — **Rb** : 1. — Τῶν ἁγίων ἐννέα μαρτύρων τῶν ἀθλησάντων διὰ τὴν ἐν τῇ ἁγίᾳ Χαλκῇ πύλῃ εἰκόνα τοῦ ἀληθινοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ὧν εἰσιν αἱ προσηγορίαι αὗται· Ἰουλιανός, Ἰωάννης, Ἰάκωβος, Ἀλέξιος, Δημήτριος, Λεόντιος, Φώτιος, Πέτρος καὶ Μαρία ἡ σεμνοτάτη πατρικία. Οὗτοι κτλ. (Aug. 9²). — **Rc** : 1. — **Mc** : 1. 2. 4. — Ἡ ὁσία Ποταμίνα ἡ θαυματουργὸς ξ. τ. — Νάρκισσος πατριάρχης Ἱεροσολύμων ἐν εἰρήνῃ τ. — Ἀστέριος ὁ συγκλητικὸς ξ. τ. —

— [7] ἔασε Cg. — [8] Βόνῳ Cg. — [9] αὐτὸν Cg.

Aug. 7. νῶν[55] ἀντίληψις περὶ[56] ἡμᾶς τὴν ἰσχὺν αὐτῆς εἰς τοὺς ἐναντίους[57] ἐπεδείξατο[58] καὶ τὴν μεγάλην[59] καὶ παράδοξον σωτηρίαν | (f. 279.) ταύτην[60] ἡμῖν ἐδωρήσατο. Διὰ ταῦτα[61] τὴν παροῦσαν ἀνάμνησιν ἐτησίως πάντες[60] πανηγυρίζομεν[62] ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ, τῷ ὄντι[60] ἐν Βλαχέρναις.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

Aug. 8. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Αἰμιλιανοῦ ἐπισκόπου Κυζίκου τοῦ ὁμολογητοῦ. Ὃς διὰ τὰς τιμίας καὶ ἁγίας εἰκόνας πολλὰς[1] ὑπομείνας κακώσεις καὶ[2] ἐξορίας ὑπὸ τοῦ θηριωνύμου καὶ ἀσεβοῦς Λέοντος τὸν στέφανον τῆς ὁμολογίας δεξάμενος ἐκοιμήθη ἐν Κυρίῳ[3].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου τοῦ γέροντος. Οὗτος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως, ἡγεμονεύοντος Λυσίου τῆς Κιλίκων χώρας, ὥρμητο[1] δὲ ἐκ τῆς Ἀναζαρβῶν. Καὶ προσαχθεὶς τῷ ἡγεμόνι ἐν Ταρσῷ καὶ τὸν Χριστὸν ὁμολογήσας καὶ θῦσαι τοῖς εἰδώλοις μὴ καταδεξάμενος, ἐπὶ τῆς γῆς ἁπλωθεὶς τύπτεται ῥάβδοις· εἶτα εἰς δευτέραν ἐξέτασιν ἀχθεὶς ἐξ ἄκρων τῶν ποδῶν ἀναρτᾶται καὶ τέμνεται τὸ σῶμα τοῖς ξίφεσι καὶ πῦρ κατὰ τῶν τμηθέντων μελῶν δέχεται, καὶ μετὰ ταῦτα τὴν κεφαλὴν ἀφαιρεῖται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου[1] Μύρωνος ἐπισκόπου Κρήτης τοῦ[1] θαυματουργοῦ[2]. Οὗτος γεννᾶται ἐν Ῥαυκίᾳ[3] τῇ πόλει, τῇ κατὰ Κρήτην πλησίον Κνωσσοῦ[4], κατὰ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως, γένους τε ἐντίμου τυχὼν καὶ τρόποις χρηστοῖς καὶ τῇ κατὰ Θεὸν εὐσεβείᾳ τὸ γένος κοσμῶν. Ἐν ἀρχῇ δὲ τοῦ βίου συζευχθεὶς γυναικὶ τὴν γῆν εἰργάζετο καὶ ἐκ τῶν φυομένων καρπῶν ἐπήρκει τοῖς ἐνδεέσιν. Οἱ δὲ καρποὶ[5] ὅσον ἐπεδίδου μᾶλλον[2] τοσοῦτον ἐπεδαψίλευον. Τὸ δὲ συμπαθὲς ὑπεράνθρωπον ἦν αὐτῷ. Εἶχε δέ ποτε ἄρουραν ἐρεβίνθων καὶ ἐνέτυχεν ἐν αὐτῇ κλέπταις βουλομένοις ἐρεβίνθους λαβεῖν· οἳ καὶ δι' ὅλης νυκτὸς κοπιάσαντες ἀντὶ ἐρεβίνθων ἔλαβαν ἀκάνθας[6]. Λέγεται γὰρ ὅτι[2] ἐν τῇ οἰκείᾳ ἅλωνι[7] κατασχεῖν ἄνδρας δώδεκα πλήσαντας[8] μὲν σίτου τοὺς σάκκους αὐτῶν, τῷ δὲ ἄχθει πιέζεσθαι καὶ μὴ δύνασθαι τούτους[9] μήτε κουφίσαι μηθ' ὑφελέσθαι· ἀντὶ δὲ τοῦ πληγὰς αὐτοῖς ἐπιθεῖναι καὶ εὐθύνας εἰσπράξασθαι[10] συμπονῆσαι μᾶλλον πρὸς τὴν[11] ἀνάληψιν τούτοις[2] καὶ ταῖς ἑαυτοῦ χερσὶν ἀράμενον τὸν ἑκάστου σάκκον ἐπιθεῖναί τε[2] τοῖς ὤμοις αὐτῶν, καὶ παραγγεῖλαι[12] μηδενὶ | (f. 279v.) τὸ πραχθὲν ἐξαγγεῖλαι. Χειροτονεῖται οὖν πρεσβύτερος[13] τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ· εἶτα μετὰ τὸ παύσασθαι τὸν διωγμὸν ἐπὶ τὸν τῆς ἐπισκοπῆς ἀνάγεται θρόνον· καὶ πολλὰς θαυμάτων δυνάμεις ἐργασάμενος, — καὶ γὰρ τὸν λυμαινόμενον τῇ χώρᾳ[14] δράκοντα ἐξεδίωξε, καὶ τὸ ῥεῖθρον ἐπέσχε τοῦ ποταμοῦ τοῦ οὕτω Τρίτωνος καλουμένου, μέλλων τὸν ποταμὸν διαβαίνειν, πλημμυροῦντα τοῦτον[15] κατιδών· ὃς τῇ κελεύσει[16] τοῦ ἁγίου πεδηθείς, εἰς[17] τοὔμπροσθεν[18] βαίνειν οὐχ[19] οἷός τε ἦν, πρὶν ὑποστρέψας ὁ ὅσιος καὶ γενόμενος

— [55] ἐλπὶς καὶ *add.* Mc. — [56] τὴν εἰς Mc. — [57] (τὴν - ἐναντίους) συμμαχίαν καὶ βοήθειαν αὐτῆς Mc. — [58] οὕτω ἐφ' ἡμᾶς τοὺς ἀχρείους τὰ ἐλέη αὐτῆς ἐθαυμάτωσε *add.* Mc. — [59] ταύτην *add.* Mc. — [60] *om.* Mc. — [61] δὴ καὶ *add.* Mc. — [62] πανηγυρίζοντες Θεῷ τε καὶ τῇ πανυπεραμώμῳ θεομήτορι τὰ χαριστήρια μέλπομεν Mc.

1. — [1] ὑποθέσεις *add.* S. — [2] πικρὰς *add.* D. — [3] ἐκοιμήθη τὸ στ. τῆς ὁμ. δεξάμενος D.

2. — [1] ὥρατο D.

3. — [1] καὶ θαυματουργοῦ *add.* D. — [2] *om.* D. — [3] Καικία S. — [4] ἐν Κρήτῃ τῇ ν. ἐν Ῥ. τῇ π. πλ. Κνωσοῦ D. — [5] μᾶλλον *add.* D. — [6] (εἶχε - ἀκάνθας) *om.* D. — [7] ἅλῳ D. — [8] πλήσαντες S. — [9] τούτοις D. — [10] (πληγὰς - εἰσπράξασθαι) κατασχεῖν αὐτοὺς καὶ περὶ τῆς κλοπῆς εὐθῦναι D. — [11] ἑαυτῶν *add.* D. — [12] παραγγείλας S, ἀπαγγεῖλαι *corr.* D, *prius* παγγεῖλαι. — [13] ἐν *add.* D. — [14] τὴν χώραν D. — [15] αὐτὸν D. — [16] προστάξει D. — [17] *om.* D. — [18] τοῖς ἔμπροσθεν D. — [19] οὐκέτι D.

Aug. 7. Ὑπερέχιος ἐν εἰρήνῃ τ. — Στυράκιος ξ. τ. — 3 : Σώζων ὁ ἐκ Νικομηδείας εἰς πῦρ βληθεὶς καὶ ἀβλαβὴς ἐξελθὼν τ. — **Mv** : 1. — Ὁ ὅσιος Ὧρ ἐν εἰρήνῃ τ. — **Mr** : 1.

Aug. 8. SYNAXARIA SELECTA. **H** : 2. 5. 6. 7. — **P** : 2. 5. 6 : τοῦ ἁγίου ἀποστόλου εὐαγγελιστοῦ καὶ θεολόγου Ἰωάννου ἔνδον τοῦ σεπτοῦ οἴκου τῆς παναγίας Θεοτόκου ἐν τοῖς Μαρινακίου. — **D** : 1. 3. 2. 5. 6. 7. — **Da** : 1. 3. 4. 5. 6. 7. — **Db** : 1. 3. 4. 5. 7. — **K** : 1. 3. 4. 5. 7. — **N** : 1. 4. — Ἀντωνίνου (Aug. 9[4]). — 5. — **Bb** : 1. 4. 3. — Ἀντωνίου (Aug. 9[4]). — 5. — **Bc** : 2. 1. 4. 3. — Ἀντωνίνου. — 5. — **C** : 2. 1. — Ἀντωνίου — **Ce** : 2. 1. 4. — **Cg** : 2 : Μαρίνου τοῦ γέροντος. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ ... τὴν ἁγίαν αὐτοῦ ἀπέτεμον κεφαλήν· καὶ τὸ σῶμα αὐτοῦ ῥίψαντες τοῖς κυσὶ καὶ τοῖς θηρίοις βοράν, καθὼς προσετάχθησαν ὑπὸ τοῦ ἡγεμόνος, ἀφῆκαν οὕτως. Οἱ δὲ περὶ τὸν ἅγιον Ξανθίναν καὶ Σαπρίκιον ἀναλαβόμενοι τὸ λείψανον τοῦ ἁγίου, ἔθαψαν ἔξωθεν Ἀναζάρβου τῆς πόλεως εἰς τὸ κτῆμα τὸ ἐπίκλην Ῥανδάμων ἀπὸ μιλίων ἕξ· ἐν ᾧ δοξάζεται Πατήρ, Υἱὸς καὶ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας· ἀμήν. — 1 : Αἰμιλιανοῦ ἐπισκόπου Κυζίκου τοῦ ὁμολογητοῦ. Οὗτος ἦν ἀπὸ Κρήτης τῆς νήσου πλησίον Κνωσσοῦ[1] ἐπὶ Δεκίου τοῦ βασιλέως, ἐξ εὐγενῶν φὺς γονέων καὶ πάσῃ ἀρετῇ ἐν Θεῷ τραφείς. Ζεύγνυται οὖν γυναικὶ καὶ εἰργάζετο τὴν γῆν καὶ παρεῖχε τοῖς πένησιν ἐκ τῶν καρπῶν, πληθυνομένων αὐτῶν διὰ τοὺς πένητας. Ἔχων δέ ποτε ἄρουραν ἐρεβίνθων ἐνέτυχε κλέπταις βουλομένοις ἐρεβίνθους λαβεῖν, <οἳ [2]> δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες ἔλαβον ἀντὶ ἐρεβίνθων ἀκάνθας. Ἐν δὲ τῇ ἅλωνι[3] αὐτοῦ εὗρε δώδεκα ἄνδρας πλήσαντας[4] τοὺς σάκκους αὐτῶν καὶ μὴ δυναμένους κουφίσαι τῆς γῆς. Λαβὼν ὁ ἅγιος τοὺς σάκκους ἐπέθηκεν ἐπὶ τῶν ὤμων αὐτῶν παραγγείλας αὐτοὺς ἀπελθεῖν καὶ μηκέτι κλέπτειν. Γίνεται οὖν ὑπὸ τοῦ ἐκεῖσε ἐπισκόπου πρεσβύτερος· τοῦ δὲ διωγμοῦ παυσαμένου μετὰ τελευτὴν Δεκίου καὶ ἀναγόρευσιν Γάλλου, χειροτονεῖται ἐπίσκοπος ἐν Κνωσσῷ ὑπὸ τοῦ ἐπισκόπου

[1] Κνωσοῦ Cg. — [2] *supplevi, om.* Cg. — [3] αὔλωνι Cg. — [4] πλήσαντες Cg.

οἴκαδε τὴν ῥάβδον αὐτοῦ ἀπέστειλε, μεθ' ἧς οἱ σταλέντες τὸ ὕδωρ διαταράξαντες ἐπέτρεψαν τῷ ποταμῷ τὴν οἰκείαν ποιεῖσθαι πορείαν· — ταῦτά τε οὖν καὶ ἕτερα πλείονα[20] πεποιηκὼς[21] καὶ τὸ λειπόμενον τῆς ζωῆς θεοφιλῶς καὶ ὁσίως ἀνύσας[22] καὶ ταῖς τῶν[23] μαρτύρων μνήμαις πανηγυρίσας, λαμπρῶς ἤδη περὶ τὰ ἑκατὸν γενόμενος ἔτη πρὸς Κύριον ἐξεδήμησεν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου ἡγουμένου Ὀρόβων. Ὃς ἐξ αὐτῶν σπαργάνων τὸν σταυρὸν τοῦ Κυρίου ἐπ' ὤμων ἀράμενος, σπηλαίοις καὶ ὄρεσι καὶ κοιλάσι διητᾶτο. Διὸ καὶ ὡς μύρον πολύτιμον καὶ θυμίαμα δεκτὸν τῷ Θεῷ προσενεχθεὶς ἐν εἰρήνῃ ἀνεπαύσατο.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ[1] Χριστοῦ[1] μαρτύρων Ἐλευθερίου[2], Λεωνίδου καὶ τῶν νηπίων. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης, πέραν ἐν Ἰουστινιαναῖς. (Aug. 8.)

6. Καὶ τὰ ἐγκαίνια τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου ἐν τῷ Περιτειχίῳ, <καὶ [1]> τοῦ[2] ἀποστόλου[3] Ἰωάννου τοῦ[4] θεολόγου[4] ἔνδον τοῦ σεπτοῦ οἴκου τῆς[5] Θεοτόκου ἐν τοῖς Μαρινακίου.

7. Καὶ ἀνάμνησις ὅτε ἐγένετο ἡ ἔκλειψις τοῦ ἡλίου ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης[1], ὥστε καὶ τοὺς ἀστέρας φανῆναι, ἔτους ἑξακισχιλιοστοῦ τριακοσιοστοῦ ἐνενηκοστοῦ ἐννάτου, ἐν ἡλίου κύκλῳ πεντεκαιδεκάτῳ καὶ σελήνης ὁμοίως, ἰνδικτιῶνος ἐννάτης[2] ἐπὶ τῆς βασιλείας Λέοντος καὶ Ἀλεξάνδρου τῶν εὐσεβῶν καὶ φιλοχρίστων βασιλέων.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

Aug. 9. **1.** Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ματθία[1]. Οὗτος ἦν εἷς τῶν ἑβδομήκοντα· ὃς καὶ συγκατηριθμήθη μετὰ τῶν ἕνδεκα ἀποστόλων ἀντὶ Ἰούδα τοῦ Ἰσκαριώτου· ἐκήρυξε δὲ τὸ εὐαγγέλιον ἐν τῇ ἔξω Αἰθιοπίᾳ· καὶ πολλαῖς τιμωρίαις | (f. 280.) ὑπ' αὐτῶν αἰκισθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων δέκα[1] μαρτύρων τῶν ἀθλησάντων διὰ τὴν ἐν[2] Χαλκῇ πύλῃ ἁγίαν[3] εἰκόνα Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ὧν εἰσιν αἱ προσηγορίαι αὗται· Ἰουλιανός, Μαρκιανός[2], Ἰωάννης, Ἰάκωβος, Ἀλέξιος, Δημήτριος, Λεόντιος, Φώτιος, Πέτρος καὶ Μαρία ἡ σεβασμιωτάτη πατρικία. Οὗτοι ἐπὶ Λέοντος τοῦ θηριωνύμου βασιλέως ἐγνωρίζοντο, ὃς[4]

— [20] πλείω D. — [21] πολιτευσάμενος δὲ *add.* D. — [22] *om.* D. — [23] ἁγίων *add.* D.

5. — [1] *om.* D. — [2] καὶ *add.* D.

6. — [1] *om.* S, *supplevi ex* H, D; *cf.* P *inter* Synaxaria selecta. — [2] ἁγίου *add.* D. — [3] θεολόγου καὶ εὐαγγελιστοῦ *add.* D. — [4] *om.* D. — [5] παναγίας *add.* D.

7. — [1] ὀγδόης D, N. — [2] ἡμέρα κυριακῇ *add.* D.

1. — [1] Ματθίου S.

2. — [1] ἐννέα *in ras.* D. — [2] τῇ ἁγίᾳ *add.* D. — [3] *om.* D. — [4] ἐπειδὴ *add.* S, D.

Aug. 8. Τινύτου καὶ πολλὰς θαυμάτων δυνάμεις ἐργασάμενος — καὶ γὰρ τὸν λυμαινόμενον τὴν χώραν δράκοντα ἐξεδίωξε καὶ ῥεῖθρον ἐπέσχε τοῦ ποταμοῦ, τοῦ οὕτω Τρίτωνος καλουμένου, μέλλων τὸν ποταμὸν διαβαίνειν πλημμυροῦντα αὐτὸν κατιδών, ὅστις προστάξει τοῦ ἁγίου πεδηθεὶς τοῖς ἔμπροσθεν βαίνειν οὐκέτι οἷός τε ἦν πρὶν ὑποστρέψει ὁ ὅσιος· καὶ γενόμενος οἴκαδε τὴν ῥάβδον ἀπέστειλεν αὐτοῦ, μεθ' ἧς οἱ σταλέντες τὸ ὕδωρ διαταράξαντες ἐπέτρεψαν τῷ ποταμῷ τὴν οἰκείαν πορείαν ποιεῖσθαι — ταῦτά τε οὖν καὶ ἕτερα πλείω πεποιηκὼς καὶ τὸ λειπόμενον τῆς ζωῆς θεοφιλῶς καὶ ὁσίως διανύσας καὶ ταῖς τῶν μαρτύρων μνήμαις πανηγυρίσας[5] λαμπρῶς καὶ τοὺς πτωχοὺς παραμυθούμενος, ἤδη περὶ τὰ ἑκατὸν γενόμενος ἔτη πρὸς Κύριον ἐξεδήμησε. — Ἀντωνίου. — **R** : 1. 3. — **Ra** : 1. 3. — **Rb** : 1. 6 : τὰ ἐγκαίνια τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου, ἔνδον τοῦ σεπτοῦ οἴκου τῆς Θεοτόκου ἐν τοῖς Μαρινακίου. — 4. — **Rc** : 1. 2. 6. 4. 3. — **Mc** : 1. 3. 5 : Ἐλευθερίου καὶ Λεωνίδους καὶ τῶν νηπίων αὐτῶν διὰ πυρὸς τελειωθέντων. Τελεῖται κτλ. — Οἱ ἅγιοι β' μάρτυρες οἱ ἐκ Τύρου κατὰ γῆς συρόμενοι τ. — **Mv** : 1. 3. 4. 5. — Οἱ ἅγιοι δέκα ἀσκηταὶ οἱ ἐξ Αἰγύπτου ἐν εἰρήνῃ τ. — **Mr** : 1.

Aug. 9. SYNAXARIA SELECTA. **H** : 1. — Μύρωνος (Aug. 8[3]). — 4. 3. — **P** : Μύρωνος. — 4. — Τὰ ἐγκαίνια τῶν ἁγίων Ζωῆς καὶ Ἑσπέρου ἐν τῷ Δευτέρῳ. — 3. — **D** : 1 : Ματθία τοῦ ἀποστόλου. Οὗτος εἷς ἦν τῶν ἑβδομήκοντα μαθητῶν, ὃν ἀνέδειξεν ὁ Κύριος ἡμῶν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. Ὃς καὶ συγκατηριθμήθη μετὰ τῶν ια' ἀποστόλων ἀντὶ Ἰούδα τοῦ Ἰσκαριώτου· ἐκήρυξεν δὲ τὸ εὐαγγέλιον ἐν τῇ ἔξω Αἰθιοπίᾳ καὶ ἐκεῖ ἐμαρτύρησε ὑπὸ τῶν Αἰθιόπων ἀναιρεθείς. — 2. 4. 3. — **Da** : 1. 2. 3. 4. — **Db** : 1. 2. 4. — **K** : 1. 2. 4. — **N** : 1. — Ἀνάμνησις τῆς τοῦ ἡλίου ἐκλείψεως (Aug. 8[7]). — Μύρωνος. — 2, des. : καὶ τῆς μακαρίας πατρικίας Μαρίας ἀναιρεθείσης καὶ κατετέθησαν τὰ σώματα αὐτῶν ἐν γυναικείᾳ μονῇ πλησίον τοῦ ἁγίου Μωκίου. — **Bb** : 1. — **Bc** : 1. 2. 3. — **C** : 1. 2. 3. — Ἡλίου ἐκλείψεως. — **Ce** : 1. 2 mutil. — **Cg** : 1. 2 (des. : καὶ οὕτως ξίφει πάντας ἀπεκεφάλισε σὺν τῇ πατρικίᾳ Μαρίᾳ καὶ ἔρριψεν ἐν τοῖς Πελαγίου). — 3. — Ἡλίου ἐκλείψεως. — Τῆς ἁγίας μάρτυρος Ἱερουσαλήμ (add. al. man.). — **R** : 1. 4. — Θεοδώρου ἡγουμένου Ὀρόβων (Aug. 8[4]). — 2 (ἐννέα μαρτύρων ...). — **Ra** : Τοῦ ὁσίου πατρὸς ἡμῶν Μεθοδίου. — 1. — **Rb** : 1. 4. 3. — Εἰρήνης τῆς νέας ἐν τοῖς ἁγίοις Ἀποστόλοις. — **Rc** : 1. 4. 2. 3. — Εἰρήνης τῆς νέας. — **Mc** : 1. 2. — Ἡ εὕρεσις τῆς ἀχειροποιήτου καὶ σεβασμίας εἰκόνος ἐν Καμουλιαναῖς. Συνεγράφη δὲ τὰ περὶ ταύτην παρὰ τοῦ ἐν ἁγίοις πατρὸς

— [5] πανηρίσας Cg.

Aug. 9. ἀπεστρέφετο τὰς ἁγίας εἰκόνας καὶ πυρὶ ταύτας παρεδίδου, ὑπὲρ ὧν καὶ ὁ μακάριος Γερμανὸς ὁ πατριάρχης πολλὰς θλίψεις ὑπέστη, ἐλέγχων τὸν ἀσεβῆ καὶ παράνομον. Ὅθεν καὶ τὴν σεβασμίαν εἰκόνα τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν τιμωμένην ἐν τῇ ἁγίᾳ Χαλκῇ [5] καθελεῖν ἐπεχείρησε. Καὶ δὴ κλίμακες κατασκευάζονται [6] καὶ εὐμήκη ξύλα ἐπιτίθενται· καὶ οἱ καθαιρέται ἐπὶ τῶν κλιμάκων ἀνελθόντες ἔργου ἥπτοντο [7]. Τότε δὴ τότε προφθάσαντες οἱ γενναῖοι οὗτοι καὶ μιᾶς τῶν κλιμάκων δραξάμενοι καὶ πρὸς ἑαυτοὺς ἑλκύσαντες, τὸν καθαιρέτην σπαθάριον ἄνωθεν κάτω προσρήξαντες [8] τῷ θανάτῳ παρέπεμψαν, καὶ τὸν ἀσεβῆ βασιλέα ἀραῖς καὶ ἀναθέματι ὑπέβαλον [9]. Ὁ δὲ βασιλεὺς ταῦτα μαθὼν καὶ θυμοῦ πλησθεὶς ξίφει τὰς κεφαλὰς τῶν ἐκεῖ εὑρεθέντων τμηθῆναι προσέταξεν, ὧν τὸν ἀριθμὸν μόνος ὁ Κύριος οἶδεν. Μόνους δὲ τοὺς ἐννέα [10] ῥάβδοις τύψας τῇ εἱρκτῇ ἐνέβαλε, κελεύσας ἡμερήσιον λαμβάνειν αὐτοὺς ἀνὰ πεντακοσίας πληγάς [11]· καὶ οὕτως ἐκαρτέρησαν αἰκιζόμενοι μῆνας ὀκτώ. Καὶ ὡς εἶδεν αὐτοὺς ἐκλείποντας, ἐκέλευσεν ἐνεχθῆναι σούβλας πεπυρακτωμένας, καὶ οὕτω [12] τὰ πρόσωπα αὐτῶν κατακαῦσαι [13]· εἶθ' οὕτως ξίφει ἀναιρεθῆναι ἐν τῷ Κυνηγίῳ [14] σὺν τῇ ἁγίᾳ Μαρίᾳ τῇ πατρικίᾳ.

— [5] (ἀπεστρέφετο - Χαλκῇ) τὴν ἐν τῇ ἁγίᾳ χ. πύλῃ θείαν εἰκόνα Χριστοῦ τοῦ ἀληθινοῦ Θ. ἡμῶν D. — [6] (δὴ - κατασκ.) κλίμακάς τινας D. — [7] (ἐπιτίθενται - ἥπτοντο) προσενεγκάμενος καὶ στᾶσιν τοῖς καθαιρέταις μὴ χανησάμενος καὶ ἔργου ἅψασθαι τούτοις προτρεψάμενος D. — [8] προσρίψαντες D. — [9] καθυπέβαλλον D. — [10] (ξίφει - ἐννέα) πολλοὺς μὲν ἄλλους τῇ τοῦ ξίφους τιμωρίᾳ παρέδωκεν, τοὺς δὲ ἁγίους τούτους θ' μάρτυρας D. — [11] πεντακοσίων πληγῶν D. — [12] (καὶ ὡς - οὕτω) ἐκλιμπανόντων δὲ αὐτῶν σούβλαις πεπυρακτωμέναις D. — [13] προστάττει *add.* D. — [14] ἐν τ. κ. *om.* D.

Aug. 9. ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ δίκαιος καὶ μόνος ἀληθινὸς Θεὸς ἡμῶν, ὁ τῇ οὐσίᾳ τῆς θεότητος καὶ τῇ δυνάμει ἀνεκλάλητος, ὁ φύσει φιλάνθρωπος καὶ ἀγαθός, ὁ τῇ δόσει ἀμεταμέλητος· ἡ εἰκὼν τοῦ Πατρὸς ἡ ἀπαράλλακτος, ὁ πρὸ αἰώνων ἀοράτως ἐκ τοῦ Πατρὸς γεννηθεὶς καὶ ἐπ' ἐσχάτων ἡμερῶν ἐκ παρθένου μητρὸς τεχθείς, ἐνταῦθα καὶ αὖθις ἐν ἁγίᾳ εἰκόνι κατηξίωσε φανῆναι διὰ ἰδίαν ἀγαθότητα καὶ ἄμετρον εὐσπλαγχνίαν. Κἀκεῖ μὲν μάγους ὁδηγῶν πρὸς τὴν πορείαν δι' ἀστέρος, ἐνταῦθα δὲ τοὺς νηπιάζοντας τὴν φρένα πρὸς τελείαν γνῶσιν ἐπανάγων διὰ τῆς αὐτοῦ ἀχειροποιήτου καὶ ἀΰλου εἰκόνος· ἐκεῖ ἐκ παρθένου νέος ἐφάνη διὰ γεννήσεως, ἐνταῦθα ὁ αὐτὸς ἐν εἰκόνι σήμερον σωματικῇ προσκυνεῖσθαι κατηξίωσεν. Ὢ ἀφράστου φιλανθρωπίας, ὢ ἀμετρήτου κηδεμονίας, ὢ ἀνεκδιηγήτου δωρεᾶς· ὄντως παράδοξον πρᾶγμα καὶ φοβερὸν ὅτι ἐν ἡμῖν τοῖς πηλίνοις χαρακτῆρι ἀΰλῳ καθορᾶται ὁ κτίστης. Δεῦτε οὖν, ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε καὶ διηγήσομαι ὑμῖν πᾶσι τοῖς φοβουμένοις τὸν Κύριον, ὅσα γέγονεν ἐν Καμουλιαναῖς ἐν τῇ νέᾳ Βηθλεέμ, ἀλλὰ καὶ τὰ περὶ τῆς μακαρίας ἐκείνης καὶ τιμίας Βάσσης [1] τῆς μετακληθείσης Ἀκυλίνης ἐπὶ μέσον ἐγὼ ὁ ταπεινὸς προθήσω Γρηγόριος ὡς ὑπὸ τοῦ ἁγίου Πνεύματος τῷ ἀναξίῳ φανερωθέντα μοι. Αὕτη ἡ μακαρία ἑλληνὶς οὖσα καὶ σύζυγον ἔχουσα Κάμουλον τοὔνομα, ἕλληνα καὶ αὐτὸν ὄντα καὶ τοπάρχην ὑπάρχοντα, ἐμμανῶς δὲ πρὸς τοὺς χριστιανοὺς διακείμενον κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως Διοκλητιανοῦ, ἐλλαμφθεῖσα τῇ θείᾳ χάριτι ἀποστῆναι τοῦ ἀνδρὸς ἐζήτει καὶ τῆς τούτου θρησκείας, πρὸς μόνον τὸν ζωῆς δεσπότην καὶ βασιλέα τὴν ἐλπίδα καὶ ἐπίγνωσιν ἔχουσα ἐν τῷ κρυπτῷ διὰ τὸν φόβον τοῦ παρανόμου ἀνδρός· ἐδυσώπει δὲ ἀεὶ τὸν Κύριον δέξασθαι τὸ ἅγιον βάπτισμα, προσευχαῖς καθεκάστην παννύχοις καὶ νηστείαις ἀσχολουμένη, πᾶσάν τε καθαρότητα ψυχῆς καὶ σώματος ἐν ἑαυτῇ περιφέρουσα καὶ τῇ ἁγνείᾳ προσκαρτεροῦσα· ἥτις καὶ ἠξιώθη τὴν ἀποκάλυψιν τοῦ ἁγίου δέξασθαι Πνεύματος. Προσευχομένης γὰρ αὐτῆς μετὰ δακρύων καὶ συντετριμμένης καρδίας, ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος εἰσήκουσε τῆς δεήσεως αὐτῆς καταμετρήσας τὴν πίστιν αὐτῆς καί φησιν· « Ἐπειδὴ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων κατῆλθον ἐκ τοῦ οὐρανοῦ σαρκωθεὶς ἐκ τῆς ἁγίας » Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ νῦν παραγίνομαι πρὸς σὲ τὰ δάκρυά σου οἰκτείρας. Εὐτρέ» πισον οὖν τράπεζαν καθαρὰν καὶ ἐπίθες ἐν αὐτῇ λευκὴν κίδαριν καὶ σκεῦος ἄθικτον διαυγὲς μετὰ » ὕδατος καὶ ἑτοίμασον αὐτὰ ἐν ταμείῳ κεκοσμημένῳ, καὶ ῥῖψον ἑαυτὴν εἰς τὸ ἔδαφος τοῦ κοιτῶνος » καὶ σκεπάσει σε ἡ δεξιά μου καὶ ὀφθήσομαί σοι ὡς βούλομαι. » Καὶ ἐποίησεν οὕτως ἡ μακαρία Ἀκυλίνα, καθὼς προσέταξεν αὐτῇ ἡ θεία φωνή. Καὶ κατέβη πρὸς αὐτὴν ὁ δεσπότης Χριστός, ὁ πάντοτε καὶ πανταχοῦ παραγενόμενος καὶ μηδέποτε παρορῶν τοὺς ἐλπίζοντας καὶ ποθοῦντας αὐτόν. Συνῆλθον δὲ αὐτῷ καὶ πᾶσαι αἱ τῶν οὐρανῶν δυνάμεις περὶ πέμπτην φυλακὴν τῆς νυκτὸς ᾄδοντες καὶ λέγοντες τὸν ἐπινίκιον ὕμνον· « Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ. » Καὶ ὁ νίψας πρότερον τοὺς πόδας τῶν αὐτοῦ μαθητῶν καὶ τῷ λεντίῳ ἀπομάξας, αὐτὸς καὶ νῦν ἔνιψε ταῖς χερσὶ τῷ ὕδατι τὸ ἑαυτοῦ πρόσωπον καὶ νιψάμενος ἀπέμαξε τῇ καθαρᾷ κιδάρει τὸ ἄχραντον αὐτοῦ πρόσωπον καὶ εὐθέως, ὢ τοῦ θαύματος, ἀπεδείχθη τύπος τῆς θεανθρώπου καὶ παναγίας αὐτοῦ μορφῆς. Ὅθεν τούτων οὕτως οἰκονομηθέντων, καὶ ἁγιασθεῖσα καὶ φωτισθεῖσα ἡ τιμία Ἀκυλίνα καὶ τὸν ἄχραντον καὶ σεβάσμιον χαρακτῆρα λαβοῦσα, ηὐχαρίστησε τῷ Κυρίῳ. Ἀποθεμένη οὖν τοῦτον ἐν ἑνὶ πινσῷ τοῦ ἑαυτῆς οἴκου φοβουμένη τὸν ἄνδρα, ἐτίμα ὑπερβαλλόντως. Ἐν τῷ καιρῷ δὲ τῆς ἑαυτῆς τελευτῆς ἐπεὶ τὴν ἐκδημίαν προέγνω, πρόνοιαν τὴν ἀρίστην ἐποιήσατο τῆς ἁγίας ταύτης ἀχειροποιήτου καὶ ἀχρωματίστου εἰκόνος. Τὰ ἐν αὐτῇ γὰρ παρακολουθήσαντα πάντα γράψασα καὶ σὺν τῷ ἁγίῳ χαρακτῆρι ἀποθεμένη ἠσφαλίσατο. Μετὰ δὲ πλείστου χρόνου παρέλευσιν ἐμοὶ τῷ ἀναξίῳ τὰ περὶ τούτου ἀπεκαλύφθη Γρηγορίῳ, καὶ ἐν Καμουλιαναῖς ἀπελθών, ἐν τῷ τῆς μακαρίας Ἀκυλίνης φημὶ κατοικητηρίῳ, καὶ κατὰ τὸν ὑποδειχθέντα μοι τόπον ἐξορύξας τοῦ τοίχου ἐκείνου εὗρον γλωσσόκομον, ἐν ᾧ ἀπέκειτο ὁ ἅγιος χαρακτὴρ τοῦ πατρικοῦ ἀπαυγάσματος.

[1] Βάσης Mc.

3. Τῇ [1] αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις [2] Κωνσταντίνου ἀρχιεπισκόπου τῆς βασιλίδος πόλεως [3]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, ἐν ἡμέρᾳ κυριακῇ. Aug. 9.

4. Τῇ [1] αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντωνίνου. Οὗτος ὁ ἅγιος Ἀλεξανδρεὺς ἦν τὸ γένος [2]. Συλληφθεὶς δὲ ὑπὸ τοῦ ἄρχοντος καὶ κρεμασθεὶς ξέεται [3], εἶτα εἰς κάμινον πυρὸς ἐμβληθεὶς μαρτυρικῷ κατεκοσμήθη στεφάνῳ, τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος [4]. Εὑρέθη δὲ μέσον τοῦ πυρὸς ἀβλαβής, μηδὲ μέχρι τριχὸς λυ|μηναμένης αὐτὸν τῆς φλογός. f. 280v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Aug. 10. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Λαυρεντίου [1], Ξύστου ἐπισκόπου [2] Ῥώμης [2] καὶ Ἱππολύτου. Οὗτοι κατὰ τοὺς χρόνους Δεκίου γεγόνασι. Καὶ ὁ μὲν ἅγιος Ξύστος ἐξ Ἀθηνῶν ὑπῆρχεν, ἐν αἷς καὶ τὸν τῆς φιλοσοφίας λόγον ἠσκήθη. Παραγενόμενος δὲ ἐν Ῥώμῃ χειροτονεῖται ἐπίσκοπος [3] Ῥώμης μετὰ [4] τὸν ἁγιώτατον Στέφανον. Ὠδίνοντος δὲ ἤδη τοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ, κελεύει ὁ ἅγιος Ξύστος Λαυρεντίῳ τῷ ἀρχιδιακόνῳ αὐτοῦ διοικῆσαι τὰ σκεύη τῆς ἐκκλησίας. Ὁ δὲ ταῦτα πωλήσας διένειμε πτωχοῖς. Τοῦ δὲ Δεκίου ὑποστρέψαντος ἐκ Περσίδος, προσήχθη αὐτῷ ὁ ἅγιος Ξύστος ὁ ἐπίσκοπος, καὶ τὸν Χριστὸν ἀρνήσασθαι μὴ πεισθεὶς ἀλλὰ παρρησίᾳ Θεὸν αὐτὸν καὶ δημιουργὸν τοῦ παντὸς καθομολογήσας ξίφει τὴν κεφαλὴν ἀπετμήθη. Εἰσαχθεὶς δὲ Λαυρέντιος ὁ ἀρχιδιάκονος καὶ τὰ ἱερὰ χρήματα ἀπαιτούμενος, καὶ αἰτήσας ἁμάξας καὶ λαβὼν τοὺς χωλοὺς καὶ ἀναπήρους, οἷς διένειμε τὰ χρήματα [5], ταῖς ἁμάξαις ἐπιστοιβάσας πρὸς τὸν βασιλέα ἤγαγεν. Οὓς ἰδὼν καὶ ὀργισθεὶς κελεύει τὸν ἅγιον [2] Λαυρέντιον τυφθῆναι σφοδρῶς, εἶτα βληθῆναι ἐν τῇ [2] φυλακῇ, ἐν ᾗ γενόμενος ἰᾶτο πάντας ὅσοι ἂν [2] πρὸς αὐτὸν ἐφοίτων [6], ᾧ ἂν ἕκαστος ἐκρατεῖτο νοσήματι. Ἅπερ ὁ τριβοῦνος Καλλίνικος βλέπων, ὃς ἐπεστάτει τῆς εἱρκτῆς, ἐπίστευσε τῷ Χριστῷ καὶ ἐβαπτίσθη. Μετὰ τοῦτο δὲ παρίσταται ὁ ἅγιος Λαυρέντιος τῷ βασιλεῖ, καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, ἐπὶ ἐσχάρας ἁπλοῦται ὑφαπτομένου πυρός· καὶ ἐν αὐτῇ τῷ Θεῷ εὐχαριστήσας, ἀφῆκε τὸ πνεῦμα καὶ κηδείας τῆς ὀφειλομένης παρὰ τοῦ Ἱππολύτου τυγχάνει. Ὅπερ γνοὺς ὁ βασιλεὺς [7] καὶ μεταπεμψάμενος αὐτὸν ἐκέλευσε [8] κνήμαις αὐτὸν [2] σιδηραῖς μαστιγωθῆναι [9] καὶ ἵπποις ἀγρίοις προσδεθῆναι· ὑφ' ὧν ἐπὶ πολὺ συρόμενος, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε [10]. Τελεῖται [11] δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Τρικόγχῳ, πλησίον τοῦ Καπετωλίου.

Λέγεται δὲ ὅτι ἑβδόμῃ ἡμέρᾳ μετὰ τὸ παθεῖν τὸν ἅγιον Ἱππόλυτον Δέκιος καὶ Βαλλεριανὸς καθήμενοι ἐπὶ τῶν ἵππων αὐτῶν τοῦ ἐλθεῖν εἰς τὸ θέατρον, ἐξέπνευσαν. Ἔκραξε δὲ ὁ Δέκιος ἐν τῇ ὥρᾳ τοῦ θανάτου αὐτοῦ· « Ὦ Ἱππόλυτε, ὡς » αἰχμάλωτον οὕτως δεδεμένον με ἀπάγεις; » Ἔκραξε δὲ καὶ ὁ Βαλλεριανός· | « Πυρίναις με » κατήναις δήσας οὕτως ἕλκεις; » Τοῦτο δὲ δῆλον γέγονε καθ' ὅλην τὴν οἰκουμένην καὶ πάντες ἐστερεώθησαν τῇ πίστει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. f. 281.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Aug. 11. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὔπλου. Ὃς ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως, ἐκ πόλεως Κατάνης τῆς Σικελῶν ἐπαρχίας, διάκονος τῆς ἐκεῖσε ἐκκλησίας. Διαβληθεὶς δὲ πρὸς τὸν ἄρχοντα Καλ-

3. — [1] καὶ τῇ D. — [2] πατρὸς ἡμῶν *add.* D. — [3] (τ. β. π.) Κωνσταντινουπόλεως D.

4. — [1] καὶ τῇ D. — [2] (ὁ - γένος) ἦν Ἀλεξανδρείας, διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν D. — [3] (δὲ - ξέεται) καὶ πρὸς τὸν ἄρχοντα ἀχθεὶς καὶ χριστιανὸν ἑαυτὸν ἀναγορεύσας ξ. κρ. D. — [4] (τὸ - παραθέμενος) *om.* D.

1. — [1] Λαβρεντίου S. — [2] *om.* D. — [3] τῆς αὐτῆς πόλεως *add.* D. — [4] τὸ μαρτυρῆσαι *add.* D. — [5] καὶ *add.* D. — [6] ἐπεφοίτων D. — [7] Δέκιος *add.* D. — [8] κελεύει αὐτὸν D. — [9] μαστιχθῆναι D. — [10] ἀπέδωκεν D. — [11] *Cf.* Synaxaria selecta; *hic des.* D.

Aug. 9. Εὗρον δὲ καὶ τὴν παρὰ τῆς μακαρίας γυναικὸς ἀπαιωρηθεῖσαν φωταγωγὸν ἐκ πλείστων χρόνων καὶ ἀμνημονεύτων ἀνάπτουσαν, καὶ θυμιατήριον μικρὸν τὴν εὐωδίαν παρέχον τοῦ θυμιάματος. Τοῦτο πρῶτον καὶ μέγιστον θαῦμα ἐγὼ ὁ ταπεινὸς καὶ ἐλάχιστος ἑώρακα ἐπίσκοπος, καὶ φανερὸν τοῦτο πᾶσι κατέστησα, ἐν δὲ τῇ Καισαρέων μητροπόλει ἠρετισάμην τὴν θείαν ταύτην εἰκόνα τεθῆναι, ἐν ᾗ καὶ πολλὰ δι' αὐτῆς ἰάματα ἐγένοντο, ὅσα σχεδὸν καὶ ἐπὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τυφλοί τε καὶ χωλοὶ καὶ δαιμονιζόμενοι καὶ παραλυτικοὶ παραχρῆμα ἰῶντο, ὅπως τὸ πλήρωμα τῆς χάριτος καὶ τῆς δωρεᾶς αὐτοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐμφανὲς γένηται, ὅτι αὐτὸς ὁ ἐνανθρωπήσας λόγος τοῦ ἀνάρχου πατρὸς καὶ ζῇ καὶ κεκραταίωται καὶ διαμένει καὶ βασιλεύει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ταῦτα ἐγένοντο ἐν Καμουλιαναῖς, ἐπὶ μὲν τῆς βασιλείας Διοκλητιανοῦ γενομένης καὶ ἀποκρυβείσης τῆς ἀχράντου καὶ ἀχειροποιήτου εἰκόνος, ἐπὶ δὲ Θεοδοσίου τοῦ μεγάλου φανερωθείσης καὶ θαυματουργούσης εἰς δόξαν τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ καὶ πατρός, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. — **Mv** : 1. 2. 4. — Εὕρεσις τῆς ἀχειροποιήτου κτλ. — **Mr** : 1.

Aug. 10. SYNAXARIA SELECTA. **H** : 1. — Ἀνδρέου τοῦ στρατηλάτου ἐν τῷ Τρικόγχῳ πλησίον τοῦ Καπετωλίου (Aug. 19[1]). — **P** : 1. — Ἀνδρέου. — **D** : 1 (... Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ). — Ἀνδρέου τοῦ στρατηλάτου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Τρικόγχῳ πλησίον τοῦ Καπετωλίου. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — Ἰουλιανοῦ κτλ. (Aug. 9[2]). — **Bc** : 1. — **C** : 1. — **Ce** : deest. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — Ἐλευθερίου, Λεονίδους (Aug. 8[5]). — Ἔκλειψις τοῦ ἡλίου (Aug. 8[7]). — **Mc** : 1. — **Mv** : 1. — **Mr** : 1.

Aug. 11. SYNAXARIA SELECTA. **H** : 2. 1. — **P** : 1. 2. — **D** : 1. 2. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. —

Aug. 11. βισιανὸν καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενος, πρῶτον μὲν δεσμεῖται χεῖρας καὶ πόδας πρὸς τοῖς γόνασιν. Ἔπειτα[1] κρεμᾶται[2] ἐπὶ ξύλου ὀρθοῦ καὶ χερσὶ σιδηραῖς ξέεται· ὅτε καὶ θείας φωνῆς πρὸς αὐτὸν ἐλθούσης ἀνέθορε. Μετὰ δὲ ταῦτα σφύραις σιδηραῖς τὰς κνήμας αὐτοῦ θλάττεται[3] καὶ ἐν τῇ εἱρκτῇ ἀπορριφεὶς[4] εὐχῇ μόνῃ πηγὴν ὕδατος πεποίηκεν[5] ἀναδοθῆναι ἐν τῇ φυλακῇ· εἶτα πάλιν ἐκβληθεὶς σιδήροις ὀξέσι πεπυρακτωμένοις τὰς ἀκοὰς αὐτοῦ κατετρήθη, καὶ αὖθις τῇ τοῦ ξίφους τιμωρίᾳ κατεδικάσθη.

1. — [1] δὲ *add.* D. — [2] κρεμνᾶται D. — [3] θλᾶται D. — [4] ἐναπερρίφη D. — [5] ποιήσας D.

Aug. 11. **N** : 1. 2. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. 2. — **Ce** : deest. — **Cg** : 1. 2. — **R** : 1. 2. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. 2 (σύναξις αὐτῶν τελεῖται ἐν τῷ ἐξαέρῳ οἴκῳ). — Καὶ τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ ἐν τοῖς Δαρείου. — **Mc** : 1. — Διήγησις περὶ εἰκόνος δεσποτικῆς ἀχειροποιήτου. Ἐν ταῖς ἡμέραις Τιβερίου τοῦ βασιλέως θαῦμα μέγα καὶ παράδοξον γέγονε. Γυνὴ γάρ τις τοὔνομα Μαρία, συγκλητικὴ φιλόχριστος, τὴν ἀξίαν πατρικία, χήρα οὖσα, περιέπεσε πάθει χαλεπῷ καὶ ἀνιάτῳ· καὶ ἀποκαμοῦσα ἐκ πάσης ἀνθρωπίνης βοηθείας ἀνέθετο ἑαυτὴν τῷ Θεῷ καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. Ἔννοιαν οὖν θεόθεν ἀγαθὴν δεξαμένη ἀποστέλλει πρὸς τοὺς λειτουργοὺς τῆς ἁγίας δεσποτικῆς καὶ ἀχειροποιήτου εἰκόνος, ἀφικέσθαι πρὸς αὐτὴν ἀξιοῦσα. Τῶν δὲ ἀπελθόντων, προσέπεσε τοῖς ποσὶν αὐτῶν λέγουσα· « Δέομαι ὑμῶν, κύριοί μου, ἐπειδὴ ὁ Θεὸς διὰ τὰς πολλάς μου » ἁμαρτίας συνεχώρησε μαστίζεσθαί με ὑπὸ χαλεπῆς νόσου καὶ ὀλεθρίας, βούλομαι ἡ ταλαίπωρος καὶ » ἀναξία δι' εὐχῶν ὑμῶν ἁγίων δέξασθαι τὸν δεσποτικὸν ἅγιον χαρακτῆρα ἐν τῷ πανευτελεῖ μου οἴκῳ » ἐπὶ ἡμέρας τεσσαράκοντα. Καὶ ἴσως δι' αὐτοῦ ποιήσει ἔλεος μετ' ἐμοῦ. » Οἱ δὲ τήν τε ἀγωγὴν καὶ πνευματικὴν αὐτῆς κατάστασιν ἐπιστάμενοι ἤγαγον τὸν ἅγιον χαρακτῆρα. Καὶ τῆς ἱερᾶς ἀνοιγείσης θήκης προσεκύνησε καὶ ἠσπάσατο ἡ γυνή· καὶ λαβοῦσα βαμβίκινον τζίπαν ἰσόμετρον τῆς ἁγίας εἰκόνος, τέθεικεν ἐπάνω αὐτῆς. Εἶτα βαλοῦσα αὐτὴν εἰς καθαρὸν σκρινίον ἠσφαλίσατο δι' αὐτῆς καὶ ἀποθεῖσα ἐν τῷ εὐκτηρίῳ οἴκῳ αὐτῆς, ἐφωταγώγει λαμπρῶς. Πληρωθεισῶν δὲ τῶν τεσσαράκοντα ἡμερῶν, ἤρξαντο αἱ ὀδύναι τῆς γυναικὸς γίνεσθαι σφοδραὶ καὶ ἀφόρητοι, ὥστε μὴ δύνασθαι αὐτὴν μηδὲ τῆς κλίνης ἐξαναστῆναι. Προσκαλεσαμένη δὲ μίαν τῶν παιδισκῶν, ἣν ᾔδει καθαρωτέραν, φησὶ πρὸς αὐτήν· « Λάβε τὴν θήκην τῆς ἁγίας εἰκόνος, ὅπως προσκυνήσω καὶ εὕρω μικρὰν ἄνεσιν τῆς συνεχούσης με » σφοδρᾶς ὀδύνης. » Ἡ δὲ πορευθεῖσα εἰς τὸ εὐκτήριον εἶδε θαῦμα φοβερὸν καὶ παράδοξον. Φλὸξ γὰρ πυρὸς εἰς πλησμονὴν γενηθεῖσα ἐκ τῆς ἁγίας θήκης ἐκείνης ἀνήρχετο μέχρι τοῦ στέγους, καὶ καλύπτουσα τὸ ὅλον θυσιαστήριον κατήρχετο μέχρι τοῦ δαπέδου μηδὲν τὸ σύνολον βλάπτουσα. Καὶ ἐκπλαγεῖσα ἡ παῖς ἔπεσε χαμαί· δραμοῦσαι δὲ ἕτεραι ἀπήγγειλαν τῇ κυρίᾳ αὐτῶν. Ἡ δὲ κατάφοβος γενομένη κατῆλθε τοῦ κλινιδίου καὶ βίᾳ πρὸς τὸ εὐκτήριον ἀπελθοῦσα καὶ τὴν φλόγα ἰδοῦσα τὸ « Κύριε » ἐλέησον » ἀνεβόησε, καὶ αὐτίκα μετεκαλέσατο τοὺς λειτουργοὺς μετὰ σπουδῆς. Συνηκολούθησε δὲ αὐτοῖς καὶ ὄχλος πολὺς καὶ πάντες ἰδόντες τὸ παράδοξον τοῦτο θέαμα κατεπλάγησαν· ἀνερχομένης τε τῆς φλογὸς καὶ κατερχομένης ὥσπερ ὀθόνης πλοίου ὑπὸ ἀνέμου σφοδροῦ ῥιπιζομένης, ἔκραζον πάντες τὸ « Κύριε ἐλέησον » ἐπὶ ὥρας πολλάς. Γενομένης δὲ ἱερατικῆς εὐχῆς, κατέπεσεν ἡ φλὸξ καὶ ἀνοίξαντες τὴν θήκην, εὗρον τὴν ἁγίαν καὶ δεσποτικὴν εἰκόνα ἀλώβητον καὶ ἀσινῆ. Λαβόντες δὲ τὸ βαμβίκινον τμῆμα, ὃ ἐπέθηκεν ἡ πατρικία, εὗρον ἐν αὐτῷ ἕτερον χαρακτῆρα δεσποτικόν, ἀχειροποίητον, ὅμοιον τῷ πρωτοτύπῳ. Δοξάσαντες οὖν πάντες τὸν Θεὸν ἐπὶ τούτῳ καὶ ἀσπασάμενοι αὐτόν, ἐπέθηκαν ἐπὶ τὸ ἄλγος τῆς γυναικός, καὶ εὐθέως αἱ ὀδύναι ἐλύθησαν καὶ ἡ νόσος ἐδραπέτευσε καὶ ἡ γυνὴ ἰάθη τελείως. Καὶ εἰς ἑαυτὴν ἐλθοῦσα ἀνέστη δοξάζουσα τὸν Θεὸν σὺν πᾶσι τοῖς ἐλθοῦσι μετὰ τῶν πρεσβυτέρων. Μετὰ δὲ χρόνους τινὰς ἡ τιμιωτάτη ἐκείνη γυνή, ἐπεὶ προέγνω τὴν ἐκ τοῦ βίου ἑαυτῆς μετάθεσιν, ὡς σκεῦος ἐκλογῆς οὖσα, ἐφρόντισεν ἀναθεῖναι τὸν ἅγιον τοῦτον χαρακτῆρα τῇ ἐν τῇ Μελιτηνῇ μονῇ τῆς ἁγίας Ἀναλήψεως. Καὶ ὡς ἐξ ἀποστολῆς τινος φθάσαντος ἐκεῖσε Δομετιανοῦ ἀρχιεπισκόπου Μελιτηνῆς ἐξαδέλφου τοῦ βασιλέως Μαυρικίου μετὰ καὶ τῶν πρώτων τῆς αὐτῆς πόλεως, ἐπέγνω τοῦτο ἡ πατρικία καὶ ἐνεχείρισε τὸν ἅγιον χαρακτῆρα τῷ ἀρχιεπισκόπῳ εἰποῦσα τὸν σκοπὸν αὐτῆς πρὸς αὐτόν· δι' οὗ δὴ καὶ ἐκομίσθη ἐν τῇ Μελιτηνῇ. Ἀλλ' οὐδὲ τὸ δεύτερον τοῦτο θαῦμα παραδραμεῖν ἄξιον. Τῆς γὰρ ἐπιδρομῆς τῶν Περσῶν ἐπὶ Ἡρακλείου τοῦ βασιλέως γενομένης, φόβῳ βαλλόμεναι αἱ τοῦ μοναστηρίου μονάζουσαι, μή ποτε καὶ αὐταὶ συλληφθῶσι, κατέλαβον τὴν Κωνσταντινούπολιν, καὶ ἐξ εὐγενῶν οὖσαι ἔλαβον παρὰ τοῦ πατριάρχου Σεργίου μοναστήριον. Ὃς καὶ μαθὼν περὶ τῆς ἁγίας ταύτης καὶ ἀχειροποιήτου εἰκόνος, καὶ μὴ βουλομένων τῶν μοναζουσῶν, ἀφείλετο ταύτην. Ἀλλ' ἐπανέστησαν αὐτῷ θλίψεις ἀλλεπάλληλοι ἐν ταῖς ἡμέραις ἐκείναις, βασιλέων ἀγανάκτησις κατ' αὐτοῦ, θάνατοι αἰφνίδιοι συγγενῶν καὶ φίλων αὐτοῦ, ταραχαὶ τῆς ἐκκλησίας διάφοροι. Καὶ ἐν τῷ αὐτὸν διαπορεῖσθαι περὶ τούτων ὁρᾷ ἐν νυκτὶ φοβερόν τινα ἄνδρα ἑστῶτα καὶ λέγοντα αὐτῷ· « Ἀπόδος ὃ ἔλαβες ἐν τάχει τοῦ » μοναστηρίου ἀδίκως. » Ἀναστὰς δὲ τὰ ὁραθέντα διελογίζετο· καὶ προσκαλεσάμενος τοὺς περὶ αὐτὸν ἐπυνθάνετο· « Τίνες εἰσὶν αὗται αἱ θλίψεις καὶ διὰ ποίας αἰτίας ταῦτα ὑπομένω; καὶ μᾶλλον ὅτι εἶδον ἐν » νυκτὶ φοβερόν τινα ἄνδρα ἑστῶτα καὶ λέγοντά μοι· Ἀπόδος ἐν τάχει ὃ ἔλαβες τοῦ μοναστηρίου » ἀδίκως. Τίνος τί ἐλάβομεν, ἀγνοῶ. » Οἱ δὲ λέγουσιν αὐτῷ· « Δέσποτα, μηδὲν τοιοῦτον λογίζου· οὐδὲ » γὰρ ἠδίκησάς ποτέ τινα, ἀλλ' ἐκ τῆς τῶν δαιμόνων ἐνεργείας εἰσὶ καὶ αἱ θλίψεις καὶ αἱ φαντασίαι. » Εἶτα πάλιν καταλαμβάνει ἡ νύξ. Καὶ ἐπιστὰς αὐτῷ ὁ φοβερὸς ἐκεῖνος λέγει αὐτῷ μετὰ αὐστηρίας· « Ἀπόδος ἐν τάχει ὅπερ ἔλαβες ἀπὸ τῶν μοναστηρίων τῆς Ἀναλήψεως· οὐκ οἶδας, ὅτι ξέναι εἰσὶ καὶ » ἀπαραμύθητοι ὡς ἀπὸ ἀλλοτρίας ἐλθοῦσαι; » Ἔξυπνος δὲ γενόμενος λέγει πρὸς τὸν αὐτοῦ κουβου-

2. Τῇ[1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων[2] Νεοφύτου, Γαΐου καὶ[3] Γαϊανοῦ, Ζήνωνος, Μαρκίου καὶ Μακαρίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἐξαέρῳ οἴκῳ τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ ἐν τοῖς Δαρείου. Aug. 11.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Aug. 12. 1. Ἄθλησις τῶν ἁγίων τοῦ[1] Χριστοῦ[1] μαρτύρων Φωτίου καὶ Ἀνικήτου. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως· ἦν δὲ ὁ ἅγιος Φώτιος ἀδελφιδοῦς τοῦ ἁγίου Ἀνικήτου. Τοῦ οὖν Διοκλητιανοῦ ἐν Νικομηδείᾳ δημηγορήσαντος κατὰ τῶν χριστιανῶν, παρούσης τῆς συγκλήτου βουλῆς, καὶ πλήθη[2] βασανιστηρίων ἐν τῷ μέσῳ προθέντος[3] καὶ παντοίως διαλωβήσασθαι τοὺς ἐπικαλουμένους τὸ τοῦ Χριστοῦ ὄνομα ἀπειλήσαντος, καὶ ἐξαιρήσειν ἐκ τῶν πανταχόθεν ἄκρων τοὺς χριστιανοὺς φρυαξαμένου καὶ πολλὰ βλάσφημα κατὰ τῆς δόξης τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ διεξελθόντος, παρὼν ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Ἀνίκητος οὐ κατεπλάγη τὰς ἀπειλὰς τοῦ τυράννου· ἀλλὰ παρρησίᾳ χριστιανὸν ἑαυτὸν ἀνεκήρυξεν. Καὶ περὶ τῆς πρώτης καὶ ἀνάρχου γεννήσεως τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ περὶ τῆς ἐσχάτης ἐν χρόνῳ σαρκώσεως αὐτοῦ[4] καὶ δι' ἡμᾶς οἰκονομίας θεολογικώτατα διετράνωσε, στηλιτεύσας τὴν πλάνην τῶν εἰδώλων[5] καὶ προσθεὶς ὅτι κωφοὶ καὶ
f. 281v. ἀναίσθητοί εἰσιν οἱ σέβοντες αὐτά· διὰ | ταῦτα[6] τύπτεται[7] βουνεύροις ἐπὶ τοσοῦτον, ὡς ἀμυχάς τινας ἐν τῷ αὐτοῦ[8] σώματι γενέσθαι, δι' ὧν αὐτοῦ τὰ ὀστᾶ καθορᾶτο. Εἶτα λέων ἀφίεται ἐπ' αὐτόν· ὃν ἰδὼν ὁ ἅγιος ἔδεισε μετὰ τοῦ μεγέθους καὶ τῆς μανιώδους φορᾶς δεινὸν καὶ καταπληκτικὸν βρυχησάμενον. Ὁ δὲ λέων προσεγγίσας[9] αὐτῷ παντὸς προβάτου κατεφάνη πρᾳότερος· καὶ οἷον συμπαθήσας τῷ ἁγίῳ τὸν ἐπιχεθέντα[10] αὐτοῦ διὰ τὸν φόβον[11] τῷ προσώπῳ ἱδρῶτα τῷ δεξιῷ ποδὶ ὥσπερ σπόγγῳ ἀπέματτε. Τότε οὖν τοῦ μάρτυρος εὐχαριστίας ἀναπέμψαντος τῷ Θεῷ, ἐπὶ τῷ τέλει τῆς εὐχῆς σεισμὸς γέγονε· καὶ τὸ τοῦ Ἡρακλέος[12] ξόανον καταπεσὸν[13] εἰς κονίαν[14] ἐχώρησε, καὶ μέρος τῆς πόλεως κατενεχθὲν πολλοὺς τῶν ἑλλήνων ἀπώλεσε. Προστάξαντος δὲ τοῦ βασιλέως ξίφει τὴν κεφαλὴν αὐτοῦ τμηθῆναι[15], ἐπεὶ ὁ τὴν πληγὴν μέλλων ἐπενεγκεῖν[16] δήμιος ἀνενέργητος ἔμεινε, τῆς χειρὸς αὐτοῦ μετὰ τῆς σπάθης κατενεχθῆναι μὴ δυναμένης, μεταβαλὼν ὁ τύραννος τὴν ἀπόφασιν, δεσμεῖ τὸν ἅγιον[17] τροχῷ πυρᾶς ὑποστρωθείσης. Ἔνθα διατεμνόμενος τὰ μέλη[18] καὶ διακαιόμενος ηὔξατο, καὶ εὐθέως ἐλύθη τὰ δεσμὰ καὶ ὁ τροχὸς ἔστη καὶ τὸ πῦρ ἐσβέσθη. Καὶ τότε δὴ ὁ ἀδελφιδοῦς αὐτοῦ Φώτιος προσδραμὼν περιεπτύξατο αὐτόν, πατέρα καὶ σωτῆρα καὶ θεῖον ἀνακαλῶν. Συνδεσμεῖται οὖν ἅμα[19] τῷ ἁγίῳ κλοιοῖς σιδηροῖς καὶ ἐν εἱρκτῇ ἀμφότεροι τίθενται· εἶτα ἐξαχθέντες ξέονται καὶ πυρὶ φλέγονται καὶ ὑπὸ τοῦ δήμου ἐν τῷ θεάτρῳ λίθοις βάλλονται[20]. Ἀβλαβεῖς δὲ ἐν τοσούτοις διαφυλαχθέντες δεινοῖς, ξύλοις προσδεθέντες τοὺς πόδας ὑπὸ ἵππων ἀγρίων σύρεσθαι προσετάχθησαν, καὶ αὖθις μαστιχθέντες σφοδρῶς καὶ ἅλατι καὶ[19] ὄξει[19] τοὺς ἐκ τῶν πληγῶν μώλωπας ἀναξανθέντες ἀτημέλητοι[21] ἐπὶ τρισὶ χρόνοις ἐν τῷ δεσμωτηρίῳ μένειν κατεδικάσθησαν. Μετὰ δὲ τὸ ταριχευθῆναι ἐπὶ τοσοῦτον αὐτούς, ἐκκαύσας ὁ τύραννος τὸ λεγόμενον λουτρὸν Ἀντωνίνου[22] ἐπὶ ἡμέρας τρισὶν ἐν αὐτῷ τούτους κατέκλεισεν. Τοῦ[23] δὲ τῶν κευθμώνων διὰ προσευχῆς τῶν ἁγίων ἀναρραγέντων καὶ τοῦ στερεώματος διαλυθέντος, πλῆθος ὕδατος ἀνεδόθη, ὡς εἶναι αὐτοὺς οὐκ εἰς διακεκαυμένον καὶ πυρφόρον, ἀλλ' εἰς | δροσοβόλον χωρίον. Ἐπὶ τούτοις ἐπιτεχνᾶται κάμινον ὁ Διοκλητιανὸς χωνοειδῆ κίοσι σιδηροῖς ὑποστηριζομένην· ἔνθα βληθέντες καὶ τοῦ Θεοῦ δεηθέντες, πέρας τῆς ἀθλήσεως καὶ τοὺς τῆς νίκης στεφάνους ἐδέξαντο. Λέγεται[24] δὲ ὑποβληθέντας[25] τῇ καμίνῳ ἐπὶ τρισὶν ὥραις ἐμπνέειν, καὶ ἀνελκυσθέντα τὰ σώματα αὐτῶν διὰ σιδηρῶν ὀργάνων ἀσινῆ φανῆναι, μηδὲ μέχρι[19] τριχὸς αὐτοὺς[26] τῆς φλογὸς λυμηναμένης[27]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Στρατηγίῳ[28]. f. 282.

2. — [1] καὶ τῇ D. — [2] μαρτύρων *add.* D. — [3] *om.* D.

1. — [1] *om.* D. — [2] πλῆθος D. — [3] προσελθόντος D. — [4] τοῦ *add.* S. — [5] τῶν εἰδ. τὴν ματαιότητα D. — [6] (σέβοντες - ταῦτα) κωφοῖς καὶ ἀναισθήτοις προσέχοντες D. — [7] οὖν *add.* D. — [8] *om.* D. — [9] προσεγγίσαι S. — [10] ἐπιχθέντα D. — [11] φίβον S. — [12] Ἡρακλέους D. — [13] καταπεσεῖν S. — [14] κόνιν D. — [15] ἐκτμηθῆναι D. — [16] ἐπ. μέλλων D. — [17] ἐν *add.* D. — [18] βέλη S. — [19] *om.* D. — [20] λιθοβολοῦνται D. — [21] ἀτιμέλη[τοι *corr. rec.* D. — [22] D, Ἀντωνίου S. — [23] τῶν S. — [24] λέγονται D. — [25] ὑποβληθέντες D. — [26] αὐτῶν D. — [27] λυμηναμένων D. — [28] Στρατιγίῳ S.

Aug. 11. κλείσιον· « Ἄδελφε, ὡς ἔλαβες τὸν δεσποτικὸν χαρακτῆρα ἀπὸ τῶν μοναζουσῶν, πῶς τοῦτο ἐλογί» σαντο; » Ὁ δέ· « Βαρέως, ἔφη, δέσποτα, κατὰ πολύ· καὶ ἐὰν ἠδύναντο, ἠμύναντο ἂν ἡμᾶς. » Τότε συνῆκεν ὁ πατριάρχης ἑαυτοῦ καταγνοὺς καὶ μετὰ πολλῆς τῆς σπουδῆς καὶ τιμῆς ἀπέστειλε τὸν ἅγιον χαρακτῆρα ἐν τῇ μονῇ τῶν μοναστριῶν κατὰ τὴν εἰκοστὴν ἐννάτην τοῦ νοεμβρίου μηνός· κατέπαυσαν δὲ καὶ οἱ πειρασμοὶ καὶ αἱ θλίψεις τοῦ πατριάρχου καὶ αἱ μονάστριαι ἠγαλλιάσαντο καὶ ηὐχαρίστησαν τῷ Θεῷ. — Ἥρων ὁ φιλόσοφος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Τὰ ἐγκαίνια τοῦ σεβασμίου καὶ περικαλλοῦς οἴκου καὶ θείου ναοῦ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τῆς ἐλεούσης. — Διήγησις περὶ τῆς ἀχειροποιήτου. — **Mr** : 1.

Aug. 12. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Παλάμων ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Πάμφιλος καὶ Καπίτων ξ. τ. (Aug. 13[2]). — Σέργιος καὶ Στέφανος ἐν εἰρήνῃ τ. (Aug. 13[3]). — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

Aug. 13. **1.** Ἀνάμνησις τῆς μεταθέσεως τῶν λειψάνων τοῦ[1] ἁγίου Μαξίμου τοῦ ὁμολογητοῦ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου, τοῦ ἐπιλεγομένου Πωγωνάτου, ἐκγόνου Ἡρακλείου. Ταῖς μεγίσταις οὖν τιμαῖς ὑπὸ τῶν πρώην βασιλέων δεξιωθεὶς καὶ ἱκανὸς ὢν ἐν ταῖς πολιτικαῖς διοικήσεσι τὰ πρακτέα ὑφηγεῖσθαι διὰ λόγον καὶ τρόπον καὶ τὴν[2] ἀπὸ χρόνου σύνεσιν, εἰς τὸ τοῦ πρωτασηκρήτης[3] προεβιβάσθη ἀξίωμα, καὶ βουλῆς τοῖς βασιλεῦσι γέγονε κοινωνός. Ἐπεὶ δὲ ἡ πονηρὰ καὶ ἔκφυλος δόξα τῶν μίαν θέλησιν ἐπὶ τῆς διὰ σαρκὸς τοῦ Χριστοῦ οἰκονομίας ἀνοήτως καὶ δυσσεβῶς εἰσαγαγόντων[4] ἐπεκράτει, ὅσον ἐπ' αὐτοῖς τὴν μίαν τῶν δύο φύσεων ἀναιρούντων, καὶ διατάγματά τινα τὴν κακοδοξίαν κρατύνοντα[5] κατὰ τὴν ἀγορὰν ἐπόμπευε. Καὶ ἐπὶ τῆς μεγάλης προὔκειτο ἐκκλησίας, οὐκ ἀνασχόμενος τῇ[6] τῶν ἀσεβῶν κοινωνίᾳ συνασεβεῖν· <καὶ[7]> ἀφεὶς τὰς κοσμικὰς ἀρχὰς[8] εἵλετο μᾶλλον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρερρῖφθαι ἢ ἐν σκηνώμασιν ἁμαρτωλῶν κατοικεῖν. Καὶ καταλαβὼν τὸ ἐν Χρυσοπόλει μοναστήριον, τὴν κόμην ἀπέθετο· οὗ καὶ καθηγητὴς ὕστερον γέγονε. Εἶτα θείῳ ζήλῳ ὥσπερ ὑπὸ πυρὸς ἐξαφθείς, τὴν πρεσβυτέραν Ῥώμην κατέλαβεν, καὶ Μαρτῖνον τὸν μακαριώτατον πάπαν τοπικὴν ἀθροίσαντα παρεσκεύασε[9] σύνοδον, ἀναθεματίσαι[10] τοὺς ἀρχηγοὺς[11] τοῦ δυσσεβοῦς[12] δόγματος τῶν μίαν ἐπὶ Χριστοῦ θέλησιν ληρωδούντων[13]· καὶ εἰς ἔλεγχον τῶν οὕτω φρονούντων λόγους γράψας[14] καὶ ἐπιστολὰς λογικαῖς ἀποδείξεσι καὶ γραφικαῖς τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀλήθειαν | βεβαιούσας[15] συνθεὶς πανταχοῦ τῆς οἰκουμένης ἐξέπεμψεν. Ἀναζεύξας δὲ ἀπὸ Ῥώμης μετὰ[16] δύο Ἀναστασίων f. 282r. τῶν μαθητῶν αὐτοῦ, εἰς εὐθύνας παρὰ τῆς συγκλήτου καθίσταται ὁμοδοξούσης τῇ τοῦ βασιλέως αἱρέσει, ὅτι, πάντων ὑπεικόντων τῷ βασιλεῖ, αὐτὸς τε ἀνθίστατο[17] καὶ τοὺς ἄλλους πρὸς ἀποστασίαν κινεῖ, ἐναντία διὰ τῶν ἐπιστολῶν φρονεῖν μεταπείθων αὐτούς. Ἐπὶ τοῦτο πέμπεται ἐν φρουρᾷ κατὰ τὴν Θρᾴκην· καὶ ἐπιμένων τῇ ὀρθοδόξῳ πίστει τὴν χεῖρα καὶ τὴν γλῶτταν ἀκρωτηριάζεται, κἀκεῖθεν εἰς ὑπερορίαν κατὰ τὴν Λαζικὴν πέμπεται, ἔνθα ἐπὶ τρισὶ χρόνοις διαγαγὼν καὶ ταῖς οἰκείαις τοῦ σώματος χρείαις αὐτὸς ὑπηρετησάμενος, καίτοι πλήρης ὢν ἡμερῶν, μικρὸν νοσήσας ἀνεπαύσατο ἐν Κυρίῳ. Καὶ κατετέθη ἐν τῇ μονῇ τοῦ ἁγίου Ἀρσενίου ἐν αὐτῇ τῇ χώρᾳ τῶν Λαζῶν, πολλὰς θαυμάτων ἐνεργείας καθ' ἑκάστην ποιῶν. Λέγεται δὲ μετὰ τὴν ἐκτομὴν αὖθις ὑπὸ τοῦ Θεοῦ παραδόξως ἀποκαταστῆναι τὴν γλῶτταν καὶ τρανῶς φθέγγεσθαι, μέχρις ἂν ἐν τῷ βίῳ ὑπῆρχε. Τῶν δὲ δύο αὐτοῦ μαθητῶν ὁ μὲν πρεσβύτερος Ἀναστάσιος ἴσα τῷ διδασκάλῳ τὴν χεῖρα καὶ τὴν[18] γλῶτταν τμηθεὶς μακρὰν ἐξωρίσθη. Ὁ δὲ νεώτερος ἔν τινι τῶν κατὰ τὴν Θρᾴκην φρουρίων πεμφθεὶς τὸν βίον κατέλυσεν. Aug. 13.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Παμφίλου καὶ Καπίτωνος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας Εὐφημίας ἐν τοῖς Ὀλυβρίου[1].

3. Καὶ μνήμη[1] τῶν ὁσίων πατέρων ἡμῶν Σεργίου καὶ Στεφάνου εἰς τὸν Μῶλον[2].

4. Καὶ τῆς ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένης[1] βασιλίσσης Εὐδοκίας ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

1. — [1] ἄθλησις τοῦ D. — [2] τὸν S. — [3] προτοασηκρήτο D. — [4] (διὰ - εἰσαγαγόντων) οἰκονομίας τοῦ Χ. τῆς δ. σ. εἰσαγόντων D. — [5] (κ. κ.) τοιαύτην περιέχοντα βλασφημίαν D. — [6] τὴν D. — [7] *om.* S, D. — [8] καὶ τιμὰς *add.* D. — [9] παρεσκ. τὸ πικὴν ἀθ. D. — [10] ἀναθεματίσας S. — [11] εὐσιγητὰς D. — [12] ἀνοήτου D. — [13] βλασφημούντων θέλησιν D. — [14] συγγράψας D. — [15] βεβαιούσης S. — [16] τῶν *add.* D. — [17] ἀνθίστατο S. — [18] *om.* D.

2. — [1] Ὀλυμβρίου S.

3. — [1] *om.* D. — [2] τὸ Μόλον D.

4. — [1] ἡμῶν *add.* D.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

1. Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Μιχαίου. Οὗτος ἦν υἱὸς τοῦ Ἰωρὰμ[1] γεννηθεὶς ἐν Μωραθεί[2], ἐκ φυλῆς Ἐφραΐμ. Καὶ προεφήτευσεν ἔτη ὀγδοήκοντα τέσσαρα, προέλαβε δὲ τὴν ἔλευσιν τοῦ Χριστοῦ ἔτη ἑξακόσια[3] ἕξ. Καὶ πολλὰ ποιήσας τῷ Ἀχαὰβ βασιλεῖ Ἰούδα, ὑπὸ Ἰωρὰμ τοῦ υἱοῦ αὐτοῦ ἀναιρεῖται κρεμασθείς, ὅτι ἤλεγχεν αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ. Καὶ θανὼν[4] ἐν Μωραθὶ ἐτάφη[5] ἐν τῇ γῇ αὐτοῦ μόνος σύνεγγυς[6] τοῦ πολυανδρίου ἐν Ἀκείμ[7]· καὶ ἔστιν ὁ τάφος αὐτοῦ γινωσκόμενος μέχρι[8] τῆς σήμερον. Ἦν δὲ ὅμοιος τῷ ἀναργύρῳ Κοσμᾷ[9]. Aug. 14.

1. — [1] Ἱερεὰμ D. — [2] Μωραθῆ D. — [3] καὶ *add.* D. — [4] θανὼν ἐτάφη D, ταφεὶς S. — [5] *om.* D. — [6] σύνεγκυς S. — [7] Ἰακεὶμ S. — [8] ἕως D. — [9] (ἦν - Κ.) *om.* D.

Aug. 13. SYNAXARIA SELECTA. **H** : 1. — Τοῦ ἁγίου μάρτυρος Λουκίου (Aug. 14[4]). — **P** : 1. 2. 4. 3. — **D** : 1. 2. 3. 4. — **Da** : 1. 2. 3. 4. — **Db** : 1. 2. 3. 4. — **K** : 1. 2. 3. 4. — **N** : 1. — Οὐρσικίνου (Aug. 14[3]). — 2. 3. 4. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. 2. — **Ce** : 1. — **Cg** : 1. 2. — **R** : 1. 2. 3. 4. — **Ra** : 1. 2. 3. 4. — **Rb** : 1. — **Rc** : 1. 2. 3. 4. — **Mc** : 1. 2 : Πάμφιλος καὶ Καπίτων ξ. τ. — Μνήμη τῆς ἀοιδίμου καὶ μακαρίας βασιλίσσης καὶ κτητορίσσης τῆς σεβασμίας μονῆς τοῦ Παντοκράτορος Εἰρήνης, τῆς διὰ τοῦ θείου σχήματος μετονομασθείσης Ξένης μοναχῆς. Αὕτη ἡ ἐν βασιλίσσαις ἀοίδιμος γεννητόρων μὲν προῆλθεν εὐτυχῶν δυσμικῶν βασιλέων· ἐξ ἁπαλῶν δὲ ὡς εἰπεῖν ὀνύχων ὥσπερ τὰ τῶν φυτῶν εὐγενῆ ἐδείκνυ καὶ προεχάραττεν, ὁποῖα ἄρα τὰ κατ' αὐτὴν τῷ χρόνῳ προϊόντα φανήσεται, πάσης αὐτίκα πλήρης εὐκοσμίας οὖσα καὶ χάριτος καὶ συχνῷ κάλλει ψυχῆς ὁμοῦ καὶ σώματος διαλάμπουσα· πρὸς αὔξησιν δὲ ἤδη χωροῦσα καὶ τῇ ἡλικίᾳ προκόπτουσα συνεπεδίδου καὶ ταῖς ἀρεταῖς τελεώτερον καὶ τὰς αὐγὰς λαμπροτέρας τῶν τῆς φύσεως προτερημάτων ἀπήστραπτεν, ὥστε μὴ τοῖς ἐγγὺς λοιπὸν μόνον ἀλλὰ καὶ τοῖς πόρρω τὰ κατ' αὐτὴν δῆλα καταστῆναι καὶ γνώριμα. Ἐπεὶ δὲ καὶ ζήτησις ἐγένετο κόρης εὐόπτου καὶ τὸν τρόπον κοσμίας παρὰ τῶν ἀοιδίμων εὐσεβῶν βασιλέων Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ Εἰρήνης τῶν ὁμοζύγων καὶ ταύτην εὗρον πάντα ὡς εἰπεῖν πλουτοῦσαν τὰ κάλλιστα, συνάπτουσι τῷ θεοπαρόχῳ αὐτῶν βλαστῷ καὶ πορφυρογεννήτῳ βασιλεῖ Ἰωάννῃ. Παῖδας οὖν ἐκ τούτου τεκοῦσα ἄρρενάς τε καὶ θηλείας ἰσαρίθμους ὀκτὼ ἀνῆξε μὲν τούτους μεγαλοπρεπῶς καὶ βασιλικῶς. Τὰ τοῦ βίου δὲ τερπνὰ ὡς οὐδὲν ἡγησαμένη καὶ αὐτὴν δὴ τὴν βασιλείαν, ἀλλὰ τὸ τοῦ Δαβὶδ ἐν ἑαυτῇ συχνῶς ὑποψιθυρίζουσα· « Τίς ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθορὰν νυκτὸς καὶ ἡμέρας; » (Ps. 29, 10.) οὐκ ἔληγε τὸν Θεὸν θεραπεύουσα, ἐν ταῖς πρὸς τὴν βασίλειον ἀρχὴν τῶν ὑπηκόων ἀναγωγαῖς ἀγαθὴ μεσίτης εὑρισκομένη καὶ τῶν ἐπιδεομένων ἀντιλαμβανομένη καὶ χεῖρα διὰ πάντων τούτοις ὀρέγουσα, ἐλεημοσύναις χαίρουσα καὶ προστασίαις ὀρφανῶν καὶ χηρῶν, ταῖς πρὸς τὰ τῶν μοναστῶν καταγώγια δαπάναις καὶ χορηγίαις, τοῖς ἄλλοις ἁπλῶς οἷς οὐ μετὰ τὸ στέφος μόνον ἀλλὰ καὶ πρὸ τούτου πλείστην ἐπεδείκνυτο τὴν σπουδήν. Τὰ δὲ λοιπὰ τῶν ἀρετῶν αὐτῆς εἴδη καὶ τὸν τῶν χαρίτων ἑσμὸν πῶς ἄν τις καὶ διηγήσαιτο, τὸ πρᾶον τοῦ ἤθους, τὸ ἥσυχον, τὸ ταπεινόν, τὸ πρὸς ἅπαντας συμπαθές, τὸ προσηνές, τὸ χάριεν, τὸ εὐόμιλον, τὸ ἀόργητον, τὸ μηδέποτε κατά τινος θυμῷ ἢ κακώσει ἢ λοιδορίᾳ χρήσασθαι, τὰ δὲ καθ' ἑαυτὴν αὖθις μυστικώτερον ἐνεργούμενα, προσευχὴ καὶ νεῦσις πρὸς Θεὸν συνεχής, πένθος καὶ <μετά>νοια καὶ σκυθρωπότης ψυχῆς· ὁ ψαλτὴρ ἀεὶ σχεδὸν ἐπὶ στόματος, ἐγκράτεια σαρκός, τῆξις ἀσκητικὴ καὶ αὐτοσχέδιος δίαιτα καὶ ὅσα τῆς τοιαύτης γνωρίσματα πνευματικῆς καταστάσεως. Ταῦτα δὲ πάντα μὴ ἱκανὰ λογισαμένη πρὸς ὃν εἶχεν ἐν ἑαυτῇ θεοφιλῆ σκοπόν, ὀψέ ποτε καὶ τοῦτον εἰς ἔργον ἄγει, ἀξίαν τῇ τῆς ψυχῆς αὐτῆς προθέσει καὶ προθυμίᾳ τὴν παρὰ Θεοῦ νεῦσιν εὐτυχήσασα καὶ βοήθειαν. Ἐπειδὴ γάρ, ὡς ἔφημεν, τὸ στέφος λαβοῦσα εἰς τὴν βασίλειον ἀνήχθη ταύτην περιωπήν, πάντων τῶν ἄλλων ὑπεριδοῦσα πραγμάτων καὶ πάσας ἄλλας φροντίδας, καὶ ἀναγκαίας εἶναι δοκούσας, ἐν δευτέρῳ λόγῳ θεμένη τὴν βασιλικὴν μονὴν τὴν τῷ ὀνόματι τιμωμένην τοῦ Παντοκράτορος Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐξ αὐτῶν βάθρων συνεστήσατο, τοὺς νῦν ἐν ταύτῃ ὁρωμένους περικαλλεῖς ναοὺς ἀνεγείρασα, ξενῶνάς τε καὶ γηροκομεῖα κάλλει καὶ θέσει καὶ τῇ ἄλλῃ κατασκευῇ κατὰ πάντων τῶν προγεγονότων σχεδὸν παλαιῶν τε καὶ νέων τὸ πρωτεῖον φερόμενα, μεγάλως ἐπὶ τούτοις πᾶσι συναραμένου καὶ τοῦ τὰς μεθόδους καὶ συμμετρίας τῶν τοιούτων οἰκοδομημάτων εὐρύθμως πάνυ καὶ καταλλήλως καὶ προσφυῶς διαταξαμένου νέου Βεσελεὴλ τοῦ ἀγαθοῦ ἀνδρὸς Νικηφόρου — ὃς ἦν αὐτὸς τῶν θεραπόντων ὁ οἰκειότατος — καὶ σπουδὴν ὅτι πολλὴν πρὸς τὴν τούτων οἰκονομίαν καὶ ἀπάρτισιν συνεισφέροντος. Ταῦτα γοῦν οὕτω πάντα τῇ αὐτοῦ συνεργείᾳ ἀπαρτίσασά τε καὶ ἀποκαταστήσασα ἡ σεβασμία αὕτη καὶ ἀοίδιμος βασιλίς, τῇ μεγαλοπόλει ταύτῃ ὡραϊσμά τι τερπνὸν ἀνεστήσατο, χαίρουσα τῇ ἀγαθῇ τοῦ ἔργου ἐκπεραιώσει καὶ ἐπιτυχίᾳ καὶ καλλονῇ καὶ τὴν εὐχαριστίαν τῷ Θεῷ ἀναπέμπουσα. Ἐπεὶ δὲ καὶ μείζονος ἔτι ἐδεῖτο τοῦ βοηθήσοντος, μείζονος καὶ τυγχάνει. Τῆς γὰρ τοῦ βασιλέως χειρὸς καὶ ὁμοζύγου αὐτῆς κατὰ προσήκοντά ποτε καιρὸν ἐπιλαβομένη καὶ ἐν τῷ παρ' αὐτῆς ἀνεγερθέντι περικαλλεῖ τούτῳ ναῷ τοῦ Παντοκράτορος Χριστοῦ εἰσελθοῦσα καὶ ἑαυτὴν ἐξαίφνης χαμαὶ προσκαταβαλοῦσα καὶ τὴν κεφαλὴν τῷ ἱερῷ ἐδάφει κολλήσασα· « Δέξαι, ὦ δέσποτα, τὸν ἐκ Θεοῦ σοι κατασκευασθέντα » ναόν » μετὰ δακρύων ἀνεβόησε καὶ τὴν ἱκεσίαν ἐπέτεινε, δάκρυα τοῖς δάκρυσι προστιθεῖσα καὶ διατεινομένη μὴ ἄλλως ἀναστῆναι εἰ μὴ τὴν τοῦ ποθουμένου πληροφορίαν πράγματος δέξηται. Ὡς δὲ τὸ ἱερὸν ἔδαφος τοῖς δάκρυσι καταβρέχουσα[1] ἠκηκόει τοῦ βασιλέως τὰ καταθύμια αὐτῇ ἐπαγγελλομένου, — τὰ δὲ ἦν ἱερῶν κειμηλίων μεγαλοπρεπεῖς κατασκευαὶ καὶ ἀφιερώσεις κινητῶν τε καὶ ἀκινήτων κτημάτων καὶ πραγμάτων καὶ ἐτησίων ἄλλως εἰσόδων προσκυρώσεις καὶ δωρεαί, πρὸς δὲ καὶ τὸ τὴν ὑπεροχὴν αὐχεῖν καὶ τὸ κράτος κατὰ πάντων τῶν ἄλλων τὴν τοιαύτην σεβασμίαν μονὴν καὶ Παντοκρατορικὴν μόνην παρὰ πᾶσι κατονομάζεσθαι καὶ λόγοις καὶ ἔργοις τοῖς πρωτείοις τιμᾶσθαι — τούτων πάντων τὰς ὑποσχέσεις παρὰ τοῦ βασιλικοῦ στόματος δεξαμένη, ἀνέστη χαρᾶς ἀφάτου καὶ εὐφροσύνης ἔμπλεως. Καὶ ἡ μὲν ἀοίδιμος αὕτη βασίλισσα, ὥσπερ ὃ ἐπεφέρετο βάρος τῆς φροντίδος ἀποθεμένη διὰ τὴν τοῦ ἀνδρὸς καὶ βασιλέως πρὸς τοῦτο προθυμίαν καὶ σύννευσιν, ἔχαιρεν ἔκτοτε καὶ ἠγαλλιᾶτο, τῷ δοτῆρι καὶ τελεστῇ τῶν ἀγαθῶν πάντων Θεῷ ὁμολογοῦσα τὰς χάριτας. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἐπ' αὐτῆς γενομένη τῆς τῶν Βιθυνῶν ἐπαρχίας, πρὸς ὃν ἐπόθει Παντοκράτορα Χριστὸν ἐξεδήμησε, καὶ ἐν ταύτῃ τῇ μονῇ κατετέθη ἣ ἐκ βάθρων ἀνήγειρε. Τῆς δὲ πρὸς αὐτὴν ἐπαγγελίας παρὰ τοῦ εὐσεβοῦς βασιλέως τὸ πέρας λαβούσης καὶ τῆς βασιλικῆς καὶ παντοκρατορικῆς μονῆς ἐν τῇ εἰρημένῃ καταστάσῃ ὑπεροχῇ καὶ ἐν πᾶσι μεγαλυνθείσης καὶ πλατυνθείσης, καὶ αὐτὸς ὁ εὐσεβέστατος καὶ ἀοίδιμος βασιλεὺς Ἰωάννης μετ' οὐ πολὺ τὴν ἐπίγειον καταλιπὼν βασιλείαν πρὸς τὸν ἐν οὐρανοῖς βασιλέα καὶ δεσπότην μεταχωρεῖ· οὗ δὴ τὸ σῶμα ἐν τῇ τοιαύτῃ καὶ αὐτὸ σεβασμίᾳ μονῇ τοῦ Παντοκράτορος κατατίθεται. — **Mv** : 1. — Εἰρήνης. — **Mr** : 1.

Aug. 14. SYNAXARIA SELECTA. **H** : deest. — **P** : 2. 1. 4. — **D** : 2. 1. 3. 4. — **Da** : 1. 2. 3 (Οὐρσικίου). — 4. — **Db** : 1. 2. 3. 4. — **K** : 1. 2. 3. 4. — **N** : 1. 2. — **Bb** : 2. — Παμφίλου καὶ Καπίτωνος (Aug. 13[2]). —

[1] καταβρέχουσουσα Mc.

Aug. 14. f. 283. **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μαρκέλλου ἐπισκόπου[1] | Ἀπαμείας[2] καὶ τῶν ἑβδομήκοντα μαθητῶν αὐτοῦ. Οὗτος γέγονεν ἐπὶ Θεοδοσίου τοῦ βασιλέως ἐκ τῆς Κυπρίων ὁρμώμενος νήσου, ἐν ᾗ κοσμικὴν πράξας ἀρχὴν καὶ τὴν διοίκησιν αὐτῆς πιστευθεὶς πάντας ἐξέπλησεν εὐσεβείᾳ καὶ ἀκριβείᾳ περὶ τὰ πράγματα χρώμενος. Εἰς δὲ ἀρχιερατικὴν τάξιν μεταβὰς καὶ Ἀπαμείας τῆς κατὰ Συρίαν ἐπίσκοπος καταστάς, πρός τε τὰ[3] ἄλλα δικαίως ἐπολιτεύσατο καὶ ὁσίως καὶ δὴ καὶ θερμὸς τῆς κατὰ Χριστὸν πίστεως γέγονε ζηλωτής, ἐκκλησίας τε εἰς δόξαν Θεοῦ ἀνιστῶν, καὶ ναοὺς εἰδωλικοὺς καθαιρῶν· ὧν ἕνα, μὴ συγχωροῦντος τοῦ ἐν αὐτῷ δαίμονος κατακαῆναι[4] ἢ μηχαναῖς τισι καταβληθῆναι, ὃς ἐλέγετο τοῦ Διός, λαβὼν ὕδωρ ὁ ἅγιος καὶ εὐλογήσας καὶ τοῖς στοιβασθεῖσι ξύλοις ἐπιρράνας, ἀναφθῆναι καὶ κατακαῆναι πεποίηκε. Συσχεθεὶς οὖν ἐπὶ τούτῳ ὑπὸ τῶν εἰδωλολατρῶν καὶ εἰς πῦρ βληθεὶς τὸν στέφανον τοῦ μαρτυρίου ἠνέγκατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ ἐν τοῖς Σφωρακίου[5].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Οὐρσικίνου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Σιβεντοῦ τῶν ἄνω Ἰλλυριῶν, στρατιώτης τὴν ἀξίαν, ἐπὶ τὴν τοῦ τριβούνου τάξιν ἤδη προκόψας. Διαβάλλεται οὖν πρὸς τὸν[1] Μαξιμιανὸν ὑπό τινος στρατιώτου Οὐάλεντος[2]. Ὃς ὑποκριθεὶς τὰ τῶν χριστιανῶν φρονεῖν, ἔπεισε τὸν ἅγιον τὰ τῆς ψυχῆς ἀπόρρητα παραγυμνῶσαι αὐτῷ[3]. Ἔτι γὰρ διὰ τὰ προσαγόμενα τοῖς χριστιανοῖς παρὰ τῶν διωκτῶν φοβερὰ ἐν καρδίᾳ μὲν εἶχε τὴν πίστιν τὴν εἰς Χριστόν, παρρησιάσασθαι δὲ οὐκ ἐτόλμα. Ὁ οὖν βασιλεὺς Ἀριστείδῃ[4] τῷ ἐπάρχῳ τὴν κατὰ τοῦ ἁγίου ἐξέτασιν ποιεῖσθαι ἐκέλευσεν. Ὁ δὲ μετὰ πολλὰς ἐρωτήσεις καὶ[5] ἀποκρίσεις[5] μένοντα αὐτὸν ἀμετάθετον τῇ πίστει[6] τύπτει βουνεύροις κατὰ τῶν νώτων σφοδρῶς καὶ πλευρῶν. Εἶτα λίνοις ἐλαίῳ διαβρόχοις περιειλίσσει τὰς χεῖρας αὐτοῦ καὶ θείῳ καὶ ῥητίνῃ ἐπιπάσας ἀνάπτει. Ἔνθα τοῦ ἁγίου δίκαια πάσχειν τὰς χεῖρας αὐτοῦ λέγοντος, ὅτι τὸν τύραννον ἀπολλύμενον[7] κάκιστα διεσώσαντο, ἐπεὶ παρά τινος Τερτυλλιανοῦ[8] ἐμέμφθη ὁ τύραννος, ὡς ἀγνώμων περὶ τὸν εὐεργέτην γενόμενος[9], κατὰ τῶν χειρῶν τοῦ ἁγίου ἐπιχέας ὕδωρ τὴν φλόγα κατέσβεσε. Καὶ ὀργισθέντος ἐπὶ τούτῳ Ὀλβιανοῦ τινος ἕλληνος καὶ σὺν Ταράχῳ[10] ἀπὸ τοῦ | f. 283v. πραιτωρίου ἐξελθόντος καὶ οἴκαδε γενομένου[11] καὶ φαγόντος καὶ κατευνασθέντος καὶ μεθ' ἡμέραν ὑπὸ σκορπίου δηχθέντος καὶ σὺν ὀδύνῃ κακῶς[12] τὴν ψυχὴν ἀπορρήξαντος, ὁ ἅγιος Οὐρσικῖνος δέχεται τὴν ἀπόφασιν καὶ τέμνεται τὴν κεφαλήν, Οὐάλεντος διαβαλόντος[13] αὐτόν, σπασαμένου[14] τὸ ξίφος καὶ τρίτον ἐνέγκαντος κατ' αὐτοῦ.

4. Τῇ[1] αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Λουκίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

Aug. 15. **1.** Μνήμην ἐπιτελοῦμεν[1] τῆς ἁγίας καὶ σεβασμίας μεταστάσεως τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὅτε πρὸς ἑαυτὸν Χριστὸς ὁ Θεὸς ἡμῶν προσλαβεῖν εὐδόκησε τὴν ἰδίαν μητέρα, πρὸ τριῶν ἡμερῶν δι' ἀγγέλου αὐτῇ τὴν ἀπὸ γῆς μετάστασιν γνωρίζων· « Καιρός, φησίν, τὴν ἐμὴν προσλαβέσθαι σε » μητέρα πρὸς ἐμαυτόν. Μηδὲν οὖν ἐπὶ τούτῳ » θορυβηθῇς, ἀλλὰ μετ' εὐφροσύνης δέξαι τὸν » λόγον· καὶ γὰρ πρὸς ἀθάνατον ἐπανέρχῃ ζωήν. » Τοῦτο ἡ θεομήτωρ μαθοῦσα, ἐχάρη χαρὰν μεγάλην. Καὶ δὴ τῷ πόθῳ τῆς πρὸς τὸν υἱὸν μεταστάσεως ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν ἄνεισι προσευξαμένη[2] μετὰ σπουδῆς· — εἰώθει γὰρ ἐν αὐτῷ συνεχῶς ἀνιοῦσα προσεύχεσθαι, — ἐφ' ᾧ καί τι παράδοξον τηνικαῦτα συμβαίνει γενέσθαι. Κλίνουσι γὰρ ἐξ ἑαυτῶν τὰ[3] παρὰ τὸ ὄρος φυτὰ πρὸς γῆν ἑαυτά, καὶ ὥσπερ ἔμψυχα δοῦλα τὸ προσῆκον σέβας τῇ δεσποίνῃ ἀποπληροῦσι. Μετὰ δὲ τὴν εὐχὴν ὑποστρέφει[4] πρὸς τὴν οἰκίαν καὶ[3] εὐθέως ἐσείσθη ἅπασα· αὐτὴ δὲ φῶτα πολλὰ ποιησαμένη καὶ εὐχαριστήσασα τῷ Θεῷ, συγκαλεῖ τὰς αὐτῆς συγγενεῖς τε καὶ γείτονας, σαροῖ τὴν οἰκίαν, ἑτοιμάζει τὴν κλίνην καὶ πάντα τὰ πρὸς ταφὴν ἐπιτήδεια· δῆλα ποιεῖ τὰ παρὰ τοῦ ἀγγέλου πρὸς αὐτὴν λαληθέντα περὶ τῆς εἰς οὐρανοὺς αὐτῆς μεταστάσεως, καὶ εἰς πίστιν τῶν λεγομένων τὸ δοθὲν αὐτῇ βραβεῖον ὑποδεικνύει· τὸ δὲ ἦν φοίνικος[5] κλάδος. Αἱ δὲ μετακληθεῖσαι γυναῖκες τούτων ἀκούσασαι[6] θρήνοις ἑαυτὰς ἔλουον καὶ μετ' οἰμωγῆς ὠλοφύ-

2. — [1] γενομένου *add.* D. — [2] τῆς Συρίας *add.* D. — [3] *om.* D. — [4] D, κατὰκβῆναι S. — [5] Σπαρακίου D.
3. — [1] βασιλέα *add.* D. — [2] Οὐάλεντός τινος στρατιώτου D. — [3] αὐτὸν D. — [4] Ἀρεστείδῃ D. — [5] *om.* D. — [6] τῇ εἰς Χριστὸν *add.* D. — [7] D, ἀποστελλόμενον S. — [8] Τερτυλιανοῦ S. — [9] ὡς ἀγ. περὶ τὸν εὐεργέτην γενόμενος ἐμ. ὁ τύραννος D. — [10] Ταράχου S. — [11] γενόμενος S. — [12] κακῶν D. — [13] διαβαλλόντος S. — [14] σπασάμενος D.
4. — [1] καὶ τῇ D.
1. — [1] τελοῦμεν D. — [2] προσευξαμένοι S, προσευξομένη D. — [3] *om.* D. — [4] ἀποστρέψασα D. — [5] φοινίκου D. — [6] ἀκούσασα S.

Aug. 14. 1. — Ἀνάμνησις τῆς ἀχειροτεύκτου μορφῆς τοῦ Χριστοῦ (Aug. 16[1]). — **Bc** : 2. — **C** : 2. 3 (Οὐρσικίου). — 1. — **Ce** : 2. 1. 3. — **Cg** : 2 (... ἐπισκόπου Ἀμασίας). — 3 : Οὐρσικίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Σιβεντῶν τῶν ἄνω Ἰλλυριῶν στρατιώτης τὴν ἀξίαν... Des. : τότε ταραχθεὶς ὁ δῆμος ἔπεισε τῷ Οὐάλῃ καὶ ἐλιθοβόλουν αὐτόν· ὁ δὲ ἅγιος τελευτήσας ἠξιώθη ταφῆς παρὰ Συμπλοκίας τῆς γυναικός. — **R** : 1. 2. 3. — **Ra** : 1. — **Rb** : 1. 2. — **Rc** : 1. 2. 3. — **Mc** : 1. 2. 4 : Λούκιος ὁ στρατιώτης π. τ. — **Mv** : 1. 2. — Ἡ εἰς τὰ παλάτια ἀνακομιδὴ τοῦ τιμίου σταυροῦ. — 3 (Οὐρσικίου). — **Mr** : 1.

Aug. 15. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : Οὐρσικίου (Aug. 14[3]). — 1. — Ἀνάμνησις τῆς ἐλεύσεως τῶν ἀθέων Ἀγαρηνῶν (Aug. 16[6]). —

ροντο, ὅμως τοῦ κόπτεσθαι παυσάμεναι μὴ ἀπορφανισθῆναι αὐτῆς παρεκάλουν. Ἡ δὲ πανάμωμος οὐ μόνον αὐτὰς ἀλλὰ καὶ πάντα τὸν κόσμον μεταστᾶσα περισκέπειν καὶ ἐφορᾶν[7] διεβεβαιοῦτο. Καὶ τὸ πολὺ τῆς λύπης ἀφῄρει τοῖς παραμυθητικοῖς ῥήμασι πρὸς τὰς περιεστώσας ἅπερ ἐλάλει· εἶτα περὶ τῶν αὐτῆς δύο χιτώνων διατάττεται, f. 284. ὥστε τὰς δύο | πενιχρὰς χήρας ἀνὰ χιτῶνα[8] λαβεῖν, αἵτινες συνήθεις ἦσαν αὐτῇ[9] καὶ γνώριμοι καὶ τὰ πρὸς διατροφὴν παρ' αὐτῆς ἐκομίζοντο. Ταῦτα οὕτως[10] διεξιούσης αὐτῆς καὶ διαταττομένης, γίνεται ἄφνω βροντῆς βιαίας ἦχος καὶ πλείστων ἐπιστασία νεφελῶν ἀπὸ τῶν τοῦ κόσμου περάτων, τοὺς τοῦ Χριστοῦ μαθητὰς ἁρπασαμένων καὶ ἀθρόον τῇ οἰκίᾳ τῆς θεομήτορος καταστησαμένων· ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης[11], Ἱερόθεός τε ὁμοῦ καὶ Τιμόθεος οἱ θεόσοφοι[12] ἱεράρχαι ἦσαν, διὰ νεφελῶν καὶ αὐτοὶ ἐπιστάντες. Οἳ ἐπεὶ[13] ἔμαθον τὴν αἰτίαν τῆς αὐτῶν ἀθρόας παρουσίας[14], τοιαῦτα πρὸς αὐτὴν διεξίασιν λέγοντες ὅτι· « Σέ, » δέσποινα, μένουσαν ἐν τῷ κόσμῳ, ὡς αὐτὸν τὸν » δεσπότην ἡμῶν καὶ διδάσκαλον ἐβλέπομεν καὶ » παρεμυθούμεθα· <ἀλλὰ νῦν λύπης ἐπὶ τῇ σῇ » μεταστάσει πληρούμεθα[15]> καὶ δακρύων ὥσπερ » ὁρᾷς. Ἐπεὶ δὲ τῇ τοῦ υἱοῦ καὶ Θεοῦ σου βουλῇ » μεθίστασαι πρὸς τὰ ὑπερκόσμια, χαίρομεν τοῖς » ἐπὶ σοὶ οἰκονομουμένοις. » Ταῦτα λέγοντες, δάκρυσιν ἑαυτοὺς ἔβρεχον. Ἡ δὲ πρὸς αὐτούς· « Μή, φίλοι καὶ μαθηταί, τοῦ ἐμοῦ υἱοῦ καὶ Θεοῦ, » μὴ πένθος ἐργάσησθε[16] τὴν ἐμὴν χαράν· ἀλλὰ » τὸ ἐμὸν σῶμα, καθὼς ἐγὼ[17] σχηματίσω, τῇ » κλίνῃ κηδεύσατε. » Τούτων οὕτω[18] πληρωθέντων, φθάνει καὶ Παῦλος ὁ θεσπέσιος· ὃς καὶ πεσὼν πρὸς τοὺς πόδας τῆς Θεοτόκου, προσεκύνησε· καὶ ἀνοίξας αὐτοῦ τὸ στόμα διὰ πολλῶν ἐγκωμιάζει αὐτήν· « Χαῖρε, λέγων, μήτηρ[19] τῆς » ζωῆς καὶ τοῦ ἐμοῦ κηρύγματος ἡ ὑπόθεσις· εἰ » γὰρ καὶ τὸν Χριστὸν σαρκὶ μὴ τεθέαμαι, σὲ βλέ- » πων ἐκεῖνον ἐδόκουν θεωρεῖν. » Εἶτα συντάσσεται πᾶσιν ἡ παρθένος, ἀναπίπτει ἐπὶ[20] κλίνης, σχηματίζει τὸ ἄχραντον αὐτῆς ὡς ἠβουλήθη σῶμα, ὑπὲρ συστάσεως τοῦ κόσμου καὶ εἰρηνικῆς διαγωγῆς δεήσεις ποιεῖται, εὐλογίας τῆς δι' εὐχῶν[21] πληροῖ καὶ αὐτούς· καὶ οὕτως εἰς χεῖρας τοῦ ἑαυτῆς υἱοῦ καὶ Θεοῦ τὸ πνεῦμα ἀφίησιν[22]. Aug. 15. Ἐπὶ τούτοις ἄρχεται τῶν ἐξοδίων ὕμνων ὁ Πέτρος, αἴρουσιν οἱ λοιποὶ τῶν ἀποστόλων οἱ μὲν τὸ κλινίδιον, οἱ δὲ προάγουσι μετὰ λαμπάδων καὶ ὑμνολογιῶν, τὸ θεοδόχον σῶμα πρὸς τὸ μνῆμα παραπέμποντες. Τότε δὴ τότε καὶ ἄγγελοι ὑμνοῦντες ἠκούοντο, καὶ φωναὶ τῶν ὑπερκοσμίων τάξεων τὸν ἀέρα ἐπλήρουν. Ἐφ' οἷς οἱ τῶν Ἰουδαίων ἄρχοντές τινας τοῦ ὄχλου ἀνερεθίσαντες πείθουσι πειρᾶσαι τὴν κλίνην περιτρέψαι εἰς γῆν, ἐφ' ἣν τὸ ζωαρχικὸν | ἐτέθη[23] σῶμα, καὶ τοῦτο καταβαλεῖν· f. 284v. ἀλλ' ἡ δίκη τοὺς τολμητὰς φθάσασα ὀμμάτων τυφλώσει πάντας κολάζει. Ἕνα δὲ αὐτῶν καὶ χειρῶν ἀποστερεῖ ἀμφοτέρων, μανικώτερον ὁρμήσαντα καὶ τοῦ ἱεροῦ ἐκείνου σκίμποδος ἐναψάμενον· ὃς καὶ παρὰ τὴν κλίνην τὰς αὐθάδεις χεῖρας κοπείσας τῷ ξίφει τῆς δίκης καὶ ἀπαιωρουμένας ἀφεὶς ἔμεινεν ἐλεεινὸν θέαμα, ἕως οὗ πιστεύσας ἐξ ὅλης ψυχῆς καὶ θεραπείας τυχών, ἀποκατέστη ὡς τὸ πρότερον ὑγιής. Οὗτος[24] καὶ τοῖς τυφλωθεῖσι σωτὴρ γενέσθαι παντὶ τρόπῳ σπουδάζων, λαβὼν ἀπὸ τοῦ θαλίου τι μέρος καὶ ἐπιθεὶς τοῖς παθοῦσιν εὐθέως ἰᾶτο[25] τούτους πιστεύσαντας. Οἱ δὲ ἀπόστολοι καταλαβόντες τὸ χωρίον Γεθσημανῆ[26] καὶ καταθέντες ἐν τῷ μνήματι τὸ ζωαρχικὸν σῶμα, τρεῖς ἡμέρας προσμένουσιν ἐν αὐτῷ, τῶν γενομένων ἀπαύστως ἀγγελικῶν φωνῶν ὑπακούοντες. Ἐπεὶ δὲ κατὰ θείαν οἰκονομίαν, ὡς λόγος, εἷς τῶν ἀποστόλων Θωμᾶς[23] ἀπολειφθεὶς τῆς κηδείας τοῦ ζωαρχικοῦ σώματος τῇ τρίτῃ παραγέγονεν ἡμέρᾳ, ἠθύμει δὲ[23] σφόδρα καὶ συνεχεῖτο διὰ τὸ μὴ τῶν αὐτῶν καὶ αὐτὸν ἀξιωθῆναι, ὧν ἠξιώθησαν πάντες οἱ συναπόστολοι, ὡς κοινῇ πᾶσι δόξαν ἕνεκα τοῦ ἀπολειφθέντος ἀποστόλου τὸν τάφον ἤνοιξαν προσκυνῆσαι καὶ αὐτόν, ἰδόντες[27] ἐξέστησαν. Εὗρον γὰρ αὐτὸν μὲν κενόν, ὢ θαῦμα[28], τοῦ ἁγίου σώματος, μόνην δὲ τὴν σινδόνα φέροντα, παραμύθιον μείνασαν τοῖς λυπεῖσθαι μέλλουσιν καὶ τῆς μεταθέσεως ἀψευδὲς μαρτύριον. Καὶ γὰρ μέχρι τοῦ νῦν ὁ ἐν τῇ πέτρᾳ διαγλυφεὶς τάφος ὁρᾶται καὶ προσκυνεῖται σώματος μένων κενός. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ, τῷ ὄντι ἐν Βλαχέρναις, καὶ ἐν ταῖς κατὰ τόπον αὐτῆς ἁγίαις ἐκκλησίαις.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ις'.

Aug. 16. **1.** Ἡ[1] ἀνάμνησις τῆς εἰσόδου τῆς ἀχειροποιήτου μορφῆς τοῦ κυρίου καὶ Θεοῦ καὶ[2] σωτῆρος[2] ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐκ τῆς Ἐδεσηνῶν[3] πόλεως εἰς ταύτην[2] τὴν θεοφύλακτον καὶ βασιλίδα[4] πόλιν ἀνακομισθείσης. Δεῖ δὲ περὶ αὐτῆς μικρά τινα διαλαβεῖν[5]. Τῆς αὐτοαγαθότητος τοῦ κυρίου καὶ[2]

— [7] εὐφορᾶν S, λέγουσα *add.* D. — [8] χιτῶνος D. — [9] αὐτοὶ S. — [10] οὕτω D. — [11] *corr. rec.*, Ἀρεοπάγης D. — [12] σοφοὶ D. — [13] καὶ προσκυνήσαντες ὡς D. — [14] παρρουσίας S. — [15] (ἀλλὰ - πληρούμεθα) D, *om.* S. — [16] ἐργάσης τε D. — [17] τοῦτο *add.* D. — [18] οὔπω D. — [19] μῆτερ D. — [20] τῆς *add.* D. — [21] D, αὐτῶν S. — [22] καὶ αὐτίκα τυφλοῖς τὰ ὄμματα ἐφωτίζετο κωφοῖς αἱ ἀκοαὶ διηνοίγοντο, χωλοῖς αἱ τῶν ποδῶν βάσεις ὑπεστηρίζοντο καὶ πᾶν ὅ τι παθῶν τε καὶ νοσημάτων γένος εὐχερῶς διελύετο *add.* D. — [23] *supra lin.* S, *om.* D. — [24] οὕτω D. — [25] ἰᾶται D. — [26] Γεθσιμανῆ S, Γετθσημανὶ D. — [27] καὶ ἰδόντων D. — [28] ὢ θ. *om.* D.
1. — [1] τῇ αὐτῇ ἡμέρᾳ Mc. — [2] *om.* Mc. — [3] Ἐδεσσηνῶν S. — [4] ταύτην *add.* Mc. — [5] (δεῖ - διαλαβεῖν) *om.* Mc.

Aug. 15. **Bc** : 1. — Οὐρσικίου. — Τῆς γενομένης καταστροφῆς ἐλέει Θεοῦ τῶν Ἀγαρηνῶν. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — **Mv** : 1. — **Mr** : 1.

Aug. 16. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 2. — Θύρσου, Λευκίου, Κορνάτου καὶ τῆς συνοδίας αὐτῶν πλησίον Ἑλενιανῶν (Aug. 17[2]). Καὶ ἐγκαίνια[1] τῆς παναγίας Θεοτόκου πλησίον τῆς Ξηρολόφου. —

[1] *ita legendum videtur*, ἐν δὲ P.

Aug. 16. μεγάλου[6] Θεοῦ[6] καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πολλὰ θαύματα ποιοῦντος, καθὼς[7] ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἀναγέγραπται, καὶ τῆς φήμης πανταχόθεν[8] διατρεχούσης, ἤκουσε ταῦτα καὶ Αὔγαρος ὁ τοπάρχης πόλεως[6] Ἐδέσης καὶ ἐπεθύμει τὸν f. 285. κύριον ἡμῶν | Ἰησοῦν Χριστὸν ἰδεῖν αὐταῖς ὄψεσι καὶ οὐκ ἠδύνατο διὰ τὸ ἀνιάτοις αὐτὸν νοσήμασι περιπεσεῖν· λέπρα γὰρ μέλαινα κατὰ παντὸς τοῦ σώματος αὐτοῦ ἐξανθήσασα ἐδαπάνα τοῦτο καὶ κατήσθιε, καὶ σὺν αὐτῇ ἀρθρῖτις χρονία καὶ πονηρὰ τόνδε[9] ἐπολιόρκει[10]. Καὶ ἡ μὲν ἀμορφίας αὐτῷ αἰτία καὶ ταλαιπωρίας ἐγένετο, ἡ δὲ ὀδυνῶν δριμειῶν[11] καὶ ἀλγηδόνων πρόξενος ἦν· διὰ ταῦτα ἀπρόϊτός τε καὶ ἀθέατος ἦν πᾶσι τοῖς ὑπηκόοις. Κατὰ δὲ τὰς ἡμέρας τοῦ σεπτοῦ πάθους τοῦ σωτῆρος[12] ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιστολὴν γράψας ἀπέστειλεν αὐτὴν δι'[13] Ἀνανίου ἐντειλάμενος αὐτῷ τήν τε ἡλικίαν καὶ τρίχα καὶ πρόσωπον καὶ ἁπλῶς τὸν σωματικὸν αὐτοῦ χαρακτῆρα μετὰ πάσης ἀκριβείας ἱστορῆσαι καὶ ἀγαγεῖν αὐτῷ τὴν τοιαύτην τοῦ Κυρίου μορφήν[14]· ἠπίστατο γὰρ ἄκρως τὴν ζωγραφικὴν ἐπιστήμην ὁ Ἀνανίας. Ἡ δὲ ἐπιστολὴ ἐπὶ λέξεως[15] περιέχει[16] τάδε[17]· « Αὔγαρος, τοπάρ-
» χης πόλεως Ἐδέσης, Ἰησοῦ σωτῆρι ἀγαθῷ
» ἰατρῷ ἀναφανέντι ἐν Ἱεροσολύμοις. Ἤκουσταί
» μοι τὰ περὶ σοῦ καὶ τῶν σῶν ἰαμάτων, ὡς ἄνευ
» φαρμάκων ὑπὸ σοῦ γινομένων. Ὡς γὰρ λόγος,
» τυφλοὺς ἀναβλέπειν ποιεῖς, χωλοὺς περιπατεῖν
» <κατασκευάζεις[18]> καὶ λεπροὺς καθαρίζεις[19],
» καὶ ἀκάθαρτα πνεύματα καὶ δαίμονας ἐλαύνεις
» καὶ τοὺς ἐν μακρονοσίᾳ βασανιζομένους θερα-
» πεύεις καὶ νεκροὺς ἐγείρεις. Καὶ ταῦτα πάντα
» ἀκούσας περὶ σοῦ, κατὰ νοῦν ἐθέμην τὸ ἕτερον
» τῶν δύο, ἢ ὅτι υἱὸς τοῦ[20] Θεοῦ[21] εἶ ποιῶν ταῦτα
» ἢ Θεός. Διὰ τοῦτο τοίνυν γράψας ἐδεήθην σου
» σκυλῆναι καὶ ἐλθεῖν πρός μέ, ἵνα καὶ τὸ πάθος,
» ὃ ἔχω, θεραπεύσῃς <καὶ μετ' ἐμοῦ ἐνταῦθα
» συνέσῃ[22]> Καὶ γὰρ ἤκουσα, ὅτι καὶ[23] Ἰουδαῖοι
» καταγογγύζουσί σε[24] καὶ βούλονται κακῶσαί σε.
» Πόλις δὲ σμικροτάτη μοί ἐστιν καὶ σεμνή, ἥτις
» ἐξαρκεῖ[25] ἀμφοτέροις ἡμῖν τοῦ κατοικεῖν ἐν
» αὐτῇ[26] ἐν εἰρήνῃ. » Ὁ δὲ Ἀνανίας ἀπελθὼν ἐν Ἱερουσαλὴμ καὶ δοὺς τῷ Κυρίῳ τὴν ἐπιστολήν, ἣν ἐπιμελῶς εἰς αὐτὸν ἀτενίζων. Μὴ δυνάμενος δὲ πλησίον αὐτοῦ γενέσθαι διὰ τὸ συρρεῦσαν πλῆθος, ἐπί τινα πέτραν μικρὸν τῆς γῆς ἀνεστηκυῖαν[27] ἀναβὰς ἐκαθέσθη καὶ εὐθὺς ἐκείνῳ μὲν τοὺς ὀφθαλμούς, τῷ δὲ χάρτῃ τὴν χεῖρα προσήρειδε καὶ τὴν τοῦ φαινομένου μετέγραφεν ὁμοιότητα. Καὶ οὐδαμῶς ἠδύνατο τὴν μορφὴν αὐτοῦ καταλαβεῖν διὰ τὸ ἑτέρᾳ καὶ ἑτέρᾳ ὄψει φαίνεσθαι καὶ παρηλλαγμένῃ θεωρίᾳ. Ὁ δὲ Κύριος, ὡς ἅτε κρυφίων γνώστης[28] καὶ[29] καρδιῶν ἐξεταστής[30], γνοὺς τὴν ἐνθύμησιν αὐτοῦ[31], ᾔτησε νίψασθαι· καὶ τούτου γενομένου, ἐπεδόθη αὐτῷ ῥάκος τετρά|διπλον f. 285v. καὶ ἀπεμάξατο νιψάμενος τὴν ἄχραντον αὐτοῦ καὶ θείαν ἐν αὐτῷ ὄψιν. Ὅθεν ἐκτυπωθείσης αὐτῷ τῆς θείας μορφῆς καὶ προσόψεως ἐν τῇ σινδόνι, ἀπέδωκε[32] τῷ Ἀνανίᾳ[33]· « Ἀπελθὼν ἀπόδος αὐτὸ
» τῷ ἀποστείλαντί σε, » εἰπών[34], γράψας καὶ ἐπιστολὴν περιέχουσαν οὕτως[35]· « Μακάριος εἶ,
» Αὔγαρε, πιστεύσας ἐν ἐμοὶ μὴ ἑωρακώς με.
» Γέγραπται γὰρ περὶ ἐμοῦ τοὺς ἑωρακότας με
» <μὴ[36]> πιστεύειν ἐν ἐμοί, ἵνα καὶ οἱ μὴ[37] ἑωρα-
» κότες με αὐτοὶ πιστεύσωσι καὶ ζήσωνται. Περὶ
» δὲ οὗ ἔγραψάς μοι[38] ἐλθεῖν πρὸς σέ, δέον ἐστὶ
» πάντα δι' ἃ ἀπεστάλην ἐνταῦθα πληρῶσαί με,
» καὶ μετὰ τὸ πληρῶσαι ἀναληφθῆναι πρὸς τὸν
» ἀποστείλαντά με Πατέρα· καὶ ἐπειδὰν ἀνα-
» ληφθῶ, ἀποστελῶ σοι ἕνα τῶν μαθητῶν μου,
» ὀνόματι Θαδδαῖον, ὅστις[39] τὸ πάθος σου θερα-
» πεύσει, καὶ ζωὴν αἰώνιον καὶ εἰρήνην σοὶ καὶ

— [6] *om.* Mc. — [7] (ποιοῦντος κ.) ἐνεργοῦντος ἐν τῇ μεθ' ἡμῶν ἐπὶ γῆς συναναστροφῇ ὡς Mc. — [8] πανταχόσε Mc. — [9] τοῦτον κατατρύχουσα Mc. — [10] ἐβασάνιζε Mc. — [11] δριμυτάτων Mc. — [12] κυρίου Mc. — [13] διὰ Mc. — [14] (τὴν - μορφὴν) τὸ ἐκτύπωμα Mc. — [15] *om.* Mc. — [16] εἶχεν Mc. — [17] οὕτως αὐτολεξεὶ Mc. — [18] *in marg. corr. rec.* S, *om.* Mc. — [19] (χωλοὺς - καθαρίζεις) *om.* Mc. — [20] *om.* Mc. — [21] Θεοῦ υἱός Mc. — [22] (καὶ - συνέσῃ) *in marg. corr. rec.* S, *om.* Mc. — [23] οἱ *add.* Mc. — [24] σου Mc. — [25] ἐξαρκέσει Mc. — [26] ἐν αὐτῇ *om.* Mc. — [27] ὑπερανεστηκυῖαν Mc. — [28] ἅτε κρυφιογνώστης Mc. — [29] τῶν *add.* Mc. — [30] ἐταστὴς Mc. — [31] τὴν ἐνθ. αὐτοῦ γνοὺς Mc. — [32] (ὅθεν - ἀπέδωκε) ἧς δὴ καὶ ἐντυπωθείσης τῷ ῥάκει ἐπέδωκε τὸ ῥάκος Mc. — [33] εἰπὼν *add.* Mc. — [34] *om.* Mc. — [35] αὐτῷ π. οὕτω Mc. — [36] Mc, *om.* S. — [37] ἵνα οἱ μὲν Mc. — [38] περὶ οὗ μοι δὲ ἔγραψας Mc. — [39] ὃς καὶ Mc.

» τοῖς σὺν σοὶ παράσχῃ[40] καὶ ποιήσει τῇ πόλει
» σου τὸ ἱκανὸν πρὸς τὸ μηδένα τῶν ἐχθρῶν
» κατισχῦσαι αὐτῆς, » — ἐπιθεὶς ἐν τῷ τέλει καὶ σφραγῖδας[41] γράμμασιν ἑβραϊκαῖς σημανθείσας ἑπτά[42], αἵτινες μεθερμηνευόμεναι τοῦτο[42] δηλοῦσι[43]· « Θεοῦ θεαθὲν[44] θεῖον θαῦμα. » Ὁ δὲ Αὔγαρος δεξάμενος περιχαρῶς τὸν Ἀνανίαν καὶ πεσὼν[45] προσκυνήσας τὴν ἁγίαν καὶ ἄχραντον εἰκόνα τοῦ Κυρίου πίστει καὶ πόθῳ πολλῷ, ἰάθη παραχρῆμα ἀπὸ τῆς νόσου αὐτοῦ, μικροῦ τινος λειψάνου ἐν τῷ μετώπῳ αὐτοῦ τῆς λέπρας ὑπολειφθέντος. Μετὰ δὲ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος[46] καὶ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον καταλαβὼν ὁ ἀπόστολος Θαδδαῖος τὴν Ἔδεσαν προσήγαγε τῇ κολυμβήθρᾳ τὸν Αὔγαρον καὶ πάντας τοὺς αὐτοῦ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· καὶ ἐξῆλθε τοῦ ὕδατος καθαρισθεὶς[47] καὶ τοῦ μικροῦ ἐκείνου λειψάνου τῆς λέπρας. Ἐντεῦθεν παντοίως[48] τιμῶν καὶ σεβόμενος ὁ Αὔγαρος τὸ τοιοῦτον θεῖον ὁμοίωμα[49] τῆς τοῦ Κυρίου μορφῆς καὶ τοῦτο παρὰ πᾶσιν ὁμοίως τιμᾶσθαι βουλόμενος, τοῖς αὐτοῦ καλοῖς[50] καὶ τοῦτο προσέθηκεν[51]. Ἐκ τῶν παλαιῶν τῆς Ἐδέσης πολιτῶν[52] τῶν ἐπισήμων τινὸς ἑλληνικὸν[53] ἄγαλμα πρὸ τῆς δημοσίας πύλης τῆς πόλεως ἀναστηλώσαντος, ᾧ[54] πάντα τὸν ἐντὸς τοῦ ἄστεος γενέσθαι βουλόμενον ἀνάγκη[55] ἦν[55] προσκυνῆσαι[56] καὶ εὐχὰς ἀποδοῦναι καὶ οὕτως εἰσελθεῖν ἐν τῇ 286. πόλει[57]. Τοῦτο οὖν | τὸ ἀκάθαρτον ἄγαλμα ὁ Αὔγαρος καθελὼν καὶ τελείῳ ἀφανισμῷ παραδούς, εἰς τὸν ἐκείνου τόπον τὴν ἀχειροποίητον ταύτην εἰκόνα[58] τοῦ σωτῆρος ἡμῶν καὶ Θεοῦ[59] ἐπὶ σανίδος κολλήσας καὶ καλλωπίσας ἀνεστήλωσεν ἐπιγράψας ἐν αὐτῇ ταῦτα· « Χριστὲ ὁ Θεός, ὁ εἰς σὲ
» ἐλπίζων οὐκ ἀποτυγχάνει ποτέ. » Καὶ λοιπὸν ἐθέσπισε πάντα τὸν διὰ τῆς πύλης ἐκείνης διέρχεσθαι μέλλοντα[60] τὸ προσῆκον σέβας τῇ θαυματουργῷ καὶ τιμίᾳ τοῦ Χριστοῦ εἰκόνι ἀπονέμειν καὶ οὕτως εἰς τὴν πόλιν εἰσέρχεσθαι[61]· καὶ διετηρήθη τὸ τοιοῦτον τοῦ ἀνδρὸς εὐσεβὲς θέσπισμα μέχρι τῆς ἐν τῷ βίῳ αὐτοῦ τε τοῦ Αὐγάρου παροικίας καὶ τῆς[62] τοῦ υἱοῦ αὐτοῦ. Ὁ δὲ τούτου ἔκγονος τῆς πατρικῆς ἀρχῆς διάδοχος γεγονὼς ἀπελάκτισεν[63] τὴν εὐσέβειαν καὶ πρὸς τὰ εἴδωλα ηὐτομόλησε, καὶ ἐβουλήθη[64] πάλιν ἀναστηλῶσαι δαιμονικὴν στήλην καὶ τὴν τοῦ Χριστοῦ εἰκόνα καθελεῖν. Τοῦτο γνοὺς ὁ ἐπίσκοπος τῆς πόλεως ἐκ θείας ἀποκαλύψεως τὴν ἐνδεχομένην ἔθετο πρόνοιαν. Ἐπειδὴ γὰρ ὁ τόπος ὑπῆρχε κυλινδροειδής, θρυαλλίδα πρὸ τῆς θείας εἰκόνος ἀνάψας[65] καὶ κέραμον ἐπιθείς, εἶτα ἔξωθεν τιτάνῳ καὶ πλίνθοις ἀποφράξας[66] τὸ ἐμβαδὸν εἰς ὁμαλὴν ἐπιφάνειαν τὸ τεῖχος ἀπηύθυνε· καὶ ἐν τῷ μὴ ὁρᾶσθαι ἀπέστη[67] τῆς ἐγχειρήσεως ὁ δυσσεβής[68]. Ἔρρει διὰ μέσου χρόνος πολὺς[69] καὶ τῆς ἐξ ἀνθρώπων μνήμης ἀπερρύη τὸ θεῖον εἰκόνισμα ὅποι κέκρυπται. Ὁ δὲ τῶν Περσῶν βασιλεὺς Χοσρόης τὰς τῆς Ἀσίας πόλεις πορθήσας, κατέλαβε καὶ τὴν Ἔδεσαν καὶ πᾶσαν μηχανὴν κατ' αὐτῆς κινήσας εἰς φόβον καὶ ἀγωνίαν τοὺς τῆς πόλεως ἐνέβαλεν, οἳ[70] πρὸς τὸν Θεὸν καταφυγόντες καὶ μετὰ δακρύων αὐτὸν παρακαλέσαντες[71] ταχεῖαν εὕραντο τὴν σωτηρίαν. Διὰ γὰρ τῆς μιᾶς[72] τῶν νυκτῶν φαίνεταί τις γυνὴ ἐνδοξοτάτη τῷ ἐπισκόπῳ Εὐλαλίῳ· « Τὴν ἐπάνω
» τῆσδε τῆς πύλης[73] τῆς πόλεως » λέγουσα[74]
« κατακεκρυμμένην, » — τὸν τόπον σημάνασα[75] —
« θείαν τοῦ σωτῆρος μορφὴν ἀχειροποίητον[76]
» λαβὼν πάντα αἰσίως πράξεις. » Ὁ δὲ ἐπίσκοπος τὸν τόπον καταλαβὼν καὶ τοῦτον ἀνορύξας[77], ὢ τοῦ θαύματος, εὗρε[78] τὴν θείαν εἰκόνα ἀδιαλώ-

— [40] παράσχει S, παράσχοι Mc. — [41] ἑπτὰ *add.* Mc. — [42] *om.* Mc. — [43] ἐδήλουν Mc. — [44] θεῶν Mc. — [45] καὶ *add.* Mc. — [46] πάθος τ. Χ. Mc. — [47] καθαρεὶς Mc. — [48] ἦν *add.* Mc. — [49] ἐκτύπωμα Mc. — [50] (τιμᾶσθαι - καλοῖς) βουλόμενος τιμᾶσθαι πρὸς τοῖς ἄλλοις ἀγαθοῖς ἔργοις αὐτοῦ Mc. — [51] θεοσεβῶς διαπράξασθαι *add.* Mc. — [52] πολιτῶν Mc. — [53] ἑνὸς τινὸς ἕλληνος Mc. — [54] ἔθος ἦν Mc. — [55] *om.* Mc. — [56] πρότερον τῷ ἀγάλματι *add.* Mc. — [57] Mc, πύλει S. — [58] εἰκόνα ταύτην Mc. — [59] τοῦ κυρίου ἡμῶν Ἰ. Χ. Mc. — [60] εἰσερχόμενον Mc. — [61] εἰσιέναι Mc. — [62] (τοιοῦτον - τῆς) εὐσεβὲς τοῦτο τοῦ ἀνδρὸς θέσπισμα μέχρι τῆς αὐτοῦ τέ που Α. ἐν τῷ βίῳ παροικίας καὶ Mc. — [63] ἀπεβάλετο Mc. — [64] ἠβουλήθη Mc. — [65] ἅψας Mc. — [66] ἐπιφράξας Mc. — [67] καὶ *add.* Mc. — [68] ὁ δυσσεβὴς τῆς ἐγχειρήσεως Mc. — [69] πολὺς τὸ μεταξὺ παρερύη χρόνος Mc. — [70] καὶ *add.* Mc. — [71] καθικετεύσαντες Mc. — [72] ἐν μιᾷ γὰρ Mc. — [73] εἰποῦσα *add.* Mc. — [74] λέγουσαν S, *om.* Mc. — [75] τ. τ. σ. *om.* Mc. — [76] ἀχ. μ. τοῦ σ. Mc. — [77] εὗρε *add.* Mc. — [78] *om.* Mc.

Aug. 16. Ἐγλόνος τοῦ ἀναχωρητοῦ (Aug. 17[3]). — 3 : Μνήμη φόβου τοῦ ἐν τῇ Νέᾳ Ἱερουσαλὴμ πλησίον τῆς Χρυσῆς Πόρτης. — **D** : 3 : Τὴν ἀνάμνησιν ποιούμεθα τῆς περὶ ἡμᾶς μεγίστης καὶ ἀνυπερβλήτου τοῦ Θεοῦ φιλανθρωπίας, ἧς ἐνεδείξατο τότε ἀποστρέψας μετ' αἰσχύνης τοὺς ἀθέους Ἀγαρηνούς. Ἐν ἀρχῇ γὰρ τῆς βασιλείας Λέοντος Ἰσαύρου, τοῦ καὶ Κόνωνος, ἀνῆλθε πλῆθος Σαρακηνῶν διὰ πολλῶν πλοίων τὸν ἀριθμὸν χιλίων ἐννακοσίων κατὰ τῆς μεγίστης ταύτης Κωνσταντινουπόλεως, βουλομένων πολιορκῆσαι αὐτήν, καὶ δὴ τοῦ βασιλέως προθεμένου δοῦναι αὐτοῖς πάκτα, αὐτοὶ καὶ φύλακας τῇ πόλει ἐγκαταστῆσαι ἀπῄτουν. Ὅθεν εἰς ἀπορίαν τῶν πραγμάτων ὄντων, τῇ Θεοτόκῳ ἱκέτευον ἐπαμῦναι τὴν πόλιν αὐτῆς καὶ κινδυνεύουσαν διασῶσαι. Ἀκούει τούτων ἡ θεομήτωρ· καὶ πρῶτον μὲν τὸν ψιλῷ ὀνόματι Σοφίαν τὴν τοῦ Θεοῦ μεγάλην ἐκκλησίαν καλέσαντα καὶ τὴν πόλιν Κωνσταντίαν Ἀγαρηνὸν εἰς βάραθρον σὺν τῷ ἵππῳ κατεκοίμησεν καὶ τῷ θανάτῳ παρέπεμψεν. Ἔπειτα δὲ καὶ τὸν ἐφ' ὑψηλοῦ ξύλου ἀνελθόντα κηρῦξαι τὴν μιαρὰν αὐτῶν προσευχὴν...[2] καὶ τοῖς Βουλγάροις[3] δὲ συμβαλέσθαι ᾠκονόμησεν καὶ δισμυρίους Ἀγαρηνοὺς κατασφαγῆναι καὶ τὰ πλοῖα αὐτῶν ἄλλο ἀλλαχοῦ διασκεδάσασα ἀφανισμῷ τελείῳ παρέπεμψεν· καὶ εἰς τοσαύτην αὐτοὺς ἀνάγκην λιμοῦ περιέστησεν, ὡς σαρκῶν ἀνθρωπίνων καὶ ἑρπετῶν καὶ μυῶν καὶ τῆς ἰδίας κόπρου μεταλαβεῖν. Σουλειμὰν δὲ τὸν πρῶτον αὐτῶν καὶ αἰδεσθῆναι τὴν ἄχραντον αὐτῆς εἰκόνα πεποίηκεν καὶ πεζὸν ἐν τῇ πόλει εἰσελθεῖν παρεσκεύασεν καὶ τῆς προπετείας καὶ αὐθαδείας αὐτοῦ καταγνῶναι· διὰ λιμοῦ γὰρ καὶ λοιμοῦ καὶ ναυαγίων πλῆθος πολὺ τῶν

— [2] *nonnulla desunt, supple ex* S αὐτίκα καὶ αὐτὸς κτλ. — [3] Βουλγαρίοις D.

μιαρῶν Ἀγαρηνῶν καταπεσεῖν ποιήσασα τὴν ἑαυτῆς πόλιν κραταιᾷ παλάμῃ διεσώσατο. — 4. 1 : Aug. 16. Συνέφθασε δὲ πάλιν καὶ ἡ ἀνάμνησις τῆς ἀχειροτεύκτου μορφῆς τοῦ κυρίου καὶ Θεοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ τῆς Ἐδεσηνῶν πόλεως εἰς ταύτην τὴν θεοφύλακτον καὶ βασιλίδα πόλιν. Δεῖ δὲ καὶ περὶ τούτου μικρὰ διαλαβεῖν. Τῆς αὐτοαγαθότητος[4] τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πολλὰ θαύματα θεοπρεπῶς κατεργασαμένου καὶ ἐν τοῖς[5] ἁπάντων στόμασιν ᾀδομένου, φθάνει ἡ φήμη μέχρι καὶ αὐτοῦ τοπάρχου τῆς Ἐδεσηνῶν πόλεως, ὀνόματι Αὐγάρου[6]· ὃς ὑπὸ μελαίνης λέπρας καὶ ἀρθρίτου πονηροτάτου κατεδαπανᾶτο καὶ ἐπεθύμει αὐταῖς ὄψεσι τὸν τοιούτων θαυμάτων αὐτουργὸν θεάσασθαι. Καὶ μὴ δυνάμενος γράφει πρὸς αὐτὸν ἐπιστολὴν δεητικήν, καὶ δι' Ἀνανίου, ὃς καὶ τῆς ζωγραφικῆς ἐπιστήμης μετεῖχεν, ἐκπέμπει, ἐντειλάμενος καὶ τὴν μορφὴν αὐτοῦ ἱστορήσαντα ἀγαγεῖν. Φθάνει τὰ Ἱεροσόλυμα ὁ Ἀνανίας, ἀποδίδωσι τὴν ἐπιστολὴν τῷ Χριστῷ, ἀγωνίζεται καὶ τὴν θείαν αὐτοῦ μορφὴν δι' ὑλικῶν χρωμάτων χάρτῃ ἐγγράψαι, ἀπορεῖ· οὐδαμῶς γὰρ ἠδύνατο τοῦ ἀκαταλήπτου, κατὰ τὸν τῆς θεότητος λόγον, καταλαβεῖν τὴν μορφήν. Ὁ τῶν κρυπτῶν γνώστης τὸ λάθρα γινόμενον φανεροῖ· πῶς δὴ τοῦτο; Ὕδωρ αἰτεῖ, νίπτει τὸ ἄχραντον αὐτοῦ καὶ θεῖον πρόσωπον ὕδατι, σινδόνι τοῦτο ἐναπομάττει, ὢ τοῦ θαύματος, καὶ τὸ ἁπλῶς ὕδωρ εἰς χρωμάτων καταπήγνυται θέσιν καὶ βαφικὰ λέμματα[7] τὴν σινδόνα ἔχουσαν τῷ Ἀνανίᾳ ὁ Χριστὸς ἀποδίδωσιν, « Ἀπόδος τῷ ἀποστείλαντί σε, »

— [4] αὐτοῦ ἀγαθότητος D. — [5] *corr., prius* τοῖ D. — [6] (ᾀδομένων φθάνει ... - Αὐγάρου) *ita corr. rec. in marg.* D, *prius* γ... Ἐδέσσης. — [7] *ita forte legendum*, βάθει καὶ λάμματα D.

Aug. 16. βητον καὶ τὴν θρυαλλίδα ἐν τοσούτῳ χρόνῳ μὴ ἀποσβεσθεῖσαν, ἀλλὰ καὶ τὸν πρὸς φυλακὴν ἐπιτεθέντα πρὸ τοῦ λύχνου κέραμον ἕτερον ὁμοίωμα | (f. 286v.) ἀπαράλλακτον τοῦ πρωτοτύπου [79] ἐκτυπωθέντα· καὶ τούτων τοῖς πᾶσι δειχθέντων [80], ἀφάτου χαρᾶς καὶ εὐχαριστίας ἅπαντα [81] ἐπληρώθησαν. Τοῦτο λαβὼν ὁ ἐπίσκοπος καὶ λιτανεύσας καὶ εὐχαριστήσας κατέλαβε [82] τὸν τόπον, καθ' ὃν οἱ Πέρσαι διώρυττον καὶ ἀπὸ [83] τοῦ τῶν χαλκωμάτων ἤχου κατάφωροι καθεστήκεσαν. Ὡς δὲ [84] ἀλλήλων ἐγγὺς ἐγένοντο, ἀπὸ τῆς λυχνίας ἐκείνης ἔλαιον ἐπιστάξας εἰς τὸ ηὐτρεπισμένον πῦρ, πάντας ἀπώλεσεν ἄρδην [85]. Ἀλλὰ καὶ τὴν ἔξωθεν ἀναφθεῖσαν πυρὰν κατὰ τῶν ἔνδον, ἣν ἄπειρος ὕλη ὑπέτρεφε, τῶν συχνῶν κατακοπέντων δένδρων [86], ὡς πλησίον ἐγένετο ὁ ἐπίσκοπος μετὰ [87] τοῦ θείου ἐκτυπώματος, ἐξαίφνης βίαιος ἄνεμος ἐγερθεὶς κατὰ τῶν ἀναφλεγόντων [88] τὴν πυρκαϊὰν τὴν φλόγα ὑπέστρεφε [89] καὶ ἐδίωκε τούτους καὶ ἐνεπύριζε. Ταῦτα παθόντες <μᾶλλον [90]> ἢ δράσαντες οἱ Πέρσαι ὑπεχώρησαν ἄπρακτοι. Ἐπεὶ δὲ πρὸς τὴν βασιλεύουσαν τῶν πόλεων τὰ πανταχόθεν συνερρύη [91] κάλλιστα, ἦν δὲ ἄρα [92] θεῖον βούλημα καὶ τὴν ἱερὰν ταύτην καὶ ἄχραντον εἰκόνα [93] μετὰ τῶν ἄλλων ἀποθησαυρισθῆναι καλῶν, ὁ τῆς Ῥωμαίων κυριεύων ἀρχῆς Ῥωμανὸς σπούδασμα ποιεῖται καὶ ταύτην καταπλουτίσαι τὴν βασιλεύουσαν. Καὶ δὴ κατὰ διαφόρους καιροὺς ἀποστείλας πρὸς [94] τὴν Ἔδεσαν καὶ αἰτήσας τὸ θεανδρικὸν ἐκτύπωμα καὶ ἀνταιτηθεὶς [95] ἀργύρου ἐπισήμου χιλιάδας δύο πρὸς μυριάδι μιᾷ καὶ διακοσίους Σαρακηνούς, οὓς ἔτυχε τότε κατέχων, καὶ τῇ ἐφέσει τοῦ τοιούτου καλοῦ πρὸς πάντα ὑπείξας [96] καὶ ἀσφαλισάμενος τοῦ μὴ πολεμίως τὰ τῶν Ῥωμαίων στρατεύματα κατὰ τῶν τεσσάρων πόλεων ἐπέρχεσθαι [97], ἐπέτυχε τῆς αἰτήσεως τὰ αἰτηθέντα πάντα ἐκπληρώσας. Ἐπεὶ δὲ συνεχώρει τε γενέσθαι καὶ παρεχώρησεν ὁ ἀμηρᾶς [98], λαβόντες οἱ ἐπίσκοποι ὅ τε τῶν Σαμοσάτων καὶ <ὁ [99]> τῆς Ἐδέσης καὶ ἕτεροί τινες τῶν εὐλαβῶν τὸ ἅγιον ἐκεῖνο ἀπεικόνισμα καὶ τὸ χριστόγραφον ἐπιστολίδιον [100] εἴχοντο τῆς ὁδοῦ· καὶ πάλιν ἄπειρα ἐτελεῖτο θαύματα. Ὡς δὲ κατήντησαν ἐν τῷ τῶν Ὀπτιμάτων [101] θέματι, ἐν τῷ τῆς Θεοτόκου ναῷ τοῦ [102] Εὐσεβίου λεγομένῳ, πολλοὶ προσελθόντες μετὰ πίστεως ἀπὸ ποικίλων νόσων ἰάθησαν. Ἔνθα καί τις προσῆλθεν ὑπὸ δαίμονος ἐνοχλούμενος καὶ τάδε οἱονεὶ ἀπεφοίβαζεν· « Ἀπόλαβε, λέγων, Κωνσταντινούπολις δόξαν καὶ τιμὴν » καὶ χαράν· καὶ σύ, Πορφυρογέννητε, τὴν βασιλείαν σου, » | (f. 287.) καὶ παραυτὰ [103] ἰάθη ὁ ἄνθρωπος. Τῇ δὲ πεντεκαιδεκάτῃ τοῦ αὐγούστου μηνὸς κατὰ τὸ ἑξακισχιλιοστὸν τετρακοσιοστὸν πεντηκοστὸν δεύτερον ἔτος τῆς τοῦ κόσμου γενέσεως, κατέλαβον τὸν ἐν Βλαχέρναις ναὸν τῆς ὑπεραγίας Θεοτόκου οἱ τὸ ἅγιον [104] διακομιζόμενοι, ὃ καὶ σεβασμίως καὶ περιχαρῶς ἀπεδέχθη καὶ προσεκυνήθη παρὰ τῶν βασιλέων καὶ τῶν ἐν τέλει καὶ τῶν λοιπῶν. Τῇ δὲ ἐπαύριον μετὰ τὸν ἀσπασμὸν καὶ τὴν προσκύνησιν ἀράμενοι τὴν τοῦ Χριστοῦ εἰκόνα ἐπὶ τῶν ὤμων ὅ τε [105] ἀρχιερεὺς Θεοφύλακτος καὶ οἱ νεάζοντες βασιλεῖς, — ὁ γὰρ γέρων δι' ἀσθένειαν ἀπελείπετο [106] — ἀλλὰ καὶ οἱ τῆς γερουσίας ἅπαντες μετὰ παντὸς τοῦ τῆς ἐκκλησίας πληρώματος τῇ προσηκούσῃ δορυφορίᾳ παρέπεμπον μέχρι τῆς Χρυσῆς πόρτης. Εἶτα ἐκεῖθεν πάλιν ἀναλαβόμενοι, ὁμοίως μετὰ ψαλμῶν καὶ ὕμνων καὶ ἀπείρων λαμπάδων καὶ φώτων κατέλαβον τὸν περιώνυμον καὶ μέγιστον ναὸν τῆς ἁγίας Σοφίας [107], κἀκεῖσε τὴν ἁρμόζουσαν τάξιν πεποιηκότες, ἀνῆλθον εἰς τὰ βασίλεια καὶ εἰσελθόντες ἐν τῷ ναῷ τῆς Θεοτόκου, τῷ ἐπιλεγομένῳ τοῦ Φάρου, ἐκεῖσε κατέθεντο τὸ τίμιον καὶ ἅγιον ἐκτύπωμα τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος [108] ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς δόξαν πιστῶν, εἰς φυλακὴν βασιλέων, εἰς ἀσφάλειαν ὅλης τῆς πόλεως καὶ τῆς τῶν χριστιανῶν καταστάσεως [109].

— [79] τῷ πρωτοτύπῳ Mc. — [80] (τοῖς - δειχθέντων) ἀναδειχθέντων καὶ θεαθέντων Mc. — [81] ἅπαντες Mc. — [82] Mc, κατέλαβον S. — [83] καὶ γὰρ ἐκ Mc. — [84] καὶ ὡς Mc. — [85] ἄρδην ἀπ. Mc. — [86] (τὴν - δένδρων) ἔξωθεν ἀπὸ τῶν Περσῶν ἀναφθείσης πυρᾶς κατὰ τῶν ἔνδον ἣν ἡ ἄπειρος ὕλη τῶν κ. συχνῶν δ. ὑπέτρεφεν Mc. — [87] καὶ *add.* Mc. — [88] ἀναπτόντων Mc. — [89] ὑπέστρεψε Mc. — [90] Mc, *om.* S. — [91] πόλεων πάντα σ. τὰ Mc. — [92] *om.* Mc. — [93] ἐν ταύτῃ *add.* Mc. — [94] εἰς Mc. — [95] ἀνατιθεὶς Mc, ἀνταιτηθὲν S. — [96] συγκαταθέμενος Mc. — [97] ἐκείνων π. εἰσιέναι Mc. — [98] (τὰ - ἀμηρᾶς) καὶ ἐπεὶ παρεχωρήθη παρὰ τοῦ ἀμηρᾶ Mc. — [99] Mc, *om.* S. — [100] ἐπιστόλιον Mc. — [101] Ὀπτημάτων S, Mc. — [102] τῷ Mc. — [103] παραυτίκα Mc. — [104] τῆς Θ. ν. οἱ τ. ἅ. ἐκτύπωμα Mc. — [105] ὁ *add.* S. — [106] ἀπολέλειπτο Mc. — [107] τῆς τοῦ Θ. σ. ναὸν Mc.

Aug. 16. εἰπών, καὶ πρὸς τούτοις τὴν πανταχόσε περιφερομένην ἐπιστολὴν [8] καὶ ἐν τοῖς ἁπάντων κειμένην στόμασιν. Ἅπερ ὁ Αὔγαρος [9] δεξάμενος καὶ τὴν μὲν ἐπιστολὴν ἀναγνοὺς τὴν θείαν δὲ ἐκείνην σινδόνα, καθ' ἣν τὸ ἐκτύπωμα τῆς μορφῆς τοῦ Χριστοῦ, σχετικῶς προσκυνήσας καὶ ὅλῳ τῷ σώματι προσαψάμενος, τῶν ἀνιάτων παθῶν ἐκείνων ἐλευθεροῦτο. Διὸ καὶ Θαδδαίου τοῦ ἀποστόλου μετὰ τὸ σωτήριον πάθος πρὸς αὐτὸν παραγενομένου, οὐκ ἀνεβάλετο ὁ Αὔγαρος [10] ἀλλὰ πανοικὶ προσῆλθε τῷ θείῳ βαπτίσματι· ἐντεῦθεν παντοίως τιμᾶσθαι καὶ παρὰ πάντων ὁ Αὔγαρος [9] βουλόμενος τὸ θεῖον ἐκεῖνο τοῦ Χριστοῦ ἀφομοίωμα, τὸ πρὸ τῆς δημοσίας πύλης τῆς πόλεως ἑλληνικὸν ἄγαλμα ἱστάμενον καθελὼν τὴν ἀχειρότευκτον ταύτην εἰκόνα ἀντ' αὐτοῦ ἀντεστήλωσε, δόγμα ἐκθέμενος πάντα τὸν ἢ ἐξερχόμενον ἢ εἰσερχόμενον πρότερον τῇ θείᾳ εἰκόνι προσκυνεῖν καὶ οὕτω πρόσω βαίνειν, ἐπιγράψας καὶ ταῦτα· « Χριστέ, ὁ Θεός, ὁ εἰς σὲ ἐλπίζων οὐκ ἀποτυγχάνει ποτέ. » Χρόνος ἔρρει πολὺς καί τις τὴν ἀρχὴν τῆς πόλεως εἰδωλολάτρης παραλαβών, τὴν μὲν θείαν τοῦ Χριστοῦ εἰκόνα καθελεῖν ἠβουλήθη, δαιμονικὴν δὲ στήλην ἀντ' ἐκείνης ἐνιδρῦσαι τῷ τόπῳ. Τοῦτο γνοὺς ὁ ἐπίσκοπος τῆς πόλεως τὴν ἐνδεχομένην ἔθετο πρόνοιαν. Ἐπειδὴ γὰρ κυλινδροειδὴς ὑπῆρχεν ὁ τόπος, θρυαλλίδα πρὸς τῇ θείᾳ εἰκόνι ἀνάψας καὶ κέραμον ἐπιθεὶς τιτάνῳ τε καὶ πλίνθοις ἔξω τὸ ἐμβαδὸν [11] ἀποφράξας εἰς ὁμαλὴν ἐπιφάνειαν τὸ τεῖχος ἀπηύθυνε· καὶ ἐν τῷ μὴ ὁρᾶσθαι ἀπέστη τῆς ἐγχειρήσεως ὁ δυσσεβής. Τί τὸ ἐντεῦθεν; ἠγνοήθη τῷ χρόνῳ ὁ θησαυρός· οἱ Πέρσαι τὴν πόλιν Ἔδεσαν [12] ἑλεῖν παρεγένοντο, εἰς ἀμηχανίαν [13] κατέστη τοῖς

— [8] καὶ ἐν τοῖς ἁπάντων κειμένην ἐπιστολὴν *add.* D, *sed corr. del.* — [9] Ἄγβαρος D. — [10] *corr., prius* Ἄγβαρος. — [11] *ita* D, *rescriptum* τῶν οὐδῶν. — [12] Ἔδεσσαν D. — [13] *corr. rec. prius* μηχανίαν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Διομήδους. Οὗτος ἦν ἐκ Ταρσοῦ τῆς Κιλικίας, φὺς μὲν ἐκ γένους ἐπισήμου καὶ ἀγαθοῦ· ἀγαθώτερος δὲ κατὰ τοὺς τρόπους γενόμενος, μετήρχετο [1] τὴν ἰατρικὴν τέχνην θεραπεύων, παρ' οἷς γένοιτο, τὰς μὲν [2] ψυχὰς [3] θεοσεβείᾳ τῇ δὲ τέχνῃ τὰ σώματα. Κατὰ δὲ τοὺς χρόνους τῆς βασιλείας Διοκλητιανοῦ καταλείψας τὴν Ταρσὸν παρεγένετο ἐν Νικαίᾳ τῆς Βιθυνίας, κἀκεῖ διὰ τῆς θεοσεβείας ἅμα καὶ τῆς κατὰ τὴν ἰατρικὴν μεθοδείας παντοίως εὐεργετῶν τοὺς προσιόντας ἑαυτῷ [4], διεβλήθη πρὸς τὸν βασιλέα. Ἐπεὶ δὲ οἱ πρὸς τὸ συλλαβέσθαι αὐτὸν παραγενόμενοι εὗρον αὐτὸν πρὸς Κύριον μεταθέμενον, ἀποτεμόντες αὐτοῦ τὴν κεφαλὴν πρὸς τὸν βασιλέα ἀπήγαγον· ἣν θεασάμενος ἐκέλευσεν αὖθις ἀπενεχθῆναι καὶ προστεθῆναι τῷ σώματι. Ἀπενεχθείσης δὲ αὐτῆς καὶ συναρμοσθείσης τῷ σώματι, | (f. 287v.) λέγεται παραυτίκα τοὺς ἀπάγοντας [5] αὐτὴν στρατιώτας ἀπολαβεῖν τῶν [2] οἰκείων ὀφθαλμῶν τὴν ἐνέργειαν, ἣν ἀπέβαλον ἐν τῷ τοῦ ἁγίου τεμεῖν τὴν [6] κεφαλήν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου [7], πλησίον τῆς Χρυσῆς πόρτης.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἀνάμνησιν ποιούμεθα τῆς περὶ ἡμᾶς μεγίστης καὶ [1] ἀνυπερβλήτου [1] τοῦ Θεοῦ φιλανθρωπίας [2], ἧς ἐνεδείξατο τότε ἀποστρέψας [3] μετ' αἰσχύνης τοὺς ἀθέους Ἀγαρηνούς [4]. Ἐν ἀρχῇ γὰρ [5] τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, <τοῦ [6]> καὶ Κόνωνος, ἀνῆλθε πλῆθος Σαρακηνῶν διὰ πολλῶν πλοίων τὸν ἀριθμὸν χιλίων ἐννακοσίων [7] κατὰ τῆς μεγίστης ταύτης καὶ θεοφυλάκτου Κωνσταντινουπόλεως [8] βουλομένων [9] πολιορκῆσαι αὐτήν. Οὗτοι προκαταλαβόντες τὴν τῶν [5] Περσῶν βασιλείαν, ἥτις ἐπὶ χρόνοις πολλοῖς τῇ Ῥωμαϊκῇ βασιλείᾳ ἀντεπαρετάξατο [10], εἶθ' οὕτως πρὸς τὴν Αἴγυπτον καὶ Λιβύην, διδόντες λόγον τοῖς χριστιανοῖς [11], ὡς οὐ βιάσονται αὐτοὺς παραβῆναι τὴν ὀρθόδοξον πίστιν [12], οὐκ ἐφύλαξαν [13]· διὸ καὶ πολλοὺς μάρτυρας ἀπέδειξαν διὰ τὸ μὴ πατῆσαι [14] αὐτοὺς τὸν τίμιον τοῦ Χριστοῦ σταυρόν [15]· ὅμως πᾶσαν τὴν γῆν ληϊσάμενοι, Ἰνδοὺς [16] καὶ Αἰθίοπας καὶ τὰ Μαυρούσια ἔθνη, Λίβυάς τε καὶ Ἱσπανούς, ἔρχονται καὶ ἐπὶ τὴν [5] Κωνσταντινούπολιν βουλόμενοι καὶ ταύτην ἑλεῖν [17]. Τοῦ δὲ βασιλέως Λέοντος προθεμένου δοῦναι αὐτοῖς πάκτα, αὐτοὶ καὶ φύλακας τῇ πόλει ἐγκαταστῆσαι ἀπῄτουν. Διατρέχοντες δὲ οἱ πολέμιοι [18] ἔξω τοῦ τείχους, εἷς τις [19] ἐξ αὐτῶν βλασφήμοις ῥήμασι Κωνσταντίαν καλῶν τὴν πόλιν καὶ τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν ψιλῷ ὀνόματι Σοφίαν προσαγορεύων, εἰς βάραθρον σὺν τῷ ἵππῳ ἐμπεσὼν [20] κατερράγη. Καὶ ὁ κῆρυξ δὲ αὐτῶν ἐπί τινος ὑψηλοῦ ξύλου ἀνελθὼν τοῦ κηρῦξαι τὴν μιαρὰν αὐτῶν προσευχήν [21], αὐτίκα καὶ αὐτὸς καταπεσὼν διεσκορπίσθη. Προσβαλόντες [22] δὲ καὶ τοῖς Βουλγάροις, ἔπεσον ὑπ' αὐτῶν Σαρακηνοὶ τὸν [19] ἀριθμὸν [19] δισμύριοι· καὶ τῶν πλοίων αὐτῶν καταλαβόντων τὴν Ἀκρόπολιν [23], τῆς ἁλύσεως ἐκταθείσης ἀπὸ τοῦ περάματος ἕως τῶν | (f. 288.) Γαλάτου, οὐκ ἠδυνήθησαν εἰσελθεῖν εἰς τὸν λάκκον. Διὸ εἴς τε τὸ Στενὸν καὶ εἰς τὸ λεγόμενον Σωσθένειον [24] καὶ εἰς ἑτέρους βραχυτάτους [25] λιμένας ὁρμησάντων, τὰ πλείω τούτων

— [108] καὶ σωτῆρος *om.* Mc. — [109] ἀσφάλειαν τῆς βασιλίδος πόλεως ταύτης καὶ καύχημα παντὸς τοῦ χριστωνύμου πληρώματος Mc.

2. — [1] δὲ *add.* D. — [2] *om.* D. — [3] αὐτῶν *add.* D. — [4] αὐτῷ D. — [5] ἀπαγαγόντας D. — [6] τὴν τοῦ ἁγίου τεμεῖν D. — [7] καὶ ἀειπαρθένου Μαρίας *add.* D.

3. — [1] *om.* Mc. — [2] καὶ συμπαθείας *add.* Mc. — [3] ἡνίκα ἀπέστρεψε Mc. — [4] παμπληθεὶ ἐπιστρατεύσαντας καθ' ἡμῶν καὶ ἐρρύσατο ἡμᾶς τῇ μεσιτείᾳ τῆς ὑπεραγίας ἡμῶν δεσποίνης καὶ θεομήτορος *add.* Mc. — [5] *om.* Mc. — [6] Mc, *om.* S. — [7] διακοσίων Mc. — [8] πόλεως Mc. — [9] βουλόμενοι Mc. — [10] ἀντιπαρετάξατο Mc. — [11] λόγον δόντες χ. Mc. — [12] τὴν οἰκείαν πίστιν ἀρνήσασθαι Mc. — [13] τὰ ὑπεσχημένα *add.* Mc. — [14] καταπατῆσαι Mc. — [15] στ. τοῦ Χ. Mc. — [16] τε *add.* Mc. — [17] ἑλεῖν καὶ τ. β. Mc. — [18] διατρεχόντων δὲ τῶν πολεμίων Mc. — [19] *om.* Mc. — [20] πεσὼν Mc. — [21] αἵρεσιν Mc. — [22] προσβαλλόντες S. — [23] καὶ *add.* Mc. — [24] Σωσθένιον Mc. — [25] βραχυτέρους Mc.

πολίταις τὰ πράγματα, πρὸς Θεὸν λοιπὸν καταφεύγουσιν καὶ λύσιν ταχεῖαν τῶν περιστάσεων εὕραντο. (Aug. 16.) Μιᾶς γὰρ τῶν νυκτῶν Εὐλαλίῳ τῷ ἐπισκόπῳ τῆσδε τῆς πόλεως γυνή τις ἐνδοξοτάτη ὄναρ ἐπιστᾶσα· « Τὴν ἐπάνω, φησί, τῆσδε τῆς πύλης τῆς πόλεως κατακεκρυμμένην θείαν τοῦ σωτῆρος Χριστοῦ » μορφὴν ἀχειροποίητον λαβών, πάντα αἰσίως πράξεις. » Ὃς τὸν δειχθέντα τόπον αὐτῷ καταλαβὼν καὶ ἀνορύξας, εὗρε μέν, ὢ τοῦ θαύματος, τὴν θείαν εἰκόνα ἀδιαλώβητον καὶ τὴν θρυαλλίδα ἐν τοσούτῳ χρόνῳ μὴ ἀποσβεσθεῖσαν, τὸν πρὸς φυλακὴν δὲ ἐπιτεθέντα κέραμον ἕτερον ὁμοίωμα ἀπαράλλακτον τοῦ πρωτοτύπου ἐκτυπωθέντα. Τὴν ὀπτασίαν οὖν κατακολουθῶν ὁ ἐπίσκοπος ἣν ἐθεάσατο καὶ ἐν διαφόροις τόποις κατάφοβος τοῖς Πέρσαις, κρατῶν τὴν θείαν εἰκόνα, γεγονώς, ὡς ἀπὸ προσώπου πυρὸς ἐδιώκοντο· καὶ λοιπὸν πλείω ὧν ἤλπισαν δρᾶσαι παθόντες οἱ Πέρσαι ἄπρακτοι ὑπεχώρησαν. Ἐπεὶ δὲ πρὸς τὴν βασιλεύουσαν τῶν πόλεων τὰ πανταχόθεν συνερρύη κάλλιστα, ἦν δὲ ἄρα θεῖον βούλημα καὶ τὴν ἱερὰν ταύτην καὶ ἄχραντον εἰκόνα μετὰ τῶν ἄλλων ἀποθησαυρισθῆναι καλῶν, ὁ τῆς Ῥωμαίων κυριεύων ἀρχῆς, Ῥωμανὸς δὲ οὗτος ἦν, δύο χιλιάδας ἀργύρου ἐπισήμου πρὸς μυριάδι μιᾷ καὶ διακοσίους Σαρακηνούς, οὓς ἔτυχε τότε κατέχων, παρὰ τοῦ τὴν Ἔδεσαν [11] τότε κρατοῦντος αἰτηθεὶς ἀμηρᾶ δέδωκεν καὶ ταύτης καταπλουτεῖται. Ἐπεὶ δὲ ταύτην καὶ τὸ χριστόγραφον ἐπιστολίδιον οἱ συνεληλυθότες ἐπίσκοποι ἀνελάβοντο καὶ τῇ Ῥωμαίων γῇ προσεπέλασαν, παντοῖα ἐξ ἀνθρώπων ἐδραπέτευον [14] πάθη· ἀλλὰ καὶ δαίμονες ὧδέ πως ἐλαυνόμενοι ἀπεφοίβαζον, « Ἀπόλαβε, λέγοντες, Κωνσταντινούπολις, δόξαν καὶ » χαράν· καὶ σύ, Πορφυρογέννητε, τὴν βασιλείαν σου. » Τῇ πεντεκαιδεκάτῃ δὲ τοῦ αὐγούστου μηνὸς

— [14] *corr.* D, *prius* ἐδραπευέτευον.

Aug. 16. συνετρίβησαν ὑπὸ τοῦ χειμῶνος· τὰ δὲ μείζονα οἱ Ῥωμαῖοι πυρπολοῦσι. Χρονοτριβήσαντες[26] δὲ καὶ πάντα ἀφειδῶς τὰ προστυχόντα ἀφανίσαντες καὶ μηδὲν πρὸς φυλακὴν[27] τὴν ἑαυτῶν καταλελοιπότες, ἡ μὲν πόλις λίαν ἐστενοχωρεῖτο τροφὰς μηδ'[28] αὐτὴ ἔχουσα, αὐτοὶ δὲ εἰς μεγάλην ἀνάγκην ἑαυτοὺς περιέστησαν. Εἰς τοιαύτην γὰρ ἦλθον ἀπόγνωσιν[29] λιμοῦ, ὡς σαρκῶν ἀνθρωπίνων καὶ ἑρπετῶν καὶ μυῶν καὶ ζῴων τεθνηκότων γεύσασθαι[30], ὕστερον δὲ καὶ τὴν ἀνθρωπίνην κόπρον μετὰ βραχυτάτου φυράματος προσμάττοντες ἤσθιον. Ὅθεν πλεῖστοι τῶν μεγιστάνων αὐτῶν τῇ πόλει προσερρύησαν. Μετὰ δὲ ταῦτα ἀπαίρουσιν ἐκ τοῦ χερσαίου τείχους[31] καὶ ἔρχονται ἐν Συκαῖς καὶ ἐν ταῖς Πηγαῖς· καὶ εὑρηκότες ἄνδρα ἐπὶ ἐγκλήμασι[32] κατεγνωσμένον καὶ προσφυγόντα εἰς[33] αὐτούς, ἀναγορεύουσιν αὐτὸν βασιλέα Ῥωμαίων, περιστήσαντες αὐτῷ καὶ δορυφόρους· καὶ σπονδὰς θέμενοι πρὸς αὐτόν, περιῆγον τὸ τεῖχος εὐφημίας ἐγκωμίων αὐτῷ περιάπτοντες καὶ τὴν πίστιν τῶν χριστιανῶν δῆθεν μεγαλύνοντες. Ἀλλ' εἰς μάτην αὐτῶν τὸ ἐγχείρημα. Καὶ Συλλειμὰν[34] ὁ πρῶτος αὐτῶν μετὰ ταῦτα εἰσελθεῖν ἐν τῇ πόλει αἰτήσας ἱστορίας χάριν, καὶ λαβὼν λόγον ἔρχεται ἔφιππος εἰς τὸ Βοσπόριον· καὶ τῶν πρὸ αὐτοῦ εἰσελθόντων ἀβλαβῶς τὴν πόρταν, αὐτὸς οὐκ ἠδύνατο εἰσελθεῖν, τοῦ ἵππου ὀρθοβολοῦντος καὶ τοὺς πόδας ὑψοῦντος. Ὁ δὲ τὸ συμβὰν διὰ θαύματος ποιούμενος, ἀναβλέψας ὁρᾷ ὕπερθεν τῆς πόρτης[35] ἱστορημένην[36] διὰ ψηφίδων[37] τὴν δέσποιναν ἡμῶν τὴν ὑπεραγίαν Θεοτόκον καθεζομένην ἐπὶ θρόνου καὶ βαστάζουσαν ἐν ταῖς ἀγκάλαις αὐτῆς[38] τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· καὶ αὐτίκα τοῦ ἵππου ἀποβὰς πεζὸς εἰς τὴν πόλιν εἰσῆλθε[39], καταγνοὺς τῆς ἑαυτοῦ βλασφημίας, ἧς ἐβλασφήμησε. Καὶ λοιπὸν ὑπέστρεψαν οἱ Σαρακηνοὶ ἄπρακτοι, πολεμηθέντες ὑπὸ τοῦ Θεοῦ καὶ τῆς ὑπεραγίας Θεοτόκου[40] διὰ λιμοῦ τε[36] καὶ θανατικοῦ ἀποβαλόντες πολλὰ πλήθη[41]. Τὰ δὲ περιλειφθέντα αὐτῶν πλοῖα | ἐξερχόμενα κατὰ τὰ πελάγη καὶ τοὺς λιμένας καὶ τὰς ἀκτὰς καὶ τὰς ὑφάλους πέτρας διερράγησαν. f. 288v. Τὸ δὲ μέγιστον καὶ παραδοξότατον γέγονεν ἐν τῷ Αἰγαίῳ πελάγει· χαλάζης γὰρ πλῆθος ἐπὶ τὸν τόπον ἔπεσε πυρώδους, ἥτις ἐν τῷ ὕδατι βαπτιζομένη βρασμὸν ἐποίει καθάπερ[42] πεπυρωμένος σίδηρος ἐφ' ὕδατος ἐμβαλλόμενος[43]. Ὅθεν καὶ τῆς περὶ τὰ πλοῖα πίσσης λυθείσης, αὔτανδρα τῷ βυθῷ τῆς θαλάσσης[44] παρεπέμποντο· ἐξ ὧν δέκα μόνα τὸν ἀριθμὸν διασωθέντα[45] ἐν τῇ Συρίᾳ ἀπήγγειλαν. Τῇ οὖν πεντεκαιδεκάτῃ τοῦ αὐγούστου μηνὸς κατέλαβον τὴν βασιλεύουσαν· καὶ τοῦ ἐνιαυτοῦ παρῳχηκότος, πάλιν τῇ πεντεκαιδεκάτῃ τοῦ αὐγούστου μηνὸς ὑπέστρεψαν μετ' αἰσχύνης πολλῆς[46]· εὔκαιρον οὖν αὐτὸ ὡς ἀληθῶς[47] ἐκβοῆσαι καὶ εἰπεῖν[48]· « Τίς Θεὸς μέγας ὡς[49] ὁ Θεὸς ἡμῶν; Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος, ὁ λύτρωσιν τῷ λαῷ σου[50] καὶ τῇ πόλει σου διὰ τῆς παναχράντου[51] σου μητρὸς καὶ θεοτόκου Μαρίας παρέχων ἀεὶ καὶ μέχρις αἰῶνος[52]. » Ps. 76, 14, 15.

4. Τῇ αὐτῇ ἡμέρᾳ συνέφθασε καὶ ἡ μνήμη τῆς μετ'[1] οἰκτιρμῶν ἐπενεχθείσης ἡμῖν ἐν τοῖς πάλαι χρόνοις φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, ἧς παρ' ἐλπίδα πᾶσαν ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Θεὸς διὰ πρεσβειῶν τῆς αὐτὸν τεκούσης θεομήτορος[2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

Aug. 17. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μύρωνος. Οὗτος ὑπῆρχεν[1] ἐπὶ Δεκίου τοῦ βασιλέως καὶ Ἀντιπάτρου ἄρχοντος Ἀχαΐας, πρεσβύτερος τῆς ἐκκλησίας, τὸν τρόπον χρηστός, ἐκ γένους[2] ἐντίμου[3], πλούτῳ κομῶν, πρός τε Θεοῦ καὶ πρὸς ἀνθρώπων[4] φιλούμενος. Κατὰ οὖν τὴν ἡμέραν τῶν[5] Χριστοῦ γενεθλίων, τοῦ Ἀντιπάτρου εἰς τὴν ἐκκλησίαν εἰσιόντος ἐφ' ᾧ τοὺς χριστιανοὺς συλλαβεῖν καὶ τιμωρήσασθαι, ὁ ἅγιος Μύρων ζήλου πλησθεὶς ἐξύβρισεν εἰς αὐτόν· διὸ καὶ[6] κρεμασθεὶς ξέεται· καὶ ἐκκαυθείσης καμίνου ὡς διηχεῖσθαι τὴν φλόγα ἐπὶ πολὺ[7], ἐν αὐτῇ ἐβλήθη. Ἡ δὲ κάμινος τὸν μὲν ἅγιον δεξαμένη διεφύλαξεν ἀβλαβῆ· τὸ δὲ πῦρ ἐξελθὸν[8] κατέφλεξεν ἄνδρας τῶν παρεστώτων ἑκατὸν πεντήκοντα. Ὁ δὲ ἅγιος πάλιν[9] ἀναγκασθεὶς ἐπιθῦσαι[10] καὶ μὴ ὑπείξας, λωροτομεῖται ἀπὸ τῶν ὤμων ἕως τῶν ποδῶν· | ἐξ ὧν ἀναλαβὼν ἕνα ὁ μακάριος[11] εἰς τὸ πρόσωπον τοῦ ἀνθυπάτου ἠκόντισε[12], καὶ πρὸς τούτοις ἀναξέεται[13] τὰς ἐκδαρείσας σάρκας. f. 289. Καὶ μετὰ τοῦτο θηρίοις ἀφίεται· ὃν ἐξ αὐτῶν σῶον καὶ ἀπήμαντον διαφυλαχθέντα ἰδὼν ὁ Ἀντίπατρος καὶ αἰσχύνης πλησθεὶς ἀνεῖλεν ἑαυτὸν οἰκείαις χερσί. Ὁ δὲ ἅγιος[14] ἐκεῖθεν[15] ἐν Κυζίκῳ[16] ἀχθεὶς καὶ παρὰ τοῦ ἀνθυπάτου ἀπόφασιν τὴν διὰ τοῦ ξίφους λαβὼν τὸν αὐχένα ἐτμήθη, καὶ οὕτως τὸν στέφανον τῆς μαρτυρίας ἐκομίσατο[17].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις[1] τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Θύρσου, Λευκίου, Κορωνάτου καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ σύναξις αὐτῶν[2] πλησίον Ἐλενιανῶν.

3. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Αἴγλωνος τοῦ ἀναχωρητοῦ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ[1] Χριστοῦ[1] μαρτύρων Στράτωνος, Φιλίππου[2] καὶ Εὐτυχιανοῦ. Οὗτοι ἐν Νικομηδείᾳ διατρίβοντες ἐπίτηδες ἀνίασιν[3] εἰς τὸ θέατρον, ὥστε τὸν συναθροιζόμενον λαὸν κατηχεῖν καὶ τῆς εἰδωλολατρείας ἀφιστᾶν καὶ τῇ τοῦ Χριστοῦ πίστει προσάγειν. Καί ποτε κενὸν[4] ἀνθρώπων ὁ ἄρχων τὸ θέατρον[5] ἰδὼν καὶ τὴν αἰτίαν μαθών, ὅτι ὑπὸ τῶν ἁγίων μαρτύρων οἱ ὄχλοι διδασκόμενοι τὰς ἐν τοῖς θεάμασι κατέλιπον ἡδονὰς καὶ καινόν τινα μετέρχονται βίον τῶν πατρῴων ὑπεριδόντες ἐθῶν, σὺν τάχει τοὺς ἁγίους παραστῆναι ἐκέλευσεν· καὶ δὴ παραστάντες καὶ τὴν εἰς Χριστὸν πίστιν αὐτοί τε ἔχειν ὁμολογήσαντες καὶ τοὺς ἄλλους διδάσκειν, ἀχθέντες εἰς τὸ θέατρον θηρίοις ἐκδίδονται[6]. Διαφυλαχθέντες δὲ ἐξ αὐτῶν ἀβλαβεῖς καὶ τρόποις διαφόροις δοκιμασθέντες κολάσεων, τὸ τελευταῖον ἐμβληθέντες πυρὶ τὸ ὑπὲρ Χριστοῦ διηγωνίσαντο στάδιον καὶ νικήσαντες τὸν στέφανον ἔλαβον.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ[1] Χριστοῦ[1] μαρτύρων Παύλου καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ, καὶ Στρατονίκου ἐν Πτολεμαΐδι. Οὗτοι ὑπῆρχον ἐπὶ Αὐρηλιανοῦ[2] τοῦ βασιλέως ἐν Πτολεμαΐδι, ἐτύγχανον δὲ ἀδελφοὶ κατὰ σάρκα[3], φύντες εὐγενῶς καὶ τραφέντες καλῶς εὐσεβείᾳ μᾶλλον ἢ γάλακτι. Ὁ δὲ Παῦλος[4] τὰς θεοπνεύστους γραφὰς μετῆλθεν ἐπιμελῶς καὶ τὸν νοῦν αὐτῶν ἐκμελετήσας ἔτι νέος ὢν προχειρότατα τοὺς ἀντιλέγοντας ἐπεστόμιζε καὶ κῆρυξ ἔνθεος τῆς τοῦ Θεοῦ λόγου οἰκονομίας | τῆς περὶ ἡμᾶς[5] ὑπῆρχε. f. 289v. Ἐπιδημήσαντα οὖν τῇ πόλει τὸν βασιλέα ἰδών, θαρρεῖν τῇ ἀδελφῇ παρεκελεύσατο καὶ στῆναι προθύμως, ὡς μεγάλου μέλλοντος τὴν πόλιν καταλαμβάνειν[6] πειρασμοῦ· καὶ αὐτὸς[7] ἑαυτὸν ἔμπροσθεν τοῦ βασιλέως[8] τῷ τύπῳ καθώπλισε τοῦ σταυροῦ. Ἐπεὶ δὲ οὐκ ἔλαθε σφραγισάμενος, προσήχθη τῷ βασιλεῖ καὶ τὴν εἰς Χριστὸν ὁμολογήσας[9] πίστιν[10] τὴν τῶν εἰδώλων διήλεγξε ματαιότητα· ὅθεν κρεμασθεὶς ξέεται. Ὃν ἰδοῦσα ἡ ἀδελφὴ κατεβόα τοῦ τυράννου, ὡς ἀδίκως αἰκιζομένου τὸν ἀδελφόν· συλλαμβάνεται οὖν καὶ αὐτὴ καὶ κρεμασθεῖσα ξέεται, καὶ ἐν λέβητι, ἔνθα πίσσα βράζουσα ἦν, ἀμφότεροι[11] βάλλονται· καὶ ἔτι ἐπιμένοντες τῇ τοῦ Χριστοῦ πίστει, ἐπὶ κλίνης σιδηρᾶς πεπυρωμένης ἁπλοῦνται καὶ τοὺς νώτους ἄνωθεν τύπτονται. Ἔνθα Κοδράτος καὶ Ἀκάκιος οἱ δήμιοι ἀνθρώπινόν τι παθόντες καὶ τῶν ἁγίων φεισάμενοι τὰς κεφαλὰς ἀποτέμνονται· εἶτα ἐν εἱρκτῇ οἱ ἅγιοι τίθενται διαληφθέντες δεσμοῖς σιδηροῖς· οὓς ἐλθὼν διέλυσεν ἄγγελος καὶ ἄρτον αὐτοῖς παρέθηκεν, ἐξ οὗ τὴν τοῦ σώματος πληρώσαντες χρείαν τῷ Θεῷ ηὐχαρίστησαν[12]· καὶ αὖθις παραστάντες τῷ βασιλεῖ καὶ θῦσαι τοῖς εἰδώλοις μὴ βουληθέντες[13] τύπτονται. Στρατονίκου δέ τινος ἑνὸς τῶν δημίων τὴν ἁγίαν Ἰουλιανὴν κατοικτείραντος καὶ πρὸς τὸ εὐώνυμον μετακλιθέντος καὶ τῷ Χριστῷ πιστεύσαντος, ὅτι δὴ αὕτη ἡ ἁγία προετρέπετο αὐτὸν[14] μὴ φείδεσθαι ἀλλὰ ποιεῖν τὸ τοῦ βασιλέως πρόσταγμα, μανεὶς ὁ τύραννος αὐτοῦ μὲν τὴν κεφαλὴν ἀπέτεμε, τοὺς δὲ ἁγίους ἐκέλευσεν ἰοβόλοις ἑρπετοῖς συναποκλεισθῆναι· ἐξ ὧν διαμείναντες[15] ἀβλαβεῖς, τὸν μὲν ἅγιον Παῦλον τύπτεσθαι μολιβίσι, τὰς σιαγόνας προσδεθέντα πάλῳ σιδηρῷ, προστάσσει καὶ ἑκατέρωθεν ὑπὸ τεσσάρων ῥάβδων πεπυρωμένων τύπτεσθαι· τὴν δὲ ἁγίαν Ἰουλιανὴν εἰς πορνεῖον ἀπενεχθῆναι καὶ ὑπὸ ἀσώτων ἀνδρῶν ὑβρισθῆναι· οὓς προσιόντας ἄγγελος Κυρίου παραστὰς τῷ κονιορτῷ τῶν ποδῶν αὐτοῦ ἀπετύφλου. Ἀλλὰ τούτους μὲν ἡ ἁγία, εὐξαμένη καὶ ὕδωρ αὐτοῖς ἐπιχέασα, κατέστησεν ὑγιεῖς· αὕτη δὲ μετὰ τοῦ ἀδελφοῦ αὐτῆς Παύλου ἐμβάλλεται βόθρῳ πυρός. Κελεύσαντος δὲ τοῦ τυράννου ἐν αὐτῷ τῷ πυρὶ λιθοβοληθῆναι αὐτούς, | ὤφθη ἄνωθεν νεφέλη πεπληρωμένη φλογός· ἥτις πλησίον Αὐρηλιανοῦ[16] πυρὸς κατέχεεν ὄμβρον[17]. f. 290. Ὁ δὲ φοβηθεὶς ἀνένεγκεν[18] ἐκ τοῦ βόθρου τοὺς

— [26] χρονοτριβήσαντος S. — [27] τροφὴν Mc. — [28] μὴ δὲ Mc. — [29] ἀνάγκην Mc. — [30] γεύεσθαι Mc. — [31] ἐκ τοῦ χ. τείχους ἀπαίρουσι Mc. — [32] ἐπ' ἐγκλήματι Mc. — [33] πρὸς Mc. — [34] Σολυμὰν δὲ Mc. — [35] πύλης Mc. — [36] *om.* Mc. — [37] εἰκονισμένην *add.* Mc. — [38] ἐν κόλποις Mc. — [39] εἰσῆλθεν εἰς τ. π. Mc. — [40] (ὑπ. Θεοτόκου) αὐτοῦ ἀειπαρθένου μητρὸς τῆς ὑπερμάχου ἡμῶν Mc. — [41] πλ. πολλὰ Mc. — [42] ὥσπερ Mc. — [43] (ἐφ' ὕ. ἐμβ.) *om.* Mc. — [44] τ. θ. *om.* Mc. — [45] μόνα δέκα διασωθέντα τὰ Mc. — [46] (μηνὸς - πολλῆς) μετ' αἰσχύνης τὴν ὑποστροφὴν ἐποιήσαντο Mc. — [47] ὡς ἀλ. *om.* Mc. — [48] ἡμᾶς *add.* Mc. — [49] *bis scriptum in* S. — [50] *om.* Mc. — [51] ἀχράντου καὶ ἁγίας Mc. — [52] (θεοτόκου - αἰῶνος) σωτηρίαν ὑπερθαύμαστον χαριζόμενος Mc.

4. — [1] (τῇ - μετ') ἐν δὲ τῇ τοιαύτῃ περιόδῳ τοῦ ἔτους τελεῖται μνήμη τῆς μετὰ D. — [2] (διὰ - θεομήτορος) *om.* D.

1. — [1] ἦν D *ad d. Augusti 16.* — [2] (τῆς - γένους) *om.* D. — [3] ἐντίμῳ D. — [4] ἀνθρώπους S. — [5] τοῦ *add.* D.

— [6] *om.* D. — [7] πήχεις πεντήκοντα D. — [8] (τὸ - ἐξελθὲν *ita* S) ἐξελθοῦσα D. — [9] (ὁ - πάλιν) εἶτα D. — [10] θῦσαι D. — [11] ἕνα λαβὼν λῶρον ὁ ἅγιος D. — [12] ἀπέρριψεν D. — [13] ξέεται D. — [14] (οἰκείαις - ἅγιος) *om.* D. — [15] δὲ *add.* D. — [16] Κυζήκῳ ὁ ἅγιος μάρτυς *om.* D. — [17] (καὶ - ἐκομίσατο) *om.* D.

2. — [1] μνήμη D *ad d. Augusti 16.* — [2] αὐτῶν σύναξις D.

4. — [1] *om.* D. — [2] Φιλλίππου D. — [3] ἀνίεσαν D. — [4] καὶ νῦν S, καινὸν D. — [5] θ. ὁ ἄρχων D. — [6] ἀφίενται D.

5. — [1] *om.* D. — [2] Αὐριλιανοῦ D. — [3] Ἰουλιανὴ καὶ ὁ Παῦλος *add.* D. — [4] καὶ *add.* D. — [5] λόγου π. ἡμ. οἰκονομίας D. — [6] καταλαβεῖν D. — [7] *om.* D. — [8] ἔμπ. τ. β. *om.* D. — [9] ὡμολόγησε D. — [10] καὶ *add.* D. — [11] *corr., prius* ἀμφότερα S. — [12] εὐχαρίστησαν D. — [13] ἀναρτιθέντες *add.* D. — [14] αὐτῶν D. — [15] διαμείναντας D. — [16] Αὐριλιανοῦ D. — [17] ὄμβρους D — [18] ἀνήγαγεν D.

Aug. 16. τὸν θησαυρὸν τοῦτον ἀπελάβομεν, ὃν ὅ τε βασιλεὺς καὶ ὁ ἀρχιερεὺς καὶ ἁπλῶς ἅπαντες μετὰ πλείστης ὅσης καὶ χαρᾶς δεξάμενοι καὶ πιστῶς προσκυνήσαντες καὶ κατασπασάμενοι, ἔκτοτε πανήγυριν φαιδρὰν τὴν ἔλευσιν τοῦ θείου ἐκτυπώματος τῆς θεανδρικῆς μορφῆς Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ποιούμεθα. — 2. — Μύρωνος (Aug. 17[1]). — Θύρσου κτλ. — Αἴγλωνος. — **Da** : 3. 4. 1. 2. — Μύρωνος κτλ. — Θύρσου κτλ. — Αἴγλωνος. — **Db** : 3. 4. 1. 2. — Μύρωνος. — Θύρσου κτλ. — Αἴγλωνος. — **K** : 3. 4. 1. 2. — Θύρσου κτλ. — Αἴγλωνος. — **N** : 3. 4. 1. 2. — **Bb** : 2. — Μύρωνος. — **Bc** : 2. — Μύρωνος. — **C** : 3. 2. — Μύρωνος. — Θύρσου κτλ. — Αἴγλωνος. — 1 : ἀνάμνησις τῆς ἀχειροποιήτου εἰκόνος τοῦ Κυρίου ἐν τῷ ἁγίῳ μανδιλίῳ. — **Ce** : 3. 2. — Μύρωνος. — Θύρσου κτλ. — **Cg** : 3. 2. — Μύρωνος. — Θύρσου κτλ. — Αἴγλωνος. — **R** : 3. — **Ra** : 2. — Θύρσου κτλ. — Αἴγλωνος. — **Rb** : 2. — Θύρσου κτλ. — Αἴγλωνος. — **Rc** : 2. — Θύρσου κτλ. — Αἴγλωνος. — **Mc** : 2. — Χαιρήμων ἐν εἰρήνῃ τ. — Ῥαβουλᾶς ἐν εἰρήνῃ τ. — **Mv** : 2. — Χαιρήμων. — Ῥαβουλᾶς. — Οἱ ἅγιοι λγ' οἱ ἐκ Παλαιστίνης π. τ. — 1. 3. — Ἡ ἐν τῷ ναῷ τῆς Πηγῆς τοῦ ἁγιάσματος ἐξάντλησις καὶ αὖθις ἀνάδοσις. — 4. — **Mr** : 1. 2.

Aug. 17. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 5. 6. — **P** : 5. 4. — **D** : 5. 4. 6. — **Da** : 5. 4. 6. — **Db** : 5 mutil. — **K** : 5. 4. — **N** : 1. 2. 3. 4. — **Bb** : 5. 4. — **Bc** : 5. 4. — **C** : 5. 4. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἡλιοῦ τοῦ νέου. — Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τῆς ἁγίας μάρτυρος Ἀγάθης (in marg.). — **Ce** : 5. — **Cg** : 5. 4. — **R** : 1. 5. 4. — **Ra** : 1. — **Rb** : 1. 4. 6. — **Rc** : 1. — Οὐρσικίνου (Aug. 14[3]). —

Aug. 17. ἁγίους· καὶ ἐκέλευσε ξύλῳ [19] προσδεθῆναι αὐτοὺς καὶ λαμπάσι τὰς ὄψεις αὐτῶν καὶ ὅλον τὸ σῶμα καταφλεχθῆναι καὶ μετὰ τοῦτο τὰς κεφαλὰς αὐτῶν ἀποτμηθῆναι [20]. Τούτου δὲ γενομένου εὐκλεῶς οἱ καλλίνικοι τὸν ὑπὲρ Χριστοῦ τῆς [21] μαρτυρίας στέφανον ἀνεδήσαντο.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἡ σύναξις [1] τῆς ὑπεραγίας [2] Θεοτόκου [3] ἐν τοῖς Ἁρματίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Aug. 18. **1.** Ἄθλησις τῶν ἁγίων τοῦ [1] Χριστοῦ [1] μαρτύρων Φλώρου καὶ Λαύρου [2]. Οὗτοι οἱ [1] ἅγιοι [1] ἀδελφοὶ ὑπῆρχον δίδυμοι, λιθοξόοι τὴν τέχνην, ἣν ἐπαιδεύθησαν ὑπὸ Πρόκλου καὶ Μαξίμου. Μετὰ δὲ τὴν τῶν διδασκάλων ὑπὲρ Χριστοῦ μαρτυρίαν, καταλιπόντες τὰς ἐν Βυζαντίῳ διατριβάς, παρεγένοντο ἐν τῷ Ἰλλυρικῷ ἐν χώρᾳ τῆς Δαρδανίας ἐν πόλει Οὐλπιανῶν, ἔνθα παρὰ Λυκίωνι [3] τῷ ἡγεμόνι μέταλλά τινα διερευνῶντες τὴν οἰκείαν τέχνην εἰργάζοντο. Εἶτα παρ' αὐτοῦ ἀποστέλλονται πρὸς Λικίνιον [4], τὸν υἱὸν Ἐλπιδίας τῆς βασιλίσσης. Οἷς ὁ Λικίνιος παρέσχετο χρήματα καὶ τὴν διὰ χειρῶν βοήθειαν, καὶ ἐκέλευσεν αὐτοῖς [5] ἀνεγεῖραι τοῖς εἰδώλοις ναόν, τυπώσας αὐτὸν καὶ διαγράψας ἐν σχήματι [6]. Οἱ δὲ ἅγιοι τὰ μὲν χρήματα τοῖς ἐνδεέσι διένειμαν, καὶ νυκτὸς τῇ πρὸς [7] Θεὸν ἐσχόλαζον προσευχῇ. Μεθ' ἡμέραν δὲ τῶν ἔργων ἁπτόμενοι, θᾶττον τὸν ναὸν ἐκαλλιέργουν καὶ ἐξεπόνουν. Ὡς δὲ δι' ὀλίγων [8] ἡμερῶν συνετελέσθη καὶ τὸν ἀπαρτισμὸν ἔλαβεν, ἀγγέλου συναντιλαμβανομένου καὶ τοὺς ἁγίους συνεπισχύοντος, εὐθὺς Μερεντῖνος ὁ ἱερεὺς ἐπίστευσεν εἰς τὸν Χριστόν, ἤδη προπιστεύσαντος καὶ τοῦ υἱοῦ αὐτοῦ Ἀναστασίου διὰ τὸ ἀνοιχθῆναι τὸν τυφλὸν αὐτοῦ ὀφθαλμὸν παρὰ τῶν ἁγίων· καὶ [9] τοὺς πτωχοὺς συναγαγόντες οἱ τοῦ Χριστοῦ μάρτυρες [10], οἷς παρέσχον τὰ χρήματα, σχοινίοις τοὺς τραχήλους τῶν ξοάνων διέλαβον καὶ πρὸς τὴν γῆν ταῦτα καθείλκυσαν. Εἶτα ἀνάψαντες φῶτα πολλὰ τὸν ναὸν καθιέρωσαν ἐπιλέγοντες· « Δόξα σοι, Χριστὲ » ὁ Θεός, ἀποστόλων καύχημα, μαρτύρων ἀγαλ» λίαμα. » Προηγεῖτο δὲ αὐτῶν ὁ τύπος τοῦ τιμίου σταυροῦ. Ὅλον δὲ τοῦτο γνοὺς ὁ Λικίνιος καὶ
f. 290v. κελεύσας ἐξα|φθῆναι κάμινον, προσέταξε τοὺς πτωχοὺς ἐμβληθῆναι· ἐν ᾗ ῥιφέντες [11] τῷ Θεῷ τὰ ἑαυτῶν παρέδωκαν [12] πνεύματα. Οἱ δὲ ἅγιοι Λαῦρος καὶ Φλῶρος ἐν ἄξωνι ἁμάξης προσδεθέντες ἐτύφθησαν· εἶτα ἐξαπεστάλησαν Λύκωνι [13]. Οὓς ὁ Λύκων δεξάμενος ἐν βαθεῖ συνέκλεισε φρέατι· ἐν ᾧ κατελθόντες καὶ δεήσεις τῷ Θεῷ ὑπέρ τε τῶν μνησθησομένων αὐτῶν καὶ τῆς κοσμικῆς εὐσταθείας καὶ τοῦ παύσασθαι τὸν διωγμὸν ἀνενεγκόντες τὰς ἑαυτῶν ἀφῆκαν ψυχάς. Χρόνοις δὲ ὕστερον ἀνηνέχθη [14] τὰ τίμια αὐτῶν λείψανα καὶ ἐν γλωσσοκόμοις κατετέθη [15] ἐντίμως, μύρα καὶ πηγὰς ἰάσεων τοῖς προσπελάζουσι βρύοντα. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πλησίον τοῦ πανσέπτου ναοῦ τοῦ ἁγίου [16] ἀποστόλου Φιλίππου, καὶ ἐν τῇ εὐαγεστάτῃ μονῇ τοῦ σωτῆρος Χριστοῦ τοῦ Παντοκράτορος, διὰ τὸ ἐκεῖσε μετατεθῆναι [17] τὰ ἅγια αὐτῶν λείψανα [18].

2. Τῇ [1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ [2] Χριστοῦ [2] μαρτύρων Ἑρμοῦ, Σαραπίωνος καὶ Πολυαίνου τῶν [2] ἐν Ῥώμῃ. Οὗτοι διαβληθέντες ὑπὸ τῶν ἀπίστων, ὅτι τὸν μὲν Χριστὸν σέβονται τὰ δὲ εἴδωλα βδελύσσονται καὶ ἀποστρέφονται, τῷ ὑπάρχῳ παρέστησαν Ῥώμης, καὶ ὁμολογήσαντες παρρησίᾳ τὴν εἰς Χριστὸν πίστιν, πρῶτον μὲν ἐν σκοτεινοτάτῃ καὶ δυσώδει καθείργνυνται φυλακῇ· εἶτα ἐξαχθέντες ἐκεῖθεν καὶ θῦσαι τοῖς εἰδώλοις μὴ καταδεξάμενοι διὰ στενοτάτων [3] καὶ δυσπορεύτων καθέλκονται χωρίων [4]. Καὶ ἐν [5] τῷ σύρεσθαι καὶ ταῖς πέτραις προσρήγνυσθαι τῷ Θεῷ τὰς ψυχὰς παρέθεντο [6].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς πλησίον τοῦ Στροβίλου [1].

4. Καὶ τοῦ ἁγίου μάρτυρος Λέοντος, ὃς ἤθλησεν παρὰ θάλασσαν πλησίον Μύρων τῆς Λυκίας.

5. Καὶ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Κωνσταντινουπόλεως Ἰωάννου καὶ Γεωργίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

Aug. 19. **1.** Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Ἀνδρέου τοῦ στρατηλάτου καὶ τῶν μετ' αὐτοῦ τελειωθέντων δισχιλίων πεντακοσίων ἐνενήκοντα τριῶν. Οὗτος ὑπῆρχε κατὰ τοὺς καιροὺς τοῦ ἀσεβεστάτου Μαξιμιανοῦ, στρατευόμενος ἐν τῇ ἀνατολικῇ χώρᾳ ὑπὸ Ἀντίοχον [1] τῆς ὅλης τάξεως στρατηγοῦντα [2]. Ἀποσταλεὶς δὲ παρ' αὐτοῦ μεθ' ἑτέρων συστρατηλατῶν κατὰ τῆς Περσικῆς δυνάμεως, παρελθούσης ἤδη τοὺς Ῥωμαίων ὅρους καὶ τὴν
f. 291. ὑποκειμένην | χώραν λυμαινομένης, ἐπικαλεσάμενος τὸν Χριστὸν καὶ τοὺς σὺν [3] αὐτῷ πείσας ἐπικαλεῖσθαι, τοὺς Πέρσας ἐτρέψατο· καὶ καταδιώξας διέφθειρε καὶ ἐπὶ τῇ ἀνελπίστῳ νίκῃ τοὺς σὺν αὐτῷ πρὸς τὴν τοῦ Χριστοῦ πίστιν, δι' ἧς [4] τῶν πολεμίων περιεγένοντο, ἐπεσπάσατο. Διαβληθεὶς δὲ αὐτὸς καὶ οἱ σὺν αὐτῷ πρὸς Ἀντίοχον, παρέστη αὐτῷ ὡς κατάδικος [5]. Καὶ αὐτὸς μὲν ἐπὶ κλίνης σιδηρᾶς πυρωθείσης ἁπλοῦται· οἱ δὲ σὺν αὐτῷ στρατιῶται ἐν τετραγώνοις ξύλοις καθηλοῦνται τὰς χεῖρας· εἶτα ὑπὸ χιλίων ἑτέρων στρατιωτῶν τοῦ Ἀντιόχου προστάξαντος τῶν ὁρίων τῆς χώρας ἀπελαύνονται, οὓς νουθετήσας ὁ ἅγιος μάρτυς πρὸς τὴν εἰς Χριστὸν μετήγαγε πίστιν [6]. Τοῦτο γνοὺς ὁ Ἀντίοχος καὶ καταδιώξας αὐτούς τε καὶ τοὺς συνόντας τῷ ἁγίῳ ἐξ ἀρχῆς στρατιώτας καὶ αὐτὸν τὸν πανένδοξον μάρτυρα ξίφει ἀναιρεθῆναι προσέταξεν.

Aug. 19. **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Τιμοθέου τοῦ [1] ἐν Γάζῃ καὶ τῶν ἁγίων Ἀγαπίου καὶ Θέκλας [2]. Ὁ ἔνδοξος μάρτυς Τιμόθεος εἷλκε τὸ γένος [3] ἐκ Παλαιστίνης [4]· βίῳ δὲ καὶ λόγῳ κατηρτισμένος [5] διδάσκαλος τῆς εὐσεβείας ἐγένετο [6]. Συσχεθεὶς δὲ καὶ παραστὰς ἐν Γάζῃ τῷ ἄρχοντι Οὐρβανῷ καὶ ἐρωτηθεὶς καὶ τῆς τῶν χριστιανῶν μερίδος ἑαυτὸν εἶναι εἰπὼν καὶ τὴν τοῦ Χριστοῦ θεολογήσας οἰκονομίαν καὶ τὴν δι' ἡμᾶς ἐπιδημίαν καὶ σάρκωσιν, τύπτεται σφοδρῶς καὶ παντοίων βασάνων ἰδέαις προσομιλεῖ· καὶ μηδ' ὅλως καμφθεὶς πυρὶ παραδοθεὶς τελειοῦται. Ἐν αὐτῇ δὲ τῇ πόλει Ἀγάπιος καὶ Θέκλα οἱ μάρτυρες βασάνοις σφοδρῶς ἐτασθέντες καὶ ἔτι τῆς τοῦ Χριστοῦ πίστεως ἀντεχόμενοι, προσριφέντες θηρίοις τὸν τῆς μαρτυρίας ἐκομίσαντο στέφανον.

3. Τῇ [1] αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Μαξίμου τοῦ ὁμολογητοῦ καὶ τοῦ ἁγίου μάρτυρος Διομήδους. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ἁγίας Θεοτόκου τοῦ [2] ἐπιλεγομένου Ἱερουσαλὴμ [3] καὶ εἰς τὸν Λευκὸν Ποταμόν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Aug. 20. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Σαμουήλ [1]. Ὃς ὑπῆρχεν ἐξ Ἀρμαθαῒμ [2] Σιφᾶ ἐξ ὄρους Ἐφραΐμ, ἐκ φυλῆς Λευΐ, υἱὸς Ἐλκανᾶ καὶ Ἄννης. Ὁ δὲ Ἐλκανὰ δύο γυναῖκας ἔσχεν, ὄνομα τῇ μιᾷ Ἄννα καὶ τῇ δευτέρᾳ Φενάννα [3]· καὶ ἦν τῇ μὲν Φενάννῃ [3] παιδίον, τῇ δὲ Ἄννῃ οὐκ ἦν παιδίον.
f. 291v. Καὶ ἀνέβη Ἐλ|κανὰ προσκυνῆσαι τῷ Θεῷ ἐν Σιλὼμ μετὰ Ἄννης, καὶ ἦν ἐκεῖ Ἠλεὶ καὶ οἱ δύο

— [19] ξύλοις D. — [20] ἀποτ. αὐτῶν D. — [21] τὸν τῆς Χ. D.

6. — [1] (ἡ σ.) μνήμη D. — [2] ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν ἀειπαρθένου καὶ D. — [3] Μαρίας *add.* D.

1. — [1] *om.* D. — [2] Λ. καὶ Φλόρου D. — [3] Λύκωνι D. — [4] Λικίννιον *corr.* S *et* D *hic tantum.* — [5] αὐτοὺς D. — [6] χήματι D. — [7] τὸν *add.* D. — [8] διὰ τριῶν D. — [9] (ἀγγέλου - καὶ) *om.* D. — [10] κ. σ. οἱ τ. Χ. μ. τοὺς πτωχοὺς D. — [11] βληθέντες D. — [12] ἀπέδωκαν D. — [13] (εἶτα - Λύκωνι) καὶ πρὸς Λύκωνα τὸν ἡγεμόνα ὅθεν ἐπέμφθησαν αὖθις ἐξαπεστάλησαν D. — [14] *corr. rec.*, ἀνέχθη D. — [15] *corr. rec.*, κατέθη D. — [16] καὶ πανευφήμου *add.* D. — [17] μετατεθέντα S. — [18] (καὶ ἐν - λείψανα) *om.* D.

2. — [1] καὶ τῇ D. — [2] *om.* D. — [3] στενοπόρων D. — [4] τόπων D. — [5] αὐτῶ *add.* D. — [6] π. τὰς ψυχὰς D.

3. — [1] πλ. τοῦ Στ. *om.* D.

1. — [1] Ἀντιόχου S, D. — [2] ὅλης στρ. τάξεως D. — [3] ἐν S. — [4] ὧν D. — [5] (παρέστη - κατάδικος) σχηματίσαντος ἑαυτὸν τοῦ διαβόλου καὶ τούτων κατηγορήσαντος ἄγεται πρὸς τὸν στρατηγὸν D. — [6] καὶ *add.* D.

2. — [1] *om.* D. — [2] καὶ αὐτῶν ἐν Γάζῃ τελειωθέντων *add.* D. — [3] εἷλκε τ. γ. *om.* D. — [4] ἦν *add.* D. — [5] ἦν *add.* S. — [6] ὑπῆρχεν D.

3. — [1] καὶ τῇ D. — [2] D, τῆς S. — [3] Ἱεροσαλὴμ D.

1. — [1] Σαμοὴλ D. — [2] Ἀρμαθὲμ D. — [3] Φαιννάνα D.

Aug. 17. Λουκίου (Aug. 14[4]). — **Mc** : 1. 4. — Κυπριανὸς π. τ. — 5. 2. — **Mv** : 1. 4. 5. 2. 6. — **Mr** : 1.

Aug. 18. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 5. — **P** : 1. 2. 5. — **D** : 1. 2. 3. 5. — **Da** : 1. 2. 5. 3. — **K** : 1. 2. 5. — **N** : 1. 2. 5. — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. 2 (Ἑρμίλου ...). — **Cg** : 1. 2. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 2. 5. — **Mv** : 1. — Ἡ ἁγία τῶν πενήτων πληθύς, ἡ τὰ εἴδωλα συντρίψασα π. τ. — 2. 3. 4. — Ἐν τῇ ἐρήμῳ δ' ἀσκηταὶ ἐν εἰρήνῃ τ. — 5. — **Mr** : 1.

Aug. 19. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 1. 2. — Τοῦ ἁγίου ἀποστόλου Θαδδαίου ἐν τῇ μονῇ τῶν Πρόβης (Aug. 21[1]). — 3 : Διομήδους εἰς τὸν Λευκὸν ποταμόν. — **D** : 1. 2. 3. — **Da** : 1. 2. 3. — **K** : 1. 2. — **N** : 1. 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου. — Ἰουλιανῆς (Aug. 18[3]). — Λέοντος (Aug. 18[4]). — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 2. 1 (in marg. et add. : Ζήτει εἰς τὸ τέλος τοῦ βιβλίου). — Τοῦ ὁσίου πατρὸς ἡμῶν Βαρθολομαίου ἀρχιμανδρίτου τῆς εὐαγοῦς μονῆς τῆς Νέας Ὁδηγητρίας Θεοτόκου τοῦ Ῥηχινιάτου (in marg. et add. : Ζήτει εἰς τὸ τέλος τοῦ βιβλίου). — **Cg** : 2 : Τιμοθέου καὶ τῶν σὺν αὐτῷ Ἀγαπίου καὶ Θέκλης ἐν Γάζῃ μαρτυρησάντων. Οὗτος ὁ ἔνδοξος μάρτυς Τιμόθεος ὑπῆρχεν ἐκ Παλαιστίνης ἐκ πόλεως Γάζης· βίῳ δὲ καὶ λόγῳ κατηρτισμένος ὢν διδάσκαλος τῆς εὐσεβείας ἐγένετο· κρατηθεὶς δὲ καὶ παραστὰς ἐν Γάζῃ τῷ ἄρχοντι Οὐρβανῷ καὶ ἐρωτηθεὶς καὶ χριστιανὸν ἑαυτὸν ὁμολογήσας καὶ τὴν τοῦ Χριστοῦ θεολογήσας οἰκονομίαν καὶ τὴν δι' ἡμᾶς ἐπιδημίας σάρκωσιν, τύπτεται σφοδρῶς· καὶ παντοίων βασάνων ἰδέαις προσομιλεῖ καὶ μηδ' ὅλως καμφθεὶς πυρὶ παραδοθεὶς τελειοῦται. Τὸ τηνικαῦτα δὲ ἐν αὐτῇ τῇ πόλει Ἀγάπιος καὶ Θέκλα οἱ μάρτυρες βασάνοις σφοδρῶς ἐτασθέντες καὶ ἔτι τῆς τοῦ Χριστοῦ πίστεως ἀντεχόμενοι, προσριφέντες θηρίοις τὸν τῆς μαρτυρίας ἐκομίσαντο στέφανον. — **R** : 1. 2. — **Ra** : 1. — Μακαρίου ἡγουμένου τῆς εὐαγεστάτης μονῆς τῆς Πελεκητῆς. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 2. — Εὐτυχιανοῦ καὶ Στρατηγίου διὰ πυρὸς τ. — **Mv** : 1. 2. — Εὐτυχιανοῦ τοῦ στρατιώτου καὶ Στρατηγίου. — **Mr** : 1.

Aug. 20. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — Θαδδαίου (Aug. 21[1]). — **P** : 1. 3. 2 : Παύλου τοῦ νέου καὶ Γεωργίου ἐπισκόπων τῆς βασιλίδος πόλεως. — **D** : 1. — Θαδδαίου. — Θεοκλητοῦς (Aug. 21[3]). — Τῶν ἁγίων τριάκοντα ἑπτὰ μαρτύρων τῶν ἐν Βιζύῃ τῆς Θρᾴκης παθόντων καὶ ἑτέρων τῶν ἐν Φιλιππουπόλει [1]. Σευῆρος [2] δέ τις Σίδης τῆς Παμφυλίας ὑπάρχων, υἱὸς Πετρωνίου τινὸς Θρᾳκὸς καὶ μητρὸς Μυγδονίας, Ὠρίωνα [3], Ἀντυλῖνον [4], Μολίαν [5], Εὐδαίμονα, Σιλουανόν, Σαβῖνον, Εὐστάθιον, Στράτωνα καὶ Βόσβαν ἐκ τοῦ Βυζαντίου ὁρμωμένους, ἐκ δὲ Φιλιππουπόλεως Τιμόθεον, Παλμάτον [6], Μέστον [6], Νίκωνα, Δίφιλον, Δομετιανόν, Μάξιμον, Νεόφυτον, Βίκτωρα, Ῥῖ [7], Σατορνῖνον [6], Ἐπαφρόδιτον, Κερκάν, Γάϊον [8], Ζωτικόν, Κρονίονα [9], Ἄνθανα [10], Ὧρον, Ζώϊλον [11], Τύραννον, Ἀγαθόν [12], Πανσθένην [13], Ἀχιλλέα, Πανθήριον, Χρύσανθον, Ἀθηνόδωρον, Παντολέοντα, Θεοσέβην, Γενέθλιον καὶ Μέμνονα καταλαβὼν ὑπὲρ

[1] Φιλιπποπόλει Cg. — [2] Σευῆρως D, Βεβῆρος Cg. — [3] Ὠρείωνα D. — [4] Ἀντιλῖνον Cg. — [5] Βουλίαν Cg. — [6] *om.* Cg. — [7] Ῥῖνον Cg. — [8] Γάϊων D, Γαϊνόν Cg. — [9] Κορνίωνα Cg. — [10] Ἄνθωνα Cg. — [11] Ζώηλον D. — [12] Ἀγαθών Cg. — [13] Πανσθενῆ Cg.

(Aug. 20.) υἱοὶ αὐτοῦ Ὀφνεὶ καὶ Φινεὲς ἱερεῖς[4] τοῦ Κυρίου. Ὁ δὲ Κύριος ἀπέκλεισε τὴν μήτραν Ἄννης, καὶ ἐλύπει αὐτὴν[5] ἡ ἀντίζηλος αὐτῆς. Ἡ δὲ προσηύξατο πρὸς Κύριον, καὶ ἐμνήσθη αὐτῆς ὁ Θεός, καὶ ἐγέννησε υἱὸν τὸν Σαμουὴλ καὶ παρέθετο αὐτὸν τῷ Θεῷ. Καὶ αὐξηθεὶς καὶ προκόψας ἐν[6] τῇ ἡλικίᾳ ἦν λειτουργῶν τῷ Θεῷ καὶ ἐγένετο εἰς προφήτην μέγαν. Ὁ δὲ Ἠλεὶ καὶ οἱ υἱοὶ αὐτοῦ ὀργῇ καὶ θυμῷ Κυρίου συντριβέντες ἠφανίσθησαν, διότι παρρώγιζον τὸν Θεόν. Καὶ ἐδίκασε Σαμουὴλ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ καὶ δόματα οὐκ ἔλαβεν, καὶ χρίσας τὸν Σαοὺλ εἰς βασιλέα, εἶτα τὸν Δαβίδ, καὶ εἰς βαθὺ γῆρας ἐλθὼν καὶ πλήρης ὢν ἐτῶν ἐτελεύτησε. Προέλαβε δὲ τὴν σάρκωσιν τοῦ Χριστοῦ ἔτη χίλια τριάκοντα πέντε, καὶ προεφήτευσε χρόνους τεσσαράκοντα[7].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν[1] ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Παύλου τοῦ νέου.

3. Καὶ ἄθλησις τῆς ἁγίας μάρτυρος Φωτεινῆς ἔξω τῆς πόρτης τῶν Βλαχερνῶν[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

(Aug. 21.) **1.** Μνήμη τοῦ ἁγίου ἀποστόλου Θαδδαίου τοῦ καὶ Λεββαίου, ἑνὸς τῶν ἑβδομήκοντα. Ὃς ὑπῆρχεν Ἐδέσης[1] τῆς πόλεως, Ἑβραῖος τῷ γένει, ἐξησκημένος εἰς ἄκρον[2] τὰς θείας γραφάς. Οὗτος ἀνῆλθεν εἰς Ἱερουσαλὴμ προσκυνήσων ἐν ταῖς ἡμέραις Ἰωάννου τοῦ βαπτιστοῦ. Καὶ ἀκούσας τοῦ κηρύγματος αὐτοῦ καὶ τὸν ἀγγελικὸν βίον αὐτοῦ[3] ὑπερθαυμάσας, βαπτίζεται παρ' αὐτοῦ. Μετὰ ταῦτα ἰδὼν τὸν Χριστὸν καὶ[4] ἄπειρα θαύματα ἃ ἐτελεῖτο ὑπ' αὐτοῦ καὶ τὴν διδασκαλίαν ἀκούσας αὐτοῦ[5] ἠκολούθει αὐτῷ μέχρι τοῦ σωτηρίου πάθους. Καὶ μετὰ τὴν ἀνάληψιν αὐτοῦ πρὸς τὴν ἰδίαν πόλιν ὑπέστρεψεν καὶ τὸν τοπάρχην Αὔγαρον[6] βαπτίσας καὶ τὸ περίλοιπον τῆς μελαίνης λέπρας αὐτοῦ ἰασάμενος[7] καὶ πολλοὺς ἄλλους διδάξας, ἐν Μεσοποταμίᾳ παρεγένετο, κἀκεῖσε πολλοὺς διδάξας καὶ φωτίσας καὶ ἐκκλησίας δειμάμενος[8] διήρχετο τὰς πόλεις Συρίας[9]· καὶ ἐλθὼν εἰς Βηρυτὸν[10] πόλιν τῆς Φοινίκης κἀκεῖσε κηρύξας καὶ βαπτίσας πολλοὺς ἐν Κυρίῳ ἀνεπαύσατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγι|ωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῇ μονῇ τῶν Πρόβου. (f. 292.)

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Βάσσης καὶ τῶν τέκνων[1] αὐτῆς Θεογνίου, Ἀγαπίου καὶ Πιστοῦ. Αὕτη[2] ἡ μάρτυς ὑπῆρχεν[3] ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐν Ἐδέσῃ[4] τῇ πόλει τῆς Ἑλλάδος. Συνοικήσασα δὲ Οὐαλερίῳ τινὶ ἱερεῖ τῶν εἰδώλων τρεῖς ἐξ αὐτοῦ παῖδας ἀπέτεκε[5], Θεόγνιον, Ἀγάπιον καὶ Πιστόν. Οὓς τῇ κατὰ Χριστὸν ἀνέτρεφεν εὐσεβείᾳ· καὶ γὰρ αὕτη πιστὴ καὶ χριστιανὴ ἐτύγχανεν ἐκ προγόνων. Διαβληθεῖσα οὖν παρὰ[6] τοῦ ἰδίου ἀνδρός, παρέστη μετὰ τῶν παίδων αὐτῆς τῷ[7] ἀνθυπάτῳ Βικαρίῳ[8]· καὶ χριστιανὴν ἑαυτὴν ἀναγορεύσασα, αὐτὴ μὲν καὶ οἱ δύο ταύτης υἱοὶ ἐβλήθησαν ἐν τῇ φυλακῇ[9]. Ὁ δὲ Θεόγνιος ὁ πρῶτος τῶν παίδων[10] κρεμασθεὶς ξέεται. Μετὰ δὲ τοῦτον[11] ἄγεται ὁ δεύτερος καὶ μαστίζεται, παρεστώσης τῆς μητρὸς καὶ ἐπιθαρρυ-

— [4] οἱ ἐρεῖς S. — [5] αὐτῇ S. — [6] *om.* D. — [7] (καὶ - τεσσαράκοντα) *om.* D.
2. — [1] καὶ *add.* D.
3. — [1] τῶν Βλαχερνῶν *om.* D.
1. — [1] Ἐδέσσης D *ad d. Augusti 20.* — [2] ἄκραν D. — [3] αὐτοῦ βίον D. — [4] τὰ *add.* D. — [5] αὐτοῦ ἀκούσας D. — [6] Ἄγβαρον παινοικὶ κατηχήσας καὶ D. — [7] (καὶ τὸ - ἰασάμενος) *om.* D. — [8] *om.* D. — [9] Συρΐας *corr.* S. — [10] Βιρρυτὸν D.
2. — [1] τριῶν υἱῶν D. — [2] *om.* D. — [3] ἡ ἁγία μ. Β. ἦν D. — [4] Ἐδέσσῃ D. — [5] ἔτεκεν D. — [6] πρὸς D. — [7] τῆς Ἑλλάδος *add.* D. — [8] καὶ βηκαρίω D. — [9] φρουρά D. — [10] αὐτῆς *add.* D. — [11] τὸν πρῶτον Ἀγάπιος D.

(Aug. 20.) Χριστοῦ ἐναθλοῦντας ἐν Φιλιππουπόλει, Ἀπελλιανοῦ τοῦ καταράτου τηνικαῦτα ἡγεμονεύοντος, ξέεται σφοδρῶς, τὴν εὐσέβειαν παρρησιασάμενος· καὶ δακτυλίδας πυρακτωθείσας ἐδέξατο τοῖς δακτύλοις καὶ ἐν τετράσι ξύλοις τανυσθείς, πρίζεται πεπυρακτωμένῳ ζωστῆρι ζωσθείς. Εἶθ' οὕτως τὴν κεφαλὴν ἀποτέμνεται. Μέμνων[14] δὲ ὁ κεντυρίων ἐπὶ δύο κίοσι τανυσθεὶς ἀπεδάρη τρεῖς λώρους ἀπὸ κεφαλῆς μέχρι ποδῶν· καὶ καμίνου ὑπὸ γῆν ἐκκαυθείσης μεγίστης, ἅπαντες χερσὶ καὶ ποσὶν ἀκρωτηριασθέντες ἐν αὐτῇ ἀπορρίπτονται, κἀκεῖσε τὰ πνεύματα αὐτῶν τῷ Θεῷ παρατίθενται (Aug. 24[3]). — 2. 3. — **Da** : 1. — Θαδδαίου. — Θεοκλητοῦς. — Τῶν ἁγίων λζ' μαρτύρων. — **K** : 1. — Θαδδαίου. — Θεοκλητοῦς. — Τῶν ἁγίων λζ' μαρτύρων. — **N** : 1. — Θαδδαίου. — Θεοκλητοῦς. — **Bb** : 1. — Τῶν ἁγίων λζ' μαρτύρων. — Θεοκλητοῦς. — **Bc** : 1. — Τῶν ἁγίων λζ' μαρτύρων. — Θεοκλητοῦς. — **C** : 1. — Τῶν ἁγίων λζ' μαρτύρων. — Θαδδαίου ἑνὸς τῶν ο'. — 2. 3 (in marg. add. : ζήτει τὸ συναξάριον τῆς ἁγίας Φωτινῆς εἰς κ' τοῦ μαρτίου μηνός). — **Cg** : 1. — Τῶν ἁγίων λζ' μαρτύρων... Des. : ἅπαντες χειροκοπηθέντες ἐν αὐτῇ ἐνεβλήθησαν καὶ οὕτως ἐτελειώθησαν. — 2. — Θαδδαίου ἑνὸς τῶν ιβ'[15]. — **R** : 1. 2. 3. — **Ra** : 1. — **Rb** : 1. 2. 3. — Τῶν ἁγίων λζ' μαρτύρων. — **Rc** : 1. — **Mc** : 1. — Τῶν ἁγίων λζ' μαρτύρων. — Σευήρου καὶ Μέμνονος (Aug. 24[3]). — Λουκίου τοῦ βουλευτοῦ (Aug. 22[5]). — **Mv** : 1. — Τῶν ἁγίων λζ' μαρτύρων. — Σεβήρου καὶ Μέμνονος. — 3. — Τοῦ ἁγίου μάρτυρος Ἡλιοδώρου καὶ Δοσαΐ. — 2. — **Mr** : 1.

(Aug. 21.) SYNAXARIA SELECTA. **H** : 2. — Λουκίου (Aug. 22[5]). — **P** : 2. — Λουκίου. — **D** : 2. — Λουκίου. — **Da** : 2. — Λουκίου. — **K** : 2. — Λουκίου. — **N** : 1. — Λουκίου. — **Bb** : 2. — Λουκίου. — **Bc** : 2. —

— [14] *corr.* D, *prius* Μένων. — [15] *corr.* Cg.

νούσης αὐτὸν καὶ πρὸς τὸν ἀγῶνα παρακαλούσης. Μετὰ ταῦτα[12] τὸ δέρμα τῆς κεφαλῆς ἀφαιρεῖται μέχρι τοῦ στήθους, λέγων· « Οὐδὲν οὕτως ἡδὺ » ὡς τὸ πάσχειν ὑπὲρ Χριστοῦ. » Μετὰ δὲ τοῦτον[13] ὁ τρίτος ἀχθείς, Πιστὸς καλούμενος, καὶ τὴν εἰς Χριστὸν πίστιν ὁμολογήσας[14] καὶ παντοίαις[15] βασάνοις δοκιμασθεὶς τὴν διὰ ξίφους ἀπόφασιν σὺν τοῖς ἀδελφοῖς ἔλαβε. Καὶ εὐθέως[16] οἱ τρεῖς ἅμα τὰς κεφαλὰς ἀπετμήθησαν. Ἡ δὲ μήτηρ αὐτῶν Βάσσα τότε μὲν ἐβλήθη ἐν τῇ φυλακῇ, ἔνθα ὑπὸ χειρὸς ἀγγέλου τροφὴν δεξαμένη ἐνίσχυσεν. Εἶτα ἐξαχθεῖσα ἀπαίροντι τῷ Βικαρίῳ ἐν Μακεδονίᾳ ἐκελεύσθη ἀκολουθεῖν· κἀκεῖ ἀναγκασθεῖσα θύειν[17] καὶ μὴ ὑπείξασα, πρῶτον μὲν ἐν ὕδατι, εἶτα ἐν πυρὶ βάλλεται, καὶ μετὰ ταῦτα λιθοβολεῖται. Διαμείνασα δὲ ἐκ πάντων ἀβλαβὴς ἄγεται εἰς τὸν τῶν εἰδώλων ναόν. Καὶ τὸ τοῦ Διὸς εἴδωλον κατασχοῦσα κατέσεισεν αὐτό, καὶ εἰς γῆν κατέρραξε καὶ ἐλέπτυνεν. Ἐπὶ τούτοις θηρίοις ἐκδίδοται καὶ ἐν τῇ θαλάσσῃ ὡς ἀπὸ σταδίων τεσσαράκοντα τῆς χέρσου ἀπορρίπτεται. Καὶ τότε μὲν ὤφθη τοῖς ὁρῶσι πόρρωθεν ἐπὶ θρόνου εὐπρεπῶς καθημένη, καὶ σὺν αὐτῇ τρεῖς ἄνδρες ὑπὲρ τὸν ἥλιον ἐξαστράπτοντες[18], οἳ καὶ ἔδοξαν αὐτὴν[19] ἅμα τῷ θρόνῳ ἐν πλοίῳ ἐπιβιβάσαι. Μεθ' ἡμέρας δὲ ὀκτὼ ἐφάνη ἐν Ἀλώνι τῇ νήσῳ[20] τῇ καθ' Ἑλ|λήσποντον[21]· (f. 292v.) καὶ τοῦτο γνοὺς ἐν Μακεδονίᾳ ὁ ἀνθύπατος, Φιλίππου τινὸς καταμηνύσαντος, γράφει τῷ κουνσουλαρίῳ[22] Κυζίκου τῆς Ἑλλησποντίων ἐπαρχίας κατασχεῖν αὐτήν. Ὃς ἀναζητήσας αὐτὴν καὶ εὑρὼν[23] μὴ πειθομένην θυσίαν τοῖς εἰδώλοις προσενεγκεῖν, προσέταξεν εἰς τοῦπίσω συνδεθῆναι τὰς χεῖρας αὐτῆς· εἶτα θλασθῆναι τὰ μέλη, καὶ οὕτω[24] τμηθῆναι τὴν κεφαλήν· τούτου δὲ γενομένου, τὸ πνεῦμα αὐτῆς εἰς χεῖρας Θεοῦ ἐναπέθετο[25].

(Aug. 21.) **3.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας Θεοκλητοῦς τῆς θαυματουργοῦ. Ἥτις ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Θεοφίλου τοῦ μισοχρίστου, πατρίδα καὶ γένος ἕλκουσα ἐκ προγόνων θέματος τῶν Ὀπτιμάτων[1]· γεννήτορες δὲ αὐτῇ Κωνσταντῖνος καὶ Ἀναστασία. Αὕτη ἐξ ἁπαλῶν ὀνύχων θεαρέστως ἐκτραφεῖσα προσεῖχεν ἑαυτῇ, εἶτα βιασθεῖσα ζεύγνυται ἀνδρὶ κατὰ πάντα ὁμοιοτρόπῳ, Ζαχαρίᾳ προσαγορευομένῳ, πολλὰς καὶ ἀμετρήτους ἐλεημοσύνας ἔκτοτε ποιοῦσα. Τῇ μελέτῃ δὲ τῶν θείων λογίων ἐκδοῦσα ἑαυτὴν πᾶν εἴ τι καλὸν εὐκόλως μετήρχετο, τὰς παραινέσεις τῶν γραφῶν ἐκπληροῦσα· εἰργάζετο δὲ δι' ὅλης τῆς ἡμέρας καὶ διηκόνει ἐν χρείαις τοῖς τε προσερχομένοις πτωχοῖς καὶ τοῖς ἐν τῷ οἴκῳ πᾶσιν[2]. Ἐπεὶ δὲ τῆς μεταστάσεως αὐτῆς ὁ καιρὸς ἔφθασε, τοὺς γνωστοὺς αὐτῇ προσκαλεσαμένη, ἐξεῖπε τὴν ἡμέραν τῆς κοιμήσεως αὐτῆς καὶ τὰ ἐν αὐτῇ μέλλοντα τελεσθῆναι. Τὰ δὲ μετὰ τὴν κοίμησιν αὐτῆς γινόμενα[3] θαύματα ἀδύνατόν ἐστιν ἡμῖν[4] γραφῇ παραδοῦναι τῇ συντομίᾳ χρωμένοις[5]· ἓν δέ, ὃ μηδὲ βουλομένοις ἡμῖν δυνατὸν παραλιπεῖν, χρεὼν τῇ διηγήσει προσθεῖναι, τοῦ πράγματος τοῦ μεγέθους μὴ ἐῶντος ἡμᾶς τοῦτο παραδραμεῖν. Καθ' ἕκαστον ἐνιαυτὸν οἱ προσήκοντες τῇ μακαρίᾳ τὸ τρισόσιον ἐκεῖνο[6] ἀνακουφίζοντες σῶμα, τὰ ἐπικείμενα αὐτῷ ἱμάτια[7] ἐξαλλάσσουσιν ἕτερα ἐπιβάλλοντες καὶ τὰς τῆς κεφαλῆς τρίχας διευθετίζουσι λευκὰς ὑπαρχούσας καὶ τοὺς ὄνυχας τῶν χειρῶν καὶ τῶν ποδῶν περικόπτουσιν· ἔπειτα τὸ τρισάγιον λέγοντες κατατιθέασιν τὸ τιμίας μητρὸς ἡμῶν τὸ σῶμα· ἄφθαρτον γὰρ ὑπάρχει[8].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

(Aug. 22.) **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου καὶ τῆς συνοδίας αὐτοῦ Ζωτικοῦ, Ζήνωνος, Θεοπρεποῦς, Ἀκινδύνου | καὶ Σευηριανοῦ. (f. 293.) Ὁ μάρτυς τοῦ Χριστοῦ Ἀγαθόνικος ἦν[1] κατὰ τοὺς χρόνους Μαξιμιανοῦ. Συνελήφθη δὲ ὑπὸ κόμητός τινος ὀνόματι Εὐτολμίου, ὃς ἐκ Νικομηδείας ἐπὶ τὴν ποντικὴν χώραν παρὰ τοῦ βασιλέως ἐπὶ ἀναιρέσει ἀποσταλεὶς τῶν χριστιανῶν ἐν τῷ διαβαίνειν ἐν πλοίῳ κατέλαβε τὸ ἐμπόριον τὸ λεγόμενον Κάρπιν[2], κἀκεῖ τὸν ἅγιον Ζωτικὸν σὺν τοῖς μαθηταῖς αὐτοῦ εὑρὼν τὸν Χριστὸν ὁμολογοῦντας ἀπέκτεινεν. Εἶτα ὑποστρέψας εἰς Νικομήδειαν καὶ μαθὼν ὅτι ὁ πρίγκιψ[3] διά τινος Ἀγαθονίκου ἀφιστῶντος τοὺς ἕλληνας τῶν εἰδώλων καὶ προσάγοντος τῷ Χριστῷ ἐπίστευσεν[4], ἀποστείλας[5] ἀμφοτέρους συνέλαβε καὶ τὸν μὲν ἅγιον Ἀγαθόνικον τύπτει σφοδρῶς, τὸν δὲ πρίγκιπα μετὰ[6] ἑτέρων δεσμίων χριστιανῶν ἅμα δὲ[7] καὶ[7] τῷ ἁγίῳ Ἀγαθονίκῳ[8] ἐπὶ τὴν Θρᾴκην ἄγει[7], ἔνθα διῆγεν ὁ βασιλεύς, τοῦ παρ' αὐτοῦ γενέσθαι τὴν τούτων[9] ἐξέτασιν. Ἐλθὼν δὲ ἐν χωρίῳ λεγομένῳ Ποταμῷ[10] ἀνεῖλε τὸν ἅγιον Ζήνωνα καὶ Θεοπρεπῆν καὶ Ἀκίνδυνον καταπέλταις μὴ δυναμένους ἤδη βαδίζειν διὰ τὰς[11] προγεγενημένας πληγὰς[12] τῶν αἰκισμῶν· εἶτα γενόμενος

— [12] (μ. τ.) εἶτα D. — [13] αὐτὸν D. — [14] ὁμ. πίστιν D. — [15] ταῖς *add.* D. — [16] *om.* D. — [17] θῦσαι D. — [18] ἄνδρας ... ἐξαστράπτοντας S. — [19] D, αὐτῇ S. — [20] ἄλλη νήσω *corr.* D, *prius* ἄλλω νήσω. — [21] Ἑλλίσποντον D. — [22] D, κοβησουλαρίω S. — [23] καὶ *add.* D. — [24] οὕτως D. — [25] (τούτου - ἐναπέθετο) *om.* D.
3. — [1] Ὀπτημάτων S. — [2] (πατρίδα - πᾶσιν) γεννητόρων Κ. καὶ Ἀναστασίας· ζεύγνυται δὲ ἀνδρὶ ἀβουλήτως Ζ. προσαγ. κ. π. ὁμαιοτρόπω μηδὲν ἐκ τῆς συνουσίας παραβλαβεῖσα πολλοὺς γὰρ καὶ ἀμετρτήτους ἐλ. εἰργάζετο καὶ τῇ μελ. τῶν γραφιῶν ἐσχόλαζεν καὶ πλείστας ἀρετὰς μετήρχετο D, *ad d. Augusti 20.* — [3] γενόμενα D. — [4] πάντα *add.* D. — [5] τ. σ. χ. *om.* D. — [6] αὐτῆς D. — [7] ἐνδύματα D. — [8] (καταθ. - ὑπάρχει) κατατίθενται αὖθις αὐτὸ ἄφθαρτον ὑπάρχων D.
1. — [1] ὑπῆρχεν D. — [2] Κάρπην D. — [3] ὅτι πρίγγιψ D. — [4] ἐπίστευσαν D, *sed del. corr.* — [5] οὖν *add. corr.* D. — [6] πρίγγιπα καὶ D. — [7] *om.* D. — [8] ἄγει *add.* D. — [9] τ. τ. γενέσθαι D. — [10] ποταμῶν D. — [11] τῆς D. — [12] ἐκ *add.* D.

(Aug. 21.) Λουκίου. — **C** : 2. — Λουκίου. — **Cg** : 2. — Λουκίου. — **R** : 1. — Λουκίου. — **Ra** : 1. — **Rb** : 1. 3. — **Rc** : 2. — **Mc** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mr** : 1. 2.

(Aug. 22.) SYNAXARIA SELECTA. **H** : 1. 2. 3. 4. — **P** : 1. 2 (Εἰρηναίου solius). — 3 (Ἀνθούσης solius). — 4. — **D** : 1. 2 : Εἰρηναίου. Οὗτος κατὰ τοὺς χρόνους Διοκλητιανοῦ ἐπίσκοπος ἦν Σιρμίου· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν κατασχεθεὶς ἤχθη εἰς Παννονίαν καὶ παρέστη Πρόβῳ τῷ ἡγεμόνι· ὁμολογήσας

Aug. 22. πλησίον Χαλκηδόνος ἀναιρεῖ τὸν ἅγιον Σευηριανόν, παρρησίᾳ τὸν Χριστὸν κηρύττοντα [13]· ἐν δὲ τῷ Βυζαντίῳ παρίσταται αὖθις αὐτῷ ὁ ἅγιος Ἀγαθόνικος μετὰ τῶν λοιπῶν συνδεσμίων καὶ τοῦ πρίγκιπος [14]· καὶ ἐξαχθεὶς ἔξω τῆς πόλεως, τύπτεται σφοδρῶς, καὶ φθάσας τὴν Σηλυβρίαν [15], εἰς τόπον λεγόμενον Ἄμμους, ἔνθα ὁ Μαξιμιανὸς διῆγεν, ἐτμήθη τὴν κεφαλὴν μετὰ τοῦ πρίγκιπος καὶ τῶν ἄλλων χριστιανῶν, ὅσους [16] ὁ κόμης ἐκ Νικομηδείας ἤγαγε, καὶ σὺν αὐτοῖς τῷ τῆς μαρτυρίας στεφάνῳ κατεκοσμήθη. Τελεῖται δὲ ἡ αὐτοῦ [17] σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν Καινουπόλει, καὶ ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας Θεοδώρας ἐν τῇ Ξηροκέρκῳ [18].

2. Τῇ αὐτῇ ἡμέρᾳ [1] ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Εἰρηναίου, Ὢρ καὶ Ὠρόψεως [2]. Ὁ μακάριος Εἰρηναῖος λευΐτης ὑπῆρχε τῆς ἐκκλησίας, καὶ ἐκήρυσσε παρρησίᾳ τὸν Χριστὸν Θεὸν εἶναι ἀληθινόν. Διὸ συσχεθεὶς ὑπὸ τῶν ἑλλήνων, παρίσταται τῷ ἄρχοντι καὶ εὐθέως [3] ἐν πυρὶ ἀπορρίπτεται μετὰ τῶν συνάθλων αὐτοῦ Ὢρ καὶ Ὠρόψεως [4]. Παραυτὰ δὲ [5] ὑετοῦ [6] καταρραγέντος ἄνωθεν καὶ τοῦ πυρὸς σβεσθέντος, ἐξῆλθον ἀβλαβεῖς,
f. 293v. εἶθ' οὕτως θηρίοις ἐ|βλήθησαν βρῶμα· ἀλλὰ κἀκεῖθεν ἀπήμαντοι θείᾳ μείναντες προνοίᾳ, ἐπὶ ξύλου ἀναρτῶνται καὶ ξέονται σφοδρῶς καὶ πάλιν οἱ αὐτοὶ διέμειναν [7] ἀσινεῖς. Μανίᾳ δὲ κατασχεθέντες οἱ τοῖς δαίμοσι προσκείμενοι ξίφει αὐτοὺς ἀποτέμνουσιν [8].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας Ἀνθούσης καὶ Ἀθανασίου ἐπισκόπου τοῦ βαπτίσαντος αὐτήν, καὶ Χαρησίμου καὶ Νεοφύτου τῶν οἰκετῶν αὐτῆς [1]. Αὕτη ὑπῆρχεν [2] ἐπὶ Οὐαλλεριανοῦ [3] βασιλέως ἐκ πόλεως Σελευκείας [4], Ἀντωνίνου καὶ Μαρτυρίας [5] θυγάτηρ, πλουσίων πάνυ καὶ τῇ τῶν εἰδώλων προσκειμένων θρησκείᾳ. Ποθοῦσα δὲ τὸ εἰς Χριστὸν ἅγιον βάπτισμα καὶ ἐπιθυμοῦσα τὸν ἐπίσκοπον ἰδεῖν Ἀθανάσιον ἐν [6] Ταρσῷ τῆς Κιλικίας τὸν τοῦ Θεοῦ λόγον διδάσκοντα, πείθει τὴν μητέρα αὐτῆς παρασχεῖν [7] ζεῦγος ἡμιόνων, ἐν ᾧ ἐπιβᾶσα ὡς πρὸς τὴν τροφὸν δῆθεν πορεύεται. Παραλαβοῦσα δὲ Χαρήσιμον καὶ Νεόφυτον εἴχετο τῆς ὁδοῦ. Καὶ δὴ ὁ ἐπίσκοπος Ἀθανάσιος ὑπ' ἀγγέλων ἀρθεὶς παρέστη αὐτῇ· ὃν κατιδοῦσα καὶ μαθοῦσα ὅστις ἐστί, καθικέτευε τοῖς ποσὶν αὐτοῦ προσκλιθεῖσα τῷ ἁγίῳ αὐτὴν σφραγίσαι βαπτίσματι. Καὶ [8] μὴ παρόντος ὕδατος, ὁ ἐπίσκοπος ηὔξατο [9], καὶ εὐθέως [10] κάτωθεν ἀνεδόθη πηγή. Καὶ δύο ἐν αὐτῇ ὤφθησαν ἄγγελοι ἐν εἴδει στρατιωτῶν, λευκὰς ἐσθῆτας τῇ ἁγίᾳ προτείνοντες. Βαπτίζεται οὖν αὐτὴ καὶ οἱ σὺν αὐτῇ δύο οἰκέται· καὶ παρασχοῦσα τὴν πολυτελῆ καὶ χρυσόπαστον αὐτῆς ἐσθῆτα τῷ ἐπισκόπῳ καὶ αἰτήσασα ταύτην δοθῆναι πτωχοῖς καὶ ἀμφιασαμένη μετρίαν καὶ ταπεινὴν πρὸς τὴν τροφὸν παρεγένετο. Ἡ δὲ ταύτην ἀπώσατο, τὸ τῆς ἐσθῆτος εὐτελὲς καὶ τὴν πίστιν τὴν εἰς Χριστὸν ὀνειδίσασα. Ἐπεὶ δὲ πρὸς τὴν μητέρα ἀνακάμψασα ἀνιωμένην εὗρεν αὐτήν, ἐξελθοῦσα λάθρᾳ πρὸς τὸν ἐπίσκοπον ἔδραμεν Ἀθανάσιον, καὶ τὸν μονήρη βίον ὑποδύεται, καὶ στολὴν περιβάλλεται τρύχινον, καὶ σταυρὸν ἀραμένη ἐξῆλθεν ἐν τῇ ἐρήμῳ, καὶ ἐπὶ χρόνοις τρισὶ καὶ εἴκοσι θηρίοις συναυλισθεῖσα καὶ παρ' αὐτῶν δεχομένη τροφήν, καὶ πολλοὺς πειρασμοὺς ὑπὸ τῶν δαιμόνων ὑπομείνασα, ἐν εἰρήνῃ τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε, σχηματίσασα ἑαυτὴν ἐν τῇ πέτρᾳ ἐν ᾗ καθεύδειν εἰώθει. Ὁ δὲ ἐπίσκοπος Ἀθανάσιος κατεσχέθη [11] | καὶ ἀχθεὶς πρὸς τὸν βασιλέα Οὐαλλεριανὸν [12] καὶ πλείσταις αἰκίαις ὑπὸ [13] μαστίγων καὶ ῥάβδων ἐξετασθεὶς ἐκτέμνεται ξίφει τὴν κεφαλήν. f. 294. Ὡσαύτως δὲ καὶ οἱ ἅγιοι Χαρήσιμος καὶ Νεόφυτος, θεολογικοῖς τε δόγμασι τὴν εἰς Χριστὸν πίστιν [8] κηρύξαντες καὶ ἠθικοῖς λόγοις τὸν βασιλέα ἐκπλήξαντες, τὴν διὰ ξίφους ἀπόφασιν ἔλαβον. Τελεῖται δὲ ἡ τῆς ἁγίας [14] σύναξις ἐν Ἱπποΐχνοις.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς βασιλίσσης Ἀριάδνης.

5. Καὶ [1] ἄθλησις τοῦ ἁγίου μάρτυρος Λουκίου [2]. Ὅς [3] ἀπὸ Κυρήνης [4] τῆς κατὰ Λιβύην ὑπῆρχε, πρῶτος μὲν [5] τῆς [5] ἐν τῇ πόλει βουλῆς [6], ὄγκῳ καὶ μεγέθει σώματος ὑπερέχων τῶν [7] κατ' αὐτόν, πρότερον μὲν τῇ θρησκείᾳ καὶ τῇ [5] πλάνῃ τῶν εἰδώλων προσκείμενος [8]. Μετὰ δὲ τὸ ἀμεταπτώτως καὶ στερρῶς ἀγωνίσασθαι τὸν μέγαν ἱερομάρτυν [9] Θεόδωρον, τὸν τῆς πόλεως ταύτης ἐπίσκοπον [10], καὶ τὸν στέφανον ἀπενέγκασθαι κατανυγεὶς ὑπὸ τῆς χάριτος τοῦ Χριστοῦ, τὸ θεῖον δέχεται [11] βάπτισμα. Πείθει δὲ καὶ τὸν ἡγεμόνα Διγνιανὸν [12] πιστεῦσαι εἰς τὸν Χριστόν· ὃν καὶ [5] παραλαβὼν κατέπλευσεν εἰς Κύπρον. Εὑρὼν δὲ ἐν αὐτῇ συλλαμβανομένους τοὺς χριστιανοὺς καὶ ἀναιρουμένους, λαθὼν τὸν Διγνιανὸν [13] τοῖς βασανισταῖς παρέδωκεν ἑαυτόν· καὶ λακτίσας τὸν βωμὸν καὶ τὰ ἐν αὐτῷ κείμενα ἀνατρέψας, προστάξαντος τοῦ τυράννου, τὴν κεφαλὴν ἀπετμήθη [14].

— [13] κ. τ. Χ. D. — [14] *corr., prius* πρίγκυπος S, πρίγγιπος D. — [15] Σιλαμβρίαν D. — [16] ὅσος S. — [17] *om.* D. — [18] Ξηροκίρκῳ D, *cf.* S *ad diem Mai 9*[4].

2. — [1] τ. α. ἡ. *om.* D. — [2] Ὀρόψεως D. — [3] μετὰ Ὢρ καὶ Ὀρόψεως *add.* D. — [4] (μετὰ - Ὠ.) *om.* D. — [5] π. δὲ *del.* D. — [6] δὲ *add. corr.* D. — [7] διαμεῖναν S. — [8] (ἐβλήθησαν - ἀποτέμνουσιν) ἐκδίδονται καὶ ξύλω ἀναρτηθέντες σφοδρῶς ξέονται καὶ ἐκ πάντων τούτων ἀσινεῖς διαμείναντα ξίφει τὰς κεφαλὰς ἀποτέμνονται D.

3. — [1] μαρτυρησάντων *add.* D. — [2] ἦν D. — [3] τοῦ *add.* D. — [4] ἐκ Σελευκίας D. — [5] Μαρτυρείας S. — [6] ἐπὶ D. — [7] αὐτῇ *add.* D. — [8] *om.* D. — [9] Ἀθανάσιος *add.* D. — [10] εὐθὺς D. — [11] κατασχεθεὶς D. — [12] Οὐαλεριανὸν D. — [13] τε *add.* D. — [14] Ἀνθούσης *add.* D.

5. — [1] τῇ αὐτῇ ἡμέρᾳ D *ad d. Augusti 21.* — [2] Λευκίου S, Λουκίου D *et ceteri, cf.* Synaxaria selecta, *ad d. Aug. 21.* — [3] οὗτος D, ὃς ἦν S. — [4] Κυρίνης D. — [5] *om.* D. — [6] καὶ συνεδρὸς τοῦ ἡγεμόνος *add.* D. — [7] τοὺς D. — [8] προκείμενος S. — [9] μέγα ἱερομάρτυν S, μέγαν ἱερομάρτυρα D. — [10] τῆς αὐτῆς ἐπ. πόλεως D. — [11] ἐδέξατο D. — [12] D, Διογνιανὸν S. — [13] Διογνιανὸν S, Διογνιὰν D. — [14] (τὴν κ. ἀ.) διὰ ξίφους τὸν αὐχένα τμηθεὶς τὸ τέλος ἐδέξατο D.

Aug. 22. οὖν τὴν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστιν, κατακλείεται ἐν φρουρᾷ καὶ ἐξαχθεὶς μαστίζεται· εἶτα δεξάμενος τὴν ἀπόφασιν, ἐτμήθη τὴν κεφαλὴν καὶ ἐρρίφη εἰς τὸν Σάον οὕτω λεγόμενον ποταμόν (Aug. 23[2]). — 3. 4. — **Da** : 1. 3. 4. 2. — **K** : 1. 3. 2. — **N** : 1. 3. 2. — **Bb** : 1. 3. — **Bc** : 1. 3. — **C** : 1. 3. — **Cg** : 1. 3. — **R** : 1. 3. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 3. 2. — **Mv** : 1. 3. 2. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

1 Τοῦ ἁγίου Λούππου.

2. Καὶ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Εἰρηναίου ἐπισκόπου Σιρμίου. Οὗτος ὁ ἅγιος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· καὶ κρατηθεὶς ἀπὸ τοῦ Σιρμίου ἤχθη εἰς Παννονίαν καὶ παρέστη Πρόβῳ τῷ ἡγεμόνι, ὁμολογῶν καὶ κηρύττων τὴν εἰς Χριστὸν τὸν ἀληθινὸν Θεὸν πίστιν. Διὸ κατακλείεται φρουρᾷ· καὶ ἐξαχθεὶς μαστίζεται, καὶ μετὰ ταῦτα λαβὼν τὴν ἀπόφασιν ξίφει τὴν κεφαλὴν τμηθεὶς ἐν τῷ ποταμῷ ῥίπτεται Σάῳ· καὶ οὕτως ἐτελειώθη αὐτοῦ ἡ μαρτυρία.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Εἰρηναίου ἐπισκόπου γενομένου Λουγδούνων. Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Μάρκου Ἀντωνίνου τοῦ βασιλέως, ἀρχαῖος ἀνήρ, διάδοχος χρηματίσας τῶν μακαρίων τοῦ Κυρίου ἀποστόλων, ἐπισκοπήσας ἐν πόλει Λουγδούνων τῆς Γαλλίας. Ὅστις, φησί, πλεῖστα βιβλία μνήμης ἄξια τῇ ἐκκλησίᾳ καταλέλοιπεν τὴν καθ' ἡμᾶς πίστιν
f. 294v. βεβαιοῦντα· ἐξ οὗ | οἱ μεταγενέστεροι τὰς ἀφορμὰς τῆς ἑρμηνείας τῶν θείων γραφῶν ἔλαβον. Οὗτος μετὰ Ποθεινὸν ἐπίσκοπον τῆς εἰρημένης πόλεως, ὑπὲρ Χριστοῦ ἀθλήσαντα, τῆς ἐκκλησίας τοὺς οἴακας δεξάμενος καὶ πολλοὺς λόγοις καὶ παραινέσεσιν ἐκ τῆς πλάνης τῶν δαιμόνων ἀφαρπάσας καὶ τῷ Χριστῷ μάρτυρας προσαγαγών, τελευταῖον καὶ αὐτὸς ὑπὸ τῶν διωκτῶν ξίφει τελειωθεὶς στεφανοῦται παρὰ τῆς θείας χειρὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Καλλινίκου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως [1]. Οὗτος πρότερον μὲν ἦν πρεσβύτερος καὶ σκευοφύλαξ τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τῶν Βλαχερνῶν [2]· διὰ δὲ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν προεβλήθη ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ νέου, τοῦ ἕκτου ἀπεγγόνου Ἡρακλείου· ὃς αὐτῷ πολλὰς ἐπινοῶν θλίψεις ἐμήνυσέ ποτε δοῦναι εὐχὴν ἐπὶ τῇ καθαιρέσει τοῦ ναοῦ τῆς ἁγίας Θεοτόκου τῶν Μητροπολίτου. Ὁ δὲ ἅγιος ἀπεκρίνατο μὴ εἶναι εὐχὴν ἐπὶ καταστροφῇ, ἀλλὰ μᾶλλον ἐπὶ οἰκοδομῇ· « Ἐπὶ συστάσει γάρ, φησίν, ὁ Θεὸς τὸν κόσμον » ἐποίησεν [3], οὐκ ἐπὶ καταλύσει. » Τῶν δὲ ἀποσταλέντων προσκειμένων [4] αὐτῷ καὶ διενοχλούντων καὶ ἐκβιαζομένων [5] τὸ τοῦ βασιλέως ποιῆσαι πρόσταγμα, προσεφώνησεν ὁ μακάριος· « Δόξα » Χριστῷ τῷ Θεῷ τῷ ἀνεχομένῳ, » καὶ εὐθέως ὁ ναὸς καθῃρέθη. Τοῦ οὖν βασιλέως διὰ τὴν ἄμετρον ἀταξίαν καὶ πλημμέλειαν ἐκπεσόντος τῆς βασιλείας καὶ τὴν ῥῖνα καὶ τὴν γλῶτταν τμηθέντος καὶ ἐν Χερσῶνι καθ' ὑπερορίαν σταλέντος ἐκεῖθέν τε [6] ἀποδράντος καὶ τὴν τῶν Βουλγάρων ὑποδυσαμένου ἰσχὺν καὶ τοῖς τείχεσι Κωνσταντινουπόλεως προσβαλόντος [7] καὶ δόλῳ πείσαντος τόν τε πατριάρχην καὶ τὴν σύγκλητον ἐλθεῖν [8] καὶ ὑποδέξασθαι αὐτόν, εἶτα καταψευσαμένου [9] τῶν ὅρκων οὓς προέτεινε προτεθέντος τοῦ τιμίου σταυροῦ καὶ τῶν πανσέπτων [10] εὐαγγελίων καὶ τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος. Καὶ εὐθὺς [11] μετὰ τὴν κάθοδον πάσης τῆς πόλεως [12] φόνων ἐμπλησθείσης [13], ἀνηρπάγη ὑπὸ τῶν δορυφόρων αὐτοῦ ὁ μακάριος Καλλίνικος, καὶ ὑπερωρίσθη ἐν Ῥώμῃ, Aug. 23.

4. — [1] πατριάρχου ἡμῶν καὶ ἀρχ. Κπ. K. D. — [2] ἁγίας Θ. τῶν Βραχερνῶν D. — [3] ἐπ. ὁ Θ. τ. κ. φησιν D. — [4] προκειμένων S. — [5] βιαζομένων D. — [6] δὲ D. — [7] προσβαλλόντος S. — [8] ἐξελθεῖν D. — [9] καταψευσάμενος S. — [10] σεπτῶν D. — [11] εὐθέως D. — [12] πᾶσαν τὴν πόλιν D. — [13] ἐμπλήσαντος D.

SYNAXARIA SELECTA. **H** : Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας (Feb. 21[3]). — Μελετίου ἀρχιεπισκόπου Ἀντιοχείας (Feb. 12[2]). — 4. — **P** : Εὐσταθίου. — Μελετίου. — 4. — **D** : Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας τῆς μεγάλης. Οὗτος ἦν ἐπὶ Κωνσταντίνου τοῦ πρώτου ἐν βασιλεῦσιν χριστιανοῦ... διὰ οὖν τὴν ἔνθεον αὐτοῦ παρρησίαν. Ζήτει τὴν αὐτὴν διήγησιν ὁλόγραφον εἰς τὴν κα' φεβρουαρίου. — Μελετίου ἀρχιεπισκόπου Ἀντιοχείας τῆς μεγάλης πόλεως. — 4. — Εἰρηνάρχου, Ὢρ καὶ Ὀρόψεως (Aug. 22[2], add.: αὕτη ἡ διήγησις εἰς τὴν εἰκοστὴν δευτέραν τελεῖται τοῦ αὐτοῦ μηνός· ἐπελαθόμεθα γὰρ τοῦ γράψαι αὐτὴν ἐκεῖ). — **Da** : 4. 2. 3. — **K** : 4. 2. 3. — **N** : 2. 3. 4. 1 : Λούπου. Οὗτος ὁμολογῶν τὸν Χριστὸν καὶ τὸ αὐτοῦ σεβόμενος ὄνομα παρρησίᾳ, προσήχθη παρὰ τῶν εἰδωλομανούντων τῷ κατὰ τὸν τόπον ἄρχοντι. Ὁ δὲ θωπείαις τοῦτον οἰόμενος ὑφελεῖν, πολλὰ προσῆξε τὰ δελεάσματα· ἀλλὰ μηδὲν ἀνύων, κατὰ μέλος αὐτὸν τμηθῆναι διεκελεύσατο. Καὶ παραλαβόντες οἱ τιμωρήσασθαι προσταχθέντες ἑαυτοὺς μᾶλλον ἐκείνου κατέτεμον· εἶτα πάλιν τοξεύειν πειραθέντες, ἀλλήλους ἐτόξευον· καὶ πρίονι διελεῖν βουληθέντες, φυτόν τι πλησίον τοῦ ἁγίου ἑστὸς εἰς δύο διέτεμον· καὶ οὕτως ἀποκαμόντων τῶν τιμωρούντων καὶ τοῦ ἄρχοντος, ἐπεὶ καὶ ὕδωρ οὐρανόθεν ἐπ' αὐτὸν κατεχέθη καὶ πρὸς πλείονα τὴν ἔνστασιν καὶ τὸ ἀνένδοτον παρεθάρρυνε, διὰ ξίφους τὴν κάραν τμηθεὶς τῆς παρούσης ἀπανέστη ζωῆς. — Ἀριάδνης (Aug. 22[4]). — **Bb** : Εἰρηναίου, Ὢρ καὶ Ὀρεψώου (Aug. 22[2]). — Σιλουανοῦ ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ (Aug. 24[3]). — Εὐσταθίου. — Μελετίου. — 4. 2. 3. — **Bc** : Εἰρηναίου, Ὢρ καὶ Ὀρέψεως. — Σιλουανοῦ. — Εὐσταθίου. — Μελετίου. — 4. 2. 3. — **C** : mutil. — Μελετίου. — 4. 2. 3. — **Cg** : Εἰρηναίου, Ὢρ καὶ Ὀρόψεως. — Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας τῆς μεγάλης. Οὗτος ὁ μακάριος Εὐστάθιος ὑπῆρχεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, πρόεδρος τῆς Ἀντιοχέων ἐκκλησίας· ὅστις καὶ ἐν τῇ πρώτῃ συνόδῳ τῇ ἐν Νικαίᾳ... Des. : ὑπὸ γάρ τινος Εὐσταθίου συμφθαρέντος αὐτῇ γεννηθῆναι τὸ παιδίον. Ἦν δὲ κατὰ τὸν τύπον τοῦ σώματος μακρός, λεπτός, ἐπιμήκης τὸ πρόσωπον, ἀναφαλαντίας, ὀφρῦς λεπτάς τε καὶ εὐθυτενεῖς ἔχων, μακροτράχηλος, μετρίᾳ ὑπήνῃ καὶ μελαίνῃ τὰς παρειὰς ἐξανθῶν ἐπὶ πολιαῖς ὀλίγαις. — Μελετίου ἀρχιεπισκόπου τῆς αὐτῆς μεγάλης πόλεως Ἀντιοχείας. Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Κωνσταντίνου ἀρειανίζοντος· ὅστις εὐκαι- Aug. 23.

Aug. 23. ὑποδείξαντος αὐτῷ τοῦ Ἰουστινιανοῦ τὴν ἐκτμηθεῖσαν ῥῖνα καὶ γλῶτταν καὶ συνωμοσίας κατηγορήσαντος [14], ὧν [15] οὐδὲν μετεῖχεν ὁ τοῦ Θεοῦ | f. 295. μέγας ἀρχιερεύς. Ἀπαχθεὶς δὲ ἐν Ῥώμῃ ἐν στοᾷ τινι θεμελίων τοίχου ἐμβάλλεται καὶ ἐπιχρίεται ἔξωθεν· τοῦτο γὰρ ὁ τύραννος ἐκέλευσεν [16]. Μετὰ οὖν τεσσαράκοντα [17] ἡμέρας περιαιρεθέντος τοῦ χρίσματος, ἔτι ζῶν καὶ ἐμπνέων εὑρέθη· καὶ μετὰ τέσσαρας ἡμέρας πρὸς Κύριον ἐξεδήμησε. Καὶ κατετέθη ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, καθὼς τῷ τηνικαῦτα πάπᾳ τῆς πόλεως Ῥώμης καθ' ὕπνους οἱ ἅγιοι ἀπόστολοι ἐνεφάνισαν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ [18] μεγάλῃ ἐκκλησίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Aug. 24. **1.** Μνήμη τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου ἤτοι ἡ κατάθεσις τοῦ ἁγίου αὐτοῦ λειψάνου.

2. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Τατιανοῦ, οἱ δὲ Τατίωνα [1] αὐτὸν λέγουσιν. Οὗτος ἦν ἐκ τοῦ Μαντινέου [2] τοῦ ὑπὸ Κλαυδιούπολιν τὴν μητρόπολιν, ἐπαρχίας τῆς Ὀνωριάδος. Συλληφθεὶς δὲ ὑπὸ τῶν ἑλλήνων διὰ τὸ τὸν Χριστὸν σέβεσθαι [3], παρέστη ἐν Κλαυδιουπόλει Οὐρβανῷ τῷ ἡγεμόνι. Ἐρωτηθεὶς δὲ καὶ χριστιανὸν ἑαυτὸν ὁμολογήσας, τίθεται ἐν φρουρᾷ· καὶ αὖθις ἐρωτηθείς, ἐπεὶ τῇ τοῦ Χριστοῦ ἐπέμεινε [4] πίστει, τύπτεται ξύλοις καὶ ξέεται σιδήροις· εἶτα αὖθις τύπτεται καὶ διὰ μέσης τῆς πόλεως σύρεται, καὶ φθάσας τὴν πύλην τῆς πόλεως καὶ σφραγισάμενος καὶ φωνῆς ἄνωθεν ἐπακούσας εὐαγγελιζομένης αὐτῷ τὰ ἀποκείμενα ἀγαθά, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο [5].

3. Τῇ [1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων [2] Σευήρου καὶ Μέμνονος τῶν ἐν Θράκῃ μαρτυρησάντων σὺν ἑτέροις τριάκοντα ὀκτώ [3]. Οὗτοι ἐκ Θράκης ὑπῆρχον κατὰ τοὺς χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. Καὶ οἱ μὲν τριάκοντα ὀκτὼ ἅγιοι ἐν Φιλιππουπόλει ὑπὸ Ἀπελλιανοῦ ἀνθυπάτου ὁμολογήσαντες παρρησίᾳ τὸ τοῦ Χριστοῦ ὄνομα, τὰς κεφαλὰς ἀπετμήθησαν, μηνὶ μαΐῳ τεσσαρεσκαιδεκάτῃ. Σευῆρος δὲ ὁ ἅγιος πρὸς μὲν πατρὸς ἦν Θρᾷξ, πρὸς δὲ μητρὸς Σιδήτης [4] ἐκ Παμφυλίας. Ἐκαλεῖτο δὲ ὁ μὲν πατὴρ αὐτοῦ Πετρώνιος, ἡ δὲ μήτηρ Μυγδονία [5], οἳ πρὸς τὴν εἰς Χριστὸν ἐχειραγωγήθησαν πίστιν ὑπὸ τοῦ ἐπισκόπου Ξενοφῶντος, μαθητοῦ Ἰωάννου εὐαγγελιστοῦ [6] ἠγαπημένου [6] τοῦ θεολόγου. Καὶ οὗτοι μὲν εἰσοικισθέντες ἐν Φιλιππουπόλει αὖθις ἐξῳκίσθησαν [7] διὰ τὴν ἐπικρατοῦσαν ἐν αὐτῇ εἰδωλολατρείαν. Ὁ δὲ μάρτυς Σευῆρος, | ὁ τούτων υἱός, κατέμενεν ἐν τῇ f. 295v. πόλει· ὢν δὲ διὰ σώματος καὶ μέγεθος [8] καὶ δύναμιν ἀνυπέρβλητον περίβλεπτος καὶ μεγαλυνόμενος παρὰ [9] πάντων, ὅμως μικρὰ ταῦτα ἡγεῖτο εἰδὼς παρερχόμενα καὶ φθειρόμενα. Ἓν δὲ μόνον ἐθαύμαζε καὶ λίαν τούτων [10] ἐπόθει τυχεῖν, τὸ παθεῖν ὑπὲρ Χριστοῦ καὶ τῷ τῆς μαρτυρίας κοσμηθῆναι στεφάνῳ· ὅθεν καὶ θεοφανείας ὄναρ ἠξιώθη καὶ προετράπη ἅμα πρωῒ ἐπὶ τὴν κατὰ ἀνατολὰς πύλην ἐλθεῖν κἀκεῖ τεύξεσθαι [11] τοῦ σκοποῦ. Καὶ δὴ γενόμενος ἐν αὐτῇ, συναντᾷ τινι κεντυρίωνι, ὃς ἐκαλεῖτο Μέμνων. Τοῦτον οὖν κατ' ἰδίαν λαβὼν καὶ ἐν βραχεῖ τῆς καθ' ἡμᾶς [12] αὐτῷ τὴν οἰκονομίαν ἐκθέμενος πίστεως [13] καὶ ἀποστῆναι παραινέσας τῆς ματαιότητος τῶν εἰδώλων πείθει καὶ τῇ τοῦ Χριστοῦ πίστει προσάγει. Διαβληθεὶς δὲ καὶ προσαχθεὶς Ἀπελλιανῷ τῷ ἀνθυπάτῳ καὶ τὴν εἰς Χριστὸν πίστιν ὁμολογήσας, παραδίδοται Μέμνονι τῷ κεντυρίωνι, τὴν τῆς πίστεως ἀγνοουμένῳ μεταβολήν, οἰηθέντος τοῦ ἀνθυπάτου δυνηθῆναι τὸν Μέμνονα [14] τοῦ Χριστοῦ ἀποστῆσαι τὸν ἅγιον. Οἱ δὲ καθ' ἑαυτοὺς γενόμενοι παρέθηξαν ἀλλήλους καὶ πρὸς τὴν ὑπὲρ Χριστοῦ συνεστόμωσαν ἄθλησιν. Τῇ δὲ ἑξῆς παραστάντες τῷ ἀνθυπάτῳ χριστιανοὺς ἑαυτοὺς ἀμφότεροι ἀνηγόρευσαν. Τύπτεται οὖν ὁ Μέμνων ἀνηλεῶς καὶ ὁ Σευῆρος τὰς σιαγόνας τιτρώσκεται. Εἶτα ἐκ Φιλιππουπόλεως ἀπαίροντι [15] τῷ ἀνθυπάτῳ εἰς Ἀδριανούπολιν κἀκεῖθεν εἰς Βιζύην σιδήρων βάρει πεφορτωμένοι ἀκολουθεῖν ἀναγκάζονται· ἔνθα προσαχθέντες καὶ ἐρωτηθέντες [16], ἀμετάθετον ἔχειν τὴν εἰς Χριστὸν πίστιν ὁμολογήσαντες, ὡς τὸ στερρὸν αὐτῶν καὶ ἀνένδοτον κατεῖδεν [17] ὁ τύραννος, προσέταξε τὸν ἅγιον Μέμνονα ταθῆναι δυσὶ κίοσι προσδεθέντα καὶ σιδηροῖς ὀγκίνοις τρεῖς λώρους ἐκδαρῆναι ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, διὰ τῆς ψύας διήκοντας μέχρι τῶν ποδῶν. Οὓς ἰδὼν ὁ μακάριος Μέμνων ἡδὺν [18] εἶπεν εἶναι τὸν πόνον ὃς προξενεῖ αἰωνίαν ἀπόλαυσιν· «Ἔσται δὲ τοῦτο πάντως ἐμοί· καὶ γὰρ » τῇ τριτμήτῳ δορᾷ τῆς σαρκός μου [19] τὴν ἁγίαν » δεξιοῦμαι Τριάδα. » Μετὰ δὲ τοῦτο τμηθεὶς χεῖρας καὶ πόδας εἰς κάμινον | πυρὸς ἐνεβλήθη, ἐν ᾗ καὶ τὸ πνεῦμα παρέδωκε τῷ Θεῷ. Ὁ δὲ ἅγιος Σευῆρος ἐξέσθη σιδηραῖς χερσίν [20], εἶτα δακτυλήθρας πεπυρωμένας τοῖς δακτύλοις περιβάλλεται, καὶ ὑπὸ τεσσάρων στρατιωτῶν τανυσθεὶς [21] πρίζεται. Τῆς δὲ τοιαύτης βασάνου παραδόξως ῥυσθείς, τῶν στρατιωτῶν ἀτονησάντων καὶ ἐκλυθέντων, σιδηρᾶν ζώνην [13] περιζώννυται [22] πυρωθεῖσαν, καὶ οὕτως [23] τὴν κεφαλὴν ἀποτέμνεται.

— [14] *om.* D. — [15] ἧς D. — [16] ὥρισεν D. — [17] σαράκοντα D. — [18] τοῦ Θεοῦ *add.* D.

2. — [1] Τατίων D. — [2] Μαντιναίου S. — [3] διὰ τὸ σ. τ. Χ. D. — [4] καὶ τῇ τοῦ Χ. ἐπιμένων D. — [5] παρέδωκεν D.

3. — [1] καὶ τῇ D. — [2] μαρτύρων *add.* D. — [3] (σὺν - ὀκτώ) καὶ τῆς συνοδίας αὐτῶν τριάκοντα ὀκτὼ ἁγίων μαρτύρων D. — [4] Σιδίτης S, D. — [5] Μυγδωνία S. — [6] *om.* D. — [7] ἐξοικίζονται D. — [8] διὰ μέγεθος σώματος D. — [9] ὑπό D. — [10] τοῦτο λείαν D. — [11] τεύξασθαι D. — [12] πίστεως *add.* D.

Aug. 23. ρῶν ἐκ τοῦ πολέμου καὶ ἐν Ἀντιοχείᾳ διατρίβων ἐπισκόπους συνήθροισεν ἀρνηθῆναι τὸ ὁμοούσιον καὶ ἀντεισαχθῆναι τὸ ἑτεροούσιον... Des. : εἶτα καὶ τὸν θεολόγον Γρηγόριον τῷ θρόνῳ ἐγκαθιδρύσας ἐν αὐτῇ τῇ βασιλευούσῃ τὸ πνεῦμα τῷ Θεῷ παρέδωκε καὶ μεγαλοπρεπῶς κηδευθεὶς ἐντίμως προεπέμφθη εἰς Ἀντιόχειαν καὶ κατετέθη πλησίον τοῦ ἐνδόξου μάρτυρος Βαβύλα. — 4. 2. 3. — **R** : 1. 2. 3. 4. — **Ra** : 1. 4. — **Rb** : 1. — Τατιανοῦ (Aug. 24²). — 2. — **Rc** : 1. 4. 2. 3. — **Mc** : 1. 3. 4. — **Mv** : 1. 2. 3. 4. — Οἱ ἅγιοι τριάκοντα ὀκτὼ μάρτυρες οἱ ἐν Θράκῃ ξ. τ. (Aug. 24³). — **Mr** : 1.

Aug. 24. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. — **P** : 2. 3. — Μηνᾶ πατριάρχου Κωνσταντινουπόλεως. — 4. — **D** : 2. 3. — Εὐτυχοῦς (Mai 30¹). — 4. — **Da** : Εὐτυχοῦς. — 2. 4. — **K** : Εὐτυχοῦς. — 2. 4. — **N** : Μελετίου (Feb. 12²). — Εὐτυχοῦς. — 2. 3. 4. — Σισιννίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ἐν πολλαῖς διατρίψας ἀρχαῖς καὶ τῷ τῶν μαγίστρων ἀξιώματι τιμηθεὶς οἰκονομεῖν δὲ τὰ τῆς ἐκκλησίας προτραπεὶς καὶ τῷ ὀγδοηκοστῷ αὐτοῦ πέμπτῳ χρόνῳ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως ψήφῳ συνοδικῇ προχειρισθείς, θεοπρεπῆ καὶ ἀξιέπαινα κατειργάσατο ἔργα. Ἐν πολλοῖς γὰρ ἔτεσι σχεδὸν τῶν ἑκατὸν τῆς ἐκκλησίας κυμαινομένης καὶ διαρρηγνυμένης τῆς τετραγαμίας ἕνεκεν καὶ ἄλλο ἄλλως τῶν μοναχῶν καὶ ἱερέων δοξαζόντων, σοφαῖς ὑποθήκαις καὶ παραινέσεσιν ἥνωσε πάντας τῷ τῆς ἐκκλησίας κοινῷ σώματι. Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ σεπτῷ ναῷ τοῦ ἀρχιστρατήγου τῶν Ἄδδα. — **Bb** : 2. — Εὐτυχίου. — Μηνᾶ. — 4. — **Bc** : 2. — Εὐτυχίου. — Μηνᾶ. — 4. — **C** : 2. — Εὐτυχοῦς. — Μηνᾶ. — 4. 1 (in marg. : τὸ συναξάριον τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου ζήτει εἰς τὴν ια' τοῦ ἰουνίου μηνός). — **Cg** : 2. — Εὐτυχοῦς μαθητοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ ἀποστόλου καὶ θεολόγου. Οὗτος πατρίδα μὲν ἔσχε τὴν Σεβαστούπολιν· καταλιπὼν δὲ γονεῖς καὶ συγγενεῖς... Des. : πλήρης δὲ ἡμερῶν γενόμενος ἐτελειώθη. — Μηνᾶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὑπῆρχεν ἐπὶ Ἰουστινιανοῦ τοῦ πάλαι πρεσβύτερος τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας. Διὰ δὲ τὴν αὐτοῦ πολιτείαν γίνεται πατριάρχης τῆς αὐτῆς ἐκκλησίας, ἐνάτῳ ἔτει τῆς αὐτοῦ βασιλείας χειροτονηθεὶς ὑπὸ Ἀγαπητοῦ πάπα Ῥώμης, ἀνελθόντος ἐν Κωνσταντινουπόλει ἐπὶ διορθώσει τῆς ἐκκλησίας

Aug. 24. f. 296.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ὁσιομάρτυρος Γεωργίου τοῦ Λιμναιώτου [1]. Οὗτος ὁ μακάριος [2] ἐκ νέας τῆς ἡλικίας τὴν ἀσκητικὴν ἀγωγὴν [3] ἐν τοῖς κατ' Ὄλυμπον ὄρεσιν ποιησάμενος καὶ πολλοὺς ἀγῶνας ἐνδειξάμενος [4] ἐπὶ Λέοντος τοῦ Ἰσαύρου [5], τὰς ἱερὰς εἰκόνας κατακλῶντος [6] καὶ τὰ τῶν ἁγίων λείψανα κατακαίοντος [7], παρρησιασάμενος τὴν [8] εὐσέβειαν [8] καὶ τὴν τοῦ τυράννου διελέγξας δυσσέβειαν [9] καὶ [8] ἀθεότητα [8] καὶ τὴν ἀληθῆ πίστιν ἀνακηρύξας, ἐν βαθυτάτῳ γήρᾳ — καὶ γὰρ ἦν ὥς φασιν ἐτῶν ἐνενήκοντα πέντε [10] — πολλὰς καὶ πολυτρόπους βασάνων ἰδέας [11] ὑπέμεινεν· ἔσχατον δὲ τὴν ῥῖνα τμηθεὶς καὶ τὴν κεφαλὴν καταφλεχθεὶς εὐχαριστῶν καὶ προσευχόμενος τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

Aug. 25. **1.** Μνήμη τοῦ ἁγίου καὶ [1] ἐνδόξου ἀποστόλου Τίτου ἐπισκόπου γενομένου πόλεως Γορτύνης τῆς κατὰ Κρήτην, μαθητοῦ Παύλου τοῦ ἀποστόλου. Τῖτος ὁ μακάριος [2] ἐκ Μήνωνος τοῦ βασιλέως Κρήτης κατῆγε τὸ γένος, ὥς φησι Ζηνᾶς ὁ νομικός, ὁ τὸν βίον αὐτοῦ συγγραψάμενος [3], οὗ μέμνηται ὁ ἀπόστολος Παῦλος. Οὗτος οὖν ὁ μακάριος Τῖτος ἐν ἀρχῇ τοῦ βίου πολλὴν ἐπιδειξάμενος σπουδὴν εἰς τὴν παρὰ τοῖς ἕλλησι θαυμαζομένην παιδείαν, ἤδη εἰκοσαέτης γεγονὼς ἀκούει φωνῆς ἄνωθεν ἐνεχθείσης· « Τῖτε, δεῖ σε ἐντεῦθεν ἐκδη» μῆσαι καὶ τὴν ψυχήν σου σῶσαι· οὐ γὰρ ὀνήσει » σε ἡ παιδεία αὕτη. » Ἔτι τε βουλόμενος τῆς αὐτῆς ἀκοῦσαι φωνῆς, ᾔδει γὰρ τὰς ἐκ τῶν [4] ἀγαλμάτων διὰ φωνῆς διδομένας πλάνας, ἐπισχὼν ἔτι ἐνναετῆ [5] χρόνον, προσετάχθη δι' ὁράματος τὴν τῶν Ἑβραίων βίβλον ἀναγνῶναι. Καὶ λαβὼν τὴν τοῦ Ἡσαΐου βίβλον, εὗρε ταύτην τὴν [6] περικο-

— [13] *om.* D. — [14] Μέμνωνα S. — [15] D, ἀπαίρωνται S. — [16] καὶ *add.* D. — [17] καθεῖδεν D. — [18] ἡδὺ D. — [19] τῆς σ. μ. δωρᾷ D. — [20] χερσὶ σιδηραῖς D. — [21] τανυθεὶς D. — [22] ζώννυται D. — [23] οὕτω D.

4. — [1] Λιμναιότου D. — [2] εὐθὺς D. — [3] διαγωγὴν D. — [4] ὑποστὰς D. — [5] ἀρξαμένου τὰς τοῦ Θεοῦ ἁγίας ἐκκλησίας καθαιρεῖν καὶ *add.* D. — [6] ἀνατρέπειν D. — [7] λ. τῶν ἁγ. πυρὶ κατακαίειν D. — [8] *om.* D. — [9] ἀσέβειαν D. — [10] πέντε καὶ ἐνενήκοντα D. — [11] ἰδ. βασάνων D.

1. — [1] *om.* D. — [2] ἁγιώτατος D. — [3] συγγράψας D. — [4] (ἐκ τῶν) ἐξ D. — [5] ἐννέα ἔτη D. — [6] *om.* D.

Aug. 24. καὶ καθελόντος Ἄνθιμον [1] τὸν Τραπεζούντιον αἱρετικὸν ὄντα. Οὗτινος Ἀγαπητοῦ τελευτήσαντος ἐν Κωνσταντινουπόλει, χειροτονεῖται πάπας ὁ Βιργίλιος· ὅστις μετά τινα χρόνον ἀνελθὼν ἐν Κωνσταντινουπόλει καὶ φιλοφρονηθεὶς καὶ τιμηθεὶς ὑπὸ τοῦ βασιλέως καὶ τῆς αὐγούστης καὶ διὰ τοῦτο ὑπεραρθεὶς [2], δέδωκεν ἐπιτίμιον τῷ ἁγίῳ Μηνᾷ· ἐφ' ᾧ ὠργίσθησαν ὅ τε [3] βασιλεὺς καὶ ἡ σύγκλητος. Ὅθεν φοβηθεὶς ὁ Βιργίλιος ἔφυγεν ὑπὸ τὸ θυσιαστήριον τῶν ἁγίων Σεργίου καὶ Βάκχου· ἀλλὰ τοῦ βασιλέως προστάξαντος ἑλκυσθῆναι ἔξω καὶ εἰς Ῥώμην ἀπελθεῖν, καὶ τοὺς κίονας ἀνέστρεψεν τοῦ θυσιαστηρίου. Ἀλλ' ὁ μὲν ᾤχετο εἰς Ῥώμην· ὁ δὲ ἅγιος Μηνᾶς καλῶς ἰθύνας τὸ ποίμνιον πρὸς Κύριον ἐξεδήμησε· καὶ τοῦ λειψάνου προκειμένου, προεχειρίσθη Εὐτύχιος ἀποκρισιάριος Ἀμασείας [4]. — 4. — **R** : Εὐτυχοῦς. — 2. 4. — **Ra** : 1. — **Rb** : Εὐτυχοῦς. — **Rc** : Εὐτυχοῦς. — 2. 4. 1 (ἡ κάθοδος τοῦ λειψάνου...). — **Mc** : 1 : ἡ κατάθεσις τοῦ τιμίου λειψάνου τοῦ ἁγίου ἐνδόξου ἀποστόλου Βαρθολομαίου. Ὁ μέγιστος τοῦ Χριστοῦ ἀπόστολος Βαρθολομαῖος ἐν διαφόροις τόποις καὶ ἔθνεσι... Des. : ὃν καὶ ἐν τῇ πόλει Βενιβένδου ἀγαγὼν ἐν σεβασμίῳ τόπῳ κατέθετο· ἔνθα καὶ αὖθις τὰς θαυματουργίας καὶ τὰς ἰάσεις συχνὰς ἐπιτελῶν οὐ διέλιπε. — 2. — **Mv** : Εὐτυχοῦς. — 2. 4. — **Mr** : Εὐτυχοῦς.

Aug. 25. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 1. — Βαρθολομαίου ἡ κάθοδος (Aug. 24¹). — 2. — **D** : 1, mutil. — **Da** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — Ἡ κάθοδος τοῦ τιμίου λειψάνου τοῦ ἁγίου ἀποστόλου

[1] Ἄνθημον Cg. — [2] ὑπεραρθέντος Cg. — [3] ὁ *add.* Cg. — [4] Ἀμασίας Cg.

Aug. 25. πήν· « Ἐγκαινίζεσθε πρὸς μὲ νῆσοι πολλαί, Ἰσραὴλ (Is. 45, 16, 17.) » σώζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον, » καὶ τὰ ἑξῆς. Ὁ οὖν ἀνθύπατος Κρήτης, ὁ καὶ θεῖος τοῦ (f. 296v.) ἁγίου Τίτου, ἀκούσας τὴν τοῦ δεσπότου | Χριστοῦ σωτήριον γέννησιν καὶ τὰς θαυματουργίας, ἃς ἐν Ἱεροσολύμοις καὶ ἐν ἑτέροις τόποις ἐποίει, συμβούλους τοὺς πρώτους τῆς Κρήτης[7] λαβὼν ἀπέστειλε Τῖτον ἐν Ἱεροσολύμοις, ὡς ἱκανὸν ἀκοῦσαί τε καὶ εἰπεῖν καὶ ἐξαγγεῖλαι τὰ ἀκουσθέντα. Ὁ δὲ παραγενόμενος καὶ θεασάμενος καὶ προσκυνήσας τὸν δεσπότην Χριστόν, διέμεινεν ἐν Ἱεροσολύμοις[8] καὶ τῶν θαυμάτων τοῦ Χριστοῦ γέγονε θεατής. Εἶδε δὲ καὶ τὰ σωτήρια αὐτοῦ πάθη καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν καὶ τὴν θείαν ἀνάληψιν καὶ τὴν τοῦ παναγίου Πνεύματος εἰς τοὺς ἀποστόλους ἐπιδημίαν καὶ κάθοδον. Καὶ πιστεύσας συνηριθμήθη τοῖς ἑκατὸν εἴκοσι καὶ τοῖς τρισχιλίοις, τοῖς πιστεύσασι τῷ Κυρίῳ διὰ τῆς τοῦ κορυφαίου Πέτρου διδασκαλίας. Εἶτα χειροτονεῖται καὶ ἀποστέλλεται μετὰ Παύλου διδάσκειν καὶ χειροτονεῖν, οὓς ἂν ὁ Παῦλος δοκιμάσῃ. Καὶ παραγίνεται μετ' αὐτοῦ εἰς Ἀντιόχειαν τῆς Πισιδίας καὶ εἰς τὸ Ἰκόνιον καὶ εἰς τὸν οἶκον Ὀνησιφόρου· εἶτα εἰς Λύστραν καὶ Δέρβην, πανταχοῦ ἐν ἑκάστῳ τόπῳ σὺν τῷ ἀποστόλῳ Παύλῳ τὸν τοῦ Θεοῦ λόγον κηρύττων. Ῥουστίλλου τοίνυν, τοῦ ἐπ' ἀδελφῇ γαμβροῦ ὑπάρχοντος Τίτου, δεύτερον διανύοντος χρόνον εἰς τὴν τῆς Κρήτης ἐπαρχίαν, παρεγένετο ἐν αὐτῇ Παῦλος καὶ Τῖτος. Ἐλθόντες δὲ ἐκ τῆς Κρήτης, ἦλθον εἰς τὴν Ἀσίαν κἀκεῖθεν συμπεριήει τῷ ἁγίῳ Παύλῳ μέχρι τῆς ἐν Ῥώμῃ αὐτοῦ ὑπὸ Νέρωνος ἀναιρέσεως. Τὸ ἐντεῦθεν δὲ ὑπέστρεψεν εἰς Κρήτην, καὶ ἐν αὐτῇ ἐπισκόπους καταστήσας καὶ πρεσβυτέρους, καὶ ἐκκλησίας κοσμήσας ἀνεπαύσατο ἐν Κυρίῳ. Ὁ δὲ σύμπας τῆς ζωῆς αὐτοῦ χρόνος γέγονεν ἔτη τέσσαρα καὶ ἐννενήκοντα. Ἦν γὰρ ἐτῶν εἴκοσιν, ὅτε ἐκ Κρήτης παρεγένετο εἰς Ἱεροσόλυμα· καὶ ἕως τῆς ἀναλήψεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐποίησεν ἐνιαυτὸν ἕνα καὶ διέτριψεν ἑτέρους χρόνους δέκα. Καὶ χειροτονηθεὶς ἀπόστολος καὶ ἀρχιερεὺς ὑπὸ τῶν κορυφαίων μαθητῶν τοῦ Κυρίου, διήνυσε κηρύττων καὶ εὐαγγελιζόμενος ἔτη δεκαοκτώ, καὶ ἐν τῇ Κρήτῃ καὶ ταῖς λοιπαῖς νήσοις ἔτη ἓξ καὶ ἐν τῇ πατρίδι ἔτη τριάκοντα ἐννέα· ἐκ δὲ τούτων ὁ τῶν εἰρημένων ἐτῶν ἀριθμὸς συγκεφαλαιοῦται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Γενναδίου, Ἰωάννου, | Ἐπιφανίου καὶ (f. 297.) Μηνᾶ ἀρχιεπισκόπων γενομένων ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος τῶν πόλεων. Ὁ μακάριος Μηνᾶς ἦν κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ πάλαι βασιλέως, πρεσβύτερος τῆς ἐν Κωνσταντινουπόλει[1] ἁγίας ἐκκλησίας· προεβλήθη δὲ ἀρχιεπίσκοπος ὑπὸ Ἀγαπητοῦ πάπα Ῥώμης ἀνελθόντος ἐν Κωνσταντινουπόλει. Ὃς Ἄνθιμον τὸν αἱρετικὸν καθῃρηκὼς τὸν μακάριον κεχειροτόνηκε Μηνᾶν. Καλῶς οὖν ἰθύνας τὴν ἐκκλησίαν καὶ τὸ τούτου ποίμνιον ἐπαυξήσας, πρὸς Κύριον ἐξεδήμησεν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛ'.

Aug. 26. **1.** Ἄθλησις τῶν ἁγίων τοῦ[1] Χριστοῦ[1] μαρτύρων Ἀδριανοῦ καὶ Ναταλίας[2], Ἀττικοῦ[1] καὶ[1] Σισιννίου[1] καὶ τῆς συνοδίας αὐτῶν. Ὁ μάρτυς Ἀδριανὸς καὶ Ναταλία ἡ αὐτοῦ γαμετὴ[3] ὑπῆρχον ἐκ πόλεως Νικομηδείας. Ἐν τῇ δευτέρᾳ οὖν περιόδῳ τοῦ Μαξιμιανοῦ συνελήφθησαν ἄνδρες χριστιανοὶ τὸν ἀριθμὸν εἴκοσι τρεῖς, οἳ[4] σπηλαίοις ἐκρύπτοντο, καὶ πλείστοις αἰκισμοῖς ὑπεβλήθησαν. Οὓς ἠρώτησε πρὸ τοῦ μαρτυρῆσαι ὁ Ἀδριανός· « Ἀντὶ τίνος τὰς δεινὰς καὶ ἀνυποίστους ὑφί» στασθε[5] τιμωρίας; » Αὐτῶν δὲ ἀποκριθέντων· « Ἵνα κερδήσωμεν τὰ παρὰ τοῦ Θεοῦ ἑτοιμα» σθέντα ἀγαθὰ τοῖς ὑπὲρ αὐτοῦ πάσχουσιν, ἃ » οὔτε ἀκοὴ χωρῆσαι οὔτε λόγος δύναται παρα» στῆσαι, » εὐθὺς ὁ μακάριος Ἀδριανὸς ὑπὸ τῆς θείας χάριτος κατανυγείς, τοῖς ταχυγράφοις εἶπε συντάξαι καὶ τὸ αὐτοῦ[6] ὄνομα μετὰ τῶν χριστιανῶν· « Ἡδέως γάρ, ἔφη, συναποθνήσκω[7] αὐτοῖς. » Τῶν δὲ καὶ γραψάντων καὶ σιδήροις αὐτὸν ἀσφαλισαμένων, ὡς ἔγνω ταῦτα ἡ Ναταλία δι' ἄλλο τι[8] συλληφθῆναι αὐτὸν οἰηθεῖσα καὶ[9] γενομένη[9] περιπαθὴς τὸν ἑαυτῆς διέρρηξε χιτωνίσκον[10]. Εἶτα μαθοῦσα τὸ ἀληθές[11], φαιδρὰν περιβαλλομένη στολὴν[12] ἐπὶ τὸ δεσμωτήριον ἔσπευσεν[13]. Εἰσελ-

— [7] ἐν Κρήτῃ D. — [8] *hic des. mutil.* D.

2. — [1] Κωνσταντινουπούλει S.

1. — [1] *om.* Mc. — [2] Ναττάλίας S. — [3] σύζυγος Mc. — [4] οἵτινες ἐν τοῖς Mc. — [5] ὑφ. τὰς ἀνυποίστους ταύτας καὶ δεινὰς Mc. — [6] καὶ αὐτὸν τὸ Mc. — [7] συναποθανοῦμαι Mc. — [8] ἄλλον τινα τρόπον Mc. — [9] *om.* Mc. — [10] (τὸν - χιτωνίσκον) μὲν τέως ἐγένετο Mc. — [11] τὴν ἀληθῆ αἰτίαν μαθοῦσα τῆς κατασχέσεως Mc. — [12] στ. περιβαλομένη Mc. — [13] καὶ *add.* Mc.

Aug. 25. Βαρθολομαίου εἰς τὴν νῆσον τῆς Λιπάρεως. — **Bb** : 1. — **Bc** : 1. 2. — **C** : 1. — **Cg** : 1. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — Ἐλευθερίου (Aug. 4[3]). — Καὶ τῆς οἰκουμενικῆς δευτέρας συνόδου. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Φωστηρίου. — **Mc** : 1. 2. — **Mv** : Κατάθεσις τοῦ λειψάνου τοῦ ἁγίου ἐνδόξου ἀποστόλου Βαρθολομαίου. — 1. 2. — **Mr** : Βαρθολομαίου. — 1.

Aug. 26. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 1. 2. — Μαξίμου τοῦ ὁμολογητοῦ (Ian. 21[1]). — **D** : deest. — **Da** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. 2. — **Cg** : 1. 2. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — Δατούνη καὶ Εὐκλεοῦ. <Ὃς [1]> ἐστρατεύετο ἐν τῇ δευτέρᾳ σχολῇ[2] ἐπὶ Θεοδοσίου τοῦ μεγάλου, ζῶν εὐσεβῶς καὶ θεαρέστως. Καὶ διὰ τὸν Θεὸν καταλιπὼν γυναῖκα ὁ Εὐκλεὸς καὶ τέκνα καὶ μόνον τὸν υἱὸν αὐτοῦ Δατούνην[3] μεθ' ἑαυτοῦ παραλαβὼν ἔρχεται πρὸς τὸν

[1] *supplevi, om.* Rc. — [2] σχολία Rc. — [3] Δάτου Rc.

θοῦσα δὲ[14] τὰ περικείμενα κλοιὰ τῷ ἁγίῳ Ἀδριανῷ κατησπάζετο, καὶ αὐτόν τε τῆς προθυμίας καὶ ὁρμῆς ἐμακάριζε[15], καὶ ἀσάλευτον πρὸς τὰς ἐπιφορὰς τῶν βασάνων μένειν παρῄνει καὶ τοὺς σὺν αὐτῷ ἁγίους παρεκάλει ὑπὲρ αὐτοῦ εὔχεσθαι. Ἀλλὰ τότε μὲν παραινέσει τοῦ μάρτυρος Ἀδριανοῦ ἡ Ναταλία εἰς τὸν ἑαυτῆς ὑπέστρεψεν οἶκον[16]. Μετ' ὀλίγον δὲ ἥκειν αὐτὸν ἀκούσασα· καὶ γὰρ εἰσαγωγῆς αὐτῷ μεθ' ἡμέραν πρὸς τὸν τύραννον ἐλπιζομένης[17], (f. 297v.) συνταξάμενος τοῖς ἐν τῇ φρουρᾷ | ἁγίοις καὶ πίστεις δοὺς τοῖς φυλάττουσιν[18], ἀπῆλθε μηνῦσαι τῇ Ναταλίᾳ, ὅπως ἐπιστῇ τῇ τελειώσει αὐτοῦ. Ἡ δὲ οὐ τοῦτο ὑποπτεύουσα, ἀλλὰ[19] λογισαμένη δείσαντα τὰς βασάνους αὐτὸν[20] ἀπομόσασθαι τὸν Χριστὸν καὶ τῆς φυλακῆς[21] ἀφεθῆναι, τὴν θύραν ἀπέκλεισε κατ' αὐτοῦ, τὴν τοῦ Χριστοῦ ἄρνησιν αὐτῷ ὀνειδίζουσα, καὶ φιλόψυχον καὶ δειλὸν ἀποκαλοῦσα καὶ τῆς φοβερᾶς ἀναμιμνήσκουσα ἀπειλῆς ἣν ὁ Χριστὸς τοῖς αὐτὸν ἀθετοῦσιν ἠπείλησε, καὶ ἑαυτὴν ἀθλίαν ἀποφαίνουσα[22], ὅτι οὐδ' ἐν ἡμέρᾳ ὅλῃ που γαμετὴν μάρτυρος καλεῖσθαι[23] παρέμεινεν αὐτῇ[24], ἀλλὰ τὴν ἐλπισθεῖσαν μακαριότητα ἀθρόον ἐπαναστᾶσα[24] ποθὲν[24] διεδέξατο δύσκλεια. Ὡς δὲ ἐφ' ᾧ ἧκεν ἔγνω, μεταβαλοῦσα τάς τε θύρας αὐτῷ ἀνεπέτασε καὶ προσφῦσα[25] περιχαρῶς κατησπάσατο[26] καὶ εὐθὺς ὡς εἶχε μετ'[24] αὐτοῦ[24] τὴν πρὸς τὸν τύραννον[27] ἐποιεῖτο πορείαν. Ἐπεὶ οὖν κατέλαβον[28] ἔνθα ἔδει αὐτοὺς προελθεῖν[29], εἰσήχθη πρὸς[30] τὸν βασιλέα ὁ μακάριος Ἀδριανός, καὶ τὸν Χριστὸν Θεὸν εἶναι ὁμολογήσας, τύπτεται ξύλοις καὶ ἐπιμένων τῇ[31] ὁμολογίᾳ, ἀνατραπεὶς ὕπτιος[32] τοσοῦτον κατὰ τῆς γαστρὸς αἰκίζεται, ὡς ὀφθῆναι τὴν ἔνδον οἰκονομίαν τῶν σπλάγχνων αὐτοῦ[33]. Ἦν δὲ ὅτε ταῦτα ἔπασχεν ἐτῶν εἰκοσιοκτώ. Ἀκρωτηριασθῆναι οὖν μετὰ ταῦτα[34] κελευσθεὶς[35] αὐτός τε καὶ οἱ λοιποὶ ἅγιοι μάρτυρες, πρῶτος[36] τὴν ἐκκοπὴν ὑπέστη τῶν ποδῶν καὶ τῶν χειρῶν[37], τῆς Ναταλίας καθ'[38] ἓν ἕκαστον τοῦτο[38] λαμβανομένης[39] καὶ ἐπὶ τὸν ἄκμωνα[40] τιθείσης· καὶ τὸν μὲν δήμιον παρακαλούσης ἐπενεγκεῖν κραταιῶς καὶ μὴ φείδεσθαι[41], Ἀδριανὸν δὲ τὸν μάρτυρα[42] ὑπενεγκεῖν στερρῶς καὶ μὴ προδοῦναι δειλίᾳ τὴν ὑπὲρ Χριστοῦ ἄθλησιν. (Aug. 26.) Ἐν τούτῳ δὲ[43] τελειωθέντος τοῦ ἁγίου Ἀδριανοῦ καὶ τῶν λοιπῶν ἁγίων, ἡ Ναταλία, τῶν σωμάτων αὐτῶν μελλόντων διὰ πυρὸς δαπανᾶσθαι, τὴν χεῖρα Ἀδριανοῦ[44] ἐξέκλεψε[38]· καὶ[38] ἐγκολπωσαμένη ἠκολούθει τοῖς λειψάνοις μεθ' ἑτέρων γυναικῶν, δεχομένη τὰ ἐκ τῶν σωμάτων ἀποστάζοντα αἵματα καὶ τούτοις ἀλείφουσα[45] ἑαυτήν. Τοῦ δὲ πυρὸς ὑπὸ ὑετοῦ, ὃς ῥαγδαῖος τότε κατηνέχθη, σβεσθέντος[46], Εὐσέβιός τις πιστὸς ὢν τὰ τῶν ἁγίων ἀνελόμενος λείψανα καὶ ἐν ἀκατίῳ θέμενος καὶ κομίσας ἐν Ἀργυροπόλει πλη|σίον τοῦ Βυζαντίου κατέθηκεν[47]· (f. 298.) ἔνθα καταπλεύσασα ὕστερον ἡ Ναταλία[48] τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε[49], καὶ πλησίον τῶν λειψάνων κατετέθη τῶν ἁγίων μαρτύρων. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ πέραν ἐν Ἀργυροπόλει.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου[1] ἁγίου μάρτυρος Ἀδριανοῦ. Οὗτος[2] ἦν ἐπὶ Λικινίου[3], υἱὸς ὑπάρχων Πρόβου τοῦ βασιλέως, μεθ' ἑτέρου ἀδελφοῦ Δομετίου, ὃς τοῦ Βυζαντίου μετὰ Τῖτον κατέστη ἐπίσκοπος, γενόμενος καὶ αὐτὸς δύο παίδων πατήρ, Πρόβου τε καὶ Μητροφάνους, διαδεξαμένων τοῦ μὲν Πρόβου τὸν πατέρα Δομέτιον τοῦ δὲ Μητροφάνους Πρόβον τὸν ἀδελφόν. Τῆς οὖν τυραννίδος ἐπὶ[4] Διοκλητιανοῦ καὶ Λικινίου κρατούσης, καὶ πολλῶν χριστιανῶν καθ' ἑκάστην ἀναιρουμένων, ὁ μακάριος Ἀδριανὸς ἐπιποθῶν ὑπὲρ Χριστοῦ παθεῖν, γενόμενος κατὰ τὴν Νικομηδέων πόλιν, ὠνείδισε Λικινίῳ ὡς μάτην τὰ στρατεύματα τῆς Ῥωμαϊκῆς δυναστείας[5] λυμαινομένῳ προφάσει τοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ. Ὁ δὲ γνοὺς αὐτὸν τῆς τῶν χριστιανῶν πίστεως ὄντα καὶ κολακείαις καὶ[6] ἀπειλαῖς μὴ καμπτόμενον[7], πολλὰς αὐτῷ προσαγαγὼν βασάνους[8] τελευταῖον[9] τὴν διὰ ξίφους ἐπέθηκεν[10] ἐκτομήν[11]. Τοῦ Βυζαντίου οὖν[12] ἐπίσκοπος Δομέτιος, ὁ τοῦ μάρτυρος ἀδελφός, τὸ ἅγιον αὐτοῦ λείψανον λαβὼν ἐν Ἀργυροπόλει[13] κατέθετο, ἔνθα ἦν Ἀδριανοῦ καὶ Ναταλίας καὶ τῶν σὺν αὐτοῖς μαρτύρων καὶ πρὸ ἐκείνων Στάχυος, ἑνὸς τῶν ἑβδομήκοντα μαθητῶν τοῦ σωτῆρος Χριστοῦ καὶ πρώτου ἐπισκόπου ὑπὸ Ἀνδρέου τοῦ ἀποστόλου καταστάντος[14], τὰ ἅγια λείψανα[15].

— [14] *om.* Mc. — [15] (αὐτὸν - ἐμακάριζε) τῆς προθυμίας αὐτὸν ἐμ. καὶ εὐσταθῆ Mc. — [16] οἶκον ὑπ. Mc. — [17] (ἥκειν - ἐλπιζομένης) εἰσαγωγῆς αὐτῷ μελλούσης ἔσεσθαι πρὸς τὸν τύραννον Mc. — [18] φυλάσσουσιν Mc. — [19] (οὐ - ἀλλὰ) *om.* Mc. — [20] αὐτὸν τὰς β. Mc. — [21] φρουρᾶς Mc. — [22] ἀποκαλοῦσα Mc. — [23] τὸ μάρτυρος αὐτὴν γαμετὴν ὀνομασθῆναι Mc. — [24] *om.* Mc. — [25] περιβαλοῦσα Mc. — [26] κατησπάζετο Mc. — [27] μετ' αὐτοῦ *add.* Mc. — [28] κατέλαβεν S. — [29] ἀπελθεῖν Mc. — [30] εἰς Mc. — [31] Mc, ἐπιμενόντων S. — [32] ὕ. ἀνατραπεὶς Mc. — [33] ὡς καὶ τὰ ἔνδον τῆς γαστρὸς αὐτοῦ ἐποφθῆναι Mc. — [34] μ. τ. δὲ ἀκρ. Mc. — [35] καταδικασθεὶς Mc. — [36] οὗτος *add.* Mc. — [37] τῶν χ. κ. τ. ποδῶν Mc. — [38] *om.* Mc. — [39] προσλαμβανομένης Mc. — [40] τῷ ἄκμωνι Mc. — [41] φείσασθαι Mc. — [42] δὲ αὖ Mc. — [43] δὴ Mc. — [44] τοῦ ἁγίου Mc. — [45] ἐπιχρίουσα Mc. — [46] κατενέχθη σ. S, κατενεχθέντος τότε ῥαγδαίως κατασβεσθέντος Mc. — [47] κατέθετο Mc. — [48] καὶ ἡ μακαρία Ν. ὕστερον καταπλεύσασα Mc. — [49] παρέδωκε τὴν ψυχὴν Mc.

2. — [1] τοῦ Mc. — [2] ὁ ἅγιος *add.* Mc. — [3] Λικιννίου S. — [4] Mc, ὑπὸ S. — [5] τὰ ῥωμαϊκὰ στρατεύματα Mc. — [6] ἢ Mc. — [7] κατακαμπτόμενον Mc. — [8] (π. β.) β. ἐπενεγκὼν Mc. — [9] *om.* Mc. — [10] ἀπέθηκεν S. — [11] ὁ *add.* Mc. — [12] τοίνυν Mc. — [13] Ἀργυρουπόλει S. — [14] (καὶ πρὸ - καταστάντος) *om.* Mc. — [15] τὰ ἅγια ἀπέκειτο λ. S, τὰ λείψανα καὶ Σ. ἑνὸς τῶν ἑβδομήκοντα ἀποστόλων Mc.

Aug. 26. ὅσιον[4]· καὶ τὸν μοναστὴν ὑπελθὼν βίον, εἰς ὕψος ἀρετῶν μεγίστων ἦλθεν καὶ τὴν[5] ἔρημον ᾤκει πᾶν εἶδος ἀρετῆς μετερχόμενος· ὅθεν καὶ ὁ λόγος αὐτῷ λαμπρότατος ἦν τῷ βίῳ κοσμούμενος[6]... οὕτως τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. — **Mc** : 1. — Οἱ συναθλήσαντες τῷ ἁγίῳ Ἀδριανῷ ἅγιοι κγ' μάρτυρες χεῖρας καὶ πόδας ἐκκοπέντες τ. — Ἀττικὸς καὶ Σισίννιος ξ. τ. — Ἰβυστίων ἐν εἰρήνῃ τ. — 2. — Ἰωάσαφ ὁ τοῦ βασιλέως Ἀβενὴρ υἱὸς ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Οἱ συναθλήσαντες τῷ ἁγίῳ Ἀδριανῷ. — Ἀττικοῦ, Σισιννίου. — Ἰβιστίωνος. — 2. — Ἰωάσαφ. — Τιθόης ἐν εἰρήνῃ τ. — **Mr** : 1.

— [4] *nomen deesse videtur.* — [5] ὅτιν Rc. — [6] *locus corruptus,* οὗτος ἐξερχομένου αὔτη Rc.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

Aug. 27. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ποιμένος τοῦ[1] ἀναχωρητοῦ[1]. Οὗτος ὁ ὅσιος Αἰγύπτιος ὑπῆρχε τῷ γένει[2]. Ὃς λαβὼν τοὺς ἑαυτοῦ ἀδελφούς[3], ἀναχωρήσας γέγονεν ἅμα αὐτοῖς μοναχός. Μετὰ δὲ χρόνους πολλοὺς ἡ μήτηρ αὐτῶν πόθῳ τῷ πρὸς αὐτοὺς[4] παρεγένετο ἰδεῖν αὐτούς, ἀλλ' οὐκ ἠδυνήθη. Παρητήσατο δὲ ἐν τῷ ἀπέρχεσθαι αὐτοὺς εἰς τὸ κυριακὸν ἰδεῖν αὐτούς[5]. Ἐπεὶ δὲ τοῦτο οὐκ ἔλαθεν αὐτούς, ὀξυποδήσαντες[6] πρὸς τὸ κελλίον αὐτῶν, ἔκλεισαν κατ' αὐτῆς τὰς θύρας. Ἡ δὲ ἔξωθεν στᾶσα ἔκραζε κλαίουσα μετὰ οἴκτου[7]. Ἀκούσας δὲ ὁ ἀββᾶς Ἀνοὺβ εἰσῆλθε πρὸς τὸν f. 298v. ἀββᾶν Ποιμένα λέγων· « Τί ποιήσομεν τῇ γραΐδι | » ταύτῃ; » Τότε ἀναστὰς ὁ ἀββᾶς Ποιμὴν ἦλθε πρὸς τῇ θύρᾳ[8], καὶ ἀκούσας αὐτῆς κλαιούσης εἶπε· « Τί κλαίεις[9], γραῦ; » Ἡ δὲ τῆς φωνῆς αὐτοῦ ἀκούσασα — οὐ γὰρ ἔβλεπε κεκλεισμένης οὔσης τῆς θύρας — ἔφη· « Θέλω ἰδεῖν ὑμᾶς, ὦ[10] » τέκνον· τί γὰρ βλάψω ἐὰν ἴδω ὑμᾶς; Οὐκ ἐγὼ » μήτηρ ὑμῶν; Οὐ μαστῷ ἐπότισα[11] ὑμᾶς; Οὐκ » ἀνεθρεψάμην; Οὔκ εἰμι ἐν ἐσχάτῃ πολιᾷ; » Λέγει πρὸς αὐτὴν ὁ Ποιμήν[12]· « Ὧδε θέλεις ἰδεῖν ἡμᾶς ἢ » ἐν ἐκείνῳ τῷ κόσμῳ; » Ἡ δὲ συνιεῖσα[13] τὰ λεγόμενα[14] μετὰ χαρᾶς ἀνεχώρησεν. Ἠθέλησέ ποτε ὁ ἄρχων τῆς χώρας ἰδεῖν τὸν ἀββᾶν Ποιμένα διὰ τὸ[15] ὡς κακοῦργον κατασχεῖν τὸν υἱὸν τῆς ἀδελφῆς αὐτοῦ καὶ εἱρκτῇ ἀσφαλίσασθαι. Καὶ οὐκ ἠθέλησεν ὁ γέρων ἰδεῖν[16] αὐτόν. Ἔρχεται οὖν ἡ ἀδελφὴ αὐτοῦ πρὸς τὴν θύραν[17] καὶ οὐκ ἔδωκεν αὐτῇ ἀπόκρισιν. Ἡ δὲ κατεβόα αὐτοῦ λέγουσα· « Ἄσπλαγχνε, » ἀκάρδιε, ἐλέησόν με, ὅτι μονογενής μοί ἐστιν. » Ὁ δὲ πέμψας τινὰ εἶπεν[18] αὐτῇ· « Ἄπελθε, ἀνα» χώρει τῶν ὧδε· ὁ[19] Ποιμὴν τέκνα οὐκ ἐγέν» νησεν. » Ἀκούσας δὲ ὁ ἄρχων ἔφη[19]· « Κἂν » λόγῳ κελεύσῃ μόνον[20], καὶ ἀπολύω[21] αὐτόν. » Ὁ δὲ γέρων ἀντέφησεν· « Ἐξέτασον αὐτόν, » λέγων[19], « κατὰ τοὺς νόμους[22]· εἰ ἄξιός ἐστι » θανάτου, ἀποθανέτω[23]· εἰ δὲ οὔ[24], ὡς βούλει » ποίησον. » Καὶ ἀκούσας ὁ ἄρχων καὶ ὑπερθαυμάσας[25] ἀπέλυσεν αὐτόν[26]. Ἠρώτησέ τις τὸν ἀββᾶν Ποιμένα λέγων· « Ἐὰν ἴδω τὸ ἁμάρτημα » τοῦ ἀδελφοῦ μου, σκεπάσω αὐτό; » Ὁ δὲ εἶπεν αὐτῷ· « Ἐὰν περικαλύψωμεν τοῦ ἀδελφοῦ τὸ » πταῖσμα, καὶ ὁ Θεὸς τὰ ἡμέτερα· καὶ εἰ ἐκπομ» πεύσωμεν τοῦ ἀδελφοῦ τὸ ἁμάρτημα, καὶ ὁ » Θεὸς τὸ ἡμῶν. » Οὕτως ἦν ὁ μακάριος Ποιμὴν πᾶσαν ἀρετὴν ἐξασκήσας, ὥστε πάντας τοὺς ἐν Αἰγύπτῳ καὶ Θηβαΐδι γέροντας πατέρα τοῦτον ἔχειν καὶ ὑπ' αὐτοῦ ῥυθμίζεσθαι καὶ ἐκπαιδεύεσθαι. Τελευτᾷ δὲ γέρων ὢν καὶ πλήρης ἡμερῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Λιβερίου ἐπισκόπου Ῥώμης τοῦ ὁμολογητοῦ[1]. Οὗτος ὑπῆρχε[2] κατὰ τοὺς καιροὺς Κωνσταντίου τοῦ βασιλέως, ὃς τὸν μέγαν Ἀθανάσιον

1. — [1] *om.* Mc. — [2] τὸ γένος Mc. — [3] καὶ *add.* Mc. — [4] π. μητρικῷ κινηθεῖσα Mc. — [5] (ἀλλ' οὐκ - αὐτούς) *om.* Mc. — [6] ὀξυπηδήσαντος S. — [7] (μ. ο.) περιπαθῶς Mc. — [8] τὴν θύραν Mc. — [9] ὦ *add.* Mc. — [10] *om.* Mc. — [11] (οὐ - ἐπότισα) οὐκ ἐγὼ ἐθήλασα Mc. — [12] καὶ *add.* Mc. — [13] συνεῖσα Mc. — [14] καὶ τὸ ἐπὶ τοῦ μέλλοντος ἰδεῖν προτιμήσασα *add.* Mc. — [15] (διὰ τὸ) καὶ ἐπεὶ ἀπετύγχανε τῆς βουλήσεως τὸν παῖδα τῆς ἀδελφῆς αὐτοῦ προφάσει Mc. — [16] (κατασχεῖν - ἰδεῖν) κατέσχε καὶ ἀπέκλεισεν ἐν δεσμωτηρίῳ ἵνα δι' αὐτὸν ἀναγκασθεὶς ὁ ὅσιος παραγένηται πρὸς Mc. — [17] (τὴν θύραν) αὐτὸν καὶ ἔστη πρὸ τῆς θύρας τῆς κέλλης αὐτοῦ Mc. — [18] ἐμήνυσεν Mc. — [19] *om.* Mc. — [20] λόγῳ μόνῳ ἔφη κελευσάτω Mc. — [21] ἀπολύσω Mc. — [22] καὶ *add.* Mc. — [23] θανατούσθω Mc. — [24] εἰδ' οὖν Mc. — [25] τὴν ἀρετὴν καὶ γενναιότητα τοῦ ἀνδρὸς *add.* Mc. — [26] *quae abhinc habet* Mc *lege inter* Synaxaria selecta.

2. — [1] τοῦ ὁσίου π. ἡ. καὶ ὁμολογητοῦ Λ. πάπα Ῥώμης Mc. — [2] ἦν Mc.

Aug. 27. SYNAXARIA SELECTA. **H** : 2. 3. 1. — **P** : 2. — Τῶν ἁγίων κγ' μαρτύρων τῶν ἐν Νικομηδείᾳ (Aug. 28[3]). — Ἀνθούσης. — Θεοκλήτου (cf. Aug. 21[3]). — **D** : 1, mutil. — **Da** : 1. 3. 2. — **K** : 1. 2. — **N** : 2. 3. 1. — **Bb** : 2. 1. 3. — **Bc** : 2. 1. 3. — **C** : 2. 1. 3. — **Cg** : 2 : Λιβερίου ἀρχιεπισκόπου Ῥώμης. Οὗτος ὁ μακάριος καὶ τῆς ἀληθείας ὑπέρμαχος γέγονεν ἐπὶ Κωνσταντίου τοῦ βασιλέως ἀρχιεπίσκοπος τῆς πρεσβυτέρας Ῥώμης μετὰ Ἰούλιον τὸν πρὸ αὐτοῦ ἀρχιερεύσαντα· ὅστις Ἰούλιος Σίλβεστρον διεδέξατο. Λιβερίου τοίνυν τοῦ τρισμακαρίου τὴν τῆς Ῥώμης ἐκκλησίαν ἰθύναντος, γέγοναν αἱ κατὰ τὸν θεῖον Ἀθανάσιον ὑπὸ τῶν Ἀρειανῶν ἐπιβουλαὶ καὶ διωγμοί. Ὅστις καὶ ἐν τῇ Ῥώμῃ διαβαίνων ὑπὸ τοῦ ἐν ἁγίοις Λιβερίου διεσώζετο μετὰ καὶ ἑτέρων ὀρθοδόξων πιστῶν· μέχρι γὰρ περιῆσαν οἱ τῆς θείας λήξεως εὐσεβεῖς βασιλεῖς ἐν Ῥώμῃ Κωνσταντῖνος, ὁ τοῦ μεγάλου πρεσβύτερος υἱός, καὶ Κώνστας ὁ ἀδελφὸς αὐτοῦ, τὰ τῆς ἐκκλησίας Ῥωμαίων εὖ διέκειντο. Μετὰ δὲ τὴν τελευτὴν αὐτῶν ὁ ὕστερος υἱὸς Κωνστάντιος ἀρειανὸς ὢν ἐπολέμει τοῖς ὀρθοδόξοις· ὅθεν καὶ Λιβέριον μετὰ τὸ πολλὰ διαλεχθῆναι αὐτὸν μετ' αὐτοῦ καὶ διελέγξαι τὴν δυσσέβειαν ἐξορίζει εἰς Βέροιαν τῆς Θρᾴκης· ᾧ καὶ ἀπέστειλε χρυσίνους πεντακοσίους εἰς δαπάνην. Ὁ δὲ οὐκ ἔλαβεν εἰπὼν τῷ ἀποκομιστῇ· « Δὸς αὐτὰ τῷ βασιλεῖ ὡς χρείαν » ἔχοντι· ἐμοὶ δὲ τῆς ὀρθοδόξου πίστεως κατάστασίς ἐστιν ἡ τροφή. » Τοσαύτην δὲ εἶχον οἱ ἐν τῇ Ῥώμῃ πίστιν εἰς αὐτὸν τὸν ἅγιον, ὥστε ἀφικομένου τοῦ Κωνσταντίου εἰς Ῥώμην προσῆλθον αὐτῷ οὐ μόνον ἄνδρες ἀλλὰ καὶ γυναῖκες τὸν ἴδιον ποιμένα ἐπιζητοῦντες. Ἐπεὶ δὲ τῶν διακόνων τις, Φῆλιξ[1] ὀνόματι, ἀντ' αὐτοῦ προεχειρίσθη πάπας, προσέταξεν ὁ βασιλεὺς ἀμφοτέρους εἶναι· ἀλλὰ τοῦ λαοῦ μὴ δεξαμένου, ὁ Φῆλιξ ὑπεχώρησεν εἰς ἑτέραν πόλιν. Ὁ δὲ Λιβέριος πολλὰ παθὼν ὑπὲρ τῆς ὀρθῆς πίστεως καὶ αὖθις τὸ ποίμνιον ἀπολαβὼν καὶ καλῶς ἰθύνας, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν. — 1. 3. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1, des. : Ἀλλὰ πάντα μὲν τὰ κατὰ τὸν θεσπέσιον τοῦτον ἄνδρα κατὰ μέρος ἐκδιηγεῖσθαι χαλεπὸν καὶ δυσέφικτον· ἄλλως τε καὶ τὸν ἐρῶντα μαθεῖν ταῖς ἀσκητικαῖς βίβλοις παραπέμψομεν· ἡμῖν δὲ τῷ καιρῷ στενουμένοις καὶ βραχυλογεῖν ἀναγκαζομένοις,

[1] Φίλιξ Cg.

καὶ Παῦλον τὸν ὁμολογητὴν ἐν Ῥώμῃ γενομένους ὑποδεξάμενος συνέπραξε τοὺς οἰκείους θρόνους ἀπολαβεῖν. Διὰ ταῦτα ὁ βασιλεὺς Κωνστάντιος μετὰ τελευτὴν Κώνσταντος τοῦ ἀδελφοῦ αὐτοῦ μετεστείλατο αὐτὸν ἐκ Ῥώμης· καὶ ἐπιχειρήσας f. 299. πείθειν αὐτὸν | καὶ[3] τῆς κοινωνίας Ἀθανασίου <ἀπέχεσθαι[4]> καὶ τῇ καθαιρέσει αὐτοῦ συμψηφίσασθαι[5] καὶ μὴ δυνηθείς, ὑπερώρισεν[6] αὐτὸν ἐν τῇ Θρᾴκῃ. Μετὰ δὲ[7] ταῦτα ἐν Ῥώμῃ γενόμενος καὶ παρὰ[8] τῆς πόλεως ἐκβιασθείς, προσκειμένων αὐτῷ[9] πάντων καὶ ἱκετευόντων τὸν μακάριον Λιβέριον, ἐκέλευσε τὸν οἰκεῖον θρόνον ἀπολαβεῖν· ἐν ᾧ γενόμενος καὶ τὸ λειπόμενον τῆς ζωῆς αὐτοῦ καλῶς[10] βιώσας ἀνεπαύσατο ἐν Κυρίῳ.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ὁσίου ἐπισκόπου Κουδρούβης[1] τῆς κατὰ τὴν Ἱσπανίαν[2]. Οὗτος ὁ μακάριος ἐν ἀσκήσει τὸ πρότερον διαπρέψας καὶ παντοίαις ἀρεταῖς κοσμηθεὶς[3] ἐπὶ τὸν θρόνον τῆς ἐπισκοπῆς Κουδρούβης προήχθη, ζῆλον θεῖον[4] ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ἔχων, καὶ ἐν τῇ μεγάλῃ συνόδῳ παρῆν, τὴν ἀρειανικὴν λύσσαν διελέγχων καὶ ἀποκρουόμενος· καὶ τὴν γενομένην[5] κατὰ τὴν Σαρδικὴν αὐτὸς συνεκρότει, καὶ τὰ πρῶτα ἐν τοῖς τότε συνελθοῦσιν ἐκέκτητο. Οὕτω[6] πολλῶν καὶ ἄλλων ἐπισκόπων καὶ[7] θεοφόρων πατέρων[7] ὑπὸ Κωνσταντίου τῶν οἰκείων θρόνων[8] ἀπελαυνομένων διὰ τὸ μὴ καταψηφίζεσθαι[9] τοῦ μεγάλου Ἀθανασίου καθαίρεσιν[10], ἢ μᾶλλον εἰπεῖν διὰ τὸ μὴ κοινωνεῖν τῆς Ἀρείου κακοδοξίας[11], ἐν[7] ἐξορίᾳ παρεπέμφθη, καὶ πολλὰ[12] δυσχερῆ καρτερήσας ἐν αὐτῇ τὸν βίον κατέλυσε.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

Aug. 28. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μωσέως τοῦ Αἰθίοπος. Οὗτος ὁ μακάριος τῷ μὲν γένει[1] ἦν Αἰθίοψ, τῇ δὲ χροιᾷ[2] μέλας ἀκριβῶς, οἰκέτης πολιτευομένου τινός· ὃν διὰ πολλὴν δυστροπίαν καὶ λῃστρικὴν αἰτίαν ἀπώσατο ὁ ἴδιος δεσπότης ὡς ἀνδροφόνον. Οὗτος ποιμένι τινὶ ἐμνησικάκησε παρεμποδίσαντι αὐτῷ εἰς[3] πρᾶγμα, ὃν καὶ ἀποκτεῖναι[4] ἐβουλεύσατο. Μαθὼν δὲ ὅτι πέραν τοῦ Νείλου ἐστὶ πλημμυροῦντος[5] τοῦ ποταμοῦ ὡς ἀπὸ σημείου ἑνός, τῷ στόματι δακὼν τὴν μάχαιραν[6] καὶ τὸν ἐπενδύτην τῇ κεφαλῇ ἐπιθεὶς διανηξάμενος τὸν[7] ποταμὸν[7] διεπέρασε. Προαισθόμενος δὲ ὁ ποιμὴν τὴν ἔλευσιν αὐτοῦ[8], φυγὰς ᾤχετο. Ὁ δὲ ἀποτυχὼν τοῦ ζητουμένου, κριοὺς τέσσαρας ἐπιλέκτους σφαγιάσας καὶ δήσας σειρᾷ τὸ σκέλος[9] ἀντεπέρασε κο|λυμβῶν, καὶ τοὺς κριοὺς ἀπέδειρε f. 299v. καὶ τὰ κρέα φαγὼν καὶ[7] τὰ[10] κώδια οἴνῳ πωλήσας ἀπῆλθε πρὸς τοὺς ἑταίρους αὐτοῦ ἀπέχοντας σημεῖα πεντήκοντα. Ταῦτα διηγησάμην, ἵνα δείξω, ὅτι δυνατόν ἐστιν τοῖς βουλομένοις διὰ μετανοίας

— [3] *om.* Mc. — [4] Mc, *om.* S. — [5] ψηφίσασθαι Mc. — [6] ἐξώρισεν Mc. — [7] καὶ μετὰ Mc. — [8] ὑπὸ Mc. — [9] αὐτῶν Mc. — [10] καὶ εἰρηνικῶς *add.* Mc.

3. — [1] *ita codd. plurimi, lege* Κορδούβης. — [2] ἐν Ἱσπανίᾳ Mc. — [3] κατακοσμηθεὶς Mc. — [4] ζήλῳ θείῳ S, ζῆλον δὲ Mc. — [5] ἐκτρεπόμενος καὶ τῇ γενομένῃ Mc. — [6] οὕτως οὖν Mc. — [7] *om.* Mc. — [8] τὸν οἰκεῖον θρόνον S. — [9] συγκαταψηφίζεσθαι ἐπὶ τῇ Mc. — [10] καθαιρέσει Mc. — [11] τῇ τοῦ Ἀ. κακοδοξίᾳ Mc. — [12] πλεῖστα Mc.

1. — [1] τὸ μὲν γένος Mc. — [2] τὴν δὲ χροιὰν Mc. — [3] τι *add.* Mc. — [4] ἀποκτείνας S. — [5] τηνικαῦτα *add.* Mc. — [6] δ. τ. μ. τῷ στόματι Mc. — [7] *om.* Mc. — [8] αὐτοῦ ἔλευσιν Mc. — [9] τὸν Νεῖλον Mc. — [10] δὲ *add.* Mc.

